Digitized by Google

UNIVERSIDAD COMPLUTENSE
532438301X
FA
5585
276
C 86 j

MI

SANCTI
IOANNIS CHRYSOSTOMI
OPERA SELECTA

DAD COMPLUTENSE
Biblioteca
FILOSOFIA Y LETRAS

Digitized by Google

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56

Digitized by Google

R-54301/2

FA
5585

SANCTI

JOANNIS CHRYSOSTOMI

OPERA SELECTA

GRÆCE ET LATINE

CODICIBUS ANTIQUIS DENUO EXCUSSIS

EMENDAVIT

FRED. DÜBNER

VOLUMEN PRIMUM

UNIVERSIDAD CENTRAL
Biblioteca
DECANATO DE FILOSOFIA Y LETRAS

PARISIIS

EDITORE AMBROSIO FIRMIN DIDOT

INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO

VIA JACOB, 56

M DCCC LXI

Digitized by Google

Digitized by Google

PRÆFATIO.

Quum per raram hisce temporibus constantiam Ambrosii Firmini Didot et viginti quinque annorum labore indefesso *Bibliotheca græca* eo hodie sit deducta, ut profanæ antiquitatis præstantissimos scriptores exhibeat prope omnes, ægre jam desideratur a multis alter ille flos græcarum literarum, christiana eloquentia, quæ ad atticam artem est ubi accedit proxime, sed altius nititur sententiis et supra humanas auditorem curas effert (*). Sane mancam fore et imperfectam ingenii græci velut imaginem in Bibliotheca nostra tam plene expressam, nemo non intelligit, si sanctorum Patrum scripta prorsus excludantur : prorsus, inquam; nam illis quæ ad interpretationem Sacræ Scripturæ spectant, ad dogmata exquirenda aut defendenda, ad Ecclesiæ historiam, non est in hac collectione locus; at illustria eloquentiæ et philosophiæ christianæ monumenta, quæ non theologi sed omnes pariter humaniores cognovisse cupiant, deinde quæ ad historiam generalem, ad mores et instituta veterum pertinent, hæc vero si absint, conquirenda aliunde, græcarum literarum studiosis minime videamur ea instrumenta subministrasse easque commoditates paravisse quas ipsi voluimus.

De veterum æque ac nostro sensu judicavimus auspicandum esse hunc Delectum ab *aureo ore* S. Joannis Chrysostomi, cujus oratio-

(*) In omnium manibus est et mentibus hæret opus laudatissimum, *Tableau de l'éloquence chrétienne au quatrième siecle*, par M. Villemain.

Digitized by Google

nem ipsius esse charitatis christianæ perenne flumen dicas : etiam profligando erigit et jacenti dat vires et alas. Quem qui semel gustavit, identidem ad eum fontem redibit : est enim Chrysostomus (si fas ita loqui) sancta Siren.

Verum oris tanta suavitas nondum ea qua par erat fide et ἀκριβείᾳ reddita cernitur in editionibus operum Chrysostomi : quamquam, si quis græcorum scriptorum, hic poterat nostris temporibus repræsentari fere integer. Nam et egregii codices supersunt haud parvo numero, et ex duobus jam sæculis et dimidio critices in hoc Patre positæ eximium splendet monumentum. Nemo sane, nemo peritiorum sine admiratione evolverit anno 1612 edita volumina Henrici Savilii, cujus solidam doctrinam, curam religiosissimam, judicium acre et certum quævis pagina testatur. Hunc ducem sequi debebant posteriores editores, munita sic via incedentes, huic inhærere, refingentes quæ libri meliores aut res et linguæ norma suadebant. At secus longe evenit : Morellianam editionem hic illic (minime enim constanter) ex suis codicibus vel ex Savilio emendabant. Ita factum est ut in postremis Operum omnium editionibus sæpissime aliena legantur eorum loco quæ vere chrysostomica esse certissimis documentis constat. Quo vitio ne laboret hic Delectus, Parisini thesauri codices optimos quosque sedulo excussimus : in quorum fide *prorsus omnia* nituntur, ubicumque nihil refert Adnotatio critica ; ibi enim pauca tantum et insigniora specimina dedimus eorum quæ in antiquis libris multo aliter quam in editis exhibentur. Hîc monemus, *omittenda* fere esse legentibus, præsertim in Statuis, ea quæ uncis inclusimus, quippe posterius illata chrysostomicæ orationi, reliquimus autem plerumque, ut memorabili exemplo constet quantopere grassata sit interpolatio etiam in scriptore uberrimo et limpidissimo.

Digitized by Google

ADNOTATIO CRITICA.

ADVERSUS OPPUGNATORES VITÆ MONASTICÆ. — Pag. 1, l. 13 ἀποστάτην ed. (*i. e.* editiones et codices). — P. 2, l. 40 μηδ' ἂν ἐπῄει scripsi. Edd. μηδ' ἂν εἰπεῖν, codd. mei (Regii duo sæc. XI optimæ notæ) μηδὲ εἰπεῖν. Particulam editores haud dubie ex suis codd. duxerunt. — 50 codd. σαμέας et καὶ φαρὰς θεοί. Edd. Σαμέας et καὶ οἱ Φαραθαῖοι. — P. 4, l. 7 οὔτε ed. — P. 5, l. 42, aliud agens hoc loco, oscitans dormitansque sectionem feci. Scribe : ἐπεὶ ὅτι γε τοῖς ἁγίοις .... ἡ παρρησία· ἂν μὲν τὰ μέλλοντα etc. : *nam* (ut constet) *sanctis viris nihil hinc damni esse*, etc. Quomodo Chrysostomus sexcenties loquitur. — P. 6, l. 16 διάκεισθε ed. — P. 7, l. 30 οὖν haud dubie dittographia sequentis συν. — P. 8, l. 33 σῴσι scripsi; φησί codd., τισί edd., ut Josephus. — P. 11, l. 28 χρήματα πράττων scripsi; χρήματα πέμπων ed., quod non intelligo. — 41 scribere debebam προσαναχρώσαντες. Savilius in marg. ex uno alterove suorum προσαναχρίσαντες, ut meorum unus, alter προσαναχρήσαντες. — P. 13, l. 7 legebatur καὶ τοῦτο, orta particula ex præced. γυναῖκα. — 10 πάντως delendum esse apparet.

LIBER II. — P. 14, l. 28 inserui ἀπαλλαγήν. Legebatur τὴν τῶν ἄλλων ἀπώλειαν εὐτυχίαν εἶναι, ex interpolatione absurda; quid est enim εὐτυχία τῆς οἰκείας κακίας? Et uterque codex meus nescit illam εὐτυχίαν. — 34 τούτους δέ refert illud l. 30 τὸ δὲ τοὺς γεννήσ., ut non sit cogitandum de δή. — P. 15, l. 13, 14 sic codd. nostri, sine πρὸς τό, quod nunc nolim admissum. Editi sic : παῖδα πρὸς (sed Savil. καὶ) τὸ συμφέρον τὸν γεννηθέντα διδάξαι τὸν γεννησάμενον. — 19 μήτε ed. — P. 16, l. 8 ἐθέλοι ed. — P. 17, l. 4 inserui εἰ. — P. 18, l. 11 ἀγαθοῖς poscit sententia, respuit κακοῖς quod omnes habent, fortasse oscitantis librarii lapsum post θρηνεῖν. De καλοῖς non cogitandum. — 31 τίς δὲ ἄθλιος ed. — P. 19, l. 27 codd. mei εἴλω, et tantum non ubique fluctuant in hoc verbo codices Patrum. — P. 20, l. 4 editi consensu et varietate annotata nulla ἀναλώσωσι, quæ res non est κακουργία ut mox appellat Chrys. Uterque cod. meus αὐτῆς γνῶσιν, in quo quid lateat eruent acutiores. — P. 21, l. 41 οὐ μόνον ἀλλύων (sic) codd. mei, in quibus aliquoties animadverti voculam μή prætermitam. — P. 22, l. 18 malis καὶ τούτων αὐτοὶ ὑμεῖς. — 38 editi per interpolationem τῆς τε Σικελίας ἁπάσης. Nec inepte *totam terram* dixit Chrys., quia potens opibus et divitiis tyrannus undecumque terrarum quæ cupit colligere potest. Eodem modo Galli dicunt : *il commandait sur toute la terre.* — 48 codd. mei φανῆναι δῶμεν, ut scribendum esse videatur αἰδήμων, quod grammatici testantur inventum significans αἰδέσιμον, et sic legitur in lib. II Maccabæorum. — P. 24, l. 52 addito ἀκούσεσθαι sanare tentavi hæc verba, quæ lacuna potius laborant quam depravatione. — P. 25, l. 27 μήτ' ἰθελήσῃ ed. — P. 28, l. 23 οὔτε ed. — 45 codd. mei εἵλατο, ut p. 52, l. 13 εἵλαντο, sed alibi iidem εἵλοντο. — P. 30, l. 16 rectius erat ἐλεεινότεροι. — 48 βλαστάνουσαι scripsi; βλαστάνουσιν ed. — P. 31, l. 30 καὶ addendum esse putavi.

LIBER III. — P. 35, l. 40 τὴν πρόνοιαν ed. — P. 36, l. 5 ἀναβαίνοντι scripsi; ἀναβαίνων ed. — P. 41, l. 13 τὸ γὰρ ed., correctum a Savilio. — P. 43, l. 53 bene mei omittunt κακόν. Nulla aliunde varietas. — P. 44, l. 11 οὔτε ὄναρ ed. — 31 omnes οὐδὲ τοσούτοις ἀπέχεσθαι, præter Morell. qui τοσούτων, de suo quidem. — P. 45, l. 17 πέμπετε ed., et distinctione falsa. — P. 46, l. 11 οὐδὲ ἐννοῆσαι ed.; addidi ἄν. — P. 48, l. 3 scribere debebam πῶς [ἂν] ἀνάσχοιτο. — 32 hæc interrogative efferebantur, ut οὐκ ἀπάξομεν ἐκεῖ ...; esset pro μακράν, πόρρω, ut exp. Hesych.; sed affirmative loquitur Chrys. — P. 51, l. 22 οὐδὲν ἂν φθέγξαιντο scripsi. Codex unus οὐδὲν ἂν φθέγξονται, alter οὐδένα φθέγξωνται. Editi οὐδὲν φθέγξονται, sed καταγνοῖεν l. 23. — 37 ᾧ κινεῖται omnes; an ὃ κεῖται? — P. 52, l. 47 corrigendum λύραν [τὴν] μὲν ἀκρ. — P. 54, l. 25 delevi ἡ quod legebatur post παιζόντων. — 33. ἄλλοθεν φανῆναι, nonne ἐκφανῆναι? — P. 56, l. 40 ἐγγένηται ed. — 41 ed. Savil. ὅτι οὐκ ἂν οὐδ' ὁτιοῦν γένηται, δυνήσ., in

Digitized by Google

quibus οὐδ' delendum. — 58, l. 27-29 ita codices nostri : ἔνθα δὲ τὰ μακρότερα ὑπὸ τοσούτων δὲ τῶν δυσχερῶν ἀνακοπτόμενα κωλυμάτων τὰ δὲ τῶν δυσχερῶν σαφέστερα καὶ μᾶλλον πλείονα. Prius τῶν δυσχερῶν natum videtur ex aberratione ad sequentia mox animadversâ. Vocabula καὶ μᾶλλον recte transposuit Theobaldus Fix. Editi : ἔνθα δὲ τὰ τῶν ἐναντίων μακρότερα, καὶ ὑπὸ πολλῶν κωλυμάτων ἀνακοπτόμενα, μὴ ἀπογινώσκειν, εἰς δὲ τὰ τῶν δυσχερῶν σαφέστερα καὶ μᾶλλον πλείονα θαρσεῖν, quæ male procedere non fugerat Savilium. — 54 κἂν τοῖς dedi pro καὶ εἰ ἐν τοῖς. — P. 59, l. 25 τι inserui ubi de more ponit Chrys. — P. 60, l. 22 ὅτι ταύτην ed. — 27 διώκειν ignorant nostri. — 48 τιθῇ postulat constructio; τίθησι ed., et l. 47 codd. κελεύει. — P. 61, l. 29 διὰ τὴν πονηρίαν Halesius; sed recte habere πορνείαν nec esse sollicitandum apparet ex homilia LXIX in Matthæum. — 39 οὐχὶ τοῖς dedi. Codd. mei οὐχ ὅτι τοῖς, editi οὐ τοῖς. — P. 62, l. 42 omnes ἐπὶ τοῦτον ἄγων τὸν βίον. At omitti non poterat τὸν υἱόν, quod expressit vetus interpres Ambrosius Camaldulensis. Ceterum τοῦτο melius respondet sequenti ὅθεν quam responderet τοῦτον τὸν βίον. — P. 63, l. 29 ἐν adjeci. — P. 64, l. 26 prius καί inducendum esse videtur. — P. 65, l. 10 et 12 corrigendum aut φαίης et θρηνοῖς, aut ἔφης et ἐθρήνεις. — P. 66, l. 26 νομοθετεῖ codd., νομοθετῇ edd. Sequentia sic constituit Savilius, secundum interpretem veterem : *difficillimæque rei majora impedimenta proponat*. Omnes ὡς δυσόρθωτον τὸ πρᾶγμα τοῦτο μείζ. Latissime patet in antiquis codd. literarum ο et ω permutatio, quæ corruptionem hujus loci peperit. — P. 67, l. 41 πλέον legebatur post γυμνασίῳ, sed recte ignorant nostri codd. — P. 68, l. 16 ἔχοντες iidem codd. — 18 πρόσκαιρον (scil. εἶναι) τὸν χωρισμόν scripsi postulante sententia; omnes πρὸς αὐτὸν τὸν χωρ. — 31 τίνων δὲ edd.; τίνες δὲ codd. nostri. Prius præstat. — 48-50 λέγῃ ... δεικνύῃ ... τιθῇ edd.; λέγῃ ... δεικνύει ... τιθῇ codd. mei. Plurimis locis hos conjunctivos codicum auctoritate sustuli. — P. 69, l. 6 corrigendum ποιεῖν [μὴ] κωλύειν. Conf. ad p. 21, 41. — P. 70, l. 3 ἐπὶ λόγων μάθησιν πέμπων editi; μαθήμασι codices, qui supra p. 67, l. 21 ἐπὶ λόγους πέμπων, ubi Savil. λόγοις ex suis. — 4 διὰ τοῦτο scribendum putavi pro διὰ ταῦτα. — 10 διακελεύετε codd. — P. 71, l. 22 κεχυμένην nostri duo et unus alterve Savilii. Malim ἐκκεχυμένην. Editi κατακεχυμένην. — P. 72, l. 53 omnes καὶ ἐνταῦθα δὲ προαπ., deinde ἔχοντες δὲ πολλ. mei codices, in editis sine δέ. — P. 73, l. 6 expellendum erat istud μέλλοντος et scribendum cum codd. meis et Savilio τοῦ ταῦτα παρασχεῖν κυρίου. — P. 74, l. 13 εἰ δὴ μάλιστα scripsi; ἐπειδὴ μάλιστα ed.

De virginitate. — Hujus tractatus unum modo codicem nancisci potuimus, Reg. 764 sæc. X, a grammatico rerum imperito vehementer interpolatum; et reliquorum Chrysostomicorum, quæ continet satis multa, prope dimidia pars ex *spuriis* est; nihilominus exquisita haud pauca in singulis eum servare vidi. Ceterum splendidissimus hic liber olim in bonis fuit φορτικοῦ cujusdam divitis, qui folia excidit et delevit ubicunque sanctus orator divites increpat paullo inclementius. Savilius codices habuit eximios « duos Vindobonenses in bibl. Cæsarea et tertium κατ' ἐπιτομήν in Augustana. » Argumenta in latinis versa sunt de græcis quæ in codd. feruntur. — P. 76, l. 39 codex ἑστάντα τὸν καιρόν, quod depravatum ex εἶτα κατὰ τὸν κ. existimo potius quam glossam prorsus inutilem in loco tam perspicuo. — P. 80, l. 14 codex παρθενίας ἐρῶσαι πορνείας μιαρωτέρας. Confer illud, ἔφυγον κακὸν, εὗρον ἄμεινον. — P. 82, l. 27 τὸ δσον κρ. ed. — P. 89, l. 15 καὶ recte inseruit Livineius, interpres lat. — P. 97, l. 2 in loco Pauli codex πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, id est ἴτε. — 47 οὕτω γὰρ cod. pro ὅτε. — P. 98, l. 2 legebatur ἅπαντα τὰ σωματικά, sine sensu. — P. 105, l. 45 addidi οὖν. — P. 107, l. 18, 19 οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο ed. — P. 112, l. 3 ἂν addidi. — P. 114, l. 45 αὐτῷ delendum. — P. 115, l. 12 αὐτὸν ed., ter mutato subjecto. — P. 117, l. 25 διαστασιάζοντος scripsi pro διαστασιάζοντα. — P. 127, l. 17 lacunam indicavi et verti ἀηδία· [ὅσα γὰρ ὑπομένουσιν ἀηδῆ] ἐν τῇ etc. Qui conjecturas huic loco adscripsere, non attenderunt parenthesin, sequentis commatis initio satis indicatam. Codex per interpolationem τὰς γὰρ ἀηδίας ἐν τῇ ... ὁπότε δ κηδ. ... ἀποδίδωσιν ... καὶ τήν τε (sic) εἴσπραξιν ... ὀφειλέτου πατρὸς τυχοῦσα παρίημι νῦν. Perantiqua igitur illa lacuna. Similiter cap. 66 : τὰς γὰρ ἀηδίας ὅσας ἐκ τούτων ὑπομένειν ἀνάγκη παρίημι (νῦν addit cod.). — P. 128, l. 18 τὸ λειπόμενον ed. — P. 131, l. 38 dele μόνον, dittographiam præcedentis syllabæ. — P. 132, l. 34 οὐδὲ τὸ συγκ. ed. — P. 133, l. 50, 51 omnes codices μεταχειρίζουσα ... διαλεγομένη ... ὁρῶσα. — P. 135, l. 8 ὡς inserendum

Digitized by Google

putavi post κατηγόρους. — 20 editi omnes καὶ φθόη καὶ νόσος καὶ παράλυσις καὶ πολλὰ ἕτι etc., in latinis *et sacer morbus*. Codicem secutus sum, quia nusquam annotatur νόσος simpliciter dictum de *sacro* morbo quem σπασμός nonnunquam significat. — P. 136, l. 11 εἰπεῖν depravatum; an εἴ τι? — P. 141, l. 2 ἔχοι ed. — P. 142, l. 51 τὸ θνητὸν codex. — P. 143, l. 27 θαυματουργοῦντα codex. — P. 144, l. 54 haud dubie scribendum κρίνοντες.

ADVERSUS EOS QUI DOMI HABENT VIRGINES ΣΥΝΕΙΣΑΚΤΟΥΣ. — Eundem codicem contulimus, in hoc tractatu multo minus interpolatum. Titulum habet : Διδασκαλία καὶ ἔλεγχος πρὸς τοὺς ἔχοντας π. σ. — P. 151, l. 6 legebatur οὐδὲ γὰρ οὐδὲ ἐπὶ π., sed alterum οὐδέ recte abest ab aliquibus Savilianorum. — P. 152, l. 31 legebatur μεγάλα ἐτίκτ. — P. 153, l. 17 tria verba omissa in cod. nostro et in ipso loco Paulino, illata ex Rom. XIV, 21. — P. 156, l. 3 τὴν ἀνάγκην Boisius; τὴν ἀρχὴν ed. — P. 157, l. 12 καὶ περιφερόμενα ed. Ut scripsimus, etiam sequentis pag. initio : βούλει μὴ φέρεσθαι μηδὲ ἄγεσθαι τὰ χρήματα ἐκείνης. — P. 158, l. 47, 48 scribam οὐδὲ ἐπὶ ταύτης ἀπορήσομεν τῆς προφάσεως. — P. 160, l. 22 in Eclogis p. 607, E, legitur καὶ τοὺς πολλοὺς σκανδαλίσαντος. — P. 163, l. 2, 3, corrigendum ἱστοπόδιον, ex Savilii codicibus qui ἱστοπόδιν. In Thesauro p. 697 ἱστόποδας ex hoc loco affertur per errorem. — 52 πωλούντων scripsi; legebatur πωλοῦντες ex sequenti ζητοῦντες natum. — P. 165, l. 29 αἰσθανόμεθα Eclogæ p. 462, E; αἰσθανώμεθα edd.; αἰσθανοίμεθα codex. — 33 βλοσυρὸν eædem Eclogæ; omnes per interpolationem βλοσυρὸν βλέποντα. — 41 prorsus ejicere debebam ταπεινούς, quod non solum Eclogæ ignorant, sed Saviliani etiam codd. ut videtur omnes. — 43 γυναικεῖα πάθη Eclogæ. Eædem τὴν ... ψυχήν; ceteri omnes τὰς ... ψυχάς. — 51 ἐργάζεται Eclogæ. — P. 166, l. 31 θαυμάζεται ed. — P. 168, l. 8. παραδεικνύντα scripsi pro παραδεικνύντος. — 25 μαγείρων πάντοθεν ἀγείρων codex noster et sine var. Savilius; Montfauc. μαγ. πάντοθεν συναθροίζων, quod Fronto Ducæus ex codice cardinalis Perronii duxisse videtur, valde illo interpolato. — P. 169, l. 7 προπίνειν Savilius; προτείνειν codd. — 20 κατηγορίας ed.

QUOD REGULARES FEMINÆ VIRIS COHABITARE NON DEBEANT. — Cum eodem codice collatum. — P. 171, l. 15 ὡς supplevit Savilius. — P. 175, l. 38 μείνοι codd.; μείνῃ Bened. — P. 176, l. 32 scribendum est σὺ [τοῖς] τοιούτοις, cum articulo. — 36 ὃ adjectum a Savilio. — P. 177, l. 1 codicum κατηγορίᾳ correxit idem. — 46 δυναμένης cod. meus. — P. 181, l. 28 delendum γάρ, et tacite omisit Montf. — P. 182, l. 3 οὐδὲ γὰρ δὴ ed. — 5 ἑτέρα etiam cod. meus; ἑτέρας ed. Savil. — 23 μᾶλλον ignorant cod. et Savil. — P. 185, l. 20 codex omittit τοῦ βασιλέως, sed sequens potius τὸ βασιλικόν proscribendum est. — P. 188, l. 12 γυναῖκας interpres latinus; γυναικὶ ed.

AD VIDUAM JUNIOREM. — In hoc quoque tractatu et sequenti unum modo codicem habuimus, Reg. 801, sæc. XI, perbonum. — P. 194, l. 19 βίῳ scripsi pro κινδύνῳ, qui librarii lapsus est, fortasse ex ambiguitate literarum β et κ natus. — 53 haud dubie corrigendum εἰς τοὺς αὐτοῦ κόλπους. — P. 195, l. 5 ποτὲ scripsi pro τότε. — P. 197, l. 39 ἀπολῃφθεὶς Savilius pro ἀπολειφθείς. — P. 198, l. 27 ὅπου γὰρ αὖται πνέουσι cod. noster. — 45 edebatur παρ' ὧν πλουτῆσαι, sine sensu; παρὸν meus et Romanus apud Frontonem Ducæum. Sequebatur οὐκ ἦν διὰ τῆς π., quod correxi ut sententia postulabat. — P. 199, l. 32 ἐπιδείξεσθαι Savilius pro ἐπιδειξασθαι. — 45 scribendum videtur ποιήσας [σε] εἶναι. — P. 200, l. 23 οἱ ἐπιτεθησόμενοι ed. — P. 201, l. 16 εἰ μὴ π. scripsi; εἰ καὶ π. ed.

ΠΕΡΙ ΜΟΝΑΝΔΡΙΑΣ. — P. 202, l. 9 ἀνέχονται adjecit Savilius. Poterat διώκουσι. — P. 203, l. 16 ἐπεισαγαγοῦσα Eclogæ p. 525; ἐπεισάγουσα ed. — P. 204, l. 10 καὶ οὔτε τοῦ Eclogæ, melius quam ed. οὔτε δὲ τοῦ. Sed paullo post l. 13 eædem σχηματιζομένης pro σχιζομένης, contra mentem Chrysostomi, ut apparet ex loco gemino p. 210, l. 1. — 21 οὐ γὰρ codex meus; οὐδὲ γὰρ ed. Prorsus eodem modo loquitur Chrysostomus supra p. 156, 37, et alibi, ut Theobaldi Fix correctione, σφόδρα γε οὐ μετὰ πολλῆς non sit opus. — P. 205, l. 12 εἶπε (Paulus) postulat series; εἰπὲ ed. — P. 210, l. 12 δευτερογαμῆται ed. Sequentia edidi ut correxit Boisius. Legebatur τίνος ἕνεκεν (; οὐ addit Savil.) τῆς εἰκ. ἴτος καὶ τρ. ἀνηλικιώσας ἐν γ. προτιμήσεις αὐτήν; — 27 sic etiam in Eclogis. Sed rectius erat dixisse quod Savilius proposuit ὡς τῶν ἴσων τευξομένη τῶν αὐτῶν ἄψεται πάλιν; — 31 κερδᾶναι scripsi; κερδάνῃ editi; κερδανεῖ codex. — 32 ὑπομείνοι ed. — 33 εἰκὸς τὴν Savilius; εἰκότως τὴν ed. — 44 ὑπομένουσαι in Eclogis. — P. 211, l. 40 ὑμῖν ed.

De s. Babyla et contra gentiles. — Duos codices habuimus, sæc. XI et XII. In illo titulus: λόγος εἰς τὸν μ. Β. καὶ κατὰ Ἑλλήνων. — P. 212, 15 corrigendum ἀναισχυντῶσιν. — P. 213, l. 21 αὐτῆς scripsi; αὐτοὺς ed. — 37 ἀπάτης ἦν ed.; sed ἦν Savilius recte delevit. — P. 216, l. 41 aliquid excidit. Scribendum videtur ἀλλ' [ἅπαντα] τῆς.— P. 217, l. 6 καὶ πένυ οὗτοι tentavi; omnes καὶ πολλοὶ οὕτως, quod etiam Savilium et Boisium offendebat, quorum transpositiones valde improbabiles. Melius voces οὕτως ἀδασανίστως καὶ ἀνεξετάστως ponerentur post ψυχῇ l. 9, et καὶ πολλοί verteretur in καὶ πολεμοῦσι. — 11 οὔτε γράμμ. ed. — P. 218, l. 26 margo antiquioris mei, pervetusta manu: Νουμεριανὸς οὗτος ἦν ὁ ἐξάγιστος. Alius ap. Montf. idem nomen in margine habet. — P. 219, l. 28 κατεργασθὲν non est hujus loci; an κατειργθέν? — P. 223, l. 24 καὶ τῶν πραγμάτων omittit antiquior meorum. Optime conveniret καὶ τὸ δραστήριον τῶν ῥημάτων ἐν τῇ φύσει τῶν πραγμάτων ἐπιδ. — P. 224, l. 36 πόλιν διοικοῦντας Boisius; πόλιν οἰκοῦντας ed. — P. 225, l. 7 « ἀπέδειξε, scilicet Babylas. » Sic Savilius recte, ut apparet ex l. 16 paginæ seq. — 8 ἐκεῖνος unus codex valde interpolatus ap. Montf.; ceteri omnes ἐκεῖ, cujus contorta est explicatio. — 9 corrigendum περιβαλόμενος. — 18 φθοροί, hoc accentu, antiquior meorum; alter φθορεῖς, ut editi. — P. 227, l. 40 κατ' ἀλλήλων scripsi; ed. κατάλληλον, quod sequenti voci repugnat. — 52 μελλόντων Savilius; μενόντων codd. — P. 231, l. 29 ἐπιστῇ ed. — P. 232, l. 27 ἔθος ἀεὶ τοῖς πλανωμένοις editi et cod. meus recentior, per interpolationem, postquam αὐτῷ post τοιαῦτα exciderat; et desiderabatur αὐτῷ in Savilianis; in ipso antiquiore meo, qui non habet τοῖς πλαν., alia manu additum. — P. 236, l. 50 ὄφλῃ ed.; ὀφλεῖ cod. antiquior, alter ὄφλειν. — P. 237, l. 28 διέφυγεν scripsi, quod sententia postulat; διέφυγον ed. — P. 238, l. 11 inserui ἡμέτερα. Hujusmodi notio excidit. — 25 ἀπίθανα Savilius; πιθανὰ ed. — P. 240, l. 21 Max. οὗτος ἦν haud dubie de margine illata; vide p. 218, 26. — P. 240, l. 45 ἡμῖν in omnibus. — 241, l. 16 ἀφέθη omnes, item p. 255, l. 43 antiqui, et in aliis persæpe, nec mutari debebat. — P. 242, l. 21 seqq. Edita est hæc monodia in operibus Libanii vol. 2, p. 185 seqq. ed. Morell., vol. 3, p. 332 seqq. ed. Reisk., non integra, sed statim ab initio (post τήνδε τὴν πόλιν) notabili lacuna hians, partim expleta infra p. 245, l. 37 seqq. Dubitari non potest quin dudum perdita monodia sophistæ ex Chrysostomi hoc libro fuerit restituta: ita quippe vir sanctus etiam infra p. 248, l. 5: Ὁ μὲν θρῆνος οὗτος, μᾶλλον δὲ ὀλίγα τοῦ θρήνου μέρη. Nihil quicquam tamen in Libanio legitur præter ea quæ posuit Chrysostomus, neque cohæret oratio. — 32, 33 corrige οὔτε ὁπλιτῶν οὔτε ἱππέων, vel οὐχ ὁπλιτῶν, ut ed. Libanii. — 46 Morellius margini adscripsit: « Oscula affixa pedibus idolorum. » Sed hic quis ferat στόμα βασιλέως τῷ ποδὶ δεξάμενος? quæ risum captantis sunt, neque ita dicta Libanio. — P. 243, l. 11 ὦ ληρόσοφε abest ab antiquiore codice, in altero sec. manu insertum. — P. 244, l. 46 an τὰ ἐναντία τοῖς ἐν αἰτίᾳ τίθεσαι? — P. 245, l. 30 καὶ delendum. — 40 Δάφνης, 41 τὸν Ἀπόλλω antiquior cod. — P. 247, l. 22 δίῤῥης ἐν λίθῳ καὶ ταῦτα omnes, in ed. Liban. sine καὶ ταῦτα. « Lego inverso ordine (καὶ ταῦτα ἐν λίθῳ), quod additur vel a Libanio ipso ad majorem excitandam admirationem, vel a Chrysostomo per irrisionem. » *Boistus.* — 29 κυάθου omnes, etiam ed. Liban., cujus generis exemplum non affertur; φιάλης supra p. 245, 20. — 32 δὲ φλῃ ed. Liban. nescio unde; δ' ἐφ' ὕλῃ omnes Chrys. — 35 fort. aliquid excidit. — 37 πτερὰ γὰρ Ἑρμοῦ mei codd. et ed. Lib., sed melius παρ' ap. Montf. et Savil., qui non debebat ex suorum aliquo vel aliquibus addere εἶτα post ζητῶν. — 42 sic recte distinctum in ed. Lib.; vulgo κάλλη, Μουσῶν οἰκιστῶν, Boisius οἰκτίστων. Nisi præstat κάλλη, Μουσῶν [καὶ] οἰκιστῶν. — 44 εἰκῇ scripsi; uterque codex meus ἐν ᾗ, editi vero ὁμοῦ, sine varietate, manifesta quidem interpolatione; omissum in ed. Liban., ubi ὁ δὲ τῶν ἀνδρῶν ὅμιλος, fortasse propter l. 50. — P. 252, l. 6 ἐργάσηται ed. — 12 συμβούλων scripsi, quod μηδενί poscit; συμφορῶν ed. — 13 βελτίους cod. antiquior. — 33 οὔτε ed. — 35 ἀπέκρυψεν omnes. Καχά in animo habebat Chrys. — P. 253, l. 9 duo vocabula ignorant nostri et Morel. — 14 καὶ delendum. — P. 254, l. 3 μέτρου omittit cod. antiquior. — 10 πᾶσιν idem.

De sacerdotio. — Usi sumus codicibus quattuor, tribus sæc. X, uno sæc. XI. In antiquissimo (Reg. 799) titulus est: τοῦ...Χρυσ. πρὸς τὸν ἐγκαλοῦντα ἐπὶ τῷ διαφυγεῖν τὴν ἱερωσύνην ἀπολογητικὸς πρῶτος—δεύτερος etc. — P. 255, l. 15 manifestam glossam προτείνας nullius meorum agnoscit. Proverbiale erat ἄμυον τὸν χεῖρα, in tali

junctura alludens ad homericum ἄμφω χείρι πετάσσας. — P. 257, l. 1 μὲν recte abest ab uno alterove Savilianorum, nullo nostrorum. — P. 259, l. 51 speciose Boisius μεμοχλευμένα βασίλεια, sed vide Orat. III contra Jud. init., p. 606, B ed. Bened. t. I. — P. 260, l. 37 ἀλλὰ καὶ μείζονι unus meorum, bene. — P. 264, l. 33 jocularis est correctio Montacuti Anglicani, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκείνου ἐνεχείριζεν. — P. 265, l. 41 codex unus mire ὄρους pro ἐχθρούς. — P. 266, l. 26 ἄκοντας scripsi; ed. ἅπαντας, jam notatum a Savilio; Boisius perperam κάμνοντας. — P. 267, l. 11 ἁμαρτημάτων nostri tres; παραπτωμάτων unus et editi. Ex antiquis et bonæ notæ codicibus liquido cognoscitur in Chrysostomo correctores id egisse sedulo ut repetitas voces amoverent, in synonyma nonnunquam haud satis apta commutantes. Ejusmodi locos plurimos tacito in integrum restituimus. — P. 268, l. 50 nullius γενοίμεθα ut oportebat. — P. 269, l. 38 τὰ παρὰ ed., proclivi lapsu. — P. 270, l. 25 μαρτυρήσῃς omnes mei; μαρτυρήσεις ed.; μαρτυρῇς margo Savil. — P. 271, l. 30 ἔχει omnes mei; sed τοῦτο addidisset Chrys. — 37 ψηφίσασθαι τοῖς κατηγόροις a quibusdam mss. abesse testatur Savilius; habent mei qui sunt antiquiores. Expressi conjecturam Casauboni; sed melius secludenda significassem quæ omittunt illi Saviliani; videntur enim olim adscripta fuisse voci τοῦτο ad explicandum. — 41 legebatur ἄξιον, τοὺς τιμῆσαι προελομένους ἀφ' ἑαυτῶν πῶς τιμᾶν χρή; Tria vocabula elumbia prorsus ignorant codices mei, optime. Ibidem lacunam ex repetito ἄξιον natam suspicabar, et indicavi, male, nam integra sunt omnia, sic quidem distinguenda : Εἰ γὰρ τὸ τοὺς μηδὲν ἠδικηκότας ἀδικεῖν κολάσεως ἄξιον, τοὺς τιμῆσαι προελομένους ἀφ' ἑαυτῶν — οὐ γὰρ τοῦτο ἔχοι τις ἂν εἰπεῖν, ὅτι εὖ παθόντες ἢ μικρὸν ἢ μέγα παρ' ἐμοῦ τῶν εὐεργεσιῶν ἐκείνων ἐξέτισαν τὰς ἀμοιβάς — πῶς οὖν οὐκ ἂν εἴη τιμωρίας ἄξιον τοῖς ἐναντίοις ἀμείβεσθαι; — P. 275, l. 45 ἐβάσταξεν duo nostri. — P. 276, l. 15 nostri consensu ταύτης τῆς ἐξουσίας, sed alterum non videtur esse correctoris. — P. 277, l. 12 legebatur καὶ ὑπερορᾶν τοσούτων ἀγαθῶν, sine varietatis notatione ulla; quattuor antiqui mei postrema vocabula ignorant. — P. 278, l. 1 πλειονεκτ. in nullo meorum. — P. 279, l. 2 fortasse recipi debebat ex duobus meis ἐνταῦθα δὲ ὅτι, ut sæpe loquitur Chrys. — 10 ὧν ἢ ὄν scripsi. Montf. ὢν ρῦπαρ. Savil. ὤν, uterque sine notatione varietatis. Mei quattuor variant inter ὧν ὄν, ὢν ὤν, ὢν ὡς, unus ἐκείνου ὄν, qui solus habet τῶν Σειρήνων. — 20 extremâ ὀργαὶ ed. ex pessima interpolatione; consensu nostri ὠχαί. — P. 285, l. 30 ἐγνώρισε τοῦτο ed., quod reliqui; exciderat autem verbum in archetypo codicum qui hodie supersunt; nostrorum vetustissimus τοῦτο ἐψηφίσατο, alius τοῦτο εἶδεν, duo et nonnulli ap. Savil. et Montf. τοῦτο ἀνήγγειλεν. — P. 287, l. 44 ἀξίως addidit Boisius. — P. 293 extremâ τὸν μὲν δεῖνα pendet ex προσεῖπε, per hyperbaton Chrysostomo valde consuetum. Expressi enim scripturam optimi meorum. Ceteri omnes interpolati : Savil. et unus Montf. πρὸς τὸν μὲν δ., alii Montf. πρὸς τὸν δ., unus nostrorum πρὸς μὲν τὸν δ., alius δεῖνα μέν φησι δαψ. ἐπιγελάσας φ. — P. 294, l. 13 ἐνέγκῃ ed. — P. 299, l. 6 ἡμᾶς παραιτήσονται nostrorum vetustissimus; ἡμᾶς ἐξαιτήσονται ed., ab iis videlicet qui illud etiam sic dici ignorarent. Ceteri nostri aliter interpolati cum nonnullis ap. Sav. et Montf. exhibent ἡμῖν (unus ἡμᾶς) παραστήσονται. — P. 300, l. 16 recipere debebam ex duobus optimis meorum οὐκ ἀνέξεται ὁ τότε ταῦτα κρίνων ἡμῖν. Etiam Savil. ἡμῖν ex suis. — P. 301, l. 27. « Αὐτοῦ, scilicet σώματος, quum dixisset σαρκός. » *Savil.* — P. 302, l. 25 utrumque vocabulum ex hoc loco attulerant vetera lexica ante H. Steph.; ap. Savil. ναυμάχον καὶ τειχομάχον, ut unus meorum; ceteri cum Savilianis nonnullis — μάχην et — μαχεῖν. — P. 310, l. 20 ap. Savil. μᾶλλον, διὰ τούτων, sine var. Præpositio in nullo nostrorum, nec in ed. Bened.; male distinguitur post τούτων, quod pendet ab ὠνούμενος. — 53 corrigendum erat ὦσιν. — P. 311, l. 20 pro inepto ἐκκλίνειν Boisius ἐκλύσθαι, collato loco simili p. 313, 29 : τὰς ἀνοήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχὴ ἐκλύεται. Sed optimi duo ex nostris ignorant vocabula uncis inclusa, a glossatoribus, ut videtur, apposita verbis ἀνιᾶσθαι et ἀλύειν, quod nostri omnes præbent pro ἀλγεῖν ed. — 48 scribere debebam θαυμαστὰ καὶ ἐκπληκτικά. Alterum in omnibus. — P. 314, l. 38 θηρῶνται dubitari potest an sit Chrysostomi. — P. 317, l. 41 lacunam notavi, sed secludendæ potius erant voces ἐπιστασία διδασκάλου διηνεκής quæ mirum nisi fuerint a diligenti lectore in margine adscripta sequentibus l. 45 seqq., deinde in seriem illata. Montacutius ὅπερ mutabat in ἔστι δέ. — P. 325, l. 45 ὑπὸ τοῖς nostri et Montf.; sed ὑπογείρια Savil. ex suis. —

P. 326, l. 8 corrigendum erat ἀπρόσιτος, etiam sine duobus nostris qui præbent. — 54 ὅση ἦν de conjectura posui. Optimi mei duo συλλέγειν μόνην. Ed. συλλέγειν μόνον. Alii codd. σὺ δὲ... σύλλεγε μόνον, al. συλλεγομένην ὅρα, sine ἐνεστι. — P. 327, l. 28 πλάτη Boisius pro πλήθη ed. Pro καλυπτέτωσαν quod præcedit nostri omnes consensu καλυπτέτω, et sic haud dubie multi alii, non memorati quia vitiosum judicabatur. — 30 iidem ἐκεῖθεν ἀντιπεμπομένας : tam temere librarii repetunt præpositiones. — P. 329, l. 5 ἀναπαισθήτους ed.

Homiliæ de statuis. — Sex codices antiquos sæc. X et XI vel contulimus vel inspeximus; vetustiorem tamen interpolationem aut correctionem nonnunquam arguebant Eclogæ diligenter a nobis relectæ. At has quoque videbis turpibus jam tum assumentis inquinatos codices excerpsisse. Ceterum non pauca, quæ ab antiquis libris omnibus recte absunt, servavi uncis circumdata, ut constet ne ab uberrimo quidem et limpidissimo scriptore abstinuisse græculos byzantinos. — P. 331, l. 44, εὐσύνοπτον εἰπεῖν. Similiter Hom. 9, p. 433, 10 : φωνὴν ἀφίησι...πᾶσιν ἁπλῶς ἀνθρώποις εὐσύνοπτον. — P. 332, l. 16 ἀλλὰ μεγ. ed. Addidi ἀεί. Sic p. seq. l. 8, 9 nonnulli meorum ἀλλὰ διηνεκῶς sine ἀεί. — P. 337, l. 35-38, 41-44 indicavi absurde illata a græculis. — 43 πληροῦσαι ed., quod non tanti erat mutare. — P. 338, l. 3 τι ποιεῖν mirum si sit integrum. — P. 339, l. 9 αὐτῶν omnes, sed delendum. — 17 Μίμησαι Παῦλον καὶ ζήλωσον Πέτρον ed., quum antiqui omnes bis exhibeant ζήλωσον. Sic sexcentis in locis suam videlicet copiam et elegantiam largiti sunt Chrysostomo. — P. 340, l. 13 ὃ οἱ scripsi; λέγῃς, ὅτι οἱ ed. — 17 ἐσαφήνισεν imprudens sumpsi a Savilio; ἀπέδειξεν Montf. et nostri omnes, quod reducendum. Nulla annotata varietate Savil. edidit : καὶ τοῦτο σκόπει σαφῶς (pro πῶς)· διὰ τούτων ἐσαφήνισεν ὁ Π. — 30 ad 43, vix dubitandum quin horum prope dimidiam partem aliena manus addiderit et sua cum chrysostomicis contaminaverit. — P. 341, l. 48 τῇ τῶν δεινῶν εὐψυχίᾳ omnes consensu. — P. 342, l. 34 καρτερότητι scripsi; ed. καρτερίᾳ, sed antiqui codicum καθαρότητι. — P. 343, l. 6 ἑτέροις boni codd. omnes : ἑτέραν ed. Neutrum satis intelligo. Cogitabam ἑαυτοῖς, scil. ἡμῖν αὐτοῖς. — 41 κακουχούμενον in Eclogis, sed infra 53 κακούμενον in iisdem. — P. 346, l. 8 ἠλέει· ὅτε, sic quinque nostri, integre. Vulgati interpolant κατανόησον ὅτι (sic Bened.), apud Savilium σκόπει ἐντεῦθεν, in Eclogis ἄκουσον ὅτι. Unde bonitas nostrorum apparet. — 53 αὐτοὺς præter codices etiam Eclogæ habent; nihilominus delendum vel hoc vel ἐκείνους. — P. 347, l. 54 ὑπόθεσις ignorant Eclogæ cum nostris, quorum duo ἀφορμῆς pro ἀμοιβῆς, Eclogæ ἀπολαύσεως. — P. 348, l. 1, 2 Μὴ δὴ καταπίσῃς τῇ προθυμίᾳ, μηδὲ ἀκν. Eclogæ, et hoc esse Chrysostomi videtur. — P. 351, l. 2 ad 8, Δότε μοι... ἔλεεινότερον νῦν, sunt interpolatoris quem jam novimus; variavit sequentia l. 18 ad 24. — P. 354, l. 33 μετὰ τοῦτο Savilius; μετὰ ταῦτα ed. — 44, 45 ἀφ' ἑαυτοῦ nostri; ἀπ' ἐμαυτοῦ ed. Deinde τὸν Θεὸν τὰ μέλλοντα προειδότα Montacutius; τοῦ Θεοῦ τὰ μ. προειδότος ed. — P. 355, l. 6 ὀλέθριοι ed. — P. 358, l. 51, 52 verba ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς aliena sunt ab hoc loco et haud dubie insititia. — P. 359, l. 2, 3 verba πολέμιός ἐστιν ὁμόσκηνος, ἐχθρὸς σύνοικος item insititia et delenda. — 12 ad 14 verba οὐχὶ δὲ τηρῆσαι usque ad ἁρπάζει apertior etiam fraus; ocyus delenda sunt. — P. 360, l. 13 προσεπιγινόμενα probabiliter Savilius. — 26 τὴν κτῆσιν recte addidit Montacutius. Jam omissum in Eclogis, quæ sic mutant p. 504, E :... παραχωρήσομεν αὐτὸν ἑτέροις, τὴν χρῆσιν μὲν καρπωσάμενοι καὶ μόνον, τὴν δεσποτείαν δὲ οὔ, ἀλλὰ γυμνοὶ καὶ ἔρ. etc. — P. 361, l. 25 τῆς ἑτέρων δαψιλείας duo codd., τῆς ἑτέρων σωτηρίας Eclogæ. — 50 ᾧ Savilius; ὃ ed. — P. 362, l. 41 σπώσης unus ex optimis pro ποιούσης. — P. 363, l. 41, 42 διαπτύωμεν temere sumpsi ex Savilio. Recte omnes nostri et Montf. : Μὴ τοίνυν κακίζωμεν πόνον, μηδὲ κακίζωμεν ἐργασίαν. — 51 seq., θησαυρὸς ἄσυλος, βακτηρία ἰσχυροτάτη, κτῆσις ἀνεπηρέαστος, καταγώγιον ἀνεπιβούλευτον insititia sunt. Hoc genus prorsus præter morem Chrysostomi. — P. 365, l. 6, 17 hic quoque ἀκαταγώνιστον καταγώγιον καὶ πύργος ἀσάλευτος noli chrysostomica habere. Immo etiam sequentia, Ἐδείξατο καθάπερ μεγίστην κληρονομίαν usque ad κάτω Ἠλίας l. 11 sunt interpolatoris, Chrysostomi illis l. 3, οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν μηλωτὴν τῷ μαθητῇ κατέλιπε, ad proprium periculum faciendum abrepti. Quod verbo indicasse satis est. — P. 367, l. 13 ἡ τόλμη καὶ ed. Delevi H, quod toties ingruit post N. Savilius [ἀλλ'] ἡ τόλμη. — 28 ad 32, indicavi emblema manifestissimum. Conf. pag. seq. initium. — P. 370, l. 34 πολλὴν ἐπίδειξαι τὴν ἐμπειρίαν ed., quod sine magna of-

fensione legas; sed mire variant *antiqui* codices, ex hibentes alii καὶ νῦν ἐπίδ. τὴν ἐμπ., alii ἐπίδειξαι καὶ νῦν τὴν ἐμπειρίαν, duo ἐμπορίαν, omnes ignorant πολλήν, quod ne dubita esse a correctore illatum, propter seq. τὴν ἐμπειρίαν. Post διάσωσον τὸ σκάφος aptissimum est ἐπίδειξαι τὴν ἐμπορίαν, quod verum existimo; restat ut voculæ καὶ νῦν sanentur. — P. 371, l. 10 debebat παροφθῇ. — P. 372, l. 40 παιδευόμενοι ignorant duo de meis, ut infinitivus ex νηστεύειν pendent; et sic voluit Chrysostomus, quippe subjungens τροφὴ γὰρ ὀφθαλμῶν θεωρία. — P. 373, l. 7 τὴν πονηρὰν ὑπόληψιν ἔτρωσας ed. nulla annotata varietate nec vitium suspicati; aliam prorsus significationem vocis ὑπόληψιν poscunt sequentia; nimirum correctoris est τὴν πονηράν, quod quattuor optimi rectissime ignorant. — 52 pro κακῶς λεγομένους ἑτέρους Eclogæ διαλεγομένων ἑτέρων. — P. 374, l. 13 πολυπραγμονῶμεν, sic Savil. ex suis: φιλοπραγμονῶμεν ed. et nostri. Eclogæ: λαμβάνοντες, οὕτως τὰ ἀλλότρια πολυπραγμονῶμεν. καὶ περιεργαζώμεθα, ut infra p. 375, 2. — 35 τῷ εἰρηκότι Montacutius; τοῖς εἰρηκόσι ed. — P. 378, l. 33 διακεισώμεθα ed.; unus διακείμεθα. — P. 379, l. 32 παραδόντες de conj. scripsi. Omnes παραδοῦναι, tres omisso ταύτης. Duo nostrorum, ut ap. Savil. legitur, πάντως πρὸς τῷ σὺν ἀσφαλείᾳ τῆς καλῆς συνηθείας παραδοῦναι τὴν φ., quod ferri non potest; corrector antiquus πρὸς τῷ addiderit propter inf. παραδοῦναι. — P. 384, 36 seqq. usque ad p. 387, 21, multa sunt interpolatoris et simillima nugis tot spuriarum orationum; genuina nonnulla fortasse abripuit, certe ἐθόλωσεν ingruens hic fluctus. Memorabile autem manifestissima quæ notavimus assumenta etiam in Eclogis antiquis legi, p. 466, A. — 38, 39 τοὺς παῖδας et οἱ παῖδες Savilius in margine ex uno alterove codicum suorum. Ed., nostri et Eclogæ τοὺς πόδας et οἱ πόδες, quod ineptum nimis. — P. 385, 5 ἠπατήθη ed. et Eclogæ; sed vetus Interpres *Neque vi sua privatus est*, ut ἐπατήθη invenisse videatur. — 11 διιχθῇ additum ex Eclogis, quæ l. 14 recte ignorant στρατιώτας. Inde ab l. 16 sententiæ sunt chrysostomicæ et ex parte ipsa oratio. — P. 393, l. 2 ἀπόλαυσιν omnes præter duos qui ἀπόλυσιν. Nimirum ἀπόδυσιν scripserat Chrys. Pessime nonnulli codd. ἀμελεῖς pro μέλλεις. — P. 394, l. 46, 47 δικαίως ἂν μᾶλλον ἔλοιτο Eclogæ. — P. 395, l. 28 delendum αὐτῶν, haud dubia dittographia. — P. 398, l. 45, 46 Νινευὴ codd. fortasse omnes. — P. 402, l. 34 γὰρ ex Eclogis inserui. — 37 διορθώσαντας eædem et tres codd.; διορθωθέντας ed. — P. 403, l. 45 μὲν οὖν Eclogæ recte; μὲν γὰρ ed. — P. 407, l. 36-40 interpolationem notavi. — P. 409, l. 41 κωλύοντες non videtur sanum. — P. 411, l. 50 ἁμαρτήματα librariorum lapsus (ob præcedens ἁμαρτημάτων) pro τὰ κακά vel simili. — P. 412, l. 2. Hinc usque ad pag. 414, l. 12, interpolata multa, quorum partes etiam in Eclogis. Notavi manifestiora. — 48 ἀπὸ τοῦ Eclogæ. — P. 415, l. 48 interpolationem novitiam prodit οἶκοι et τοῖς εἰς τὴν οἰκίαν. Chrys. scripserat: Ἀπιὼν τοίνυν ἐντεῦθεν, καθάπερ πολλοὶ πολλάκις etc. — P. 419, l. 13 δέχεται τὴν μεταβολήν ed. Omnes nostri ἐπιβολήν. Scripsi igitur ἀποβολήν. — P. 422, l. 23 ἀναγνοίημεν habent codd.; ἀναγνῶμεν ed., eædemque mox ἀναπτύξωμεν, in quo consentiunt codd.; Savil. ἀναπτύξομεν. — P. 423, l. 11 lacunam notavi. — P. 425, l. 43 seqq. καίτοι πορφυρίδα κτλ., jam hic aliqua commisit interpolator cujus sunt l. 47 et quæ sequuntur. Hæc quoque interpolata partim leguntur in Eclogis. Ceterum cum his: οὕτω κατιξανέστη τοῦ βασιλέως, satis apte jungantur p. 426, l. 6: οὐ γὰρ δὴ ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως. — P. 426, l. 13 ὅταν τὰ ἔνδον ἐν πενίᾳ τοσαύτῃ ᾖ in Eclogis. Neque hæc, ab lin. 6, prorsus integra sunt et qualia Chrys. scripsit; l. 25 autem, Ὁ λέων φθέγγεται κτλ. usque ad l. 33 δυνάμεων, omnia si tribuas interpolatori, minime intercedam. — P. 428, l. 36 egregie nostri codd. σὺ δὲ ὁ τὸ Πίστευσον, sine ullo vestigio glossæ ἐπὶ πᾶσι λέγων. Quod integritatis indicium manifestissimum præterire nolui. — P. 429, l. 31-33. Depravatum hoc homiliæ initium referri videtur ad illa homiliæ quintæ (p. 404, 26): Εἴθε μοι δυνατὸν ἦν ὑμῖν συγγίνεσθαι, et quæ sequuntur. Λέγω non habent codd. mei; l. 32, 33 addidi εἶην, εἰμί, delenda significans δὴ καί, ut sententia certe appareat aliqua. — P. 430, l. 53 omnes συμμιγίσθω. — P. 431, l. 14 πίνουσι γὰρ ed.; πίνουσιν tres codd. sine γάρ. Oportebat πίνουσι δέ. — P. 433, l. 7 ἀναβλέψας εἰς τὸν οὐρανὸν ἀρχοῦσαν λήψεται διδασκαλίαν πρὸς τὴν θέαν: sic tres optimi codd., quos sequi præstabat; eleganter dictum ob ambiguitatis speciem, ut videtur, abiit in ἀπὸ τῆς θεωρίας. — 40 θαυμάσεις omnes. — P. 434, l. 37 corrigendum ἐποίησε γενέσθαι, pro ἐγγενέσθαι, quod est in omnibus, sed aperte vitiosum. —

P. 437, l. 5 seqq. Quattuor optimi τοσαύτην δὲ (non μὲν) ὡρῶν εὐταξίαν, τοσαύτην δὲ ἡμέρας καὶ νυκτὸς συμφωνίαν, accusativo, ut excidisse quædam videantur post βοτανῶν l. 8 : ** ἀλλὰ πάντα] δόξῃ βαδίζει etc. — 42 addidi γε. Debebam fortasse γοῦν. — P. 441, l. 3 addidi πρὸς τὸ ἕτερον. — P. 442, l. 17 συναρθέντος scripsi; vide Thesaur. p. 1190, A. Codd. plerique et Montf. συναιριθέντος, unus συνειριθέντος, alius συνειρανισθέντος. Ed. Savil. ἀρθέντος. — 37 notavi glossam. Etiam τοὺς πορφυρίζοντας στρουθούς l. 40 vix dubito quin sit alienum a Chrys. — P. 443, l. 18 χορκόνιλον (sic) duo codd. — P. 445, l. 9, 10. Locum in ed. longa glossa oneratum ex optimis meis dedi sincerum. — 18 ἀσθένειαν ipsam referre sententiam Chrysostomi, apparet ex ultimis paginæ præcedentis et ex § 5 initio. At in parenthesi habes ἀμετρίαν, quod, præter leviora, indicio est hæc quoque ab interpolatore fuisse illata. — 47 ἀρχεσθησόμεθα in nullo exstat codicum quos vidimus; tres absurde διδώκαμεν pro δόντες. Scribe : δόντες· εἰ γὰρ etc. — P. 447, l. 13 οὗτος δὲ οὐδὲ ἀπὸ μιᾶς tres codd. — P. 449, l. 48 seqq. Hinc quædam affert S. Nicephorus Constantinopol., ex *decima*, inquit, *Statuarum*. — P. 450, l. 36 corrigendum videtur ἕνα καὶ τοῦτον. — P. 451, l. 36 μὲν γάρ τι καὶ συντελεῖ tres meorum et S. Nicephorus, qui hæc apposuit; μὲν γὰρ καὶ συντελεῖ τι ed. — P. 453, l. 38 mire pro διαλάμπει tres boni codd. κατὰ πάντα, quasi καταπαντᾷ, quod verbum alibi non inventum. — P. 455, l. 4 ἐν delendum. — P. 461, l. 44 κατ' delendum, ut alia similiter notata. — P. 462, l. 37 tres codd. προαγορεύσει. — P. 463, l. 35 ἀδελφοκτονίας ἡ meliores; γὰρ ἡ ed.; δὲ ἡ quattuor codd. — 36 addidi ὄν. — P. 469, l. 15 et 26 scripsi αὐταῖς pro αὐτοῖς. — P. 473, l. 3 delendum est καί. Vetus interpres latinus de suo videtur addidisse *delectari*. — P. 474, l. 15 μὴ διορθώσαντες Eclogæ. Unus κατορθώσαντες. Deinde διαφθεροῦσιν Eclogæ solæ; codd. omnes διαφθείρουσιν. — 25 κάθοσίωσις, in duobus antiquissimis cum glossa : ἤγουν δικαίωσις, κατάκρισις. — P. 477, l. 20 κἂν ὁτιοῦν Eclogæ solæ; κἂν ὅ τι ἂν ed. — P. 478, l. 9 omnes ἵνα μὴ τοῦτο μόνον, quod corrigendum erat. — 22 καὶ κατακοπέντας στρατιώτας omnes ut videtur Montefalconii, mei certe omnes et ipsæ Eclogæ. Mire igitur ap. Savilium sine varietate annotata : καὶ κάματον πολὺν ὑπομείναντας. Illud quidem nimis ambigue dictum esse non immerito cuiquam videatur. — 26 οὖν καὶ τὸ περὶ Eclogæ, quod jam præplacet. — P. 479, l. 8 τοῦ ἀγροῦ Biblia et Savil.; sed omnes nostri et Eclogæ τοῦ λαοῦ, quod mutari non debebat. — 45 ὤθησεν ὁ πονηρὸς Eclogæ. — P. 481, l. 46 delendum καί. — P. 482, l. 4 intellige πτερὰ in formidinibus. — P. 483, l. 32 μικροῦ μέλιτος Eclogæ; μικρὸν μέλιτος duo codd. — P. 484, l. 26 verba ὑπὸ τοῦ ὄήμου διελύθη in uno meorum inserta ab antiquo correctore. In optimis omnibus præcedentia δεύτερος καὶ τρίτος usque ad τοῦ παιδός exciderunt ob ὁμοιοτέλευτον, neque dubium est hæc aliter scripta fuisse a Chrysostomo, post tale initium : παρεβάθη πρότερον ὁ ὅρκος. — P. 485, l. 46 αἰτησόμεθα Eclogæ solæ; αἰτήσομεν ed. — P. 487, l. 41 κομιῶνται Eclogæ, quod scripsisse videtur Chrysostomus, sed mutarint ob præsentia quæ sequuntur. — P. 488, l. 22 omnes καὶ ἀγοραί. Solus vetus interpres latinus *plateæ*. — 489, l. 52 καὶ delendum esse significavi; sed melius fortasse scribetur ἐλαττόνων (pro ἔλαττον). — P. 492, l. 3 τοίνυν ex l. 5 irrepsit. — P. 495, l. 2 παρανομίας Eclogæ, et l. 4 eædem : αὐτὸν σύμμαχον λαβὼν χειλιόσι σφαγία γενέσθαι. — P. 501, l. 47 ἀποπηδᾷ. Exspectes ἀποπηδήσεται. — P. 502, l. 2 οὐκ ἀνανεώθη iterum quinque codices, in quibus optimi, non ἀνεκαινίσθη, quod ab iis profectum qui varietate ornare volebant orationem chrysostomicam : quam rem quum certis documentis cognovissem, illud reducere debebam. — P. 504, l. 23 scribendum ἀποπηδήσει vel ἀποπηδήσῃ, ut modo p. 502, 8. — 39 τὸν Φῆστον per lapsum Chrysostomi pro *Agrippa*, ut in Homilia XIV Abessalom pro Jonathan, in Hom. XVII Moses pro Salomon. — P. 509, l. 5 Εἰ γὰρ μία τῶν apud Savilium; ὅτι addidit Theobaldus Fix. Sic sententia procedit, sed mire nostri omnes εἰ γὰρ ἵνα μία, sequentibus conjunctivis κατάσχῃ et συνεισέλθῃ. — 13 haud dubie scribendum οὐδὲν [ἦν] θαυμαστόν. — P. 511, l. 40 τῇ παῤῥησίᾳ corrector in uno cod. — P. 515, l. 27 εὐχὰς glossa in omnibus nostris legitur, sed abest ab uno alterove Savilii. — P. 517, l. 24 corrigendum διατεθῇ. — P. 520, l. 33 insignis interpolatio legitur ap. Savilium p. 584, 25. — 52 ἐκ τοῦ πένθους (pro κέρδους) Savil. et duo nostri, a correctore haud sane acuto. — P. 524, l. 6 omnes κἂν συμβαίη. — 22 ἂν addidi. — 35 unus codicum ubique ἀλουτία. — P. 525, l. 44 delendum videtur ἰδίαν. — P. 526, l. 37 τὴν διὰ τῶν δογμ., m. sec. in uno

meorum διὰ delevit. — P. 529, l. 20 τὴν κιβωτὸν τῶν ἁγίων quinque codices nostri et Saviliani aliquot, sed mox iterum καὶ κιβωτὸς καὶ πλάκες διαθήκης. Fortasse ἡ τὰ ἅγια τῶν ἁγίων ἔχουσα. Qui statuere volet de hoc loco, ei conferenda omnino Hom. XVII, p. 513, l. 19 seqq. — P. 537, l. 18 οὐδὲ ἐπηρεασμένος Eclogæ. — 22 Ἀνομίας γὰρ eædem. — P. 538, l. 3 μὲν ortum esse puto ex μόνον, varietate vocis ὅλως. — 28 ἀτοπίας Eclogæ, optime; ἁμαρτίας codd. omnes. — P. 542, l. 2 aptius νομίσουσι vel νομιοῦσι. — P. 543, 25 πρότερος optime abest ab uno meorum. Ceterum omnes consensu ἀπελθεῖν, nullus ἐπελθεῖν, quod est ap. Montef. — P. 544, l. 27 leg. μηδὲ ῥᾳθ. — P. 545, l. 41 οὐχ ὡς δεσπότης ἐπέταξα, ἀλλ' ὡς φίλῳ χάριν ᾔτησα, in his attractionis speciem quædam observanda, ni fallor, non φίλον corrigendum. — P. 546, l. 19 scripsi πρὸς τὴν τῷ (omnes τῶν) πλησίον συγχώρησιν. — P. 548, l. 12 malim πολυορκότατον ἀνθρώπων καὶ [τὰ] πλείονα ὁμν. — P. 549, l. 9 ἀποστησόμεθα ποτέ scribendum, nisi aliqua exciderunt. — 19 οὐδέ excidit ob δέ, sed sequentia sunt interpolatoris. — P. 550, l. 14 corrige βρυχώμενοι. — P. 551, l. 40 οὗ ed., ᾧ aliquot codd., nullus οἵ. — P. 554, l. 12 οὔτε ed. — P. 556, l. 13 ὡς μηδεμίαν scripsi; καὶ μηδ. ed., deinde codices alii ἐάσῃς δοῦναι (sic Savil. sine var.), alii ἀφῇς δοῦναι, alii ἀπαιτήσῃς sine δοῦναι. Nimirum ὡς in καί depravato, requirebatur verbum, quod ipsa varietas suppletum fuisse ostendit : quare delevi. — P. 562. *Catecheses duas* non esse omittendas putavimus, quod altera in omnibus habetur Ἀνδριάντων codicibus. In ea Chrysostomus memorat aliam, decem ante diebus habitam, haud dubie hanc primam, cujus codicem nullum habuimus. — P. 565, l. 26, 27 lacuna in codice a Savilio expleta. — 36 sic Savilius; cod. τῆς ψυχῆς π. ἐντεθεῖσαν. — P. 567, l. 14, 15 ὅτι δὲ τὰ σκεύη τοῦ κεραμέως οὐκ ἔστιν cod. Savil. τὰ δὲ σκεύη τοῦ. Ego ὅτι transposui. — 17 πρότερον Savilius; δεύτερον cod. — P. 568, l. 29 σπουδῆς repetendum putavi. — P. 569, l. 2, 3. Dubia horum emendatio; fort. ἀκόνησον αὐτὴν κατὰ τῶν ἁμαρτημάτων τῶν σῶν, quibus in margine adscriptum fuerit : (περὶ) τῆς τῶν ἁμαρτημάτων κατηγορίας. — 8 καὶ, et 10 καὶ ποιήσας expungenda. — 27 δυναμένους ed., aperto vitio. — 28 προσεμβαλεῖν Savilius; προεμβαλεῖν cod. Equidem malim προβάλλειν. — 45 ὄμνυσι Savilius addidit post συζῶν. — P. 570, l. 15 ἀσφ. Savil,; τὸ ἀσφ. cod. — 26 fort. χαλεπὸν [ὂν] χρὴ δ. — P. 571, l. 22 addidi Ἂν. Alterutrum enim oportebat, aut hoc, aut οὕτω post τούτοις, l. 26. — *Altera Catechesis* in omnibus codicibus est ultima Homilia de statuis, sed a S. Nicephoro Constantinopolitano citatur ut « *duodecima* ἀνδριάντων », folio 344 codicis antiquissimi et splendidissimi in bibl. Parisina. — P. 575, l. 27 ἐπάγειν Niceph. — 28 ἀντεγγράφουσι Niceph., ubi multi Chrysostomici ἀντιγράφουσι, sed l. 31 ille ἀντιγράψαι, Chrysostomici ut editur. — 29 διορθοῦνται Niceph. — P. 581, 10 ὅπως scripsi; ἵνα ed., sed quinque codd., in quibus optimi, πῶς. Iidem in fine φιλοῦμεν, et pars ἀποστρεφόμεθα, ἀσπαζόμεθα, nam indicativos poscebat quod librarii exaraverant πῶς.

S. JOANNIS CHRYSOSTOMI

OPERA SELECTA

QUÆ IN HOC VOLUMINE CONTINENTUR.

I.

ADVERSUS OPPUGNATORES VITÆ MONASTICÆ LIBRI TRES. — Valens Imperator, Arianorum hæresi deditus et Catholicis infensus, anno 375 monaches omnes sedibus pelli et in militiam conscribi jussit. Quod quum Chrysostomus, qui tum agebat annum duodetricesimum, in secessu didicisset, amici rogatu hos libros composuit. In primo docet quantum sibi periculi attrahant qui sanctos et Dei amicos oppugnant; non piis enim viris, sed sibimetipsis maxime nocere; id quod confirmat exemplo Judæorum, qui quod Christum morte affecerant Apostolosque vexarant, in eas calamitates inciderunt quas Josephus commemorat. Deinde monasteriorum in tanta vitæ corruptione necessitatem deplorat et quantis se periculis eximant qui in montes secedunt, exponit.

In secundo libro patrem *infidelem* sive nondum credentem in Christum alloquitur, cujus filium christianam religionem amplexatum ex urbe recessisse monachorumque vitam suscepisse fingit; et humanis ratiociniis et exemplis veterum Græcorum probat, eum qui omnia despicit, vere divitem esse, virtuteque sua clariorem effici quam efficeretur maximis opibus, denique a nemine posse lædi. In fine narrat amicum sibi fuisse ethnici hominis filium, christianam philosophiam amplexum, invito patre; quem minis, vinculis et ærumnis aliis ad priorem vitam revocare conatum, eo tandem constantia sua adduxisse, ut errorem agnosceret et hunc filium non anteferret modo ceteris, sed patris loco haberet.

In tertio libro longa oratione patrem *fidelem* sive christianum alloquitur, monens ne filium in montes secedere volentem a sententia deducat; deinde insectatur parentes qui filiorum salutis curam non habent, et quanta morum corruptio civitatem invaserit, eloquentissime describit : vix ac ne vix quidem posse salutem curari in tanta vitiorum colluvie. Hinc monachorum vitam laudat et memorabilem historiam affert juvenis a solitario homine in ipsa urbe educati.

II.

DE VIRGINITATE sive cælibe vita. — Nescitur quo tempore scriptus sit liber præstantissimus, fortasse non prorsus ad finem perductus. — Argumenta singulis capitibus præposita.

III et IV.

ADVERSUS EOS QUI APUD SE HABENT VIRGINES SUBINTRODUCTAS (συνεισάκτους). QUOD REGULARES (κανονικαί) FEMINÆ VIRIS COHABITARE NON DEBEANT. — Palladio teste, non multo postquam Episcopus ordinatus fuerat, Chrysostomus eximias has orationes scripsit, ut hominum strictæ religioni addictorum morem quemdam absurdissimum eradicaret. Nimirum cælibem et sanctam vitam amplexi viri virgines domi suæ habebant, custodes sese earum ferentes ac veluti tutores; feminæ autem quæ virginitati se obstrixerant, viris cohabitabant qui bonorum illis et vitæ neces-

sariorum curam agerent, ne ipsæ a salutis negotio avocarentur. Ex tali contubernio quanta pericula, quot scandala, quæ pernicies nascatur, acute et graphice exponit orator, simul quæ vera sit virginitas ostendens : illa vero conditione meliorem esse et sinceriorem lenonum vitam et meretricum.

V.

Ad viduam juniorem (εἰς νεωτέραν χηρεύσασαν) tractatus. — Therasius, vir inter primarios sui temporis conspicuus, genere et facultatibus insignis, quem spes erat ad præfecturam prætorii perventurum esse, ad hæc probitate, modestia, pietate ornatus, in ipso ætatis flore diem obiit supremum, postquam quinque tantum annos cum uxore egerat. Quam ut consolaretur, Chrysostomus egregium hunc librum scripsit anno fere 380. Primo singularem, qua Deus viduas prosequitur, curam ob oculos ponit : iis ipsum jam esse loco viri. Deinde honestæ viduitatis dignitatem ex Pauli verbis deprædicat, et gaudendum esse de proborum obitu demonstrat. Postea humanæ vitæ volubilitatem ut ostendat, exemplum affert insignium aliquot virorum, qui ad majorem evecti dignitatem, præcipiti violentaque morte sublati sunt. Neque his beatiores esse ipsos imperatores et imperatorum uxores, sed acerbissimis calamitatibus (quas narrat) plurimos misere occubuisse : quarum nihil jam cadere in viduam Therasii.

VI.

De non iterando conjugio oratio. — Eloquenter exponit secundas nuptias feminarum minime quidem culpandas, sed laudandas non esse et aliquam incontinentiæ notam præ se ferre. — In manuscriptis codicibus inscribitur πρὸς τὴν αὐτὴν (ad Therasii viduam) περὶ μονανδρίας, per errorem, ut videtur, quum de omnibus perinde viduabus et verbo et re agatur, nec quicquam ad Therasii illam proprie spectet.

VII.

In sanctum Babylam, contra Julianum et adversus gentiles libri. — Philosophiæ christianæ monumentum insigne, quo divinitas nostræ religionis et disciplinæ, polytheismi autem mendacissima vanitas rebus et argumentis disertissime demonstratur. Hoc quoque opus in diaconatu composuisse videtur Chrysostomus, certe ante annum 386, ab iis quæ ante oculos et in ore erant Antiochenorum occasione sumpta. Quis non novit Daphnes suburbii lucos, templa, delicias, luxuriæ omnis incitamenta? Quæ ut refrænarentur, Gallus Cæsar sancti Babylæ martyris, Antiochiæ episcopi in Deciana persecutione occisi, ossa ex urbe Daphnen transportanda et sacrarium in celebri loco struendum curavit. Julianus autem, Daphnæi Apollinis cultum et oraculum instauraturus, anno 362, quum ex sacerdotibus dei quæreret quare ex tanto tempore obticuerit oraculum, responsum accepit : *Ob mortuorum propinquitatem.* Hoc ad unum Babylam traxit Imperator, ejusque ossa auferri et in urbem reportari jussit. Verum paullo post cœlo tactum Apollinis templum flagravit et corruit, præter unam columnam, quæ stabat ruinæ monumentum. Hæc, et ipsius Babylæ martyrium, qui Imperatorem Romanum ob regii pueri obsidis cædem ab ecclesiæ limine arcuerat, vivide Chrysostomus et eloquenter narrat et de singulis quibusque eximie philosophatur; deinde Libanii sophistæ monodiam, Apollinis et deorum incuriam deflentis, apponit et salse exagitat; denique insani Apostatæ miseram mortem pingit.

VIII.

De sacerdotio libri VI. — « Eximii operis argumentum hoc est. Basilius, inter amicos juvenis Chrysostomi præcipuus, iisdem atque ille magistris, iisdem disciplinis operam dedit; par erat utriusque animus, par generis conditio; unum circa vitæ rationem propositum, amicitiæ vinculo

opportunum. Quum vero proximum esset ut Basilius vitam monasticam amplecteretur, tunc Chrysostomus foro scenæque addictus studia in contraria declinabat. Basilius vero, qui Chrysostomi amicitiam et contubernium magni faciebat, hoc denique ab eo impetravit, ut domo uterque sua relicta commune domicilium incolerent. Hæc consilia ubi primum sensit Chrysostomi mater, filium, ne se deserat, enixe hortatur; dumque ipsi a pristina sententia pæne deducto instat Basilius, eadem quæ prius efflagitans, ecce fama undique percrebuit utrumque in episcopalem dignitatem promovendum esse. Hoc perculsi ambo rumore longe dissimile consilium ineunt : Basilius totum rei judicium permittit amico, in utrumque paratus, sive consentiendum sive fugiendum esset; Chrysostomus vero, qui se tanto honore prorsus indignum, amicum autem dignissimum censebat, ne tam idoneo ministro Ecclesiam Dei privaret, pia usus arte, nihil urgere dixit, sed hac de re postea suo tempore deliberandum esse : ea scilicet mente, ut incautus Basilius caperetur et episcopalem ordinem vel invitus acciperet, ipse vero interim sese occultavit. Ac res ex voto illi cessit; captus enim Basilius, etsi diu reluctatus, ordinatus tamen est. Hinc querelæ Basilii apud Chrysostomum, et responsiones Chrysostomi, quibus totum opus dialogi more seritur. In eo autem de dignitate et officio sacerdotum tam eloquenter et tam auguste dicit sanctus Doctor, ut hic liber omnibus semper admirationi fuerit. — Res ipsa (quam temere nonnulli fictam esse sibi persuaserunt) accidit ante annum 375, quo cum tardissime in solitudinem se contulisse Chrysostomum scimus; scripti autem et editi sunt hi libri, si Socratem audias, in diaconatu, id est annis inte- 381 et 386 labentibus; Palladius autem inter ea scripta recensuisse videtur, quæ Chrysostomus in secessu composuit, annis 375 ad 381. Denique synodo Constantinopolitanæ anno 381 subscripsisse reperitur *Basilius episcopus Raphanex*, Syriæ oppidi prope Antiochiam siti; quem ipsum esse Basilium, quocum loquitur Chrysostomus, verisimillimum est. » (*Ex Montef.*)

IX.

ΑΝΔΡΙΑΝΤΕΣ sive HOMILIÆ AD POPULUM ANTIOCHENUM DE STATUIS. — « Inter ea quæ Joannis Chrysostomi tempore acciderunt, nihil memorabilius illa Antiochenorum seditione, qua dejectis Theodosii Imperatoris et Flacillæ ejus uxoris statuis, iisdemque per urbem raptatis, Theodosium ita exacerbarunt, ut de urbe delenda sit cogitatum. Hæc fuit Chrysostomo nostro ad concionandi facultatem exercendam ampla materies. Antiochenis quippe inter spem et metum fluctuantibus, dum repentini casus novam inexspectatamque quotidie vel sperandi vel timendi causam offerrent, imparatus fere semper Chrysostomus, prout res sese dabant, concionari coactus, ex tempore illas admiratione sane dignas homilias pronuntiabat : modo ut in calamitate versantem populum consolaretur; modo ut fractos periculi magnitudine animos confirmaret; tum præcipue ut occasione imminentium malorum Antiochenos ad vitia corrigenda eluendaque crimina, quæ tantam Dei iram accenderant, monitorum frequentia deduceret.

« Tantæ vero seditionis causa fuit, teste Zosimo, nimia tributorum, quæ quotidie nova excogitabantur, exactio, sive pro celebritate quinti initi ab Arcadio anni, ex quo Augustus promulgatus fuerat, et decimi anni Imperatoris Theodosii, qui anno 388 incipiebat, sive pro apparatu belli contra Maximum tyrannum, sive pro ambabus aliisque etiam publicis necessitatibus. Tributi onere perculsi Antiocheni cives Præfectum adeunt, ii scilicet qui urbanioris notæ erant, et lacrimantes vectigal indictum nimium queruntur; Dei opem implorant. Interim circumforaneorum et exterorum hominum ex infima plebe turba, commotis animis, in facinora erumpunt, primum in publico balneo omnia sus deque vertunt; hinc Præfecti domum adeunt, cancellos januasque invadunt; vix coerciti, alio furorem convertunt, depictasque Imperatorum tabellas lapidibus impetunt et fœdant, ipsosque Augustos maledictis et conviciis onerant; demum Imperatoris Theodosii Flacillæque ejus uxoris jam defunctæ statuas dejiciunt et per vicos urbis raptant; jamque plura inferre damna cœperant, quum immissa a Præfecto sagittariorum manu coerciti sunt. Sic furori mox timor et desperatio successit, » quæ graphice describitur in Homiliis, unde reliqua historiæ perspicue intelli-

guntur. Habitæ sunt mensibus Februario, Martio, Aprili anni 387, quem alterum agebat Chrysostomus presbyter. De singulis Homiliis (quibus præposita sunt argumenta ex veteribus codd. ducta) et justa earum serie disseruit Montefalconius in Præfatione, cujus initium excerpsimus. Supra (p. xv) dictum est quare « Statuis » quæ vocantur subjunxerimus *Catecheses duas*.

UNIVERSIDAD CENTRAL
Biblioteca
DECANATO DE FILOSOFIA Y LETRAS

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΕΜΟΥΝΤΑΣ

ΤΟΙΣ ΕΠΙ ΤΟ ΜΟΝΑΖΕΙΝ ΕΝΑΓΟΥΣΙΝ.

SANCTI

PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI

LIBER ADVERSUS OPPUGNATORES

EORUM QUI AD MONASTICAM VITAM INDUCUNT.

Ὅτε τὸν ἐν Ἱεροσολύμοις νεὼν πολλῶν ἐτῶν χαμαὶ κείμενον ἀπὸ τῆς μακρᾶς ἐπανελθόντες αἰχμαλωσίας ἐγείρειν ἤθελον τῶν Ἑβραίων οἱ παῖδες, τότε δὴ βάρβαροί τινες καὶ ἀνήμεροι ἄνθρωποι, μήτε τὸν Θεὸν αἰδεσθέντες, ᾧ τὸν ναὸν ἤγειρον ἐκεῖνοι, μήτε πρὸς τὴν τῶν ἀνθρώπων κατακλασθέντες συμφοράν, ἐφ' ἧς ὀψέ ποτε καὶ μόλις ἀνήνεγκαν, μήτε τὴν παρὰ Θεοῦ τοῖς τὰ τοιαῦτα τολμῶσιν ἑπομένην φοβηθέντες δίκην, τὸ μὲν πρῶτον δι' ἑαυτῶν ἐπεχείρουν κωλύειν οἰκοδομοῦντας αὐτούς· ὡς δὲ οὐδὲν ἤνυον, γράμματα πέμψαντες ὡς βασιλέα τὸν αὐτῶν, ἐν οἷς ἀποστάτιν καὶ νεωτεροποιὸν καὶ φιλοπόλεμον τὴν πόλιν ἐκάλουν ἐκείνην, ἔπεισαν ἐπιτρέψαι κωλῦσαι σφίσι τὴν οἰκοδομήν. Καὶ λαβόντες ταύτην παρ' ἐκείνου τὴν ἐξουσίαν, καὶ μετὰ πολλῶν αὐτοῖς ἐπιθέμενοι τῶν ἱππέων, διέκοψάν τε τὸ ἔργον τέως, καὶ ἐφρόνουν ἐπὶ τῇ νίκῃ μέγα, ἐφ' ἧς κατακόπτεσθαι ἔδει, καὶ πέρας αὐτοῖς ἔχειν ὤοντο τὴν ἐπιβουλήν. Τόδε ἦν ἄρα προοίμιον καὶ ἀρχὴ τῶν αὐτίκα δὴ μάλα αὐτοὺς καταληψομένων κακῶν. Τό τε γὰρ ἔργον ἠνύστο καὶ λαμπρὸν ἀπελάμβανε τέλος, ἐκεῖνοί τε ἐμάνθανον, καὶ δι' ἐκείνων ἅπαντες, ὅτι οὐκ ἄρα ἀνθρώποις ἐπολέμουν οὔτε Μιθριδάτης τότε, οὔτε ἄλλος οὐδείς, ὅς ἂν ἀνθρώποις ἕληται πολεμεῖν ἀγαθόν τι προαιρουμένοις ποιεῖν, ἀλλ' αὐτῷ πρὸ ἐκείνων τῷ δι' ἐκείνων τιμωμένῳ Θεῷ. Τὸν δὲ Θεῷ πολεμοῦντα οὐκ ἔνι ποτὲ εἰς χρηστὸν καταστρέψαι τέλος· ἀλλ' ὁ τοιοῦτος ἐν ἀρχῇ μὲν τῆς τολμης οὐδὲν ἴσως πείσεται δεινόν (ἂν δ' ἄρα μὴ πάθῃ), τοῦ Θεοῦ καλοῦντος αὐτὸν εἰς μετάνοιαν, καὶ διδόντος ὥσπερ ἐκ τινος μέθης ἀνενεγκεῖν· ἂν δὲ ἐπιμένῃ τῇ παροινίᾳ, μηδὲν ἀπὸ τῆς τοσαύτης ἀνεξικακίας κερδαίνων, ἑτέρους γοῦν ὀνήσει τὰ μέγιστα, διὰ τῆς εἰς αὐτὸν τιμωρίας παιδεύων μηδέποτε τῆς πρὸς τὸν Θεὸν ἅπτεσθαι μάχης, ὡς οὐκ ἐνὸν τὴν ἀήττητον ἐκείνην χεῖρα

Cum templum illud Hierosolymitanum, quod multis annis solo æquatum jacuerat, a diuturna captivitate reversi Hebræi instaurare cuperent, tum barbari quidam et immanes homines, neque Deum reveriti, cui templum illi erexerant, neque fracti illa hominum calamitate, a qua sero tandem vix se receperant, neque supplicii hujusmodi facinoribus a Deo depotati metu cohibiti, primo quidem per se eos a structura coercere nitebantur : cum autem nihil proficerent, missis ad regem suum literis, quibus eam urbem defectionis novarumque rerum studiosam ac belli cupidam appellabant, persuadent ei, ut ipsis ejusdem prohibendi ædificii facultas detur. Qua accepta potestate, magna equitum manu viros adorti, opus illud ad tempus intermitti coegerunt : et elati ea victoria, de qua lugere debuerant, gloriabantur, putabantque hunc esse insidiarum suarum terminum. At erat illud exordium initiumque eorum, quæ se mox invasura erant, malorum : opus enim illud perficiebatur, ac denique præclarum nactum est finem. Tunc illi didicerunt, ac per illos universi, non cum hominibus bella gerere vel Mithridatem tum illum, vel alium quem, quicumque boni aliquid agere instituentes homines oppugnet ; sed ante illos cum ipso Deo, qui per illos honoratur. Qui autem Deo bellum movet, numquam potest bonum belli exitum habere : sed is quidem initio facinoris nihil fortasse patietur mali (si tamen non patiatur, [*cum ipsum ejus facinus sit malum gravissimum*]), Deo illum vocante ad pœnitentiam, atque concedente ut quasi ex ebrietate quadam resipiscat ; sin autem in amentia sua perstiterit, nihil ex tanta Dei clementia et patientia lucratus, cæteros saltem admodum juvabit, supplicio suo admonens, ne contra Deum unquam bellum gerant, quod invictam illam manum nemo effugere

διαφυγεῖν. Τοιαῦται γοῦν εὐθέως αὐτοὺς κατελάμβανον συμφοραὶ, ὡς ἀποκρύψαι τῷ μεγέθει τὰς τραγῳδίας. Μετὰ γὰρ τοὺς φόνους καὶ τὰς μυρίας σφαγὰς, ἃς αἱ τῶν τότε κωλυομένων Ἰουδαίων εἰς αὐτοὺς εἰργάσαντο χεῖρες, ἐβρέχετο μὲν τῷ τῶν ἀνῃρημένων αἵματι διὰ πολλοῦ τοῦ βάθους ἡ γῆ, καὶ πολὺς ἀπὸ τούτου τοῦ αἵματος ἐγίνετο ὁ πηλός· τῶν δὲ σωμάτων τῶν τε ἵππείων τῶν τε ἀνθρωπίνων ὁμοῦ περυρμένων, ἐκ τούτων καὶ τῶν ἐν τούτοις προστριβομένων ὠτειλῶν τοσοῦτον σκωλήκων ἐτίκτετο πλῆθος, ὡς τὴν μὲν γῆν τῷ πλήθει κρύπτεσθαι τῶν νεκρῶν, τούτους δὲ αὐτοὺς πάλιν τῷ τῶν σκωλήκων. Εἶπεν ἄν τις ἐκεῖνο τὸ πεδίον ἰδών, οὐ σώματα κάτωθεν ὑποκεῖσθαι νεκρῶν, ἀλλὰ πηγὰς εἶναι πολλὰς καὶ πολλαχόθεν ἐκεῖνο φερούσας τῶν ζώων τὸ γένος· οὕτω πάσης ἐπιῤῥοῆς σφοδρότερον ἀπὸ τῆς σηπεδόνος ἐκείνης ἀνέβλυζεν ἡ τῶν σκωλήκων φορά. Καὶ τοῦτο δὲ οὐκ ἐπὶ δέκα καὶ εἴκοσι ἡμέραις ἐγίνετο μόνον, ἀλλ' ἐπὶ πολλῷ τῷ χρόνῳ. Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐκεῖ διαδεξόμενα αὐτοὺς πολλῷ τούτων ἐστὶ χαλεπώτερα. Οὐ γὰρ εἰς χίλια ἔτη, οὐδὲ εἰς μύρια μόνον, οὐδὲ εἰς δὶς τοσαῦτα καὶ τρὶς, ἀλλ' εἰς ἀπείρους αἰῶνας ψυχωθέντα τὰ σώματα τότε δέχεται τὰς βασάνους καὶ τὰς ἀῤῥήτους ἀλγηδόνας ἐκείνας. Καὶ ταῦτα ἀμφότερα οἶδε μὲν ὁ μακάριος Ἡσαΐας, οἶδεν δὲ ὁ τῶν παραδόξων ὄψεων θεωρὸς Ἰεζεκιήλ, οἳ καὶ τῶν ἀνθρώπων τούτων διανειμάμενοι τὴν κόλασιν, ὁ μὲν τὴν ἐνταῦθα, ὁ δὲ τὴν ἐκεῖ διηγήσαντο.

Ἐγὼ δὲ αὐτῶν οὐχ ἁπλῶς ἐμνημόνευσα νῦν, ἀλλ' ἐπειδή τις ἐλθὼν ἡμῖν ἀπήγγειλεν ἀγγελίαν τινὰ πικρὰν καὶ χαλεπὴν, καὶ πολλὴν εἰς τὸν Θεὸν τὴν ὕβριν ἔχουσαν. Εἶναι γάρ τινας ἀνθρώπους καὶ νῦν τὰ αὐτὰ τοῖς βαρβάροις τολμῶντας ἐκείνοις, μᾶλλον δὲ καὶ παρανομώτερα ἐκείνων πολλῷ· τοὺς γὰρ εἰς φιλοσοφίαν ἄγοντας πάντοθεν ἐλαύνειν, καὶ μετὰ πολλῆς τῆς ἀπειλῆς ἀπαγορεύειν καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν μηδένα ποτὲ ἀνθρώπων τοιοῦτον μηδέν. Ἐγὼ μὲν οὖν ἀνέκραξά τε εὐθέως ἀκούσας, καὶ τὸν εἰπόντα συνεχῶς ἀνηρώτων, εἰ μὴ παίζοι ταῦτα λέγων. Ὁ δὲ, Ἄπαγε, ἔφη· μὴ γὰρ ἄν ποτε παίζοιμι τοιαῦτα, μηδ' ἂν ἐπῄει καὶ πλάσαι τοιαῦτα τῷ λόγῳ, ἃ πολλοῦ ἂν ἐτιμησάμην καὶ πολλάκις ηὐξάμην μηδὲ νῦν, ὅτε γέγονεν, ἐν ἀκοῇ γοῦν δέξασθαι μόνῃ. Τότε δὴ καὶ πικρότερον ἀνοιμώξας, Οὕτως, ἔφην, τῶν τῷ Μιθριδάτῃ καὶ πᾶσιν ἐκείνοις τολμηθέντων τοσούτῳ ταῦτα ἀνοσιώτερα, ὅσῳ καὶ σεμνότερος πολλῷ καὶ ἁγιώτερος ὁ νεὼς οὗτος ἐκείνου. Ἀλλὰ τίνες, εἰπέ μοι, καὶ πόθεν οἱ ταῦτα τολμήσαντες; διὰ τί, καὶ ἐκ ποίας αἰτίας, καὶ πρὸς τί βλέποντες τοὺς λίθους εἰς τὸ ὕψος βάλλουσι, καὶ πρὸς τὸν οὐρανὸν ἀκοντίζουσι τὰ βέλη, καὶ τῷ τῆς εἰρήνης πολεμοῦσι Θεῷ; Σάμσας μὲν γὰρ καὶ Φαρασθαῖοι καὶ οἱ ἄρχοντες Ἀσσυρίων καὶ πάντες ἐκεῖνοι βάρβαροί τε ἦσαν, ὡς καὶ ἀπ' αὐτῶν τῶν ὀνομάτων ἔστιν ἰδεῖν, καὶ τῆς Ἰουδαϊκῆς μακρὰν ἦσκηντο πολιτείας, καὶ οὐκ ἐβούλοντο προσοικοῦντας

valeat. Tantæ igitur illos statim invasere clades, ut ipsas tragœdias magnitudine superarent. Post cædes enim et infinitas strages, quas olim ab se coercitorum Judæorum manus perpetrarunt, cæsorum sanguine terra ad multam usque profunditatem madefacta erat, lutique plurimum ex eo cruore gignebatur : ex corporibus autem equorum et hominum simul mixtis, ex ipsis et ex vulneribus se invicem tangentibus, tanta vis vermium ebullivit, ut cum terra multitudine cadaverum operiretur, hæc cadavera rursus vermibus obtegerentur. Dixisset profecto qui campum illum vidisset, non corpora ibi mortuorum substrata, sed fontes esse quamplurimos, hoc insectorum genus largissime fundentes : adeo omni inundatione vehementius ex putredine illa scaturiebat ingens illa vermium copia. Atque id non per decem dies, aut viginti, sed per plurimum temporis factum est. Et ea quidem quæ hic istis acciderunt, ejusmodi fuere; quæ vero illos in futuro manent, longe sunt his acerbiora. Neque enim mille annis, aut decem millibus, aut bis terve totidem, sed infinitis sæculis animata tunc corpora cruciatus inexplicabilesque dolores sustinebunt. Et hæc utraque novit beatus Isaias, novit et mirabilium visionum speculator Ezechiel, qui horum hominum pœnas inter se distribuentes, alter præsentis, alter futuri sæculi supplicia enarrarunt.

2. Ego vero hæc non sine causa memoravi, sed quia accedens quidam nuntius attulit plenum amaritudinis, molestiæ, ingentisque adversus Deum contumeliæ. Quosdam enim esse homines ait, qui hodieque eadem, quæ illi olim barbari, admittere auderent; imo longe iniquiora : eos quippe qui philosophiæ [*ritæ monasticæ*] capessendæ auctores sunt, undique expellere, multisque additis minis vetare, ne quidpiam hujusmodi ullum umquam hominem doceant. His auditis, ego statim clamavi, et narrantem sæpe percontatus sum, ludensne hæc loqueretur. Apage, inquit ille; numquam enim in re tam seria jocarer, nec animum subiisset confingere ea quæ plurimi redemissem, ac plurimis votis expetiissem, ut ne nunc quidem, quando facta sunt, vel aure perciperem. Tunc porro acerbius ingemiscens, Vere, dixi, hæc tanto sceleratiora sunt iis, quæ Mithridates omnesque isti admiserunt, quanto templum hoc est illo honorabilius et sanctius. Sed quinam isti, quæso, aut unde sunt qui talia præsumunt? quare, et qua de causa, quem respicientes finem, lapides in sublime jaciunt, telaque in cælum jaculantur, ac cum Deo pacis bellum gerunt? Samsas (*codd.* Sameas) enim, Pharasiiari (*Bibl.* Apharsæi) et Assyriorum principes, omnesque cæteri, barbari, quod ex ipsis nominibus videre est, longeque a Judæorum moribus remoti erant, nolebantque finitimos sibi homines

αὐτοῖς ἀνθρώπους αὐξανομένους ὁρᾷν· τὴν γὰρ δύναμιν τὴν ἐκείνων τῇ σφῶν αὐτῶν ἐξουσίᾳ λοιπὸν ἐπισκοτεῖν ᾤοντο· οὗτοι δὲ ποίας αὐτοῖς ἐλευθερίας ἐλαττουμένης, ποίας ἐκκοπτομένης ἀδείας, τίνας τῶν κρατούντων συμπράττοντας ἔχοντες, ταῦτα ἐτόλμησαν; Ἐκεῖνοι μὲν γὰρ εἶχον τοὺς Περσῶν βασιλεῖς ταὐτὰ βουλομένους αὐτοῖς· οἱ δὲ ἡμέτεροι τἀναντία τούτων, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιθυμοῦσι καὶ εὔχονται. Ὅθεν καὶ πολλῆς ἐμπέπλησμαι τῆς ἀπορίας, ὅτι βασιλέων ἐν εὐσεβείᾳ ζώντων, τοιαῦτα σὺ λέγεις ἐν μέσαις τολμᾶσθαι ταῖς πόλεσιν. Ὁ δέ φησιν· Ἂν καὶ τὸ τούτου παραδοξότερον μάθῃς! ὅτι καὶ οἱ ταῦτα δρῶντες εὐσεβεῖς τε εἶναι βούλονται καὶ Χριστιανοὺς καλοῦσιν ἑαυτούς, πολλοὶ δὲ αὐτῶν καὶ τῶν ἤδη μεμυημένων εἰσί· καί τις αὐτῶν δὴ τούτων πολλοῦ τοῦ διαβόλου πνεύσαντος διὰ τῆς μιαρᾶς γλώσσης ἐκείνης ἐτόλμησεν εἰπεῖν, ὅτι καὶ τῆς πίστεως ἀποστήσεται, καὶ θύσει δαίμοσιν· ἀποπνίγεσθαι γὰρ ὁρῶν ἀνθρώπους ἐλευθέρους καὶ εὐγενεῖς καὶ δυναμένους ἐν τρυφῇ ζῆν, ἐπὶ τὸν σκληρὸν τοῦτον ἀγομένους βίον.

Ταῦτα ἀκούσας ἐγὼ ἐπλήγην τε πληγὴν χαλεπωτέραν, καὶ ὅσα ἀπὸ τούτου κακὰ στοχαζόμενος, τήν τε οἰκουμένην ἐθρήνουν ἅπασαν, καὶ πρὸς τὸν Θεὸν ἔλεγον, Ἆρον τὴν ψυχήν μου ἀπ' ἐμοῦ, καὶ ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με, καὶ ἀπάλλαξον τῆς ἐπικήρου ταύτης ζωῆς, καὶ πρὸς τὸν χῶρον μετάστησον ἐκεῖνον, ἔνθα τοιοῦτον οὐδὲν οὔτε ἕτερος ἐρεῖ τις, οὔτε ἀκούσομαι ἐγώ. Οἶδα μὲν γὰρ ὅτι ἀπελθόντα ἐντεῦθεν τὸ σκότος διαδέξεται τὸ ἐξώτερον, ἔνθα πολὺς ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἀλλ' ἥδιον ἐμοὶ βρυχόντων ἀκούειν ὀδόντων, ἢ τοιαῦτα ἠχούντων ῥήματα. Ἰδὼν δέ με πενθοῦντα ἐκεῖνος σφοδρῶς, Ἀλλ' οὐ τούτων, φησίν, ὁ καιρὸς νῦν· οὐ γὰρ δὴ τοὺς ἀπολωλότας καὶ ἀπολλυμένους τοῖς δάκρυσι τούτοις ἀνακτήσασθαι δυνήσῃ ποτέ· καὶ γὰρ οἶμαι μὴ στήσεσθαι τὸ δεινόν. Χρὴ δὲ ὁρᾷν ὅπως σβέσωμεν τὴν πυρὰν καὶ στήσωμεν τὸν λοιμόν, τό γε ἡμέτερον μέρος· καὶ εἴ γέ μοί τι πείθοιο, τῶν ὀδυρμῶν τούτων ἀφέμενος, ἔργασαι λόγον παραίνεσιν ἔχοντα τοῖς νοσοῦσι καὶ στασιάζουσι, πρός τε τὴν ἑαυτῶν, πρός τε τὴν κοινὴν ἁπάντων σωτηρίαν ἀνθρώπων. Καὶ τὸ βιβλίον ἐγὼ τοῦτο λαβὼν ἀντ' ἄλλου τινὸς φαρμάκου τοῖς τῶν καμνόντων φέρων ἐνθήσω χερσί· καὶ γάρ εἰσί μοι τῶν τὰ τοιαῦτα νοσούντων φίλοι πολλοί, καὶ ἀνέξονται ἐπελθεῖν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, καὶ οἶδα ὅτι ταχέως ἀπαλλάξονται τοῦ λοιμοῦ. Σὺ μέν, ἔφην, πρὸς τὸ μέτρον τῆς ἀγάπης καὶ τὰ τῆς δυνάμεως τῆς ἡμετέρας μετρεῖς· ἐμοὶ δὲ οὔτε πάρεστί τις λόγων ἰσχύς, τῇ τε εἶναι δοκούσῃ χρήσασθαι εἰς ὑπόθεσιν τοιαύτην αἰσχύνομαι, ἄλλον μὲν οὐδένα τοσοῦτον, Ἕλληνας δὲ ἅπαντας, τούς τε ὄντας τούς τε ἐπιγινομένους, οὓς ἀεὶ τῶν δογμάτων οὐχ ἧττον ἐπὶ τῇ τοῦ βίου διασύρων ῥᾳθυμίᾳ, νῦν τὰ ἡμέτερα ἀναγκάζομαι διδάξαι κακά. Εἰ γὰρ αἴσθονταί τινες ἐκείνων ὅτι παρὰ Χριστιανοῖς εἰσί τινες ἄν-

multiplicari : nam illorum vires fore ut ipsorum potentiam obscurarent arbitrabantur. Hi autem quanam sibi imminuta libertate, qua sublata licentia, quo principum auxilio hæc ausi sunt? Illi enim Persarum reges hæc eadem volentes habuere, nostri vero contraria penitus, ut mihi ipse persuadeo, et cupiunt et optant. Quapropter magno stupore plenus sum, quod Imperatoribus piam religionem sectantibus, hæc in mediis urbibus impune fieri dicas. Quid vero, inquit ille, si his etiam incredibiliora didiceris? quod scilicet horum auctores pii videri velint, et Christianos se nuncupent, plurimi autem ex illis etiam initiati sint : imo eorum quidam, diabolo vehementer afflante, exsecranda lingua sua dicere ausus est, se a fide recessurum et dæmonibus immolaturum : suffocari enim se videndo homines liberos, nobiles, vitamque deliciis plenam agere valentes, ad hanc duram vitæ rationem abduci.

His auditis ego acerbiori vulnere percussus sum, et mala inde futura conjiciens, orbem simul flebam universum, Deumque compellabam his verbis : *Tolle animam meam a me* (3 *Reg.* 19, 4), et de necessitatibus meis erue me, atque ab hac mortali vita libera me, et ad locum illum transfer, ubi nullus hujusmodi quidpiam proferet, neque ipse audiam. Novi equidem, quod hinc excedentem exteriores excipient tenebræ, ubi fletus ingens et stridor dentium : verum jucundius mihi est dentes audire stridentes quam ejusmodi verba jactantes homines. Videns autem me ille admodum lugentem, Non id, inquit, tempus postulat : neque enim his lacrimis eos, qui jam perierunt et quotidie pereunt, recuperare umquam poteris : neque malum hic finem habiturum puto. Sed providendum est ut rogum istum exstinguamus, hancque pestem cohibeamus : ac si mihi morem gesseris, his missis fletibus librum edes, quo ægris hujusmodi ac seditiosis monita dabis ad suam omniumque hominum salutem. Hunc ego assumptum librum, medicaminis cujusdam vice, sine mora ægrotantium in manu ponam. Sunt enim ex horum numero multi mihi amicitia juncti, qui sustinebunt illum legere semel et bis et pluries, novique illos cito ab hac peste liberatum iri. Tu quidem, respondi ego, ex caritate tua vires metiris nostras : mihi vero nulla inest vis dicendi, et ea, quæ inesse videtur, in hoc argumento uti pudet me : nec alium quemquam ita vereor, ut gentiles omnes, tum eos qui modo sunt, tum eos qui post futuri sunt, quos ego non minus pro vitæ segnitie quam pro doctrinæ ratione semper carpere solitus sum, quos jam ipsos nostra mala docere cogor. Nam si qui ex illis senserint apud Christianos esse homines adeo

ὑρωποι οὕτω πρὸς ἀρετὴν καὶ φιλοσοφίαν ἐκπεπολεμωμένοι, ὡς μὴ μόνον τῶν ὑπὲρ ταύτης ἀφίστασθαι πόνων, ἀλλὰ μηδὲ τοὺς ὑπὲρ τούτων ἀνέχεσθαι λόγους, καὶ οὐδὲ ἐνταῦθα στῆναι τῆς μανίας ἀνέχονται, ἀλλὰ κἂν ἕτερός τις ταῦτα συμβουλεύῃ καὶ διαλέγηται, καὶ τοῦτον πάντοθεν ἐλαύνουσιν· ἂν ταῦτα αἴσθωνται, δέδοικα μή ποτε οὐδὲ ἀνθρώπους ἡμᾶς εἶναι νομίσωσιν, ἀλλὰ θηρία καὶ τέρατα ἀνθρωπόμορφα, καὶ δαίμονάς τινας ἀλάστορας καὶ τῆς κοινῆς φύσεως ἐχθρούς, καὶ ταύτην οὐ περὶ τῶν ὑπευθύνων μόνον, ἀλλὰ καὶ περὶ παντὸς ἡμῶν τοῦ ἔθνους τὴν ψῆφον ἐνέγκωσι. Καὶ γελάσας ἐκεῖνος, Παίζεις, ἔφη, ταῦτα λέγων· ἐγὼ γὰρ νῦν τούτου σοι εὐκαιρότερον ἐρῶ, εἴ γε δέδοικας μὴ παρὰ τῶν σῶν λόγων μάθωσιν ἃ διὰ τῶν ἔργων ἔμαθον ἅπαντες πάλαι. Ὥσπερ γάρ τινος πονηροῦ πνεύματος τὰς ἁπάντων πεπληρωκότος ψυχὰς, οὕτω τὰ πάντων στόματα τούτων γέμει τῶν λόγων· κἂν εἰς ἀγορὰν ἐμβάλῃς, ὄψει, κἂν ἐν τοῖς ἰατρείοις, κἂν ἐν παντὶ μέρει τῆς πόλεως, ἔνθα συνεδρεύειν εἰώθασιν οἱ πράττειν οὐδὲν ἐθέλοντες, πολὺν γέλωτα παρὰ πάντων κινούμενον. Ἡ δὲ τοῦ γέλωτος τούτου καὶ τῆς χωμῳδίας ὑπόθεσις τῶν εἰς τοὺς ἁγίους ἄνδρας εἰργασμένων ἐστὶ τὰ διηγήματα ταῦτα. Καθάπερ γάρ τινες πολεμισταὶ πολλὰς ἡνυκότες μάχας, καὶ τρόπαια στήσαντες, τὰς ἑαυτῶν ἀριστείας διηγούμενοι χαίρουσιν, οὕτω δὴ καὶ οὗτοι γάννυνται ἐπὶ τοῖς τολμήμασι τοῖς ἑαυτῶν· καὶ ἀκούσῃ τοῦ μὲν λέγοντος ὅτι Ἐγὼ πρῶτος καὶ χεῖρας ἐπέβαλον ἐπὶ τὸν δεῖνα τὸν μοναχὸν, καὶ πληγὰς ἐνέτεινα· ἑτέρου δὲ ὅτι Τὸ κατηγώγιον πρὸ τῶν ἄλλων εὗρον αὐτός· Ἀλλὰ τὸν δικαστὴν ἐγὼ μᾶλλον τῶν ἄλλων παρώξυνα, φησὶν ἕτερος· ἄλλος τὸ δεσμωτήριον καὶ τὰ ἐν τῷ δεσμωτηρίῳ δεινὰ καὶ τὸ διὰ τῆς ἀγορᾶς ἑλκύσαι τοὺς ἁγίους ἐκείνους ἐν ἐγκωμίου τίθεται μέρει· καὶ ἄλλος ἄλλο. Εἶτα πάντες ἀναπηδῶσιν ἐπὶ τούτοις. Καὶ ταῦτα μὲν ἐν τοῖς τῶν Χριστιανῶν συνεδρίοις· οἱ δὲ Ἕλληνες τούτους τε γελῶσι καὶ τοὺς ὑπ' αὐτῶν γελωμένους, τοὺς μὲν, ἐφ' οἷς ἔδρασαν, τοὺς δὲ, ἐφ' οἷς ἔπαθον· καὶ πολέμου τινὸς ἐμφυλίου τὰ πάντα ἐμπέπλησται· μᾶλλον δὲ ταῦτα ἐκείνου πολλῷ χαλεπώτερα. Ἐκεῖνον μὲν γὰρ οἱ πολεμήσαντες τὸν πόλεμον, ὅταν ποτὲ ὕστερον ἀναμνησθῶσιν αὐτοῦ, τοῖς τε κεκινηκόσιν αὐτὸν ἐπαρῶνται πολλὰ, καὶ δαίμονί τινι πονηρῷ τὰ ἐν αὐτῷ γενόμενα ἅπαντα ἀνατιθέασι· κἀκεῖνοι μὲν πλέον τι τῶν ἄλλων αἰσχύνονται, ὅσῳπερ ἂν ἐν αὐτῷ πλέον τι τῶν ἄλλων ἐργάσωνται· οὗτοι δὲ καὶ ἐγκαλλωπίζονται τοῖς τολμήμασι· καὶ οὐ τοῦτο μόνον, ὅτι ἐναγέστερος οὗτος ἐκείνου ὁ πόλεμος, οὐδὲ ὅτι πρὸς ἁγίους καὶ οὐδὲν ἠδικηκότας γίνεται μόνον, ἀλλ' ὅτι καὶ πρὸς ἀνθρώπους ποιεῖν μὲν οὐδένα εἰδότας κακῶς, πάσχειν δὲ παρεσκευασμένους μόνον.

Ἐπίσχες, ἔφην, ἐπίσχες· καὶ γὰρ καὶ τούτων ἡμῖν ἄλις τῶν διηγημάτων, εἴ γε μὴ παντελῶς με ἐκπνεῦσαι δέοι· ἀλλὰ μικρὰν γοῦν τινα ἔχοντα ἰσχὺν ἀπελθεῖν ποίησον. Σὺ μὲν γὰρ πάντως ὅπερ ἐπέταξας γε-

virtuti et philosophiæ inimicos, ut non modo labores ad eam adipiscendam refugiant, sed ne de illa quidem verba fieri sinant, imo ne hac tanta quidem insania contenti, si quem hanc consulentem et de ea disserentem videant, hunc undique expellant; si hæc, inquam, illi senserint, timeo ne nos existiment non homines, sed feras, et monstra hominis forma, dæmonasque quosdam noxios, ac communis naturæ inimicos, nec de sontibus modo, sed de tota simul gente nostra talem sententiam ferant. At ille ridens, Ludis, inquit, hæc dicens: ego enim opportuniora jam loquar, si vereris ne ex verbis tuis ea ediscant, quæ illi jam dudum ex ipsis operibus edidicerunt. Nam quasi nequissimus aliquis spiritus omnium animos occuparit, sic per cunctorum ora hi sermones versantur; sive in forum te contuleris, sive in tabernas medicorum, sive in quamlibet urbis partem, ubi sedere solent ii qui nihil operari volunt, videbis ingentem risum ab omnibus moveri. Risus autem ejus et comœdiæ argumentum est, eorum quæ adversus sanctos viros acta sunt festiva narratio. Quemadmodum enim bellatores, qui multas pugnas confecerint ac tropæa erexerint, gesta sua fortia narrare gaudent; sic et isti in facinoribus suis lætantur. Hunc sane audias dicentem, Primus ego manus in illum monachum injeci, et plagas intuli; alium vero, Ego cellulam ejus ante alios inveni; alium, At ego judicem plus quam omnes adversus illum concitavi. Jactat alius carcerem, carcerisque miserias: quodque per forum sanctos traxerit, id laudis in parte constituit; alius item aliud. Deinde omnes profusis cachinnis hæc prosequuntur. Et hæc quidem in Christianorum consessibus: gentiles vero et hos irrident, et eos qui ab illis irridentur; illos, quia hæc perpetrarint; hos, quod talia passi sint: omniaque civili quodam bello repleta sunt, imo hujusmodi bello longe atrociora istæc sunt. Nam qui bellum illud gesserint, cum postea illius reminiscuntur, auctores ejus maledictis insectantur, ac dæmoni cuidam malo cuncta, quæ in illo gesta fuerint, accepta referunt; et ii ampliore afficiuntur pudore, qui plura quam alii perpetrarint: hi autem de suis ausibus gloriantur. Neque ideo tantum hoc sceleratius illo bellum est, quod adversus sanctos qui neminem læserint excitetur; sed etiam, quod adversus homines qui nemini malum facere noverunt, et ad patiendum solummodo parati sunt.

3. Siste gradum, dixi ego, siste; satis jam hujusmodi narrationum, nisi me plane exspirare velis: sed modicum mihi hoc virium relinquens missum me facito. Quod jussisti penitus exsequemur: tantum nihil aliud jam dictis adjicias,

νήσεται· μόνον μηδὲν προσθῇς ἕτερον ἡμῖν διήγημα, ἀλλ' ἀπελθὼν εὔχου σχεδασθῆναί μοι τῆς ἀθυμίας τὸ νέφος, καὶ λαβεῖν τινα παρὰ τοῦ πολεμουμένου Θεοῦ βοπὴν εἰς τὴν ἰατρείαν τῶν πολεμούντων αὐτόν· δώσει δὲ πάντως φιλάνθρωπός τε ὢν, καὶ τὸν θάνατον μὴ βουλόμενος τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. Οὕτως ἀποπέμψας ἐκεῖνον, τῶν λόγων ἥπτόμην τούτων. Καὶ γὰρ εἰ μὲν τοῦτο μόνον ἦν τὸ δεινὸν, τὸ τοὺς ἁγίους τοῦ Θεοῦ καὶ θαυμαστοὺς ἄνδρας ἐκείνους ἕλκεσθαι καὶ σπαράττεσθαι συρομένους εἰς δικαστήρια, καὶ τυπτομένους καὶ τὰ ἄλλα πάσχοντας ἅπερ ἄρτι διηγησάμην, μηδεμία δὲ ἀπὸ τούτων εἰς τὴν τῶν ταῦτα τολμώντων κεφαλὴν ἐτρέπετο βλάβη, τοσοῦτον ἀπέσχον ἀλγῆσαι τοῖς γινομένοις, ὅτι κἂν ἐγέλασα σφόδρα ἡδὺ καὶ δαψιλὲς ἐπ' αὐτοῖς· ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ, ὅταν μὲν ἀκινδύνως πλήττῃ τὰς μητέρας, πολὺν κινεῖ τὸν γέλωτα ταῖς πλησσομέναις αὐταῖς, καὶ ὅσῳπερ ἂν ἐκ πλείονος τοῦτο ἐργάζηται τοῦ θυμοῦ, τοσοῦτον μᾶλλον αὐταῖς ἐπιτείνει τὴν ἡδονὴν, ὡς καὶ διαχεῖσθαι καὶ ἀνακλᾶσθαι τῷ γέλωτι· εἰ δὲ τῷ συνεχῶς καὶ ῥαγδαίως τοῦτο ποιεῖν τρωθείη ποτὲ, ἢ βελόνης τῷ χιτωνίσκῳ τῆς μητρὸς περὶ τὴν ζώνην ἐμπεπερονημένης, ἢ τῆς κερκίδος πρὸ τῶν στέρνων τῶν μητρικῶν τὴν χεῖρα τοῦ παιδὸς δεξαμένης, τότε δὴ, τότε τὸν γέλωτα ἀφεῖσα ἡ μήτηρ μείζονι τοῦ πληγέντος περιωδυνίᾳ κατέχεται· καὶ τέως μὲν θεραπεύει τὸ τραῦμα, τοῦ λοιποῦ δὲ μετὰ σφοδρᾶς ἀπαγορεύει τῆς ἀπειλῆς τὰ τοιαῦτα μὴ ποιεῖν, ὡς μηκέτι παθεῖν τὰ αὐτά. Καὶ ἡμεῖς τοίνυν τὰ αὐτὰ ἂν ἐδράσαμεν, εἰ τὸν παιδικὸν τοῦτον ἐωρῶμεν θυμὸν καὶ τὴν τῶν νηπίων πληγὴν μὴ μέγαν αὐτοῖς τὸν ὄλεθρον φέρουσαν· ἐπειδὴ δὲ μικρὸν ὕστερον, κἂν μὴ νῦν αἴσθωνται τῷ θυμῷ κατεχόμενοι, κλαύσονται καὶ οἰμώξουσι καὶ ὀδυροῦνται, οὐ τοιοῦτον ὀδυρμὸν, οἷον τὰ παιδία τὰ μικρὰ, ἀλλὰ τὸν ἐν τῷ σκότει τῷ ἐξωτέρῳ, τὸν ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ, τὸ αὐτὸ πάλιν ταῖς μητράσι ποιήσωμεν, τοσοῦτον αὐτῶν διαλλάττοντες, ὅσον οὐ μετ' ἀπειλῆς καὶ ὄκρεως καθάπερ ἐκεῖναι, ἀλλὰ μετὰ κολακείας καὶ προσηνείας πολλῆς πρὸς τὰ παιδία ταῦτα διαλεξόμεθα· ἐκεῖ ὅτι γε τοῖς ἁγίοις οὐδεμία ἀπὸ τούτων ἡ βλάβη, ἀλλὰ καὶ μείζων ὁ μισθὸς καὶ πλείων ἡ παρρησία.

Ἂν μὲν τὰ μέλλοντα εἴπωμεν ἀγαθὰ, τάχα καὶ γελάσεσθε μέγα, ἅτε τοιοῦτον ἀεὶ γέλωτα μελετῶντες γελᾶν· τοῖς δὲ παροῦσι, κἂν μυριάκις ἦτε φιλογέλωτες, οὐκ ἀπιστήσετε· οὐδὲ γὰρ, ἂν ἐθέλητε, δυνήσεσθε, τῶν πραγμάτων ὑμῖν οὕτως ἀντιφθεγγομένων αὐτῶν. Τὸν Νέρωνα πάντως ἀκούετε — καὶ γὰρ ἐπίσημος ὁ ἀνὴρ ἀπὸ τῆς ἀσελγείας ἐγένετο, πρῶτος καὶ μόνος εὑρὼν ἐν ἀρχῇ τοιαύτῃ καινούς τινας ἀκολασίας καὶ ἀσχημοσύνης τρόπους· οὗτος ὁ Νέρων τὸν μακάριον Παῦλον (καὶ γὰρ ἔτυχε κατὰ τοὺς αὐτοὺς ἐκείνῳ γενόμενος χρόνους) τοιαῦτα ἐγκαλῶν, οἷάπερ ὑμεῖς νῦν τοῖς ἁγίοις ἀνδράσι τούτοις — παλλακίδα γὰρ αὐτοῦ σφόδρα ἐπέραστον πείσας τὸν περὶ τῆς πίστεως δέξασθαι λόγον,

sed digressus precare ut, excussa mihi mœroris nebula, quamdam a Deo, qui impugnatur, opem consequar ad medelam inimicorum ejus. Id vero dabit haud dubie, clemens cum sit, ac mortem peccatoris nolit, sed ut convertatur et vivat. Sic illo a me dimisso, hæc scribere sum aggressus. At enim si hoc tantum mali adesset, quod sancti Dei et admirabiles viri raptarentur laniarenturque, ad tribunalia pertracti, verberati et alia passi, quæ supra narravimus, nullumque hinc damnum in eorum converteretur caput, qui talia perpetrarunt, tantum abest ut de gestis dolerem, ut etiam de iisdem riderem perquam suavissime. Nam et parvi infantes quoties sine suo periculo percutiunt matres, risum illis movent copiosissimum, tantoque majorem voluptatem pariunt, quanto vehementiore cum iracundia id fecerint, ita ut effundantur pæneque dirumpantur risu : sin vero dum id jugiter infans ac validius facit, vulneretur aliquando, sive acu circa zonam tunicæ matris affixa, sive radio maternis pectoribus appenso ferientis manum excipiente : tunc certe, tunc mater, misso risu, majore, quam is qui percussus est, ipsa dolore afficitur : et interim curat vulnus, de cætero autem ingentibus minis vetat ne talia agat, ne forte simile quidpiam patiatur. Nos itaque paria fecissemus, si puerilem hujusmodi iracundiam et hanc infantium plagam non intelligeremus magnam ipsis perniciem allaturam. Quoniam vero post modicum elapsum tempus, quamvis nunc furore correpti id non sentiant, flebunt, ejulabunt, lamentabuntur, non tali fletu quali infantes, sed in tenebris exterioribus et in igne inexstinguibili : id ipsum jam faciamus quod matres, hoc tantum discrimine, quod non cum minis et contumeliis ut illæ, sed blande et cum lenitate multa infantes hujusmodi alloquemur : quandoquidem nihil hinc damni sanctis viris, sed merces copiosior majorque fiducia accedit.

Si quidem futura bona commemoremus, admodum forte ridebitis, quippe qui hujusmodi risu semper ridere soleatis : at præsentibus, etiamsi millies risui addicti fueritis, fidem non negabitis; nec, si volueritis, poteritis, rebus ipsis adeo vehementer contra clamantibus. Neronem prorsus audistis — virum nempe ex lascivia famosum, qui primus et solus in tanto imperio novos quosdam impudicitiæ et turpitudinis modos excogitavit : hic itaque Nero beatum Paulum, cujus tempore regnabat, de iisdem accusans, de quibus vos ipsi sanctos viros insimulatis — pellicem enim ejus, quam ille deperibat, cum ad fidei doctrinam amplectendam indnxisset, ab impuro ejus consortio monitis

ἔπειθεν ὁμοῦ καὶ τῆς ἀκαθάρτου συνουσίας ἀπαλλαγῆναι ἐκείνης· τοιαῦτα γοῦν ἐγκαλῶν ἐκεῖνος, καὶ λυμεῶνα καὶ πλάνον καὶ τὰ αὐτὰ, ἅπερ ὑμεῖς φθέγγεσθε, τὸν Παῦλον ἀποκαλῶν, τὸ μὲν πρῶτον ἔδησεν, ὡς δὲ οὐκ ἔπειθε τῆς πρὸς τὴν κόρην ἀποσχέσθαι συμβουλῆς, τέλος ἀπέκτεινε. Τί οὖν ἀπὸ τούτου γέγονε βλάβος τῷ παθόντι κακῶς; τί δὲ ὄφελος τῷ δράσαντι κακῶς; Τί μὲν οὐκ ὄφελος τῷ τότε ἀναιρεθέντι Παύλῳ; τί δὲ οὐ βλάβος τῷ ἀπολόντι Νέρωνι; οὐχ ὁ μὲν ὥσπερ ἄγγελος πανταχοῦ τῆς οἰκουμένης ᾄδεται (τὰ γὰρ παρόντα τέως ἐρῶ)· ὁ δὲ, ὥσπερ ὄντως λυμεὼν καὶ δαίμων ἄγριος πρὸς πάντας διαβέβληται;

Τὰ δὲ ἐκεῖ — κἂν γὰρ ὑμεῖς ἀπιστήσητε, διὰ τοὺς πιστεύοντας ἀναγκαῖον εἰπεῖν· καίτοι ὑμᾶς ἀπὸ τῶν παρόντων κἀκείνοις πιστεύειν ἐχρῆν· πλὴν ἀλλ' ὅπως ἂν πρὸς αὐτὰ διακείησθε, εἰρήσεται παρ' ἡμῶν, καὶ οὐ κεκρύψεται. Τίνα οὖν ἔσται τὰ ἐκεῖ; Ὁ μὲν ἄθλιος καὶ ταλαίπωρος ἐκεῖνος, αὐχμῶν καὶ κατηφὴς, αἰσχύνης γέμων καὶ ζόφου καὶ κάτω νεύων, ἀπαχθήσεται ἔνθα ὁ σκώληξ ὁ ἀτελεύτητος καὶ τὸ πῦρ τὸ ἄσβεστον· ὁ δὲ μακάριος Παῦλος μετὰ πολλῆς στήσεται τῆς παῤῥησίας παρ' αὐτὸν τοῦ βασιλέως τὸν θρόνον λαμπρῶς ἀποστίλβων, καὶ δόξαν ἠμφιεσμένος τοσαύτην, ὡς μηδὲν τῶν ἀγγέλων καὶ ἀρχαγγέλων ἀποδεῖν, καὶ τοσοῦτον λήψεται τὸν μισθὸν, ὅσον εἰκὸς ἄνθρωπον καὶ τὴν ψυχὴν τῶν τῷ Θεῷ δοκούντων ἕνεκεν ἐπιδόντα. Καὶ γὰρ οὕτως ἔχει· κεῖται μὲν πολλὴ τοῖς τὰ ἀγαθὰ ἐργαζομένοις ἀντίδοσις, μείζων δὲ αὕτη καὶ πλείων γίνεται, ὅταν καὶ διὰ κινδύνων ἴωσι καὶ ἀτιμίας πολλῆς οἱ ταῦτα ἐργαζόμενοι τὰ ἀγαθά· κἂν τὸ κατόρθωμα ἴσον ᾖ τῷ τι ἀπονητὶ καὶ τῷ μετὰ πόνων αὐτὸ κατωρθωκότι, τὰ τῆς τιμῆς οὐκ ἔσται ἴσα καὶ τὰ τῶν στεφάνων· ἐπεὶ καὶ ἐν τοῖς πολέμοις στεφανοῦται μὲν ὁ τρόπαιον στήσας, πολλῷ δὲ ἔτι μείζονος ὁ καὶ τὰ τραύματα ἐπιδεῖξαι ἔχων, δι' ὧν τὸ τρόπαιον ἔστησε. Καὶ τί λέγω περὶ τῶν ζώντων; ὅπου γε καὶ οἱ τοῦτο μόνον ἐπιδειξάμενοι τὸ καλῶς ἀποθανεῖν ἐν πολέμῳ, μηδὲν δὲ πλεῖον τοὺς αὐτῶν ὠφελήσαντες, καθάπερ σωτῆρες καὶ προστάται πανταχοῦ τῆς Ἑλλάδος ᾄδονται, εἰ καὶ ταῦτα ὑμεῖς ἀγνοεῖτε, τῷ γέλωτι καὶ τῇ τρυφῇ διαπαντὸς προσανέχοντες. Εἰ δὲ Ἕλληνες ἄνθρωποι, καὶ μηδὲν ὅλως ὑγιὲς ἐννοοῦντες, τοῦτο ἠδυνήθησαν συνιδεῖν, καὶ πολλῇ τετιμήκασι τῇ τιμῇ τοὺς ἀποθανόντας μόνον ὑπὲρ αὐτῶν, μηδὲν δὲ ἐργασαμένους πλέον, πόσῳ μᾶλλον ὁ Χριστὸς τοῦτο ἐργάσεται, ὁ πανταχοῦ τοὺς δι' αὐτὸν κινδυνεύοντας ἐκ πολλοῦ τοῦ περιόντος ταῖς τῶν ὡρῶν νικῶν ἀντιδόσεσι; Οὐ γὰρ διωγμῶν μόνον, οὐδὲ πληγῶν, οὐδὲ δεσμωτηρίων καὶ φόνων καὶ σφαγῆς, ἀλλὰ καὶ ὕβρεως μόνης καὶ ῥημάτων ὀνειδιστικῶν πολὺν ἔθηκε τὸν μισθόν. « Μακάριοι γάρ, φησὶν, ἐστὲ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρ-

suis abduxit : hæc, inquam, illi crimina objiciens, ac corruptorem, seductorem, et his similibus nominibus, quæ vos modo profertis, Paulum appellans, primo ipsum in vincula conjecit; cum autem ut puellæ monita dare desineret ipsi persuadere non posset, necavit tandem. Quid igitur hinc damni fuit male affecto, quidve emolumenti facinoris auctori? Imo vero, quid non emolumenti occiso Paulo, quid non damni necanti Neroni? nonne ille quidem ut angelus ubique terrarum celebratur? (de præsentibus enim tantum loquor;) ille vero tanquam vere corruptor dæmonque ferox apud omnes male audit?

4. Ea vero quæ ad futuram vitam pertinent, etiamsi vos non creditis, propter credentes tamen memorare necesse est; quamquam ex iis, quæ coram sunt, vos etiam illis credere debueratis : verum quoquo animo ipsa accipiatis, dicentur a nobis, nec occultabuntur. Quænam igitur illa erunt? Miser ille, squalidus, tristis, ignominia obrutus et caligine, demissis oculis abducetur eo, ubi vermis qui non moritur, et ignis qui non exstinguitur : beatus vero Paulus magna cum fiducia ad ipsum adstabit Imperatoris thronum, splendore fulgens, tantaque amictus gloria, ut nec angelis nec archangelis inferior sit, tantamque mercedem recipiet, quantam recipere par est hominem qui pro Deo ejusque placitis ipsam animam suam tradiderit. Ita enim se res habet : parata quidem est iis, qui bona egerint, ingens retributio, major autem ea est atque auctior, quoties ii, qui bona operantur, pericula ignominiamque multam adierint. Etiamsi bonum opus æquale sit in eo qui sine labore, et in eo qui cum labore id perfecerit, honores tamen et coronæ pares non erunt. Nam et in bello coronatur quidem is qui tropæum erexit; multo magis tamen is qui vulnera præ se fert, per quæ tropæum illud erexit. Quid autem de viventibus loquor? quando et ii qui hoc tantum dederunt virtutis indicium, ut in bello fortiter occumberent, nihilque plus emolumenti suis præstiterunt, tanquam servatores et patroni per totam Græciam celebrantur : tametsi vos hæc ignoratis, risui et deliciis semper dediti. Quod si gentiles homines, nihilque sanum sentientes, id conspicari potuerunt, summisque honoribus prosequuti sunt eos, qui pro se obierunt, nihilque præstiterunt amplius, quanto magis Christus hoc faciet, qui semper et ubique eos, qui propter se pericula adeunt, largissimis donis ac præmiis superat? Neque enim persequutionibus tantum, aut verberibus, aut carceribus, cædibusque, sed nudis etiam contumeliis conviciosisque verbis præmia posuit maxima. « *Beati* enim, inquit (*Luc.* 6. 22. 23), *eritis cum vos oderint homines, et cum separaverint vos, et exprobraverint, et ejecerint nomen vestrum tanquam malum, propter Filium hominis. Gaudete in illa die et exsultate : ecce enim merces vestra multa*

τήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. » Εἰ τοίνυν τὸ κακῶς παθεῖν καὶ τὸ κακῶς ἀκοῦσαι ἐπιτείνει τὸν μισθὸν καὶ τοῖς πάσχουσι καὶ τοῖς ἀκούουσι κακῶς, ὁ κωλύων αὐτοὺς παθεῖν καὶ ἀκοῦσαι κακῶς, οὐχὶ τούτους, ἀλλὰ τοὺς λέγοντας καὶ τοὺς ποιοῦντας ὠφέλησε. Τούτους γὰρ ἔβλαψε τοῦ μισθοῦ τὸ πλέον ἐκκόπτων αὐτοῖς, καὶ τῆς χαρᾶς καὶ τῶν καλῶν σκιρτημάτων ἀναιρῶν τὴν ὑπόθεσιν. Ὥστε τούτων μὲν ἕνεκεν καὶ σιγῆσαι ἐχρῆν, καὶ ἀρεῖναι γενέσθαι ταῦτα τὰ πολὺν αὐτοῖς τὸν πλοῦτον ποιοῦντα τῶν ἀγαθῶν, καὶ μείζω τὴν παῤῥησίαν κατασκευάζοντα· ἐπειδὴ δὲ ἀλλήλων ἐσμὲν μέλη, κἂν αὐτοὶ πάλιν ἀρνῶνται τὴν χάριν, οὐ χρὴ τοὺς οὕτω διακειμένους ἑνὸς μὲν προνοεῖν μέρους, ἑτέρου δὲ περιορᾶν. Ἐκείνοις μὲν γὰρ ἔσται καὶ ἑτέρας εὐδοκιμήσεως ὑπόθεσις, κἂν μὴ νῦν πάθωσι κακῶς· οὗτοι δὲ ἂν μὴ τῆς μάχης ἀπόσχωνται ταύτης, οὐκέτι σωθῆναι δυνήσονται.

Τούτου δὴ χάριν παριδὼν τὸ ἐκείνων, πρὸς τὸ ὑμέτερον ἵσταμαι, καὶ δέομαι καὶ ἀντιβολῶ πεισθῆναί τε ἡμῖν παρακαλοῦσι, καὶ μηκέτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν, μηδὲ πρὸς κέντρα λακτίζειν, μηδὲ νομίζοντας ἀνθρώπους ἀνιᾶν, λυπεῖν τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ. Ὅτι μὲν γὰρ ἐπαινέσεσθε ταύτην ἡμῶν τὴν γνώμην, κἂν μὴ νῦν, ἀλλ' αὖθις, οἶδα καὶ πέπεισμαι· βούλομαι δὲ ὑμᾶς τοῦτο ποιῆσαι νῦν, ἵνα μὴ μάτην αὐτὸ μετὰ ταῦτα ποιῆτε· ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος, ὅτε μὲν ἦν ἐνταῦθα, τοὺς προφήτας καὶ τὸν νόμον καὶ τὴν ἐκ τούτων παράκλησιν μῦθόν τινα ἡγεῖτο καὶ λῆρον· ἐπειδὴ δὲ ἀπῆλθεν ἐκεῖ, οὕτως ἐθαύμασεν αὐτῶν τὴν παραίνεσιν, ὡς, ἐπειδὴ (οὖν) συνεῖδε μηδὲν αὐτὸν ἀπὸ τῶν ἐπαίνων ὠφεληθῆναι δυνάμενον, παρακαλέσαι τὸν πατριάρχην πέμψαι τινὰ τῶν ἐν ᾅδου τοῖς ὑπὲρ γῆς ἀπαγγέλλοντα, ἐκεῖνο δεδοικώς, μήποτε καὶ αὐτοὶ τὸ αὐτὸ πάθωσι, καὶ καταγελάσαντες τῶν θείων Γραφῶν, τότε αὐτὰς θαυμάσωσιν, ὅταν αὐτοῖς ὄφελος οὐδὲν ἀπὸ τοῦ θαύματος. Καίτοι γε οὐδὲν ἐκεῖνος τοιοῦτον εἰργάσατο οἷον ὑμεῖς. Ἐκεῖνος γὰρ τῶν μὲν αὐτοῦ οὐ μετέδωκε τῷ Λαζάρῳ, οὐ μὴν καὶ ἑτέρους βουληθέντας μεταδοῦναι ἐκώλυσεν ἢ ἀπήλασε, καθάπερ ὑμεῖς νῦν. Καὶ οὐ ταύτῃ μόνον αὐτὸν ἀπεκρύψατε τῇ ὠμότητι, ἀλλὰ καὶ ἑτέρᾳ. Ὥσπερ γὰρ οὐκ ἔστιν ἴσον αὐτὸν μηδὲν ποιεῖν ἀγαθὸν, καὶ ἑτέρους βουλομένους κωλύειν ποιεῖν, οὕτως οὐκ ἔστιν ἴσον τροφῆς τε ἀποστερεῖν σωματικῆς, καὶ ἐν πολλῷ τῷ τῆς φιλοσοφίας λιμῷ κείμενον κωλύειν τρέφεσθαι παρ' ἑτέρων. Ὥστε διπλῇ παρηλάσατε τὸν ὠμὸν πλούσιον ἐκεῖνον, τῷ τε ἑτέρους κωλῦσαι σβέσαι τὸν λιμὸν, καὶ τῷ τῆς ψυχῆς ἀγχομένης τὴν ἀπανθρωπίαν ἐπιδείκνυσθαι ταύτην. Τοῦτο καὶ Ἰουδαῖοι ποτὲ ἐποίησαν, καὶ ἐκώλυον τοὺς ἀποστόλους τοῖς ἀνθρώποις τὰ πρὸς σωτηρίαν λαλεῖν. Πλὴν ἀλλὰ καὶ τούτων χείρονες ὑμεῖς. Οἱ μὲν γὰρ ὁπῆ τὴν τῶν ἐχθρῶν ἀναδεξάμενοι τάξιν, οὕτως ἅπαντα ἔπραττον ἐκεῖνα· ὑμεῖς δὲ τὸ τῶν φίλων ὑποδύντες προσωπεῖον, τὰ τῶν ἐχθρῶν ἐπιδείκνυσθε. Ἐμάστιξαν καὶ ὕβρισαν καὶ

est in cælis. Si igitur et pati et audire male, patientibus maleque audientibus mercedem auget, qui impedit quominus patiantur et male audiant, non hos, sed eos qui male faciunt et dicunt, juvat. Hos enim potius nocumento affecit, quando majorem illam mercedem præcidit, et gaudii exsultationisque pulchræ materiam ipsis abstulit. Quocirca horum quidem causa etiam silere satius fortasse fuerat et fieri sinere hæc, quæ ipsis magnas bonorum divitias majoremque fiduciam procurabant. Verum quia sumus invicem membra, etsi ipsi gratiam abnegent rursum, non convenit ita affectis, ut nos sumus, unius membri curam habere, alterum negligere. Namque illis alia meritorum occasio suppetet, etiamsi nunc malis non afficiantur; istis vero, nisi ab hac pugna destiterint, nulla jam salutis spes relinquitur.

Itaque illis omissis, vestris rebus insisto, rogoque et obsecro nobis hortantibus obtemperetis, nec contra vos ipsos gladium impellatis, nec contra stimulos calcitretis; ne, dum putatis homines mœrore afficere, Spiritum sanctum Dei contristetis. Scio enim ac persuasum habeo, vos sententiam hanc nostram, etsi non modo, certe postea probaturos esse. Volo autem vos nunc hoc præstare, ne postmodum frustra facialis. Siquidem dives ille cum in hac vita esset, prophetas, legem, eorumque monita, pro fabulis et deliramentis reputabat : cum autem illuc abscessisset, adeo in admiratione atque honore ea monita habuit, ut cum plane intelligeret nihil se commoli ex eorum laudibus consequi posse, patriarcham rogaret, ut aliquem mitteret ex inferis in terram, qui istæc annuntiaret, veritus scilicet ne id ipsum illi paterentur, atque Scripturas divinas irridentes, tunc eas admirarentur, cum ex ea admiratione nihil emolumenti consequi valerent. Et tamen ille nihil tale egerat, quale vos agitis. Etsi enim ille nihil ex suis Lazaro impertivit, non tamen eos, qui id agere vellent, prohibuit aut repulit, ut modo vos facitis. Neque hinc modo illum crudelitate superatis, sed aliunde quoque. Sicut enim non æquale facinus est nihil agere boni, et alios qui id velint impedire : sic non pari in gradu ponitur ipsum privare aliquem cibo corporeo, et eum qui in ingenti philosophiæ penuria jacet, prohibere ne ab aliis pascatur. Quamobrem duabus ex partibus immanem illum divitem superatis, quod nempe alios prohibeatis famem exstinguere, quodque cum animam præfocari videatis, tantam exhibeatis inhumanitatem. Hoc et Judæi olim fecerunt : nam apostolos prohibebant ne hominibus salutaria loquerentur. At vos illis etiam deteriores estis. Illi enim cum se inimicos profiterentur sic omnia illa faciebant : vos autem, mentita amicorum persona, inimicos vos exhibetis. Illi sanctos apostolos verberibus, contumeliis, ignominia affecerunt, præstigiatores

πονηρᾷ περιέβαλον δόξῃ τοὺς ἁγίους ἀποστόλους τότε ἐκεῖνοι, γόητας καὶ πλάνους καλοῦντες αὐτούς· ἀλλὰ τοιαύτῃ κατέλαβεν αὐτοὺς δίκη, ὡς μηδεμίαν λοιπὸν δυνηθῆναι τοῖς ἐκείνων δεινοῖς παρισωθῆναι συμφοράν. Πρῶτοι γὰρ οὗτοι καὶ μόνοι τῶν ὑφ' ἡλίῳ πάντων ἀνθρώπων τοιαῦτα ἔπαθον· καὶ τούτων μάρτυς ἀξιόπιστος ὁ Χριστὸς, οὑτωσὶ λέγων· « Ὅτι ἔσται θλῖψις μεγάλη, οἷα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ μὴ γένηται. » Πάντα μὲν οὖν αὐτῶν τὰ πάθη διελθεῖν οὐ τοῦ παρόντος καιροῦ, ὀλίγα δὲ ἐκ πολλῶν ἀναγκαῖον εἰπεῖν. Ἐρῶ δὲ οὐκ ἐμὸν λόγον, ἀλλ' ἀνδρὸς Ἰουδαίου τοῦ τὰ ἐκείνων ἱστορηκότος ἀκριβῶς.

Τί ποτε οὖν οὗτος φησίν; Ἐπειδὴ τὸν ἐμπρησμὸν διηγήσατο τοῦ ἱεροῦ, καὶ τὰς καινὰς ἐκείνας ἀπήγγειλε συμφορὰς, « Τὰ μὲν περὶ τὸ ἱερὸν, φησὶν, ἐν τούτοις ἦν· τῶν δ' ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. Καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιὰ, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐγίνοντο οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. Πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ τὸν κόλπον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον ἑαυτῷ. Οἱ δὲ ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυττῶντες κύνες ἐσφάλλοντο καὶ παρεφέροντο, ταῖς θύραις ἐνσειόμενοι μεθυόντων τρόπον, ὑπὸ ἀμηχανίας δὲ εἰς τοὺς αὐτοὺς οἴκους εἰσπηδῶν δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. Πάντα δὲ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ὑποπαρωτάτοις τῶν ἀλόγων ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέμενον ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. Τροφὴ δὲ ἦν σφίσι καὶ χόρτου παλαιοῦ σπαράγματα· τὰς γὰρ ἴνας ἔνιοι συλλέγοντες, ἐλαχίστου σταθμὸν ἐπώλουν ἀττικῶν τεσσάρων. Καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, ὃ μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦσαι. Καὶ ἔγωγε μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε καὶ ψυχρὰν ἂν κατεθέμην τῇ πατρίδι χάριν καθυφέμενος τὸν λόγον ὧν πέπονθα τὰ ἔργα. Γυνή τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς δὲ Ἐλεαζάρου, κώμης Βηθεζώ (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου), διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. Ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν· τὰ δὲ λείψανα τῶν κειμηλίων, κἂν εἴτι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. Δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν. Ὡς δὲ οὔτι παροξυνόμενός

eos atque seductores appellantes. Verum illos tanta ultio corripuit, ut nulla calamitas possit eorum cladibus comparari. Nam primi et soli ex omni hominum genere talia passi sunt. Atque horum fide dignus testis est Christus, qui sic ait (*Matth.* 24. 21) : *Erit tribulatio magna, qualis non fuit ab initio mundi usque nunc, neque postea erit.* Ea quidem omnia, quæ illi passi sunt, prosequi non hujus est temporis et operis : pauca tamen ex multis necessario dicenda sunt. Verbis autem utar non meis, sed hominis Judæi (*Flavii Josephi*), qui eam historiam scripsit diligenter.

Quid ergo ait ille? Cum enarrasset incensum templum, novasque illas calamitates enuntiasset, sic pergit (VI, 3, p. 285) : *Et templum quidem hoc in statu erat ; eorum vero qui per civitatem fame occumbebant, infinita pæne cadebat multitudo, atque inenarrabiles contingebant calamitates. Nam per singulas domos, sicubi ciborum vel umbra esset, bellum aderat, ac vel amicissimi mutuo manus conserebant, ac misera illa animæ viatica diripiebant. Ne morientibus quidem quod cibo indigerent fides habebatur : sed eos quoque qui exspirabant, latrones perscrutabantur, ne quis forte simulata morte cibum sinu occultaret. Alii vero fame hiantes, tamquam rabidi canes mente destituti, insaniaque correpti, ebriorum more in ostia impingebant ; ac desperatione ducti, hora una bis terve in eamdem domum irrumpebant. Omnia vero dentibus subigebat penuria, et ea quæ ne sordidissimis quidem brutorum animantium usui erant colligentes, edere non dubitabant. Vel a cingulis et a calceamentis postremo non abstinebant, scutisque detracta coria mandebant. Esca autem iis erant etiam fœni veteris reliquiæ : festucas enim nonnulli colligentes, minimum earum pondo quatuor drachmis Atticis vendebant. Et quid opus est famis improbitatem in rebus inanimis persequi? Rem narraturus sum, qualem nec apud Græcos nec apud barbaros contigisse memoratur usquam, dictu horrendam, atque incredibilem auditu. Sane ego ne viderer portenta confingere futuris hominibus, hujusmodi calamitatem libenter tacuissem, nisi innumeros ejus rei testes haberem : præterea patriæ frigidam sane gratiam referrem, si quæ re ipsa passa est, ea narrando supprimerem. Mulier quædam ex iis, quæ ultra Jordanem incolebant, Maria nomine, patre Eleazaro, vico Bethezo (quod significat domum hyssopi), genere et divitiis insignis, cum reliqua multitudine Hierosolymam confugerat, simulque obsidebatur. Hujus omnem aliam substantiam tyranni diripuerant, quantam ex Peræa in Urbem transportaverat : reliquias autem reconditarum rerum, et si quid in cibum præpararetur, quotidie irrumpentes satellites diripiebant. Dira autem indignatio mulierculam subiit, ac prædones sæpe convitiis et maledictis insectans, in se ipsam concitabat.*

τις οὔτ' ἐλεῶν αὐτὴν ἀνήρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίου ἄλλοις ἐκοπία (πανταχόθεν δὴ ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν), ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὁρμὴν μετὰ τῆς ἀνάγκης, ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον (ἦν δ' αὐτῇ παῖς ὑπομάζιος) ἁρπασαμένη, Βρέφος, εἶπεν, ἄθλιον ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει, τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτοῖς· φθάνει δὲ καὶ δουλείαν ὁ λιμὸς, οἱ στασιασταὶ δ' ἀμφοτέρων χαλεπώτεροι· ἴθι γενοῦ μοι τροφὴ, καὶ τοῖς στασιασταῖς ἐρινύς, καὶ τῷ βίῳ μῦθος ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς. Καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱὸν, ἔπειτ' ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν καταχαλύψασα ἐφύλαττεν. Εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες, ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθὲν, ἀποσφάξειν αὐτὴν εὐθέως. Ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. Τοὺς δ' εὐθέως φρίκη τε καὶ φρενῶν ἔκστασις ἥρει, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεισαν. Ἡ δὲ, Ἐμὸν, ἔφη, τοῦτο τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν· φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα· μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς, μήτε συμπαθέστεροι μητρός. Εἰ δὲ ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν οὖν βέβρωκα, καὶ τὸ λοιπὸν ἐμοὶ μεινάτω. Μετὰ ταῦθ' οἱ μὲν τρέμοντες ἐξῆσαν, πρὸς ἓν τοῦτο δειλοὶ, καὶ μόνης ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες. Ἐνεπλήσθη δὲ ὅλη εὐθέως τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων τὸ πάθος λαμβάνων ἕκαστος, ὥσπερ αὐτῷ τολμηθὲν ἔφριττε· σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα. Ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. Τῶν δὲ οἱ μὲν ἠπίστουν, οἱ δὲ ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. »

Ταῦτα δὲ ἔπασχον, καὶ πολλῷ τούτων χαλεπώτερα, οὐκ ἐπειδὴ τὸν Χριστὸν ἐσταύρωσαν μόνον, ἀλλ' ἐπειδὴ καὶ μετὰ ταῦτα τοὺς ἀποστόλους ἐκώλυον τὰ πρὸς σωτηρίαν λαλεῖν τὴν ἡμετέραν. Ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος αὐτῶν κατηγορήσας, ταῦτα αὐτοῖς προεφήτευσε τὰ κακὰ, εἰπὼν ὅτι « Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. » Καὶ τί ταῦτα πρὸς ἡμᾶς, φησίν; οὐ γὰρ δὴ τῆς πίστεως ἀπάγομεν οὐδὲ τοῦ κηρύγματος. Καὶ τί τῆς πίστεως ὄφελος, εἰπέ μοι, βίου μὴ ὄντος καθαροῦ; Ἀλλ' ὑμεῖς μὲν ἴσως ἀγνοεῖτε καὶ ταῦτα, ἅτε καὶ τῶν ἡμετέρων ὄντες ἀνήκοοι πάντων· ἐγὼ δὲ ὑμῖν ἀπαριθμήσομαι τοῦ Χριστοῦ τὰς ἀποφάσεις· καὶ παρατηρεῖτε ὑμεῖς, εἰ μηδαμοῦ βίος ἐγκαλεῖται τότε, ἀλλ' ὑπὲρ πίστεως μόνης καὶ δογμάτων τὰ τῶν κολάσεων ὥρισται. Ἐπειδὴ γὰρ εἰς τὸ ὄρος ἀνῆλθε, πολὺν ἰδὼν περιῤῥέοντα ὄχλον αὐτὸν, μετὰ τὰς ἄλλας παραινέσεις ἔλεγεν, « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ'

Cum vero nullus aut ira correptus, aut ejus misertus, ipsam interficeret, ipsaque cibum quærere aliis ægre ferret (ac penitus jam undecumque inveniendi modus non erat), fames autem per viscera et medullas serperet, fameque vehementiore ira æstuaret, consilium dictante indignatione cum necessitate conjuncta, in naturam ipsam vertitur, et filium (erat quippe illi parvulus lactans) arripiens, Miser, inquit, puerule, in bello, in fame et seditione, cui te servabo? a Romanis, si vixerimus, servitus nos manet, sed servitutem antevertit fames, et utrisque sæviores seditiosi. Age, mihi cibus esto, seditiosis Erinnys, mundo fabula, qualis sola deest calamitatibus Judæorum. His dictis filium necat, deinde coquit, ejusque dimidium comedit, reliquias vero occultatas servabat. Adsunt continuo seditiosi, et nefario nidore pertracti, minantur mortem, nisi quod paraverat proferret. At illa cum partem illis bonam servasse se diceret, nati reliquias aperuit. Tum illos statim horror mentisque stupor occupavit, et ad talem aspectum quasi æneï defixi steterunt. Illa vero, Meus, inquit, est filius genuinus, opusque meum. Comedite, nam et ipsa comedi: ne sitis vel muliere molliores, vel matre misericordiores. Quod si vos pietatem colitis, hostiamque meam aversamini: ego quidem dimidium manducavi, jam quod reliquum est mihi maneat. Post hæc illi quidem trementes exierunt, hac una tantum in re timidi, eamque solam escam matri concedentes. Tanti statim facinoris fama urbs tota repleta est, ac præ oculis singuli eam calamitatem ponentes, non secus ac si ipsi fecissent exhorrescebant. Qui fame cruciabantur, mortem studio expetebant, beatosque prædicabant eos, qui his nondum auditis nec conspectis malis decesserant. Cito ad Romanos perlata est hæc calamitas. Ex iis alii non credebant, alii miserabantur, plurimi vero in majus gentis odium exarserunt.

6. Hæc multoque his atrociora patiebantur, non modo quia Christum cruci affixerant, sed quia post hæc apostolos ea loqui prohibebant, quæ ad salutem nostram pertinerent. Quod sane beatus Paulus crimini dans, hæc illis mala prænuntiavit (1 *Thess.* 2. 16): *Pervenit enim super eos ira in finem.* Et quid hæc, dicent, ad nos? non enim illos a fide abducimus, neque a prædicatione. At quid, quæso, fides conferet emolumenti, si vita pura non fuerit? Verum hæc vos forte ignoratis, quibus nostra omnia ignota sunt. Ego autem vobis Christi sententias enumerabo: et observetis velim, numquamne illic vita culpetur, sed pro fide tantum et dogmatibus supplicia constituta sint. Quum enim in montem ascendisset, videns innumeram circumfluentem multitudinem, præmissis aliis monitis, dicebat (*Matth.* 7. 21—23): *Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cælorum, sed qui facit voluntatem*

ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου· » καὶ, « Πολλοί μοι ἐροῦσί ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς, Ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐκ οἶδα ὑμᾶς ». Καὶ τὸν ἀκούοντα μέν, οὐ ποιοῦντα δὲ τοὺς λόγους αὐτοῦ, ὅμοιον ἔφησεν εἶναι ἀνδρὶ μωρῷ τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον οἰκοδομοῦντι, καὶ ποταμοῖς καὶ ὑετοῖς καὶ ἀνέμοις εὐχείρωτον αὐτὴν κατασκευάζοντι. Καὶ ἐν ἄλλῳ δὲ τόπῳ δημηγορῶν, « Καθάπερ οἱ ἁλιεῖς, φησίν, ὅταν τὴν σαγήνην ἑλκύσωσι, τοὺς φαύλους ἀποκρίνουσι τῶν ἰχθύων, οὕτω καὶ κατ' ἐκείνην ἔσται τὴν ἡμέραν, τῶν ἀγγέλων εἰς τὴν κάμινον ἐμβαλλόντων τοὺς ἡμαρτηκότας ἅπαντας. » Καὶ περὶ τῶν ἀσελγῶν δὲ καὶ ἀκαθάρτων ἀνθρώπων διαλεγόμενος ἔλεγεν ὅτι « Ἀπελεύσονται ὅπου ὁ σκώληξ ὁ ἀτελεύτητος καὶ τὸ πῦρ τὸ ἄσβεστον. » Καὶ πάλιν, « Βασιλεύς, φησίν, ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἰδὼν ἄνθρωπον ἐνδεδυμένον ἱμάτια ῥυπαρά, πρὸς αὐτὸν εἶπεν, Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Τότε λέγει τοῖς διακόνοις αὐτοῦ, Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον », τοῖς ἀκολάστοις καὶ ἀσελγέσι ταῦτα ἀπειλῶν. Καὶ αἱ παρθένοι δὲ αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι, δι' ὠμότητα καὶ ἀπανθρωπίαν τοῦτο ἔπαθον. Καὶ ἕτεροι δὲ πάλιν διὰ τὴν αὐτὴν αἰτίαν πορεύονται εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ οἱ ἁπλῶς καὶ εἰκῇ φθεγγόμενοι καταδικάζονται· « Ἐκ γὰρ τῶν λόγων σου, φησί, δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταχριθήσῃ. » Ἆρά σοι δοκοῦμεν μάτην ὑπὲρ βίου πεφοβῆσθαι καὶ πολλὴν τοῦ ἠθικωτέρου μέρους τῆς φιλοσοφίας ποιεῖσθαι σπουδήν; Οὐκ ἔγωγε οἶμαι, πλὴν εἰ καὶ τὸν Χριστὸν εἰκῇ ταῦτα πάντα εἰρηκέναι φαίης, καὶ τὰ τούτων πλείονα· οὐδὲ γὰρ ἅπαντα εἴρηται. Εἰ δὲ μὴ ὤκνουν μακρὸν ποιῆσαι τὸν λόγον, καὶ ἀπὸ τῶν προφητῶν καὶ ἀπὸ τοῦ μακαρίου Παύλου καὶ ἐκ τῶν ἄλλων ἀποστόλων ἐδίδαξα ἂν ὅσην ὑπὲρ τούτου τοῦ μέρους πεποίηται σπουδὴν ὁ Θεός. Πλὴν ἀλλὰ καὶ ταῦτα ἀποχρῆν οἶμαι· μᾶλλον δὲ οὐδὲ ταῦτα μόνον, ἀλλὰ καὶ μικρὸν τῶν εἰρημένων μέρος. Ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, κἂν ἅπαξ εἴπῃ, ὡς πολλάκις εἰρημένον, οὕτω δέχεσθαι χρὴ τὸ λεχθέν.

Τί οὖν, οἱ οἶκοι μένοντες, φησίν, οὐ δυνήσονται ταῦτα κατορθοῦν, ἃ μὴ κατορθούμενα τοσαύτην ἐπεισφέρει τὴν κόλασιν; Ἐβουλόμην καὶ αὐτὸς καὶ οὐχ ἧττον ὑμῶν, ἀλλὰ καὶ πολὺ πλέον, καὶ μυριάκις ηὐξάμην τῶν μοναστηρίων ἀναιρεθῆναι τὴν χρείαν, καὶ τοσαύτην ἐν ταῖς πόλεσι γενέσθαι τὴν εὐνομίαν, ὡς μηδένα δεηθῆναί ποτε τῆς εἰς τὴν ἔρημον καταφυγῆς· ἐπειδὴ δὲ τὰ ἄνω κάτω γέγονε, καὶ αἱ μὲν πόλεις, ἔνθα δικαστήρια καὶ νόμοι, πολλῆς γέμουσι παρανομίας καὶ ἀδικίας, ἡ δὲ ἐρημία πολλῷ βρύει τῷ τῆς φιλοσοφίας καρπῷ, οὐχ οἱ τῆς ζάλης ταύτης καὶ τῆς ταραχῆς τοὺς

Patris mei. Item, *Multi dicent mihi in die illa, Domine, Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo dæmonia ejecimus, et in nomine tuo virtutes multas fecimus? Et tunc confitebor illis: Recedite a me qui operamini iniquitatem: non novi vos.* Eum vero qui audit sermones ipsius, et non facit, similem esse dixit homini fatuo, domum suam super arenam ædificanti, qui eam fluminibus, pluviis et ventis facile diruendam parat. Item cum in alio loco concionaretur: « Sicut, inquit (*Matth.* 13. 47), piscatores, cum sagenam traxerint, malos pisces abjiciunt, ita erit in illa die, angelis eos omnes qui peccaverint in fornacem jacientibus. » De flagitiosis quoque et impuris hominibus loquens dicebat (*Marc.* 9-42), *Illuc abibunt, ubi vermis qui non moritur, et ignis qui non extinguitur.* Et rursum, *Rex*, inquit (*Matth.* 22. 2 *sqq.*), *fecit nuptias filio suo, et cum vidisset hominem vestitum vestibus sordidis, ait ad eum: Amice, quomodo huc intrasti non habens vestem nuptialem? At ille obmutuit. Tunc dixit ministris suis: Ligatis manibus et pedibus ejus, ejicite illum in tenebras exteriores.* Impudicis hæc atque flagitiosis comminatur. Virgines item, quæ a sponsi thalamo exclusæ fuerunt, ob crudelitatem et inhumanitatem hæc passæ sunt. Alii rursus eadem de causa eunt in ignem æternum, qui præparatus est diabolo et angelis ejus. Et ii quoque, qui temere et sine causa loquuntur, condemnabuntur: *Ex verbis quippe tuis*, ait (*Matth.* 12. 37), *justificaberis, et ex verbis tuis condemnaberis.* Ergone tibi videmur frustra de vita timere, magnamque ejus philosophiæ partis, quæ mores instituit, rationem habere? Id certe non puto: nisi forte Christum hæc omnia hisque plura temere dixisse jactites. Non enim hic omnia complectimur: quod nisi pigeret orationem prolixius extendere, et ex prophetis et ex beato Paulo et ex aliis apostolis docuissem quantam hac in parte curam posuerit Deus. Verum hæc arbitror satis esse, imo nec illa solum omnia, sed vel exiguam eorum partem. Quum enim Deus aliquid profert, etiamsi semel dicat, ita id quod dicitur accipiendum est ac si sæpe dixisset.

7. Quid igitur, inquies, qui domi manent non poterunt ea perficere, quæ nisi perficiantur, tantum supplicii pariunt? Vellem equidem ipse, nec minus quam vos, imo multo magis, ac frequenter optavi monasteriorum necessitatem tolli, ac tantum leges et jura optima in civitatibus valere, ut nemini jam opus sit ad solitudinem confugere: quoniam vero omnia susdeque jam versa, ipsæque civitates, in quibus tribunalia et leges, ingenti iniquitate et scelere impletæ sunt, solitudo autem uberrimos philosophiæ fructus emittit; profecto non illi jure a vobis in crimen vocentur, qui

σωθῆναι βουλομένους ἐξάγοντες, καὶ πρὸς τὸν τῆς ἡσυχίας δὸηγοῦντες λιμένα, δικαίως ἂν ἐγκαλοῖντο παρ' ὑμῶν, ἀλλ' οἱ πόλιν ἑκάστην οὕτως ἄβατον ἐργαζόμενοι καὶ πρὸς φιλοσοφίαν ἀνεπιτήδειον, ὡς ἀναγκάζεσθαι τοὺς σωθῆναι βουλομένους τὰς ἐρημίας διώκειν. Εἰπὲ γάρ μοι, εἴ τις μεσονύκτιον λαμπάδα λαβὼν οἰκίαν ἐνέπρησε μεγάλην καὶ πολυάνθρωπον, τοῖς ἔνδον καθεύδουσιν ἐπιβουλεύων, τίνα ἂν ἔχωμεν εἶναι κακὸν, τὸν διεγείροντα τοὺς καθεύδοντας καὶ τῆς οἰκίας ἐξάγοντα ἐκείνης, ἢ τὸν ἀνάψαντα τὸ πῦρ ἐξ ἀρχῆς, καὶ τοσαύτην ἀνάγκην αὐτοῖς τε ἐκείνοις καὶ τῷ τούτους ἐξαγαγόντι περιστήσαντα; Τί δὲ, εἴ τις τυραννουμένην πόλιν ἰδὼν καὶ νοσοῦσαν καὶ στασιάζουσαν, ἔπεισεν οὓς ἠδύνατο τῶν τὴν πόλιν ταύτην οἰκούντων ἀναδραμεῖν πρὸς τὰς τῶν ὀρῶν κορυφὰς, καὶ πείσας ὁμοῦ καὶ συνέπραξε πρὸς ταύτην αὐτοῖς τὴν ἀναχώρησιν, τίνος ἂν κατηγόρησας; τοῦ μεταθέντος ἀπὸ ταύτης τῆς ταραχῆς πρὸς τὴν γαλήνην ἐκείνην τοὺς ἐν μέσῳ χειμαζομένους ἀνθρώπους, ἢ τὸν ταῦτα ἐργασάμενον τὰ ναυάγια; Μὴ γάρ τοι νομίσῃς ἄμεινον τυραννουμένης πόλεως τὰ τῶν ἀνθρώπων πράγματα διακεῖσθαι νῦν, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. Οὐ γὰρ ἄνθρωπος, ἀλλά τις πονηρὸς δαίμων καθάπερ τύραννος ἄγριος τὴν οἰκουμένην ἅπασαν καταλαβὼν, μετὰ πάσης αὐτοῦ τῆς φάλαγγος εἰς τὰς τῶν ἀνθρώπων εἰσεκώμασε ψυχάς· εἶτα ἐκεῖθεν, ὥσπερ ἔκ τινος ἀκροπόλεως, τὰ μιαρὰ καὶ ἐναγῆ καθ' ἑκάστην ἡμέραν ἐπιτάγματα καταπέμπει πᾶσιν, οὐ γάμους διασπῶν, οὐδὲ χρήματα πράττων καὶ φέρων μόνον, οὐδὲ σφαγὰς ἐργαζόμενος ἀδίκους, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, τὰς ἅπαξ ἁρμοσθείσας τῷ Θεῷ ψυχὰς τῆς μὲν πρὸς ἐκεῖνον ὁμιλίας ἁπάντων, ἐκδιδοὺς δὲ τοῖς ἀκαθάρτοις αὐτοῦ δορυφόροις, καὶ συγκατακλίνεσθαι καταναγκάζων αὐτοῖς· οἵπερ ἐπειδὰν ἅπαξ αὐτὴν παραλάβωσιν, οὕτως αὐτῇ συγγίνονται αἰσχρῶς καὶ ὑβριστικῶς, ὡς εἰκὸς δαίμονας πονηροὺς σφοδρῶς καὶ μανικῶς τῆς τε ἀπωλείας καὶ τῆς ἀσχημοσύνης ἐρῶντας τῆς ἡμετέρας. Ἀποδύσαντες γὰρ αὐτὴν πάντων τῶν τῆς ἀρετῆς ἱματίων, καὶ τὰ τῆς κακίας ῥάκια περιθέντες τὰ ῥυπῶντα καὶ διερρηγμένα καὶ δυσώδη, καὶ τῆς γυμνότητος αἰσχροτέραν αὐτὴν ἀποφαίνοντα, καὶ πάσης τῆς οἰκείας προσαναπλήσαντες ἀκαθαρσίας, οὐ παύονται ταῖς εἰς αὐτὴν ἐμπομπεύοντες ὕβρεσιν. Οὐδὲ γὰρ ἴσασί τινα κόρον τῆς μιαρᾶς ταύτης καὶ παρανόμου μίξεως, ἀλλ' ὥσπερ οἱ μεθύοντες, ὅταν ἐμφορηθῶσι πολλοῦ τοῦ πόματος, τότε μᾶλλον ἐκκαίονται· οὕτω καὶ οὗτοι τότε μάλιστα μαίνονται, σφοδρότερόν τε αὐτῇ καὶ ἀγριώτερον ἐναλλόμενοι, ὅταν μάλιστα αὐτῇ παραχρήσωνται, κατακεντοῦντες πάντοθεν καὶ δάκνοντες, καὶ τὸν οἰκεῖον εἰς αὐτὴν ἐκχέοντες ἰὸν, καὶ οὐ πρότερον διαλιμπάνοντες, ἕως ἂν εἰς τὴν οἰκείαν μεταστήσωσιν ἕξιν, ἢ τοῦ σώματος ἴδωσιν ἀποδυθεῖσαν αὐτήν. Ποίας οὖν τυραννίδος, ποίας αἰχμαλωσίας, ποίας ἀναστατώσεως, τίνος ἀνδραποδισμοῦ, ποίου πολέμου, τίνος ναυαγίου, ποίου λιμοῦ ταῦτα οὐ χα-

alios ab hac procella et turbine liberari cupientes eripiunt et ad tranquillum portum deducunt; sed potius illi, qui civitates singulas philosophiæ sic invias et parum idoneas fecerant, ut qui salutem consequi volunt, solitudines sectari cogantur. Dic enim mihi: si quis in nocte media arrepta face domum incendisset magnam hominibusque repletam, ut intus dormientibus insidiaretur, utrum diceremus improbum esse, eumne qui dormientes excitaret, ædibusque illis educeret, an eum qui ab initio incendium excitasset, et in tantam necessitatem tum eos, tum educentem illos redegisset? Quid, si quis tyrannide oppressam civitatem, ægrotam et seditionibus agitatam videns, iis quibus posset persuaderet ut relicta civitate reciperent se ad montium vertices, iisque cum consilio etiam operam suam ad secessum faciendum conferret: quem in crimen vocares? eumne qui ab hujusmodi tumultu in tranquillitatem homines tempestate jactatos transtulisset, an eum qui naufragia ista præparasset? Cave enim putes meliore in statu res humanas jam esse, quam civitatem tyrannide oppressam; verum in longe deteriori. Non enim homo, sed dæmon quidam nequissimus, tamquam tyrannus immanis, cum tota sua phalange universum orbem occupans, in humanas animas invasit: inde vero quasi ex arce quadam, exsecranda et scelerata quotidie imperia hominibus emittit, non matrimonia dirimens solum, non pecunias exigens auferensque, non cædes perpetrans iniquas, verum his longe graviora, nempe conjunctas semel Deo animas ab ejus consortio abducens, tradensque impuris suis satellitibus, illisque ipsas substerni cogens, qui postquam earum unam semel apprehenderint, ita turpiter cum illa congrediuntur, ita contumeliose, ut par est facere nequissimos dæmonas vehementer ac cum furore perniciem ignominiamque nostram expetentes. Nudatam quippe illam omnibus virtutum indumentis, vitiorumque pannis amictam, sordidis, conscissis ac fœtidis, ipsa nuditate turpiorem constitutam, omnique propria ipsis immunditia repletam non cessant contumeliis onerare. Neque enim ullam norunt exsecrandi et iniqui hujusmodi concubitus satietatem; sed ebriorum instar, qui cum se mero multo ingurgitaverint, tunc magis exardescunt, sic etiam hi tunc maxime insaniunt, eique et vehementius et ferocius insultant, cum maxime illa abusi sunt, confodientes eam semper ac mordentes, suumque in eam virus effundentes, nec prius desinentes, quam eam in suum statum transtulerint, vel corpore solutam viderint. Qua igitur tyrannide, qua captivitate, qua vastitate, qua servitute, quo bello, quo naufragio, qua fame hæc non graviora fuerint? Quis tam crudelis, quis tam ferus,

λεπώτερα; Τίς οὕτως ὠμὸς καὶ ἀνήμερος, τίς οὕτως ἠλίθιος καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθὴς καὶ ἀνάλγητος, ὡς τὴν τὰ τοιαῦτα ὑβριζομένην καὶ ἐπηρεαζομένην ψυχὴν μὴ θελῆσαι, τό γε εἰς αὐτὸν ἧκον, τῆς ἐναγοῦς ἐκείνης ἀπαλλάξαι μανίας καὶ ὕβρεως, ἀλλὰ τοιαῦτα πάσχουσαν περιορᾶν; Εἰ δὲ τοῦτο ἀπηνοῦς καὶ λιθίνης ψυχῆς, ποῦ θήσομεν, εἰπέ μοι, τούτους, οἳ πρὸς τῷ περιορᾶν καὶ ἕτερον πολλῷ μεῖζον τούτου ἐργάζονται κακὸν, τοὺς προθυμουμένους εἰς μέσους πηδῆσαι τοὺς κινδύνους καὶ μὴ παραιτουμένους εἰς αὐτὸν τοῦ θηρίου τὸν λαιμὸν καθεῖναι τὰς χεῖρας, ἀλλὰ καὶ δυσωδίας καὶ κινδύνων ἀνεχομένους, ἵνα τὰς ἤδη καταποθείσας ψυχὰς ἐξ αὐτῆς τοῦ δαίμονος τῆς φάρυγγος ἀνασπάσωσιν, οὐ μόνον οὐκ ἐπαινοῦντες, οὐδὲ ἀποδεχόμενοι, ἀλλὰ καὶ ἐλαύνοντες πάντοθεν καὶ πολεμοῦντες;

Τί οὖν; φησὶ, πάντες οἱ τὰς πόλεις οἰκοῦντες ἀπολώλασι καὶ χειμάζονται, καὶ δεῖ τὰς πόλεις ἀφέντας καὶ ἐρημώσαντας πρὸς τὴν ἔρημον μεταστῆναι, καὶ τῶν ὀρῶν τὰς κορυφὰς οἰκίζειν; καὶ σὺ ταῦτα κελεύεις καὶ νομοθετεῖς; Ἄπαγε· τοὐναντίον γὰρ, καθάπερ καὶ ἔρθην εἶπον, καὶ ἐβουλόμην καὶ εὔχομαι τοσαύτης ἡμᾶς ἀπολαύειν εἰρήνης, καὶ τὴν τυραννίδα τῶν κακῶν τούτων εἰς τοσοῦτον καταλυθῆναι, ὡς μὴ μόνον τοῖς ἐν ταῖς πόλεσιν ἀνάγκην μὴ γενέσθαι τὰ ὄρη καταλαβεῖν, ἀλλὰ καὶ τοὺς τὰς ἐρημίας οἰκοῦντας καθάπερ τινὰς φυγάδας διὰ μακροῦ τοῦ χρόνου πρὸς τὴν αὐτῶν πόλιν καταγαγεῖν. Ἀλλὰ τί πάθω; δέδοικα μὴ τῇ πατρίδι σπουδάζων αὐτοὺς ἀποδοῦναι, ἀντὶ ταύτης ταῖς τῶν πονηρῶν δαιμόνων χερσὶ παραδῶ, καὶ βουλόμενος ἀπαλλάξαι ἐρημίας καὶ φυγῆς, φιλοσοφίας παρασκευάσω καὶ ἡσυχίας πάσης ἐκπεσεῖν. Εἰ δέ μοι τὸ πλῆθος τῶν ἐν τῇ πόλει προφέρων, ταύτῃ με δυσωπήσειν οἴει καὶ δεδίξεσθαι, ὡς οὐκ ἀνεξόμενον καταδικάσαι τὴν οἰκουμένην ἅπασαν, τοῦ Χριστοῦ τὴν ἀπόφασιν λαβὼν, μετ' αὐτῆς στήσομαι πρὸς ταύτην σου τὴν ἀντίθεσιν. Οὐδὲ γὰρ ἀνέξῃ πρᾶγμα τοσαύτης γέμον ὑπομεῖναι τόλμης, ὡς πρὸς τὴν ψῆφον ἀντιβλέψαι τοῦ τότε μέλλοντος κρίνειν ἡμᾶς. Τί οὖν οὗτός φησι; ὅτι « Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. » Εἰ δὲ οἱ εὑρίσκοντες ὀλίγοι, πολλῷ μᾶλλον οἱ πρὸς τὸ τέλος αὐτῆς φθάσαι δυνάμενοι. Οὐ γὰρ δὴ πάντες ὅσοι τῆς ἀρχῆς ἐπέβησαν, καὶ πρὸς τὸ πέρας αὐτῆς ἴσχυσαν στῆναι· ἀλλ' οἱ μὲν ἐν τοῖς προοιμίοις, οἱ δὲ ἐν τῷ μέσῳ, πολλοὶ δὲ καὶ πρὸς αὐτῷ τῷ λιμένι κατεποντίσθησαν. Καὶ πάλιν πολλοὺς μὲν εἶναί φησι τοὺς κλητοὺς, ὀλίγους δὲ τοὺς ἐκλεκτούς. Ὅταν οὖν ὁ Χριστὸς τὸ μὲν πλέον εἶναι τῆς ἀπωλείας, ἐν δὲ τοῖς ὀλίγοις περιορίσθαι τὴν σωτηρίαν ἀποφαίνηται, τί πρὸς ἐμὲ μάχῃ; Ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἰ καὶ περὶ τῶν κατὰ τὸν Νῶε συμβεβηκότων λόγων γινομένων ἡμῖν ἐθαύμαζες, εἰ πάντες μὲν ἀπολώλασι, δύο δὲ καὶ τρεῖς ἄνθρωποι μόνοι τὴν τοσαύτην διέφυγον κόλασιν, ταύτῃ προσδοκῶν ἐμφράξαι ἡμῶν τὸ στόμα, ὡς οὐ

quis adeo stultus, quis adeo inhumanus atque immisericors, qui tot contumeliis et damnis affectam animam nolit ab exsecrando illo furore et ignominia, pro virili sua, liberare, sed illam tam male affectam negligat? Quodsi id est immanis atque lapidei animi, quo in loco, dic mihi, statuemus eos, qui præter illam negligentiam, aliud quiddam longe deterius agunt, cum eos, qui ad pericula alacriter insilire parati sunt, quique non renuunt in ipsum belluæ guttur manus immittere, quin imo fœtorem et pericula subeunt, ut jam devoratas animas ex ipsis dæmonis faucibus extrahant, non modo non laudant neque approbant, sed etiam expellunt undique et oppugnant?

8. Quid igitur? dicet quispiam: cunctine qui urbes incolunt periere et fluctibus jactantur, atque oportet urbibus relictis et in deserta conversis, in solitudinem se transferant, et in cacuminibus montium sedes ponant? et tu hæc jubes et hanc legem statuis? Apage! nam contrarium penitus, ut prius dicebam, volo, votisque omnibus exopto nos tanta frui pace, et malorum hujusmodi tyrannidem ita destrui, ut non modo iis qui in urbibus degunt, non sit ad montes confugiendi necessitas, sed ut illis etiam, qui solitudines incolunt, quasi quibusdam longo tempore fugitivis, ad suam urbem se recipere opus sit. Sed quid faciam? vereor ne dum illos patriæ restituere studeo, nequissimorum dæmonum manibus tradam, neu dum illos a solitudine et fuga reducere cupio, a philosophia et tranquillitate omni excidere faciam. Quodsi multitudinem civium proferens, illa tu mihi pudorem et metum inculere putes, ne totum orbem damnari patiar, assumpta Christi sententia, cum illa adversus hanc tuam objectionem stabo. Neque enim tam audax facinus admittes, ut etiam ejus, qui illa die nos judicaturus est, sententiæ obsistas. Quid igitur ille dicit? *Angusta est,* inquit (*Matth.* 7. 14), *janua, et arcta via, quæ ducit ad vitam, et pauci sunt qui inveniunt eam.* Si vero pauci sunt qui inveniunt, sane longe pauciores, qui ad finem ejus pervenire poterunt. Neque enim omnes qui principium adierunt, ad finem etiam pertingere potuerunt; sed alii ipso statim initio, alii in medio, alii in ipso fere portu naufragium fecerunt. Rursumque multos ait esse vocatos, paucosque electos. Cum itaque Christus majorem esse pereuntium partem dicat, in paucis vero salutem præfinitam esse asseveret, quid adversum me pugnas? Id ipsum enim facis ac si de Noe ac de diluvio verba facientibus nobis admirareris, si omnes perierint, duo autem tantum tresve homines supplicium effugerint; cum te hac ratione nobis os obstruere posse

τολμώντων καταδικάσαι τὸ πλῆθος. Ἀλλ' οὐ πεισόμεθα τοῦτο, οὐδὲ τῆς ἀληθείας τοὺς πολλοὺς προτιμήσομεν. Οὐδὲ γὰρ τῶν τότε συμβεβηκότων ἐλάττω τὰ νῦν, ἀλλὰ καὶ πολλῷ μιαρώτερα, ὅσῳ καὶ γέεννα τούτοις ἠπείληται, καὶ τὰ τῆς κακίας οὐδὲ οὕτως ἐκκόπτεται. Τίς γὰρ, εἰπέ μοι, μωρὸν οὐ καλεῖ τὸν ἀδελφόν; τοῦτο δὲ ὑπεύθυνον ποιεῖ τῷ τῆς γεέννης πυρί. Τίς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς εἰς γυναῖκα; τοῦτο δὲ μοιχεία ἀπηρτισμένη· τὸν δὲ μοιχὸν πάλιν εἰς τὴν αὐτὴν ἀνάγκη ἐμπίπτειν γέενναν. Τίς οὐκ ὤμοσε; τοῦτο δὲ ἐκ τοῦ πονηροῦ (πάντως)· τὸ δὲ ἐκ τοῦ πονηροῦ, καὶ αὐτὸ κολάσεως πάντως. Τίς οὐκ ἐβάσκηνε φίλῳ ποτέ; τοῦτο δὲ καὶ ἐθνικῶν καὶ τελωνῶν χείρους ποιεῖ· τοὺς δὲ ἐκείνων χείρους ὅτι οὐκ ἔνι κόλασιν διαφυγεῖν, παντί που δῆλόν ἐστι. Τίς ἐκ καρδίας ἅπασαν μῆνιν ἐξήλασε, καὶ τὰ πάντων τῶν εἰς αὐτὸν πεπλημμεληκότων εἴασεν ἁμαρτήματα; τὸν δὲ οὐκ ἀφέντα, ὅτι τοῖς βασανιστηρίοις ἀνάγκη παραδοθῆναι, τῶν ἀκηκοότων τοῦ Χριστοῦ οὐδεὶς ἀντερεῖ. Τίς δὲ οὐκ ἐδούλευσε τῷ μαμωνᾷ; τὸν δὲ ἐκείνῳ δουλεύσαντα ἀνάγκη παραιτήσασθαι τοῦ Χριστοῦ τὴν δουλείαν· ἐκείνην δὲ ἀρνησάμενον, καὶ τὴν οἰκείαν ἀνάγκη σωτηρίαν ἀρνήσασθαι. Τίς οὐκ ἐκακηγόρησε λάθρα; τούτους δὲ καὶ ἡ Παλαιὰ ἀποκτίννυσθαι κελεύει καὶ κατασφάττεσθαι. Ἀλλὰ τίς ἡ παραμυθία τῶν οἰκείων κακῶν; Τὸ πάντας ὥσπερ ἔκ τινος συνθήματος πρὸς τὸ τῆς κακίας ὀλισθῆσαι βάραθρον· ὃ καὶ αὐτὸ τῆς κατεχούσης νόσου τεκμήριόν ἐστι μέγιστον, ὅταν τοῦτο παραμυθίαν φέρῃ τῶν κακῶν ἡμῖν, ὃ μείζονος ὀδύνης ὑπόθεσιν εἶναι ἐχρῆν. Οὐ γὰρ δὴ τὸ πολλοὺς ἔχειν κοινωνοὺς τῶν ἁμαρτημάτων ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς καὶ τῶν τιμωριῶν. Εἰ δέ τις ἐπὶ τοῖς εἰρημένοις ἀπέγνω, μικρὸν ἀναμεινάτω, καὶ τότε ἀπογνώσεται πλέον, ὅταν τὰ πολλῷ τούτων εἴπωμεν χαλεπώτερα, οἷον τὰς ἐπιορκίας. Εἰ γὰρ τὸ ὀμόσαι διαβολικὸν, τὸ καὶ τοὺς ὅρκους πατῆσαι ποίαν οἴσει τιμωρίαν ἡμῖν; Εἰ τὸ μωρὸν καλέσαι γέενναν ἕλκεται, τὸ καὶ μυρίοις ὀνείδεσιν αἰσχῦναι τὸν ἀδελφὸν τὸν οὐδὲν ἠδικηκότα πολλάκις, τί οὐκ ἂν ἐργάσεται; Εἰ τὸ μνησικακεῖν μόνον τιμωρίας ἄξιον, τὸ καὶ ἐπεξιέναι πόσην ἔχει τὴν βάσανον; Ἀλλὰ μήπω περὶ τούτων, ἀλλ' ἐν τῷ οἰκείῳ ταῦτα φυλαττέσθω τόπῳ. Ἵνα γὰρ τὰ ἄλλα παρῶ, αὐτὸ δὴ τοῦτο τὸ καταναγκάσαν ἡμᾶς εἰς τοῦτον καθεῖναι τὸν λόγον, οὐχὶ ἱκανὸν καὶ μόνον τῆς κατεχούσης νόσου τὴν κακίαν ἐνδείξασθαι; Εἰ γὰρ τὸ τῶν οἰκείων ἁμαρτημάτων μὴ ἐπαισθάνεσθαι, ἀλλ' ἀναλγήτως πλημμελεῖν, ἔσχατος ὅρος κακίας ἐστὶ, ποῦ τάξομεν τοὺς νέους τούτους νομοθέτας τῆς καινῆς ταύτης καὶ ἀτοπωτάτης νομοθεσίας, οἳ μετὰ πλείονος τῆς παῤῥησίας τοὺς τῆς ἀρετῆς ἀπελαύνουσι διδασκάλους, ἢ τοὺς τῆς κακίας ἕτεροι, καὶ τῶν πλημμεληκότων πλέον τοῖς διορθοῦν πειρωμένοις ἐκπεπολέμωνται; μᾶλλον δὲ πρὸς ἐκείνους μὲν οὔτε ἀηδῶς ἔχουσιν, οὔτε ἐγκαλοῦσί ποτε, τούτων δὲ κἂν ἀπογεύσαιντο ἡδέως, μονονουχὶ βοῶντες καὶ δι'

putas, ut non ausuri simus damnare multitudinem. Verum non accidet hoc nobis, neque multitudinem illam veritati præferemus. Neque enim iis, quæ tunc contigerunt, minora sunt hodierna; sed multo deteriora, quoniam nostris gehennæ comminatio intentatur, et ne sic quidem vitia exciduntur. Quis enim, quæso, fatuum non appellat fratrem? illud autem gehennæ ignis facit obnoxium. Quis non impudicis oculis mulierem respicit? hoc autem est consummatum adulterium: moechum vero in eamdem gehennam incidere certum est. Quis non juravit? hoc autem ex malo est: at quod ex malo est, supplicio haud dubie obnoxium. Quis non amico invidit unquam? id vero ethnicis et publicanis pejores facit: eos autem qui illis deteriores sunt, non posse supplicium effugere nemini non notum est. Quis iracundiam omnem ex corde ejecit, et omnium, qui in se deliquerunt, peccata remisit? eum autem qui non remiserit tormentis necessario tradendum esse, nullus eorum, qui Christum audierint, negaturus est. Quis non servivit mamonæ? eum vero qui ipsi servierit, Christi servitutem abjecisse certum est; at qui Christi servitutem abjecit, propriam salutem haud dubie abnegavit. Quis non occulte maledixit? hos autem vetus quoque lex interfici jubet et jugulari. Sed quæ consolatio in propriis malis? Quod omnes ceu ex condicto in nequitiæ barathrum decidant, quod ipsum ejus, qui nunc obtinet, morbi argumentum est maximum; quum scilicet id in malis solatium nobis affert, quod majoris doloris materia esse deberet. Neque enim multitudo in peccando sociorum nos a criminibus et supplíciis eripit. Quodsi quis ex iis, quæ supra diximus, in desperationem incidat, paulisper exspectet, et tunc magis desperabit, quum his multo graviora dixerimus, qualia sunt perjuria: nam si jurare diabolicum est, juramenta conculcare quale nobis afferet supplicium? Si fatuum appellare gehennam attrahit, sexcentis conviciis dehonestare fratrem, qui sæpe nihil nos læsit, quod non adducet supplicium? Si injuriarum meminisse tantum punitione dignum est, etiam ulcisci quantos cruciatus promeretur? Sed nondum de his; sed suo hæc loco reservantur. Ut enim alia omittam, hoc ipsum quod nobis ad hæc scribenda descendendum est, nonne vel solum sufficit ad præsentis morbi pestem indicandam? Si enim propriorum sensu peccatorum non afficí, sed sine ullo dolore scelera perpetrare, extremus malitiæ terminus est; quo in loco tandem novos istos legislatores, recentis hujus absurdissimæque legis auctores statuemus, qui majori cum fiducia virtutis magistros, quam alii malitiæ repellunt, eosque multo acrius oppugnant qui peccata emendare volunt, quam eos qui ipsi peccaverunt? imo potius istos nec illibenter ferunt, nec criminantur; hos autem libenter vel devorarent, quodam-

ὧν λέγουσι καὶ δι' ὧν ποιοῦσιν, ὅτι δεῖ τῆς κακίας ἀπρὶξ ἔχεσθαι, καὶ μηδέποτε ἐπανελθεῖν πρὸς ἀρετὴν, ὡς οὐ μόνον τοὺς μετιόντας αὐτὴν, ἀλλὰ καὶ τοὺς φωνὴν ὑπὲρ ταύτης ῥῆξαι τολμῶντας ἀμύνεσθαι δέον.

modo et verbis et operibus clamantes, nequitiæ mordicus inhærendum esse, atque ad virtutem nunquam redeundum; ita ut non modo eos qui operam dant ipsi, verum etiam eos qui vocem pro illa emittere audent ulcisci oporteat.

ΠΡΟΣ ΑΠΙΣΤΟΝ ΠΑΤΕΡΑ.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα ἔκστασιν ἐργάσασθαι καὶ φρίκην· κἂν τὸ προφητικόν τις ἐκεῖνο ἐπὶ τούτοις φθέγγηται νῦν, ὅτι « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα· » καὶ ὅτι « Ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς, » εὐκαίρως πάντα τὰ τοιαῦτα ἐρεῖ. Τὸ δὲ τούτων χαλεπώτερον, ὅτι οὐ μόνον ἀλλότριοί τινες καὶ οὐδὲν τοῖς συμβουλευομένοις προσήκοντες τοιαῦτα ἀγαναχτοῦσι καὶ δυσχεραίνουσιν, ἀλλὰ συγγενεῖς καὶ πατέρες ἔμαθον ὑπὲρ τούτων ὀργίζεσθαι. Καίτοι γε οὐκ ἀγνοῶ ὅτι πολλοὶ πρὸς μὲν τοὺς πατέρας τοῦτο ποιοῦντας οὐ σφόδρα ἐκπλήττονται, ἀποπνίγεσθαι δέ φασι τῷ θυμῷ, ὅταν ἴδωσι τοὺς μήτε πατέρας μήτε φίλους μήτε συγγενεῖς μήτε ἄλλοθέν ποθεν ἐπιτηδείους, πολλάκις δὲ καὶ ἀγνῶτας ὄντας τοῖς φιλοσοφεῖν αἱρουμένοις, τὸ αὐτὸ τοῦτο πάσχοντας, καὶ μᾶλλον τῶν πατέρων δακνομένους καὶ πολεμοῦντας καὶ κατηγοροῦντας τῶν ἀναπεισάντων αὐτούς. Ἐμοὶ δὲ τοὐναντίον εἶναι δοκεῖ θαυμαστόν. Τοὺς μὲν γὰρ μήτε κηδεμονίας μήτε φιλίας ἔχοντάς τι δικαίωμα, οὐδὲν ἀπεικὸς ἐστιν ἐπὶ τοῖς ἀλλοτρίοις ἀλγεῖν ἀγαθοῖς, πῇ μὲν ὑπὸ βασκανίας ἁλισκομένους, πῇ δὲ τῆς οἰκείας κακίας [ἀπαλλαγήν] τὴν τῶν ἄλλων ἀπώλειαν εἶναι νομίζοντας, ἀθλίως μὲν καὶ ταλαιπώρως, νομίζοντας δ' οὖν ὅμως· τὸ δὲ τοὺς γεννησαμένους, τοὺς ἀναθρεψαμένους, τοὺς καθ' ἑκάστην εὐχομένους ἡμέραν εὐδοκιμωτέρους σφῶν αὐτῶν τοὺς παῖδας ἰδεῖν, τοὺς πάντα διὰ τοῦτο καὶ ποιοῦντας καὶ πάσχοντας, τούτους δὲ ὥσπερ ἔκ τινος μέθης ἐξαίφνης μεταβαλλομένους ἀλγεῖν, ἐπὶ φιλοσοφίᾳ τῶν παίδων ἀγομένων αὐτοῖς, τοῦτό ἐστιν ὃ μάλιστα πάντων ἐγὼ θαυμάζω, καὶ τοῦ πάντα διεφθάρθαι τεκμήριον εἶναί φημι ἱκανόν. Τοῦτο γὰρ οὐδ' ἐπὶ τῶν ἔμπροσθεν χρόνων ἔχοι τις ἂν γεγενημένον εἰπεῖν, ὅτε καὶ τὰ τῆς πλάνης ἐκράτει λαμπρῶς· ἀλλ' ἐγένετο μὲν ἅπαξ ἐν Ἑλληνίδι πόλει, τυραννουμένη δέ. Οὐ γὰρ δὴ τότε τῶν γονέων τις καθάπερ νῦν, ἀλλ' οἱ τὴν ἀκρόπολιν καταλαβόντες, μᾶλλον δὲ οὐδὲ οὗτοι πάντες, ἀλλὰ καὶ τούτων αὐτῶν ὁ μιαρώτατος τὸν Σωκράτην καλέσας, ἐκέλευε τῶν ὑπὲρ φιλοσοφίας ἀποστῆναι λόγων. Ἀλλ' ἐκεῖνος μὲν καὶ τύραννος καὶ ἄπιστος καὶ ὠμὸς καὶ ἐπ' ἀνατροπῇ τῆς πολιτείας ἅπαντα πράττων, καὶ τοῖς ἀλλοτρίοις ἐντρυφῶν κακοῖς, καὶ εἰδὼς ὅτι πολιτείαν ἀρίστην οὐδὲν ἕτερον ἀνατρέψαι δύναται ὡς τὸ τοιοῦτον ἐπίτα-

AD INFIDELEM PATREM.

LIBER SECUNDUS.

1. Satis quidem hæc erant, ut stupor et horror incuteretur. Quodsi quis circa eos propheticum illud (*Jer.* 2. 12) proferat: *Obstupuit cælum super hoc, et exhorruit terra vehementer*; itemque (*ib.* 5. 30): *Stupor atque horrenda facta sunt in terra*, opportune hujusmodi omnia dicat. Quod autem his longe gravius est, non modo alieni quidam, et nullo iis quibus consulitur propinquitatis jure conjuncti, ita indignantur et ægre ferunt; verum ipsi consanguinei et parentes super his irasci didicerunt. Tametsi non ignoro complures esse, qui patres id agere non admodum stupent: suffocari autem se dicunt ac iracundia incendi, quum videant eos qui neque patres sunt, neque amici, neque consanguinei, neque alia ex parte necessarii, imo sæpe ignoti iis qui philosophiæ se dare et monasticam vitam agere instituunt, hoc ipsum pati, ac plus quam ipsi patres dolere, oppugnare et in crimen vocare eos qui hujus propositi auctores ipsis fuere. Mihi vero quod oppositum est mirum esse videtur. Eos enim qui nullo vel tutelæ vel amicitiæ jure tenentur, alienis in bonis angi, minime mirum videtur esse, utpote partim invidia correptos, partim vero sui infortunii finem et medicinam esse aliorum infortunium arbitrantes; misere id quidem et infeliciter, arbitrantes tamen: quod autem ii qui genuerunt, qui educaverunt, qui quotidianis votis exoptant natos suos se ipsis præclariores videre, qui ea de causa cuncta faciunt et patiuntur; eos ceu quadam ebrietate correptos repente mutari et angi de philosophiæ studio a filiis in vita monastica suscepto; illud est quod ego maxime omnium admiror, illud ego argumentum esse puto idoneum, quod omnia corrupta perditaque sint. Hoc vel elapsis contigisse temporibus nemo dixerit, cum palam dominaretur error. Ac semel quidem accidit in civitate Græca, sed quam tyranni occupabant: neque tamen tunc parentum aliquis, ut nunc, sed qui arcem occupaverant; nec omnes quidem, verum qui horum ipsorum erat flagitiosissimus, accersitum Socratem jubebat a philosophiæ doctrina absistere. At ille quidem, tyrannus, infidelis et sævus, qui ad evertendam rempublicam cuncta moliebatur, alienisque in malis sese jactabat, gnarus nihil perinde atque talem jussionem optimum reipublicæ statum posse pervertere, hæc ausus est. At hi

γμα, ταῦτα ἐτόλμησεν· οὗτοι δὲ πιστοὶ, καὶ ἐν εὐνομουμέναις ἔῤῥθεν πόλεσι ζῶντες, καὶ περὶ παίδων τῶν αὐτῶν βουλευόμενοι, ταῦτα φθέγγεσθαι τολμῶσιν, ἃ περὶ τῶν τυραννουμένων ὁ τύραννος, καὶ οὐκ αἰσχύνονται· ὥστε ὑπὲρ τούτων μᾶλλον δυσχεραινόντων ἢ τῶν ἄλλων θαυμάζειν χρή. Καὶ διὰ τοῦτο καὶ αὐτὸς ἐκείνων ἀφέμενος, τούτοις οἷς μάλιστα μέλει τῶν παίδων, μᾶλλον δὲ οἷς μέλειν μὲν ἔδει, μέλει δὲ οὐδαμῶς, διαλέξομαι προσηνῶς καὶ μετ' ἐπιεικείας πολλῆς, τοσοῦτον αὐτοὺς παραιτησάμενος, μὴ δυσχεραίνειν μηδὲ ἀγαναχτεῖν, εἴ τις τὸ λυσιτελὲς τοῖς ἐκείνων παισὶ μᾶλλον αὐτῶν ἐκείνων εἰδέναι λέγοι. Οὐ γὰρ ἀρκεῖ τὸ σπεῖραι παῖδα [πρὸς τὸ] καὶ τὸ συμφέρον τῷ γενηθέντι διδάξαι τὸν φυτευσάμενον, ἀλλὰ πρὸς μὲν τὴν φιλοστοργίαν τοῦ τεχθέντος μεγάλα ἂν τοῦτο συμβάλοιτο, πρὸς δὲ τὸ μαθεῖν αὐτοῦ τὸ λυσιτελὲς ἀκριβῶς, οὔτε τὸ σπείρειν οὔτε τὸ φιλεῖν ἀρκέσειεν ἄν. Ἐπεὶ εἰ τοῦτο ἦν, οὐδένα ἀνθρώπων πατρὸς μᾶλλον τὸ χρήσιμον ἐχρῆν ὁρᾶν τῷ παιδὶ, ἐπειδὴ μηδὲ φιλεῖν μᾶλλον αὐτοῦ τῶν ἄλλων δύναιτό τις τοῦτον· νῦν δὲ καὶ αὐτοὶ οἱ πατέρες δι' ὧν ποιοῦσιν ὁμολογοῦσι τοῦτο ἀγνοεῖν, ὅταν πρὸς διδασκάλους ἄγωσιν, ὅταν παιδαγωγοῖς ἐγχειρίζωσιν, ὅταν μυρίους παραλαμβάνωσι συμβούλους, περὶ τῆς τοῦ βίου προαιρέσεως, ἐφ' ἣν τὸν παῖδα ἄγειν δεῖ, βουλευόμενοι. Καὶ οὐ τοῦτό πω θαυμαστὸν, ἀλλ' ὅτι πολλάκις βουλῆς γινομένης, τὴν αὑτῶν ἀκυρώσαντες, τὴν ἑτέρων ἔστησαν ὑπὲρ τῶν οἰκείων βουλευόμενοι παίδων. Μὴ τοίνυν μηδὲ πρὸς ἡμᾶς δυσχερῶς ἐχέτωσαν, εἰ λέγοιμεν τὸ συμφέρον αὐτοῖς εἰδέναι μᾶλλον· ἀλλ' εἰ μὴ διὰ τῶν λόγων ἀποδείξαιμεν, τότε κατηγορεῖν, τότε διαβάλλειν ὡς ἀλαζόνας καὶ λυμεῶνας ὄντως καὶ τῆς φύσεως ἁπάσης ἐχθρούς.

Πῶς οὖν τοῦτο ἔσται δῆλον, καὶ πόθεν εἰσόμεθα τίς μὲν ὁ τὸ συμφέρον ὄντως ὁρῶν, τίς δὲ ὁ δοκῶν μὲν ὁρᾶν, ὁρῶν δὲ οὐδαμῶς; Ἂν τοὺς παρ' ἐμοῦ λόγους καθάπερ τινὰς ἀνταγωνιστὰς εἰς ἐξέτασιν κατιέναι καταναγκάσαντες καὶ συμπλακῆναι, περὶ τούτων ἀδικάστοις κριταῖς ἐπιτρέψομεν τὴν ἐξέτασιν. Ὁ μὲν οὖν τοῦ ἀγῶνος νόμος πρὸς τὸν Χριστιανὸν ἀποδύεσθαι κελεύει, καὶ πρὸς ἐκεῖνον ἀγωνίζεσθαι μόνον, καὶ πλέον ἀπαιτεῖ οὐδὲν παρ' ἡμῶν. « Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; » ὁ μακάριος Παῦλός φησιν. Ἀλλ' ἐπειδὴ συμβαίνει πολλοὺς καὶ ἀπίστους εἶναι τῶν πρὸς τὸν οὐρανὸν ἑλκομένων παίδων πατέρας, καίτοι γε τοῦ νόμου τῶν ἀγώνων ἀφιέντος ἡμᾶς τῆς πρὸς τούτους μάχης, ἑκόντες αὐτοὶ καὶ μετὰ προθυμίας καὶ πρὸς τούτους ἀποδυσόμεθα πρώτους. Καὶ εἴθε πρὸς τούτους μόνον ἦν ἡμῖν ὁ ἀγὼν, καίτοι γε δυσχερέστερός τέ ἐστι καὶ πλείονας ἔχει λαβάς· « ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι· » καὶ συμβαίνει ταὐτὸν, οἷον ἂν εἴ τις βασιλείας ἐρᾶν πείθοι τὸν οὐκ ἐθέλοντα πεισθῆναι πρότερον ὅτι τὸ πρᾶγμα ὑφέστηκεν. Ἀλλ' ὅμως καὶ οὕτως εἰς στενὸν ἡμῖν κατακεκλεισμένων τῶν λόγων, πρὸς τούτους ἠθέλησα ἂν μόνους τὸν ἀγῶνά

fideles, et in bene scilicet institutis civitatibus degentes, liberisque suis consultum cupientes, hæc eadem loqui audent, quæ tyrannus ille circa subditos suos, nec erubescunt. Quare hi qui sic indignantur, magis quam illi, admiratione digni sunt. Idcirco et ego illos missos faciens, hos qui in primis curam filiorum gerunt, imo potius qui gerere debebant, non autem gerunt, leniter et summa cum moderatione alloquar : ab illis impetratum cupiens, ut non moleste ferant, nec indignentur, si quis se ea quæ ipsorum filiis expediunt melius nosse dicat, quam iidem ipsi. Neque enim sufficit filium procreasse, ut possit nato parens congruentem institutionem dare; sed procreatio multum quidem confert ad prolis amorem, ad ejus vero idoneam educationem et disciplinam neque procreatio neque amor satis sunt. Nam si hoc esset, nullus hominum patre melius nosse posset quidnam esset filio utile, quandoquidem nemo est qui possit illo magis filium amare. Nunc vero patres se illud ignorare gestis suis confitentur, cum ad magistros ducunt, cum pædagogis tradunt, cum innumeros consiliarios adhibent, ut sciant cui vitæ instituto filius tradendus sit. Neque mirum illud est, sed hoc, quod cum de filiis consultant, aliorum sententiam, sua sæpe repudiata, amplectantur. Ne itaque moleste nos ferant, si diramus nos melius nosse quid illis conveniat; sed si id ratiocinatione nostra non probaverimus, tunc accusent, tunc probris impetant ut vere arrogantes, ac corruptores, totiusque naturæ inimicos.

2. Quonam ergo modo illud manifestum erit, aut qua ratione sciemus, quisnam sit qui quod consentaneum est videat, et quisnam id quidem scire videatur, nullatenus vero scial? Si dicta mea, ceu adversarios quosdam, ad examen descendere ac congredi cogentes, incorruptis judicibus hæc disquirenda permittamus. Lex itaque certaminis nos adversus Christianum ad pugnam exire jubet, atque cum illo tantum pugnare, nihilque amplius requirit a nobis. *Quid enim mihi de iis etiam qui foris sunt judicare?* ait beatus Paulus (1 *Cor.* 5. 12). Verum quia sæpe contingit, multos eorum qui ad cælum pertrahuntur, ex infidelibus patribus natos esse, etiamsi lex certaminis nos a pugna cum his ineunda liberos sinat, sponte tamen ipsi et alacriter istos primos aggrediemur. Atque utinam adversus hos tantum nobis certamen esset! quamquam hoc difficilius sit, pluresque captiones habeat : *Animalis* enim *homo non percipit ea quæ sunt Spiritus; stultitia quippe est illi* (1 *Cor.* 1. 14) : idemque contingit ac si quis vellet ad amorem regni aliquem inducere, qui nondum crederet rem ipsam exsistere. Sed vel sic tamen, rebus nostris adeo in angustum redactis, adversus istos solos certamen mihi esse cuperem. Nam adversus fidelem argu-

μοι γενέσθαι τοῦτον. Ἐπὶ μὲν γὰρ τοῦ πιστοῦ πολλὰ μὲν ἡμῖν τὰ δικαιώματα, ἀλλ' ὅμως τὴν ἐκ τῆς τῶν ὀικαίων περιουσίας ἡδονὴν συσκιάζει τῆς αἰσχύνης ἡ ὑπερβολή. Αἰσχύνομαι γὰρ ὅταν καὶ πρὸς ἐκεῖνον ὑπὲρ τούτων ἀποτείνεσθαι ἀναγκάζωμαι, καὶ δέδοικα μὴ τοῦτό μοι μόνον ὁ Ἕλλην ἔγκλημα δίκαιον ἔχοι προβάλλεσθαι· ἐπεὶ τοῖς γε ἄλλοις αὐτὸν τῇ τοῦ Θεοῦ χάριτι ῥᾳδίως αἱρήσομεν, κἂν εὐγνώμων εἶναι ἐθέλῃ, ταχέως αὐτὸν οὐ πρὸς τὸν ἔρωτα τοῦ βίου τούτου μεταστήσομεν μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῶν δογμάτων τὴν ἐπιθυμίαν, ἀφ' ἧς ὁ βίος ἔχει τὴν ὑπόθεσιν οὗτος. Τοσοῦτον γὰρ ἀπέχω φοβηθῆναι τὸν πρὸς αὐτὸν ἀγῶνα, ὅτι καὶ χαλεπώτερον αὐτὸν πρότερον καταστήσας τῷ λόγῳ, οὕτως ἅψομαι τῶν παλαισμάτων.

Κείσθω γὰρ μὴ μόνον Ἕλληνα εἶναι τοῦτον τὸν πατέρα, ἀλλὰ καὶ πλούσιον ὑπὲρ πάντας ἀνθρώπους καὶ ἀπόβλητον, καὶ ἐν δυναστείᾳ καθεστάναι μεγάλῃ, καὶ πολλοὺς μὲν ἀγροὺς ἐχέτω, πολλὰς δὲ οἰκίας, μυρία δὲ χρυσίου τάλαντα· ἔστω δὲ καὶ πατρίδος τῆς βασιλικωτάτης, καὶ γένους τοῦ περιφανεστάτου, καὶ μήτε ἐχέτω παῖδας ἑτέρους, μήτε ἔξειν ἐλπιζέτω τοῦ λοιποῦ, ἀλλ' ἐν τούτῳ σαλευέτω μόνον· ἔστω δὲ καὶ αὐτὸς οὗτος ἐν ἐλπίσι χρηστοῖς, καὶ ταχέως ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀναβήσεσθαι προσδοκάσθω, καὶ λαμπρότερος αὐτοῦ φανήσεσθαι, καὶ πᾶσιν αὐτὸν ἀποκρύψειν τοῖς βιωτικοῖς· εἶτα ἐν μέσῳ τῶν ἐλπίδων τούτων προσερχέσθω τις καὶ διαλεγέσθω περὶ ταύτης αὐτῷ τῆς φιλοσοφίας, καὶ πειθέτω πάντων ἐκείνων καταγελάσαντα περιβαλέσθαι ἱμάτιον ἄδρὸν, καὶ τὴν πόλιν ἀφέντα πρὸς τὸ ὄρος φυγεῖν, καὶ φυτεύειν ἐκεῖ καὶ ἄρδειν καὶ ὑδροφορεῖν, καὶ τὰ ἄλλα δὴ πάντα τὰ τῶν μοναχῶν ποιεῖν, τὰ δοκοῦντα εἶναι καὶ εὐτελῆ καὶ ἐπονειδιστα· ἔστω δὲ καὶ ἀνυπόδετος, καὶ χαμαὶ καθευδέτω, γενέσθω δὲ καὶ λεπτὸς καὶ ὠχρὸς ὁ καλὸς νεανίας οὗτος, ὁ ἐν τοσαύτῃ τρυφῇ καὶ τιμῇ διατελῶν καὶ τοιαύτας ἔχων ἐλπίδας, καὶ τῶν οἰκετῶν τῶν ἑαυτοῦ εὐτελεστέραν περιχείσθω στολήν. Ἆρα ἱκανὰς ἐδώκαμεν τῷ κατηγόρῳ τὰς λαβὰς, καὶ ἀρχούντως συνεπλάσαμεν τὸν ἀνταγωνιστήν; Εἰ δὲ μὴ ἀρκούντως, καὶ ἑτέρας αὐτῷ παρέξομεν προφάσεις. Μετὰ γὰρ τούτων καὶ πάντα κινείτω τὰ μηχανήματα πρὸς τὸ μεταπεῖσαι τὸν υἱὸν, καὶ πάντα εἰκῇ, καθάπερ ἐπὶ πέτρας ἑστῶτος αὐτοῦ τοῦ παιδὸς, καὶ τῶν ποταμῶν καὶ τοῦ ὑετοῦ καὶ τῶν πνευμάτων ἀνωτέρω γινομένου· θρηνείτω δὲ ὁ τοιοῦτος, καὶ προβαλλέτω δάκρυα, ὥστε μᾶλλον ἐκπρῆσαι τὸν καθ' ἡμῶν θυμὸν, καὶ πρὸς πάντας τοιαῦτα κατηγορείτω συνεχῶς ἐντυγχάνων· Ἐφύτευσα, ἔθρεψα, ἐταλαιπωρήθην διὰ πάσης τῆς ἡλικίας πάντα ποιῶν καὶ πάσχων, ἅπερ ἐκ τῆς παιδοποιίας ταύτης συμβαίνειν εἰκός· χρηστὰς εἶχον ἐλπίδας, διελέχθην παιδαγωγοῖς, παρεκάλεσα διδασκάλους, ἀνήλωσα χρήματα, ἠγρύπνησα πολλάκις ὑπὲρ εὐκοσμίας φροντίζων, ὑπὲρ παιδεύσεως, ὅπως μηδενὸς οὗτος τῶν προγόνων λείποιτο τῶν αὐτοῦ, ὅπως ἁπάντων φανείη λαμπρό-

menta quidem suppetunt plurima, verum tantæ copiæ voluptatem obscurat pudoris ingens magnitudo. Pudet enim me quod adversus hunc pro his pugnam committere cogar, vereorque ne hoc solum crimen gentilis jure mihi possit objicere: nam in reliquis illum ope divinæ gratiæ facile capiemus; atque si voluerit animo haud inimico procedere, cito illum non modo ad amorem hujus vitæ traducemus, verum ad ipsius quoque doctrinæ desiderium, a quo vita hæc argumentum et initium ducit. Tantum enim abest ut certamen adversus illum subire metuam, ut cum prius difficiliorem mea oratione constituero luctam, tum demum pugnam aggrediar.

Fingamus enim patrem hujusmodi non modo gentilem esse, sed præ omnibus hominibus divitem, insignem, potentia singulari præditum: habeat agros plurimos, ædes multas, auri innumera talenta. Sit insuper regia patria, illustrissimo genere, filios alios neque habeat, neque se habiturum speret; sed ex hoc solo pendeat. Imo et ipse filius sit summæ spei, atque ad eadem imperia mature ascensurus, patremque splendore superaturus exspectetur, omnibusque vitæ commodis longe anteiturus. Tum vero in medio tantæ spei accedat aliquis, deque hac philosophia verba faciens, persuadeat ei ut spretis omnibus vestem crassam induat sibi ac relicta urbe ad montem confugiat: ibique plantet, riget, aquam ferat, cæteraque monachorum faciat opera, quæ vilia et probrosa esse videantur: sit præterea nudis pedibus, humi cubet; efficiaturque macer et pallidus formosus ille olim adolescens, qui tantis antea in deliciis honoribusque degebat, tantæque spei erat, viliorique quam servi sui veste induatur. An satis multas accusatori dedimus ansas? an satis adversarium instruximus? Si hæc non satis sint, alia quoque suppeditabimus argumenta speciosa. Præterea omnes moveat machinas pater, ut filium a proposito deducat; sed omnia incassum, quasi ille supra petram collocatus sit, ac fluminibus, pluviis et ventis cedere non norit: lugeat item pater atque lacrimas emittat, ita ut indignationem majorem contra nos incendat: universos frequenter adeat, et nos in crimen vocet ejusmodi vocibus: Genui, educavi, ætatemque omnem in ærumnis contrivi, cuncta agens et patiens, quæ ex hac liberorum procreatione accidere solent: spem habui optimam, pædagogos alloquutus sum, magistros advocavi, pecunias impendi, vigilavi sæpe curam gerens de decenti habitu, de institutione, ut majorum suorum nemini inferior esset, ut omnibus appareret illustrior; exspectabam hunc senectuti meæ solatio

τερος· συνδιαίσειν μοι τοῦτον τὸ γῆρας προσεδόκησα· προϊόντος τοῦ χρόνου περὶ γυναικὸς ἐβουλευόμην καὶ γάμου, περὶ ἀρχῆς καὶ δυναστείας. Ἀλλ' ἐξαίφνης, ὥσπερ [εἴ] τις σκηπτὸς ἢ καταιγὶς πόθεν ἐπιπεσοῦσα μυριαγωγὸν ὁλκάδα καὶ πολλῶν γέμουσαν φορτίων, καὶ μακρὸν διανύσασαν πέλαγος, καὶ ἐξ οὐρίας πλέουσαν, καὶ πρὸς αὐτῷ λοιπὸν οὖσαν τῷ λιμένι, μικρὸν πρὸ τοῦ στόματος αὐτοῦ καταδύσειεν, καὶ μὴ μόνον πενίας τῆς ἐσχάτης, ἀλλὰ καὶ θανάτου τοῦ ἐλεεινοῦ καὶ ἀπωλείας δέος τῇ τοῦ τὰ τοιαῦτα πεπλουτηκότος κεφαλῇ περιστήσειεν ὁ χειμών· οὕτω δή μοι συμβέβηκε νῦν. Οἱ γὰρ ἐπάρατοι καὶ λυμεῶνες καὶ πλάνοι (λεγέτω γὰρ δὴ καὶ ταῦτα, οὐ διοισόμεθα) ἐκ τῶν τοσούτων ἐλπίδων ἀναρπάσαντές μοι τὸν γηροτρόφον, καθάπερ τινὲς λῃσταρχοι πρὸς τὰς αὐτῶν καταδύσεις ἀπήγαγον, καὶ οὕτω ταῖς αὐτῶν κατεγοήτευσαν ἐπῳδαῖς, ὡς ἑλέσθαι καὶ πρὸς σίδηρον καὶ πρὸς πῦρ καὶ πρὸς θηρία καὶ πρὸς πᾶν ὁτιοῦν στῆναι γενναίως, ἢ πρὸς τὴν προτέραν εὐπραγίαν ἐπανελθεῖν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ταῦτα πείσαντες μᾶλλον ἡμῶν προσποιοῦνται τὸ συμφέρον ὁρᾶν. Ἔρημοι μὲν οἰκίαι, ἔρημοι δὲ ἀγροί· κατηφείας δὲ καὶ αἰσχύνης μεστοὶ μὲν οἱ γεωργοί, μεστοὶ δὲ οἰκέται· καὶ φαιδροὶ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἐμοῖς ἐχθροί, ἐγκαλύπτονται δὲ οἱ φίλοι. Παρ' ἐμοὶ δὲ οὐδεμία γνώμη κρατεῖ, ἀλλ' ἢ ὥστε πῦρ ἐπαφεῖναι καὶ φλέξαι πάντα, καὶ οἰκίας καὶ ἀγροὺς καὶ ἀγέλας βοῶν καὶ ποίμνια προβάτων. Ποῦ γὰρ ἔσται μοι χρήσιμα ταῦτα λοιπὸν, ἐκείνου τοῦ χρησομένου τούτοις οὐκ ὄντος, ἀλλ' αἰχμαλώτου γενομένου, καὶ παρὰ βαρβάροις ἀνημέροις δουλεύοντος θανάτου παντὸς πικροτέραν δουλείαν; Περιέβαλον μελαίνῃ στολῇ τοὺς οἰκέτας ἅπαντας, κατέπασα τέφρᾳ τὰς κεφαλὰς, χοροὺς ἔστησα γυναικῶν, ἐκέλευσα χαλεπώτερον αὐτὰς κατακόπτεσθαι, ἢ εἰ νεκρὸν ἐώρων. Σύγγνωτε δέ μοι τοῦτο ποιοῦντι· μεῖζον τοῦτο ἐκείνου τὸ πένθος ἐμοί. Παρενοχλεῖσθαι δοκῶ λοιπὸν ὑπὸ τοῦ φωτὸς, καὶ πρὸς αὐτὰς ἀηδῶς ἔχω τὰς ἀκτῖνας, ὅταν εἰς νοῦν λάβω τὸ σχῆμα τοῦ ταλαιπώρου παιδὸς ἐκείνου, ὅταν τῶν εὐτελεστέρων ἀγροίκων ἐκείνων ἀτιμότερον αὐτὸν ἠμφιεσμένον ἴδω, καὶ ἐπ' ἔργα ἀτιμότερα τοῦτον τρεπόμενον· ὅταν ἐννοήσω αὐτοῦ τὸ ἀκαμπές, κατακαίομαι, διασπῶμαι, διαῤῥήγνυμαι.

Ταῦτα λέγων καὶ προκυλινδείσθω τῶν ποδῶν τῶν ἀκουόντων, καὶ καταπασάσθω τέφραν κατὰ τῆς κεφαλῆς, καὶ αἰσχυνέσθω τῇ κόνει τὸ πρόσωπον, καὶ παρακαλείτω πάντας ὀρέξαι χεῖρα, καὶ κατατιλλέτω τὴν πολιάν. Τάχα ἡμῖν καλῶς ὁ κατήγορος ἀπηκρίβωται πρὸς τὸ τοὺς ἀκούοντας ἐμπρῆσαι ἅπαντας, καὶ παῖσαι κατὰ κρημνῶν τοὺς τὰ τοιαῦτα ἐργασαμένους ἐμβαλεῖν. Διὰ γὰρ τοῦτο πρὸς ἄκρον ἁπασῶν τῶν αἰτιῶν τὸν λόγον ἤγαγον, ἵνα τούτου, τοῦ οὕτω κατασκευασθέντος, ἡττηθέντος ὑφ' ἡμῶν τῇ τοῦ Θεοῦ χάριτι, μηδεὶς τοῖς λοιποῖς γένοιτο λόγος. Τοῦ γὰρ πάντα ὁμοῦ ἔχοντος ταῦτα ἐπιστομισθέντος, ὁ μὴ πάντα ἔχων ὁμοῦ

fore; processu temporis de uxore et de matrimonio cogitabam, de imperio, de magistratu: at derepente, quasi fulmen et procella nescio unde irruens pretiosissimam navem, multis sarcinis refertam, latumque pelagus emensam, secundo vento navigantem, cum jam portum attingeret, prope ipsum ostium demerserit; metumque ingentem, ne non modo extremam paupertatem, sed etiam miserabilem mortem ac perniciem patiatur, viro tantis divitiis instructo sæva tempestas afferat: sic profecto mihi nunc accidit. Namque exsecrabiles illi, corruptores, seductores (vel hæc enim dicat, nihil illi succensebimus), ex tanta spe filium, senectutis meæ nutritium, ceu quidam prædones in latibula sua abluxere: adeoque illum suis carminibus excantaverunt, ut malit adversus ferrum, ignem, belluas, adversus omnia denique stare, quam ad priorem fortunam remeare. Quodque gravius est, postquam hæc illi persuaserunt, melius se quid utile sit scire simulant, quam nos. Desertæ jam domus, deserti agri: ipsi agricolæ ac servi tristitia ac pudore pleni: exsultant in malis meis inimici, ac pudore operiuntur amici. Apud me autem nulla sententia obtinet, nisi ut, subjectis iguibus, cuncta simul exuram, ædes, agros, armenta boum, greges pecorum. Cui enim mihi usui hæc jam erunt, cum ille non adsit cujus usui hæc parata erant, captivus scilicet abductus, atque apud immanes barbaros servituti addictus omni morte acerbiori? Domesticos omnes pullatos incedere jussi, aspersi cinere capita, mulierum choros institui, jussique amarius plangere, quam si mortuum viderent. Date veniam hæc facienti mihi: hic mihi luctus longe illo major. Jam mihi lux ipsa molesta est, ipsosque solis radios ingrate suspicio, cum in mentem venit infelicis filii habitus; cum illum vilissimis agricolis inhonestius vestitum cerno, atque ad abjectiora opera missum; cum immobile propositum ejus considero, uror, laceror, disrumpor.

3. Hæc dicens, provolvatur etiam audientium pedibus, aspergat cinere caput, deturpet pulvere faciem, omnesque precetur ut porrigant manum, denique canos vellicet. Satis puto diligenter accusatorem instruximus ad inflammandos auditores omnes, incitandosque, ut horum auctores per præcipitia agant. Idcirco enim supremas omnium accusationes verbis expressi, ut, hoc ita comparato accusatore per divinam gratiam prostrato, ex reliqua nemo postea mutire valeat. Nam, eo cui hæc omnia simul competunt ad silentium relacto, qui non omnia simul habebit (neque

(οὐδὲ γὰρ πάντα οἷόντε συνελθεῖν) εὐκόλως ἡμῖν παραχωρήσει τῆς νίκης λοιπόν. Οὗτος μὲν οὖν ταῦτα λεγέτω καὶ τούτων πλείονα. Ἐγὼ δὲ παραιτήσομαι τοὺς δικάζοντας, μὴ νῦν ἐλεεῖν τὸν γέροντα τοῦτον, ἀλλ' ὅταν αὐτὸν δείξωμεν πενθοῦντα τὸν υἱὸν δεινὸν μὲν οὐδὲν πεπονθότα, τῶν δὲ μεγάλων ἀγαθῶν ἀπολαύσαντα, καὶ ὧν ἐπέκεινα ἕτερα οὐκ ἔστιν εὑρεῖν. Τότε γὰρ ὄντως ἄξιος ἐλέου καὶ δακρύων ἂν εἴη, μηδὲ συνιδεῖν τὴν εὐπραγίαν δυνάμενος τοῦ παιδὸς, ἀλλὰ τοσοῦτον ἀπέχων αὐτῆς ὡς καὶ ἐπὶ μεγίστοις θρηνεῖν τοῖς * ἀγαθοῖς.

Πόθεν οὖν ἀρξόμεθα τοῦ λόγου τοῦ πρὸς αὐτόν; Ἀπὸ τοῦ πλούτου καὶ τῶν χρημάτων, ἐπειδὴ καὶ αὐτὸς τοῦτο μάλιστα πάντων ὀδύρεται, καὶ πᾶσι τοῦτο αὐτὸ εἶναι δοκεῖ τὸ δεινότατον, εἰ πλουτοῦντες παῖδες ἐπὶ τοῦτον ἤλκοιντο τὸν βίον. Εἰπὲ οὖν μοι, τίνα μακαρίζομεν ἅπαντες καὶ ζηλωτὸν εἶναί φαμεν, τὸν ἐν δίψῃ καθιστῶτα ἀεὶ, καὶ πρὶν ἢ τῆς προτέρας ἐμφορηθῆναι κύλικος, δεόμενον πάλιν ἑτέρας, καὶ ἐν τούτῳ ὄντα διαπαντὸς, ἢ τὸν ἀνωτέρω καθεστῶτα τῆς ἀνάγκης ἐκείνης, καὶ ἄδιψον ἀεὶ μένοντα, καὶ οὐδέποτε εἰς τὴν τοῦ πόματος τούτου καθελκόμενον χρείαν; οὐχ ὁ μὲν πυρέττοντι προσοίκε καὶ χαλεπωτάτην ἀνάγκην ἔχοντι, κἂν ἐκ πηγῶν ἀρύεσθαι ἔχῃ τὰ νάματα, ὁ δὲ ἐλεύθερός τέ ἐστι τὴν ὄντως ἐλευθερίαν, καὶ ὑγιαίνει τὴν ὄντως ὑγίειαν, καὶ μεῖζον ἢ κατὰ ἀνθρωπίνην γέγονε φύσιν; Τί δαί, εἴ τις γυναικὸς ἐρῶν συγγίνοιτο μὲν αὐτῇ διηνεκῶς, μειζόνως δὲ μετὰ τὴν συνουσίαν φλέγοιτο ταύτην, ἕτερος δὲ ταύτης ἐκτὸς τῆς μανίας ἑστήκοι, καὶ μηδὲ ὄναρ ἁλίσκοιτο τῷ κακῷ, τίς πάλιν ἡμῖν ὁ ζηλωτὸς καὶ μακάριος; οὐχ οὗτος; τίς δ' ὁ ἄθλιος καὶ ταλαίπωρος; οὐχ ὁ νοσῶν τὸν κενὸν ἐκεῖνον ἔρωτα καὶ μηδαμοῦ σβεσθῆναι δυνάμενον, ἀλλὰ τοῖς ἐπινενοημένοις φαρμάκοις ἐπιτριβόμενος μᾶλλον; Εἰ δὲ πρὸς τοῖς εἰρημένοις μακαρίζοι μὲν ἑαυτὸν ἐπὶ τῇ νόσῳ, καὶ μήτε αὐτὸς ἐκείνης τῆς ἀνάγκης ἀπαλλάττεσθαι βούλοιτο, τούς τε ἀπηλλαγμένους τοῦ πάθους ἀποδύροιτο, ὥσπερ οὗτος νῦν, οὐχὶ ταύτῃ πάλιν ἐλεεινότερος ἔσται καὶ ἀθλιώτερος, μὴ μόνον νοσῶν, ἀλλὰ μηδὲ αὐτὸ τοῦτο εἰδὼς ὅτι νοσεῖ, καὶ διὰ τοῦτο μήτε ἀπαλλαγῆναι βουλόμενος, καὶ τοὺς ἀπηλλαγμένους θρηνῶν; Ἀγάγωμεν δὴ τὸν λόγον τοῦτον καὶ ἐπὶ τὴν τῶν χρημάτων κτῆσιν, καὶ ὀψόμεθα τίς ὁ ἄθλιος καὶ ταλαίπωρος· ἐκείνων μὲν γὰρ τῶν ἐρώτων σφοδρότερος οὗτός ἐστι καὶ μανικώτερος· οὐκοῦν καὶ πλέον ὀδυνῆσαι δύναιτ' ἄν, οὐ τούτῳ μόνον ὅτι τὴν λαμπάδα δριμυτέραν ἔχει, ἀλλ' ὅτι καὶ πρὸς τὴν ἐπινενοημένην παραμυθίαν ἀνένδοτός τε ἐστὶ καὶ σκληρότερος πλέον ἐκείνων. Μᾶλλον γὰρ οἱ ποτοῦ καὶ σωμάτων ἐρῶντες μετὰ τὴν ἀπόλαυσιν λήψονται κόρον, ἢ οἱ περὶ πλοῦτον μαινόμενοι. Ὅθεν ἐκείνους μὲν καὶ τῷ λόγῳ συμπλάσαι ἠναγκάσθημεν, διὰ τὸ μὴ ταχέως ἐπὶ τῆς πείρας ὁρᾶν αὐτὸ φαινόμενον· τούτου δὲ τοῦ νοσήματος ἀπὸ τῶν πραγμάτων πολλὰ ἔχομεν παρασχεῖν τὰ ὑποδείγματα. Διὰ τοῦτο νῦν, εἰπέ μοι,

enim fieri potest ut hæc omnia concurrant), facile nobis victoriam concedet. Hic itaque ista, et bis plura etiam loquatur. Ego vero judices orabo, ne nunc misereantur senis hujus, sed postquam ipsum ostenderimus filium lugere nihil mali perpessum, verum maximis potitum bonis, quibus excellentiora reperiri non possunt. Tunc enim profecto miseratione et lacrimis dignus existimandus est, qui nati felicitatem ne conspicere quidem possit, tantumque absit ut illam videat, ut vel in summis ejus bonis lamentetur.

Quodnam ergo erit nostræ orationis exordium? Ab ipsis opibus ac pecuniis, quandoquidem id ille maxime omnium deplorat, idque omnibus videtur acerbissimum, si divites filii ad hanc vitam pertrahantur. Dic ergo mihi, utrum omnes beatum dicimus et plane felicissimum, eumne qui in siti semper æstuat, quique, antequam priorem calicem sorbuerit, rursus alio indiget, atque semper in hoc perseverat statu; an eum, qui superior hac necessitate constitutus, sine siti semper manet, et numquam ad hujusmodi potationis necessitatem detrahitur? nonne ille quidem febri correpto similis est, qui violentissima necessitate premitur semper, etiamsi ex fontibus uberrimos latices haurire possit; hic vero liber est vera libertate, et sanus perfecta sanitate, ipsamque naturam superat humanam? Quid vero, si quis mulierem amans, cum ea congrederetur jugiter, sed majore post concubitum flagraret ardore, alius vero staret hac insania liber, ac ne in somnis quidem hoc malo caperetur, quis nobis felix beatusque videretur? nonne hic? quis autem infelix ac miserrimus? nonne ille, qui hoc vano amore tenetur, qui numquam possit exstingui, imo vero qui excogitatis remediis multo magis afflictatur? Sin autem præter ea quæ dicta sunt ex ipso morbo se beatum dicat, nec velit ea necessitate liberari, quemadmodum is de quo nunc agitur, nonne hinc quoque miserabilior erit atque infelicior, cum non tantum ægrotet, sed ne hoc quidem sciat, quod æger sit, ideoque nec ipse liberari velit, quinetiam eos qui liberati sunt lugeat? Jam orationem hanc ad pecuniarum possessionem referamus, et videbimus quis infelix et miser sit: illis quippe amoribus hic vehementior, hic insaniæ propior est, ideoque majorem potest dolorem afferre; non idcirco tantum quod faces habeat acriores, sed quod excogitatæ cuilibet consolationi cedere non valeat, sitque illis omnibus potentior. Potius enim qui potum et corpora amant, postquam his potiti fuerint, satietate gaudebunt, quam ii qui insano divitiarum amore feruntur. Quocirca illos quidem nostra oratione effingere necesse fuit, quod non facile eorum documentum et experimentum appareat: hujus vero morbi ex rebus ipsis multa possumus exempla proferre. Ideone dic queso mihi, filium luges,

θρηνεῖς τὸν υἱόν, ὅτι μανίας καὶ τοσαύτης ἀμηχανίας ἀπήλλακται, ὅτι ἔρωτα ἀνίατον οὐκ ἐρᾷ, ὅτι τοῦ πολέμου καὶ τῆς μάχης ταύτης ἔστηκεν ἐκτός; Ἀλλ' οὐκ ἂν ἔπαθε τοῦτο, φησίν, οὐδ' ἂν ἠράσθη τοῦ πλείονος, ἀλλ' ἀπέχρησεν ἂν αὐτῷ τῶν παρόντων ἡ ἀπόλαυσις. Μάλιστα μὲν πρᾶγμα λέγεις ἐναντίον, ὡς εἰπεῖν, τῇ φύσει· πλὴν ἀλλὰ καὶ τοῦτο ἔστω, καὶ συγχωρήσθω τῷ λόγῳ, μὴ ἂν αὐτὸν ἐθελῆσαι προσθεῖναι τοῖς οὖσι, μηδ' ὑπὸ τῆς ἐπιθυμίας ἁλῶναι ἐκείνης· ἐγὼ γὰρ αὐτὸν καὶ οὕτως ἐπιδείξω ἐν μείζονι νῦν ὄντα ἀνέσει καὶ ἡδονῇ. Τί γὰρ κουφότερον, ὑπὲρ τοσούτων φροντίζειν, καὶ τηλαύτῃ προσδεδέσθαι φυλακῇ καὶ δουλείᾳ, καὶ δεδοικέναι μὴ παραπόληταί τι τῶν ὄντων, ἢ καὶ τούτων ἀπηλλάχθαι τῶν δεσμῶν; Κείσθω γὰρ αὐτὸν μὴ ἐπιθυμεῖν φορτίων ἑτέρων· ἀλλὰ πολλῷ βέλτιον καὶ τῶν ἐπιτεθέντων ἤδη καταφρονεῖν. Εἰ γὰρ τὸ μὴ δεῖσθαι πλειόνων συνωμολόγηται μέγιστον ὂν ἀγαθὸν, τὸ καὶ τῆς τῶν ὄντων χρείας ἐξώτερον εἶναι, μείζονος εὐπραγίας ἂν εἴη. Ὁ γὰρ ἄδιψος ἐκεῖνος καὶ ἀνέραστος (οὐδὲν γὰρ κωλύει πάλιν ἐπὶ τὰ αὐτὰ ἐλθεῖν ὑποδείγματα) οὐ τῶν ἀεὶ διψώντων μόνον, οὐδὲ τῶν ἐρώντων ἀεί, ἀλλὰ καὶ τῶν ἐν βραχεῖ τοῦτο παθόντων, καὶ πληρωσάντων τὴν ἐπιθυμίαν, πολλῷ μακαριώτερος ὢν ἀποδέδεικται, ὁ μηδὲ εἰς πεῖραν ἐμπεσὼν τῆς τοιαύτης ἀνάγκης. Ἐρήσομαί σε πάλιν, εἰ καὶ ὑπερβαλέσθαι τῷ πλούτῳ πάντας καὶ τῶν ἀπὸ τοῦ πλούτου κακῶν ἀπαλλαγῆναι ἐνῆν, ἆρα οὐκ ἂν μυριάκις ταύτην εἵλου τὴν περιουσίαν, ὥστε μήτε βασκανίας, μήτε συκοφαντίας, μήτε ἐπιβουλὰς, μήτε φροντίδας, μήτ' ἄλλο μηδὲν τῶν τοιούτων ἀνέχεσθαι; Ἂν τοίνυν καὶ τοῦτο ἔχοντα δείξωμεν τὸν υἱὸν, καὶ μειζόνως εὐπορώτερον ὄντα νῦν, παύσῃ θρηνῶν πάντως καὶ ὀλοφυρόμενος οὕτω πικρῶς.

Ὅτι μὲν οὖν φροντίδων ἀπήλλακται καὶ τῶν ἄλλων τῶν ἐπισυρομένων τῷ πλούτῳ κακῶν, οὐδὲ αὐτὸς ἀντερεῖς· διόπερ οὐδὲ ἡμῖν περὶ τούτων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι· ζητεῖς δὲ μαθεῖν πῶς εὐπορώτερος τοῦ τοσαῦτα ἔχοντός σου. Τοῦτο δή σε διδάξομεν, καὶ δείξομεν ὅτι, ὅπερ ἐκεῖνον ἡγῇ νῦν εἶναι ἐν πενίᾳ τῇ ἐσχάτῃ, τοῦτο αὐτὸς πρὸς ἐκεῖνον ἐξεταζόμενος πέπονθας. Καὶ μή τοι νομίσῃς τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς ἐρεῖν ἀγαθὰ καὶ τὰ μετὰ τὴν ἐνθένδε ἀποδημίαν· ἀπὸ γὰρ τῶν ἐν χερσὶ [τέως] ποιησόμεθα τὴν ἀπόδειξιν. Σὺ μὲν οὖν τῶν σαυτοῦ κύριος εἶ μόνων, ἐκεῖνος δὲ τῶν κατὰ τὴν οἰκουμένην ἅπασαν. Εἰ δὲ ἀπιστεῖς, δεῦρό σε ἀγάγωμεν πρὸν αὐτὸν, καὶ πείσωμεν αὐτὸν κατελθόντα ἀπὸ τοῦ ὄρους, μᾶλλον δὲ ἐκεῖ μένοντα σημῆναί τινι τῶν σφόδρα πλουτούντων καὶ εὐλαβῶν, πέμψαι χρυσοῦ σταθμὸν, ὅσον ἐθέλεις· μᾶλλον δὲ τοῦτο μὲν οὐκ ἀνέξεται, δοῦναι δὲ τῷ δεῖνι δεομένῳ κελεύσει, καὶ προθυμότερον δῶσι τὸν πλουτοῦντα ὑπακούοντα καὶ ἐκκομίζοντα, ἢ τῶν οἰκονόμων τινὰ τῶν σῶν. Οὗτος μὲν γὰρ ὅταν ἀναλίσκειν κελεύηται, τότε κατηφής τέ ἐστι καὶ στυγνὸς· ἐκεῖνος δὲ ὅταν μὴ ἀναλίσκῃ, τότε δέδοικε

quod tanta vesania, quod tam desperato morbo liber sit, quod incurabili amore non teneatur? quod hoc bello et pugna ereptus sit? At id nunquam ille passus fuisset, inquies, neque plura concupivisset, sed fuisset præsentibus bonis contentus. Sane rem dicis ipsi naturæ, ut ita loquar, contrariam: verum sic esto, argumento nostro id jam concedatur, ut iis, quæ haberet, nihil vellet adjicere, neque unquam hujusmodi desiderio teneretur: ego sic quoque illum majori nunc in quiete ac voluptate commorari monstrabo. Quid enim levius esse censebimus, tantisne curis implicari, ejusmodique custodiæ ac servituti obstrictum esse, metuereque ne quid rei familiaris pereat, an vero his vinculis esse expeditum? Concedatur illum alias sarcinas non appetere: at multo melius est jam impositas despicere. Nam si, ut in confesso est, plurimis non indigere maximum est bonum, extra omnem rerum usum esse, majoris profecto felicitatis erit. Is enim qui neque sitit, neque amat (nihil enim impedit quominus ad eadem exempla redeamus), non modo iis qui semper sitiunt, et semper amant, sed iis etiam, qui ad breve tempus hoc patiuntur, et concupiscentiam expleverunt, longo beatior esse monstratus est, is, inquam, qui in hujus necessitatis experimentum nunquam inciderit. Percontabor te rursus, si divitiis ultra omnes eminere, iisque tamen malis eximi, quæ solent illæ parere, liceret, annon sexcenties præoptares hac felicitate frui, ita ut non invidiam, non calumnias, non insidias, non curas, non quidquam aliud ejusmodi patereris? Si igitur filium tuum hoc quoque habere monstravero, imo longe ditiorem nunc esse, finemne tandem facies lugendi et ejulandi tam amare?

4. Quod igitur solutus sit curis aliisque malis, quæ solent divitias subsequi, neque ipse negabis; ideo nos ad te de hac re verba facere necesse non est: quæris autem discere quomodo ille te sit opulentior, qui tam multa possides. Hoc te docebimus, demonstrabimusque te, qui ipsum in extrema nunc paupertate degere arbitraris, hoc ipsum pati, si cum illo compareris. Neque putes me de cælestibus bonis loqui, deque iis quæ post hanc vitam advenient: ex iis enim modo quæ sunt in manibus argumentum ducam. Tu itaque eorum tantum quæ possides dominus es: ille vero omnium quæ sunt in orbe terrarum. Si id non credis, age te ad illum adducamus, eique suadeamus, ut de monte descendens, imo potius illic residens, alicui ex iis qui divites valde simulque religiosi sunt, mandet, sibi mittat tantum auri pondus, quantum ipse vis: sive potius id ille facere non sustinebit, sed jubeat alicui indigenti dare, videbisque divitem alacrius obsequentem et erogantem, quam faceret unus ex dispensatoribus tuis. Hic quippe, cum aliquid jubetur impendere, tristis ac mœrens id facit; contra ille cum non impendit, tunc anxius est ne in aliquo offenderit, quod sibi nihil

μή τι προσκεκρουκὼς ᾖ, ἅτε τοιοῦτον ἐπιτάττόμενος οὐδέν. Καὶ πολλοὺς ἐπιδεῖξαι ἔχω οὐ τῶν εὐδοκίμων τούτων, ἀλλὰ καὶ τῶν εὐτελεστέρων, τοσαύτην ἔχοντας δύναμιν. Καὶ σὺ μέν, ἂν οἱ οἰκονόμοι ᵇ ἀναλώσωσι τὰ πιστευθέντα, οὐκ ἔχεις ἀπαιτῆσαι ἕτερον, ἀλλ' εὐθέως σοι εἰς πενίαν ὁ πλοῦτος μεταπεσεῖται ὑπὸ τῆς κακουργίας ἐκείνων· παρὰ δὲ τῷ παιδὶ τῷ σῷ τοῦτο οὐκ ἔστι τὸ δέος. Ἂν γὰρ οὗτος γένηται πένης, ἐπιτάξει πάλιν ἑτέρῳ· κἂν ἐκεῖνος πάθῃ τι τοιοῦτον, ἐφ' ἕτερον μεταβήσεται, καὶ τὰς τῶν ὑδάτων πηγὰς πρότερον ἐπιλιπεῖν εἰκὸς, ἢ τῶν ταῦτα ὑπακουσομένων τινά. Καὶ εἰ μὲν τὰ ἡμέτερα ἐφρόνεις, διηγησάμην ἄν σοι πολλὰ καὶ μεγάλα τοιαῦτα διηγήματα, καὶ παλαιὰ καὶ καινά· ἐπεὶ δὲ τὰ Ἑλλήνων πρεσβεύεις, οὐδὲ ἐκεῖθεν ἀπορήσω τοῦ παραδείγματος. Ἄκουσον γὰρ τί πρὸς τὸν Σωκράτην ὁ Κρίτων φησί· « Σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἔγωγε οἶμαι ἱκανά· ἔπειτα δὲ καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει ἀναλίσκειν τἀμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. Εἰσηκόμικε δὲ ἐπ' αὐτῷ τούτῳ ἀργύριον ἱκανὸν Σιμμίας ὁ Θηβαῖος, ἕτοιμος δὲ καὶ Κέβης, καὶ ἄλλοι πολλοί. Ὥστε, ὅπερ ἔλεγον, μὴ ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτὸν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ τι χρῷο σαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἀλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε. Ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρίξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν. » Τί ταύτης τῆς εὐπορίας ἥδιον; Ἀλλὰ ταῦτα μὲν ὡς πρὸς ἄνδρα βιωτικόν· εἰ δὲ φιλοσοφώτερον αὐτοῦ τὸν πλοῦτον ἐξετάζειν ἐθέλοιμεν, σὺ μὲν ἴσως οὐ παρακολουθήσεις τῷ λόγῳ, ἡμῖν δὲ ἀναγκαῖον διὰ τοὺς δικάζοντας εἰπεῖν. Τοσοῦτος γὰρ ὁ τῆς ἀρετῆς πλοῦτός ἐστιν, οὕτως ἡδίων, οὕτω ποθεινότερος τοῦ παρ' ὑμῖν, ὡς μηδ' ἂν ποτε ἐθελῆσαι τοὺς ἔχοντας αὐτὸν τὴν ἅπασαν γῆν, εἰ χρυσὸς γένοιτο μετὰ τῶν ὀρῶν καὶ τῆς θαλάσσης καὶ τῶν ποταμῶν, ἀντ' ἐκείνου λαβεῖν. Καὶ εἴ γε ἦν δυνατὸν τοῦτο γενέσθαι, ἔμαθες ἂν ἀπὸ τῆς πείρας αὐτῆς, ὡς οὐκ ἀλαζονείας τὰ ῥήματα, ἀλλὰ πολλῷ πλείω καὶ μείζω εὑρόντες καταφρονήσουσιν ἐκείνου, καὶ οὐκ ἄν ποτε αὐτὸν ἀλλάξαιντο τούτου· καὶ τί λέγω, ἀλλάξαιντο; οὐδὲ μετ' ἐκείνου μὲν οὖν λαβεῖν αὐτὸν ἕλοιντο ἄν. Καίτοι ὑμῖν εἴ τις ἐδίδου τὸν τῆς ἀρετῆς πλοῦτον μετὰ τῶν χρημάτων, ὑπτίαις ἂν ἐδέξασθε χερσίν· οὕτως ὁμολογεῖτε μέγαν τινὰ ἐκεῖνον καὶ θαυμαστόν· οὗτοι δὲ οὐκ ἂν ἕλοιντο τὸν ὑμέτερον μετὰ τοῦ οἰκείου· οὕτως ἴσασιν ὅτι πρᾶγμά ἐστιν εὐκαταφρόνητον. Καὶ τοῦτο πάλιν ἀπὸ τῶν ὑμετέρων παραδειγμάτων ποιήσω φανερόν. Πόσα γὰρ οἶει χρήματα τὸν Ἀλέξανδρον τῷ Διογένει, εἴ γε ἤθελε δέξασθαι, δοῦναι ἄν; Ἀλλ' οὐκ ἠθέλησεν· ἐκεῖνος δὲ ἐφιλονείκει καὶ πάντα ἔπραττεν, ὥστε δυνηθῆναί ποτε ἐπὶ τὸν πλοῦτον ἐλθεῖν τὸν τούτου.

Βούλει δὲ καὶ ἑτέρωθέν σου τὴν πενίαν ἰδεῖν, καὶ τοῦ παιδὸς τὴν εὐπορίαν τοῦ σοῦ; Οὐκοῦν ἄπελθε καὶ

hujusmodi imperetur. Multos certe tibi possem ostendere, non ex illustribus his, sed ex humilioribus quoque, qui hac tanta potestate sunt præditi. Ac tu quidem, si œconomi sibi credita absumpserint, alium non habes a quo repetas, sed statim per illorum nequitiam divitiæ tuæ in paupertatem mutabuntur : in filio autem tuo nihil est ejusmodi metuendum. Nam si hic in paupertatem incidat, rursum alteri imperabit ; sin is quoque simile passus sit, ad alium se convertet : prius denique deficient fontium latices, quam qui nato tuo obtemperet imperanti. Quodsi nobiscum in religione concordares, multa tibi similia et magna narrassem, et vetera et nova ; verum quia te gentilem profiteris, ne hinc quidem exempla deerunt. Audi (apud Platonem) quid ad Socratem loquatur Crito : *Tuæ sane sunt meæ pecuniæ, ut equidem reor, satis multæ : sin vero tu, quod mei curam geras, a re mea tibi abstinendum censeas, hi qui adstant hospites impensis parati sunt. Attulit quippe in hoc ipsum pecuniam satis magnam Simmias Thebanus : paratus est et Cebes* (codd. *et Cedæus et Cebes*), *alii item multi. Itaque, ut antea dicebam, nullo horum metu fractus, salutem cura tuam. Neque vero id, quod in judicio dicebas, molestiam tibi pariat, quod scilicet profectus non haberes quo te ipsum verteres. Multis enim et aliis in locis, quocumque proficiscare, amabunt te plurimi. Sin autem velis in Thessaliam pergere, sunt mihi plerique illic hospites, qui te plurimi facient, et tutum omnino præstabunt : sic ut nemo sit in Thessalia te læsurus.* Quid hac opulentia jucundius? Verum hæc quidem ut ad sæcularem hominem sint dicta. Quodsi modo ad philosophiam accommodatiore opes discutere velimus, tu fortasse non assequeris intellectu, mihi tamen propter judices necessario dicendum est. Tantæ enim sunt virtutis opes, adeoque vestris dulciores et optabiliores, ut qui has habuerint, ne universam quidem terram, etiamsi illa aurum fieret cum montibus, mari et fluminibus, commutare cum illis voluerint. Ac si id fieri posset, experimento ipso disceres nos non jactantiæ verba loqui : sed majores quoque illi divitias nacti spernerent, et numquam prorsus cum istis illas commutarent. Et quid ego dico, commutarent? ne cum illis quidem has habere vellent. Certe si quis vobis cum pecuniis virtutis conferret opes, supinis eas manibus susciperetis : adeo ipsi quoque eas divitias et magnas et admirabiles esse confitemini. At hi ne cum suis quidem opes vestras habere voluerint : ita rem esse spernendam norunt. Atque hoc ipsum rursus exemplis vestris perspicuum faciam. Quantum enim pecuniarum Alexandrum Diogeni daturum fuisse putas, si quidem ille voluisset accipere? Ille vero noluit. At Alexander viribus totis contendebat, cunctaque moliebatur, ut ad hujus aliquando divitias posset pervenire.

5. Visne aliunde quoque et tuam inopiam, et filii tui opes cognoscere? Illum adi, ejusque palium, quod solum

ἄφελε αὐτὸν τὸ ἱμάτιον ὅπερ ἔχει μόνον, καὶ τῆς καλύβης ἐξάγαγε, καὶ κάθελε τὸ καταγώγιον, καὶ οὐδὲ οὕτως ὄψει δυσχεραίνοντα οὐδὲ ἀλγοῦντα, ἀλλά σοι καὶ χάριν εἴσεται τούτων, ὅσον πρὸς φιλοσοφίαν πλέον ὠθεῖς αὐτόν· σοῦ δὲ ἄν τις δέκα δραχμὰς ἀφέληται μόνον, θρηνῶν καὶ ὀδυρόμενος οὐ διαλείψεις ποτέ. Τίς οὖν εὔπορος, ὁ τοῖς μικροῖς ὀδυνώμενος, ἢ ὁ πάντων τῶν ὄντων καταφρονῶν; Καὶ μὴ τοῦτο ποιήσῃς μόνον, ἀλλὰ καὶ τῆς χώρας ἁπάσης ἀπέλασον, καὶ ὄψει γελῶντα ἐπὶ τούτοις, καθάπερ ἐπὶ παιδίου παίζοντος. Σὲ δὲ ἂν τῆς πατρίδος ἀπελάσῃ τις μόνον, τὰ δεινότατα πείσῃ, καὶ οὐδὲ οἴσεις τὴν συμφοράν· ἐκεῖνος δὲ, ἅτε πάσης τῆς γῆς οὔσης αὐτοῦ καὶ τῆς θαλάσσης, οὕτως εὐκόλως καὶ ἀλύπως ἀπὸ τούτων ἐφ' ἕτερα μεταστήσεται, καθάπερ σὺ διὰ τῶν οἰκείων ὀδεύων ἀγρῶν· μᾶλλον δὲ καὶ εὐκολώτερον. Σοὶ μὲν γὰρ εἰ καὶ διὰ τῶν σῶν βαδίζειν ἔξεστιν, ἀλλ' ὅμως καὶ δι' ἀλλοτρίων ἀνάγκη· ἐκεῖνος δὲ διὰ πάσης τῆς αὐτοῦ πορεύσεται γῆς· καὶ ποτὸν μὲν αὐτῷ πάντοθεν δαψιλῶς παρέχουσι λίμναι καὶ ποταμοὶ καὶ πηγαί, τροφὴ δὲ αὐτῷ λάχανα καὶ βοτάναι, καὶ ἄρτοι δὲ πολλαχόθεν. Οὔπω γάρ σοι λέγω, ὅτι καὶ τῆς γῆς ἁπάσης καταφρονεῖ, πόλιν ἔχων ἐν οὐρανῷ. Κἂν τελευτῆσαι δέῃ, τῆς τρυφῆς ὑμῶν ἥδιον οἴσει τὴν τελευτήν, καὶ εὔξεται οὕτως ἀποθανεῖν μᾶλλον, ἢ ὑμεῖς ἐπὶ τῆς πατρίδος καὶ τῆς εὐνῆς· ὥστε καὶ πλάνον καὶ φυγάδα καὶ ἀλήτην τὸν πόλιν ἔχοντα καὶ οἰκίαν οἰκοῦντα, ἀλλ' οὐκ ἐκεῖνον εἴποι τις ἂν τὸν πάντων τούτων ἀπηλλαγμένον. Οὔτε γὰρ τῆς πατρίδος αὐτὸν ἐξαγαγεῖν δυνήσῃ, ἕως ἂν μὴ ἐξαγάγῃς τῆς γῆς ἁπάσης· (τέως γὰρ οὕτως εἰρήσθω, ἐπεὶ κατὰ τὸν ἀληθῆ λόγον τότε μάλιστα αὐτὸν εἰς τὴν πατρίδα ἀποπέμψεις, ὅταν ἀπὸ τῆς γῆς ἐξαγάγῃς· ἀλλ' οὔπω τοῦτο πρὸς σὲ τὸν οὐδὲν πλέον τῶν ὁρωμένων εἰδότα·) οὐδὲ γυμνὸν δεῖξαι δυνήσῃ, ἕως ἂν τὰ τῆς ἀρετῆς ἱμάτια περικείμενος ᾖ· οὔτε λιμῷ διαφθερεῖς, ἕως ἂν εἰδῇ τὴν ὄντως τροφήν. Ἀλλὰ πᾶσι τούτοις οἱ πλουτοῦντές εἰσιν ἁλώσιμοι· ὥστε καὶ κατὰ τοῦτο οὐκ ἂν τις ἁμάρτοι τούτους μὲν πένητας προσειπών, καὶ σφόδρα πένητας, εὐπόρους δὲ ἐκείνους ἀκριβῶς. Ὁ γὰρ καὶ τροφῆς καὶ ποτοῦ καὶ οἰκίας καὶ ἀναπαύσεως πανταχοῦ δυνάμενος εὐπορεῖν, καὶ οὐ μόνον μὴ ἁλούων, ἀλλὰ καὶ ἥδιον ἐν τούτοις ἢ ὑμεῖς ἐν τοῖς ὑμετέροις διάγων, εὔδηλον ὅτι πάντων ὑμῶν τῶν πλουτούντων ἐστὶν εὐπορώτερος τῶν ἐπὶ τῆς οἰκείας μόνης ταῦτα δυναμένων εὑρεῖν. Ὅθεν οὐδὲ πενίαν οἶδεν ἐκεῖνος θρηνῆσαί ποτε. Οὐ γὰρ δὴ τῇ ἀφθονίᾳ μόνον οὗτος ὁ πλοῦτος βελτίων, οὐδὲ τῇ ἡδονῇ, ἀλλὰ καὶ τῷ ἀνάλωτος εἶναι, καὶ εἰς πτωχείαν μὴ μεταβαλεῖν ποτε, μηδὲ ὑποκεῖσθαι τῷ τοῦ μέλλοντος ἀδήλῳ, μηδὲ φροντίδας ἔχειν, μηδὲ βασκανίᾳ χειροῦσθαι, ἀλλὰ θαῦμα καὶ ἔπαινον καὶ εὐφημίαν κεκτῆσθαι πᾶσαν· καίτοι γε ἐφ' ὑμῶν τοὐναντίον ἐστὶν ἰδεῖν. Οὐ γὰρ μόνον ὑμᾶς οὐκ ἐπαινοῦσι διὰ τὸν πλοῦτον, ἀλλὰ καὶ μισοῦσι καὶ ἀποστρέφονται, καὶ βασκαίνουσι δὲ ὑμῖν καὶ ἐπιβουλεύουσιν οἱ πολλοί· οὗτος δὲ,

habet, illi aufer: educ item ex casula, ejusque tugurium destrue: ne sic quidem eum indignantem aut ægre ferentem videbis; verum tibi horum gratias reddet, quandoquidem magis eum ad philosophiam impellis: tibi vero si quis vel decem drachmas abstulerit, lugendi lamentandique finem non facies. Uter ergo dives existimandus est? iste qui vel de minimis excruciatur, an qui omnia simul despicit? Neque id tantum facias, verum ex tota regione exturba illum: et ridentem videbis quasi de ludente puero. Te vero si quis ex patria solum exturbet, acerbissima patieris, neque illam calamitatem ferre poteris: ille autem, quippe ipsius est et terra universa et mare, ita facile et sine mœrore ex his locis ad alia migrabit, ut tu facis cum per agros tuos incedis, imo etiam facilius. Nam tibi etsi per tua incedere liceat, per aliena tamen necessario incedendum est: at vero terram ille omnem suam obambulat, eique potum undique largissimum suppeditant stagna, amnes, fontes: cibus ipsi sunt olera, herbæ, panes multis ex locis advecti. Nondum enim id dico, quod terram ipse omnem aspernetur, patriam habens in cælo. Quodsi moriendum fuerit, lætius feret obitum quam delicias vestras, ac præoptabit ita mori, quam vos in patria et lecto: ita ut ille vere dicendus sit vagus, fugitivus et palabundus, qui urbem incolit et in domo habitat, non autem qui his omnibus liber evasit. Numquam enim illum de patria poteris educere, nisi eum ex universa terra dejeceris; (ita enim interim loquamur: nam si vere loquendum sit, tunc eum maxime in patriam remittes, quum ex terra deduxeris. Verum id nondum ad te loquemur, qui nonnisi ea quæ oculis perspiciuntur nosti;) neque nudum eum poteris ostendere, donec virtutis indumentis amictus fuerit; neque fame necabis, quamdiu qui sit verus cibus agnoverit. Sed his omnibus divites facile capiuntur. Quamobrem hac ratione non aberrabit, qui hos quidem pauperes ac prorsus inopes dixerit, illos autem admodum locupletes. Nam cui cibus, potus, domus, requies ubique suppetit, nec modo non moleste fert, sed etiam in his jucundius, quam vos in vestris, versatur; is, ut liquet, opulentior est omnibus vobis divitibus, qui in patria tantum hæc invenire potestis. Quocirca nec de inopia ille unquam lugebit. Neque enim ex hac rerum copia et voluptate tantum divitiæ istæ præstantiores sunt; sed etiam quod insuperabiles sint, nec in paupertatem unquam cadere possint, neque iis præditi subjecti sint futurorum incertitudini, non curis angantur, non livore capiantur; sed admirationem omnem et laudem et famam obtineant. Atqui in vobis contraria penitus videntur: non modo enim vos alii de divitiis non laudant, sed etiam oderunt et aversantur, invident item vobis atque insidiantur plurimi: hic

ἐπειδὴ πλουτεῖ πλοῦτον τὸν ἀληθῆ, διὰ τοῦτο θαυμάζεται μάλιστα, καὶ διὰ τοῦτο οὐ φθονεῖται οὐδὲ ἐπιβουλεύεται. Ἀλλ' ἆρα πρὸς ὑγίειαν τίς ἐπιτηδειότερος; οὐχ ὁ μὲν ἐκεῖνον ἔχων καθάπερ τὰ ἄγρια τῶν ζώων εὐσωματεῖ καὶ σφριγᾷ, ἅτε ἀέρος ἀπολαύων καθαροῦ καὶ ναμάτων ὑγιεινῶν καὶ ἀνθῶν καὶ λειμώνων καὶ εὐωδίας εἰλικρινοῦς, οὗτος δὲ, ὥσπερ ἐν βορβόρῳ χείμενος, μαλακώτερός τέ ἐστι καὶ μᾶλλον ἐπίνοσος; Εἰ δὲ ἐν ὑγιείᾳ τὰ πρωτεῖα παρὰ τούτῳ, δῆλον ὅτι καὶ ἐν ἡδονῇ. Τίνα γὰρ οἴει μᾶλλον τρυφᾶν, τὸν ἐπὶ βαθείας καταχεχλιμένον πόας, παρὰ πηγὴν καθαρὰν, ὑπὸ σκιὰν δένδρων ἀμφιλαφῶν, καὶ τὸν ὀφθαλμὸν ἑστιῶντα τῇ θέᾳ, καὶ καθαρωτέραν ἔχοντα τοῦ οὐρανοῦ τὴν ψυχὴν, καὶ ταραχῆς καὶ θορύβου πόρρω καθήμενον, ἢ τὸν ἐν οἰκίσκῳ καταχεχλεισμένον; Οὐ γὰρ δὴ τοῦ ἀέρος τὰ μάρμαρα καθαρώτερα, οὐδὲ τῆς σκιᾶς τῆς ἀπὸ τῶν δένδρων ἡ ἀπὸ τῆς ὀροφῆς ἡδίων, οὐδὲ ἡ ψηφὶς ἀδάφους ἄνθεσι καλλωπιζομένου ποικίλοις. Καὶ τούτων αὐτῶν ὑμεῖς οἱ πλουτοῦντες μάρτυρες, οἷς εἴ γε ἐνῆν ἐπὶ τῶν ὑπερῴων δένδρα ἔχειν καὶ τὴν ἀπὸ τῶν λειμώνων παραμυθίαν, μᾶλλον ἂν εἵλεσθε τῆς στέγης τῆς χρυσῆς καὶ τῶν τοίχων τῶν θαυμαστῶν. Ὅταν γοῦν ἐκ πολλῶν πόνων πρὸς ἄνεσιν ἑαυτοὺς ἀφεῖναι ἐπιθυμήσητε, ταῦτα ἀφέντες, πρὸς ἐκεῖνα βαδίζετε.

Ἀλλ' ὑπὲρ δόξης ἴσως θρηνεῖς, τῆς πολλῆς ἐκείνης καὶ μεγάλης, οὐδαμοῦ φαινομένης ἐνταῦθα; Τὰ γὰρ βασίλεια τῇ ἐρημίᾳ παραβάλλων καὶ τὰς ἐκεῖθεν ἐλπίδας ταῖς ἐντεῦθεν, ἐξ αὐτοῦ οἴει τοῦ οὐρανοῦ καταπεπτωκέναι σοι τὸν υἱόν. Οὐκοῦν τοῦτο δεῖ πρῶτον μαθεῖν, ὡς οὔτε ἡ ἐρημία ἄτιμον ποιεῖ, οὔτε λαμπρὸν καὶ περιφανῆ τὰ βασίλεια, καὶ πρὶν ἐπὶ λογισμοὺς ἐλθεῖν, ἐκ παραδειγμάτων σε ἀπαλλάξω τῆς ὑποψίας, παραδειγμάτων οὐ τῶν παρ' ἡμῖν, ἀλλὰ τῶν ὑμετέρων. Διονύσιον ἴσως ἀκούεις τὸν Σικελίας τύραννον, ἀκούεις δὲ καὶ Πλάτωνα τὸν Ἀριστωνος. Τίς οὖν, εἰπέ μοι, λαμπρότερος γέγονε; τίς δὲ ᾄδεται καὶ ἐν τοῖς τῶν πολλῶν ἐστι στόμασιν; οὐχ ὁ φιλόσοφος τοῦ τυράννου μᾶλλον; Καίτοι ὁ μὲν τῆς τε γῆς ἁπάσης ἐκράτει, καὶ ἐν τρυφῇ διῆγε, καὶ μετὰ πολλοῦ τοῦ πλούτου καὶ τῶν δορυφόρων καὶ τῆς ἄλλης φαντασίας διετέλεσε ζῶν· ὁ δὲ ἐν τῷ τῆς Ἀκαδημίας κήπῳ διέτριβεν ἄρδων τε καὶ φυτεύων καὶ ἐλαίας ἐσθίων, καὶ εὐτελῆ παρατιθέμενος τράπεζαν, καὶ πάσης ἐκείνης τῆς φαντασίας ἐκτὸς ὤν. Καὶ οὐ τοῦτό πω θαυμαστὸν, ἀλλ' ὅτι καὶ δοῦλος γενόμενος, καὶ κατὰ τὴν τοῦ τυράννου γνώμην ἀπεμποληθεὶς, τοσοῦτον ἀπέσχεν ἀτιμότερος ἐκείνου φανῆναι διὰ ταῦτα, ὅτι καὶ αὐτῷ τῷ τυράννῳ ἐκ τούτων φανῆναι αἰδέσιμος. Τοιοῦτον ἀρετή· οὐ δι' ὧν ἐργάζεται μόνον, ἀλλὰ καὶ δι' ὧν πάσχει κακῶς, οὐχ ἑαυτὴν, ἀλλὰ καὶ τοὺς ποιοῦντας οὐκ ἀφεῖσα κρύπτεσθαι καὶ λανθάνειν. Τί δὲ ὁ τούτου διδάσκαλος ὁ Σωκράτης; πόσῳ Ἀρχελάου λαμπρότερος ἦν; Καίτοι ὁ μὲν βασιλεὺς ἦν, καὶ ἐν πολλῷ πλούτῳ διῆγεν· ὁ δὲ ἐν Λυκείῳ διέτριβε, καὶ ἑνὸς ἱματίου πλέον εἶχεν οὐδὲν, καὶ τοῦτο

autem quod veris divitiis locuples est, ideo maxime admirationi est, nec invidia aut insidiis appetitur. Ad corporis vero valetudinem uter aptior? nonne is agrestium instar animantium vegeto et valido corpore est, utpote qui purissimo fruatur aere, fluentis salubribus, floribus, pratis, odore gratissimo; hic vero quasi in cœno jacens, et mollior est et morbis magis obnoxius? Quodsi in sanitate primas ille tenet, liquet quod in voluptate non minus. Utrum enim magis existimas in deliciis agere, eumne qui super altissima recumbit herba, propter fontem limpidum, sub umbra densarum arborum, oculumque pascit aspectu, purioremque ipso cælo animum possidet, a rerum perturbatione ac tumultu longe remotus; an eum qui domunculæ inclusus est? Sane non aere puriora sunt marmora, neque umbra tecti frondeis umbris gratior, neque lapilli solo variis operto floribus amœniores. Atque horum ipsi vos divites testes estis, qui, si fieri posset, in ipsis tectis arbores habere cuperetis, et pratorum amœnitatem malletis, quam aurea tecta, parietesque mirabiles. Quamobrem quum ex multis laboribus recreationem accipere vultis, his relictis ad illa properatis.

Verum fortasse pro gloria conquereris illa magna atque ingenti, quæ hic non comparet. Regiam enim solitudini conferens, atque utriusque status spem mutuo comparans, de cælo ipso filium tuum decidisse arbitraris. Id igitur primo discendum est, quod neque solitudo ignobilem, neque regia clarum faciat et illustrem: atque antequam ad rationes veniamus, exemplis te ab hac suspicione liberabo; exemplis, inquam, non nostris, sed vestris. De Dionysio forte audisti Siciliæ tyranno, itemque de Platone Aristonis filio. Uter igitur, dic mihi, insignior fuit? uter canitur et per cunctorum ora celebratur? nonne philosophus magis, quam tyrannus? Atqui ille quidem terræ totius potiebatur, atque in deliciis degebat, ingentibus divitiis, satellitum agminibus stipatus, ac cum reliquis potentiæ insignibus diuturnam vitam gessit: hic autem in Academiæ horto versabatur, rigans, inserens, olivasque comedens, ac vilissimam apponens mensam illo omni vano splendore vacuus. Et hoc non usque adeo mirabile est; sed quod servus effectus, tyrannique jussu venditus, tantum abfuit ut illo propterea vilior appareret, ut ipsi quoque tyranno hinc visus sit admiratione dignus. Tanta res est virtus! non per ea modo quæ agit, sed per ea etiam quæ indigne patitur, non se ipsam solum, sed eos quoque qui talia committunt, non sinit latere et occultari. Quid vero præceptor ejus Socrates? quanto is Archelao fuit illustrior? At ille rex cum esset, in plurimis opibus degebat; hic autem in Lyceo morabatur, nihilque præter vestimentum unum habebat, quo et hieme et æstate,

μόνον καὶ χειμῶνος καὶ θέρους καὶ ἐν πάσαις ταῖς ὥραις τοῦ ἔτους περιβεβλημένος ἐφαίνετο· ἀνυπόδετός τε ἦν διαπαντὸς, καὶ ἄσιτος ἅπασαν διεκαρτέρει τὴν ἡμέραν, ἄρτον τε ἐσιτεῖτο μόνον, καὶ τοῦτο ἦν αὐτῷ ὄψον καὶ σιτίον· καὶ οὐδὲ ταύτην οἰκοθεν παρετίθετο τὴν τράπεζαν, ἀλλὰ παρ' ἑτέρων λαμβάνων, οὕτως ἐσχάτῃ συνέζη πενίᾳ· καὶ τοσοῦτον ἦν τοῦ βασιλέως λαμπρότερος, ὡς πολλάκις αὐτὸν καλοῦντος ἐκείνου παρ' ἑαυτὸν, μὴ θελῆσαι τὸ Λύκειον ἀρεῖναι, καὶ πρὸς τὴν ἐκείνου πενίαν ἐλθεῖν. Καὶ ἀπὸ τῆς δόξης δὲ τῆς κρατούσης νῦν καὶ τὰ πρότερα φαίνεται· τούτων μὲν γὰρ τὰ ὀνόματα πολλοῖς γνώριμα, ἐκείνων δὲ οὐδενί. Ὁ δὲ Σινωπεὺς πάλιν ἕτερος οὗτος φιλόσοφος τοσούτῳ καὶ τούτων καὶ ἑτέρων μυρίων τοιούτων βασιλέων εὐπορώτερος ἦν ῥᾳδίως ζῶν, ὡς τὸν Φιλίππου τὸν Μακεδόνα στρατιὰν ἐπὶ Πέρσας ἄγοντας πάντα ἀφέντα ἰδόντα αὐτὸν ἀπελθεῖν καὶ ἐρέσθαι δι' ἑαυτοῦ, μή τινος δέοιτο, καὶ εἴ τι κελεύοι· αὐτὸν δὲ οὐδὲν ἀπαγγεῖλαι. Ἆρά σοι τῶν παραδειγμάτων ἅλις, ἢ βούλει καὶ ἑτέρων ἐπιμνησθῶμεν; Οὗτοι γὰρ οὐχὶ τῶν ἐν βασιλείοις λαμπρῶν, ἀλλ' αὐτοῦ τοῦ βασιλεύοντος γεγόνασι λαμπρότεροι, τὸν ἰδιωτικὸν ἑλόμενοι βίον καὶ ἀπράγμονα, καὶ πολιτείας οὐδὲ ἐγγὺς βουληθέντες ἐλθεῖν. Καὶ ἐν αὐτῇ δὲ τῇ πολιτείᾳ οὐκ ἐκείνους ὄψει λαμπροὺς τοὺς ἐν πλούτῳ καὶ τρυφῇ καὶ περιουσίᾳ, ἀλλὰ καὶ τοὺς ἐν πενίᾳ, τοὺς ἐν εὐτελίᾳ, τοὺς ἐν ἀτύφῳ ζῶντας βίῳ. Παρὰ μὲν γὰρ Ἀθηναίοις Ἀριστείδης, ὃν καὶ τελευτήσαντα ἡ πόλις ἔθαψε, καὶ πλούτῳ καὶ γένει καὶ τρυφῇ καὶ δυνάμει λόγων καὶ ῥώμῃ σώματος καὶ εὐγενείᾳ καὶ τοῖς ἄλλοις πᾶσιν Ἀλκιβιάδου κρατοῦντος τοσοῦτον λαμπρότερος ἦν, ὅσον παιδίου τινὸς εὐτελοῦς φιλόσοφος θαυμαστός. Παρὰ Θηβαίοις Ἐπαμεινώνδας, ἄνθρωπος εἰς ἐκκλησίαν καλούμενος καὶ διὰ τοῦτο μὴ δυνάμενος ἐλθεῖν, ἐπειδὴ αὐτῷ τὸ ἱμάτιον ἔτυχε πλυνόμενον καὶ ἕτερον περιθέσθαι οὐκ εἶχε, πάντων τῶν γενομένων αὐτόθι στρατηγῶν ἐπισημότερος ἦν. Μὴ τοίνυν μοι τὴν ἐρημίαν εἴπῃς, μηδὲ τὰ βασίλεια. Οὐ γὰρ ἐν τόποις τὰ τῆς λαμπρότητος καὶ περιφανείας, οὐδὲ ἐν ἱματίοις, οὐδὲ ἐν ἀξιώματι, οὐδὲ ἐν δυναστείᾳ, ἀλλ' ἐν ἀρετῇ ψυχῆς καὶ φιλοσοφίᾳ μόνον.

Ἀλλ' ἐπειδὴ τὰ παραδείγματα οὐ τοσαύτην ἔχει τὴν ἰσχὺν, ἀπ' αὐτοῦ τοῦ σοῦ παιδὸς ποιήσομαι τὴν ἐξέτασιν· εὑρήσομεν γὰρ αὐτὸν οὐ μόνον λαμπρότερον ὄντα νῦν, ἀλλὰ καὶ δι' ἐκεῖνα λαμπρότερον, δι' ἅπερ ἄτιμον εἶναι φῂς καὶ εὐτελῆ. Εἰ γὰρ βούλει, πείσαντες αὐτὸν ἀπὸ τοῦ ὄρους κατελθεῖν, πείσωμεν καὶ εἰς ἀγορὰν ἐμβαλεῖν, καὶ ὄψει πᾶσαν ἐπιστρεφομένην τὴν πόλιν, καὶ ὑποδεικνύντας αὐτὸν ἅπαντας καὶ θαυμάζοντας καὶ ἐκπληττομένους, ὡς ἀγγέλου τινὸς ἐξ οὐρανοῦ παραγενομένου νῦν. Ἢ ἕτερόν σοί τι τὰ τῆς δόξης εἶναι δοκεῖ; Οὐ γὰρ δὴ τῶν ἐν βασιλείοις ἔσται περιφανέστερος μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου, διὰ τὰ ἱμάτια ἐκεῖνα τὰ εὐτελῆ καὶ ἐκτετριμμένα. Οὐ γὰρ ἂν οὕτως ἅπαντας ἐξέπληττε χρυσοφορῶν,

omnibusque anni tempestatibus utebatur : nudis semper pedibus vixit, ac sine cibo totam transigebat diem, pane solo contentus, atque id erat ei et obsonium et esca : nec latam piedem mensam ex rebus suis apparabat, sed ab aliis accipiebat, extrema scilicet in paupertate degens. Adeoque tamen ipso rege clarior erat, ut ab illo frequenter invitatus, nollet Lyceo dimisso ad illius veram paupertatem proficisci. At ex ea quoque, quæ nunc obtinet, opinione, etiam quæ olim fuerunt apparent : namque horum quidem nomina plurimis nota sunt; illorum vero nemini. Sinopensis autem (*Diogenes*) alius philosophus tanto et his et aliis innumeris ejusmodi regibus opulentior erat, etsi pannis laceris vestitus, ut Alexander Philippi Macedo exercitum in Persas ducens, ubi illum vidit, omnibus dimissis abiret et suo ore ex illo quæreret, ullane re indigeret, et an aliquid juberet : ille vero nullius se egere respondit. Num jam exemplorum satis habes, an vis alia quoque memoremus? Nempe isti non modo iis qui in regia insignes fuere, sed ipsis quoque regibus fuere clariores, cum privatam quietamque vitam delegissent, neque ad rempublicam ullatenus se conferre voluissent. Sed enim in ipsa quoque reipublicæ administratione non illos claros fuisse deprehendes, qui divitiis, deliciis et facultatibus instructi erant, sed eos qui in paupertate, simplicitate et moderata vita degebant. Apud Athenienses Aristides, quem defunctum civitas sepelivit, Alcibiade, qui opibus, deliciis, orationis vi, corporis robore, nobilitate cæterisque omnibus præstabat, tanto clarior erat, quanto vili aliquo puerulo philosophus mirabilis. Apud Thebanos Epaminondas, homo qui in concionem vocatus propterea eo se conferre non poterat, quod vestem lavandam curaret, nec aliam haberet quæ induceretur, omnibus tamen, qui Thebis vixerunt, belli ducibus præstantior erat. Ne itaque mihi solitudinem jactites, aut regiam. Neque enim in locis claritas et splendor, non in vestibus, non in dignitate, non in potentia, sed in virtute tantum animi ac philosophia.

6. Verum quia exempla non tantam vim habent, ab ipso filio tuo rem discutiam. Illum quippe inveniemus non modo clariorem nunc, sed etiam ex iisdem ipsis rebus clariorem, quibus tu illum vilem et ignobilem esse dicis. Nam si vis, cui persuasimus ut de monte descenderet, persuadeamus etiam ut in forum irrumpat; videbisque statim totius civitatis in illum ora converti, cunctosque eum monstrantes cum admiratione ac stupore, ac si angelus quidam de cœlo descenderit. Ecquid aliud tibi videtur esse gloria? Sane non iis modo, qui in regia versantur, sed ipso quoque, qui diademate redimitus est, illustrior erit cum illa vili atque consciscia veste. Neque enim tantæ admirationi omnibus

μᾶλλον δὲ καὶ ἀλουργίδα, καὶ αὐτὸν τὸν στέφανον περικείμενος ἐπὶ τῆς κεφαλῆς, καὶ τοῖς στρατιώταις ἐπικαθήμενος στρώμασι, καὶ ὑπὸ τῶν ἡμιόνων ἑλκόμενος, καὶ τοὺς χρυσοφοροῦντας δορυφόρους ἔχων, ὡς νῦν ῥυπῶν καὶ αὐχμῶν καὶ παχὺ περιβεβλημένος ἱμάτιον, καὶ μηδένα ἀκολουθοῦντα ἐπαγόμενος, καὶ ἀνυπόδετος ὤν. Ἐκεῖνα μὲν γὰρ τὰ τοῦ βασιλέως νόμοις τε ὥρισται, καὶ τῇς συνηθείας ἐστί· καὶ διὰ ταύτην, ἂν εἴπῃ τις θαυμάζων τὸν βασιλέα, ὅτι στολὴν περιβέβληται χρυσῆν, οὐ μόνον οὐ θαυμάζομεν, ἀλλὰ καὶ γελῶμεν τὸ λεχθὲν, ὡς οὐδὲν ἔχον παράδοξον· περὶ δὲ τοῦ παιδίου τοῦ σοῦ ἂν ἔλθών τις ἀπαγγείλῃ, ὅτι πλούτου καταγελάσας τοῦ πατρικοῦ, καὶ τὴν βιωτικὴν καταπατήσας φαντασίαν, καὶ τῶν κοσμικῶν ἐλπίδων ἀνώτερος γενόμενος, πρὸς τὴν ἐρημίαν μετέστη καὶ χιτωνίσκον σαπρὸν ἐνέδυ καὶ φαῦλον, πάντες εὐθέως συνδραμοῦνται καὶ θαυμάσονται καὶ κροτήσουσιν ὑπὲρ τῆς μεγαλοψυχίας αὐτόν. Καὶ τῶν μὲν βασιλέων μυρία κατηγορουμένων, οὐδὲν τὰ ἱμάτια προστήσεται τὰ χρυσᾶ· τοσοῦτον ἀπέχει θαυμαστοὺς δεῖξαι ὄντας αὐτούς· οὗτος δὲ καὶ ἀπὸ τῶν ἱματίων πολλὰς ἔχει τοῦ θαυμάζεσθαι τὰς ἀφορμάς. Ὥστε αὕτη ἡ στολὴ τῆς βασιλικῆς μᾶλλον αὐτὸν ἀπόβλεπτον ἀπέφηνε καὶ περιφανῆ, εἴ γε δι' ἐκείνην μὲν οὐδεὶς βασιλέα ἐθαύμασε, διὰ δὲ ταύτην ἅπαντες τὸν περικείμενον ἐκπλαγήσονται.

Καὶ τί μοι, φησὶ, τῆς τῶν πολλῶν ὑπονοίας ὄφελος καὶ τῶν ἐπαίνων; Καὶ μὴν δόξα οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ταῦτα. Ἀλλ' οὐ δέομαι, φησὶ, ταύτης, δυναστείαν δὲ ζητῶ καὶ τιμήν. Ἀλλ' οἱ ἐπαινοῦντες καὶ τιμήσουσι πάντως. Εἰ δὲ δυναστείαν βούλει καὶ προστασίαν, καὶ ταύτην οὐχ ἧττον τῶν προτέρων παρὰ τούτοις οὖσαν μᾶλλον εὑρήσομεν· καὶ ἔχομεν μὲν αὐτὸ καὶ ἐκ παραδειγμάτων ποιεῖν φανερὸν, ἐπὶ δὲ τὸν μάλιστά σε παραμυθούμενον τρόπον ἐλθόντες, οὐκ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ σοῦ παιδὸς τὸν λόγον ἐξετάσωμεν τοῦτον. Τί γὰρ δυνάμεως τῆς μεγίστης τεκμήριον εἶναι φῂς; οὐ τὸ δύνασθαι μὲν ἀμύνεσθαι τοὺς λυποῦντας ἅπαντας, δύνασθαι δὲ τοὺς εὐεργετοῦντας ἀμείβεσθαι; Καίτοι γε ταύτην ἅπασαν οὐδὲ παρὰ τῷ βασιλεύοντι ἴδοι τις ἄν· καὶ γὰρ πολλοὺς ἔχει τοὺς λυποῦντας, οὓς οὐκ ἂν δύναιτο λυπεῖν, καὶ πολλοὺς τοὺς εὖ ποιοῦντας, οὓς οὐκ ἂν εὐκόλως ἀμείψαιτο. Καὶ γὰρ ἐν πολέμοις πολλάκις λυπήσαντας πολεμίους, καὶ μυρία αὐτὸν εἰργασμένους κακὰ, ἀμύνασθαι ἐπεθύμησε μὲν, οὐκ ἴσχυσε δέ· καὶ φίλους δὲ μεγάλα ἐπιδειξαμένους ἐκεῖ κατορθώματα, οὐκ ἔσχε τοῖς ἴσοις ἀμείψασθαι, προαναρπασθέντας τῆς ἀντιδόσεως καὶ ἐν αὐτῷ τῷ πολέμῳ πεσόντας. Τί οὖν, ἂν ταύτης τῆς δυνάμεως, ἧς οὐδὲ βασιλεῖς ἀπολαύουσιν, ὡς ὁ λόγος ἀπέδειξεν, ἑτέραν πολλῷ μείζονα τὸν υἱὸν ἔχοντα ἀποδείξωμεν τὸν σόν; Καὶ μηδεὶς ἴσως τὰ ἐν τοῖς οὐρανοῖς [ἀκούσεσθαι] ἀγαθὰ ὑπολάβοι λεγόντων ἡμῶν, οἷς ἀπιστεῖς· οὐχ οὕτως ἐπιλελήσμεθα τῶν ὑποσχέσεων· ἀλλ' ἀπὸ τῶν ἐνταῦθα γινομένων παρεξόμεθα τὴν ἀπόδειξιν.

esset, si vestibus operiretur aureis, imo si ipsa purpura ipsaque corona ornatus esset, et si stratis inideret sericis, si a mulis veheretur, aurata satellitum turba comitatus; ut modo est squalore et sordibus obsitus, crassoque amictus indumento, nullo comitatus assecla, nudisque pedibus incedens. Namque regii illi apparatus et legibus statuti sunt, et consuetudine recepti: quamobrem si quis cum admiratione diceret imperatorem esse veste aurea vestitum, non modo non admiraremur, sed etiam rideremus, quippe cum nihil novi diceret. De filio autem tuo, si quis annuntiet, eum, despectis paternis opibus, calcata sæculi pompa, spe mundana superiorem, in desertum se contulisse, vili putidaque tunica indutum esse: statim concurrent omnes, mirabuntur, atque laudabunt ejus magnitudinem animi. Cum imperatores innumeris impetuntur maledictis, nihil ipsis prosunt aureæ vestes, tantum abest ut eos mirabiles efficiant: hic autem vel ex ipsis vestimentis multas admirationis ansas præbet. Ita ut amictus hujusmodi longe illum spectabiliorem faciat, quam faceret regius: siquidem ex illo nemo imperatorem admiratus est, hoc autem ille amictus vestitu omnibus admirationi et stupori erit.

Quid mihi, inquies, vulgi opinio et laudes conferunt? Atqui gloria nihil aliud nisi hoc est. Sed hujus, repones, desiderio non teneor; potentiam et honores quæro. At qui laudant, omnino etiam honorabunt. Sin tu potentiam et præfecturam desideras, eam quoque non minus, quam priora, penes hos esse comperiemus: quod ipsum cum confirmare possimus exemplis, ad commodiorem te consolandi modum veniamus, nec aliunde quam ex ipso filio tuo rem excutiamus. Quodnam esse dicis summæ potestatis argumentum? nonne ut possit quis mœrore afficientes quoscumque ulcisci, et beneficos remunerare? Atqui hanc ne apud imperatorem quidem totam deprehendas: namque multos habet sibi infestos, quibus vicem reddere non potest, multosque beneficos, quos non potest facile remunerare. Sæpe enim in bellis, infestos sibi hostes, qui se innumeris affecere malis, ulcisci cum vehementer cuperet, non potuit; amicisque qui magna fortitudinis indicia dederunt, paria rependere nequivit, quod illi ante præmia erepti in ipso bello occubuissent. Quid si hac potentia, qua ne ipsos quidem reges frui demonstratum est, aliam longe majorem filium tuum habere monstravero? Nemo bona se cœlestia auditurum putet me dicente, quibus tu non credis; non adeo promissorum sum oblitus; verum ex iis, quæ in hac vita fiunt, documenta

Εἰ γὰρ δύναμις αὕτη μεγίστη, τὸ λυποῦντας δύνασθαι ἀμύνεσθαι, πολλῷ μεῖζον ταύτης τὸ τοιαύτην εὑρεῖν τοῦ βίου κατάστασιν ἐν ᾗ μηδ' ἂν ἐθέλῃ τις λυπῆσαι δυνήσεται· ὅτι γὰρ τοῦτο ἐκείνου μεῖζον, ἂν ἐφ' ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν, δῆλον ἡμῖν ἔσται καὶ φανερόν. Εἰπὲ γάρ μοι, τί βέλτιον, οὕτως ἔμπειρον εἶναι τὰ πολεμικὰ, ὡς μηδένα τῶν τιτρωσκόντων ἡμᾶς ἄτρωτον διαφυγεῖν, ἢ σῶμα κεκτῆσθαι τοιοῦτον, ὡς μηδένα, κἂν μυρία ποιῇ, δύνασθαι πλῆξαι τὸ σῶμα; Παντί που δῆλον, ὅτι τοῦτο ἐκείνου καὶ δυνατώτερον καὶ θειότερον· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ πολλῷ τούτου ἀνώτερον. Ποῖον δὴ τοῦτο; Τὸ φάρμακα εἰδέναι, δι' ὧν ἀφανισθήσεται τὰ τραύματα πάντα. Τριῶν τοίνυν τρόπων ὄντων, ἑνὸς μὲν τοῦ δύνασθαι τοὺς ἀδικοῦντας ἀμύνεσθαι, ἑτέρου δὲ ἀνωτέρου τοῦ καὶ τὰ οἰκεῖα τραύματα θεραπεύειν (οὐ γὰρ ἅπασι τοῦτο πάντως ἐκείνῳ), τρίτου δὲ τοῦ μηδενὶ τῶν ὄντων ἀνθρώπων εὐχείρωτον εἶναι, ὃ δὴ καὶ μεῖζον φύσεως ἀνθρωπίνης ἐστὶ, τοῦτο τὸν υἱὸν τὸν σὸν ἔχοντα ἀποδείξομεν.

Καὶ ὅτι οὐ ψόφος ταῦτα τὰ ῥήματα, καὶ ταύτης τῆς μεγάλης δυνάμεως ἑτέραν πάλιν μείζονα μεταξὺ ζητοῦντες εὑρήκαμεν. Οὐ γὰρ δὴ μόνον οὐ δυναμένους, ἀλλ' οὐδὲ βουλομένους ἐκεῖνον βλάψαι τινὰς ὄψεταί τις· ὥστε διπλᾶ τὰ τῆς ἀσφαλείας αὐτῷ. Τί οὖν θειότερον ταύτης γένοιτ' ἂν τῆς ζωῆς, ἐν ᾗ μηδεὶς μήτ' ἐθελήσει, μήτ' ἂν ἐθέλῃ δυνήσεται ποιῆσαι κακῶς; καὶ μάλιστα, ὅταν τὸ μὴ θέλειν οὐκ ἐκ τοῦ μὴ δύνασθαι γίνηται, καθάπερ ἐπὶ πολλῶν, ἀλλ' ἐκ τοῦ μηδεμίαν αἰτίαν εὑρεῖν. Ἔπει, εἴ γε τοῦτο ἦν καθ' ἑαυτὸ, τὸ μὴ δύνασθαι λέγω, οὐδὲν τοσοῦτον ἦν· μῖσος γὰρ ἂν ἐτέχθη πολὺ τοῖς θέλουσι μὲν, οὐ δυναμένοις δὲ ἀδικεῖν· οὐ μικρὸς δὲ καὶ οὗτος μακαριότητος τρόπος. Αὐτὸ δὴ οὖν τοῦτο ἐξετάσωμεν, εἰ δοκεῖ, πρῶτον. Τίς οὖν, εἰπέ μοι, τὸν οὐδὲν κοινὸν ἔχοντα πρὸς ἀνθρώπους, οὐ συμβολαίων ἕνεκεν, οὐ γῆς, οὐ χρημάτων, οὐ πραγμάτων, οὐκ ἄλλου οὐδενὸς, ἐθελήσει βλάψαι ποτέ; ὑπὲρ ποίας χώρας φιλονεικήσει πρὸς αὐτὸν, ὑπὲρ τίνων ἀνδραπόδων, ὑπὲρ ποίας δόξης, τί δεδοικὼς, ὑπὸ τίνος δακνόμενος; Ἢ γὰρ φθόνῳ, ἢ δέει, ἢ ὀργῇ κινούμεθα πρὸς τὸ βλάπτειν ἑτέρους. Ἀλλ' οὗτος ὁ βασιλικώτατος πάντων ἐστὶν ἀνωτέρω. Τίς γὰρ φθονήσει τῷ πάντων καταγελῶντι τούτων, περὶ ἃ κάπτονται ἕτεροι καὶ σπουδάζουσι; τίς δὲ ὀργιεῖται μηδὲν ἠδικημένος; τίς δὲ φοβηθήσεται μηδὲν ὑποπτεύων; Οὐκοῦν, ὅτι μὲν οὐ βουλήσονταί τινες ἀδικεῖν, ἐκ τούτων δῆλον· ὅτι δὲ οὐδ' ἂν ἐθέλωσι δυνήσονται, καὶ τοῦτο ὁμοίως ἐκείνῳ δῆλον. Οὐ γὰρ ἔχει τὰς ἀφορμὰς οὐδὲ τὰς λαβὰς, ὅθεν ἄν τις αὐτὸν κατάσχοι· ἀλλ' ὥσπερ ἀετὸς ὑψηλὰ πετόμενος παγίδι στρουθῶν οὐκ ἂν ἁλώη ποτὲ, οὕτω καὶ οὗτος. Πόθεν γὰρ αὐτόν τις βλάψαι δυνήσεται; Χρήματα οὐκ ἔστι παρ' αὐτῷ, ἵνα ἀπειλήσῃ ζημίαν· πατρίδα οὐκ ἔχει, ἵνα τὴν ὑπερορίαν ἐπανατείνηται· δόξης οὐκ ἴρεται, ἵνα εἰς ἀτιμίαν ἀγάγῃ. Ἔν ἐστι τὸ λειπόμενος θάνατος· ἀλλὰ τοῦτο μάλιστα ἐν μέρει τοῦ

afferam. Si enim ulcisci inimicos, ea suprema potentia est: multo plane majus erit, talem vitæ statum reperire, in quo nemo sit, qui, etsi velit, nocere possit. Nam quod hoc sit illo majus, tunc plane constabit, cum ad exemplum aliud orationem deduxerimus. Dic enim, quæso, utrum præstantius, reine bellicæ ita quempiam peritum esse, ut nemo, qui se vulneret, invulneratus effugiat; an ejusmodi esse corpore, ut, quantalibet quisque agat, vulnerare non possit? Omnibus profecto constat hoc illo potius esse ac divinius: neque hoc tantum, sed aliud quod illo longe superius est. Quodnam illud est? Etiam medicamenta nosse, quibus vulnera curentur omnia. Tribus ergo potentiæ modis constitutis, primo quidem, ut possit quis injurias ulcisci, altero, qui et superior est, ut vulnera propria curare noril (neque enim omnino hoc illud sequitur) tertio, ut a nullo hominum lædi possit, quod quidem naturam penitus excedit humanam: hoc postremum filii tui esse monstrabimus.

7. Ne autem hæc verba strepitus inanis esse videantur, hac ipsa magna potentia rursus aliam majorem inter quærendum invenimus. Non modo enim non reperientur qui nocere illi possint, sed ne qui velint quidem; ita ut duplici ex parte tutus sit. Quid igitur hac vita divinius, in qua nemo nocere velit, nec si velit, possit? quando maxime nolle nocere non ex imbecillitate venit, ut in multis contingit, sed quod nulla reperiatur causa. Nam si id solum per se esset, scilicet non posse, non tanti esset: odium quippe gigneretur maximum in iis, qui cum vellent, lædere non possent: non parvus autem est hic quoque beatitudinis modus. Ipsum ergo primum, si videtur, excutiamus diligenter. Quisnam, dic mihi, eum lædere velit, qui nihil habet commune cum hominibus, non pacta, non agros, non pecunias, non negotia, neque aliud quidpiam? pro qua villa cum illo contendet, pro quibus servis, pro qua gloria? quidnam metuens, quo lacessente? Siquidem aut invidia, aut metu, aut ira movemur, ut alios lædamus. At hic rege quovis potentior, omnibus superior est. Quis enim ei invidebit, qui hæc omnia irridet, pro quibus alii laborant et satagunt? quis irascetur nihil læsus? quis metuet, cum nullus sit suspicioni locus? Constat igitur ex his nullos esse qui ei nocere velint; quod autem non si velint quidem, possint, et hoc similiter manifestum est. Nullæ enim sunt causæ aut occasiones, quibus eum aliquis tenere possit; sed ut aquila sublime volans passerum laqueis non capitur, ita et hic. Unde enim nocere ei possit aliquis? Pecuniæ non adsunt, ut mulctam comminetur: patriam non habet, ut exilium inferat: gloriam non concupiscit, ut dedecus inurat. Unum reliquum est, mors scilicet: sed hac maxime in parte eum

μενον, θάνατος· ἀλλ' ἐνταῦθα μάλιστα οὐ δυνήσεται αὐτὸν λυπῆσαί ποτε, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα. Πρὸς γὰρ ἑτέραν αὐτὸν πέμπει ζωήν, τὴν ποθουμένην αὐτῷ, καὶ δι' ἣν ἅπαντα πράττει καὶ πραγματεύεται· ὥστε τοῦτο ἀπαλλαγὴ πόνων ἐστὶ, καὶ οὐ τιμωρία, ἀλλ' ἱδρώτων λύσις καὶ ἀνάπαυλα.

Βούλει καὶ ἕτερον τρόπον τῆς δυνάμεως αὐτοῦ μαθεῖν, πολλῷ τούτου φιλοσοφώτερον; Κἂν γὰρ μυρία τις αὐτὸν ἐργάσηται δεινὰ, κἂν μαστίξῃ, κἂν δήσῃ, τὸ μὲν σῶμα πλήττεται διὰ τὴν φύσιν, ἡ δὲ ψυχὴ ἄπληκτος διὰ τὴν φιλοσοφίαν μένει· οὐδὲ γὰρ ἀλίσκεται θυμῷ, οὐ χειροῦται μίσει, οὐκ ἀπεχθείᾳ καταγωνίζεται. Καὶ οὔπω τοῦτο μέγα, ἀλλὰ τὸ πολλῷ τούτου θαυμαστότερον· καθάπερ γὰρ εὐεργέτας καὶ προστάτας, οὕτω φιλεῖ τοὺς τὰ τοιαῦτα ἐργασαμένους, οὕτως εὔχεται πάντα αὐτοῖς γενέσθαι τὰ ἀγαθά. Καίτοι τί τοσοῦτον ἔδωκας ἂν αὐτῷ, εἰ μυριάκις αὐτὸν βασιλέα τῆς οἰκουμένης ἐποίησας, καὶ ἐπὶ μυρίοις ἔτεσι τὴν βασιλείαν ἐξέτεινας; πόσης ἁλουργίδος τοῦτο τὸ κτῆμα, πόσης ἀρχῆς, πόσης δόξης οὐ τιμιώτερον; τί οὐκ ἂν τις προήκατο, ὥστε ψυχὴν τοιαύτην λαβεῖν; Ἐμοὶ δοκεῖ καὶ τοὺς σφόδρα φιλοσωμάτους ἐλεῖν ἂν ταύτης τῆς ζωῆς τὴν ἐπιθυμίαν.

Βούλει καὶ ἑτέρωθεν τὴν δύναμιν ἰδεῖν τἀνδρὸς θαυμαστοτέραν καὶ ἡδίστην, ἀπὸ μέρους ταπεινοτέρου μὲν, σοὶ δὲ μάλιστα ἡδίστου; Τὰ μὲν γὰρ εἰρημένα δείκνυσιν αὐτὸν ἀχείρωτον ὄντα καὶ ἀνάλωτον· ὅτι δὲ καὶ ἑτέρων προστήσεται, καὶ ἐν ἀσφαλείᾳ καταστήσει πολλῇ, τοῦτο ἴσως ζητεῖς μαθεῖν. Πρώτη μὲν οὖν προστασία, τὸ καὶ ἑτέρους εἰς τὸν αὐτὸν ζῆλον ἀγαγεῖν, καὶ οὕτω ποιῆσαι ἰσχυρούς· εἰ δὲ μὴ θέλοιεν, ἀλλὰ τὴν ἀνθρωπινωτέραν ταύτην καὶ γηίνην μετέρχοιντο ζωὴν, καὶ ἐν ταύτῃ πάλιν ὄψει δύναμιν αὐτὸν ἔχοντα τοῦ πλουτοῦντός σου μείζονα τὸν μηδὲν ἔχοντα, δι' αὐτὸ τοῦτο μάλιστα τὸ μηδὲν ἔχειν. Τίς γὰρ μετὰ πλείονος ἐξουσίας διαλέξεται βασιλεῖ καὶ ἐπιτιμήσει; ὁ τοσαῦτα σὺ κεκτημένος, καὶ ὑπεύθυνος ὢν διὰ ταῦτα καὶ τοῖς ἐκείνου δούλοις, καὶ ὑπὲρ ἁπάντων τρέμων, καὶ μυρίας αὐτῷ παρέχων λαβάς, εἰ βούλοιτό σε ἁλίσκειν ὀργισθείς, ἢ οὗτος ὁ τῶν ἐκείνου χειρῶν ἀνώτερος ὤν; Βασιλεῦσι μὲν γὰρ οὗτοι μάλιστα διελέχθησαν μετ' ἐξουσίας πολλῆς, ὅσοι πάντων ἐγένοντο τῶν βιωτικῶν ἐκτός. Τίνι δὲ μᾶλλον εἶξει καὶ ὑπακούσεται ὁ ἐν δύναμει ὢν καὶ ἐν τοῖς βασιλείοις στρεφόμενος, τῷ πλουτοῦντί σοι, καὶ ὃν ὑποπτεύει ἕνεκα χρημάτων πολλὰ πολλάκις ποιεῖν, ἢ τῷ μίαν ἔχοντι τῶν ἐπιταγμάτων ὑπόθεσιν, τὴν εἰς τοὺς ἄλλους φιλανθρωπίαν; τίνα τιμήσει καὶ θαυμάσεται, περὶ οὗ μηδὲν ταπεινὸν ὑποπτεῦσαι δύναιτ' ἄν, ἢ τὸν καὶ τῶν οἰκετῶν ταπεινότερον εἶναι νομιζόμενον τῶν αὐτοῦ; Καθάπερ γὰρ ἐν χρήμασιν, ὅταν ἀναλίσκειν δέῃ, ἐκείνοις ὑπακούουσι μᾶλλον, οὕτω καὶ προστῆναι κελεύουσιν.

Εἰ δὲ βούλει, μηδὲν δι' ἑτέρων ἀνύτου, ἀλλὰ δι' ἑαυτοῦ· καὶ τὸν κακῶς παθόντα καὶ πρὸς τοῦτον ἀγάγωμεν καὶ πρὸς σὲ, μᾶλλον δὲ μηδὲ πρὸς σὲ, ἀλλὰ

afflligere non poterit, imo juvabit maxime. Namque eum ad aliam transmittit vitam, ab ipso desideratam, cujus causa nihil non agit et operatur. Itaque illa laborum ipsi finis erit, non pœna, sed sudorum solutio et requies.

Vine alium ejus potentiæ modum ediscere, illo in philosophia longe præstantiorem? Etiamsi quis eum innumeris affecerit malis, etiamsi verberibus laniaverit, in vincula conjecerit, corpus pro natura sua læditur, animus vero philosophiæ addictus, illæsus manet: neque enim iracundia capitur, non odio corripitur, non inimicitiæ subjicitur. Nondum ita magnum hoc est, sed longe mirabilius, quod eos, qui se ita vexant, sic diligit, ut benefícos, ut patronos, bonaque illis cuncta apprecatur. At tu quid ei unquam tale præstare potuisses, etiamsi millies ipsum orbis terrarum regem constituisses, et ad decem annorum millia regnum ipsi prorogasses? qua purpura, quo imperio, qua gloria non præstabilius est hoc bonum? quid non impenderes, ut ejusmodi animum acciperes? Arbitror ego etiam eos, qui studiosissime corpora curant, hanc vitam præoptaturos esse.

Vine aliunde quoque potentiam viri et mirabiliorem et jucundissimam videre, ex parte quidem humiliori petitam, tibi tamen summe gratam? Ea quidem quæ dicta sunt, eum nec capi nec violari posse comprobant. Quod autem alios moderaturus sit, eosque tutissimos constituturus, id fortasse quæris ediscere. Hoc porro est primum magisterium, ut alios ad idem studium adducat, et sic illos firmos fortesque constituat; sin vero illi nolint, terrenamque hanc vitam sectari malint, hic quoque videbis majore te opulento potentia præditum eum, qui nihil habet, atque ideo maxime quia nihil habet. Quis enim majore cum fiducia et potestate imperatorem alloquetur et increpabit? tune qui tanta possides, et propterea illius quoque servis obnoxius es, proque omnibus tremis, ansas vero illi innumeras præbes, si iratus te opprimere velit; an hic qui illius manibus superior est? Hoc enim maxime genus hominum summa cum libertate regibus colloquuti sunt, quotquot videlicet a sæcularibus negotiis se sequestrarunt. Cui vero facilius cedet et obtemperabit is qui est in potestate constitutus et in regia versatur? tibine qui dives es, quem ille pecuniarum causa crebro plurima facere suspicatur; an ei qui unam habet jussionum causam, nempe humanitatem erga alios? Quem honorabit, quem admirabitur? eumne de quo nihil abjectum suspicari potest, an eum quem servis quoque suis abjectiorem arbitratur? Sicut enim quoties aliquid pecuniæ impendendum est, illis potius obtemperant, ita eos etiam patrocinari jubent.

8. Sin autem volueris, nihil ille per alios perficiat, sed per se ipsum omnia; ærumnosum aliquem et ad illum adducamus et ad te, imo potius non ad te, sed ad ipsum impe-

πρὸς αὐτὸν τὸν βασιλεύοντα· εἶτα ἴδωμεν τίς μᾶλλον προνοῆσαι δυνήσεται τούτου. Καὶ πρῶτος ἀγέσθω τῶν ἄλλων ὁ πάντων δεινότατα πεπονθώς. Ἔστω γάρ τις υἱὸν ἔχων μονογενῆ, καὶ ἐν ἀκμῇ τῆς ὥρας αὐτὸν ἀποβαλέτω. Τοῦτον οὔτε ἄρχων οὔτε βασιλεὺς οὔτε ἄλλος οὐδεὶς ὠφελῆσαι δυνήσεται, μήτι γε σύ· οὐδὲν γὰρ αὐτῷ δώσεις τοιοῦτον, οἷον ἀπολώλεκεν. Ἐὰν δὲ πρὸς τὸν υἱὸν ἀγάγῃς τὸν σὸν, πρῶτον μὲν αὐτὸν ἀπό τε τῆς ὄψεως, ἀπό τε τοῦ σχήματος, ἀπό τε τῆς οἰκήσεως ἀναστήσει ταχέως, καὶ πείσει μηδὲν ἡγεῖσθαι τὰ ἀνθρώπινα· ἔπειτα δὲ καὶ λόγοις ἀπελάσει τὸ νέφος εὐκόλως. Ἀπὸ δὲ τῆς σῆς οἰκίας καὶ πλέον ἕξει τὸ πένθος ἐκεῖνος. Ὅταν γὰρ ἴδῃ ταύτην καθαρὰν οὖσαν κακῶν, καὶ πολλῆς εὐπραγίας γέμουσαν, καὶ κληρονόμον ἔχουσαν, μᾶλλον καταπαύσεται· ἐκεῖθεν δὲ ἡμερώτερος ἔσται καὶ φιλοσοφώτερος. Ὁρῶν γὰρ τοσαύτης μὲν οὐσίας ὑπερορῶντα τὸν σὸν υἱὸν, τοσαύτης δὲ δόξης καὶ λαμπρότητος, οὐκ ἀλγήσει τῷ τελευτήσαντι τοσοῦτον. Πῶς γὰρ αὐτὸν ὀδύξεται τὸ μηδένα κληρονόμον ἔχειν τῶν αὑτοῦ, ὅταν ἴδῃ τούτων πάντων καταφρονοῦντα ἕτερον; Καὶ τοὺς περὶ φιλοσοφίας δὲ λόγους εὐκολώτερον παρ' ἐκείνου ἀκούσεται τοῖς ἔργοις ἐπαληθεύοντος. Σὺ δὲ ἂν χᾶναι τολμήσῃς μόνον, καὶ ἀθυμίας αὐτὸν ἐμπλήσεις πολλῆς, ἅτε ἐπ' ἀλλοτρίοις φιλοσοφῶν κακοῖς· ἐκεῖνος δὲ αὐτὸν διὰ τῶν πραγμάτων διδάσκων, πείσει ῥᾳδίως, ὅτι οὐδὲν ὕπνου πλέον ὁ θάνατος ἔχει· οὐ γὰρ πολλοὺς ἀριθμήσει πατέρας τὰ αὐτὰ πεπονθότας ἐκείνῳ, ἀλλ' ἑαυτὸν δείξει καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι μελετῶντα τὴν τελευτὴν, καὶ πρὸς ταύτην παρεσκευασμένον ἀεὶ, καὶ τοὺς περὶ τῆς ἀναστάσεως λόγους πιστοτέρους ποιήσας, οὕτως ἀποπέμψει τὸ πολὺ τῆς ὀδύνης ἀποθέμενον μέρος, καὶ τῶν συνδεῖπνων καὶ περιδεῖπνων πολλῷ μᾶλλον τὰ τούτου ῥήματα καὶ ἡ διὰ τῶν πραγμάτων ἐπίδειξις ῥᾷον τὸν παθόντα διαθεῖναι δυνήσεται. Καὶ τοῦτον μὲν ἴσως οὕτως ἰάσεται. Ἀγέσθω δὲ πρὸς αὐτὸν καὶ ἕτερος, εἰ βούλει, νόσῳ μακρᾷ τοὺς ὀφθαλμοὺς ἐκκοπείς· τί τούτου δυνήσῃ προστῆναι; Ἐκεῖνος μὲν γὰρ δεικνὺς ὅτι οὐδὲν τοῦτο δεινὸν, κατακεκλεισμένος τε ἐν οἰκίσκῳ μικρῷ, καὶ πρὸς ἕτερον ἐπειγόμενος φῶς, καὶ τὸ παρὸν μηδὲν μέγα πρὸς ἐκεῖνο ἡγούμενος, παιδεύσει γενναίως τὴν συμφορὰν ἐνεγκεῖν. Ἀλλὰ τοὺς ἐπηρεαζομένους πεῖσαι δυνήσῃ φιλοσοφεῖν; Οὐδαμῶς, ἀλλὰ καὶ ἐνοχλήσεις μᾶλλον· τὰ γὰρ οἰκεῖα κακὰ ἐν τοῖς τῶν πέλας ἀγαθοῖς ἀκριβέστερον εἰώθαμεν καθορᾶν. Ὁ δὲ υἱὸς ὁ σὸς καὶ τούτους εὐκολώτερον ἀναστήσεται. Παρίημι τὴν ἀπὸ τῶν εὐχῶν βοήθειαν, πολλῷ τούτων ἁπάντων οὖσαν μείζονα, παρίημι δὲ, ἐπειδὴ πρὸς σέ μοι νῦν ὁ λόγος ἐστίν. Εἰ δὲ τιμᾶσθαι βούλει διὰ τὸν υἱὸν καὶ μὴ καταφρονεῖσθαι (εἰκὸς γάρ σε καὶ τούτων ἐρᾶν), οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἔτυχες τούτου, ἢ παῖδα κτησάμενος τὴν ἀνθρωπίνην ὑπερβαίνοντα φύσιν, καὶ λαμπρὸν οὕτω πανταχοῦ τῆς οἰκουμένης φαινόμενον, καὶ μετὰ τῆς εὐδοκιμήσεως ταύτης οὐδὲ ἐχθρόν τινα

ratorem : tum videamus uter illi magis providere possit. Primusque ante alios adducatur, qui acerbissima omnium perpessus sit. Sit verbi gratia quispiam filium habens unicum, quem in ipso ætatis flore amittat. Hunc neque princeps, neque rex, neque alius quispiam consolari poterit, nedum tu : nihil enim tale ipsi dabis, quale amisit. At si ad filium tuum adduxeris, primo ipsum ex aspectu, ex habitu, ex domicilio statim eriget, ipsique persuadebit pro nihilo habere res humanas; tum oratione omnem mœroris nebulam facile fugabit. Tua vero ex domo luctum acerbiorem ille referet. Cum enim viderit eam malis omnibus expertem, multa felicitate refertam, herede præsente, majori luctu æstuabit. Contra vero illinc quietior evadet philosophiæque propinquior : cum viderit enim filium tuum tantas opes despicere, tantam gloriam tantumque splendorem, minus dolebit de morte filii. Qui enim discruciari poterit, quod bonorum herede careat, cum viderit alium hæc omnia contemnentem? Facilius item de philosophia verba facientem audiet eum, qui operibus sermoni fidem facit. Tu vero si vel hiscere ausus fueris, eum mœrore ingenti replebis, utpote qui alienis in malis philosopheris. At ille, rebus ipsis eum erudiens, nullo negotio persuadebit, nihil aliud quam somnum esse mortem : neque enim plurimos enumerabit patres eadem perpessos, sed se ipsum ostendet quotidie in corpore de morte meditantem, et ad hanc semper paratum : atque hinc resurrectionis doctrinam probabiliorem efficiens, ita ab se dimittet, maxima mœroris parte exoneratum : multoque amplius valebunt ejus verba, rebus ipsis asserta, ad levandum animi dolorem, quam amicorum convivia et parentales epulæ. Et hunc quidem forsitan ita sanabit. Adducatur autem ad eum et alius, si volueris, qui jugi ex morbo oculos amiserit : quid illi adjumenti afferre poteris? Verum ille ostendens non grave illud esse, in domicilio parvo inclusus, et ad aliam lucem properans, præsentemque, si illi comparetur, non magni momenti esse ducens, erudiet eum ad calamitatem fortiter ferendam. An tu damnum perpessos ad philosophandum induces? Nullatenus : quin potius eis molestus eris : namque tristia nostra in proximorum secundis rebus diligentius animadvertere solemus. Tuus autem filius hos quoque facilius recreabit. Omitto precum opem, longe his omnibus majorem, ideoque omitto, quod tecum mihi nunc sermo est. Quodsi te propter filium honorari cupis, nec esse contemni (verisimile est enim te id desiderare), nescio quo pacto id uberius consequi potuisses, quam cum filium habeas, qui naturam excedat humanam, quique in toto terrarum orbe clarus splendeat, ac cum tanto splendore nullum habeat inimicum. Nam illa vestra

ἔχοντα. Ἐν ἐκείνῃ μὲν γὰρ ὢν τῇ δυναστείᾳ, πολλοῖς μὲν αἰδέσιμος, πολλοῖς δὲ καὶ μισητὸς ἦν· ἐνταῦθα δὲ πάντες αὐτὸν οἱ τιμῶντες μεθ' ἡδονῆς τοῦτο πράττουσιν. Εἰ γὰρ ταπεινοὶ καὶ ἐκ ταπεινῶν ὄντες τινὲς ἀγροίκων υἱοὶ καὶ χειροτεχνῶν, ἐπὶ τὴν φιλοσοφίαν ταύτην ἐλθόντες, οὕτως ἐγένοντο τίμιοι πᾶσιν, ὡς μηδένα τῶν ἐν τοῖς μεγάλοις ὄντων ἀξιώμασιν αἰσχυνθῆναι πρὸς τὸ καταγώγιον τούτων ἐλθεῖν καὶ λόγων μετασχεῖν καὶ τραπέζης, ἀλλ' ὥσπερ μεγάλων τινῶν ἀγαθῶν (ὅπερ οὖν καὶ ἔστιν) ἀπολαύσαντας οὕτω διατεθῆναι, πολλῷ μᾶλλον, ὅταν ἀπὸ λαμπροῦ μὲν ὁρμώμενον γένους, λαμπρᾶς δὲ οὐσίας, τοσούτων δὲ ἐλπίδων, πρὸς ἐκείνην ἴδωσιν ἐλθόντα τὴν ἀρετήν, τοῦτο ἐργάσονται. Ὥστε ὃ μᾶλλον πενθεῖς, τὸ ἐκ τοιούτων ἐπ' ἐκεῖνα βαδίσαι, τοῦτό ἐστιν ὃ μάλιστα πάντων αὐτὸν εὐδόκιμον ποιεῖ, καὶ πάντας οὐχ ὡς ἀνθρώπῳ, ἀλλ' ὡς ἀγγέλῳ τινὶ προσέχειν ἀναπείθει λοιπόν. Οὐ γὰρ δὴ ταῦτα, ἃ περὶ τῶν ἄλλων ὑποπτεύουσιν, ὑπονοήσουσι καὶ περὶ τούτου, ὅτι τιμῆς ἐρῶν, καὶ χρημάτων ἐφιέμενος, καὶ λαμπρὸς ἐκ ταπεινοῦ γενέσθαι ἐπιθυμῶν, ταύτην εἵλετο τὴν ὁδόν· ταῦτα γὰρ εἰ καὶ περὶ τῶν ἄλλων λεγόμενα ψευδῆ τέ ἐστι καὶ πονηρίας ῥήματα, ἐπὶ τοῦ σοῦ παιδὸς οὐδὲ ὑπόνοιαν ξυνήσεται παρασχεῖν.

Καὶ μή τοι νομίσῃς βασιλέων ὄντων εὐσεβῶν ταῦτα γίνεσθαι μόνον, ἀλλὰ κἂν μεταπέσῃ τὰ τῆς ἀρχῆς καὶ οἱ κρατοῦντες ἄπιστοι γένωνται, καὶ τότε τὰ τοῦ παιδὸς ἔσται λαμπρότερα. Οὐ γὰρ δὴ οἷα τὰ Ἑλλήνων, τοιαῦτα καὶ τὰ παρ' ἡμῖν, οὐδὲ ταῖς τῶν κρατούντων ἕπεται γνώμαις, ἀλλ' ἕστηκεν ἐπὶ τῆς οἰκείας ἰσχύος, καὶ τότε μάλιστα φαίνεται, ὅταν μάλιστα πολεμῆται· ἐπεὶ καὶ ὁ στρατιώτης εὐδόκιμος μέν ἐστι καὶ εἰρήνης οὔσης, λαμπρότερος δὲ ἔσται καταλαβόντος πολέμου. Ὥστε καὶ Ἑλλήνων κρατούντων, ὁμοίως ἔσται σοι καὶ μειζόνως τὰ τῆς τιμῆς. Οἱ γὰρ δὴ τότε τὸν υἱὸν αἰδούμενοι τὸν σὸν, πολλῷ μᾶλλον τοῦτο ποιήσουσιν, ὅταν παραταττόμενον ἴδωσι, καὶ πλείονι κεχρημένον τῇ παῤῥησίᾳ, καὶ πολλὰς τῆς εὐδοκιμήσεως ἔχοντα τὰς ἀφορμάς.

Βούλει καὶ τὰ πρὸς σὲ ἐξετάσωμεν, ἢ περιττὸς οὗτος ὁ λόγος; Ὁ γὰρ πρὸς ἑτέρους οὕτως ἥμερος ὢν καὶ πρᾶος, ὡς μηδενὶ λαβὴν παρασχεῖν, πολλῷ μᾶλλον ἐν πολλῇ τὸν πατέρα ἕξει τιμῇ, καὶ θεραπεύσει πολλῷ πλέον, ἢ εἰ δυναστείαν μετῆλθε κοσμικήν. Ἐν ἀρχῇ μὲν γὰρ μεγάλῃ γενόμενος ἄδηλον εἰ μὴ καὶ τοῦ πατρὸς ἤμελλεν ὑπεροπᾶν· νῦν δὲ βίον εἵλετο, δι' ὃν καὶ τοῦ βασιλέως βασιλικώτερος ὤν, πάντων ἔσται πρὸς σὲ ταπεινότερος. Τοιαύτη γὰρ ἡ παρ' ἡμῖν σοφία· τὰ δοκοῦντα ἐναντία εἶναι, μετριοφροσύνην καὶ ὕψος, συνάγει εἰς μίαν ψυχήν. Καὶ τότε μὲν ἅτε χρημάτων ἐρῶν, καὶ ἠσμένισεν ἄν σου τὴν τελευτήν· νῦν δὲ καὶ εἰς μῆκος ἐκταθῆναί σοι τὴν ζωὴν εὔχεται, ὥστε καὶ ἐν τούτῳ λαμπροὺς αὐτῷ γενέσθαι τοὺς στεφάνους. Οὐ γὰρ δὴ μικρὸς ἡμῖν κεῖται μισθὸς τοῖς τοὺς γεγεννηκότας τιμῶσιν, ἀλλ' ὡς δεσπότας αὐτοὺς ἡγεῖσθαι

potentia præditus, multis honorabilis, multis vero etiam odiosus fuisset : at hic omnes qui ipsum honorant, id cum voluptate faciunt. Nam si nonnulli infimæ sortis, ex vilibus orti rusticis et operariis, hanc ingressi philosophiam, adeo cunctis venerabiles fuere, ut nemo eorum, qui summis dignitatibus fulgebant, erubesceret proficisci ad illorum tugurium, ac colloquii eorum et mensæ consortes esse; quin ita affecti erant, ac si bonis maximis (quod verum erat) potiti fuissent : multo sane magis id facient, cum viderint illustri genere ortum, splendidis facultatibus, tantæque spei juvenem, se ad eam virtutem contulisse. Itaque quod tu potissimum quereris, ex his eum ad illa transisse, hoc est quod maxime illum spectabilem facit, omnesque ut ad illum oculos vertant inducit, non quasi ad hominem, sed quasi ad angelum. Neque enim quæ de aliis opinari solent, de filio tuo suspicabuntur, quod scilicet honoris vel pecuniarum cupidine, vel insignis ex humili fieri cupiens, hanc elegerit viam : hæc quippe de aliis dicta si forte falsa et iniqua sunt, in nato tuo ne suspicioni quidem locum dare poterunt.

9. Neve putes hæc ideo contingere, quod imperatores piam religionem colant : etiamsi enim imperium decidat, et imperantes in infidelitatem labantur, tunc etiam nati tui virtutes illustriores evadent. Non enim gentilium more res nostræ se habent, neque illæ imperantium placita sequuntur; verum propria sua virtute consistunt, tuncque maxime splendent, cum maxime oppugnantur : siquidem miles etiam pacis tempore spectatus est, at longe spectatior ingruente bello. Itaque etiam gentilibus imperantibus, eodem atque majori erit honore clarus. Nam qui tunc vivent filium tuum venerantes, multo amplius id facient cum præliantem viderint, majori utentem fiducia, plurimasque rem præclare gerendi occasiones habentem.

Visne illa etiam, quæ ad te spectant, expendamus, an vero id superfluum videatur? Is enim qui cæteris ita mansuetus et mitis est, ut querelæ ansam nemini præbeat, multo magis patrem summo habebit in honore, longeque amplius fovebit, quam si in sæculari fuisset magistratu. Nam si magnum imperium obtinuisset, incertum est an patrem contemtui habiturus esset : nunc vero eam elegit vitam, qua, imperatore ipso clarior, omnium humillimus erga te erit. Siquidem hujusmodi apud nos obtinet philosophia, ut ea, quæ contraria apparent, nempe modestiam et celsitudinem, in unam animam cogat. Et quidem in sæculo, utpote pecuniarum cupidus, tuum forsan optasset obitum; nunc autem ut quam longissima tibi prorogetur vita precatur, ut ex hoc etiam coronis clarioribus donetur. Non enim exigua merces nobis proposita est, si parentes honoraverimus; sed jubemur eos pro dominis nostris re-

κελευόμεθα, λόγῳ τε καὶ ἔργῳ θεραπεύειν, ὅταν μηδὲν τὰ τῆς εὐσεβείας παραβλάπτηται. « Τί γὰρ, φησὶν, αὐτοῖς ἀνταποδώσεις καθὼς αὐτοί σοι; » Ἐννόησον οὖν τὸν ἐν τοῖς ἄλλοις ἅπασι πρὸς ἄκρον ἥκοντα τῆς ἀρετῆς, πῶς εἰκὸς καὶ τοῦτο μετὰ πολλῆς φυλάξαι τῆς ὑπερβολῆς τὸ καλόν. Κἂν γὰρ ἀποθανεῖν ὑπὲρ τῆς σῆς δέῃ κεφαλῆς, οὐ παραιτήσεται, ἅτε οὐ μόνον διὰ τὸν παρὰ τῆς φύσεως κείμενον νόμον θεραπεύων σε καὶ τιμῶν, ἀλλὰ πρὸ τῶν ἄλλων διὰ τὸν Θεὸν, δι' ὃν καὶ πάντων τῶν ἄλλων ὁμοῦ κατεφρόνησεν. Ὅταν οὖν καὶ εὐδοκιμώτερος ᾖ νῦν καὶ εὐπορώτερος καὶ δυνατώτερος καὶ ἐλευθεριώτερος, καὶ μᾶλλόν σου δοῦλος ἢ πρότερον μετὰ τῆς τοσαύτης μεγαλονοίας, τίνος ἕνεκεν, εἰπέ μοι, θρηνεῖς; ὅτι καθ' ἑκάστην οὐ τρίμειες τὴν ἡμέραν, μή ποτε ἐν πολέμῳ πέσῃ, μή ποτε προσκρούσῃ βασιλεῖ, μή ποτε βασκανίᾳ τῶν συστρατευομένων ἁλῷ; ἢ οὐχὶ καὶ ταῦτα καὶ τούτων πλείονα δεδοίκασι τῶν εὐδοκιμούντων οἱ πατέρες; Καθάπερ γὰρ οἱ παιδίον ἐφ' ὑψηλοῦ τινος στήσαντες τόπου τρέμειν ἀναγκάζονται μὴ καταπέσῃ, οὕτω καὶ οἱ πρὸς μεγάλην ἀρχὴν ἀνάγοντες τοὺς υἱεῖς. Ἀλλ' ἔχει τινὰ ἡδονὴν ἡ ζώνη, καὶ ἡ χλανὶς, καὶ ἡ τοῦ κήρυκος φωνή. Καὶ μέχρι πόσων ἡμερῶν ταῦτα, εἰπέ μοι; μέχρι τριάκοντα, καὶ ἑκατὸν, καὶ δὶς τοσοῦτον; Καὶ τί μετὰ ταῦτα; οὐχ ὥσπερ ὄναρ, οὐχ ὥσπερ μῦθος, οὐχ ὥσπερ σκιὰ πάντα διῆλθεν ἐκεῖνα; Νῦν δὲ αὐτῷ μέχρι τέλους τὰ τῆς τιμῆς, μᾶλλον δὲ καὶ μετὰ τὴν τελευτὴν, καὶ πολλῷ πλέον τότε, καὶ ταύτην αὐτὸν οὐδεὶς ἀφαιρήσεται τὴν ἀρχὴν, ἅτε οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ' ὑπ' αὐτῆς χειροτονηθέντα τῆς ἀρετῆς. Ἀλλ' ἐβούλου πολυτελῆ φοροῦντα ἱμάτια καὶ ἐφ' ἵππου φερόμενον ὁρᾶν, καὶ πλῆθος ἔχοντα οἰκετῶν, καὶ παρασίτους τρέφοντα καὶ κόλακας. Τίνος ἕνεκεν ταῦτα ἤθελες; οὐχ ἡδονὴν αὐτῷ διὰ τούτων ἁπάντων κατασκευάζων; Ἂν οὖν ἀκούσῃς αὐτοῦ λέγοντος (ἡμῖν γὰρ ἴσως οὐ πείσῃ), ὅτι τῶν ἐν τρυφῇ ζώντων καὶ πορνείαις καὶ μουσικῇ καὶ παρασίτοις καὶ κόλαξι καὶ τῇ ἄλλῃ βλαχείᾳ, τοσούτῳ τὸν βίον ἡγεῖται τοῦτον ἡδίω, ὡς ἑλέσθαι μυρίους θανάτους πολλάκις, εἴ τις κελεύοι ταύτην τὴν ἡδονὴν ἀφέντα πρὸς ἐκείνην μεταπηδῆσαι, τί πρὸς ταῦτα ἐρεῖς; Οὐκ οἶδας ὅσην ὁ ἀπράγμων βίος ἔχει τὴν ἡδονήν; τάχα οὐδὲ ἄλλος ἀνθρώπων οὐδεὶς, ἅτε μηδέποτε ταύτης γευσάμενος καθαρῶς. Ὅταν δὲ καὶ λαμπρότης προσῇ, καὶ τὰ ἄμικτα ταῦτα πάλιν συνέρχηται, ἀσφάλειά τε καὶ εὐδοκίμησις, τί ταύτης βέλτιον γένοιτ' ἂν τῆς ζωῆς;

Ἀλλὰ τί μοι ταῦτα διαλέγῃ, φησὶ, πόρρω φιλοσοφίας ἑστῶτι; Τί οὖν καὶ τὸν υἱὸν κωλύεις γενέσθαι ταύτης ἐγγύς; ἀρκεῖ μέχρι σοῦ στῆναι τὰ τῆς ζημίας. Ἢ οὐχ ἥγῃ μεγίστην εἶναι ζημίαν, ὅταν πρὸς ἔσχατον γῆρας ἐλάσαντες, ἅτε μηδὲν ἐπὶ τῆς πρώτης ἡλικίας καρπωσάμενοι χρηστὸν, δυσχεραίνητε πρὸς τὸ γῆρας; Καὶ μὴν διὰ τοῦτο, φησὶν, αὐτὸ δυσχεραίνομεν, ὅτι μεγάλα ἡμᾶς ὤνησεν ἡ νεότης. Ποῖα μεγάλα; δεῖξον ἔχοντα τὸν γέροντα τὰ μεγάλα ἐκεῖνα· εἰ γὰρ εἶχεν

putare, verbo et opere colere, dum tamen in nullo pietas et religio ladatur. *Quid enim tale,* inquit (*Eccli.* 7, 30), *ipsis reddes, quale ipsi tibi?* Considera igitur, eum qui in cæteris omnibus virtutis apicem attigerit, quanta cum diligentia et accuratione par sit hoc officium exhibere. Nam etsi moriendum sit pro capite tuo, non recusabit, quippe qui non naturali modo lege te colit et honorat, sed præ omnibus propter Deum, cujus gratia cætera cuncta simul despexit. Cum igitur ille nunc illustrior sit, opulentior, potentior et liberalior, et cum hac tanta animi magnitudine magis servus tuus sit quam antea, cur, quæso, ingemiscis? an quia quotidie non metuis, ne in bello cadat, ne imperatoris animum offendat, ne in commilitonum invidiam incidat? annon et hæc et his etiam plura illustribus filiis metuunt patres? Quemadmodum enim qui puerum in sublimi loco statuerint, metuere coguntur ne decidat, ita et ii qui filios ad insignem dignitatem provehunt. Sed quamdam habet voluptatem balteus, et læna, et præconis vox. Et hæc quot dierum spatio, dic mihi? an triginta, aut centum, aut bis totidem? Et quid postea? nonne quasi somnium, nonne ut fabula, nonne ut umbra, illa omnia transierunt? At nunc illi usque in finem honor iste permanet, imo etiam post mortem, et quidem multo tunc cumulatius; atque hoc imperium nullus unquam ipsi auferet, quippe cum non ab homine id ille acceperit, sed a virtute ipsa. Sed voluisses eum pretiosa amictum veste et equo vectum videre, famulorum stipatum multitudine, parasitos adulatoresque alentem. Cur ita velles? nonne ut illi voluptatem ex his omnibus parares? Si itaque illum dicentem audias (forte quippe nobis non credes), tanto se vitam istam ea, quam degunt qui in deliciis vivunt, quique meretricibus, musicæ, parasitis, adulatoribus, et cæteris lasciviæ modis se dedunt, jucundiorem existimare, ut malit millies mori, quam ei obtemperare, qui juberet hac dimissa voluptate ad illam se conferre, quid ad hæc dices? Num ignoras quantam voluptatem pariat vita negotiis vacua? fortasse nec ullus id alius hominum novit, quippe qui eam vitam numquam pure gustaverit. Quando autem et claritas adest, et hæc quæ vix simul inveniri possunt, securitas et gloria, in unum coeunt, quid hac vita præstabilius fuerit?

Verum, inquies, quid tu hæc mihi edisseris a philosophia remotissimo? Cur ergo natum quoque tuum ad eam accedere non sinis? satis est te damno affectum esse isto. Annon summum esse damnum arbitraris, quando ad extremam senectutem provecti, quia in primæva ætate nihil boni adepti estis, vos senectam moleste fertis? At ideo moleste ferimus, inquies, quod magna nobis commoda juventus tulit. Quæ magna? ostende senem, qui magna hæc commoda habeat. Si enim illa habuisset, et eadem perse-

αὐτὰ, καὶ μεμενήκει διαρκῆ, οὐκ ἂν ὡς ἔρημος ὢν ἁπάντων τούτων οὕτως ἀὐδύρετο· εἰ δὲ ἀπέπτη καὶ ἐμαράνθη, ποῖα μεγάλα τὰ οὕτω ταχέως σβεννύμενα; Ἀλλ' οὐχ ὁ παῖς τοῦτο πείσεται ὁ σὸς, ἀλλ' εἴ ποτε εἰς γῆρας ἔλθοι μακρὸν, οὐκ ὄψει ταῦτα ἀποδυσπετοῦντα ἅπερ καὶ ὑμεῖς, ἀλλὰ χαίροντα καὶ γαννύμενον καὶ ἀγαλλόμενον· τὰ γὰρ ἀγαθὰ αὐτῷ τότε ἀκμάζει μᾶλλον. Ὁ δὲ πλοῦτος ὁ ὑμέτερος, κἂν μυρία ἀγαθὰ κεκτημένος ᾖ, ἐπὶ τῆς πρώτης αὐτὰ συνέστειλεν ἡλικίας· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ μένει καὶ ἐν γήρᾳ, καὶ μετὰ τὴν τελευτὴν συναπέρχεται. Διὰ ταῦτα ὑμεῖς μὲν τὴν οὐσίαν ὑμῖν αὐξανομένην ὁρῶντες ἐν γήρᾳ, καὶ πολλὰς καὶ δόξης καὶ τρυφῆς ὑποθέσεις ἔχοντες, ἐπηρεάζεσθε ἅτε οὐκ ἀρκούσης τῆς ἡλικίας πρὸς τὴν ἀπόλαυσιν· διὰ τοῦτο καὶ πρὸς τὴν τελευτὴν φρίττετε, καὶ πάντων ἐλεεινοτέρους εἶναί φατε τότε μάλιστα, ὅταν εὐδοκιμῆτε. Ἐκεῖνος δὲ τότε ἀναπαύσεται μάλιστα, ὅταν γηράσῃ, ἅτε εἰς λιμένα ἐπειγόμενος ἐλθεῖν, καὶ νεότητα ἀεὶ ἀκμάζουσαν, εἰς γῆρας δὲ οὐδέποτε ἐπείγουσαν ἔχων. Σὺ δὲ τοιαύτην τρυφὴν τὸν υἱὸν ἐβούλου τρυφᾶν, δι' ἣν ἂν μετενόησε μυριάκις, καὶ ἤλγησεν ἐν γήρᾳ γενόμενος. Ἀλλὰ μὴ γένοιτο μηδὲ τοὺς ἐχθροὺς τοὺς ἡμετέρους τοιαῦτα τρυφῆσαί ποτε. Καὶ τί λέγω τὸ γῆρας; ἐν γὰρ ἡμέρᾳ μιᾷ σβέννυται τὰ τῆς ἡδονῆς ἐκείνης· μᾶλλον δὲ οὐκ ἐν ἡμέρᾳ, οὐδὲ ἐν ὥρᾳ, ἀλλὰ καὶ ἐν μικρᾷ καὶ ἀκαριαίᾳ ῥοπῇ. Τί γάρ ἐστιν ἡδονή; οὐ τὸ γαστρίζεσθαι καὶ Συβαριτικὰς παρατίθεσθαι τραπέζας, καὶ γυναιξὶν ὡραίαις συγγίνεσθαι καθάπερ τινὰς χοίρους ἐν βορβόρῳ κυλινδομένους;

Ἀλλὰ γὰρ μήπω τοῦτο· τὴν δὲ ἡδονὴν ἐξετάσωμεν τίνος, εἰ μὴ ψυχρά τίς ἐστι καὶ εὐτελὴς, καὶ εἰ βούλει, πρώτην τὴν ἡδίω δοκοῦσαν εἶναι, τὴν τῆς τρυφῆς. Δεῖξον οὖν μοι τὸν ταύτης καιρὸν, καὶ πόσον κατέχειν ὑμᾶς δύναιτ' ἂν μέρος ἡμέρας· τοσοῦτον, ὅσον οὐδὲ ὀρθῆναι καλῶς. Ἅμα τε γὰρ ἐνεπλήσθη τις, καὶ τὴν ἡδονὴν ἔσβεσε, καὶ πρὸ τῆς πλησμονῆς δὲ ῥεύματος θᾶττον παρέρχεται, πρὸς αὐτὸν ἀφανιζομένη τὸν λαιμὸν, καὶ οὐδὲ τοῖς σιτίοις ἀρκοῦσα συγκατελθεῖν· ὁμοῦ τε γὰρ παρῆλθε τὴν γλῶτταν, καὶ συγκατέλυσε τὴν ἰσχύν. Καὶ σιωπῶ τὰ λοιπὰ κακὰ, καὶ ὅσος ἀπὸ ταύτης γίνεται τῆς τρυφῆς ὀχετμών· οὐ γὰρ μόνον ἡδίων ὁ μὴ τρυφήσας, ἀλλὰ καὶ κουφότερος, καὶ ῥᾷον διακείσεται τοῦ διασπασθέντος ὑπὸ τῆς πλησμονῆς· « Ὕπνος γὰρ, φησὶν, ὑγιείας ἐν σπλάγχνῳ μετρίῳ. » Τί δεῖ λέγειν τὰς νόσους, τὰς ἀηδίας, τὰς συμφορὰς, τὰς δαπάνας τὰς εἰκῇ; ὅσαι αἱ αἰτιάσεις, ὅσαι αἱ ἐπιβουλαὶ, ὅσαι αἱ ἀπὸ τούτων ἐπήρειαι τῶν συμποσίων βλαστάνουσαι;

Ἀλλὰ τὸ πόρναις γυναιξὶν ὁμιλεῖν ἡδύ. Καὶ ποία μετὰ τοσαύτης αἰσχύνης ἡδονὴ γένοιτ' ἄν; Μάλιστα δὲ μηδὲ ἐνταῦθα τοῦτο ἐξετάζωμεν τίνος, μηδὲ τὰς ἐκ τῶν ἐραστῶν μάχας, μηδὲ τοὺς ἐκ τῶν ἀντεραστῶν πολέμους, μηδὲ τὰς κακηγορίας· ἀλλ' ἔστω τις μετ' ἐξουσίας ἀπολαύων τῆς ἀσελγείας ἐκείνης, καὶ μήτε

verasset, non utique ut his orbatus omnibus ita lamentaretur; sin vero illa avolaverunt et emarcuerunt, quomodo magna, quæ ita cito exstincta sunt? Atqui non hoc filius tuus patietur, sed si ad longævam senectutem perveneris, non videbis illum hæc iniquo animo ferentem, ut vos facitis; sed gaudentem, gestientem et exsultantem: tunc enim bona ejus magis florent et vigent. Ventræ autem divitiæ, etiamsi bona habeant innumera, in primo ætatis flore illa concludunt: non item hæ divitiæ, sed in senectute manent, excedentesque e vita comitantur. Idcirco vos cum opes in senectute crescentes videtis, plurimæque vobis et gloriæ et deliciarum occasiones suppetunt, indigne fertis, quod ætas non sufficiat, ut eis frui valeatis. Ideo mortem perhorrescitis, vosque tunc maxime miserabiliores esse dicitis, cum in re prospera estis. Contra ille tum maxime quietus erit, cum senuerit, quippe qui ad portum properet, ac juventutem semper vigentem habeat, et ad senectutem numquam vergat. Tu vero filium iis deliciis frui voluisses, quarum illum millies pœnituisset, ac de quibus in senectute doluisset. Verum absit ut vel inimici nostri his deliciis fruantur unquam. Et quid senectutem memoro? quandoquidem die uno voluptas illa omnis exstinguitur, imo non die uno, non una hora, sed in brevissimo temporis momento. Quid enim est voluptas? nonne ventri se dedere, Sybariticas mensas parare, cum speciosis mulieribus congredi porcorum instar se in cœno volutantes?

10. Sed de his nondum loquamur: interim quid sit voluptas disquiramus, annon plane frigida et vilis sit: atque illam, si placet, primum inspiciamus, quæ jucundissima videtur, nempe gulam. Ostende, quæso, illius tempus, quotaque diei parte nos illa occupare possit: tanta certe, ut vix perspici possit. Nam simulac quisque impletus fuerit, voluptatem exstinxit: vel ante satietatem fluento citius transit, in ipsisque faucibus deficit, nec una cum cibis potest ingredi: statim enim atque linguam pertransivit, vim etiam amisit. Taceo reliqua mala, et quanta ex ista voluptate gignatur tempestas. Non modo enim jucundior qui ab illa abstinet, sed etiam levior, faciliusque aget, quam is qui satietate distenditur. *Somnus* enim, inquit (*Eccli.* 31, 24), *sanitatis in viscere moderato.* Quid opus est memorare morbos, nauseas, calamitates, insanosque sumtus? quæ ex his conviviis lites, quæ insidiæ, quæ damna pullulant?

Verum suave est cum meretricibus congredi. Ecqua potest esse voluptas in tanta turpitudine? Sed hæc interim indagare omittamus, nec de amatorum pugnis loquamur, nec de rivalium contentionibus, neque de mala fama: sed sit aliquis qui cum libertate obscœna illa libidine fruatur, neque rivalem habeat, neque ab amasia contemnatur, pecu-

ἀντεραστὴν ἐχέτω, μήτε ὑπεροράσθω παρὰ τῆς ἐρωμένης, τά τε χρήματα ὥσπερ ἐκ πηγῶν ἀναλισκέτω, καίτοι οὐδαμοῦ ταῦτα πάντα συμβεβηκέναι ἑνί, ἀλλὰ δεῖ τὸν μὲν μὴ μέλλοντα ἔχειν ἀντεραστὴν τὴν οὐσίαν καταλῦσαι πᾶσαν, νικῶντα τῇ φιλοτιμίᾳ τοὺς ἄλλους ἅπαντας, τὸν δὲ μὴ βουλόμενον ἀπορεῖν ὑπεροράσθαι παρὰ τῆς πόρνης καὶ διαπτύεσθαι πάλιν. Πλὴν ἀλλὰ μηδὲν ἔστω τούτων, ἀλλὰ πάντα αὐτῷ κατὰ νοῦν προχωρείτω· ποῦ τὴν ἐκ τούτων ἡδονὴν ἐπιδεῖξαι ἔχεις ἡμῖν; Οὐδὲ γὰρ ἐπ' αὐτῷ τῷ τῆς μίξεως φαίνεται καιρῷ, ἀλλ' ὁ μὲν πληρώσας τὴν συνουσίαν, καὶ τὴν ἡδονὴν ἔσβεσεν, ὁ δὲ ἐν τῇ μίξει ὤν, οὐκ ἔστιν ἐν ἡδονῇ, ἀλλ' ἐν θορύβῳ καὶ ταραχῇ καὶ οἴστρῳ καὶ μανίᾳ καὶ κλόνῳ πολλῷ καὶ βρασμῷ. Ἀλλ' οὐχ ἡ παρ' ἡμῖν ἡδονὴ τοιαύτη· μὴ γένοιτο· ἀλλὰ διαπαντὸς ἀχείμαστον τηρεῖ τὴν ψυχήν, καὶ θόρυβον οὐδένα οὐδὲ κλόνον ἐπάγει, καθαρὰν δέ τινα εὐφροσύνην καὶ εἰλικρινῆ καὶ ἔνδοξον καὶ τέλος οὐκ ἔχουσαν, δυνατωτέραν τε πολλῷ καὶ σφοδροτέραν τῆς παρ' ὑμῖν. Ὅτι γὰρ ἡδίων αὕτη ἡ ἡδονὴ, τὴν μὲν ὑμετέραν ἱκανὸς ἀποστῆσαι φόβος· κἂν βασιλεὺς γράμματα καταπέμψῃ θάνατον ἀπειλοῦντα, τὸ πλέον τῶν ἀνθρώπων ἐκστήσεται ταύτης τῆς ἡδονῆς· ἐκείνης δὲ, κἂν μυρίους θανάτους τις ἐπιφέρῃ, οὐ πείσει καταφρονεῖν, ἀλλὰ καὶ γελασθήσεται μᾶλλον· οὕτω τυραννικωτέρα τε αὕτη ἐστὶν ἐκείνης καὶ ἡδίων, καὶ οὐδ' ἂν σύγκρισιν δέξαιτο πρὸς ἐκείνην. Μὴ δὴ βασκήνῃς τῷ παιδὶ, ἀπὸ τῶν ῥεόντων ἀγαθῶν, μᾶλλον δὲ οὐδὲ ὄντων, ἐπὶ τὰ ὄντα καὶ μένοντα διαβαίνοντι, μηδὲ θρήνει τὸν μακαρίζεσθαι ἄξιον, ἀλλ' εἴ τις μὴ τοιοῦτος [καὶ] καθάπερ ἐν εὐρίπῳ τῷ παρόντι βίῳ περιφερόμενος.

Καὶ τὸ δὴ κεφάλαιον· εἰ γὰρ καὶ ἄπιστος σὺ καὶ Ἕλλην, ὅμως κἂν τοῦτον παραδέξῃ τὸν λόγον. Ἀκούεις Κωκυτοὺς πάντως καὶ Πυριφλεγέθοντας ποταμοὺς, καὶ Στυγὸς ὕδωρ, καὶ Τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη τοῦ οὐρανοῦ, καὶ πολλοὺς κολάσεων τρόπους. Εἰ γὰρ καὶ μετὰ ἀληθείας, ὡς ἔχει, ταῦτα εἰπεῖν οὐκ ἠδυνήθησαν Ἕλληνες, ἅτε ἀπὸ λογισμῶν κινηθέντες καὶ παρακουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ ἔλαβον κρίσεως· καὶ ποιητὰς καὶ φιλοσόφους καὶ λογοποιοὺς καὶ πάντας εὑρήσεις ὑπὲρ τούτων φιλοσοφοῦντας τῶν δογμάτων. Ἀκούεις δὲ καὶ Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας, καὶ μυρσίνας, καὶ λεπτὴν αὔραν, καὶ εὐωδίαν πολλὴν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβεβλημένους στολὴν, χορεύοντάς τε καὶ ᾄδοντας ὕμνους τινὰς, καὶ ὅλως καὶ πονηροῖς καὶ ἀγαθοῖς ἀπομειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Πῶς οὖν οἴει ζῆν μετὰ τούτων τῶν λογισμῶν τούς τε ἀγαθοὺς τούς τε οὐ τοιούτους; Οὐχ οἱ μὲν ταῦτα στρέφοντες, κἂν ἀλύπως αὐτοῖς καὶ μετὰ καλλῆς τῆς ἡδονῆς τὰ τοῦ παρόντος προχωρῇ βίου, καθάπερ ὑπό τινος ἐλαύνονται μάστιγος τοῦ συνειδότος καὶ τῆς προσδοκίας τῶν δεξομένων αὐτοὺς δεινῶν· οἱ δὲ ἀγαθοὶ κἂν μυρία πάσχωσι κακὰ,

nias velut ex fontibus hastas impendat, etiamsi fieri nequit ut hæc omnia simul conveniant; sed ei qui rivalem non habiturus est, omnes facultates exhauriendæ sunt, ut largitate munerum alios omnes superet; rursumque eum qui inopiam devitat, a meretrice spernatur et respuatur oportet. Verum concedamus nihil ejusmodi fore, sed omnia ipsi ex sententia eventura esse: ubinam in his voluptatem nobis potes ostendere? Non enim certe in ipso congressus tempore apparet, sed qui coitum explevit, voluptatem extinxit; qui autem adhuc in congressu est, non in voluptate agit, sed motu, agitatione, aculeo, furore, tumultu et fervore vehementi concutitur. Atqui nostra voluptas non est hujusmodi, abest; sed animum omni perturbatione vacuum servat, nullamque agitationem, nullos tumultus inducit, sed puram quamdam servat integramque lætitiam, eamque gloriosam, quæ finem non habeat, longeque potentiorem ac vividiorem, quam vestra sit. Quod enim nostra jucundior sit voluptas, quam vestra, liquet: nam vestram metus abjicere potest: si enim imperator literis mortem comminetur, ab ea voluptate maxima pars hominum absistet. Nostram vero, etiamsi quis sexcenties mortem inferat, non modo non persuadebit ut spernamus, verum ille etiam irridebitur: adeo nostra violentior simul et dulcior quam vestra est, nullaque prorsus est inter utramque comparatio. Ne itaque invideas filio, cum a fluxis bonis, imo quæ ne existunt quidem, ad ea quæ sunt et manent se confert; neque lugeas eum qui beatissimus prædicandus est; sed is lugendus, qui non talis est, quique in præsenti vita quasi in euripo circumfertur.

Atque ut ad summam veniamus: etsi enim tu gentilis es, hanc tamen nostram orationem suscipies. Audis haud dubie Cocytos et Pyriphlegethontas fluvios, et Stygis undam, et Tartarum tantum a terra distantem, quantum hæc ipsa distat a cælo, plurimosque suppliciorum modos. Etsi enim hæc ut erant enarrare non potuerunt Græci, utpote propriis moti ratiociniis et traditionibus nostrorum male acceptis, attamen imaginem quamdam judicii acceperunt. Itemque invenies et poetas et philosophos et oratores atque omne scriptorum genus hac de re philosophantes. Audis etiam Elysium campum, et beatorum insulas, et prata et myrtos, et auram tenuem, odoremque suavissimum; choros item ibi commorantes, amictos stola candida, choreas agentes, atque hymnos quosdam canentes: ac universim malis et bonis post obitum repositam pro meritis retributionem. Quo putas igitur animi affectu vivere eos qui ejusmodi cogitationes versant, sive bonos, sive malos? Nonne alii quidem, etsi in præsenti vita degant sine mœrore summaque cum voluptate, quasi quodam conscientiæ flagello, futurorumque malorum expectatione semper stimulantur; boni vero etiamsi malis innumeris vexentur, secundum Pindarum

κατὰ Πίνδαρον, ἐλπίδα κουροτρόφον ἔχουσιν οὐκ ἀφιεῖσαν τῶν παρόντων κακῶν αἴσθησιν λαβεῖν; Ὥστε καὶ κατὰ τοῦτο μείζων ἐκείνη ἡ ἡδονή. Πολλῷ γὰρ βέλτιον, ἀπὸ πόνων προσκαίρων ἀρξάμενον πρὸς ἀνάπαυσιν ἄπειρον τελευτᾶν, ἢ τῶν δοκούντων εἶναι ἡδίστων ἐν βραχεῖ γευσάμενον, ἐπὶ τὰ πικρότερα καὶ φορτικώτερα λῆξαι κακά. Ὅταν δὲ πρὸς τούτῳ καὶ ὁμολογημένον ᾖ, ὅτι καὶ ἐνταῦθα οὗτος ὁ βίος ἡδίων, οὐχὶ τοῦτο ὅπερ ἀρχόμενος ἔφην ἀνάγκη νῦν ποιεῖν, κλαίειν τοὺς τὰ τοιαῦτα δακρύοντας ἀγαθά; Οὐ γὰρ θρήνων ἄξιος ὁ παῖς ὁ σὸς, ἀλλὰ κρότων καὶ στεφάνων, ἐπὶ τὴν ἀκύμαντον ζωὴν καὶ τὸν εὔδιον λιμένα ἐλθών.

Ἀλλ' ὀνειδίζουσίν σε πατέρες πολλοὶ υἱοὺς ἔχοντες ἐν τῷ παρόντι στρεφομένους βίῳ, καὶ δακρύουσίν σε ὅταν ἴδωσιν ἕτεροι, καὶ γελῶσιν ἄλλοι. Διὰ τί δὲ μὴ τούτους σὺ μᾶλλον καὶ γελᾷς καὶ πενθεῖς; Μὴ γὰρ δὴ τοῦτο σκοπῶμεν, εἰ σκώπτουσιν ἡμᾶς, ἀλλ' εἰ καλῶς καὶ δικαίως· κἂν μὲν τοῦτο ᾖ, καὶ μὴ γελώντων ἐκείνων ἡμεῖς δακρύωμεν· ἂν δὲ ἀδίκως τοῦτο πράττωσι, κἂν ἅπαντες γελῶσιν, ἡμεῖς μὲν ἑαυτοὺς μακαρίζωμεν, ἐκείνους δὲ θρηνῶμεν, ἅτε πάντων ἀθλιωτέρους ὄντας, καὶ τῶν μαινομένων οὐδὲν διαφέροντας. Τὸ γὰρ γελᾶν τὰ πολλῶν ἐπαίνων ἄξια καὶ στεφάνων, μαινομένων ἐστὶ καὶ τῶν τὰ αὐτὰ νοσούντων αὐτοῖς. Εἰπέ γάρ μοι, εἰ περὶ τὴν τῶν ὀρχουμένων καὶ τὴν τῶν ἡνιόχων μανίαν ἐπτοημένου τοῦ παιδὸς ἐπῄνουν σε καὶ ἐθαύμαζον ἅπαντες καὶ μακαριστὸν εἶναι ἔλεγον, οὐχὶ χλεύην εἶναι τὸ πρᾶγμα ἐνόμισας; Τί δὲ, εἰ γενναῖόν τι καὶ ἐπαίνων ἄξιον πράττοντος ἐγέλων ἐκεῖνοι καὶ ὠνείδιζον, οὐχὶ παραπαίειν αὐτοὺς ἂν ἔφης; Τοῦτο ποιῶμεν καὶ νῦν, μὴ τῇ τῶν πολλῶν ὑπονοίᾳ, ἀλλ' ἀκριβεῖ λογισμῶν ἐξετάσει τὴν περὶ τοῦ παιδὸς ἐπιτρέποντες ψῆφον, καὶ ὄψει τοὺς γελῶντας τούτους ἀνδραπόδων μᾶλλον ἢ ἐλευθέρων ὄντας παίδων πατέρας, ὅταν πρὸς τὸν υἱὸν ἐξετάζωνται ἐκεῖνοι τὸν σόν. Νῦν μὲν γὰρ ὑπὸ τοῦ πάθους σκοτούμενος οὐδὲ διαβλέψαι πρὸς ταῦτα δυνήσῃ· ὅταν δὲ μικρὸν ἀναπαύσῃ, καὶ ὁ υἱὸς πολλὴν ἐπιδείξηται τὴν ἀρετὴν, οὐκέτι σοι λόγων δεήσει, ἀλλὰ ταῦτα σὺ πρὸς ἑτέρους ἐρεῖς καὶ πλείονα τούτων. Καὶ οὐχ ἁπλῶς σοι ταῦτα μαντεύομαι, ἀλλ' ἀπὸ τῆς πείρας αὐτῆς. Καὶ γὰρ ἐμοὶ γέγονεν ἑταῖρος πατέρα ἄπιστον ἔχων πλουτοῦντα καὶ εὐδόκιμον καὶ πάντοθεν λαμπρόν· καὶ οὗτος ὁ πατὴρ τὸ μὲν πρῶτον καὶ ἄρχοντας ἐκίνησε, καὶ δεσμὰ ἠπείλησε, καὶ πάντων αὐτὸν ἀποδύσας ἐπὶ τῆς ἀλλοτρίας εἵασε γῆς καὶ τῆς ἀναγκαίας δεόμενον τροφῆς, ὡς ταύτῃ πείσων πρὸς τὴν βιωτικωτέραν ζωὴν ἐπανελθεῖν· ἐπειδὴ δὲ εἶδε πρὸς οὐδὲν τούτων ἐνδόντα, ἡττηθεὶς παλινῳδίαν ᾖσε, καὶ νῦν τιμᾷ τὸν υἱὸν καὶ αἰδεῖται μᾶλλον πατρός· καὶ πολλοὺς ἔχων ἑτέρους παῖδας εὐδοκιμοῦντας, οὐδὲ δούλους ἐκείνους τούτου φησὶν εἶναι ἐπιτηδείους· καὶ αὐτὸς δὲ πολλῷ λαμπρότερός ἐστι διὰ τὸν υἱόν. Ταῦτα καὶ ἐπὶ τοῦ παιδὸς ὀψόμεθα τοῦ σοῦ, καὶ ὅτι οὐ ψεύδομαι, διὰ τῶν ἔργων αὐτῶν εἴσῃ καλῶς. Διὸ σιγήσας ἀπόστηθι τῶν ἀκαίρων ὀδυρμῶν, καὶ μὴ τὸν ἀγῶνα τὸν ἐπὶ τῷ παιδὶ γενόμενον ἀτελῆ ἀπόλιπε, μηδὲ τὸν στέφανον ἀφέλῃ τὸν ἐκ τῆς νίκης ἐπιτεθέντα τῷ παιδί.

[*fr.* 233] spem habent, qua recreentur, quæ mala præsentia ipsos nec sentire sinit? Itaque in hoc quoque major hæc voluptas est. Multo enim melius est a temporaneis laboribus incipere, atque in infinitam requiem desinere, quam iis, quæ jucundissima videntur esse, breviter gustatis, in acerbissima et gravissima mala decidere. Cum autem ad hæc in confesso sit hic etiam vitam illam esse jucundiorem, nonne, ut initio dicebam, miserandi sunt ii qui de talibus bonis lacrimantur? Sane luctu dignus non est filius tuus, sed plausu et coronis, qui ad tranquillam vitam tutumque portum se recepit.

At exprobrant tibi patres plurimi, quorum filii in præsenti sæculo versantur; et alii cum vident, tuam vicem dolent, irrident alii. Cur tu non eos magis et irrides et deploras? Neque enim id attendendum est si nobis illudunt, sed si jure ac merito: et si ita res se habet, etiamsi illi non rideant, nos lugeamus; sin vero injuria id faciunt, etiamsi omnes rideant, nos tamen beatos censeamus, illos vero lugeamus, utpote qui omnium infelicissimi sint, et nihilo insanis meliores. Insanorum quippe est et eorum qui simili illis morbo laborant, illa ridere, quæ plurimis laudibus et coronis digna sunt. Dic enim, quæso, si de filio tuo saltatorum et aurigarum insano studio ardente te omnes laudarent ac bealum prædicarent, nonne id derisionis loco haberes? Quid igitur? si te strenuum facinus laudeque dignum edente illi riderent, tibique exprobrarent, nonne amentes illos esse diceres? Atqui hoc nunc faciamus: non multitudinis opinioni, sed diligenti rerum examini calculum de filio tuo ferendum permittamus: et videbis irrisores illos mancipiorum potius quam liberorum parentes esse, si eorum nati tuo filio comparentur. Nunc porro mœrore obtenebratus ne inspicere quidem ista poteris; cum autem animum sedaveris, filiusque tuus magnam virtutem exhibuerit, non ultra tibi aliorum sermone opus erit, sed tu hæc et his plura ipse aliis dices. Et hæc ego non tibi temere vaticinor, sed quæ loquor expertus sum. Amicus enim mihi fuit, qui patrem habebat infidelem, divitem, spectatum, et undequaque clarum. Is primum concitavit principes, minatus est vincula, ipsumque omnibus exutum in aliena terra reliquit, necessariis etiam alimentis egentem, hoc modo putans se illum ad sæculi vitam reducturum: postquam autem illum in nullo sibi cedere vidit, victus tandem palinodiam cecinit, ac nunc in honore filium habet, eumque magis quam si pater suus esset, veneratur: cumque alios multos habeat filios, spectatos viros, eos ne dignos quidem qui servi hujus sint arbitratur: ipse quoque propter filium longe clarior est. Hæc in tuo quoque filio videbimus; et quod vero non mentiar, ex rebus ipsis cognosces plane. Itaque silentio facto desine importunos ejulatus, neque certamen quod de filio tuo natum est imperfectum relinque, neve coronam detrahas quæ ex victoria imposita est filio.

σομαι λοιπὸν, τοσοῦτόν σου δεηθείς· ἑνιαυτὸν ἀνάμεινον μόνον, ἢ καὶ ἐλάττονα χρόνον (οὐ γὰρ δεῖται πολλῶν ἡμερῶν ἡ παρ' ἡμῖν ἀρετὴ, ἅτε δὴ θείᾳ βλαστάνουσα χάριτι), καὶ ὄψει πάντα τὰ εἰρημένα ἐπὶ τῶν πραγμάτων αὐτῶν δεικνύμενα· καὶ οὐ μόνον ἐπαινέσεις τὰ γεγενημένα, ἀλλὰ κἂν μικρὸν διαναστῆναί θελήσῃς, ταχέως καὶ πρὸς τὸν αὐτὸν ἥξεις ζῆλον ἐκείνῳ, διδάσκαλον ἔχων τῆς ἀρετῆς τὸν υἱόν.

Quare finem loquendi faciam, id tantum rogans, ut anno uno exspectes, aut minus etiam; (nostra quippe virtus non multis opus habet diebus, utpote quæ divina gratia pullulet:) videbisque ea omnia quæ dicta sunt, rebus ipsis impleta: neque modo ea quæ facta sunt laudabis, verum, si te tantillum excitare volueris, cito ipsius æmulus eris, magistrum habens in virtute filium.

ΠΡΟΣ ΠΙΣΤΟΝ ΠΑΤΕΡΑ.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Φέρε δὴ καὶ τὸν πιστὸν πατέρα διδάξωμεν, ὅτι τοῖς ἐνάγουσιν αὐτοῦ τὸν υἱὸν πρὸς τὸ τῷ Θεῷ δοκοῦν πολεμεῖν οὐ χρή. Καίτοι γε κινδυνεύει λοιπὸν καὶ οὗτος ἡμῖν ἐκ περιουσίας ὁ λόγος γίνεσθαι, καὶ τοὐναντίον ἐκβαίνειν, ὅπερ ἔμπροσθεν ἔλεγον. Τότε μὲν γὰρ ἔφην ὅτι με τοῦ ἀγῶνος τούτου ὁ νόμος οὐκ ἀναγκάζει πρὸς τὸν Ἕλληνα ἀποδύσασθαι, ἀλλὰ τοὺς ἔσω κρίνειν μόνον καλεύσας ὁ ἀπόστολος Παῦλος τῆς πρὸς τοὺς ἔξωθεν μάχης ἀφῆκεν ἐλευθέρους ἡμᾶς. Νυνὶ δὲ, ὡς ἔοικεν, οὐδὲ τούτων ἐσμὲν ὑπεύθυνοι τῶν παλαισμάτων· εἰ γὰρ καὶ πρὸ τούτου πρὸς τὸν Χριστιανὸν ὑπὲρ τούτων διαλέγεσθαι αἰσχρὸν εἶναι ἐδόκει, πολλῷ μᾶλλον νῦν. Πῶς γὰρ οὐ καταδύσεται ὁ πιστὸς ὑπὲρ τούτων δεόμενος παραινέσεως, ὑπὲρ ὧν οὐδὲν ἂν ἡμῖν ἀντειπεῖν ὁ ἄπιστος ἔχοι; Τί οὖν; σιγήσομεν διὰ τοῦτο, καὶ οὐδὲν ἐροῦμεν; Οὐδαμῶς. Εἰ γὰρ ἦν τις ὁ τὸ μέλλον ἐγγυησόμενος καὶ καταστήσων δῆλον ἡμῖν, ὡς οὐδεὶς ἔσται λοιπὸν ὁ τὰ τοιαῦτα τολμήσων, καὶ ἡμᾶς ἔδει τὴν ἡσυχίαν ἄγειν, καὶ τοῖς παρελθοῦσι χαρίσασθαι τὸ λαθεῖν· ἐπειδὴ δὲ οὐδένα τούτων ἀξιόπιστον ἔχομεν ἐγγυητὴν, ἀναγκαία λοιπὸν ἡ τῶν λόγων παραίνεσις. Ἂν μὲν γὰρ εὕρῃ τοὺς ταύτην νοσοῦντας τὴν νόσον, ἐργάσεται τὸ αὑτῆς· ἂν δὲ μηδεὶς τῇ ἀῤῥωστίᾳ περιπέσῃ, ὅπερ εὐχόμεθα γέγονε. Καὶ γὰρ τοῖς ἰατροῖς μετὰ τὸ παρασκευάσαι τοῖς ἀῤῥώστοις τὰ φάρμακα, εὐχῆς ἔργον ἐστὶ, μηδὲ εἰς χρείαν αὐτῶν καταστῆναι τὸν κάμνοντα· καὶ ἡμεῖς τοίνυν εὐχόμεθα μὲν μηδενὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων χρείαν ταύτης γενέσθαι τῆς παραινέσεως· εἰ δ' ἄρα γένοιτο, ὃ μὴ γένοιτο, ὁ δεύτερος, κατὰ τὴν παροιμίαν, αὐτοὺς οὐ διαφεύξεται πλοῦς. Διαπλαττέσθω τοίνυν καὶ ὁ πιστὸς ἡμῖν ἤδη τοιοῦτος, οἷος ὁ ἄπιστος, καὶ πάντα ἐκείνῳ προσοικειέτω, πλὴν τῆς περὶ τὸ θεῖον δόξης, καὶ ὀργιζέσθω ὅμοια, καὶ προκυλινδείσθω τῶν ποδῶν τῶν ἁπάντων, καὶ τὴν πολιὰν προβαλλέσθω, καὶ τὸ γῆρας, καὶ τὴν ἐρημίαν, καὶ πάντα ἐκεῖνα λεγέτω, καὶ κινείτω πρὸς ὅσον βούλεται ὀργῆς τοὺς δικάζοντας· μᾶλλον δὲ καὶ πρὸς τοῦτον οὐκέτι ἡμῖν ἐπ' ἀνθρώποις ἐστὶν ἡ δίκη· ἤκουσε γὰρ ὅσα ἐφιλοσόφησαν παρ' ἡμῖν οἱ τοῦ θείου πλησθέντες Πνεύματος ἄνθρωποι περὶ τοῦ φρικτοῦ

AD PATREM FIDELEM.

LIBER TERTIUS.

1. Age jam fidelem quoque patrem doceamus, quod non debeat eos oppugnare, qui filium suum ad Dei placita sequenda hortantur. Quamquam periculum est ne hic quoque sermo superfluus sit, neve contrarium accidat, ut superius dicebam. Tunc enim dixi hujus certaminis legem me non cogere cum gentili manus conserere, sed cum jusserit Paulus eos tantum qui intus sunt judicare, a pugna cum iis qui foris sunt nos liberos sinit. Nunc autem, ut videtur, ne has quidem dimicationes inire tenemur: nam si prius de his ad Christianum verba facere turpe videbatur esse, multo magis nunc. Quomodo enim non erubescet fidelis, si de iis admoneri opus habeat, super quibus ne infidelis quidem nobis contradicere possit? Quid igitur? ideone tacebimus, nihilque loquemur? Minime vero. Si quis enim sponsor accederet, nobisque perspicuum faceret fore posthac neminem qui rem hujusmodi ausurus sit, nos quoque quiescere opus esset, et iis quæ præterierunt, ut lateant, concedere: quando autem nullum habemus super hac re fidejussorem idoneum, necessaria prorsus videtur verborum admonitio. Si enim ea aliquos invenerit hoc morbo laborantes, operabitur quod suum est; sin nemo in ægritudinem incidat, actum est ut cupimus. Siquidem medicis, postquam ægrotis medicamenta paraverint, optandum est ut ne iis opus habeant: nos quoque similiter optamus neminem ex fratribus nostris hac egere adhortatione: si vero egere contingat, quod absit! secunda navigatio, ut proverbio dicitur, non illis deerit. Fingatur ergo fidelis talis, qualis infidelis, ipsique per cuncta similis, excepta religione: similiter lugeat, provolvatur omnium pedibus, canos ostendat, senectutem, solitudinem, omnia ejusmodi proferat, et quantum vult iracundiæ judicibus moveat. Imo potius adversus hunc nobis non jam coram hominibus lis est: audivit enim ea quæ viri apud nos divino Spiritu repleti de horrendo

καὶ φοβεροῦ δικαστηρίου τοῦ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Καὶ δεῖ πρὸ τῶν ἄλλων ἁπάντων ἐκείνης αὐτὸν ἀναμνῆσαι τῆς ἡμέρας, καὶ τοῦ ποταμηδὸν ῥέοντος πυρὸς, τῆς οὐδέποτε σβεννυμένης φλογὸς, τῆς ἀφανιζομένης ἀκτῖνος, τῆς κρυπτομένης σελήνης, τῶν πιπτόντων ἄστρων, τῶν εἱλισσομένων οὐρανῶν, τῶν κλονουμένων δυνάμεων, τῆς τινασσομένης πανταχόθεν καὶ ἀναβρασσομένης γῆς, τῆς φοβερᾶς καὶ ἐπαλλήλου τῶν σαλπίγγων ἠχῆς, τῶν διατρεχόντων τὴν οἰκουμένην ἀγγέλων, τῶν παρεστηκυιῶν χιλιάδων, τῶν λειτουργουσῶν μυριάδων, τῶν μετ' αὐτοῦ τοῦ κριτοῦ παραγινομένων δυνάμεων, τῶν στρατοπέδων, τοῦ ἔμπροσθεν λάμποντος σημείου, τοῦ τιθεμένου θρόνου, τῶν ἀνοιγομένων βίβλων, τῆς ἀπροσίτου δόξης, τῆς φοβερᾶς καὶ φρικτῆς τοῦ δικάζοντος φωνῆς, τοὺς μὲν εἰς τὸ πῦρ πέμποντος τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τοὺς δὲ τῶν θυρῶν ἀποκλείοντος μετὰ τὸν πολὺν τῆς παρθενίας πόνον, καὶ τῶν διακόνων αὐτοῦ τοῖς μὲν ἐπιτάττοντος τὰ ζιζάνια δῆσαι καὶ εἰς τὴν κάμινον ἐμβαλεῖν, τοῖς δὲ ἄλλους τινὰς συμποδίσαι, καὶ τὼ χεῖρε στραγγαλῶσαι, καὶ ἀπαγαγεῖν εἰς τὸ σκότος τὸ ἐξώτερον, καὶ τῷ ἀνηκέστῳ παραδοῦναι τῶν ὀδόντων βρυγμῷ· καὶ τὸν μὲν ὑπὲρ ἀκολάστων ὀφθαλμῶν μόνον, τὸν δὲ ὑπὲρ ἀκαίρου γέλωτος, τὸν δὲ ὅτι τὸν πλησίον κατεδίκαζεν ἀνεξετάστως, τὸν δὲ ὅτι μόνον ἐκακηγόρησε, σφοδροτάτῃ καὶ χαλεπωτάτῃ μετιόντος κολάσει· ὅτι γὰρ καὶ τούτων κεῖται τιμωρία, αὐτοῦ τοῦ μέλλοντος ἐπάγειν τὰ βασανιστήρια ἔστιν ἀκοῦσαι λέγοντος καὶ ἀπειλοῦντος.

Πρὸς τοῦτον πάντως ἡμᾶς ἐντεῦθεν ἀπελθεῖν ἀνάγκη τὸν δικαστὴν, καὶ τὴν ἡμέραν ἐκείνην ἰδεῖν, καθ' ἣν γυμνὰ καὶ τετραχηλισμένα πάντα, οὐ τὰ πράγματα λέγω, οὐδὲ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ νοήματα. Καὶ γὰρ τῶν δοκούντων εἶναι μικρῶν νῦν, τότε φοβερὰς ὑφέξομεν τὰς εὐθύνας· οὕτως ὁ κριτὴς μετὰ τῆς αὐτῆς ἀκριβείας τήν τε ἡμετέραν καὶ τὴν τῶν πλησίον ἡμᾶς ἀπαιτεῖ σωτηρίαν. Διὰ τοῦτο ὁ Παῦλος πανταχοῦ παραινεῖ μὴ τὸ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστον· διὰ τοῦτο καὶ Κορινθίοις σφόδρα ἐπιτιμᾷ, ὅτι μὴ προενόησαν μηδὲ ἐπεμελήσαντο τοῦ πεπορνευκότος, ἀλλ' ὑπερεῖδον αὐτοῦ τὸ τραῦμα ἐπιτριβόμενον, καὶ Γαλάταις δὲ ἐπιστέλλων ἔλεγεν, « Ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον. » Καὶ Θεσσαλονικεῦσι δὲ πρὸ τούτων τὰ αὐτὰ ταῦτα παραινεῖ, λέγων, « Ὥστε παρακαλεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε· » καὶ πάλιν· « Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν. » Ἵνα γὰρ μή τις λέγῃ, Τί μοι καὶ τῆς τῶν ἄλλων προνοίας; ὁ ἀπολλύμενος ἀπολλύσθω, καὶ ὁ σωζόμενος σωζέσθω· οὐδέν τούτων πρὸς ἐμὲ, τὰ ἐμαυτοῦ σκοπεῖν ἐπιτάττομαι· ἵνα μή τις ταῦτα λέγῃ, τὴν θηριώδη καὶ ἀπάνθρωπον ταύτην ἔννοιαν ἀναιρῶν, ἐπετείχισεν αὐτῇ τούτους τοὺς νόμους, πολλὰ

terribilique tribunali, ad quod post obitum sistemur, philosophati sunt. Ante omnia vero commemorandus ille dies est, atque ignis fluminis instar decurrens, flamma numquam exstinguenda, radii solis sublati, luna occultata, stellæ decidentes, cæli convoluti, virtutes commotæ, concussa undique et æstuans terra, terribilis et alternus tubarum clangor, angeli per orbem universum discurrentes, millia millium adstantium, myriades ministrantes, potestates et exercitus cum ipso judice adventantes, signum ante eum fulgens, appositus thronus, aperti libri, inaccessa gloria, terribilis et horrenda judicantis vox, qui alios quidem mittit in ignem paratum diabolo et angelis ejus, virgines autem, post ingentes virginitatis labores, clausis foribus arcet; qui ex ministris suis alios jubet zizania colligare et in fornacem immittere, alios compedes quibusdam inducere, et manibus post terga vinctis eosdem abjicere in tenebras exteriores, atque horrendo dentium stridori tradere; illum quidem ob impudicos aspectus tantum, illum vero ob risum intempestivum, alium, quod proximum sine examine damnaverit, alium quod maledixerit dumtaxat, vehementissimo gravissimoque supplicio plectet: nam quod istos quoque pœna maneat, eum ipsum qui hæc supplicia illaturus est dicentem et comminantem audire licet.

2. Ad hunc nobis judicem omnino hinc eundum est, diesque illa videnda nobis, in qua omnia nuda et patefacta erunt, non opera et verba modo, sed ipsæ quoque cogitationes. Nam eorum etiam, quæ nunc levia videntur, tunc terribiles lucmus pœnas: adeo judex ille pari accuratione et nostram et proximorum salutem requirit a nobis. Ideo Paulus ubique hortatur singulos, non quæ sua sunt quærere, sed quæ proximi: quapropter in Corinthios (1 *Cor.* 10. 24) vehementer invehitur, quia nullam providentiam et curam habuerant ejus, qui in fornicationem inciderat, sed ejus vulnus tumens despexerant; Galatis quoque scribens (6. 1) dicebat: *Fratres, etsi præoccupatus fuerit homo in aliquo delicto, vos qui spirituales estis, hujusmodi instruite.* Thessalonicensibus item (1 *Th.* 5. 11 *et* 14) antea eadem monita dederat, dicens: *Itaque exhortamini invicem, sicut et facitis*: itemque, *Corripite inquietos, consolamini pusillanimes, sustinete infirmos.* Ne quis enim diceret, Quid mea interest etiam aliorum curare salutem? qui perit, pereat, et qui servatur, servetur; id nihil ad me pertinet, meis rebus prospicere jubeor: ne quis, inquam, hæc diceret, feriam illam et inhumanam cogitationem auferens, legibus his illam sepsit, plurima jubens commoda negligere, ut proximis

τῶν οἰκείων κελεύων παροράν, ὥστε τὰ τῶν πλησίον ἴστᾶν, καὶ βίου ταύτην ἀκρίβειαν εἶναι πανταχοῦ διορίζεται. Καὶ Ῥωμαίοις δὲ γράφων, πολλὴν τοῦ μέρους τούτου κελεύει ποιεῖσθαι πρόνοιαν, τοὺς ἰσχυροὺς τοῖς ἀσθενέσιν ὥσπερ πατέρας ἱστὰς, καὶ μεριμνᾶν ἀναπείθων τὴν σωτηρίαν αὐτῶν. Ἀλλ' ἐνταῦθα μὲν ἐν παραινέσεως τάξει καὶ συμβουλῆς ταῦτα φησίν· ἑτέρωθι δὲ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος τὰς τῶν ἀκουόντων κατασείει ψυχάς· τοὺς γὰρ ἀμελοῦντας τῆς τῶν ἀδελφῶν σωτηρίας, εἰς αὐτὸν ἁμαρτάνειν φησὶ τὸν Χριστὸν, καὶ τοῦ Θεοῦ κατασκάπτειν τὴν οἰκοδομήν. Καὶ ταῦτα οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ διδασκάλου μαθὼν ἔλεγε. Καὶ γὰρ ὁ τοῦ Θεοῦ Μονογενὴς διδάξαι βουλόμενος, ὡς ἀναγκαῖον τοῦτό ἐστι τὸ ὄφλημα, καὶ τοὺς μὴ βουλομένους αὐτὸ καταθεῖναι μεγάλα ἐκδέξεται κακὰ, ἔλεγεν ὅτι « Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. » Καὶ ὁ τὸ τάλαντον δὲ προσενεγκὼν, οὐχ ὅτι τῶν οἰκείων τι παρεῖδεν, ἀλλ' ὅτι τῆς τῶν πλησίον σωτηρίας ἠμέλησεν, ἐκείνῃ τῇ τιμωρίᾳ κολάζεται. Ὥστε κἂν ἅπαντα ἡμῖν καλῶς ᾖ διηκριβωμένα τὰ κατὰ τὸν ἡμέτερον βίον, οὐδὲν ὄφελος ἡμῖν, ταύτης τῆς ἁμαρτίας ἰσχνῆς οὔσης ἡμᾶς εἰς τὸ τῆς γεέννης καταποντίσαι πέλαγος. Εἰ γὰρ τοὺς ἐν τοῖς σωματικοῖς μὴ βουληθέντας βοηθεῖν τῷ πλησίον οὐδεὶς ἐξαιρήσεται λόγος, ἀλλὰ κἂν παρθενίαν ἠσκηκότες ὦσιν, ἔξω που ῥιφήσονται τοῦ νυμφῶνος· ὁ τὸ πολλῷ μεῖζον ἐκλελοιπώς (πολλῷ γὰρ μεῖζον ἡ τῆς ψυχῆς προστασία) πῶς οὐκ εἰκότως ἅπαντα πείσεται τὰ δεινά; Τὸν γὰρ ἄνθρωπον οὐχ ἑαυτῷ μόνον αὐτάρκειν κατεσκεύασεν ὁ Θεὸς, ἀλλὰ καὶ ἑτέροις πολλοῖς. Διὰ τοῦτο καὶ φωστῆρας ὁ Παῦλος καλεῖ τοὺς πιστοὺς, ἐνδεικνύμενος ὅτι καὶ ἑτέροις χρησίμους εἶναι δεῖ αὐτούς· ὁ γὰρ φωστὴρ, ἕως ἂν ἑαυτὸν φωτίζῃ μόνον, οὐκ ἂν εἴη φωστήρ. Διὰ τοῦτο καὶ Ἑλλήνων εἶναι χείρους φησὶ τοὺς τῶν πλησίον ἀμελοῦντας, οὕτωσὶ λέγων· « Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. » Τί γὰρ βούλει τῇ προνοίᾳ ἐνταῦθα δηλοῦσθαι; ἆρα τὴν τῶν ἀναγκαίων χορηγίαν; Ἐγὼ μὲν γὰρ αὐτὸν οἶμαι τὴν τῆς ψυχῆς ἐπιμέλειαν λέγειν. Εἰ δὲ φιλονεικοίης, καὶ οὕτω τὸ ἐμὸν στήσεται μᾶλλον. Εἰ γὰρ περὶ σώματος ταῦτά φησι, καὶ τὸν μὴ παρέχοντα τὴν ἐφήμερον ταύτην τροφὴν τοσαύτῃ κολάσει παρέδωκε, καὶ τῶν Ἑλλήνων ἔφησεν εἶναι χείρω, ποῦ κείσεται ὁ τὸ μεῖζον καὶ ἀναγκαιότερον παρορῶν;

Φέρε οὖν συλλογισώμεθα λοιπὸν τῆς ἁμαρτίας ὑμῶν τὸ μέγεθος, καὶ κατὰ μικρὸν ἀναβαίνοντες, δείξωμεν ὅτι πάντων ἐπέκεινα τῶν ἁμαρτημάτων ἐστὶν ἡ περὶ τοὺς παῖδας ὀλιγωρία, καὶ πρὸς αὐτὴν ἥκει τῆς πονηρίας τὴν κορυφήν. Ἔστι τοίνυν πρῶτος κακίας καὶ πονηρίας βαθμὸς καὶ ὠμότητος τὸ τοὺς φίλους περιορᾶν· μᾶλλον δὲ κατωτέρω τὸν λόγον ἀγάγωμεν· τοῦτο γὰρ

nostris consulamus, atque hanc esse vitæ diligentiam ubique ille definit. Romanis quoque scribens (15. 1), ingentem illis curam ejusmodi officii imposuit, fortes imbecillis patrum loco esse jubens, utque eorum salus curæ illis sit admonens. Sed hic quidem adhortationis et consilii formam servat, alio autem in loco summa cum vehementia auditorum animos percellit: eos enim (1 *Cor.* 8. 12) qui fratrum salutem negligunt, in ipsum Christum peccare dicit, Deique ædificium diruere: idque non a se ipso, sed a magistro edoctus loquitur. Namque unigenitus Dei Filius, ut doceret hoc officium esse necessarium, atque eos, qui illud reddere negligunt, summis malis excipiendos esse, dicebat (*Matth.* 18. 6), *Quicumque scandalizaverit unum ex pusillis istis, expedit ei ut suspendatur mola asinaria circa collum ejus, et demergatur in profundum maris.* Atque is qui talentum obtulerat, non quod aliquid ex suis contempsisset, sed quod proximorum salutem neglexisset, illo supplicio afficitur. Itaque etsi vitam nostram recte instituamus, nihil id prodest nobis, cum peccatum illud possit nos in gehennæ profundum immergere. Si enim nulla ratio possit eos qui proximis corpoream opem ferre noluerint liberare, verum, etsi virginitatem servaverint, tamen extra sponsi thalamum abjiciendi sint: is qui quod multo majus est omiserit (multo quippe major est animarum cura), qui non mala omnia merito patiatur? Hominem enim non ut sibi tantum prodesset creavit Deus, sed ut aliis etiam multis. Idcirco Paulus (*Philipp.* 2. 15) fideles luminaria appellat, hinc ostendens eos cæteris etiam usui esse oportere: luminare quippe, quamdiu se ipsum tantum illuminat, luminare profecto non est. Propterea gentilibus quoque ipsis deteriores esse ait eos qui proximorum salutem negligerent, his verbis (1 *Tim.* 5. 8): *Si quis autem suorum, et maxime domesticorum, providentiam non gerit, fidem negavit, et est infideli deterior.* Quid enim hoc loco *providentiæ* nomine vis intelligi? an forte necessariorum largitionem? Equidem puto ipsum curam animæ significare. Sin vero tu contradicas, sic quoque mea sententia firmior manebit. Nam si de corpore hæc dicit, eumque qui quotidianum hunc cibum non præbet tanto supplicio addixit, gentilibusque deteriorem esse ait: quo tandem in loco statuetur is, qui quod majus magisque necessarium est contemnit?

3. Age itaque ratiocinemur de peccati vestri magnitudine, ac paulatim ascendentes ostendamus maximum omnium peccatum esse liberorum neglectum, et ad ipsum malitiæ apicem pertingere. Est igitur primus malitiæ, iniquitatis et crudelitatis gradus, amicos aspernari: imo ad inferiora his sermonem deducamus; id enim nescio quomodo

οὐκ οἶδ' ὅπως μικροῦ δεῖν με παρέλαθεν, ὅτι ὁ πρότερος νόμος, ὁ τοῖς Ἰουδαίοις δοθείς, οὐδὲ τὰ ὑποζύγια τῶν ἐχθρῶν ἀφίησι παρορᾶν, οὔτε πεπτωκότα, οὔτε πλανώμενα, ἀλλὰ τὰ μὲν ὁδηγῆσαι, τὰ δὲ συνδιαναστῆσαι κελεύει. Ἔστιν οὖν πρῶτος μὲν κάτωθεν ἀναβαίνοντι κακίας καὶ ὠμότητος βαθμὸς, τὸ τὰ τῶν ἐχθρῶν κτήνη καὶ θρέμματα κακῶς πάσχοντα παρατρέχειν· δεύτερος δὲ μετ' ἐκεῖνον ἀνώτερος, τὸ τῶν ἐχθρῶν ἀμελεῖν· ὅσῳ γὰρ ἄνθρωπος ἀλόγου τιμιώτερος, τοσούτῳ μείζων ἐκείνης αὕτη ἡ ἁμαρτία· τρίτος δὲ μετὰ τοῦτον, τὸ τῶν ἀδελφῶν καταφρονεῖν, κἂν ἀγνῶτες ὄντες τυγχάνωσι· τέταρτος, τὸ τοὺς οἰκείους περιορᾶν· πέμπτος, ὅταν μὴ σώματος αὐτοῖς μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς ἀπολλυμένης καταφρονῶμεν· ἕκτος, ὅταν μὴ τῶν οἰκείων, ἀλλὰ καὶ τῶν παίδων ἡμῖν διαφθειρομένων ὀλιγωρῶμεν· ἕβδομος, ὅταν μηδὲ ἑτέρους τοὺς ἐπιμελομένους σκοπῶμεν· ὄγδοος, ὅταν καὶ ἀφ' ἑαυτῶν τοῦτο βουλομένους ποιεῖν κωλύωμεν καὶ ἀπείργωμεν· ἔνατος, ὅταν μὴ κωλύωμεν μόνον, ἀλλὰ καὶ πολεμῶμεν. Ὥστε εἰ τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τρίτῳ τῆς κακίας ταύτης βαθμῷ τοσαύτη κόλασις ἕπεται, τῷ πάντας ἀναβεβηκότι τούτους, τούτῳ δὴ τῷ ὑμετέρῳ, πόσον ἕψεται πῦρ ἐνάτῳ μετ' ἐκεῖνον τυγχάνοντι; μᾶλλον δὲ οὐκ ἔνατον μόνον, οὐδὲ δέκατον, ἀλλὰ καὶ ἑνδέκατον οὐκ ἄν τις ἁμάρτοι τοῦτον προσειπών. Τί δήποτε; Ὅτι οὐ τῇ φύσει πολλῷ μεῖζον τὸ ἁμάρτημα τῶν προηριθμημένων ἐστὶ μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ χρόνου χαλεπώτερον. Τί δὲ τοῦτό ἐστι τὸ ἀπὸ τοῦ χρόνου; Ὅτι τὰ αὐτὰ ἁμαρτάνουσιν ἡμῖν νῦν τοῖς ἐν τῷ νόμῳ οὐ τὰ αὐτὰ κείσεται βασανιστήρια, ἀλλὰ πολλῷ χαλεπώτερα, ὅσῳ καὶ μείζονος ἀπηλαύσαμεν δωρειᾶς, καὶ τελειοτέρας διδασκαλίας μετέσχομεν, καὶ πλείονι τετιμήμεθα τιμῇ. Ὅταν οὖν καὶ τῇ φύσει καὶ τῷ χρόνῳ σφοδρὸν οὕτω τὸ ἁμάρτημα γίνηται τοῦτο, ἐννόησον ὅσην οἴσει τὴν ῥλόγα ἐπὶ τὴν τῶν τολμώντων αὐτὸ κεφαλήν. Καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα συλλογίζομαι, καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ἐπιδείξω τοῦτο συμβάν, ἵν' εἰδῆτε ὅτι, κἂν τὰ ἡμέτερα ἡμῖν ἅπαντα καλῶς ᾖ διωκημένα, τῆς γοῦν τῶν παίδων ἀμελοῦντες σωτηρίας, τὴν ἐσχάτην τίσομεν δίκην.

Ἐρῶ δὲ ὑμῖν τινα λόγον οὐκ ἐμὸν, ἀλλ' ἐν ταῖς θείαις κείμενον Γραφαῖς. Ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις, μέτριος ἄνθρωπος καὶ ἐπιεικής· Ἠλεὶ τούτῳ ὄνομα ἦν. Οὗτος ὁ Ἠλεὶ γίνεται δύο παίδων πατήρ· καὶ ὁρῶν αὐτοὺς ἐπὶ κακίαν βαδίζοντας, οὐ κατεῖχεν οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ πάσης δὲ ἐποίει τοῦτο σπουδῆς. Τὰ ἐγκλήματα τῶν παίδων τούτων ἦν πορνεία τε καὶ γαστριμαργία· Ἤσθιον γὰρ, φησὶ, πρὸ τοῦ καθαγιασθῆναι τὰ κρέα τὰ ἱερὰ καὶ τὴν θυσίαν ἀνενεχθῆναι τῷ Θεῷ. Ταῦτα δὲ ἀκούων ὁ πατὴρ, τιμωρίαν μὲν οὐκ ἐπέθηκε, λόγῳ δὲ καὶ παραινέσει ἐπειρᾶτο τῆς πονηρίας ταύτης ἀπάγειν αὐτοὺς, καὶ τοιαῦτα πρὸς αὐτοὺς συνεχῶς ἔλεγε ῥήματα· « Μὴ, τέκνα, μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ,

me pene fugerat : prior illa lex Judæis data ne jumenta quidem inimicorum negligere permittit, sive deciderint, sive erraverint ; sed hæc quidem reducere, illa vero erigere jubet. Est itaque primus, ab infimis ascendendo, malitiæ et crudelitatis gradus, inimicorum jumenta et pecora malum perpessa negligere : secundus illo superior, inimicos ipsos negligentius curare : quanto enim homo brutis præstat, tanto peccatum hoc majus illo. Tertius est, fratres aspernari, licet ignoti fuerint : quartus, familiares quoque despicere : quintus, cum non solum corpore, sed etiam anima eorum pereunte contemnimus : sextus, cum non solum familiaribus, verum ipsis quoque liberis pereuntibus, negligimus : septimus, cum nec alios qui illorum curam habere possint circumspicimus : octavus, cum et eos, qui id a se ipsis facere instituunt, arcemus atque prohibemus : nonus, cum non tantum illos prohibemus, sed oppugnamus quoque. Itaque si primum, secundum et tertium malitiæ hujus gradum tanta sequitur pœna, ei qui illos omnes superat, in quo vos estis, nempe nono, quantus ignis destinatus est? Quin imo, non tantum nonum, nec decimum, sed etiam undecimum jure ac merito cum appellaveris. Cur hoc? Quia non natura solum hoc peccatum supra memoratis majus est, sed etiam ratione temporis gravius. Quid sibi vult illud, ratione temporis? Quia nobis eadem peccantibus, quæ ii qui sub lege erant, non paria supplicia debentur, sed longe graviora, quanto scilicet majori dono potiti, perfectiori doctrina imbuti, majori honore affecti sumus. Cum igitur natura et ratione temporis hoc scelus gravissimum sit, considera quantam flammam in eorum capita, qui id perpetrare audent, inducet. Quod autem non temere ita ratiocinor, ex re ipsa exemplum afferam, ut sciatis, tametsi nostras res omnes recte instituamus, si filiorum salutem negligamus, nos extremas daturos esse pœnas.

Narrabo vobis rem, non ex me ipso, sed in divinis Scripturis relatam. Sacerdos quidam apud Judæos erat, vir moderatus ac probus, Heli nomine. Huic duo erant liberi : quos cum videret ad vitia declinare, non cohibuit, non coercuit ; imo potius cohibuit et coercuit, sed non quanta diligentia et cura par erat. Horum autem hæc erant crimina, fornicatio et gula. Edebant enim, inquit (1 *Reg.* 2. 15, 16), antequam sanctificarentur sacræ carnes, et priusquam offerretur Deo sacrificium. His compertis pater non illos pœna mulctavit, sed verbis et monitis ab hac nequitia ipsos revocare conatus est, atque his frequenter verbis eos alloquebatur (*ibidem* 24) : *Nolite, filii, no-*

ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν τοῦ ποιεῖν τὸν λαὸν μὴ λατρεύειν τῷ Κυρίῳ. Ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ πρὸς Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ ἄνθρωπος, τίς προσεύξεται περὶ αὐτοῦ; » Καίτοι πολλὴ ἡ τῶν ῥημάτων βαρύτης καὶ ἡ ἐντροπὴ, καὶ τὸν νοῦν ἔχοντα ἱκανὴ ἀναστήσασθαι· τό τε γὰρ ἁμάρτημα ἐπῆρε καὶ φοβερὸν ἔδειξε, τήν τε ἐπικειμένην δίκην ἀφόρητον ἀπέφηνε καὶ φρικτήν· ἀλλ' ὅμως ἐπειδὴ μὴ πᾶν ὅσον ἐχρῆν ἐπεδείξατο, καὶ αὐτὸς μετ' ἐκείνων ἀπώλετο. Καὶ γὰρ ἀπειλὰς προσθεῖναι ἐχρῆν, καὶ ἐξ ὄψεως ποιῆσαι τῆς ἑαυτοῦ, καὶ μάστιγας ἐπιθεῖναι, καὶ βαρύτερον πολλῷ γενέσθαι καὶ χαλεπώτερον. Ἐπειδὴ οὖν τούτων οὐδὲν ἐποίησεν, ἑαυτῷ τε κἀκείνοις ἐξεπολέμωσε τὸν Θεὸν, καὶ φεισάμενος αὐτοῦ τῶν παίδων ἀκαίρως, μετὰ τῶν παίδων καὶ τὴν ἑαυτοῦ προσαπώλεσε σωτηρίαν. Ἄκουσον γοῦν τί φησι πρὸς αὐτὸν ὁ Θεὸς — μᾶλλον δὲ πρὸς αὐτὸν μὲν οὐκέτι· οὐδὲ γὰρ ἀποκρίσεως αὐτὸν ἄξιον ἔκρινεν εἶναι λοιπὸν, ἀλλ' ὥσπερ τινὰ οἰκέτην τὰ μέγιστα προσκρουκότα, δι' ἑτέρου ποιεῖ μαθεῖν τὰ καταληφόμενα αὐτὸν κακά· τοσαύτη ἦν ἡ τοῦ Θεοῦ τότε ὀργή. Ἄκουσον γοῦν τί φησι πρὸς τὸν ἐκείνου μαθητὴν περὶ τοῦ διδασκάλου· καὶ γὰρ καὶ τῷ μαθητῇ, καὶ ἑτέρῳ προφήτῃ, καὶ πᾶσι μᾶλλον ὑπὲρ τῶν ἐκείνου διελέγετο κακῶν, ἢ ἐκείνῳ· οὕτως αὐτὸν εἰς τέλος ἀπέστραπτο. Τί δὴ οὖν φησι τῷ Σαμουήλ; « Ἔγνω ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς· » καὶ οὐχ οὕτως, καὶ μὴν ἐνουθέτησεν, ἀλλ' οὐδὲ νουθεσίαν τοῦτο εἶναί φησιν ὁ Θεός· οὕτως αὐτῆς κατέγνω, ἐπειδὴ τὸ σφοδρὸν οὐκ εἶχε καὶ ἐπιτεταμένον. Ὥστε κἂν προνοῶμεν τῶν παίδων, μὴ τοσοῦτον δὲ ὅσον χρὴ, οὐδὲ πρόνοια τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδ' ἡ τοῦ Ἠλεὶ νουθεσία. Εἰπὼν δὲ τὸ ἔγκλημα, καὶ τὴν κόλασιν ἐπάγει μετὰ πολλῆς τῆς ὀργῆς· « Ὤμοσα γὰρ, φησὶ, τῷ οἴκῳ Ἠλεὶ, εἰ ἐξιλάσεται ἁμαρτία τῷ οἴκῳ Ἠλεὶ ἢ ἐν θυμιάματι ἢ ἐν θυσίαις ἕως τοῦ αἰῶνος. » Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην, καὶ ἀσύγγνωστον κόλασιν; Πάντως αὐτὸν, φησὶν, ἀπολέσθαι χρὴ, καὶ οὐκ αὐτὸν μόνον οὐδὲ τοὺς παῖδας, ἀλλὰ καὶ τὴν οἰκίαν ἅπασαν μετ' ἐκείνου, καὶ οὐδὲν ἔσται φάρμακον, ὃ τὴν πληγὴν ταύτην ἰάσεται· καίτοι πλὴν τῆς εἰς τοὺς παῖδας ῥᾳθυμίας, οὐδὲν ἕτερον εἶχεν ἐγκαλεῖν ὁ Θεὸς τῷ πρεσβύτῃ τότε ἐκείνῳ, ἀλλ' ἦν ἅπαντα τὰ ἄλλα θαυμαστὸς, καὶ τὴν φιλοσοφίαν αὐτοῦ πᾶσαν οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν κατὰ τὴν συμφορὰν ταύτην συμβάντων ἔστιν ἰδεῖν. Πρῶτον μὲν γὰρ, ἐπειδὴ ταῦτα πάντα ἤκουσε, καὶ πρὸς ἔσχατον τιμωρίας ἥκοντα εἶδεν ἑαυτὸν, οὐκ ἀπεδυσπέτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπέ τι τοιοῦτον, οἷον εἰκὸς τοὺς πολλούς· Μὴ γὰρ ἐγὼ τῆς ἑτέρων κύριός εἰμι γνώμης; τῶν οἰκείων ἁμαρτημάτων ὀφείλω δίκας· οἱ παῖδες δὲ ἡλικίαν ἔχουσι, καὶ αὐτοὶ ἂν εἶεν δίκαιοι κολάζεσθαι μόνον. Τούτων οὐδὲν οὔτε εἶπεν οὔτε ἐνενόησεν· ἀλλ' ὥσπερ οἰκέτης εὐγνώμων, καὶ ἓν μόνον εἰδὼς, τὰ παρὰ τοῦ δεσπότου

lite sic facere : non bona fama est, quam ego audio de vobis, ut facialis populum non servire Domino. Si delinquens peccaverit vir in virum, orabunt pro illo Dominum; sin autem Domino peccaverit homo, quis pro illo orabit ? Multa certe est gravitas ac corrigendi vis in his verbis, quæ virum mente præditum ad meliorem frugem revocare possent : nam crimen affert, ac tremendum esse demonstrat, ingruentes vero pœnas intolerabiles et horrendas denuntiat. Attamen quia quidquid agendum erat non exhibuit, ipse cum illis una periit. Namque minas addere debuerat, a conspectu suo amovere, verberibus castigare, multoque illis gravius et durius instare. Quia igitur nihil horum egit, Deum et sibi et illis inimicum fecit; et quando filiis intempestive pepercit, et ipsorum et suam salutem amisit. Audi ergo quid dicat illi Deus; imo vero non jam illi : neque enim illum responso dignum amplius judicavit, sed tamquam famulo qui se graviter offendisset, per alium eventura ipsi mala significavit. Tanta tunc erat Dei ira. Audi itaque quid ad discipulum de magistro loquatur; siquidem et discipulo et alteri prophetæ, et omnibus potius, quam illi, de futura calamitate ejus loquebatur : adeo illum ad extremum aversabatur. Quid ergo inquit Samueli? (1 *Reg.* 3. 13) *Noverat male dicere filios suos Domino, et non corripiebat eos;* non sic tamen, nam certe monuerat, sed hanc Deus pro admonitione non accepit : adeo illam improbabat, quod vehementia et vi caruisset. Itaque si filiis provideamus, sed non quantum oportet, non ea certe providentia dicenda est, sicut nec illa admonitio Heli. Cum vero crimen narrasset, tum pœnam ingenti cum iracundia induxit. *Juravi* enim, inquit (*ib.* 14), *domui Heli, si peccatum domui Heli expiabitur sive thymiamate sive sacrificiis usque in æternum.* Vidisline ingentem indignationem, pœnamque omni spe veniæ carentem? Prorsus, inquit, illum perire oportet, nec ipsum modo et ejus filios, sed cum ipso domum universam, nullumque medicamentum erit, quod vulnus istud curare possit : licet seni illi præter filiorum neglectum nihil quod crimini daret habuerit Deus. Erat enim in cæteris omnibus admirandus, ejusque philosophiam omnem non ex aliis modo, sed ex iis quoque quæ in calamitate contigerunt, videre est. Primum enim cum hæc omnia audisset, neque ad supremam pœnam pervenisse conspiceret, non graviter, non indignanter tulit, non id dixit quod plurimi dixissent : Num ego aliorum voluntatis dominus sum? Peccatorum meorum pœnas luere debeo : filii ætatem habent, ipsique soli supplicium merentur. Horum nihil dixit vel cogitavit; sed ut servus bene affectus, cui id unum cordi erat, ut a domino omnia facile patienterque ferret, quantumlibet illa acerba

εὐκόλως φέρειν, κἂν λυπηρὰ ὄντα τύχῃ, οὕτω τὰ πολλῆς γέμοντα φιλοσοφίας ἐρθέγγετο ῥήματα· « Κύριος γὰρ, φησὶν, αὐτὸς, τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. »

Καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἔστιν αὐτοῦ τὴν ἀρετὴν κατιδεῖν. Πολέμου γὰρ καταλαβόντος τοὺς Ἰουδαίους, ἐπειδή τις ἐλθὼν ἀπήγγειλε τὰς ἐν τῷ πολέμῳ συμφορὰς καὶ πῶς οἱ παῖδες αὐτοῦ κατεκόπησαν αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῇ μάχῃ, ταῦτα μὲν οὖν ἀκούων ἡσύχαζεν· ὡς δὲ προσέθηκεν ἐκεῖνος τῇ σφαγῇ ταύτῃ τῆς κιβωτοῦ τὴν ἁρπαγὴν τὴν ὑπὸ τῶν πολεμίων γενομένην, τότε δὴ σκοτωθεὶς ὑπὸ τῆς ἀθυμίας ὁ γέρων « ἔπεσεν ἀπὸ τοῦ δίφρου εἰς τὰ ὀπίσω ἐχόμενα τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, ὅτι πρεσβύτης ἦν καὶ βαρὺς καὶ ἔνδοξος, καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι ἔτη. » Εἰ δὲ τὸν ἱερέα, τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν εἴκοσι ἔτη προστάντα ἀλήπτως τοῦ τῶν Ἑβραίων γένους, τὸν ἐν χρόνοις πολιτευόμενον οὐ πολλὴν ἀπαιτοῦσιν ἀκρίβειαν, οὐδὲν τούτων ἴσχυσε παραιτήσασθαι, ἀλλ' ἐπειδὴ τῶν παίδων οὐκ ἐπεμελήθη μετὰ ἀκριβείας, σφόδρα καὶ ἐλεεινῶς ἀπώλετο, καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέσχεν ἐκεῖνα, καὶ τὰ κατορθώματα ἔκρυψεν ἅπαντα· τίς ἡμᾶς λήψεται δίκη τοὺς ἐν χρόνοις γενομένους πολλῷ μείζονα ἀπαιτοῦσι φιλοσοφίαν, καὶ τῆς ἀρετῆς ἀποδέοντας τῆς ἐκείνου, καὶ τῶν παίδων οὐ μόνον οὐ προϊσταμένους, ἀλλὰ καὶ τοῖς βουλομένοις τοῦτο ποιεῖν ἐπιβουλεύοντας καὶ πολεμοῦντας, καὶ βαρβάρου παντὸς χαλεπώτερον περὶ τὰ ἔκγονα διακειμένους; Ἡ μὲν γὰρ ἐκείνων ὠμότης μέχρι δουλείας καὶ ἀναστατώσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος καὶ τῶν τοῦ σώματος ἔστηκε κακῶν, ὑμεῖς δὲ αὐτὴν καταδουλοῦτε τὴν ψυχὴν, καὶ καθάπερ τινὰ αἰχμάλωτον δήσαντες, οὕτω δαίμοσι πονηροῖς καὶ ἀγρίοις καὶ τοῖς ἐκείνων παραδίδοτε πάθεσιν. Ὅταν γὰρ μήτε αὐτοὶ παραινῆτέ τι πνευματικὸν, μήτε ἑτέρους τοῦτο βουλομένους ποιεῖν ἀφιῆτε, οὐδὲν ἕτερον ἢ τοῦτο ἐργάζεσθε.

Καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ μειζόνως τοῦ Ἠλεὶ τῶν οἰκείων ἀμελήσαντες παίδων οὐδὲν ἔπαθον οἷον ὁ Ἠλεί· ἔπαθον μὲν γὰρ καὶ πολλοὶ καὶ πολλάκις καὶ χαλεπώτερα τούτων, καὶ διὰ ταύτην τὴν ἁμαρτίαν. Πόθεν γὰρ ἄωροι θάνατοι; πόθεν νόσοι χαλεπαὶ καὶ συνεχεῖς καὶ ἡμῖν καὶ τοῖς παισὶν αὐτοῖς; πόθεν ζημίαι, πόθεν περιστάσεις, πόθεν ἐπήρειαι, πόθεν τὰ μυρία κακά; οὐκ ἐκ τοῦ μοχθηροὺς ὄντας τοὺς παῖδας περιορᾶν; Καὶ ὅτι οὐ στοχασμὸς τοῦτό ἐστιν, ἱκανὰ μὲν καὶ τὰ τοῦ πρεσβύτου πιστώσασθαι πάθη· ἐγὼ δὲ ὑμῖν καὶ λόγον ὑπὲρ τούτων ἐρῶ σοφοῦ τινος ἀνδρὸς τῶν παρ' ἡμῖν· περὶ γὰρ παίδων οὗτος διαλεγόμενος οὕτω πώς φησι· « Μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν· εἰ μή ἐστι φόβος μετ' αὐτῶν Θεοῦ, μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν. Στενάξεις γὰρ πένθει ἀώρῳ, καὶ ἐξάπινα αὐτῶν συντέλειαν γνώσῃ. » Πολλοὶ μὲν οὖν, ὅπερ ἔφην, πολλὰ τοιαῦτα πεπόνθασιν· εἰ δέ τινες

essent, sic ille verba philosophiæ plena protulit : *Dominus* enim, inquit (1 *Reg.* 3. 18), *est; quod gratum est in conspectu suo faciet.*

Non solum autem hinc, sed aliunde quoque ejus virtus deprehendi potest. Nam cum bello premerentur Judæi, accedensque quidam belli clades annuntiasset, utque turpiter et misere ejus filii in prælio cecidissent, hæc quiete audivit; at ubi ille præter cædem hujusmodi arcam ab hostibus captam fuisse adjecit, tunc mœrore obtenebratus senex (1 *Reg.* 4. 18) « cecidit de sella retro juxta januam, et contritum est dorsum ejus : senex enim erat, et gravis et honorabilis, et ipse judicavit Israel viginti annis. » Quodsi sacerdotem, senem, honorabilem, qui sine querela Hebræorum gentem viginti annis rexerat, qui iis temporibus vixit, quæ non tantam vitæ diligentiam requirebant, nihil horum excusare potuit; sed is quia filiorum curam non sat diligenter habuerat, misere et infeliciter periit, ac negligentiæ illius crimen instar fluctus ingentis illa omnia transcendit, et recte facta omnia obruit : quæ nos ultio excipiet, qui his temporibus vivimus, in quibus major philosophia requiritur, et tamen illi virtute inferiores sumus; ac non modo filiis non prospicimus, sed etiam alios id facere nitentes insidiis appetimus et oppugnamus, ac barbaris immaniores erga natos nostros sumus? Illorum quippe feritas usque ad servitutem tantum, et vastitatem ac captivitatem patriæ, corporeaque mala sævit; vos autem ipsam animam in servitutem redigitis, eamque velut captivum alligatam, ita malignis ferisque dæmonibus eorumque affectibus traditis. Cum enim neque ipsi quidpiam spirituale monetis, neque alios id cupientes facere permittitis, nihil profecto aliud agitis quam hoc quod dixi.

Neu mihi dicat aliquis, multos, qui plus quam Heli filios neglexerunt, nihil simile passos esse. Multi enim et sæpe quidem ob hujusmodi culpam iis etiam graviora passi sunt. Nam unde præmaturæ mortes? unde gravissimi et frequentes morbi et nobis et liberis nostris inferuntur? unde damna, unde calamitates, unde nocumenta, unde mala innumera? nonne quod improbos filios emendare negligamus? Quod hæc autem non conjectura sit, senis illius casus satis ostendit. Ego vero sapientis cujusdam ex nostris hac de re dictum referam : de filiis enim disserens, ita fere loquitur (*Eccli.* 16. 1-3) : « *Ne lætaris in filiis impiis; nisi fuerit in illis Dei timor, ne confidas illorum vitæ.* Ingemisces enim præmaturo luctu, et derepente illorum consumtionem scies » Plurimi igitur, ut dixi, multa ejusmodi passi sunt. Si autem aliqui effugerint, at non in finem

καὶ διέφυγον, ἀλλ' οὐκ εἰς τέλος ἐκφεύξονται, ἀλλ' ἐπὶ κακῷ τῆς αὐτῶν κεφαλῆς· πικροτέραν γὰρ ἀπελθόντες ἐκεῖ δώσουσι δίκην. Τίνος γὰρ ἕνεκεν, φησὶν, οὐκ ἐνταῦθα πάντες κολάζονται; Ὅτι ὥρισεν ἡμέραν ὁ Θεὸς, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην· αὕτη δὲ οὔπω πάρεστιν ἡ ἡμέρα. Καὶ ἄλλως δέ, τοῦτο εἰ ἐγίνετο, προαναλωτο ἂν καὶ προανήρπαστο ἡμῶν ἅπαν τὸ γένος. Ἀλλ' ἵνα μήτε τοῦτο συμβῇ, μήτε ῥᾳθυμότεροι πολλοὶ γίγνωνται τῇ μελλήσει τῆς κρίσεως, λαμβάνων τινὰς ὑπευθύνους ἁμαρτήμασιν ὁ Θεὸς, καὶ κολάζων ἐνταῦθα, διδάσκει τοὺς λοιποὺς δι' ἐκείνων τὰ μέτρα τῶν κειμένων αὐτοῖς τιμωριῶν, ἵνα ἐπιστῶνται ὅτι, κἂν ἐνταῦθα μὴ δῶσι δίκην, ἀπελθόντες ἐκεῖ δώσουσι πάντως χαλεπωτέραν. Μὴ γὰρ, ἐπειδὴ προφήτην οὐ πέμπει νῦν, οὐδὲ προαγορεύει τὴν τιμωρίαν, καθάπερ ἐπὶ τοῦ Ἠλεὶ, διὰ ταῦτα ἀναισθητῶμεν· οὐ γάρ ἐστι προφητῶν καιρός· μᾶλλον δὲ πέμπει καὶ νῦν· τὰ γὰρ πρὸς ἐκείνους εἰρημένα οὐχ ἧττον καὶ πρὸς ἡμᾶς εἴρηται, καὶ οὐχὶ τῷ Ἠλεὶ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἁμαρτάνουσιν ἐκείνῳ δι' ἐκείνου καὶ τῶν ἐκείνου διαλέγεται παθῶν. Οὐδὲ γάρ ἐστι προσωπολήπτης ὁ Θεὸς, οὐδὲ ὁ τὸν Ἐλάττονα ἁμαρτόντα οὕτω πανέστιον ἀνατρέψας, τοὺς χαλεπώτερα πεπλημμεληκότας ἀτιμωρήτους ἀφίησι.

Καὶ γὰρ οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ὅτι οὐ πολὺς αὐτῷ τοῦ πράγματος ὁ λόγος· πολλὴν γὰρ ὑπὲρ τῆς τῶν παίδων ἀνατροφῆς ποιεῖται σπουδήν. Ἐπιθυμίαν τε γὰρ τοσαύτην τῇ φύσει διὰ τοῦτο ἐνέσπειρεν, ἵνα ὥσπερ εἰς ἀνάγκην τινὰ ἄφυκτον τῆς περὶ τὰ τεχθέντα προνοίας καταστήσῃ τοὺς φυτευσαμένους αὐτά· νόμους τε εἰσήνεγκεν ὕστερον ὑπὲρ τῆς τούτων ἐπιμελείας διαλεγόμενος ἡμῖν· καὶ ἑορτὰς δὲ τιθεὶς, κελεύει τὰ παιδία αὐτῶν διδάσκειν τὴν ὑπόθεσιν. Περὶ γὰρ τοῦ πάσχα διαλεχθεὶς ἐπήγαγε, « Καὶ ἀπαγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, Διὰ τοῦτο ἐποίησεν ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου. » Καὶ ἐπὶ τοῦ νόμου δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ· περὶ γὰρ τῶν πρωτοτόκων εἰπὼν προστίθησι πάλιν, « Ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων, Τί τοῦτο; ἐρεῖς πρὸς αὐτὸν, ὅτι Ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου ἐξ οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως κτηνῶν. Διὰ τοῦτο ἐγὼ θύω Κυρίῳ πᾶν διανοῖγον μήτραν, ἀρσενικά, » διὰ πάντων εἰς θεογνωσίαν κελεύων ἄγειν αὐτούς. Καὶ αὐτοῖς δὲ τοῖς παιδίοις πολλὰ περὶ τῶν γεγεννηκότων αὐτοὺς διατάττεται, τοὺς μὲν εὐνοϊκῶς διακειμένους τιμῶν, κολάζων δὲ τοὺς ἀγνώμονας, καὶ ταύτῃ πάλιν αὐτοὺς ποθεινοτέρους τοῖς φυτευσαμένοις ποιῶν. Ὅταν γάρ τινος ποιήσῃ τις ἡμᾶς κυρίους, μεγίστην ἡμῖν ἀνάγκην τῆς ὑπὲρ αὐτοῦ προνοίας ἐπιτίθησι τὴν τιμήν· καὶ γὰρ εἰ μηδὲν ἕτερον, τοῦτο γοῦν ἡμᾶς δυσωπῆσαι ἱκανὸν, τὸ πάντα τὰ ἐκείνου ἐν ταῖς ἡμετέραις κεῖσθαι χερσὶ, καὶ

effugient, sed in capitis sui malum; acerbiores enim, cum excesserint e vita, illic pœnas luent. Cur autem, inquies, non hic omnes puniuntur? Quia Deus diem statuit, qua judicaturus est orbem universum: hæc autem dies nondum adest. Ad hæc vero si ita fieret, jam absumtum et abreptum esset omne genus humanum. Sed ut nec hoc contingat, nec plurimi segniores fiant ex tarditate judicii, quosdam Deus peccatis obnoxios hic pœnis afficiens, horum exemplo reliquos docet, quænam sit suppliciorum ipsis repositorum ratio ac mensura, ut ediscant se, etsi in hac vita pœnas non luant, post excessum tamen longe graviores subituros esse. Nec enim quod prophetam nunc non mittat Deus, nec pœnas denuntiet ut Heli tempore, ideo desides esse debemus: non enim prophetarum hoc tempus est; imo vero eos nunc quoque mittit. Ea quippe quæ illius temporis viris dicta sunt, nobis quoque dicta sunt, nec modo Heli, sed omnibus simul eadem peccantibus per illum perque illius calamitates loquitur Deus. Nec enim personas accipit, nec qui minora peccantem cum domo tota funditus evertit, graviora aggressos dimittet inultos.

4. Non enim dicere fas est, cum non multam hujus rei rationem habere; summam quippe educandorum liberorum sollicitudinem inducit: siquidem tantam naturæ concupiscentiam ideo indidit, ut quasi necessitatem quamdam inevitabilem curæ filiorum habendæ parentibus constitueret: leges item postmodum intulit de cura filiorum gerenda nos alloquens: et cum dies festos statueret, ut causas filiis suis indicarent imperavit. Nam cum de Paschate loqueretur, adjecit (*Exod.* 13. 8), *Et annuntiabis filio tuo in die illa dicens: Ideo fecit Deus mihi hæc, cum exirem de Ægypto.* In lege quoque id ipsum facit: nam de primogenitis loquutus rursus adjecit (*ib.* 14 *et* 15), *Si autem interrogaverit te filius tuus, dicens, Quid hoc est? dices ad eum: Quia in manu valida eduxit nos Dominus de Ægypto ex jugo servitutis. Cum vero obduraretur Pharao nec dimitteret nos, occidit omne primogenitum in terra Ægypti a primogenitis hominum usque ad jumentorum. Idcirco ego immolo Domino omne masculinum adaperiens vulvam:* omnia ut eos ad Dei cognitionem adducant præcipiens. Sed et ipsis quoque filiis plurima circa eos, qui se genuerunt, imperat, bene affectos honorans, ingratos supplicio afficiens: hac item ratione cariores illos parentibus faciens. Nam si quis cujuspiam nos constituit dominos, honore isto summam nobis necessitatem imponit ne illum negligamus: etenim si nihil aliud, illud certe nos flectere potest, quod illius omnia nostris in

οὐκ ἂν ἀνασχοίμεθα προδοῦναι ταχέως τὸν οὕτως ἐμπιστευθέντα ἡμῖν· ὅταν δὲ μετὰ τοῦτο καὶ συνοργίζηται καὶ ἀγαναχτῇ πλέον τῶν ὑβρισμένων αὐτῶν, καὶ χαλεπὸς γίνηται τιμωρὸς, καὶ ταύτῃ πολὺ πλέον ἐφέλκεται· ὅπερ οὖν ἐποίησε καὶ ὁ Θεός. Πρὸς τούτοις καὶ τὸν ἀπὸ τῆς φύσεως τρίτον ἐπήγαγε δεσμὸν, εἰ δὲ βούλει, πρῶτον. Καὶ ἵνα μὲν τῶν προσταγμάτων αὐτοῦ μὴ καταφρονῶσιν οἱ πατέρες, κελευόμενοι τρέφειν τοὺς παῖδας, τὴν ἀπὸ τῆς φύσεως ἐπέθηκεν ἀνάγκην. Ἵνα δὲ μήποτε ταῖς τῶν παίδων ὕβρεσιν ἀσθενεστέρα γενομένη αὕτη διαῤῥηγνῦται, τήν τε παρ' αὐτοῦ καὶ τὴν παρ' αὐτῶν τῶν γεννησαμένων ἐπιτείχισε τιμωρίαν, καὶ τούτους μετὰ ἀκριβείας ὑποτάσσων πολλῆς, κἀκείνων ταύτῃ διεγείρων τὸν πόθον. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ τετάρτῳ τρόπῳ σφοδρῶς ἡμᾶς καὶ μετὰ ἀκριβείας αὐτοῖς συνέδησεν· οὐ γὰρ τοὺς παῖδας μόνον κακοὺς μὲν ὄντας περὶ τοὺς γεγεννηκότας κολάζει, γινομένους δὲ ἀγαθοὺς ἀποδέχεται, ἀλλὰ καὶ ἐπὶ τῶν πατέρων τὸ αὐτὸ δὴ τοῦτο ποιεῖ, κολάζων μὲν πικρῶς τοὺς ἀμελοῦντας αὐτῶν, τιμῶν δὲ καὶ ἐπαινῶν τοὺς ἐπιμελουμένους. Καὶ γὰρ τὸν πρεσβύτην τοῦτον, καίτοι τὰ ἄλλα ὄντα λαμπρὸν, ἀπὸ ταύτης τῆς ὀλιγωρίας ἐτιμωρήσατο μόνης, καὶ τὸν πατριάρχην δὲ τῶν ἄλλων οὐχ ἧττον ἀπὸ ταύτης ἐτίμησε τῆς προνοίας· λέγων γὰρ τὰς πολλὰς καὶ μεγάλας δωρεὰς ἐκείνας, ἃς ὑπέσχετο δώσειν αὐτῷ, καὶ τὴν αἰτίαν τιθεὶς, ταύτην ἐτίθη· « Ἤδειν γὰρ, φησὶν, ὅτι συντάξει Ἀβραὰμ τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτὸν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου τοῦ Θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν. »

Ταῦτα δέ μοι εἴρηται νῦν, ἵνα μάθωμεν ὅτι οὐκ οἴσει πράως ὁ Θεὸς ἀμελουμένων τῶν οὕτω περισπουδάστων αὐτῷ. Οὐδὲ γάρ ἐστι τοῦ αὐτοῦ τοσαῦτα μὲν ὑπὲρ τῆς τούτων πραγματεύεσθαι σωτηρίας, καταφρονουμένων δὲ αὐτῶν τούτων πάλιν παρορᾶν. Οὐ τοίνυν περιόψεται, ἀλλὰ καὶ ἀγαναχτήσει, καὶ ὀργιεῖται σφοδρῶς, καθάπερ ἀποδέδεικται διὰ τῶν πραγμάτων αὐτῶν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος παραινεῖ συνεχῶς λέγων, « Οἱ πατέρες, ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. » Εἰ γὰρ ἡμεῖς ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν κελευόμεθα ὡς λόγον ἀποδώσοντες, πολλῷ μᾶλλον ὁ πατὴρ ὁ γεννησάμενος, ὁ θρεψάμενος, ὁ συνοικοῦντα ἔχων διαπαντός. Ὥσπερ γὰρ ἐπὶ τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἔχει καταφυγεῖν εἰς ἀπολογίαν καὶ συγγνώμην, οὕτως οὐδὲ ὑπὲρ τῶν τοῖς παισὶν ἁμαρτανομένων. Καὶ τοῦτο πάλιν ὁ μακάριος Παῦλος κατέστησε φανερόν. Νομοθετῶν γὰρ ὁποίους τινὰς εἶναι χρὴ τοὺς ἐπὶ τὴν τῶν ἄλλων ἐρχομένους ἀρχὴν, μετὰ τῶν ἄλλων ἁπάντων τῶν ἀναγκαίως αὐτοῖς ὀφειλόντων προσεῖναι, καὶ τὴν τῶν παίδων ἐπιμέλειαν ἀπαιτεῖ, ὡς οὐκ οὔσης ἡμῖν συγγνώμης διαστραφέντων ἐκείνων· καὶ μάλα εἰκότως. Εἰ μὲν γὰρ ἐκ φύσεως ἡ κακία τοῖς ἀνθρώποις προσῆν, εἰκότως ἄν τις πρὸς ἀπολογίαν κατέφυ-

manibus sint, nec nobis creditum ut prodamus umquam adduci poterimus. Cum autem postea etiam irascitur, magisque quam ipsi contumeliis læsi, indignatur, gravesque pœnas addit, hinc quoque multo magis ad officium pertrahit. Quod ipsum Deus præstitit. Ad hæc vero tertium naturæ vinculum adjunxit, sin mavis, primum : ac ne illius de educandis liberis monita patres aspernarentur, naturæ addidit necessitatem. Ne autem hæc filiorum injuriis imbecillior effecta rumperetur, et suam et parentum ultionem firmiter constituit, hoc modo et illos summa accuratione subditos reddens, et horum erga filios amorem excitans. Neque hoc tantum; sed alio quoque et quarto modo summa nos illis diligentia conjunxit : non tantum enim filios erga parentes ingratos pœnis afficit, bonos autem amplexatur; verum ipsis quoque parentibus id ipsum facit, liberorum neglectum graviter ulciscens, eorum vero curam et sollicitudinem honore et laudibus afficiens. Namque senem illum, tametsi alias illustrem, ex hujusmodi tantum negligentia punivit, patriarcham vero non minus ex hac, quam ex aliis curis, honoravit. Cum enim multa magnaque dona illa, quæ se illi daturum pollicebatur, enarraret, et causam adjiceret, hanc addidit (*Gen.* 18. 19): *Noveram* enim, inquit, *quod constituet Abraham filiis suis, et domui suæ post eum, et custodient vias Domini Dei, ut faciant justitiam et judicium.*

Hæc autem a me nunc ideo commemorantur, ut discamus Deum non æquo animo laturum esse si illi negligantur, qui tantæ ipsi curæ sunt. Neque enim idem ipse potest tanta pro illorum salute operari, atque si illi negligantur nihil curare. Non itaque negliget, sed indignabitur, sed vehementer irascetur, ut ex rebus ipsis demonstratum est. Quapropter beatus Paulus jugiter admonet dicens (*Ephes.* 6. 4): *Patres, educate filios vestros in disciplina et correptione Domini.* Si enim nos jubemur vigilare pro animabus eorum tamquam rationem reddituri, multo magis pater, qui genuit, qui educavit, qui cum illo domi semper manet. Quemadmodum enim in suis delictis non potest ad excusationem et veniam confugere, ita nec in iis quæ filii deliquerint. Idque rursus beatus Paulus (1 *Tim.* 3. 4) declarat. Cum enim ille lege sanciret cujusmodi esse deberent ii qui aliorum principatum adeunt, cum aliis omnibus, quæ illis necessario inesse debebant, filiorum quoque curam exigit, quasi nulla jam reliqua spes veniæ sit, si illi perversi fuerint : et jure quidem. Nam si ex natura vitia hominibus inessent, merito quispiam ad excusationem confugeret : quoniam autem ex proposito et

γεν· ἐπειδὴ δὲ ἐκ προαιρέσεως καὶ φαῦλοι γινόμεθα καὶ σπουδαῖοι, τίνα ἂν ἔχοι λόγον εὐπρόσωπον εἰπεῖν ὁ τὸν μάλιστα πάντων ποθούμενον διαστραφῆναι καὶ γενέσθαι πονηρὸν ἀφιείς; Ὅτι οὐκ ἠβούλετο ποιῆσαι χρηστόν; Ἀλλ' οὐδεὶς ἂν τοῦτο εἴποι πατήρ· ἡ γὰρ φύσις ἐφέστηκε πρὸς τοῦτο αὐτὸν διεγείρουσα συνεχῶς. Ἀλλ' οὐκ ἠδύνατο; Ἀλλ' οὐδὲ τοῦτο· καὶ γὰρ τὸ ἁπαλὸν ὄντα ἔτι λαβεῖν, καὶ τὸ πρῶτον καὶ μόνον τὴν ἐξουσίαν ἐγχειρισθῆναι τὴν ἐκείνου, καὶ τὸ διαπαντὸς ἔχειν ἔνδον, ῥᾳδίαν αὐτῷ καὶ σφόδρα εὔκολον ποιεῖ τὴν προστασίαν. Ὥστε οὐδαμόθεν ἑτέρωθεν τὴν διαστροφὴν γίνεσθαι τῶν παίδων, ἀλλ' ἐκ τῆς περὶ τὰ βιωτικὰ μανίας· τῷ γὰρ πρὸς ἐκεῖνα μόνον ἀποβλέπειν, καὶ μηδὲν τούτων εἴλεσιν προτιμᾶν, καὶ τῶν παίδων μετὰ τῆς αὐτῶν ψυχῆς ἀναγκάζονται ἀμελεῖν. Τούτους ἐγὼ τοὺς πατέρας (καὶ μή τις θυμοῦ τὸ λεγόμενον εἶναι νομιζέτω) καὶ αὐτῶν τῶν παιδοκτόνων χείρους εἶναι φαίην ἄν. Ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα τῆς ψυχῆς διιστῶσιν, οὗτοι δὲ ταύτην μετ' ἐκείνου φέροντες εἰς τὴν τῆς γεέννης ἐμβάλλουσι πυράν· κἀκεῖνον μὲν ἀνάγκη τὸν θάνατον καὶ παρὰ τῆς φύσεως δέξασθαι πάντως, τοῦτον δὲ ἐνῆν καὶ διαφυγεῖν, εἰ μὴ ἡ τῶν πατέρων αὐτὸν ἐπήγαγε ῥᾳθυμία. Πρὸς τούτοις, τὴν μὲν τοῦ σώματος τελευτὴν ἀνάστασις ἐπελθοῦσα ταχέως ἀφανίσαι δυνήσεται· τὴν δὲ τῆς ψυχῆς ἀπώλειαν οὐδὲν ἔτι παραμυθήσεται· οὐ γὰρ σωτηρία αὐτὴν διαδέξεται λοιπόν, ἀλλ' ἀθάνατα ἀνάγκη κολάζεσθαι. Ὥστε οὐκ ἀπεικότως τῶν παιδοκτόνων τοὺς τοιούτους πατέρας χείρους ἂν εἴποιμεν εἶναι. Οὐδὲ γάρ ἐστιν οὕτω δεινὸν ἀκονῆσαι ξίφος, καὶ δεξιὰν ὁπλίσαι, καὶ εἰς αὐτὸν τοῦ παιδὸς βαπτίσαι τὸν λαιμὸν, ὡς τὸ ψυχὴν ἀπολέσαι καὶ διαφθεῖραι· ταύτης γὰρ ἡμῖν ἴσον οὐδέν.

Τί οὖν; πόλιν οἰκοῦντα, καὶ οἰκίαν καὶ γυναῖκα ἔχοντα οὐκ ἔνι σωθῆναι, φησί; Μάλιστα μὲν οὐχ εἷς σωτηρίας τρόπος, ἀλλὰ πολλοὶ καὶ διάφοροι. Καὶ τοῦτο λέγει μὲν ἀορίστως ὁ Χριστὸς, πολλὰς εἶναι μονὰς ἀποφαινόμενος παρὰ τῷ Πατρί· λέγει δὲ μετὰ διορισμοῦ τινος ὁ Παῦλος, οὕτω γράφων· « Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. » Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οἱ μὲν ὡς ὁ ἥλιος λάμψουσιν, οἱ δὲ ὡς ἡ σελήνη, οἱ δὲ ὡς ἀστέρες. Καὶ οὐδὲ ἐνταῦθα ἔστη τῆς διαφορᾶς, ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις πολλὴν δείκνυσιν εἶναι τὴν ἐναλλαγὴν, καὶ τοσαύτην, ὅσην ἐν ἀριθμῷ τοσούτῳ συμβαίνειν εἰκός. « Ἀστὴρ γὰρ, φησὶν, ἀστέρος διαφέρει ἐν δόξῃ. » Ἐννόησον τοίνυν ἀπὸ τοῦ ἡλιακοῦ μεγέθους πρὸς τὸν ἔσχατον πάντων ἀστέρα ὁδεύων, πόσους ἀξιωμάτων βαθμοὺς καταβαίνειν εἰκός. Πῶς οὖν οὐκ ἄτοπον, εἰ μὲν εἰς βασίλεια τὸν υἱὸν ἤγες, ἅπαντα ποιεῖν τε καὶ πάσχειν, κἀκεῖνον ἀναπείθων ὁμοίως, ὥστε αὐτὸν ἐγγὺς ποιῆσαι τοῦ βασιλέως, καὶ μηδὲν ὅλως ὑπολογίζεσθαι, μὴ δαπάνην, μὴ κίνδυνον, μὴ θάνατον αὐτόν· περὶ δὲ τῆς ἐν τοῖς οὐρανοῖς στρατείας προκειμένης

improbi et probi efficimur, quam tandem ille excusationem poterit obtendere, qui quem omnium maxime diligit, perverti atque improbum fieri permisit? An quod noluerit eum probumr eddere? At nemo, qui pater sit, hæc dixerit; nam ipsa natura instat ad hoc officium illum usque excitans. Sed forte non potuit? Neque hoc dici potest: nam quod eum tenerum acceperit, et quod primus et solus in sua potestate et sibi commissum habuerit, semperque domi versantem, facile ac nullo negotio ipsum moderari potuit. Itaque nulla alia de causa perversi evadunt liberi, nisi quod patres circa præsentis vitæ commoda insaniunt. Cum enim ad illa solum respiciant, nihilque illis præferendum censeant, et suam pariter et liberorum animam negligere coguntur. Hos ego patres (quod nemo tamen me ira commotum dicere existimet) filiorum occisoribus sceleratiores esse dixerim. Illi enim corpus ab anima separant, isti et animam et corpus gehennæ igni tradunt. Illam porro mortem naturali lege subire necesse est, hanc vero effugere licebat, nisi ipsam patrum negligentia intulisset. Ad hanc mortem corporis adveniens resurrectio cito delere poterit, animæ vero interitum nihil solabitur: neque enim salus illam exceptura est, verum immortales ille pœnas necessario luet. Itaque non injuria patres hujusmodi filiorum occisoribus deteriores esse dixerimus. Non ita crudele facinus est, gladium acuere, et armare dexteram, iaque ipsum filii guttur immergere, ut animam perimere atque corrumpere: neque enim huic facinori par quidpiam est.

5. Quid igitur? an is qui civitatem incolit, qui domum habet et uxorem, salvus esse non poterit? Imo non unus salutis modus est, verum multi ac varii. Quod quidem Christus indefinite dicit (*Joan.* 14. 2), multas scilicet esse apud Patrem mansiones pronuntians; Paulus vero cum distinctione quadam ita scribit (1 *Cor.* 15. 41): *Alia claritas solis, alia claritas lunæ, et alia claritas stellarum: stella enim a stella differt in claritate.* Quod autem dicit hujusmodi est: alii quidem fulgebunt ut sol, alii ut luna, alii ut stellæ. Sed non hic stetit differentiæ, sed in his ipsis magnam ostendit esse varietatem, tantamque quantam in tanto stellarum numero contingere par est. *Stella enim*, inquit, *a stella differt in claritate.* Perpende igitur a solis magnitudine ad ultimam stellarum decurrens, in quot dignitatum gradus descendas oporteat. Quomodo ergo non absurdum id fuerit, quod si in regiam filium adducas, nihil non agas et patiaris ipsumque ad idem faciendum inducas, ut nempe regi a latere possit esse, nec ea de causa quidquam pensi habeas, non sumtus, non pericula, non mortem ipsam; cum autem cælestis militia nobis

ἡμῖν τῆς σκέψεως, μὴ ἀλγεῖν, εἰ τὸν ἔσχατον λάχοι τόπον, καὶ πάντων ὕστατος γένοιτο;

Πλὴν ἀλλ', εἰ δοκεῖ, καὶ αὐτὸ τοῦτο ἴδωμεν, εἰ δυνατὸν ἐν μέσῳ στρεφόμενον ταύτην γοῦν τὴν λῆξιν λαβεῖν. Ὁ μὲν γὰρ μακάριος Παῦλος ἀπεφήνατο ἐν βραχεῖ περὶ τούτου, καὶ τοὺς τὰς γυναῖκας ἔχοντας οὐκ ἔφησεν ἄλλως δύνασθαι σώζεσθαι, πλὴν εἰ μὴ οὕτως αὐτὰς ἔχοιεν ὡς οὐκ ἔχοντες, καὶ τῷ κόσμῳ μὴ παραχρῷντο· ἡμεῖς δὲ αὐτὸ, εἰ βούλει, καὶ τῷ λόγῳ ἐπέλθωμεν. Ἔχεις οὖν εἰπεῖν, ὅτι ἢ σοῦ συμβουλεύοντος ἤκουσεν ὁ υἱὸς, ἢ ἀφ' ἑαυτοῦ συνεῖδέν ποτε, ὅτι τὸν ὀμνύντα, κἂν εὐορκῇ, προσκρούειν ἀνάγκη Θεῷ; Τί δὲ, ὅτι τὸν μνησικακοῦντα σωθῆναι οὐκ ἔνι; « Ὁδοὶ γὰρ, φησὶ, μνησικάκων εἰς θάνατον. » Ἀλλ' ὅτι τὸν κακήγορον οὕτως ἠτίμωσεν ὁ Θεὸς, ὡς καὶ τῆς ἀναγνώσεως ἀπεῖρξαι τῶν θείων λόγων; Τί δὲ, ὅτι τὸν ἀλαζόνα καὶ ὑβριστὴν ἐξέβαλε τῶν οὐρανῶν, καὶ τῷ τῆς γεέννης παρέδωκε πυρί; τί δὲ, ὅτι τὸν ἀκολάστοις ἐνορῶντα ὀφθαλμοῖς ὡς ἀπηρτισμένον οὕτως ἐκόλασε μοιχόν; Ἀλλὰ τὸ πρόχειρον τοῦτο πᾶσιν ἁμάρτημα, τὸ κρίνειν τοὺς πλησίον, καὶ χαλεπωτέραν ἐπισπάσασθαι τὴν κόλασιν, παρῄνεσάς ποτε φυγεῖν, καὶ τοὺς τοῦ Χριστοῦ περὶ τούτων κειμένους νόμους ἀνέγνως αὐτῷ; ἢ οὐδὲ οἶδας ὅ τι ποτὲ ταῦτά ἐστι; Πῶς οὖν αὐτὰ δυνήσεται κατορθοῦν ὁ υἱὸς, ὧν οὐδὲ τοὺς νόμους οἶδεν ὁ μέλλων αὐτὸν διδάξειν πατήρ; Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινὸν, τὸ μηδὲν τῶν χρησίμων συμβουλεύειν αὐτοῖς, καὶ οὐκ ἂν τοσοῦτον ἦν· νυνὶ δὲ αὐτοὺς καὶ πρὸς τἀναντία ὠθεῖτε. Οὐδὲ γὰρ ἄλλο τι τῶν πατέρων ἔστιν ἀκοῦσαι διαλεγομένων πρὸς τοὺς παῖδας, ὅταν αὐτοὺς παρακαλῶσιν ὑπὲρ τῆς τῶν λόγων σπουδῆς, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· Ὁ δεῖνα, φησὶ, ταπεινὸς καὶ ἐκ ταπεινῶν τὴν ἀπὸ τῶν λόγων κτησάμενος δύναμιν, ἦρξε μεγίστας ἀρχὰς, πλοῦτον ἐκτήσατο πολὺν, γυναῖκα ἔλαβεν εὔπορον, οἰκίαν ᾠκοδόμησε λαμπράν, φοβερός ἐστιν ἅπασι καὶ ἐπίδοξος. Πάλιν ἕτερος, Ὁ δεῖνα, φησὶ, τὴν Ἰταλῶν γλῶσσαν ἐκπαιδευθεὶς, ἐν τοῖς βασιλείοις ἐστὶ λαμπρὸς, καὶ πάντα ἄγει καὶ φέρει τὰ ἐνδον. Καὶ ἕτερος ἕτερον δείκνυσι πάλιν, πάντες δὲ τοὺς ἐπὶ τῆς γῆς εὐδοκίμους· τῶν δὲ ἐν τοῖς οὐρανοῖς οὐδὲ ἅπαξ τις μέμνηται, ἀλλὰ κἂν μνησθῆναι ἕτερος ἐπιχειρήσῃ, ὡς πάντα ἀνατρέπων ἐλαύνεται.

Ὅταν οὖν αὐτοῖς ἐξ ἀρχῆς ταῦτα ἐπᾴδητε, οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν ὑπόθεσιν αὐτοὺς πάντων διδάσκετε τῶν κακῶν, δύο τοὺς τυραννικωτάτους ἐντιθέντες ἔρωτας, τὸν τῶν χρημάτων λέγω, καὶ τὸν τούτου παρανομώτερον, τὸν τῆς δόξης τῆς κενῆς καὶ ματαίας. Τούτων δὲ ἕκαστος καὶ καθ' ἑαυτὸν μὲν πάντα ἀνατρέψαι ἱκανός· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντες εἰς τὴν τοῦ νέου ψυχὴν ἄπαλὴν οὖσαν ἐμπέσωσι, καθάπερ τινὲς χείμαρροι συναφθέντες, ἅπαντα διαφθείρουσι τὰ καλὰ, τοσαύτας ἀκάνθας, τοσαύτην ἄμμον, τοσοῦτον ἐπεισάγοντες τὸν φορυτὸν, ὡς ἄκαρπόν τε καὶ ἄγονον τῶν

consideranda et expetenda proponatur, nihil doleas si extremum sortiatur locum, sitque omnium novissimus?

Verum, si tibi videtur, et hoc ipsum inspiciamus, num is qui in medio rerum versatur, possit illam sortem adipisci. Beatus quidem Paulus brevem de hoc sententiam tulit, eosque qui habent uxores, non aliter salvos esse posse declaravit, quam si eas ita haberent tamquam non habentes, et mundo non abuterentur. Nos autem, si placet, hoc disquiramus. Potesne dicere, vel te monente audivisse filium, vel a se ipso didicisse, eum qui jurat, etiamsi in re vera juret, Deum tamen omnino offendere? An item eum, qui injuriarum recordatur, salvum esse non posse? nam *Vix*, inquit (*Prov.* 12. 28), *recordantium injurias, ad mortem.* An, quod maledicum ita dehonestaverit Deus, ut eum a divinæ Scripturæ lectione arceret? an, quod arrogantem et contumeliosum de cælis exturbaverit, et gehennæ igni tradiderit? an, quod eum qui impudicis respicit oculis, quasi vere adulterum punial? An certe frequens illud et omnibus facile peccatum, proximos nempe judicare, et sic gravius sibi supplicium attrahere, hoc ut fugeret monuisti, et leges a Christo hac de re positas ipsi legisti? aut ne ipse tu quidem nosti quid hæc sibi velint? Quonam ergo modo poterit ea filius perficere, quorum nec pater ipse, qui illum erudire debuerat, leges novit? Atque utinam hoc solum damni adesset, quod nihil utile patres consilii darent! non tantum utique malum esset: nunc autem eos ad contraria prorsus impellitis. Neque enim aliud patres audias cum filiis tractare, cum eos ad studia literarum hortantur, nisi verba hujusmodi: Ille, inquit, humilis, humilique loco natus, eloquentiam adeptus, summos magistratus obtinuit, divitias acquisivit ingentes, uxorem duxit opulentam, splendidas construxit ædes, omnibus terrori est, et gloria fulget. Alius rursum, Ille, inquit, latina lingua eruditus, in regia clarissimus est, cunctaque intus curat et administrat. Et alius alium rursus ostendit, cunctique eos qui in terra insignes sunt memorant, cælestium autem nulla usquam mentio; imo si quis illa commemorare aggrediatur, ut qui cuncta pervertat, ejicitur.

6. Cum igitur a principio hæc illis occinatis, nihil aliud eos quam omnium malorum materiam docetis, duos violentissimos amores insinuantes, pecuniarum dico, et qui longe iniquior est, vanæ inanisque gloriæ. Horum vero alteruter per se solus cuncta pervertere potest: cum autem ambo in teneram juvenis animam confluunt, quasi quidam torrentes conjuncti bona omnia corrumpunt, tantam vim spinarum et arenæ, tantam colluviem in illam contrahentes, ut sterilem, infructuosam, bonisque omni-

ἀγαθῶν πάντων ἐκείνην ἐργάσασθαι τὴν ψυχήν. Καὶ μαρτυρήσαιεν ἂν ἡμῖν ὑπὲρ τούτων καὶ οἱ τῶν ἔξωθεν λόγοι· τούτων γὰρ τῶν παθῶν θάτερον, οὐχὶ συνημμένον, ἀλλὰ καὶ καθ' ἑαυτὸ, ὁ μὲν ἀκρόπολιν, ὁ δὲ κεφαλὴν προσεῖπε τῶν κακῶν. Εἰ δὲ κεχωρισμένον ἀκρόπολίς ἐστι καὶ κεφαλὴ, ὅταν τὸ χαλεπώτερον πολλῷ προσλάβῃ καὶ δυνατώτερον, τὴν δοξομανίαν λέγω, καὶ μετ' ἐκείνου φερόμενον ἐμπέσῃ καὶ ῥιζωθῇ καὶ προκαταλάβῃ τὴν τοῦ νέου ψυχὴν, τίς λοιπὸν ταύτην ἀναμοχλεῦσαι τὴν νόσον δυνήσεται, καὶ μάλιστα ὅταν καὶ οἱ πατέρες μὴ μόνον ὅπως διασαλευθείη, ἀλλ' ὅπως καὶ πάγια γένηται τὰ πονηρὰ ταῦτα φυτὰ, καὶ ποιῶσι πάντα καὶ λέγωσι; Τίς οὖν οὕτως ἀνόητος, ὡς μὴ ἀπογνῶναι τῆς σωτηρίας τοῦ τὰ τοιαῦτα παιδευομένου παιδός; Ἀγαπητὸν γὰρ τῶν ἐναντίων ἀπολαύουσαν λόγων ψυχὴν διαφυγεῖν πονηρίαν· ὅταν δὲ παντοχοῦ χρήματα τὰ ἔπαθλα ᾖ, καὶ ἄνδρες ἐναγεῖς εἰς ζῆλον προκείμενοι, ποία σωτηρίας ἐλπίς; Τοὺς γὰρ χρημάτων ἐρῶντας καὶ βασκάνους καὶ κακοήθεις καὶ πολυόρκους καὶ ἐπιόρκους καὶ θρασεῖς καὶ λοιδόρους καὶ κλέπτας καὶ ἀναισχύντους καὶ ἰταμοὺς καὶ ἀγνώμονας καὶ πάντα ἀνάγκη εἶναι τὰ κακά. Καὶ μάρτυς τούτων ἀξιόπιστος ὁ μακάριος Παῦλος, ῥίζαν τῶν ἐν τῷ βίῳ κακῶν τὴν φιλαργυρίαν εἰπών· καὶ πρὸ τούτου δὲ ὁ Χριστὸς αὐτὸ τοῦτο ἐδήλωσεν, ἀποφαινόμενος μὴ εἶναι δυνατὸν τῷ Θεῷ δουλεύειν τὸν ἐκείνῳ τῷ πάθει δουλεύοντα. Ὅταν οὖν ἐξ ἀρχῆς ὁ νέος ἐπὶ ταύτην ἄγηται τὴν δουλείαν, πότε δυνήσεται γενέσθαι ἐλεύθερος, πότε ἀνασχεῖν τοῦ κλυδωνίου, πάντων ὠθούντων, πάντων καταδυόντων, καὶ εἰς πολλὴν τοῦ καταβαπτίζεσθαι καθιστώντων ἀνάγκην αὐτόν; Εἰ γὰρ μηδενὸς ἐνοχλοῦντος, εἰ πολλῶν ὀρεγόντων χεῖρα ἀναστῆναι δυνηθείη καὶ διαβλέψαι καὶ τὴν ἅλμην ἀπονίψασθαι τῆς κακίας, οὐκ ἀγαπητόν; εἰ γὰρ πολλῷ τῷ χρόνῳ ταῖς θείαις ᾠδαῖς ἐπᾳδόμενος ἰσχύσειε τὰ προσγενόμενα ἀπελάσαι νοσήματα, οὐκ ἐπαινεῖν αὐτὸν ἐχρῆν καὶ στεφανοῦν μυριάκις; Δεινὸν γὰρ συνήθεια, δεινὸν κρατῆσαι καὶ ἑλεῖν ψυχὴν, καὶ μάλιστα ὅταν αὕτη μὲν ἡδονὴν ἔχῃ συμπράττουσαν, ἐκείνη δὲ πρὸς ἣν ἐπειγόμεθα καὶ μεθορμίσασθαι σπεύδομεν, πολλοὺς παρέχῃ τοὺς πόνους ἡμῖν. Διὰ τοῦτο καὶ ὁ Θεὸς τῶν Ἑβραίων τοὺς παῖδας, ἐπειδὴ ἔδει τὴν παλαιὰν τῶν κακῶν ἀποθέσθαι συνήθειαν, τὴν ἐν Αἰγύπτῳ λέγω, λαβὼν καταμόνας αὐτοὺς ἐπὶ τῆς ἐρημίας, καὶ τῶν διαφθειρόντων ἀποστήσας ὡς πορρωτάτω, καθάπερ ἐπί μοναστηρίου τινὸς, τῆς ἐρημίας διέπλαττεν αὐτῶν τὰς ψυχὰς, πᾶσαν ὁδὸν ἰατρείας κινῶν, καὶ τραχυτέραν καὶ προσηνεστέραν, καὶ οὐδὲν ὅλως παραλιμπάνων τῶν ὀφειλόντων εἰς τὴν θεραπείαν κατασκευασθῆναι τὴν ἐκείνων. Καὶ οὐδὲ οὕτως διέφυγον τὴν κακίαν, ἀλλὰ μεταξὺ τοῦ μάννα κρόμμυα καὶ σκόροδα καὶ τὰ ἐν Αἰγύπτῳ πάντα ἐζήτουν κακά. Τοσοῦτόν ἐστι συνήθεια [κακόν]. Εἶτα Ἰουδαῖοι μὲν τοσαύτης ἀπολαύοντες ἐπιμελείας τῆς παρὰ τοῦ Θεοῦ, καὶ δημαγωγοῦ τοιούτου καὶ τηλικούτου χρώμενοι, καὶ φόβου

bus vacuam efficiant eam animam. Horum testes esse nobis possunt exteri quoque scriptores: quorum unus alterum affectum, non cum alio junctum, sed per se solum, arcem, alius vero, caput malorum appellavit. Quodsi separatum arx est et caput, cum alius longe gravior et potentior accesserit, insana nempe gloriæ cupido, et cum illo violenter irruerit, radicesque posuerit, atque juvenis animum occupaverit, quis demum ejusmodi morbum amovere possit, cum maxime patres ipsi, non ut evellantur, sed ut firmiora sint hæc mala germina, nihil non agant et dicant? Quis igitur adeo stultus est, ut non desperet de salute pueri ad hunc modum instituti? Pro re optanda et eventu felici habendum est si anima contrariis sermonibus imbuta a malitia se subducat: quando autem undique illiciunt pecuniarum præmia, et scelerati viri ad imitandum proponuntur, quenam salutis spes superest? Nam eos qui pecuniarum amore tenentur, et invidos, et improbos, et multum jurantes, et perjuros, et audaces, contumeliosos item, fures, inverecundos, impudentes, ingratos, denique omni nequitia plenos esse necesse est. Horum testis fide dignus est beatus Paulus, qui radicem omnium malorum esse avaritiam dixit (*1 Tim.* 6. 10): et ante ipsum Christus id ipsum declaraverat (*Matth.* 6. 24), asseverans non esse possibile Deo servire eum, qui illi morbo serviret. Cum igitur initio juvenis ad hanc statim adducatur servitutem, quando tandem liber evadere poterit, quando fluctum sustinere, omnibus pellentibus, omnibus immergentibus, et in extremæ submersionis necessitatem ipsum constituentibus? Nam si nullo perturbante, si multis manum porrigentibus emergere possit et oculos aperire, vitiorumque salsuginem abluere, annon optandum hoc et felix eventum est? si, inquam, longo tempore divinis excantatus carminibus, incidentes morbos possit abjicere, nonne laudandus, nonne millies coronandus est? Sollers quippe est consuetudo, sollers ad vincendam capiendamque animam, cum præsertim hæc voluptatem adjutricem habeat, illa vero virtus, ad quam festinamus, quam attingere studemus, multos nobis pariat labores. Idcirco Deus, Hebræis, quos oportebat vitiorum veterem consuetudinem deponere, quæ nempe in Ægypto didicerant, seorsim abductis in solitudinem, et a corruptoribus procul segregatis, in deserto ceu in quodam monasterio eorum instituebat animos, viam omnem medicinæ tentans, tum asperiorem, tum dulciorem, nihilque retro relinquens eorum quæ ad valetudinem profutura essent. Neque sic tamen a nequitia desciverunt, sed cum manna cepas, allia, cæteraque omnia Ægypti mala requirebant. Tanta vis est consuetudinis. Deinde Judæi tanta Dei cura fruentes, tam egregio et generoso magistro usi, et timore

γωγὸν ἔχοντες οὕτως ἄριστον καὶ γενναῖον, καὶ φόβῳ καὶ ἀπειλῇ καὶ εὐεργεσίᾳ καὶ κολάσει καὶ παντὶ τρόπῳ παιδαγωγούμενοι, καὶ τοσαῦτα ὁρῶντες θαύματα, οὐκ ἐγένοντο βελτίους· σὺ δὲ τὸν υἱὸν τὸν σὸν νέον ὄντα ἐν Αἰγύπτῳ μέσῃ, μᾶλλον δὲ ἐν μέσῃ τῇ παρατάξει τοῦ διαβόλου στρεφόμενον, οὐδενός τι χρήσιμον συμβουλεύοντος ἀκούοντα, πάντας ἐπὶ τἀναντία αὐτὸν ἄγοντας ὁρῶντα, καὶ πάντων μᾶλλον τοὺς γεννήσαμένους καὶ θρεψαμένους, οἴει δυνήσεσθαι διαδῦναι τὰς τοῦ διαβόλου παγίδας; Πόθεν; ἀφ' ὧν σὺ παραινεῖς; Ἀλλ' ἐπὶ τἀναντία παρακαλεῖς, φιλοσοφίας μὲν οὐδὲ ὄναρ μεμνῆσθαι συγχωρῶν, ἄνω δὲ καὶ κάτω τὸν παρόντα βίον καὶ τὰ τούτου στρέφων, μειζόνως κλυδωνίζεσθαι παρασκευάζεις. Ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτοῦ; Μάλιστα μὲν οὐχ ἱκανὸς ἑαυτῷ νέος πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν· εἰ δ' ἄρα τι καὶ τέκοι γενναῖον, ταῖς τῶν λόγων ἐπομβρίαις τῶν παρὰ σοῦ πρὶν ἢ βλαστῆσαι ταχέως ἀποπνιγήσεται. Ὥσπερ γὰρ σῶμα ὑγιεινῶν μὲν οὐχ ἀπολαῦον σιτίων, τοῖς δὲ νοσώδεσιν ἐντρεφόμενον, οὐκ ἔνι πρὸς μικρὸν γοῦν ἀρκέσαι χρόνον, οὕτως οὐδὲ ψυχὴν, τοιαῦτα παιδευομένην, γενναῖόν τι καὶ μέγα ἐννοῆσαί ποτε, ἀλλ' ἀνάγκη τὴν τοιαύτην ἀσθενοῦσαν καὶ μαλακιζομένην, καθάπερ τινὶ φθόῃ τῇ κακίᾳ συνεχομένην διηνεκῶς, οὕτως ὕστερον εἰς τὴν γέενναν καταστρέψαι καὶ τὴν ἀπώλειαν τὴν ἐκεῖ.

Εἰ δὲ μὴ φῂς ταῦτα οὕτως ἔχειν, ἀλλὰ δυνατὸν εἶναι καὶ ἐν μέσῳ στρεφόμενον πάντα κατορθοῦντα τὰ τῆς ἀρετῆς, καὶ μὴ παίζων, ἀλλὰ σπουδάζων ἀληθῶς ταῦτα λέγεις, μὴ κατοκνήσῃς ἡμᾶς διδάξαι τὸ καινὸν τοῦτο καὶ παράδοξον μάθημα· οὐδὲ γὰρ βούλομαι πράγματα εἰκῇ τοσαῦτα ἔχειν, οὐδ' ἐν τοσούτοις ἀπέχεσθαι μάτην. Ἀλλὰ γὰρ οὐ δύναμαι τοῦτο μαθεῖν· οὐδὲ γὰρ ἐᾶτε ὑμεῖς, καὶ δι' ὧν λέγετε καὶ δι' ὧν ποιεῖτε ἀντιφθεγγόμενοι ταύτῃ τῇ ψήφῳ, καὶ τἀναντία παιδεύοντες· ὥσπερ γὰρ ἐξεπίτηδες ἀπολέσαι σπουδάζοντες τοὺς υἱοὺς, οὕτως ἅπαντα κελεύετε ποιεῖν, ἃ τοὺς ποιοῦντας σωθῆναι οὐκ ἔνι. Ὅρα δὲ ἄνωθεν. « Οὐαὶ, φησὶ, τοῖς γελῶσιν »· ὑμεῖς δὲ πολλὰς αὐτοῖς παρέχετε γέλωτος ἀφορμάς· « Οὐαὶ τοῖς πλουτοῦσιν· » ὑμεῖς δὲ ὅπως χρηματίσαιντο, πάντα πράττετε· « Οὐαὶ, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι· » ὑμεῖς δὲ καὶ οὐσίας ὁλοκλήρους ὑπὲρ τῆς τῶν δήμων εὐφημίας ἐκενώσατε πολλάκις. Πάλιν ὁ τὸν ἀδελφὸν ὑβρίζων ὑπεύθυνός ἐστι τῇ γεέννῃ· ὑμεῖς δὲ καὶ ἀδρανεῖς εἶναι νομίζετε καὶ δειλοὺς τοὺς σιγῇ τὰς παρὰ τῶν ἑτέρων φέροντας ὕβρεις. Μάχης κελεύει καὶ δίκης καταφρονεῖν ὁ Χριστός· ὑμεῖς δὲ αὐτοὺς ἐν τούτοις στρέφετε τοῖς κακοῖς διαπαντός. Τὸν ὀφθαλμὸν πολλάκις ἐξορύττειν ἐκέλευσεν, ὅταν βλάπτῃ· ὑμεῖς δὲ τούτους μάλιστα ποιεῖτε φίλους, ὅσοιπερ ἂν δύνωνται χρήματα δοῦναι, κἂν τὴν ἰσχάτην παιδεύσωσι κακίαν. Ἐκβαλεῖν γυναῖκα οὐκ ἀφῆκε, πλὴν ἐπ' αἰτίᾳ μόνῃ πορνείας· ὑμεῖς δὲ, ὅταν ἐξῇ χρήματα λαβεῖν, καὶ ταύτης καταφρονεῖν κελεύετε τῆς ἐντολῆς. Τὸν ὅρκον ἀπεῖρξε

et minis, et beneficio et supplicio ad omnem modum instituti, tot conspectis prodigiis, non ad meliorem se frugem receperunt : tu vero filium tuum adolescentem in media Ægypto, imo in mediis diaboli castris versantem, nullumque, qui quod utile sit consilium det, audientem, omnesque se ad contraria ducentes videntem, inprimisque parentes et eductores suos, putas posse diaboli laqueos effugere? Unde, quaeso? num ex hortamentis tuis? Atqui tu ad contraria evocas, ne per somnium quidem eum philosophicæ et monasticæ disciplinæ meminisse concedens; sed dum hanc vitam ejusque commoda ultro citroque versas, in decumanos illum majoresque fluctus conjicis. Num ex semetipso? Profecto juvenis non sibi ipsi satis est ad virtutem exercendam : sed etiamsi quid ex se ipso strenuum pariat, antequam id germinet, assiduo verborum tuorum imbre suffocabitur. Quemadmodum enim corpus, quod salutaribus cibis non fruitur, sed insalubribus alitur, ne parvo quidem tempore subsistere valet; sic nec anima his instituta et imbuta, strenuum quid aut magnum cogitare poterit : sed necesse est eam et languidam et mollem, nequitia cou quadam peste assidue detentam, sic demum in gehennam et in perniciem dejici.

7. Sin tu dicas, non ita se rem habere, posseque in medio rerum versantem virtutem exercere omnem, neque ludens sed serio ita loquaris, ne te, quaeso, pigeat hanc novam nos atque inauditam docere disciplinam : neque enim velim temere tantum mihi negotii assumere, neque inter tot bona abstinere frustra. Verum id ediscere nullatenus possum; id enim non permittitis vos : atque huic sententiæ et verbis et gestis repugnatis, et contraria docetis : siquidem ac si delita opera filios perdere studeatis, sic illa omnia præcipitis eis, quæ qui exsequuntur salutem consequi non possunt. Rem altius considera. *Væ*, inquit (*Luc.* 6, 24 et sqq.), *ridentibus;* vos autem ipsis multas præbetis ridendi occasiones : *Væ divitibus;* vos vero ut pecuniosi sint cuncta molimini : *Væ cum benedixerint vobis omnes homines;* vos autem pro populari aura facultates sæpe omnes effundistis. Rursum is qui fratri contumeliam infert, reus est gehennæ; vosque tamen et imbecillos et timidos esse putatis eos, qui tacite illatas sibi ab aliis contumelias ferunt. Jubet Christus pugnas et lites contemnere; vos autem illos in his semper malis versari curatis. Oculum ille, si noceat, eruere sæpe jubet; at vos eos maxime vobis conciliatis amicos, qui possint pecunias præbere, etiamsi extremam nequitiam doceant. Uxorem repudiare non permittit, præterquam in sola adulterii causa; at vos dum pecunias acquirere liceat, hoc præceptum despicere jubetis. Jusjurandum vetat

παντελῶς· ὑμεῖς δὲ, ἂν ἴδητε φυλαττόμενον, καὶ γελᾶτε. « Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, φησὶν, ἀπολέσει αὐτήν· » ὑμεῖς δὲ πάντοθεν αὐτοὺς εἰς ταύτην ἐμβάλλετε τὴν φιλίαν. « Ἐὰν μὴ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ὁ Πατὴρ ὑμῶν ἀφήσει ὁ οὐράνιος· » ὑμεῖς δὲ καὶ ὀνειδίζετε, ὅταν τοὺς ἠδικηκότας μὴ θέλωσιν ἀμύνασθαι, καὶ εἰς τὴν δύναμιν αὐτοὺς ταύτην ταχέως ἐπείγεσθε ἀγαγεῖν. Τοὺς δόξης ἐρῶντας πάντα εἰκῇ ποιεῖν ἀπεφήνατο ὁ Χριστὸς, κἂν νηστεύωσι, κἂν εὔχωνται, κἂν ἐλεῶσιν· ὑμεῖς δὲ, ὅπως ταύτης ἐπιτύχοιεν, ἅπαντα πραγματεύεσθε. Καὶ τί δεῖ πάντα ἐπιέναι; ὅταν γὰρ καὶ τὰ εἰρημένα μυρίας ἱκανὰ παρασκευάσαι γεέννας ᾖ, οὐχὶ πάντα ὁμοῦ συνελθόντα μόνον, ἀλλὰ καὶ καθ' ἑαυτὰ τούτων ἕκαστον, ὑμεῖς δὲ πάντα ὁμοῦ συμφορήσαντες, καὶ τὸ ἀφόρητον τῶν ἁμαρτημάτων ἐπιθέντες φορτίον, οὕτως εἰς τὸν τοῦ πυρὸς πέμπητε ποταμὸν, πότε σωθῆναι δυνήσονται, τοσαύτην κομίζοντες τῷ πυρὶ τὴν τροφήν; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι τἀναντία τοῖς τοῦ Χριστοῦ παραινεῖτε προστάγμασιν, ἀλλ' ὅτι καὶ προσηγορίαις εὐφήμοις περιστέλλετε τὴν κακίαν, τὸ μὲν ἱπποδρόμοις καὶ θεάτροις προσκεῖσθαι διαπαντὸς ἀστειότητα καλοῦντες, τὸ δὲ πλουτεῖν ἐλευθερίαν, τὸ δὲ δόξης ἐρᾶν μεγαλοψυχίαν, τὴν δὲ ἀπόνοιαν παῤῥησίαν, καὶ τὴν μὲν ἀσωτίαν φιλανθρωπίαν, τὴν δὲ ἀδικίαν ἀνδρείαν. Εἶτα, ὥσπερ οὐκ ἀρκούσης ταύτης τῆς ἀπάτης, καὶ τὴν ἀρετὴν ἐναντίοις καλεῖτε ὀνόμασιν, ἀγροικίαν μὲν τὴν σωφροσύνην, δειλίαν δὲ τὴν ἐπιείκειαν, ἀνανδρίαν δὲ τὴν δικαιοσύνην ὀνομάζοντες, καὶ τὸ μὲν ἄτυφον δουλοπρεπὲς, τὴν δὲ ἀνεξικακίαν ἀσθένειαν· καθάπερ δεδοικότες μὴ παρ' ἑτέρων τὴν ἀληθῆ τούτων προσηγορίαν ἀκούσαντες φύγωσι τὴν λύμην οἱ παῖδες. Οὐδὲ γὰρ μικρὸν εἰς τὴν τῶν κακῶν ἀποτροπὴν τὸ γυμνὰς αὐτὰς καὶ κυρίας τῶν κακῶν προφέρεσθαι τὰς προσηγορίας· ἀλλὰ τοσαύτην ἔχει τὴν ἰσχὺν πρὸς τὸ πλῆξαι τοὺς ἁμαρτάνοντας, ὡς πολλοὺς πολλάκις ἐπὶ τοῖς αἰσχίστοις ὄντας περιφανεῖς μὴ φέρειν πρᾴως καλουμένους τοῦτο ὅπερ εἰσὶν, ἀλλ' ἀγριαίνειν καὶ ἐκθηριοῦσθαι, ὡς τὰ δεινότατα πάσχοντας. Τὴν γοῦν ἑταιρηκυῖαν γυναῖκα καὶ τὸν πεπορνευμένον παῖδα ἂν καλέσῃ τις ἀπὸ τῆς αἰσχίστης πράξεως ταύτης, ἀκατάλλακτος γέγονεν ἐχθρὸς, ἅτε τὰ μέγιστα ἠδικηκώς. Καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ τὸν πλεονέκτην, καὶ τὸν μέθυσον, καὶ τὸν ἀλαζόνα, καὶ πάντας ἁπλῶς τοὺς τὰ δεινότατα ἐργαζομένους ἴδοι τις ἂν οὐχ οὕτως ἐπὶ τῷ πράττειν αὐτὰ καὶ τῇ παρὰ τῶν πολλῶν δόξῃ ἄκνομένους καὶ ἀλγοῦντας, ὡς ἐπὶ τοῖς τῶν οἰκείων ἔργων ὀνόμασι. Πολλοὺς δὲ καὶ σωφρονισθέντας οἶδα τούτῳ τῷ τρόπῳ, καὶ γενομένους τοῖς ὀνείδεσιν ἐπιεικεστέρους. Ἀλλ' ὑμεῖς καὶ ταύτην ἀνῃρήκατε τὴν παραμυθίαν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ταύτην αὐτοῖς ποιεῖσθε τὴν παραίνεσιν, οἰκίας οἰκοδομοῦντες λαμπρὰς, ἀγροὺς ὠνούμενοι πολυτελεῖς, τὴν

omne; vos si quem id servare videritis, etiam ridetis. *Qui amat*, inquit (*Joan.* 12. 25), *animam suam, perdet eam*; vos ad hunc amorem illos semper inducitis. *Si non remiseritis*, inquit (*Matth.* 6. 14), *hominibus peccata, neque vobis remittet Pater vester cælestis*; vos illis exprobratis, cum eos, qui se laserint, ulcisci nolunt; utque id nature præstare possint, illos instituitis. Gloriæ cupidos omnia frustra agere docuit Christus, sive illi jejunaverint, sive oraverint, sive miserti fuerint; at vos ut illam assequantur nihil non agitis. Et quid opus omnia persequi? cum supra memorata innumeras gehennas inferre possint; nec modo omnia simul, sed seorsum singula; vos autem omnia simul congesta et intolerabile peccatorum onus imponentes, sic in fluvium igneum immittatis: quando salutem nanciscì poterunt tantam ferentes ignis escam? Neque id solummodo grave est, quod Christi præceptis contraria doceatis, sed quod præclaris appellationibus vitia obtegatis, hippodromis ac theatris jugiter interesse urbanitatem vocantes, divitias libertatem, gloriæ amorem magnanimitatem, arrogantiam fiduciam, prodigalitatem humanitatem, injustitiam fortitudinem. Deinde, quasi hæc fallacia non sufficiat, virtutem quoque contrariis nominibus vocatis, temperantiam appellantes rusticitatem, modestiam timiditatem, justitiam imbecillitatem, contemtum fastus servilem animum, injuriarum tolerantiam infirmitatem; ac si metuatis ne, si ab aliis veram horum appellationem audierint filii vestri, perniciem hujusmodi fugiant. Neque enim parum confert ad vitiorum aversionem, si nudæ et propriæ eorum appellationes proferantur; sed tantum id habet roboris ad peccantium animos feriendos, ut plerique sæpe turpissimis insignes vitiis, se ita vocari non libenter ferant; sed adeo sæviant et indignentur, ac si acerbissima paterentur. Si quis adulteratam mulierem et stupratum puerum ex turpissimo actu vocaverit, irreconciliabilis efficitur inimicus, utpote qui magna affecerit injuria. Neque hos tantum, sed etiam avarum, ebriosum, arrogantem, demumque omnes gravissima operatos videas, non tam de ipso opere et hominum opinione angi et dolere, quam de facinorum nominibus. Multos porro novi hoc emendatos modo, qui opprobriis moderatiores evaserunt. At vos hoc solatium atque remedium sustulistis: quodque gravius est, non verbis solum, sed exemplo quoque et opere hæc illis monita datis, dum ædes splendidas construitis, agros emitis pinguissimos, reliquosque

ἄλλην περιβάλλοντες φαντασίαν, καὶ διὰ πάντων πυκνῷ τινι νέφει συσκιάζοντες αὐτῶν τὴν ψυχήν. Πόθεν οὖν δυνήσομαι πεισθῆναι ὅτι σωθῆναι οἰόντε τούτους, ὅταν ἴδω πρὸς ταῦτα παρακαλουμένους, ἃ τοὺς ποιοῦντας ὁ Χριστὸς ἀπεφήνατο πάντως ἀπολέσθαι; ὅταν θεάσωμαι τῆς μὲν ψυχῆς αὐτῶν, ὥσπερ τινὸς παρέργου, καταφρονοῦντας ὑμᾶς, τῶν δὲ ὄντως περιττῶν, ὡς ἀναγκαίων καὶ προηγουμένων φροντίζοντας; Ὅπως μὲν γὰρ οἰκέτης ἔσται, καὶ ὅπως ἵππος, καὶ ὅπως ἱμάτιον τῷ παιδὶ κάλλιστον, πάντα ποιεῖτε· ὅπως δὲ αὐτὸς γένοιτο καλὸς, οὐδ' ἂν ἐννοῆσαί ποτε ἀνάσχοισθε, ἀλλὰ καὶ ξύλων καὶ λίθων μέχρι τούτου προάγοντες τὴν σπουδήν, τὴν ψυχὴν δὲ οὐδὲ τοῦ πολλοστοῦ τῆς ἐπιμελείας ταύτης ἀξιοῦτε μέρους· ἀλλ' ἵνα μὲν ἄγαλμα ἐπὶ τῆς οἰκίας ἑστήκῃ θαυμαστὸν, καὶ ἡ στέγη γένηται χρυσῆ, πάντα ὑπομένετε· τὸ δὲ πάντων τιμιώτερον ἄγαλμα ἡ ψυχὴ ὅπως γένηται χρυσῆ, οὐδὲ φροντίζειν ἐθέλετε.

Ἀλλ' οὔπω τὸν κολοφῶνα τῶν κακῶν εἶπον, οὐδὲ τὸ κεφάλαιον ἐξεκάλυψα τῆς συμφορᾶς, πολλάκις μὲν ἐλθὼν εἰπεῖν καὶ ἐρυθριάσας, πολλάκις δὲ καὶ αἰσχυνθείς. Τί ποτ' οὖν ἐστι τοῦτο; τολμητέον γὰρ ἤδη καὶ λεκτέον αὐτό. Καὶ γὰρ ἀνανδρίας ἂν εἴη πολλῆς, μέλλοντάς τι κακὸν ἐξαιρεῖν, μηδὲ φωνὴν ἀφιέναι τολμᾶν ὑπὲρ αὐτοῦ, ὡς τῆς σιγῆς αὐτομάτως ἰασομένης τὴν νόσον. Οὐ τοίνυν σιγήσομεν, κἂν μυριάκις αἰσχύνεσθαι μέλλωμεν καὶ ἐρυθριᾶν. Οὐδὲ γὰρ ἰατρὸς μέλλων σηπεδόνα καθαίρειν, παραιτήσεται μεταχειρίσασθαι σίδηρον, καὶ καθεῖναι δακτύλους εἰς αὐτὸν τοῦ τραύματος τὸν πυθμένα· οὐκοῦν οὐδὲ ἡμεῖς τὸν ὑπὲρ τούτων λόγον παραιτησόμεθα, ὅσῳ καὶ χαλεπωτέρα ἡ σηπεδών. Τί ποτ' οὖν ἐστι τὸ κακόν; Ἔρως καινός τις καὶ παράνομος εἰς τὸν ἡμέτερον εἰσεκώμασε βίον· νόσημα ἐπέπεσε χαλεπὸν καὶ ἀνίατον· λοιμὸς κατέσκηψε πάντων λοιμῶν χαλεπώτερος· παρανομία καινή τις ἐπενοήθη καὶ ἀφόρητος· οὐ γὰρ οἱ θετοὶ μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τῆς φύσεως ἀνατρέπονται νόμοι. Μικρὸν εἰς ἀσελγείας λόγον πορνεία λοιπόν· καὶ καθάπερ ἐν ταῖς ὀδύναις τὸ τυραννικώτερον πάθος τοῦ προτέρου τὴν αἴσθησιν ἔκρυψεν ἐπελθὸν, οὕτω καὶ ἡ τῆς ὕβρεως ταύτης ὑπερβολὴ οὐκέτι ἀφόρητον ποιεῖ φαίνεσθαι τὸ ἀφόρητον, τὴν περὶ γυναῖκας ἀσέλγειαν. Ἀγαπητὸν γὰρ εἶναι δοκεῖ τὸ δυνηθῆναι τὰ δίκτυα ταῦτα διαφυγεῖν, καὶ κινδυνεύει λοιπὸν περιττὸν εἶναι τὸ τῶν γυναικῶν γένος, τῶν νέων ἀντ' ἐκείνων πάντα τὰ ἐκείνων πληρούντων. Καὶ οὐ τοῦτό πω δεινὸν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς τολμᾶται τῆς ἀδείας μύσος τοσοῦτον, καὶ νόμος γέγονεν ἡ παρανομία. Οὐδεὶς ἐδοίκεν οὐδὲ τρέμει λοιπόν· οὐδεὶς αἰσχύνεται οὐδὲ ἐρυθριᾷ, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ γέλωτι τούτῳ, καὶ μαίνεσθαι δοκοῦσιν οἱ σωφρονοῦντες, καὶ παραπαίειν οἱ νουθετοῦντες· κἂν μὲν ἀσθενέστεροι τύχωσιν ὄντες, συνεκόπησαν ταῖς πληγαῖς· ἂν δὲ δυνατώτεροι, χλευάζονται, γελῶνται, μυρίοις πλύνονται σκώμμασιν. Οὐδὲν ὄφελος δικαστηρίων, οὐδὲ νόμων, οὐδὲ

magnificos apparatus additis, bisque omnibus veluti quadam nebula animos eorum obtenebratis. Unde igitur mihi persuaderi poterit posse illos salutem consequi, cum ad ea evocari videam, quæ qui faciunt prorsus perituros esse Christus declaravit? cum videam vos animam eorum, quasi minoris pretii aliquid, negligere, illa autem quæ vere superflua sunt, quasi necessaria et præcipua curare? Namque ut servus, ut equus, ut vestimentum filio sit pulcherrimum, omnia facitis; ut autem ipse probus sit, ne cogitare quidem vultis: ac cum lignorum, cum lapidum eo usque studium extendatis, animam ne minima quidem sollicitudinis parte dignam judicatis: sed ut statua quidem in ædibus admiranda erigatur, ut tectum sit aureum, laborem omnem suscipitis; omnium vero statuarum pretiosissima anima ut aurea efficiatur, nullam curam gerere vultis.

8. Sed nondum malorum colophonem divi, nec calamitatis caput detexi; quod sæpe dicere aggressus erubui, sæpe præ pudore destiti. Quidnam illud est? audendum enim jam et dicendum est. Magnæ quippe ignaviæ id esset, si quid mali resecare cupientes, ne mutire quidem super illo auderemus, ac si silentium ægritudinem ultro sanaturum esset. Ne taceamus igitur, etiamsi millies erubescendum sit. Neque enim medicus cum abstergenda putredo fuerit, ferrum arripere dubitabit, et ad ipsum vulneris fundum digitos immittere. Nec nos igitur de hisce verba facere recusabimus, quantumcumque molestior sit putredo. Quod ergo tandem istud malum est? Amor quidam novus ac nequissimus in nostrum sæculum irrupit: morbus irruit gravissimus et incurabilis, pestis omnium pestium teterrima: novum et intolerandum scelus excogitatum est. Non enim scriptæ modo, sed naturales ipsæ leges evertuntur. Parva res jam est ad impudicitiæ rationem fornicatio: ac quemadmodum in doloribus, qui violentior supervenit, prioris sensum obruit, sic et hujus contumeliæ magnitudo non permittit ut, quod vere intolerabile est, jam intolerabile videatur, obscœna nempe cum mulieribus libido. Optabile enim videtur posse hujusmodi retia effugere; periculumque est ne sexus muliebris jam superfluus efficiatur, adolescentibus vices ejus omnes implentibus. Quo tamen, quamquam gravissimo, illud est longe atrocius, quod res tam exsecranda ingenti cum audacia perpetratur, ita ut facinus adeo illegitimum in legem transierit. Nemo jam metuit, nemo perhorrescit, nemo veretur aut erubescit, sed quasi de re bene gesta ridetur: ipsi temperantes insanire videntur, et monitores furere: qui si imbecilliores fuerint, verberibus afficiuntur; sin potentiores, irridentur, illuduntur, ac probris respersuntur innumeris. Nihil jam tribunalia, nihil

παιδαγωγῶν, οὐ πατέρων, οὐκ ἀκολούθων, οὐ διδασκάλων· τοὺς μὲν γὰρ ἴσχυσαν διαφθεῖραι χρήμασιν, οἱ δ' ὅπως αὐτοῖς μισθὸς γένοιτο μόνον ὁρῶσι· τῶν δὲ ἐπιεικεστέρων, καὶ φροντιζόντων τῆς τῶν ἐμπιστευθέντων αὐτοῖς σωτηρίας, οἱ μὲν κλέπτονται ῥᾳδίως καὶ ἀπατῶνται, οἱ δὲ καὶ δεδοίκασι τῶν ἀκολάστων τὴν δύναμιν. Ῥᾷον γὰρ ἄν τις ὑποπτευθεὶς ἐπὶ τυραννίδι διασωθείη, ἢ τῶν μιαρῶν ἐκείνων ἀπάγειν πειραθεὶς, τὰς ἐκείνων διαφύγοι χεῖρας ποτέ· οὕτω καθάπερ ἐπ' ἐρημίας πολλῆς, ἐν μέσαις ταῖς πόλεσιν ἄῤῥενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην κατεργάζονται. Εἰ δέ τινες ταύτας διαφύγοιεν τὰς πάγας, τὴν γοῦν πονηρὰν τῶν τὰ τοιαῦτα ὑβριζομένων δυσκόλως διαφεύξονται δόξαν· πρῶτον μὲν, ὅτι ὀλίγοι σφόδρα εἰσὶ, καὶ ταύτῃ ῥᾳδίως ἂν τῷ τῶν πονηρῶν κρύπτοιντο πλήθει· δεύτερον, ὅτι καὶ αὐτοὶ οἱ μιαροὶ καὶ ἐναγεῖς ἐκεῖνοι δαίμονες, οὐκ ἔχοντες ἑτέρως ἀμύνασθαι τοὺς ὑπεριδόντας αὐτῶν, ταύτῃ σπουδάζουσιν ἀδικεῖν. Ἐπειδὴ γὰρ οὐκ ἴσχυσαν καιρίαν δοῦναι πληγὴν, οὐδ' αὐτῆς καθικέσθαι τῆς ψυχῆς, τὸν γοῦν ἔξωθεν αὐτοῖς περικείμενον τρῶσαι κόσμον ἐπιχειροῦσι, καὶ τὴν εὔκλειαν ἅπασαν ἀνελεῖν.

Ὅθεν καὶ πολλῶν θαυμαζόντων ἤκουσα, πῶς οὐδέπω καὶ τήμερον ὄμβρος ἕτερος κατηνέχθη πυρὸς, πῶς οὐδέπω τὰ τῶν Σοδόμων ἔπαθεν ἡμῖν ἡ πόλις, τοσούτῳ χαλεπωτέρας ἀξία κολάσεως οὖσα, ὅσῳ μηδὲ τοῖς ἐκείνων σωφρονισθῆναι κακοῖς. Ἀλλὰ καίτοι τῆς χώρας ἐκείνης ἐν δισχιλίοις λοιπὸν ἔτεσι φωνῆς λαμπρότερον διὰ τῆς ὄψεως πρὸς ἅπασαν βοώσης τὴν οἰκουμένην μηδὲν τοιοῦτον τολμᾶν, οὐ μόνον οὐδὲν ὀκνηρότεροι περὶ τὴν ἁμαρτίαν ἐγένοντο ταύτην, ἀλλὰ καὶ ἰταμώτεροι, καθάπερ φιλονεικοῦντες τῷ Θεῷ, καὶ διὰ τῶν ἔργων δεῖξαι σπουδάζοντες, ὅτι τοσούτῳ τοῖς κακοῖς ἐπιθήσονται τούτοις, ὅσῳπερ ἂν αὐτοῖς μειζόνως ἀπειλῇ. Πῶς οὖν οὐδὲν γέγονε τοιοῦτον, ἀλλὰ τὰ μὲν Σοδόμων ἁμαρτήματα τολμᾶται, τὰ δὲ Σοδόμων οὐ γίνεται πάθη; Ὅτι πῦρ αὐτοὺς ἕτερον χαλεπώτερον μένει, καὶ κόλασις οὐκ ἔχουσα τέλος. Καὶ γὰρ τῶν ὑπὸ τοῦ κατακλυσμοῦ διαφθαρέντων πολλῷ μιαρώτερα τολμησάντων ἑτέρων, τῶν μετὰ ταῦτα λέγω, οὐδεὶς ἐξ ἐκείνου γέγονεν ὄμβρος τοιοῦτος. Κἀνταῦθα δὲ πάλιν ἡ αἰτία ἡ αὐτή· ἐπεί τίνος ἕνεκεν οἱ μὲν παρὰ τὴν ἀρχὴν γενόμενοι, ὅτε οὔτε δικαστήρια ἦν, οὐδὲ ἀρχόντων ἐπέκειτο φόβος, οὐ νόμος παρῆν ἀπειλῶν, οὐ προφητῶν χορὸς ῥυθμίζων, οὐ προσδοκία γεέννης, οὐ βασιλείας ἐλπὶς, οὐκ ἄλλη φιλοσοφία, οὐ τὰ θαύματα τὰ καὶ λίθους ἀναστῆσαι δυνάμενα, πῶς οὗτοι μὲν οἱ μηδενὸς τούτων ἀπολαύσαντες ὑπὲρ ὧν ἥμαρτον τοσαύτην ἔδωκαν δίκην, οἱ δὲ πάντων τούτων μετεσχηκότες, καὶ μεταξὺ τοσούτου ζῶντες φόβου καὶ θείων δικαστηρίων καὶ ἀνθρωπίνων, οὐδέπω καὶ τήμερον τὰ αὐτὰ ἔπαθον ἐκείνοις, χαλεπωτέρας ὄντες ἄξιοι κολάσεως; Ἆρ' οὐχὶ καὶ παιδὶ δῆλόν ἐστιν, ὅτι σφοδροτέρᾳ τηροῦνται δίκῃ; Εἰ γὰρ ἡμεῖς οὕτως ὀργιζόμεθα καὶ ἀγανακτοῦμεν,

leges valent; non pædagogi, non patres, non asseclæ, non magistri: alii enim pecuniis corrupti sunt, alii id solum curant ut merces solvatur: ex iis vero qui frugi sunt, et sibi concreditorum saluti prospiciunt, alii facile circumveniuntur ac decipiuntur, alii impudicorum potentiam reformidant. Facilius enim elabatur qui in affectatæ tyrannidis suspicionem venerit, quam ipsorum manus effugiat qui pueros ab exsecrandis illis hominibus abducere tentaverit. Sic mediis in urbibus, quasi in vasta solitudine, masculi in masculos turpitudinem exercent. Quodsi qui hos laqueos effugerint, malam tamen sceleratorum famam difficile vitabunt: primo quidem, quia admodum pauci cum sint, improborum multitudine facile obruuntur; secundo, quia detestandi illi ac scelesti dæmones, cum contemtores suos alio modo ulcisci nequeant, hac via lædere conantur. Quia enim letale illis vulnus infligere non possunt, neque usque ad animam pertingere, exteriorem saltem ornatum lædere, bonamque famam omnem auferre nituntur.

Quamobrem multos audivi, qui se mirari dicerent, quod nondum hodieque imber alius igneus delapsus sit, quodque non paria cum Sodomis urbs nostra passa sit, quæ eo graviore supplicio digna est, quo ne illius quidem cladis exemplo emendatur. Verum etiamsi illa regio ab annis bis mille voce qualibet clariorem conspectum præferat, quo orbi universo clamat ne quid hujusmodi audeat, non modo segniores ad hoc facinus facti non sunt, sed etiam sunt impudentiores: ac si cum Deo contendant, atque operibus declarare studeant sese tanto magis his malis dedituros esse, quanto majores ille pœnas comminatus fuerit. Cur ergo nihil factum est hujusmodi, sed cum Sodomorum scelera admittantur, Sodomorum tamen clades non contingunt? Quia manet eos ignis longe gravior, et supplicium finem non habiturum. Nam cum multo graviora scelera, quam ii qui aquis diluvii perierunt, alii postea admiserint, nullus tamen imber ejusmodi postmodum accidit. Eadem hic quoque causa afferenda est. Cur enim ii qui sub mundi initium fuerunt, cum neque tribunalia essent, neque magistratuum metus immineret, non legis comminatio, non prophetarum chorus, qui moderaretur, non exspectatio gehennæ, non regni spes, non alia philosophia, non miracula, quæ possent vel lapides excitare: cur, inquam, illi qui nullo horum potiti erant, tantas scelerum pœnas dederunt; qui autem horum omnium participes fuerunt, et inter tantos tum divinorum tum humanorum tribunalium metus versantur, nondum paria illis passi sunt, cum sint longe graviori supplicio digni? Nonne vel puero liquet hos atrociori ultioni reservari? Nam si nos super

ὁ Θεὸς ὁ πάντων μάλιστα τοῦ τῶν ἀνθρώπων γένους κηδόμενος, καὶ τὴν κακίαν σφόδρα ἀποστρεφόμενος καὶ μισῶν, πῶς ἀνάσχοιτο ταῦτα τολμᾶσθαι ἀτιμωρητί; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλ' ἐποίσει πάντως αὐτοῖς τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὴν πληγὴν τὴν ἀφόρητον, καὶ τῶν βασανιστηρίων τὴν ὀδύνην ἐκείνων, οὕτως οὖσαν χαλεπὴν, ὡς τὰ ἐν Σοδόμοις πάθη πρὸς ταῦτα παραβαλλόμενα παίγνια εἶναι νομίζεσθαι. Τίνας γὰρ οὐ παρήλασαν οὗτοι βαρβάρους, ποίων θηρίων γένος διὰ τῆς ἀναισχύντου μίξεως ταύτης; Ἔστιν ἔν τισι τῶν ἀλόγων οἶστρος πολὺς, καὶ ἐπιθυμία ἀφόρητος, μανίας οὐδὲν διαφέρουσα· ἀλλ' ὅμως τοῦτον οὐκ οἶδε τὸν ἔρωτα, ἀλλ' ἔστηκεν εἴσω τῶν τῆς φύσεως ὅρων· κἂν μυριάκις καχλάζῃ, τοὺς τῆς φύσεως οὐκ ἀνατρέπει νόμους. Οἱ δὲ λογικοὶ ὅθεν, καὶ θείας ἀπολαύσαντες διδασκαλίας, καὶ τὸ πρακτέον καὶ τὸ μὴ τοιοῦτον ἑτέροις διαγορεύοντες, καὶ γραμμάτων ἐξ οὐρανοῦ καταβάντων ἀκούσαντες, οὐχ οὕτως ἀδεῶς ταῖς πόρναις, ὥσπερ τοῖς νέοις συγγίνονται. Καθάπερ γὰρ μήτε ἀνθρώπων ὄντων, μήτε προνοίας Θεοῦ ἐφεστώσης καὶ δικαζούσης τοῖς γινομένοις, ἀλλ' ὥσπερ σκότου πάντα καταλαβόντος, καὶ μηδενὸς μήτε ὁρῶντος ταῦτα μήτε ἀκούοντος, οὕτω πάντα τολμῶσι καὶ μετὰ τοσαύτης μανίας. Οἱ δὲ τῶν ὑβριζομένων παίδων πατέρες φέρουσι ταῦτα σιγῇ, καὶ οὐ κατορύττουσι μετὰ τῶν παίδων ἑαυτοὺς, οὐδὲ ἐπινοοῦσί τινα παραμυθίαν τῷ κακῷ. Εἰ γὰρ εἰς τὴν ὑπερορίαν ἀπὸ ταύτης ἕλκύσαι τῆς νόσου τοὺς υἱεῖς ἔδει, εἰ γὰρ εἰς θάλασσαν, εἰ γὰρ εἰς νήσους, εἰ γὰρ εἰς ἄβατον γῆν, εἰ γὰρ εἰς τὴν ὑπὲρ ἡμᾶς οἰκουμένην, οὐκ ἔδει πάντα ποιῆσαι καὶ παθεῖν ὥστε μὴ ταῦτα γενέσθαι τὰ μιάσματα; Ἀλλ' εἰ μὲν ἐπίνοσόν που καὶ λοιμικόν ἐστι χωρίον, οὐκ ἀπάξομεν ἐκεῖ τοὺς υἱεῖς, κἂν μεγάλα κερδαίνειν μέλλωσι, κἂν σφόδρα ὑγιεινοὶ τυγχάνωσιν ὄντες· νυνὶ δὲ τοσαύτης τὰ πάντα κατεχούσης λύμης, οὐ μόνον αὐτοὶ πρὸς ταῦτα ἕλκομεν τὰ βάραθρα αὐτοὺς, ἀλλὰ καὶ τοὺς ἁπαλλάξαι βουλομένους ὡς λυμεῶνας ἀπελαύνομεν. Καὶ πόσης οὐκ ἄξια ταῦτα ὀργῆς, πόσων σκηπτῶν, ὅταν τὴν μὲν γλῶτταν αὐτοῖς ἐκκαθαίρειν διὰ τῆς ἔξωθεν σοφίας σπουδάζωμεν, τὴν δὲ ψυχὴν ἐν αὐτῷ τῆς ἀσελγείας τῷ βορβόρῳ κειμένην καὶ σηπομένην διαπαντὸς μὴ μόνον περιορῶμεν, ἀλλὰ καὶ ἐγερθῆναι βουλομένην κωλύωμεν;

Ἔτ' οὖν τολμήσει τις εἰπεῖν, ὅτι δυνατὸν σωθῆναι τοὺς ἐν τοιούτοις ὄντας κακοῖς; Πόθεν; Οἱ μὲν γὰρ τὴν τῶν ἀσχολάστων διαφυγόντες μανίαν (ὀλίγοι δέ εἰσιν οὗτοι), τοὺς τυραννικοὺς ἐκείνους ἔρωτας καὶ τὰ πάντα διαφθείροντας, τοὺς τῶν χρημάτων καὶ τοὺς τῆς δόξης οὐ διαφεύγουσιν· οἱ δὲ πλείους τούτους τε αὐτοῖς καὶ τοῖς τῆς ἀσελγείας μετὰ πλείονος κατέχονται τῆς ὑπερβολῆς. Εἶτα λόγους μὲν αὐτοῖς ἐνθεῖναι βουλόμενοι, οὐχὶ τὰ διακόπτοντα τὴν παίδευσιν ἀναιροῦμεν μόνον, ἀλλὰ καὶ τὰ συνιστῶντα κατασκευάζομεν, καὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐριστῶντες, καὶ χρήματα ἀνα-

his ita irascimur et indignamur, Deus qui genus humanum plus quam alia omnia curat, et nequitiam admodum aversatur, quomodo hæc impune fieri patiatur? Non ita certe, non ita se res habet, sed immittet in illos plane manum illam validam, plagamque intolerandam, atque cruciatuum illorum dolorem ita gravem, ut Sodomorum clades illi comparata ludus videatur esse. Quos enim illi barbaros non superarunt? quod ferarum genus per impudentissimum congressum non retro relinquunt? Est in quibusdam brutis ardens libido, cupidoque intolerabilis, nihil ab insania differens: quæ tamen hunc amorem non norunt, sed intra naturæ terminos manent; etsi millies libidine urantur, naturæ numquam leges evertunt. At rationabiles illi, divina potiti doctrina, qui quæ agenda vel non agenda sint aliis prædicant, Scripturasque ex cælo delapsas audierunt, non ita impudenter cum meretricibus ut cum adolescentibus congrediuntur. Nam quasi homines non sint, neque providentia divina præsit rebus humanis deque factis judicet, sed quasi tenebris cuncta occupantibus, nulloque hæc videnle vel audiente, sic omnia et cum tanta insania audent. Vitiatorum autem puerorum patres hæc tacite ferunt, nec se terra obruunt cum filiis, nec ullum tanto malo remedium quærunt. At enim si in exilium abducendi essent filii, ut ab hac peste liberarentur, si in mare, si in insulas, si in desertam terram, si in eam quæ ultra nos est orbis partem, nonne oporteret omnia facere et perpeti, ne hujusmodi flagitia admitterentur? Certe si insalubris et pestilens esset locus aliquis, minime eo filios deduceremus, etiamsi lucra ingentia ibi consequuturi essent, etiamsi optima valetudine uterentur: nunc autem cum tanta lues omnia occupet, non modo eos ad barathra trahimus, sed si qui illos eripere velint, eos ut corruptores pellimus. Quanta ira istæc, quantis fulminibus digna non sunt? quandoquidem linguam ipsis per externam sapientiam perpolire studemus, animam vero in ipso spurcitiæ cœno jacentem, omninoque putrescentem, non modo despicimus, sed etiam exsurgere volentem prohibemus.

Num quis adhuc dicere ausit posse salutem consequi eos, qui in tantis malis versantur? Qua ratione? Namque ii qui exoletorum vesaniam effugerunt, qui pauci sane numero sunt, amores illos violentos, qui omnia corrumpant, pecuniæ scilicet et gloriæ, non effugiunt: plerique autem et his ipsis, et una impudicis amoribus vehementius oppressi detinentur. Deinde cum illos literarum studiis tradere volumus, non tantum ea quæ huic institutioni officere possunt auferimus, sed quæ ipsam juvare possunt apparamus; pædagogos et magistros ipsis procuramus, pecunias expen-

λίσκοντες, καὶ τὴν ἀπὸ τῶν ἄλλων πραγμάτων παρέχοντες σχολὴν, καὶ τῶν ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι παιδοτριβῶν συνεχέστερον ἐπιφωνοῦντες αὐτοῖς τήν τε ἐκ τῆς ἀπαιδευσίας πενίαν καὶ τὸν ἀπὸ τῆς παιδεύσεως πλοῦτον, καὶ πάντα καὶ ποιοῦντες καὶ λέγοντες, καὶ δι' ἑαυτῶν καὶ δι' ἄλλων, ὥστε αὐτοὺς εἰς τὸ τέλος ἀγαγεῖν τῆς προκειμένης σπουδῆς, καὶ οὐδὲ οὕτω πολλάκις περιγινόμεθα· τρόπων δὲ ἐπιείκειαν, καὶ πολιτείας ἀρίστης ἀκρίβειαν αὐτόματον οἰησόμεθα παραγενέσθαι, καὶ ταῦτα τοσούτων ὄντων τῶν διακοπτόντων αὐτήν; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν, τὸ μὲν ῥᾷστον οὕτω μεγάλης ἀξιοῦν τιμῆς καὶ σπουδῆς, ὡς οὐκ ἐνὸν ταύτης ἄνευ αὐτὸ κατορθωθῆναί ποτε· δ δὲ πολλῷ δυσχερέστερόν ἐστι, τοῦτο καθεύδουσιν ἡμῖν ἐφίστασθαι νομίζειν, καθάπερ τι τῶν φαυλοτάτων καὶ οὐδαμινῶν; Φιλοσοφία γὰρ ψυχῆς λόγων παιδεύσεως τοσούτῳ δυσκολώτερόν τέ ἐστι καὶ ἐργωδέστερον, ὅσῳ τοῦ λέγειν τὸ πράττειν, καὶ ὅσῳ ῥημάτων ἔργα ἐστὶν ἐπιπονώτερα.

Καὶ τί δεῖ φιλοσοφίας, φησὶ, καὶ πολιτείας ἀκριβοῦς τοῖς ἡμετέροις παισί; Τοῦτο γάρ ἐστι, τοῦτο ὅπερ πάντα ἀπολώλεκεν, ὅτι πρᾶγμα οὕτως ἀναγκαῖον, καὶ τὴν ἡμετέραν συνέχον ζωὴν, περιττὸν εἶναι καὶ πάρεργον δοκεῖ. Καὶ περὶ σῶμα μὲν κάμνοντα τὸν υἱόν τις ἰδὼν οὐκ ἂν εἴποι, Τί δὲ αὐτῷ καθαρᾶς ὑγιείας δεῖ καὶ ἀκριβοῦς; ἀλλὰ πάντα ἂν πραγματεύσαιτο ὑπὲρ τοῦ τοσαύτην ἐγγενέσθαι τὴν εὐεξίαν, ὡς μηκέτι τὴν νόσον ἐπανελθεῖν· τῆς δὲ ψυχῆς ἀῤῥωστούσης, οὐδὲν δεῖν αὐτοῖς θεραπείας φασὶ, καὶ τολμῶσι μετὰ τὰ ῥήματα ταῦτα πατέρας καλεῖν ἑαυτούς. Τί οὖν; φιλοσοφήσομεν πάντες, φησὶ, καὶ τὰ τοῦ βίου οἰχήσεται; Οὐ τὸ φιλοσοφεῖν, ὦ βέλτιστε, ἀλλὰ τὸ μὴ τοῦτο ποιεῖν πάντα ἀπώλεσε καὶ διέφθειρε. Τίνες γὰρ, εἰπέ μοι, τῇ παρούσῃ καταστάσει λυμαίνονται, οἱ μετρίως ζῶντες καὶ ἐπιεικῶς, ἢ οἱ καινοὺς καὶ παρανόμους ἐπινοοῦντες τρυφῆς τρόπους; οἱ τὰ πάντων περιβαλέσθαι σπουδάζοντες, ἢ οἱ τοῖς οὖσιν ἀρκούμενοι; οἱ φάλαγγας οἰκετῶν ἔχοντες, καὶ σμήνη κολάκων καὶ παρασίτων περιάγοντες, ἢ οἱ μόνον οἰκέτην ἕνα ἀποχρῆν αὐτοῖς νομίζοντες; (οὔπω γὰρ τὴν ἄκραν τίθημι φιλοσοφίαν, ἀλλὰ τὴν πολλοῖς ἐφικτήν·) οἱ φιλάνθρωποι καὶ ἥμεροι καὶ μὴ δεόμενοι τῆς παρὰ τῶν πολλῶν τιμῆς, ἢ οἱ παντὸς ὀφλήματος μᾶλλον ταύτην παρὰ τῶν ὁμοφύλων ἀπαιτοῦντες, καὶ μυρίας ἐργαζόμενοι συμφορὰς, ἐπειδὴ μὴ ὑπανίστη, μηδὲ προσεῖπεν ὁ δεῖνα πρότερος, μηδὲ ὑπέκυψε, μηδὲ τὰ τῶν ἀνδραπόδων ἐπεδείξατο; οἱ μελετῶντες ἄρχεσθαι, ἢ οἱ δυναστειῶν ἐρῶντες καὶ ἀρχῶν, καὶ πάντα ὑπὲρ τούτου καὶ ποιῆσαι καὶ παθεῖν ἀνεχόμενοι; οἱ πάντων βελτίους εἶναι λέγοντες, καὶ διὰ τοῦτο πάντα καὶ λέγειν καὶ πράττειν ἑαυτοῖς ἐξεῖναι νομίζοντες, ἢ οἱ μετὰ τῶν ἐσχάτων ἀριθμοῦντες ἑαυτοὺς, καὶ ταύτῃ τὴν ἄλογον τῶν παθῶν ἐξουσίαν χολάζοντες; οἱ τὰς λαμπρὰς οἰκοδομούμενοι οἰκίας, καὶ τὰς πολυτελεῖς παρατιθέμενοι τραπέζας, ἢ οἱ μηδὲν

dimus, atque a cæteris rebus otium præstamus, ac frequentius quam paedotribæ in Olympicis certaminibus vociferantes, paupertatem quam imperitia, divitias quas eruditio affert exhibemus, nihil non agentes ac dicentes, et nostro et aliorum sermone, ut eos ad finem tantæ sollicitudinis perducamus, neque sic crebro voti compotes efficimur : morum vero probitatem, et honestæ vitæ curam ultro ipsis obventuram putabimus, cum maxime tot tantaque sint, quæ illam impediant? Quid hac absurditate deterius fuerit, id quod facillimum est in magno pretio habere, tam sollicite persequi, quasi non liceat illud aliter adipisci; quod autem longe difficilius est, hoc nobis dormientibus obventurum esse putare, quasi aliquid vilis pretii et parvi momenti? Philosophica quippe et christiana animæ disciplina literarum institutione tanto difficilior et operosior est, quanto difficilius est facere quam dicere, et quanto opera sunt sermonibus laboriosiora.

9. Et quid, inquies, philosophica et severa vitæ institutione filiis nostris opus? Illud enim, illud omnino est quod omnia perdidit, quod res ita necessaria, quæ vitam contineat nostram, superflua et otiosa esse videatur. Certe si quis filium mala corporis valetudine laborantem viderit, numquam dicet : Quid illi opus bona et firma valetudine? sed omnia molietur, ut bona valetudo ita ipsi restituatur, ut morbus postea non redeat. Anima vero ægrotante, nihil aiunt curatione opus esse, hisque prolatis verbis patres se vocare audent. Quid igitur? aiunt; philosophiam et monasticam vitam sectabimurne omnes, et quæ ad sæculum spectant pessum ibunt? Non ita prorsus, virorum optime, non philosophia nostra, sed ejus inopia omnia perdidit et corrupit. Quinam, quæso, præsentem rerum statum corrumpunt? illine qui moderate et probe vivunt, an qui novos et illegitimos excogitant deliciarum modos? qui res omnium sibi assumere nituntur, an qui suis contenti sunt? qui domesticorum phalangas habent, et assentatorum cuneos circumducunt, an qui servum unum sibi satis esse arbitrantur? (nondum enim de suprema philosophia loquor, sed de illa, quam plurimi adire possunt :) illine qui humani ac mansueti sunt, multitudinisque honorem non curant, an ii qui honorem plus quam omne debitum exigunt, innumerisque calamitatibus afficiunt eum qui non assurgat, non primus salutet, non se inclinet, cunctaque servorum obsequia præ se ferat? qui alieno imperio parere discunt, an qui magistratus præfecturasque amant, et hac de re omnia et facere et pati sustinent? qui se omnium optimos esse dicunt, ideoque omnia dicere et facere sibi licere arbitrantur, an qui se ultimis annumerant, et sic brutam vitiorum potentiam castigant? qui splendidas construunt ædes, et lautas apponunt mensas, an qui et cibo et

πλέον καὶ τροφῆς καὶ οἰκήσεως τῆς ἀναγκαίας ζητοῦντες; οἱ μυρία πλέθρα ἀποτεμνόμενοι γῆς, ἢ οἱ μηδὲ βῶλον μίαν ἀναγκαίαν αὑτοῖς πρὸς κτῆσιν εἶναι νομίζοντες; οἱ τόκους ἐπὶ τόκοις συλλέγοντες, καὶ πάσης ἐμπορίας κινοῦντες ὁδὸν ἄδικον, ἢ οἱ τὰς ἀδίκους ταύτας διασπῶντες συγγραφὰς, καὶ ἐκ τῶν ὄντων τοῖς δεομένοις ἐπικουροῦντες; οἱ τὸ εὐτελὲς τῆς ἀνθρωπίνης ἐπεσκεμμένοι φύσεως, ἢ οἱ μηδὲ τοῦτο αὐτὸ εἰδέναι θέλοντες, ἀλλ' ὑπὸ τῆς ἄγαν ἀλαζονείας καὶ τὸ ἀνθρώπους αὐτοὺς νομίζειν ἀπολελοιπότες; οἱ πόρνας τρέφοντες, καὶ τοῖς ἀλλοτρίοις λυμαινόμενοι γάμοις, ἢ οἱ καὶ τῆς ἑαυτῶν ἀπεχόμενοι γυναικός; Οὐχ οἱ μὲν, ὥσπερ οἰδήματα σώματι καὶ πνεύματα ἄγρια θαλάττῃ, τῇ πολιτείᾳ τῆς οἰκουμένης ἐπιφύονται, καὶ τοὺς καθ' ἑαυτοὺς σώζεσθαι δυναμένους χειμάζοντες διὰ τὴν ἀκρασίαν αὐτῶν· οἱ δὲ ὥσπερ ἐν σκότῳ βαθεῖ λαμπτῆρες φαιδροὶ τοὺς ἐν μέσῳ ναυαγοῦντας πρὸς τὴν οἰκείαν καλοῦσιν ἀσφάλειαν, καὶ τὰς τῆς φιλοσοφίας λαμπάδας ἀφ' ὑψηλοῦ πόρρωθεν ἅψαντες, οὕτω τοὺς βουλομένους ἐπὶ τὸν τῆς ἀπραγμοσύνης χειραγωγοῦσι λιμένα; Οὐ δι' ἐκείνους στάσεις καὶ πόλεμοι καὶ μάχαι, καὶ πόλεων κατασκαφαὶ, καὶ ἀνδραποδισμοὶ, καὶ δουλεῖαι, καὶ αἰχμαλωσίαι, καὶ φόνοι, καὶ τὰ μυρία ἐν τῷ βίῳ κακὰ, οὐ τὰ παρὰ ἀνθρώπων ἀνθρώποις ἐπαγόμενα μόνον, ἀλλὰ καὶ τὰ ἐκ τοῦ οὐρανοῦ πάντα, οἷον αὐχμοὶ καὶ ἐπομβρίαι, καὶ σεισμοὶ, καὶ καταπτώσεις, καὶ πόλεων καταποντισμοὶ, καὶ λιμοὶ, καὶ λοιμοὶ, καὶ τὰ ἄλλα πάντα, ὅσα ἡμῖν ἐκεῖθεν ἐπάγεται;

Οὐκοῦν οὗτοι οἱ τὴν πολιτείαν ἀνατρέποντες καὶ τοῖς κοινοῖς λυμαινόμενοι, οὗτοι οἱ καὶ ἑτέροις μυρίων αἴτιοι συμφορῶν, οἱ τοῖς βουλομένους ἡσυχάζειν ἐνοχλοῦντες, καὶ παντα χόθεν ἕλκοντες καὶ σπαράττοντες· διὰ τούτους δικαστήρια καὶ νόμοι καὶ τιμωρίαι, καὶ διάφοροι κολάσεων τρόποι. Καὶ καθάπερ ἐν οἰκίᾳ, ἔνθα πολλοὶ μὲν οἱ κάμνοντες, οἱ δὲ ὑγιαίνοντες ὀλίγοι, καὶ φάρμακα καὶ ἰατροὺς πολλοὺς εἰσελθόντας ἔστιν εὑρεῖν, οὕτω καὶ ἐν τῇ οἰκουμένῃ οὐκ ἔστιν ἔθνος, οὐκ ἔστι πόλις, ἔνθα μὴ πολλοὶ μὲν οἱ νόμοι, πολλοὶ δὲ οἱ ἄρχοντες, πολλαὶ δὲ αἱ τιμωρίαι. Οὐ γὰρ ἀρκεῖ τὰ φάρμακα αὐτὰ καθ' ἑαυτὰ ἀναστῆσαι τὸν κάμνοντα, ἀλλὰ δεῖ καὶ τῶν ἐπιτιθέντων αὐτά· ὅπερ εἰσὶν οἱ δικάζοντες, καὶ ἐκόντας καὶ ἄκοντας ἀναγκάζοντες δέχεσθαι τὴν ἰατρείαν αὐτούς. Ἀλλ' ὅμως οὗτος ὑπερέσχεν ἡ νόσος, ὡς καὶ αὐτῆς τῆς τῶν ἰατρῶν κρατῆσαι τέχνης, καὶ αὐτοὺς ἐπελθεῖν τοὺς δικάζοντας· καὶ συμβαίνει ταὐτὸ, οἷον ἂν εἴ τις πυρετῷ καὶ ὑδέρῳ συνεχόμενος, καὶ μυρίοις ἑτέροις πάθεσι χαλεπωτέροις, τῶν μὲν οἰκείων μὴ περιγίνοιτο κακῶν, ἑτέρους δὲ τοῖς αὐτοῖς ἐνεχομένους δεινοῖς ἀπαλλάττειν φιλονεικοίη. Ἡ γὰρ τῆς κακίας ἐπιῤῥοὴ, καθάπερ τις χειμάῤῥους, ἅπαντα τὰ κωλύματα ἀναῤῥήξασα, σφοδρῶς ἐπὶ τὰς τῶν ἀνθρώπων ἐξεχύθη ψυχάς.

Καὶ τί λέγω πολιτείας ἀνατροπήν; κινδυνεύει γὰρ οὗτος ὁ λοιμὸς, ὁ παρὰ τῶν πονηρῶν τούτων ἀρθεὶς,

domicilio simplici contenti nihil ampius requirunt? qui innumera terræ sulcant jugera, an qui ne glebæ quidem unius possessionem sibi necessariam existimant? qui fœnora fœnoribus adjicientes iniquam cujuslibet commercii viam adeunt, an qui iniquas hujusmodi syngraphas discerpunt, exque facultatibus suis egenos fovent? qui mortalis naturæ vilitatem considerant, an qui hanc ne scire quidem volunt, sed ingenti sua arrogantia, se homines existimare desierunt? qui meretrices alunt, alienasque nuptias polluunt, an qui a propria etiam uxore abstinent? Nonne illi quidem veluti tumores corpori ventique furentes mari adversus reclam orbis institutionem insurgunt, perque suam intemperantiam eos qui salutem nancisci poterant, in fluctus conjiciunt; hi vero tamquam luminaria in profundis tenebris micantia, eos qui naufragio proximi in medio versantur, ad securitatem evocant, et philosophiæ faces in sublimi loco procul accensas ponentes, sic eos qui voluerint ad tranquillum portum deducunt? Nonne propter illos seditiones, bella, pugnæ, urbium excidia, captivitates, servitutes, cædes et innumera sæculi mala? non tantum ea, quæ per homines hominibus inferuntur, sed etiam ea, quæ de cælo veniunt, ut siccitates, imbrium exundantiæ, terræ motus, ruinæ, urbium demersiones, fames, pestes, aliaque omnia, quæ nobis cælitus immittuntur?

10. Hi itaque sunt, qui rempublicam evertunt, reique communi pestem inferunt; hi aliis innumerarum calamitatum causa sunt, qui vitæ quietiori studentes perturbant, undique pertrahunt et dilaniant: horum causa tribunalia sunt, leges, mulctæ, et varii suppliciorum modi: ac quemadmodum in domo ubi multi jacent infirmi, incolumes vero sunt pauci, et medicamina et medicos multos videas, sic et in orbe toto nulla gens est, nulla civitas, ubi non multæ leges sint, multi magistratus, multa supplicia. Neque enim ipsa per se medicamina possunt ægrum erigere, nisi adsint qui imponant illa; hi vero sunt judices, qui ægros, velint nolint, ad medicinam accipiendam cogunt. Attamen ita morbus obtinuit, ut ipsam medicorum artem superet, ipsosque judices invaserit: id ipsumque contingit, ac si quis febri, morbo intercuti, innumerisque aliis gravioribus correptus infirmitatibus, mala quidem propria non superaret, sed alios, qui iisdem incommodis laborarent, ab iis eripere studeret. Siquidem nequitiæ fluctus, ceu torrens, obicibus sublatis omnibus in humanos animos vehementer effusus est.

Et quid loquor de rectæ institutionis eversione? Periculum enim est ne illa pestis ab improbis hominibus invecta

καὶ τοὺς περὶ τῆς προνοίας τοῦ Θεοῦ τῶν πολλῶν ἀπελάσαι λόγους· οὕτω πρόεισι καὶ νέμεται καὶ πάντα ἐπείγεται κατασχεῖν, καὶ τὰ ἄνω κάτω πεποίηκε, καὶ αὐτῷ λοιπὸν ἐπιστρατεύει τῷ οὐρανῷ, τὰς τῶν ἀνθρώπων γλώττας οὐκέτι κατὰ τῶν ὁμοδούλων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ πάντων κρατοῦντος ὁπλίζων Δεσπότου. Πόθεν γὰρ, εἰπέ μοι, ὁ πολὺς παντα-
5 χοῦ τῆς εἱμαρμένης λόγος; πόθεν ἄστρων ἀλόγῳ φορᾷ τὰ ὄντα ἀνατιθέασιν οἱ πολλοί; διὰ τί τύχην, διὰ
10 τί τὸ αὐτόματόν τινες προσβεύουσι; πόθεν εἰκῇ καὶ ἁπλῶς πάντα νομίζουσι φέρεσθαι; διὰ τοὺς ἐπιεικῶς ζῶντας καὶ μετρίως, ἢ δι' ἐκείνους, οὓς σὺ μὲν συνέχειν ἔφης τὴν πολιτείαν, ἐγὼ δὲ κοινὴν οὖσαν ἀπέδειξα τῆς οἰκουμένης λύμην; Δι' ἐκείνους δῆλον ὅτι. Οὐδεὶς γὰρ
15 ἀγανακτεῖ, ἐπειδὴ ὁ δεῖνα φιλοσοφεῖ, οὐδ' ὅτι ὁ δεῖνα ἐπιεικὴς καὶ μέτριος καὶ σώφρων, καὶ τῶν παρόντων ὑπερορᾷ πραγμάτων· ἀλλ' ὅτι ὁ δεῖνα πλουτεῖ, ὅτι τρυφᾷ, ὅτι πλεονεκτεῖ καὶ ἁρπάζει, ὅτι πονηρὸς ὢν καὶ μυρίων γέμων κακῶν, λαμπρός τί ἐστι καὶ εὐημε-
20 ρεῖ. Ταῦτα κατηγοροῦσι καὶ μέμφονται οἱ ἀπιστοῦντες Θεῷ· τούτοις προσπταίουσιν οἱ πολλοὶ, ὡς τῶν γε ἐπιεικῶς ἕνεκεν ζώντων, οὐ μόνον οὐδὲν ἂν φθέγξαιντο τῶν ῥημάτων τούτων, ἀλλὰ καὶ καταγνοῖεν ἑαυτῶν, ἐφ' οἷς ἂν προαχθῶσι τῆς τοῦ Θεοῦ κατηγορῆσαι προ-
25 νοίας. Καὶ εἰ πάντες, ἢ καὶ οἱ πλείους ἐβούλοντο οὕτω ζῆν, οὐδ' ἂν ἐνενόησαν ταῦτα τὰ ῥήματα, οὐδ' ἂν ὁ τῶν κακῶν τούτων ἐπεισῆλθε κολοφὼν, τὸ ζητεῖν πόθεν τὰ κακά. Κακῶν γὰρ οὐκ ὄντων οὐδὲ φαινομένων, τίς ἂν προήχθη τὴν αἰτίαν ζητῆσαι τῶν κακῶν,
30 καὶ μυρίας ἀπὸ τῆς ζητήσεως ταύτης αἱρέσεις ἀνατέμνειν; Καὶ γὰρ Μαρκίων, καὶ Μάνης, καὶ Οὐαλεντῖνος, καὶ τῶν Ἑλλήνων οἱ πλείους ἐντεῦθεν ἔλαβον τὴν ἀρχήν. Εἰ δὲ πάντες ἐφιλοσόφουν, οὐκ ἔδει ταῦτα ζητεῖν, ἀλλ' εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ γοῦν τῆς ἀρίστης
35 ταύτης πολιτείας ἔμαθον ἂν ἅπαντες, ὅτι ὑπὸ Θεῷ ζῶμεν βασιλεῖ, καὶ τὰ ἡμέτερα οὗτος διοικεῖ καὶ κυβερνᾷ πράγματα κατὰ τὴν αὐτοῦ σοφίαν καὶ σύνεσιν· ᾧ κινεῖται μὲν καὶ νῦν, φαίνεται δὲ οὐ ῥᾳδίως διὰ τὴν πολλὴν ἀχλὺν, ἣν κατεσκέδασαν οὗτοι τῆς οἰκουμένης ἁπάσης· εἰ δὲ μὴ
40 τοῦτο ἦν, καθάπερ ἐν σταθερᾷ μεσημβρίᾳ καὶ λευκῇ γαλήνῃ πᾶσιν ἂν ἡ τοῦ Θεοῦ πρόνοια διεφάνη. Εἰ γὰρ μήτε δικαστήρια ἦν, μήτε κατήγοροι, μήτε συκοφάνται, μὴ βάσανοι καὶ τιμωρίαι, μὴ δεσμωτήρια καὶ κολάσεις, μὴ δημεύσεις καὶ ζημίαι, μὴ φόβοι καὶ κίνδυνοι,
45 μὴ ἔχθραι καὶ ἐπιβουλαὶ, μὴ λοιδορίαι καὶ μῖσος, μὴ λιμοὶ καὶ λοιμοὶ, μηδ' ἄλλο τι τούτων τῶν ἀπηριθμημένων δεινῶν, ἀλλὰ πάντες μετ' ἐπιεικείας ἔζων τῆς προσηκούσης, τίς ἂν τῶν ζώντων ἁπάντων ἠμφισβήτησε περὶ τῆς τοῦ Θεοῦ προνοίας; Οὐκ ἔστιν οὐδείς. Νυνὶ
50 δὲ ταὐτὸ συμβαίνει, οἷον ἂν εἰ χειμῶνος καταλαβόντος ἐργάζοιτο μὲν ὁ κυβερνήτης τὸ αὑτοῦ, καὶ διασώζοι τὸ σκάφος, μὴ φαίνοιτο δὲ αὐτοῦ τῆς ἐπιστήμης ἡ ἀκρίβεια τοῖς ἐπιβάταις διὰ τὴν ταραχὴν καὶ τὸν φόβον καὶ τὴν ἀγωνίαν τῶν ἐπικρεμαμένων κακῶν. Ἐπεὶ καὶ

etiam doctrinam de providentia Dei ex plurimorum animis expellat: usque adeo progreditur, augetur, omnia pervadere satagit, omnia susdeque evertit, demumque adversus ipsum cælum suscipit bellum, dum hominum linguas, non jam contra conservos, sed contra omnibus imperantem Dominum armat. Undenam, quæso, tot illi ubique de fato sermones? undenam irrationabili siderum motui omnia quæ fiunt, adscribunt plurimi? cur fortunam, cur casum quidam prædicant? cur temere et sine ratione ferri omnia putant? propter eosne, qui probe et moderate vivunt, an propter eos quos tu dicebas rempublicam continere, ego vero communem orbis pestem esse monstravi? Propter los sane, ut liquet. Nemo enim indignatur, quod hic aut ille philosophetur, aut quod probus moratusque sit, aut temperans, quodque res hujus sæculi despiciat; sed quod ille sit opulentus, quod in deliciis agat, quod avarus sit, quod rapiat, quod cum sit improbus vitiisque plenus innumeris, tamen splendidus sit et prospere agat. Hæc querentes et incusantes jactitant, qui Deo non credunt: his offenduntur plurimi, ita ut illorum gratia, qui probe vitam agunt, non modo hujusmodi nihil loquuturi sint, sed se ipsos damnaturi, si ad providentiam Dei incusandam inducti fuerint. Quodsi omnes aut certe major hominum pars ita vivere vellent, nullus umquam ejusmodi verba cogitasset, neque ille malorum colophon inductus fuisset, ut quæreretur unde sint mala. Nam si mala nec essent, nec apparerent, quis voluisset quænam sit malorum causa quærere, et per hanc quæstionem innumeras hæreses suscitare? Etenim Marcion, Manes, Valentinus, et plurimi Græcorum hinc initium sumserunt. Si autem omnes philosopharentur, nullus esset huic quæstioni locus; sed si non aliunde, ab hac saltem optima vivendi ratione didicissent omnes, nos sub Deo rege vivere, illumque res nostras secundum sapientiam prudentiamque suam administrare et moderari. Qui nunc quoque omnia movet, sed non facile perspicitur ob ingentem illam nebulam, quam per totum terrarum orbem effuderunt. Quodsi res non ita se haberet, quasi in meridiana luce et sereno aere Dei providentia omnibus appareret. Nam si non essent tribunalia, non accusatores, non sycophantæ, non cruciatus, non mulctæ, non carceres, non supplicia, non bonorum publicationes, non damna, non timores et pericula, non inimicitiæ, non insidiæ, non convicia et odia, non fames, non pestes, non aliud quidpiam eorum, quæ in ærumnis numerantur, sed omnes congruenie cum probitate viverent, quis umquam vivorum de providentia divina dubitaret? Profecto nullus. Nunc autem id ipsum contingit, ac si ingruente tempestate, gubernator suas impleret partes, et scaphan servaret, ejus tamen peritia diligentiaque a vectoribus non adverteretur, ob perturbationem, metum, impendentiumque malorum sollicitudinem. Deus quippe

ὁ Θεὸς κυβερνᾷ μὲν τὸ πᾶν τοῦτο καὶ νῦν, οὐ φαίνεται δὲ τοῖς πολλοῖς διὰ τὸν τῶν πραγμάτων χειμῶνα καὶ τὴν ταραχήν, ἣν οὗτοι δὴ μάλιστα πάντων ἐργάζονται. Ὥστε οὐ μόναν πολιτείαν ἀνατρέπουσιν, ἀλλὰ καὶ εὐσέβειαν λυμαίνονται· καὶ οὐκ ἄν τις διαμάρτοι κοινοὺς ἐχθροὺς τούτους προσειπών, οἳ κατὰ τῆς ἑτέρων ζῶσι σωτηρίας, δόγμασι μιαροῖς καὶ βίοις ἀκαθάρτοις τοὺς μεθ' ἑαυτῶν ἐμπλέοντας καταδύοντες.

Ἀλλ' οὐκ ἐν τοῖς μοναστηρίοις τούτων οὐδέν ἐστιν ἰδεῖν, ἀλλὰ καίτοι χειμῶνος ἠρμένου τοσούτου, μόνοι κάθηνται ἐν γαλήνῃ καὶ λιμένι καὶ ἀσφαλείᾳ πολλῇ, καθάπερ ἐξ οὐρανοῦ τὰ τῶν ἄλλων ἐπισκοποῦντες ναυάγια· καὶ γὰρ πολιτείαν οὐρανῷ πρέπουσαν εἵλοντο, καὶ ἀγγέλων οὐδὲν χεῖρον διάκεινται. Ὥσπερ οὖν ἐν ἐκείνοις οὐκ ἔστιν ἀνωμαλία τις, οὐδὲ οἱ μὲν ἐν εὐημερίᾳ, οἱ δὲ ἐν ἐσχάτοις κακοῖς, ἀλλ' ἅπαντες ἐν εἰρήνῃ μιᾷ καὶ χαρᾷ καὶ δόξῃ, οὕτω δὴ καὶ ἐνταῦθα· οὐδεὶς ὀνειδίζει πενίαν, οὐδεὶς ἐπὶ πλούτῳ σεμνύεται· τὸ σὸν καὶ τὸ ἐμὸν, τοῦτο δὴ τὸ πάντα ἀνατρέπον καὶ θορυβοῦν, ἐξώρισται, καὶ πάντα αὐτοῖς κοινὰ, καὶ τράπεζα καὶ οἴκησις καὶ ἱμάτια. Καὶ τί θαυμαστὸν, ὅπου γε καὶ αὐτὴ ἡ ψυχὴ μία πᾶσι καὶ ἡ αὐτή; Πάντες τὴν αὐτὴν εὐγένειάν εἰσιν εὐγενεῖς, τὴν αὐτὴν δουλείαν δοῦλοι, τὴν αὐτὴν ἐλευθερίαν ἐλεύθεροι· εἷς ἐκεῖ πλοῦτος πᾶσιν ὁ ὄντως πλοῦτος, μία δόξα ἡ ὄντως δόξα· οὐ γὰρ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν αὐτοῖς τὰ ἀγαθά· μία ἡδονὴ, μία ἐπιθυμία, μία ἐλπὶς πᾶσι, καὶ καθάπερ ἀπὸ κανόνος τινὸς καὶ στάθμης ἅπαντα διηκρίβωται, καὶ ἀνωμαλία μὲν οὐδεμία, τάξις δὲ καὶ ῥυθμὸς καὶ ἁρμονία καὶ πολλὴ τῆς συμφωνίας ἡ ἀκρίβεια, καὶ διηνεκὴς εὐθυμίας ὑπόθεσις. Διὸ πάντες πάντα ποιοῦσι καὶ πάσχουσιν, ἵνα εὐθυμῶσί τε καὶ χαίρωσιν. Ἐκεῖ γὰρ μόνον τοῦτο καθαρῶς συμβαῖνον ἔστιν ἰδεῖν, ἄλλοθι δὲ οὐδαμοῦ, οὐ μόνον τῷ τῶν παρόντων ὑπερορᾶν, καὶ πᾶσαν ἐκκεκόφθαι στάσεως καὶ μάχης ὑπόθεσιν, καὶ λαμπρὰς αὐτοῖς εἶναι περὶ τῶν μελλόντων τὰς ἐλπίδας, ἀλλὰ καὶ τῷ τὰ συμβαίνοντα ἑκάστῳ λυπηρὰ καὶ χρηστὰ κοινὰ πάντων εἶναι νομίζειν. Ἥ τε γὰρ ἀθυμία ἀφανίζεται ῥᾴδιον, ἀναλόγως τῷ ἐνὶ συνδιαφερόντων τὸ φορτίον ἁπάντων, τῆς τε εὐθυμίας πολλὰς ἔχουσι τὰς ὑποθέσεις, οὐκ ἐπὶ τοῖς ἑαυτῶν μόνοις εὐφραινόμενοι καλοῖς, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλήλων οὐχ ἧττον ἢ ἐπὶ τοῖς ἑαυτῶν. Πῶς οὖν ἡμῖν οἰχήσεται τὰ πράγματα, ἂν τούτους πάντας ζηλώσωμεν; Νῦν γὰρ οἴχεται καὶ διέφθαρται διὰ τοὺς πόρρω τῆς πολιτείας ταύτης ἠσκημένους. Σὺ δὲ τἀναντία ψηφιζόμενος ταὐτὸ ποιεῖς, ὥσπερ ἂν εἴ τις καὶ λύραν μὲν ἀκριβῶς ἡρμοσμένην λυμαίνεσθαι τῇ μουσικῇ λέγοι, τὴν δὲ ἀνάρμοστον καὶ διερρηγμένην καὶ ἐπιτάσει καὶ ἀνέσει διεφθαρμένην ἀμέτρῳ, ταύτην ἐπιτηδείαν εἶναι καὶ πρὸς κρούματα καὶ πρὸς τέρψιν τῶν θεατῶν· ἀλλ' οὐδὲν οὔτε τῆς ἀμουσίας τοῦ ταῦτα λέγοντος ἕτερον τούτου μεῖζον τεκμήριον ἐζητήσαμεν ἄν, οὔτε τῆς βασκανίας καὶ μισανθρωπίας τῶν τὰ τοιαῦτα ψηφιζομένων δεῖγμα τῆς ψήφου σαφέστερον ἄλλο.

hoc universum etiam nunc gubernat, multis autem id non apparet ob rerum perturbationem ac tempestatem, quam hi maxime omnium excitant. Itaque non tantum institutionem morum evertunt, sed et piam religionem labefactant : nec sane peccabit qui eos communes inimicos appellaverit, qui ideo vivunt ut cæterorum saluti adversentur, exsecrandaque sua doctrina, atque impurissima vita, eos qui secum navigant, demergunt.

11. At in monasteriis nihil hujusmodi videre est; sed etiamsi tanta tempestas intumescat, soli in tranquillitate, in portu et securitate magna residunt, ac quasi ex cælo ipso cæterorum naufragia spectant. Namque vitæ genus cælo dignum delegerunt, nec minorem angelico statum obtinent. Quemadmodum enim apud angelos nulla est inæqualitas, neque alii prospere, alii in extremis malis versantur, sed omnes in una pace, lætitia et gloria, sic et his in locis : nemo paupertatem exprobrat, nemo de divitiis gloriatur; meum et tuum illud, quod omnia subvertit et perturbat, penitus exulat : omnia ipsis communia sunt, mensa, domicilium, vestimenta. Et quid mirum, quando ipsa anima una eademque omnibus est? Omnes eadem sunt nobilitate nobiles, eadem servitute servi, eadem libertate liberi. Unæ illic omnibus divitiæ, quæ vere divitiæ sunt : una gloria, quæ vere gloria : non enim nomine, sed re bona tenent; una voluptas, unum desiderium, una spes omnibus : ac quasi quadam norma et libra omnia accurate sunt ordinata; nulla inæqualitas, sed ordo, concinnitas, harmonia et concordia exactissima, perpetuaque lætitiæ materia. Quamobrem omnes omnia faciunt et patiuntur, ut lætentur et gaudeant. Illic enim solum videas hæc perfecte contingere, nusquam alibi : non modo quod præsentia omnia contemnant, atque omnem rixæ ac discordiæ materiam abscederint, splendidaque futurorum spe fulti sint, sed etiam quod ea quæ singulis accidunt, seu tristia seu bona, omnibus communia esse putent. Mœror quippe facilius tollitur, cum proportione quadam omnes singulorum comportent onera : lætitiæ vero multas habent occasiones, non de suis modo commodis, sed de aliorum quoque, non minus quam de suis, gaudentes. Quomodo igitur perituræ sint res nostræ, si cuncti hos imitemur? Nunc enim propter eos perierunt ac corruptæ sunt, qui longe ab hoc vitæ instituto versantur. Tu vero dum contraria decernis, id ipsum facis, ac si quis lyram concinne aptatam perdere dicat harmoniam musicam, inconcinnam vero et diruptam et intentione aut remissione nimia conturbatam, hanc idoneam esse ad pulsationem et ad spectatorum voluptatem. Verum neque ad musicæ imperitiam hæc dicentis probandam aliud majus argumentum quæreremus, neque ad livorem et inhumanitatem illorum, qui ita decernunt, commonstrandam clarius aliud ipsorum sententiæ specimen requireremus.

Ἀλλὰ τίς ὁ τῶν ἐπιεικεστέρων λόγος πατέρων; Μαθέτωσαν, φησὶ, γράμματα πρότερον, καὶ τὴν τῶν λόγων προσλαβόντες δύναμιν, οὕτως ἐπὶ τὴν φιλοσοφίαν ἀγέσθωσαν ταύτην· τότε ὁ κωλύσων οὐδείς. Καὶ πόθεν δῆλον ὅτι πάντως εἰς ἄνδρας ἐκβήσονται; πολλοὶ γὰρ ἀώρῳ προαναρπασθέντες ἀπῆλθον θανάτῳ. Ἀλλ' ἔστω καὶ τοῦτο εἶναι φανερόν· θῶμεν αὐτοὺς καὶ εἰς ἄνδρας τελέσειν· τίς ἐγγυήσεται τὴν προτέραν ἅπασαν ἡλικίαν; Οὔπω γὰρ οὐδὲν πρὸς φιλονεικίαν φθέγγομαι, ὅτι εἴ τις ὑπὲρ τούτων παρεῖχε θαρρεῖν, οὐδὲ κτησαμένους τὴν δύναμιν ταύτην ἐξήγαγον ἂν, ἀλλὰ τότε μάλιστα μένειν ἐκέλευσα, καὶ τοὺς φυγαδεύοντας αὐτοὺς οὐκ ἂν ἐπῆνεσα, ἀλλ' ὡς κοινοὺς τῆς πολιτείας ἐχθροὺς ἀπεστράφην ἄν, ὅτι τοὺς λύχνους κρύπτοντες, καὶ τοὺς φωστῆρας ἀπὸ τῆς πόλεως ἐπὶ τὴν ἐρημίαν ἄγοντες, τὰ μέγιστα τοὺς ἐνδον οἰκοῦντας ἐζημίουν ἀγαθά. Εἰ δὲ οὐδεὶς ὁ ταῦτα ὑποσχησόμενος, τί τὸ ὄφελος πέμπειν εἰς διδασκάλους, ἔνθα πρὸ τῶν λόγων κακίαν εἴσονται, καὶ τὸ ἔλαττον βουλόμενοι λαβεῖν, τὸ μεῖζον ἀπολέσουσι, τῆς ψυχῆς τὴν ἰσχὺν καὶ τὴν εὐεξίαν ἅπασαν; Τί οὖν; κατασκάψομεν τὰ διδασκαλεῖα, φησίν; Οὐ τοῦτο λέγω, ἀλλ' ὅπως μὴ τὴν τῆς ἀρετῆς καθέλωμεν οἰκοδομὴν, καὶ ζῶσαν κατορύξωμεν τὴν ψυχήν· σωφρονούσης μὲν γὰρ ταύτης οὐδεμία ἀπὸ τῆς τῶν λόγων ἀπειρίας ἔσται ζημία, διεφθαρμένης δὲ μεγίστη ἡ βλάβη, κἂν σφόδρα ἡ γλῶττα ἠκονημένη τυγχάνῃ, καὶ τοσούτῳ μείζων, ὅσῳπερ ἂν ἐκείνη προσῇ ἡ δύναμις. Πονηρία γὰρ τὴν τοῦ λέγειν προσλαβοῦσα ἐμπειρίαν, πολλῷ χείρονα τῆς ἀμαθίας ἐργάζεται τὰ δεινά. Ἂν δὲ ἀπελθόντες ἐκεῖ, φησὶ, πρὸς τῷ τὴν γλῶσσαν ἀργοτέραν ἔχειν, καὶ τῆς ἀρετῆς ἐκπέσωμεν ἐκείνης; Ἂν δὲ μένοντες, εἰπέ μοι, πρὸς τῷ τὴν ψυχὴν διαφθεῖραι, μηδὲν εἰς εὐγλωττίαν ἀπόνωνται τῆς σχολῆς; ἐμοὶ γὰρ ἁρμόσει ταῦτα λέγειν μᾶλλον, ἢ ἐκεῖνα σοί. Τί δήποτε; Ὅτι εἰ καὶ τὸ τοῦ μέλλοντος ἄδηλον ἑκατέρου, τὸ σὸν ἀδηλότερον. Πῶς καὶ διὰ τί; Ὅτι ἡ μὲν τῶν λόγων σπουδὴ τῆς ἀπὸ τῶν τρόπων ἐπιεικείας δεῖται, ἡ δὲ τῶν τρόπων ἐπιείκεια οὐκέτι τῆς ἀπὸ τῶν λόγων προσθήκης. Σωφροσύνην μὲν γὰρ καὶ χωρὶς τῆς παιδεύσεως ταύτης κατορθῶται ἔνι, λόγων δὲ δύναμιν χωρὶς τρόπων χρηστῶν οὐδεὶς ἂν προσλάβοι ποτὲ, παντὸς τοῦ χρόνου εἰς κακίαν καὶ ἀσέλγειαν ἀναλισκομένου. Ὥστε ὅπερ ἐκεῖ δέδοικας, τοῦτο καὶ ἐνταῦθα φοβεῖσθαι χρή· καὶ πολλῷ μᾶλλον ἐνταῦθα, ὅσῳ καὶ πυκνότεραι αἱ ἀποτυχίαι, καὶ περὶ τῶν μειζόνων ὁ κίνδυνος. Κἀκεῖ μὲν πρὸς ἓν ἠσχολῆσθαι μόνον ἀνάγκη, ἐνταῦθα δὲ τῶν δύο κρατῆσαι πρόκειται, ὡς οὐκ ἐνὸν θάτερον χωρὶς θατέρου λαβεῖν, οὐδὲ σωφροσύνης χωρὶς τοὺς λόγους εἰδέναι. Εἰ δὲ βούλει, καὶ τὸ ἀδύνατον τοῦτο θῶμεν εἶναι δυνατόν· τί γένοιτ' ἂν ἡμῖν ἀγαθὸν ἀπὸ τῆς τούτων ἐμπειρίας, περὶ τὰ καίρια λαμβάνουσι τὴν πληγήν; τί δὲ κακὸν ἀπὸ τῆς ἀπειρίας, τῶν μεγίστων ἡμῖν κατορθουμένων; Καὶ ταῦτα οὐ παρ' ἡμῖν μόνον τοῖς καταγελῶσι τῆς ἔξωθεν σοφίας, καὶ μωρίαν αὐτὴν εἶναι νο-

Verum quid dicunt patres illi qui honestiore animo sunt? Discant, aiunt, primum literas, atque cum probe illis imbuti fuerint, tunc philosophiam hanc exerceant: tunc nemo prohibebit. At unde certum est illos ad virilem ætatem perventuros esse? multi enim præmatura morte sublati sunt. Sed concedatur id certum esse, ponamusque illos futuros esse viros: quis sponsor erit pro tota illa priori ætate? Nihildum contentiose dico; nam si quis hanc præberet fiduciam, ne tum quidem educerem cum literis imbuti essent, sed tunc præcipue illic manere juberem; nec laudarem eos, qui ad fugam cohortarentur, sed ut communes reipublicæ hostes aversarer: quia lucernas occultantes, et luminaria ex urbe in desertum ducentes, civitatem maximis privarent emolumentis. Sin autem nemo fuerit, qui hæc polliceri possit, quæ utilitas si ad magistros mittantur, ubi prius vitia quam literas ediscent, dumque id quod minus est assequi studebunt, quod majus est perdent, vires animi scilicet, omnemque probitatis indolem? Quid ergo? ludosne omnes literarios diruemus? aiunt. Minime hoc dico: sed ut ne virtutis destruamus ædificium, neu vivam obruamus animam. Quæ si temperans quidem fuerit, nullum ex literarum imperitia sequetur detrimentum; sin corrupta fuerit, maximum damnum erit, etiamsi lingua vehementer acuta fuerit et expolita, tantoque majus damnum, quanto major dicendi vis accesserit. Nequitia enim cum dicendi facultate conjuncta multo deteriora, quam imperitia, mala parere solet. Quid si illuc abeuntes, inquiet, præterquam quod tardiorem linguam habituri simus, ab illa etiam virtute excidamus? Quid vero si manentes, dic mihi, præterquam quod animam perdant, nihil ad eloquentiam in scholis proficiant? mihi quippe magis hæc dicere convenit, quam illa tibi. Quare? Quia etsi utrimque futurum incertum est, ex tua parte incertius est. Quomodo et qua de causa? Quia literarum studium morum probitate opus habet, morum autem probitas non item additis literis. Temperantiam nempe sine hac eruditione exercere possumus, eruditionem vero absque morum probitate nemo assequatur umquam, cum omne tempus in nequitia et lascivia absumatur. Itaque quod illic metuebas, hic quoque timendum est; imo tanto magis hic, quanto frequentius a scopo aberratur, et quanto majoribus de rebus periculum est. Atque illic quidem unius tantum rei exercitatio necessaria est, hic autem duæ res acquirendæ proponuntur, ita ut alteram sine altera nancisci nequeas, literas nempe sine temperantia. Sin autem vis, quod vere non potest esse, concedamus esse posse: quid tandem boni nobis ab hac peritia contingat, si letali vulnere confodiamur? quid vero mali ab imperitia, si quæ maxima sunt assequamur? Hæc vero non solum apud nos, qui externam illam sapientiam ridemus, eamque stultitiam

μίζουσιν, ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς ἔξωθεν φιλοσόφοις οὕτω συνωμολόγηται. Καὶ διὰ τοῦτο οἱ μὲν πολλοὶ οὐ σφόδρα ἐπεμελήθησαν τοῦ πράγματος· οἱ δὲ καὶ τέλεον κατεφρόνησαν, καὶ διετέλεσαν ὄντες ἀμαθεῖς, καὶ τὸν ἅπαντα βίον ἐν τῷ τῆς φιλοσοφίας ἠθικωτέρῳ διατρίψαντες μέρει, σφόδρα ἔλαμψαν, καὶ γεγόνασι διαφανεῖς. Καὶ γὰρ Ἀνάχαρσις καὶ Κράτης καὶ Διογένης οὐδεμίαν ἐποιήσαντο σπουδὴν τούτου· φασί δέ τινες, οὐδὲ Σωκράτης, καὶ μαρτυρήσειεν ἂν ἡμῖν ὁ μάλιστα πάντων ἐν τῇ τέχνῃ ταύτῃ διενεγκών, καὶ τὰ ἐκείνου τῶν ἄλλων εἰδὼς ἀκριβέστερον. Εἰσαγαγών γάρ αὐτόν ποτε εἰς δικαστήριον ὡς ἀπολογησόμενον, ἐν τῇ πρὸς τοὺς δικαστὰς ἀπολογίᾳ ἐποίησεν οὕτω λέγοντα· « Ὑμεῖς δὲ ἐμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν, οὐ μέντοι μὰ Δί', ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. Πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκησάτω ἄλλως. Οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰσιέναι. » Ταῦτα δὲ ἔλεγε δεικνὺς ὅτι οὐ διὰ ῥᾳθυμίαν τινὰ, ἀλλὰ διὰ τὸ μὴ μέγα τὸ πρᾶγμα ἡγεῖσθαι οὔτε ἔμαθεν οὔτε ἐχρήσατο. Οὐκ οὖν φιλοσόφων μὲν ἄξιον ἡ εὐγλωττία, καὶ ἀνδρῶν δὲ ἁπλῶς, μειρακίων δὲ παιζόντων φιλοτιμία, ὡς καὶ αὐτοῖς τοῖς φιλοσόφοις δοκεῖ, οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ τῷ πάντων μάλιστα ἐν τούτῳ κεκρατηκότι· τὸν γὰρ διδάσκαλον οὐκ ἀφίησι κοσμεῖσθαι τῷ πράγματι, αἰσχρὸν τῷ φιλοσόφῳ τὸν κόσμον τοῦτον εἶναι νομίζων. Ἀλλὰ ταῦτα μὲν ὡς πρὸς ἄπιστον δικαίως ἄν τις εἴποι, μᾶλλον δὲ καὶ πρὸς τὸν πιστόν. Πῶς γὰρ οὐκ ἄτοπον, ὅταν οἱ μὲν τὴν παρὰ τῶν πολλῶν δόξαν θηρώμενοι, καὶ οὐδὲ ἄλλοθεν φανῆναι δυνάμενοι, ἀλλ' ἢ ἀπὸ τῆς ἔξωθεν σοφίας, μηδὲν αὐτὴν εἶναι νομίζωσιν, ἡμεῖς δὲ οὕτω θαυμάζωμεν καὶ ἐκπληττώμεθα, ὡς καὶ τῶν ἀναγκαιοτάτων διὰ ταύτην καταφρονεῖν;

Πρὸς μὲν οὖν τὸν ἄπιστον ταῦτα ἀρκεῖ, πρὸς δὲ τὸν πιστὸν καὶ ταῦτα καὶ τὰ παρ' ἡμῖν ὑποδείγματα ἀναγκαῖον παράγειν. Ποῖα δὴ ταῦτα; Τοὺς μεγάλους ἄνδρας καὶ ἁγίους ἐκείνους, τοὺς πρώτους, ὅτε γράμματα οὐκ ἦν, τοὺς μετ' ἐκείνους, ὅτε γράμματα μὲν ἦν, ἐμπειρία δὲ λόγων οὐδέπω, τοὺς μετὰ τούτους, ὅτε καὶ γράμματα ἦν καὶ ἐμπειρία λόγων. Ἀμφοτέρων δὲ ἦσαν τότε ἄπειροι ἐκεῖνοι· οὐ μόνον γὰρ τῆς τῶν λόγων παιδεύσεως, ἀλλὰ καὶ αὐτῆς τῆς τῶν γραμμάτων ἐμπειρίας ἐκτὸς ἔστησαν· ἀλλ' ὅμως ἐν αὐτοῖς τούτοις, οἷς μάλιστα ἡ τῶν λόγων ἰσχὺς ἀναγκαία εἶναι δοκεῖ, μετὰ τοσαύτης περιουσίας τοὺς ἐν αὐτῇ κρατοῦντας παρήλασαν, ὡς παίδων ἀνοήτων αὐτοὺς φανῆναι χείρους. Ὅταν γὰρ τὸ πείθειν ἐν τοῖς λόγοις ᾖ, καὶ οἱ μὲν φιλόσοφοι μηδὲ ἑνὸς περιγίνωνται τυράννου, οἱ δὲ ἀγράμματοι καὶ ἰδιῶται τὴν οἰκουμένην ἐπιστρέφουσιν ἅπασαν, εὔδηλον ὅτι παρὰ τούτοις τὰ νικητήρια τῆς σοφίας ἐστὶ, τοῖς ἀγραμμάτοις καὶ ἰδιώταις, οὐ παρ'

esse arbitramur, sed etiam apud ipsos exteros philosophos in confesso habentur. Ideo ex illis plurimi non multum literas curarunt; alii vero penitus contemserunt, et imperiti permanserunt, totamque vitam in ea philosophiæ parte, quæ mores respicit, agentes, clarissimi atque celeberrimi evaserunt. Etenim Anacharsis, Crates et Diogenes ejus nullam habuere curam; imo ne Socrates quidem, ut nonnulli dicunt, hujusque rei testis nobis esse possit is qui hac in arte longe cæteros antevertit (*Plato*), et qui ea quæ illum spectabant, longe accuratius quam cæteri noverat. Cum enim illum aliquando ad tribunal introduxisset, ut causam suam defenderet, in apologia ad judices ita loquentem inducit: *Vos autem ex me audituri estis omnem veritatem; non tamen, mehercle, viri Athenienses, oratione eleganti, ut isti, verbis ac nominibus exornata: sed audituri estis vulgaribus obviisque vocabulis loquentem. Credo enim justa esse quæ dico, nullusque vestrum aliud exspectet. Neque enim profecto, judices, huic ætati convenit, velut adolescentulo, concinnatis ad vos ingredi verbis.* Hoc autem cum dicit, ostendit se non ex negligentia, sed quod eam rem non magni faceret, nec didicisse, nec illa usum fuisse. Itaque non est philosophis digna res eloquentia, imo ne viris quidem, sed adolescentulorum tantum ludentium æmulatio, ut et ipsis quoque philosophis videtur; nec aliis modo philosophis, sed etiam ei, qui omnes facile superavit: etenim magistrum ea re ornari non permittit, cum eum ornatum turpem philosophoque indignum existimet. Verum hæc ad infidelem quempiam merito quis dixerit; imo vero ad fidelem magis. Quomodo enim non absurdum fuerit, cum ii etiam, qui multitudinis auram aucupantur, nec alio modo quam externa sapientia exsplendescere possunt, eam nihil esse arbitrentur, nos illam usque adeo mirari tantique facere, ut ea quæ maxime necessaria sunt propter illam contemnamus?

12. Ad infidelem quidem hæc satis sunt: ad fidelem vero et hæc et alia ex nostris documenta afferenda sunt. Quænam illa? Magni illi et sancti viri, qui primi fuerunt, cum literæ nondum essent; tum ii qui post illos fuerunt, cum literæ quidem essent, dicendi vero peritia nondum; et qui hos sequuti sunt, cum et literæ et dicendi peritia essent. Utrorumque vero tum illi experles erant; non modo enim eloquentiæ institutione, sed etiam literarum peritia vacui erant: qui tamen vel iis in rebus, in quibus eloquentiæ vis necessaria esse videtur, usque adeo iis qui illa instructi erant, antecelluerunt, ut hi insipientibus pueris deteriores esse viderentur. Cum enim persuadendi vis in eloquentia maxime sita sit, et tamen philosophi ne unum unquam tyrannum superaverint; illi vero imperiti et idiotæ totum orbem converterint, planum est apud eos, scilicet literarum imperitos et idiotas, sapientiæ palmam esse, non

ἐκείνοις τοῖς τὰ ἑκάτερα διηκριβωκόσιν. Οὕτως ἡ ὄντως σοφία καὶ ἡ ὄντως παίδευσις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ὁ τοῦ Θεοῦ φόβος. Καὶ μή μέ τις νομιζέτω νομοθετεῖν ἀμαθεῖς τοὺς παῖδας γίνεσθαι· ἀλλ' εἴ τις ὑπὲρ τῶν ἀναγκαίων παρέχοι θαρρεῖν, οὐκ ἂν ἑλοίμην κωλῦσαι καὶ τοῦτο ἐκ περιουσίας γενέσθαι. Ὥσπερ γὰρ, τῶν θεμελίων σαλευομένων, καὶ πάσης τῆς οἰκοδομῆς κινδυνευούσης καταπεσεῖν, ἐσχάτης ἀνοίας καὶ παραπληξίας ἐστὶ πρὸς τοὺς κονιῶντας, ἀλλὰ μὴ πρὸς τοὺς οἰκοδομοῦντας τρέχειν· οὕτω πάλιν ἀκαίρου φιλονεικίας, τῶν τοίχων ἑστώτων ἀσφαλῶς καὶ βεβαίως, κωλύειν τὸν βουλόμενον κονιᾶν.

Καὶ ὅτι ταῦτα ἀπὸ ψυχῆς λέγω, ἅπερ ἐπὶ τῶν ἔργων ἐπεδειξάμην, ταῦτα ὑμῖν διηγήσομαι καὶ νῦν. Νέος τις κομιδῇ πλούσιος ὢν ἐπεδήμησέν ποτε τῇ πόλει τῇ ἡμετέρᾳ κατὰ λόγων παίδευσιν ἑκατέραν, τήν τε Ἰταλῶν τήν τε Ἑλλήνων. Οὗτος ὁ νέος εἶχεν ἀκολουθοῦντα παιδαγωγὸν, ἓν ἔργον ἔχοντα μόνον διαπλάττειν αὐτοῦ τὴν ψυχήν. Τούτῳ προσελθὼν ἐγὼ τῷ παιδαγωγῷ (καὶ γὰρ τῶν ἐν ὄρεσι καθημένων ἐτύγχανεν ὤν), τὴν πρόφασιν ἐπεχείρουν μανθάνειν δι' ἣν τοιαύτης ἐπειλημμένος σοφίας εἰς τὸν τῶν παιδαγωγῶν βίον καθῆκεν ἑαυτόν. Ὁ δὲ μικρὸν ἔφησεν ἑαυτῷ λείπεσθαι χρόνον ἐν τούτῳ, καὶ τὸ πᾶν ἡμῖν ἄνωθεν διηγήσατο. Τῷ γὰρ παιδίῳ τούτῳ, φησὶ, πατὴρ μέν ἐστι σκληρὸς καὶ τραχὺς, καὶ πρὸς τὰ βιωτικὰ πράγματα ἐπτοημένος, μήτηρ δὲ μετρία καὶ σώφρων καὶ ἐπιεικὴς, καὶ πρὸς τὸν οὐρανὸν βλέπουσα μόνον. Ἐκεῖνος μὲν οὖν, ἅτε καὶ ἐν πολέμοις πολλὰ κατωρθωκὼς, βούλεται τὸν υἱὸν ἐπὶ τὴν πατρῴαν τάξιν ἀγαγεῖν· ἡ δὲ μήτηρ ταῦτα μὲν οὔτε βούλεται οὔτε ἐπιθυμεῖ, ἀλλὰ καὶ σφόδρα ἀπεύχεται· εὔχεται δὲ καὶ ἐπιθυμεῖ λαμπρὸν αὐτὸν ἰδεῖν ἐν τῇ τῶν μοναχῶν πολιτείᾳ. Ἀλλὰ ταῦτα μὲν πρὸς τὸν πατέρα εἰπεῖν οὐκ ἐτόλμησεν· ἐδεδοίκει γὰρ μήποτε τοῦτο αὐτὸ ὑφορώμενος ἐκεῖνος, πρὸ ὥρας αὐτὸν ἤδη καταδήσει τοῖς τοῦ βίου σχοινίοις, καὶ ταύτης αὐτὸν ἀποστήσας τῆς σπουδῆς, ἐπὶ τὴν ζώνην ἀγάγοι καὶ τὴν ἐξ ἐκείνης ῥᾳθυμίαν ἅπασαν, καὶ ἀδύνατον αὐτῷ τὴν μετὰ ταῦτα κατασκευάσει διόρθωσιν. Ἕτέραν δέ τινα συντίθησι μηχανήν· καλέσασα γάρ με οἶκοι, καὶ ταῦτα πάντα κοινωσαμένη, καὶ τοῦ παιδίου λαβοῦσα τὴν δεξιὰν, ταῖς ἐμαῖς ἐντίθησι χερσίν. Ὡς δὲ ἠρώτων τίνος ἕνεκεν ταῦτα ποιεῖ, μίαν ταύτην ἔλεγεν ὑπολείπεσθαι μηχανὴν ἡμῖν πρὸς τὴν τοῦ παιδὸς σωτηρίαν, εἰ βουληθείην τε καὶ ἀνασχοίμην ἐν τάξει παιδαγωγοῦ τὸ παιδίον λαβὼν ἐλθεῖν ἐνθάδε· πείσειν γὰρ αὐτὴν τὸν πατέρα, ὡς καὶ τὸν στρατιωτικὸν ἑλομένῳ βίον χρήσιμος αὐτῷ τῶν λόγων ἡ παίδευσις. Ἂν οὖν τοῦτο ἰσχῦσαι δυνηθῶ, φησὶ, καταμόνας αὐτὸν ἔχων λοιπὸν ἐπὶ τῆς ἀλλοτρίας, οὔτε τοῦ πατρὸς ἐνοχλοῦντος, οὔτε τῶν οἰκείων τινὸς, μετὰ πολλῆς αὐτὸν τῆς ἐξουσίας διαπλάσαι δυνήσῃ, καὶ καθάπερ ἐν μοναστηρίῳ διάγοντα, οὕτω ποιῆσαι ζῆν. Ἀλλ' ἐπίνευσον καὶ ὑπόσχου τὸ συνυποκρίνασθαί μοι τὸ δρᾶμα. Οὐκ ἔστιν ὑπὲρ τῶν

autem apud illos, qui utraque facultate pollebant. Adeo ut vera sapientia, veraque eruditio nihil aliud sit, quam Dei timor. At nemo putet me hanc legem statuere, quod pueri esse debeant imperiti. Sed si quis me de necessariis securum præstet, nolim sane impedire quominus hoc ex abundantia fiat. Quemadmodum enim concussis fundamentis, totaque domo ruinam minitante, extremæ dementiæ ac insipientiæ esset ad illitores, non ad structores currere: sic item importunæ contentionis esset, parietibus firmiter stantibus, eos qui ipsam illinere vellent, prohibere.

Ac me hæc ex animo loqui ut sciatis, quæ ipsis operibus ostendi, hæc vobis narrabo. Adolescens quidam admodum locuples aliquando in urbe nostra demoratus est eruditionis acquirendæ gratia, Latinæ scilicet et Græcæ. Hunc pædagogus sequebatur semper, cui una cura erat, ut ejus animam informaret. Hunc ego pædagogum adiens (erat enim ex iis qui in montibus residebant), causam ediscere conabar cur cum hujusmodi sapientiam professus esset, in pædagogorum vitam se demisisset. Ille vero respondit sibi parum temporis superesse in hujusmodi officio præstando, et rem altius repetitam enarravit nobis. Puero, inquit, huic pater est durus, ferox, et mundi rebus inhians; mater autem modesta, temperans, proba et ad cælum tantum respiciens. Pater itaque, utpote qui in bellis multa fortiter gesserit, filium vult ad paternum ordinem deducere; mater vero id minime optat, sed admodum deprecatur: ac in votis habet et expetit illum in monachorum statu florentem videre. Verum id patri dicere non est ausa, verita ne, si id ille subodoraretur, præmature illum sæculi vinculis obligaret, atque ab hoc studio abductum ad balteum transferret, et ad omnem quæ inde sequi solet vitæ negligentiam, ita ut postea emendari et ad meliorem se frugem recipere non possit. Hujusmodi igitur arte utitur: evocat me domum, hocque patefacto consilio, apprehensam pueri dexteram manibus tradit meis. Me sciscitante cur hoc faceret, unam inquit hanc superesse rationem procurandæ filio salutis, si vellem pædagogi statum assumens filii curam sumere, et huc accedere: se patri persuasuram esse, etiam ei, qui militiam adire velit, utilem esse literarum institutionem. Hæc ego, inquit, si efficere potuero, tu seorsum et in aliena domo, ubi nec pater nec familiarium quispiam turbas movere possit, summa illum facultate formare poteris, vitamque ejus ita ordinare, ac si in monasterio degeret. Cæterum annue mihi, ac in partem simulationis mecum venire ne graveris. Non parva

τυχόντων ὁ λόγος ἐμοί· ὑπὲρ τῆς τοῦ παιδίου μου ψυχῆς ὁ ἀγὼν καὶ ὁ κίνδυνος. Μὴ δὴ περιίδῃς τὸν πάντων ἐμοὶ φίλτατον κινδυνεύοντα, ἀλλ' ἐξάρπασον αὐτὸν ἤδη τῶν πάντοθεν αὐτῷ κειμένων παγῶν, τῆς ζάλης, τοῦ κλυδωνίου. Εἰ δὲ οὐ θέλεις δοῦναι τὴν χάριν, τὸν Θεὸν ἤδη καλῶ μέσον ἡμῶν, καὶ μαρτύρομαι ὅτι ἐγὼ μὲν οὐδὲν ἐνέλιπον τῶν εἰς τὴν σωτηρίαν τῆς τούτου ψυχῆς ἡκόντων, ἀλλ' εἰμὶ καθαρὰ ἀπὸ τοῦ αἵματος τοῦ παιδίου τούτου· εἰ δὲ συμβαίη τι παθεῖν αὐτὸν, οἷον εἰκὸς νέον ὄντα καὶ ἐν τοσαύτῃ ζῶντα τρυφῇ καὶ ῥᾳθυμίᾳ, ἀπὸ σοῦ καὶ τῶν σῶν χειρῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἐκζητήσει τοῦ παιδίου τούτου τὴν ψυχὴν ὁ Θεός. Ταῦτα καὶ τὰ τούτων πλείονα προσθεῖσα ῥήματα, καὶ δακρύσασα σφοδρῶς καὶ ἐλεεινῶς, ἔπεισεν ἀναδέξασθαί με ταύτην τὴν πραγματείαν, καὶ μετὰ τούτων ἐξέπεμψε τῶν ἐντολῶν. Καὶ οὐ γέγονεν αὐτῇ μάταιος ἡ μηχανή· ἀλλ' οὕτως ἐν βραχεῖ χρόνῳ τὸν παῖδα τοῦτον ὁ γενναῖος ἐκεῖνος ἤσκησε, καὶ τοσοῦτον αὐτῷ τῆς ἐπιθυμίας ταύτης ἀνῆψε τὸ πῦρ, ὡς ἀθρόον ἅπαντα ῥῖψαι, καὶ ἐπὶ τὴν ἔρημον δραμεῖν, καὶ ἑτέρου δεῖσθαι χαλινοῦ πάλιν τοῦ δυνησομένου πρὸς τὴν σύμμετρον αὐτὸν ἄσκησιν ἀπὸ τῆς ἐπιτεταμένης μεταστρέψαι ἐκείνης. Καὶ γὰρ ἦν δέος, μὴ τῇ σπουδῇ ταύτῃ πρὸ καιροῦ τὸ δρᾶμα ἀποκαλύψας, καὶ τῇ μητρὶ καὶ τῷ παιδαγωγῷ καὶ τοῖς πανταχοῦ μοναχοῖς πόλεμον ἐγείρῃ χαλεπόν. Εἰ γὰρ ᾔσθετο ταύτης τῆς φυγῆς ὁ πατὴρ, οὐκ ἂν ἀπέστη πάντα κινῶν, ὥστε ἀπελάσαι τοὺς ἁγίους ἐκείνους, οὐχὶ τοὺς ὑποδεξαμένους μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας. Τοῦτον τοίνυν ἐγὼ τὸν παῖδα λαβών, καὶ ταῦτα καὶ τὰ τούτων πλείονα εἰπών, τὴν μὲν ἐπιθυμίαν τῆς φιλοσοφίας ταύτης εἶασα μένειν, καὶ ἐπέτεινα δὲ πλέον, τὴν δὲ πόλιν οἰκεῖν ἠξίουν, καὶ τῆς τῶν λόγων ἔχεσθαι σπουδῆς· οὕτω γὰρ καὶ τοὺς ἡλικιώτας ὠφελήσειν τὰ μέγιστα, καὶ τὸν πατέρα λήσεσθαι. Ἀναγκαῖον δὲ τοῦτο εἶναι ἐνόμιζον, οὐ τῶν ἁγίων μόνον ἕνεκεν ἐκείνων, οὐδὲ τῆς μητρὸς, οὐδὲ τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ αὐτοῦ τοῦ παιδός. Ἐν ἀρχῇ μὲν γὰρ ἐπιθέμενον αὐτῷ τὸν πατέρα καὶ διασαλεύειν εἰκὸς ἦν τὰ τῆς φιλοσοφίας φυτὰ, ἁπαλά τε ὄντα καὶ ἄρτι τεθέντα· εἰ δὲ χρόνος ἐγγένοιτο πολὺς, καὶ ῥιζωθείη καλῶς, σφόδρα ἐθάρρουν ὅτι, ἂν ὁτιοῦν γένηται, οὐ δυνήσεται παραβλάψαι τὸν υἱὸν ἐκεῖνος· ὃ δὴ καὶ γέγονε, καὶ οὐ διήμαρτον τῆς ἐλπίδος. Ὅ τε γὰρ πατὴρ αὐτοῦ προσβαλὼν ὕστερον, χρόνου παρελθόντος πολλοῦ, καὶ μετὰ σφοδρᾶς ἐνσείσας τῆς ῥύμης, οὐ μόνον οὐκ ἐκλινέν τι τῆς οἰκοδομῆς, ἀλλὰ καὶ ἰσχυροτέραν ἀπέφηνε· τῶν τε συμφοιτητῶν αὐτῷ πολλοὶ τοσαῦτα τῆς ὁμιλίας ἀπώναντο τῆς ἐκείνου, ὡς καὶ πρὸς τὸν αὐτὸν αὐτῷ ζῆλον ἐλθεῖν. Ἔχων γὰρ οἷοι διαπαντὸς τὸν ῥυθμίζοντα, καθάπερ ἄγαλμα συνεχῶς ἀπολαῦον τῆς τοῦ τεχνίτου χειρὸς, οὕτω προσθήκην καθ' ἑκάστην ἡμέραν ἐλάμβανε τοῦ κατὰ ψυχὴν κάλλους. Καὶ τὸ δὴ θαυμαστὸν, ἔξω μὲν φαινόμενος, οὐδὲν διαφέρειν ἐδόκει τῶν πολλῶν· οὔτε γὰρ ἦθος εἶχεν ἠγριωμένον καὶ ἀπε-

res agitur; de filii anima certamen est ac periculum: ne spernas carissimum mihi omnium periclitantem, sed eripe eum a circumpositis undique laqueis, a tempestate, a fluctibus. Sin vero tu gratiam præstare nolueris, Deum jam in medium appello, testemque voco me nihil eorum omisisse, quæ ad hujus animæ salutem necessaria erant, mundamque esse a sanguine pueri hujus. Quodsi quid contigerit illum pati eorum, quæ puero in tantis deliciis et in tanta negligentia viventi contingere possunt, abs te illa die pueri animam requiret Deus. His et pluribus etiam verbis compellans, vehementer ac miserabiliter illacrimans, mihi tandem persuasit, ut hoc negotium susciperem, ac cum his mandatis me ab se dimisit. Nec vana illi fuit hæc machinatio: ita enim brevi puerum egregius ille pædagogus exercuit, tantumque in eo ignem desiderii illius accendit, ut cuncta simul abjiceret, atque in desertum aufugeret, alioque rursus indigeret freno, quod illum a vehementiore illa exercitatione ad moderatiorem traducere posset. Namque metuendum erat, ne tanto illo studio ante tempus drama totum revelaret, et matri, pædagogo atque omnibus ubique monachis bellum excitaret gravissimum. Nam si pater illam sensisset fugam, numquam destitisset omnia movere, ut sanctos illos expelleret, non eos tantum, qui filium susceperant, sed alios etiam omnes. Hunc igitur ego puerum assumens, hæc et plura loquutus, philosophiæ hujus desiderium in eo manere permisi, imo magis adauxi, in urbe autem habitare rogabam, ac literarum studiis hærere: ita enim et æqualibus suis maxime profuturum, et rem patri ignotam fore. Id vero necessarium esse putabam, non modo sanctorum illorum causa, non matris, non pædagogi tantum, sed ipsius etiam pueri. Si enim initio institisset pater, periculum erat ne philosophiæ plantas concuteret, teneras nempe, ac nuper positas. Sin vero multum temporis procederet, et radices probe mitteret, valde confidebam, quidquid tandem contingeret, numquam futurum ut pater filium posset lædere: quod etiam evenit, nec me spes mea fefellit. Cum enim pater ejus postmodum multo elapso tempore illum adorsus, magno cum impetu irrueret, non modo ædificium nullatenus nutare fecit, sed etiam firmius exhibuit. Condiscipulorum autem plurimi ex illius consortio tantum profecerunt, ut ejusdem instituti fierent æmuli. Cum enim ille semper domi moderatorem haberet, ceu statua jugiter manu artificis expolita, sic quotidie animæ pulchritudinis incrementum accipiebat. Et quod mirabilius est, cum foris versabatur, nihil differre videbatur a cæteris: non enim rusticis et incomtis moribus, non veste singulari erat, sed similis aliis habitu,

σκληρὸς, οὔτε ἐξηλλαγμένην στολὴν, ἀλλ' ἣν κοινὸς καὶ τῷ σχήματι καὶ τῷ βλέμματι καὶ τῇ φωνῇ καὶ τοῖς ἄλλοις ἅπασιν· (ὅθεν καὶ πολλοὺς τῶν ὁμιλούντων αὐτῷ εἴσω τῶν αὐτοῦ δικτύων ἠδυνήθη λαβεῖν, πολλὴν ἔνδον ἔχων ἐγκεκρυμμένην τὴν φιλοσοφίαν·) οἶκοι δὲ εἴ τις αὐτὸν εἶδεν, ἐνόμισεν ἄν τινα εἶναι τῶν ἐν τοῖς ὄρεσι καθημένων· καὶ γὰρ ἡ οἰκία αὐτῷ πρὸς ἀκρίβειαν μοναστηρίου παντὸς διέκειτο, οὐδὲν ἔχουσα τῶν ἀναγκαίων πλέον. Καὶ ὁ καιρὸς δὲ αὐτῷ ἅπας εἰς τὴν ἀνάγνωσιν τῶν ἁγίων ἀνηλίσκετο βιβλίων· καὶ γὰρ ὢν ὀξὺς μαθήματα προσλαβεῖν, τῇ μὲν ἔξωθεν παιδεύσει βραχὺ τῆς ἡμέρας ἀπένειμε μέρος, τὸ δὲ λοιπὸν ἅπαν εὐχαῖς συνεχέσι καὶ βιβλίοις ἀνέκειτο θείοις, καὶ ἄσιτος ἅπασαν διετέλει τὴν ἡμέραν, μᾶλλον δὲ οὐδὲ μίαν, οὐδὲ δύο μόνον, ἀλλὰ καὶ πλείους. Καὶ νύκτες δὲ αὐτῷ ταῦτα συνῄδεσαν, δάκρυα, καὶ εὐχὰς, καὶ τὴν τοιαύτην ἀνάγνωσιν. Ἡμῖν δὲ ἅπαντα ὁ παιδαγωγὸς λάθρᾳ ἀπήγγελλε· καὶ γὰρ ἦν ἀφόρητος ὁ παῖς, εἴ τι τούτων ἤσθετό ποτε ἐξενεχθέν. Ἔλεγε τοίνυν οὗτος, ὅτι αὐτῷ καὶ ἱμάτιον ἀπὸ τριχῶν κατεσκεύαστο, καὶ τούτῳ τὰς νύκτας ἐγκαθεύδοι, σοφήν τινα μηχανὴν τοῦ ταχέως ἐξανίστασθαι ταύτην εὑρών. Καὶ τὰ ἄλλα δὲ αὐτῷ πρὸς τὴν ἀκρίβειαν τῶν μοναχῶν ἀπήρτιστο· καὶ τὸν Θεὸν ἐδόξαζε συνεχῶς ἐκεῖνος, τὸν οὕτω κοῦφα τῆς φιλοσοφίας ταύτης ἐνθέντα τῷ παιδὶ τὰ πτερά. Ὥστε εἴ τίς μοι καὶ νῦν ψυχὴν ἐδείκνυ τοιαύτην, καὶ παιδαγωγὸν παρεῖχε τοιοῦτον, καὶ τὰ ἄλλα πάντα ὁμοίως ἐπιμελεῖσθαι ἐπηγγείλατο, μυριάκις ἂν ᾑρούμην τοῦτο γενέσθαι μᾶλλον τῶν γεννησαμένων αὐτῶν. Ἦ γὰρ ἂν ἡμῖν ἡ θήρα καὶ πλείων ἐγίνετο, καὶ διὰ τὸν βίον, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν συνεχῆ διατριβὴν τῶν τοιούτων δυναμένων τοὺς ἡλικιώτας θηρᾶν. Ἀλλὰ γὰρ οὐδείς ἐστιν ὁ ταῦτα ὑποστησόμενος, οὐδὲ ποιήσων· οὐκ ὄντος δὲ, μυρίας ὠμότητος ἂν εἴη τὸν οὐδὲ ἑαυτῷ δυνάμενον ἀμῦναι, ἀλλὰ κείμενον, καὶ μυρία δεχόμενον τραύματα, καὶ τοὺς ἄλλους ἀσθενεστέρους ποιοῦντα, τοῦτον ἐν τῷ μέσῳ καταχόπτεσθαι ἐᾶν, δέον ἐξέλκειν ἀπὸ τῆς μάχης. Καὶ γὰρ καὶ στρατηγὸν ὅμοιόν ἔν τις κολάσειε τὸν τούς τε δυναμένους πολεμεῖν ἀπάγοντα τῆς παρατάξεως, τούς τε τρωθέντας καὶ κειμένους καὶ τοὺς ἄλλους συνταράσσοντας κελεύοντα κεῖσθαι διαπαντὸς ἐν τῷ μέσῳ.

Ἐπεὶ δὲ πολλοὶ τῶν πατέρων, ἕκαστος ἔγκειται τὸν υἱὸν ἐπιθυμῶν ἐν λόγοις ζῶντα ὁρᾶν, ὡς ἀκριβῶς εἰδὼς ὅτι πρὸς τὸ τέλος ἥξει πάντως τῶν λόγων, ὑπὲρ τούτου μὲν μὴ φιλονεικῶμεν, μηδὲ ὅτι διαμαρτήσεται λίγωμεν, ἀλλὰ δῶμεν τῷ λόγῳ καὶ περιέσεσθαι πάντως αὐτὸν τῆς σπουδῆς καὶ πρὸς ἄκρον ἀφίξεσθαι. Ἔστω δὲ αἵρεσις ἡμῖν προκειμένη διπλῆ, καὶ εἰς διδασκάλους μὲν φοιτῶν, ὑπὲρ τῆς μαθήσεως ἐχέτω τὸν ἀγῶνα, εἰς δὲ ἐρημίας ὑπὲρ τῆς ψυχῆς· ποῦ βέλτιον, εἰπέ μοι, κρατεῖν; Ἂν μὲν γὰρ ἑκατέρωθεν συμβαίνῃ, κἀγὼ βούλομαι· ἂν δὲ θάτερον λείπηται, βέλτιον εἶναι τὸ κρεῖττον. Ναὶ, φησίν· αὐτὸ δὲ τοῦτο πόθεν ἡμῖν ἔσται

aspectu, voce, cæterisque omnibus erat. Quamobrem ex sibi familiaribus plurimos iisdem retibus cepit, multam occultans intrinsecus philosophiam. Domi vero si quis illum vidisset, putasset esse quemdam ex iis qui in montibus sedes haberent : siquidem domus ejus ad monasterii normam ordinabatur, ubi præter necessaria nihil aderat. Tempus autem omne lectione sanctorum librorum transigebat. Cum enim acri ad disciplinas ingenio esset, externæ eruditioni modicam diei partem insumebat, reliquum vero temporis precibus frequentibus librisque divinis deputabat, ac sine cibo tota perseverabat die; imo nec una tantum die, neque duabus, sed pluribus. Noctes porro illi horum conscie erant, lacrimarum, precum hujusmodique lectionis. Quæ omnia nobis pædagogus clam annuntiabat : puer enim indignatus esset vehementer, si quid hujusmodi efferri cognovisset. Dicebat ergo hic, illum sibi cilicium in vestem paravisse, illaque per noctem dum dormiret indui, eo scilicet consilio, ut citius exsurgere posset : in aliis quoque ipsum monachorum disciplinam diligenter servare, seque Deo frequenter laudes persolvere, qui puero tam leves philosophiæ pennas indidisset. Itaque si quis mihi nunc quoque animum ita comparatum ostenderet, pædagogumque similem præberet, aliaque omnia similiter se polliceretur curaturum, millies optarem ita fieri [*in urbe habitari*] idque magis, quam ipsi parentes. Sic enim profecto majus lucrum accederet, cum possent pueri hujusmodi, per vitæ rationem, per ætatem ac per juge consortium æquales suos inescare. At nullus est qui se ita facturum polliceatur, aut ita faciat. Cum vero nullus sit, summæ crudelitatis esset eum, qui ne se ipsum quidem defendere possit, sed jaceat innumeris confossus vulneribus, aliosque infirmiores reddat, in medio concidi permittere, cum oporteret eum e pugna summovere. Namque similiter dux puniendus esset, qui pugnare valentes milites ex prælio abduceret, saucios autem et prostratos, qui aliis impedimento essent, in medio semper jacere juberet.

13. Verum quia parentum plurimi instant, liberosque suos quique in literis vitam agere cupiunt, ac si pro certo habeant ipsos ad culmen eloquentiæ perventuros : hac quidem de re ne contendamus, neu dicamus ipsum a scopo aberraturum; sed concedamus eum studii sui fructum hujusmodi consequuturum, et ad culmen venturum esse. Sit autem nobis duarum rerum optio : vel ad ludimagistros proficiscens eruditionem assequi contendat, vel solitudinem petens animæ prospiciat; utro in studio rem obtinere præstat? Nam si in utroque contingat, id ego quoque volo; sin alterum utrum relinquendum sit, quod præstabilius eligendum est. Sane, inquiunt; sed hoc ipsum unde nobis constare

δῆλον, ὅτι στήσεται καὶ μενεῖ καὶ οὐ μεταπεσεῖται; πολλοὶ γὰρ οἱ πεσόντες. Πόθεν δὲ δῆλον ὅτι οὐ στήσεται οὐδὲ μενεῖ; πολλοὶ γὰρ οἱ στάντες, καὶ τῶν πεπτωκότων πλείους· ὥστε διὰ τούτους μᾶλλον θαρρεῖν χρὴ, ἢ δι' ἐκείνους φοβεῖσθαι. Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τῶν λόγων αὐτὸ τοῦτο οὐ δέδοικας, ἔνθα μάλιστα δεδοικέναι ἐχρῆν; Παρὰ μὲν γὰρ τοῖς μοναχοῖς ἐκ πολλῶν ὀλίγοι διήμαρτον· ἐν δὲ ταῖς τῶν λόγων διατριβαῖς ἀπὸ πολλῶν ὀλίγοι κατώρθωσαν. Καὶ οὐκ ἀπὸ τούτων μόνον, ἀλλὰ καὶ ἀφ' ἑτέρων πλειόνων εἰκότως ἄν τις ἐκεῖνα μᾶλλον φοβοῖτο. Καὶ γὰρ παιδὸς ἀφυΐα, καὶ διδασκάλων ἀμαθία, καὶ παιδαγωγῶν ῥᾳθυμία, καὶ πατρὸς ἀσχολία, καὶ δαπανῶν καὶ μισθῶν ἔλλειψις, καὶ τρόπων διαφορὰ, καὶ συμφοιτητῶν κακία καὶ φθόνος καὶ βασκανία, καὶ πολλὰ ἕτερα τῷ τέλει λυμαίνεται. Καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ μετὰ τὸ τέλος τούτων ἕτερα πλείονα· ὅταν γὰρ ἅπαντα ὑπερβὰς πρὸς αὐτὸ τῆς παιδείας τὸ ἄκρον ἀφίκηται, μηδενὶ τούτων ὑποσκελισθεὶς, ἑτέρα πάλιν κεῖται ἐνέδρα ἐκεῖ. Καὶ γὰρ ἄρχοντος δυσμένεια, καὶ φθόνος τῶν ὁμοτέχνων, καὶ καιρῶν δυσκολία, καὶ φίλων ἐρημία, καὶ πενία πολλάκις τοῦ τέλους ἐξέκρουσεν. Ἀλλ' οὐκ ἐπὶ τῶν μοναχῶν οὕτως, ἀλλ' ἑνὸς δεῖ μόνου, προθυμίας γενναίας καὶ ἀγαθῆς· κἂν τοῦτο προσῇ, οὐδὲν τὸ κωλῦον πρὸς τὸ τέλος ἐλθεῖν τῆς ἀρετῆς. Πῶς οὖν οὐκ ἄδικον, ἔνθα μὲν τὰ τῶν χρηστῶν ἐλπίδων δῆλά τέ ἐστι καὶ ἐγγύτερα, ἀπογινώσκειν καὶ τρέμειν, ἔνθα δὲ τὰ μακρότερα, ὑπὸ τοσούτων τε ἀνακοπτόμενα κωλυμάτων, τά τε τῶν δυσχερῶν σαφέστερα μᾶλλον καὶ πλείονα, θαρσεῖν· καὶ ἐπὶ μὲν τῶν λόγων, μὴ πρὸς τὰ πολλάκις συμβαίνοντα λυπηρὰ, ἀλλὰ πρὸς τὰ σπανίως ἐκβαίνοντα χρηστὰ ἀφορᾶν, ἐπὶ δὲ τῶν μοναχῶν τοὐναντίον ποιεῖν, καὶ ἔνθα μὲν αἱ τῶν ἀγαθῶν ἐλπίδες πολλαὶ, πρὸς τὰ λυπηρὰ ἀποκλίνειν μόνον, ἔνθα δὲ αἱ τῶν ἐναντίων, τὰς χρηστὰς ἀναλογίζεσθαι μόνας; Καίτοι γε ἐκεῖ μὲν ὅταν ἅπαντα συνέλθῃ τὰ ὀφείλοντα συνδραμεῖν, πρὸς αὐτῷ τῷ τέλει πολλάκις θάνατος ἄωρος προσπεσὼν ἀπήνεγκεν ἀστεφάνωτον τὸν ἀθλητὴν μετὰ τοὺς μυρίους ἱδρῶτας· ἐνταῦθα δὲ κἂν ἐν μέσοις τοῖς ἀγῶσι τοῦτο γένηται, τότε δὴ μάλιστα λαμπρὸς καὶ ἐστεφανωμένος ἅπασιν οὗτος. Ὥστε εἰ τὸ μέλλον δέδοικας, ἐπὶ τῶν λόγων δεδοικέναι μᾶλλον ἔδει, ἔνθα πολλὰ τὰ κωλύματα πρὸς τὸ πέρας ἐλθεῖν. Σὺ δὲ ἐκεῖ μὲν κάθῃ χρόνον ἀναμένων μακρὸν, καὶ πρὸς οὐδὲν τῶν ἐν μέσῳ, δαπάνην λέγω καὶ ταλαιπωρίαν καὶ τὸ ἄδηλον, ἀλλὰ πρὸς τὸ τέλος μόνον ὁρῶν· ἐνταῦθα δὲ οὔπω τῶν προθύρων τοῦ παιδὸς ἐπιβάντος, οὐδὲ ἁψαμένου τῆς καλῆς ταύτης φιλοσοφίας, δέδοικας καὶ τρέμεις εὐθέως, καὶ εἰς ἀπόγνωσιν ἐμβάλλεις τὸν λογισμόν; Καὶ μήν αὐτὸς ἔμπροσθεν ἔλεγες, Τί γάρ; πόλιν οἰκοῦντα καὶ οἰκίαν ἔχοντα καὶ γυναῖκα σωθῆναι οὐκ ἔνι; Οὐκοῦν εἰ μετὰ τῆς πόλεως καὶ τῆς οἰκίας καὶ τῆς γυναικὸς σωθῆναι ἐνατὸν, πολλῷ μᾶλλον τούτων χωρίς. Οὐ γάρ ἐστι τοῦ αὐτοῦ νῦν μὲν θαρρεῖν, κἂν τοῖς βιω-

potuerit, eum perseveraturum et mansurum, nec lapsurum esse? multi namque deciderunt. At unde constare potest ipsos non perseveraturos et mansuros esse? Multi namque perseverant, et quidem plures iis qui decidunt : ita ut horum causa magis confidendum sit, quam illorum timendum. Cur autem non id ipsum circa literarum studia metuis, ubi maxime timendum est? Namque apud monachos quidem ex multis pauci lapsi sunt, in scholis autem liberalium disciplinarum ex multis pauci peritiam assequuntur. Neque inde tantum, sed etiam multis aliis de causis in hac parte magis timendum est. Siquidem et pueri obtusum ingenium, et magistrorum imperitia, et pædagogorum negligentia, et patris negotia, ac sumtuum mercedisque defectus, et morum dissimilitudo, et condiscipulorum nequitia, et livor invidiaque, aliaque plurima ab assequendo fine deturbant. Neque hæc tantum, sed post ipsum etiam studiorum finem alia et plura quidem impedimenta occurrunt. Postquam enim superatis omnibus elapsusque obicibus ad ipsum eruditionis culmen pervenerit, aliæ rursum insidiæ sunt positæ. Namque principis odium, consortium invidia, temporum difficultas, amicorum inopia, paupertas, ab ipso fine sæpenumero excludunt. Atqui apud monachos nihil simile; sed una tantum re opus est, nobili scilicet atque eximia alacritate; quæ si adfuerit, nihil impedit quominus ad finem virtutis perveniatur. Quomodo igitur non iniquum fuerit, ubi optima spes est manifesta et proxima, desperare ac tremere; ubi vero alia spes remotissima est, ac tam multis obicibus intercipitur, et difficultates sunt manifestæ magis et plures, sibi spem proponere : atque in literarum studiis, non tristia quæ frequentius accidunt, sed bona quæ raro contingunt considerare; circa statum vero monachorum contrarium facere, et ubi spes bonorum multæ sunt, ad tristia respicere tantum; ubi vero de contraria spe agitur, quæ bona sunt tantum considerare? Quamquam illic frequenter contingit, ut cum omnia quæ concurrere debent pro voto contigerint, præmatura mors athletam post infinitos sudores nondum coronatum abripiat; hic vero etiamsi in mediis certaminibus illud accidat, tunc maxime splendidus et coronatus proficiscatur. Itaque si futurum metuis, circa literarum studia maxime timendum est, ubi ne ad terminum perveniatur plurima sunt impedimento. Tu vero illic quidem resides, diuturnasque moras sustines, non ea quæ in medio posita sunt, sumtus dico, æruinnas, incertum eventum, sed finem tantum respiciens : hic autem cum nondum ad vestibulum puer ingressus sit, neque hanc pulcherrimam philosophiam attigerit, statim times et trepidas, jam desperationem menti inducis? Atqui ipse paulo ante dicebas : Quid enim? isne, qui urbem incolit, domum et uxorem habet, salutem consequi non potest? Ergo si cum urbe, domo et uxore salutem consequi potes, multo magis sine his. Neque enim est ejusdem hominis nunc quidem confidere, etiamsi secularibus

τικοῖς ἢ πράγμασιν ἐνδεδεμένος, ὡς δυνατῆς καὶ οὕτω τῆς σωτηρίας οὔσης· νῦν δὲ, κἂν πάντων ἀπηλλαγμένος ᾖ, τρέμειν καὶ δεδοικέναι, ὡς οὐδὲ τούτων χωρὶς εὐδοκιμῆσαι ἐνόν. Εἰ γὰρ πόλιν οἰκῶν ἠδύνατο σώζεσθαι, ὡς ἔφης, πολλῷ μᾶλλον τὴν ἐρημίαν καταλαβών. Πῶς οὖν τὸ ἀδύνατον ἐνταῦθα δέδοικας, ἐκεῖ μὴ φοβηθεὶς ἔνθα μᾶλλον ἐχρῆν;

Οὐ γάρ ἐστι, φησὶν, ἴσον βιωτικὸν ὄντα διαμαρτεῖν, καὶ καθάπαξ ἀναθέντα ἑαυτὸν τῷ Θεῷ· οὐ γὰρ ἀπὸ τοῦ αὐτοῦ ὕψους ἀμφότεροι καταπίπτουσιν, ὅθεν οὐδὲ τὰ τραύματα αὐτοῖς ἴσα. Σφόδρα ἀπατᾷς σαυτὸν καὶ σφάλλεις, εἰ ἄλλα μὲν εἶναι τὸν βιωτικὸν, ἕτερα δὲ ἀπαιτεῖσθαι τὸν μοναχόν· ἡ γὰρ διαφορὰ τούτοις ἐν τῷ γαμῆσαι καὶ μὴ, τῶν δὲ ἄλλων ἕνεκεν ἁπάντων κοινὰς ὑπέχουσι τὰς εὐθύνας. Καὶ γὰρ ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, κἂν τε βιωτικὸς, κἂν τε μοναχὸς ᾖ, τῷ Θεῷ προσέκρουσεν ὁμοίως· καὶ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἔν τε τοῦτο ἔν τε ἐκεῖνο τυγχάνῃ, ὁμοίως ὑπὲρ τῆς μοιχείας τιμωρηθήσεται ταύτης. Εἰ δὲ χρή [τι] καὶ ἀπὸ λογισμοῦ προσθεῖναι, ὁ βιωτικὸς ἀσυγγνωστότερος τοῦτο παθών· οὐ γάρ ἐστιν ἴσον γυναῖκα ἔχοντα, καὶ τοσαύτης ἀπολαύοντα παραμυθίας, κάλλει προσπταῖσαι γυναικὸς, καὶ ἁπάσης ταύτης ἀπεστερημένον τῆς βοηθείας ἁλῶναι τῷ δεινῷ. Πάλιν ὁ ὀμνὺς, ἔν τε τοῦτο ἔν τε ἐκεῖνο ᾖ, ὁμοίως καταδικάζεται. Οὐδὲ γὰρ ὁ Χριστὸς, ὅτε περὶ τούτων διετάσσετο καὶ ἐνομοθέτει, τοῦτον ἐποιήσατο τὸν διορισμὸν, οὐδὲ εἶπεν, Ἐὰν μὲν μοναχὸς ὁ ὀμνύων ᾖ, ἐκ τοῦ πονηροῦ ὁ ὅρκος· ἐὰν δὲ μὴ μοναχὸς, οὐκέτι· ἀλλ' ἁπλῶς καὶ καθάπαξ ἅπασιν ἔλεγεν, « Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. » Καὶ πάλιν εἰπὼν, « Οὐαὶ τοῖς γελῶσιν », οὐ προσέθηκε τοὺς μοναχοὺς, ἀλλ' ἁπλῶς ἐνομοθέτησεν ἅπασιν· καὶ ἐν τοῖς ἄλλοις δὲ ἅπασιν οὕτως ἐποίησε τοῖς μεγάλοις καὶ θαυμαστοῖς παραγγέλμασι. Καὶ γὰρ ὅτε λέγει ὅτι « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πενθοῦντες, οἱ πραεῖς, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ ἐλεήμονες, οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ εἰρηνοποιοὶ, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· μακάριοι οἱ καὶ ῥητὰ καὶ ἄῤῥητα δι' αὐτὸν παρὰ τῶν ἔξωθεν ἀκούοντες κακὰ », οὔτε βιωτικοῦ οὔτε μονάζοντος ὄνομα τίθησιν, ἀλλ' ἀπὸ τῆς τῶν ἀνθρώπων ἐπινοίας οὗτος εἰσηνήνεκται ὁ διορισμός· αἱ δὲ Γραφαὶ οὐδὲν ἴσασι τούτων, ἀλλ' ἅπαντας τὸν τῶν μοναχῶν βούλονται βίον ζῆν, κἂν γυναῖκας τύχωσιν ἔχοντες. Ἄκουσον γοῦν καὶ ὁ Παῦλος τί φησιν· ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν λέγω πάλιν. Οὗτος τοίνυν ἐπιστέλλων ἀνθρώποις γυναῖκας ἔχουσι καὶ παιδία τρέφουσι, πᾶσαν τὴν τοῖς μοναχοῖς προσήκουσαν ἀκρίβειαν αὐτοὺς ἀπαιτεῖ. Τὴν γὰρ τρυφὴν ἐκκόπτων ἅπασαν, καὶ τὴν ἐν τοῖς ἱματίοις, καὶ τὴν ἐν τοῖς ἐδέσμασι, ταῦτα ἐπιστέλλει τὰ ῥήματα· « Γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ· » καὶ πάλιν,

negotiis illigatus fuerit, ac si hoc quoque modo salus acquiri possit : nunc vero, etsi ab omnibus liber evaserit, tremere ac metuere, quasi sine illis probe vivere non possit. Nam si is qui urbem incolit, potest salutem nancisci, ut dicebas, multo magis qui in solitudine degit. Qui igitur hic non posse istud times, cum illic non timeas, ubi potius timendum erat?

14. At, inquies, non par crimen est secularem peccare, et eum qui semel se Deo consecraverit : neque enim ambo ab eadem altitudine cadunt; quare eorum vulnera non æqualia sunt. Te ipsum prorsus fallis, si alia putas a sæculari, alia a monacho exigi. Discrimen quippe inter illos hoc est, quod alius ducat uxorem, alius non ducat; pro cæteris vero omnibus communem ambo rationem reddituri sunt. Nam qui irascitur fratri suo sine causa, sive sæcularis sive monachus sit, Deum similiter offendit : et qui respicit mulierem ad concupiscendum eam, utrolibet in statu sit, eadem adulterii plectetur pœna; imo vero si quid ratiocinando addere fas sit, sæcularis hoc agens minus venia dignus est. Non enim par facinus est eum qui uxorem habet, et hac consolatione fruitur, mulieris pulchritudine abduci, atque eum qui hoc prorsus destituitur auxilio, ab illo vinci malo. Rursus qui jurat, in quocumque statu versetur, pari modo damnatur. Neque enim Christus cum hac de re statueret legemque poneret, hanc distinctionem fecit, neque dixit, Si is qui jurat monachus sit, ex maligno est jusjurandum; si non monachus, non item : sed simpliciter semelque omnibus dixit (*Matth.* 5. 34) : *Ego autem dico vobis, non jurare omnino.* Iterumque cum ait (*Luc.* 6. 25), *Væ ridentibus*, non addidit, monachis, sed simpliciter sic omnibus legem tulit. Sicque fecit etiam in aliis omnibus magnis mirabilibusque præceptis. Cum enim ait (*Matth.* 5. 3—12), « Beati pauperes spiritu, lugentes, mites, esurientes et sitientes justitiam, misericordes, mundi corde, pacifici, qui persecutionem patiuntur propter justitiam, et qui fanda et infanda pro ipso ab iis qui foris sunt audiunt, » neque sæcularis, neque monachi nomen apponit; sed hæc distinctio ab hominum mente inducta est : Scripturæ vero nihil norunt hujusmodi, sed volunt omnes vitam monachorum agere, etiam si uxores habeant. Audi enim quid dicat Paulus; cum Paulum autem profero, Christum dico rursus. Hic igitur cum conjugatis hominibus scriberet, filiosque nutrientibus, omnem ab illis monasticam diligentiam exigit; nam delicias omnes penitus resecans, tum eas quæ ad vestes, tum eas quæ ad cibos pertinent, hæc ait (1 *Tim.* 2. 9) : *Mulieres in habitu decenti cum verecundia et sobrietate ornanto se, et non in tortis crinibus, aut auro, aut margaritis, vel veste pretiosa;* ac rursum (*ib. c.* 5. 6), *Quæ autem in deliciis est, vi-*

« Ἵνα δὲ σπαταλῶσα ζῶσα τίθνηκε· » καὶ πάλιν, « Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. » Τί τούτων παρὰ τῶν μοναζόντων πλέον ἀπαιτήσειεν ἄν τις; Γλώττης δὲ παιδεύων κρατεῖν ἑτέρους, ἀκριβεῖς πάλιν τίθησι νόμους, καὶ τοιούτους οἵους καὶ τοῖς μοναχοῖς ἀνύσαι ἔργον ἐστίν. Οὐ γὰρ αἰσχρότητα καὶ μωρολογίαν μόνον, ἀλλὰ καὶ εὐτραπελίαν ἀναιρεῖ· οὐ θυμὸν καὶ ὀργὴν καὶ πικρίαν μόνον, ἀλλὰ καὶ κραυγὴν ἐκκόπτει τοῦ τῶν πιστῶν στόματος. « Πᾶς γὰρ, φησὶ, θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. » Ἆρά σοι μικρὰ ταῦτα εἶναι δοκεῖ; Οὐκοῦν ἀνάμεινον, καὶ τὰ πολλῷ μείζονα τούτων ἀκούσῃ, ἃ περὶ ἀνεξικακίας διατάττεται πᾶσιν. « Ὁ ἥλιος, φησὶ, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. » Καὶ πάλιν· « Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. » Εἶδες πρὸς αὐτὴν τὴν κορυφὴν ἀναβαίνουσαν τὴν τῆς φιλοσοφίας καὶ μακροθυμίας ἐπίτασιν; Ἄκουσον καὶ ὅσα περὶ ἀγάπης διατάττεται, τοῦ κεφαλαίου τῶν ἀγαθῶν· ἐπάρας γὰρ αὐτὴν καὶ τὰ κατορθώματα αὐτῆς εἰπών, ἐδήλωσεν ὅτι τὴν αὐτὴν ἀπαιτεῖ παρὰ τῶν βιωτικῶν, ἣν παρὰ τῶν μαθητῶν ὁ Χριστός. Ὥσπερ γὰρ ὁ Σωτὴρ τοῦτον ἔσχατον ὅρον ἔφησεν ἀγάπης εἶναι, τὸ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ, οὕτω καὶ ὁ Παῦλος τὸ αὐτὸ τοῦτο ἠνίξατο εἰπών, « Ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς· » καὶ τὴν τοιαύτην κελεύει [διώκειν]. Ὥστε εἰ καὶ τοῦτο μόνον εἴρητο, ἱκανὸν τεκμήριον ἦν τοῦ τὰ αὐτὰ ἀπαιτεῖσθαι τοὺς βιωτικοὺς τοῖς μοναχοῖς· ὁ γὰρ σύνδεσμος καὶ ἡ ῥίζα τῆς πολλῆς ἀρετῆς αὕτη ἐστί· νυνὶ δὲ καὶ κατὰ μέρος αὐτὴν τίθησι. Τί τοίνυν μεῖζον ταύτης τῆς φιλοσοφίας ζητήσειεν ἄν τις; Ὅταν γὰρ καὶ ὀργῆς καὶ θυμοῦ καὶ κραυγῆς, καὶ χρημάτων ἐπιθυμίας, καὶ γαστρὸς, καὶ πολυτελείας, καὶ δόξης κενῆς, καὶ τῶν ἄλλων τῶν βιωτικῶν ἀνωτέρους εἶναι κελεύῃ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ὅταν νεκρῶσαι τὰ μέλη προστάττῃ, εὔδηλον ὅτι τὴν αὐτὴν ἡμᾶς ἀκρίβειαν ἀπαιτεῖ, ὅσην τοὺς μαθητὰς ὁ Χριστὸς, καὶ πρὸς τὰ ἁμαρτήματα οὕτως εἶναι βούλεται νεκροὺς, ὡς τοὺς ἀποθανόντας καὶ ταφέντας ἤδη. Διὰ τοῦτο γάρ φησιν, « Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας ». Ἔστι δὲ ὅπου καὶ εἰς τὸν τοῦ Χριστοῦ ζῆλον διὰ τῆς παρακλήσεως ἡμᾶς ἄγει, οὐχὶ πρὸς τὸν τῶν μαθητῶν μόνον. Καὶ γὰρ ὅταν ἀγαπᾶν παραινῇ, ἐκεῖθεν φέρει τὰ ὑποδείγματα, καὶ ὅταν ἀνεξικακεῖν, καὶ ὅταν μετριάζειν. Ὅταν οὖν μὴ μοναχοὺς μόνον, μηδὲ τοὺς μαθητὰς, ἀλλὰ καὶ αὐτὸν κελεύῃ μιμεῖσθαι τὸν Χριστὸν, καὶ τοῖς μὴ ζηλοῦσι κόλασιν τιθῇ μεγίστην, πόθεν ἐκεῖνο μεῖζον ἔφης εἶναι τὸ ὕψος; Τὸ γὰρ αὐτὸ πάντας ἀνθρώπους ἀναβῆναι δεῖ· καὶ τὸ πᾶσαν ἀνατρέψαν τὴν οἰκουμένην τοῦτό ἐστιν, ὅτι μείζονος οἰόμεθα δεῖν ἀκριβείας τῷ μονάζοντι μόνῳ, τοῖς δὲ λοιποῖς ἐξεῖναι ῥᾳθύμως ζῆν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν. Ἀλλὰ τὴν

vens mortua est; iterumque (*ib. c.* 6. 8), *Habentes autem alimenta, et quibus tegamur, his contenti simus.* Quid amplius posset aliquis a monachis exigere? Cum autem alios ad linguam continendam institueret, accuratas rursum leges statuit, talesque, quales ne ipsi quidem monachi facile impleant. Non enim turpitudinem et stultiloquium tantum, sed etiam scurrilitatem eliminat: non furorem, iram et amaritudinem solum, sed etiam clamorem ab ore fidelium resecat. *Omnis*, inquit (*Ephes.* 4. 31), *ira et indignatio, et clamor et blasphemia tollatur a vobis, cum omni malitia.* Num haec tibi parva videntur? At exspecta, et his longe majora audies, quae de malorum tolerantia omnibus praecipit. *Sol*, inquit (*Ephes.* 4. 26), *non occidat super iracundiam vestram.* (1 *Thess.* 5. 15:) *Videte ne quis malum pro malo cuiquam reddat; sed semper quod bonum est sectamini in invicem, et in omnes;* ac rursum (*Rom.* 12. 21), *Noli vinci a malo, sed vince in bono malum.* Vidistine philosophiae et longanimitatis magnitudinem ad supremum culmen ascendentem? Audi quid de caritate, quae est caput bonorum, praecipiat: postquam enim eam extulisset, ejusque praeclara gesta narrasset, eamdem se a saecularibus exigere declarat, quam Christus a discipulis. Quemadmodum enim Christus extremum caritatis terminum esse dixit animam suam ponere pro amicis suis, sic et Paulus id ipsum subindicat his verbis (1 *Cor.* 13. 5): *Caritas non quaerit quae sua sunt*, atque hujusmodi caritatem sectari jubet. Ita ut, si vel id solum dictum esset, idoneum id esset argumentum, eadem ipsa a saecularibus, quae a monachis, requiri: haec quippe est vinculum et radix multae virtutis; nunc autem illam minutatim et per partes refert. Quid igitur hac philosophia majus requiratur? Cum enim ira, furore, clamore, pecuniarum cupiditate, ventris ingluvie, magnificentia, inani gloria, et caeteris rebus saecularibus superiores nos esse, et nihil cum terra commune habere praecipiat, cum membra nostra *mortificare* jubeat, palam est eum a nobis eamdem vitae diligentiam requirere, quam Christus a discipulis; atque nos peccatis mortuos esse velle, ac si jam mortui et sepulti essemus. Quapropter dicit (*Rom.* 6. 7): *Nam qui mortuus est, justificatus est a peccato.* Nonnumquam autem ad Christi, nec tantum ad discipulorum, imitationem nos hortatur. Etenim cum nos hortatur ad caritatem, inde sumit exempla, similiterque cum ad injuriarum oblivionem, atque ad modestiam. Cum itaque non monachos tantum ac discipulos, sed et ipsum imitari Christum jubeat, et non imitantibus maximum ponat supplicium, qua tandem ratione dicis illam esse majorem altitudinem? Ad eamdem enim ipsam omnes homines ascendere oportet: et quod universum evertit orbem, illud est, quod solis monachis illa diligentia opus esse putemus, caeterisque negligenter vivere licere. Non ita sane, non ita est. Sed ca-

αὐτὴν ἀπαιτούμεθα, φησὶ, πάντες φιλοσοφίαν; Καὶ σφόδρα φαίην ἂν ἔγωγε, μᾶλλον δὲ οὐκ ἐγὼ, ἀλλ' αὐτὸς ὁ μέλλων κρίνειν ἡμᾶς.

Εἰ δὲ θαυμάζεις ἔτι καὶ διαπορεῖς, φέρε σοι πάλιν τὴν ἀκοὴν ἀπὸ τῶν αὐτῶν ἐπαντλήσωμεν ναμάτων, ὥστε σοι τέλεον ἐκπλυθῆναι τῆς ἀπιστίας τὴν κακίαν ἅπασαν. Ποιήσομαι δὲ ἀπὸ τῶν κολάσεων τὴν ἀπόδειξιν τῶν κατὰ τὴν ἡμέραν ἐκείνην. Ὁ πλούσιος, οὐκ ἐπειδὴ μονάζων ἦν ὠμὸς, διὰ τοῦτο ἐκολάζετο μειζόνως, ἀλλ', εἰ δεῖ τι καὶ ἑφευρόντα εἰπεῖν, ἐπειδὴ βιωτικὸς ὢν, καὶ ἐν πλούτῳ ζῶν καὶ ἐν πορφύρᾳ, περιεώρα τὸν Λάζαρον ἐν ἐσχάτῃ πενίᾳ. Πλὴν οὔτε τοῦτο οὔτε ἐκεῖνο ἐρῶ, ἀλλ' ὅτι μόνον ὠμὸς ἦν, διὰ τοῦτο ἔκαιτο μειζόνως κολαζόμενος ἐν τῷ πυρί. Καὶ αἱ παρθένοι δὲ, ἐπειδὴ περὶ τὴν φιλανθρωπίαν ὑστέρησαν, διὰ τοῦτο ἀπηλάθησαν τοῦ νυμφῶνος· καὶ εἴ χρή τι καὶ παρ' ἑαυτῶν εἰπεῖν, οὐ μόνον αὐταῖς οὐκ ἐπετείνετο τὰ τῆς κολάσεως διὰ τὴν παρθενίαν, ἀλλὰ τάχα καὶ ἡμερώτερα διὰ ταύτην ἐγίνετο. Οὐ γὰρ ἤκουσαν, « Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, » ἀλλὰ μόνον, « Οὐκ οἶδα ὑμᾶς. » Εἰ δὲ λέγοι τις ταὐτὸν εἶναι τοῦτο ἐκείνῳ, οὐδὲ ἐγὼ ἀντερῶ. Τὸ γὰρ σπουδαζόμενόν μοι δεῖξαι νῦν, ὅτι οὐχ ὁ τῶν μοναχῶν βίος χαλεπωτέρας ποιεῖ τὰς κολάσεις, ἀλλὰ τῶν αὐτῶν εἰσιν ὑπεύθυνοι καὶ οἱ βιωτικοὶ, τὰ αὐτὰ ἁμαρτάνοντες ἐκείνοις. Καὶ ὁ τὰ ῥυπαρὰ δὲ ἐνδεδυμένος ἱμάτια, καὶ ὁ τὰ δηνάρια τὰ ἑκατὸν ἀπαιτῶν, οὐκ ἐπειδὴ μονάζοντες ἦσαν, ἔπασχον ἅπερ ἔπασχον· ἀλλ' ὁ μὲν διὰ τὴν πορνείαν, ὁ δὲ διὰ τὴν μνησικακίαν ἀπώλοντο. Καὶ τοὺς ἄλλους δὲ εἴ τις ἐπέλθοι τοὺς τότε κολαζομένους, ἀπὸ τῶν ἁμαρτημάτων μόνον ὄψεται τὴν τιμωρίαν ὑπέχοντας. Οὐκ ἐν ταῖς τιμωρίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς νουθεσίαις τοῦτο εὕροι τις ἄν. Καὶ γὰρ, ὅταν λέγῃ, « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, » οὐχὶ τοῖς μονάζουσι διαλέγεται μόνοις, ἀλλὰ καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. Καὶ ὅταν κελεύῃ διὰ τῆς στενῆς βαδίζειν ὁδοῦ, οὐ πρὸς τούτους ἀποτείνει τὸν λόγον μόνους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους· καὶ μισεῖν δὲ τὴν αὐτῶν ψυχὴν ἐν τῷ κόσμῳ τούτῳ, καὶ τὰ ἄλλα δὲ πάντα τὰ τοιαῦτα πᾶσιν ἐπέταξεν ὁμοίως. Ὅταν δὲ μὴ πᾶσι διαλέγηται μηδὲ νομοθετῇ, δῆλον ἡμῖν αὐτὸ ποιεῖ. Ὅτε γοῦν περὶ παρθενίας ἔλεγεν, ἐπήγαγεν, « Ὁ δυνάμενος χωρεῖν χωρείτω, » οὔτε τὸ Πᾶς προσθεὶς, οὔτε ἐν ἐπιτάγματος τάξει τοῦτο εἰσενεγκών. Οὕτω καὶ ὁ Παῦλος· τὸν γὰρ διδάσκαλον μιμούμενος πανταχοῦ φαίνεται, καὶ εἰς ταύτην ἐμπεσὼν τὴν ὑπόθεσιν, ἔλεγε, « Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω. » Ὅτι μὲν οὖν πρὸς τὴν ἴσην φθάσαι κορυφὴν καὶ τὸν βιωτικὸν ἀνάγκη καὶ τὸν μοναχὸν, καὶ ὅτι τὰ αὐτὰ λήψονται τραύματα πεσόντες

demne, inquit, ab omnibus philosophia requiritur? Vehementer hoc affirmaverim; imo vero non ego, sed is ipse qui nos judicaturus est.

Sin adhuc miraris et hæres, age rursum et iisdem scaturiginibus aures tuas inundemus, ut omnis incredulitatis tuæ nequitia abluatur. Documenta vero sumam ex supplicis diei illius. Dives ille, non quod monachus crudelis esset, ideo vehementius cruciabatur, sed si quid a nobis inventum loqui fas sit, quia secularis cum esset et in divitiis et in purpura degens, Lazarum in extrema paupertate viventem despexit. Cæterum neque hoc neque illud dicam, sed solum quia crudelis erat, ideo majore ignis supplicio puniebatur. Virgines quoque, quia humanitatem posthabuerunt, ideo a thalamo sponsi repulsæ sunt; ac si quid a nobis ipsis dicere opus sit, non solum illis cruciatus non aucti sunt, quod virginitatem coluissent, sed mitiores ideo fuerunt. Non enim audierunt, *Ite in ignem paratum diabolo et angelis ejus;* sed tantum (*Matth.* 25. 12), *Non novi vos.* Si quis vero dicat hoc et illud idem ipsum esse, equidem nihil repugnabo. Nam quod mihi nunc ostendere incumbit, illud est, quod monachorum vita non graviora attrahat supplicia; sed quod seculares eadem peccata admittentes iisdem sint pœnis obnoxii. Is enim qui sordidis vestibus amictus erat, et is qui centum denarios exigebat, non quod monachi essent ea passi sunt, quæ passi referuntur; sed alter ob fornicationem, alter quod non condonasset, perierunt. Et alios quoque supplicio tunc affectos si quis percurrat, deprehendet eos propter peccata solum pœnas luisse. Id vero non in suppliciis tantum, sed in admonitionibus quoque animadvertas. Nam cum dicit (*Matth.* 11. 28): *Venite ad me omnes qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos, et discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris;* non monachis tantum loquitur, sed toti humano generi. Cumque jubet per angustam incedere viam, non illos modo, sed omnes homines alloquitur: et animam suam odio habere in hoc mundo, et similia omnia universis pariter præcepit. Cum autem non omnibus loquitur vel legem dat, id ipsum nobis palam facit. Cum itaque de virginitate loqueretur, intulit (*Matth.* 19. 12), *Qui potest capere, capiat*, neque illud, *omnis*, adjiciens, neque id in præcepti forma statuens. Sic etiam Paulus: nam Magistrum ubique imitari deprehenditur, cumque in idem argumentum incidisset, aiebat (1 *Cor.* 7. 25): *De virginibus autem præceptum Domini non habeo.* Quod igitur et secularem et monachum ad idem cacumen pertingere oporteat, et quod uterque lapsus eadem vulnera accepturus sit, ne admodum

ἀμφότεροι, οὐδὲ τὸν σφόδρα φιλόνεικον καὶ ἀναίσχυντον οἶμαι λοιπὸν ἀντερεῖν.

Τούτου δὲ ἀποδειχθέντος σαφῶς, φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν, τίς εὐκολώτερον καὶ ῥᾷον πεισθῆται· ἢ ἐνταῦθα οὐδὲ ἐξετάσεως ἡμῖν δεῖ. Σωφροσύνην μὲν γὰρ ὁ γυναῖκα ἔχων κατορθώσει ῥᾳδίως, ἅτε πολλῆς ἀπολαύων τῆς παραμυθίας· ἐν δὲ τοῖς ἄλλοις οὐ σφόδρα φαίνεται· πλὴν ἀλλὰ κἀνταῦθα πλείους ἂν ἴδοιμεν τῶν γεγαμηκότων ἢ τῶν μοναχῶν πίπτοντας. Οὔτε γὰρ τοσοῦτοι πρὸς τὸν γάμον ἀπὸ τῶν μοναστηρίων ἐκβαίνουσιν, ὅσοι πρὸς πόρνας ἀπὸ τῆς εὐνῆς ἀνίστανται τῶν γυναικῶν. Εἰ δὲ ὅπου εὔκολα τὰ τῶν παλαισμάτων αὐτοῖς, μετὰ τοσαύτης πίπτουσιν ὑπερβολῆς, τί ποιήσουσιν ἐν τοῖς ἄλλοις πάθεσιν, ἐν οἷς μᾶλλον ἐνοχλοῦνται τῶν μοναχῶν; Ἡ μὲν γὰρ ἐπιθυμία τούτοις σφοδρότερον ἔπεισιν, ἅτε τὴν πρὸς γυναῖκας οὐκ ἔχουσιν ὁμιλίαν· τὰ δὲ ἄλλα τούτων μὲν οὐδὲ ἐγγὺς γενέσθαι δύναιτ' ἄν, ἐκείνους δὲ κατὰ κράτος ἐλαύνει καὶ ἐπὶ κεφαλὴν ὠθεῖ. Εἰ δὲ ἐν οἷς σφοδρότερος ὁ πόλεμος πνεῖ, μᾶλλον τῶν μὴ τοῦτο πασχόντων κρατοῦσιν, εὔδηλον ὅτι πολλῷ ῥᾷον τούτων ἐν τοῖς ἄλλοις, ἐν οἷς οὐκ ἐνοχλοῦνται, στήσονται. Καὶ γὰρ χρημάτων ἔρως, καὶ τρυφῆς ἐπιθυμία καὶ δυναστείας καὶ τῶν ἄλλων ἁπάντων, εὐκολώτερον ὑπὸ τούτων ἢ τῶν βιωτικῶν ἀνύεσθαι πέφυκεν. Ὥσπερ οὖν ἐν παρατάξει καὶ μάχῃ τοῦτο τοῦ πολέμου τὸ μέρος κουφότερον εἶναι φήσομεν, οὐχ ὅθεν ἐπάλληλοι καὶ συνεχεῖς πίπτουσιν οἱ νεκροὶ, ἀλλ' ὅθεν ὀλίγοι καὶ σπάνιοι, οὕτω καὶ περὶ τούτων ψηφίζεσθαι χρή. Καὶ γὰρ πλεονεξίας οὐχ ὁ στρεφόμενος ἐν τῷ μέσῳ, ἀλλ' ὁ καθήμενος ἐν τοῖς ὄρεσιν εὐκολώτερον περιέσται· ἐπεὶ ἐκεῖνός γε καὶ ἁλώσεται ῥᾳδίως, ἁλόντα δὲ πλεονεξίᾳ μετὰ τῶν εἰδωλολατρῶν ἀριθμεῖσθαι ἀνάγκη. Καὶ τῶν οἰκείων οὗτος μὲν οὐχ αἱρήσεται ὑπεριδεῖν, ἂν ἔχῃ χρήματα, ἀλλ' εὐκόλως αὐτοῖς πάντα προήσεται· ἐκεῖνος δὲ οὐ περιόψεται μόνον αὐτοὺς, ἀλλὰ καὶ ἀδικήσει τῶν ἀλλοτρίων οὐχ ἧττον· τοῦτο δὲ πάλιν ἕτερος εἰδωλολατρείας τρόπος τοῦ προτέρου χαλεπώτερος. Καὶ τί δεῖ τὰ ἄλλα πάντα λέγειν τὰ τοῖς μονάζουσι μὲν ὄντα εὐκαταγώνιστα, τοὺς δὲ βιωτικοὺς μετὰ πολλῆς καταβάλλοντα τῆς σφοδρότητος; Πῶς οὖν οὐ δέδοικας οὐδὲ τρέμεις ἐπὶ τοῦτο ἄγων τὸν υἱὸν, ὅθεν ἁλώσιμος ἔσται τῇ κακίᾳ ταχέως; Ἢ μικρόν σοι δοκεῖ εἰδωλολατρεία, καὶ τὸ τῶν ἀπίστων εἶναι χείρω, καὶ τὸ τοῦ Θεοῦ τὴν δουλείαν διὰ τῶν ἔργων ἐξόμνυσθαι, ἅπερ ἅπαντα πείσονται εὐκολώτερον τῶν μοναχῶν οἱ τῷ βίῳ προσδεδεμένοι; Ὁρᾷς ὅτι σκῆψις ὁ φόβος ἐστίν; Εἰ γὰρ δεδοικέναι ἐχρῆν, οὐχ ὑπὲρ τῶν τὰ κλυδώνια φευγόντων, οὐδὲ ὑπὲρ τῶν ἐπὶ τὸν λιμένα σπευδόντων, ἀλλ' ὑπὲρ τῶν ἐν τῷ χειμῶνι καὶ τῇ ζάλῃ κυλινδουμένων. Ταχύτερον γὰρ ἐκεῖθεν τὰ ναυάγια, τῷ καὶ πλείονα εἶναι τὰ ἐνοχλοῦντα, καὶ ῥᾳθυμοτέρους τοὺς πρὸς ταῦτα στήσεσθαι μέλλοντας. Ἐνταῦθα δὲ οὔτε τοσαῦτα τὰ κύματα, καὶ πολλὴ ἡ γαλήνη, καὶ ἡ

quidem contentiosum et impudentem deinceps negaturum puto.

15. Hoc autem aperte demonstrato, age illud quoque inquiramus, quis facilius lapsurus sit: sive potius hic non opus est nobis perquisitione; continentiam quippe is qui uxorem habet, facilius servabit, utpote qui solatio multo fruatur: in reliquis autem non ita clara res est. Verum in illa quoque re plures videmus conjugatorum cadere, quam monachorum. Neque enim tot ex monasteriis ad nuptias transeunt, quot ex conjugali toro ad scorta. Quodsi in certaminibus illis sibi facilibus usque adeo frequentius cadant, quid in aliis animi affectibus facturi sunt, ubi magis exagitantur quam monachi? Nam concupiscentia quidem hos vehementer stimulat, utpote qui nullum habeant cum mulieribus consortium: reliqua vero ad hos prope accedere nequeunt; illos autem violenter adoriuntur et præcipites agunt. Quodsi, ubi violentiori bello premuntur monachi, frequentius superant, quam illi, cum quibus remissius agitur, palam est eos in cæteris, ubi non exagitantur, multo facilius firmiter constituros. Etenim pecuniæ amor, itemque concupiscentia deliciarum, potentiæ, reliquorumque omnium, facilius ab his, quam a secularibus, vinci solent. Quasi in acie igitur atque in prælio hanc belli partem leviorem esse dicemus, non in qua unus super alium et frequentes cadunt, sed in qua pauci et rari: sic et de his sententiam ferre par est. Siquidem avaritiam non ille, qui in medio rerum versatur, sed hic, qui in montibus residet, facilius superabit. Nam ille certe nullo negotio capietur; is vero qui avaritia corripitur, cum idololatris annumerandus est. Ac monachus quidem propinquos et familiares non despiciet, si pecunias habeat, sed facile iis totas effundet; ille vero non tantum eos despiciet, verum etiam lædet non minus, quam alienos. Quod profecto aliud idololatriæ genus est priori longe gravius. Et quid alia omnia recensere opus, quæ cum a monachis facilius superentur, seculares cum vehementia dejiciunt? Cur ergo non times, cur non trepidas, dum filium in eo loco constituis, ubi a nequitia cito capietur? An tibi parvum quid videtur esse idololatria teneri, et infidelibus deteriorem esse, Deique servitium operibus abnegare, quæ omnia facilius, quam monachi, patientur ii qui sæculo addicti sunt? Videsne quod mera fictio metus iste sit? Nam si metuendum esset, non illis certe metuendum, qui procellas fugiunt, vel illis qui ad portum festinant, sed iis qui procella et tempestate jactantur. Citius enim hinc naufragia timenda, quod plura sint perturbantia, et segniores ii quibus adversus ea standum est. Hic vero non tot fluctus habentur, sed magna tranquillitas, majorque diligentia

σποιδὴ μείζων τῶν πρὸς ταῦτα μαχησομένων. Διὰ τοῦτο καὶ ἡμεῖς ἐπὶ τὴν ἔρημον ἕλκομεν, οὐχ ἵνα σάκκον ἁπλῶς περιβάλωνται, οὐδ' ἵνα κλοιὰ περιθῶνται, οὐδ' ἵνα σποδὸν ὑποστορέσωνται, ἀλλ' ἵνα πρὸ τῶν ἄλλων ἁπάντων φύγωσι μὲν κακίαν, ἕλωνται δὲ ἀρετήν.

Τί οὖν; οἱ γεγαμηκότες, φησὶν, ἀπολοῦνται πάντες; Οὐ τοῦτο λέγω, ἀλλ' ὅτι μειζόνων δεήσονται πόνων, εἰ μέλλοιεν σώζεσθαι, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην· τοῦ γὰρ δεδεμένου μᾶλλον ὁ λελυμένος ἁρμαῖται. Οὐκοῦν καὶ πλείονα ἕξει τὸν μισθὸν, καὶ λαμπροτέρους τοὺς στεφάνους; Οὐδαμῶς· ἑαυτῷ γὰρ ταύτην περιτίθησι τὴν ἀνάγκην, ἐξὸν μὴ περιθεῖναι. Ὥστε, ἐπειδὴ σαφῶς ἡμῖν ἀποδέδεικται ὅτι τῶν αὐτῶν ἐσμεν ὑπεύθυνοι τοῖς μοναχοῖς, ἐπὶ τὴν εὐκολωτέραν τράχωμεν ὁδὸν, καὶ τοὺς υἱοὺς ἐπὶ ταύτην ἕλκωμεν, ἀλλὰ μὴ καταποντίζωμεν, μηδὲ εἰς τὰ τῆς κακίας ἕλκωμεν βάραθρα, καθάπερ ἐχθροὶ καὶ πολέμιοι. Ταῦτα γὰρ εἰ μὲν ἄλλοι τινὲς ἐποίουν, οὐκ ἦν οὕτω δεινόν· ὅταν δὲ οἱ γεγεννηκότες, οἱ τῶν βιωτικῶν πεῖραν εἰληφότες πάντων, οἱ διὰ τῶν ἔργων μαθόντες αὐτῶν ὅτι ψυχρὰ τῶν παρόντων πραγμάτων ἡ ἡδονὴ, οὕτω μαίνονται, ὡς ἑτέρους ἐπὶ ταῦτα ἕλκειν, ἐπειδὴ λοιπὸν ὑπὸ τῆς ἡλικίας αὐτοὶ κεκώλυνται· καὶ δέον αὐτοὺς ἐπὶ τοῖς προτέροις ἑαυτοὺς ταλανίζειν, οἱ δὲ καὶ ἑτέρους ἐμβάλλουσι, καὶ ταῦτα ἐγγὺς ἑστῶτες λοιπὸν τῆς τελευτῆς καὶ τοῦ δικαστηρίου καὶ τῶν εὐθυνῶν ἐκείνων, ποίαν αὐτοῖς ἀπολογίαν λελείψεται, ποία συγγνώμη, ποῖος ἔλεος; Οὐ γὰρ δὴ μόνον τῶν οἰκείων ἁμαρτημάτων δώσουσι δίκην, ἀλλὰ καὶ τῶν [ἐν] τοῖς παισὶ τετολμημένων, ἄν τε δυνηθῶσιν ὑποσκελίσαι τοὺς υἱοὺς, ἄν τε μή.

Ἀλλὰ παιδας ἴσως ἐπιθυμεῖτε παίδων ἰδεῖν. Καὶ πῶς, οὔπω γενόμενοι πατέρες αὐτοί; Οὐ γὰρ δὴ τὸ γεννῆσαι πατέρα ποιεῖ· καὶ τοῦτο αὐτοὶ οἱ γεγεννηκότες συνομολογήσαιεν ἄν, εἴ τοὺς υἱεῖς ὅταν ἴδωσιν εἰς ἔσχατον κακίας ἑλαύνοντας, ὡς οὐκ ὄντας αὐτῶν ἐκβάλλουσι καὶ ἀπαλλοτριοῦσι, καὶ οὔτε φύσις, οὔτε γέννησις, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν κατασχεῖν αὐτοὺς δύναιτ' ἄν. Μὴ τοίνυν μηδὲ πατέρες ἀξιούσθωσαν εἶναι τούτων, ὧν πολὺ κατὰ τὸν τῆς φιλοσοφίας λείπονται λόγον· ἀλλ' ἐπειδὰν αὐτοὺς τοῦτον τὸν τρόπον γεννήσωσι, τότε καὶ τοὺς ἐκγόνους ζητείτωσαν· τότε γὰρ αὐτοὺς καὶ ἰδεῖν δυνήσονται μόνον. Εἰσὶ γὰρ αὐτοῖς παῖδες, εἰσὶν, οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐξ αὐτοῦ γεννηθέντες τοῦ Θεοῦ. Οὗτοι οἱ παῖδες οὐχ ὑπὲρ χρημάτων ἀναγκάζουσι κόπτεσθαι τοὺς πατέρας, οὐχ ὑπὲρ γάμου, οὐχ ὑπὲρ ἄλλου τινὸς τοιούτου, ἀλλὰ πάσης αὐτοὺς τῆς φροντίδος ἀτελεῖς ἀφέντες, τῶν φυσικῶν πατέρων μείζονι παρέχουσιν ἐντρυφᾶν ἡδονῇ. Οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς τίκτονταί τε καὶ τρέφονται, ἐφ' οἷσπερ κἀκεῖνοι, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ λαμπροτέροις· διὸ καὶ μᾶλλον τοὺς γεγεννηκότας εὐφραίνουσι. Χωρὶς δὲ τούτων κἀκεῖνο εἴποιμι ἄν,

eorum, quos adversus illa pugnare oportet. Quamobrem nos in desertum trahimus eos, non simpliciter ea causa, ut sacco induantur, non ut collaria circumdent, non ut cinerem substernant tantum, sed præ cæteris omnibus ut vitia fugiant, eligantque virtutem.

Quid igitur? omnesne conjugati peribunt? Non equidem id dico, sed majoribus eos laboribus obnoxios esse, si salutem consequi velint, idque ob impositam ipsis necessitatem. Nam is qui solutus est, facilius curret, quam is qui est vinculis obstrictus. Ergo etiam majoribus ille præmiis donabitur, illustrioribusque coronis? Minime vero: nam hanc ille ipse sibi necessitatem imponit, cum liceret non imponere. Itaque quoniam, ut a nobis clare demonstratum est iisdem sumus officiis obnoxii, quibus monachi, faciliorem percurramus viam, ad eamque filios attrahamus; ne illos demergamus, neve illos ad barathra, ut hostes et inimici, præcipitemus. Hæc enim si qui alii facerent, non adeo grave esset: cum autem ipsi parentes, qui sæcularium rerum omnium experimentum acceperunt, qui operibus ipsis didicerunt frigidam admodum esse præsentium rerum voluptatem, adeo insaniant, ut alios ad eadem ipsa pertrahant, quoniam ipsi jam his frui per ætatem prohibentur; et, cum se ipsos ex iis quæ præcesserunt, infelices prædicare deberent, illi contra potius, morti jam proximi et tribunali, penisque sibi deputatis, alios tamen in illa barathra præcipitent: quæ illis excusatio relinquetur, quæ venia, quæ misericordia? Non tantum enim suorum peccatorum pœnas dabunt, sed etiam eorum, quæ in filiis ausi sunt, sive illos supplantare potuerint, sive non potuerint.

16. At fortasse filios filiorum videre cupitis. Et quomodo illud, cum vos nondum patres sitis? Neque enim patrem facit generatio: quod ipsi quoque parentes fatentur, qui cum filios vident in extremum nequitiæ devenisse, quasi non suos abjiciunt et abdicant; neque natura, neque generatio, neque simile quidpiam ipsos coërcere potest. Ne igitur patres ipsi habeantur eorum, quibus secundum philosophiæ rationem longe inferiores sunt: sed cum illos hoc modo genuerint, tunc nepotes etiam quærant; tunc enim tantum ipsos videre poterunt. Sunt enim illis filii, sunt utique, (*Jo.* 1. 13) *non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo* ipso generati. Hi porro filii non pecuniarum causa labores parentibus afferent, non nuptiarum, non alterius cujuscumque rei gratia, sed illos omni cura liberos dimissos, majori voluptate afficiunt, quam si ipsi naturales eorum patres essent. Non enim eadem ratione gignuntur ac nutriuntur, qua illi; sed multo excellentius ac splendidius; quamobrem majore parentes voluptate afficiunt. Illud præ-

ὅτι τοὺς μὲν διαπιστοῦντας τῇ ἀναστάσει οὐδὲν ἀπεικὸς ὑπὲρ τούτων θρηνεῖν, ἅτε δὴ ταύτης μόνης καταλειπομένης τῆς παραμυθίας αὐτοῖς· οἱ δὲ τὸν θάνατον ὕπνον ἡγούμενοι, καὶ παιδευόμενοι τῶν ἐνταῦθα πάντων καταφρονεῖν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι θρηνοῦντες ὑπὲρ τούτων, καὶ παῖδας ἐπιζητοῦντες ἰδεῖν καὶ καταλιπεῖν ἐνθάδε, ὅθεν ἀποπηδᾶν ἐπειγόμεθα, καὶ ἔνθα ὄντες στενάζομεν;

Καὶ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς πνευματικωτέρους εἴρηται. Εἰ δέ τινες εἶεν φιλοσώματοι, καὶ σφόδρα τῷ παρόντι προσηλωμένοι βίῳ, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι πρῶτον ἄδηλον εἰ καὶ παῖδες ἔψονται τῷ γάμῳ πάντως· δεύτερον, ὅτι καὶ γενομένων μείζων ἡ ἀθυμία· οὐ γὰρ τοσαύτην χαρπούμεθα εὐφροσύνην, ὅσην λύπην ἀπὸ τῆς καθημερινῆς φροντίδος καὶ τῆς ἀγωνίας καὶ τῶν φόβων τῶν δι' αὐτούς. Καὶ τίνι, φησί, καταλείψομεν τοὺς ἀγροὺς καὶ τὰς οἰκίας, τὰ ἀνδράποδα καὶ τὸ χρυσίον (καὶ γὰρ καὶ ταῦτα ἀκούω θρηνούντων αὐτῶν); Τῷ καὶ πρὸ τούτου μέλλοντι κληρονομήσειν αὐτὰ, καὶ τοσούτῳ μᾶλλον νῦν ἢ πρότερον, ὅσῳ καὶ φύλαξ καὶ κύριος ἀσφαλέστερος αὐτῶν ἔσται νῦν. Τότε μὲν γὰρ πολλὰ ἦν αὐτοῖς τὰ λυμαινόμενα· καὶ γὰρ σῆτες, καὶ χρόνος μακρὸς, καὶ λῃσταὶ, καὶ συκοφάνται, καὶ βάσκανοι, καὶ τὸ τοῦ μέλλοντος ἄδηλον, καὶ τὸ τῶν ἀνθρωπίνων εὐμετάβλητον, καὶ τέλος ὁ θάνατος (καὶ) τῶν χρημάτων καὶ τῶν κτημάτων τούτων ἀπεστέρησεν ἂν τὸν υἱόν· νυνὶ δὲ πάντων τούτων ἀνωτέρω τὸν πλοῦτον ἀπέθετο, τόπον εὑρὼν ἄσυλον, καὶ οὗ μηδενὶ τῶν εἰρημένων ἐπιβῆναι θέμις. Τοιοῦτον γὰρ χωρίον ὁ οὐρανὸς, πάσῃ μὲν ἄβατος ὢν ἐπιβουλῇ, πάσης δὲ εὐφορώτερος γῆς, καὶ μετὰ πολλῆς τῆς ἀφθονίας τῶν ἐν αὐτῷ τεθέντων χρημάτων παρέχων τοῖς παρακαταθεμένοις ἀμᾶσθαι τοὺς καρπούς. Ὥστε οὐχὶ νῦν ταῦτα ἔδει λέγειν, ἀλλ' εἰ βιωτικὸν ἔμελλεν ἔσεσθαι τὸ παιδίον, τότε θρηνεῖν, καὶ ταῦτα φθέγγεσθαι, Τίνι τοὺς ἀγροὺς καταλείπωμεν, τίνι τὸ χρυσίον, τίνι τὰ λοιπὰ χρήματα; Νῦν γὰρ τοσαύτη τῆς κυριότητος ἡ περιουσία, ὡς μηδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκπίπτειν τῆς δεσποτείας αὐτῶν, ἀλλὰ τότε μάλιστα τοῦ κέρδους αὐτῶν ἀπολαύειν, ὅταν ἐντεῦθεν ἀπέλθωμεν. Εἰ δὲ καὶ ἐνταῦθα βούλει κύριον ὄντα ἰδεῖν, καὶ τοῦτο τῷ μοναχῷ μᾶλλον ἢ τῷ βιωτικῷ συμβαῖνον ἴδοι τις ἄν. Τίς γὰρ, εἰπέ μοι, κυριώτερος, ὁ δαπανῶν καὶ διδοὺς μετὰ ἀδείας πολλῆς, ἢ ὁ μηδὲ ἅψασθαι τολμῶν ὑπὸ τῆς φειδωλίας, ἀλλὰ κατορύττων αὐτὰ, καὶ ὡς ἀλλοτρίων ἀπεχόμενος τῶν αὐτοῦ; ὁ μάτην ἀναλίσκων καὶ εἰκῇ, ἢ ὁ δεόντως τοῦτο ποιῶν; ὁ σπείρων τὴν γῆν, ἢ ὁ τοῦτο ἐργαζόμενος ἐν οὐρανῷ; ὁ μὴ πάντα συγχωρούμενος τὰ ἑαυτοῦ διδόναι, οἷς ἂν ἐθέλῃ, ἢ ὁ πάντων ἀπηλλαγμένος τῶν ἀπαιτούντων τὰς τοιαύτας συνεισφοράς; Γεωργοῦντι μὲν γὰρ καὶ πραγματευομένῳ πολλοὶ πολλαχόθεν ἐπιστήσονται, φόρους ἀναγκάζοντες κατατιθέναι, καὶ τὸ αὐτοῦ μέρος ἕκαστος ἀπαιτοῦντες· τῷ δὲ εἰς τοὺς δεομένους ἀναλίσκειν ἐπιterea adjiciam, mirum non esse eos, qui resurrectioni non credunt, de his lugere, quippe quibus haec sola relinquatur consolatio. At nos qui mortem somnum esse putamus, qui praesentia omnia despicere docti sumus, qua tandem venia digni erimus, si de his lugeamus, filiosque videre cupiamus, atque hic relinquere, unde ipsi transmeare festinamus, ubi cum simus, ingemiscimus?

Et haec quidem ad eos, qui spiritualiores sunt, sunt dicta. Si qui vero sint corporis amantes, atque huic saeculo penitus addicti, iis illud dixerim: primo incertum esse an ex matrimonio filii sint sequuturi; secundo, si nascantur, majorem esse moeroris causam: non enim tantum laetitiae, quantum moeroris accipimus, a quotidiana circa eos sollicitudine, anxietate et timore. Et cui, dices, relinquemus agros, domos, servos et aurum (nam et haec quoque illos conquerentes audio)? Ei profecto, qui haec antea hereditario jure possessurus erat, nuncque tanto magis, quam prius, quanto horum tutior custos et dominus futurus est. Haec enim antea multa pessumdabant, tineae, diuturnum tempus edax, fures, sycophantae, invidi, futuri incertitudo, humanarum rerum instabilitas, mors tandem ipsa et pecuniis et possessionibus istis filium tuum privasset: nunc vero omnibus istis superius has divitias reposuit, loco inviolabili reperto, ad quem nulli praedictarum pestium aditus esse potest. Is vero locus caelum est, nullis insidiis pervium, omni terrae solo feracius, atque ingenti cum foenore depositarum pecuniarum fructus metendos praebens iis qui ipsas deposuerint. Non igitur nunc ea verba dicenda erant; sed si filius saecularis esse maluisset, tunc flendum erat, tunc dicendum: Cui agros relinquemus, cui aurum, cui pecunias reliquas? Nunc autem tanta possessionis et dominii copia est, ut ne post obitum quidem illa excidat; sed tunc maxime eorum lucro fruatur, cum hinc excesserimus. Quodsi hic quoque eorum dominum et possessorem videre cupias, id quoque monacho magis, quam saeculari continget. Quis enim, dic mihi, potius dominus est, isne qui magna cum libertate impendit et largitur, an is qui prae avaritia ne contingere quidem audet, sed defodit ea, ab iisque abstinet tamquam sibi alienis? qui illa inaniter ac temere impendit, an qui id convenienter agit? qui seminat in terra, an qui in caelo? cui sua omnia quibus voluerit erogare non permittitur, an qui ab omnibus ejusmodi vectigalia exigentibus liber evasit? Agricolae namque et negotiatori multi undique erunt tributa persolvere cogentes, et suam quique partem repetentes: ei vero qui egenis sua erogare cupit, nemo talia

θυμοῦντι οὐδεὶς οὐδαμόθεν φανεῖται ταῦτα ἀπειλῶν· ὥστε καὶ ἐνταῦθα κυριώτερος οὗτός ἐστιν. Ἡ ἂν μὲν πόρναις ἀναλίσκῃ καὶ γαστρὶ καὶ παρασίτοις καὶ κόλαξι, καὶ καταισχύνῃ τὴν ἑαυτοῦ δόξαν, καὶ ἀπολλύῃ τὴν σωτηρίαν, καὶ καταγέλαστος γίνηται, κύριον αὐτὸν φῂς εἶναι τῶν δαπανωμένων· ἂν δὲ εἰς δόξαν τὴν ἀληθῆ καὶ ὠφέλειαν καὶ τὸ τῷ Θεῷ δοκοῦν μετὰ πολλῆς αὐτὰ δαπανᾷ τῆς συνέσεως, οὐχί τι; Οὐκοῦν ὅμοιον ποιήσεις, ὥσπερ ἂν εἰ εἰς μὲν ὀχετοὺς ἀμαρῶν ὁρῶν τινα ἐμβάλλοντα τὰ ἑαυτοῦ, κύριον φῂς εἶναι, εἰς δὲ χρείας ἀναγκαίας τοῦτο ποιοῦντα, ὡς οὐκ ἔχοντα τῶν ἀναλισκομένων ἐξουσίαν θρηνεῖς. Μᾶλλον δὲ οὐ τοῖς ἁπλῶς δαπανωμένοις, ἀλλὰ καὶ τοῖς ἐπὶ κακῷ τῶν ἑαυτῶν κεφαλῶν τοὺς τοιούτους παραβάλλειν χρή. Ἐκεῖναι μὲν γὰρ αἱ δαπάναι λαμπρότερον καὶ εὐπορώτερον καὶ ἀσφαλέστερον ποιοῦσιν, αὗται δὲ οὐκ αἰσχρὸν μόνον οὐδὲ ἐπονείδιστον, ἀλλὰ καὶ ἀπωλείας ὑπεύθυνον τρόπῳ παντί.

Τί δαί, μετὰ γάμον, φησὶ, καὶ παῖδας, οὐκ ἔνι ταύτης ἐπιλαβέσθαι τῆς φιλοσοφίας ἐν αὐτῷ τῷ γήρᾳ γενόμενον; Καὶ τίς ἡμῖν ἐγγυήσεται, πρῶτον μὲν, ὅτι εἰς ἔσχατον ἥξομεν γῆρας, δεύτερον δὲ, ὅτι ἐλθόντες πάντως ταύτην διατηροῦμεν τὴν γνώμην; Οὔτε γὰρ τῆς ἐν τῇ ζωῇ κύριοι προθεσμίας ἐσμέν· (καὶ τοῦτο ἐπαίδευσεν ὁ Χριστὸς λέγων, « Ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται· ») οὔτε ἐπὶ τῆς αὐτῆς δὲ προθυμίας μένει τὰ τῶν λογισμῶν ἡμῖν. Καὶ διὰ τοῦτο σοφός τις παραινεῖ λέγων, « Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας, μήποτε ὡς μέλλεις ἐκτριβήσῃ, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ. » Εἰ δὲ καὶ μηδὲν τούτων ἄδηλον ἦν, οὐδὲ οὕτως ἀναβάλλεσθαι ἔδει τοὺς υἱεῖς, οὐδὲ τοσαύτην γινομένην ζημίαν περιορᾶν. Καὶ γὰρ τῆς ἐσχάτης ἀλογίας ἂν εἴη, ὅταν μὲν δέηται βοηθείας ὁ νέος, καὶ σφοδρὸς ὁ ἀνταγωνιστὴς ἐφεστήκῃ, κελεύειν τοῖς τοῦ βίου ἐμφύρεσθαι πράγμασιν, ὥστε γενέσθαι εὐχείρωτον· ὅταν δὲ λάβῃ μυρία τραύματα, καὶ μηδὲ τὸ τυχὸν ἔχῃ μέρος ὑγιὲς, τότε καθοπλίζειν καὶ διεγείρειν κείμενον ἤδη καὶ ἐξησθενηκότα. Ναὶ, φησί· τότε γὰρ εὔκολος ἡ πάλη, τότε ῥᾴων ἡ μάχη, τῶν ἐπιθυμιῶν ἀβεσθεισῶν. Ποία μάχη, οὐδενὸς ὄντος ἡμῖν τοῦ πυκτεύοντος; Διὰ γὰρ τοῦτο οὐδὲ οἱ στέφανοι λαμπροὶ λοιπὸν ἔσονται· « Μακάριος γὰρ ὃς ἦρε ζυγὸν ἐκ νεότητος αὐτοῦ· καθίσεται κατὰ μόνας, καὶ σιωπήσεται. » Οὗτος μυρίων θαυμάτων ἄξιος καὶ μακαρισμῶν καὶ εὐφημίας, ὁ μαινομένην χαλινῶν τὴν φύσιν, καὶ ἐν αὐτῇ τοῦ χειμῶνος τῇ ἀκμῇ διασώζων τὸ σκάφος. Πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων φιλονεικῶμεν, ἀλλ' ἔστω μάχη καὶ τότε, εἰ βούλει. Ἀλλ' εἰ μὲν ἐφ' ἡμῖν ἕκειθ' ὁ τοῦ ἀγῶνος καιρὸς, καλῶς ἐκεῖνον ἀνεμένομεν τὸν χρόνον· εἰ δὲ πάντα τὸν παρόντα βίον ἀγωνίζεσθαι χρὴ, ἐκ πρώτης ἡλικίας ἀρξάμενον εὐθέως, καὶ δικαστῇ γεγονότα (καὶ γὰρ ἐξ ἐκείνης ἀνάγκη τῆς ἡλικίας ἀπαιτεῖσθαι τῶν ἁμαρτημάτων εὐθύνας, καὶ δηλοῦσι τὰ

comminabitur, ita ut hic potius suorum dominus sit. An vero eum, qui meretricibus, ventri, parasitis, et adulatoribus hæc effundit, gloriam suam in ignominiam vertit, salutem amittit, seque deridendum propinat, dominum dicas eorum quæ sic impendit; si autem ad veram gloriam utilitatemque, secundum Dei placitum, cum multa prudentia illa expendat, non item dicas? Sic idem facies, ac si quempiam conspiciens in aquæductus et canales sua effundere, eorum dominum esse dicas; sin vero necessariis usibus impendere, eum quasi expensarum dominium non habentem lugeas. Imo vero non iis qui temere absumunt, sed iis qui in capitis sui perniciem id faciunt, isti comparandi sunt. Illæ namque expensa clariorem, opulentiorem et tutiorem faciunt hominem; hæ vero non turpem modo, et opprobrio dignum, sed damnationi prorsus obnoxium.

17. Quid ergo, inquies, annon post matrimonium ac susceptos liberos licebit hanc philosophiam in senectute amplecti? At quis nobis pollicebitur, primo quidem nos ad extremam senectutem perventuros; secundo, si ad eam perveniamus, eamdem prorsus mentem servaturos esse? Neque enim præstituti in vita temporis domini sumus: (idque docuit nos Christus cum dixit (1 *Thess.* 5. 2, *collato Matth.* 24. 42 *et* 43): *Dies Domini, sicut fur in nocte, ita veniet:*) neque rursus in eadem semper alacritate propositi cogitationes nostræ perseverant. Quapropter sapiens quidam admonet his verbis (*Eccli.* 5. 8): « *Ne tardes converti ad Dominum, et ne differas de die in diem*, ne forte, dum tu moram trahis, conteraris, et in tempore ultionis pereas. » Etiamsi vero eorum nihil esset incertum, ne sic quidem liberos nostros morari deberemus, neque tantum detrimentum negligere. Nam extremæ dementiæ esset, juvenem auxilio egentem, adversario vehementer instante, jubere sæcularibus immergi rebus, ita ut superatu facilis evaderet; postquam autem sexcentis vulneribus confossus nulla ex parte sanus est, tunc armare illum et excitare jacentem infirmumque. Ita sane, inquies; tunc enim levis pugna erit, facileque certamen, jam exstincta concupiscentia. Quæ pugna, cum nullus adsit contra nos pugil? Ideo nec coronæ tunc illustres erunt: (*Thren.* 3. 27) *Beatus* enim *qui portaverit jugum ab adolescentia sua; sedebit solitarius, et tacebit.* Hic sexcentis admirationibus dignus et beatitudinibus et præconiis, qui furentem naturam frænat, et in ipsa tempestatis vi scapham eripit. Verum ne super his rebus contendamus, concedamusque, si vis, tunc etiam certamen esse futurum. Sane si penes nos esset tempus certaminis statuere, jure tempus illud exspectare liceret: sin vero per totam vitam nobis dimicandum est, nempe ab ineunte ætate, sive a decennio (ex ea quippe ætate peccatorum rationem reddituri sumus,

καταβρωθέντα ὑπὸ τῶν ἄρκτων παιδία ἐπὶ τοῖς εἰς τὸν Ἐλισσαῖον σκώμμασι), καὶ νῦν ἐκ ταύτης παλαίειν χρὴ τῆς ἡλικίας, ἐν ᾗ καὶ ἐφέστηκεν ὁ πόλεμος χαλεπὸν πνέων καθ' ἡμῶν, πόθεν σὺ τὸν καιρὸν ἐκεῖνον τοῖς ἀγῶσιν ὁρίζεις; Εἰ μὲν γὰρ καὶ τῷ διαβόλῳ κύριος ἦς ἐπιτάττειν μὴ ἐπικεῖσθαι μηδὲ πυκτεύειν, εἶχεν ἄν τινά σοι λόγον αὕτη ἡ παραίνεσις· εἰ δὲ ἐκεῖνον ἀφεὶς ἀγωνίζεσθαι καὶ τύπτειν, ἐμοὶ νομοθετεῖς ἡσυχάζειν, μᾶλλον δὲ καὶ ὑποκαταλίνεσθαι ἑκόντα, τί ταύτης τῆς ἐπηρείας χεῖρον γένοιτ' ἄν, τοῦ πολεμίου μαινομένου, τὸν πολεμούμενον ἀφοπλίζειν, καὶ οὕτω ταῖς ἐκείνου χερσὶ παραδιδόναι; Νέος ἐστὶ καὶ ἀσθενής; οὐκοῦν διὰ τοῦτο πλείονος ἀσφαλείας δεῖται· ἀσφαλείας δὲ δεόμενος, καὶ ἐπιμελείας δεήσεται πλείονος. Τὸν δὲ τοιοῦτον ἐν γαλήνῃ διαπαντὸς καὶ ἡσυχίᾳ εἶναι δεῖ, οὐκ εἰς πράγματα ἐμβάλλεσθαι, οὐδὲ ἐν τῷ μέσῳ στρέφεσθαι, ἔνθα πολὺς ὁ θόρυβος καὶ ἡ ταραχή· σὺ δὲ οἷς ὁ πόλεμος χαλεπώτερος καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν ἀσθένειαν, καὶ διὰ τὴν ἀπειρίαν, καὶ διὰ τὴν ἐν μέσῳ διαστροφήν, τούτους ὡς ἤδη κατωρθωκότας καὶ γενομένους ἰσχυροὺς εἰς μέσον ἕλκεις, καὶ οὐκ ἐᾷς ἀπελθόντας γυμνάζεσθαι ἐπὶ τῆς ἐρημίας· ὥσπερ ἂν εἴ τις τὸν μὲν μυρία δυνάμενον στῆσαι τρόπαια κελεύοι τὰ πολεμικὰ μελετᾶν ἐφ' ἡσυχίας, τὸν δὲ ἄπειρον καὶ οὐδὲ εἰς μάχην παρακύψαι δυνάμενον, τοῦτον δι' αὐτὸ τοῦτο ἐν τῇ μάχῃ στρέφεσθαι νομοθετοῖ, ὡς δυσκατορθώτῳ τῷ πράγματι τούτῳ μείζονα τὰ κωλύματα τιθείς. Πρὸς δὲ τούτοις κἀκεῖνο εἰδέναι χρή, ὅτι οὐκ ἔνι μετὰ γάμον κύριον ἑαυτοῦ εἶναι, ἀλλ' ἀνάγκη δυοῖν θάτερον, ἢ διαπαντὸς ὁμιλεῖν τῇ γυναικί, ἂν ἐκείνη τοῦτο βούληται, ἢ μὴ βουλομένης ἐγκρατεύεσθαι ἀποστάντα μοιχείᾳ ἁλίσκεσθαι. Τί δεῖ λέγειν τὰς ἄλλας ἀνάγκας, τῶν παίδων, τῆς οἰκίας τὰς φροντίδας, αἳ πᾶσαν ἱκαναὶ προθυμίαν ἀμβλῦναι, καὶ πολλὴν τῆς ψυχῆς κατασκεδάσαι νάρκην;

Διὸ βέλτιον, κύριον ὄντα καὶ λελυμένον ἐκ πρώτης καθοπλίζειν τῆς ἡλικίας, οὐ τῶν εἰρημένων ἕνεκεν μόνον, ἀλλὰ καὶ τοῦ ῥηθήσεσθαι μέλλοντος οὐχ ἧττον ἢ τούτων. Ὁ μὲν γὰρ πρὸς τῷ τέλει τοῦ βίου τῆς φιλοσοφίας ἁψάμενος ταύτης, πάντα ἀναλίσκει τὸν χρόνον, ἵνα δυνηθῇ τὰ γενόμενα κατὰ τὴν ἔμπροσθεν ἡλικίαν ἁμαρτήματα ἀπονίψασθαι, καὶ πᾶσα εἰς τοῦτο ἡ σπουδὴ δαπανᾶται· καὶ οὐδὲ οὕτω πολλάκις ἀρκεῖ, ἀλλ' ἀπέρχεται λείψανα τῶν πληγῶν ἔχων· ὁ δὲ ἐκ πρώτης ἡλικίας ἀποδυσάμενος, οὐκ εἰς τοῦτο δαπανᾷ τὸν χρόνον, οὐδὲ κάθηται τραύματα θεραπεύων, ἀλλ' ἐκ προοιμίων λαμβάνει τὰ βραβεῖα· κἀκείνῳ μὲν ἀγαπητὸν τὰς ἥττας ἀναμαχέσασθαι πάσας, οὗτος δὲ ἐκ βαλβῖδος αὐτῆς τρόπαια ἵστησι, καὶ νίκας συνάπτει νίκαις· καθάπερ τις Ὀλυμπιονίκης ἐκ πρώτης ἡλικίας δι' ἀναῤῥήσεων ἐπὶ τὸ γῆρας δδεύων, οὕτως ἄπεισιν ἐκεῖ, μυρίοις τὴν κεφαλὴν ἀναδησάμενος στεφάνοις. Τίνων οὖν βούλει εἶναι τὸν υἱόν; τῶν διὰ τὴν πολλὴν παῤῥησίαν καὶ πρὸς αὐτοὺς τοὺς ἀρχαγγέλους ἀντιβλέ-

ut palam faciunt pueri illi, qui quod Elisæum irridere ausi essent, ab ursis devorati sunt), et nunc ex illa ætate præliandum est, qua bellum adversum nos gravissimum imminet: qua ratione tu tempus certaminibus constituis? Etenim si in tua potestate esset diabolo præcipere ut non irrumperet vel pugnam committeret, hæc tua admonitio rationi non absona esse videretur; sin autem istum libere pugnare sinens et telis impetere, me jubeas quiescere, imo sponte succumbere, quid hoc damno deterius fuerit, furente nimirum inimico, eum qui impetitur armis exuere, et sic in ejus manus tradere? Juvenis est et infirmus? ideo majori cautione eget; et qui hac eget, ei major diligentia adhibenda est. Hujusmodi autem virum in tranquillitate et quiete degere oportet, non in negotia se conjicere et in medio versari, ubi tumultus ingens ac perturbatio. Tu contra eos, quibus bellum acrius imminet et per ætatem, et per infirmitatem, et per imperitiam, et quod in rerum medio versantur; hos, quasi re jam bene gesta et acquisita fortitudine, in medium trahis, nec sinis in desertum proficisci, ut exerceantur et ad pugnam se comparent: quemadmodum si quis eum, qui millia posset erigere tropæa, juberet rem bellicam in quiete meditari et addiscere; imperitum vero, qui pugnam ne de fenestra quidem aspicere posset, hanc ipsam ob causam pugnam committere juberet, eo quod res difficillima esset, majora impedimenta objiciens. Præterea vero id considerandum est, non licere post nuptias cuiquam suum esse dominum, sed alterutrum necessarium esse, aut cum uxore semper versari, si ipsa velit; aut in adulterium incidere, si illa continenter vivere noluerit et tu tamen eam dimittas. Quid me dicere opus est alia necessitatis vincula, liberorum, rei familiaris curas, quæ omnem propositi alacritatem obtundere possint, multumque animæ torporem infundere?

18. Quamobrem longe melius est, dominum sui ac solutum a primæva ætate armis instruere, non ob ea quæ dicta sunt tantum, sed non minus etiam ejus rei gratia, quæ mox dicetur. Nam qui versus finem vitæ hanc philosophiam aggreditur, omne tempus conterit, ut peccata possit in præterita ætate admissa abluere, ejusque totum studium hac in re consumitur; sæpeque contingit ut non sat temporis habeat, et ex hac vita discedat vulnerum reliquias secum ferens. At vero qui a prima ætate certavit, non hac in re tempus absumit, nec sedet curans vulnera, sed ab exordio præmia accipit. Ac illi quidem satis est sarciendis cladibus omnibus sese reparare; hic autem ab ipso cursus ingressu tropæa erigit, et victorias victoriis addit, velut Olympici certaminis victor, qui a prima ætate per victoriæ proclamationes ad senectam usque progressus, sic demum decedit innumeris coronis capite redimitus. Ex quorumnam itaque numero vis filium tuum esse? eorumne

ψαι δυναμένων, ἢ ἐκείνων τῶν μετὰ πάντας ἑστώτων, καὶ τὴν ἐσχάτην τηρούντων τάξιν; Τὴν ἐσχάτην γὰρ λήψονται πάντως, καὶ ταύτην, ὅταν δυνηθῶσι πάντα τὰ κωλύματα διαδραμεῖν, ἅπερ ἀπηριθμησάμην νῦν, καὶ μήτε ἄωρος προαναρπάσῃ θάνατος, μήτε ὑπὸ γυναικὸς κωλυθῶσιν ὕστερον, μήτε τοσαῦτα τραύματα λάβωσιν, ὡς μὴ δυνηθῆναι αὐτοῖς τὸν τοῦ γήρως ἀρκέσαι χρόνον πρὸς τὴν θεραπείαν ἐκείνων, τήν τε γνώμην μένωσι διαπαντὸς τηροῦντες βεβαίαν καὶ ἀκίνητον. Ὅταν γὰρ ταῦτα πάντα συνέλθῃ, τότε μόλις ἐν τοῖς ἐσχάτοις τετάξονται. Τούτων οὖν εἶναι βούλει τὸν υἱόν, ἢ τῶν ἐν τῷ μετώπῳ τῆς φάλαγγος λαμπόντων; Καὶ τίς οὕτω, φησὶν, ἄθλιος, ὡς ἐκεῖνα μᾶλλον ἢ ταῦτα συνεύξασθαι τοῖς παισίν;

Ἀλλὰ συνήθειαν ἐπιζητοῦμεν, καὶ σὺν ἡμῖν αὐτοὺς εἶναι βουλόμεθα. Τοῦτο καὶ αὐτὸς βούλομαι, καὶ ὑμῶν οὐχ ἧττον εὔχομαι τῶν γεννησαμένων, εἰς τὴν πατρῴαν αὐτοὺς ἐπανελθεῖν οἰκίαν, καὶ τῶν τροφείων ἀποδοῦναι τὰς ἀμοιβάς, ὧν ἴσας οὐκ ἂν εὕροιεν ἑτέρας· ἀλλὰ μὴ νῦν αὐτοὺς τοῦτο ἀπαιτῶμεν. Πῶς γὰρ οὐκ ἄτοπον ἐπὶ λόγοις μὲν πέμποντας, πολὺν χρόνον καὶ τῆς πατρίδος ἐξορίζειν αὐτοὺς, καὶ τέχνην βάναυσόν τινα ἢ καὶ ἑτέραν φαυλοτέραν μανθάνειν μέλλουσιν ἄβατον καθιστάναι τὴν οἰκίαν, ἐν διδασκάλου οἰκίᾳ καὶ ἀριστᾶν καὶ καθεύδειν κελεύοντας· τούτους δὲ οὐκ ἐπ' ἀνθρώπειον μέλλοντας ἔρχεσθαι μάθημα, ἀλλ' ἐπὶ τὴν οὐράνιον φιλοσοφίαν, εὐθέως ἀφέλκειν, πρὶν ἢ γενέσθαι ὅπερ εὐχόμεθα; Καὶ σχοῖνον μέν τις τεταμένην διατρέχειν διδασκόμενος, πολὺν χρόνον ἀποστήσεται τῶν αὐτοῦ, τοὺς δὲ μανθάνοντας ἀπὸ τῆς γῆς πέτεσθαι εἰς τὸν οὐρανὸν, συγκατακλείσομεν τοῖς γονεῦσι; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; Οὐχ ὁρᾶτε τοὺς γεωργοὺς, ὅτι, κἂν σφόδρα ἐπείγωνται τῶν πόνων λαβεῖν τοὺς καρποὺς, ἀώρους αὐτοὺς οὐκ ἂν ἀνάσχοιντο τρυγῆσαί ποτε; Μὴ τοίνυν μηδὲ ἡμεῖς πρὸ ὥρας ἀπάγωμεν τῆς κατὰ τὴν ἐρημίαν διατριβῆς τοὺς υἱοὺς, ἀλλ' ἐάσωμεν αὐτοῖς ἐμπαγῆναι τὰ μαθήματα, καὶ ῥιζωθῆναι τὰ φυτά· κἂν δέκα, κἂν εἴκοσι ἔτη τρέφεσθαι αὐτοὺς ἐν μοναστηρίῳ δέῃ, μὴ θορυβώμεθα, μηδὲ ἀλύωμεν· ὅσῳ γὰρ ἂν ἐνδιατρίβῃ τῷ γυμνασίῳ, τοσούτῳ πλείονα κτήσεται τὴν ἰσχύν. Μᾶλλον δὲ, εἰ δοκεῖ, μηδὲ χρόνον ὁρίζωμεν, ἀλλ' ὅρος ἐκεῖνος ἔστω μόνος ὁ πρὸς τὴν ἀκμὴν ἄγων τοὺς ἐν αὐτῷ φυτευθέντας καρποὺς, καὶ τότε ἐπανερχέσθω ἀπὸ τῆς ἐρήμου, πρότερον δὲ μή. Οὐδὲ γὰρ ἔσται τι πλέον ἀπὸ τῆς ταχύτητος ἡμῖν ταύτης, ἀλλ' ἢ τὸ μηδέποτε αὐτὸν γενέσθαι ὥριμον. Ὁ γὰρ πρὸ ὥρας τῆς ἐν τῇ ῥίζῃ τροφῆς ἀποστερηθεὶς, οὐδὲ τοῦ καιροῦ παραγενομένου χρήσιμος ἔσται λοιπόν· ὅπερ ἵνα μὴ γένηται, καρτερῶμεν τὸν χωρισμόν· καὶ μὴ μόνον μὴ κατεπείγωμεν, ἀλλὰ καὶ βουλομένους ἐλθεῖν πρὸ ὥρας κωλύωμεν. Ἀπαρτισθεὶς μὲν γὰρ κοινὸν ἔσται κέρδος καὶ πατρὶ καὶ μητρὶ καὶ οἰκίᾳ καὶ πόλει καὶ ἔθνει· ἀτελέστερος δὲ παραγενόμενος, καταγέλαστος ἔσται καὶ ἐπονεί-

qui magna cum fiducia ipsos archangelos intueri possunt, an eorum qui post omnes stant et ultimum servant ordinem? Extremum namque sortientur omnino, si tamen possint ea omnia impedimenta transcurrere, quæ modo enumeravimus : si nempe neque mors præmatura ipsos abripuerit, neque ab uxore postea impediti fuerint, neque tot vulnera acceperint, ut nec totum senectutis tempus ad illa curanda sufficiat, et si sententiam firmam semper et immotam servent. Cum enim hæc omnia concurrerint, tunc vix extrema occupabunt loca. Horumne igitur ex numero vis esse filium tuum, an eorum qui in phalangis fronte fulgebunt? Et quis, inquies, ita miser, ut illa potius, quam hæc, optet filiis suis?

Verum consuetudinem sectamur, et illos nobiscum esse volumus. Hoc ipsum et ego cupio, nec minus opto quam vos parentes, ut in paternam redeant domum et alimentorum vices referant, quibus vicibus patres nullas usquam alias reperiant similes : verum hoc nunc ab illis non exigamus. Quomodo enim absurdum non fuerit, si cum ad literarum eos studia mittimus, longo eos tempore vel a patria arcemus, et si ut artem quamdam mechanicam, aut aliam viliorem ediscant, domus propriæ aditu interdicimus, et in magistri domo prandere et dormire jubemus; cum autem non humanam quamdam disciplinam, sed cælestem philosophiam adituri sunt, statim retrahimus, antequam id fiant quod optamus? Atque is quidem, qui per extensum funem currere docetur, diu aberit domo ; eos autem, qui ex terra in cælum avolare discunt, cum parentibus concludemus? Quid hac absurditate possit esse deterius? Nonne agricolas videtis, etiamsi laborum fructum percipere gestiant, immaturos tamen illos numquam velle demetere? Ergo nec filios nostros a deserti commoratione ante tempus abducamus; sed sinamus disciplinas altius imprimi et plantas radicibus firmari. Etiamsi decem, etiamsi viginti annos in monasterio ali oporteat, ne turbemur, nec mœrore afficiamur; quanto enim diutius in gymnasio exercitabitur, tanto majores adipiscetur vires. Imo si placeat, ne definiamus tempus, sed terminus sit ille tantum, qui insitos fructus possit ad maturitatem perducere; tuncque redeat ex solitudine, non autem antea. Nihil enim nobis proderit illa celeritas, nisi ut ad maturitatem numquam perveniat. Qui enim ante tempus radicis alimento destituitur, is profecto ne adveniente quidem tempore utilis erit. Quod ut ne accidat, separationem illam patienter feramus; nec solum non urgeamus, sed si præmature redire velint, prohibeamus : perfectum enim tunc lucrum accedet et patri et matri et domui et civitati et genti. Sin vero imperfectus redeat, ridiculus erit, probris expositus, et tam sibi quam aliis omnibus noxius. Ne igi-

διστος, καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις ἐπιβλαβής. Μὴ δὴ τοσαύτην ἐργαζώμεθα ζημίαν. Καὶ γὰρ εἰς ἀποδημίαν πέμποντες, τότε βουλόμεθα τοὺς υἱοὺς ἰδεῖν, ὅταν ὑπὲρ ὧν τὴν ἀποδημίαν πεποίηνται κατωρθωκότες τύχωσιν· ἄν τε πρὸ τούτου παραγένωνται, οὐ τοσαύτην ἀπὸ τῆς ἐπιδημίας λαμβάνομεν τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ μάτην ἐπανελθεῖν τὴν ἀθυμίαν. Πῶς οὖν οὐκ ἐσχάτης βλακείας τοσαύτην τοῖς πνευματικοῖς μὴ παρέχειν σπουδήν, ὅσην ἐπιδεικνύμεθα περὶ τὰ βιωτικά, ἀλλ' ἐκεῖ μὲν οὕτω φιλοσόφως φέρειν τῶν παίδων τὸν χωρισμόν, ὡς καὶ εὔχεσθαι ἐπιταθῆναι τοῦτον, ὅταν ὑπέρ τινος γένηται χρησίμου, ἐνταῦθα δὲ οὕτω μαλακίζεσθαι καὶ καταλλᾶσθαι πρὸς τὴν ἀποδημίαν, ὡς τοῖς μεγίστοις λυμήνασθαι διὰ τὴν μικροψυχίαν ταύτην ἀγαθοῖς, καὶ ταῦτα πλείονας παραμυθίας ἔχοντας, οὐ μόνον τὸ πρὸς μεῖζονα αὐτοὺς ἀποδύσασθαι, καὶ πάντως ἐπιτεύξεσθαι τοῦ τέλους, καὶ μηδὲν εἶναι τὸ διακόπτον τὰς ἐλπίδας, ἀλλὰ καὶ πρόσκαιρον τὸν χωρισμόν; Ἐν ἀποδημίᾳ μὲν γὰρ οὖσι μακρᾷ οὐκ εὔκολον συγγίνεσθαι, καὶ μάλισθ' ὅταν γεγηρακότες τύχωσιν οἱ γονεῖς· ἐνταῦθα δὲ ἔνι συνεχῶς πρὸς αὐτοὺς ἀπιέναι. Τοῦτο δὴ καὶ ποιῶμεν, ὅταν αὐτοὺς μηδέπω δυνατὸν ᾖ πρὸς ἡμᾶς ἐλθεῖν· αὐτοὶ βαδίζωμεν πρὸς ἐκείνους, καὶ συγγινώμεθα καὶ διαλεγώμεθα. Μέγα ἡμῖν ἐκ τούτου καὶ κέρδος ἔσται καὶ ἡδονή. Οὐ γὰρ ἀπὸ τῆς ὄψεως τῶν ἀγαπωμένων μόνον παιδίων εὐφρανθησόμεθα, ἀλλὰ καὶ αὐτοὶ τὰ μέγιστα κερδανάμενοι πρὸς τὴν οἰκίαν ἐπανήξομεν, πολλάκις δὲ αὐτοῖς καὶ παραμενοῦμεν ἁλόντες τῷ τῆς φιλοσοφίας ἔρωτι. Τότε οὖν αὐτοὺς καλῶμεν, ὅταν ἰσχυροὶ γένωνται, καὶ ἑτέρους οἱόϊτε ὦσιν ὠφελεῖν· τότε αὐτοὺς ἕλκωμεν μόνον, ὥστε κοινὸν γενέσθαι τὸ φῶς, ὥστε ἐπὶ τῆς λυχνίας τεθῆναι τὸν λύχνον. Τότε ὄψεσθε τίνων μὲν παίδων πατέρες ὑμεῖς, τίνων δὲ οἱ μακαριζόμενοι παρ' ὑμῶν· τότε εἴσεσθε τῆς φιλοσοφίας τὰ κέρδη, ὅταν θεραπεύωσιν ἀνθρώπους ἀνίατα νοσοῦντας νοσήματα, ὅταν ὡς εὐεργέται κοινοὶ καὶ προστάται καὶ σωτῆρες ἀνακηρύττωνται, ὅταν ὡς ἄγγελοι τοῖς ἐπὶ γῆς ἀνθρώποις συμπεριπολῶσιν, ὅταν παρὰ πάντων ἀποβλέπωνται· μᾶλλον δὲ, ὅπερ ἂν εἴπωμεν, οὐδὲν τοιοῦτον ἐροῦμεν, οἷον ἐπὶ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων ἔστιν ἰδεῖν.

Ταῦτα καὶ τοὺς νομοθέτας ἔδει ποιεῖν, εἴ τι τῶν δεόντων ἐγίνετο, οὐκ ἀνδράσι γενομένοις τοῖς νέοις ἐπανατείνασθαι φόβους, ἀλλὰ παῖδας ὄντας ῥυθμίζειν καὶ διαπλάττειν· καὶ οὐκ ἂν τῶν μετὰ ταῦτα ἐδέησεν ἀπειλῶν. Νυνὶ δὲ ταὐτὸ γίνεται, ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦντι μὲν τῷ κάμνοντι μὴ λέγοι μηδὲν, μήτε δεικνύοι δι' ὧν ἀπαλλάξεται τῆς νόσου, διαφθαρέντι δὲ καὶ ἀνιάτως ἔχοντι μυρίους τιθείη νόμους λοιπόν. Καὶ γὰρ οἱ νομοθέται τότε παιδαγωγοῦσιν ἡμᾶς, ὅταν διαστραφέντες τύχωμεν. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἐξ ἀρχῆς καὶ ἐν ἡλικίᾳ πρώτῃ τοὺς διδασκάλους αὐτοῖς ἐφίστησι τῆς ἀρετῆς, κωλύων ἐπεισελθεῖν τὴν

tur detrimenti hujusmodi auctores simus. Nam cum peregre filios mittimus, tunc demum illos videre volumus, cum id perfecerint, cujus causa profecti sunt; si ante redeant, non tantum ex reditu voluptatis capimus, quantum ex eo mœroris, quod frustra redierint. Qui igitur non summæ stoliditatis fuerit, tantam in spiritualibus non adhibere curam, quantam exhibemus in sæcularibus; atque ibi quidem filiorum separationem tam philosophice ferre, ut eam diuturniorem esse optemus, si de utili quopiam agitur; hic vero ita molles et animo fractos esse, cum illi proficiscuntur, ut hac nostra pusillanimitate maxima corrumpamus bona: et hæc cum plura solatia habeamus, non tantum, quod illi ad majora se exerceant, et finem sint prorsus assequuturi, nullusque spei futurus sit obex, sed etiam separationem temporariam modo et brevem? Nam si peregrinationem illi longinquam susceperint, non facile est illos convenire, cum maxime parentes ad senectutem pervenerint; hic autem illos frequenter adire licet. Id ergo faciamus etiam, cum illi nondum ad nos proficisci poterunt: ipsi eos adeamus, eorum consortio et colloquio fruamur. Hinc nobis ingens lucrum, magnaque voluptas aderit. Non enim conspectu tantum carissimorum filiorum lætabimur; sed ipsi maximum adepti fructum, domum redibimus: persæpe etiam cum illis manebimus, philosophiæ amore capti. Tunc igitur illos revocemus, cum vires nacti erunt, aliisque prodesse poterunt: tunc illos retrahamus, ita ut communis lux fiant, ut lucerna ponatur supra candelabrum. Tunc videbitis quorumnam filiorum patres sitis, et quorumnam ii quos nunc beatos dicitis: tunc philosophiæ lucra videbitis, cum insanabiles hominum morbos curabunt, cum ut benefici communes, patroni et servatores prædicabuntur, cum ut angeli cum hominibus in terris conversabuntur, cum omnium oblutum in se convertent: imo potius, quæcumque dixerimus, nihil tale exhibere poterimus, quale ipsa experientia et operibus videre est.

Hæc legislatoribus etiam facienda erant, si uti conveniebat actum esset, nempe ut non juvenibus virorum ætatem adeptis timores inculerent, sed eos, dum pueri erant, instituerent et informarent: atque ita non opus fuisset illis, quæ sero adhibentur, minis. Nunc autem hoc ipsum agitur, ac si medicus ægrotanti nihil dicat, nec ostendat quo pacto curandus sit morbus, deleta autem prorsus et desperata valetudine, innumeras remediorum leges statuat. Nam legislatores tunc nos instituere aggrediuntur, cum jam perversi sumus. Sed non ita Paulus, verum ab initio et a prima ætate magistros illis virtutis præficit, vitiis omnem

κακίαν. Αὕτη γὰρ ἀρίστη διδασκαλία, οὐ, συγχωρήσαντας τὸ πρότερον περιγενέσθαι τὴν πονηρίαν, ὕστερον ζητεῖν ὅπως αὐτὴν ἐξελάσωμεν, ἀλλ' ἅπαντα ποιεῖν καὶ πραγματεύεσθαι, ὥστε ἄβατον αὐτῇ γενέσθαι τὴν φύσιν τὴν ἡμετέραν. Διὸ παραινῶ, μὴ μόνον ἑτέρους βουλομένους τοῦτο ποιεῖν κωλύειν, ἀλλὰ καὶ αὐτοὺς συναντιλαμβάνεσθαι, καὶ σώζειν τὸ σκάφος, καὶ παρασκευάζειν ἐξ οὐρίας πλεῖν. Καὶ γὰρ εἰ πάντες ταύτην ἦμεν ἀναδεξάμενοι τὴν γνώμην, καὶ πρὸ τῶν ἄλλων ἁπάντων εἰς ἀρετὴν αὐτοὺς ἤγομεν, τοῦτο μὲν ἔργον, τὰ δὲ ἄλλα νομίζοντες πάρεργα εἶναι, τοσαῦτα ἡμιλλεν εἶναι τὰ ἀγαθὰ, ὅσα νῦν μὲν λέγων καὶ ἀλαζονεύεσθαι δόξω. Εἰ δὲ θέλοι τις μαθεῖν, ἐπὶ τῶν ἔργων εἴσεται καλῶς, καὶ πολλὴν μὲν ἡμῖν ὁμολογήσει χάριν, πολλὴν δὲ πρὸ ἡμῶν τῷ Θεῷ, βλαστάνουσαν ὁρῶν ἐπὶ τῆς γῆς τὴν ἐν οὐρανοῖς πολιτείαν, καὶ τοὺς τῶν μελλόντων ἀγαθῶν καὶ τοὺς τῆς ἀναστάσεως λόγους ἐντεῦθεν ἤδη πιστουμένους καὶ παρ' αὐτοῖς τοῖς ἀπίστοις.

Καὶ ὅτι οὐ κόμπος ταῦτα, δῆλον ἐκεῖθεν· ὅταν γὰρ αὐτοῖς τὴν πολιτείαν λέγωμεν τῶν ἐν ταῖς ἐρήμοις ὄντων, πρὸς μὲν ταύτην οὐδὲν ἔχουσιν ἀντειπεῖν, δοκοῦσι δὲ ἰσχυρίζεσθαι καὶ φιλονεικεῖν τῇ τῶν κατορθούντων ὀλιγότητι. Εἰ δὲ ἐν ταῖς πόλεσι τὸν καρπὸν ἐφυτεύσαμεν τοῦτον, καὶ νόμον τινὰ καὶ ἀρχὴν τὰ τῆς εὐταξίας ἔλαβε, καὶ τοὺς παῖδας πρὸ τῶν ἄλλων ἁπάντων ἐπαιδεύομεν φίλους εἶναι τῷ Θεῷ, καὶ τὰ πνευματικὰ ἐδιδάσκομεν μαθήματα ἀντὶ τῶν ἄλλων καὶ πρὸ τῶν ἄλλων ἁπάντων, πάντα ἂν ἀπεπήδησε τὰ λυπηρὰ, καὶ μυρίων ἀπηλλάγη κακῶν ὁ βίος ὁ παρὼν, καὶ ὃ περὶ τῆς μελλούσης λέγεται ζωῆς, ὅτι ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμὸς, ἐντεῦθεν ἂν ἐκαρπωσάμεθα πάντες. Εἰ γὰρ μήτε χρημάτων μήτε δόξης ἔρως ἡμᾶς εἰσῄει κενῆς, μήτε θάνατον ἐδεδίειμεν, μὴ πενίαν, μὴ τὸ κακῶς πάθειν βλάβην ἡγούμεθα, ἀλλὰ καὶ κέρδος μέγιστον, μὴ ἀπεχθάνεσθαι, μὴ μισεῖν ἤδειμεν, οὔτ' ἂν ὑπὸ τῶν ἰδίων παθῶν, οὔτ' ἂν ὑπὸ τῶν ἀλλοτρίων ἐπολεμήθημέν ποτε, ἀλλ' αὐτῶν τῶν ἀγγέλων ἐγγὺς ἂν τὸ τῶν ἀνθρώπων ἐγένετο γένος. Καὶ τίς ἀνθρώπων ταῦτα κατώρθωσε, φησίν; Εἰκότως ἀπιστεῖς, ἅτε ἐν πόλεσιν οἰκῶν, καὶ ταῖς θείαις βίβλοις οὐχ ὡμιληκώς· εἰ δὲ καὶ τοὺς ἐν ταῖς ἐρήμοις ὄντας καὶ τοὺς ἐν ταῖς πνευματικαῖς βίβλοις γενομένους πάλαι ἐγνώκεις, ἤμαθες ἂν ὅτι καὶ οἱ μοναχοὶ, καὶ οἱ πρὸ τούτων ἀπόστολοι, καὶ οἱ πρὸ ἐκείνων δίκαιοι μετὰ ἀκριβείας ἁπάσης τὴν φιλοσοφίαν ἐπεδείξαντο ταύτην. Ἵνα δέ σοι μὴ φιλονεικῶμεν, δῶμεν τῶν δευτέρων ἢ τρίτων ἀπ' ἐκείνων γενέσθαι τὸν υἱὸν τὸν σόν· οὐδὲ γὰρ οὕτω μικρῶν ἀπολαύσεται ἀγαθῶν. Οὐ φθάνει πρὸς Πέτρον ἐλθεῖν, οὐδὲ Παῦλον, ἀλλ' οὐδὲ γενέσθαι αὐτῶν ἐγγύς· διὰ τοῦτο οὖν αὐτὸν καὶ τῆς μετ' ἐκείνους ἀποστερήσομεν τιμῆς; Ταὐτὸν γὰρ ποιεῖς ταῦτα λέγων, ὡς ἂν εἰ ἔλεγες, Ἐπειδὴ λίθον τίμιον γενέσθαι οὐκ ἔνι, μενέτω σίδηρος ὤν, καὶ μήτε ἄργυρος γινέσθω μήτε χρυσός.

aditum intercludens. Hæc quippe optima est disciplina, non prius vilia dominari sinere et postea quærere, quo pacto illa eliminari possint, sed omnia facere atque moliri, ut natura nostra nequitiæ sit inaccessa. Quamobrem hortor, non modo illos, qui id facere vellent, cohibere, sed etiam ipsos manum admovere, scapham eripere, et procurare ut secundo vento navigetur. Etenim si hanc omnes sententiam amplecteremur, et aliis posthabitis ad virtutem eos deduceremus, hoc solum operæ pretium, cætera vero omnia adscititia esse arbitrantes, tanta hinc contingerent bona, quanta si nunc dicam, jactantis more loqui videar. Si quis autem scire cupiat, ex rebus ipsis probe cognoscet, ingentesque nobis gratias habebit, et ante nos ipsi Deo, cum viderit vitam illam cælestem in terra germinantem, doctrinamque de futuris bonis ac de resurrectione vel apud ipsos infideles obtinentem.

19. Quod autem hæc non jactantiæ verba sint, inde liquidum est, quod cum ipsis vitam eorum, qui in desertis versantur, enarramus, ad hæc nihil quod objiciant habent, sed fortiter repugnant et contendunt circa paucitatem eorum, qui ita perfecte se gerunt. Si vero in urbibus hunc fructum sereremus, bonaque disciplina et legem et initium acciperet, filiosque ante omnia moneremus ut Deo amici fierent, spiritualesque disciplinas vice omnium et ante omnes alias ipsos doceremus, tristia cuncta abscederent, innumerisque malis vita præsens eriperetur, ac quod de futura dicitur, nempe aufugisse dolorem, tristitiam et gemitum, hinc utique consequeremur omnes. Nam si nec pecuniarum, nec inanis gloriæ cupido nos teneret, neque mortem timeremus, neque paupertatem, nec ærumnas damnum arbitraremur, sed lucrum maximum, non inimicitia, non odio persequi novissemus: non propriis unquam, non alienis animi ægritudinibus expugnaremur, sed humanum genus angelis proximum esset. Et quis hominum, inquies, hanc rem tam præclare gessit? Jure non credis, utpote qui in urbibus habites, et divinos libros non legeris. Quodsi eos qui in desertis versantur, et eos qui in spiritualibus libris memorantur, nosses, didicisses utique et monachos, et priores illis apostolos, tum etiam justos, qui apostolos præcesserunt, summa cum diligentia hanc ipsam philosophiam exhibuisse. Vitandæ ergo litis causa, denus filium tuum secundo tertiove ab illis gradu futurum: non exiguis tamen fruetur bonis. Non ad Petrum, non ad Paulum attinget, imo nec proxime ad eos accedet: num ideo illum posterioris gradus honore privabimus? Id ipsum facis hæc proferens, ac si ita loquereris: Quia non potest fieri lapis pretiosus, maneat ferrum, nec argentum nec aurum efficia-

Διὰ τί γὰρ μὴ καὶ ἐν τοῖς ἔξωθεν πράγμασι τοῦτον ἔχεις τὸν λογισμὸν, ἀλλὰ τὸν ἐναντίον τούτῳ; Καὶ γὰρ ἐπὶ λόγων μαθήμασι πέμπων, οὐ πάντως αὐτὸν ἐπὶ τοῖς ἄκροις ὄψεσθαι προσδοκᾷς, ἀλλ' ὅμως οὐ διὰ τοῦτο τῆς περὶ ταῦτα ἀπάγεις σπουδῆς, ἀλλὰ πάντα πληροῖς τὰ παρὰ σαυτοῦ, ἀγαπητὸν εἶναι νομίζων, ἂν πέμπτον ἢ δέκατον ἀπὸ τῶν πρώτων συμβῇ γενέσθαι τὸν υἱὸν ἐν τῇ τῶν λόγων δυνάμει. Καὶ βασιλεῖ δὲ στρατεύοντες τοὺς υἱεῖς, οὐ πάντως ἐπὶ τὸν τῶν ὑπάρχων αὐτοὺς ἀναβήσεσθαι προσδοκᾶτε θρόνον· ἀλλ' ὅμως οὐ διακελεύεσθε λῦσαι τὴν ζώνην, ἢ μηδὲ τὴν ἀρχὴν ἐπιβῆναι τῶν βασιλείων, ἀλλὰ πάντα πραγματεύεσθε, ὡς μηδέποτε αὐτοὺς τῆς ἐκεῖθεν διατριβῆς ἐκπεσεῖν, ἀρκεῖν ἡγούμενοι τὸ καὶ ἐν τοῖς μέσοις ἀριθμουμένους ὁρᾶν. Τίνος οὖν ἕνεκεν ἐκεῖ μὲν, κἂν μὴ τῶν μειζόνων ἐξῇ λαβέσθαι, ὅμως ὑπὲρ τῶν ἐλαττόνων κόπτεσθε καὶ ταλαιπωρεῖσθε, κἂν τούτοις πάλιν τῆς ἐλπίδος οὔσης ἀδήλου, ἐνταῦθα δὲ ὀκνεῖτε καὶ ἀναβύεσθε; Ὅτι ἐκείνων μὲν πολλὴν ἔχετε τὴν ἐπιθυμίαν, τούτων δὲ οὐδὲ βραχεῖαν· εἶτα αἰσχυνόμενοι τοῦτο ὁμολογῆσαι σκήψεις ἐπενοήσατε καὶ προφάσεις· ὡς εἴ γε ἀληθῶς ἐβούλεσθε, οὐδὲν ἂν ὑμᾶς τούτων ἐκώλυσε. Καὶ γὰρ οὕτως ἔχει· ὅτου τις ἂν ἐρῶν τύχῃ γνησίως, κἂν μὴ τοῦ παντὸς, μηδὲ τοῦ ἀνωτάτου περιγένηται, τοῦ γοῦν μέσου, μᾶλλον δὲ καὶ τοῦ μετ' ἐκεῖνον μυριάκις ἂν ἕλοιτο ἐπιτυχεῖν. Καὶ γὰρ ὁ φίλοινος καὶ φιλοπότης, κἂν μὴ τὸν ἡδὺν καὶ ἀνθοσμίαν ἐξῇ λαβεῖν οἶνον, οὐδὲ τοῦ φαυλοτάτου καταφρονήσει ποτέ· καὶ ὁ φιλοχρήματος πάλιν, κἂν μὴ λίθους τιμίους, μηδὲ χρυσίον, ἀλλ' ἀργύριον αὐτῷ τις παρέχῃ, πολλὴν εἴσεται χάριν. Τοιοῦτον γὰρ ἡ ἐπιθυμία, τυραννικόν τι πρᾶγμα καὶ ἱκανὸν πάντα πεῖσαι τὸν ἁλόντα ὑπὲρ ὁτουοῦν καὶ παθεῖν καὶ ὑπομεῖναι· ὥστε εἰ μὴ σκῆψις ταῦτα τὰ ῥήματα ἦν, συμπράττειν ἐχρῆν καὶ συμπονεῖν. Τοῦ γὰρ ἐπιθυμοῦντός τι γενέσθαι οὐ τὸ γενέσθαι κωλύειν ἐστὶν, ἀλλὰ τὸ πάντα ποιεῖν ὅπως ἂν γένηται. Καὶ γὰρ οἱ καθιέντες εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, εἰδότες ὅτι ἐν πλήθει τοσούτῳ εἰς ἕνα τὰ τῆς νίκης περιστήσεται, ὅμως κόπτονται καὶ ταλαιπωροῦσι. Καίτοι γε οὐδέν ἐστιν ἴσον ἐνταῦθα κἀκεῖ, οὐ μόνον διὰ τὸ τῶν ἀγώνων τέλος, ἀλλ' ὅτι ἀνάγκη ἐκεῖ στεφανωθέντα μόνον ἕνα ἀπελθεῖν· ἐνταῦθα δὲ οὐκ ἐν τούτοις ἡ ὑπεροχὴ καὶ ἡ ἐλάττωσις, ἐν τῷ τὸν μὲν ἀστεφάνωτον ἀναχωρῆσαι, τὸν δὲ ἐστεφανωμένον, ἀλλὰ τῷ τὸν μὲν λαμπροτέρας, τὸν δὲ ἐλάττονος τυχεῖν τῆς ἀνακηρύξεως, πάντας δὲ ὅμως τυχεῖν. Ὅλως δὲ, εἴπερ ἐβουλόμεθα καὶ ἐξ ἀρχῆς διαπλάττειν τοὺς παῖδας, καὶ τοῖς βουλομένοις ῥυθμίζειν παραδιδόναι, οὐκ ἦν ἀπεικὸς αὐτοὺς ἐν τῇ πρώτῃ στῆναι τάξει τοῦ στρατοπέδου· οὐ γὰρ ἂν περιεῖδεν ὁ Θεὸς τοσαύτην προθυμίαν καὶ σπουδὴν, ἀλλ' ἐπέδωκεν ἂν τὴν αὐτοῦ χεῖρα, καὶ ἥψατο τοῦ ἀγάλματος· ἐκείνης δὲ ἐργαζομένης τῆς χειρὸς, ἀμήχανον διαπεσεῖν τι τῶν γινομένων, μᾶλλον δὲ ἀμήχανον μὴ πρὸς ἄκρον λαμπρότητος καὶ δόξης ἐλθεῖν, μόνον εἰ τὰ παρ' ἡμῶν ἔποιτο. Εἰ γὰρ γυναῖκες ἰσχυ-

tur. Cur in externis rebus non eodem uteris ratiocinio, sed prorsus contrario? Nam cum ad literarum disciplinam mittis, non sane illum ad supremum fastigium esse ascensurum exspectas, nec tamen ideo ab hoc studio retrahis, sed omnia quæ penes te sunt præstas, satisque esse putas si ad quintum vel decimum a primo eloquentiæ gradum filius tuus pertingere possit. Cumque ad exercitum Imperatoris mittitis filios vestros, non semper ad præfectorum gradum ipsos ascensuros esse putatis, nec tamen jubetis deponere balteum, neque ad regiæ limina accedere prohibetis, sed nihil non agitis, ut ne illic versari umquam desinant, satis esse putantes, si eos medio in loco positis connumerari videatis. Quid causæ est igitur, quod illic quidem, etiamsi majora consequi non liceat, pro minoribus tamen assequendis laboratis, etsi pro his quoque spes sit dubia, hic vero segnes estis ac deficitis? Quia nempe illorum magno desiderio tenemini, horum vero ne perquam minimo: deinde quia id confiteri erubescitis, occasiones et obtentus excogitatis: nam si illud vere velletis, nihil eorum vobis impedimento esset. Ita enim res se habet: si quis aliquid vere amet, licet non totum, nec summum consequi possit, vel medium, vel gradum etiam inferiorem nancisci vehementer optat. Nam qui vino et poculis deditus est, etiamsi optimum et suavissimum vinum habere non valeat, ne id quidem quod vilius est umquam contemnet. Rursum avarus, etiamsi nec lapides pretiosos, nec aurum, sed argentum solummodo quis præbeat, summas illi gratias habebit. Talis res est concupiscentia, adeo tyrannica, ut ei, quem semel ceperit, omnia pati et sustinere suadeat: ita ut hæc verba, si non simulate tantum prætendantur, postulent ut quis cooperetur et laborem adeat. Ejus enim est, qui aliquid concupiscit, non impedire quominus fiat, sed ut fiat omnia moliri. Etenim qui ad Olympica certamina descendunt, etsi sciant unum ex tanta multitudine victorem fore, laborant tamen atque fatigantur: tametsi hic atque illic non par ratio est, non solum ob certaminum finem, sed etiam quod illic necesse sit unum dumtaxat coronatum abire, hic vero præcellentia et inferior conditio non in eo sitæ sint, quod alter non coronatus, alter coronatus abscedat, sed quod alius splendidiorem, alius minorem acclamationem obtineat, sed tamen omnes sortiantur. Denique si vellemus a principio informare filios, et educare cupientibus tradere, fieri sane posset ut in primo castrorum starent ordine; neque enim Deus tantam animi alacritatem, tantum studium sperneret, sed manum porrigeret, imaginique formandæ operam daret: illa vero operante manu, fieri nequit ut quid gestorum frustra cadat; imo fieri nequit ut ad culmen splendoris et gloriæ non perveniatur, si modo ea quæ penes nos sunt sequerentur. Nam si mulieres a Deo

σαν πεῖσαι Θεὸν συνεφάψασθαι αὐταῖς τῆς τῶν παίδων ἐπιμελείας, πολλῷ μᾶλλον ἡμεῖς, ἂν θέλωμεν, τοῦτο ξυννησόμεθα. Τὰς μὲν οὖν ἄλλας, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον, παρήσω, καίτοι πολλὰς ἔχων εἰπεῖν, μιᾶς δὲ μόνης ἐπιμνησθήσομαι.

Ἄννα τις ἦν Ἰουδαία γυνή. Αὕτη ἡ Ἄννα παιδίον ἔτεκεν ἕν, καὶ οὐ προσδοκῶσα τέξεσθαι ἕτερον (καὶ γὰρ καὶ τοῦτο μόλις καὶ μετὰ πολλῶν ἔλαβε τῶν δακρύων, στείρα γὰρ ἦν), ὁρῶσα δὲ καὶ ἀντίζηλον αὐτῆς διὰ τοῦτο πολλάκις ἐπεμβαίνουσαν αὐτῇ, οὐδὲ οὕτως ἔπαθέν τι τοιοῦτον οἷον ὑμεῖς, ἀλλ' ἐπειδὴ τὸν υἱὸν ἔσχεν ἐκεῖνον, τοσοῦτον εἶασε παρ' ἑαυτῇ μεῖναι χρόνον, ὅσον γαλακτοτροφηθῆναι ἔδει μόνον. Ἐπειδὴ δὲ οὐκέτι ταύτης ἐδεῖτο τῆς τροφῆς, λαβοῦσα αὐτὸν εὐθέως ἀνέθηκε τῷ Θεῷ, καὶ τῆς πατρῴας οὐκέτι ἐπιβῆναι παρεκάλεσεν οἰκίας, ἀλλ' ᾤκει διαπαντὸς ἐν τῷ ναῷ τοῦ Θεοῦ· καὶ εἴ ποτε αὐτὸν ἰδεῖν ἐπεθύμησεν, οἷα δὴ μήτηρ, οὐκ ἐκάλει παρ' ἑαυτὴν τὸ παιδίον, ἀλλ' αὐτὴ πρὸς ἐκεῖνον ἀνέβαινε μετὰ τοῦ πατρὸς, καθάπερ ὄντος ἀναθήματος ἀπεχομένη λοιπόν. Καὶ οὕτω γενναῖος καὶ μέγας ὁ νεανίας ἐγένετο ἐκεῖνος, ὡς τὸν Θεὸν ἀποστραφέντα τὸ τῶν Ἑβραίων γένος διὰ τὴν κεχυμένην κακίαν, καὶ οὐ χρῶντα αὐτοῖς, οὐδὲ ὄψιν τινὰ φαίνοντα λοιπὸν, ἐπισπάσασθαι πάλιν διὰ τῆς ἀρετῆς, καὶ πεῖσαι παρέχειν τὰ αὐτὰ, ἅπερ καὶ πρότερον, καὶ τὴν προφητείαν ἀποπτᾶσαν ἀναλαβέσθαι πάλιν. Καὶ ταῦτα ἴσχυσεν οὐκ ἐφ' ἡλικίας γενόμενος, ἀλλ' ἔτι παιδίον ὢν μικρόν· « Οὐκ ἦν γὰρ, φησὶν, ὅρασις διαστέλλουσα, καὶ ῥῆμα τίμιον ἦν. » Ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ἔχρα αὐτῷ συνεχῶς ὁ Θεός. Τοσοῦτόν ἐστι κέρδος ἀεὶ τῶν οἰκείων παραχωρεῖν κτημάτων αὐτῷ, καὶ πάντων ἐξίστασθαι οὐχὶ χρημάτων μόνον, οὐδὲ κτημάτων, ἀλλὰ καὶ τῶν τέκνων αὐτῶν. Εἰ γὰρ ἐπὶ τῆς ἡμετέρας ψυχῆς κελευόμεθα τοῦτο ποιεῖν, πολλῷ μᾶλλον ἐπὶ τῶν ἄλλων ἁπάντων. Τοῦτο καὶ ὁ πατριάρχης ἐποίησεν Ἀβραάμ, μᾶλλον δὲ πολλῷ μεῖζον· διὸ καὶ μετὰ πλείονος δόξης ἀπέλαβε τὸν υἱόν. Καὶ γὰρ τότε μάλιστα ἔχομεν τὰ ἡμέτερα παιδία, ὅταν αὐτὰ τῷ Δεσπότῃ παραδῶμεν. Πολλῷ γὰρ μειζόνως αὐτῶν ἐκεῖνος προστήσεται, ἐπειδὴ καὶ μειζόνως κήδεται. Οὐχ ὁρᾶτε καὶ ἐν ταῖς οἰκίαις τῶν πλουτούντων ταῦτα γινόμενα; καὶ γὰρ ἐκεῖ τοὺς μὲν κάτω μετὰ τῶν πατέρων οἰκοῦντας, οὐχ οὕτως ὄντας λαμπροὺς ἔστιν ἰδεῖν, οὐδὲ τοσαύτην ἔχοντας δύναμιν· ὅσους δ' ἂν τῶν γονέων ἀποστήσαντες οἱ δεσπόται προσνείμωσιν αὐτῶν τῇ διακονίᾳ καὶ τῇ φυλακῇ τῶν ταμιείων, οὗτοι δὴ καὶ εὐνοίας ἀπολαύουσι πλείονος καὶ παῤῥησίας, καὶ τοσοῦτον τῶν ὁμοδούλων εἰσὶ λαμπρότεροι, ὅσον τῶν οἰκετῶν οἱ δεσπόται. Εἰ δὲ ἄνθρωποι περὶ τοὺς διακονουμένους οὕτως εἰσὶ χρηστοὶ καὶ εὔνοι, πολλῷ μᾶλλον ἡ ἄπειρος ἀγαθότης, τουτέστιν ὁ Θεός.

Δῶμεν τοίνυν αὐτοὺς ὑπηρετεῖν ἄνω, οὐκ εἰς ναὸν ἄγοντες καθάπερ τὸν Σαμουὴλ, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν μετὰ τῶν ἀγγέλων, μετὰ τῶν ἀρχαγγέλων. Ὅτι

impetrare potuerunt, ut sibi ad liberorum curam opitularetur, multo magis nos, si velimus, id consequi poterimus. Alias quidem, ne longius excurrat oratio, prætermittam, ac licet multas proferendas habeam, unam tantum commemorabo.

20. Anna quædam erat, Judæa mulier. Hæc filium peperit unum, cumque non speraret se alium parituram esse (quippe quæ hunc vix postque multas lacrimas perperisset, nam sterilis erat), videns etiam æmulam sibi ideo frequenter insultantem, nequaquam id fecit, quod vos agitis, sed susceptum filium illo tantum tempore apud se retinuit, quo necesse erat ut ablactaretur. Cum autem lacte amplius non egeret, sumtum statim oblulit Deo, nec ut in paternam veniret domum rogavit umquam, sed semper in templo Dei ille morabatur. Si quando illum videre cuperet, utpote mater, non evocabat ad se puerum, sed ad illum cum patre ascendebat, ab illo abstinens, quasi a dono in templo consecrato. Adeoque strenuus et magnus adolescens evasit, ut Deum ab Hebræorum gente ob late effusam ipsorum nequitiam aversum, non oracula fundentem, nec visionem ullam præbentem, per virtutem suam attraheret, et impetraret ab eo ut eadem ipsa præberet quæ antea, et prophetiam quæ avolaverat restitueret. Hæc autem potuit, non matura jam ætate, sed cum adhuc puerulus esset: *Non enim erat*, inquit (1 *Reg.* 3. 1), *visio distinguens, et verbum pretiosum erat*. Attamen hoc in rerum statu, Deus illi frequenter oracula reddebat. Tantum confert emolumenti, Deo semper quæ possidemus concedere, et a cunctis abscedere, non a pecuniis tantum et a possessionibus, sed ab ipsis filiis. Nam si hoc in anima nostra facere jubemur, multo magis in cæteris omnibus. Id quippe Abraham patriarcha fecit, imo quidpiam multo majus: ideo cum longe majori gloria filium recepit. Tunc enim maxime filios habemus nostros, cum illos Domino tradimus. Longe quippe melius iis ille, quam nos, præerit, quia majorem illorum curam gerit. Nonne id videtis in divitum quoque domibus fieri? Etenim ibi eos qui in inferiore loco [*in urbe, non in arce et palatio*] cum patribus morantur, non usque adeo illustres videas, neque tanta potestate præditos: ii autem quos domini a parentibus abduxerunt, suoque ministerio deputarunt thesaurorumque custodes constituerunt, majori dominorum benevolentia potiuntur et libertate majori, tantoque conservis clariores sunt, quanto domini domesticis. Quodsi homines ministros suos tanta benignitate et benevolentia prosequuntur, multo magis infinita illa bonitas, Deus.

Concedamus igitur illos ministeriis in altiore loco, non in templum adducentes ut Samuelem, sed in ipsum cælum cum angelis et cum archangelis. Quod enim cum illis

γὰρ μετ' ἐκείνων διακονήσονται πάντως καὶ ὑπηρετήσουσιν οἱ ταύτης ἐπειλημμένοι τῆς φιλοσοφίας, παντί που δῆλόν ἐστι. Καὶ οὐχ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑμῶν μετὰ πλείονος προστήσονται τῆς παῤῥησίας. Εἰ γάρ τινες διὰ πατέρας παραμυθίας ἔτυχόν τινος, πολλῷ μᾶλλον διὰ παῖδας πατέρες. Ἐκεῖ μὲν γὰρ τὸ τῆς φύσεως μόνον δικαίωμα ἦν, ἐνταῦθα δὲ καὶ τὸ τῆς ἀνατροφῆς, πολλῷ τῆς φύσεως μεῖζον ὄν. Καὶ ταῦθ' ὑμῖν ἀμφότερα ἀπὸ τῶν θείων πιστώσομαι Γραφῶν. Τὸν γὰρ Ἐζεκίαν ἐνάρετον μὲν ὄντα καὶ εὐσεβῆ, οὐκ ἔχοντα δὲ τοσαύτην παῤῥησίαν ἀπὸ κατορθωμάτων, ὥστε καὶ πρὸς τοσοῦτον κίνδυνον στῆναι, ἀπὸ τῆς τοῦ πατρὸς ἔφησε σώζειν ἀρετῆς ὁ Θεός. « Ὑπερασπιῶ γάρ, φησὶ, τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν, δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά μου. » Καὶ Τιμοθέῳ δὲ περὶ γονέων ἐπιστέλλων ἔλεγεν ὁ Παῦλος, ὅτι « Σωθήσονται διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης. » Καὶ τὸν Ἰὼβ δὲ ὥσπερ ἀπὸ τῶν ἄλλων ἐπῄνεσεν ἡ Γραφὴ, οἷον ὅτι δίκαιος καὶ ἀληθινὸς καὶ θεοσεβὴς ἦν, οὕτω καὶ ἀπὸ τῆς περὶ τοὺς παῖδας ἐπιμελείας. Αὕτη δὲ ἦν οὐ χρυσίον συνάγειν αὐτοῖς, οὐδὲ ἐπιδόξους ποιεῖν καὶ λαμπρούς, ἀλλὰ τί; Ἄκουσον τῆς Γραφῆς λεγούσης, « Ὅταν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου αὐτῶν, ἀπέστελλεν Ἰὼβ, καὶ ἐκαθάριζεν αὐτοὺς, καὶ ἀνιστάμενος τὸ πρωὶ προσέφερε περὶ αὐτῶν θυσίαν κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν· ἔλεγε γὰρ Ἰὼβ ἐν τῇ καρδίᾳ αὐτοῦ, Μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν. » Ἆρα ἔσται τις ἡμῖν ἀπολογία λοιπὸν τοιαῦτα τολμῶσιν; Εἰ γὰρ ὁ πρὸ τῆς χάριτος, ὁ πρὸ τοῦ νόμου, ὁ μηδεμιᾶς ἀπολαύσας διδασκαλίας, τοσαύτην τῶν παίδων ἐποιεῖτο πρόνοιαν, ὡς καὶ ὑπὲρ τῶν ἀδήλων τρέμειν ἁμαρτημάτων, τίς ἡμᾶς ἐξαιρήσεται λοιπὸν τοὺς ἐν τῇ χάριτι, τοὺς καὶ τοσούτων διδασκάλων τετυχηκότας, τοὺς τοιαῦτα ὑποδείγματα ἔχοντας καὶ τοσαύτας παραινέσεις, οὐ μόνον ὑπὲρ τῶν ἀδήλων οὐ δεδοικότας, ἀλλὰ καὶ τῶν δήλων καταφρονοῦντας, καὶ οὐ καταφρονοῦντας μόνον, ἀλλὰ καὶ τοὺς βουλομένους αὐτὰ διορθοῦν ἐλαύνοντας; Καὶ τὸν Ἀβραὰμ δὲ, καθάπερ ἔφθην εἰπὼν, μετὰ τῶν ἄλλων κατορθωμάτων καὶ τοῦτο λαμπρὸν ἐποίει.

Τοσαῦτα οὖν ἔχοντες ὑποδείγματα, κατασκευάζωμεν τῷ Θεῷ διακόνους καὶ λειτουργοὺς δοκίμους. Εἰ γὰρ ἀθλητάς τις πόλεσι τρέφων, ἢ στρατιώτας βασιλεῦσιν ἀσκῶν, μεγάλῃ τιμηθήσεται τιμῇ, πόσην ἡμᾶς εἰκὸς λαβεῖν δωρεὰν, οὕτω γενναίους καὶ μεγάλους ἄνδρας, μᾶλλον δὲ ἀγγέλους, τῷ Θεῷ τρέφοντας; Πάντα οὖν πράττωμεν, ὥστε αὐτοῖς ἀφεῖναι τὸν τῆς εὐσεβείας πλοῦτον, τὸν μένοντα καὶ συναποδημοῦντα, καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ μέγιστα ὀνῆσαι δυνάμενον. Ὁ μὲν γὰρ βιωτικὸς οὔτε συμμεταστήσεται, καὶ ἐνταῦθα προαπολεῖται, καὶ τοὺς ἔχοντας δὲ πολλάκις προσαπολεῖ· οὗτος δὲ καὶ ἐνταῦθα κἀκεῖ

plane ministraturi sint et servituri ii qui hanc philosophiam susceperunt, cuique palam est : atque non sibi tantum, sed vobis etiam majori cum fiducia prospicient. Nam si quidam parentum gratia nonnulla consolatione potiti sunt, multo id magis liliorum causa parentes consequentur. Illic enim naturæ tantum jus aderat, hic etiam educationis, quod multo majus jure naturæ est. Atque hoc vobis utrumque ex divinis Scripturis confirmabo. Ezechiam enim, virtute pietateque præditum virum, cum tantam tamen ex rebus gestis fiduciam non haberet, ut posset contra tam ingens periculum consistere, ob patris virtutem servaturum se dicit Deus : *Protegam*, inquit (4 *Reg.* 19. 34), *civitatem hanc, ut servem eam, propter me et propter David puerum meum.* Paulus autem de parentibus Timotheo scribens dicebat (1 *Tim.* 2. 15) : *Salvabuntur autem per filiorum generationem, si permanserint in fide, et dilectione et sanctificatione cum sobrietate.* Job quoque ut ex aliis laudavit Scriptura, nempe quod justus, verax et religiosus erga Deum esset, sic etiam ex filiorum cura : quæ in hoc sita erat, non quod aurum ipsis coarcervaret, non quod gloriosos et illustres faceret; sed qua in re? Audi Scripturam dicentem (*Job.* 1. 5), *Cum consummati essent dies convivii illorum, mittebat Job, et purificabat eos, surgensque mane offerebat pro illis sacrificium secundum numerum eorum, et vitulum unum pro peccato, pro animabus eorum. Dicebat enim Job in corde suo, Ne forte filii mei in mente sua male cogitaverint adversus Deum.* Num qua vobis erit demum excusatio, talia audentibus? Nam si ille, qui ante gratiam, ante legem, qui nulla imbutus fuerat disciplina, tantam filiorum curam gessit, ut pro occultis etiam peccatis tremeret : quis nos excusaturus est, qui in gratia sumus, qui tot doctores nacti sumus, tot exempla habentes, tot admonitiones, qui non modo pro incertis non timemus, sed etiam certa contemnimus, nec contemnimus tantum, sed eos qui hæc emendare volunt pellimus? Abraham quoque, ut prius dixi, cum aliis præclare gestis, hoc etiam factum splendidum reddidit.

21. Tanta igitur exempla habentes, paremus Deo famulos, probatosque ministros. Nam si is, qui athletas civitatibus alit, militesque regi exercet, magno donabitur honore, quantum nos donum accepturos esse par est, qui tam strenuos et magnos viros, imo potius angelos, Deo alimus? Omnia ergo faciamus, ut illis pietatis opes relinquamus, quæ manent, et excedentes e vita comitantur; quæ non in hac vita solum, sed etiam illic maxime nobis proderunt. Nam sæculares divitiæ excedentes e vita non comitantur, imo hic ante nos pereunt, ac sæpe possessores perdunt suos : hæc

βέβαιος ἔσται, καὶ διατηρήσει μετὰ πολλῆς ἀσφαλείας τοὺς κεκτημένους αὐτόν. Καὶ γὰρ οὕτως ἔχει· ὁ μὲν τὰ ἐν τῇ γῇ προτιμῶν τῶν πνευματικῶν, κἀκείνων ἐκπεσεῖται καὶ τούτων· ὁ δὲ τῶν οὐρανίων ἐπιθυμῶν, καὶ τῶν ἐπὶ γῆς τεύξεται πάντως. Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ ταῦτα παρασχεῖν [μέλλοντος] Κυρίου· « Ζητεῖτε γάρ, φησί, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. » Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; Φρόντιζε, φησὶν, ὑπὲρ τῶν πνευματικῶν, ἐμοὶ δὲ ἄφες πάντα τὰ σά. Ὥσπερ ἂν εἴ τις πατὴρ φιλόστοργος οἰκίας ἐπιμέλειαν καὶ οἰκετῶν προστασίαν καὶ τῶν ἄλλων ἁπάντων μεταχειρίζοιτο, τῷ δὲ παιδὶ φιλοσοφίᾳ μόνῃ σχολάζειν παραινοίη· οὕτω δὴ καὶ ὁ Θεός. Πειθώμεθα τοίνυν, καὶ ζητῶμεν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οὕτω παντάχοῦ τούς τε παῖδας δοκίμους ὀψόμεθα, καὶ αὐτοὶ μετ' ἐκείνων ἐσόμεθα λαμπροὶ, καὶ τῶν παρόντων ἀπολαυσόμεθα, ἂν τῶν μελλόντων καὶ οὐρανίων ἐρῶμεν μόνον. Ταῦτα πειθομένοις μὲν ὑμῖν μέγαν οἶσει τὸν μισθὸν, ἀντιλέγουσι δὲ καὶ ἀπειθοῦσι χαλεπωτέραν τὴν τιμωρίαν. Οὐ γὰρ ἔνι καταφυγεῖν εἰς ἀπολογίαν, οὐδὲ εἰπεῖν ὅτι οὐδεὶς ὁ ταῦτα διδάσκων ἦν. Μάλιστα μὲν οὖν καὶ πρὸ τῶν ἡμετέρων λόγων ἡ ἀπολογία αὕτη ἀνῄρητο, τῆς τε φύσεως ἐχούσης ἀκριβὲς τὸ κριτήριον τῶν καλῶν καὶ τῶν οὐ τοιούτων, τῆς τε φιλοσοφίας ταύτης πανταχοῦ προκειμένης, τῶν τε ἐν τῷ βίῳ κακῶν ἱκανῶν ὄντων καὶ τοὺς σφόδρα ἐρῶντας αὐτοῦ πρὸς τὴν ἐρημίαν ἐλάσαι. Καὶ σιγώντων μὲν οὖν, ὅπερ ἔφην, τὰ τῆς ἀπολογίας ἀνῄρητο, νυνὶ δὲ πολλῷ πλέον μετὰ τοὺς μακροὺς λόγους τούτους καὶ τὴν τοσαύτην παραίνεσιν, τήν τε ἀπὸ τῶν πραγμάτων, τήν τε σαφεστέραν τὴν ἀπὸ τῶν θείων Γραφῶν. Καὶ εἰ μὲν ἦν οἷοι μένοντας μὴ διαφθαρῆναι τέλεον, ἀλλὰ τὴν γοῦν ἰσχάτην τάξιν τῆς σωτηρίας λαχεῖν, μάλιστα μὲν οὐδὲ οὕτως ἂν τὴν κόλασιν διεφύγομεν, τοὺς ἐπὶ βίον ἀκριβέστερον βαδίζειν ἐπειγομένους κωλύοντες, καὶ ἐν τοῖς βιωτικωτέροις κατέχοντες πρὸς τὸν οὐρανὸν πτῆναι ἐπειγομένους· ὅταν δὲ μηδὲ τοῦτο ἐξῇ, ἀλλ' ἀνάγκη πάντας ἀπολέσθαι, καὶ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ᾖ, τίνα συγγνώμην ἕξομεν, τίνα δὲ ἀπολογίαν, οὐ μόνον τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα τοῖς παισὶν ἁμαρτανομένων τὰς εὐθύνας ἐφ' ἑαυτοὺς ἕλκοντες χαλεπωτέρας; Οὐ γὰρ οὕτως ἐκείνους οἶμαι τιμωρηθήσεσθαι ὑπὲρ ὧν ἂν πταίσωσι μετὰ ταῦτα, εἰς τὸ κλυδώνιον τοῦτο κατασπασθέντες, ὡς ὑμᾶς τοὺς τὴν ἀνάγκην περιστήσαντας ταύτην αὐτοῖς. Εἰ γὰρ τῷ ἕνα σκανδαλίζοντι συμφέρει μετὰ μύλης κατακοντισθῆναι εἰς τὴν θάλασσαν, τοῖς τὴν ὠμότητα ταύτην καὶ ἀπήνειαν εἰς τοὺς παῖδας ἐνδεικνυμένοις ποία τιμωρία ἀρκέσει καὶ κόλασις;

Διὸ παρακαλῶ καθυφεῖναι τῆς φιλονεικίας, καὶ γενίσθαι φιλοσόφων παίδων πατέρας. Οὐδὲ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅπερ ἀκούω πολλοὺς σκηπτομένους. Τί δὲ τοῦτό ἐστιν; Ἀδυνατοῦντας, φησὶν, εἰδότες πρὸς τὸ

vero et hic et illic firmæ erunt, et magna cum securitate possidentes se conservabunt. Etenim res ita se habet: qui terrena spiritualibus præfert, et his et illis excidet; qui vero cælestia concupiscit, terrenis etiam potietur omnino. Nec mea sunt hæc verba, sed ejus qui hæc præbiturus est, Domini: *Quærite*, inquit (*Matth.* 6. 33), *regnum cælorum, et hæc omnia adjicientur vobis.* Quid huic honori par esse possit? Cura, inquit, spiritualia, mihi vero omnia tua dimitte. Ac si quis pater filii amans, domus curam, domesticorum regimen aliorumque omnium sibi assumeret, filium vero, ut uni philosophiæ vacaret, admoneret: sic et Deus facit. Morem itaque geramus, et quæramus regnum Dei, et sic plane filios nostros præclaros videbimus, nosque cum illis splendidi erimus, ac præsentibus fruemur, si futura et cælestia tantum amemus. Hæc obtemperantibus vobis magnam afferent mercedem; repugnantibus autem et morem non gerentibus, gravius supplicium. Neque enim licet ad excusationem confugere ac dicere, Nullus erat qui hæc doceret. Certe antequam nos hæc diceremus, hæc defensio sublata erat, quippe cum ipsa natura accuratam habeat bona a malis discernendi vim, et hæc philosophia ubique proposita sit, hujusque vitæ mala satis sint ad ejus amatores in solitudinem fugandos. Etiamsi igitur taceremus, ut dixi, omnis excusatio sublata esset. At multo magis nunc post hos adeo prolixos editos libros, tantamque admonitionem, tum ex ex rebus ipsis, tum, quæ etiam clarior est, ex divinis Scripturis. Ac etiamsi domi manentes possent non penitus perire, sed ultimam salutis sortem adipisci, ne sic quidem pœnas effugere possemus, si eos qui ad diligentiorem vitam festinarent prohiberemus, atque in sæcularibus rebus detineremus eos qui in cælum avolare gestirent. Cum autem id fieri nequeat, sed omnino pereundum esse constet, ac de extremis periculum sit, quam tandem veniam, quam excusationem habituri simus, si non modo propriorum peccatorum, sed eorum etiam quæ postea filii admiserint, pœnas in nos ipsos gravissimas pertrahamus? Neque enim puto illos tam graves daturos esse pœnas pro iis, quæ postea deliquerint in hos fluctus pertracti, quam vos, qui in hanc illos necessitatem induxistis. Nam si ei, qui unum scandalizaverit, cum mola in mare demergi expedit: quæ tandem pœna, qui cruciatus satis erunt illis, qui sævitiam tantam et immanitatem in liberos proprios ostendunt?

Quocirca, rogo, contentionem remittatis, sitisque philosophorum filiorum patres. Neque id dicendum est, quod multos prætendere audio. Quid illud est? Cum videremus, inquiunt, illos ad finem pervenire non posse, ideo

τέλος ἐλθεῖν, ἐκωλύσαμεν διὰ τοῦτο. Εἰ γὰρ καὶ προῄδεις τοῦτο σαφῶς, καὶ μὴ στοχασμὸς τὸ πρᾶγμα ἦν — πολλοὶ γὰρ καὶ τῶν πεσεῖσθαι προσδοκηθέντων ἔστησαν· πλὴν ἀλλ' εἰ καὶ σφόδρα προῄδεις, οὐδὲ οὕτως αὐτὸν καθέλκειν ἐχρῆν. Οὐδὲ γὰρ, εἴ τινας πίπτειν μέλλοντας προλαβόντες ὑποσκελίσαιμεν, ἀρκεῖ τοῦτο πρὸς ἀπολογίαν ἡμῖν, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. Διὰ τί γὰρ μὴ συνεχώρησας τῆς ἐκείνου ῥᾳθυμίας γενέσθαι τὸ πτῶμα, ἀλλὰ προλαβὼν ἥρπασας τὴν ἁμαρτίαν, καὶ τὸ πᾶν ἐπὶ τὴν σὴν ἤγαγες κεφαλήν; Μᾶλλον δὲ οὐδὲ συγχωρῆσαι ἐχρῆν· διὰ τί γὰρ μὴ πάντα ἔπραξας ὑπὲρ τοῦ μὴ πεσεῖν τὸν υἱόν; Ὥστε, εἰ δὴ μάλιστα ᾔδεις ὅτι πεσεῖται, διὰ τοῦτο μάλιστα τιμωρίας ἂν ἦς ἄξιος. Τὸν γὰρ τοῦτο προειδότα οὐχὶ καταβαλεῖν, ἀλλὰ χεῖρα ὀρέγειν ἐχρῆν καὶ μείζονα ἐνδείκνυσθαι τὴν σπουδὴν ὑπὲρ τοῦ τὸν μέλλοντα πίπτειν στῆναι γενναίως, εἴτ' ἔμελλε στήσεσθαι, εἴτε μή. Τὰ γὰρ παρ' ἡμῶν ἅπαντα πληροῦσθαι δεῖ, κἂν ἕτεροι μηδὲν μέλλωσι καρποῦσθαι παρ' ἡμῶν. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἵνα μηκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ὁ λόγος ᾖ τῷ Θεῷ. Ὅπερ καὶ αὐτὸς ἔλεγεν ἐγκαλῶν τῷ μηδὲν εἰς τὸ τάλαντον ἐργασαμένῳ· « Ἔδει γάρ σε, φησὶ, καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας· κἀγὼ ἐλθὼν μετὰ τόκου ἀπῄτησα ἂν αὐτό. » Πειθώμεθα τοίνυν τῷ ταῦτα παραινοῦντι, ἵνα καὶ τὴν τιμωρίαν ἐκφύγωμεν. Οὐ γὰρ δὴ καὶ τὸν Θεὸν μετὰ τῶν ἀνθρώπων παραλογίσασθαι δυνησόμεθα, τὸν ἐρευνῶντα τὰς καρδίας καὶ πάντα εἰς μέσον ἄγοντα, καὶ πανταχοῦ τῆς τῶν παίδων ὑπευθύνους ποιοῦντα σωτηρίας ἡμᾶς. Εἰ γὰρ ὁ μὴ καταβαλὼν τὸ ἀργύριον τοσαύτην ἔδωκε δίκην, ὁ καὶ τοὺς καταβαλεῖν βουλομένους κωλύων, τί πείσεται; Οὐδὲ γὰρ κατακυλισθέντων τῶν παίδων εἰς τὰ τοῦ βίου πράγματα ἐκ τῆς ὑμετέρας συμβουλίας, ἀλλὰ καὶ γενναίως ἐνεγκόντων τὴν προσβολὴν καὶ τὰ ὄρη καταλαβόντων πάλιν, ἡ αὐτὴ κείσεται κόλασις τοῖς διακωλῦσαι βουληθεῖσιν αὐτούς. Ὥσπερ γὰρ ὁ πρὸς φιλοσοφίαν ἄγων, ἄν τε πείσῃ, ἄν τε μὴ πείσῃ, ἀπηρτισμένον ἔχει τὸν μισθόν (τὸ γὰρ αὐτοῦ πᾶν ἐποίησεν)· οὕτω καὶ ὁ διαφθεῖραι βουληθείς, ἄν τε ἕλῃ, ἄν τε μὴ ἕλῃ, τὴν αὐτὴν ὑποστήσεται δίκην· τὸ γὰρ αὐτοῦ πᾶν καὶ οὗτος ἐπλήρωσεν. Ὥστε κἂν μηδὲν ἰσχύσητε πρὸς τὸ ὑποσκελίσαι καὶ καθελεῖν τὰ γενναῖα τῶν παίδων φρονήματα, τῆς γοῦν ἐπιχειρήσεως μόνης τοσαύτην δώσετε δίκην, ὅσην οἱ καθελόντες ἐκεῖθεν αὐτούς.

Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντα, καὶ τὰς σκήψεις ἀφέντες πάσας, σπουδάσωμεν γενναίων παίδων γενέσθαι πατέρες, χριστοφόρων οἰκοδόμοι γενέσθαι ναῶν, ἀθλητῶν ἐπουρανίων ἐπιμεληταί, ἀλείφοντες, ὀρθοῦντες, πάντοθεν ἐργάσασθαι τὴν ὠφέλειαν αὐτῶν, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς ἐκεῖ κοινωνήσωμεν. Ἂν δὲ φιλονεικῆτε, οἱ παῖδες μὲν, ἂν ὦσι γενναῖοι, καὶ ἀκόντων ὑμῶν ἐπὶ ταύτην ἥξουσι τὴν φιλοσοφίαν, καὶ

illos prohibuimus. Etiamsi enim id clare prævidisses, non autem conjectando solum; multi enim, qui lapsuri putabantur steterunt; si, inquam, illud certo præscivisses, ne sic quidem illum retrahere oportuit. Neque enim, si quospiam ad lapsum pronos, antequam ipsi cadant, præcipitaremus, id nobis ad excusationem satis esset, sed id ipsum nos in primis condemnaret. Cur enim non permisisti ut ex illius segnitie lapsus contingeret, sed prævertens peccatum illud rapuisti, totumque in tuum caput conjecisti? Imo, ut id fieret, non permittendum erat: cur enim non omnia fecisti, ut ne rueret filius? Itaque si planissime scivisses ruiturum illum esse, ideo maxime supplicio dignus esses. Nam eum qui id prævidisset, non præcipitare, sed manum porrigere oportuisset, majoremque sollicitudinem exhibere, ut qui lapsurus esset, fortiter consisteret, sive tandem stare posset, sive non posset. Nam quæ penes nos sunt, omnia exsequi oportet, etiamsi alii nihil inde lucri consequuturi sunt. Cur hoc, et quare? Ut non a nobis, sed ab illis ratio a Deo expeteretur. Quod et ipse ei, qui talento accepto nihil lucratus erat, exprobrans dicebat: *Oportebat enim te*, inquit (*Matth.* 25. 27), *pecuniam committere nummulariis, et ego veniens cum usura exegissem illam.* Obtemperemus igitur hæc monenti, ut supplicium effugiamus. Neque enim Deum cum hominibus fallere poterimus, qui scrutatur corda, et omnia in medium agit, qui ubique etiam de filiorum salute rationem a nobis expetit. Si enim is qui pecuniam non deposuerat, tantas pœnas dedit, qui deponere volentes impedit, quid patietur? Non solum enim si filii vestro consilio in sæcularia negotia devolvantur, sed etiam si impetum fortiter ferentes rursum ad montes se recipiant, idem supplicium imminet iis qui ipsos impedire voluerint. Quemadmodum enim qui ad philosophiam christianam hortatur, sive persuadeat, sive non, perfectam mercedem habet (nam totum id fecit, quod penes se erat): sic et qui aliquem perdere voluerit, sive læserit, sive non læserit, eodem supplicio punietur; nam quod potuit ipse quoque totum implevit. Itaque etsi nihil potueritis ad generosos filiorum animos dejiciendos et subvertendos, solius conatus vestri tantas pœnas dabitis, quantas ii qui ex illa vita eos dejecerint.

Hæc igitur universa cogitantes, missis cavillationibus omnibus, studeamus generosorum filiorum patres esse, Christiferorum conditores templorum, athletarum cælestium curatores, ungentes, erigentes, undique commodis illorum consulentes, ut illic quoque coronarum consortes efficiamur. Sin autem contenderitis, filii quidem, si fortitudine valeant, vel invitis vobis ad hanc pervenient philosophiam,

πάντων ἀπολαύσονται τῶν ἀγαθῶν, ὑμῖν δὲ περιέσται τὸ μυρίαν κόλασιν ἑαυτοῖς συναγαγεῖν, καὶ τότε ἐπαινέσαι τὰ παρ' ἡμῶν εἰρημένα, ὅτε τῶν ἐπαίνων ὄφελος ὑμῖν οὐδέν.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ.

Τὸ τῆς παρθενίας καλὸν ἀποστρέφονται μὲν Ἰουδαῖοι· καὶ θαυμαστὸν οὐδέν, ὅπου γε καὶ αὐτὸν τὸν ἐκ παρθένου Χριστὸν ἠτίμασαν· θαυμάζουσι δὲ Ἕλληνες καὶ καταπλήττονται, ζηλοῖ δὲ μόνη ἡ Ἐκκλησία τοῦ Θεοῦ. Τὰς γὰρ τῶν αἱρετικῶν οὐκ ἂν εἴποιμί ποτε παρθένους ἐγώ· πρῶτον μὲν ὅτι οὐκ εἰσὶν ἁγναί· οὐ γάρ εἰσιν ἡρμοσμέναι ἑνὶ ἀνδρὶ, καθὼς ὁ μακάριος τοῦ Χριστοῦ βούλεται νυμφαγωγὸς, λέγων, « Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. » Εἰ γὰρ καὶ περὶ παντὸς τοῦτο τοῦ πληρώματος εἴρηται τῆς Ἐκκλησίας, ἀλλ' ὅμως κἀκείνας περιλαμβάνει τὸ λεχθέν. Αἱ τοίνυν τὸν ἕνα ἄνδρα μὴ στέργουσαι, ἀλλ' ἕτερον αὐτῷ τὸν οὐκ ὄντα ἐπεισάγουσαι θεὸν, πῶς ἂν εἶεν ἁγναί; Πρῶτον μὲν οὖν κατὰ τοῦτον τὸν λόγον οὐκ ἂν εἶεν παρθένοι· δεύτερον δὲ, ὅτι τὸν γάμον ἀτιμάσασαι οὕτως ἦλθον ἐπὶ τὸ ἀποσχέσθαι τοῦ γάμου. Τῷ γὰρ νομοθετῆσαι πονηρὸν εἶναι τὸ πρᾶγμα, προλαβοῦσαι τὰ τῆς παρθενίας ἑαυτῶν ἀφείλοντο ἔπαθλα. Τοὺς γὰρ τῶν φαύλων ἀπεχομένους οὐ στεφανοῦσθαι, ἀλλὰ μὴ κολάζεσθαι δίκαιον ἂν εἴη μόνον. Καὶ ταῦτα ἴδοι τις ἂν οὐκ ἐν τοῖς ἡμετέροις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἔξωθεν οὕτω διατεταγμένα νόμοις· ὁ φονεύων ἀναιρείσθω, φησίν· οὐκέτι δὲ πρόσκειται, ὁ δὲ μὴ φονεύων τιμάσθω· ὁ κλέπτης κολάζεσθω· οὐκέτι δὲ καὶ τὸν μὴ λυμαινόμενον τοῖς ἀλλοτρίοις δωρεὰν λαμβάνειν ἐκέλευσαν· καὶ τὸν μοιχὸν ἀποκτιννύντες, τὸν μὴ διορύττοντα τοὺς ἑτέρων γάμους οὐδεμιᾶς ἠξίωσαν τιμῆς. Καὶ μάλα εἰκότως. Τὸ γὰρ ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι τῶν τὰ ἀγαθὰ κατορθούντων, οὐ τῶν τὰ κακὰ φευγόντων ἐστίν· ἀπογρῶσα γὰρ ἐκείνοις τιμὴ τὸ μηδὲν πάσχειν κακόν. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν, ἂν μέν τις εἰκῇ καὶ μάτην πρὸς τὸν ἀδελφὸν ὀργισθῇ τὸν αὐτοῦ, καὶ μωρὸν ἀποκαλέσῃ, τὴν γέενναν ἠπείλησεν· οὐκέτι δὲ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν τοῖς μὴ μάτην ὀργιζομένοις καὶ λοιδορίας ἐκτρεπομένοις ὑπέσχετο, ἀλλ' ἕτερόν τι τούτου πλέον καὶ μεῖζον ἐζήτησεν, εἰπών, « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. » Καὶ δεῖξαι βουλόμενος πῶς σφόδρα μικρὸν καὶ εὐτελὲς καὶ οὐδεμιᾶς τιμῆς ἄξιον τὸ μὴ τοῖς ἀδελφοῖς ἀπεχθάνεσθαι, τὸ τούτου πολλῷ πλέον θεὶς, τὸ ἀγαπᾶν αὐτοὺς καὶ φιλεῖν, οὐδὲ τοῦτο ἔφησεν ἡμῖν ἀρκεῖν πρὸς τό τινος ἀξιωθῆναι τιμῆς· πῶς γὰρ, ὅταν τῶν ἐθνικῶν μηδὲν κατὰ τοῦτο πλέον ἔχωμεν; Ὥστε ἑτέρας ἡμῖν ταύτης πολλῷ μείζονος προσθήκης δεῖ, εἴ γε μέλλοιμεν μισθὸν ἀπαιτεῖν. Μὴ γὰρ, ἐπειδὴ

universisque fruentur bonis; vobis autem id continget, ut immensum vobis cruciatum congeratis, tuncque dicta nostra laudetis, cum ex iis laudibus nihil utilitatis percipere licebit.

DE VIRGINITATE.

1. [*Hæreticorum virginitatem præmium non habere.*] Virginitatis laudem Judæi aversantur: neque mirum, qui ipsum quoque natum ex virgine Christum ignominiis affecerint: admirantur ac suspiciunt exteri, sola autem colit Ecclesia Dei. Nam hæreticorum virgines ego virgines esse minime dixerim: primum quod castæ non sint; neque enim uni viro desponsæ sunt, ut vult beatus ille Christi pronubus: *Despondi*, inquit (2 *Cor.* 11. 2), *vos uni viro virginem castam Christo tradendam.* Nam id etsi de toto Ecclesiæ cœtu dictum est, tamen illas quoque hæc complectitur oratio. Quomodo igitur quæ viro uno non contentæ, alterum qui non est deum superinducunt, castæ esse possunt? Itaque primum eam ob rem virgines non sunt: deinde quod matrimonium damnando ad declinandas nuptias sunt progressæ: nam cum eas vitiosas esse sanxerint, præmia sibi virginitatis præripuerunt. Non enim qui vitia cavent corona donari, sed non plecti dumtaxat par est. Atque id quidem videre est non solum nostris, sed externis etiam legibus ita constitutum: Qui cædem fecerit, inquit, necator; at non etiam additur, Qui cædem non fecerit, honore afficitor: Fur plectitor; at non eum quoque, qui aliena non rapuerit, donum capere jusserunt: neque adulterum occidentes, ei qui alterius cubile non effringat, honorem sciverunt. Et merito sane: nam laudem et admirationem habere eorum est, qui virtute perfunguntur, non qui vitia declinant: nam is eis honor satis est, si pœnam nullam sentiant. Itaque Dominus noster, qui temere et immerito fratri suo irascatur ac fatuum vocet, ei gehennam est comminatus: non etiam iis, qui nec immerito irascantur, et a conviciis abstineant, cæleste regnum promisit: sed plus eo quiddam majusque requisivit, *Diligite*, inquiens (*Matth.* 5. 44), *inimicos vestros.* Cumque vellet ostendere, perexiguum et vile atque indignum præmio esse, fratres non odisse, proposito eo quod multo majus est, eos diligere et amare, ne id quidem nobis sufficere ait, ut honorem ullum consequamur: quid enim, si ea re nihil exteris præstamus? Itaque alia nobis opus est accessio multo hac major, si quidem mercedem flagitamus. Ne enim, quia te, inquit,

σε, φησὶν, οὐ κατακρίνω τῇ γεέννῃ, λοιδορίας καὶ ὀργῆς ἀπεχόμενον τῆς πρὸς τὸν ἀδελφὸν, ἤδη διὰ τοῦτο καὶ στεφάνων ἀξίου σαυτόν. Οὐ γὰρ τοσοῦτον ἀπαιτῶ μόνον φιλοφροσύνης μέτρον ἐγώ· ἀλλὰ κἂν πρὸς τῷ μὴ λοιδορεῖσθαι καὶ φιλεῖν αὐτὸν λέγῃς, ἔτι κάτω που στρέφῃ, καὶ παρὰ τοὺς τελώνας τάττεις σαυτόν. Ἀλλ' εἰ βούλει τέλειος εἶναι καὶ τῶν οὐρανῶν ἄξιος, μὴ στῇς μέχρι τούτου μόνον, ἀλλ' ἀνάβηθι προσωτέρω, καὶ τῆς φύσεως αὐτῆς μείζονα λάβε λογισμόν· τοῦτο δέ ἐστι τὸ τοὺς ἐχθροὺς ἀγαπᾶν. Ἐπεὶ οὖν πάντοθεν ἡμῖν τοῦτο συνωμολόγηται, παυσάσθωσαν μάτην οἱ αἱρετικοὶ κόπτοντες ἑαυτούς· οὐδένα γὰρ λήψονται μισθόν· οὐκ ἐπειδὴ ὁ Κύριος ἄδικος, ἄπαγε, ἀλλ' ἐπειδὴ αὐτοὶ ἀγνώμονες καὶ πονηροί. Πῶς; Ἀποδέδεικται μηδεμίαν κεῖσθαι δωρεὰν μόνῃ τῇ τῶν φαύλων φυγῇ· τὸν δὲ γάμον αὐτοὶ φαῦλον νομίσαντες, οὕτως ἔφυγον· πῶς οὖν ὑπὲρ τῆς τῶν φαύλων ἀναχωρήσεως δυνήσονται μισθὸν ἀπαιτεῖν; Ὥσπερ γὰρ ἡμεῖς ὑπὲρ τοῦ μὴ μοιχεύειν στεφανοῦσθαι οὐκ ἀξιώσομεν, οὕτως οὐδὲ ὑπὲρ τοῦ μὴ γαμεῖν ἐκεῖνοι. Ἐρεῖ γὰρ πρὸς αὐτοὺς ὁ κατ' ἐκείνην τὴν ἡμέραν κρίνων ἡμᾶς· Ἐγὼ τὰς τιμὰς οὐ τοῖς τῶν πονηρῶν ἀπεσχημένοις τέθεικα μόνον (μικρὸν γὰρ παρ' ἐμοὶ τοῦτο μέρος), ἀλλὰ τοὺς ἅπασαν ἐπελθόντας ἀρετὴν, τούτους εἰς τὴν ἀγήρω τῶν οὐρανῶν εἰσάγω κληρονομίαν. Πῶς οὖν ὑμεῖς πρᾶγμα ἀκάθαρτον καὶ ἐναγὲς εἶναι τὸν γάμον νομίσαντες, τῆς τῶν ἐναγῶν ἀπαλλαγῆς τὰ κείμενα τοῖς ἐργάταις τῶν ἀγαθῶν ἀπαιτεῖτε ἔπαθλα; Διὰ τοῦτο γὰρ καὶ τοὺς ἄρνας ἐκ δεξιῶν ἵστησι, καὶ εὐλογεῖ, καὶ εἰς τὴν βασιλείαν εἰσάγει, οὐχ ὅτι οὐχ ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' ὅτι καὶ τὰ ἑαυτῶν ἑτέροις διένειμαν. Καὶ τὸν τὰ πέντε τάλαντα δὲ ἐγχειρισθέντα ἀποδέχεται, οὐχ ὅτι οὐκ ἐμείωσεν, ἀλλ' ὅτι ἐπλεόνασε τὸ δοθὲν, καὶ διπλῆν τὴν παρακαταθήκην ἀπέδωκε. Μέχρι τίνος οὖν οὐ στήσεσθε τρέχοντες εἰς κενὸν, καὶ κοπιῶντες μάτην, καὶ εἰκῇ πυκτεύοντες, καὶ τὸν ἀέρα δέροντες; Καὶ εἴθε μόνον εἰκῇ, καίτοι οὐδὲ τοῦτο μικρὸν εἰς κολάσεως λόγον τὸ πολλὰ καμόντας, καὶ μείζονα τῶν πόνων προσδοκήσαντας ἔπαθλα, κατὰ τὸν καιρὸν τῆς τιμῆς ἐν τοῖς ἀτίμοις τετάχθαι.

Ἔστι δὲ νῦν οὐ τοῦτο μόνον τὸ δεινὸν, οὐδὲ μέχρι τοῦ μὴ κερδᾶναι τὰ τῆς ζημίας αὐτοῖς, ἀλλ' ἕτερα πολλῷ τούτων ἐκδέχεται χαλεπώτερα, τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ ἀτελεύτητος, τὸ σκότος τὸ ἐξώτερον, ἡ θλῖψις, ἡ στενοχωρία. Ὥστε μυρίων ἡμῖν δεῖ στομάτων καὶ τῆς ἀγγέλων δυνάμεως, ἵνα δυνηθῶμεν τῆς εἰς ἡμᾶς κηδεμονίας εὐχαριστίαν ἀποδοῦναι τῷ Θεῷ τὴν ἀξίαν· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατόν. Πῶς γάρ; Ὁ μὲν πόνος ὁ ὑπὲρ τῆς παρθενίας ἡμῖν καὶ τοῖς αἱρετικοῖς ἴσος, τάχα δὲ καὶ πολλῷ πλείων ἐκείνοις· ὁ δὲ καρπὸς τῶν πόνων οὐκ ἴσος, ἀλλ' ἐκείνοις μὲν δεσμὰ καὶ δάκρυα καὶ οἰμωγαὶ καὶ τὸ κολάζεσθαι ἀθάνατα, ἡμῖν δὲ αἱ τῶν ἀγγέλων λήξεις, καὶ αἱ φαιδραὶ λαμπάδες, καὶ τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν,

gehennae non damno, qui maledictis atque ira in fratrem abstineas, propterea te corona etiam dignum existima. Non enim tantillum humanitatis solum desidero; sed etiam si nec convicium facias, et eum amare etiam dicas, adhuc infra haeres, et te apud publicanos collocas. Quodsi perfectus ac cælo dignus esse vis, istic modo ne consiste, sed altius conscende, et natura ipsa sublimiorem cogitationem suscipe: id autem est inimicos diligere. Cum igitur undique hoc nobis constet, desistant haeretici frustra se affligere, nullam enim mercedem accipient: non quia sit injustus Dominus, apageis; sed quod imperiti ipsi et improbi. Quid ita? Demonstratum est fugae tantum a vitiis nullum propositum esse praemium: ipsi autem quod matrimonium vitiosum ducerent, eo abstinuerunt. Quo pacto igitur ob vitiorum fugam mercedem poscere poterunt? Nam ut nos eo quod non adulteremus dignos esse non putabimus qui coronemur, sic neque illi coronas poscere poterunt eo quod uxorem non ducant. Ita enim eos illa die alloquetur, qui in nos sententiam dicturus est: Non equidem iis honores constitui, qui a vitiis solum se continent: nam id apud me exiguum est; sed qui virtutem omnem persequuti sint, eos in perennem cælorum haereditatem introduco. Quomodo igitur qui matrimonium foedum ac flagitiosum credatis, ob flagitiorum fugam, praemia iis proposita, qui praeclaras res gesserint, postulatis? Ob id enim et agnos dextros collocat, et collaudat, et in regnum admittit, non quod aliena non rapuerint, sed quod etiam sua aliis impertiti sint: et eum cui quinque talenta credidisset accipit, non quod non imminuisset, sed quod creditum auxisset, ac duplicatum depositum redderet. Quousque igitur non desistetis frustra currere, nequicquam laborare, temere pugilatu certare, aerem verberare? Atque utinam frustra modo: etsi non mediocris utique poena est, qui graviter laboraverint, et praemium sperent laboribus majus, quem diem sibi gloriosum fore ducant, eo inter inglorios haberi.

II. [*Haereticos virginitatis etiam poenas pendere.*] Nunc non id solum malum est, neque is ejus jacturae modus, ut fructum nullum faciant, sed excipient alia multo iis graviora, ignis inexstinctus, vermis immortalis, tenebrae exteriores, aerumnae, afflictatio. Itaque centum nobis linguis et angelica quadam vi opus est, ut Deo pro ejus in nos cura dignas agere gratias possimus; ac ne sic quoque possimus: quo pacto enim? Virginitatis labor et nobis et haereticis par est; atque illis fortasse multo etiam major: laborum fructus impar, sed illos et vincula et lacrimae et ploratus et immortales manent cruciatus; nos angelorum sortes, splendidae lucernae, et quod bonorum omnium caput

ἡ μετὰ τοῦ νυμφίου διαγωγή. Τί δήποτ' οὖν τῶν αὐτῶν πόνων ἐναντία τὰ ἐπίχειρα; Ὅτι ἐκεῖνοι μέν, ἵνα ἀντινομοθετήσωσι τῷ Θεῷ, τὴν παρθενίαν εἵλοντο, ἡμεῖς δὲ ἵνα ἀνύσωμεν αὐτοῦ τὸ θέλημα, τοῦτο πράττομεν. Ὅτι γὰρ ὁ Θεὸς βούλεται πάντας ἀνθρώπους ἀπέχεσθαι γάμου, μάρτυς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα· « Βούλομαι γάρ, φησὶ, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, » ἐν ἐγκρατείᾳ. Φειδόμενος δὲ ἡμῶν ὁ Σωτὴρ, καὶ εἰδὼς ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενὴς, οὐκ εἰς ἐντολῆς ἀνάγκην τὸ πρᾶγμα κατέκλεισεν, ἀλλ' ἐπέτρεψεν αὐτοῦ τὴν αἵρεσιν ταῖς ἡμετέραις ψυχαῖς. Εἰ γὰρ ἦν ἐπίταγμα καὶ νόμος, οὐκ ἂν οὔτε οἱ κατορθώσαντες τιμῆς ἀπήλαυσαν, ἀλλ' ἤκουσαν ἄν, Ὃ ὠφείλετε ποιῆσαι, πεποιήκατε, οὔτε οἱ διαμαρτάνοντες συγγνώμης ἔτυχον, ἀλλὰ τὴν τῶν παρανομούντων ἂν ὑπέστησαν δίκην· νῦν δὲ εἰπὼν, « Ὁ δυνάμενος χωρεῖν χωρείτω, » τοὺς μὲν μὴ δυναμένους οὐ κατέκρινε, τῶν δὲ δυναμένων πολὺν καὶ ὑπέρογκον τὸν ἀγῶνα ἀπέδειξε. Διὰ τοῦτο καὶ ὁ Παῦλος κατ' ἴχνος βαίνων τοῦ διδασκάλου, « Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου, φησὶν, οὐκ ἔχω, γνώμην δὲ δίδωμι. »

Ἀλλ' οὐ Μαρκίων, οὐδὲ Οὐαλεντῖνος, οὐδὲ Μάνης ταύτης ἠνέσχοντο τῆς συμμετρίας· οὐ γὰρ εἶχον ἐν ἑαυτοῖς λαλοῦντα τὸν Χριστὸν, τὸν τῶν ἰδίων προβάτων φειδόμενον, καὶ τὴν ψυχὴν αὐτοῦ τιθέντα ὑπὲρ αὐτῶν, ἀλλὰ τὸν ἀνθρωποκτόνον τὸν τοῦ ψεύδους πατέρα. Διά τοι τοῦτο καὶ τοὺς πειθομένους αὐτοῖς πάντας ἀπώλεσαν, ἐνταῦθα μὲν αὐτοὺς καὶ ἀνονήτοις καὶ ἀφορήτοις βαρύνοντες πόνοις, ἐκεῖ δὲ εἰς τὸ ἡτοιμασμένον ἐκείνοις πῦρ συγκατασπάσαντες ἑαυτοῖς.

Ὦ καὶ Ἑλλήνων ὑμεῖς ἀθλιώτεροι! Ἕλληνας μὲν γὰρ εἰ καὶ τὰ τῆς γεέννης ἐκδέχεται δεινὰ, ἀλλ' ὅμως τὸ γοῦν ἐνταῦθα καρποῦνται ἡδὺ, γάμοις ὁμιλοῦντες, καὶ χρημάτων ἀπολαύοντες καὶ τῆς ἄλλης ἀνέσεως τῆς βιωτικῆς· ὑμῖν δὲ τὸ βασανίζεσθαι καὶ ταλαιπωρεῖσθαι ἑκατέρωθεν, ἐνταῦθα μὲν ἑκοῦσιν, ἐκεῖ δὲ μὴ βουλομένοις. Καὶ Ἕλλησι μὲν ὑπὲρ νηστείας καὶ παρθενίας οὔτε μισθὸν δώσει τις, οὔτε κόλασις ἀποκείσεται· ὑμεῖς δὲ ὑπὲρ ὧν μυρίους προσεδοκήσατε ἐπαίνους, ὑπὲρ τούτων τὴν ἐσχάτην δώσετε δίκην, καὶ μετὰ τῶν ἄλλων ἀκούσεσθε, « Ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ », ὅτι ἐνηστεύσατε, ὅτι ἐπαρθενεύσατε. Ἡ γὰρ νηστεία καὶ ἡ παρθενία οὔτε καλὸν καθ' ἑαυτὸ, οὔτε κακὸν, ἀλλ' ἀπὸ τῆς τῶν μετιόντων προαιρέσεως ἑκάτερον γίνεται. Καὶ Ἕλλησι μὲν ἄκαρπος ἡ τοιαύτη ἀρετή· ἀπέχουσι γὰρ αὐτῶν τὸν μισθὸν, ὅτι μὴ διὰ τὸν τοῦ Θεοῦ φόβον μετῆλθον αὐτήν· ὑμεῖς δὲ ὅτι τῷ Θεῷ μαχόμενοι καὶ διαβάλλοντες αὐτοῦ τὰ κτίσματα, οὐ μόνον ἀπέχετε τὸν μισθὸν ὑμῶν, ἀλλὰ καὶ κολασθήσεσθε, καὶ δογμάτων μὲν ἕνεκεν μετ' ἐκείνων τετάξεσθε, ὅτι ὁμοίως αὐτοῖς τὸν ὄντα Θεὸν ἀθετήσαντες πολυθείαν εἰσηγάγετε· τῆς δὲ

est, sponsi consuetudo. Sed quamobrem eorumdem laborum contraria præmia sunt? Quod illi sanciendo legem divinæ adversariam virginitatem sunt amplexi; nos, ut ejus voluntatem exsequamur, id facimus. Deum namque velle omnes homines a conjugio abstinere, is testis est, qui Christum in se loquentem habet: *Volo* enim, inquit (1 *Cor.* 7. 7), *omnes homines sic esse, ut ego sum*, continentes. Sed Salvator nobis parcens, et spiritum promtum, carnem infirmam esse sciens, id sub præcepti necessitatem non conclusit, sed ejus optionem animis nostris permisit. Nam si præscriptum esset atque lex, neque illi qui id perfecissent, honorem consequerentur, sed illud audirent, Fecistis quod facere debuistis: neque iis qui non essent assequuti, ignosceretur, sed legum violatoribus constitutas pœnas luerent. Nunc cum dixerit (*Matth.* 19. 12), *Qui potest capere, capiat*, eos qui non possent, haud damnavit; qui possent, iis grave atque ingens certamen proposuit. Itaque et Paulus, Magistri vestigiis insistens, *De virginibus*, inquit (1 *Cor.* 7. 25), *præceptum Domini non habeo, consilium autem do.*

III. [*Matrimonii detestationem satanicæ immanitatis esse.*] At vero neque Marcion, neque Valentinus, neque Manes eam moderationem tenuerunt: neque enim Christum in se loquentem habebant, qui ovibus suis parcit, et pro iis vitam impendit, sed homicidam illum, mendacii parentem. Itaque qui ipsos audirent, omnes perdiderunt, eos hic inutilibus atque intolerandis laboribus prementes, illic in paratum sibi ignem una secum trahentes.

IV. [*Hæreticos virgines etiam gentibus miseriores esse.*] O vos etiam gentibus miseriores! nam gentes quidem etsi gehennæ supplicia exspectant, at hic saltem voluptatem nuptiis frequentandis, pecunia cæterisque vitæ suavitatibus tractandis, capiunt: vos tormenta et ærumnas utrobique, et hic sponte, et illic inviti sustinetis. Illis pro jejunio et virginitate nec mercedem tribuet quisquam, nec supplicium irrogabit: vos, quorum nomine immensas laudes speratis, ob ea extremas pœnas luetis, et cum aliis audietis (*Matth.* 25. 41), *Discedite a me in ignem æternum, paratum diabolo et angelis ejus*, cum hoc vestro jejunio et virginitate. Nam nec jejunium, nec virginitas per se bona vel mala sunt, sed ex eorum qui ea exercent proposito alterutrum fiunt. Et gentibus infructuosa ea virtus est: non habent enim suam mercedem, quod non Dei metu eam obierint: vos qui bello cum Deo gerendo atque ejus operibus criminandis eam obieritis, non modo mercedem vestram non habetis, sed et plectemini: ac quod attinet ad dogmata, cum illis censebimini, qui, perinde atque gentiles, vero Deo rejecto, deorum multitudinem invexeritis: quod

πολιτείας ἕνεκεν, ἄμεινον ὑμῶν ἐκεῖνοι πράξουσι. Τοῖς μὲν γὰρ ἡ ζημία μέχρι τοῦ μηδὲν λαβεῖν ἀγαθὸν, ὑμῖν δὲ καὶ τοῦ κακὰ προσλαβεῖν· καὶ τοῖς μὲν κατὰ τὸν παρόντα βίον ἀπολαῦσαι πάντων ὑπῆρξεν, ὑμεῖς δὲ ἀμφοτέρων ἐστέρησθε. Ἆρά τίς ἐστι ταύτης κόλασις χαλεπωτέρα, πόνων καὶ ἱδρώτων τιμωρίας ἀπολαμβάνειν τὰς ἀμοιβάς; Ὁ μοιχὸς, καὶ ὁ πλεονέκτης, καὶ ὁ τοῖς ἀλλοτρίοις ἐντρυφῶν, καὶ τὰ τοῦ πλησίον ἁρπάζων, ἔχουσί τινα παραμυθίαν, βραχεῖαν μὲν, ἔχουσι δὲ ὅμως, τὸ ὑπὲρ τούτων κολάζεσθαι ὑπὲρ ὧν ἐνταῦθα ἀπέλαυσαν· ὁ δὲ πενίαν μὲν ἑκούσιον ὑποστὰς, ἵνα ἐκεῖ πλουτῇ, καὶ τοὺς τῆς παρθενίας πόνους, ἵνα ἐκεῖ μετ' ἀγγέλων χορεύῃ, εἶτα ἐξαίφνης καὶ παρὰ πᾶσαν προσδοκίαν ὑπὲρ τούτων κολαζόμενος, ὑπὲρ ὧν μυρίων ἤλπισεν ἀπολαύσεσθαι καλῶν, οὐδὲ ἔστιν εἰπεῖν ὅσην ὑφίσταται τὴν ἀλγηδόνα τῷ παρ' ἐλπίδας ταῦτα παθεῖν. Ἐγὼ γὰρ ἐξ ἴσης τοῦ πυρὸς ὑπὸ τοῦ συνειδότος αὐτὸν οἶμαι μαστίζεσθαι, ὅταν ἐννοήσῃ τοὺς μὲν τὰ αὐτὰ αὐτῷ πεπονηκότας τῷ Χριστῷ συνόντας, αὐτὸν δὲ ὑπὲρ ὧν ἐκεῖνοι τῶν ἀπορρήτων ἀπολαύουσιν ἀγαθῶν, ὑπὲρ τούτων τὴν ἐσχάτην τίνοντα δίκην, καὶ τῶν ἀκολάστων καὶ λάγνων τὸν ἐν σεμνότητι διαγαγόντα χαλεπώτερα πάσχοντα.

Καὶ γὰρ ἀσελγείας ἁπάσης ἡ τῶν αἱρετικῶν σωφροσύνη χείρων ἐστίν. Ἐκείνη μὲν γὰρ μέχρι ἀνθρώπων ἵστησι τὴν ἀδικίαν, αὕτη δὲ τῷ Θεῷ μάχεται, καὶ τὴν ἄπειρον ὑβρίζει σοφίαν· τοιαύτας τοῖς αὐτὸν θεραπεύουσιν ὁ διάβολος ἵστησι τὰς πάγας. Ὅτι γὰρ τῆς ἐκείνου πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν παρθενία, οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ τὰ νοήματα αὐτοῦ οὐκ ἀγνοοῦντος. Τί οὖν οὗτός φησι; « Τὸ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμόνων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν. » Πῶς οὖν παρθένος ἡ τῆς πίστεως ἀποστᾶσα, ἡ τοῖς πλάνοις προσέχουσα, καὶ τοῖς δαίμοσι πειθομένη, καὶ τιμῶσα τὸ ψεῦδος; πῶς παρθένος ἡ κεκαυτηριασμένη τὴν συνείδησιν; Τὴν γὰρ παρθένον οὐ τῷ σώματι μόνον καθαρὰν εἶναι δεῖ, ἀλλὰ καὶ τῇ ψυχῇ, εἴ γε μέλλοι τὸν ἅγιον ὑποδέχεσθαι νυμφίον· αὕτη δὲ μετὰ τοσούτων καυτήρων πῶς ἂν εἴη καθαρά; Εἰ γὰρ καὶ φροντίδας βιωτικὰς ἀπελαύνειν τούτου χρὴ τοῦ νυμφῶνος, ὡς οὐκ ἐνὸν μετ' ἐκείνων εὐσχήμονα εἶναι, πῶς φρονήματος ἀσεβοῦς ἔνδον στρεφομένου τὸ τῆς παρθενίας διασωθῆναι δυνήσεται κάλλος;

Εἰ γὰρ καὶ τὸ σῶμα αὐτῆς ἀκέραιον μένει, ἀλλ' ὅμως τὸ κρεῖττον διέφθαρται, τῆς ψυχῆς τὰ νοήματα. Τί οὖν ὄφελος ἀφανισθέντος τοῦ ναοῦ τοὺς περιβόλους ἑστάναι; ἢ ποῖον τὸ κέρδος τοῦ θρόνου μολυνθέντος καθαρὸν εἶναι τοῦ θρόνου τὸν τόπον; Μᾶλλον δὲ οὐδὲ οὕτω τοῦ ἅγους ἀπήλλακται. Ἡ γὰρ βλασφημία καὶ

ad vitam autem, melius enim illis quam vobiscum agitur : nam illis hoc solum damni est, nihil boni consequi, vobis etiam supplicia pati : atque illis in hac vita omnibus frui licuit, vos utrisque caretis. An pœna ulla gravior esse potest, quam supplicia laborum ac sudorum præmium capere? Adulter, defraudator, qui aliena suaviter abliguriat, et proximi bona rapiat, solatium aliquod habent, breve id quidem, sed habent tamen, quod eorum nomine plectantur, quorum hic fructum habuerunt. At qui paupertatem sponte init, ut illic locupletetur, qui virginitatis labores, ut illic cum angelis choreas ducat : is si repente ac præter omnem exspectationem ob ea pœnas det, ob quæ ingens præmium speraverat, infandum quantum ex insperato eventu dolorem capiat. Ego enim cum conscientia æque atque flamma cruciatum iri existimo, cum in mentem veniet, qui parem secum laborem ceperint, cum Christo degere; se autem, ob quæ illi ineffabilibus bonis fruantur, ob ea extremas pœnas luere, et qui vitam egerit severam, gravius mulctari quam dissolutos ac luxu perditos.

V. [*Hæreticorum virginitatem vel adulterio fœdiorem esse.*] Etenim hæreticorum continentia omni est libidine pejor. Hæc namque injuriam hominibus solum infert, illa cum Deo pugnat, atque infinitam illam sapientiam lædit : ejusmodi laqueos suis cultoribus diabolus tendit. Nam hæreticorum virginitatem vafritiei ejus procul dubio inventum esse, non ego, sed is auctor est, qui ejus consilia non ignorat. Quid igitur is ait? (1 *Tim.* 4. 1-3) *Spiritus manifeste dicit, quia in novissimis temporibus discedent quidam a fide, attendentes spiritibus erroris, et doctrinis dæmoniorum, in hypocrisi loquentium mendacium, et cauteriatam habentium suam conscientiam, prohibentium nubere, abstinere a cibis quos Deus creavit.* Qui igitur virgo fuerit quæ a fide deficit, quæ planos audit, quæ dæmonibus obtemperat, quæ mendacium colit? qui, inquam, virgo est, quæ cauterio inustam habet conscientiam? Nam virgo non solum corpore, sed etiam animo pura sit oportet, quæ sanctum illum sponsum exceptura est : hæc tot inustis notis qui tandem pura sit? Nam si terrenas etiam curas ab hoc thalamo arceat necesse est, ut quæ cum iis ornata esse nequeat, quomodo cogitatione sacrilega intus obversante virginitatis splendorem valeat tueri?

VI. [*Hæreticos virgines non animas solum, sed etiam corpora polluere.*] Nam etsi ei corpus salvum est, animi tamen, quæ pars est potior, sunt corrupta consilia. Quid autem refert disjecto templo septa restare? aut quanti interesi purum esse solli locum, solio sordibus inquinato? Quamquam nec abest a piaculo : blasphemia enim atque

τὰ φαῦλα ῥήματα τίκτεται μὲν ἔνδον, οὐ μένει δὲ ἔνδον ἐν τῇ ψυχῇ, ἀλλὰ μιαίνει μὲν γλῶτταν διὰ στόματος προφερόμενα, μιαίνει δὲ τὴν δεχομένην ἀκοήν· καὶ καθάπερ δηλητήρια φάρμακα εἰς αὐτὴν ἐμπίπτοντα τὴν ψυχήν, παντὸς σητὸς χαλεπώτερον διατρώγει τὴν ῥίζαν, καὶ μετ' ἐκείνης καὶ τὸ λοιπὸν ἅπαν ἀπόλλυσι σῶμα. Εἰ τοίνυν παρθενίας ὅρος τὸ καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν, αὕτη δὲ ἐξ ἑκατέρων τῶν μερῶν ἐστι βέβηλος καὶ ἀναγής, πῶς ἂν δύναιτο εἶναι παρθένος; Ἀλλὰ πρόσωπόν μοι δείκνυσιν ὠχρὸν, καὶ κατισχνωμένα μέλη, καὶ στολὴν εὐτελῆ, καὶ βλέμμα ἥμερον. Καὶ τί τὸ ὄφελος, ὅταν τὸ ἔνδον ὄμμα ἰταμὸν ᾖ; Τί γὰρ ἂν γένοιτο τοῦ βλέμματος ἰταμώτερον ἐκείνου τοῦ καὶ τοὺς ἔξωθεν πείθοντος ὀφθαλμοὺς ὡς πονηροῖς προσέχειν τοῖς τοῦ Θεοῦ κτίσμασι; « Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν »· αὕτη δὲ τοῦ λόγου τὴν ἀκολουθίαν ἀντέστρεψε, τὴν μὲν δόξαν ἔξωθεν περικειμένη, τὴν δ' ἀτιμίαν πᾶσαν ἔνδον ἔχουσα. Τοῦτο γάρ ἐστι τὸ δεινὸν, ὅτι πρὸς μὲν ἀνθρώπους ἐπιείκειαν ἐνδείκνυται πολλὴν, πρὸς δὲ τὸν κτίσαντα αὐτὴν Θεὸν πολλῇ κέχρηται τῇ μανίᾳ· καὶ ἡ μηδὲ πρὸς ἄνδρα ἀντιβλέψαι ἀνεχομένη, εἴ γε τινές εἰσιν ἐν αὐταῖς τοιαῦται, πρὸς τὸν τῶν ἀνθρώπων Δεσπότην ἀναισχύντοις ὀφθαλμοῖς ὁρᾷ, καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλεῖ. Πύξινον αὐταῖς τὸ πρόσωπόν ἐστι καὶ νεκρῷ προσεικός. Διὰ γὰρ τοῦτο δακρύων ἄξιαι καὶ θρήνων πολλῶν, ὅτι οὐκ εἰκῇ μόνον, ἀλλὰ καὶ ἐπ' ὀλέθρῳ καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς τοσαύτην ἀνεδέξαντο ταλαιπωρίαν.

Εὐτελὴς ἡ στολή. Ἀλλ' οὐκ ἐν τοῖς ἱματίοις, οὐδὲ ἐν τοῖς χρώμασιν ἡ παρθενία, ἀλλ' ἐν σώματι καὶ ψυχῇ. Πῶς γὰρ οὐκ ἄτοπον, εἰ τὸν μὲν φιλόσοφον οὐκ ἀπὸ τῆς κόμης, οὐδὲ ἀπὸ τῆς βακτηρίας, οὐδὲ ἀπὸ τῆς ἐξωμίδος δοκιμάζομεν, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς ψυχῆς, καὶ τὸν στρατιώτην οὐκ ἀπὸ τῆς χλανίδος, οὐδὲ ἀπὸ τῆς ζώνης, ἀλλ' ἀπὸ τῆς ῥώμης καὶ τῆς ἀνδρείας, τὴν δὲ παρθένον, πρᾶγμα οὕτω θαυμαστὸν καὶ πάντα ὑπερβαῖνον τὰ ἐν ἀνθρώποις, διὰ τὸν τῶν τριχῶν αὐχμὸν, καὶ τὴν τοῦ προσώπου κατήφειαν, καὶ τὸ φαιὸν ἱμάτιον, ἁπλῶς οὕτω καὶ παρέργως εἰς τὴν τοῦ πράγματος καταλέξομεν ἀρετὴν, οὐκ ἀποδύσαντες αὐτῆς τὴν ψυχὴν, καὶ τὴν ἕξιν αὐτῆς ἐντεῦθεν καταμαθόντες ἀκριβῶς; Ἀλλ' οὐκ ἀφίησιν ὁ τοὺς τῆς ἀθλήσεως ταύτης νόμους διατάξάμενος. Οὐ γὰρ ἀπὸ τῶν ἱματίων τοὺς εἰς τοῦτον καθιέντας ἑαυτοὺς τὸν ἀγῶνα δοκιμάζειν κελεύει, ἀλλ' ἀπὸ τῶν δογμάτων καὶ τῆς ψυχῆς. « Ὁ γὰρ ἀγωνιζόμενος, φησὶ, πάντα ἐγκρατεύεται », πάντα τὰ διενοχλοῦντα τὴν τῆς ψυχῆς ὑγίειαν· καὶ « Οὐδεὶς στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Τίνες οὖν οἱ τῆς ἀθλήσεως ταύτης νόμοι; Ἄκουε πάλιν αὐτοῦ λέγοντος, μᾶλλον δὲ δι' αὐτοῦ τοῦ τὸν ἀγῶνα θέντος Χριστοῦ· « Ἡ δὲ παρθένος ἵνα ᾖ ἁγία τῷ σώματι καὶ τῷ πνεύματι· » καὶ πάλιν, « Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. »

impiæ voces cum intus formentur, intus in animo non manent, sed et linguam ore prolatæ et aures quæ suscipiant polluunt, et velut mortifera venena in animum illapsa, radicem corrodunt quavis tinea gravius, cum eaque reliquum omne corpus perdunt. Quare si virginitatis definitio est, et animo et corpore sanctam esse : hæc quæ utramque in partem profana et scelerata sit, qui tandem virgo fuerit? At enim mihi et os pallidum, et graciles artus, et vilem amictum et aspectum præfert mansuetum. Et quid tum postea, si impudens est interior oculus? Quid enim eo aspectu impudentius est, qui exteriores oculos inducat res a Deo creatas velut vitiosas usurpare? (*Ps.* 44. 14) *Omnis gloria filiæ regis est interior :* hæc vero orationis seriem invertit, et foris gloria amicta omni intus fœditate laborat. Illud namque indignum facinus est, quæ modestiam erga homines summam præstet, eam in Deum creatorem suum extrema insania uti; et quæ virum vel intueri non sustineat, si quæ tamen in iis tales sunt, mortalium Dominum impudentibus oculis spectare, contraque excelsum nefaria loqui. At buxea iis facies est, mortuique similis. Ob id enim multis lacrimis ac lamentis dignæ sunt, quod non solum frustra, sed etiam in sui capitis perniciem tantum ærumnarum susceperint.

VII. [*Virginem non vestitu, sed animo spectandam esse.*] Vilis est amictus. At non in vestibus aut colore, sed in corpore et anima virginitas est. Nam cum nec philosophum coma, aut baculo, aut abolla, sed moribus et animo metiamur; nec militem paludamento, aut balteo, sed robore et magnanimitate : an non absurdum sit virgini, rei tam præclaræ, et quæ humana omnia superet, capilli squalorem, vultus demissionem, ac pullam vestem, temere sane ac supine virtuti ducere, nec ejus animo denudato, inde studia ejus accurate explorare? At non id permittit, qui luctæ hujus leges sanxit : neque enim eos, qui in hoc certamen se conjiciunt, vestitu, sed dogmatibus et animo spectari jubet. *Qui enim certat,* inquit (1 *Cor.* 9. 25), *ab omnibus se continet*, scilicet quæ animi sanitatem infestent : et (2 *Tim.* 2. 5), *Nemo coronatur, nisi legitime certaverit.* Quæ sunt igitur luctæ hujus leges? Audi eumdem dicentem, vel potius in eo Christum certaminis auctorem (1 *Cor.* 7. 34) : *Virgo ut sit sancta corpore et spiritu;* et iterum (*Heb.* 13. 4) : *Honorabile est matrimonium et torus immaculatus.*

Τί οὖν πρὸς ἐμὲ τοῦτο, φησὶ, τὴν πολλὰ χαίρειν εἰποῦσαν τῷ γάμῳ; Τοῦτο γάρ σε, ὦ ταλαίπωρε, τοῦτο ἀπολώλεκεν, ὅτι μηδὲν οἴει σοι κοινὸν εἶναι πρὸς τοῦτο τὸ δόγμα. Διὰ τοῦτο ὑπερφίᾳ ἀμέτρῳ κατὰ τοῦ πράγματος χρησαμένη, εἰς τὴν τοῦ Θεοῦ σοφίαν ἐξύβρισας, καὶ τὴν κτίσιν διέβαλες ἅπασαν. Εἰ γὰρ ἀκάθαρτον ὁ γάμος, ἀκάθαρτα μὲν ἅπαντα τὰ δι' αὐτοῦ τικτόμενα ζῶα, ἀκάθαρτοι δὲ καὶ ὑμεῖς· οὐ γὰρ ἂν εἴποιμι τὴν τῶν ἀνθρώπων φύσιν. Πῶς οὖν παρθένος, εἰ ἀκάθαρτος; Οὗτος γὰρ δεύτερος, μᾶλλον δὲ καὶ τρίτος ὑμῖν μολυσμῶν καὶ ἀκαθαρσίας ἐπινενόηται τρόπος· καὶ αἱ τὸν γάμον ὡς ἐναγὲς φεύγουσαι, αὐτῷ τούτῳ τῷ φεύγειν πάντων γεγόνατε ἐναγέστεραι, παρθενίαν εὑροῦσαι πορνείας μιαρωτέραν. Ποῦ τοίνυν ὑμᾶς τάξομεν; μετὰ τῶν Ἰουδαίων; Ἀλλ' οὐκ ἀνέξονται ἐκεῖνοι· καὶ γὰρ τὸν γάμον τιμῶσι, καὶ τοῦ Θεοῦ τὴν δημιουργίαν θαυμάζουσιν. Ἀλλὰ μεθ' ἡμῶν; Ἀλλ' οὐκ ἐθέλετε ἀκοῦσαι τοῦ Χριστοῦ λέγοντος διὰ τοῦ Παύλου, « Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. » Λείπεται δὴ μετὰ τῶν Ἑλλήνων ὑμᾶς στῆναι λοιπόν. Ἀλλὰ κἀκεῖνοι παρώσονται πάλιν ὑμᾶς ὡς ἀσεβεστέρους αὐτῶν. Πλάτων μὲν γάρ φησιν ὅτι ἀγαθὸς ἦν ὁ τόδε τὸ πᾶν συστησάμενος, καὶ ὅτι ἀγαθῷ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος· σὺ δὲ αὐτὸν πονηρὸν καλεῖς, καὶ πονηρῶν ἔργων δημιουργόν. Ἀλλὰ μὴ δείσῃς· ἔχεις τοῦ δύγματος κοινωνοὺς τὸν διάβολον καὶ τοὺς ἀγγέλους τοὺς ἐκείνου, μᾶλλον δὲ οὐδὲ ἐκείνους· μὴ γὰρ, ἐπειδὴ σὲ τοιαῦτα ἀνέπεισαν μαίνεσθαι, καὶ αὐτοὺς οὕτω διακεῖσθαι νόμιζε. Ὅτι γὰρ ἴσασι τὸν Θεὸν ἀγαθὸν, ἄκουσον βοώντων αὐτῶν, νῦν μὲν, « Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· » νῦν δὲ, « Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας. » Ἔτ' οὖν παρθενίας μνησθήσεσθε καὶ ἐπὶ τῷ πράγματι φιλοτιμήσεσθε, ἀλλ' οὐκ ἀπελθόντες κλαύσετε ἑαυτοὺς καὶ θρηνήσετε τῆς ἀνοίας, δι' ἧς ὑμᾶς ὁ διάβολος ὥσπερ αἰχμαλώτους δήσας εἰς τὸ τῆς γεέννης εἵλκυσε πῦρ; Οὐχ ὡμίλησας γάμοις; ἀλλ' οὐδέπω τοῦτο παρθένος. Τὴν γὰρ κυρίαν τοῦ ὁμιλῆσαι γενομένην, εἶτα οὐχ ἑλομένην, ταύτην ἂν εἴποιμι παρθένον ἐγώ· ὅταν δὲ τῶν κεκωλυμένων τὸ πρᾶγμα εἶναι φῇς, οὐκέτι τῆς σῆς προαιρέσεως τὸ κατόρθωμα γίνεται, ἀλλὰ τῆς ἀνάγκης τοῦ νόμου. Διὰ τοῦτο Πέρσας μὲν μὴ μητρογαμοῦντας θαυμάζομεν, Ῥωμαίους δὲ οὐκέτι· ἐνταῦθα μὲν γὰρ ἅπασιν ἐφεξῆς βδελυρὸν τὸ πρᾶγμα εἶναι δοκεῖ, ἐκεῖ δὲ ἡ τῶν ταῦτα τολμώντων ἄδεια τοὺς τῶν τοιούτων ἀπεχομένους μίξεων ἐπαινεῖσθαι πεποίηκε. Κατὰ τὸν αὐτὸν δὴ λόγον καὶ ἐπὶ τοῦ γάμου τὴν ἐξέτασιν ποιεῖσθαι χρή. Ἡμεῖς μὲν γὰρ ἐπειδὴ τὸ πρᾶγμα πᾶσιν ἐφεῖται παρ' ἡμῖν, εἰκότως τοὺς μὴ γαμοῦντας θαυμάζομεν· ὑμεῖς δὲ εἰς τὴν τῶν χειρόνων αὐτὸ τάξιν ὦσαντες, οὐκέτ' ἂν δύναισθε τῶν ἀπὸ τοῦ πράγματος ἀντιποιεῖσθαι ἐπαίνων. Τὸ γὰρ τῶν ἀπηγορευμένων ἀπέχεσθαι, οὔπω γενναίας καὶ νεανικῆς ψυχῆς. Τελείας γὰρ ἀρετῆς οὐ τὸ ταῦτα

VIII. [*Virgini erga conjuges factum detrimento esse.*] Quid vero hoc ad me, inquit, quæ nuntium matrimonio remisi? Id enim, misera, id te perdidit, quod nihil tibi cum eo dogmate commune esse existimas. Itaque rem eam extremo contemtu prosequuta, et Dei sapientiæ contumeliam fecisti, et naturam rerum omnem criminata es. Nam si impurum matrimonium est, animantes etiam ex eo susceptæ impuræ omnes sunt, atque adeo et vos : neque enim dixerim hominum naturam. Quomodo igitur virgo est, si est impura? Nam altera hæc, imo et tertia excogitata vobis fœditas et impuritas est; ac quæ matrimonium velut flagitiosum refugitis, eo ipso quod refugitis, omnium estis flagitiosissimæ, virginitate stupro fœdiore inventa. Quonam igitur loco vos ponemus? cum Judæis? At non sustinebunt : nam et matrimonium colunt, et Dei creationem suspiciunt. An nobiscum? At Christum per Paulum dicentem audire noluistis, *Honorabile est matrimonium et torus immaculatus.* Reliquum est igitur ut cum gentibus porro consistatis. At illæ etiam vos ut se magis impios repellent. Nam Platonis (*Timæo p.* 29) sententia est, Bonum fuisse qui hoc omne molitus est, et, Bonum nullius rei erga quemquam invidia tangi. Tu vero malum ipsum appellas et malarum rerum creatorem. Verum ne extimesce : habes doctrinæ consortes diabolum ejusque angelos; imo nec eos quidem : neque enim, qui te in eum furorem induxerint, idem etiam sentire existimandi sunt. Nam scire eos Deum bonum esse, audi clamantes, nunc (*Marc.* 1. 24), *Scimus te qui sis, Sanctus Dei;* nunc (*Act.* 16. 17), *Hi homines servi Dei excelsi sunt, qui vobis viam salutis nuntiant.* Et adhuc virginitatem jactabilis, de eaque gloriabimini, ac non potius abeuntes vestram deplorabitis ac lugebitis amentiam, qua vos diabolus velut manu captos colligatos in gehennæ ignem trahit? Matrimonium non iniisti? at non id virginitas est; nam quæ cum integrum esset nubere detrectaverit, eam ego virginem dixerim : at cum ex interdictis esse dicas, non jam id recte factum tuis consiliis, sed legis necessitati tribuendum est. Quare Persas qui matres uxores non ducunt admiramur, Romanos non item : hic namque ad unum omnibus id exsecrandum videtur, illic impunitas ea designandi effecit, ut qui ab eo concubitu abstinerent laudarentur. Ad eumdem modum et de matrimonio habenda quæstio est. Nos enim, apud quos id omnibus permissum sit, merito eos qui matrimonium non contrahunt miramur : vos, qui id in malorum classem rejeceritis, nihil est quod laudem ex hac re capietis. Nam vetitis abstinere, id vero non est animi excelsi atque strenui : perfectæ enim virtutis est, non ea non committere, quæ si committamus apud omnes improbi habeamur,

μὴ πράττειν ἃ πράξαντες παρὰ πᾶσιν εἶναι δόξομεν κακοί, ἀλλὰ τὸ ἐν τούτοις εἶναι λαμπρούς, ἃ μήτε τοὺς οὐχ ἑλομένους ἀφίησι διὰ τοῦτο κακίζεσθαι, τούς τε ἑλομένους καὶ κατορθώσαντας οὐ μόνον τῆς τῶν φαύλων ἀπαλλάττει δόξης, ἀλλὰ καὶ εἰς τὴν τῶν ἀγαθῶν ἐγκρίνει τάξιν. Ὥσπερ γὰρ τοὺς εὐνούχους οὐδεὶς ἂν ἐπαινέσειεν εἰς παρθενίας λόγον, ὅτι μὴ γαμοῦσιν, οὕτως οὐδὲ ὑμᾶς. Ὃ γὰρ ἐκείνοις ἡ τῆς φύσεως ἀνάγκη, τοῦτο ὑμῖν ἡ τῆς πονηρᾶς συνειδήσεως πρόληψις γέγονε· καὶ καθάπερ τοὺς εὐνούχους ἡ τοῦ σώματος πήρωσις τῆς ἐπὶ τῷ πράγματι φιλοτιμίας ἐξέβαλεν, οὕτως ὑμᾶς ὁ διάβολος, τῆς φύσεως ὑμῖν ἀκεραίου μενούσης, τοὺς ὀρθοὺς περικόψας λογισμούς, καὶ οὕτως εἰς τὴν ἀνάγκην τοῦ μὴ γαμεῖν καταστήσας, κατατείνει μὲν τοῖς πόνοις, τιμᾶσθαι δὲ οὐκ ἀφίησι. Κωλύεις γαμεῖν; διὰ τοῦτο τοῦ μὴ γαμεῖν οὐ κείσεταί σοι μισθός, ἀλλὰ καὶ τιμωρία καὶ κόλασις.

Σὺ δέ, φησὶν, οὐ κωλύεις; Ἄπαγε, μήποτε τὰ αὐτά σοι μανείην. Πῶς οὖν, φησὶ, παρακαλεῖς μὴ γαμεῖν; Ὅτι πείθομαι πολλῷ τιμιωτέραν εἶναι τοῦ γάμου τὴν παρθενίαν· οὐ μὴν διὰ τοῦτο ἐν τοῖς πονηροῖς τὸν γάμον τίθεμαι, ἀλλὰ καὶ λίαν αὐτὸν ἐπαινῶ. Λιμὴν γάρ ἐστι σωφροσύνης τοῖς βουλομένοις αὐτῷ χρῆσθαι καλῶς, οὐκ ἀφεὶς ἀγριαίνειν τὴν φύσιν. Ἀντὶ γὰρ προβόλων προστήσας τὴν ἔννομον μῖξιν, καὶ ταύτῃ τὰ τῆς ἐπιθυμίας δεχόμενος κύματα, ἐν γαλήνῃ πολλῇ καθίστησιν ἡμᾶς καὶ διατηρεῖ. Ἀλλ' εἰσί τινες οἱ μὴ δεόμενοι ταύτης τῆς ἀσφαλείας, ἀλλ' ἀντὶ ταύτης νηστείαις, ἀγρυπνίαις, χαμευνίαις, τῇ λοιπῇ σκληραγωγίᾳ τιθασεύουσι τὴν τῆς φύσεως μανίαν· τούτοις παραινῶ μὴ γαμεῖν, οὐ κωλύων γαμεῖν. Πολὺ δὲ τούτου κἀκείνου τὸ μέσον, καὶ τοσοῦτον, ὅσον ἀνάγκης καὶ προαιρέσεως τὸ διάφορον. Ὁ μὲν γὰρ συμβουλεύων ἀφίησι τὸν ἀκούοντα κύριον εἶναι τῆς τῶν πραγμάτων αἱρέσεως, ὑπὲρ ὧν ποιεῖται τὴν συμβουλήν· ὁ δὲ κωλύων παραιρεῖται ταύτην τὴν ἐξουσίαν αὐτόν. Πρὸς τούτοις ἐγὼ μὲν παραινῶν οὐ κακίζω τὸ πρᾶγμα, οὐδὲ τοῦ μὴ πεισθέντος κατηγορῶ· σὺ δὲ διαβάλλων αὐτὸ καὶ φαῦλον εἶναι λέγων, καὶ τὴν τοῦ νομοθετοῦντος, ἀλλ' οὐ τὴν τοῦ συμβουλεύοντος τάξιν ἁρπάζων, εἰκότως τοὺς μὴ πειθομένους μισεῖς· ἀλλ' οὐκ ἐγὼ, ἀλλὰ θαυμάζω μὲν τοὺς εἰς τοῦτον ἀπογραψαμένους τὸν ἀγῶνα, οὐ κατηγορῶ δὲ τῶν ἔξω τῆς ἀθλήσεως μενόντων. Κατηγορία γὰρ τότε ἂν γένοιτο δικαίως, ὅταν τις πρὸς τὸ ὡμολογημένον ῥέψῃ κακόν· ὁ δὲ τὸ ἔλαττον μὲν ἔχων ἀγαθὸν, τοῦ μείζονος δὲ οὐκ ἐφικνούμενος, τοῦ μὲν ἐπαινεῖσθαι μετ' ἐκείνου καὶ θαυμάζεσθαι ἀπεστέρηται, κατηγορεῖσθαι δὲ οὐκ ἂν εἴη δίκαιος. Πῶς οὖν κωλύω γαμεῖν, τῶν γαμούντων μὴ κατηγορῶν; Πορνεύειν κωλύω καὶ μοιχεύειν, γαμεῖν δὲ οὐδέποτε· καὶ τοὺς μὲν ἐκεῖνα τολμῶντας κολάζω, καὶ τοῦ πληρώματος ἀπελαύνω τῆς Ἐκκλησίας, τοὺς δὲ τοῦτο ποιοῦντας, εἰ σωφρονοῦσι, καὶ ἐπαινῶν διατελῶ. Οὕτω γὰρ δύο γίνεται τὰ κέρδη, ἓν μὲν, τὸ μὴ διαβάλλειν

sed iis excellere, quæ neque eos qui detrectent, eo nomine culpari patiantur, et qui suscipiant ac perfungantur, non opinione improbitatis solum liberent, sed etiam bonis accenseant. Nam ut eunuchos de virginitate laudet nemo, qui matrimonium non contrahant, sic nec vos: cum quod illis naturæ necessitas, id vobis fit corruptæ conscientiæ anticipatio: ac quemadmodum eunuchos corporis vitium ejusce res gloria dejecit, ita vos diabolus, natura vobis salva permanente, sanis consiliis resectis, atque in necessitatem conjectos cælibatus, cum laboribus urget, tum laudari non sinit. Matrimonium vetas? eam ob rem tu et cælibatus mercedem non accipies, imo pœnas etiam ac supplicium lues.

IX. [*Ad virginitatem hortari, nequaquam ejus esse qui matrimonium vetet.*] Tu vero, inquit, non vetas? Apage ut tecum atque insaniam. Et qui, inquit, hortaris matrimonium non contrahere? Quod virginitatem matrimonio longe præstantiorem sentio: nec vero propterea matrimonium in malis pono, quin vehementer etiam laudo; est enim iis qui recte eo uti velint continentiæ portus, naturam efferari non permittens. Nam legitimo coitu, quasi scopulis quibusdam objectis ad excipiendos libidinis fluctus, nos in summa tranquillitate collocat ac tuetur. Verum sunt quibus nihil opus sit eo præsidio, sed ejus loco jejuniis, vigiliis, humi cubando, et reliqua id genus duritate, naturæ furorem cicurant: hos cohortor matrimonium non contrahere, non vetans matrimonium. Interest autem inter hoc et illud plurimum, quantum scilicet discrimen est inter necessitatem et optionem. Qui enim consulit, liberum relinquit auditori quæ consulat sequi: qui vetat, is ei facultatem eam præripit. Ad hæc qui cohortor, rem non improbo; nec qui se induci non patiatur accuso: tu qui id damnes ac vitiosum ducas, et legislatoris, non consiliarii personam arripias, merito eos qui non obediunt odisti; at non ego, sed cum eos admiror qui ad hoc certamen nomina dederint, tum qui extra maneant, non accuso. Nam accusatio demum justa sit, si quis quod haud dubie vitiosum sit, prosequatur: at qui minorem virtutem nactus, majorem non adeat, is quidem non cum fortiori laudandus et admirandus est, nec tamen ideo culpandus. Qui igitur conjugium veto, qui conjuges non accusem? Stupra veto et adulteria, matrimonium non item: et illa audentes castigo, atque ab Ecclesiæ cœtu proscribo; hoc vero qui faciant, dum modeste, assidue etiam laudo. Ita duplex lucrum fit: unum, quod Dei opificium non damnemus;

τοῦ Θεοῦ τὴν δημιουργίαν, δεύτερον δὲ, τὸ μὴ καθαιρεῖν τὸ τῆς παρθενίας ἀξίωμα, ἀλλὰ πολλῷ σεμνοτέραν ἀποφαίνειν αὐτήν.

Ὁ μὲν γὰρ τὸν γάμον κακίζων καὶ τὴν τῆς παρθενίας ὑποτέμνεται δόξαν· ὁ δὲ τοῦτον ἐπαινῶν μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα καὶ λαμπρότερον ποιεῖ. Τὸ μὲν γὰρ τῇ πρὸς τὸ χεῖρον παραθέσει φαινόμενον καλὸν οὐκ ἂν εἴη σφόδρα καλὸν, τὸ δὲ τῶν ὁμολογουμένων ἀγαθῶν ἄμεινον, τοῦτό ἐστι τὸ μεθ' ὑπερβολῆς καλόν· ὅπερ τὴν παρθενίαν ἀποδείκνυμεν οὖσαν ἡμεῖς. Ὥσπερ οὖν οἱ τὸν γάμον κακίζοντες τοῖς ταύτης ἐγκωμίοις λυμαίνονται, οὕτως ὁ διαβολῆς ἀπαλλάττων αὐτὸν, οὐ τοῦτον μᾶλλον ἀλλὰ τὴν παρθενίαν ἐπῄνεσε. Καὶ γὰρ ἐπὶ τῶν σωμάτων οὐχ ὅσα τῶν πεπηρωμένων, ἀλλ' ὅσα τῶν ἀρτίων καὶ μηδεμίαν λώβην ἐχόντων ἐστὶν ἀμείνω, ταῦτα ὡραῖα εἶναί φαμεν. Καλὸν ὁ γάμος· καὶ διὰ τοῦτο ἡ παρθενία θαυμαστὸν, ὅτι καλοῦ κρεῖττόν ἐστι, καὶ τοσούτῳ κρεῖττον, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης, καὶ τῶν στρατιωτῶν ὁ στρατηγός. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ πλοίου τοὺς ἐρέττοντας ἂν ἀφέλῃς, τὸ σκάφος κατέδυσας, καὶ ἐπὶ πολέμου τοὺς στρατιώτας ἐὰν ἀποστήσῃς, παρέδωκας δεδεμένον τοῖς πολεμίοις τὸν στρατηγόν· οὕτω καὶ ἐνταῦθα ἂν τῆς ἀρίστης τάξεως ἐκβάλῃς τὸν γάμον, τῆς παρθενίας τὴν δόξαν προύδωκας, καὶ εἰς ἔσχατον ἤγαγες κακόν. Καλὸν ἡ παρθενία· σύμφημι κἀγώ· ἀλλὰ καὶ τοῦ γάμου κρεῖττον· καὶ τοῦτο συνομολογῶ. Καὶ εἰ βούλει, καὶ τὸ ὅσῳ κρείττων προστίθημι· ὅσον τῆς γῆς ὁ οὐρανὸς, ὅσον τῶν ἀνθρώπων οἱ ἄγγελοι· εἰ δὲ χρή τι καὶ βιασάμενον εἰπεῖν, καὶ πλέον. Ἄγγελοι μὲν γὰρ, εἰ καὶ μὴ γαμοῦσι μηδὲ ἐκγαμίζονται, ἀλλ' οὐκ εἰσὶ συμπεπλεγμένοι σαρκὶ καὶ αἵματι, οὐδὲ ἐπὶ τῆς γῆς ἔχουσι τὰς διατριβὰς, οὐδὲ ὄχλου ἐπιθυμιῶν ἀνέχονται, οὐδὲ σίτου δέονται καὶ ποτοῦ, οὐδὲ μέλος αὐτοὺς ἡδὺ μαλάξαι δύναιτ' ἂν, οὐδὲ ὄψις ἐπικάμψαι λαμπρὰ, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ καθάπερ τὸν οὐρανὸν ἐν μεσημβρίᾳ σταθερᾷ, μηδενὸς ἐνοχλοῦντος νέφους, ἔστιν ἰδεῖν καθαρὸν, οὕτω καὶ τὰς ἐκείνων φύσεις, οὐδεμιᾶς ἐνοχλούσης ἐπιθυμίας, μένειν ἀνάγκη διαυγεῖς καὶ λαμπράς.

Τὸ δὲ τῶν ἀνθρώπων γένος τῶν μακαρίων ἐκείνων τῇ φύσει λειπόμενον βιάζεται τὴν οἰκείαν ἰσχὺν, καὶ φιλονεικεῖ διὰ τῆς σπουδῆς κατὰ δύναμιν ἐξισωθῆναι ἐκείνοις. Πῶς οὖν; Οὐ γαμοῦσιν οὐδὲ γαμίζονται ἄγγελοι· ἀλλ' οὐδὲ ἡ παρθένος. Παρεστήκασι διαπαντὸς καὶ λειτουργοῦσι τῷ Θεῷ· τοῦτο καὶ ἡ παρθένος. Διὸ καὶ Παῦλος αὐτὰς πάντων ἀπέστησε τῶν φροντίδων, διὰ τὸ εὐπρόσεδρον καὶ ἀπερίσπαστον. Εἰ δὲ μὴ δύναιντο εἰς τὸν οὐρανὸν ἀναβῆναι τέως, καθάπερ ἐκεῖνοι, τῆς σαρκὸς καθελκούσης αὐτὰς, ἀλλὰ καὶ ἐν τούτῳ πολλὴν ἔχουσι τὴν παραμυθίαν, αὐτὸν τὸν τῶν οὐρανῶν ὑποδεχόμεναι Δεσπότην, ἂν ὦσιν ἅγιαι τῷ σώματι καὶ τῷ πνεύματι. Εἶδες τῆς παρθενίας τὸ ἀξίωμα; τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας τοῖς ἐν οὐρα-

alterum, quod non solum virginitas dignitate sua non dispolietur, sed multo etiam illustrior declaretur.

X. [*Qui matrimonium damnet, eum virginitatem etiam lædere.*] Etenim qui matrimonium damnat, is virginitatis etiam gloriam carpit; qui laudat, is virginitatem admirabiliorem augustioremque reddit. Nam quod deterioris comparatione bonum videtur, id haud sane admodum bonum est; quod autem omnium sententia bonis melius, id excellens bonum est: cujusmodi nos virginitatem esse docemus. Quare ut qui matrimonium damnant, hujus encomiis detrahunt, ita qui id a crimine liberat, non tam id, quam virginitatem laudat. Nam et corpora, non quæ mutilis, sed quæ integris et vitio nullo præditis excellant, ea pulchra dicimus. Bonum est matrimonium; propterea admiranda virginitas est, quæ bono melior sit, eoque melior, quo nautis gubernator, et militibus dux. Sed quemadmodum subductis e navi remigibus navim demergas, et militibus ex acie semotis ducem hostibus vinctum tradas: ita et hic, si matrimonium de honorifico gradu dejicias, virginitatis laudem prodis, atque ad extremum malum redigis. Bonum est virginitas; et ego consentio; ac matrimonio etiam melior; et hoc confiteor. Et si placet, quanto etiam melior sit addam: quanto cœlum terra, quanto hominibus angeli. Imo ut fortius aliquid dicam, etiam amplius. Nam angeli etsi nec ducunt uxores, nec ducuntur, at non sunt carne et sanguine coagmentati, non in terris commorantur, non libidinum æstus sentiunt, non cibi aut potus indigent, non suavi cantu deliniri, non liberali forma, aut alio ejus generis ullo flecti possunt; sed sicut summo meridie cælum, nulla affectum nube, purum spectatur, ita et illorum naturæ, a libidine quietæ, illustres ac perlucidæ maneant oportet.

XI. [*Virginitatem eos, qui illam vere persequantur, angelos ex hominibus efficere.*] Humanum autem genus natura beatis illis concedens, vires suas urget, cum iisque pro virili æquari summa ope nititur. Quo pacto? Nec ducunt uxores angeli, nec ducuntur. At nec virgo. Assistunt perpetuo ac ministrant Deo. Itidem et virgo. Quare etiam Paulus eas ab omni sollicitudine arcet, ut (1 *Cor.* 7. 35) assiduæ sint et indivulsæ. Si, ut illi, in cælum hinc ascendere non possunt, carne eas deprimente, at hic quoque insignem habent consolationem, quæ ipsum cæli Dominum excipiant, si quidem sint corpore atque spiritu sanctæ. Viden' virginitatis decus? eorum qui in terris degunt cum

νοῖς διαιτωμένοις ὁμοίως πολιτεύεσθαι ποιεῖ, τοὺς σώματα περικειμένους τῶν ἀσωμάτων οὐκ ἀφίησι λείπεσθαι δυνάμεων, ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον. Ἀλλ' οὐδὲν τούτων πρὸς ὑμᾶς τοὺς τοσοῦτο πρᾶγμα λυμαινομένους, καὶ τὸν Δεσπότην διαβάλλοντας καὶ πονηρὸν ἀποκαλοῦντας. Ἡ γὰρ τοῦ πονηροῦ δούλου κόλασις ὑμᾶς ἐκδέχεται· ταῖς δὲ τῆς Ἐκκλησίας παρθένοις ἀπαντήσεται τὰ πολλὰ καὶ μεγάλα ἀγαθὰ, καὶ ὀφθαλμὸν καὶ ἀκοὴν καὶ διάνοιαν ὑπερβαίνοντα τὴν ἀνθρωπίνην. Διόπερ ἐκείνους ἀφέντες (καὶ γὰρ τῶν πρὸς αὐτοὺς εἰρημένων ἄλις) τοῖς τέκνοις τῆς Ἐκκλησίας διαλεξώμεθα λοιπόν.

Πόθεν οὖν ἄρξασθαι τοῦ λόγου καλόν; Ἀπ' αὐτῶν τῶν τοῦ Κυρίου ῥημάτων, ὧν διὰ τοῦ μακαρίου φθέγγεται Παύλου· τὴν γὰρ τούτου παραίνεσιν τοῦ Κυρίου παραίνεσιν εἶναι πιστεύειν χρή. Καὶ γὰρ ὅταν λέγῃ, « Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος· » καὶ πάλιν, « Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος, » οὐχ ὡς ἑτέρων μὲν ὄντων τῶν αὐτοῦ, ἑτέρων δὲ τῶν τοῦ Κυρίου, ταῦτά φησιν. Ὁ γὰρ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, ὁ μηδὲ ζῆν σπουδάζων, ὥστε τὸν Χριστὸν ἐν ἑαυτῷ ζῆν, ὁ καὶ βασιλείαν, καὶ ζωὴν, καὶ ἀγγέλους, καὶ δυνάμεις, καὶ κτίσιν ἑτέραν, καὶ πάντα ἁπλῶς δεύτερα τῆς ἀγάπης αὐτοῦ τιθέμενος, πῶς ἂν ἢ φθέγξασθαι ἢ καὶ ἐννοῆσαί τι τῶν οὐ δοκούντων ἡνέσχετο τῷ Χριστῷ, καὶ ταῦτα νομοθετῶν; Τί ποτ' οὖν ἐστιν ὃ λέγει, Ἐγὼ, καὶ, Οὐκ ἐγώ; Τῶν νόμων καὶ τῶν δογμάτων τοὺς μὲν δι' ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν ἀποστόλων ἔδωκεν ἡμῖν ὁ Χριστός. Ὅτι γὰρ οὐ πάντας αὐτὸς δι' ἑαυτοῦ τέθεικεν, ἄκουσον τί φησι· « Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. » Περὶ μὲν οὖν τοῦ γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι, προλαβὼν αὐτὸς ἐνομοθέτησεν ἡνίκα ἐν σαρκὶ ἐπὶ τῆς γῆς ἦν· καὶ διὰ τοῦτό φησι, « Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος. » Τῶν δὲ ἀπίστων ἕνεκεν αὐτὸς μὲν ἡμῖν οὐδὲν εἶπε δι' ἑαυτοῦ, τὴν δὲ τοῦ Παύλου πρὸς τοῦτο κινήσας ψυχὴν ἐνομοθέτει λέγων, « Εἴ τις ἔχει γυναῖκα ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. » Διὰ τοῦτο οὖν ἔλεγεν, « Οὐχ ὁ Κύριος, ἀλλ' ἐγὼ λέγω· » οὐ τοῦτο δεῖξαι βουλόμενος, ὅτι ἀνθρώπινον ἦν τὸ λεγόμενον· πῶς γάρ; ἀλλ' ὅτι τὴν ἐντολὴν ταύτην οὐχ ἡνίκα παρῆν τοῖς μαθηταῖς ἔδωκεν, ἀλλὰ νῦν δι' αὐτοῦ. Ὥσπερ οὖν τὸ « Ὁ Κύριος, οὐκ ἐγὼ, » οὐκ ἔστιν ἐναντιούμενον τῷ προστάγματι τοῦ Χριστοῦ, οὕτως τὸ « Ἐγὼ, οὐχ ὁ Κύριος », οὐκ ἴδιόν τι παρὰ τὸ τῷ Θεῷ δοκοῦν λέγοντος, ἀλλὰ τοῦτο μόνον δεικνύντος, δι' αὐτοῦ νῦν διδομένην τὴν ἐντολήν. Καὶ γὰρ περὶ τῆς ἐν χηρείᾳ διαλεγόμενος, « Μακαριωτέρα ἐστὶ, φησὶν, ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· » εἶτα ἵνα μὴ « τὴν ἐμὴν γνώμην » ἀκούσας ἀνθρώπινον εἶναι νομίσῃς τὸν λογισμὸν, τῇ προσθήκῃ τὴν ὑποψίαν ἐξέκοψεν εἰπὼν,

cœlitibus vitæ similitudinem molitur, corpore vestitos vinci ab incorporeis Virtutibus non permittit, mortales angelorum æmulos reddit. Sed nihil hoc ad vos, qui et rem tantam corrumpatis, et Dominum culpetis, malumque nominetis: etenim vos improbi servi supplicium manet. Ecclesiæ virginibus multa filia ac magna obvenient bona, quæ et oculos et aures et humanam cogitationem superent. Itaque iis dimissis (satis est enim jam cum iis verborum) ad Ecclesiæ filios sermonem conferamus.

XII. [*Paulum qui dicat* Reliquis dico ego, non Dominus, *humanum id consilium esse non significare.*] Unde igitur præstat orationem exordiri? Ab iis Domini verbis, quæ per beatum Paulum profatur: nam hujus cohortationem Domini cohortationem esse credendum est. Cum enim dicit (1 *Cor.* 7. 10), *Conjugibus autem præcipio, non ego, sed Dominus*: et rursum (*ib.* 12), *Cæteris ego dico, non Dominus;* non id dicit, alia sua esse, alia Domini. Nam qui loquentem in se Christum haberet, qui nec vivere satageret, ut in se Christus viveret, qui regnum, vitam, angelos, Potestates, omnemque creaturam aliam, atque omnino omnia ejus amori postponeret, quo pacto aut eloqui aut cogitare aliquid in animum induxisset, quod Christo non esset placitum, præsertim cum legem conderet? Quid est ergo quod dicit, *Ego, Non ego?* Leges nobis ac dogmata partim per se Christus, partim per apostolos prodidit. Nam non omnia eum per se statuisse, audi quid dicat (*Joan.* 16. 21): *Multa habeo vobis dicere, sed non potestis portare modo.* Itaque illud, *Uxor a viro ne discedat,* jam ante sanxerat, cum in terris carne indutus degeret: ideoque dicit, *Conjugibus autem præcipio, non ego, sed Dominus.* Quod ad infideles attineret, præsens nihil edixerat, sed ad id Pauli mentem incitans legem ferebat, dicens (1. *Cor.* 7. 12. 13), *Si quis uxorem habet infidelem, et hæc consentit habitare cum illo, non dimittat illam; et si qua mulier fidelis habet virum infidelem, et hic consentit habitare cum illa, non dimittat virum.* Itaque, *Non Dominus,* inquit, *sed ego dico:* non qui significatum vellet, humanum esse quod diceretur: nihil minus; sed præceptum id ab eo præsente discipulis proditum non esse, sed nunc demum per se. Quare ut illud, *Dominus, non ego,* haud ejus est qui Christi jusso adversetur: ita hoc, *Ego, non Dominus,* non privatum quiddam et præter Dei mentem edicentis est, sed hoc solum indicantis, per se præceptum id nunc prodi. Nam de vidua loquens, *Beatior est,* inquit (*ibid.* 40), *si sic permanserit, secundum meum consilium;* ac ne audiens, *Secundum meum consilium,* humanum commentum crederes, su-

« Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν. » Ὥσπερ οὖν τὰ τοῦ πνεύματος φθεγγόμενος, ἑαυτοῦ λέγει γνώμην εἶναι, καὶ οὐ διὰ τοῦτο φήσομεν ἀνθρωπίνην εἶναι τὴν ἀπόφασιν· οὕτω καὶ νῦν, ὅταν εἴπῃ « Ἐγὼ λέγω, οὐχ ὁ Κύριος », μὴ διὰ τοῦτο Παύλου νομίσῃς εἶναι τὸν λόγον. Τὸν γὰρ Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα, καὶ οὐκ ἂν ἐτόλμησεν ἐν ἀποφάσει δόγμα θεῖναι τοσοῦτον, εἰ μὴ τὸν νόμον ἡμῖν ἐκεῖθεν ἔφερεν. Εἶπε γὰρ ἄν τις πρὸς αὐτόν· Οὐκ ἀνέχομαι εἶναι μετὰ τῆς ἀπίστου πιστὸς ὢν αὐτὸς, μετὰ τῆς ἐναγοῦς ὁ καθαρός· αὐτὸς προλαβὼν εἶπες ὅτι σὺ ταῦτα λέγεις, οὐχ ὁ Κύριος· πόθεν οὖν μοι τὸ ἀσφαλὲς καὶ τὸ βέβαιον; Ἀλλ' εἶπεν ἂν πρὸς αὐτὸν ὁ Παῦλος· Μὴ δείσῃς, διὰ γὰρ τοῦτο εἶπον, ὅτι τὸν Χριστὸν ἔχω λαλοῦντα ἐν ἐμαυτῷ, καὶ ὅτι δοκῶ πνεῦμα ἔχειν Θεοῦ, ἵνα μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς εἶναι τῶν λεγομένων. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν τοσαύτην ἔδωκα τοῖς ἐμοῖς λογισμοῖς τὴν ἐξουσίαν. « Λογισμοὶ γὰρ θνητῶν δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. » Δείκνυσι δὲ καὶ ἡ πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησία τοῦ νόμου τὴν ἰσχὺν μετὰ ἀκριβείας αὐτὸν φυλάττουσα, οὐκ ἂν φυλάξασα, εἰ μὴ πέπιστο ἀκριβῶς εἶναι Χριστοῦ πρόσταγμα τὸ λεχθέν. Τί οὖν ὁ Παῦλος ἐνηχούμενος ὑπὸ τοῦ Κυρίου φησί; « Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. » Ἀποδείξαιτο ἄν τις ἐνταῦθα τοὺς Κορινθίους, ὅτι μηδεμίαν ποτὲ παρὰ τοῦ διδασκάλου δεξάμενοι συμβουλὴν περὶ παρθενίας, αὐτοὶ φθάσαντες ἐρωτῶσιν αὐτὸν, ἐντεῦθεν ἤδη δεικνύντες τὴν ἀπὸ τῆς χάριτος ἐπίδοσιν γενομένην αὐτοῖς· ἀπὸ γὰρ τῆς παλαιᾶς Διαθήκης οὐκ ἦν τὸ πρᾶγμα ἀμφίβολον· οὐ γὰρ μόνον οἱ λοιποὶ πάντες, ἀλλὰ καὶ Λευῖται καὶ ἀρχιερεῖς καὶ αὐτὸς ὁ μέγας ἀρχιερεὺς πολλὴν ἐποιεῖτο τοῦ γάμου σπουδήν.

Πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν; Εἶδον τοῦτο ὀξέως ἐκεῖνοι καὶ καλῶς, ὅτι μείζονος αὐτοῖς ἔδει τῆς ἀρετῆς, ἐπειδὴ καὶ μείζονος ἠξιώθησαν τῆς δωρεᾶς. Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο, διὰ τί μηδέποτε αὐτοῖς ταύτην εἰσηγήσατο τὴν συμβουλήν. Οὐ γὰρ ἂν, εἴ γε ἤκουσάν τι τοιοῦτον, πάλιν ἂν ἔγραψαν ὑπὲρ τῶν τοιούτων αὖθις ἐρωτῶντες. Καὶ γὰρ καὶ ἐνταῦθα τὸ βάθος τῆς σοφίας ἔστι τοῦ Παύλου κατανοῆσαι. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ παρῆκε πράγματος τοσούτου παραίνεσιν, ἀλλ' ἀνέμενε πρώτους αὐτοὺς εἰς ἐπιθυμίαν ἐλθεῖν, καὶ ἔννοιάν τινα περὶ τοῦ πράγματος τούτου λαβεῖν, ἵν' ὠκειωμένας αὐτῶν ἤδη τῇ παρθενίᾳ λαβὼν τὰς ψυχὰς, χρησίμως τοὺς περὶ τούτων κατασπείρῃ λόγους, τῆς τῶν ἀκουόντων περὶ τὸ πρᾶγμα σχέσεως πολλὴν εὐκολίαν πρὸς τὴν τῆς παραινέσεως ὑποδοχὴν παρεχούσης· καὶ ἄλλως δὲ τὸ τοῦ πράγματος δείκνυσι μέγεθος καὶ τὸν ὄγκον πολύν. Οὐδὲ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, τὴν ἐκείνων ἂν περιέμενε προθυμίαν, ἀλλὰ προλαβὼν αὐτὸς ἂν εἰσηγήσατο, εἰ καὶ μὴ ὡς ἐπίταγμα, μηδὲ ὡς ἐντολὴν, ἀλλ' ὡς παραίνεσιν καὶ συμβουλήν. Ὁ δὲ μηδὲ τοῦτο ἀνασχόμενος ποιῆσαι πρῶτος,

spicionem additamento eo sustulit, *Puto autem quod et ego spiritum Dei habeam.* Itaque ut quæ spiritus esset eloquens, suam sententiam vocat, nec propterea humanum scitum dicemus: ita et nunc cum inquit, *Ego dico, non Dominus*, ne mihi idcirco Pauli sermonem esse existimes: habebat quippe loquentem in se Christum; neque ausus fuisset cum asseveratione tantum dogma ponere, nisi ab illo legem petisset. Ita enim cum eo quispiam loquutus fuisset: Non sustineo qui fidelis sim cum infideli, qui purus cum impura degere; tute jam dicebas, haec te dicere, non Dominum: unde igitur mihi pignus atque fidem? At dixisset ei Paulus: Ne verearis; ideo enim dixi, habere me loquentem in me Christum, et videri me quoque divinum habere spiritum, ne quid eorum quæ dixissem humanum suspicarere. Nisi enim ita esset, numquam eam auctoritatem meis cogitationibus tribuissem. (*Sapient.* 9. 14) *Cogitationes enim mortalium timidæ, et incertæ providentiæ eorum.* Jam vero etiam orbis terrarum Ecclesia vim legis demonstrat, eam accurate servans, haudquaquam servatura, nisi explorate cognosceret, id dictum Christi esse mandatum. Quid igitur Paulus Domini instinctu incilatus dicit? (1 *Cor.* 7. 1) *De quibus autem mihi scripsistis, bonum est homini mulierem non tangere.* Hic approbandi sunt Corinthii, qui nullo accepto a præceptore consilio de virginitate, ipsi quærere antevertant, hinc jam ostendentes gratiæ opera factam ipsis fuisse accessionem. Nam ex veteri Testamento res dubia non erat, non solum reliquis omnibus, sed Levitis etiam et pontificibus, atque ipso pontifice maximo, matrimonio in primis operam dantibus.

XIII. [*Cur ad eum de virginitate Corinthii scripserint, nec ipse eos prior cohortatus sit.*] Unde igitur in eam quæstionem venerunt? Acute id ac præclare viderunt, majori sibi virtute opus esse, qui majus donum accepissent. Illud etiam animadversione dignum est, cur id eis consilium non exposuerit; neque enim, si quid ejusmodi audissent, iterum ex eo per literas idem quæsivissent. Nam et hic admirabilem Pauli sapientiam cognoscere est. Neque enim temere ac sine causa rem tantam monere omisit, sed sustinuit dum ipsi prius aliquam ejus notitiam consequuti in cupiditatem venirent, ut eorum animos nactus jam virginitati deditos, utiliter hisce de rebus sermones sereret, auditorum in rem studio ingens adjumentum ad cohortationis admissionem præstante: et alioqui rei magnitudinem atque insignem gravitatem ostendit. Nam ni ita esset, non expectato eorum studio, ipse id prior, si non ut jussum ac præceptum, at certe ut cohortationem atque consilium prodidisset.

φανερὸν ἡμῖν κατέστησεν, ὅτι πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ παρθενία δεῖται τῆς ἀγωνίας· καὶ ἐνταῦθα δὲ τὸν κοινὸν ἡμῶν Δεσπότην μιμούμενος, οὕτως ἐποίησε. Καὶ γὰρ ἐκεῖνος τότε διελέχθη περὶ τῆς παρθενίας, ὅτε αὐτὸν οἱ μαθηταὶ ἤροντο. Εἰπόντων γὰρ, « Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, συμφέρει μὴ γαμῆσαι· » τότε ἔφησεν, « Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. » Ὅταν γὰρ μέγα ᾖ τὸ κατορθούμενον, καὶ διὰ τοῦτο μηδὲ εἰς ἐντολῆς ἀνάγκην καταχλείηται, τότε τῶν μελλόντων κατορθοῦν τὴν προθυμίαν ἀναμένειν χρὴ, ἑτέρῳ τινὶ τρόπῳ καὶ ἀνυπόπτως τὸ θελῆσαι καὶ βουληθῆναι κατασκευάζοντας ἐν αὐτοῖς· ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησεν. Οὐ γὰρ ἀπὸ τῶν περὶ παρθενίας λόγων εἰς τὴν τῆς παρθενίας αὐτοὺς ἐπιθυμίαν ἐνέβαλεν, ἀλλὰ περὶ τοῦ γάμου μόνον διαλεχθεὶς, καὶ τὸ βάρος τοῦ πράγματος δείξας, καὶ μέχρι τούτου στήσας τὸν λόγον, οὕτω σοφῶς ᾠκονόμησεν, ὡς τοὺς μηδὲν περὶ τοῦ μὴ γαμεῖν ἀκούσαντας αὐτοὺς ἀφ' ἑαυτῶν εἰπεῖν ὅτι συμφέρει μὴ γαμεῖν. Διὰ τοῦτο οὖν καὶ ὁ Παῦλος ἔλεγεν, ὁ τοῦ Χριστοῦ μιμητὴς, « Περὶ δὲ ὧν ἐγράψατέ μοι », μονονοὺχ ἀπολογούμενος αὐτοῖς διὰ τούτων, καὶ λέγων ὅτι Ἐγὼ μὲν ἐπὶ τὴν ὑψηλὴν ταύτην κορυφὴν οὐκ ἐτόλμων ὑμᾶς ἀγαγεῖν, διὰ τὸ τοῦ πράγματος δυσκατόρθωτον· ἐπειδὴ δὲ αὐτοὶ φθάσαντες ἐγράψατέ μοι, μετὰ τοῦ θαῤῥεῖν ποιοῦμαι τὴν συμβουλήν. Διὰ τί γὰρ ὑπὲρ πολλῶν γραψάντων ἐκείνων οὐδαμοῦ τοῦτο προσέθηκε; Δι' οὐδὲν ἕτερον ἢ διὰ τοῦτο ὅπερ εἶπον νῦν· ἵνα γὰρ μή τις δυσχεράνῃ τὴν παραίνεσιν, τῶν γραμμάτων αὐτούς, ὧν ἔπεμψαν, ὑπομιμνήσκει· καὶ οὐδὲ οὕτω μετὰ σφοδρότητος κέχρηται τῇ παραινέσει, καὶ ταῦτα τοσαύτην λαβὼν ἀφορμὴν, ἀλλὰ καὶ ἄγαν ὑφειμένως, κἂν τούτῳ μιμούμενος τὸν Χριστόν. Καὶ γὰρ ὁ Σωτὴρ μετὰ τὸ πληρῶσαι τὸν περὶ τῆς παρθενίας λόγον, προσέθηκεν « Ὁ δυνάμενος χωρεῖν χωρείτω. » Τί οὖν φησι; « Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. »

Ἀλλ' ἴσως εἴποι τις ἄν, Καὶ εἰ καλὸν γυναικὸς μὴ ἅπτεσθαι, τίνος ἕνεκεν γάμος ἐπεισῆλθε τῷ βίῳ; ποῦ δὲ λοιπὸν χρησόμεθα τῇ γυναικὶ, μήτε εἰς γάμον, μήτε εἰς παιδοποιίαν ἡμῖν χρησιμευούσῃ; τί δὲ κωλύσει τὸ τῶν ἀνθρώπων ἅπαν ἀφανισθῆναι γένος, τοῦ μὲν θανάτου καθ' ἑκάστην αὐτὸ τὴν ἡμέραν ἐπινεμομένου καὶ κόπτοντος, τοῦ δὲ λόγου τούτου οὐκ ἐῶντος ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀνίστασθαι; Εἰ γὰρ τὸ καλὸν τοῦτο ζηλώσαιμεν ἅπαντες, καὶ μὴ ἁψαίμεθα γυναικῶν, πάντα οἰχήσεται, καὶ πόλεις, καὶ οἰκίαι, καὶ ἀγροὶ, καὶ τέχναι, καὶ ζῶα, καὶ φυτά. Καθάπερ γὰρ τοῦ στρατηγοῦ πεσόντος πᾶσα ἀνάγκη τοῦ στρατεύματος διασπασθῆναι τὴν εὐταξίαν, οὕτω τοῦ πάντων τῶν ἐπὶ γῆς βασιλεύοντος ἀνθρώπου διὰ τοῦ μὴ γαμεῖν ἀφανισθέντος, οὐδὲν τῶν λοιπῶν ἐπὶ τῆς αὐτῆς ἀσφαλείας καὶ εὐταξίας διαμενεῖ, καὶ τὸ καλὸν τοῦτο παράγγελμα

Nunc qui neque id prior facere animum induxerit, evidens nobis fecit, egere virginitatem multi sudoris contentionisque permagnæ. Atque id hic communem nostrum Dominum imitatus fecit, qui de virginitate tum disseruit, cum eum discipuli rogarunt. Nam cum dixissent (*Matth.* 19. 10. 12), *Si ea est viri cum uxore conditio, expedit matrimonium non contrahere*, respondit, *Sunt eunuchi, qui se ipsos propter cœleste regnum castrarunt.* Ubi enim ingens est recte factum, atque ideo nec sub præcepti necessitate concluditur, exspectandum est desiderium eorum qui eo perfuncturi sunt, et alia quadam ratione nec suspecta animus iis atque studium est parandum : quod quidem et Christus fecit. Neque enim eos ulla de virginitate disputatione in virginitatis studium conjecit, sed de matrimonio solum loquutus, in ejusque difficultate commonstranda hærens ac conquiescens, rem adeo prudenter moderatus est, ut qui de non contrahendo matrimonio nihil audissent, sua sponte dicerent, *Expedit matrimonium non contrahere.* Atque ideo etiam Paulus, Christi imitator, *De quibus autem*, inquit, *mihi scripsistis :* velut se iis verbis in hanc sententiam purgans : Equidem vos ad sublime hoc fastigium propter rei difficultatem adducere non audebam ; nunc vero cum priores ipsi ad me scripseritis, fidens demum consulo. Cur enim, cum multis de rebus scripserunt, nusquam id adjecit? Nulla alia de causa, quam ea, quam nunc dixi : ne quis enim cohortationem inique acciperet, literas eis, quas misissent, ad memoriam revocat. Ac ne sic quidem occasionem eam nactus vehementiorem adhibet admonitionem, sed admodum benignam, in eo etiam Christum imitatus : nam Servator absoluto sermone de virginitate addidit (*Matth.* 19. 12), *Qui potest capere, capiat.* Quid igitur ait? *De quibus autem mihi scripsistis, bonum est homini mulierem non tangere.*

XIV. [*Objectio eorum qui virginitatem ejiciunt, et solutio.*] Sed fortasse dicat aliquis : At si præstet mulierem non tangere, qua de causa in vitam invasit matrimonium? quorsum autem muliere utemur, quæ neque ad matrimonium, neque ad liberorum procreationem serviat? quid vero prohibebit omne hominum genus deleri, cum et mors id quotidie depascat ac concidat, et ea sententia alios in defunctorum locum restituere non permittat? Nam si bonum id universi consectemur, nec mulieres attingamus, omnia dilabentur, et urbes, et domus, et agri, et artes, et animantes, et stirpes. Ut enim prostrato imperatore cogit necessitas omnem exercitus ordinem dissipari : sic homine, terrestrium omnium rege, matrimonii defectu, exstincto, cæterorum nihil incolumitatem suam ordinemque tuebitur ;

μυρίων ἐμπλήσει τὴν οἰκουμένην κακῶν. Ἐγὼ δέ, εἰ μὲν τῶν ἐχθρῶν καὶ ἀπίστων ἦν ταυτὶ μόνον τὰ ῥήματα, βραχὺν ἂν αὐτῶν ἐποιησάμην λόγον· ἐπειδὴ δὲ καὶ τῶν εἰς τὴν Ἐκκλησίαν δοκούντων συντελεῖν πολλοὶ ταῦτα φθέγγονται, δι' ἀσθένειαν μὲν προαιρέσεως ἀπολειφθέντες τῶν ὑπὲρ τῆς παρθενίας ἱδρώτων, τῷ δὲ τὸ πρᾶγμα κακίζειν καὶ περιττὸν ἀποφαίνειν βουλόμενοι συσκιάζειν τὴν ἑαυτῶν ῥᾳθυμίαν, ἵνα μὴ δοκῶσι δι' ὀλιγωρίαν, ἀλλὰ διὰ κρίσιν ὀρθὴν λογισμῶν, τῶν ἀγώνων ὑστερηκέναι τούτων, φέρε, τοὺς ἐχθροὺς ἀφέντες (« Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος »), τοὺς προσποιουμένους εἶναι μεθ' ἡμῶν διδάξωμεν ἀμφότερα, ὡς οὔτε τὸ πρᾶγμα περιττὸν, ἀλλὰ καὶ σφόδρα χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν, οὔτε αὐτοῖς ἀζήμιος ἡ τοιαύτη κατηγορία, ἀλλὰ τοσοῦτον αὐτοῖς οἵσει τὸν κίνδυνον, ὅσον τοῖς κατορθοῦσι τὸν μισθὸν καὶ τὸν ἔπαινον. Ἐπειδὴ γὰρ ὁ σύμπας οὗτος κόσμος ἀπήρτιστο, καὶ πάντα ηὐτρέπιστο τὰ πρὸς ἀνάπαυσιν καὶ χρῆσιν τὴν ἡμετέραν, ἔπλασε τὸν ἄνθρωπον ὁ Θεὸς, δι' ὃν καὶ τὸν κόσμον ἐποίησε. Πλασθεὶς δὲ ἐκεῖνος ἔμεινεν ἐν παραδείσῳ, καὶ γάμου λόγος οὐδεὶς ἦν. Ἐδέησεν αὐτῷ γενέσθαι καὶ βοηθὸν, καὶ ἐγένετο· καὶ οὐδὲ οὕτως ὁ γάμος ἀναγκαῖος εἶναι ἐδόκει. Ἀλλ' οὐδὲ ἐφαίνετό πω, ἀλλ' ἔμενον ἐκεῖνοι τούτου χωρὶς καθάπερ ἐν οὐρανῷ τῷ παραδείσῳ διαιτώμενοι, καὶ ἐντρυφῶντες τῇ πρὸς Θεὸν ὁμιλίᾳ· μίξεως δὲ ἐπιθυμία καὶ σύλληψις καὶ ὠδῖνες καὶ τόκοι καὶ πᾶν εἶδος φθορᾶς ἐξώριστο τῆς ἐκείνων ψυχῆς· ὥσπερ δὲ ῥεῖθρον διειδὲς ἐκ καθαρᾶς πηγῆς προϊὸν, οὕτως ἦσαν ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ παρθενίᾳ κοσμούμενοι. Καὶ πᾶσα τότε ἡ γῆ ἔρημος ἦν ἀνθρώπων, τοῦτο ὃ νῦν διδοίκασιν οὗτοι οἱ τῆς οἰκουμένης μεριμνηταὶ, οἱ τὰ μὲν ἑτέρων σπουδαίως μεριμνῶντες, τὰ δὲ ἑαυτῶν οὐδὲ ἔννοιαν ἀνεχόμενοι, καὶ ὑπὲρ μὲν τοῦ κοινοῦ τῶν ἀνθρώπων διδοικότες γένους μή ποτε ἐπιλείπῃ, τῆς δὲ ἰδίας ἕκαστος ὡς ἀλλοτρίας οὕτως ἀμελοῦντες ψυχῆς, καὶ ταῦτα μέλλοντες ὑπὲρ μὲν ταύτης καὶ τῶν μικροτάτων ἕνεκεν ἀκριβεῖς ἀπαιτεῖσθαι τὰς εὐθύνας, ὑπὲρ δὲ τῆς τῶν ἀνθρώπων ὀλιγότητος οὐδὲ τὸν τυχόντα λόγον ὑφέξειν. Οὐκ ἦσαν τότε πόλεις, οὐδὲ τέχναι, οὐδὲ οἰκίαι· καὶ γὰρ καὶ τούτων ὑμῖν οὐχ ὡς ἔτυχε μέλει· ἀλλ' οὐκ ἦν τότε ταῦτα, καὶ ὅμως τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ πολλῷ ταύτης ἀμείνω οὐδὲν οὔτε ἐνεπόδιζεν οὔτε ἐνέκοπτεν. Ἐπειδὴ δὲ παρήκουσαν τοῦ Θεοῦ, καὶ ἐγένοντο γῇ καὶ σποδὸς, ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς παρθενίας καλὸν, καὶ μετὰ τοῦ Θεοῦ καὶ αὐτὴ καταλιποῦσα αὐτοὺς ἀνεχώρησεν. Ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ, καὶ τὸν Δεσπότην ἠδοῦντο τὸν αὐτῶν, παρέμενε καὶ ἡ παρθενία κοσμοῦσα αὐτοὺς μᾶλλον ἢ τοὺς βασιλεῖς τὸ διάδημα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ· ἐπειδὴ δὲ αἰχμάλωτοι γενόμενοι τὴν βασιλικὴν ταύτην ἀπεδύσαντο στολὴν, καὶ τὸν οὐράνιον ἀπέθεντο κόσμον, ἐδέξαντο δὲ τὴν ἀπὸ τοῦ θανάτου φθορὰν, καὶ τὴν ἀρὰν, καὶ τὴν ὀδύνην, καὶ

ita bellum hoc consilium innumeris orbem malis complebit. Enimvero si haec hostium solum atque infidelium dicta essent, ea parvi duxissem; sed cum ea multi etiam, qui ad Ecclesiam pertinere videantur, jactent, ingenii ignavia virginitatis sudores detrectantes, illamque damnando et nauci faciendo secordiam suam tegere volentes, ut non negligentia quadam, sed recto rationis judicio ab eo certamine refugisse videantur: age, hostibus dimissis ([1 *Cor.* 2. 14] *Animalis enim homo non capit quæ Spiritus sunt*), qui se nostros fingunt, utrumque doceamus, et tantum abesse ut res nauci sit, ut valde etiam utilis sit ac necessaria, neque accusationem eam ipsos impune laturos, sed tantum iis periculi allaturam, quantum præmiorum atque laudis iis, qui virginitatem coluerint. Nam hoc constructo mundo, et iis paratis, quæ ad quietem et usum nostrum conducebant, Deus hominem finxit, cujus etiam causa mundum fabricatus est. Is vero formatus in paradiso degebat, nec matrimonii ulla mentio. Opus erat ei etiam adjutrice; adhibita est: ne sic quidem matrimonium visum necessarium est. Ac nequedum exstabat, et in paradiso velut cœlo quodam ejus expertes degebant, atque in Dei consuetudine suavissime quiescebant. Miscendi autem corporis ardor, conceptio, dolores, partus, atque omne genus corruptelæ ex eorum animis exulabat, et velut amnis perspicuus e liquido fonte manans, sic inibi agebant virginitate ornati. Ac tum erat terra ab hominibus vacua; id quod nunc verentur hi orbis curatores, qui cum de alienis serio solliciteatur, de suis ne cogitare quidem sustinent; deque hominum communitate ne intereat anxii, animum suum tamquam alienum singuli negligunt, cum ad eum quod attinet, vel de minimis rebus severe ad pœnam vocandi sint, sed quod ad hominum attinet paucitatem, nec levissime rationem reddituri. Non erant tum oppida, non artes, non domus; etenim hæc quoque non minimum curatis; sed hæc non erant, et nihil tamen beatam illam vitam atque hac longe meliorem impediebat aut turbabat. At postquam Deo non obtemperarunt, et terra atque cinis effecti sunt, cum beata ea vita virginitatis etiam decus perdiderunt, atque una cum Deo etiam illa eos deserens abcessit. Nam quamdiu a diabolo invicti Dominum suum reverebantur, manebat virginitas, eos exornans magis quam reges diadema et aurea vestimenta. At ubi captivi facti, regio hoc amictu erepto, abjectoque cœlesti ornatu, mortis corruptelam, maledictionem, dolorem et ærumnosam vitam acceperunt, tum una

UNIVERSIDAD CENTRAL
Biblioteca
DECANATO DE FILOSOFIA Y LETRAS

τὸν ἐπίπονον βίον, τότε καὶ ὁ γάμος ἐπεισέρχεται μετὰ τούτων, τὸ θνητὸν τοῦτο καὶ δουλικὸν ἱμάτιον· « Ὁ γὰρ γαμήσας, φησὶ, μεριμνᾷ τὰ τοῦ κόσμου. » Ὁρᾷς πόθεν ἔσχε τὴν ἀρχὴν ὁ γάμος; πόθεν ἀναγκαῖος ἔδοξεν εἶναι; Ἀπὸ τῆς παρακοῆς, ἀπὸ τῆς ἀρᾶς, ἀπὸ τοῦ θανάτου. Ὅπου γὰρ θάνατος, ἐκεῖ γάμος· τούτου δὲ οὐκ ὄντος, οὐδὲ οὗτος ἕπεται. Ἀλλ' οὐχ ἡ παρθενία ταύτην ἔχει τὴν ἀκολουθίαν, ἀλλ' ἀεὶ χρήσιμον, ἀεὶ καλὸν καὶ μακάριον, καὶ πρὸ τοῦ θανάτου καὶ μετὰ τὸν θάνατον, καὶ πρὸ τοῦ γάμου καὶ μετὰ τὸν γάμον. Ποῖος γὰρ, εἰπέ μοι, γάμος ἀπέτεκε τὸν Ἀδὰμ, ποῖαι τὴν Εὔαν ὠδῖνες; Οὐκ ἂν ἔχοις εἰπεῖν. Τί οὖν δέδοικας εἰκῇ καὶ τρέμεις μὴ παυσαμένου τοῦ γάμου καὶ τὸ τῶν ἀνθρώπων παύσεται γένος; Μύριαι μυριάδες ἀγγέλων λειτουργοῦσι τῷ Θεῷ, χίλιαι χιλιάδες ἀρχαγγέλων παρεστᾶσιν αὐτῷ, καὶ οὐδεὶς τούτων γέγονεν ἐκ διαδοχῆς, οὐδεὶς ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεως. Οὐκοῦν πολλῷ μᾶλλον ἀνθρώπους ἐποίησεν ἂν γάμου χωρὶς, ὥσπερ οὖν καὶ ἐποίησε τοὺς πρώτους, ὅθεν ἅπαντες ἄνθρωποι.

Καὶ νῦν δὲ οὐχ ἡ τοῦ γάμου δύναμις τὸ γένος συγκροτεῖ τὸ ἡμέτερον, ἀλλ' ὁ τοῦ Κυρίου λόγος ὁ παρὰ τὴν ἀρχὴν εἰπών, « Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. » Τί γὰρ, εἰπέ μοι, τὸν Ἀβραὰμ εἰς παιδοποιΐαν τὸ πρᾶγμα ὤνησεν; οὐκ ἐπὶ τοσούτοις αὐτῷ χρησάμενος ἔτεσι, ταύτην ὕστερον ἀφῆκε τὴν φωνήν· « Δέσποτα, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος. » Ὥσπερ οὖν τότε ἀπὸ νεκρῶν σωμάτων τοσαύταις μυριάσι δέδωκεν ὑπόθεσιν καὶ ῥίζαν ὁ Θεὸς, οὕτω καὶ παρὰ τὴν ἀρχὴν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. Οὔτε γὰρ ὁ γάμος μὴ βουλομένου Θεοῦ δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ παρθενία, βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος. Ἀλλ' οὕτως ἐβουλήθη, φησὶ, δι' ἡμᾶς καὶ διὰ τὴν ἀπείθειαν τὴν ἡμετέραν. Διὰ τί γὰρ μὴ πρὸ τῆς ἀπάτης ὁ γάμος ἐφάνη; διὰ τί μὴ ἐν παραδείσῳ ἡ μῖξις; διὰ τί μὴ πρὸ τῆς ἀρᾶς ὠδῖνες; Ὅτι ταῦτα τότε μὲν περιττὰ, ὕστερον δὲ γέγονεν ἀναγκαῖα διὰ τὴν ἡμετέραν ἀσθένειαν, καὶ ταῦτα καὶ τὰ ἄλλα ἅπαντα, αἱ πόλεις, αἱ τέχναι, ἡ τῶν ἱματίων περιβολὴ, ὁ λοιπὸς τῶν χρειῶν ὄχλος. Ταῦτα γὰρ ἅπαντα ἐπισυρόμενος εἰσήλασεν ὁ θάνατος μεθ' ἑαυτοῦ. Μὴ τοίνυν, ὃ διὰ τὴν ἀσθένειαν συνεχωρήθη τὴν σὴν, τοῦτο τῆς παρθενίας προτίμα, μᾶλλον δὲ μηδὲ ἐν ἴσῳ τίθεσο· ἐπεὶ κατὰ τοῦτον προϊὼν τὸν λόγον καὶ τὸ δύο γυναῖκας ἔχειν τοῦ μιᾷ ἀρκεῖσθαι μόνον ἄμεινον εἶναι φήσεις, ἐπειδὴ καὶ τοῦτο συγκεχώρητο ἐν τῷ νόμῳ Μωϋσέως· καὶ τὸν πλοῦτον δὲ οὕτως τῆς ἑκουσίου προτιμήσεις πενίας, καὶ τὴν τρυφὴν τῆς σώφρονος διαίτης, καὶ τὸ ἀμύνεσθαι τοῦ φέρειν τὸν ἀδικοῦντα γενναίως.

Σὺ δὲ αὐτὰ κακίζεις, φησί. Κακίζω μὲν οὐδαμῶς· Θεὸς γὰρ αὐτὰ συνεχώρησε, καὶ γέγονεν ἐν καιρῷ χρή-

matrimonium subiit, mortale hoc et servile vestimentum; nam *Qui cum uxore est,* inquit (1 *Cor.* 7. 33), *eorum sollicitus est, quæ sunt mundi.* Viden' unde initium habuerit matrimonium, unde necessarium visum sit? Ab inobedientia, a maledictione, a morte. Nam ubi mors est, ibi matrimonium, quo sublato neque illa consequitur. At non virginitatem hæc sequuntur, sed semper utilis, semper fausta atque felix, et ante mortem et post mortem, et ante matrimonium et post matrimonium. Cedo enim, quod matrimonium Adamum procrearit, qui Evam partus dolores? Nequaquam dixeris. Quid igitur vane fremis ac formidas, ne matrimonio desinente humanum etiam genus desiturum sit? Decies millies dena millia angelorum Deo ministrant, mille millia archangelorum apud eum adstant; neque eorum quispiam propagatione, aut partu ac doloribus, et conceptione procreatus est. Itaque multo magis homines citra matrimonium finxisset, quemadmodum et primos finxit, unde homines omnes orti.

XV. [*Matrimonium genus nostrum non augere.*] Ac nunc genus nostrum frequentat non matrimonii vis, sed Domini jam initio dictum, *Crescite et multiplicamini, et replete terram.* Quid enim Abrahamo ad liberos gignendos res ista profuit? an non ea tot annos usus, tandem hanc vocem emisit (*Gen.* 15. 2): *Domine, quidnam mihi daturus es, cum sine liberis decedam?* Itaque ut tum ex effetis corporibus Deus tot millibus originem atque initium dedit, sic principio, si ejus jussis obediens Adamus ab arboris voluptate abstinuisset, haud sane de via laborasset, qua humanum genus augeret. Neque enim aut matrimonium, nolente Deo, homines frequentes efficere queat, aut virginitas, volente eo frequentes esse, multitudinem minuet. At ita voluit, inquit, propter nos ac nostram pervicaciam. Nam cur non ante deceptionem matrimonium prodiit? cur non in paradiso coitus? cur non ante maledictionem partus dolores? Erant nempe hæc tunc supervacanea; in posterum vero imbecillitate nostra facta necessaria sunt cum hæc, tum cætera omnia, oppida, artificia, vestium amictus, ac reliqua necessariorum turba; hæc enim cuncta mors secum trahens invexit. Quare nec quod imbecillitati tum condonatum est, hoc virginitati præfer: quin nec exæqua. Nam hac ratione duas etiam conjuges habere, quam una contentum esse, præstare dices, quoniam id Mosis lege permissum erat; sicque divitias quam voluntariam paupertatem, delicias quam frugalitatem, injuriam ulcisci quam fortiter ferre potius duces.

XVI. [*Matrimonium indulgentiæ esse.*] Tu vero, inquit, hæc improbas. Equidem non improbo: nam ea et Deus

σιμα· μικρὰ δὲ αὐτὰ εἶναί φημι, καὶ παίδων κατορθώματα μᾶλλον ἢ ἀνδρῶν. Καὶ διὰ τοῦτο τελείους ἡμᾶς ὁ Χριστὸς δημιουργῆσαι βουλόμενος, ἐκεῖνα μὲν ἀποθέσθαι ἐκέλευσεν, ὥσπερ ἱμάτια παιδικὰ καὶ οὐ δυνάμενα περιβαλεῖν τὸν ἄνδρα τὸν τέλειον, οὐδὲ τὸ μέτρον κοσμῆσαι τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· τὰ δὲ ἐκείνων εὐπρεπέστερα καὶ τελειότερα περιθέσθαι ἐκέλευσεν, οὐκ ἀντινομοθετῶν ἑαυτῷ, ἀλλὰ καὶ σφόδρα ἀκολουθῶν. Εἰ γὰρ καὶ τὰ προστάγματα ταῦτα ἐκείνων μείζω, ἀλλὰ τοῦ νομοθέτου σκοπὸς ὁ αὐτός. Τίς οὖν ἐστιν οὗτος; Περικόψαι τὴν κακίαν τῆς ἡμετέρας ψυχῆς, καὶ πρὸς τὴν τελείαν αὐτὴν ἀγαγεῖν ἀρετήν. Εἰ τοίνυν τοῦτο ἐσπουδάκει, οὐ τὸ μείζονα ἐπιτάξαι τῶν προτέρων, ἀλλὰ τὸ ἐν τοῖς αὐτοῖς ἀρεῖναι διαπαντὸς, καὶ μηδέποτε τῆς εὐτελείας ἀπαλλάξαι ἐκείνης, τοῦτο ἐναντιουμένου σφόδρα ἦν ἑαυτῷ. Ὥσπερ γὰρ εἰ παρὰ τὴν ἀρχὴν, ὅτε νηπιωδέστερον τὸ τῶν ἀνθρώπων διέκειτο γένος, τὴν ἐπιταθεῖσαν ταύτην ἐνομοθέτησε πολιτείαν, οὐδ' ἂν τὴν σύμμετρον ἐδεξάμεθα ποτὲ, ἀλλὰ πάντα τὰ τῆς σωτηρίας ἡμῖν ὑπὸ ταύτης ἂν τῆς ἀμετρίας διέφθαρτο· οὕτως εἰ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον καὶ τὴν ἀπὸ τοῦ νόμου παιδαγωγίαν, τοῦ καιροῦ ἐπὶ τὴν οὐράνιον ταύτην καλοῦντος φιλοσοφίαν, εἴασε μένειν ἐπὶ τῆς γῆς, οὐδὲν ἂν μέγα ἐκ τῆς συγκαταβάσεως ἐκαρπωσάμεθα ἐκείνης, τῆς τελειότητος, δι' ἣν ἡ συγκατάβασις γέγονε, μὴ παραγενομένης ἡμῖν.

Νῦν δὲ παρόμοιον γέγονεν οἷον ἐπὶ τῶν νεοττῶν. Καὶ γὰρ ἐκείνους ὅταν ἐκθρέψῃ ἡ μήτηρ, προάγει μὲν τῆς καλιᾶς· ἂν δὲ ἀσθενοῦντας ἴδῃ καὶ καταπίπτοντας καὶ δεομένους ἔτι τῆς ἔνδον μονῆς, ἀφίησιν ἔτι πλείους ἡμέρας, οὐχ ἵνα διαπαντὸς ἔνδον μένωσιν, ἀλλ' ἵνα παγέντων αὐτοῖς καλῶς τῶν πτερῶν, καὶ τῆς ἰσχύος προσγενομένης ἅπάσης, μετὰ ἀσφαλείας λοιπὸν τῆς πτήσεως ἔχωνται. Οὕτω καὶ ὁ Κύριος ἡμῶν ἐξ ἀρχῆς μὲν εἵλκεν ἐπὶ τὸν οὐρανὸν, καὶ τὴν ἐκεῖ φέρουσαν ὁδὸν ἐδείκνυ, οὐκ ἀγνοῶν μὲν, ἀλλὰ καὶ σφόδρα εἰδὼς, ὅτι οὐκ ἀρκέσομεν πρὸς τὴν πτῆσιν ἐκείνην, δεῖξαι δὲ ἡμῖν βουλόμενος, ὅτι οὐ παρὰ τὴν αὐτοῦ βούλησιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ἀσθένειαν τὸ πτῶμα γίνεται. Ἐπειδὴ δὲ ἔδειξεν, οὕτω λοιπὸν ἀφίησιν ὥσπερ ἐν καλιᾷ τῷ κόσμῳ τούτῳ καὶ τῷ γάμῳ τρέφεσθαι χρόνον πολύν. Ὡς δὲ ἡμῖν ἐν τῷ πολλῷ χρόνῳ τὰ τῆς ἀρετῆς ἔφυ πτερὰ, τότε ἠρέμα καὶ κατὰ μικρὸν ἔλθὼν ἐξήγαγε τῆς ἐνταῦθα μονῆς, διδάσκων ὑψηλότερα πέτασθαι. Οἱ μὲν οὖν ἔτι νωθρότερον διακείμενοι, καὶ τὸν βαθὺν ὕπνον καθεύδοντες, ἐμφιλοχωροῦσιν ἔτι τῇ καλιᾷ, τοῖς τοῦ κόσμου προσηλωμένοι πράγμασιν· οἱ δὲ ὄντως γενναῖοι καὶ τοῦ φωτὸς ἐρασταὶ, μετὰ πολλῆς εὐκολίας ἀφέντες αὐτὴν, πρὸς τὰ μετέωρα πέτανται, καὶ τῶν οὐρανίων ἔχονται, πάντα ἐπὶ τῆς γῆς καταλείψαντες, τὸν γάμον, τὰ χρήματα, τὰς φροντίδας, τὰ ἄλλα πάντα ὅσα πρὸς τὴν γῆν ἡμᾶς καθέλκειν εἴωθε. Μὴ τοίνυν τὴν ἐξ ἀρχῆς γενομένην ἐπιτροπὴν τοῦ γάμου, ταύτην

concessit, et erant suo tempore utilia; sed levia censeo, et puerorum magis quam virorum recte facta. Ideoque Christus volens nos perfectos reddere, jussit his, tamquam puerilibus vestibus, detractis, quæ et virum adultum amicire, et mensuram ætatis plenitudinis Christi ornare minime possent, splendidiores quasdam ac perfectiores induere, non ille quidem secum pugnans, sed maxime consentiens. Nam etsi hæc illis majora sunt præcepta, idem tamen consilium est legislatoris. Quodnam id est? Recisa animi nostri vitiositate eum ad perfectam virtutem deducere. Itaque si ei operam dedisset, non ut prioribus majora imponeret, sed in iisdem perpetuo sineret, neque ab ea vilitate unquam sublevaret, id fuisset vehementer secum pugnantis. Ut enim si initio, cum puerilius affectum esset genus humanum, accuratum hoc institutum sanxisset, numquam nec moderatum accepissemus, sed immoderatione ea salus nobis omnis perisset: ita si post longum hoc spatium ac sub lege disciplinam, tempore nos ad cælestem hanc philosophiam vocante, hærere in terra sivisset, nihil magnum ex indulgentia ea percepissemus, cum perfectio, propter quam facta indulgentia est, nobis non obtigisset.

XVII. [*De Dei indulgentia.*] Nunc simile quiddam nobis ac pullis contingit. Nam ubi eos educavit mater, profert illos quidem e nido; sed si imbecilles videt ac labentes, et qui adhuc opus habeant intus contineri, sinit insuper plures dies, non ut perpetuo intus hæreant, sed ut alis probe confirmatis, atque omni contracto robore, exin securi volatum ineant. Sic nos Dominus noster jam olim ad cælum trahebat, viamque quæ eo ferret monstrabat; non ille quidem ignorans, quin belle etiam conscius, impares ad eum volatum futuros, sed ostendere nobis volens, non voluntate sua, sed imbecillitate nostra lapsum fieri. Quod ubi ostendit, sivit porro in hoc mundo et matrimonio tamquam nido quodam diutius ali, donec tandem virtutis quasi quibusdam pennis longo intervallo enatis, sensim atque pedetentim ingressus, domicilio hoc eductos altius docuit evolare. Ergo alii adhuc oscitantes, arctoque somno consopiti, nido etiamnum consuescunt, mundanis affixi rebus: alii vero generosi, ac lucis amatores, eo facillime deserto ad sublimia volant, omnibusque in terra relictis, matrimonio, nummis, curis, cunctisque reliquis quæ ad terram nos detrahere solent, cælo inhiant. Quare ne putemus, matrimonii olim permissionem necessitatem deinceps esse,

ἀνάγκην εἰς τὸ ἐξῆς εἶναι νομίζωμεν, κωλύουσαν ἀναχωρεῖν τοῦ γάμου· ὅτι γὰρ ἡμᾶς αὐτὸν ἀφεῖναι βούλεται, ἄκουσον τί φησιν· « Ὁ δυνάμενος χωρεῖν χωρείτω. » Εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοῦτο ἐπέταξε, μὴ θαυμάσῃς. Οὐδὲ γὰρ ἰατρὸς πάντα ὑφ' ἓν τοῖς κάμνουσι καὶ κατὰ τὸν αὐτὸν καιρὸν προστάττει, ἀλλ' ὅταν μὲν ὑπὸ τοῦ πυρετοῦ κατέχωνται, τῆς στερεᾶς αὐτοὺς ἀπείργει τροφῆς· ὅταν δὲ ἀπόθωνται ἐκεῖνο τὸ πῦρ καὶ τὴν ἀπ' αὐτοῦ τῷ σώματι προσγενομένην ἀσθένειαν, τότε λοιπὸν ἀπαλλάξας αὐτοὺς τῶν δυσαρέστων σιτίων ἐπὶ τὴν συνήθη φέρει δίαιταν. Ὥσπερ δὲ ἐν τοῖς σώμασι τὰ στοιχεῖα πρὸς ἄλληλα στασιάζοντα κατὰ τὸ πλέον ἢ ἔλαττον τὴν νόσον ἐργάζονται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς αἱ τῶν παθῶν ἀμετρίαι διαφθείρουσι τὴν ὑγίειαν αὐτῆς, καὶ δεῖ μάλιστα καιροῦ [καὶ] τοῦ καταλλήλως τοῖς ὑποκειμένοις πάθεσιν ἔχειν τὸ πρόσταγμα, ὡς τούτων ἄνευ ἀμφοτέρων οὐκ ἂν ἀρκέσειε νόμος καθ' ἑαυτὸν διορθῶσαι τὴν ἐν τῇ ψυχῇ γενομένην διαστροφήν, ὥσπερ οὖν οὐδὲ ἡ τῶν φαρμάκων φύσις αὐτὴ καθ' ἑαυτὴν δύναιτ' ἂν ἕλκος ἀφανίσαι ποτέ· ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ νόμοι. Σὺ δὲ ἰατρὸν νῦν μὲν τέμνοντα, νῦν δὲ καίοντα, νῦν δὲ οὐδέτερον τούτων ποιοῦντα ἐπὶ τῶν αὐτῶν πολλάκις τραυμάτων, οὐ πολυπραγμονεῖς, καὶ ταῦτα πολλάκις ἀποσφαλέντα τοῦ τέλους· τὸν δὲ Θεὸν ἄνθρωπος ὤν, τὸν οὐδαμοῦ μὲν διαμαρτάνοντα, πάντα δὲ ἀξίως τῆς οἰκείας οἰκονομοῦντα σοφίας, περιεργάσῃ, καὶ τῶν προσταγμάτων εὐθύνας ἀπαιτήσεις, καὶ οὐ παραχωρήσεις τῷ τῆς σοφίας ἀπείρῳ; Καὶ πῶς οὐκ ἰσχάτης ταῦτα παραπληξίας; Εἶπεν, « Αὐξάνεσθε καὶ πληθύνεσθε. » Τοῦτο γὰρ ὁ καιρὸς ἀπήτει, τῆς φύσεως μαινομένης καὶ τὸν τῶν παθῶν οἶστρον μὴ δυναμένης ἐνεγκεῖν, οὐδὲ ἐχούσης εἰς ἕτερόν τινα λιμένα καταφυγεῖν ἐν ἐκείνῃ τῇ ζάλῃ. Ἀλλὰ τί κελεύειν ἐχρῆν; ἐν ἐγκρατείᾳ καὶ παρθενίᾳ διάγειν; Ἀλλὰ τοῦτο μεῖζον ἂν τὸ πτῶμα εἰργάσατο, καὶ τὴν φλόγα σφοδροτέραν ἐποίησε. Καὶ γὰρ τοὺς γάλακτος μόνου δεομένους παῖδας εἴ τις ἐκείνης ἀπαγαγὼν τῆς τροφῆς, τῆς ἀνδράσι προσηκούσης ἀναγκάζοι μεταλαμβάνειν, οὐδὲν τὸ κωλύον αὐτοὺς μὴ ἀπολέσθαι εὐθέως. Τοσοῦτον ἡ ἀκαιρία κακόν. Διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ παρθενία· μᾶλλον δὲ ἡ παρθενία μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη· διὰ ταῦτα δὲ ἐπεισῆλθεν ὕστερον ὁ γάμος, καὶ πρᾶγμα ἀναγκαῖον ἐνομίζετο εἶναι, ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ, οὐκ ἂν ἐδέησε τούτου. Καὶ πῶς ἄν, φησὶν, αἱ τοσαῦται μυριάδες ἐγένοντο; Ἐγὼ δέ σε πάλιν ἐρωτῶ, ἐπειδή σε σφόδρα παρέμεινε κατασείων οὗτος ὁ φόβος, πῶς ὁ Ἀδάμ, πῶς δὲ ἡ Εὔα, μὴ μεσιτεύοντος γάμου; Τί οὖν; οὕτως, φησὶν, ἔμελλον ἅπαντες ἄνθρωποι γίνεσθαι; Εἴτε οὕτως, εἴτε ἑτέρως, οὐκ ἔχω λέγειν· τὸ γὰρ ζητούμενον νῦν, ὅτι γάμου οὐκ ἔδει τῷ Θεῷ πρὸς τὸ πολλοὺς ποιῆσαι τοὺς ἐπὶ τῆς γῆς ἀνθρώπους.

Ὅτι δὲ οὐχ ἡ παρθενία ποιεῖ τὸ τῶν ἀνθρώπων γέ-

ab eo refugere vetantem; nam quod velit ut id dimittamus, audi quid dicat (*Matth.* 19. 12): *Qui potest capere, capiat.* Quodsi id non a principio jussit, nihil mirum: neque enim medicus omnia simul ægrotis eodemque tempore præscribit, sed cum a febri tenentur, a firmiori cibo eos arcet; cum vero æstum illum et ab eo corpori contractam infirmitatem depulerunt, tum ingratis demum cibis liberatos assueto victui reddit. Quemadmodum vero in corporibus elementa inter se discordia excessu defectuve morbum concitant, ita et animi sanitatem affectuum immoderationes corrumpunt, in primisque opus est tempestivitate, et ut ad subjectas affectiones accommodatum præceptum sit; alioqui lex sine iis utrisque ad corrigendam excitatam in animo depravationem minime sufficiet, sicut nec medicamentorum vis ulcus sanare per se poterit: nam quod remedia vulneribus, id vitiis leges præstant. Tu vero medicum sæpe idem vulnus nunc secantem, nunc urentem, nunc horum neutrum facientem, non curiose inquiris, præsertim qui frequenter a fine aberret: Deum vero, qui homo sis, numquam aberrantem, sed omnia ut ejus dignum sapientia est moderantem, obtundis, ab eoque præceptorum rationem exigis, neque infinitæ sapientiæ tamquam de via cedis? An non ea extrema amentia est? *Crescite*, ait, *et multiplicamini*. Id enim tempus postulabat, furente natura, ac neque ad libidinis impetum consistente, neque in ea tempestate portum alium quo confugeret habente. Sed quid imperandum fuit? ut in continentia ac virginitate degerent? At hoc et lapsum majorem, et vehementiorem flammam effecisset. Nam si quis puerus, qui lacte solum egent, ab eo cibo remotos viris congruo vesci cogat, nihil impediet quominus e vestigio pereant. Tantum malum est intempestivitas. Ea propter virginitas initio data non est; imo vero virginitas et initio, et matrimonio prior exstitit, sed ea propter invasit matrimonium visumque necessarium est, cum, si quidem Adamus obediens mansisset, eo opus non fuisset. At quomodo, inquit, tot millia prodiissent? Ego vero, quando hæc te formido admodum sollicitans manet, iterum abs te quæro, unde nobis Adamus, unde Eva, non interveniente matrimonio? Quid igitur? itane, inquit, homines omnes erant nascituri? Hoc an alio modo, haud sane habeo dicere; illud enim nunc agitur, Deo ad frequentandos in terra homines matrimonio opus non fuisse.

XVIII. [*Non virginitatem genus nostrum imminuere,*

νος ἐπιλιπεῖν, ἀλλ' ἡ ἁμαρτία καὶ αἱ ἄτοποι μῖξεις, ἔδειξεν ὁ κατὰ τὸν Νῶε γενόμενος ἀφανισμὸς καὶ ἀνθρώπων καὶ κτηνῶν καὶ πάντων ἁπλῶς τῶν ἐμπνεόντων ἐπὶ τῆς γῆς. Εἰ γὰρ ἔστησαν πρὸς τὴν ἄτοπον τότε ἐπιθυμίαν ἐκείνην οἱ υἱοὶ τοῦ Θεοῦ, καὶ τὴν παρθενίαν ἐτίμησαν, εἰ μὴ εἶδον ἀδίκοις ὄμμασι τὰς θυγατέρας τῶν ἀνθρώπων, οὐκ ἂν αὐτοὺς ὁ τοσοῦτος κατέλαβεν ὄλεθρος. Καὶ μή μέ τις οἰέσθω τῆς ἀπωλείας αὐτῶν αἰτιᾶσθαι τὸν γάμον· οὐ γὰρ τοῦτό φημι νῦν, ἀλλ' ὅτι τὸ ἀπολλύναι καὶ διαφθείρειν τὸ γένος τὸ ἡμέτερον, οὐ τῆς παρθενίας, ἀλλὰ τῆς ἁμαρτίας ἐστίν.

Ἐδόθη μὲν οὖν καὶ παιδοποιίας ἕνεκεν ὁ γάμος· πολλῷ δὲ πλέον ὑπὲρ τοῦ σβέσαι τὴν τῆς φύσεως πύρωσιν. Καὶ μάρτυς ὁ Παῦλος, λέγων, « Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, » οὐ διὰ τὰς παιδοποιίας· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι κελεύει, οὐχ ἵνα πατέρες γένωνται παίδων πολλῶν· ἀλλὰ τί; « Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς », φησί. Καὶ προελθὼν δὲ οὐκ εἶπεν, Εἰ δὲ ἐπιθυμοῦσι παίδων· ἀλλὰ τί; « Εἰ δὲ μὴ ἐγκρατεύονται, γαμησάτωσαν. » Παρὰ μὲν γὰρ τὴν ἀρχὴν, ὅπερ ἔφην, δύο ταύτας εἶχε τὰς ὑποθέσεις· ὕστερον δὲ πληρωθείσης καὶ τῆς γῆς καὶ τῆς θαλάττης καὶ τῆς οἰκουμένης ἁπάσης μία λείπεται πρόφασις αὐτοῦ μόνη, ἡ τῆς ἀκολασίας καὶ ἡ τῆς ἀσελγείας ἀναίρεσις. Τοὺς γὰρ ἔτι καὶ νῦν ἐν τούτοις καλινδουμένους τοῖς πάθεσι, καὶ χοίρων βίον ἐπιθυμοῦντας ζῆν, καὶ ἐν χαμαιτυπείοις φθείρεσθαι, οὐ μικρὸν ὀνίνησι, τῆς ἀκαθαρσίας καὶ τῆς ἀνάγκης ἀπαλλάττων ἐκείνης, καὶ ἐν ἁγιασμῷ καὶ σεμνότητι διατηρῶν. Ἀλλὰ γὰρ μέχρι τίνος οὐ παύσομαι σκιαμαχῶν; Καὶ γὰρ ὑμεῖς οἱ ταῦτα λέγοντες ἡμῶν οὐχ ἧττον ἴστε τὴν τῆς παρθενίας ὑπεροχὴν, καὶ πάντα, ἅπερ ὑμῖν εἴρηται, σκήψεις καὶ προφάσεις εἰσὶ καὶ ἀκρασίας προκαλύμματα.

Ἀλλ' εἰ μὲν ἀκινδύνως ἐνῆν ταῦτα λέγειν, ἔδει μὲν καὶ οὕτω παύεσθαι τῆς διαβολῆς. Ὁ γὰρ πρὸς τὰ καλὰ τῶν πραγμάτων ἀπ' ἐναντίας διακείμενος τῆς γνώμης μετὰ τῆς ἄλλης βλάβης καὶ μαρτύριον οὐ μικρὸν παρὰ πᾶσι τῆς οἰκείας ἐκφέρει μοχθηρίας τὴν οὕτω διεστραμμένην καὶ ἄδικον ψῆφον· ὥστε εἰ καὶ μηδενὸς ἕνεκεν ἄλλου, τοῦ γοῦν μὴ προστρίψασθαι δόξαν οὕτω πονηρὰν ἐπέχειν τὴν γλῶτταν ἐχρῆν, ἐνθυμουμένους ὅτι ὁ μὲν θαυμάζων τοὺς ἐν τοῖς μεγίστοις διαλάμποντας ἄθλοις, κἂν μὴ δύνηται τῶν αὐτῶν ἐφικέσθαι, συγγνώμης γοῦν δυνήσεται παρὰ πάντων τυχεῖν· ὁ δὲ πρὸς τῷ μὴ μετιέναι καὶ κακίζων τὰ πολλῶν ἄξια στεφάνων δικαίως ἂν παρὰ πάντων μισοῖτο ὡς ἐχθρὸς καὶ πολέμιος τῆς ἀρετῆς, καὶ τῶν μαινομένων ἀθλιώτερον διακείμενος. Οἱ μὲν γὰρ οὐκ ἴσασιν ἃ ποιοῦσιν, οὐδὲ ἐκόντες ἃ πάσχουσιν ὑπομένουσι· διὸ καὶ τοὺς ἐν δυναστείαις ὄντας ὑβρίζοντες οὐ μόνον οὐ κολάζονται, ἀλλὰ καὶ ἐλεοῦνται παρὰ τῶν ὑβρισθέντων αὐτῶν. Εἰ δέ τις ἑκὼν ταῦτα τολμήσειεν, ἅπερ ἄκοντες ἐκεῖνοι ποιοῦσι, δικαίως ἂν ταῖς ἁπάντων καταδικάζοιτο ψήφοις, ὡς τῆς φύσεως τῆς ἡμετέρας ἐχθρός.

sed peccatum.] Nec vero mortalium generi virginitatem interitum comparare, sed flagitia et fœdos coitus, ostendit illa Noe tempestate hominum, jumentorum, breviter omnium in terris animantium internecio. Nam si tum obscœnæ ei libidini restitissent Dei filii, ac virginitatem coluissent, neque hominum filias iniquis oculis aspexissent, numquam hæc eos pernicies oppressisset. Atque hæc nolim ita accipi, quasi eorum cladem in matrimonium conferrem; non enim id nunc dico, sed genus nostrum perimere ac delere, id vero non esse virginitatis, sed peccati.

XIX. [*Matrimonio olim duas fuisse causas, nunc unam esse.*] Itaque cum liberûm quærendorum causa proditum matrimonium est, tum multo magis ad naturæ ardorem restinguendum. Atque id Paulus testatur, dicens (1 *Cor.* 7. 2), *Sed propter fornicationem suam quisque uxorem habeat :* non propter liberorum procreationem; rursumque convenire jubet, non ut multorum filiorum parentes fiant; sed cur? *Ne vos tentet*, inquit (*ib.* 5), *satanas;* ac progressus non dixit, Si optant liberos; sed quid? (*ib.* 9) *Qui se non continent, matrimonium contrahant.* Principio enim, ut dicebam, duplicem hanc causam habebat, sed deinde terra ac mari, atque orbe omni repleto, unus dumtaxat prætextus est reliquus, nequitiæ et libidinis abolitio. Nam eos qui etiamnum se in vitiis erant volutaturi, et porcorum vitam agere atque in lupanaribus perire cupiebant, non minimum juvat matrimonium, quod necessitate ea atque fœditate liberatos sanctos castosque tueatur. At enim quis umbratilis hujus pugnæ futurus modus est? Et vos enim qui hæc disseritis non minus quam nos virginitatis excellentiam tenetis, omniaque, quæ a vobis dicuntur, commenta ac prætextus sunt et libidinis tegumenta.

XX. [*Etiam si nullum periculum esset iis qui virginitatem despiciant, tamen ne sic quidem tutum esse eam despicere.*] Verum ut hæc impune dicere liceat, tamen vel hac ratione a calumnia temperatum oportuit. Nam qui de rebus præclaris secus sentiat, præter alia damna non leve etiam apud omnes improbitatis suæ testimonium, nempe adeo depravatum et iniquum judicium profert. Itaque si nulla alia de causa, at ne tam tetram opinionem de se concitarent, linguam continere decebat, cogitantes, qui summis certaminibus illustres laudet, eum licet eadem non attingat, veniam certe ab omnibus consequi : at qui nec ea exerceat, et multis coronis digna etiam damnet, merito eum omnes oderint ceu hostem atque inimicum virtutis, et insanis miseriorem. Hi enim et quæ committunt nesciunt, nec quæ patiuntur ultro sustinent; ideoque læso magistratu non modo pœnas minime dant, sed eos ipsi etiam læsi miserantur. Quodsi quis autem prudens ea designet, quæ illi imprudentes faciunt, jure omnium sententiis ut naturæ nostræ perduellis damnetur.

Ἐχρῆν μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἀκίνδυνος ἦν ἡ τοιαύτη κατηγορία, τῶν γοῦν εἰρημένων ἕνεκεν αὐτῆς ἀπέχεσθαι. Νῦν δὲ καὶ κίνδυνος τῷ πράγματι κεῖται μέγας· οὐ γὰρ ὁ καθήμενος καὶ κατὰ τοῦ ἀδελφοῦ καταλαλῶν, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρὸς τιθεὶς σκάνδαλον, κολασθήσεται μόνος, ἀλλὰ καὶ ὁ πράγματα διαβάλλειν ἐπιχειρῶν τῷ Θεῷ δοκοῦντα εἶναι καλά. Ἄκουσον γοῦν τί φησιν ἕτερος προφήτης περὶ αὐτοῦ τούτου διαλεγόμενος· « Οὐαὶ ὁ λέγων τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· ὁ τιθεὶς τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· ὁ τιθεὶς τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. » Τί γὰρ τῆς παρθενίας ἥδιον, τί κάλλιον, τί φωτεινότερον; Καὶ γὰρ αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἀφίησι τὰς μαρμαρυγὰς, πάντων μὲν ἡμᾶς ἀφιστῶσα βιωτικῶν, καθαροῖς δὲ ὀφθαλμοῖς εἰς τὸν τῆς δικαιοσύνης ἥλιον ἀτενὲς παρασκευάζουσα ἐνορᾶν. Καὶ ταῦτα μὲν ὁ Ἡσαΐας περὶ τῶν ἐν αὐτοῖς τὰς διεστραμμένας κρίσεις ἐχόντων ἐβόα· ἄκουσον δὲ καὶ περὶ τῶν εἰς ἑτέρους ἐκφερόντων τὰ λοιμικὰ ταῦτα ῥήματα τί φησιν ἄλλος προφήτης, ἀπὸ τοῦ αὐτοῦ πάλιν ἐπιφθέγματος ποιούμενος τὴν ἀρχήν· « Οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀναιροπὴν θολεράν. » Τὸ δὲ Οὐαί οὐ ῥῆμα ψιλόν ἐστιν, ἀλλ' ἀπειλή τις ἄφατον ἡμῖν καὶ ἀσύγγνωστον προαναφωνοῦσα τὴν τιμωρίαν· ἐπὶ γὰρ τῶν οὐκέτι δυναμένων διαφυγεῖν τὴν μέλλουσαν κόλασιν τοῦτο τὸ ἐπίρρημα κεῖται ἐν ταῖς Γραφαῖς. Καὶ πάλιν ἕτερος προφήτης ἐγκαλῶν τοῖς Ἰουδαίοις, ἔλεγεν, « Ἐποτίσατε τοὺς ἡγιασμένους οἶνον. » Εἰ δὲ ὁ τοὺς Ναζιραίους οἶνον ποτίζων, τοσαύτην ὑποστήσεται τιμωρίαν, ὁ τὴν θολερὰν ἀνατροπὴν ἐχχέων εἰς τὰς τῶν ἀφελεστέρων ψυχάς τίνος οὐκ ἔσται κολάσεως ἄξιος; Εἰ μέρος μικρὸν τῆς κατὰ νόμον ἀσκήσεως ὑποτεμνόμενός τις ἀπαραίτητον ἔχει τὴν κόλασιν, ὁ τὴν ἁγιωσύνην αὐτὴν ὁλόκληρον διασύρων, τίνα ὑφέξει δίκην; « Ἐάν τις σκανδαλίσῃ, φησὶν, ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν. » Τί οὖν λέξουσιν οἱ διὰ τῶν ῥημάτων τούτων οὐχ ἕνα μικρὸν, ἀλλὰ πολλοὺς σκανδαλίζοντες; Ὅπου γὰρ ὁ τὸν ἀδελφὸν καλῶν μωρὸν, ὀρθὴν ἐπὶ τὸ τῆς γεέννης ἀπαχθήσεται πῦρ, ὁ τὴν ἰσάγγελον ταύτην διαβάλλων πολιτείαν πόσην ὀργὴν ἐπισπάσεται κατὰ τῆς ἑαυτοῦ κεφαλῆς; Κατεγέλασέ ποτε τοῦ Μωϋσέως Μαρία, οὐχ οὕτως ὡς τῆς παρθενίας νῦν ὑμεῖς, ἀλλὰ πολλῷ ἔλαττον καὶ ἐπιεικέστερον. Οὐ γὰρ διέσυρε τὸν ἄνδρα, οὐδὲ ἐλυμαίνετο τὴν ἀρετὴν τὴν τοῦ μακαρίου τότε ἐκείνου, ἀλλὰ καὶ σφόδρα ἐθαύμαζε· τοσοῦτον δὲ εἶπε μόνον, ὅτι καὶ αὐτὴ τῶν αὐτῶν ἀπέλαυσεν ὧνπερ ἐκεῖνος· ἀλλ' ὑμᾶς οὕτως ἐξεκαλέσατο τοῦ Θεοῦ τὴν ὀργὴν, ὡς οὐδὲ αὐτοῦ ἐκείνου τοῦ δοκοῦντος ὑβρίσθαι πολλὰ παρακαλοῦντος γενέσθαι τι πλέον, ἀλλὰ καὶ περαιτέρω τῆς ἐκείνου γνώμης ἐπιταθῆναι τὴν τιμωρίαν αὐτῇ.

Καὶ τί λέγω Μαρίαν; οἱ γὰρ παῖδες ἐκεῖνοι οἱ περὶ τὴν Βηθλεὲμ παίζοντες, ἵνα πρὸς τὸν Ἐλισσαῖον τοῦτο

XXI. [*Ingens periculum esse iis qui virginitatem despiciant.*] Quare, ut dicebam, etsi accusatio ea impune esset, tamen ob ea quæ jam dixi abstinere oportebat. Nunc inest in eo ingens periculum : neque enim qui sedens contra suum fratrem loquitur, et adversus filium matris suæ scandalum ponit (*Psal.* 49. 20), solum punietur, sed etiam qui quæ Deo præclara videntur culpare insistat. Jam accipe quid alius propheta in eamdem sententiam disserat (*Isai.* 5. 20) : *Væ illi qui malum bonum, et bonum malum dicit; qui lucem in tenebras, et tenebras in lucem convertit; qui amarum in dulce, et in amarum dulce mutat.* Nam quid virginitate dulcius, quid melius, quid illustrius? quæ fulgores ipsis etiam solis radiis luculentiores emittat, nosque ab omnibus sæculi hujus negotiis abjunctos in justitiæ solem puris oculis assidue contuentes præstet. Atque hæc quidem Isaias de iis qui in se judicia haberent corrupta vociferatur; audi vero quid alius etiam propheta (*Habacuc* 2. 15) de iis dicat, qui in vulgus spargant voces pestiferas, ab eodem adverbio itidem exorsus : *Væ ei, qui proximo suo potum dat subversionem turbidam.* Est autem *væ* verbum non simplex, sed quo ingentes continentur minæ, ut immisericors supplicium promulgetur. Nam in sacris Literis adverbium hoc in eos usurpatur, qui imminentes pœnas amplius effugere non possunt. Rursum alius propheta (*Amos* 2. 12), Judæos notans, *Vinum*, inquit, *sanctificatis propinavistis.* Quodsi qui Nazaræis vinum propinet, adeo mulctabitur : quo non supplicio dignus erit, qui in simplicium mentes subversionem turbidam effundat? Si qui exiguam ejus, quæ secundum legem erat, exercitationis partem succidat, inexorabiles pœnas sustinet : qui ipsam sanctimoniam omnem convellat, quibus modis accipietur? (*Matth.* 18. 6) *Si quis scandalizaverit*, ait, *unum ex his pusillis, expedit ei ut suspendatur mola asinaria circa collum ejus, et demergatur in mare.* Quid igitur dicent, qui his verbis non unum aliquem minimum, sed multos scandalizant? Cum enim is qui fratrem fatuum vocet, recta ad gehennæ ignem abducendus sit : qui angelis æquale hoc institutum accuset, quantam suo capiti iram contrahet? Derisit aliquando Mosem Maria (*Num.* 12), non ut vos nunc virginitatem, sed lenius multo ac moderatius; quippe quæ nec detraheret homini, et beati virtutem non solum non exagitaret, sed valde etiam suspiceret; illud tantum dicebat, iisdem se, quibus illum, præditam : et tamen adeo Dei iram in se excivit, ut neque eo, qui læsus videretur, multum deprecante quicquam proficeretur, et diutius quam ille vellet ei pœna prorogaretur.

XXII. [*Pueros illos Elisæi tempore utiliter periisse.*] Et quid Mariam dico? cum pueri illi ad Bethlehem luden-

μόνον εἴπωσιν, « Ἀνάβαινε, φαλακρέ, » οὕτω παρώξυναν τὸν Θεὸν, ὡς ἅμα τῷ λόγῳ τούτῳ ἄρκτους αὐτῶν ἐπαφεῖναι τῷ πλήθει (καὶ γὰρ τεσσαράκοντα δύο ἦσαν)· καὶ πάντες ἄρδην ὑπὸ τῶν θηρίων ἐσπαράττοντο τότε ἐκεῖνοι· καὶ οὔτε ἡ ἡλικία, οὔτε τὸ πλῆθος, οὔτε τὸ γελῶντας εἰπεῖν προέστη τῶν μειρακίων· καὶ μάλα εἰκότως. Εἰ γὰρ μέλλοιεν οἱ τοὺς τοσούτους ἀναδεχόμενοι πόνους καὶ παρὰ παίδων καὶ παρὰ ἀνδρῶν διασύρεσθαι, τίς τῶν ἀσθενεστέρων αἱρήσεται πόνους ἀναδέξασθαι γέλωτας ἔχοντας καὶ χλευασίαν; τίς δὲ τῶν πολλῶν ζηλώσει τὴν ἀρετὴν, οὕτω καταγέλαστον αὐτὴν οὖσαν ὁρῶν; Εἰ γὰρ νῦν πάντων αὐτὴν πανταχοῦ θαυμαζόντων, οὐ τῶν μετιόντων μόνον, ἀλλὰ καὶ τῶν ἐκπεπτωκότων αὐτῆς, ὅμως οἱονοῦσι καὶ ἀναδύονται πρὸς τοὺς ἱδρῶτας ἐκείνους πολλοὶ, τίς ἂν αὐτῆς ἐπιλαβέσθαι ταχέως ἠθέλησεν, εἰ πρὸς τῷ μὴ θαυμάζεσθαι καὶ διαβαλλομένην ἑώρα παρὰ πάντων ἀνθρώπων; Οἱ μὲν γὰρ ἰσχυροὶ λίαν καὶ πρὸς τὸν οὐρανὸν ἤδη μεταστάντες οὐδὲν δέονται τῆς ἀπὸ τῶν πολλῶν παραμυθίας, ἀλλ' ἀρκεῖ πρὸς πᾶσαν παραμυθίαν αὐτοῖς ὁ παρὰ τοῦ Θεοῦ ἔπαινος· οἱ δὲ ἀσθενέστερον διακείμενοι, καὶ ἄρτι πρὸς τὸ πρᾶγμα χειραγωγούμενοι, οὐ μικρὰν καὶ ἀπὸ τῆς τῶν πολλῶν δόξης δυνάμεως προσθήκην λαμβάνουσιν, ἕως ἂν παιδαγωγηθέντες πάντοθεν κατὰ μικρὸν εἰς τὸ μηκέτι δεῖσθαι ταύτης τῆς χειραγωγίας καταστήσωσιν ἑαυτούς. Οὐκ ἐκείνων δὲ μόνον ἕνεκεν, ἀλλὰ καὶ τῆς τῶν χλευαζόντων αὐτῶν σωτηρίας τοῦτο γίνεται, ὥστε μὴ περαιτέρω προελθεῖν τῆς κακίας αὐτοὺς τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων δοῦναι δίκην. Ἀλλὰ μεταξύ μοι ταῦτα λέγοντα καὶ ἡ τῶν κατὰ τὸν Ἰλίαν γενομένων εἰσῆλθε μνήμη. Ὅπερ γὰρ οἱ παῖδες παρὰ τῶν ἄρκτων ἔπασχον διὰ τὸν Ἐλισσαῖον, τοῦτο διὰ τὸν τούτου διδάσκαλον ὑπὸ πυρὸς ἄνωθεν ἁρθέντος δῖς πεντήκοντα ἄνδρες ἅμα τοῖς προεστῶσιν αὐτῶν ὑπέμενον. Ἐπειδὴ γὰρ κἀκεῖνοι μετὰ πολλῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον, καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτοὺς, ἀντ' ἐκείνου πῦρ κατελθὸν ἅπαντας αὐτοὺς κατέφαγε τῶν θηρίων οὐχ ἧττον ἐκείνων. Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντες ὑμεῖς οἱ τῆς παρθενίας ἐχθροὶ, ἐπίθεσθέ ποτε τῷ στόματι ὑμῶν θύραν καὶ μοχλὸν, ἵνα μὴ καὶ ὑμεῖς ἄρξησθε λέγειν κατὰ τὴν ἡμέραν τῆς κρίσεως τοὺς ἀπὸ τῆς παρθενίας ἐκεῖ λάμποντας ὁρῶντες· « Οὗτοι ἦσαν οὓς ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· οἱ ἄφρονες τὸν βίον αὐτῶν ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτῶν ἄτιμον. Πῶς κατελογίσθησαν ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτῶν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν. » Ἀλλὰ τί τὸ κέρδος τῶν ῥημάτων τούτων, τῆς μετανοίας ἐκνενευρισμένης ὑπὸ τοῦ καιροῦ τότε;

Ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν, Οὐδεὶς οὖν μετ' ἐκείνους τοὺς καιροὺς ἐκκεκήρυκται ἁγίους ἄνδρας; Πολλοὶ, καὶ πολλαχοῦ γῆς. Πῶς οὖν τὴν αὐτὴν δίκην οὐκ

tes (4 *Reg.* 2. 23-25), qui id Eliseo tantum dixissent, *Ascende, calve*, Deum tantopere irritaverint, ut statim ursos in eorum multitudinem (erant enim duo et quadraginta) immitteret, qui ab iis ad unum omnes sunt discerpti, neque aut ætas, aut multitudo, aut joco dixisse, puerulis profuit? et jure quidem merito. Si enim qui tantos labores suscipiunt et pueris et viris ludibrio futuri sunt, quis imbecilliorum labores suscipere in animum inducet, cum risu et sannis conjunctos? quis e vulgo virtutem colet, eam adeo ridiculam cernens? Nam si nunc, omnibus ubique eam admirantibus, non solum ejus cultoribus, sed etiam iis qui ea exciderunt, homines vulgo ad eos sudores pavent ac formidant: quis facile eam adeat, si, nedum admirationi habeatur, eam passim ab omnibus culpari videat? Etenim firmiores, et qui jam in cælum commigrarunt, vulgi solatium non requirunt, sed eis pro summo solatio satis est laus quam a Deo consequuntur; imbecillioribus autem, et qui nuper eo sunt deducti, non levis e vulgi commendatione virium accessio fit, donec tandem undique instructi paulatim ita se comparent, ut ea quasi manuductione non indigeant. Nec vero id illorum tantum causa, sed pro irrisorum etiam salute fit, ne qui priorem audaciam non luissent, in eo ultra crimine progrederentur. Sed mihi jam, dum hæc memoro, veniunt in mentem quæ Eliæ tempestate acciderunt (4 *Reg.* 1. 9 sqq.). Nam quod pueri propter Elisæum ab ursis, id propter ejus magistrum bis quinquaginta viri cum suis principibus ab igne cælitus deflagrante passi sunt. Quia enim et hi per summam simulationem justum aggressi vocabant atque ad se descendere jubebant, in ejus vicem descendens ignis omnes absumsit, perinde atque illos ferræ. Itaque hæc cogitantes omnes vos virginitatis hostes, tandem januam atque vectes ori admovete, ne et vos judicii tempore, conspectis iis qui illic ob virginitatem splendebunt, dicere incipiatis: (*Sap.* 5. 3-6.) *Hi sunt quos aliquando in derisum habuimus, et in similitudinem improperii, nos insensati, qui eorum vitam putavimus insaniam, et exitum eorum sine honore. Quomodo Dei filiis annumerati, et inter sanctos sors illorum est? Ergo nos a veri via deerravimus, neque nos justitiæ lumen illustravit.* At quis erit eorum verborum fructus, enervata tum ab ipso tempore pœnitentia?

XXIII. [*Cur qui eadem committunt, non easdem luant pœnas.*] Sed fortasse dicet vestrûm quispiam: At nemone postea viros sanctos conviciis incessit? Multi, et di-

Ἔδοσαν, φησίν; Ἔδοσαν μέν, καὶ τούτων ἴσμεν πολλούς· εἰ δέ εἰσιν οἳ καὶ διέφυγον, ἀλλ' οὐκ εἰς τέλος διαφεύξονται. Κατὰ γὰρ τὸν μακάριον Παῦλον, « Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι· » καὶ καθάπερ οἱ νομοθέται τῶν ἀδικούντων τὰς τιμωρίας ἐν γράμμασι θέντες ἀφῆκαν, οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἕνα καὶ δεύτερον τῶν ἡμαρτηκότων κολάσας, καὶ ὥσπερ ἐν στήλῃ χαλκῇ καὶ γράμμασι τὰς ἐκείνων καταθέμενος τιμωρίας, διὰ τῶν ἐκείνοις συμβάντων ἅπασι διαλέγεται, λέγων ὅτι κἂν τῷ παρόντι καιρῷ τιμωρίαν μὴ ὦσι τὴν αὐτὴν οἱ τὰ αὐτὰ τολμῶντες τοῖς διδωκόσι, κατὰ τὸν μέλλοντα καιρὸν χαλεπωτέραν ὑποστήσονται κόλασιν.

Ὥστε ὅταν ἄμετρα ἁμαρτάνοντες μηδὲν πάσχωμεν κακὸν, μὴ θαῤῥῶμεν, ἀλλὰ διὰ τοῦτο μᾶλλον φοβώμεθα. Κἂν γὰρ ἐνταῦθα μὴ κριθῶμεν ὑπὸ τοῦ Θεοῦ, ἐκεῖ σὺν τῷ κόσμῳ κατακριθησόμεθα. Καὶ αὕτη δὲ πάλιν οὐκ ἐμὴ ἡ ἀπόφασις, ἀλλὰ τοῦ λαλοῦντος ἐν τῷ Παύλῳ Χριστοῦ. Τοῖς γὰρ τῶν μυστηρίων ἀναξίως μεταλαμβάνουσι διαλεγόμενός φησι, « Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νυνὶ δὲ κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Εἰσὶ μὲν γὰρ οἱ τῆς ἐνταῦθα μόνον ἐπιτιμήσεως διόμενοι, ὅταν αὐτῶν σύμμετρα ᾖ τὰ ἁμαρτήματα, καὶ κολασθέντες μηκέτι πάλιν πρὸς τὰ πρότερα ἀνατρέχωσι, τὸν ἐπὶ τὸν ἔμετον ἐπιστρέψαντα κύνα μιμούμενοι· εἰσὶ δὲ οἱ διὰ τὴν ὑπερβολὴν τῆς κακίας καὶ ἐνταῦθα κἀκεῖ τιννύντες δίκην· ἕτεροι δὲ πᾶσαν ἐκεῖ τὴν τιμωρίαν ὑποστήσονται, διὰ τὸ πάντων χαλεπώτερα εἰργάσθαι μὴ ἀξιωθέντες μετὰ ἀνθρώπων μαστιγωθῆναι· « Καὶ μετὰ ἀνθρώπων γάρ, φησὶν, οὐ μαστιγωθήσονται, » ὡς τηρούμενοι μετὰ δαιμόνων κολάζεσθαι. « Ἀπέλθετε γάρ, φησὶν, ἀπ' ἐμοῦ εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. » Πολλοὶ τὴν ἱερωσύνην ἥρπασαν χρήμασιν, ἀλλ' οὐκ ἔσχον τὸν ἐλέγχοντα, οὐδὲ ἤκουσαν ὅπερ ὁ μάγος Σίμων ἤκουσε παρὰ τοῦ Πέτρου τότε· ἀλλ' οὐ διὰ τοῦτο διέφυγον, ἀλλὰ πολλῷ χαλεπωτέραν ὑποστήσονται δίκην τῆς ἐνθάδε ὀφειλομένης, ὅτι μηδὲ ἐκ τοῦ παραδείγματος ἐσωφρονίσθησαν. Πολλοὶ τὰ τοῦ Κορὲ ἐτόλμησαν, ἀλλ' οὐκ ἔπαθον τὰ τοῦ Κορέ, ἀλλὰ πείσονται ὕστερον ἐπὶ μείζονι τῇ ζημίᾳ. Πολλοὶ τὴν τοῦ Φαραὼ ζηλώσαντες ἀσέβειαν οὐ κατεποντίσθησαν ὥσπερ ἐκεῖνος, ἀλλὰ μένει τὸ τῆς γεέννης αὐτοὺς πέλαγος. Οὐδὲ γὰρ οἱ τοὺς ἀδελφοὺς ἀποκαλοῦντες μωροὺς ἤδη τὴν δίκην ἔδοσαν· ἐκεῖ γὰρ αὐτοῖς ἡ κόλασις τεταμίευται. Μὴ τοίνυν τὰς ἀποφάσεις τοῦ Θεοῦ ῥήματα εἶναι νομίζετε μόνον. Διὰ τοῦτο γὰρ καὶ ἐνίας αὐτῶν ἐπὶ τῶν ἔργων προήγαγεν· οἷον ἐπὶ τῆς Σαπφείρας, ἐπὶ τοῦ Χαρμὶ, ἐπὶ Ἀαρὼν, καὶ ἐφ' ἑτέρων δὲ πολλῶν, ἵνα οἱ τοῖς λόγοις ἀπιστοῦντες

versis in regionibus. Et qui, inquit, easdem pœnas non dederunt? Dederunt sane, et eorum multos scimus. Quodsi qui effugerunt, at non perpetuo effugient. Nam ut est apud beatum Paulum (1 *Timoth.* 5. 24), *Quorumdam peccata manifesta sunt, præcedentia ad judicium; quosdam autem et subsequuntur*: atque ut legislatores nocentium pœnas literis consignatas reliquerunt, ita et Dominus noster Jesus Christus in unum atque alterum facinorosum animadvertens, eorumque supplicia tamquam in columna ærea atque literis repræsentans, per ea quæ illis acciderunt omnes commonet, etiamsi hoc tempore, qui eadem audeant quæ qui ea luerunt, easdem pœnas non exsolvant, in futuro sæculo illos graviori pœna mulctandos.

XXIV. [*Qui peccent, nec puniantur, iis non confidendum, sed timendum potius esse.*] Itaque cum sine modo peccantes nihil mali patimur, ne confidamus, sed ideo magis timeamus. Nam licet hic a Deo minime puniamur, illic tamen cum mundo damnabimur. Atque hæc rursum non mea, sed loquentis in Paulo Christi sententia est. Etenim eos alloquens, qui indigne sacra sumerent, ait (1 *Cor.* 11. 30—32): *Ideo inter vos multi infirmi et imbecilles, et dormiunt multi. Quodsi nosmetipsos dijudicaremus, non utique judicaremur: dum judicamur autem, a Domino corripimur, ut non cum mundo damnemur.* Sunt enim qui hic solum castigari opus habeant, quorum et culpæ mediocres sint, et qui castigati iterum ad antiquum non recurrant, canem ad vomitum reversum imitati: sunt et qui propter excessum improbitatis plectantur et hic et illic: alii cuncta illic sustinebunt supplicia; quoniam enim omnium gravissima perpetrarunt, non digni habiti sunt qui cum hominibus flagellarentur: nam ait (*Psal.* 72. 5), *Et cum hominibus non flagellabuntur* illi, quippe reservantur, ut cum dæmonibus puniantur: *Discedite* enim, ait (*Matth.* 25. 41), *a me in tenebras exteriores paratas diabolo et angelis ejus.* Multi sacerdotium nummis rapuerunt, neque aut eum qui reprehenderet habuerunt, nec quod olim a Petro Simon magus audiverunt; at non ideo effugerunt, sed multo graviores pœnas, quam quæ hic debebantur, subibunt, quod nec exemplo emendati sint. Multi eâdem quæ Core ausi sunt, nec eadem quæ Core passi, at post majori suo malo patientur. Multi Pharaonis impietatem imitati, non etiam sicut ille sunt demersi, at gehennæ æquor eos manet. Neque enim qui fratres fatuos vocant, jam puniti sunt; illic enim in eos servata animadversio est. Quare ne putate Dei sententias solum verba esse atque voces; nam eam ob causam ex iis quasdam re ipsa exhibuit, ut in Sapphira, Charmi, Aarone, aliisque multis, ut qui ejus verbis non credunt, rerum confirmatione deterriti desi-

αὐτοῦ, τὴν ἀπὸ τῶν πραγμάτων πίστιν δυσωπηθέντες, παύσωνται λοιπὸν ἀπατῶντες αὑτοὺς ὡς οὐ δώσοντες δίκην, καὶ μάθωσιν ὅτι τοῦ Θεοῦ τὸ χρηστὸν ἐν τῷ διδόναι προθεσμίαν τοῖς ἁμαρτάνουσιν, οὐκ ἐν τῷ μηδ' ὅλως κολάζειν τοὺς ἐπιμένοντας τοῖς ἁμαρτήμασίν ἐστιν. Ἐνῆν μὲν οὖν καὶ πλείονα λέγειν δεικνύντας ὅσον ἑαυτοῖς συνάγουσι πῦρ οἱ τὸ τῆς παρθενίας ἐξευτελίζοντες καλὸν, ἀλλὰ τοῖς μὲν σωφρονοῦσιν ἀρκεῖ καὶ ταῦτα, τοὺς δὲ ἀδιορθώτους ἔχοντας καὶ μαινομένους οὐδὲ πολλῷ τούτων πλείονα τῆς μανίας ἀποστῆσαι δυνήσεται. Διὸ τοῦτο τὸ μέρος ἀφέντες τοῦ λόγου, πρὸς τοὺς σωφρονοῦντας αὐτὸν ἅπαντα τρέψωμεν, πάλιν ἐπὶ τὸν μακάριον Παῦλον ἐπανελθόντες. « Περὶ δὲ ὧν ἐγράψατέ μοι, φησὶ, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. » Αἰσχυνέσθωσαν ἀμφότεροι νῦν, καὶ οἱ τὸν γάμον κακίζοντες, καὶ οἱ παρὰ τὴν ἀξίαν αὐτὸν ἐπαίροντες· ἀμφοτέρους γὰρ ὁ μακάριος ἐπιστομίζει Παῦλος, καὶ διὰ τούτων καὶ διὰ τῶν ἐφεξῆς κειμένων.

Καλὸν ὁ γάμος, ὅτι ἐν σωφροσύνῃ τὸν ἄνδρα διατηρεῖ, καὶ οὐκ ἐᾷ εἰς πορνείαν καταχυλισθέντα ἀποθνῃσκειν. Μὴ τοίνυν αὐτὸν διαβάλῃς· πολὺ γὰρ ἔχει τὸ κέρδος, οὐκ ἐῶν τὰ μέλη τοῦ Χριστοῦ μέλη γενέσθαι πόρνης, οὐ συγχωρῶν τὸν ἅγιον ναὸν γενέσθαι βέβηλον καὶ ἀκάθαρτον. Διὰ τοῦτο καλὸν, ὅτι βαστάζει καὶ ἀνορθοῖ τὸν κατα πίπτειν μέλλοντα. Ἀλλὰ τί τοῦτο πρὸς τὸν ἑστῶτα, πρὸς τὸν οὐ δεόμενον τῆς ἀπ' αὐτοῦ βοηθείας; Ἐνταῦθα γὰρ οὐκέτι χρήσιμον τὸ πρᾶγμα οὐδὲ ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ ἐμπόδιον ἀρετῆς οὐ μόνον τῷ πολλὰ τιθέναι κωλύματα, ἀλλὰ καὶ τῷ τὸ πλέον τῶν ἐγκωμίων ὑποτέμνεσθαι μέρος.

Τὸν γὰρ δυνάμενον γυμνὸν μάχεσθαι καὶ νικᾶν ὁ περιῤῥάττων ὅπλοις οὐ μόνον οὐκ ὠνησεν, ἀλλὰ καὶ τὴν ἰσχάτην ἀδικίαν ἠδίκησε, τοῦ θαύματος ἀποστερήσας αὐτὸν καὶ τῶν λαμπρῶν στεφάνων· οὐ γὰρ εἴασεν αὐτοῦ ἅπασαν φανῆναι τὴν ἰσχὺν, οὐδὲ σφόδρα περιδόητον αὐτοῦ γενέσθαι τὸ τρόπαιον. Ἐπὶ δὲ τοῦ γάμου καὶ μείζων ἡ ζημία· οὐ γὰρ δόξης μόνον τῆς παρὰ τῶν πολλῶν, ἀλλὰ καὶ μισθῶν ἀποστερεῖ τῶν τῇ παρθένῳ κειμένων. Διὰ ταῦτα καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. Τί οὖν ἅπτεσθαι συγχωρεῖς; Διὰ τὰς πορνείας, φησί. Φοβοῦμαί σε εἰς τὸ τῆς παρθενίας ὕψος ἀναγαγεῖν, μὴ καταπέσῃς εἰς τὸ τῆς πορνείας βάραθρον· οὔπω σοι κοῦφον γέγονε τὸ πτερὸν, ἵνα πρὸς ἐκείνην ἐπάρω σε τὴν κορυφήν. Καίτοι γε αὐτοὶ τὸν ἆθλον εἵλοντο, καὶ τῷ τῆς παρθενίας ἐπεπήδησαν καλῷ· τί τοίνυν φοβῇ καὶ τρέμεις, ὦ μακάριε Παῦλε; Ὅτι οὗτοι μὲν, ἴσως ἂν εἴπε, τὸ πρᾶγμα ἀγνοοῦντες ταύτην ἔχουσι τὴν προθυμίαν, ἐμὲ δὲ ἡ πεῖρα καὶ τὸ ἤδη ταύτης ἅψασθαι τῆς μάχης, καὶ πρὸς τὸ συμβουλεύειν ἑτέροις ὀκνηρότερον ποιεῖ.

Οἶδα τὴν βίαν τοῦ πράγματος, οἶδα τῶν ἀγωνισμάτων τούτων τὸν τόνον, οἶδα τοῦ πολέμου τὸ βαρύ. Φιλονείκου τινὸς καὶ βιαίας καὶ ἀπονενοημένης κατὰ τῶν ἐπιθυμιῶν δεῖ ψυχῆς· ἐπὶ γὰρ ἀνθράκων δεῖ πεστant sibi ipsi imponere velut pœnas non daturi, et intelligant Dei benignitatem eo pertinere, ut sceleratis spatium donet, non ut omnino non vindicet in eos qui in vitiis permanent. Poteram equidem et pluribus ostendere, quantum sibi ignem contrahant, qui virginitatis laudem nihili faciant; sed sanis quidem vel hæc sufficiunt, rebelles vero et insanos nec multo iis plura ab insania poterunt retrahere. Itaque ea disputationis parte supersedentes, ad sanos sermonem omnem convertamus, iterum ad beatum Paulum reversi. *De quibus autem mihi scripsistis*, inquit (1 *Cor.* 7. 1), *bonum est homini mulierem non tangere.* Pudet nunc utrosque, et qui matrimonium improbant, et qui plus æquo extollunt; utrisque enim beatus Paulus cum his verbis, tum iis quæ consequuntur, silentium imponit.

XXV. [*Infirmis necessarium esse matrimonium.*] Bonum est matrimonium; quippe quod et virum retinet in officio temperantiæ, neque in libidines provolutum interire sinit. Quare ne id accusa; habet enim ingens commodum, Christi membra scorti membra fieri (1 *Cor.* 6. 15) non permittens, nec sacrum templum profanari et impurum fieri. Bonum est, inquam, quoniam labentem sustinet atque erigit. Sed quid hoc attinet ad eum qui stat, et qui ejus opem non desiderat? Nam hic nec utile, nec necessarium est, sed ad virtutem etiam impedimentum, non solum quod multos præbeat obices, sed etiam quod majorem partem laudis detrahat.

XXVI. [*Qui virgo agere possit ac matrimonium contrahat, summum sibi damnum facere.*] Etenim qui armis eum instruit, qui nudus pugnare potest et vincere, adeo non juvat, ut extrema etiam afficiat injuria, admiratione eum et illustri corona defraudans. Nam nec hominis virtutem omnem patitur elucere, nec ejus tropæum perceleb re reddi. In matrimonio vero gravior etiam jactura est; neque enim solum vulgi commendatione, sed præmiis etiam virgini repositis privat. Eapropter bonum est homini mulierem non tangere. Cur igitur tangere permittis? Propter fornicationem, inquit. Vereor te ad virginitatis fastigium sustollere, ne in fornicationis barathrum decidas. Nondum ea pennarum levitate præditus es, ut te ad id cacumen efferre possim. At ipsi certamen aripuerunt, atque ad virginitatis laudem prosilierunt: quid igitur trepidas, beate Paule, ac formidas? Quod hi, fortasse dixerit, rem ignorantes in hac alacritate sunt; me vero usus ac ipsa periclitatio hujus pugnæ etiam ad cæteris consulendum timidiorem reddit.

XXVII. [*Magnam esse virginitatem et magnorum conciliatricem bonorum.*] Novi rei contentionem, novi certaminum hujusmodi violentiam, novi belli gravitatem. Pervivaci quodam et forti animo opus est, atque adversus

ριπατεῖν καὶ μὴ καταχαίεσθαι, ἐπὶ ξίφους βαδίζειν καὶ μὴ πλήττεσθαι· τοσαύτη γὰρ τῆς ἐπιθυμίας ἡ ἰσχὺς, ὅση καὶ πυρὸς καὶ σιδήρου· κἂν μὴ οὕτω τύχῃ παρεσκευασμένη ψυχὴ ὡς μηδὲ ἐπιστρέφεσθαι πρὸς τὰς ἐκείνης ἀλγηδόνας, ταχέως ἑαυτὴν ἀπόλλυσι. Δεῖ τοίνυν ἡμῖν ἀδαμαντίνης διανοίας, μηδέποτε καθεύδοντος ὀφθαλμοῦ, καρτερίας πολλῆς, τειχῶν ἰσχυρῶν, θριγκῶν ἔξωθεν καὶ μοχλῶν, φυλάκων ἐγρηγορότων καὶ γενναίων, καὶ πρὸ τούτων ἁπάντων τῆς ἄνωθεν ῥοπῆς. « Ἐὰν γὰρ μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν. » Πῶς οὖν τὴν ῥοπὴν ἐπισπασόμεθα ταύτην; Ὅταν τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσενέγκωμεν, λογισμὸν ὑγιῆ, νηστείας καὶ ἀγρυπνίας πολλὴν τὴν ἐπίτασιν, νομοθεσίας ἀκρίβειαν, ἐντολῶν φυλακήν, καὶ τὸ πάντων κεφάλαιον, τὸ μὴ θαρρεῖν ἑαυτοῖς. Κἂν γὰρ μεγάλα κατορθώκότες τύχωμεν, ἐκεῖνο λέγειν ἀναγκαῖον πρὸς ἑαυτοὺς διαπαντὸς, « Ἐὰν μὴ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· » καὶ δεῖ νύκτωρ καὶ μεθ' ἡμέραν ὡπλισμένους ἡμῖν ἑστάναι τοὺς λογισμοὺς, καὶ φοβεροὺς εἶναι ταῖς ἀναισχύντοις ἐπιθυμίαις· ὡς ἂν μικρὸν ἐνδῶσιν, ἕστηκεν ὁ διάβολος πῦρ ἔχων μετὰ χεῖρας, ὥστε ἐκφεῦναι καὶ καταφλέξαι τοῦ Θεοῦ τὸν ναόν. Πάντοθεν οὖν ἡμᾶς ὠχυρῶσθαι χρή. Πρὸς γὰρ φύσεως ἀνάγκην ἡμῖν ἡ μάχη, πρὸς ἀγγέλων πολιτείαν ὁ ζῆλος, μετὰ ἀσωμάτων ὁ δρόμος· ἡ γῆ καὶ σποδὸς τοῖς ἐν οὐρανῷ διατρίβουσιν ἐξισοῦσθαι φιλονεικεῖ, καὶ ἡ φθορὰ πρὸς τὴν ἀφθαρσίαν τὴν ἄμιλλαν ἔθετο. Ἔτι οὖν γάμον καὶ ἡδονὴν τοσούτῳ πράγματι παραβαλεῖν τολμήσει τις, εἰπέ μοι; καὶ πῶς οὐκ εὐηθες λίαν; Ταῦτα ἅπαντα ὁ Παῦλος συνειδὼς ἔλεγεν, « Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. » Διὰ ταῦτα ἀνεβάλετο, διὰ ταῦτα οὐκ ἐθάρρει διαλεχθῆναι ἐξ ἀρχῆς περὶ παρθενίας αὐτοῖς, ἀλλὰ τοῖς περὶ τοῦ γάμου λόγοις ἐνδιατρίβει, κατὰ μικρὸν ἀποστῆσαι τοῦ γάμου βουλόμενος αὐτοὺς, καὶ τοὺς περὶ τῆς ἐγκρατείας λόγους βραχεῖς ποιησάμενος, ἐκείνοις πολλοῖς οὖσιν αὐτοὺς ἐγκατέμιξεν, οὐκ ἀφεὶς πληγῆναι τὴν ἀκοὴν τῷ τῆς παραινέσεως αὐστηρῷ. Ὁ γὰρ ὅλον διόλου διὰ τῶν βαρυτέρων πλέκων τὸν λόγον ἐπαχθής τέ ἐστι τῷ ἀκούοντι, καὶ πολλάκις ἀναγκάζει μετασκιρτῆσαι τὴν ψυχὴν μὴ φέρουσαν τῶν λεγομένων τὸ βάρος· ὁ δὲ ποικίλλων αὐτὸν, καὶ πλείονα ἀπὸ τῶν ῥᾴστων ἢ τῶν δυσκόλων τιθεὶς τὴν μίξιν, τὸ τοῦ πράγματος κλέπτει βαρὺ, καὶ διαναπαύσας τὸν ἀκροατὴν οὕτω πείθει καὶ προσάγεται μᾶλλον· ὅπερ οὖν καὶ ὁ μακάριος Παῦλος ἐποίησεν. Εἰπὼν γὰρ « Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι », ἀπεπήδησεν ἐπὶ τὸν γάμον εὐθέως, « Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω », λέγων· καὶ τὸ μὲν μακαρίσας μόνον, ἀφῆκε· « Καλὸν

libidines durissimo. Nam per carbones sic ingrediendum est, ut non uraris, et ita per mucrones eundum, ut non saucieris. Tanta est enim libidinis vis, quanta ignis atque ferri; quod nisi animus ita comparatus sit, ut nec ad ejus dolores moveatur, protinus se perdit. Itaque opus est nobis adamantina mente, oculo insomni, tolerantia summa, muris firmis, antemuralibus ac repagulis, custodibus pervigilibus ac prævalidis, atque in primis cælesti favore. Nam (*Psal.* 126. 1) *Nisi Dominus urbem custodiat, frustra vigilant qui custodiunt eam.* At quo pacto eum favorem eliciemus? Si nostra omnia conferamus, sana consilia, summam jejunii ac vigiliarum contentionem, legis accuratam observationem, mandatorum custodiam, et quod caput est, si in nobis fiduciam non collocemus; nam etsi magna præstiterimus, illud apud nos perpetuo dicamus necesse est (*ibid.*): *Nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam.* (*Ephes.* 6. 12) *Nec enim nobis lucta est adversus sanguinem et carnem, sed adversus principatus, adversus potestates, adversus mundi rectores tenebrarum hujus sæculi, adversus spiritualia nequitiæ in cælestibus;* ac nocte dieque cogitationes nobis armatæ sient oportet, et impudentes libidines terreant. Quippe si minimum remittant, adstat diabolus ignem manibus tenens, vibraturus ac Dei templum concrematurus. Ergo opus est undique muniamur; est enim nobis pugna cum naturæ necessitate, angelorum conversationis æmulatio, cum incorporeis Virtutibus cursus; terra atque cinis cælicolis æquari nititur, mortalitas cum immortalitate certamen init. Et quisquam, sodes, matrimonium ac voluptatem cum re tanta conferre ausit? an non id valde stolidum est? Itaque Paulus, qui hæc omnia sciret, dicebat (1 *Cor.* 7. 2), *Suam quisque uxorem habeat:* ideo detrectabat, ideo eis non audebat de virginitate primum disserere; sed disputationi de matrimonio immoratur, paulatim eos a matrimonio retrahere volens, et brevem de continentia sermonem longiori illi intermiscet, aures admonitionis severitate feriri minime passus. Nam qui usquequaque e rebus arduis orationem texit, et molestus est auditori, et plerumque animum cogit dictorum gravitatem non ferentem resilire: at qui eam variat, ac facilia plura quam difficilia immiscet, cum difficultatis sensum eripit, tum reficiendo auditorem, ita eum magis inducit et conciliat; quod quidem et beatus Paulus fecit. Eo enim dicto, *Bonum est homini mulierem non tangere*, protinus ad matrimonium se recepit, ut suam quisque uxorem haberet dicens. Atque contentus illud beatum prædicasse (nam, *Bonum*, inquit, *est ho-*

γὰρ, φησὶν, ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· » περὶ δὲ τοῦ γάμου καὶ συμβουλεύει καὶ ἐπιτάττει, καὶ αἰτίαν προστίθησι· « Διὰ γὰρ τὰς πορνείας, » φησί. Καὶ δοκεῖ μὲν αἰτιολογεῖν τοῦ γάμου τὴν συγχώρησιν, τὸ δὲ ἀληθὲς λανθανόντως ἐν ταῖς περὶ τοῦ γάμου προφάσεσιν ἐπαίρει τὸ τῆς ἐγκρατείας ἐγκώμιον, οὐ φανερῶς ἐκκαλύπτων τῷ λόγῳ, ἀλλὰ τῇ συνειδότι τῶν ἀκουόντων καταλιμπάνων αὐτό. Ὁ γὰρ μαθὼν ὅτι παραινεῖται γαμεῖν, οὐκ ἐπειδὴ τὸ κράτιστον τῆς ἀρετῆς ὁ γάμος, ἀλλ' ἐπειδὴ τοσαύτην αὐτοῦ κατέγνω λαγνείαν ὁ Παῦλος, ὡς ἄνευ γάμου μὴ δυναμένου λαγνείας ἀπέχεσθαι, ἐρυθριάσας καὶ αἰσχυνθεὶς, σπουδάσει ταχέως ἐπιλαβέσθαι τῆς παρθενίας, καὶ τὴν τοσαύτην ἀποκρούσασθαι ἀδοξίαν.

Τί δὲ μετὰ ταῦτά φησι; « Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. » Εἶτα ἑρμηνεύων αὐτὸ καὶ σαφέστερον ποιῶν ἐπάγει, « Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. » Καὶ ταῦτα δοκεῖ μὲν ὑπὲρ τοῦ γάμου λέγεσθαι· τὸ δὲ ἀληθὲς, ὥσπερ ἄγχιστρον τῇ συνήθει περιστείλας τροφῇ, οὕτως εἰς τὰς τῶν μαθητῶν ἐνίησιν ἀκοὰς, αὐτοῖς τοῖς περὶ τοῦ γάμου λόγοις ἐξαγαγεῖν αὐτοὺς τοῦ γάμου βουλόμενος. Ὁ γὰρ ἀκούσας ὅτι μετὰ τὸν γάμον οὐκ ἔσται κύριος ἑαυτοῦ, ἀλλ' ἐν τῇ τῆς γυναικὸς κείσεται γνώμῃ, ταχέως ἀπαλλαγῆναι σπουδάσει τῆς πικροτάτης δουλείας, μᾶλλον δὲ μηδὲ τὴν ἀρχὴν τὸν ζυγὸν ὑπελθεῖν· ἐπειδὴ εἰσελθόντα ἅπαξ δουλεύειν ἀνάγκη λοιπὸν, ἕως ἂν τῇ γυναικὶ τοῦτο δοκῇ. Καὶ ὅτι οὐχ ἁπλῶς καταστοχαζόμενος λέγω τῆς τοῦ Παύλου γνώμης, ἀπὸ τῶν μαθητῶν ῥᾴδιον τοῦτο καταμαθεῖν. Οὐδὲ γὰρ ἐκεῖνοι πρότερον φορτικὸν εἶναι καὶ ἐπαχθὲς τὸν γάμον ἐνόμισαν, ἀλλ' ὅτε ἤκουσαν τοῦ Κυρίου εἰς ταύτην αὐτοὺς καταχλείοντος τὴν ἀνάγκην, εἰς ἣν καὶ τοὺς Κορινθίους ὁ Παῦλος τότε. Τὸ γὰρ « Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι, » καὶ τὸ « Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, » ῥήμασι μὲν ἑτέροις, γνώμῃ δὲ εἴρηται τῇ αὐτῇ. Εἰ δέ τις ἀκριβέστερον καταμάθοι τὸ τοῦ Παύλου, μᾶλλον ἐπιτείνει τὴν τυραννίδα, καὶ φορτικωτέραν ἐργάζεται τὴν δουλείαν. Ὁ μὲν γὰρ Κύριος οὐκ ἀφίησι κύριον εἶναι τὸν ἄνδρα τοῦ τῆς οἰκίας ἐκβαλεῖν αὐτήν· ὁ δὲ Παῦλος καὶ τὴν τοῦ οἰκείου σώματος ἐξουσίαν παραιρεῖται, πᾶσαν αὐτοῦ τὴν ἀρχὴν τῇ γυναικὶ παραδοὺς, καὶ ἀργυρωνήτου μᾶλλον ὑποτάξας οἰκέτου. Τούτῳ μὲν γὰρ ἔξεστι πολλάκις καὶ παντελοῦς ἐλευθερίας τυχεῖν, εἴ γε δυνηθείη ποτὲ εὐπορήσας ἀργυρίου καταθεῖναι τὴν τιμὴν τῷ δεσπότῃ· ὁ δὲ ἀνὴρ κἂν τὴν ἁπάντων ἀργαλεωτέραν ἔχῃ γυναῖκα, στέργειν ἀναγκάζεται τῇ δουλείᾳ, καὶ λύσιν οὐδεμίαν οὐδὲ διέξοδον ταύτης δύναται τῆς δεσποτείας εὑρεῖν.

Εἰπὼν τοίνυν, « Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει », ἐπάγει, « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ

mini mulierem non tangere), de matrimonio et consulit et præcipit, adlita etiam causa : ait enim, *Propter fornicationem*; atque matrimonii concessionem reprehendere videtur ; sed re vera expositis matrimonii causis tacite continentiæ laudem amplificat, non id apertis verbis declarans, sed auditorum conscientiæ relinquens. Nam qui se moneri intelligat ut matrimonium contrahat, non quod matrimonium potissima quædam virtus sit, sed quod se Paulus tantæ libidinis damnet, ut citra matrimonium ab ea se continere nequeat, erubescens ac pudefactus, protinus virginitatem adsciscere atque a se tantam infamiam depellere nitetur.

XXVIII. [*Quæ de matrimonio dicantur, cohortationem esse ad virginitatem.*] Quid vero addit insuper? (*Ib.* 3) *Uxori vir debitam benevolentiam reddat, itidemque uxor viro;* quod apertius explanans subdit (*ib.* 4) : *Uxor sui corporis domina non est, sed vir; itidemque vir sui corporis dominus non est, sed uxor.* Et hæc dici pro matrimonio videntur; re vera autem ea, tamquam hamum assueta esca obvolutum, in discipulorum aures immittit, eos per sermonem de matrimonio a matrimonio retrahere volens. Qui enim audiat, post matrimonium non jam se suum fore, sed uxoris arbitrio subjectum iri, nec mora, acerbissima servitute expedire se conabitur, vel potius ab initio jugum non subire; cum qui semel subierit, ei porro serviendum sit, quamdiu id uxori videatur. Quod autem hic non ex conjectura de Pauli sententia loquar, promtum est ex discipulis cognoscere. Nam nec ii grave ac molestum esse matrimonium prius arbitrati sunt, quam a Domino se in eam necessitatem conclusos, in quam et a Paulo tum Corinthii, viderunt. Illud enim (*Matth.* 5. 32), *Qui uxorem suam dimiserit, excepta fornicationis causa, facit eam mœchari*; et hoc, *Vir sui corporis dominus non est*, dissimilibus verbis, sed eodem sensu concepta sunt. Quin si quis hoc Pauli accuratius animadvertat, tyrannidem auget magis, durioremque servitutem reddit. Nam Dominus viro non permittit eam domo exigere : Paulus, ei etiam sui corporis dominio erepto, omne ejus jus in uxorem confert, eique eum emtitio famulo gravius subjicit. Huic enim licet sæpe etiam solidam libertatem adipisci, si quidem possit aliquando auctus pecunia hero pretium numerare : at vir, quamvis omnium difficillimam uxorem nactus sit, servitutem ferre cogitur, nec qua eo dominatu se absolvat, inire viam potest.

XXIX. [*Illud*, Ne defraudate alter alterum, *ejus esse qui ad virginitatem instiget.*] Itaque cum dixisset, *Uxor*

μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. » Πολλοὺς ἐνταῦθα τῶν τὴν παρθενίαν ἐπανηρημένων οἶμαι καὶ ἀρυθριᾶν καὶ αἰσχύνεσθαι ἐπὶ τῇ πολλῇ συγκαταβάσει τοῦ Παύλου· ἀλλὰ μὴ δείσητε, μηδὲ ἀβέλτερόν τι πάθητε. Δοκεῖ μὲν γὰρ καὶ ταῦτα εἶναι χαριζομένου τοῖς γεγαμηκόσιν· εἰ δέ τις αὐτὰ ἀκριβῶς διασκέψαιτο, τῆς αὐτῆς ὄντα τοῖς προτέροις εὑρήσει γνώμης. Εἰ μὲν γάρ τις αὐτὰ ἁπλῶς ἐπεξιέναι βούλοιτο, τῆς προκειμένης ἀπαλλάττων αἰτίας, δόξει νυμφευτρίας εἶναι μᾶλλον ἢ ἀποστόλου τὰ ῥήματα· εἰ δὲ τὸν σκοπὸν ἅπαντα ἀναπτύξεις, καὶ ταύτην εὑρήσει τῆς ἀποστολικῆς ἀξίας τὴν παραίνεσιν. Διὰ τί γὰρ μακρότερον ἐπέξεισι τούτῳ τῷ λόγῳ; οὐ γὰρ ἦρκει διὰ τῶν ἀνωτέρω τοῦτο σεμνότερον αἰνιξάμενον, μέχρι ἐκείνου στῆσαι τὴν παραίνεσιν; τί γὰρ ἔχει πλέον τοῦ « Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω », καὶ « Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, » τὸ « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν »; Πλέον μὲν οὐδέν· τὸ δὲ ἐν βραχεῖ καὶ ἀμυδρῶς εἰρημένον ἐκεῖ διὰ πλειόνων ἐνταῦθα καὶ σαφέστερον ἐξειργάσατο. Ποιεῖ δὲ τοῦτο μιμούμενος τὸν ἅγιον τοῦ Θεοῦ Σαμουήλ. Καθάπερ γὰρ ἐκεῖνος μετὰ πάσης ἀκριβείας τοὺς περὶ τῆς βασιλείας ἐξηγεῖται νόμους τοῖς ἰδιώταις, οὐχ ἵνα δέξωνται, ἀλλ' ἵνα μὴ δέξωνται· καὶ δοκεῖ μὲν διδασκαλία τὸ πρᾶγμα εἶναι, τὸ δὲ ἀληθὲς ἀποτροπή τις ἦν τῆς ἐπιθυμίας αὐτῶν τῆς ἀκαίρου· οὕτω καὶ ὁ Παῦλος τοῦ γάμου τὴν τυραννίδα συνεχέστερον στρέφει καὶ σαφέστερον, τούτοις αὐτοὺς τοῖς ῥήμασιν ἐκεῖθεν ἐξελκύσαι βουλόμενος. Εἰπὼν γὰρ « Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει », ἐπάγει « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ. » Ὁρᾷς πῶς ἀνυπόπτους καὶ ἀνεπαχθῶς τοὺς ἐν τῷ γάμῳ μένοντας εἰς τὴν τῆς ἐγκρατείας γυμνασίαν ἐνήγαγε; Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ἁπλῶς τὸ πρᾶγμα ἐπήνεσεν, εἰπὼν « Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· » ἐνταῦθα δὲ καὶ παραίνεσιν προσέθηκεν, εἰπὼν « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. » Διὰ τί δὲ καὶ ἐν παραινέσει ὅπερ θεῖναι ἠβούλετο εἰσήγαγεν, ἀλλ' οὐκ ἐν ἐπιτάγματος σχήματι; (οὐ γὰρ εἶπεν, Ἀποστερεῖτε μὲν ἀλλήλους, συμφώνως δέ· ἀλλὰ τί; « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. ») Ὅτι οὕτω προσηνέστερος ὁ λόγος ἐγίγνετο, τοῦ διδασκάλου τὴν γνώμην δεικνὺς οὐ μετὰ σφοδρότητος τοῦτο ἀπαιτοῦσαν, ὅτε μάλιστα καὶ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἡ ἔκτισις γίνεται. Οὐ τούτῳ δὲ μόνῳ παραμυθεῖται τὸν ἀκροατήν, ἀλλὰ καὶ τῷ τὸ μὲν τραχὺ βραχέσι συστεῖλαι ῥήμασι, πρὶν ἢ δὲ ἀλγῆσαι τὸν ἀκούοντα, ἐπὶ τὰ ἡδύτερα μεταπηδῆσαι, καὶ τούτοις ἐνδιατρῖψαι μᾶλλον.

Ἄξιον δὲ ἐξετάσαι κἀκεῖνο, τί δήποτε, εἴπερ τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, οὐκ ἀφῆσιν αὐτὸν χώραν

sui corporis domina non est, addit (*ib.* 5), *Ne defraudate alter alterum, nisi si quid ex consensu ad tempus, ut jejunio et precibus vacetis: rursumque eodem convenite.* Multos hic eorum qui virginitatem sunt amplexi, de tanta Pauli indulgentia erubescere ac verecundari existimo At ne timete, neu imperite quidquam admittite. Nam et hæc videntur quidem esse conjugibus indulgentis; sed si quis ea accurate scrutetur, ejusdem esse cum superioribus sententiæ comperiet. Namque si ea leviter tractemus a proposita causa avellentes, pronubæ potius quam apostoli verba videbuntur: sin consilium omne evolvamus, etiam hanc cohortationem dignam apostolica gravitate inveniemus. Quid est enim cur in hac disputatione prolixior est? an non id satis erat, ut, cum superioribus verbis hoc graviter repræsentasset, cohortationem illic sisteret? nam quid hoc, *Ne defraudate alter alterum, nisi si quid ex consensu ad tempus*, et illo, *Uxori vir debitam benevolentiam reddat*, plus dicit hoc, *Vir sui corporis dominus non est?* Nihil sane: sed quod illic breviter et obscure dictum est, hic pluribus illustrat. Atque id facit sanctum Dei Samuelem imitatus. Ut enim ille accuratissime regni leges populo recenset, non ut eas suscipiant, sed ne suscipiant; agique institutio quædam videtur, cum re vera intempestivæ eorum cupiditatis dehortatio sit: ad eumdem modum et Paulus matrimonii tyrannidem frequentius et apertius inculcat, eos his verbis volens inde revocare. Itaque ei sententiæ, *Uxor sui corporis domina non est*, addit, *Ne defraudate alter alterum, nisi si quid ex consensu, ut jejunio et precibus vacetis.* Vides ut necopinato et sine molestia eos qui in matrimonio degerent, ad continentiæ studium inducat? Nam principio rem simpliciter laudavit, dicens, *Bonum est homini mulierem non tangere:* hic vero adhibet etiam cohortationem his verbis, *Ne defraudetis alter alterum, nisi si quid ex consensu.* Et cur quod constitutum volebat, hortabundus, non imperabundus proponit? (neque enim dixit, Defraudate alter alterum, dummodo ex consensu; sed quid? *Ne defraudate alter alterum, nisi si quid ex consensu.*) Quia sic sermo lenior fiebat, doctoris sententiam demonstrans, quæ rigide id non exigat, cum maxime quidem summa cum benevolentia persolvatur. Neque eo solo auditorem solatur, sed etiam quod asperum brevibus verbis complexus prius ad jucunda revertatur, quam auditorem dolor attingat, in iisque magis moretur.

XXX. [*Cur si honoratum matrimonium est, jejunantes hortatur Paulus congressu abstinere.*] Atque illud

ἔχειν ἐν τῷ τῆς νηστείας καὶ τῆς προσευχῆς καιρῷ; Ὅτι τῶν σφόδρα ἀτόπων ἦν, Ἰουδαίους μὲν, οἷς ἅπαντα σωματικὰ διατετύπωτο, οἷς καὶ δύο γυναῖκας ἔχειν ἦφειτο, καὶ τὰς μὲν ἐκβάλλειν, τὰς δὲ ἀντεισάγειν, τοσαύτην ποιήσασθαι τοῦ πράγματος πρόνοιαν, ὡς μέλλοντας θείων ἀκούειν λόγων, ἀποστῆναι καὶ τῆς κατὰ νόμον μίξεως, καὶ ταῦτα οὐ μίαν οὐδὲ δύο μόνον ἡμέρας, ἀλλὰ καὶ πλείους· ἡμᾶς δὲ τοὺς τοσαύτης ἀπολαύοντας χάριτος, τοὺς πνεῦμα λαβόντας, τοὺς νεκρωθέντας, τοὺς συνταφέντας τῷ Χριστῷ, τοὺς υἱοθεσίας ἀξιωθέντας, τοὺς εἰς τοσαύτην ἀναχθέντας τιμὴν, μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθὰ μηδὲ εἰς τὴν αὐτὴν ἐρικέσθαι τοῖς νηπίοις ἐκείνοις σπουδήν. Εἰ δὲ ἐπιμένοι τις πάλιν ζητῶν, Αὐτὸς δὲ ὁ Μωϋσῆς διὰ τί τοὺς Ἰουδαίους τῆς ὁμιλίας ταύτης ἀπήγαγεν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου σθάσαι δύναιτ' ἄν, ὥστε μὴ μολῦναι τὸν χρώμενον, τὸ δὲ καὶ ἁγίους ἀποφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς παρθενίας ἐστίν. Ὅτι δὲ οὐ Μωϋσῆς μόνον, οὐδὲ Παῦλος ταῦτα παρήγγελον, ἄκουσον τί φησιν ὁ Ἰωήλ· « Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε ἐκκλησίαν, ἐκλέξατε πρεσβυτέρους. » Ἀλλ' ἐκεῖνο ἴσως ζητεῖς, ποῦ γυναικὸς ἀπέχεσθαι ἐκέλευσεν; « Ἐξελθέτω, φησὶ, νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. » Τοῦτο γὰρ καὶ Μωσαϊκοῦ μεῖζόν ἐστιν ἐπιτάγματος. Εἰ γὰρ νυμφίον καὶ νύμφην, οἷς ἀκμάζει τὰ τῆς ἐπιθυμίας, οἷς ἡ νεότης σφριγᾷ, οἷς ὁ πόθος ἀκάθεκτος, οὐ χρὴ συνιέναι κατὰ τὸν τῆς νηστείας καιρὸν καὶ τῆς προσευχῆς, πόσῳ μᾶλλον τοὺς λοιποὺς τοὺς οὐκ ἔχοντας μίξεως τοσαύτην ἀνάγκην; Τὸν γὰρ εὐχόμενον ὡς χρὴ καὶ νηστεύοντα, πάντα ἀποῤῥῖψαι δεῖ πόθον βιωτικὸν, πᾶσαν φροντίδα καὶ διάχυσιν, καὶ πανταχόθεν ἑαυτὸν συναγαγόντα καλῶς, οὕτω προσιέναι τῷ Θεῷ. Διὰ τοῦτο καὶ ἡ νηστεία καλὸν, ὅτι περικόπτει τὰς τῆς ψυχῆς φροντίδας, καὶ τὴν περιῤῥέουσαν τὸν νοῦν ὀλιγωρίαν ἀναστέλλουσα ὅλην πρὸς ἑαυτὴν ἐπιστρέφει τὴν διάνοιαν. Τοῦτο καὶ ὁ Παῦλος αἰνιττόμενος ἀπάγει τῆς μίξεως, καὶ τῇ λέξει σφόδρα κυρίως κέχρηται. Οὐ γὰρ εἶπεν, Ἵνα μὴ μολυνθῆτε, ἀλλ' « Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· » ὡς τῆς πρὸς γυναῖκα ὁμιλίας οὐκ εἰς ἀκαθαρσίαν ἀλλ' εἰς ἀσχολίαν ἀγούσης.

Ὅπου γὰρ νῦν μετὰ τὴν τοσαύτην ἀσφάλειαν πειρᾶται ἐμποδίζειν ἡμῖν κατὰ τὸν τῆς προσευχῆς καιρὸν ὁ διάβολος, ἐὰν διακεχυμένην λάβῃ ψυχὴν καὶ ὑπὸ τῆς πρὸς τὴν γυναῖκα συμπαθείας μεμαλαγμένην, τί οὐκ ἐργάσεται τῇδε κἀκεῖσε τοὺς τῆς διανοίας ἀναῤῥιπίζων ὀφθαλμούς; Ὅπερ ἵνα μὴ πάθωμεν, μηδὲ, ὅτε μάλιστα ἵλεω σπουδάζομεν ἡμῖν καταστῆσαι τὸν Θεὸν, τότε αὐτῷ προσκρούωμεν διὰ τῆς οὕτω ματαίας εὐχῆς, κελεύει τῆς κοίτης ἀπηλλάχθαι τότε.

Εἰ γὰρ οἱ τοῖς βασιλεῦσι προσιόντες, τί λέγω βασιλεῦσιν; ἐσχάτοις μὲν οὖν ἄρχουσι, καὶ δεσπόταις

etiam quæstione dignum est, cur, si quidem honorabile est matrimonium et torus immaculatus, ei precum ac jejunii tempore locum habere non permittat? Quod perabsurdum esset, Judæos, quibus omnia corporea constituta erant, qui duas conjuges habere, et aliis ejectis alias adsciscere sinebantur, tantam in hac re operam ponere, ut divina oracula audituri, etiam legitimo coitu abstinerent, idque non unum aut alterum diem, sed etiam plurea: nos autem tanta affectos gratia, qui spiritalia accepimus, carni mortuos, cum Christo consepultos, adoptione auctos, ad tantam dignitatem evectos, post tot tantaque bona ne infantium quidem illorum studium consequi. Quodsi quis iterum quærere persistat, cur Moses ipse Judæos ab eo coitu abducat, id habeat responsum: etsi honorabile matrimonium sit, at eo solum pertingere, ut utentem non inquinet, sanctos vero præstare illud non posse, sed virginitatem. Ne vero putes ea Mosen solum et Paulum edixisse, audi quid Joel (2. 16) dicat: *Sanctificate jejunium, prædicate curationem, cogite cœtum, seniores eligite.* Sed quæris fortasse, ubinam uxore abstinendum dicat? *Egrediatur*, inquit (*ib.* 16), *sponsus de cubili suo, et sponsa de thalamo suo.* Id enim Mosaico etiam majus est præcepto. Nam si sponsum ac sponsam libidine ardentes, juventa prurientes, cupiditate infrenes, jejunii et precum tempore coire nefas est, quanto magis cæteros eam congrediendi necessitatem non habentes? Qui enim ut decet comprecetur ac jejunet, ei necesse est omne humanarum rerum studium, omnem curam et negotium abjicere, ac se undique colligentem Deum adire. Quare et jejunium bonum est, quippe quod recisis animi curis, ac negligentia quæ mentem circumfluat repressa, cogitationem ad se convertat. Id quod et Paulus innuens, a congressu arcet, et verbis utitur admodum propriis. Non enim ait, Ne inquinemini, sed, *Ut jejunio et precibus vacetis:* velut coitu cum uxore non ad fœditatem, sed ad occupationem nos cogente.

XXXI. [*Qui precationibus rite operam dare velint, necessario Paulum a concubitu avocasse.*] Nam cum nunc post tot præsidia impedire nos precum tempore diabolus conetur, ecquid non molietur mentis oculos huc illuc jactando, animum nactus diffluentem atque uxoris studio emollitum? Quod ne pateremur, neve cum potissimum id agimus, ut Deum nobis propitium comparemus, tum prece adeo futili eum irritaremus, jubet tum a coitu puros esse.

XXXII. [*Qui segniter precentur, non modo Deum non propitiare, sed etiam irritare.*] Etenim si qui reges

δοῦλοι ἐντυγχάνοντες, ἄν τε ὑφ' ἑτέρων ἠδικημένοι τοῦτο ποιῶσιν, ἄν τε αὐτοὶ δεόμενοι παθεῖν εὖ, ἄν τε ὀργήν τινα καθ' ἑαυτῶν ἐγηγερμένην κοιμίσαι σπεύδοντες, καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν διάνοιαν ἅπασαν ἐπιστρέψαντες πρὸς ἐκείνους, οὕτω ποιοῦνται τὴν ἐντυχίαν, κἂν μικρὸν ἀποῤῥαθυμήσωσιν, οὐ μόνον οὐ κατώρθωσαν ὑπὲρ ὧν ἐδέοντο, ἀλλὰ καὶ κακόν τι προσλαβόντες ἀπῆλθον· εἰ οἱ θυμὸν ἀνθρώπων παῦσαι βουλόμενοι τοσαύτῃ κέχρηνται τῇ σπουδῇ, τί πεισόμεθα ἡμεῖς οἱ δείλαιοι, μετὰ τοσαύτης ῥᾳθυμίας τῷ πάντων Δεσπότῃ προσιόντες Θεῷ, καὶ ταῦτα πολλῷ μείζονος ὀργῆς ὄντες ὑπεύθυνοι; Οὔτε γὰρ οἰκέτης δεσπότην, οὔτε ἀρχόμενος βασιλέα παροξύνειεν ἂν οὕτως, ὡς τὸν Θεὸν καθ' ἑκάστην ἡμέραν ἡμεῖς. Καὶ τοῦτο ἐμφαίνων ὁ Χριστὸς τὰ μὲν εἰς τὸν πλησίον ἁμαρτήματα ἑκατὸν ἐκάλει δηνάρια, τὰ δὲ εἰς τὸν Θεὸν μυρία τάλαντα. Ἐπεὶ οὖν τοσαύτην ἐν ταῖς εὐχαῖς πρόσιμεν σβέσοντες ὀργήν, καὶ ὃν οὕτω καθ' ἑκάστην ἐκπολεμοῦμεν τὴν ἡμέραν καταλλάξοντες, εἰκότως ἡμᾶς ἀπάγει τῆς ἡδονῆς ἐκείνης, μονονουχὶ λέγων, Περὶ ψυχῆς ἡμῖν ὁ λόγος, ἀγαπητοὶ, ὑπὲρ τῶν ἐσχάτων ὁ κίνδυνος· τρέμειν δεῖ καὶ δεδοικέναι καὶ συνεστάλθαι· δεσπότῃ πρόσιμεν φοβερῷ, πολλὰ παρ' ἡμῶν ὑβρισμένῳ, μεγάλα ἡμῖν ἔχοντι καὶ ὑπὲρ μεγάλων ἐγκαλεῖν. Οὐ περιπλοκῶν οὗτος ὁ καιρὸς, οὐδὲ ἡδονῶν, ἀλλὰ δακρύων καὶ στεναγμῶν πικρῶν, προσπτώσεως, ἐξομολογήσεως ἀκριβοῦς, λιτανείας συντεταμένης, ἱκετηρίας πολλῆς. Ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαύτης προσπίπτοντα σπουδῆς δυνηθῆναι ἐκμειλίξασθαι τὴν ὀργὴν ἐκείνην· οὐχ ὅτι ἀπηνὴς, οὐδ' ὅτι ὠμὸς ὁ Δεσπότης ἡμῶν· καὶ γὰρ σφόδρα ἐστὶν ἥμερος καὶ φιλάνθρωπος· ἀλλ' ἡ τῶν ἁμαρτημάτων τῶν ἡμετέρων ὑπερβολὴ οὐδὲ τὸν χρηστὸν καὶ ἐπιεικῆ καὶ πολυέλεον ἀφίησιν ἡμῖν συγγνῶναι ταχέως· διό φησιν, « Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ. » Τί οὖν ἂν εἴη τῆς δουλείας ταύτης πικρότερον; Βούλομαι ἐπιδοῦναι πρὸς ἀρετὴν, ἀναπτῆναι πρὸς τὸν οὐρανὸν, νηστείαις καὶ εὐχαῖς συνεχῶς προσκαρτερῶν ἀποσμῆξαι τὸν ῥύπον τῆς ψυχῆς· εἶτα ἂν μὴ βούληται ἐκείνη ταύτῃ ἐπινεῦσαι τῇ γνώμῃ, ἀνάγκη δουλεύειν αὐτῆς τῇ λαγνείᾳ. Διὰ τοῦτο γὰρ ἀρχόμενος ἔλεγε, « Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· » διὰ τοῦτο καὶ οἱ μαθηταὶ πρὸς τὸν Κύριον εἶπον, « Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι. » Λογισάμενοι γὰρ ὅτι πολλὴ ἀνάγκη θατέρῳ μέρει γενέσθαι τὴν ἐπήρειαν, καὶ στενοχωρηθέντες ὑπὸ τῶν λογισμῶν, ταύτην ἀφῆκαν τὴν φωνήν.

Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς αὐτὸ στρέφει, ἵνα εἰς τοῦτον τὸν λογισμὸν ἐμβάλῃ τοὺς Κορινθίους· « Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει· Μὴ ἀποστερεῖτε ἀλλήλους· Ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. » Οὐδὲ γὰρ οἱ μακάριοι τότε ἐκεῖνοι ἐκ πρώτης εὐθέως τοῦτο ἔπαθον

adeunt; et quid reges dico? imo vere infimos magistratus, et servi heros alloquentes, seu id agant injuria ab aliis affecti, seu beneficium ipsi postulantes, seu iram in se excitatam sopire curantes, et oculis et mente omni ad eos conversa, ita colloquium habent; sin minimum torpeant, non solum pro quibus supplicabunt non perficient, sed malo etiam accepto discedent: si qui hominum furorem lenire volunt, tantopere laborant; quid nobis miseris fiet, qui omnium principem Deum adeo negligenter adimus, maxime cum longe majori simus iræ obnoxii? Neque enim herum servus, aut regem subditus tam graviter irritat, atque nos Deum in dies. Atque id significans Christus (*Matth.* 18. 23 seqq.) peccata in alium centum denarios, in Deum decem millia talenta nominabat. Quare cum eum sedandæ tantæ iræ, ejusque, quem quotidie oppugnemus, propitiandi causa precibus adimus, merito nos ab ea voluptate arcet, quasi dicat: De anima nobis agitur, carissimi, de summa rerum periculum est; tremendum, horrendum, formidandum est. Herum adimus terribilem, multoties a nobis læsum, multa habentem quæ nobiscum expostulet. Non hoc tempus est amplexuum, non voluptatum, sed lacrimarum, acerborum gemituum, prostrationis, accuratæ confessionis, diligentis supplicationis, frequentium precum; quandoquidem bene cum eo agatur qui vel tanto studio iram eam leniat, non quia durus ac crudelis sit Dominus noster; est enim admodum lenis et humanus; sed scelerum nostrorum magnitudo etsi benignum, clementem atque misericordem, facile nobis ignoscere non sinit. Itaque ait, *Ut jejunio et precibus vacetis.* Quid igitur est hac servitute acerbius? Volo in virtute gradum facere, in cælum evolare, jejunio atque precibus assidue intentus animi sordes abstergere: quodsi illa in id institutum non consentiat, lascivim ejus servire cogor. Ob id enim initio monebat, *Bonum est homini mulierem non tangere;* et discipuli etiam Domino dicebant (*Matth.* 19. 10), *Si ea est viri cum uxore causa, non expedit matrimonium contrahere;* quippe cogitantes necesse esse alterutram in partem damnum admitti, eaque cogitatione in angustum deducti, eam vocem emiserunt.

XXXIII [*Eadem iterum repetere, eorum esse qui Christum imitentur.*] Quare etiam Paulus id assidue repetit, ut in eam cogitationem Corinthios inducat: *Suam quisque uxorem habeat: Uxori vir debitam benevolentiam reddat: Uxor sui corporis domina non est: Ne defraudate alter alterum: Eodem convenite.* Nam nec beati illi id

τῆς φωνῆς, ἀλλ' ὅτι ἐκ δευτέρου ταῦτα ἤκουσαν, τότε συνεῖδον τῆς ἐντολῆς τὴν ἀνάγκην. Καὶ γὰρ ὅτε ἐπὶ τοῦ ὄρους ἐκάθητο ὁ Χριστὸς, διελέχθη περὶ τούτου, καὶ μεθ' ἕτερα πολλὰ πάλιν, καὶ οὕτως αὐτοὺς εἰσήγαγεν εἰς τὸν τῆς ἐγκρατείας ἔρωτα· οὕτω συνεχῶς τὰ αὐτὰ λεγόμενα πλείονα ἔχει τὴν ἐνέργειαν. Κἀνταῦθα οὖν τὸν διδάσκαλον μιμούμενος ὁ μαθητὴς συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεται· καὶ οὐδαμοῦ τὴν συγχώρησιν ἁπλῶς τίθησιν, ἀλλὰ μετὰ αἰτίας, « Διὰ τὰς πορνείας » λέγων, « καὶ τοὺς πειρασμοὺς τοὺς σατανικοὺς καὶ τὴν ἀκρασίαν », ἀνυπόπτοις τὸ τῆς παρθενίας ἐγκώμιον ἐργαζόμενος ἐν τοῖς περὶ τοῦ γάμου λόγοις.

Εἰ γὰρ τοὺς ἐν τῷ γάμῳ διατρίβοντας δέδοικεν ἀποστῆσαι ἐπιπολὺ, μή τινα παρείσδυσιν ὁ διάβολος εὕρῃ, πόσων ἂν εἶεν ἄξιαι στεφάνων αἱ μηδὲ παρὰ τὴν ἀρχὴν ταύτης δεηθεῖσαι τῆς παραμυθίας, καὶ μέχρι τέλους ἀχείρωτοι διαμείνασαι; Καίτοι οὐδὲ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα ἐξ ἴσης ἀμφοτέροις προσάγεται. Τοῖς μὲν γὰρ οὐδὲ ἐνοχλεῖν αὐτὸν οἶμαι, εἰδότα ὅτι πλησίον αὐτοῖς ἡ καταφυγὴ, κἄν τινος αἴσθωνται σφοδροτέρας προσβολῆς, ἔξεστιν εὐθέως ἐπὶ τὸν λιμένα καταφυγεῖν· οὐδὲ γὰρ ἀφίησιν αὐτοὺς ὁ μακάριος Παῦλος πορρωτέρω πλεῖν, ἀλλ' ὑποστρέφειν ἡνίκα ἂν κάμωσι παραινεῖ, πάλιν ἐπιτρέπων ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι. Ἡ δὲ παρθένος δι' ὅλου θαλαττεύειν ἀναγκάζεται, καὶ πέλαγος πλεῖν ἁλίμενον· κἂν ὁ χαλεπώτατος διεγερθῇ χειμὼν, οὐδὲ οὕτω θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι. Ὥσπερ οὖν οἱ κατὰ τὴν θάλατταν κακοῦργοι, ἔνθα μὲν ἂν ᾖ πόλις ἢ ἐπίνειον ἢ λιμὴν, οὐκ ἐπιτίθενται τοῖς πλέουσι (τοῦτο γὰρ μάτην κινδυνεύειν ἐστίν)· ἂν δὲ ἐν μέσῳ τῷ πελάγει τὸ σκάφος ἀπολάβωσι, τὴν ἐρημίαν τῶν βοηθησόντων τῆς τόλμης ἐφόδιον ἔχοντες, πάντα κινοῦσι καὶ στρέφουσι, καὶ οὐ πρότερον ἀφίστανται ἕως ἂν ἢ καταδύσωσι τοὺς ἐμπλέοντας, ἢ τοῦτο πάθωσιν αὐτοί· οὕτω καὶ ὁ δεινὸς οὗτος πειρατὴς τῇ παρθένῳ πολὺν ἐπάγει τὸν χειμῶνα, καὶ χαλεπὴν τὴν ζάλην, καὶ ἀφορήτους τὰς τρικυμίας, πάντα ἄνω καὶ κάτω κυκῶν, ὥστε τῇ βίᾳ καὶ τῇ ῥύμῃ περιτρέψαι τὸ σκάφος. Ἤκουσε γὰρ ὅτι τὸ Ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ παρθένος οὐκ ἔχει, ἀλλ' ἀνάγκη διόλου παλαίειν αὐτὴν, διόλου μάχεσθαι πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἕως ἂν εἰς τὸν εὔδιον καταπλεύσῃ λιμένα. Καθάπερ γὰρ στρατιώτην γενναῖον ἔξω τειχῶν ἀποκλείσας τὴν παρθένον ὁ Παῦλος οὐκ ἀφίησιν ἀνοιγῆναι τὰς πύλας αὐτῇ, κἂν σφόδρα ὁ πολέμιος ἀγριαίνῃ πρὸς αὐτὴν, κἂν αὐτῷ τούτῳ σφοδρότερος γίγνηται τῷ τὸν ἀντίπαλον μηδεμίαν ἐξουσίαν ἔχειν ἀναχωρήσεως. Οὐχ ὁ διάβολος δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ τῆς ἐπιθυμίας οἶστρος μειζόνως τοῖς μὴ γεγαμηκόσιν ἐνοχλεῖ· καὶ τοῦτο παντί που δῆλόν ἐστιν. Ὧν μὲν γὰρ τὴν ἀπόλαυσιν ἔχομεν, οὐ ταχέως ὑπὸ τῆς ἐπιθυμίας ἁλισκόμεθα, τῆς ἀδείας τῇ ψυχῇ ῥᾳθυμεῖν συγχωρούσης. Καὶ τοῦτο καὶ παροιμία τις ἡμῖν μαρτυρεῖ, δημώδης μὲν, σφόδρα δὲ ἀληθής· τὸ γὰρ ἐν

ad primam vocem tum senserunt, sed postquam id secundo audierunt, tum vero præcepti necessitatem intellexerunt. Etenim Christus, qui et in monte considens, et rursum post alia multa de eo disseruisset, ita eos ad continentiæ studium incitavit. Adeo eadem assidue repetita plus habent efficaciæ. Itaque et hic discipulus Magistrum imitatus crebro idem usurpat, neque usquam permissionem meram prodit, sed cum causa, *Propter fornicationem*, inquiens, *et tentationes satanicas atque incontinentiam*, extra suspicionem virginitatis laudem in disputatione de matrimonio texens.

XXXIV. [*Virginitatem admirandam esse et multis coronis dignam.*] Nam si in matrimonio degentes diutius abjungere veretur, ne quem diabolus aditum inveniat, quibus coronis dignæ sint quæ neque ab initio eo solatio opus habuerunt, et ad extremum invictæ permanserunt? ut ne dicam, nec diaboli machinas utrisque ex æquo admoveri. Nam illis, opinor, nec molestus est, qui quidem sciat perfugium iis proximum esse, statimque, si quem vehementiorem impetum sentiant, in portum se recipere licere; neque enim iis permittit beatus Paulus longius navigare, sed defessos redire jubet, sinens eodem rursum convenire. At virgo assidue navigare, et sine portu æquor permetiri cogitur; atque etsi gravissima tempestas consurgat, ne sic quidem ei fas est navem subducere ac quiescere. Igitur quasi qui mare infestant, ubi civitas aut navale aut portus est, navigantes non invadunt (id enim esset temere periclitari); sin navigium in alto offendant, auxilii destitutionem audaciæ incitamentum nacti, omnia movent et versant, neque prius desistunt, quam aut eos demergant, aut id ipsi patiantur: ita et acer hic pirata virgini graves fluctus, ingentem tempestatem, ac procellas intolerabiles, omnia susque deque miscens, ut vi atque impetu navem subvertat. Audivit enim virgini non concedi *Eodem convenire*, sed ei necesse esse perpetuo adversus spiritualia nequitiæ luctari ac confligere, donec tandem in tranquillum portum evadat. Etenim Paulus virgini tamquam forti militi muris excluso portas aperiri non permittit, quamvis et valde effero hoste, et vel eo crudeliore, quod adversario inducarum potestas nulla sit. Nec vero diabolus solum, sed ipse etiam libidinis stimulus cælibes urget acrius; idque omnibus palam est. Nam quorum habemus usum, eorum cupiditate haud facile tangimur, securitate animo segni esse permittente. Atque idem nobis confirmat et proverbium, populare quidem, sed inprimis verum: Quod in facultate,

ἐξουσίᾳ, φησὶν, ἕτοιμον οὐκ εἶναι πρὸς ἐπιθυμίαν σφοδρόν. Ἂν δέ ποτε κωλυθῶμεν ὧν πάλαι ἦμεν κύριοι, τοὐναντίον γίνεται, καὶ τὰ διὰ τὴν ἐξουσίαν παρ' ἡμῶν καταφρονούμενα, ταῦτα, ὅταν τὸ κῦρος ἡμῶν ἐκφύγῃ, σφοδρότερον ἡμῶν τὴν ἐπιθυμίαν διήγειρε. Πρῶτον μὲν οὖν ταύτῃ μείζων παρὰ τοῖς γεγαμηκόσιν ἡ γαλήνη· δεύτερον δὲ, ὅτι κἂν εἰς ὕψος ἀρθῆναι φιλονεικήσῃ ποτὲ ἡ φλὸξ, καταστέλλει ταχέως αὐτὴν ἐπελθοῦσα ἡ μῖξις. Ἡ δὲ παρθένος οὐκ ἔχουσα ὅπως σβέσει τὸ πῦρ, ὁρᾷ μὲν αὐτὸ κορυφούμενον καὶ εἰς ὕψος αἰρόμενον, σβέσαι δὲ οὐκ ἰσχύουσα, ἑνὸς γίνεται μόνου, τοῦ μὴ φλεχθῆναι μαχομένη πυρί. Ἆρά ἐστί τι τούτου παραδοξότερον, πᾶσαν ἔνδον βαστάζειν τὴν πυρὰν, καὶ μὴ καίεσθαι; συστρέφειν μὲν ἐν τοῖς τῆς ψυχῆς ταμιείοις τὴν φλόγα, ἀνέπαφον δὲ τὴν διάνοιαν διατηρεῖν; Οὐδεὶς γὰρ αὐτῇ συγχωρεῖ τοὺς ἄνθρακας τούτους ἔξω κενῶσαι, ἀλλ' ὅπερ ὁ Παροιμιαστὴς ἀδύνατον εἶναί φησιν ἐπὶ τῆς τῶν σωμάτων φύσεως, τοῦτο ὑπομένειν αὐτὴ καταναγκάζεται ἐπὶ τῆς ψυχῆς. Τί δὲ ἐκεῖνός φησι; « Περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ καταικάυσει; » Ἀλλ' ἰδοὺ αὕτη περιπατεῖ καὶ φέρει τὴν βάσανον. « Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ καταικάυσει; » Αὕτη δὲ οὐκ ἐν ἱματίοις, ἀλλ' ἔνδον ἔχουσα τὸ πῦρ ἀγριαῖνον καὶ ἠχοῦν, ἀνέχεται καὶ στέγει τὴν φλόγα. Ἔτ' οὖν τολμήσει τις, εἰπέ μοι, τῇ παρθενίᾳ τὸν γάμον παραβαλεῖν; ἀντιβλέψαι δὲ ὅλως; Ἀλλ' οὐκ ἀφίησιν ὁ μακάριος Παῦλος, πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς· ἡ μὲν γὰρ τὰ τοῦ Κυρίου, φησὶν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ. Συναγαγὼν τοίνυν εἰς ταὐτὸν τοὺς γεγαμηκότας, καὶ ταύτῃ χαρισάμενος, ἄκουσον πῶς αὐτοῖς ὀνειδίζει πάλιν· « Ἐπὶ τὸ αὐτὸ γὰρ, φησὶ, συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. » Καὶ δεῖξαι βουλόμενος ὅτι οὐ τῆς ἐκείνου πείρας τὸ πᾶν ἐστιν, ἀλλὰ καὶ τῆς ἡμετέρας νωθείας τὸ πλέον, τὴν κυριωτέραν αἰτίαν ἐπήγαγε, « Διὰ τὴν ἀκρασίαν ὑμῶν » εἰπών. Τίς οὖν οὐκ ἂν ἐρυθριάσειε ταῦτα ἀκούων; τίς οὐκ ἂν σπουδάσειεν ἐκφυγεῖν τῆς ἀκρασίας τὸν ψόγον; Οὐδὲ γὰρ πρὸς πάντας ἡ παραίνεσις αὕτη, ἀλλὰ πρὸς τοὺς σφόδρα κατωφερεῖς. Ἂν οὕτως ᾖς δοῦλος τῶν ἡδονῶν, φησὶν, ἂν οὕτω χαῦνος ὡς διαπαντὸς ἐκκεχύσθαι πρὸς τὴν μῖξιν καὶ κεχηνέναι, συνέρχου τῇ γυναικί. Οὐκ ἄρα ἀποδεχομένου οὐδὲ ἐπαινοῦντος ἡ συγχώρησις, ἀλλὰ σκώπτοντος καὶ καταγινώσκοντος. Οὐδὲ γὰρ ἂν, εἰ μὴ σφόδρα καθάψασθαι ἠθέλησε τῆς τῶν φιληδόνων ψυχῆς, τὴν τῆς ἀκρασίας ἔθηκε λέξιν, ἐμφατικωτέραν οὖσαν, καὶ πολὺν ἔχουσαν τὸν ψόγον. Διὰ τί γὰρ οὐκ εἶπε, Διὰ τὴν ἀσθένειαν ὑμῶν; Ὅτι ἐκεῖνο μᾶλλον συγγινώσκοντος ἦν, τὸ δὲ τῆς ἀκρασίας δεικνύντος τῆς ῥᾳθυμίας τὴν ὑπερβολήν. Οὐκοῦν ἀκρασίας τὸ μὴ δύνασθαι πορνείας ἀπέχεσθαι, εἰ μὴ διαπαντός τις ἔχοιτο τῆς γυναικὸς καὶ τῆς μίξεως ἀπολαύοι. Τί οὖν ἂν εἴποιεν ἐνταῦθα οἱ τὴν παρθενίαν περιττὸν εἶναι τιθέμενοι; Αὕτη μὲν

inquit, promtum sit, id ad cupiditatem haud sane efficax est. Sin ab iis prohibeamur, quæ pridem tenebamus, contra accidit, et quæ propter facultatem a nobis contemnuntur, ea nobis e manibus amissa vehementius desiderium excitant. Itaque primum hac ratione major est apud conjuges tranquillitas: deinde, si fit ut flamma iis altius quandoque eluctetur, eam protinus succedens congressus reprimit. At virgo non habens unde ignem exstinguat, eum sublimem atque alte grassantem cernens, cum exstinguere non possit, id unum agit, ne cum igne conflictans uratur. An vero quidquam magis insolens est, quam solidum intus gestare rogum, nec aduri? quam flamma in animi penetrali ultro citroque commeante intactam mentem conservare? Nemo enim eam sinit carbones eos foras ejicere; sed quod Proverbiorum auctor in natura corporis desperatum dicit, id illa necesse habet in animo sustinere. Quid vero dicit? (6. 28) *Ambulabit quis super carbones, nec ejus pedes adurentur?* Ecce autem hæc ambulat, ac perferl cruciatum. (*Ibid.* v. 27) *Aut ignem in sinu ligabit, et non ejus urentur vestimenta?* At hæc non vestibus, sed intus ignem continens efferum atque resonantem flammam sustinet ac tegit. Et adhuc quisquam, sodes, matrimonium cum virginitate conferre, an vel obtueri ausit? At non permittit beatus Paulus, qui ingens utrinsque rei discrimen ponit: nam illa, ait (1 *Cor.* 7. 32, 33), quæ sunt Domini, hæc quæ sunt mundi curat. Collectis igitur in unum conjugibus, et hac re iis gratificans, audi quid iis exprobret: *Eodem* enim, inquit, *convenite, ne vos tentet Satanas.* Ac volens ostendere totum ejus tentationi non deberi, sed nostræ etiam ignaviæ plurimum, principaliorem causam addit, inquiens, *Propter vestram intemperantiam.* Quis non id audiens erubescat? quis non intemperantiæ notam effugere moliatur? Neque enim cohortatio hæc ad omnes pertinet, sed ad valde libidinosos. Quodsi, inquit, tam es servus voluptatum, si tam mollis, ut semper in venerem effusus atque inhians sis, congredere sane cum uxore. Non est igitur permissio hæc probantis ac commendantis, sed irridentis ac improbantis. Nam ni voluptuosorum mentem egregie tangere voluisset, intemperantiæ vocem non adhibuisset, quæ et vehemens est, et ingens vituperium continet. Cur enim non dixit, Propter vestram imbecillitatem? Quod ea vox magis ignoscentis esset, illa vero intemperantiæ, summam ignaviam notantis. Igitur intemperantiæ est, non posse a fornicatione abstinere, nisi uxori semper hæreas ac coitu fruare. Quid mihi hic dicent qui virginitatem supervacaneam statuunt? Nam hæc quo contensior est eo maiorem habet laudem:

ὅσῳ ἂν ἐπιταθῇ, τοσούτῳ μεῖζον ἔχει τὸ ἐγκώμιον· ὁ δὲ γάμος, ὅταν αὐτῷ τις κατακόρως κεχρημένος ᾖ, τότε μάλιστα ἐπαίνου παντὸς ἀπεστέρηται. « Τοῦτο γάρ, φησὶ, λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν· » ἔνθα δὲ ἂν ᾖ συγγνώμη, χώραν ἔπαινος οὐκ ἂν ἔχοι. Ἀλλὰ καὶ περὶ τῶν παρθένων διαλεγόμενός φησιν, « Ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι. » Μήποτε οὖν ἄρα τὸ πρᾶγμα ἐξίστωσεν; Ἄπαγε· ἐπὶ μὲν γὰρ τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα δὲ συγγνώμην. Ἐπιτάττει δὲ οὐδέτερον οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ἐνταῦθα μὲν, ἵνα μή τις ἀναβῇναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δὲ, ἵνα μή τις ἀναβῇναι πρὸς τὴν παρθενίαν ἀδυνατῶν κατακρίνηται ὡς προστάγματος παρακούων. Οὐκ ἐπιτάττω παρθενεύειν, φησί· δέδοικα γὰρ τοῦ πράγματος τὸ δυσκατόρθωτον. Οὐκ ἐπιτάττω συνεχῶς συνέρχεσθαι τῇ γυναικί· ἀκρασίας γὰρ οὐ βούλομαι εἶναι νομοθέτης. Εἶπον, Συνέρχεσθε, κἂν καταβῆναι κωλύων, οὐ τὴν προσωτέρω προθυμίαν ἐμποδίζων. Οὐκ ἄρα αὐτοῦ βούλημα προηγούμενόν ἐστι τὸ χρῆσθαι διαπαντὸς γυναικὶ, ἀλλ' ἡ τῶν ῥᾳθυμοτέρων τοῦτο ἐνομοθέτησεν ἀκρασία. Ἐπεὶ εἰ τὸ Παύλου βούλημα θέλεις μαθεῖν, ἄκουσον ποῖόν ἐστι· « Θέλω, φησὶ, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν » ἐν ἐγκρατείᾳ. Οὐκοῦν εἰ πάντας θέλεις ἐν ἐγκρατείᾳ εἶναι, οὐδένα θέλεις εἶναι ἐν γάμῳ. Οὐδὲ γάρ· οὐ μὴν διὰ τοῦτο κωλύω τοὺς βουλομένους, οὐδὲ αἰτιῶμαι, ἀλλ' εὔχομαι μὲν καὶ ποθῶ πάντας εἶναι ὡς καὶ ἐμαυτὸν, συγχωρῶ δὲ κἀκεῖνο διὰ τὰς πορνείας· διὰ τοῦτο καὶ ἀρχόμενος εἶπον « Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι », ὅτι τοῦτο μᾶλλον ποθῶ.

Τίνος δὲ ἕνεκεν ἐνταῦθα ἑαυτοῦ μέμνηται, λέγων, « Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν; » καίτοι εἰ μὴ τοῦτο προσέκειτο, τὴν περιαυτολογίαν ἐξέφυγεν ἄν. Τίνος οὖν ἕνεκεν προσέθηκεν, « Ὡς καὶ ἐμαυτόν; » Οὐκ ἐπαίρων ἑαυτόν· οὗτος γάρ ἐστιν ὁ πλεονεκτήσας μὲν τῶν ἀποστόλων ἐν τοῖς ὑπὲρ τοῦ κηρύγματος πόνοις, ἀνάξιον δὲ καὶ τῆς προσηγορίας ἀποστολικῆς ἑαυτὸν εἶναι νομίζων. Εἰπὼν γὰρ ὅτι « Ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, » ὥσπερ τι τῆς ἀξίας αὐτοῦ μεῖζον φθεγξάμενος ἐπιλαμβάνεται ταχέως ἑαυτοῦ, λέγων, « Ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. » Τίνος οὖν ἕνεκεν ἐνταῦθα τῇ παραινέσει πρόσκειται; Οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἤδει τοὺς μαθητὰς τότε μάλιστα εἰς τὸν τῶν καλῶν ἐναγομένους ζῆλον, ὅταν παρὰ τῶν διδασκάλων ἔχωσι τὰ παραδείγματα. Ὥσπερ οὖν ὁ χωρὶς ἔργων ἐν τοῖς λόγοις μόνον φιλοσοφῶν οὐδὲν ὀνίνησι μέγα τὸν ἀκροατὴν, οὕτως ὁ παρ' ἑαυτοῦ πρώτου κατορθωθεῖσαν ἔχων δεῖξαι τὴν συμβουλὴν, ταύτῃ μάλιστα πάντων ἐπάγεται τὸν ἀκούοντα. Πρὸς δὲ τούτοις καὶ φθόνου καὶ τύφου καθαρεύοντα δείκνυσιν ἑαυτόν· τὸ γὰρ ἐξαίρετον τοῦτο κοινὸν εἶναι βούλεται τῶν μαθητῶν, οὐδὲν αὐτῶν πλέον ἔχειν ζητῶν, ἀλλ' ἐν ἅπασιν αὐτοὺς ἐξισοῦν ἑαυτῷ.

at matrimonium, ubi eo plus satis utare, tum maxime laudis omnis expers est. « Id enim, inquit (*ib.* v. 6), dico secundum indulgentiam, non secundum præceptum : » jam ubi est indulgentia, laudi nullus est locus. At enim et de virginibus disserens ait (*ib.* 25), *Præceptum Domini non habeo; consilium autem do.* Num igitur rem exquavit? Minime gentium : nam de virgine sententiam dicit; hic consensum dat. Ac neutrum præcipit non eadem de causa; sed hic, ne qui ab intemperantia se sustollere vellet prohiberetur, velut præcepti necessitate obstrictus; illic, ne qui ad virginitatem attingere nequivisset damnaretur, ceu in præceptum contumax. Non præcipio, inquit, virginem esse; vereor enim rei difficultatem. Non præcipio congredi frequenter cum uxore : nolo enim incontinentiæ legislator esse. Dixi, *Convenite*, ut cohibeam in præceps ferri, non ut sublimius studium impediam. Non ergo id præcipue vult, ut assidue uxore utamur, sed nimirum id segniorum intemperantia sanxit. Nam si Pauli voluntatem scire vis, audi quæ sit : *Volo*, inquit (*ib.* 7), *omnes homines sic esse, ut ego sum*, continentes. Igitur qui velis omnes continentes esse, neminem vis esse conjugem. Minime equidem propterea volentes velo et insimulo, sed cum optem ac percupiam omnes sic esse, ut ego sum, tum illud propter fornicationem etiam concedo : ideoque in principio dicebam, *Bonum est homini mulierem non tangere*, quia id præoptarem.

XXXV. [*Necessario Paulum continentiæ exemplum se proposuisse*]. Sed quare hic sui meminit, inquiens, *Volo omnes homines sic esse, ut ego sum?* quod si non addidisset, sui sane mentionem effugisset. Cur igitur adjecit, *Ut ego sum?* Non quo se extolleret; nam hic ille est, qui cum prædicationis laboribus apostolis præstaret, indignum se vel apostoli nomine existimat. Cum enim dixisset (1 *Cor.* 15. 9), *Ego sum minimus apostolorum*, velut majus quiddam quam pro dignitate sua eloquutus, statim se castigat, addens, *Qui non sum dignus vocari apostolus.* Cur igitur hic cohortationi sese apponit? Non temere id quidem, aut sine causa, sed qui sciret discipulos tum maxime ad præstantium rerum studium incitari, si præceptorum habeant exempla. Itaque ut qui operibus vacuus verbis solum philosophatur, haud sane auditori prodest : ita qui consilium a se primo perfectum habet exhibendum, vel hac in primis ratione auditorem inducit. Præterea purum se ab invidia atque fastu ostendit, qui excellens hoc et præcipuum cum discipulis commune esse velit, neque iis ipse præstare curet, sed in omnibus eos sibi

Ἔχω καὶ τρίτην αἰτίαν εἰπεῖν. Ποίαν δὴ ταύτην; Δύσκολον εἶναι τὸ πρᾶγμα ἐδόκει, καὶ οὐ κατὰ τὴν τῶν πολλῶν εὐκολίαν· βουλόμενος οὖν αὐτὸ δεῖξαι ῥᾷστον, τὸν ἡνυκότα εἰς μέσον τίθησιν, ἵνα μὴ σφόδρα ἐπίπονον εἶναι αὐτὸ νομίζωσιν, ἀλλὰ πρὸς τὸν ἡγησάμενον ἰδόντες μετὰ τοῦ θαρρεῖν καὶ αὐτοὶ τῆς αὐτῆς ἐπιβαίνωσιν ὁδοῦ. Τοῦτο καὶ ἀλλαχοῦ ποιεῖ. Τοῖς Γαλάταις γὰρ διαλεγόμενος, καὶ τὸν ἀπὸ τοῦ νόμου φόβον ἐκλῦσαι σπεύδων, δι' ὃν ἐπὶ τὴν παλαιὰν κατεφέροντο συνήθειαν, πολλὰ τῶν ἐκεῖ φυλάττοντες, τί φησί; « Γίνεσθε ὡς ἐγὼ, ὅτι κἀγὼ ὡς ὑμεῖς. » Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἂν ἔχοιτε, φησὶν, εἰπεῖν ὅτι Ἐξ ἐθνῶν ἐπιστρέψας νῦν καὶ τὸν ἐκ τῆς τοῦ νόμου παραβάσεως οὐκ εἰδὼς φόβον, ἀκινδύνως ἅπαντα ταῦτα φιλοσοφεῖς πρὸς ἡμᾶς. Καὶ γὰρ ἐγὼ, φησὶν, ὡς ὑμεῖς ἐδούλευσα ταύτην τὴν δουλείαν ποτέ· ἐγενόμην ὑπὸ τοῖς ἐπιτάγμασι τοῦ νόμου· ἐφύλαξα τῶν ἐντολῶν τὰς παρατηρήσεις· ἀλλὰ τῆς χάριτος ἐπιφανείσης ὅλον ἐμαυτὸν ἀπ' ἐκείνου πρὸς ταύτην μετέθηκα. Οὐκέτι γὰρ τὸ πρᾶγμα παράβασίς ἐστιν, « ἀνδρὶ γενομένων ἡμῶν ἑτέρῳ· » ὥστε οὐδεὶς ἂν ἔχοι τοῦτο λέγειν, ὅτι ἕτερα πράττων ἕτερα παραινῶ, οὐδὲ ὅτι τὸ ἐμαυτοῦ σκοπήσας ἀσφαλὲς, ὑμᾶς εἰς κίνδυνον ἐνέβαλον. Εἰ γὰρ κίνδυνος τὸ πρᾶγμα ἦν, οὐκ ἂν ἐμαυτὸν προὔδωκα, οὐδ' ἂν τῆς οἰκείας ἠμέλησα σωτηρίας. Ὥσπερ οὖν ἐκεῖ τὸ παράδειγμα παρ' ἑαυτοῦ θεὶς τὸν φόβον ἐξέλυσεν, οὕτω καὶ ἐνταῦθα τὴν ἀγωνίαν ἐκβάλλει μέσον ἑαυτὸν ἐμβαλών.

« Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει, φησὶν, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. » Θέα τῆς ἀποστολικῆς ταπεινοφροσύνης οὐδαμοῦ τὸν χαρακτῆρα παραπολλύμενον, ἀλλ' ἀκριβῶς πανταχοῦ διαλάμποντα· χάρισμα Θεοῦ καλεῖ τὸ ἑαυτοῦ κατόρθωμα, καὶ ἔνθα πολὺν ἱδρῶσεν ἱδρῶτα, τοῦτο ὅλον ἀνατίθησι τῷ Δεσπότῃ. Καὶ τί θαυμαστὸν εἰ ἐπὶ τῆς ἐγκρατείας τοῦτο ποιεῖ, ὅπου γε καὶ περὶ τοῦ κηρύγματος διαλεγόμενος τῷ αὐτῷ κέχρηται τρόπῳ, ὑπὲρ οὗ μυρίους ἤνεγκε πόνους, θλίψεις συνεχεῖς, ταλαιπωρίας ἀφάτους, θανάτους καθημερινούς; Τί οὖν περὶ τούτου φησί; « Πλέον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. » Οὐ τὸ μὲν αὐτοῦ, τὸ δὲ τοῦ Θεοῦ φησιν, ἀλλ' ὅλον τοῦ Θεοῦ. Τοῦτο εὐγνώμονος οἰκέτου, μηδὲν ἴδιον νομίζειν, ἀλλὰ πάντα δεσποτικὰ, μηδὲν ἴδιον ἡγεῖσθαι αὐτοῦ, ἀλλὰ πάντα τοῦ κυρίου. Τοῦτο καὶ ἑτέρωθι ποιεῖ. Εἰπὼν γὰρ, « Ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, » προϊὼν προστασίας καὶ ἐλεημοσύνας καὶ μεταδόσεις ἐν τούτοις ἠρίθμησεν· ὅτι δὲ κατορθώματα ταῦτα καὶ οὐ χαρίσματα, παντί που δῆλόν ἐστι. Ταῦτα δὲ εἶπον, ἵν' ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, « Ἕκαστος ἴδιον χάρισμα ἔχει », μὴ ἀναπίσῃς, μηδὲ εἴπῃς πρὸς ἑαυτόν· Οὐ δεῖται τὸ πρᾶγμα τῆς ἐμῆς σπουδῆς· χάρισμα αὐτὸ ὁ Παῦλος ἐκάλεσε. Μετριάζων γὰρ, οὐκ εἰς τὴν τῶν χαρισμάτων τάξιν καταλέξαι τὴν ἐγκράτειαν βουλόμενος

exæquare. Habeo et tertiam causam dicere. Quamnam? Videbatur res difficilis esse, nec multis facilis; itaque volens eam facilem declarare, eum, qui id opus absolvisset, in medium adducit, ne admodum laboriosum crederent, sed ducem intuentes et ipsi animis aucti eamdem viam inirent. Idem et alibi facit. Nam Galatas alloquens, iisque legis timorem eximere studens, quo ad antiquam consueludinem ferebantur, pleraque ad eam pertinentia servantes, quid dicit? (4. 12) *Estote sicut ego, quia et ego sicut vos.* Ac quod ait ejusmodi est: Nihil sit, inquit, quod dicatis, me resipiscentem nunc jam e gentibus, metus ex legis violatione ignarum, secure hæc omnia vobis philosophari; et ego enim ut vos aliquando servitutem hanc servivi, subjectus legis jussis, præceptorum observationes exsequutus; sed postquam apparuit gratia, totum me ab illa ad hanc contuli. Nec jam ea res est transgressio, cum in alius viri manum convenerimus (*Jer.* 3. 1). Quare non est quod quisquam dicat, alia facere me, alia monere, aut securitate mihi quæsita vos in periculum dare. Nam si periculum ageretur, non me equidem prodidissem, non meam salutem neglexissem. Igitur ut illic se exemplum proponens metum solvit: ita et hic se in medium adducto sollicitudine liberat.

XXXVI. [*Virginitatem modestiæ causa ab Apostolo donum appellari.*] *Sed habet*, ait (1 *Cor.* 7. 7), *proprium quisque donum, alius quidem sic, alius vero sic.* Vide hic mihi apostolicæ humilitatis signum nusquam evanidum, sed ubique distincte elucens: Dei donum appellat suam virtutem, et in quo multum desudavit, id omne Domino tribuit. Et quid mirum si id in continentia facit, cum de prædicatione etiam disserens, pro quo mille labores, perpetuas afflictiones, inenarrabiles ærumnas, quotidianas mortes suscepisset, idem usurpet? Quid ergo de eo dicit? (1 *Cor.* 15. 10) *Plus illis omnibus laboravi; non ego autem, sed gratia Dei mecum.* Non partim suum, partim Dei censet, sed totum Dei. Hoc cordati servi est, nihil proprium ducere, sed omnia heri; nihil suum putare, sed omnia Domini. Atque idem facit alibi. Nam cum dixisset (*Rom.* 12. 6), *Habentes donationes secundum gratiam, quæ data est nobis, differentes,* in orationis progressu magisteria, liberalitatem ac largitiones in iis numerat; quæ virtutes, non dona esse, facile omnes intelligunt. Hæc autem ideo disserui, ne dicentem audiens, *Proprium quisque donum habet*, concidas, ac tecum sermocinere: Opera mea hic nihil opus est; id donum Paulus nominavit. Nam modestiæ causa, non qui continentiam donis

νος, τοῦτό φησιν. Οὐκ ἂν γὰρ οὕτως ἠναντιώθη καὶ ἑαυτῷ καὶ τῷ Χριστῷ, τῷ μὲν Χριστῷ λέγοντι, « Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, » καὶ ἐπαγαγόντι, « Ὁ δυνάμενος χωρεῖν χωρείτω· » ἑαυτῷ δὲ καταδικάζοντι τὰς χηρείαν μὲν ἑλομένας, οὐ βουληθείσας δὲ ἐπιμεῖναι τῇ προθέσει. Εἰ γὰρ χάρισμά ἐστι, τίνος ἕνεκεν αὐταῖς ἀπειλεῖς, λέγων, « Ὅτι ἔχουσι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν; » οὐδαμοῦ γὰρ τοὺς οὐκ ἔχοντας χαρίσματα ὁ Χριστὸς ἐκόλασεν, ἀλλὰ πανταχοῦ τοὺς οὐ βίον ἐπιδεικνυμένους ὀρθόν. Καὶ τοῦτό ἐστι τὸ μάλιστα ἐπιζητούμενον παρ' αὐτῷ, πολιτεία ἀρίστη καὶ ἔργα ἄληπτα· τῶν δὲ χαρισμάτων ἡ διανομὴ οὐκ ἐν τῇ τοῦ λαμβάνοντος κεῖται προαιρέσει, ἀλλ' ἐν τῇ τοῦ παρέχοντος κρίσει. Διὰ τοῦτο οὐδαμοῦ τοὺς τὰ θαύματα ἐργαζομένους ὁ Χριστὸς ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐπὶ τούτῳ μέγα φρονοῦντας ἀπάγει τῆς τοιαύτης ἡδονῆς, λέγων, « Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει. » Οἱ γὰρ μακαριζόμενοι πανταχοῦ οἱ ἐλεήμονές εἰσιν, οἱ ταπεινοί, οἱ ἐπιεικεῖς, οἱ τῇ καρδίᾳ καθαροί, οἱ εἰρηνοποιοί, οἱ ταῦτα πάντα καὶ τὰ τούτοις ὅμοια πράττοντες. Καὶ αὐτὸς δὲ ὁ Παῦλος τὰ κατορθώματα ἀριθμῶν τὰ ἑαυτοῦ, ἐν τούτοις καὶ τῆς ἐγκρατείας ἐμνημόνευσεν· εἰπὼν γάρ, « Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν κόποις, ἐν ἀκαταστασίαις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις », ἐπήγαγεν, « Ἐν ἁγνείᾳ· » οὐκ ἂν τοῦτο ποιήσας, εἰ χάρισμα τὸ πρᾶγμα ἦν. Τί δὲ καὶ σκώπτει τοὺς οὐκ ἔχοντας αὐτὴν, ἀκρατεῖς αὐτοὺς καλῶν; διὰ τί δὲ καὶ ὁ μὴ ἐκγαμίζων τὴν ἑαυτοῦ παρθένον, κρεῖσσον ποιεῖ; τίνος δὲ ἕνεκεν μακαριωτέρα ἡ χήρα, ἐὰν οὕτως μείνῃ; Ὅπερ γὰρ ἔρθην εἶπὼν, οὐ θαυμάτων, ἀλλὰ ἔργων οἱ μακαρισμοὶ, ὥσπερ οὖν καὶ αἱ κολάσεις. Πῶς δὲ καὶ ἐπιμένει πάλιν παραινῶν ὑπὲρ τῶν αὐτῶν, εἰ μὴ ἐφ' ἡμῖν τὸ πρᾶγμα ἦν, καὶ μετὰ τὴν τοῦ Θεοῦ ῥοπὴν καὶ τῆς παρ' ἡμῶν ἐδεῖτο σπουδῆς; Εἶπὼν γὰρ, « Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν » ἐν ἐγκρατείᾳ, πάλιν φησὶ, « Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ· » πάλιν ἑαυτὸν τίθησι διὰ τὴν αὐτὴν αἰτίαν. Τὸ γὰρ παράδειγμα ἐγγύθεν ἔχοντες καὶ οἰκεῖον, μειζόνως ἂν τῶν τῆς παρθενίας κατετόλμησαν πόνων. Εἰ δὲ καὶ ἀνωτέρω λέγων, « Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν », καὶ ἐνταῦθα, « Καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ », οὐδαμοῦ αἰτίαν προστίθησι, μὴ θαυμάσῃς· οὐ γὰρ ἀπαυθαδιζόμενος τοῦτο ποιεῖ, ἀλλ' ἱκανὴν εἶναι νομίζων αἰτίαν τὴν ἑαυτοῦ γνώμην, μεθ' ἧς τὸ πρᾶγμα κατώρθωσεν.

Εἰ δέ τις καὶ λογισμῶν ἀκοῦσαι ἐθέλοι, πρῶτον μὲν τὴν παρὰ πάντων τῶν ἀνθρώπων ἐξεταζέτω δόξαν, ἔπειτα καὶ τὰ περὶ τὸ πρᾶγμα συμβαίνοντα. Τῶν γὰρ νομοθετῶν τοὺς τοιούτους οὐ κολαζόντων γάμους, ἀλλ' ἐπιτρεπόντων καὶ συγχωρούντων, πολλοὶ καὶ

accensere vellet, ita loquitur. Neque enim et secum et cum Christo pugnat; non cum Christo dicente (*Matth.* 19. 12), *Sunt eunuchi, qui se ipsos propter regnum cœleste castrarunt;* atque addente, *Qui potest capere, capiat:* non secum, qui viduitatem amplexas, sed in eo proposito persistere nolentes damnet. Nam si donum est, cur eis comminaris, dicens (1 *Tim.* 5. 12), *Damnationem habent, quia primam fidem irritam fecerunt?* Nusquam enim Christus dona non habentes punivit, sed ubique vitam rectam non exhibentes, adeoque quod potissimum requirit, vita est optima, et actiones irreprehensæ: donorum autem distributio posita est non in accipientis optione, sed in donantis arbitrio. Itaque prodigia patrantes Christus adeo non laudat, ut etiam discipulos ea re gloriantes ab eo gaudio removeat, monens (*Luc.* 10. 20) ne gauderent dæmonia sibi subjici. Nam qui beati prædicantur ubique, misericordes sunt, humiles, mites, animo puri, pacifici, qui hæc omnia atque iis similia præstant. Quin ipse etiam Paulus præclara sua facinora recensens, in iis et continentiæ meminit; iis enim verbis (2 *Cor.* 6. 4, 5), *In multa patientia, in tribulationibus, in necessitatibus, in persecutionibus, in angustiis, in plagis, in carceribus, in laboribus, in seditionibus, in vigiliis, in jejuniis,* addit (*ib.* 6), *In castitate:* minime id facturus, si donum esset. Cur autem et mordet eam non habentes, intemperantes eos vocans? cur qui virginem suam non elocat, rectius facit? cur beatior vidua, si sic manserit? Nam quod jam dixi, non prodigiorum, sed actionum beatitudines sunt, quemadmodum et pœnæ. Quo pacto, inquam, eadem cohortans perseverat, si id in nobis non est, nec post divinum favorem operam etiam nostram desiderat? Et enim sententiæ, *Volo omnes homines sic esse, ut ego sum,* continentes, iterum subdit, *Dico autem non nuptis et viduis, Bonum est ipsis, si sic permaneant, ut ego;* iterum se proponit eadem de causa. Nam qui exemplum haberent proximum et tamquam domesticum, facilius virginitatis labores erant ausuri. Quodsi et supra inquiens, *Volo omnes sic esse, ut ego sum,* et hic, *Bonum est, si sic permaneant, ut ego,* neutro loco causam adjecit, ne mirare; neque enim id ex arrogantia facit, sed ratus satis esse causæ sententiam suam, qua ductus rem perfecisset.

XXXVII. [*Multas esse molestias in secundis nuptiis.*] Si quis rationes etiam postulat, primum mihi omnium mortalium existimationem, tum quæ hic usu veniant, indaget. Nam cum legumlatores matrimonia ea non castigent, sed permittant etiam ac concedant, multa et a multis cum

παρὰ πολλῶν ἔν τε ταῖς οἰκίαις καὶ κατὰ τὴν ἀγορὰν κατ' αὐτῶν γίνονται λόγοι σκωπτόντων, μεμφομένων, ἀποστρεφομένων. Τῶν γὰρ τοὺς ὅρκους παραβαινόντων οὐχ ἧττον τοὺς τοιούτους ἅπαντες ἐκτρέπονται, ὡς εἰπεῖν, οὔτε φίλους ποιήσασθαι θαρροῦντες, οὔτε συνθήκας θέσθαι πρὸς αὐτούς, οὔτε ἄλλο τι πιστεῦσαι οὐδέν. Ὅταν γὰρ ἴδωσιν αὐτοὺς συνηθείας τοσαύτης καὶ φιλίας καὶ ὁμιλίας καὶ κοινωνίας τὴν μνήμην οὕτως εὐκόλως ἀπὸ τῆς αὐτῶν ψυχῆς ἐκβαλόντας, νάρκη τις αὐτοῖς ἀπὸ τούτων καταχεῖται τῶν λογισμῶν, καὶ οὐκ ἂν αὐτοὺς μετὰ πάσης πρόσοιντο γνησιότητος, ὡς εὐκόλους καὶ ἀλλοπροσάλλους. Οὐ διὰ ταῦτα δὲ μόνον αὐτοὺς ἀποστρέφονται, ἀλλὰ καὶ δι' αὐτὴν τῶν γινομένων τὴν ἀηδίαν. Τί γὰρ ἀτερπέστερον, εἰπέ μοι, ἢ ὅταν μετὰ τὸν πολὺν κωκυτὸν καὶ τὰς οἰμωγὰς καὶ τὰ δάκρυα καὶ τὴν αὐχμηρὰν κόμην καὶ τὴν μέλαιναν στολὴν, ἐξαίφνης κρότοι καὶ παστάδες γαμήλιοι, καὶ θόρυβος ἀπ' ἐναντίας τῷ προτέρῳ, ὥσπερ ὑποκριτῶν ἐν σκηνῇ παιζόντων, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο γινομένων; Καὶ γὰρ ἐκεῖ τὸν αὐτὸν ἴδοις ἂν ποτὲ μὲν βασιλέα, ποτὲ δὲ πάντων πενέστερον· κἀνταῦθα ὁ πρώην περὶ τὸν τάφον καλινδούμενος, νυμφίος ἐξαίφνης· ὁ τὰς τρίχας τίλλων, στέφανον ἐπὶ τῆς αὐτῆς πάλιν φέρει κεφαλῆς, ὁ κατηφὴς καὶ στυγνὸς καὶ πολλὰ πολλάκις μετὰ δακρύων πρὸς τοὺς παρακαλοῦντας ἐγκώμια τῆς ἀπελθούσης διελθών, καὶ τὸν βίον ἀβίωτον εἶναι φήσας αὐτῷ, καὶ πρὸς τοὺς ἀπάγοντας αὐτὸν τοῦ θρήνου δυσχεράνας, πολλάκις μεταξὺ τούτων αὐτῶν ὡραΐζεται καὶ καλλωπίζεται πάλιν, καὶ τοῖς πρώην δεδακρυμένοις ὀφθαλμοῖς, τούτοις μετὰ γέλωτος εἰς τοὺς αὐτοὺς ἐνορᾷ, καὶ τῷ στόματι τούτῳ φιλοφρονεῖται καὶ ἀσπάζεται πάντας, ὃι' οὗ πρώην ταῦτα πάντα ἐξώμνυτο. Τὸ δὲ πάντων ἐλεεινότερον, ὁ τοῖς παισὶν ἐπεισαγόμενος πόλεμος, ἡ ταῖς θυγατράσιν συνοικιζομένη λέαινα· τοῦτο γὰρ ἡ μητρυιὰ πανταχοῦ. Ἐντεῦθεν ἡ καθημερινὴ στάσις καὶ μάχη, ἐντεῦθεν ὁ ξένος ἐκεῖνος καὶ καινότερος ζῆλος πρὸς τὴν οὐκέτ' οὖσαν γινόμενος. Οἱ μὲν γὰρ ζῶντες καὶ βάλλουσι τῷ φθόνῳ καὶ βάλλονται, πρὸς δὲ τοὺς τετελευτηκότας καὶ οἱ πολεμιώτατοι σπένδονται. Ἀλλ' οὐκ ἐνταῦθα, ἀλλὰ ζηλοτυπεῖται ἡ κόνις καὶ ἡ τέφρα, καὶ μῖσος πρὸς τὴν κατορωρυγμένην ἄφατον, καὶ λοιδορίαι καὶ σκώμματα καὶ κατηγορίαι πρὸς τὴν διαλυθεῖσαν εἰς γῆν, ἔχθρα ἀσπόνδου πρὸς τὴν λελυπηκυῖαν οὐδέν. Τί τούτης γένοιτ' ἂν τῆς ἀλογίας χεῖρον, τί τῆς ὠμότητος; Οὐδὲν παρὰ τῆς ἀπελθούσης ἠδικημένη· τί λέγω ἠδικημένη; τοὺς πόνους μὲν [οὖν] αὐτῆς καρπουμένη καὶ τοῖς ἀγαθοῖς ἐντρυφῶσα τοῖς ἐκείνης, οὐ παύεται σκιαμαχοῦσα πρὸς αὐτήν· καὶ τὴν οὐδὲν λελυπηκυῖαν, πολλάκις δὲ οὐδὲ ἐρθεῖσαν αὐτῇ ποτε, μυρίοις καθ' ἑκάστην ἡμέραν βάλλει σκώμμασι, καὶ διὰ τῶν ἐκείνης ἐκγόνων τὴν οὐκέτ' οὖσαν ἀμύνεται, καὶ τὸν ἄνδρα πολλάκις ὁπλίζει κατ' αὐτῶν, ὅταν αὐτὴ μηδὲν ἀνύῃ. Ἀλλ' ὅμως ἅπαντα ταῦτα ῥᾴστα καὶ φορητὰ τοῖς ἀν-

domi, tum in foro in eos jactantur dicteria, reprehensiones, maledicta: quippe eos æque ac perjuros vulgo, ut sic dixerim, declinant, neque aut amicos habere, aut cum iis pacta conventa firmare, neque aliud quidquam audent credere. Etenim cum eos vident tantæ consuetudinis, amicitiæ, familiaritatis ac societatis memoriam tam facile ex animo deponere, ea iis cogitatio quemdam quasi torporem offundit, ut non temere eos candide admittant, ceu leves atque versatiles. Neque ob hæc solum eos aversantur, sed etiam propter rerum gestarum insuavitatem. Quid enim, quæso, injucundius est, quam post gravem luctum, ploratus, lacrimas, sordidam comam, pullum amictum, subito plausus, tori nuptiales, strepitus a priori diversus, velut actoribus in scena ludentibus, ac nunc hoc, nunc illud repræsentantibus? Nam et illic eumdem videre est interdum regem, interdum omnium pauperrimum: et hic, qui pridem ad tumulum volutabatur, repente prodit sponsus; qui comam vellebat, rursum eodem capite coronam gestat: dejectus ac mœrens, et qui sæpe plorans apud eos qui se consolarentur defunctæ laudes usurpavit, ac vitam sibi vitalem negavit, iisque qui se a lamentis abducerent succensuit, plerumque inter eos ipsos iterum comitur ac renidet, et oculis pridem lacrimantibus, iisdem ridens eos intuetur, ac quo ore cuncta hæc paulo ante abjurabat, eo nunc abblanditur ac salutat omnes. Omnium vero tristissimum est bellum liberis creatum, filiabus inducta domestica læna; nam id omnino est noverca. Hinc quotidianum dissidium atque pugna; hinc inusitata et insolens adversus mortuam concertatio. Nam vivi et invident et invidentur; cum mortuis etiam inimicissimi reconciliantur. At non hic, sed pulverem atque cinerem invidia petit; odium in defossam ingens, contumeliæ, convicia, accusationes ei quæ in terram dissoluta est, implacabiles inimicitiæ cum ea quæ nihil læsit. Quid amentia hac et barbarie fœdius? Injuria a deluncta non affecta: quid dico, injuria affecta? imo vero ejus laboribus fruens ac bonis gaudens, cum ea velut cum umbra belligerandi finem nullum facit: et eam quæ se nihil læsit, sæpe etiam sibi nec conspectam, mille in dies maledictis lacessit; atque eam quæ non existit, in prole ejus ulciscitur; ac contra eam virum armat, ubi ipsa nihil perficit. Atque hæc tamen hominibus facilia atque tolerabilia sunt visa, modo ne libidinis tyrannidem

θρώποις ἔδοξεν εἶναι, μόνον ἵνα μὴ τὴν ἀπὸ τῆς ἐπιθυμίας φέρειν ἀναγκάζωνται τυραννίδα. Ἀλλ' οὐχ ἡ παρθένος πρὸς ταύτην ἐλιγγίασε τὴν παράταξιν, οὐδὲ ἔφυγε τὴν συμβολὴν τὴν οὕτως ἀφόρητον τοῖς πολλοῖς εἶναι δοκοῦσαν, ἀλλ' ἔστη γενναίως, καὶ τὴν ἀπὸ τῆς φύσεως ἀνεδέξατο μάχην. Πῶς οὖν ἄν τις αὐτὴν κατ' ἀξίαν θαυμάσειεν, ὅταν οἱ μὲν ἄλλοι καὶ δευτέρων δέωνται γάμων, ἵνα μὴ καταχαίωνται, αὕτη δὲ μηδὲ ἑνὸς ἁψαμένη διαπαντὸς ἁγία καὶ ἄτρωτος μένῃ; Διὰ ταῦτα καὶ πρὸ τούτων διὰ τοὺς ἀποκειμένους ἐν τοῖς οὐρανοῖς τῇ χηρείᾳ μισθοὺς ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα ἔλεγε, « Καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ. » Οὐκ ἴσχυσας εἰς τὴν ἀνωτάτω κορυφὴν ἀναβῆναι; τῆς γοῦν μετ' ἐκείνην μὴ ἀποπέσῃς· τοσοῦτον ἡ παρθένος σοῦ ἐχέτω πλέον, ὅσον τὴν μὲν οὐδὲ ἅπαξ ἐπιθυμία κατεπάλαισε, σὲ δὲ κρατήσασα πρότερον οὐκ ἴσχυσε διαπαντὸς κατασχεῖν· καὶ σὺ μὲν μετὰ τὴν ἧτταν ἐνίκησας, ἐκείνη δὲ καθαρὰν ἥττης ἁπάσης ἔχει τὴν νίκην, καὶ τῷ τέλει συναπτομένη σοι κατὰ τὴν ἀρχὴν ὑπερέχει μόνον.

Τοῖς μὲν οὖν γεγαμηκόσι πολλὴν δίδωσι τὴν παραμυθίαν, ὡς μηδὲ ἑκόντος θατέρου ἀποστερεῖν αὐτοὺς ἀλλήλων, μήτε τὴν ἐκ συμφωνίας γιγνομένην στέρησιν ἐπὶ πολὺ προάγειν· καὶ δεύτερον πάλιν ἐπέτρεψε γάμον, ἐὰν βούλωνται, ὑπὲρ τοῦ μὴ πυροῦσθαι. Τοῖς δὲ παρθενεύουσιν οὐδεμίαν τοιαύτην ἔδωκε παραμυθίαν, ἀλλὰ τοὺς μὲν ἐπὶ τοσοῦτον ἀναπαύσας πάλιν ἀνίησι, τὴν δὲ οὐδὲ μικρὸν ἀναπνέουσαν, ἀλλὰ δι' ὅλου μαχομένην ἀφίησιν ἑστάναι διηνεκῶς, καὶ βάλλεσθαι ὑπὸ τῶν ἐπιθυμιῶν, καὶ οὐδὲ μικρᾶς αὐτὴν λαβέσθαι δίδωσιν ἀναπαυχῆς. Διὰ τί γὰρ οὐκ εἶπε καὶ πρὸς αὐτὴν, « Εἰ δὲ οὐκ ἐγκρατεύεται, γαμησάτω; » Ὅτι οὐδὲ πρὸς τὸν ἀθλητὴν εἴποι τις ἂν μετὰ τὸ ῥῖψαι τὸ ἱμάτιον, καὶ ἀλείψασθαι, καὶ εἰς τὸ στάδιον εἰσελθεῖν, καὶ κατασπάσασθαι τὴν κόνιν, Ἀπόστηθι καὶ φύγε τὸν ἀνταγωνιστήν· ἀλλ' ἀνάγκη λοιπὸν δυοῖν θάτερον, ἢ στεφανωθέντα, ἢ πεσόντα καὶ καταισχυνθέντα ἀπελθεῖν. Ἐν παιδοτρίβου μὲν γὰρ καὶ παλαίστρᾳ, ὅπου πρὸς τοὺς οἰκείους ἡ γυμνασία, καὶ τοῖς φίλοις ὡς ἐναντίοις συμπλέκεται, καὶ τοῦ πονεῖν καὶ τοῦ μὴ πονεῖν αὐτός ἐστι κύριος· ὅταν δὲ ἀπογράψηται, καὶ συλλεγῇ τὸ θέατρον, καὶ ὁ ἀγωνοθέτης παρῇ, καὶ οἱ θεαταὶ καθέζωνται, καὶ εἰσάγηται ὁ ἀνταγωνιστὴς καὶ ἀντιπαρατάττηται, τὴν ἐξουσίαν αὐτὸν ὁ τῶν ἀγώνων παρῄρηται νόμος. Καὶ τῇ παρθένῳ τοίνυν ἕως μὲν ἂν βουλεύοιτο πότερον δέοι γαμεῖν ἢ μὴ γαμεῖν, ἀκίνδυνος ὁ γάμος· ἐπειδὰν δὲ κληται καὶ ἀπογράψηται, εἰσήγαγεν ἑαυτὴν εἰς τὸ στάδιον. Τίς οὖν τολμήσει, τοῦ θεάτρου συγκροτουμένου καὶ θεωρούντων μὲν ἄνωθεν ἀγγέλων, ἀγωνοθετοῦντος δὲ τοῦ Χριστοῦ, μαινομένου δὲ τοῦ διαβόλου καὶ τρίζοντος καὶ συμπλεκομένου πρὸς τὴν πάλην καὶ μέσου κατεχομένου, παρελθὼν εἰς μέσον εἰπεῖν, Φύγε τὸν ἐχθρὸν, ἔνδος τοῖς πόνοις, ἀπόστηθι τῆς λαβῆς, μὴ καταβάλῃς μηδὲ ὑποσκελίσῃς τὸν ἀν-

ferre cogerentur. At non virgo ad hunc conflictum trepidavit, nec prælium declinavit, quod vulgo adeo intolerabile videtur, sed fortiter resistens naturæ insultum sustinuit. Quis igitur eam pro merito suspiciat, quando alii etiam alteris nuptiis opus habent, ne urantur; hæc neque unis contractis perpetuo sancta et illæsa est? Propter hæc et in primis propter repositos viduitati in cælis thesauros, qui loquentem in se Christum habebat, dixit, *Bonum est illis, si sic permaneant, sicut et ego.* Non potuisti ad summum gradum conscendere? at proximo ne excidas. Hoc solo virgo tibi præstet, quod illam libido ne semel quidem expugnavit, te vero prius superatam perpetuo sub jugo tenere nequiverit; ac tu quidem victa vicisti, illa victoriam clade puram habet, ac tecum exitu conjuncta principio solum superat.

XXXVIII. [*Cur conjugibus magna solatia, virgini nulla concedat.*] Igitur conjuges admodum commode tractat, qui nec altero volente eos mutua consuetudine defraudet nec defraudationem ex consensu longius producat: quin alteras etiam nuptias permittit, si velint, ne urantur. At virginibus nullum hujusmodi solatium præbet, sed illos tantisper recreatos iterum dimittit, hanc nec minimum respirantem, sed assidue pugnantem, sinit perpetuo stare, ac cupiditatibus impeti, nec vel tantillis induciis frui. Cur enim non huic etiam dixit (*1 Cor.* 7. 9), *Si se non continet, nubat?* Quod nec athletæ dicat quisquam, postquam disjecto amictu atque unctus in stadium processit, seque pulvere conspersit: Abi, fuge adversarium; sed jam porro necessarium est duorum alterum, aut coronatum, aut dejectum et infamem discedere. Nam in ludo ac palæstra, ubi cum familiaribus exercitium fit, et cum amicis velut cum adversariis manus conseruntur, liberumque est et suscipere laborem et non suscipere: at qui jam nomen dedit, coacto frequenti populo, præsente agonotheta, sedentibus spectatoribus, adducto atque objecto adversario, ei certaminum lex facultatem eripit. Ad eumdem modum et virgini dum consultat prius, nubendum sit necne, futum est matrimonium: at ubi elegit ac conscripta est, se in stadium dedit. Ecquis igitur indictis spectaculis, Christo agonotheta, angelis superne spectantibus, furente diabolo ac fremente, ad luctamque complicato et medio comprehenso, in medium prosiliens edicere ausit: Hostem fuge, laboribus supersede, comprehensionem omitte, ne dejicias ac prosternas adver-

ταγωνιστὴν, ἀλλὰ παραχώρει τῆς νίκης αὐτῷ; Καὶ τί λέγω πρὸς τὰς παρθένους; πρὸς τὰς χήρας οὐκ ἄν τις τολμήσειε ταύτην ῥῆξαι τὴν φωνὴν, ἀλλ' ἀντὶ ταύτης ἐκείνην τὴν φοβερὰν, ὅτι « Ἐὰν καταστρηνιάσωσι τοῦ Χριστοῦ, καὶ γαμῆσαι θελήσωσι, κρίμα ἔχουσιν, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. »

Καὶ μὴν αὐτός φησιν ὅτι « Λέγω τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. » Καὶ πάλιν· « Ἐὰν κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. » Πῶς οὖν ἣν ἀφίησιν ἐλευθέραν πάλιν καλάζει, καὶ ὃν ἐν Κυρίῳ φησὶν εἶναι γάμον, τοῦτον ὡς παρανόμως γινόμενον κατακρίνει; Μὴ δείσῃς· οὐ τὸν αὐτὸν, ἀλλ' ἕτερον. Ὥσπερ γὰρ λέγων, « Ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν », οὐ περὶ τῆς ἀποταξαμένης τῷ γάμῳ φησί (δῆλον γὰρ ἅπασιν ὅτι αὕτη ἥμαρτε καὶ ἁμαρτίαν ἀφόρητον), ἀλλὰ περὶ τῆς ἀπειρογάμου μὲν ἔτι, οὔπω δὲ οὔτε τοῦτο οὔτε ἐκεῖνο ψηφισαμένης, ἀλλ' ἐν μεταιχμίῳ τούτων ἑκατέρων μενούσης τῶν λογισμῶν· οὕτω καὶ χήραν ἐνταῦθα μὲν τὴν ἁπλῶς οὐκ ἔχουσαν ἄνδρα φησὶν, οὔπω δὲ καὶ τῇ τῆς οἰκείας προαιρέσεως ψήφῳ προσδεδεμένην, ἀλλ' ἐλευθέραν οὖσαν καὶ τοῦτο ἐλέσθαι κἀκεῖνο· ἐκεῖ δὲ τὴν οὐκέτι κυρίαν οὖσαν ἑτέρῳ πάλιν ὁμιλῆσαι νυμφίῳ, ἀλλ' εἰς τοὺς τῆς ἐγκρατείας ἐμβεβηκυίαν ἀγῶνας. Ἔστι γὰρ καὶ χήραν εἶναι, καὶ μὴ κατατάττεσθαι εἰς τὸ τῶν χηρῶν ἀξίωμα, ὅταν μηδέπω ᾖ τοῦτο καταδεξαμένη. Διὸ καὶ αὐτός φησι, « Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή. » Τὴν μὲν γὰρ ἁπλῶς χήραν ἀφίησι γαμεῖν, εἰ βούλοιτο· τὴν δὲ ἐπαγγειλαμένην τῷ Θεῷ χηρεύειν διαπαντὸς, εἶτα γαμηθεῖσαν, καταδικάζει σφοδρῶς, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἐπάτησεν. Οὐ ταύταις οὖν, ἀλλ' ἐκείναις φησὶν, « Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι. » Ὁρᾷς οὐδαμοῦ τὸν γάμον καθ' ἑαυτὸν θαυμαζόμενον, ἀλλὰ διὰ τὰς πορνείας, διὰ τοὺς πειρασμοὺς, διὰ τὴν ἀκρασίαν; Ἄνω μὲν γὰρ ταῦτα ἅπαντα τίθησιν, ἐνταῦθα δὲ ἐπειδὴ σφόδρα αὐτῶν κατήφησε τοῖς ὀνείδεσι, ῥήμασιν εὐφημοτέροις πάλιν τὸ αὐτὸ πρᾶγμα καλεῖ, ἐμπρησμὸν αὐτὸ καὶ πύρωσιν ὀνομάζων. Καὶ οὐδὲ ἐνταῦθα ἠνέσχετο μὴ πλήξας τὸν ἀκροατὴν παρελθεῖν. Οὐ γὰρ εἶπεν, Εἰ δὲ βίαν τινὰ πάσχουσιν ὑπὸ τῆς ἐπιθυμίας, εἰ δὲ περιτρέπονται, εἰ δὲ μὴ δύνανται· οὐδὲν τοιοῦτον ὧν τῶν πασχόντων ἐστὶ καὶ συγγνώμης ἀξίων, ἀλλὰ τί; « Εἰ δὲ οὐκ ἐγκρατεύονται· » ὧν τῶν οὐκ ἐθελόντων ἐστὶν ἐνεργεῖν διὰ τὴν ῥᾳθυμίαν. Δείκνυσι γὰρ ὅτι κύριοι ὄντες τοῦ πράγματος παρὰ τὸ μὴ βούλεσθαι πονεῖν οὐκ ἀνύουσιν. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτοὺς κολάζει οὐδὲ τιμωρίας ὑπευθύνους ποιεῖ, ἀλλ' ἐπαίνων ἀποστερήσας μόνον, μέχρι τοῦ διὰ τῶν ῥημάτων ψόγου τὴν σφοδρότητα ἐπιδείκνυται, παιδοποιίας μὲν οὐδαμοῦ μεμνημένος, τῆς εὐπροσώπου καὶ σεμνῆς αἰτίας τοῦ γάμου, πυρώ-

sarium, sed ei victoriam cedas? Et quid virgines dico, cum nec viduas iis verbis affari fas sit, sed illorum loco his terrificis (1 *Tim.* 5. 11, 12): *Cum luxuriatæ fuerint in Christo, nubere volunt, damnationem habentes, quia primam fidem irritam fecerunt.*

XXXIX. [*Cui viduæ, cui virgini nubere permittat Paulus.*] Atenim cum dicat, *Non nuptis et viduis dico, Bonum est illis, si sic permaneant, ut ego: quodsi non se continent, nubant:* et rursum (1 *Cor.* 7. 39), *Quodsi dormierit vir ejus, liberata est: cui vult nubat, tantum in Domino:* quare eam, cui liberum facit, iterum castigat, et quod in Domino esse matrimonium dixit, idem ceu illegitimum damnat? Ne vereare: non idem, sed aliud. Nam sicut inquiens (*ibid.* 28), *Si nupsit virgo, non peccavit*, non de ea loquitur quæ matrimonio renuntiavit (evidens est enim eam piaculum commisisse, et quidem infandum), sed de ea quæ et expers matrimonii sit, et nondum hoc aut illud elegerit, sed tamquam in meditullio harum cogitationum consistat: ita et viduam hic, quæ virum modo non habeat, neque adhuc optione sua obstricta teneatur, sed liberum habeat alterutrum eligere; illic vero eam, cui integrum non sit cum alio rursum sponso societatem coire, sed in continentiæ certamen descenderit. Potest namque et vidua esse, et viduarum dignitati non accenseri, si id nondum susceperit. Itaque inquit (1 *Tim.* 5. 9), *Vidua eligatur non minor annis sexaginta, quæ unius viri uxor fuerit.* Nam quæ vidua mera sit, ei, si velit, nubere permittit; at quæ perpetuo vidua agere Deo promisit, atque interim nubit, eam vehementer damnat, quæ ictum cum Deo pactum conculcet. Non ergo his, sed illis dicit, *Quodsi non se continent, nubant: melius est enim nubere, quam uri.* Vides nusquam per se suspici matrimonium, sed propter fornicationem, tentationes atque intemperantiam? Nam supra hæc omnia recenset: hic vero quod eos conviciis male mulctasset, rursum gratiosioribus verbis eamdem rem appellat, incendium et ardorem nominans. Quamquam neque hic omisit quin auditorem feriret: non enim dixit, Sin libidinis vim ullam sentiunt, sin transversi aguntur, si non possunt; nihil ejusmodi, quod eorum est qui aliquid dignum venia patiuntur; sed quid? *Si se non continent:* quod eorum est, qui propter ignaviam laborare nolunt. Id enim significat eos, quibus res in manibus esset, detrectando laborem eam non perficere. At ne sic quidem eos punit ac suppliciis addicit, sed laude solum privat, atque in verborum tantum vituperio vehementiam adhibet, liberorum procreationem, plausibilem hanc et speciosam matrimonii causam, nusquam memorans, sed ardorem, in-

σιως δὲ καὶ ἀκρασίας καὶ πορνείας καὶ πείρας σατανικῆς, καὶ ὑπὲρ τοῦ ταῦτα μὴ γενέσθαι τὸ πρᾶγμα συγχωρῶν. Καὶ τί τοῦτο; φησίν· ἕως γὰρ ἂν αὐτὸ τιμωρίας ἀπαλλάττῃ, πᾶσαν κατάγνωσιν καὶ πάντα ὀνείδη εὐκόλως οἴσομεν· μόνον ἐξέστω τρυφᾶν καὶ συνεχῶς ἀπολαύειν ἐπιθυμίας. Τί οὖν, ὦ βέλτιστε, ἂν μηδὲ τρυφᾶν ἐξῇ, ὀνειδισμὸν καρπωσόμεθα μόνον; Καὶ πῶς, φησίν, οὐκ ἔξεστι τρυφᾶν, τοῦ Παύλου λέγοντος, « Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν; » Ἀλλ' ἄκουε καὶ τὰ προσκείμενα τούτῳ. Ἔμαθες ὅτι κρεῖττον τὸ γαμῆσαι ἢ πυροῦσθαι· ἀπεδέξω τὸ ἡδύ, ἐπῄνεσας τὴν συγχώρησιν, ἐθαύμασας τῆς συγκαταβάσεως τὸν ἀπόστολον· ἀλλὰ μὴ στῇς μέχρι τούτου, δέχου καὶ τὰ μετὰ ταῦτα· τοῦ γὰρ αὐτοῦ ἀμφότερα τὰ παραγγέλματα. Τί οὖν μετὰ ταῦτά φησι; « Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. »

Τί οὖν, ἂν μὲν ὁ ἀνὴρ ἐπιεικὴς ᾖ, ἡ δὲ γυνὴ μοχθηρὰ, λοίδορος, λάλος, πολυτελὴς, τὸ κοινὸν τοῦτο πασῶν αὐτῶν νόσημα, ἑτέρων πλειόνων γέμουσα κακῶν, πῶς οἴσει τὴν καθημερινὴν ταύτην ἀηδίαν ἐκεῖνος ὁ δείλαιος, τὸν τῦφον, τὴν ἀναισχυντίαν; Τί δὲ, ἂν τοὐναντίον αὕτη μὲν ᾖ κοσμία καὶ ἡσύχιος, ἐκεῖνος δὲ θρασὺς, ὑπερόπτικος, ὀργίλος, πολὺν μὲν ἀπὸ τῶν χρημάτων, πολὺν δὲ ἀπὸ τῆς δυναστείας ὄγκον περιβεβλημένος, καὶ τὴν ἐλευθέραν ὡς δούλην ἔχῃ, καὶ τῶν θεραπαινίδων μηδὲν ἄμεινον πρὸς αὐτὴν διακέηται, πῶς οἴσει τὴν τοσαύτην ἀνάγκην καὶ βίαν; Τί δὲ, ἂν συνεχῶς αὐτὴν ἀποστρέφηται, καὶ διαπαντὸς μένῃ τοῦτο ποιῶν; Καρτέρει, φησὶ, πᾶσαν ταύτην τὴν δουλείαν· ὅταν γὰρ ἀποθάνῃ, τότε ἐλευθέρα ἔσῃ μόνον, ζῶντος δὲ δυοῖν ἀνάγκη θάτερον, ἢ παιδαγωγεῖν αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς καὶ βελτίω ποιεῖν, ἢ, εἰ τοῦτο ἀδύνατον, φέρειν γενναίως τὸν ἀκήρυκτον πόλεμον καὶ τὴν ἄσπονδον μάχην. Καὶ ἀνωτέρω μὲν ἔλεγε, « Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου· » ἐνταῦθα δὲ χωρισθεῖσαν αὐτὴν καὶ ἄκουσαν ἐγκρατεύεσθαι κελεύει λοιπόν· « Μενέτω γὰρ, φησὶν, ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. » Ὁρᾷς αὐτὴν ἐν μέσῳ δυοῖν ἀπειλημμένην πολέμων; ἢ γὰρ τὴν ἀπὸ τῆς ἐπιθυμίας βίαν χρὴ καρτερεῖν, ἢ τοῦτο μὴ βουλομένην κολακεύειν τὸν ὑβριστὴν, καὶ παρέχειν ἑαυτὴν ἐκείνῳ πρὸς ὅπερ ἂν βούληται, εἴτε πληγὰς ἐντεῖναι, εἴτε λοιδορίαις πλῦναι, εἴτε οἰκετῶν ὑπεροψίᾳ παραδοῦναι, εἴτε ἕτερόν τι τοιοῦτον· πολλαὶ γὰρ ὁδοὶ τοῖς ἀνδράσιν ἐπινενόηνται, ὅταν κολάζειν τὰς ἑαυτῶν βούλωνται γυναῖκας. Εἰ δὲ ταῦτα μὴ φέροι, τὴν ἐγκράτειαν ἀσκεῖν χρὴ τὴν ἄκαρπον· ἄκαρπον δὲ λέγω, ἐπειδὴ μὴ τὴν αὐτῇ προσήκουσαν ὑπόθεσιν ἔχει· οὐ γὰρ δι' ἁγιωσύνης ἐπιθυμίαν, ἀλλὰ διὰ τὴν πρὸς τὸν ἄνδρα ὀργὴν γίνεται. « Μενέτω γὰρ, φησὶν, ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. » Τί οὖν, ἂν μηδέποτε βούληται καταλλαγῆναι; φησίν.

temperantiam, fornicationem ac tentationem satanicam, eaque ne evenirent, rem permittens. Et quid tum postea? inquit: nam quamdiu id a supplicio liberat, quamvis vituperationem, quævis convicia facile feremus, dum deliciari atque assidue libidine frui liceat. Quid vero, bone vir, si nec deliciari licet, conviciumne solum percipiemus? Sed quomodo, inquit, deliciari non licet, cum dicat Paulus, *Quodsi se non continent, nubant?* Audi porro quæ iis hæreant. Audivisti satius esse matrimonium contrahere quam ardere. Quod jucundum est probas, permissionem laudas, apostolum de indulgentia suspicis: at hic ne consiste, et quæ consequuntur æque admitte: ejusdem enim est utrumque præceptum. Quid igitur subdit? (1 *Cor.* 7. 10 *et* 11) *Conjugibus autem præcipio, non ego, sed Dominus, Uxor a viro ne divortium faciat: sin divortium fecerit, maneat innupta aut viro reconcilietur. Item, Vir uxorem ne repudiet.*

XL. [*Magnam esse etiu declinabilem ex conjugio servitutem.*] Quid autem, si vir comis est, uxor improba, maledica, loquax, et quod commune omnium vitium est, sumtuosa, aliisque malis pluribus referta? quo modo miser ille quotidianam hanc molestiam, superbiam, impudentiam feret? Quid, inquam, si contra hæc modesta et sedata est, ille vero ferox, superbus, iracundus, animis ei partim opibus, partim potentia auctis, qui liberam eodem loco habeat quo servam, nihilo in eam quam in famulas æquior? quo pacto eam necessitatem vimque patietur? Quid denique, si ab ea plane alienus semper maneat? Fer, inquit, omnem hanc servitutem, futura demum libera, cum ille obierit: eo autem vivo duorum alterum necesse est, aut eum omni studio lenire ac frugi reddere, aut si id desperatum est, acerrimum quoddam bellum atque efferum prælium fortiter sustinere. Ac supra dicebat, *Ne defraudate alter alterum, nisi si quid ex consensu;* hic dirimtam, vel invitam se porro jubet continere: *Maneat*, inquit *innupta, aut viro reconcilietur.* Viden' eam inter gemina bella deprehensam? Nam aut libidinis vim ferre cogitur, aut si id nolit, assentandum est injurio, eique se ad quælibet præbendum, seu plagis afficere velit, seu conviciis vexare, seu vernarum ludibrio exponere, seu aliud quid ejusmodi: multæ enim viris ulciscendarum uxorum viæ adinventæ sunt. Quæ si non perferat, agenda infructuosa continentia est; infructuosa, inquam, quæ conveniens ipsi propositum non habeat. Neque enim sanctimoniæ studio suscepta est, sed propter dissidium cum viro: nam *Maneat*, inquit, *innupta, aut viro reconcilietur.* At quid, si nolet in gratiam redire? Habes alterum effugium atque eva-

Ἔχεις δευτέραν λύσιν καὶ ἀπαλλαγήν. Τίνα ταύτην; Ἀνάμενε τὸν τούτου θάνατον. Ὥσπερ γὰρ τῇ παρθένῳ γαμεῖσθαι οὐδέποτε ἔξεστι διὰ τὸ ζῆν αὐτῆς ἀεὶ τὸν νυμφίον καὶ ἀθάνατον εἶναι, οὕτω τῇ γεγαμημένῃ τότε μόνον ἔξεστιν, ὅταν ὁ ἀνὴρ ἀποθάνῃ. Εἰ γὰρ ἐξῆν καὶ ζῶντος ἀπὸ τούτου πρὸς ἕτερον, καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον μεταπηδᾶν, τί γάμων ἔδει λοιπόν, ταῖς ἀλλήλων γυναιξὶν ἀδιακρίτως τῶν ἀνδρῶν κεχρημένων, καὶ πάσαις ἁπλῶς ἀναμεμιγμένων ἁπάντων; Πῶς δὲ οὐκ ἂν καὶ πρὸς τοὺς συνοικοῦντας διεφθάρη ἡ διάθεσις, τήμερον μὲν τούτου, αὔριον δὲ ἐκείνου, καὶ πάλιν ἄλλου τῇ αὐτῶν συζώντων γυναικί; Δικαίως οὖν ὁ Κύριος αὐτὸ μοιχείαν ἐκάλεσεν.

Πῶς οὖν Ἰουδαίοις τοῦτο συνεχώρησεν; Ἵνα μὴ πολεμῶσιν ἀλλήλοις, ἵνα μὴ συγγενικῶν αἱμάτων τὰς ἑαυτῶν πλήσωσιν οἰκίας. Τί γὰρ ἦν ἄμεινον, εἰπέ μοι, τὴν μισηθεῖσαν ἐκβληθῆναι ἔξω, ἢ σφαγῆναι ἔνδον; Τοῦτο γὰρ ἂν ἐποίησαν, εἴ γε μὴ ἐξῆν αὐτοῖς ἐκβάλλειν. Διὰ τοῦτό φησιν, « Εἰ μισεῖς, ἐξαπόστειλον. » Ὅταν δὲ τοῖς ἐπιεικέσι διαλέγηται, καὶ οἷς μηδὲ ὀργίζεσθαι συγχωρεῖ, τί λέγει; « Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος. » Ὁρᾷς τὴν ἀνάγκην, τὴν ἀπαραίτητον δουλείαν, τὸν ἑκατέρους περιβάλλοντα δεσμόν; Δεσμὸς γὰρ ὄντως ὁ γάμος, οὐ διὰ τὸν τῶν φροντίδων ὄχλον μόνον, οὐδὲ διὰ τὰς λύπας τὰς καθημερινάς, ἀλλ' ὅτι παντὸς οἰκέτου χαλεπώτερον ἀλλήλοις ὑποκεῖσθαι τοὺς γεγαμηκότας καταναγκάζει. « Κρατείτω, φησίν, ὁ ἀνὴρ τῆς γυναικός. » Καὶ τί τῆς δεσποτείας ταύτης τὸ κέρδος; πάλιν γὰρ αὐτὸν δοῦλον τῆς κρατουμένης ποιεῖ, καινήν τινα καὶ παράδοξον δουλείας ἐπινοήσας ἀντίδοσιν· καὶ καθάπερ οἱ πόδες τῶν φυγάδων, οἱ καὶ καθ' ἑαυτοὺς δεδεμένοι καὶ πάλιν ἀλλήλοις συνδεδεμένοι διά τινος ἁλύσεως μικρᾶς ἐξ ἑκατέρας ἀρχῆς ταῖς πέδαις προσηλωμένης, οὐκ ἂν δύναιντο μετ' ἐξουσίας βαδίζειν τῷ τὸν ἕτερον ἀναγκάζεσθαι ἕπεσθαι θατέρῳ· οὕτω καὶ αἱ τῶν γεγαμηκότων ψυχαὶ ἔχουσι μὲν καὶ ἰδίας φροντίδας, ἔχουσι δὲ καὶ ἑτέραν ἀνάγκην τὴν ἐκ τοῦ πρὸς ἀλλήλους συνδέσμου, πάσης ἁλύσεως χαλεπώτερον ἄγχουσαν, καὶ τὴν ἀμφοτέρων ἐλευθερίαν ἁφαιρουμένην τῷ μὴ καθάπαξ ἑνὶ παραδοῦναι τὴν ἀρχήν, ἀλλ' εἰς ἑκατέρους αὐτῆς διανεῖμαι τὴν ἐξουσίαν. Ποῦ νῦν εἰσὶν οἱ διὰ τὴν ἐκ τῆς ἡδονῆς παραμυθίαν πᾶσαν ἕτοιμοι κατάγνωσιν ἐνεγκεῖν; Οὐδὲ γὰρ μικρὸν ὑποτέμνεται τῆς ἡδονῆς μέρος, ἐν ταῖς πρὸς ἀλλήλους ὀργαῖς καὶ ἀπεχθείαις πολλάκις ἀναλισκομένου χρόνου μακροῦ. Καὶ ἡ δουλεία δὲ αὕτη, τὸ τὴν ἑτέρου μοχθηρίαν ἀναγκάζεσθαι καὶ ἄκοντα θάτερον φέρειν, ἅπασαν ἱκανὴ συσκιάσαι τρυφήν. Διὰ τοῦτο ὁ μακάριος ἐκεῖνος πρῶτον μὲν δι' ἐνταπτικῶν ῥημάτων ἀνέστειλε τὴν πρὸς τὴν ἐπιθυμίαν φοράν, διὰ τὰς πορνείας λέγων καὶ ἀκρασίας καὶ πυρώσεις· ἐπειδὴ δὲ συνεῖδε βραχὺν ὄντα τοῖς πολλοῖς τὸν τῆς καταγνώσεως λόγον, τὸ τούτου πάλιν ἰσχυρότερον πρὸς ἀποτροπὴν τίθησι· διὸ καὶ οἱ μαθηταὶ εἰ-

sionem. Quamnam? Ejus mortem exspecta. Ut enim virgini, cui perenne vivens atque immortalis sponsus sit, nubere nunquam licet : sic maritatæ tum demum, cum vir obierit. Nam si fas esset, eo etiam vivo ab eo ad alium, iterumque ab illo ad alium transire, quid matrimonio opus esset, viris promiscue altero alterius uxore utentibus, atque cum omnibus coeuntibus? Quo pacto autem non et studium erga contubernales periret, hodie illo, cras illo, ac rursum alio cum eorum uxore consuescentibus? Merito id Dominus adulterium vocavit.

XLI. [*Cur Judæis concesserit Deus repudii libellum offerre.*] Cur igitur id Judæis permisit? Ne inter se confligerent, ne cognato sanguine ædes suas complerent. Cedo enim, utrum præstabat, invisam domo exigi, an intra parietes jugulari? quod fecissent, si non ejicere licuisset. Itaque inquit? (*Deut.* 24. 1) *Si invisam habes, dimitte.* At mansuetos, et quibus nec irasci permittat, alloquens quid dicit? (1 *Cor.* 7. 11) *Sin divortium fecerit, cælebs maneto.* Vides necessitatem, inevitabilem servitutem, et vinculum quod utrumque constringit? Vere enim vinculum matrimonium est, non solum propter sollicitudinum turbam ac quotidianas molestias, sed etiam quod conjuges quovis servo gravius invicem subjici cogat. *Vir,* inquit (*Gen.* 3. 16), *uxori dominetur.* At quis ejus dominii usus est? nam vicissim eum servum efficit ejus cui imperet, nova quadam et inaudita excogitata compensatione servitutis; ac quasi fugitivorum pedes et seorsim vincti, et rursum inter se exigua quadam catena licipiti utrimque pedicis affixa constricti, haud sane libere ingredi queant, quod alter alterum consequi coguntur : ad eumdem modum et conjugum mentes, cum privatas curas habent, tum alia necessitate etiam ex mutua colligatione tenentur, quæ eos omni catena arctius stringit, et utrique libertatem eripit, quod uni imperium omne non tradidit, sed ejus potestatem in utrumque est dispertitus. Ubi nunc sunt qui parati sunt voluptatis solatii causa omnem condemnationem pati? Neque enim parum de voluptate decedit, interdum mutuis odiis ac dissidiis in longum tempus durantibus. Quin ea quoque servitus, ut alterius improbitas alteri vel invito ferenda sit, satis est ut delicias omnes obliteret. Itaque beatus ille libidinis impotentiam primum asperis illis verbis repressit, Propter fornicationem, intemperantiam et ardores; sed cum videret vulgo eam condemnationem a multis flocci fieri, quod ad deterrendum efficacius esset addit. Ideo discipuli coacti sunt dicere (*Matth.* 19. 10), *Non expedit*

πεῖν ἠναγκάσθησαν, « Οὐ συμφέρει γαμῆσαι. » Τοῦτο δέ ἐστι τὸ μηδένα ἑαυτοῦ κύριον εἶναι τῶν γεγαμηκότων. Καὶ οὐκέτι τοῦτο ἐν παραινέσεως τάξει καὶ συμβουλῆς εἰσηγεῖται, ἀλλ' ἐν ἐπιτάγματος καὶ ἐντολῆς ἀνάγκῃ. Τὸ μὲν γὰρ γαμεῖν ἢ μὴ γαμεῖν ἐφ' ἡμῖν, τὰ δὲ μετὰ τὸν γάμον οὐκέτι ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἑκόντας καὶ ἄκοντας φέρειν χρὴ τὴν δουλείαν. Τί δήποτε; Ὅτι οὐκ ἀγνοοῦντες ταύτην εἱλόμεθα τὴν ἀρχήν, ἀλλὰ καὶ σφόδρα αὐτῆς ἐπιστάμενοι τὰ δικαιώματα καὶ τοὺς νόμους, ἑκόντες ἑαυτοὺς ὑπεβάλομεν τῷ ζυγῷ. Μετὰ δὲ ταῦτα περὶ τῶν ταῖς ἀπίστοις συνοικούντων διαλεχθείς, καὶ πᾶσιν ἀκριβῶς τοῖς περὶ τοῦ γάμου νόμοις ἐπεξελθών, καὶ τὸν περὶ τῶν οἰκετῶν λόγον παρεμβαλών, καὶ παραμυθησάμενος αὐτοὺς ἱκανῶς μὴ παρελαττοῦσθαι τῇ δουλείᾳ ταύτῃ τὴν εὐγένειαν αὐτοῖς τὴν πνευματικήν, μέτεισι λοιπὸν ἐπὶ τὸν τῆς παρθενίας λόγον, ὃν πάλαι μὲν ὤδινε καὶ κατασπεῖραι ἔσπευδεν, ἀπέτεκε δὲ νῦν, οὐδὲ ἐν τοῖς περὶ τοῦ γάμου λόγοις ἀποσιωπῆσαι καρτερήσας αὐτόν. Ἐν βραχεῖ μὲν γὰρ καὶ διασπαρμένως, ἐνύφηνε δὲ αὐτὸν ὅμως κἀκείνῃ τῇ παραινέσει· καὶ τῇ καλλίστῃ ταύτῃ μεθόδῳ προγυμνάσας ἡμῶν τὰς ἀκοάς, καὶ τὴν διάνοιαν προλεάνας, εἴσοδον ἀρίστην τῷ λόγῳ παρασκευάζει. Μετὰ γοῦν τὴν πρὸς τοὺς οἰκέτας παραίνεσιν (« Τιμῆς γάρ, φησίν, ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων ») τῆς δεσποτικῆς ἡμᾶς ἀναμνήσας εὐεργεσίας, καὶ τούτῳ πάντων τὰς διανοίας ἀναστήσας καὶ πρὸς τὸν οὐρανὸν ἄρας, οὕτω τοὺς περὶ τῆς παρθενίας ἐμβάλλει λόγους, ταυτὶ λέγων τὰ ῥήματα· « Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. » Καίτοι γε καὶ ἐπὶ τῶν πιστῶν τῶν ταῖς ἀπίστοις συνεζευγμένων οὐκ ἔχων ἐπιταγήν, μετὰ πολλῆς τῆς ἐξουσίας ἐνομοθέτει, οὕτωσὶ γράφων· « Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. » Τί οὖν οὐχὶ καὶ ἐπὶ τῶν παρθένων τὸ αὐτὸ ποιεῖς ἀποφαινόμενος; Ὅτι περὶ τούτου φανερῶς ὁ Χριστὸς διετάξατο, κωλύων εἰς ἐπιτάγματος ἀνάγκην ἐλθεῖν τὸ πρᾶγμα· τὸ γὰρ « Ὁ δυνάμενος χωρεῖν χωρείτω », κύριον τὸν ἀκροατὴν τῆς αἱρέσεως ποιοῦντός ἐστι. Περὶ μὲν οὖν τῆς ἐγκρατείας διαλεγόμενος, « Θέλω, φησὶ, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν » ἐν ἐγκρατείᾳ· καὶ πάλιν· « Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· » ἐν δὲ τοῖς περὶ τῆς παρθενίας λόγοις οὐδαμοῦ παρήγαγεν ἑαυτόν. Διὰ τοῦτο καὶ σφόδρα ὑφειμένως καὶ μετὰ πολλῆς τῆς ὑποστολῆς διαλέγεται· οὐ γὰρ αὐτῷ τὸ πρᾶγμα κατώρθωτο· « Ἐπιταγὴν οὐκ ἔχω, » φησί. Πρῶτον τὴν αἵρεσιν θεὶς, καὶ τὸν ἀκροατὴν εὐγνώμονα καταστήσας, οὕτως ἐπάγει τὴν συμβουλήν. Ἐπειδὴ γὰρ τὸ τῆς παρθενίας ὄνομα πολὺν εὐθέως ἐμφαίνει τὸν πόνον λεχθέν, διὰ τοῦτο οὐκ εὐθέως ἐπὶ τὴν παραίνεσιν ἔδραμεν, ἀλλὰ θεραπεύσας πρότερον τῇ αἱρέσει τὸν μαθητὴν,

nubere. Id autem est, conjugem nullum sui esse juris. Neque id hortabundus et tanquam consulens profert, sed præcipiens ac imperans. Nam matrimonium contrahere aut non contrahere penes nos est : quæ matrimonium consequuntur, non item, sed velimus nolimus ferenda servitus est. Quid ita? Quod non inscii eam primum suscepimus, sed probe ejus jura atque leges tenentes, sponte sub jugum nos subjecimus. Post hæc de iis loquutus, qui infideles uxores haberent, omnesque matrimonii leges accurate persequutus, interjecta de servis disputatione, atque iis, quod abunde solatio esset, monitis, ingenuitatem spiritalem ea servitute non imminui, pergit ad sermonem de virginitate, quem pridem parturiebat ac serere satagebat, nunc enitens, cum eum nec de matrimonio disserens sustinuisset silentio præterire. Nam breviter ille quidem et obiter, sed tamen ei quoque exhortationi eum intexuit : atque ea pulcherrima ratione aures nostras et ingenium tamquam præparans ac præmolliens, orationi facilem aditum molitur. Post exhortationem enim ad servos (nam *Pretio*, inquit [23], *emti estis : nolite fieri servi hominum*) Domini nobis beneficio in memoriam revocato, omniumque mentibus eo erectis in cælumque sublatis, de virginitate disputationem demum inserit his verbis(25) : *De virginibus autem Domini præceptum non habeo, sed consilium do, tamquam misericordiam consecutus a Domino, ut sim fidelis.* Atqui de fidelis cum infideli conjugio item præceptum non habens, magna auctoritate ita sanciebas (12) : *Cæteris autem ego dico, non Dominus : Si quis frater uxorem habet infidelem, et hæc consentit habitare cum illo, non dimittat illam.* Cur non igitur et de virginibus itidem scis? Quia hoc Christus palam constituit vetans eam rem præcepti necessitate definiri. Illud namque, *Qui potest capere, capiat*, liberam auditori optionem condonantis est. Itaque de continentia disserens, *Volo*, inquit, *omnes homines sic esse, ut ego sum*, continentes; et rursum, *Innuptis autem ac viduis dico, Bonum est illis, si sic permaneant, ut ego;* at non in sermone de virginitate usquam se exemplum adducit; ideoque admodum modeste atque caute loquitur, qui nec ipse ea perfunctus esset. *Præceptum*, inquit, *non habeo.* Primum proponens optionem benevolum reddit auditorem, tum consilium subjicit. Quoniam enim virginitatis nomen prolatum protinus ingentem laborem declarat, ideo non statim ad cohortationem se contulit, sed auditorem prius optione deliniens,

εὐήνιόν τε καὶ τιθασὸν αὐτοῦ κατασκευάσας τὴν ψυχήν, οὕτω ποιεῖται τὴν εἰσήγησιν. Ἤκουσας παρθενίαν, ὄνομα πολλῶν πόνων καὶ ἱδρώτων· μὴ δείσῃς· οὐκ ἔστι τὸ πρᾶγμα ἐπίταγμα, οὐδὲ ἐντολῆς ἀνάγκην ἐπάγεται, ἀλλὰ τοὺς μὲν ἑκοντὶ καὶ μετὰ προαιρέσεως δεχομένους αὐτὴν τοῖς οἰκείοις ἀμείβεται καλοῖς, τὸν φαιδρὸν καὶ εὐανθῆ στέφανον περιτιθεῖσα αὐτῶν τῇ κεφαλῇ, τοὺς δὲ παραιτουμένους αὐτὴν καὶ οὐκ ἐθέλοντας προσθέσθαι, οὔτε κολάζει, οὔτε ἄκοντας ἀναγκάζει τοῦτο ποιεῖν. Οὐ ταύτῃ δὲ μόνον ἀνεπαχθῆ τὸν λόγον εἰργάσατο καὶ ἡδύν, ἀλλὰ καὶ τῷ τὴν χάριν τοῦ πράγματος οὐκ αὐτοῦ φάναι εἶναι, ἀλλὰ τοῦ Χριστοῦ. Οὐ γὰρ εἶπε, Περὶ δὲ τῶν παρθένων οὐκ ἐπιτάσσω, ἀλλ' « Ἐπιταγὴν οὐκ ἔχω », ὡς ἂν εἰ ἔλεγεν· Εἰ μὲν ἐξ ἀνθρωπίνων λογισμῶν ἐγὼ κινούμενος ταῦτα παρήνουν, οὐκ ἔδει θαρρεῖν· ἐπειδὴ δὲ τῷ Θεῷ τοῦτο ἔδοξεν, ἀσφαλὲς τὸ τῆς ἐδέας ἐνέχυρον. Τὴν μὲν ἐξουσίαν τοῦ τὰ τοιαῦτα ἐπιτάττειν παρῄρημαι, εἰ δὲ βούλεσθε ἀκούειν ὡς ὁμοδούλου, « γνώμην δίδωμι, φησίν, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. » Ἄξιον δὲ ἐνταῦθα θαυμάσαι τοῦ μακαρίου τὴν πολλὴν εὐμηχανίαν καὶ τὴν σύνεσιν, καὶ πῶς ἐν μέσῳ δυοῖν ἀναγκαίων καὶ ἐναντίων ἀπειλημμένος, τοῦ τε συστῆσαι τὸ ἑαυτοῦ πρόσωπον, ὥστε εὐπαράδεκτον γενέσθαι τὴν συμβουλήν, καὶ τοῦ μηδὲν μέγα φρύξασθαι περὶ ἑαυτοῦ, διὰ τὸ τῆς ἀρετῆς ταύτης γιγονέναι ἐκτὸς, ἀμφότερα ἐν βραχεῖ κατεσκεύασε. Τῷ μὲν γὰρ εἰπεῖν « ὡς ἠλεημένος, » συνίστησί πως ἑαυτὸν, τῷ δὲ μὴ ἀπὸ τοῦ λαμπροτέρου τοῦτο ποιῆσαι μέρους, ταπεινοῖ καὶ συστέλλει πάλιν.

Οὐ γὰρ εἶπε, Δίδωμι γνώμην, ὡς πιστευθεὶς τὸ εὐαγγέλιον, ὡς ἀξιωθεὶς εἶναι κῆρυξ τῶν ἐθνῶν, ὡς προστασίαν τὴν ὑμετέραν ἐγχειρισθεὶς, ὡς διδάσκαλος καὶ καθηγητής· ἀλλὰ πῶς; « Ὡς ἠλεημένος, φησὶν, ὑπὸ τοῦ Κυρίου πιστὸς εἶναι », καὶ τὸ ἔλαττον θείς· ἔλαττον γὰρ τοῦ διδάσκαλον εἶναι τῶν πιστῶν τὸ μόνον εἶναι πιστόν. Καὶ ἑτέραν ἐπινοεῖ πάλιν ταπείνωσιν. Ποίαν δὴ ταύτην; Οὐκ εἶπεν, Ὡς γενόμενος πιστὸς, ἀλλ' « Ὡς ἠλεημένος εἶναι πιστός. » Μὴ γὰρ τὴν ἀποστολὴν καὶ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν μόνον νομίσῃς τῆς δωρεᾶς εἶναι τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸ τὸ πιστεῦσαι ἀπὸ τοῦ ἐλέους μοι γέγονεν ἐκείνου. Οὐ γὰρ ἐπειδὴ ἄξιος ἦμην, φησὶ, κατηξιώθην τῆς πίστεως, ἀλλ' ἐπειδὴ ἠλεήθην μόνον· ὁ δὲ ἔλεος χάριτός ἐστιν, οὐ τοῦ κατ' ἀξίαν. Ὥστε εἰ μὴ ἦν σφόδρα εὔσπλαγχνος ὁ Θεὸς, οὐ μόνον ἀπόστολος, ἀλλ' οὐδὲ πιστὸς ἠδυνήθην ἂν γενέσθαι ποτέ. Εἶδες εὐγνωμοσύνην οἰκέτου καὶ συντετριμμένην καρδίαν, πῶς οὐδὲν πλέον ἑαυτῷ δίδωσι τῶν λοιπῶν, ἀλλὰ καὶ τοῦτο, ὃ κοινὸν αὐτῷ καὶ τοῖς μαθηταῖς ἦν, τὸ τῆς πίστεως οὐκ αὐτοῦ φησιν εἶναι, ἀλλὰ τοῦ ἐλέους καὶ τῆς χάριτος τοῦ Θεοῦ; ταὐτὸν ἐμφαίνων διὰ τῶν ῥημάτων τούτων, οἷον εἰ ἔλεγε, Μὴ ἀπαξιώσητε συμβουλὴν δέξασθαι παρ' ἐμοῦ· οὐδὲ γὰρ ὁ Θεὸς ἀπηξίωσέ με τοῦ ἐλέους τοῦ παρ' αὐτοῦ. Ἄλλως τε καὶ γνώμη τὸ πρᾶγμά ἐστιν, οὐκ ἐπίταγμα· ἐπιτάττει δὲ ὁ Θεὸς καὶ ἀπειλεῖ καὶ κολάζει καὶ τιμωρεῖται· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ πάντα ἐπιεικῆ καὶ πρᾶα καὶ ἡμερώτατα.

ejusque ingenium cicur ac tractabile reddens, ita demum proponit. Audisti virginitatem, nomen multi laboris ac sudoris : ne metue; non præceptum agitur, aut jussi necessitas, sed eos qui se volentes atque libenter amplectuntur, illa suis bonis remuneratur, eorum capiti splendidam ac floream coronam imponens; qui recusant seque adsciscere nolunt, nec punit nec invitos cogit. Neque eo solum orationem gratam nec molestam reddidit, sed etiam quod beneficium hoc non suum, sed Christi esse dicat. Non enim ait, De virginibus non præcipio, sed, *Præceptum non habeo :* quasi diceret : Si humanis rationibus motus ipse hæc cohortarer, non fidendum esset : at cum id Deo visum sit, certum est pignus libertatis. Mihi quidem ea imperandi facultas est erepta : sed si audire vultis velut conservum, *consilium do*, inquit, *tamquam misericordiam consequutus a Domino ut sim fidelis.* Atque hoc loco Pauli summum artificium ac prudentia miranda est, quemadmodum inter duo necessaria, eaque contraria, interceptus, tum ut se commendaret, quo consilium plausibile esset, tum ut nihil de se magnum prædicaret, quippe ejus virtutis exsors, brevibus verbis utrumque consequutus sit. Nam qui dicat, *Tamquam misericordiam consequutus*, quodammodo se commendat : qui se potiori nomine non commendat, vicissim se extenuat ac deprimit.

XLII. [*De Pauli humilitate.*] Non enim ait, Consilium do, ut cui creditum sit evangelium, ut delectus gentium præco, ut cui in vos magisterium commissum sit, ut doctor atque dux; sed quid? *Tamquam misericordiam consequutus a Domino ut sim fidelis;* eoque, quod minus esset, proposito; nam minus est fidelem dumtaxat esse, quam fidelium magistrum. Aliamque rursum extenuationem meditatur. Quamnam? Non ait, Ut fidelis effectus, sed, *Tamquam misericordiam consequutus, ut sim fidelis.* Ne apostolatum solum, prædicationem, et magisterium Dei munificentiæ puta : nam ipsum etiam credere mihi ejus misericordia concessum est : Non enim, inquit, quod dignus essem, fidem accepi; sed quod misericordiam sim consequutus. Misericordia autem gratiæ est, non ex merito. Itaque nisi multum misericors esset Deus, non tantum apostolus, sed ne fidelis quidem umquam effici potuissem. Viden' servi gratum animum atque contritum, ut nihil sibi cæteris plus arroget; quin id etiam quod sibi cum discipulis commune esset, fidem, suum esse neget, sed Dei misericordiæ et gratiæ? idem his verbis significans ac si diceret : Ne dedignamini consilium a me recipere; neque enim me Deus misericordia sua dedignatus est. Et alioqui consilium agitur, non præceptum : consulo, non sancio.

ταγμα· συμβουλεύω, οὐ νομοθετῶ. Τὸ δὲ τὰ παραστάντα ἑκάστῳ συμφέροντα φέρειν εἰς μέσον καὶ προτιθέναι οὐδεὶς κωλύσειεν ἂν νόμος, καὶ μάλιστα ὅταν ἐξ αἰτήσεως τοῦτο γίνηται τῶν ἀκροατῶν, καθάπερ καὶ ἐφ' ὑμῶν. « Νομίζω οὖν, φησὶ, τοῦτο καλὸν ὑπάρχειν. » Ὁρᾷς πάλιν ὑφειμένον τὸν λόγον καὶ πάσης ἔρημον ἐξουσίας; Καίτοι γε ἐνῆν οὕτως εἰπεῖν· Ἐπειδὴ ὁ Κύριος οὐκ ἐπέταξε παρθενίαν, διὰ τοῦτο οὐδὲ ἐγώ· συμβουλεύω δὲ ὑμῖν καὶ παραινῶ τοῦτο ζηλοῦν, καὶ γὰρ ἀπόστολος ὑμῶν εἰμί· καθάπερ καὶ μετὰ ταῦτα διαλεγόμενος αὐτοῖς ἔλεγεν, « Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι. » Ἀλλ' ἐνταῦθα οὐδὲν τούτων φθέγγεται, ἀλλὰ μετὰ πολλῆς φειδοῦς τοῖς ῥήμασι κέχρηται, ἀντὶ μὲν τοῦ Συμβουλεύω « γνώμην δίδωμι » λέγων· ἀντὶ δὲ τοῦ Ὡς διδάσκαλος, « ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι· » καὶ ὥσπερ οὐδὲ τούτων ἀρκούντων πρὸς τὸ συνεσταλμένον ποιῆσαι τὸν λόγον, ἀρχόμενος τῆς συμβουλῆς ὑποτέμνεται πάλιν τὴν ἐξουσίαν, οὐχ ἁπλῶς ἀποφαινόμενος, ἀλλὰ καὶ αἰτίαν προστιθείς· « Νομίζω γὰρ τοῦτο καλὸν ὑπάρχειν, φησὶ, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. » Καίτοι γε ὅτε περὶ ἐγκρατείας διελέγετο, οὔτε τὸ Νομίζω τέθεικεν, οὔτε αἰτίαν τινὰ, ἀλλ' ἁπλῶς, « Καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ· » ἐνταῦθα δὲ, « Νομίζω εἶναι καλόν. » Τοῦτο δὲ ποιεῖ οὐκ ἀμφιβάλλων περὶ τοῦ πράγματος· ἄπαγε· ἀλλὰ τῇ τῶν ἀκουόντων κρίσει τὸ πᾶν ἐπιτρέψαι βουλόμενος. Τοιοῦτον γὰρ ὁ σύμβουλος, οὐκ αὐτὸς τοῖς λεγομένοις ψηφίζεται, ἀλλὰ τὸ πᾶν ὑπὸ τὴν κρίσιν ἀφίησι κεῖσθαι τῶν ἀκροατῶν.

Ποίαν δὲ καὶ ἀνάγκην ἐνταῦθά φησιν; ἆρα τὴν ἀπὸ τῆς φύσεως; Οὐδαμῶς. Πρῶτον μὲν γὰρ, εἰ ταύτην ἔλεγε, τοὐναντίον ἂν οὗπερ ἐβούλετο κατεσκεύασε μεμνημένος αὐτῆς· οἱ γὰρ βουλόμενοι γαμεῖν ταύτην ἄνω καὶ κάτω στρέφουσι. Δεύτερον δὲ οὐκ ἂν αὐτὴν ἐνεστῶσαν ἐκάλεσεν· οὐ γὰρ νῦν πρῶτον, ἀλλ' ἄνωθεν εἰς τὸ τῶν ἀνθρώπων κατεφυτεύθη γένος, καὶ πάλαι μὲν χαλεπωτέρα καὶ ἀτιθάσευτος ἦν, παραγενομένου δὲ τοῦ Χριστοῦ, καὶ τῆς ἀρετῆς ἐπιδοθείσης, εὐκαταγώνιστος γέγονεν. Ὥστε οὐ περὶ ταύτης ὁ λόγος αὐτῷ, ἀλλ' ἑτέραν τινὰ αἰνίττεται πολύτροπον καὶ πολυειδῆ. Τίς οὖν ἐστιν αὕτη; Ἡ τῶν ἐν τῷ βίῳ πραγμάτων διατροφή. Τοσαύτη γάρ ἐστιν ἡ σύγχυσις, τοσαύτη τῶν φροντίδων ἡ τυραννὶς, τοσοῦτος ὁ τῶν περιστάσεων ὄχλος, ὡς καὶ ἄκοντα πολλὰ πολλάκις ἀναγκάζεσθαι τὸν γεγαμηκότα ἁμαρτάνειν καὶ πλημμελεῖν.

Τὸ μὲν γὰρ παλαιὸν οὐ τοσοῦτον ἡμῖν ἀρετῆς προὔκειτο μέτρον, ἀλλὰ καὶ ἀμύνασθαι τὸν ἀδικοῦντα, καὶ ἀντιλοιδορήσασθαι τῷ λοιδορουμένῳ, καὶ χρημάτων ἐπιμελήσασθαι ἐξῆν, καὶ εὐορκοῦντα ὀμνύναι, καὶ ὀφθαλμὸν ἐξορύξαι ἀντὶ ὀφθαλμοῦ, καὶ μισῆσαι τὸν ἐχθρὸν, καὶ οὔτε τρυφᾶν, οὔτε ὀργίζεσθαι, οὐδὲ γυναῖκα τὴν μὲν ἐκβάλλειν, τὴν δὲ ἀντεισάγειν κεκώλυτο. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δύο κατὰ ταὐτὸν ὁμοῦ γυναῖκας ἔχειν ὁ νόμος ἐπέτρεπε, καὶ πολλὴ καὶ ἐν τούτοις

Porro quæ cuique occurrant utilia, in medium proferre ac proponere nulla lex prohibet, maxime ubi id auditorum rogatu fiat : quod quidem et vobis accidit. *Arbitror* igitur, inquit (26), *hoc bonum esse.* Vides rursum modestam orationem, ab omnique auctoritate alienam. Atqui in hanc sententiam disserere interim licebat : Quoniam Dominus virginitatem non præcepit, ideo neque ego : consulo tamen ac cohortor ad ejus studium, qui apostolus vester sim. Quemadmodum et infra (1 *Cor.* 9. 2) eos alloquens ait, *Si aliis non sum apostolus, at certe vobis sum.* At hic nihil ejusmodi loquitur, sed admodum verecunde verba facit, ejus vice, Consulo, *Sententiam do*, inquiens; ejus autem vice, Prout doctor, *Tamquam misericordiam consecutus a Domino, ut sim fidelis :* quasique ne hæc quidem satis essent ad orationem extenuandam, consilium exorsus auctoritatem iterum minuit, qui non statuat solum, sed addat etiam rationem : *Arbitror*, inquit, *hoc bonum esse, propter instantem necessitatem.* At enim de continentia disserens, neque Arbitror posuit, neque ullam plane rationem ; sed illud modo, *Bonum est illis, si permaneant, sicut et ego :* hic vero, *Arbitror hoc bonum esse.* Id autem facit, non qui de eo dubitaret, nihil minus; sed qui totum auditorum judicio permittere vellet. Nam consiliarius is est, non qui de iis quæ profert statuat, ipse, sed qui totum in auditorum arbitrio positum relinquat.

XLIII. [*Quam instantem necessitatem Paulus nominet.*] Sed quæ est, quam hic memorat, necessitas? eane, quæ a natura prodit? Minime. Primum enim, si hanc diceret, ejus commemoratione contrarium atque cogitabat efficeret : etenim qui matrimonium contrahere volunt, hanc susque deque jactant. Secundo eam *instantem* non vocaret; non enim nunc primum, sed jam olim mortalium generi insita est, atque erat illa quidem ante vehementior et indomita, sed Christi adventu, auctaque jam virtute, superatu facilis est effecta. Itaque ei non de hac sermo est, sed aliam quamdam innuit, multiplicem et variam. Quænam ea est? Humanarum rerum conversio. Tanta enim est confusio, tanta tyrannis, ac circumstantium rerum turba, ut in multis sæpenumero conjugi vel invito errandum peccandumque sit.

XLIV. [*Facilius esse virginem quam conjugem regnum consequi.*] Etenim olim non is erat nobis virtutis propositus modus, sed et injuriam ulcisci, et convicium reddere, et pecunias procurare licebat, et sancte jurare, et oculum pro oculo eruere, et inimicos odisse; neque aut deliciis indulgere, aut irasci, aut uxorem aliam ejicere, aliam adsciscere interdictum erat. Neque id solum, sed duas etiam conjuges simul habere lex sinebat, eratque tum hac in re,

καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἡ συγκατάβασις ἦν. Μετὰ δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν πολλῷ στενοτέρα γέγονεν ἡ ὁδὸς, οὐ μόνον τῷ τὴν ἄδειαν τῶν εἰρημένων ἁπάντων τὴν ἄφατον ταύτην καὶ πολλὴν περικοπῆναι τῆς ἐξουσίας τῆς ἡμετέρας, ἀλλὰ καὶ τῷ τὴν πολλὰ πολλάκις ἀναπείθουσαν καὶ ἀναγκάζουσαν ἡμᾶς καὶ ἄκοντας ἁμαρτάνειν γυναῖκα, ταύτην ἔνδον ἔχειν διαπαντὸς, ἢ μοιχείας ἁλίσκεσθαι βουλόμενον ἐκβάλλειν. Οὐ ταύτῃ δὲ μόνον ἡμῖν ἡ ἀρετὴ δυσκατόρθωτος, ἀλλ' ὅτι, κἂν ἀνεκτὸν ἦθος ἔχῃ ἡ συνοικοῦσα, ὁ δι' αὐτὴν καὶ τὰ ἔκγονα τὰ ἐκείνης περιῤῥέων ἡμᾶς φροντίδων ὄχλος οὐδὲ μικρὸν ἀναβλέψαι πρὸς τὸν οὐρανὸν συγχωρεῖ, πάντοθεν ὥσπερ τις ἴλιγξ περιστρέφων καὶ βαπτίζων ἡμῶν τὴν ψυχήν. Ὅρα γάρ· βούλεται τὸν τῶν ἰδιωτῶν βίον τὸν ἀκίνδυνον τοῦτον καὶ ἀπράγμονα ζῆν ὁ ἀνήρ· ἀλλ' ὅταν ἴδῃ παῖδας περιεστῶτας καὶ γυναῖκα δαπάνης δεομένην πολλῆς, καὶ ἄκων εἰς τὸν τῶν πολιτικῶν πραγμάτων ἔῤῥιψεν ἑαυτὸν κλύδωνα. Ἐκεῖ δὲ ἐμπεσόντα λοιπὸν οὐδὲ ἔστιν εἰπεῖν ὅσα ἁμαρτάνειν ἀνάγκη, ὀργιζόμενον, ὀμνύντα, λοιδορούμενον, ἀμυνόμενον, ὑποκρινόμενον, πολλὰ πρὸς χάριν, πολλὰ πρὸς ἀπέχθειαν ποιοῦντα. Πῶς γὰρ ἕνι στρεφόμενον ἐν ζάλῃ τοσαύτῃ, καὶ βουλόμενον εὐδοκιμεῖν ἐν αὐτῇ, μὴ πολὺν τὸν ἀπὸ τῶν ἁμαρτημάτων προστρίβεσθαι ῥύπον; Καὶ τὰ κατὰ τὴν οἰκίαν δὲ εἴ τις ἐξετάσειε, τῆς αὐτῆς καὶ πλείονος δυσκολίας εὑρήσει γέμοντα διὰ τὴν γυναῖκα· πολλὰ γὰρ ἀνάγκη μεριμνᾶν καὶ ὑπὲρ πολλῶν, ὧν οὐκ ἂν ἐδεήθη καθ' ἑαυτὸν [ὢν] ὁ ἀνήρ. Καὶ ταῦτα μὲν ὅταν κοσμία τις ᾖ καὶ ἐπιεικὴς ἡ γυνή· ἂν δὲ μοχθηρὰ καὶ ἐπαχθὴς καὶ δυσανάσχετος, οὐκέτι μόνον ἀνάγκην τὸ πρᾶγμα καλέσομεν, ἀλλὰ καὶ τιμωρίαν καὶ κόλασιν. Πῶς οὖν δυνήσεται τὴν ἐπὶ τὸν οὐρανὸν βαδίζειν ὁδὸν, τὴν εὐλύτων καὶ κούφων δεομένην ποδῶν, καὶ ψυχῆς εὐζώνου καὶ εὐσταλοῦς, τοσοῦτον ἔχων ἐπικείμενον πραγμάτων ὄγκον, τοσαύταις συνδεδεμένος πέδαις καὶ διὰ τοιαύτης ἀλύσεως ἑλκόμενος κάτω συνεχῶς, τῆς πονηρίας λέγω τῆς γυναικός;

Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος, ὅταν ταῦτα ἅπαντα αὐτοῖς διεξέλθωμεν; Οὐκοῦν πλείονος ἄξιος ἔσται τιμῆς, φησὶν, ὁ μετὰ τοσαύτης ἀνάγκης κατορθῶν. Τίνος ἕνεκεν, ὦ βέλτιστε, καὶ διὰ τί; Ὅτι πλείονα μόχθον, φησὶν, ὑφίσταται ἀπὸ τοῦ γάμου. Καὶ τίς αὐτὸν ἀναδέξασθαι φορτίον τοσοῦτον ἠνάγκασεν; εἰ μὲν γὰρ ἐντολὴν ἐπλήρου γαμῶν, καὶ νόμου παράβασις ἦν τὸ μὴ γαμεῖν, εὐπρόσωπος οὗτος ὁ λόγος ἦν· εἰ δὲ κύριος ὢν τοῦ μὴ τὸν ζυγὸν ὑπελθεῖν τοῦ γάμου, ἑκὼν, ἀναγκάζοντος οὐδενὸς, δυσκολίας ἑαυτῷ περιθεῖναι τοσαύτας ἠθέλησεν, ὥστε ἐπαχθέστερον αὐτῷ γενέσθαι τῆς ἀρετῆς τὸν ἀγῶνα, οὐδὲν τοῦτο πρὸς τὸν ἀγωνοθέτην· αὐτὸς γὰρ ἓν μόνον ἐπέταξεν ἀνύσαι, τὸν κατὰ τοῦ διαβόλου πόλεμον καὶ τὴν κατὰ τῆς κακίας νίκην· εἴτε δὲ γαμῶν καὶ τρυφῶν καὶ πολλὰ μεριμνῶν τις ἀνύοι τοῦτο, εἴτε ἀσκούμενος καὶ ταλαιπωρῶν, καὶ μετὰ τοῦ μηδὲν ἕτερον μεριμνᾶν, οὐδὲν

tum in aliis omnibus summa ejus facilitas. At postquam Christus prodiit, via longe facta est angustior, non solum quod incomparabilis ea et ingens omnium quæ dixi licentia nobis e manibus erepta sit; sed etiam quod uxor, quæ nos multa interdum vel invitos designare inducat atque cogat, domi perpetuo sit habenda, aut, si ejicere velis, adulterii crimen sit subeundum. Neque hoc tantum nomine virtus ea nobis difficilis est, sed quod licet conjux tolerabilibus moribus sit, curarum tamen quæ nos propter eam ejusque liberos circumfundat turba, nec minimum in cælum suspicere patiatur, animos nostros quasi quidam vortex undique torquens ac demergens. Nam ecce cupit vir privatam et otiosam et liberam a periculis vitam degere; sed conspectis circumstantibus liberis atque conjuge grandi sumtu egente, vel invitus se in civilium rerum æstum conjicit. Eo autem illapsum dici non potest quanta illi peccare necesse sit, irascenti, juranti, convicianti, ulciscenti, simulanti, multa ad gratiam, multa ad simultatem facienti. Qui enim potest, qui in tantis fluctibus versetur, atque inde gloriam captet, non graves scelerum sordes contrahere? Jam si quis domestica rimetur, eadem atque etiam majori difficultate plena inveniet propter uxorem; multa enim ac de multis curet necesse est, quibus seorsum agenti viro nihil opus esset. Atque hæc quidem, si proba atque commoda sit uxor; sin pervicax, acerba, difficilis, non jam id necessitas modo, sed pœna ac supplicium vocandum erit. Qui poterit ergo iter ad cælum conficere, quod solutis ac pernicibus pedibus, animo accincto et probe expedito indiget, ea negotiorum mole imposita, tot pedicis constrictus, catena hac, uxoris inquam improbitate, deorsum assidue detractus?

XLV. [*Qui supervacuas difficultates excogitent, eos nullum ejus rei præmium manere.*] At quod est hoc sapiens vulgi responsum, cum iis hæc omnia recensemus? Itaque, inquit, majori præmio dignus erit qui, hac imposita necessitate, recte se gerat. Quid ita, bone vir, et quamobrem? Quod majorem, inquit, laborem propter matrimonium subeat. Et quis eum tantum onus suscipere coegit? nam si quidem matrimonium ineundo præceptum impleret, ac non ineundo in legem delinqueret, haberet id probabilitatem: sin autem, cui liberum esset matrimonii jugum non subire, ultro, cogente nullo, se in eas difficultates inducere voluit, quo gravius sibi virtutis certamen redderetur, nihil hoc ad agonothetam, qui id unum jusserit, cum diabolo bellum conficere et adversum vitia victoriam quærere: sive autem quis matrimonio devinctus ac deliciis vacans, deque multis curans, hoc agat, sive exercitus et afflictus, neque aliud præterea curans, id nihil

αὐτῷ τούτου μέλει λοιπόν. Τὸν μὲν γὰρ τρόπον τῆς νίκης, καὶ τὴν ἐπὶ τὸ τρόπαιον φέρουσαν ὁδὸν αὐτὸς ἐκείνην εἶναί φησι τὴν πάντων ἀπηλλαγμένην τῶν βιωτικῶν· ἐπειδὴ δὲ σὺ μετὰ γυναικὸς καὶ παίδων καὶ τῶν τούτοις ἐπισυρομένων πραγμάτων στρατεύεσθαι βούλει καὶ πολεμεῖν, ὡς τὰ αὐτὰ ἀνύσων ἐκείνοις τοῖς οὐδενὶ τούτων ἐμπεπλεγμένοις, καὶ πλείονος ἀπολαύσων διὰ τοῦτο θαύματος, νῦν μὲν ἴσως καὶ τῦφον ἡμῖν ἐγκαλέσεις πολὺν, ἂν εἴπωμεν ὅτι οὐ δυνατόν σε πρὸς τὴν αὐτὴν ἐκείνοις φθάσαι κορυφήν· τὸ δὲ τέλος καὶ ὁ τῶν στεφάνων καιρὸς τότε σε πείσει καλῶς, ὅτι πολλῷ βελτίων ἀσφάλεια φιλοτιμίας κενῆς, καὶ κρεῖττον τῷ Χριστῷ πείθεσθαι, ἢ τῇ τῶν οἰκείων ματαιότητι λογισμῶν. Ὁ μὲν γὰρ Χριστὸς οὐδὲ τὸ τοῖς οἰκείοις ἀποτάξασθαι πᾶσι πρὸς ἀρετὴν ἡμῖν φησιν ἀρκεῖν, ἂν μὴ καὶ ἡμᾶς αὐτοὺς μισήσωμεν· σὺ δὲ πᾶσι τούτοις φυρόμενος ἔφης δύνασθαι περιγενέσθαι. Ἀλλ', ὅπερ ἔφην, τότε εἴσῃ καλῶς, ὅσον πρὸς ἀρετὴν ἐμπόδιον γυνὴ καὶ γυναικὸς φροντίδες.

Πῶς οὖν, φησὶ, βοηθὸν αὐτὴν ἐκάλεσε τὴν ἐμποδίζουσαν; « Ποιήσωμεν γὰρ αὐτῷ, φησὶ, βοηθὸν κατ' αὐτόν. » Κἀγὼ δέ σε ἐρήσομαι, πῶς βοηθὸς ἡ τοσαύτης ἀποστερήσασα τὸν ἄνδρα ἀσφαλείας, καὶ τῆς θαυμαστῆς μὲν ἐκείνης ἐκβαλοῦσα διαγωγῆς τῆς ἐν τῷ παραδείσῳ, εἰς δὲ τὴν τοῦ παρόντος βίου ταραχὴν ἐμβαλοῦσα; ταῦτα γὰρ οὐ μόνον οὐ βοηθοῦ, ἀλλὰ καὶ ἐπιβούλου. « Ἀπὸ γὰρ γυναικὸς, φησὶν, ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. » Καὶ ὁ μακάριος δὲ Παῦλος, « Ἀδὰμ, φησὶν, οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν. » Πῶς οὖν βοηθὸς ἡ τῷ θανάτῳ τὸν ἄνδρα ὑποτάξασα; πῶς βοηθὸς δι' ἧς οἱ υἱοὶ τοῦ Θεοῦ, μᾶλλον δὲ πάντες οἱ τὴν γῆν κατοικοῦντες τότε, ἅμα θηρίοις καὶ πετεινοῖς καὶ τοῖς ἄλλοις ἅπασι ζώοις κατακλυσθέντες ἀπώλοντο; Οὐχ αὕτη τὸν δίκαιον Ἰὼβ ἔμελλεν ἀπολλύναι, εἰ μὴ σφόδρα ἐκεῖνος ἦν ἀνήρ; οὐχ αὕτη τὸν Σαμψὼν ἀπώλεσεν; οὐ τὸ πᾶν Ἑβραίων γένος αὐτὴ τελεσθῆναι τῷ Βεελφεγὼρ καὶ ταῖς συγγενικαῖς κατασκοπῆναι χερσὶ παρεσκεύασε; Τὸν δὲ Ἀχαὰβ τίς μάλιστα τῷ διαβόλῳ παρέδωκε, καὶ πρὸ τούτου τὸν Σολομῶντα μετὰ τὴν πολλὴν ἐκείνην σοφίαν καὶ εὐδοκίμησιν; Οὐ μέχρι καὶ νῦν πολλὰ τοὺς ἄνδρας τοὺς ἑαυτῶν ἀναπείθουσι προσκρούειν τῷ Θεῷ; οὐ διὰ τοῦτό φησιν ὁ σοφὸς ἐκεῖνος ἀνὴρ, « Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός; » Πῶς οὖν, φησὶν, εἶπεν (αὐτῷ) ὁ Θεὸς, « Ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ; » οὐδὲ γὰρ ψεύδεται ὁ Θεός. Οὐδὲ ἐγὼ τοῦτο ἂν εἴποιμι· ἄπαγε· ἀλλ' ἐγένετο μὲν ἐπὶ τούτῳ καὶ διὰ τοῦτο, οὐκ ἠθέλησε δὲ μεῖναι ἐπὶ τῆς οἰκείας ἀξίας, καθάπερ οὖν οὐδὲ ὁ ταύτης ἀνήρ. Καὶ γὰρ ἐκεῖνον ὁ Θεὸς ἐποίησε κατ' εἰκόνα καὶ ὁμοίωσιν· « Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν », ὥσπερ οὖν εἶπε, « Ποιήσωμεν αὐτῷ βοηθόν· » γενόμενος δὲ, ἀμφότερα εὐθέως ἀπώλεσεν. Οὔτε γὰρ τὸ καθ' ὁμοίωσιν ἐφύλαξε· (πῶς

pensi habet. Victoriæ quidem modum, atque ad tropæum ferentem viam, eam prædicat quæ rebus omnibus humanis soluta sit ac libera : quia autem tu cum uxore ac liberis, negotiisque ista comitantibus bellum gerere ac confligere vis, quasi paria præstiturus atque ii qui ab his omnibus expediti sunt, ideoque majori admirationi futurus, nunc fortasse nos magnæ superbiæ insimulabis, si te ad idem ac quod illi cacumen attingere non posse dicamus; sed præmiorum demum tempus probe te tum docebit, multo præstare securitatem inani ambitioni, satiusque esse Christo, quam futilibus suis inventis credere. Etenim Christus negat ad virtutem nobis sufficere, suis omnibus renuntiare, nisi etiam nosmetipsos oderimus; tu his omnibus permistus, ais posse superare. Sed, ut dicebam, probe tum intelliges, quantum ad virtutem impedimentum sit uxor atque uxoriæ curæ.

XLVI. [*Cur adjutrix vocata uxor quæ impedimento est ad perfectam vitam.*] Et qui, inquit, adjumentum eam vocat quæ impediat? nam *Faciamus*, ait (*Gen.* 2. 18), *ei adjutorem similem ipsi*. Ego vero abs te insuper quæram, quo pacto adjutrix est, quæ virum tanta securitate spoliavit, atque admirabili illo in paradiso domicilio exturbatum in præsentis vitæ turbas conjecit? hæc enim sunt non adjumentum præstantis, sed insidiantis. *A muliere*, inquit ille (*Eccli.* 25. 33), *initium peccati, et propter illam morimur omnes.* Et beatus Paulus, *Adam*, ait (1 *Tim* 2. 14), *non est deceptus, at mulier decepta in prævaricatione fuit.* Quomodo igitur adjutrix est quæ virum sub mortem subjecit? quomodo adjutrix, per quam Dei filii, adeoque omnes tum terram incolentes, cum feris, volucribus, cunctisque reliquis animantibus diluvio deleti sunt? nonne ea justum Jobum perdidisset, nisi is adnodum se virum præbuisset? nonne hæc Samsonem perdidit? nonne ea perfecit ut universum Hebræorum genus Beelphegori initiaretur, ac cognatorum manibus trucidaretur? Quis potissimum Achaabum diabolo prodidit, atque ante eum Salomonen, post tam insignem sapientiam ac celebritatem? Nonne hodieque viris suis auctores sunt multa in Deum admittendi? nonne idcirco sapiens ille scriptum reliquit (*Eccli.* 25. 25), *Parva est quævis pravitas præ mulieris pravitate?* Quomodo igitur, inquit, dixit Deus, *Faciamus ei adjutorem similem ipsi?* neque enim mentitur Deus. Neque id equidem unquam dixerim, minime gentium; sed quæ ea de causa facta est, in dignitate sua persistere noluit; quemadmodum nec ejus vir. Nam et illum ad imaginem et similitudinem suam Deus fabricatus est; nam ait, *Faciamus hominem ad imaginem et ad similitudinem nostram*, ut ei dixit, *Faciamus ei adjutorem;* sed qui utroque prævalitus esset, utrumque protinus amisit. Nam nec similitudinem conservavit, qui

γὰρ, ἐνδοὺς ἐπιθυμίᾳ ἀτόπῳ καὶ ἀπάτῃ ἁλοὺς, καὶ μὴ κρατήσας ἡδονῆς;) τό τε κατ' εἰκόνα καὶ ἄκοντος ἁφῃρέθη λοιπόν· οὐ γὰρ μικρὸν αὐτοῦ τῆς ἀρχῆς ὁ Θεὸς ὑπετέμετο μέρος, τὸν φοβερὸν ἅπασι καθάπερ δεσπότην, ὥσπερ οἰκέτην ἀγνώμονα μετὰ τὸ προσκροῦσαι τῇ δεσπότῃ, τοῖς ὁμοδούλοις ποιήσας εὐκαταφρόνητον. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν καὶ τοῖς θηρίοις πᾶσιν ἐπίφοβος ἦν· πάντα γὰρ πρὸς αὐτὸν ἤγαγεν ὁ Θεὸς, καὶ οὐδὲν αὐτῷ λυμήνασθαι οὐδὲ ἐπιβουλεῦσαι ἐτόλμησεν· εἶδε γὰρ ἐν αὐτῷ λάμπουσαν τὴν εἰκόνα τὴν βασιλικήν· ἐπειδὴ δὲ τοὺς χαρακτῆρας ἐκείνους ἠμαύρωσε διὰ τῆς ἁμαρτίας, καὶ ἀπὸ τῆς ἀρχῆς αὐτὸν ἐκείνης κατήγαγεν. Ὥσπερ οὖν τὸ μὴ πάντων αὐτὸν ἄρχειν τῶν ἐπὶ τῆς γῆς, ἀλλ' ἔνια καὶ τρέμειν καὶ δεδοικέναι, οὐ ψευδῆ ποιεῖ τοῦ Θεοῦ τὴν ἀπόφασιν τὴν λέγουσαν, « Καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς » (οὐ γὰρ παρὰ τὸν δεδωκότα, ἀλλὰ παρὰ τὸν εἰληφότα ἡ τῆς ἐξουσίας ἀκριστηριασμὸς γέγονεν)· οὕτως οὐδὲ αἱ παρὰ τῶν γυναικῶν ἐπιβουλαὶ αἱ εἰς τοὺς ἄνδρας γινόμεναι, ἐκείνῳ τῷ λόγῳ λυμαίνονται τῷ λέγοντι, « Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· » ἐγένετο μὲν γὰρ εἰς τοῦτο, οὐκ ἔμεινε δὲ ἐν τούτῳ. Χωρὶς δὲ τούτου κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι καὶ πρὸς τὴν τοῦ παρόντος βίου σύστασιν, καὶ πρὸς παίδων γονὴν, καὶ πρὸς φυσικὴν ἐπιθυμίαν τὴν βοήθειαν ἐπιδείκνυται τὴν αὐτῆς· ὅταν δὲ μηκέτι καιρὸς ᾖ τοῦ παρόντος βίου, μηδὲ παιδοποιίας, μηδὲ ἐπιθυμίας, τί μάτην μνημονεύεις ἐνταῦθα βοηθοῦ; Τὴν γὰρ ἐν τοῖς ἐλαχίστοις συλλαμβάνειν δυναμένην μόνον, ταύτην ἄν τις ἐν τοῖς μεγάλοις ἐπάγηται συνεργὸν, οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ συνεπόδισεν αὐτὸν ταῖς φροντίσι.

Τί οὖν ἐροῦμεν τῷ Παύλῳ, φησὶ, λέγοντι, « Τί οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; » καὶ τὴν βοήθειαν αὐτῆς ἀναγκαίαν καὶ ἐν τοῖς πνευματικοῖς ἀποφαίνοντι; Καὶ ἐγὼ τοῦτο συνομολογῶ. Οὐδὲ γὰρ αὐτὴν παντελῶς ἐκκόπτω τῆς ἐν τοῖς πνευματικοῖς συμμαχίας· μὴ γένοιτο· ἀλλὰ τότε φημὶ ταῦτα αὐτὴν κατορθοῦν, ὅταν μὴ τὰ τοῦ γάμου πράττῃ, ἀλλὰ μένουσα τῇ φύσει γυνὴ πρὸς τὴν τῶν μακαρίων ἀνδρῶν ἀρετὴν διαβαίνῃ. Οὐ γὰρ καλλωπιζομένη, οὐδὲ τρυφῶσα, οὐδὲ προσόδους ἀπαιτοῦσα τὸν ἄνδρα χρημάτων, οὐδὲ πολυτελὴς γινομένη καὶ δαπανηρὰ, οὕτως αὐτὸν δυνήσεται ἐπαγαγίσθαι· ἀλλ' ὅταν ἀνωτέρω γενομένη πάντων τῶν παρόντων πραγμάτων, καὶ τὸν ἀποστολικὸν ἐν ἑαυτῇ χαρακτηρίσασα βίον, πολλὴν μὲν τὴν ἐπιείκειαν, πολλὴν δὲ τὴν κοσμιότητα, πολλὴν δὲ τὴν τῶν χρημάτων ὑπεροψίαν καὶ τὴν ἀνεξικακίαν ἐπιδεικνύηται, τότε αὐτὸν δυνήσεται ἑλεῖν· ὅταν λέγῃ, « Ἔχοντες δὲ τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· » ὅταν διὰ τῶν ἔργων ταῦτα φιλοσοφῇ, καὶ τοῦ σωματικοῦ θανάτου καταγελῶσα, μηδὲν εἶναι λέγῃ τὴν παροῦσαν ζωήν· ὅταν πᾶσαν τοῦ βίου τούτου τὴν δόξαν κατὰ τὸν προφήτην ἄνθος εἶναι χόρτου νομίζῃ. Οὐκ ἄρα τῷ συνεῖναι καθάπερ γυνὴ, τούτῳ σῶσαι τὸν ἄνδρα

absurdæ cupiditati se dedidit, ac dolo captus, voluptatem minime fregerit; et quod erat in eo ad imaginem Dei, etiam nolenti deinceps ereptum est. Neque enim Deus parva imperii parte eum mulctavit, et eum qui omnibus terribilis esset velut herus, ceu ingratum servum, qui dominum offendisset, conservis despicabilem effecit. Nam initio etiam feris omnibus terrori erat; omnes quippe Deus ad illum adduxit, neque ulla eum lædere ac invadere est ausa; videbat quippe in eo relucentem imaginem regiam. Quas ubi notas peccato deformavit, sese ipse ex illo imperio dejecit. Igitur sicut, licet omnibus, quæ in terra sunt, adeo non imperet, ut quædam etiam horreat ac formidet, eo Dei sententia illa mendacii non arguitur, *Et dominentur animantibus terræ:* (neque enim ejus qui dedit, sed qui accepit vitio ea potestas præcisa est:) ita nec insidiæ quæ viris ab uxoribus struuntur, hoc dictum labefactant, *Faciamus ei adjutorem similem ipsi*: nam ad hoc comparata est, sed in eo non permansit. Quin illud præterea afferri etiam posset, eam ad præsentis vitæ statum, liberorum procreationem, atque insitam in natura libidinem adjumentum præstare: sed cum et vitæ hujus, et sobolis procreandæ, et libidinis deinceps tempus non sit, quid mihi hanc in partem adjutricem frustra memoras? Nam quæ ad minima solum usui sit, eam si quis ad magna sociam adhibeat, non modo nihil proficiet, sed etiam curis impedietur.

XLVII. [*Quomodo virum adjuvet uxor in spiritalibus.*] Quid igitur, inquit, ad Paulum dicemus, cujus verba hæc sunt (1 *Cor.* 7. 16): *Qui scis, mulier, si virum salvum facies?* quique ejus adjumentum etiam in spiritalibus necessarium censet? Et ego id confiteor: non enim eam ab omni spiritali adjumento excludo; minime vero; sed hoc eam præstare dico, non cum exercet ea quæ matrimonii sunt, sed cum muliebri sexu prædita, ad beatorum virorum virtutem evadit. Neque enim comta, delicata, pecuniarios reditus a viro flagitans, prodiga, sumtuosa eum eripere queat, sed cum his rebus omnibus sublimior, apostolicam in se vitam exprimit, summam probitatem et modestiam, et pecuniarum contemtum, et tolerantiam demonstrans, ita eum demum expugnare poterit; cum dicet (1. *Tim.* 6. 8): *Alimenta atque tegumenta habentes, iis contenti sumus;* cum hæc rebus ipsis meditatur, ac corporalem mortem irridens, vitam hanc præsentem nihil esse dicit; cum omnem vitæ hujus gloriam secundum propheiam (*Isai.* 40. 7) fœni florem existimat. Non igitur muliebriter cum viro consuescendo, sic virum servare poterit, sed dum evangelicam

δυνήσεται, ἀλλὰ τῷ τὸν εὐαγγελικὸν ἐπιδείκνυσθαι βίον· ἐπεὶ καὶ γάμου χωρὶς ἐποίησαν τοῦτο πολλαὶ γυναῖκες. Ἡ γὰρ Πρίσκιλλα τὸν Ἀπολλὼ προσλαβομένη, φησὶ, πρὸς πᾶσαν ἐχειραγώγησε τῆς ἀληθείας τὴν ὁδόν. Εἰ δὲ νῦν τοῦτο οὐκ ἐφεῖται, ἀλλ' ἐπὶ τῶν γυναικῶν τὴν αὐτὴν ἔνεστιν ἐπιδείξασθαι σπουδὴν, καὶ τὸ αὐτὸ κέρδος καρπώσασθαι· καὶ γὰρ, ὅπερ ἔφθην εἰπὼν, οὐδὲ ἐκείνη, διὰ τὸ γυνὴ εἶναι, τὸν ἄνδρα ἐφέλκεται· ἐπεὶ οὐδὲν ἂν ἐκώλυσε μηδένα τῶν ἐχόντων γυναῖκα πιστὴν ἄπιστον μένειν, εἴ γε ἡ συνουσία καὶ τὸ συνοικεῖν τὸ πρᾶγμα κατώρθου. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ἀλλὰ τὸ πολλὴν ἐπιδείκνυσθαι τὴν φιλοσοφίαν καὶ τὴν ὑπομονὴν, καὶ τῶν τοῦ γάμου περιστάσεων καταγελᾶν, καὶ τοῦτο ἔργον τίθεσθαι διηνεκῶς, τοῦτό ἐστι τὸ ποιοῦν τὴν τοῦ συνοικοῦντος σωθῆναι ψυχήν· ὡς ἐὰν ἐπιμένῃ τὰ τῶν γυναικῶν ἐπιζητοῦσα, οὐ μόνον οὐδὲν αὐτὸν ὠφέλησεν, ἀλλὰ καὶ κατέβλαψεν. Ὅτι δὲ καὶ οὕτω τῶν σφόδρα δυσκόλων τὸ πρᾶγμά ἐστιν, ἄκουσον τί φησι· « Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; » Τούτῳ δὲ τῷ τρόπῳ τῆς ἐρωτήσεως κεχρῆσθαι ἐπὶ τῶν παροδόξως συμβαινόντων εἰώθαμεν. Τί δὲ μετὰ ταῦτά φησι; « Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. » Ὁρᾷς πῶς συνεχῶς ποιεῖται τὰς μετεμβάσεις, καὶ πολλὴν καὶ διόλου τῆς παραινέσεως ἑκατέρας τὴν μῖξιν; Ὥσπερ γὰρ ἐν τοῖς περὶ τοῦ γάμου λόγοις καὶ τοὺς τῆς ἐγκρατείας ἐνέβαλε, μεταξὺ διεγείρων τὸν ἀκροατὴν, οὕτω καὶ ἐνταῦθα τοὺς περὶ τοῦ γάμου λόγους πάλιν ἐντίθησι, διαναπαύων αὐτόν. Ἤρξατο ἀπὸ τῆς παρθενίας, καὶ πρίν τι περὶ αὐτῆς εἰπεῖν, εὐθέως ἐπὶ τὸν ὑπὲρ τοῦ γάμου λόγον κατέφυγε· τὸ γὰρ « Ἐπιταγὴν οὐκ ἔχω, » [τὸν γάμον] συγχωροῦντός ἐστι καὶ εἰσάγοντος. Εἶτα ἐπὶ τὴν παρθενίαν ἐλθὼν, καὶ εἰπὼν ὅτι « Νομίζω τοῦτο καλὸν ὑπάρχειν », ἐπειδὴ εἶδεν ὅτι συνεχῶς αὐτῆς τὸ ὄνομα λεγόμενον τῇ λειότητι τῆς ἀκοῆς πολλὴν ἐμποιεῖ τὴν τραχύτητα, οὐ τίθησιν αὐτὸ πυκνῶς, ἀλλὰ καίτοι αἰτίαν ἱκανὴν παραμυθήσασθαι τοὺς ὑπὲρ αὐτῆς πόνους εἰπὼν, τὴν ἐνεστῶσαν ἀνάγκην λέγω, οὐδὲ οὕτως ἐθάρρησε πάλιν παρθενίαν εἰπεῖν, ἀλλὰ τί; « Καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. » Καὶ οὐδὲ ἐπεξέρχεται τῷ λόγῳ, ἀλλὰ διατιμῶν αὐτὸν καὶ διακόψας πρὶν φανῆναι σκληρὸν, τοὺς περὶ τοῦ γάμου πάλιν ἐνέβαλε λόγους, « Δέδεσαι γυναικί; » λέγων, « μὴ ζήτει λύσιν. » Ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, μηδὲ ταύτην ἐνταῦθα κατασκευάσαι τὴν παραμυθίαν ἐβούλετο, περιττὸν ὑπὲρ παρθενίας συμβουλεύοντα περὶ γάμου φιλοσοφεῖν. Εἶτα πάλιν ἐπὶ τὴν παρθενίαν μεθίσταται· καὶ οὐδὲ νῦν αὐτὴν τῇ κυρίᾳ προσηγορίᾳ καλεῖ, ἀλλὰ τί; « Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. » Ἀλλὰ μὴ δείσῃς· οὐκ ἀπεφήνατο, οὐδὲ ἐνομοθέτησεν· ὁ γὰρ περὶ τοῦ γάμου λόγος πάλιν ἐγγὺς ἔστηκε, τοῦτον τὸν φόβον ἀνιείς, καὶ λέγων, « Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες. » Ἀλλὰ μηδὲ νῦν ἀναπείσῃς· πάλιν γάρ σε ἐπὶ τὴν παρθενίαν ἕλξει.

vitam præstabit; hoc enim multæ etiam citra matrimonium fecerunt. Nam Priscilla, inquit (*Act.* 18), ascitum Apollo per omnem veritatis viam deduxit. Quod si nunc non licet, at possunt interim erga mulieres idem studium præstare, eumdemque fructum facere; nam quod jam dixi, neque illa, quoniam conjux est, virum trahit. Alioqui nihil vetaret, neminem ex iis qui uxorem fidelem habeant, infidelem manere, si quidem consuetudo ac convictus rem effectam daret. At non ita res se habet; sed si multam philosophiam et patientiam exhibeat, si conjugii calamitates derideat, et id unum assidue negotium ducat, id vero est quod ejus cum quo habitat animum salvum præstet: sin persistat muliebria postulare, ei nocet magis quam prodest. Jam vero vel sic rem in primis difficilem esse, audi quid dicat: *Qui scis enim, mulier, si virum salvum facies?* quo interrogandi genere uti solemus in iis quæ insolenter accidunt. Quid vero post illa dicit? *Alligatus es uxori? noli quærere solutionem; solutus es ab uxore? noli quærere uxorem.* Vides ut assiduas transitiones faciat, et frequens omnino utriusque cohortationis velut temperamentum? Nam ut de matrimonio disputationi de continentia sermonem interposuit, auditorem interim excitans: ita et hic tractationem de matrimonio vicissim inserit, eum recreans. Exorsus a virginitate, antequam de ea aliquid dixisset, statim ad matrimonium recurrit: illud enim, *Præceptum non habeo*, matrimonium permittentis et introducentis est. Tum ubi ad virginitatem ventum est, dictumque, *Arbitror hoc bonum esse*, cum videret ejus nomen assidue usurpatum delicatis auribus multam acerbitatem afferre, non identidem id repetit; quin explicata satis gravi causa ad ejus labores solandos, id est, instanti necessitate, ne sic quidem ausus est virginitatem iterum nominare; sed quid? *Bonum est homini sic esse.* Neque eam sententiam prosequitur, sed ea interrupta et incisa, priusquam gravis videretur, de matrimonio rursum disserit his verbis: *Alligatus es uxori? noli quærere solutionem.* Nam ni id esset, nisi id hic solatium parare cogitaret, ineptum esset virginitatem consulentem de matrimonio philosophari. Deinde iterum ad virginitatem transit; ac ne nunc quidem proprio nomine appellat, sed quid? *Solutus es ab uxore? noli quærere uxorem.* At enim ne vereare; non id censet atque sancit: prope est enim rursum de matrimonio sermo, terrorem eum solvens his verbis: *Quodsi duxeris, non peccasti.* At nec jam concide; nam iterum te ad virginitatem trahit. Atque id est quod vult, docens,

Καὶ τοῦτο ὁ λόγος αὐτῷ βούλεται, διδάσκων πολλὴν τῇ σαρκὶ θλῖψιν ὑπομένειν τοὺς τῷ γάμῳ προσέχοντας. Καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἄριστοι καὶ προσηνεῖς φάρμακον πικρὸν, ἢ τομὴν, ἢ καῦσιν, ἤ τι τῶν τοιούτων προσάγειν μέλλοντες, οὐχ ἁθρόως τὸ πᾶν ἐργάζονται, ἀλλ' ἐν τῷ μεταξὺ δόντες ἀναπνεῦσαι τῷ κάμνοντι, οὕτως ἀεὶ τὸ λειπόμενον προστιθέασι· τὸν αὐτὸν τρόπον καὶ ὁ μακάριος Παῦλος οὐκ ἀνενδότως οὐδὲ δι' ὅλου, οὐδὲ ἐφεξῆς τὴν περὶ τῆς παρθενίας ὕφηνε συμβουλὴν, ἀλλὰ διακόπτων αὐτὴν συνεχῶς τοῖς περὶ τοῦ γάμου λόγοις, καὶ ταύτης τὸ σφοδρότερον ὑποκλέπτων, προσηνῆ τε καὶ εὐπαράδεκτον τὸν λόγον ἐποίησεν. Ἡ μὲν οὖν ποικίλη μίξις τῶν λόγων διὰ τοῦτο γεγένηται. Ἄξιον δὲ καὶ αὐτὰ λοιπὸν ἐξετάσαι τὰ ῥήματα. « Δέδεσαι γυναικί; φησί· μὴ ζήτει λύσιν. » Τοῦτο οὐχ οὕτω συμβουλεύοντός ἐστιν, ὡς τὸ ἄπορον δεικνύντος καὶ ἀδιεξόδευτον τοῦ δεσμοῦ. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, Ἔχεις γυναῖκα; μὴ καταλίπῃς αὐτήν· συνοικεῖς; μὴ διαστῇς· ἀλλὰ δεσμὸν τὴν συζυγίαν ἐκάλεσε; Τὸ φορτικὸν ἐνταῦθα τοῦ πράγματος ἐνδεικνύμενος. Ἐπειδὴ γὰρ ὡς πρὸς ἑπέραστον πρᾶγμα τὸν γάμον ἅπαντες χαίνουσι, δείκνυσιν ὅτι τῶν δεδεμένων οἱ γεγαμηκότες οὐδὲν διαφέρουσι· κἀνταῦθα γὰρ ὅπουπερ ἂν ἕλκύσῃ θάτερος, ἀνάγκη καὶ τὸν ἕτερον ἕπεσθαι, ἢ διαστασιάζοντος, καὶ τὸν ἕτερον συναπολέσθαι ἐκείνῳ. Τί οὖν, ἐὰν ὁ ἀνὴρ κατωφερὴς ᾖ, φησὶν, ἐγὼ δὲ ἐγκρατεύεσθαι βούλωμαι; Ἀνάγκη σε ἐκείνῳ ἕπεσθαι. Καὶ γὰρ μὴ βουλομένην σε τοῦτο ποιεῖν ἡ διὰ τοῦ γάμου περιτεθεῖσά σοι ἅλυσις καθέλκει καὶ ἐπισπᾶται πρὸς τὸν συνδεθέντα σοι τὴν ἀρχήν· κἂν ἀντιπίσῃς καὶ διακόψῃς, οὐ μόνον οὐκ ἀπήλλαξας σαυτὴν τῶν δεσμῶν, ἀλλὰ καὶ εἰς τιμωρίαν ἰσχάτην ἐνέβαλες.

Ἡ γὰρ ἄκοντος ἐγκρατευομένη τοῦ ἀνδρὸς οὐ τῶν τῆς ἐγκρατείας μισθῶν ἀποστερεῖται μόνον, ἀλλὰ καὶ τῆς ἐκείνου μοιχείας αὐτὴ τὸν λόγον ὑφέξει καὶ τὰς εὐθύνας μᾶλλον ἐκείνου. Τί δήποτε; Ὅτι αὐτὴ πρὸς τὸ βάραθρον αὐτὸν τῆς ἀσελγείας ὤθησε τῆς κατὰ νόμον ἀποστερήσασα μίξεως. Εἰ γὰρ μηδὲ πρὸς ὀλίγον τοῦτο ποιεῖν ἐπιτέτραπται ἄκοντος ἐκείνου, τίνα ἂν ἔχοι συγγνώμην ἡ διακαντὸς αὐτὸν ταύτης ἀφελομένη τῆς παρανυθίας; Καὶ τί ταύτης, φησὶ, τῆς ἀνάγκης καὶ τῆς ἐπηρείας βαρύτερον γένοιτ' ἄν; Κἀγὼ τοῦτό φημι. Τίνος οὖν ἕνεκεν ὑποβάλλεις τῇ ἀνάγκῃ σαυτήν; τοῦτον γὰρ τὸν λογισμὸν οὐ μετὰ τὸν γάμον, ἀλλὰ πρὸ τοῦ γάμου λαβεῖν ἐχρῆν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ὑστέραν τὴν ἀπὸ τοῦ δεσμοῦ θεὶς ἀνάγκην, τότε περὶ τῆς λύσεως διαλέγεται. Εἰπὼν γὰρ « Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν », τὸ τηνικαῦτα ἐπήγαγε, « Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. » Ποιεῖ δὲ τοῦτο, ἵνα σὺ πρότερον ἀκριβῶς ἐπισκεψάμενος καὶ καταμαθὼν τὴν ἀπὸ τῆς συζυγίας βίαν εὐκολώτερον τὸν περὶ τῆς ἀγαμίας δέξῃ λόγον. « Ἐὰν δὲ καὶ γήμῃς, φησὶν, οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν. » Ἰδοὺ τὸ μέγα τοῦ γάμου κατόρθωμα ποῦ

qui matrimonium ineant, eos multam in carne tribulationem sustinere. Ut enim optimi quique medici et benigni amarum medicamentum aut sectionem aut ustulationem aut simile aliquid adhibituri, non continuo totum peragunt, sed data interim ægro respiratione, ita semper quod reliquum est adducunt : ad eumdem modum et beatus Paulus virginitatis consilium non sine intermissione et perpetuo ac consequenter pertexuit, sed de matrimonio sententiis id assidue interrumpens, atque ita molestiæ illius sensum eripiens, blandam ac plausibilem orationem reddidit. Ob hoc igitur varia sententiarum quasi miscella facta est. Sed operæ pretium porro est ipsa etiam verba indagare. *Alligatus es uxori?* inquit; *noli quærere solutionem.* Hoc non tam consulentis est, quam vinculi tenacitatem ac firmitatem demonstrantis. Quamobrem autem non dixit, Habes uxorem? ne eam desere; cum illa conjunctus vivis? ne discede; sed vinculum conjugium vocavit? Nimirum ut rei acerbitatem his ostenderet. Quoniam enim ad matrimonium ceu ad rem amabilem vulgo omnes tendunt, conjuges declarat nihil a vinctis differre; nam et hic quocumque alter trahat, alteri sequendum est, aut si pugnam moveat, cum eo una pereundum. Quid vero, inquit, si vir dissolutus sit, ego continens esse velim? Necesse est ut tu illum sequaris; id enim ut vel nolens facias, eo illa matrimonii catena te detrahit, ad eumque cogit qui tecum initio devinctus est : sin obnitare ac te sejungas, non solum vinculis te non exsolves, sed in extremum etiam supplicium conjicies.

XLVIII. [*Quæ invito viro continens sit, graviores eo qui adulteret pœnas daturam.*] Etenim quæ invito viro continens est, non solum continentiæ præmiis caret, sed illius etiam adulterium gravius quam ille luet ac plectetur. Quid ita? Quod eum legitimo coitu fraudatum, in lasciviæ barathrum deturbavit. Nam si eo nolente nec minimum id facere permittitur, qua venia digna sit quæ eum solatio hoc perpetuo privat? Et quid, inquit, ea necessitate ac miseria durius possit accidere? Et ego idem sentio. Cur ergo te necessitati ei subjicis? enimvero eam rationem non post, sed ante matrimonium subiuctam oportebat. Itaque etiam Paulus proposita demum vinculi necessitate, de solutione sermocinatur : ei sententiæ, *Alligatus es uxori? noli quærere solutionem,* illam subdens, *Solutus es ab uxore? ne quære uxorem.* Id autem facit, ut tute prius accurate perspecta ac cognita matrimonii vi facilius de cælibatu orationem admittas. *Quodsi duxisti,* inquit, *non peccasti; et si nupsit virgo, non peccavit.* En magni illius facinoris, matrimonii scilicet, exitum, ut non reus agaris,

τελευτᾷ· εἰς τὸ μὴ ἐγκληθῆναι, οὐκ εἰς τὸ θαυμασθῆναι· τοῦτο γὰρ τῆς παρθενίας ἐστὶν, ὁ δὲ γεγαμηκὼς ἀρκείσθω ἀκούων ὅτι οὐχ ἥμαρτε. Τίνος οὖν ἕνεκεν παραινεῖς, φησὶ, μὴ ζητεῖν γυναῖκα; Ὅτι δεθέντα καθάπαξ λυθῆναι οὐκ ἔνι, ὅτι πολλὴν ἔχει τὸ πρᾶγμα τὴν θλῖψιν. Τοῦτο οὖν, εἰπέ μοι, κερδανοῦμεν ἀπὸ τῆς παρθενίας μόνον, τὸ τὴν ἐνθάδε θλῖψιν διαφυγεῖν; καὶ τίς ἀνέξεται παρθενεύειν ἐπὶ τοιούτοις μισθοῖς; τίς δ' ἂν ἐδέξατο εἰς τοσοῦτον καθεῖναι ἀγῶνα, μέλλων τοσούτων ἱδρώτων ταύτην μόνην ἀπολαμβάνειν τὴν ἀμοιβήν;

Τί λέγεις; πρὸς δαίμονάς με μάχεσθαι καλῶν (« Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα »), πρὸς μανίαν φύσεως ἑστάναι προτρέπων, μετὰ σαρκὸς καὶ αἵματος ἴσα ταῖς ἀσωμάτοις δυνάμεσι κατορθῶσαι παρακαλῶν, τῶν ἐν τῇ γῇ μέμνησαι καλῶν, καὶ ὅτι θλῖψιν οὐχ ἕξομεν τὴν ἀπὸ τῶν γάμων; Διὰ τί γὰρ οὐχ οὕτως εἶπεν· Ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε μέν, τῶν δὲ ἀπὸ τῆς παρθενίας ἑαυτὴν ἀπεστέρησε στεφάνων, τῶν μεγάλων καὶ ἀπορρήτων δωρεῶν; διὰ τί μὴ διηγήσατο τὰ μετὰ τὴν ἄθλησιν αὐταῖς ἀποκείμενα καλὰ, πῶς εἰς ἀπάντησιν ἔρχονται τοῦ νυμφίου, πῶς φαιδρὰς ἕξουσι τὰς λαμπάδας, πῶς μετὰ δόξης πολλῆς καὶ παῤῥησίας εἰς ἐκεῖνον συνεισέρχονται τὸν νυμφῶνα τῷ βασιλεῖ, πῶς μάλιστα πάντων πλησίον ἐκείνου τοῦ θρόνου καὶ τῶν παστάδων λάμπουσι τῶν βασιλικῶν; Ἀλλὰ τούτων μὲν οὐδὲ βραχεῖαν μνήμην πεποίηται, ἄνω δὲ καὶ κάτω τῆς ἀπαλλαγῆς τῶν ἐν τῷ βίῳ μνημονεύει δυσχερῶν. « Νομίζω τοῦτο, φησὶ, καλὸν ὑπάρχειν· » καὶ ἀφεὶς εἰπεῖν Διὰ τὰ μέλλοντα ἀγαθὰ, λέγει « Διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. » Εἶτα πάλιν, εἰπὼν « Ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε », καὶ σιωπήσας τὰς ἐν τοῖς οὐρανοῖς δωρεὰς, ὧν ἑαυτὴν ἀπεστέρησε, « Θλῖψιν, φησὶ, τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. » Καὶ οὐ μέχρι τούτου μόνον, ἀλλὰ καὶ ἕως τέλους τοῦτο ποιεῖ, καὶ παρὰ ἐπᾶραι τὸ πρᾶγμα ἀπὸ τῶν μελλόντων ἀγαθῶν, πάλιν ἐπὶ τὴν αὐτὴν αἰτίαν καταφεύγει, « Ὁ καιρὸς συνεσταλμένος ἐστὶ, » λέγων· καὶ ἀντὶ τοῦ εἰπεῖν, Θέλω ὑμᾶς ἀστράψαι ἐν τοῖς οὐρανοῖς καὶ πολλῷ λαμπροτέρους δειχθῆναι τῶν γεγαμηκότων, πάλιν τῶν ἐνταῦθα ἔχεται λέγων, « Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. » Οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ περὶ ἀνεξικακίας διαλεγόμενος ἐπὶ τὴν αὐτὴν τῆς συμβουλῆς ἦλθεν ὁδόν. Εἰπὼν γὰρ ὅτι « Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτὸν, » καὶ πρᾶγμα τοσοῦτον ἐπιτάξας, καὶ τῆς φύσεως βιάσασθαι τὴν ἀνάγκην κελεύσας, καὶ πρὸς οὕτως ἀφόρητον παρατάξασθαι πυρὰν, ἐν τοῖς περὶ τῶν μισθῶν λόγοις σιωπήσας τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ἐν τῇ τοῦ λελυπηκότος βλάβῃ τὴν ἀντίδοσιν ἵστησι· « Τοῦτο γὰρ, φησὶ, ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. » Τίνος οὖν ἕνεκεν τούτῳ τῆς παρακλήσεως κέχρηται τῷ τρόπῳ; Οὐ δι' ἄγνοιαν, οὐδὲ διὰ τὸ μὴ

non ut admirationi habearis; hoc enim est virginitatis: caterum conjugi satis sit audire, eum non peccasse. Cur igitur, inquit, hortaris uxorem non quærere? Quod semel devincto, solvi nefas sit, quod in eo sit ingens miseria. Hoccine solum, quæso, ex virginitate quæstus faciam, ut miserias has effugiam? et quis virginitatem colere sustineat tantilla mercede? quis in tantum certamen descendere animum inducat, tantorum sudorum hoc solum præmium capturus?

XLIX. [*Cur ab hujus vitæ jucundis ad virginitatem instiget.*] Quid dicis? cum me ad pugnam cum dæmonibus provocas ([*Eph.* 6. 12] *Nec enim nobis lucta est adversus sanguinem et carnem*), cum naturæ furori obsistere jubes, cum e carne et sanguine constitutam incorporeis Virtutibus paria præstare hortaris, terrena memoras bona, dicisque nos matrimonii miserias non laturas? Nam cur non sic ait: Quodsi nupserit virgo, non peccavit, sed virginitatis coronis se privavit, magnis illis et ineffabilibus bonis? Cur non præmia quæ post certamen eas manent, recensuit, ut in occursum prodeant sponso, ut splendidas lucernas habituræ sint, ut summa cum gloria ac fiducia Regem in thalamum comitentur, ut omnium proxime ejus solio et regiis foris effulgeant? Sed de his ne levissime quidem meminit; vitæque miseriarum vacuitatem sursum deorsumque jactat. *Arbitror*, inquit, *id bonum esse*: ac dicere negligens, Propter futura bona, ait, *Propter instantem necessitatem*. Deinde rursum eo dicto, *Quodsi nupserit virgo, non peccavit*, cœlestibus præmiis, quibus se privarit, silentio præteritis, *Tribulationem*, inquit, *carnis habebunt hujusmodi*. Neque id hactenus solum, sed ad finem usque facit, et omissa ejus a futuris bonis commendatione, iterum ad eamdem causam confugit, *Tempus breve est*, inquiens; ejusque loco, Volo vos in cœlo resplendere et nuptis multo illustriores haberi, rursum in præsentibus hæret, inquiens, *Volo autem vos sine sollicitudine esse*. Neque id hic solum facit, sed etiam quo loco ei de injuriis ferendis sermo est, eamdem consilii viam iniit. Nam cum dixisset (*Rom.* 12. 20), *Si esurit inimicus tuus, ciba illum; si sitit, potum da illi*: qui rem tantam imperaret, contraque naturæ necessitatem niti juberet, ac cum rogo tam intolerabili decertare, ubi ad mercedem ventum est, de cælo ac cælestibus silentium; tantum ejus a quo læsus sis damno remunerationem definit: *Id enim faciens*, inquit, *carbones ignis in ejus caput congeres*. Quid igitur eo solatii genere usus est? Non insciția neque ignarus quemadmodum alliciendus atque in-

εἰδέναι πῶς ἄν τις ἐπαγάγοιτο καὶ πείσειε τὸν ἀκροατήν, ἀλλὰ καὶ διὰ τὸ μάλιστα πάντων ἀνθρώπων ταύτην καταρθωκέναι τὴν ἀρετήν, τὴν τοῦ πείθειν λέγω. Τοῦτο πόθεν δῆλον; Ἀπὸ τῶν εἰρημένων αὐτῷ. Πῶς καὶ τίνι τρόπῳ; Κορινθίοις διελέγετο (πρότερον γὰρ ὑπὲρ τῶν περὶ παρθενίας αὐτῷ διειλεγμένων ἐροῦμεν), Κορινθίοις, ἐν οἷς ἔκρινε μηδὲν εἰδέναι εἰ μὴ Χριστὸν Ἰησοῦν, καὶ τοῦτον ἐσταυρωμένον, οἷς οὐκ ἠδυνήθη λαλῆσαι ὡς πνευματικοῖς, οὓς διὰ τὸ σαρκικοὺς εἶναι ἔτι γάλα ἐπότιζεν, οἷς καὶ ὅτε ταῦτα ἐπέστελλεν ἐνεκάλει λέγων, « Ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε. » Διὰ τοῦτο ἀπὸ τῶν ἐν τῇ γῇ πραγμάτων, ἀπὸ τῶν ὁρωμένων, ἀπὸ τῶν αἰσθητῶν καὶ προτρέπει εἰς παρθενίαν αὐτοὺς, καὶ ἀπάγει τοῦ γάμου. Συνετῶς γὰρ τοῦτο καλῶς, ὅτι τοὺς ταπεινοὺς καὶ χαμαιπετεῖς καὶ πρὸς τὴν γῆν ἔτι κύπτοντας ἀπὸ τῶν ἐν τῇ γῇ μᾶλλον ἐξελκύσαιτο ἄν τις καὶ προτρέψειε. Διὰ τί γάρ, εἰπέ μοι, πολλοὶ τῶν ἀγροικότερον ἔτι καὶ παχύτερον διακειμένων τὸν μὲν Θεὸν καὶ ἐπὶ μικροῖς καὶ ἐπὶ μεγάλοις καὶ ὀμνύουσι καὶ ἐπιορκοῦσιν ἀδεῶς, ἐπὶ δὲ τῇς τῶν παίδων κεφαλῆς οὐδ' ἂν ὀμόσαι ἕλοιντο τὴν ἀρχήν; καίτοι γε καὶ ἡ ἐπιορκία καὶ ἡ κόλασις πολλῷ μείζων ταύτης ἐκείνη· ἀλλ' ὅμως τούτου μᾶλλον ἢ ἐκείνῳ τῷ ὄρκῳ κατέχονται. Καὶ πρὸς τὸ βοηθῆσαι δὲ πένησιν οὐχ οὕτως αὐτοὺς οἱ τῆς βασιλείας διεγείρουσι λόγοι, καίτοι γε συνεχῶς ἐνηχούμενοι, ὡς τὸ χρηστὸν ἐλπίδαι τι κατὰ τὸν παρόντα βίον ἢ ὑπὲρ παίδων ἢ ὑπὲρ ἑαυτῶν. Τότε γοῦν μάλιστα φιλότιμοι γίνονται περὶ τὰς τοιαύτας ἐπιχουρίας, ὅταν ἐκ μακρᾶς ἀνενέγκωσι νόσου, ὅταν κίνδυνον διαφύγωσιν, ὅταν ὑπατείας τινὸς ἐπιτύχωσι καὶ ἀρχῆς· καὶ ὅλως τοὺς πλείονας τῶν ἀνθρώπων τοῖς παρὰ πόδας εὕροι τις ἂν μᾶλλον νουθετουμένους. Ἔν τε γὰρ τοῖς χρηστοῖς ταῦτα μᾶλλον προτρέπει, ἔν τε τοῖς λυπηροῖς μείζονος φοβεῖ, τῷ τὴν αἴσθησιν ἐγγυτέραν ὑπάρχειν αὐτοῖς. Διὰ ταῦτα καὶ Κορινθίοις οὕτω διελέγετο, καὶ Ῥωμαίους ἀπὸ τῶν παρόντων εἰς ἀνεξικακίαν ἐγύμναζεν. Ἡ γὰρ ἀσθενὴς καὶ ἠδικημένη ψυχὴ οὐχ οὕτως εὐκόλως ἀφήσει τῆς ὀργῆς τὸν ἰόν, ὅταν περὶ βασιλείας ἀκούσῃ καὶ εἰς μακρὰς ἐλπίδας ἐμπέσῃ, ὡς ὅταν παρὰ τοῦ λελυπηκότος προσδοκήσῃ λήψεσθαι δίκην. Βουλόμενος οὖν διασεῖσαι τῆς μνησικακίας τὴν ῥίζαν, καὶ τέως κενῶσαι τὴν ὀργήν, ὃ μᾶλλον ἐπαγωγὸν ἦν πρὸς τὸ παραμυθήσασθαι τὸν ἠδικημένον, τοῦτο τίθησιν, οὐκ ἀποστερῶν αὐτὸν τῆς ἐν τῷ μέλλοντι καιρῷ κειμένης τιμῆς, ἀλλὰ τέως αὐτὸν ἐμβιβάσαι σπεύδων οἱωδήποτε τρόπῳ εἰς τὴν τῆς φιλοσοφίας ὁδὸν, καὶ τὰς θύρας ἀνοῖξαι τῆς καταλλαγῆς· τὸ γὰρ δυσκολώτατον, τῆς ἀρχῆς ἐπιλαβέσθαι τοῦ κατορθώματος, μετὰ δὲ τὴν εἴσοδον οὐκέτι τοσοῦτος ὁ πόνος ἐστίν. Ἀλλ' οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῦτο ποιεῖ, οὔτε περὶ παρθενίας, οὔτε περὶ ἀνεξικακίας διαλεγόμενος· ἀλλ' ἐκεῖ μὲν τὴν βασιλείαν τίθησι τῶν οὐρανῶν· « Εἰσὶ γὰρ εὐνοῦχοι,

ducendus sit auditor, sed quod maxime omnium mortalium hac virtute præditus esset, persuadendi inquam. Unde id apparet? Ex iis quæ disserit. Qui, et quomodo? Corinthiis loquebatur (prius enim hoc de virginitate expediemus), Corinthiis, inquam, apud quos statuerat (1 *Cor.* 2. 2) nihil se scire nisi Jesum Christum, et eum crucifixum; quos ut spirituales alloqui non potuerat, et quod carnales essent adhuc, lacte aluerat; quibus etiam cum hæc scriberet, hæc vitio dabat (*ibid. c.* 3. 2): *Sed ne nunc quidem potestis; adhuc enim carnales estis, et secundum hominem ambulatis.* Ideo a rebus terrenis, aspectabilibus ac sensibilibus eos et ad virginitatem instigat, et a matrimonio abducit: quod probe sciret, dejectos atque pronos et in terram adhuc inclinatos terrenis rebus magis cieri ac pellici. Quid est enim, quæso, quod homines quidem rustici ac pingues tum parvis, tum magnis in rebus secure Deum et jurant et pejerant, in capite vero filiorum jurare numquam animum inducant? cumque et perjurium et supplicium hôc illud longe gravius sit, tamen hoc quam illo jurejurando magis continentur. Atqui ad pauperes juvandos non perinde sermonibus de regno excitantur, etsi frequenter audiant, atque spe consequendi in præsenti vita sibi aut liberis boni. Itaque tum maxime in his adjumentis ambitiosi fiunt, ubi ex diuturno morbo convaluerint, ubi periculum effugerint, ubi magistratum aliquem et imperium nacti sint; planeque multo plures iis, quæ ante pedes sint, magis incitari deprehendas. Hæc namque et in secundis vehementius exstimulant, et in adversis terrent acrius, quod horum sensum propinquiorem habeant. Quare et cum Corinthiis sic disseruit, et Romanos a rebus præsentibus ad injuriæ patientiam exercuit. Anima enim infirma, lacessita non tam facile iræ venenum remittit, si de regno audiat atque in spem veniat remotam, quam si ejus qui injuriam dederit ultionem exspectet. Itaque volens injuriarum recordationis radicem convellere, atque iram amovere, quod efficacius erat ad eum qui læsus esset solandum profert, non ut eum repositis in futuro tempore præmiis fraudaret, sed ut quoque modo in philosophiæ viam induceret atque ad reconciliationem ostium aperiret. Nam in omni præclara functione initium facere difficillimum est; post ingressum ea non æque est laboriosa. At non Dominus noster Jesus Christus idem facit, nec cum de virginitate, nec cum de injuriis ferendis disputat; sed illic cœleste regnum proponit: *Sunt* enim, inquit (*Matth.* 19. 12), *eunuchi, qui se ipsos propter regnum*

φησὶν, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· » ὅτε δὲ εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν παρεκάλει, οὐδὲν ὑπὲρ τῆς τῶν λελυπηκότων βλάβης εἰπὼν, οὐδὲ τῶν ἀνθράκων μνημονεύσας τοῦ πυρὸς, ἀλλὰ πάντα ἐκεῖνα ἀφεὶς πρὸς τοὺς μικροψύχους λέγεσθαι καὶ ταλαιπώρους, αὐτὸς ἀπὸ τῶν μειζόνων αὐτοὺς προτρέπει. Ποίων δὴ τούτων; « Ὅπως γένησθε, φησὶν, ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. » Βλέπε πόσον τὸ ἔπαθλον· Πέτρος γὰρ ἦν ὁ ταῦτα ἀκούων, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ ὁ λοιπὸς τῶν ἀποστόλων χορός· διὰ τοῦτο ἀπὸ τῶν πνευματικῶν αὐτοὺς ἐνῆγεν ἐπάθλων. Καὶ ὁ Παῦλος δὲ τὸ αὐτὸ ἂν ἐποίησεν, εἰ πρός τινας τοιούτους ὁ λόγος ἦν αὐτῷ· ἐπειδὴ δὲ πρὸς Κορινθίους τοὺς ἀτελέστερον διακειμένους, ἤδη τῶν πόνων αὐτοῖς δίδωσι τοὺς καρπούς, ἵνα προθυμότερον ἐπὶ τὴν ἐργασίαν ἔλθωσι τῆς ἀρετῆς. Διὰ τοῦτο καὶ ὁ Θεὸς Ἰουδαίοις ἀφεὶς ἐπαγγείλασθαι βασιλείαν οὐρανῶν, τὰ τῆς γῆς ἐχαρίζετο ἀγαθά· καὶ ἀντὶ τῶν πονηρῶν δὲ πράξεων οὐ γέενναν, ἀλλὰ τὰς ἐν τῷ αἰῶνι τούτῳ συμφορὰς ἠπείλει, λιμοὺς καὶ λοιμοὺς καὶ νόσους καὶ πολέμους καὶ αἰχμαλωσίαν, καὶ ὅσα τοιαῦτα ἕτερα. Τούτοις γὰρ μᾶλλον οἱ σαρκικώτεροι τῶν ἀνθρώπων κατέχονται, καὶ ταῦτα μᾶλλον δεδοίκασι· τῶν δὲ οὐχ ὁρωμένων οὐδὲ παρόντων ἐλάττονα ποιοῦνται λόγον. Διὰ τοῦτο καὶ ὁ Παῦλος τούτοις μᾶλλον ἐνδιατρίβει, ἃ μάλιστα αὐτῶν καθικέσθαι τῆς παχύτητος ἦν ἱκανά. Πρὸς τούτοις δὲ κἀκεῖνο δεῖξαι ἐβούλετο, ὅτι τῶν μὲν ἄλλων ἀγαθῶν ἔνια ἐνταῦθα μὲν ἡμᾶς πόνοις περιβάλλει πολλοῖς, τὸν δὲ καρπὸν ἅπαντα ἐν τῷ μέλλοντι ταμιεύεται χρόνῳ· ἡ δὲ παρθενία ἐν αὐτῷ τῷ κατορθοῦσθαι οὐ μικρὰς ἡμῖν ἀποδίδωσι τὰς ἀμοιβὰς, τοσούτων ἀπαλλάττουσα πόνων καὶ φροντίδων. Μετὰ δὲ τούτων καὶ τρίτον τι συγκατεσκεύασε. Ποῖον; Τὸ μὴ τῶν ἀδυνάτων νομισθῆναι εἶναι τὸ πρᾶγμα, ἀλλὰ καὶ τῶν σφόδρα δυνατῶν. Ποιεῖ δὲ αὐτὸ, ἐκ περιουσίας πολλῆς τὸν γάμον ἀποφαίνων πλείονας ἔχοντα δυσκολίας, ὡς εἰ πρός τινα ἔλεγε· Μοχθηρὸν καὶ ἐπίπονόν σοι τὸ πρᾶγμα εἶναι τοῦτο δοκεῖ; δι' αὐτὸ μὲν οὖν τοῦτο ἔγωγέ φημι δεῖν αὐτὸ μετιέναι, ὅτι οὕτω ῥᾴστόν ἐστιν, ὡς πολλῷ τοῦ γάμου πράγματα ἡμῖν παρέχειν ἐλάττω· ἐπειδὴ γὰρ φείδομαι, φησὶν, ὑμῶν καὶ οὐ βούλομαι θλῖψιν ὑμᾶς ἔχειν, διὰ τοῦτο ὑμᾶς οὐ θέλω γαμεῖν. Καὶ ποίαν θλῖψιν; ἴσως ἂν εἴποι τις· τοὐναντίον μὲν οὖν καὶ ἄνεσιν ἔχοντα πολλὴν καὶ τρυφὴν τὸν γάμον εὑρήσομεν. Καὶ πρῶτον ἁπάντων τὸ μετὰ πάσης ἀδείας τὴν ἐπιθυμίαν ἀποπληροῦν, καὶ μηδεμίαν ἀπὸ τῆς φύσεως ὑπομένειν βίαν, οὐ μικρὸν εἰς ῥᾳστώνης λόγον ἐστίν· ἔπειτα τὸ καὶ τὴν ἄλλην διαγωγὴν ἀπηλλάχθαι κατηφείας καὶ αὐχμοῦ, καὶ μεστὴν εἶναι φαιδρότητος καὶ γέλωτος καὶ χαρᾶς. Καὶ γὰρ τραπέζῃ πολυτελεῖ, καὶ μαλακοῖς ἱματίοις, καὶ στρωμνῇ μαλακωτέρᾳ, καὶ λουτροῖς διηνεκέσι, καὶ μύροις, καὶ οἴνῳ μύρου οὐδὲν χεῖρον διακειμένῳ, καὶ ἑτέρᾳ πολλῇ καὶ διαφόρῳ δαπάνῃ λειτουργοῦντες τῇ σαρκὶ,

cælorum castrarunt : cum vero pro hostibus precari monet, nec detrimenti eorum qui læserint, nec igneorum carbonum meminit, sed ea omnia pusillanimis ac miseris dicenda dimittens, ipse eos majoribus præmiis invitat. Quibusnam? (*Matth.* 5. 45) *Ut similes sitis*, inquit, *Patris vestri qui in cælis est.* Vide quantum præmium; nam auditores erant Petrus, Jacobus, Joannes, cæteraque apostolorum turba: itaque eos spiritalibus præmiis allicit. Atque idem et Paulus fecisset, si cum talibus tractasset: sed qui cum Corinthiis ageret, adhuc rudius affectis, jam inde eis laborum fructum proponit, quo virtutis negotium promtius inirent. Neque aliam ob causam Deus Judæis, omissa cælestis regni pollicitatione, terrena bona largiebatur, et pro sceleribus non gehennam, sed ævi hujus calamitates, pestem, famem, morbos, bella, exsilium, reliquaque similia comminabatur: his enim carnaliores magis continentur ac perterrefiunt; de iis vero quæ aspectum fugiant, nec præsto sint, minus anguntur. Quare Paulus in iis magis hæret, quæ eorum tarditatem polissimum ferirent. Præterea illud quoque ostendere volebat, cæterarum virtutum quasdam hic nos multis laboribus exercere, et fructum omnem in futurum tempus condere: virginitatem vero, etiam dum colitur, non levem nobis compensationem reddere, quæ nos tot ærumnis atque curis liberet. Atque insuper et tertium quiddam præstitit. Quidnam? Ne res impossibilis crederetur, sed vel in primis facilis. Id autem efficit, inesse in matrimonio plus difficultatum facile demonstrans; quasi diceret: Ærumnosa tibi ac laboriosa res videtur? equidem vero propterea persequendam censeo, quod adeo levis sit, ut negotiorum multo minus quam matrimonium præbeat. Nam cum vobis parcam, inquit, nec velim miserias habere, optarem vos matrimonium non contrahere. Quam miseriam? dicat fortasse quispiam; imo vero grandem oblectationem ac delicias habere inveniemus. Atque in primis summa cum licentia cupiditatem explere, nec cogi naturæ impetum ferre, non minimum facit ad facilitatem: insuperque reliqua omnis vita a mœrore ac squalore libera, hilaritatis, risus, gaudii plena est. Etenim et opiparis mensis, et delicatis vestibus, et molli toro, et perpetuis balneis, et unguentis, et vino unguento nihilo deteriori, aliaque multa ac varia impensa corpori omnem

πολλὴν ἀπὸ ταύτης παρέχουσιν αὐτῇ τὴν τρυφήν.

Μάλιστα μὲν οὐδὲ ταῦτα ἐφεῖται· ὁ δὲ γάμος τὴν τῆς μίξεως μόνης ἄδειαν, οὐχὶ δὲ καὶ τὴν τῆς τρυφῆς παρέχειν ἡμῖν εἴωθε. Καὶ μάρτυς ὁ μακάριος Παῦλος οὑτωσὶ λέγων· « Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. » Εἰ δὲ περὶ χηρῶν ταῦτα εἴρηται, ἄκουσον καὶ περὶ τῶν γεγαμηκότων τί φησι· « Γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ πάσης αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὡς πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν. » Καὶ οὐχ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθι ἴδοι τις ἂν πολὺν αὐτὸν ποιούμενον τὸν λόγον ὑπὲρ τοῦ μηδὲν ὅλως εἶναι τούτων ἡμῖν περισπούδαστον. Καὶ τί λέγω Παῦλον; ὃς ὅτε τῆς ἄκρας φιλοσοφίας ἦν ὁ καιρὸς, καὶ πολλὴ τοῦ πνεύματος ἡ χάρις, ἔλεγε ταῦτα. Ὁ γὰρ Ἀμὼς τοῖς νηπίοις Ἰουδαίοις διαλεγόμενος, ἐφ' ὧν καὶ τρυφὴ συγκεχώρητο καὶ πολυτέλεια καὶ πάντα, ὡς εἰπεῖν, τὰ περιττὰ, ἄκουσον πῶς σφόδρα καθάπτεται τῶν τῇ τρυφῇ προσκειμένων· « Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες καὶ ἁπτόμενοι σαββάτων ψευδῶν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων· ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα· οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι. »

Ὅπερ οὖν ἔφην, μάλιστα μὲν οὐκ ἐφεῖται τρυφᾶν· εἰ δὲ καὶ μηδὲν τούτων κεκώλυτο, ἀλλὰ πάντα συνεχωρεῖτο, ἔστιν ἕτερα τούτων ἀντίρροπα εἰς ἀθυμίας καὶ ὀδύνης λόγον· μᾶλλον δὲ οὕτω πλείονα καὶ μείζω, ὡς μηδὲ μικρὰν ἀπὸ τούτων ἡμᾶς λαμβάνειν τὴν αἴσθησιν, ἀλλ' ἐκποδὼν ἅπασαν γίνεσθαι τὴν ἐξ αὐτῶν ἡδονήν.

Εἰ γάρ τις, εἰπέ μοι, φύσει ζηλότυπος ὢν τύχοι, ἢ καὶ ἔκ τινος προφάσεως οὐκ ἀληθοῦς τούτῳ ληφθείη τῷ κακῷ, τί τῆς τοιαύτης ψυχῆς ἐλεεινότερον γένοιτ' ἄν; Ποῖον πόλεμον, τίνα χειμῶνα τῇ τοιαύτῃ παραβάλλοντες οἰκίᾳ, ἀκριβῶς ἐπιτυχεῖν δυνησόμεθα τῆς εἰκόνος; πάντα ὀδύνης μεστὰ, πάντα ὑποψίας καὶ στάσεως καὶ ταραχῆς. Τῶν γὰρ δαιμονώντων ἢ φρενίτιδι κατεχομένων νόσῳ οὐδὲν ἄμεινον διάκειται ὁ ταύτῃ τῇ μανίᾳ πληγείς· οὕτω συνεχῶς ἐξάλλεται καὶ ἀναπηδᾷ καὶ δυσχεραίνει πρὸς ἅπαντας, καὶ εἰς τοὺς παρόντας ἁπλοῦς καὶ ἀνευθύνους ἀφίησιν ἀεὶ τὴν ὀργὴν, κἂν δοῦλος ᾖ, κἂν υἱὸς, κἂν ὁστισοῦν ἕτερος. Καὶ ἡδονὴ μὲν ἀπελήλαται πᾶσα, κατηφείας δὲ ἅπαντα γέμει καὶ πένθους καὶ ἀηδίας· κἂν οἴκοι μένῃ, κἂν εἰς ἀγορὰν ἐμβάλλῃ, κἂν ἀποδημίαν στέλληται, πανταχοῦ τὸ δεινὸν ἅπτεται κέντρου παντὸς χαλεπώτερον παρανύζον καὶ ἐρεθίζον αὐτοῦ τὴν ψυχὴν, καὶ οὐ συγχωροῦν ἡρεμεῖν· οὐ γὰρ ἀθυμίαν μόνον αὕτη ἡ νόσος, ἀλλὰ καὶ θυμὸν ἀφόρητον τίκτειν εἴωθε. Τούτων δὲ

curam adhibentes, inde summas ei delicias comparant.

L. [*Delicix perinde in Veteri atque in Nova Lege prohibitæ.*] At vero neque hæc licent, et matrimonium coitus solum licentiam, non etiam deliciarum præstare solet : id beatus Paulus testatur (1 *Tim.* 5. 6) his verbis, *Quæ autem in deliciis est, vivens mortua est.* Quæ si de viduis effatus est, audi quid de nuptis itidem dicat (1 *Tim.* 2. 9, 10) : *Mulieres habitu modesto, cum omni verecundia et sobrietate ornantes se, non cincinnis, aut auro, aut margaritis, aut sumptuoso vestitu, sed ut feminas decet, pietatem recte factis profitentes.* Neque hic solum, sed alibi quoque in eo valde frequens est, nihil plane harum rerum magnopere expetendum nobis esse. Et quid Paulum dico? qui cum et summæ accurationis tempus esset, et ingens spiritus gratia, hæc dicebat. Amos enim, qui infantes Judæos alloquebatur, qua tempestate deliciæ, luxus, omniaque, ut sic dicam, supervacanea permissa erant, audi ut deliciis addictos serio tangat (6. 3 *sqq.*) : *Væ qui ad diem malum confluunt, qui falsa sabbata frequentant atque tractant; qui in lectis cubantes eburneis, luxuriantur in suis cubilibus, et ovilium hædos, et ex medio bovilium lactantes vitulos comedunt; qui ad organorum sonum plaudunt, fugitiva pro statis habentes, vinum defæcatum bibentes, et primariis unguentis delibuti.*

LI. [*Licet deliciari permissum esset, matrimonii tamen molestias satis esse quæ eam voluptatem exstinguant.*] Itaque quod dicebam, in primis non licet deliciari. Quin ut nihil horum vetitum esset, sed omnia concessa, at sunt alia ad mœstitiam ac dolorem his æqualia, imo tanto et plura et majora, ut illorum nec minimum quidem sensum capiamus, sed omnis ex iis voluptas facessat.

LII. [*Quantum malum sit zelotypia.*] Si enim quis natura sit ad zelotypiam propensus, aut ex causa ulla minime vera eo malo corripiatur, quid anima hujusmodi miserabilius sit? Quod bellum, quam tempestatem cum his ædibus comparantes, accuratam hujusce rei consequemur imaginem? omnia tristitiæ, suspicionis, rixarum, turbæ plena sunt. Nam qui hac insania ictus sit, ei nihilo melius est, quam dæmoniacis ac mente captis : adeo assidue exsilit, insultat, in omnes stomachatur, in præsentes omnes, seu servus, seu natus, seu quisquis alius sit, immerentes licet, irascitur. Voluptas prorsus fugatur, mœrore, luctu, insuavitate omnia referta sunt : seu domi maneat, seu in forum prodeat, seu iter adornet, ubique malo tangitur, animum ei quovis stimulo acrius pungente ac vexante, nec quiescere sinente : neque enim hic morbus tristitiam solum, sed etiam intolerabilem furorem parere solet. Atque hæc

ἕκαστον καὶ καθ' ἑαυτὸ μὲν ἱκανὸν ἀπολέσαι τὸν ἁλόντα· ὅταν δὲ καὶ ὁμοῦ συνελθόντα πολιορκῇ, συνεχῶς αὐτὸν πιέζοντα, καὶ οὐδὲ βραχὺν ἀναπνεῖν συγχωροῦντα καιρὸν, πόσων τοῦτο θανάτων οὐ χαλεπώτερον; Ἄν τε γὰρ πενίαν εἴπῃ τις τὴν ἐσχάτην, ἄν τε νόσον ἀνίατον, ἄν τε πῦρ, ἄν τε σίδηρον, οὐδὲν ἴσον ἐρεῖ. Καὶ τοῦτο οἱ πεῖραν λαβόντες ἴσασι μόνοι καλῶς· λόγος γὰρ οὐδεὶς ἂν παραστήσειε τοῦ δεινοῦ τὴν ὑπερβολήν. Ὅταν γὰρ τὴν μάλιστα πάντων ἀγαπωμένην, καὶ ὑπὲρ ἧς ἂν ἡδέως καὶ τὴν ψυχὴν πρόοιτο, ταύτην ἀναγκάζηται δι' ὑποψίας ἔχειν ἀεὶ, τί τῶν ἁπάντων αὐτὸν παραμυθήσασθαι δύναιτ' ἄν; Ἄν τε γὰρ εἰς εὐνὴν τραπέσθαι, ἄν τε σῖτον ἕλέσθαι καὶ πότον δέῃ, τὴν μὲν τράπεζαν οἰήσεται δηλητηρίων γέμειν φαρμάκων μᾶλλον ἢ ἐδεσμάτων· ἐπὶ δὲ τῆς εὐνῆς οὐδὲ μικρὸν ἀτρεμεῖν ἀνέξεται χρόνον, ἀλλ' ὥσπερ ἀνθράκων ὑποκειμένων οὕτω θορυβεῖται καὶ μεταστρέφεται· καὶ οὔτε συνουσίᾳ φίλων, οὔτε πραγμάτων φροντὶς, οὔτε κινδύνων φόβος, οὔτε ἡδονῆς ὑπερβολὴ, οὔτε ἄλλο οὐδὲν τῆς τοιαύτης αὐτὸν ζάλης ἀπαγαγεῖν δυνήσεται· ἀλλὰ παντὸς μὲν χρηστοῦ, παντὸς δὲ λυπηροῦ τυραννικώτερον οὗτος αὐτοῦ κατακρατεῖ τὴν ψυχὴν ὁ χειμών. Ταῦτα διασκεψάμενος ὁ Σολομὼν ἔλεγε, « Σκληρὸς ὡς ᾅδης ζῆλος· » καὶ πάλιν, « Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, [καὶ] οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. » Τοσαύτη γὰρ ἡ τῆς νόσου ταύτης μανία, ὡς μηδὲ μετὰ τὴν τοῦ λελυπηκότος τιμωρίαν ἀφεῖσθαι τῆς ὀδύνης· πολλοὶ γοῦν πολλάκις ἀνελόντες τὸν μοιχὸν, τὸν θυμὸν καὶ τὴν ἀθυμίαν οὐκ ἴσχυσαν ἀνελεῖν. Εἰσὶ δὲ οἳ καὶ μετὰ τὸ κατασφάξαι τὰς ἑαυτῶν γυναῖκας ἔμειναν ὁμοίως ἢ καὶ μειζόνως τηκόμενοι τῇ πυρᾷ. Καὶ ὁ μὲν ἀνὴρ τοσούτοις συζῇ κακοῖς, καὶ ὅταν μηδὲν ἀληθὲς ὂν τύχῃ· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη πολλῷ χαλεπώτερα ὑπομένει τἀνδρός. Ὅταν γὰρ τὸν ὀφείλοντα εἶναι παραμυθίαν τῶν λυπηρῶν ἁπάντων, καὶ ὅθεν προστασίαν ἐχρῆν προσδοκᾶν, τοῦτον ἐκτεθηριωμένον καὶ πάντων πολεμιώτερον ἤδη διακείμενον πρὸς αὐτὴν, ποῦ δυνήσεται βλέψαι λοιπόν; πρὸς τίνα καταφυγεῖν; πόθεν τῶν κακῶν εὑρεῖν τὴν ἀπαλλαγὴν, τοῦ λιμένος αὐτῇ προκεχωσμένου καὶ μυρίων γέμοντος προβόλων; Τότε καὶ οἰκέται καὶ θεράπαιναι τἀνδρὸς ὑβριστικώτερον αὐτῇ χέχρηνται· ὕποπτον μὲν γὰρ καὶ ἄλλως καὶ ἀχάριστον τοῦτο τὸ γένος, ὅταν δὲ καὶ παῤῥησίας μείζονος ἐπιλάβηται, καὶ διαστασιάζοντας πρὸς ἀλλήλους ἴδῃ τοὺς κρατοῦντας αὐτῶν, οὐ μικρὰν ἀφορμὴν τῆς οἰκείας βδελυρίας τὸν ἐκείνων λαμβάνουσι πόλεμον. Καὶ γὰρ συντιθέναι καὶ πλάττειν ὅσαπερ ἂν ἐθέλωσιν ἔξεστιν αὐτοῖς μετὰ ἀδείας ἁπάσης τότε, καὶ τὴν ὑποψίαν ταῖς παρ' ἑαυτῶν διαβολαῖς δυνατωτέραν ποιεῖν. Ἡ γὰρ ἅπαξ τῇ πονηρᾷ ταύτῃ νόσῳ καταυχθεῖσα ψυχὴ πάντα εὐκόλως πείθεται, καὶ πᾶσιν ἀναπετάσασα ἐξ ἴσης τὴν ἀκοὴν, οὐκ ἀνέχεται διακρίνειν τοὺς συκοφάντας τῶν μὴ τοιούτων

vel singula satis sint quæ hoc morbo captum conficiant: sin autem simul conjuncta oppugnent, eum assidue prementia, nec minimum ei respirandi tempus tribuentia, qua non morte id acerbius sit? Nam seu extremam egestatem, seu insanabilem morbum, seu ignem, seu ferrum nomines, nihil par dixeris: id soli experti probe sciunt. Nulla est enim dicendi tanta vis, quæ mali hujus gravitatem consequatur. Etenim cum omnium carissimam, et pro qua lubens vel vitam impendat, suspectam habere semper cogitur, quid est omnino quod solari eum possit? Seu namque somnum ire, seu cibum potumque capere necesum sit, mensam letalibus venenis potius quam eduliis instructam credet: in lecto nec vel momento quiescet, sed tamquam subjectis prunis æstuabit ac jactabitur: neque aut amicorum congressus, aut negotiorum cura, aut periculorum metus, aut ingens voluptas, aut aliud quidquam ab eo æstu hominem abducere potest; sed procella hæc omnibus et jucundis et tristibus potentius animum possidet. Hæc cum perspexisset Salomon, dicebat (*Cant.* 8, 6): *Durus sicut infernus zelus*: et rursum (*Prov.* 6. 34, 35): *Plenus enim zeli ejus viri furor, non parcet in die judicii, nec redemptione ulla inimicitias componet, nec quantisvis donis placabitur.* Is est enim morbi hujus furor, ut nec sumto de eo qui læserit supplicio, dolorem missum faciat. Itaque multi sæpe, adultero sublato, iram atque mœrorem tollere non potuerunt. Sunt et qui cæsis suis conjugibus, æque, imo magis, eo rogo exarserint. Ac vir quidem in his malis degit, etiam cum nihil verum sit. Cæterum misera illa et ærumnosa vel viro gravius excruciatur. Nam cum eum, qui ærumnarum omnium solatium esse debebat, et unde præsidium exspectandum erat, efferum atque omnium in se inimicissime affectum cernit, quo jam se vertat? ad quem confugiat? unde malorum auxilium petat, portu ei præstructo et innumerabilibus scopulis referto? Tum et servi et ancillæ in eam viro contumeliosiores sunt. Est enim genus hoc hominum, cum alioqui suspiciosum et ingratum, tum licentiæ plus nacti, interque se adversos heros conspicientes, ex eorum bello non levem improbitatis suæ ansam capiunt. Nam tum iis quidquid lubet summa impunitate fingere et comminisci licet, et suspicionem calumniis suis confirmatiorem reddere. Animus enim semel hoc pestilenti morbo occupatus, facile cuncta credit, et aure omnibus ex æquo aperta, sycophantas a non sycophantis discernere non sustinet, sed ii potius vera dicere videntur, qui

τουτον, ἀλλὰ καὶ οὗτοι μάλιστα πιστὰ λέγειν δοκοῦσιν, ὅσοι τὴν ὑποψίαν ἐπαίρουσιν, ἢ ὅσοι σπουδάζουσιν αὐτὴν καθιλεῖν. Ἐντεῦθεν λοιπὸν ἀνάγκη δεδοικέναι καὶ τρέμειν τοῦ συνοικοῦντος οὐχ ἧττον τοὺς δραπέτας ἐκείνους, καὶ τὰς ἐκείνων γυναῖκας, καὶ τὴν αὐτῇ πρέπουσαν τάξιν προειμένην αὐτοῖς, τὴν ἐκείνων ἀντιλαβεῖν. Πότε οὖν ἀδακρυτὶ διάγειν δυνήσεται; ποίαν νύκτα; ποίαν ἡμέραν; ποίαν ἑορτήν; πότε στεναγμῶν χωρὶς καὶ ὀδυρμῶν καὶ θρήνων; ἀπειλαὶ καὶ ὕβρεις καὶ λοιδορίαι διαπαντὸς, αἱ μὲν παρὰ τοῦ τετρωμένου μᾶλλον ἀνδρὸς, αἱ δὲ παρὰ τῶν μιαρῶν θεραπόντων· φυλακαὶ, προφυλακαὶ, καὶ ἅπαντα δέους καὶ τρόμου μεστά. Οὐ γὰρ εἴσοδοι καὶ ἔξοδοι πολυπραγμονοῦνται μόνον, ἀλλὰ καὶ ῥήματα καὶ βλέμματα καὶ στεναγμὸς μετὰ πολλῆς βασανίζεται τῆς ἀκριβείας, καὶ ἀνάγκη ἢ τῶν λίθων ἀκινητοτέραν εἶναι, καὶ σιγῇ πάντα φέρειν, καὶ τῷ θαλάμῳ προσηλῶσθαι διαπαντὸς δεσμώτου χεῖρον, ἢ βουλομένην φθέγγεσθαι καὶ στένειν καὶ ἐξιέναι, πάντων εὐθύνας ὑπέχειν καὶ λόγον, ἐν τοῖς διεφθαρμένοις ἐκείνοις δικασταῖς, ταῖς θεραπαινίσι λέγω καὶ τῷ πλήθει τῶν οἰκετῶν. Τούτων, εἰ βούλει, μεταξὺ τῶν ἐπιόντων τίθει καὶ πλοῦτον ἄφατον, καὶ τραπέζης πολυτέλειαν, καὶ οἰκετῶν ἀγέλας, γένους λαμπρότητα, δυναστείας μέγεθος, δόξαν πολλὴν, προγόνων περιφάνειαν, μηδὲν ὅλως ἀφεὶς τῶν δοκούντων ζηλωτὸν τὸν παρόντα βίον ποιεῖν· ἀλλὰ πάντα ἀκριβῶς συναγαγὼν, ἀντίθες ταύτῃ τῇ λύπῃ, καὶ οὐδὲ φαινομένην ὄψει τὴν ἐξ ἐκείνων ἡδονὴν, ἀλλ' οὕτως ἠφανισμένην, ὥσπερ ἐν πελάγει πολλῷ σπινθῆρα μικρὸν ἐμπεσόντα σβεσθῆναι εἰκός. Καὶ ταῦτα μὲν, ὅταν ὁ ἀνὴρ ζηλοτυπῇ· εἰ δὲ ἐπὶ τὴν γυναῖκά ποτε μεταβαίη τὸ πάθος (οὐκ ὀλιγάκις δὲ τοῦτο εἰωθε γίνεσθαι), ἐκεῖνος μὲν ῥᾷον διακείσεται τῆς γυναικὸς, τὸ δὲ πλέον τῆς ὀδύνης πάλιν ἐπὶ τὴν ἀθλίαν ἐκείνην μετέπεσεν· οὔτε γὰρ τοῖς αὐτοῖς ὅπλοις χρήσασθαι ἐπὶ τὸν ὑποπτευθέντα δυνήσεται· τίς γὰρ ἀνέξεται γυναικὸς κελευούσης οἴκοι μένειν διαπαντός; τίς δὲ τὸν δεσπότην τολμήσει παρατηρήσασθαι τῶν οἰκετῶν, καὶ οὐκ εὐθέως ἐπὶ τὸ βάραθρον ἀπαχθήσεται; Οὔτε οὖν τούτοις δυνήσεται ἑαυτὴν παραμυθήσασθαι τοῖς μηχανήμασιν, οὔτε τῷ τὴν ὀργὴν διὰ τῶν ῥημάτων ἐξενεγκεῖν, ἀλλ' ἅπαξ μὲν αὐτὴν ἴσως χαλεπαίνουσαν οἴσει καὶ δὶς ὁ ἀνὴρ· ἐὰν δὲ ἐπιμείνῃ συνεχῶς ἐγκαλοῦσα, διδάξει ταχέως αὐτὴν, ὅτι βέλτιον σιγῇ τὰ τοιαῦτα φέρειν καὶ τήκεσθαι. Καὶ ταῦτα μὲν ἐν ταῖς ὑποψίαις· ὅταν δὲ ἀληθὴς ὢν τύχῃ τὸ δεινὸν, τὴν μὲν γυναῖκα οὐδεὶς ἐξαιρήσεται τῶν τοῦ ἠδικημένου χειρῶν, ἀλλ' ἔχων αὐτῷ βοηθοῦντας τοὺς νόμους τὴν ἁπάντων αὐτῷ φιλτάτην εἰς δικαστήριον ἀγαγὼν κατέσφαξεν· ὁ δὲ ἀνὴρ τὴν μὲν ἀπὸ τῶν νόμων διαφεύγει τιμωρίαν, τῇ δὲ ἄνωθεν καὶ τῇ τοῦ Θεοῦ τετήρηται ψήφῳ. Ἀλλ' οὐχ ἱκανὸν τοῦτο παραμυθήσασθαι τὴν ἀθλίαν ἐκείνην, ἀλλ' ἀνάγκη μακρόν τινα καὶ ἐλεεινὸν ὑπομένειν θάνατον, τὸν ἀπὸ τῶν μαγγανειῶν, τὸν ἀπὸ τῶν φαρμάκων, ἅτερ αἱ πορνευόμεναι γυναῖκες κατασκευάζουσιν.

suspicionem augent, quam qui tollere conantur. Itaque fugitivi illi, eorumque uxores, nihilo minus ei quam contubernalis timendi et horrendi sunt, suumque illis locum cedat in illorumque ordinem transeat oportet. Et quando sine lacrimis agere poterit? quam noctem? quem diem? quod festum? quando citra gemitum, ejulatum, lamenta? Minæ, contumeliæ, convicia perpetuo, tum a viro temere saucio, tum ab impuris famulis: custodiæ positæ ad speculandum, custodiæ ad præcavendum: omnia terroris ac trepidationis plena. Neque enim exitus solum et ingressus, sed et verba et obtutus et suspiria accurate atque curiose explorantur, et vel saxis minus sese movere et silentio cuncta ferre, ac thalamo perpetuo affixam esse vincto durius necesse est, vel loqui, suspirare, egredi volentem, omnium causam dicere apud corruptos eos judices, famulas inquam et servorum turbam. Igitur, si placet, cum his malis et opes ingentes et splendidas mensas et servorum gregem, generis splendorem, potentiæ magnitudinem, gloriam summam, majorum claritatem confer; eorum quæ vitam hanc desiderabilem efficiant nihil prorsus prætermitte, sed omnia diligenter collecta dolori huic oppone: sane voluptatem quæ ex illis manat nec apparentem quidem cernes, atque ita profligatam, ut scintilla in vastum æquor illapsa exstinguitur. Et hæc quidem ubi vir zelotypia fuerit affectus. Sin ad uxorem ægritudo ea pervadat (neque enim id raro evenire solet), cum illo quidem quam cum hac melius agetur, sed in hanc miseram rursum major dolorum pars redundabit: neque enim fas est iisdem armis in suspectum uti. Nam quis uxorem ferat jubentem domi assidue manere? quis e servis herum observare ausit, quin continuo ad barathrum abripiatur? Itaque nec his machinamentis solari se possit, nec iram verbis efferre: sed vir semel fortasse iterumque vitilitigantem patietur; sin criminari persistat, statim docebit, præstare ea silentio ferre ac tabescere. Atque hæc quidem si suspicio sit. Porro si malum hoc verum sit, jam uxorem nemo e læsi manibus eripiat, quin leges opitulantes nactus omnium sibi carissimam in judicium adductam trucidet: cæterum vir legum pœnas effugit, sublimi ac divinæ sententiæ servatus. Verum id ad miseræ consolationem non sufficit; sed necesse est longam quamdam ac miserandam mortem subire, per incantamenta atque veneficia, quæ adulteræ mulieres præparant:

Εἰσὶ δὲ αἷς οὐδὲ ἐπιβουλῆς ἐπὶ τὰς ἠδικημένας ἐδέησεν, ἀλλ' ἔρθασαν ἐκεῖναι προαναρπασθεῖσαι τῇ τῆς ἀθυμίας σφοδρότητι. Ὥστε εἰ καὶ πάντες ἄνδρες ἐπέτρεχον τῷ γάμῳ, τὰς γυναῖκας οὐκ ἐχρῆν αὐτὸν διώκειν. Οὔτε γὰρ ἂν ἔχοιεν εἰπεῖν ὡς τοσαύτη παρ' αὐταῖς τῆς ἐπιθυμίας ἡ τυραννίς, καὶ τῶν τοῦ πράγματος κακῶν τὸ πλέον αὐταὶ καρποῦνται μέρος, ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξε. Τί οὖν, φησίν, ἅπασι τοῦτο πρόσεστι τοῖς γάμοις; Ἀλλ' οὐδὲ πάντων ἅπεστι, παρθενίας δὲ πόρρω καὶ μακρὰν πάσης ἐστί. Καὶ ἡ μὲν γαμηθεῖσα, κἂν μὴ τῷ δεινῷ περιπέσῃ, ἀλλὰ τῇ τοῦ δεινοῦ προσδοκίᾳ περιπεσεῖται· οὐ γάρ ἐστι τὴν ἀνδρὶ μέλλουσαν ὁμιλεῖν, μὴ μετὰ τῆς ὁμιλίας πάντα ἀναλογίζεσθαι καὶ δεδοικέναι τὰ δεινά· ἡ δὲ παρθένος οὐ μόνον τῶν δυσχερῶν πραγμάτων, ἀλλὰ καὶ τῆς ὑποψίας ἀπήλλακται. Οὐ πρόσεστι τοῦτο πᾶσι τοῖς γάμοις. Οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ἀλλ' ἐὰν τοῦτο μὴ προσῇ, πολλὰ ἕτερα πρόσεστι· κἂν ἐκεῖνά τις διαφύγῃ, πάντα ἁπλῶς διαφυγεῖν οὐ δυνήσεται. Ἀλλ' ὥσπερ ἐπὶ τῶν ἀκανθῶν τῶν τοῖς ἱματίοις προσπηγνυμένων ἐν τῷ τὰς αἱμασιὰς διαβαίνειν, ὅταν ἐπιστραφῇ τις τὴν μίαν ἐξελεῖν, ἑτέραις κατέχεται πλείοσιν, οὕτω καὶ ἐπὶ τῶν τοῦ γάμου πραγμάτων ὁ τοῦτο διαδρὰς, ἐκείνῳ περιπείρεται πάλιν· καὶ ὁ τοῦτο διαδὺς, ἄλλῳ προσέπταισε, καὶ ὅλως οὐκ ἔνι γάμον πάσης εὑρεῖν ἀηδίας ἐλεύθερον.

Ἀλλ', εἰ βούλει, τὰ δυσχερῆ τέως ἀφέντες, τὸ δοκοῦν εἶναι ἐν αὐτῷ μακαριστὸν, καὶ οὗ πολλοὶ πολλάκις, μᾶλλον δὲ πάντες εὔχονται ἐπιτυχεῖν, τοῦτο ἀγαγόντες εἰς μέσον ἐξετάσωμεν νῦν. Τί δὴ τοῦτό ἐστι; Τὸ πένητα ὄντα καὶ εὐτελῆ καὶ ταπεινὸν ἀπὸ μεγάλων καὶ δυνατῶν καὶ πολλὰ χρήματα κεκτημένων γυναῖκα λαβεῖν. Ἀλλὰ τοῦτο τὸ ζηλωτὸν ἐκείνου τοῦ ἀπευκτοῦ οὐκ ἐλάττους εὑρήσομεν ἔχον τὰς συμφοράς. Ἔστι μὲν γὰρ καὶ ἄλλως τὸ τῶν ἀνθρώπων γένος ὑπεροπτικώτατον· καὶ ἐν αὐτῷ τούτῳ μᾶλλον τὸ τῶν γυναικῶν, ὅσῳ καὶ ἀσθενέστερον· διὸ καὶ μᾶλλον ὑπὸ τοῦ πάθους ἁλίσκεται· ὅταν δὲ καὶ ἀφορμὰς ἔχῃ τῆς ὑπεροψίας πολλὰς, οὐδέν ἐστιν ἔτι τὸ κατέχον αὐτάς· ἀλλ' ὥσπερ ὕλης τινὸς λαβομένη φλὸξ, οὕτως εἰς ὕψος ἄφατον αἴρονται, καὶ τὴν τάξιν ἀντιστρέφουσι, καὶ τὰ ἄνω κάτω ποιοῦσιν. Οὐ γὰρ ἀφίησιν ἐν τῇ τῆς κεφαλῆς χώρᾳ μένειν τὸν ἄνδρα ἡ γυνὴ, ἀλλ' ὑπὸ φρονήματος καὶ ἀπονοίας ἀπωσαμένη τῆς τάξεως αὐτὸν ἐκείνης, καὶ εἰς τὴν αὐτῇ προσήκουσαν ἀγαγοῦσα, τὴν τῆς ὑποταγῆς, αὐτὴ γίνεται κεφαλὴ καὶ ἀρχή. Τί οὖν ταύτης τῆς ἀνωμαλίας χεῖρον γένοιτ' ἄν; καὶ σιωπῶ τὰ ὀνείδη, τὰς ὕβρεις, τὰς ἀηδίας, ἃ πάντων ἐστὶν ἀφορητότερα.

Εἰ δὲ λέγοι τις (καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων ἐγὼ, ὅταν τοιοῦτοι γένωνται λόγοι), Πλουτείτω μόνον καὶ εὔπορος ἔστω, καὶ οὐδὲν ἔργον ἐστὶ κατενεγκεῖν αὐτῆς καὶ ταπεινῶσαι τὸ φρόνημα· εἴ τις οὖν ταῦτα λέγοι, πρῶτον μὲν ἀγνοεῖ, ὅτι τῶν σφόδρα δυσκόλων

pleraque etiam nec insidiis in eas quas injuria affecere, opus habuerunt, sed illæ mœroris vehementia prius exstinctæ, ipsas præverterunt. Ita ut quantumvis viri omnes ad matrimonium confluerent, feminis id non sit persequendum. Nam nec inesse in se tantam libidinis impotentiam possunt dicere, et dolorum qui ex eo impendeant plus capiunt: quod quidem jam est a nobis demonstratum. Quid igitur, inquit, id in omni matrimonio est? Nec vero abest ab omni: cæterum ab omni virginitate longe atque procul est. Ac nupta licet in malum non incidat, at in mali metum incidet: neque enim potest, cui cum viro consuescendum sit, non una cum consuetudine mala omnia secum putare ac metuere: virgo autem non solum a molestiis, sed etiam a suspicione libera est. At hoc non est in omni matrimonio. Non equidem id dico, sed quamvis id non insit, alia insunt multa, ac licet illa effugias, omnia plane effugere non possis; sed velut in sentibus quæ vestimentis adhæreant, qui sepem transcendit, ad unam evellendam conversus, aliis pluribus tenetur: ita et in re uxoria, qui hoc perrumpit, illo rursum læditur; qui vero illud evaserit, in aliud offendit: nec facile matrimonium invenias omni molestia solutum.

LIII. [*Conjugium divitum expetendum non esse, imo pauperum connubio molestius esse.*] Verum, si videtur, infaustis dimissis, quod in eo ter beatum existimetur, et multi, adeoque omnes optent consequi, id nunc in medium productum inquiramus. Quidnam id est? Qui pauper, humilis, abjectus sis, ex ampla ac potenti et locuplete domo uxorem ducere. At hoc, quod expetendum videtur, non minoribus, quam illud quod perosum est, calamitatibus obnoxium deprehendemus. Est enim alioqui cum hominum genus insolentissimum, tum in iis mulieres, eo quidem magis, quo impotentiores sunt: quare et morbo hoc facilius capiuntur: si vero superbiæ graves etiam causas habeant, nihil est quod eas in officio contineat; sed quasi flamma materiam nacta, ita immane quantum se sustollunt, ordinem invertunt, summa infimis mutant. Nam vitium uxor capitis locum tenere non sinit, sed qua est contumacia atque fastu, de eo gradu dejectum in *suum*, id est ad subjectionem, compellit, ipsaque fit caput ac dux. Et quid ea absurditate gravius esse potest? ut *silentio* prætermittam convicia, contumelias, insuavitatem, quæ omnium sunt durissima.

LIV. [*Quantumvis subjectam uxorem opulentam habeas, ingens incommodum esse.*] Jam si quis dicat (nam equidem multos dicere audivi, cum ejusmodi sermones incidunt): Tantum dives et nummosa sit; nullo negotio ejus fastus deprimetur ac dejicietur: si quis, inquam, hæc di-

ἐστίν· ἔπειτα ὅτι κἂν γένηται, οὐ μικρὰν ἔχει τὴν ζημίαν. Τὸ γὰρ ἀνάγκῃ καὶ δεδοικυῖαν καὶ μετὰ βίας ὑποτετάχθαι τῷ ἀνδρὶ τοῦ μετὰ πάσης ἐξουσίας ἐπιτάττειν αὐτῷ βαρύτερον ἔσται καὶ ἀηδέστερον. Τί δήποτε; Ὅτι πᾶσαν ἐκβάλλει φιλίαν καὶ ἡδονὴν αὕτη ἡ βία· φιλίας δὲ οὐκ οὔσης οὐδὲ πόθου, ἀλλ' ἀντὶ τούτων φόβου καὶ ἀνάγκης, τίνος ὁ τοιοῦτος ἄξιος ἔσται γάμος λοιπόν;

Καὶ ταῦτα μέν, ἡ γυνὴ ὅταν εὔπορος ᾖ. Εἰ δὲ συμβαίη ταύτην μὲν μηδὲν ἔχειν, τὸν δὲ ἄνδρα πλουτεῖν, θεράπαινα μὲν ἀντὶ γαμετῆς, καὶ ἡ ἐλευθέρα γίνεται δούλη, καὶ τὴν αὐτῇ προσήκουσαν παῤῥησίαν ἀπολέσασα, τῶν ἀργυρωνήτων οὐδὲν ἄμεινον διακείσεται, ἀλλὰ κἂν ἀσελγαίνειν, κἂν παροινεῖν ἐκεῖνος ἐθέλῃ, κἂν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν ἐκείνης εὐνὴν ἑταιριζομένων πλῆθος γυναικῶν, πάντα φέρειν ἀνάγκη καὶ ἀσμενίζειν, ἢ τῆς οἰκίας ἐκπεσεῖν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι τἀνδρὸς οὕτω διακειμένου, οὔτε οἰκέταις οὔτε θεραπαινίσι μετ' ἐλευθερίας ἐπιτάττειν συνήσεται, ἀλλ' ὥσπερ ἐν ἀλλοτρίοις ζῶσα, καὶ τῶν οὐ προσηκόντων ἀπολαύουσα, καὶ δεσπότῃ μᾶλλον ἢ ἀνδρὶ συνοικοῦσα, οὕτω καὶ πράττειν καὶ πάσχειν ἅπαντα ἀναγκάζεται. Εἰ δὲ καὶ ἐξ ὁμοίων τις ἐθέλοι γαμεῖν, πάλιν τῷ τῆς ὑποταγῆς νόμῳ τὰ τῆς ὁμοτιμίας λυμαίνεται, τοῦ τῆς οὐσίας μέτρου πείθοντος αὐτὴν ἐξισοῦσθαι τῷ ἀνδρί. Τί οὖν ἄν τις ποιήσειε τοσαύτης δυσκολίας πανταχοῦ οὔσης; Μὴ γάρ μοι, εἴ που σπάνια ὀλίγοι καὶ εὐαρίθμητοι ταῦτα διέφυγον γάμοι, τούτους εἰς μέσον ἀγάγῃς· οὐ γὰρ ἀπὸ τῶν σπανιζόντων, ἀλλ' ἀπὸ τῶν ἀεὶ συμβαινόντων χαρακτηρίζειν τὰ πράγματα προσήκει. Ἐπὶ μὲν γὰρ τῆς παρθενίας δύσκολον ταῦτα γενέσθαι, μᾶλλον δὲ ἀδύνατον, ἐπὶ δὲ τῶν γάμων δύσκολον μὴ γενέσθαι.

Εἰ δὲ ἐπὶ τοῖς δοκοῦσιν εἶναι χρηστοῖς τοσαῦται τίκτονται ἀηδίαι καὶ συμφοραί, τί ἄν τις ἐπὶ τοῖς ὠμολογημένοις εἴποι λυπηροῖς; Οὐ γὰρ ὑπὲρ ἑνὸς ἔδοικε θανάτου μόνον, καίτοι γε ἅπαξ μέλλουσα ἀποθανεῖσθαι, οὐδὲ ὑπὲρ μιᾶς φροντίζει ψυχῆς μίαν ἔχουσα μόνην, ἀλλὰ τρέμει μὲν ὑπὲρ ἀνδρὸς, τρέμει δὲ ὑπὲρ παίδων, τρέμει δὲ ὑπὲρ τῶν ἐκείνοις προσηκόντων γυναικῶν πάλιν καὶ παιδίων, καὶ ὅσῳπερ ἂν εἰς πλείονας ἐκτείνηται κλάδους ἡ ῥίζα, τοσούτῳ πλεονάζει καὶ τὰ τῶν φροντίδων αὐτῇ· καὶ καθ' ἕκαστον τούτων εἴτε ζημία χρημάτων, εἴτε σώματος ἀῤῥωστία, εἴτε ἕτερόν τι συμβαίη τῶν ἀβουλήτων, ἀνάγκη κόπτεσθαι καὶ θρηνεῖν τῶν πασχόντων οὐχ ἧττον αὐτῶν· κἂν μὲν προαπόθωσιν ἅπαντες, ἀῤῥήτων τὸ πένθος· ἂν δὲ οἱ μὲν μένωσιν, οἱ δὲ ἀώροις ἀπενεχθῶσι θανάτοις, οὐδὲ οὕτω καθαρὰν εὕροι τις ἂν παραμυθίαν. Ὁ γὰρ ὑπὲρ τῶν ζώντων ἀεὶ φόβος κατασείων τὴν ψυχὴν οὐκ ἐλάττων τῆς ἐπὶ τοῖς τετελευτηκόσι γίνεται λύπης, ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, χαλεπώτερος. Τὴν μὲν γὰρ ἐπὶ τοῖς κεκοιμημένοις ἀθυμίαν ὁ χρόνος ἐμάλαξε, τὰς δὲ ὑπὲρ τῶν ζώντων φροντίδας μένειν ἀνάγκη διαπαν-

eat, næ ille primum ignorat valde id difficile esse; deinde ut contingat, non parum affert detrimenti. Etenim vi et timentem ac coactam viro subjici, gravius atque injucundius est, quam vel summa auctoritate ei imperare. Quid ita? Quod ea vis amicitiam omnem ac voluptatem expellat: amicitiæ autem atque studii vicem terrore ac necessitate subeunte, quanti jam illud fuerit matrimonium æstimandum?

LV. [*Intolerabile malum esse ditiori viro nubere.*] Atque hæc quidem si uxor opulenta sit. Sin contingat, ea nihil habente, virum divitem esse, famula erit pro conjuge, et quæ ingenua est serva efficietur, ac se digna libertate manibus amissa, emtitiis nihilo præstabit; sed quantumvis vir lasciviat, quantumvis ferociat, quantumvis meretricum manum in ejus torum adsciscat, omnia pati ac benigne accipere necessum erit, aut domo cedere. Neque id solum est molestiæ, sed etiam quod viro sic affecto, nec servis nec ancillis libere mandare poterit, sed velut in alienis degens, iisque quæ ad se non pertineant utens, et hero potius quam viro convivens, ita omnia et agere et pati cogitur. Quodsi æqualis conditionis uxorem ducas, subjectionis rursum lex æqualitatem pessumdabit, cum facultatum modus postulet, ut ea cum viro æquetur. Quid igitur tot ubique obtinentibus difficultatibus agas? Neque enim mihi, si quæ usquam valde pauca matrimonia hæc effugerunt, ea in medium profer; nam ex iis quæ assidue contingunt, non ex illis quæ insolentia sunt, res describere et proponere convenit. Hæc namque in virginitate difficile est evenire, imo ea accidere nequeunt; in matrimonio difficile est non evenire.

LVI. [*Nuptæ gravem doloris necessitatem impositam esse.*] Quodsi in iis quæ jucunda videantur, tantum oritur miseriarum et calamitatum, quid de iis quæ haud dubie acerba sunt, dicendum erit? Neque enim, cum semel moritura sit, unam solum mortem expavescit, nec quæ unam habeat animam, de una sollicita est, sed et viro et liberis timet eorumque conjugibus atque soboli, ac quo radix in plures ramos effunditur, tanto ei et curarum plus accedit. Horum singulis seu nummorum jactura, seu corporis valetudo, seu aliud aliquid accidat ingratum, ei macerare se ac lugere necesse erit nihilo minus, quam iis qui hæc patiuntur. Ac si quidem omnes ante eam decedant, intolerabilis erit luctus; sin aliis superstitibus alii immatura morte rapiantur, ne sic quidem solatium purum invenias. Nam de vivis metus assidue animam conciens dolore de mortuis haud sane levior est; quin si mirum quiddam dicere fas sit, etiam gravior. Nam defunctorum mœrorem tempus mitigat: de

τὸς, ἢ θανάτῳ παύσασθαι μόνῳ. Εἰ δὲ τοῖς οἰκείοις οὐκ ἀρκοῦμεν πάθεσι, ποῖον βιωσόμεθα βίον τὰς ἑτέρων πενθεῖν ἀναγκαζόμενοι συμφοράς; Πολλαὶ πολλάκις γονέων ἐγένοντο λαμπρῶν, ἀνετράφησαν μετὰ πολλῆς τῆς τρυφῆς, ἐξεδόθησάν τινι τῶν μεγάλα δυναμένων ἀνδρῶν, εἶτα ἐξαίφνης πρὶν ἐπὶ τούτοις μακαρισθῆναι, κινδύνου τινὸς καθάπερ καταιγίδος ἢ πνεύματος προσπεσόντος ἐκείνῳ, κατέδυσαν καὶ αὐταὶ, καὶ τῶν τοῦ ναυαγίου συμμετέσχον δεινῶν, καὶ μυρίων πρὸ τοῦ γάμου καλῶν ἀπολαύουσαι, πρὸς τὴν ἐσχάτην ἀπὸ τοῦ γάμου κατέπεσον συμφοράν. Ἀλλ' οὐ ταῦτα, φησὶ, πᾶσιν, οὐδὲ ἀεὶ συμπίπτειν εἴωθεν. Ἀλλ' οὐδὲ πάντων κεχώρισται (καὶ γὰρ κἀγὼ τὰ αὐτὰ πάλιν ἐρῶ), ἀλλὰ τοῖς μὲν καὶ διὰ τῆς πείρας ἐπῆλθεν, ὅσοι δὲ τὴν πεῖραν διέφυγον, τούτους διὰ τῆς προσδοκίας ἠνίασε· παρθένος δὲ πᾶσα καὶ τῆς πείρας καὶ τῆς προσδοκίας ἔστηκεν ἀνωτέρω.

Πλὴν ἀλλ' εἰ δοκεῖ ἐκεῖνα ἀφέντες, ἃ συγκεκλήρωται φύσει τῷ γάμῳ καὶ ἅπερ οὐδεὶς ἂν οὔτε ἑκὼν οὔτε ἄκων διαφύγοι, ταῦτα ἐπισκιψώμεθα νῦν. Τίνα οὖν ἐστι ταῦτα; Ὠδῖνες καὶ τόκοι καὶ παιδία. Μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, καὶ τὰ πρὸ τοῦ γάμου καταμάθωμεν ὡς δυνατόν· μετὰ ἀκριβείας γὰρ οἱ παθόντες ἴσασι μόνοι. Ἐπέστη τῆς μνηστείας ὁ καιρός· καὶ φροντίδες εὐθέως ἐπάλληλοι καὶ ποικίλαι, τίνα ἄρα λήψεται ἄνδρα, μὴ δυσγενῆ, μὴ τῶν ἀτίμων τινὰ, μὴ αὐθάδη, μὴ ἀπατεῶνα, μὴ ἀλαζόνα, μὴ θρασὺν, μὴ ζηλότυπον, μὴ σμικρολόγον, μὴ εὐήθη, μὴ πονηρὸν, μὴ σκληρὸν, μὴ ἄνανδρον. Ταῦτα γὰρ ἅπαντα συμβαίνειν μὲν οὐκ ἀνάγκη ταῖς γαμουμέναις ἁπάσαις, μεριμνᾶν δὲ ἀνάγκη καὶ φροντίζειν ἅπαντα· οὔπω γὰρ ὄντος τοῦ κληρωθησομένου δήλου, ἀλλ' ἔτι τῆς ἐλπίδος μετεώρου μενούσης, πάντα ἡ ψυχὴ δέδοικε καὶ τρέμει, καὶ οὐδέν ἐστιν ὅπερ οὐ λογίζεται τούτων. Εἰ δὲ λέγοι τις ὅτι καὶ τὰ ἐναντία προσδοκῶσα εὐφραίνεσθαι δύναιτ' ἄν, εὖ ἴστω ὅτι οὐχ οὕτως ἡμᾶς αἱ τῶν ἀγαθῶν ἐλπίδες παραμυθοῦνται, ὡς αἱ τῶν πονηρῶν προσδοκίαι λυποῦσι. Τὰ μὲν γὰρ ἀγαθὰ ὅταν ἐλπισθῇ βεβαίως, τότε μόνον τίκτει τὴν ἡδονήν· τὰ κακὰ δὲ κἂν ὑποπτευθῇ μόνον, εὐθέως συνέχει καὶ συνετάραξε τὴν ψυχήν. Ὥσπερ δὲ ἐπὶ τῶν ἀνθρωπόδων ἡ τῶν ἐσομένων ἀδηλία δεσποτῶν οὐκ ἀφίησιν ἡρεμῆσαι τὴν ἐκείνων ψυχήν, οὕτω καὶ ἐπὶ τῶν παρθένων πάντα τὸν ἀπὸ τῆς μνηστείας καιρὸν χειμαζομένῳ πλοίῳ προσέοικεν αὐτῶν ἡ ψυχὴ, καθ' ἑκάστην ἡμέραν τῶν γονέων τοὺς μὲν ἐγκρινόντων, τοὺς δὲ ἐκβαλλόντων. Τὸν γὰρ νικήσαντα χθὲς τῶν μνηστήρων σήμερον παρευδοκίμησεν ἕτερος, καὶ τοῦτον πάλιν ἐξέβαλεν ἄλλος. Ἔστι δὲ ὅτε καὶ πρὸς αὐταῖς τοῦ γάμου ταῖς θύραις ὁ μὲν προσδοκηθεὶς νυμφίος κεναῖς ἀπῆλθε χερσὶ, τῷ δὲ μὴ ἐλπισθέντι τὴν κόρην παρέδωκαν οἱ γονεῖς. Οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἄνδρες χαλεπὰς ἔχουσι τὰς φροντίδας. Τούτους μὲν γὰρ καὶ πολυπραγμονεῖν ἔνεστι, τὴν δὲ ἔνδον συγκε-

vivis sollicitudinem perpetuo manere oportet, aut morte sola exstingui. Quodsi nec propriis malis sufficimus, quam vitam agemus, aliorum calamitates lugere coacti? Multæ sæpe claris majoribus ortæ, admodum delicate educatæ, viro cuipiam prapotenti elocatæ, repente priusquam iis rebus beentur, periculo aliquo tamquam procella ac turbine ingruenti et ipsæ demersæ naufragii malorum participes fiunt, et quæ innuptæ mille bonis fruebantur, nuptæ in extremam calamitatem decidunt. At non hæc, inquit, omnibus, aut semper evenire solent. Neque vero ab omnibus remota sunt (nam equidem quoque idem repetam), sed cum partim usui venerunt, tum quibus usui non venissent, eos sui metu cruciarunt : cæterum virgo et experimento et metu omni sublimior est.

LVII. [*De molestiis quæ cum omni matrimonio conjunctæ sint.*] Sed enim si placet, his omissis, quæ natura matrimonio tributa sint, neque a quoquam volente nolente vitari possint, in præsentia perlustremus. Quænam ea sunt? Dolores partus, infantes. Imo vero altius orationem repetamus, et quæ matrimonium antecedant, quantum fas est cognoscamus; nam accurate soli experti callent. Adest sponsaliorum tempus; itaque protinus cura anceps atque varia quem virum captura sit, an obscurum, an infamem, an pervicacem, an fallacem et arrogantem, an audacem, an zelotypum, an præparcum, an bardum, an improbum, an durum, an imbellem. Hæc enim omnia nuptas omnes consequi non est necesse, sed vereri omnia ac timere necesse est : quippe cum nondum certum sit quem sit sortitura, sed adhuc spe tamquam e sublimi imminente animus omnia pavet ac formidat, neque horum quidquam est quod non cogitet. Sin dicat aliquis, eam exspectantem contraria lætari etiam posse, sciat non tam nos bonorum spem solari, quam malorum metum angere. Nam bona tum demum cum certo sperantur, voluptatem pariunt; mala, ubi vel suspicio sit, extemplo mentem confundunt ac perturbant. Ut enim mancipia de futuris heris incerta animo quiescere non possunt : ita et virginum mens, ex quo facta sponsio est, fluctuantis navigii similis est, parentibus in dies alios retinentibus, alios exigentibus. Nam heri victorem procum hodie gratia vincit alius, et hunc rursum exturbat alius. Quin aliquando in ipso matrimonii tamquam limine, qui sponsus speretur, vacuis manibus discedit, puella a parentibus insperato cuipiam tradita. Nec feminæ solum, sed etiam viri acerbas curas habent. In hos namque perquirere facile est; illius vero quæ assidue intus conclusa

κλεισμένην διαπαντὸς πῶς ἄν τις περιεργάσαιτο τρόπων ἕνεκεν ἢ μορφῆς; Καὶ ταῦτα μὲν κατὰ τὸν τῆς μνηστείας καιρόν· ὅταν δὲ ὁ τοῦ γάμου παραγένηται, ἐπιδίδωσιν ἡ ἀγωνία, καὶ τῆς ἡδονῆς πλείων ὁ φόβος, μήποτε ἀπ' αὐτῆς τῆς ἑσπέρας ἀηδής τις εἶναι δόξῃ, καὶ τῆς προσδοκίας πολλῷ καταδεεστέρα. Τὴν μὲν γὰρ παρὰ τὴν ἀρχὴν εὐδοκιμήσασαν ὕστερον καταφρονηθῆναι φορητόν· ὅταν δὲ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς φαίνηται προσκορὴς, πότε δυνήσεται θαυμασθῆναι λοιπόν; Καὶ μή μοι τοῦτο εἴπῃς, Τί δὲ, ἂν εὔμορφος οὖσα τύχῃ; Οὐδὲ γὰρ οὕτω ταύτης ἀπήλλακται τῆς φροντίδος. Πολλαὶ γοῦν διαλάμψασαι σφόδρα κατὰ τὴν τοῦ σώματος ὥραν οὐκ ἴσχυσαν τοὺς ἄνδρας ἑαυτῶν ἑλεῖν, ἀλλὰ ἀφέντες αὐτὰς ἐκεῖνοι ταῖς σφόδρα λειπομέναις αὐτῶν ἐξέδωκαν ἑαυτούς. Καὶ ταύτης δὲ τῆς φροντίδος λυθείσης, ἑτέρα πάλιν ἐπεισέρχεται ἀηδία [**] ἐν τῇ τῆς προικὸς καταβολῇ ὅ τε κηδεστὴς οὐ μετὰ προθυμίας ἀποδιδοὺς, ἅτε προῖκα κατατιθεὶς, ὅ τε νυμφίος πάντα μὲν ἀπολαβεῖν σπεύδων, τὴν δὲ εἴσπραξιν μετὰ αἰδοῦς ποιεῖσθαι ἀναγκαζόμενος, ἥ τε γυνὴ ἐν τῇ τῆς ἐκτίσεως ἀναβολῇ αἰσχυνομένη καὶ ἐρυθριῶσα τὸν ἄνδρα παντὸς μᾶλλον ἀγνώμονος ὀφειλέτου, παρίημι νῦν. Ἀλλὰ γὰρ ἐκείνης τῆς φροντίδος λυθείσης, ὁ τῆς ἀπαιδίας εὐθέως ἐπεισέρχεται φόβος, καὶ πρὸς τούτῳ πάλιν ἡ τῆς πολυπαιδίας φροντὶς, καὶ οὐδενὸς ὄντος οὐδέπω φανεροῦ, ταῖς ἀμφοτέρων ἐξ ἀρχῆς ταράττονται φροντίσι. Κἂν μὲν εὐθέως κυήσῃ, μετὰ φόβου πάλιν ἡ χαρά (οὐδὲν γὰρ τῶν ἐν τῷ γάμῳ καλῶν φόβου χωρίς)· ὁ δὲ φόβος, μήποτε γενομένης ἀμβλώσεως διαφθαρῇ μὲν τὸ συλληφθὲν, κινδυνεύσῃ δὲ περὶ τῶν ἐσχάτων ἡ κύουσα. Ἂν δὲ πολὺς μεταξὺ γένηται χρόνος, ἀπαρρησίαστος ἡ γυνὴ, ὥσπερ αὐτὴ κυρία οὖσα τοῦ τεκεῖν. Ὅταν δὲ ὁ τοῦ τόκου καιρὸς ἐπιστῇ, διαπέπτουσι μὲν καὶ διασπῶσι τὴν ἐπὶ τοσούτῳ χρόνῳ πονηθεῖσαν νηδὺν ὠδῖνες, αἳ καὶ μόναι ἱκαναὶ πάντα συσκιάσαι τὰ τοῦ γάμου χρηστά. Θορυβοῦσι δὲ αὐτὴν καὶ ἄλλαι μετὰ τούτων φροντίδες. Ἡ γὰρ ἀθλία καὶ ταλαίπωρος κόρη, καίτοι οὕτω σφοδρῶς ὑπὸ τῶν ἀλγηδόνων ἐκείνων κατατεινομένη, δέδοικε τούτων οὐχ ἧττον, μήποτε λελωβημένον καὶ ἀνάπηρον ἀντὶ ἀρτίου καὶ ὑγιοῦς προέλθῃ, μήποτε ἀντὶ ἄῤῥενος θῆλυ. Καὶ γὰρ αὕτη οὐχ ἧττον αὐτὰς τῶν ὠδίνων ἡ ἀγωνία θορυβεῖ τότε· οὐδὲ γὰρ ἐν οἷς εἰσιν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ὧν τῆς αἰτίας ἀφεῖνται, κἂν τούτοις δεδοίκασι τοὺς ἄνδρας οὐκ ἔλαττον ἢ ἐν ἐκείνοις, καὶ τὴν ἰδίαν ἀσφάλειαν ἀφεῖσαι σκοπεῖν ἐν τοσούτῳ κλύδωνι, μεριμνῶσι μή τι τἀνδρὶ τῶν ἀβουλήτων γένηται. Τοῦ δὲ παιδίου πεσόντος εἰς τὴν γῆν καὶ πρώτην ἀφέντος φωνὴν, ἵπται πάλιν διαδέχονται φροντίδες, αἱ τῆς σωτηρίας, αἱ τῆς ἀνατροφῆς. Κἂν μὲν εὐφυὲς ὂν τύχῃ καὶ πρὸς ἀρετὴν ἐπιτήδειον, πάλιν ἐν φόβοις οἱ τεκόντες μή τι παθὴ δεινὸν τὸ τεχθὲν, μὴ θάνατον ὥρον ὑποστῇ, μὴ μεταβάλῃ πρὸς κακίαν τινά. Οὐδὲ γὰρ ἐκ πονηρῶν χρηστοὶ γίνονται μόνον, ἀλλὰ καὶ ἀπὸ σπουδαίων φαῦλοι.

teneatur, mores atque formam quo pacto exploraveris? Atque haec quidem sponsalium tempore. At ubi jam praesto est matrimonii tempus, crescit sollicitudo, ac voluptate major metus est, ne ex eo ipso vespere ingrata et multo exspectatione deterior videatur. Etenim initio laudatam post contemni, ferendum est; at cum ab ipsis curriculi carceribus, ut ita dicam, fastidio esse videtur, quando deinde suspici poterit? Neque hic mihi illud commemora, Quid vero, si lepida sit? nam ne sic quidem cura haec soluta et libera est. Multae enim corporis venustate admodum conspicuae viros suos capere nequiverunt, sed ii aliis longe inferioribus et quas illae magno post se intervallo relinquerent, addicti ipsas dimiserunt. Jam ea etiam cura expedita, alia rursum succedit molestia (*nam quae molesta sustinent* in dotis pensione et socer haud sane comiter solvens, quippe qui gratis numeret, et sponsus, qui totum nancisci studeat, solutionem tamen cum verecundia exigere coactus, et nova nupta solutionis dilatione pudefacta, coram viro magis quam debitor improbus quisquam erubescens, haec mitto in praesentia). At enim hac soluta cura, continuo sterilitatis metus ingruit; praeterea autem et prolis frequentiae anxietas: neque adhuc horum quoquam explorato, utramque in partem jam inde ab initio turbantur. Quodsi brevi uterum gestet, rursum cum terrore laetitia; nihil est enim matrimonii bonorum vacuum terrore; terror, inquam, ne abortu incidente et quod conceptum est intereat, et gravida in extremum discrimen veniat. Sin multum temporis intersit, uxor hiscere non audet, quasi sit arbitra ipsa pariendi. Partus autem momento impendente alvum tanto jam tempore afflictatam dolores disrumpunt ac divellunt, qui vel soli omnem matrimonii voluptatem offuscent. Quin et aliae deinceps curae eam sollicitant. Etenim misera et aerumnosa puella, etsi vehementissime iis cruciatibus distenta, nihilo his minus formidat, ne pro perfecto et integro vitiosus atque mutilus infans prodeat, ne pro mare femina. Neque enim haec eas sollicitudo levius tum, quam dolores, exercet; quae non modo in quibus noxam committant, sed etiam in quibus absint a culpa, in his non minus quam in illis viros metuant; in eaque tempestate salutis suae studio omisso, ne quid viro accidat ingratum, verentur. Jam edito in auras infante, ac primam vocem effato, aliae rursum curae excipiunt incolumitatis atque educationis. Si indole est liberali et ad virtutem comparata, iterum in metu parentes, ne quid sinistrum patiatur, ne immatura morte obeat, ne in vitium aliquod degeneret; nam non solum ex improbis probi, sed etiam ex probis improbi ac flagitiosi fiunt. Quorum si quid eveniat invisum,

λοι καὶ πονηροί. Κἂν μὲν τούτων τι γένηται τῶν ἀπευκτῶν, ἀφορητοτέραν ἔχει τὴν λύπην, ἢ εἰ παρὰ τὴν ἀρχὴν ταῦτα συνέπεσεν· ἂν δὲ ἅπαντα μένῃ τὰ χρηστὰ βέβαια, ὁ γοῦν ἀπὸ τῆς μεταβολῆς ἀεὶ πάρεστιν αὐτοῖς φόβος, κατασείων τὴν ψυχὴν τῶν τεκόντων, καὶ πολὺ τῆς ἡδονῆς ὑποτεμνόμενος μέρος. Ἀλλ' οὐ πᾶσι τοῖς γεγαμηκόσι καὶ παῖδας ἔχειν συμβαίνει. Οὐκοῦν ἑτέραν μοι λέγεις πάλιν ἀθυμίας ὑπόθεσιν. Ὅταν οὖν καὶ παίδων ὄντων καὶ οὐκ ὄντων, καὶ χρηστῶν γενομένων καὶ πονηρῶν, διαφόροις συνέχωνται λύπαις καὶ φροντίσι, πόθεν λοιπὸν ἡδίστην καλέσομεν τὴν ἐν τῷ γάμῳ ζωήν; Πάλιν, ἂν μὲν ὁμονοοῦντες οἱ συνοικοῦντες διατελῶσι, φόβος μὴ θάνατος ἐμπεσὼν διακόψῃ τὴν ἡδονήν· μᾶλλον δὲ οὐκέτι φόβος τοῦτο μόνον, οὐδὲ μέχρι προσδοκίας τὸ δεινόν, ἀλλὰ καὶ εἰς ἔργον αὐτὸ προελθεῖν πάντως ἀνάγκη. Οὐδεὶς γὰρ ἔσχεν ἐπιδεῖξαί ποτε ἐν ἡμέρᾳ μιᾷ ἀμφοτέρους τελευτήσαντας· τούτου δὲ οὐκ ὄντος, τὸν λειπόμενον ἀνάγκη πολὺ τοῦ θανάτου χαλεπωτέραν ὑπομένειν ζωήν, ἄν τε πολὺν τύχῃ συνωκηκὼς χρόνον, ἄν τε ὀλίγον. Ἐκεῖνος μὲν γὰρ ὅσῳ πλείονα τὴν πεῖραν ἔλαβε, τοσούτῳ μείζονα ἔχει τὴν ὀδύνην, τῆς πολλῆς συνηθείας ἀφόρητον ποιούσης τὸν χωρισμόν· ὁ δὲ πρὶν ἢ γεύσασθαι καὶ ἐμπλησθῆναι τῆς φιλίας, ἀκμαζούσης ἔτι τῆς ἐπιθυμίας, αὐτὴν ἀφαιρεθείς, αὐτὸ τοῦτο μᾶλλον ἐκείνου πενθεῖ, καὶ ἐξ ὑποθέσεων ἐναντίων ἴσοις ἀμφότεροι συνέχονται τοῖς λυπηροῖς. Τί δὲ χρὴ λέγειν τοὺς ἐν τῷ μεταξὺ γινομένους χωρισμούς, τὰς μακρὰς ἀποδημίας, τὰς συνεζευγμένας αὐτοῖς ἀγωνίας, τὰς νόσους; Καὶ τί τοῦτο πρὸς τὸν γάμον; φησί. Μάλιστα μὲν καὶ ἀπὸ τῆς αἰτίας τῆς τούτου πολλαὶ πολλάκις ἠρρώστησαν. Καὶ γὰρ ὑβρισθεῖσαι καὶ ὀργισθεῖσαι τοτὲ μὲν ὑπὸ τοῦ θυμοῦ, τοτὲ δὲ ὑπὸ τῆς ἀθυμίας πολλοὺς ἔτικον πυρετούς. Ἐὰν δὲ καὶ παρόντος μηδὲν πάθωσι τοιοῦτον, ἀλλὰ προσηνοῦς ἀπολαύσωσι διαπαντὸς, ὑπὸ τῆς ἀποδημίας εἰς ταῦτα πάλιν περίστανται τὰ κακά. Πλὴν ἀλλὰ ταῦτα πάντα παρείσθω, καὶ μηδὲν ἐγκαλῶμεν τῷ γάμῳ· ἀλλ' οὐχὶ μετὰ τούτων κἀκείνης αὐτὸν ἀπαλλάξαι δυνησόμεθα τῆς αἰτίας. Ποίας δὴ ταύτης; Ὅτι τὸν ὑγιαίνοντα οὐδὲν ἀφίησιν ἄμεινον τοῦ κάμνοντος διακεῖσθαι, ἀλλ' εἰς τὴν αὐτὴν τῷ κειμένῳ καθίστησιν ἀθυμίαν.

Βούλει καὶ ταῦτα πάντα ἐκβαλόντες θῶμεν τῷ λόγῳ τὰ ἀδύνατα, καὶ συγχωρήσωμεν γενέσθαι γάμον πάντα ὁμοῦ ἔχοντα τὰ ἀγαθὰ, πολυπαιδίαν, εὐπαιδίαν, πλοῦτον, γυναικὸς σωφροσύνην, κάλλος, σύνεσιν, ὁμόνοιαν, γῆρας μακρόν; προσέστω καὶ γένους περιφάνεια, καὶ δυναστείας μέγεθος, καὶ μηδὲ τὸ κοινὸν τοῦτο τῆς φύσεως ὀχλείτω πάθος, ὁ φόβος τῆς τούτων μεταβολῆς, ἀλλ' ἐξωρίσθω πᾶσα μὲν ἀθυμίας ὑπόθεσις, πᾶσα δὲ φροντίδος καὶ μερίμνης ἀφορμὴ, καὶ μήτε ἄλλη τις αἰτία, μήτε θάνατος ἄωρος διαζευγνύτω τὸν γάμον, ἀλλὰ καὶ τοῦτον ἐν μιᾷ πάντες διεξέσθωσαν ἡμέρᾳ, ἢ, ὃ πολλῷ τούτων μακαριώτερον εἶναι δοκεῖ, μενέ-

intolerabilius malum est, quam si hæc ab initio contigissent: sin omnia in eo præclara stabilia maneant, at mutationis timor assidue præsto est, parentum animos versans magnamque voluptatis partem detruncans. At non omnibus maritis contingit liberos habere. Itaque mihi aliam rursum inquietudinis causam narras. Quare si et susceptis liberis ac non susceptis, et probis ac flagitiosis, variis doloribus atque curis continentur, unde jam porro suavissimam conjugum vitam vocabimus? Jam si conjugati concordes vitam exigant, formido erit ne irruens mors voluptatem dirimpet; imo vero non formido erit, neque id malum metuendum dumtaxat fuerit, sed omnino necessitas erit aliquando in actum prodire; nemo enim potuit utrumque uno die exstinctum ostendere. Quod si non contingat, eum qui superest, necessitas erit vel morte acerbiorem vitam sustinere, seu diu cum ea consuevit, seu parum. Nam ille quo magis periculum fecit, eo majorem habet dolorem, longa consuetudine intolerabile dissidium reddente: hic priusquam amorem gustaverit ac expleverit, fervente adhuc desiderio ea spoliatus, id ipsum vehementius luget; atque ex contrariis causis eadem uterque miseria tenetur. Quid jam dicam, quæ interim incidunt, separationes, diuturnas peregrinationes, angores iis conjunctos, morbos? Quid hoc ad matrimonium? inquit. Certe multæ sæpe ejus opera ægritudinem contraxerunt: injuria enim affectæ et irritatæ partim ira, partim mœrore, gravem febrim sibi pepererunt. Ac quamvis eo præsente nihil ejusmodi patiantur, sed facili perpetuo utantur, peregrinationibus in ea mala rursum coguntur. Sed hæc omnia missa faciamus, nec matrimonium culpemus: at non hoc æque crimen effugere possit. Quodnam? Quod sanum ægro nihilo melius affectum dimittat, sed ad parem decumbenti inquietudinem compellat.

LVIII. [*Matrimonium licet omnes miserias effugiat, nihil magnum habere.*] Visne hæc etiam cuncta dimittamus, ac quæ fieri nequeant supponamus, et matrimonium demus omnia simul bona complexum, prolem numerosam, scitos liberos, opes, matrem familias frugi, formosam, strenuam, consensionem, longævam senectutem? addo et generis claritatem, et potentiæ magnitudinem: nec vel commune hoc naturæ malum eos solliciteat, harum rerum conversionis formido, sed omnis mœroris, omnis metus ac curarum causa proscripta sit, neque aut alia ulla vis, aut mors immatura matrimonium dirimat, sed eam quoque omnes eodem die obeant, aut quod eo longe fortunatius

τεσσαν μὲν οἱ παῖδες κληρονόμοι, τοὺς δὲ γονεῖς ἀμφοτέρους ὁμοῦ προπεμπόντων μετὰ γῆρας μακρόν· καὶ τί τὸ πέρας; ποῖον τὸ κέρδος ἐκ ταύτης τῆς πολλῆς ἡδονῆς ἔχοντες ἀπελεύσονται ἐκεῖ; Τὸ γὰρ πολλοὺς παῖδας καταλιπεῖν καὶ καλῆς ἀπολαῦσαι γυναικὸς μετὰ τρυφῆς καὶ τῶν ἄλλων ἁπάντων ὧν ἄρτι διῆλθον, καὶ εἰς γῆρας ἐλάσαι μακρὸν, τί πρὸς τὸ δικαστήριον ἡμᾶς ὠφελῆσαι δυνήσεται ἐκεῖνο ἐν τοῖς αἰωνίοις πράγμασι καὶ ἀληθινοῖς; Οὐδέν. Οὐκοῦν σκιὰ ταῦτα καὶ ὄναρ. Ὅταν γὰρ ἐν τοῖς ἐκεῖ διαδεξομένοις ἡμᾶς αἰῶσι καὶ πέρας οὐκ ἔχουσι μηδὲν ἀπὸ τούτων δυνηθῶμεν κερδᾶναι, μήτε παραμυθίας ἀπολαῦσαί τινος, ἐν ἴσῳ τοῖς οὐ μετασχοῦσι τὸν μετασχόντα θετέον. Οὐδὲ γὰρ εἴ τις ἐν χιλίοις ἔτεσι μίαν νύκτα μόνην εἶδεν ὄναρ χρηστὸν, πλέον τι τοῦτον ἔχειν φήσομεν τοῦ μὴ ταύτης ἀπολελαυκότος τῆς ὄψεως. Καίτοι γε οὐδὲ ὅσον ἐβουλόμην εἶπον. Οὐδὲ γὰρ ὅσον τὰ ὀνείρατα ἀπολείπεται τῆς ἀληθείας, τοσοῦτον τὰ ἐνταῦθα ἀφέστηκε τῶν ἐκεῖ, ἀλλ' ἔτι μᾶλλον· οὐδ' ὅπερ ἐστὶν ἐν ἔτεσι χιλίοις μία νὺξ, τοσοῦτον ὁ παρὼν αἰὼν πρὸς τὸν μέλλοντα, ἀλλὰ κἂν τούτῳ πολλῷ πλέον πάλιν τὸ μέσον. Ἀλλ' οὐ τὰ τῆς παρθένου τοιαῦτα, ἀλλὰ πολλὴν ἄπεισιν ἐντεῦθεν ἔχουσα τὴν ἐμπορίαν· μᾶλλον δὲ τὸν λόγον ἄνωθεν ἐξετάσωμεν.

Οὐκ ἀναγκάζεται πολυπραγμονεῖν τὸν νυμφίον, οὐδὲ μή τινα ἀπάτην ὑπομείνῃ δέδοικεν· Θεὸς γάρ ἐστιν, οὐκ ἄνθρωπος, δεσπότης, οὐχ ὁμόδουλος. Καὶ τῶν μὲν νυμφίων τὸ μέσον τοσοῦτον· σκόπει δὲ καὶ ἐπὶ τίσιν ἐμμένουσι. Οὐ γὰρ ἀνδράποδα, οὐδὲ γῆς πλέθρα, οὐδὲ τόσα καὶ τόσα χρυσίου τάλαντα, ἀλλ' οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς ἀγαθὰ τὰ ἕδνα ταύτης τῆς νύμφης ἐστί. Πρὸς τούτοις ἡ μὲν γεγαμηκυῖα φρίττει τὸν θάνατον τῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι τοῦ συνοικοῦντος αὐτὴν διαζεύγνυσιν· ἡ δὲ παρθένος καὶ ποθεῖ τὴν τελευτὴν, καὶ βαρύνεται τῇ ζωῇ, σπεύδουσα τὸν νυμφίον ἰδεῖν πρόσωπον πρὸς πρόσωπον, καὶ τῆς δόξης ἀπολαῦσαι ἐκείνης.

Οὔτε δὲ τὸ πενίᾳ συζῆν καθάπερ ἐπὶ τοῦ γάμου παραβλάψαι δύναιτ' ἂν αὐτὴν, ἀλλὰ καὶ μᾶλλον ποθεινοτέραν τῷ νυμφίῳ τὴν ἐκοῦσαν τοῦτο ὑπομένουσαν ποιεῖ, οὔτε τὸ ἐκ ταπεινῶν γεγονέναι, οὔτε τὸ μὴ διαλάμπειν τὴν τοῦ σώματος ὥραν, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. Καὶ τί λέγω ταῦτα; κἂν γὰρ μηδὲ ἐλευθέρα οὖσα τύχῃ, οὐδὲ τοῦτο αὐτῆς λυμαίνεται τὴν μνηστείαν, ἀλλ' ἀρκεῖ ψυχὴν ἐπιδείξασθαι καλὴν, καὶ τῶν πρωτείων τυχεῖν. Οὐκ ἔστιν ἐκεῖ φοβηθῆναι ζηλοτυπίαν, οὐκ ἔστιν ἀλγῆσαι διαφθονουμένην ἑτέρᾳ γυναικὶ ὡς λαμπροτέρῳ συνεζευγμένη ἀνδρί· οὐ γάρ ἐστιν ὅμοιος αὐτῷ οὐδὲ ἴσος οὐδείς, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς· ἐν δὲ τῷ γάμῳ κἂν τῶν σφόδρα πλουτούντων καὶ μεγάλα δυναμένων ἔχῃ τις ἄνδρα, ἀλλ' ὅμως δύναιτ' ἂν ἑτέραν εὑρεῖν πολλῷ μείζονα ἔχουσαν. Οὐχ ὡς ἔτυχε δὲ ἐλαττοῖ τὴν ἐκ τῆς τῶν ἡττόνων ὑπεροχῆς ἡδονὴν ἡ τῶν μειζόνων ὑπερβολή. Ἀλλ' ἡ πολλὴ τρυφὴ τῶν χρυσίων καὶ τῶν ἱματίων καὶ τῆς τραπέζης

videtur, liberi hæredes supersint, parentem utrumque in extrema senectute simul efferant : quem tandem finem consequentur, et quo demum ex hac tanta voluptate accepto emolumento, illuc discedent? Nam multos liberos reliquisse, uxorem venustam cum deliciis cæterisque omnibus quæ jam percensui tractasse, ad senectam longam evasisse, quid nobis ad tribunal illud præsidii afferre possit, in veris æternisque rebus? Nihil. Itaque umbra sunt hæc, atque somnium; quippe cum in perennibus illis sæculis, quæ tum nos excipient, nihil ex his fructus, nihil solatii sperandum sit; qui his potitus est, eodem loco est habendus quo expertes. Neque enim si quis in mille annis noctem unam suave somnium vidit, plus quiddam habere dicendus est, quam qui ejus visi expers fuerit. Imo vero nec quantum volebam loquutus sum. Nam nec quantum veris distant somnia, tantum hæc ab illis absunt, sed multo amplius : nec quod in mille annis una nox est, tantumdem hoc ad futurum sæculum est, sed hic rursum etiam plus interest discriminis. At virginitas non est ejusmodi; quin facto grandi quæstu hinc discedit virgo. Sed rem omnem a capite disquiramus.

LIX. [*Virginitatem facilem esse.*] Non necesse habet in sponsum inquirere, nec fucum timet : Deus est enim, non homo, Dominus, non conservus. Ac sponsorum hoc discrimen est : vide autem et quibus rebus constitutis desponderantur. Non mancipia, non terræ jugera, non tot ac totidem auri talenta, sed cæli et cælestia bona, sponsæ hujus dotalia sunt. Præterea conjux mortem trepidat, cum propter alia, tum quod se a contubernali disjungat : virgo etiam desiderat mortem, et vita gravatur, sponsum præsens præsentem intueri, eaque gloria frui properans.

LX. [*Virginitatem nullius egere quod in nobis positum non sit.*] Nec vero ei, ut in matrimonio, in inopia degere quidquam fraudi esse potest; quin potius quod ultro sustineat, sponso id eam reddit cariorem : nec sordide natam esse, nec corporis venustate non excellere, neque aliud quidquam simile. Et quid hæc commemoro? Nam etsi nec libera sit, ne id quidem ejus sponsalibus derogat, sed sufficit animum pulchrum præstare, ut vel primas consequatur. Non hic zelotypia timenda est, non alterius feminæ, ut clariori viro conjugatæ, invidia dolendum : neque enim ei quispiam similis atque par est, nec vero parvo intervallo proximus. At in matrimonio quantumvis prædivitem et præpotentem virum mulier nacta sit, aliam tamen reperiet multo majori nuptam. Non parum autem conceptam ex minorum præstantia voluptatem majorum præcellentia minuit. Verum ingens auri, vestium, mensæ,

καὶ τῆς ἄλλης ἀδείας ἱκανὴ διελκύσαι ψυχὴν καὶ ἐφελκύσασθαι; Καὶ πόσαι τούτων ἀπολαύουσι γυναῖκες; τὸ γὰρ πλεῖστον τῶν ἀνθρώπων μέρος πενίᾳ συζῇ καὶ ταλαιπωρίαις καὶ κόποις. Εἰ δέ τινες εἶεν αἱ τούτων μετέχουσαι, σφόδρα μὲν ὀλίγαι καὶ εὐαρίθμητοι, καὶ αὗται δὲ παρὰ τὸ τῷ Θεῷ δοκοῦν· οὐδενὶ γὰρ ἐφεῖται ἐν τούτοις τρυφᾶν, ὡς καὶ ἀπεδείξαμεν ἐν τοῖς πρόσθεν λόγοις.

Πλὴν ἀλλὰ θῶμεν πάλιν τῷ λόγῳ καὶ ταύτην συγχωρῆσθαι τὴν τρυφήν, καὶ μήτε τὸν προφήτην μήτε τὸν Παῦλον ἀπεχθάνεσθαι πρὸς τὰς χλιδώσας τῶν γυναικῶν· τί τὸ ὄφελος τῶν πολλῶν χρυσίων; Ἕτερον μὲν οὐδέν, βασκανία δὲ καὶ φροντὶς καὶ φόβος οὐχ ὁ τυχών. Οὐ γὰρ μόνον ὅταν εἰς τὸ κιβώτιον αὐτὰ ἀπόθωνται, οὐδὲ νυκτὸς καταλαβούσης μόνον ταράττονται ταῖς φροντίσιν, ἀλλὰ καὶ ὅταν αὐτὰ περικέωνται, καὶ ὅταν ἡμέρα ᾖ, τὴν αὐτὴν ὑπομένουσι μέριμναν, μᾶλλον δὲ καὶ χαλεπωτέραν. Καὶ γὰρ ἐν βαλανείοις καὶ ἐκκλησίαις παραγίνονται αἱ τὰ τοιαῦτα κακουργοῦσαι γυναῖκες· κἀκείνων δὲ πολλάκις χωρὶς ὑπὸ τοῦ πλήθους ὠθούμεναι καὶ πιεζόμεναι αἱ χρυσοφοροῦσαι οὐδὲ αἰσθάνονται ἐκπεσόντος αὐταῖς τῶν χρυσίων τινός. Οὕτω γοῦν πολλαὶ οὐ ταῦτα μόνον, ἀλλὰ πολλῷ τούτων ἔτι τιμιώτερα περιδέραια ἀπὸ τιμίων συγκείμενα λίθων διασπασθέντα καὶ ἐκπεσόντα ἀπώλεσαν.

Πλὴν ἀλλὰ μηδὲ οὗτος ἔστω ὁ φόβος, ἀλλὰ καὶ αὕτη ἐξῃρήσθω ἡ φροντίς· τί τὸ ὄφελος; Εἶδε, φησὶν, ἕτερος, καὶ ἐθαύμασεν. Ἀλλὰ οὐ τὴν περικειμένην, ἀλλὰ τὰ περικείμενα, ἐκείνην δὲ διὰ ταῦτα καὶ ἐκάκισε πολλάκις, ὡς παρὰ τὴν ἀξίαν κοσμουμένην αὐτοῖς. Ἂν μὲν γὰρ εὔμορφος ᾖ, λυμαίνεται τῷ κάλλει τῆς φύσεως· ὁ πολὺς γὰρ κόσμος ἐκεῖνος οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι γυμνὸν, τὸ πλεῖστον αὐτοῦ μέρος ἀφαιρούμενος· ἐὰν δὲ ἄμορφος ᾖ καὶ δυσειδὴς, ἀτερπεστέραν ἀπέδειξεν οὕτω μᾶλλον αὐτήν. Ἡ γὰρ ἀμορφία πανταχοῦ καθ' ἑαυτὴν μὲν φαινομένη ὅσον ἐστὶ φαίνεται μόνον· ὅταν δὲ αὐτῇ παραβάλληται λίθων λαμπρότης ἢ καὶ ἑτέρας τινὸς ὕλης κάλλος, ἐπιτείνεται εἰς δυσειδείαν μειζόνως. Τό τε γὰρ τοῦ σώματος μέλαν πολλῷ μελάντερον δείκνυσιν ἐπικείμενον τοῦ μαργαρίτου τὸ φῶς καὶ ὥσπερ ἐν σκότῳ στίλβον, τό τε τοῦ προσώπου δυσδιάπλαστον τὰ τῶν ἱματίων ἄνθη πολὺ κάκιον ἀποφαίνει, οὐκ ἀφιέντα καθ' ἑαυτὸν ἀγωνίζεσθαι τὸν τῆς ὄψεως τύπον παρὰ τοῖς θεαταῖς, ἀλλὰ πρὸς τὸ χειροποίητον ἐκεῖνο καὶ ἀμήχανον κάλλος, ὅθεν μείζων ἡ ἧττα γίνεται. Ὁ γὰρ διεσπαρμένος ἐν τοῖς ἱματίοις χρυσὸς, καὶ ἡ πολλὴ τῶν τὰ τοιαῦτα ἐργαζομένων ποικιλία, καὶ ὁ λοιπὸς κόσμος ἅπας, καθάπερ τις ἀθλητὴς γενναῖος εὐεκτῶν καὶ σφριγῶν ψωραλέον τινὰ καὶ αἰσχρὸν καὶ λιμώττοντα παρωσάμενος ἀνταγωνιστὴν, οὕτω τὴν τοῦ προσώπου δόξαν τῆς περικειμένης καταβαλὼν πρὸς ἑαυτὸν ἐπισπᾶται τοὺς θεατὰς, ἐκείνην μὲν καταγελᾶσθαι μειζόνως, αὐτὸν δὲ μεθ' ὑπερβολῆς θαυμάζεσθαι παρασκευάζων.

aliarumque rerum copiæ luxus animum inescabit et alliciet? Et quot mulieres his potiuntur? quandoquidem major hominum pars in inopia, ærumnis ac laboribus degit. Quodsi aliquæ iis potiuntur, admodum sunt paucæ, et quas facile sit numerare, earque ipsæ præter Dei sententiam faciunt; nulli enim fas est in his deliciari, quemadmodum jam superius ostendimus.

LI. [*Aurum gerere metus quam voluptatis plus habere.*] Sed age disputandi iterum causa et has delicias concessas ponamus, neque aut prophetam aut Paulum luxuriosas mulieres odisse: quorsum tantam auri vim? Nempe nihil nisi invidia est, cura et metus haud vulgaris. Nam et eo in capsulam conjecto ac nocte ingruente curis anguntur, et eo indutæ atque interdiu æque, imo etiam magis, sollicitantur. Etenim et in balneis et in templis præsto sunt feminæ quædam compilent: ac citra eas quoque aurigeræ a turba pressæ et impulsæ ne sentiunt quidem auri sibi aliquid elapsum. Ita multæ non hæc solum, sed multo etiam pretiosiora monilia, et rarissimis gemmis adornata, avulsa aut delapsa perdiderunt.

LXII. [*Aurea ornamenta et formæ nocere, et augere deformitatem.*] Age vero neque hic metus esto, sed hæc etiam cura exempta sit: quid refert? Vidit quispiam, inquit, ac miratus est. At non ornatam, sed ornamenta, illam autem sæpe vel ob ea criminatus est, quasi præter dignitatem iis ornatam. Nam si formosa sit, naturæ pulchritudinem perdit: siquidem ingens ille mundus eam nudam apparere non permittit, magnam ejus partem auferens: sin tetra ac deformis, eo vel turpiorem se exhibet. Deformitas enim ubique sola apparens, quantacumque est, apparet tantum: quodsi gemmarum splendor, aut alterius cujusquam materiæ pulchritudo admoveatur, fœditatis plus etiam contrahit. Nam et corporis atrorem multo atriorem imminens margaritæ lumen et tamquam in tenebris micans repræsentat, et oris pravitatem vestium diversi colores longe tetriorem demonstrant, qui vultus formam a spectatoribus seorsim censeri non sinant, sed cum illo arte quæsito eximioque decore collatam: unde fit ut magis superari videatur. Aurum enim passim vestibus inspersum, atque varii operis diversitas omnisque reliquus ornatus est quasi quidam pugil bono habitu ac robustus, qui scabrum quemdam et turpem ac strigosum adversarium repulerit: ad eumdem modum ornatus ille, vultus splendore erepto atque detracto, omnium in se oculis conversis, illam magis ridiculam, se in primis suspiciendum præbet.

Ἀλλ' οὐχ ὁ τῆς παρθενίας κόσμος τοιοῦτος. Οὐ γὰρ λυμαίνεται τῇ περικειμένῃ, ἐπειδὴ μηδ' ἐστὶ σωματικὸς, ἀλλὰ τῆς ψυχῆς ὅλος· καὶ διὰ τοῦτο, ἄν τε δυσειδὴς ᾖ, μετέβαλε τὴν δυσείδειαν εὐθέως κάλλος περιθεὶς ἀμήχανον, ἄν τε ὡραία καὶ φαιδρὰ, λαμπροτέραν εἰργάσατο. Οὐ γὰρ λίθοι καὶ χρυσὸς, οὐδὲ ἱματίων πολυτέλεια, οὐδὲ χρωμάτων ἄνθη διάφορα, οὐδὲ ἄλλο τοιοῦτον οὐδὲν τῶν φθαρτῶν ἐκείνων κοσμεῖ τὰς ψυχὰς, ἀλλ' ἀντὶ τούτων νηστεῖαι, παννυχίδες ἱεραὶ, πραότης, ἐπιείκειαι, πενία, ἀνδρεία, ταπεινοφροσύνη, καρτερία, πάντων ἁπλῶς τῶν ἐν τῷ παρόντι βίῳ πραγμάτων ὑπεροψία. Καὶ γὰρ ὀφθαλμὸς αὐτῇ οὕτω μὲν καλὸς καὶ εὐπρεπὴς, ὡς ἀντὶ ἀνθρώπων τὰς ἀσωμάτους δυνάμεις καὶ τὸν τούτων Δεσπότην ἔχειν ἐραστήν· οὕτω δὲ καθαρὸς καὶ διειδὴς, ὡς ἀντὶ τῶν σωματικῶν τὰ ἀσώματα κάλλη δύνασθαι καθορᾶν· οὕτω δὲ ἥμερος καὶ γαληνὸς, ὡς μηδὲ πρὸς τοὺς ἀδικοῦντας καὶ συνεχῶς λυποῦντας ἀγριαίνειν καὶ διανίστασθαι, ἀλλὰ καὶ πρὸς τούτους ἡδὺ καὶ μειλίχιον ἐνορᾶν. Κοσμιότης δὲ αὐτῇ τοσαύτη περίκειται, ὡς καὶ τοὺς ἀχολάστους αἰσχύνεσθαι καὶ ἐρυθριᾶν καὶ τῆς οἰκείας ἐνδιδόναι μανίας, ὅταν πρὸς αὐτὴν ἴδωσιν ἀκριβῶς. Ὥσπερ δὲ γυναικὶ κοσμίᾳ τὴν διακονουμένην θεράπαιναν καὶ αὐτὴν εἶναι τοιαύτην ἀνάγκη, κἂν μὴ βούληται· οὕτω καὶ τὴν σάρκα τῆς οὕτω φιλοσοφούσης ψυχῆς πρὸς τὰ ἐκείνης κινήματα καὶ τὰς οἰκείας ἀνάγκη ῥυθμίζειν ὁρμάς. Καὶ γὰρ ὀφθαλμὸς, καὶ γλῶττα, καὶ σχῆμα, καὶ βάδισις, καὶ πάντα ἁπλῶς πρὸς τὴν ἔνδον εὐταξίαν χαρακτηρίζεται· καὶ καθάπερ μύρον βαρύτιμον, κἂν εἰς ἄγγος ἀπακέηται, τὸν ἀέρα τῆς οἰκείας ἀναχρῶσαν εὐωδίας, οὐ τοὺς ἔνδον καὶ πλησίον ἑστῶτας μόνον, ἀλλὰ καὶ τοὺς ἔξω πάντας ἐμπίπλησι τῆς ἡδονῆς· οὕτω καὶ ἡ τῆς παρθενικῆς ψυχῆς εὐωδία ταῖς αἰσθήσεσι περιῤῥέουσα ἐνδείκνυται τὴν ἔνδον ἀπακειμένην ἀρετὴν, καὶ τὰς χρυσᾶς τῆς εὐκοσμίας ἐπιβάλλουσα πᾶσιν ἡνίας, ἐν πολλῇ τῶν ἵππων ἕκαστον εὐρυθμίᾳ διατηρεῖ, καὶ οὔτε τὴν γλῶτταν ἀφῆσαι ἀπηχές τι καὶ ἀνάρμοστον φθέγξασθαι, οὔτε τὸν ὀφθαλμὸν (μόνον) ἀναισχύντως καὶ ὑπόπτως ἐνιδεῖν, οὔτε τὴν ἀκοὴν δέξασθαί τι τῶν οὐ προσηκόντων μελῶν. Καὶ ποδῶν δὲ αὐτῇ μέλει, ὥστε μὴ ἄτακτα βαδίζειν καὶ διατεθρυμμένα, ἀλλ' ἁπλαστόν τινα καὶ ἀνεπιτήδευτον ἔχειν τὴν βάδισιν· καὶ τὸν ἀπὸ τῶν ἱματίων δὲ καλλωπισμὸν περικόψασα καὶ τῷ προσώπῳ παραινεῖ συνεχῶς μὴ διαχεῖσθαι τῷ γέλωτι, ἀλλὰ μηδὲ ῥῆμα μειδιᾶν, ἀλλ' ἐπισκύνιον αἰδέσιμον ἀεὶ καὶ αὐστηρὸν ἐπιδείκνυσθαι, καὶ πρὸς δάκρυα παρεσκευάσθαι διαπαντὸς, πρὸς γέλωτα δὲ μηδέποτε.

Ὅταν δὲ δακρύων ἀκούσῃς, μηδὲν ὑποπτεύσῃς σκυθρωπόν· τοσαύτην γὰρ ἔχει τὰ δάκρυα ἐκεῖνα τὴν ἡδονὴν, ὅσην οὐδὲ ὁ γέλως τοῦ κόσμου τούτου. Εἰ δὲ ἀπιστεῖς, ἄκουσον τοῦ Λουκᾶ λέγοντος, ὅτι μαστιχθέντες οἱ ἀπόστολοι ἀνεχώρουν ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες· καίτοι γε οὐ τοιαύτη τῶν μαστίγων

LXIII. [*Quis virginitatis mundus, quæ pulchritudo.*] At non ejusmodi est virginitatis ornatus, neque indutam defraudat : qui nec corporalis sit, sed animi totus. Itaque seu deformis sit, protinus deformitatem mutat, adhibito incomparabili ornatu : seu venusta et nitida, illustriorem reddit. Siquidem non gemmæ et aurum, non vestium luxus, non colorum flores varii, non alia id genus res caduca, animos ornat, sed eorum loco jejunia, sancta pervigilia, comitas, modestia, paupertas, fortitudo, humilitas, tolerantia, omnium plane vitæ hujus rerum despectus. Nam et oculus ei tam pulcher atque decorus est, ut pro hominibus incorporeas Virtutes, earumque Dominum habeat amatorem : tam purgatus ac perspicax, ut pro corporea incorpoream pulchritudinem videre possit : tam suavis ac serenus, ut nec adversum assidue lacessentes ac moletos efferetur et insurgat, sed eos etiam blande atque comiter inspectet. Jam vero ea huic est modestia, ut vel impudici quique, si in eam accurate intueantur, pudefiant et erubescant ac furorem suum remittant. Ac velut ancilla honestæ matrifamilias serviens, ipsa quoque velit nolit ejusmodi sit oportet : ita et corpus animæ tam philosophæ ad ejus nutum omnes motus suos dirigat oportet. Nam et oculus, et lingua, et habitus, et ingressus, et omnino omnia ad internam disciplinam conformanter, quasique unguentum pretiosum, quantumvis in vas inclusum, aere fragrantia sua tamquam delibuto, non intraneos solum et proximos, sed extraneos etiam omnes voluptate replet : ita et virginis animæ fragrantia sensus circumfluens intus positam virtutem ostendit, et aureis modestiæ frenis omnibus injectis equos singulos in summa concinnitate tuetur : neque aut linguam sinit absonum aliquid et incompositum effari, aut oculum modo impudenter ac suspiciose spectare, aut aures indecens aliquod carmen admittere. Quin et pedum ei cura est, ne dissolutus atque mollis, sed simplex et inaffectatus sit incessus ; omnique vestium ornatu abjecto, vultum quoque assidue monet, ne risu diffluat : imo ut nec leviter rideat, sed grave semper et austerum supercilium repræsentet, ad lacrimas perpetuo parata, ad risum numquam.

LXIV. [*Quæ propter Christum patimur, ea, licet tristia sint, voluptatem habere.*] Atque hic cum lacrimas audis, nihil tetricum finge : habent enim eæ lacrimæ tantam voluptatem, quantam nec hujus mundi risus. Sin diffidis, audi dicentem Lucam (*Act.* 5. 40), verberatos apostolos lætos ex concilio discessisse. At non ea est verberum na-

ἡ φύσις· οὐ γὰρ ἡδονὴν καὶ χαρὰν, ἀλλ' ὀδύνην καὶ πόνον ἐργάζεσθαι εἴωθεν. Ἀλλ' ἡ μὲν τῶν μαστίγων φύσις οὐ τοιαύτη, ἡ δὲ εἰς τὸν Χριστὸν πίστις τοιαύτη, ὡς καὶ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων κρατεῖν. Εἰ δὲ μάστιγες ἡδονὴν εἶτεκον διὰ τὸν Χριστὸν, τί θαυμαστὸν εἰ καὶ τὰ δάκρυα τὸ αὐτὸ ἐργάζεται διὰ τὸν αὐτόν; Διὰ τοῦτο ἣν στενὴν καὶ τεθλιμμένην ἐκάλεσεν ὁδὸν, ταύτην πάλιν καλεῖ καὶ ζυγὸν χρηστὸν καὶ φορτίον ἐλαφρόν. Τῇ μὲν γὰρ φύσει τὸ πρᾶγμα τοιοῦτόν ἐστι, τῇ δὲ τῶν κατορθούντων προαιρέσει καὶ ταῖς ἐλπίσι ταῖς χρησταῖς σφόδρα γίνεται κοῦφον. Διὸ τῆς εὐρυχώρου καὶ πλατείας τὴν στενὴν καὶ τεθλιμμένην μετὰ πλείονος ἄν τις ἴδοι προθυμίας δδεύοντας τοὺς ἑλομένους αὐτὴν, οὐ διὰ τὸ μὴ θλίβεσθαι, ἀλλὰ διὰ τὸ τῶν θλίψεων ἀνωτέρους εἶναι, καὶ μηδὲν πάσχειν ὑπ' αὐτῶν, οἷον καὶ τοὺς ἄλλους εἰκός. Ἔχει μὲν γὰρ θλίψεις καὶ οὗτος ὁ βίος, ἀλλ' ὅταν αὐτὰς πρὸς τὰς τοῦ γάμου παραβάλωμεν, οὐδὲ θλίψεις χρὴ καλεῖν.

Τί γάρ, εἰπέ μοι, παρὰ πάντα τὸν βίον ἡ παρθένος ὑπομένει τοιοῦτον, οἷον καθ' ἕκαστον ὡς εἰπεῖν ἐνιαυτὸν ἡ γεγαμημένη, ὠδῖσι καὶ οἰμωγαῖς διακοπτομένη; Τοσαύτη γὰρ τῆς ἀλγηδόνος ταύτης ἡ τυραννὶς, ὡς καὶ τὴν θείαν Γραφὴν, ἡνίκα ἂν αἰχμαλωσίαν καὶ λιμὸν καὶ λοιμὸν καὶ τὰ ἀφόρητα τῶν κακῶν ἐνίττεσθαι βούληται, ὠδῖνας πάντα τὰ τοιαῦτα καλεῖ. Καὶ ὁ Θεὸς δὲ ἀντὶ τιμωρίας αὐτὸ καὶ ἀρᾶς ἐπέθηκε τῇ γυναικί· οὐ τὸ τίκτειν λέγω, ἀλλὰ τὸ οὕτω τίκτειν, μετὰ πόνων καὶ ὠδίνων· « Ἐν λύπαις γάρ, φησὶ, τέξῃ τέκνα. » Ἡ δὲ παρθένος ἀνωτέρω ταύτης ἕστηκε τῆς ὠδῖνος καὶ τῆς ἀρᾶς· ὁ γὰρ τὴν ἀπὸ τοῦ νόμου κατάραν λύσας καὶ ταύτην ἔλυσε μετ' ἐκείνης.

Ἀλλὰ τὸ περιφέρεσθαι ἐπὶ τῆς ἀγορᾶς ἐπὶ ἡμιόνων ἡδύ. Τῦφος τοῦτο περιττὸς μόνον, ἡδονῆς δὲ ἀπεστέρηται πάσης· καὶ ὥσπερ οὔτε τὸ σκότος τοῦ φωτὸς ἄμεινον, οὔτε τὸ συγκεκλεῖσθαι τοῦ λελύσθαι, οὔτε τὸ πολλῶν χρῄζειν τοῦ μηδενὸς, οὕτως οὐδὲ αὕτη τοῖς οἰκείοις ποσὶ μὴ κεχρημένη ἄμεινον διακείσεται. Τὰς γὰρ ἀηδίας ὅσας ἐκ τούτων ὑπομένειν ἀνάγκη παρίημι. Καὶ γὰρ οὐχ ὅτε βούλεται ἔξεστιν αὐτὴν τῆς οἰκίας προελθεῖν, ἀλλὰ καὶ πολλάκις χρησίμου τινὸς κατεπειγούσης ἐξόδου οἴκοι μένειν ἀναγκάζεται, καθάπερ τῶν ἑπαιτῶν οἱ τοὺς πόδας ἀποτετμημένοι καὶ οὐκ ἔχοντες ὅτῳ φέροιντο. Κἂν μὲν ὁ ἀνὴρ τύχῃ τὰς ἡμιόνους ἀπασχολήσας, μικροψυχία καὶ μάχη καὶ πολλὴ παρασώπησις· ἂν δὲ αὐτὴ μηδὲν τῶν μελλόντων προορωμένη τὸ αὐτὸ τοῦτο ἐργάσηται, τὸν ἄνδρα ἀφεῖσα, καθ' ἑαυτῆς τρέπει τὸν θυμὸν, διατρώγουσα συνεχῶς ὑπὸ τῆς ἐπηρείας ἑαυτήν. Καὶ πόσῳ βέλτιον ἦν τοῖς ποσὶ κεχρημένην (διὰ γὰρ τοῦτο ἡμῖν αὐτοὺς ἐποίησεν ὁ Θεός) μηδὲν τούτων ὑπομένειν τῶν δεινῶν, ἢ βουλομένην ὑρύπτεσθαι τοσαύτας ἔχειν λύπης καὶ μικροψυχίας ἀνάγκας; Οὐδὲ γὰρ αὖται μόναι αἱ προφάσεις αὐτὰς οἴκοι κατέχουσιν, ἀλλὰ κἂν ἀλγῆσαι τοὺς πόδας τύχῃ ἄν τε ἀμφοτέρας τὰς ἡμιόνους, ἄν τε

tura : non enim voluptatem ac lætitiam, sed dolores labo remque efferre solent. Sæpe non ea est verberum natura, sed Christiana fides ea est, ut ipsi etiam rerum naturæ imperet. Quodsi verbera voluptatem pariebant propter Christum, quid mirum si et lacrimæ idem præstent propter eumdem? Itaque quam angustam et ærumnosam viam dixit, eam rursum et jugum suave et onus leve appellat : nam rei quidem hæc natura est, sed studio atque spe eorum qui perfunguntur admodum fit levis. Quare alacriores etiam videas, qui arctam et ærumnosam viam sint amplexi, quam qui latam atque spatiosam, iter facere; non quod non afflictentur, sed quod afflictationibus sublimiores nihil ab iis ejusmodi patiantur, quæ solent alii pati. Habet enim æque et hæc vita afflictationes, sed quæ si cum illis matrimonii conferantur, ne afflictationes quidem sunt dicendæ.

LXV. [*Labores virginitatis minores doloribus partus qui conjugium comitantur.*] Quid enim, quæso, tale per omnem vitam virgo sustinet, quale pæne in annos conjux, doloribus partus ac lamentis cruciata? Nam tanta est ejus cruciatus vehementia, ut sacræ Literæ, cum exsilium, famem, pestem, et intolerabilia mala designare volunt, ea omnia dolores partus nominent. Deus quoque id supplicii ac maledictionis vice mulieri irrogavit, non parere, inquam, sed sic parere, cum ærumnis et doloribus : *Cum dolore* enim, inquit (*Gen.* 3. 16), *paries filios*. At virgo iis diris ac dolore excelsior est : nam qui legis diras antiquavit, et has una etiam sustulit.

LXVI. [*Jucundius esse pedibus ire quam mulis circumvehi.*] Sed mulis in foro circumvehi jucundum est. Imo id inanis tantum fastus est, voluptate omni carens : atque ut nec tenebræ quam lux, nec conclusum quam solutum esse, nec multis quam nullo egere, melius est : sic huic quoque suis pedibus non utenti nihilo melius est. Omitto enim molestias quas hinc sustinere est necesse. Nam nec cum vult, ei domo prodire licet, sed plerumque, cum ei inde exeat magna aliqua utilitas efflagitat, domi manere cogitur, velut mendici qui pedibus mutili non habent quo vehantur. Quodsi vir mulos alii sui mandaverit, simultas, contentio, pertinax silentium : sin ipsa futuri ignara idem fecerit, omisso viro, in se iram vertit, assidue ea se injuria consumens. Et quanto satius erat pedibus utentem (nam ea causa nobis eos Deus fabricatus est) nihil horum malorum subire, quam mollitie hac, in tantam miseriæ ac mœroris necessitatem se inducere? Neque enim hæ solæ causæ eas domi continent; sed seu uterque, seu alter forte mulus pedibus dolet, idem contingit : et cum in pa-

θατέραν, τὸ αὐτὸ γίνεται· καὶ ὅταν δὲ εἰς πόαν ἀφεθῆναι συμβῇ (συμβαίνει τοῦτο καθ' ἕκαστον ἐνιαυτὸν καὶ ἐπὶ πολλαῖς ἡμέραις), ἀνάγκη πάλιν οἴκοι μένειν ὥσπερ δεδεμένην, καὶ μηδὲ χρείας καλούσης ἀναγκαίας ἐξιέναι τῆς οἰκίας. Εἰ δὲ λέγοι τις, ὅτι τοῦ πλήθους ἀπῆλλακται τῶν ἐντυγχανόντων, οὐκ ἀναγκαζομένη καθ' ἕκαστον τῶν γνωρίμων ὁρᾶσθαι καὶ ἐρυθριᾶν, σφόδρα ἀγνοεῖν μοι δοκεῖ καὶ τὰ ἀπαλλάττοντα καὶ τὰ περιβάλλοντα τὴν γυναικείαν φύσιν αἰσχύνη. Οὔτε γὰρ τὸ φαίνεσθαι οὔτε τὸ κρύπτεσθαι τοῦτο ποιεῖ, ἀλλὰ τὸ μὲν ἡ κατέχουσα τὴν ψυχὴν ἔνδον προπέτεια, τὸ δὲ ἡ σωφροσύνη καὶ ἡ αἰδώς. Διὰ ταῦτα καὶ τῶν ἀπηλλαγμένων τῆς αἰρκτῆς ἐκείνης πολλαὶ καὶ διὰ μέσου τοῦ πλήθους ἐπὶ τῆς ἀγορᾶς βαδίζουσαι οὐ μόνον οὐκ ἐπεσπάσαντο κατηγόρους, ἀλλὰ καὶ πολλοὺς ἔσχον τῆς σωφροσύνης τοὺς θαυμαστάς, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τοῦ βαδίσματος, καὶ διὰ τοῦ τῶν ἱματίων ἀνεπιτηδεύτου τῆς ἔνδον κοσμιότητος ἀφιεῖσαι τὴν ἀκτῖνα λαμπράν· οὐκ ὀλίγαι δὲ τῶν ἔνδον καθημένων πονηρᾷ δόξῃ περιέβαλον ἑαυτάς. Ἔνεστι γὰρ καὶ συγκεκλεισμένην μᾶλλον τῶν φαινομένων τοῖς βουλομένοις ἐπιδείκνυσθαι μετὰ πολλῆς τῆς προπετείας καὶ τῆς ἰταμότητος.

Ἀλλ' ἴσως τὸ τῶν θεραπαινίδων πλῆθος ἡδύ. Ταύτης μὲν οὐδὲν χεῖρον τῆς ἡδονῆς· τοσαύτας ἔχει τὰς φροντίδας· ἀνάγκη γὰρ ἑῴ' ἑκάστῃ καὶ ἀρρωστούσῃ καὶ τελευτώσῃ ταράττεσθαι καὶ ἀθυμεῖν. Ἀλλὰ ταῦτα μὲν ἴσως φορητά, καὶ τὰ τούτων ἔτι χαλεπώτερα, οἷον τὸ καθ' ἑκάστην διατείνεσθαι τὴν ἡμέραν ῥᾳθυμίαν ἐπιστρέφουσαν, κακουργίαν ἐγκόπτουσαν, ἀχαριστίας παύουσαν, τὴν ἄλλην πᾶσαν αὐτῶν κακίαν παιδαγωγοῦσαν· τὸ δέ γε πάντων χαλεπώτερον, ὅπερ μάλιστα ἐν τῷ πλήθει τῆς τοιαύτης θεραπείας συμβαίνειν εἴωθεν, ὅταν ἐν τῇ τῶν θεραπαινίδων ἐκείνων ἀγέλῃ εὐπρεπής τις οὖσα τύχῃ· ἀνάγκη γὰρ τοῦτο πάντως ἐν τῷ πλήθει συμπεσεῖν· οὐδὲ γὰρ ὥστε πολλὰς κτήσασθαι μόνον, ἀλλ' ὥστε καὶ εὐειδεῖς ἐξ ἴσης οἱ πλουτοῦντες σπουδάζουσιν. Ὅταν οὖν συμβῇ τινα διαλάμπειν ἐν αὐταῖς, ἄν τε ἕλῃ τὸν δεσπότην τῷ φίλτρῳ, ἄν τε μηδὲν περαιτέρω τοῦ θαυμασθῆναι ἰσχύσῃ, τὰ τῆς ὀδύνης ἴσα γίνεται τῇ δεσποίνῃ παρευδοκιμουμένῃ, εἰ καὶ μὴ τῷ πόθῳ, ἀλλὰ τῇ τοῦ σώματος ὥρᾳ καὶ τῷ θαύματι. Ὅταν οὖν τὰ δοκοῦντα εἶναι παρ' αὐτοῖς λαμπρὰ καὶ ζηλωτὰ τοσαύτας ἔχῃ τὰς θλίψεις, τί ἄν τις εἴποι περὶ τῶν λυπηρῶν;

Ἀλλ' οὐχ ἡ παρθένος ὑπομένει τούτων οὐδέν, ἀλλ' ἀπῄλλακται αὐτῇ παραχῆς τὸ δωμάτιον, καὶ κραυγὴ πᾶσα ἐκποδὼν ἀπελήλαται· ὥσπερ δὲ ἐν εὐδιεινῷ λιμένι σιγὴ πάντα κατέχει τὰ ἔνδον, καὶ τῆς σιγῆς πλείων ἑτέρα ἀταραξία τὴν ψυχήν, ἅτε ἀνθρώπινον μὲν οὐδὲν μεταχειρίζουσαν, διαπαντὸς δὲ τῷ Θεῷ διαλεγομένην, καὶ πρὸς αὐτὸν ἀτενέστερον ὁρῶσαν. Τίς ἂν οὖν ταύτην ἀναμετρήσειε τὴν ἡδονήν; ποῖος λόγος τὴν εὐφροσύνην τῆς οὕτω διακειμένης παραστήσειε ψυχῆς; Οὐκ ἔστιν οὐδείς· ἀλλ' οἱ τῶν Κυρίου κα-

scua dimittuntur (fit autem id quotannis, atque in multos dies), rursum tamquam vinctæ domi manendum est, et ne negotio quidem necessario vocante ædibus prodeundum. Quodsi quis dicat, eam a salutantium turba expeditam esse, non coactam notorum oculis patere ac pudefieri, is valde ignorare mihi videtur, quæ muliebri naturæ pudorem et adimant et afferant: siquidem non conspici aut latere id efficit, sed illud petulantia intus animum possidens, hoc modestia atque verecundia. Itaque multæ ea custodia solutæ, ac per mediam turbam in foro gradientes, non solum in se accusatores non concitarunt, sed multos etiam modestiæ admiratores habuerunt: quæ et habitu et ingressu et vestium neglectu luculentum tamquam radium internæ probitatis emitterent: nec paucæ intus desidentes sinistram sibi opinionem contraxerunt. Potest enim quæ conclusa sit, etiam magis quam quæ prodeant, volentibus egregie petulantem se et impudentem exhibere.

LXVII. [*Molestum esse multas famulas habere.*] Sed forsan ancillarum grex jucundus est. Hac quidem voluptate nihil pejus: tantum habet curarum; nam et ægritudine cujusque et morte turbari atque angi est necesse. Ac sunt hæc forte tolerabilia, necnon quæ his etiam graviora sunt, quotidie curis distendi segnitiem castigando, nequitiam inhibendo, rixas sedando, omnemque reliquam vitiositatem corrigendo: at illud certe omnium gravissimum est, quod quidem vel maxime in ejusmodi famulitii copia evenire solet, si in eo grege aliqua venusta sit: id enim omnino in ea multitudine accidere necesse est, divitibus non multas solum, sed etiam æque formosas studiose parantibus. Itaque si inter eas ulla præstans sit, seu amore sui herum capiat, seu nihil ulterius poselt, quam ut admirationi sit, hera æque dolebit, quod ab ea superetur, si non amore, at corporis venustate atque admiratione. Quare si in iis quæ apud eos illustria ac præclara habentur, tantum inest ærumnarum, quid jam de acerbis dicendum?

LXVIII. [*De tranquillitate quæ virginitati inest.*] At non virgo horum quidquam patitur, quin et domuncula turbis libera est, et clamor omnis profligatus: quasique in tranquillo quodam portu omnia intus silentium possidet, et vel silentio major animum serenitas, quippe nihil humanum tractantem, sed assidue cum Deo colloquentem, atque in eum fixe contuentem. Et quis eam voluptatem metiatur? quæ oratio mentis sic affectæ lætitiam repræsentet? Equidem nulla; sed ii soli qui in Deo delicias ponunt, earum

τατρυφῶντες αὐτοὶ μόνοι τὸ μέγεθος ἴσασι ταύτης τῆς τρυφῆς, καὶ πῶς πᾶσαν σύγκρισιν ἐκ πολλοῦ τοῦ περιόντος νικᾷ. Ἀλλ' ὁ πολὺς ἄργυρος ὁρώμενος παντα-χοῦ πολλὴν παρέχει τὴν τέρψιν τοῖς ὀφθαλμοῖς. Καὶ πόσῳ βέλτιον εἰς τὸν οὐρανὸν ἐνορᾶν, καὶ πολλῷ μείζονα ἐκεῖθεν καρποῦσθαι τὴν ἡδονήν; Ὅσον γὰρ ὁ χρυσὸς κασσιτέρου καὶ μολύβδου, τοσοῦτον ὁ οὐρανὸς χρυσοῦ καὶ ἀργύρου καὶ πάσης ὕλης λαμπρότερός τέ ἐστι καὶ φαιδρότερος· καὶ αὕτη μὲν χωρὶς φροντίδος ἡ θεωρία, ἐκείνη δὲ μετὰ πολλῆς τῆς μερίμνης, ὃ μάλιστα παντα-χοῦ ταῖς ἐπιθυμίαις λυμαίνεται. Ἀλλ' οὐ βούλει τὸν οὐρανὸν ἰδεῖν; ἔξεστί σοι τὸν ἐπὶ τῆς ἀγορᾶς κείμενον ἄργυρον ἰδεῖν. « Πρὸς ἐντροπὴν ὑμῖν λέγω, » κατὰ τὸν μακάριον Παῦλον, ἐπειδὴ οὕτως ἐπτόησθε πρὸς τὸν τῶν χρημάτων ἔρωτα. Ἀλλ' οὐκ ἔχω τί εἴπω· πολλή γάρ με ἐνταῦθα κατέσχεν ἀπορία, καὶ οὐ δύναμαι συνιδεῖν, πόθεν ἅπαν, ὡς εἰπεῖν, τὸ τῶν ἀνθρώπων γένος, ὅταν μὲν ἔξῃ μετ' εὐκολίας καὶ ἀνέσεως τέρπεσθαι, οὐδὲ ἡδονὴν τὸ πρᾶγμα τίθενται, ἐν δὲ τῷ φροντίζειν καὶ περισπᾶσθαι καὶ μεριμνᾶν μάλιστα πάντων ἥδονται. Διὰ τί γὰρ αὐτοὺς οὐχ οὕτω τέρπει ὁ κείμενος ἐπὶ τῆς ἀγορᾶς ἄργυρος, ὡς ὁ κατὰ τὴν οἰκίαν; καίτοι γε λαμπρότερος ἐκεῖνός ἐστι, καὶ μερίμνης ἁπάσης ἐλευθέραν ἀφίησι τὴν ψυχήν. Ὅτι, φησίν, ἐκεῖνος μὲν οὐκ ἐμὸς, οὗτος δὲ ἐμός. Ἡ πλεονεξία ἄρα ἐστὶν ἡ τὴν ἡδονὴν ἔχουσα, οὐχ ἡ τοῦ ἀργύρου φύσις· ἐπεὶ εἰ τοῦτο ἦν, κἀκεῖθεν ὁμοίως τέρπεσθαι ἔδει. Εἰ δὲ χρήσεως ἕνεκεν λέγοις, πολλῷ βελτίων ἡ ὕελος· καὶ ταῦτα καὶ αὐτοὶ οἱ πλουτοῦντες εἴποιεν ἄν, οἱ τὰ ἐκπώματα ἀπὸ τῆς ὕλης ταύτης ὡς τὰ πολλὰ κατασκευάζοντες. Εἰ δέ που διὰ τὸν τῦφον ἀναγκασθεῖεν καὶ ἐξ ἀργύρου τοῦτο ποιῆσαι, πρότερον ἔνδοθεν θέντες τὴν ὕελον, οὕτως ἔξωθεν τὸν ἄργυρον περιβάλλουσι, δεικνύντες ὅτι αὕτη μὲν πρὸς πόμα ἡδίων καὶ ἐπιτηδεία, ἐκεῖνος δὲ πρὸς τῦφον μόνον καὶ ἀλαζονείαν περιττήν. Τί δέ ἐστιν ὅλως ἐμὸς καὶ οὐκ ἐμός; Ταῦτα γὰρ ὅταν μετὰ ἀκριβείας ἐξετάσω τὰ ῥήματα, ῥήματα μόνον ὁρῶ ψιλά. Πολλοὶ μὲν γὰρ καὶ ζῶντες ἀποπηδῶντα αὐτὸν τῆς αὐτῶν δεσποτείας οὐκ ἴσχυσαν κατασχεῖν· οἷς δὲ μέχρι τέλους παρέμεινεν, ἐν τῷ καιρῷ τῆς τελευτῆς καὶ ἑκόντες καὶ ἄκοντες αὐτοῦ τῆς ἐξουσίας ἐξέπεσον. Οὐκ ἐπὶ τοῦ ἀργύρου δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν λουτρῶν, καὶ ἐπὶ τῶν παραδείσων, καὶ ἐν ταῖς οἰκίας τὸ ἐμὸν καὶ οὐκ ἐμὸν τοῦτο, ῥῆμα ἂν τις ἴδοι μόνον ψιλόν. Ἡ μὲν γὰρ χρῆσις κοινὴ πάντων ἐστὶν, πλεονεκτοῦσι δὲ οἱ δοκοῦντες αὐτῶν εἶναι κύριοι τῶν οὐκ ὄντων τὴν ὑπὲρ αὐτῶν φροντίδα. Οἱ μὲν γὰρ ἀπολαύουσι μόνον αὐτῶν, οἱ δὲ μετὰ τοῦ ποιεῖσθαι πολλὴν τὴν ἐπιμέλειαν τὸ αὐτὸ τοῦτο καρποῦνται, ὃ μετὰ τῆς ἀμελείας ἐκεῖνοι.

Εἰ δέ τις τὴν πολλὴν θαυμάζοι τρυφὴν, οἷον τὸ τῶν καταχοπτομένων πλῆθος κρεῶν, τὴν περιττὴν τοῦ οἴνου δαπάνην, τῶν καρυκευμάτων τὴν περιεργίαν, τραπεζοποιῶν καὶ σιτοποιῶν τέχνας, παρασίτων καὶ δαι-

magnitudinem sciunt, et quantopere omnem comparationem vincant agnoscunt. At ingens argenti vis undique conspicua valde oculos oblectat. Et quanto præclarius est in cælum suspicere, atque inde majorem longe voluptatem capere? Nam quanto aurum stanno et plumbo, tanto cælum auro, argento atque omni materia illustrius ac splendidius est: quin contemplatio hæc curis vacua est, illa admodum sollicita, quod quidem vel maxime concupiscentiam cohibet. At non vis in cælum spectare? licet depositum in foro argentum cernere. *Ad verecundiam vestram dico*, ut cum beato Paulo (1 *Cor.* 6. 5) loquar: quoniam pecuniarum amore tam estis stupidi. Atque hic quid dicam nescio. Valde enim me scrupulus quidam suspendit, nec video, cur omne pæne hominum genus, cum facile ac jucunde oblectari liceat, id nec in voluptate quidem ponant; in sollicitudine, distractione atque curis potissimum gaudeant. Nam cur non eos æque depositum in foro argentum ac domesticum oblectat, quamvis illud et probatius sit, et animum angore omni liberum dimittat? Quoniam, inquit, illud meum non est, hoc meum est. Avaritiæ igitur jucunda est, non argenti natura: quod si esset, inde etiam æque oblectari oportebat. Sin dicas, usus gratia, multo præstat vitrum: atque id divites ipsi confirmant, qui ex ea materia pocula ut plurimum parant. Quodsi fastu quodam etiam ex argento fabricari cogantur, prius vitro interius constituto ita argento exterius obducunt, ostendentes illud ad potum suavius et commodius esse, hoc ad fastum solum et inanem ostentationem. Quid est autem hoc, Meum et non meum? Nam equidem cum verba hæc accuratius expendo, voces tantum esse mihi videntur. Multi enim illud dominium suum refugiens nec vivi retinere potuerunt; et quibus ad finem usque permansit, ii volentes nolentes mortis tempore ejus potestate exciderunt. Nec solum in argento, sed in balneis quoque, hortis, ædibus, Meum et non meum, verba solum mera deprehendas. Nam usus omnibus communis est: tantum qui domini videntur, hoc plus habent quam qui non sint, eorum inquam curam. Illi enim fruuntur tantum; illi adhibito grandi studio tantumdem consequuntur, quantum hi citra studium.

LXIX. [*Sumtuosas mensas magnæ insuavitatis plenas esse.*] Quodsi quis summas delicias miretur, puta concisarum carnium multitudinem, inutilem vini sumtum, exquisita condimenta, structorum seu mensariorum et

τυμόνων ὄχλον, εὖ ἴστω ὅτι τῶν μαγείρων αὐτῶν οὐδὲν ἄμεινον ἐν τοῖς τοιούτοις οἱ πλουτοῦντες διάκεινται. Καθάπερ γὰρ ἐκεῖνοι τοὺς δεσπότας, οὕτω τοὺς κεκλημένους αὐτοὶ δεδοίκασι, μή τινος ἐπιλάθωνται τῶν μετὰ πολλοῦ πόνου καὶ δαπάνης παρασκευασθέντων αὐτοῖς. Καὶ τούτῳ μὲν ἐξισοῦνται τοῖς μαγείροις, κατ' ἕτερον δὲ καὶ πλεονεκτοῦσιν αὐτῶν· οὐ γὰρ μόνον κατηγόρους [ὡς] ἐκεῖνοι, ἀλλὰ καὶ βασκάνους δεδοίκασι. Πολλοῖς γὰρ πολλάκις ἀπὸ τῶν τοιούτων συμποσίων ἐτέχθη φθόνος, καὶ οὐ πρότερον ἔστη, ἕως κινδύνους ἐπήγαγε τοὺς ἐσχάτους. Ἀλλὰ τὸ σιτεῖσθαι πολλὰ πολλάκις ἡδύ. Ἄπαγε· ὅταν καρηβαρίαι, καὶ γαστρὸς διάτασις, καὶ πνεύματος ἔμφραξις, καὶ σκοτοδινίαι, καὶ ῥιγγοι, καὶ ἀχλύες, καὶ τὰ ἔτι τούτων ἀτοπώτερα ἀπὸ τῆς τρυφῆς ταύτης ἀναβλαστάνῃ δεινά. Καὶ εἴθε μέχρι τῶν παρ' ἡμέραν λυπηρῶν τὰ τῆς ἀσχημοσύνης ἐκείνης καὶ τὰ τῆς ζημίας ἵστατο μόνον· νυνὶ δὲ αἱ μάλιστα τῶν νόσων δυσίατοι ἀπὸ τῶν τοιούτων τραπεζῶν ἔχουσι τὴν ἀρχήν. Καὶ γὰρ ποδάλγαι, καὶ φθόη, καὶ παράλυσις, καὶ σπασμὸς, καὶ πολλὰ ἔτι τούτων χαλεπώτερα ἀπολαβόντα τὸ σῶμα πολιορκεῖ εἰς ἐσχάτας ἀναπνοάς. Τίνα οὖν ἄν τις ἔχοι τούτων ἀντίρροπον τῶν κακῶν ἡδονὴν εἰπεῖν; ποίαν δὲ οὐκ ἄν τις ἕλοιτο σκληραγωγίαν ὑπὲρ τῆς τούτων ἀπαλλαγῆς;

Ἀλλ' οὐχ ἡ εὐτέλεια τοιαύτη, ἀλλὰ πόρρω τούτων ἑστῶσα τῶν δυσχερῶν, ὑγιείας καὶ εὐεξίας οὖσα ποιητική. Εἰ δὲ καὶ ἡδονήν τις ἐπιζητοίη, καὶ ταύτην παρ' αὐτῇ μείζονα οὖσαν εὑρήσει τῆς τρυφῆς· καὶ πρῶτον μὲν ἀπὸ τοῦ ἐρρῶσθαι καὶ μηδενὶ τῶν κακῶν ἐνοχλεῖσθαι ἐκείνων, ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ πᾶσαν ἱκανὸν σβέσαι καὶ ἀνατρέψαι ἐκ βάθρων ἡδονήν· δεύτερον δὲ, καὶ ἀπὸ τῶν σιτίων αὐτῶν. Πῶς; Ὅτι ἡδονῆς ποιητικὸν ἐπιθυμία· ἐπιθυμίαν δὲ οὐχ ὁ κόρος, οὐδὲ ἡ πλησμονὴ, ἀλλ' ἡ ἔνδεια καὶ ἡ σπάνις ποιεῖ. Αὕτη δὲ οὐκ ἐν ἐκείνοις τοῖς συμποσίοις τοῖς τῶν πλουτούντων, ἀλλ' ἐν τοῖς τῶν πενομένων ἀεὶ πάρεστι, παντὸς τραπεζοποιοῦ καὶ μαγείρου μᾶλλον ἐπιστάζουσα πολὺ τοῖς προκειμένοις τὸ μέλι. Οἱ μὲν γὰρ πλουτοῦντες οὔτε πεινῶντες ἐσθίουσι, καὶ χωρὶς τοῦ διψῆν πίνουσι, καὶ πρὶν σφοδρῶς αὐτοῖς ἐπελθεῖν τὴν ἀνάγκην τοῦ ὕπνου καθεύδουσιν· οὗτοι δὲ ἐν χρείᾳ τούτων ἁπάντων καθιστάμενοι πρότερον, οὕτως αὐτῶν μετέχουσιν· ὃ μάλιστα πάντων αὔξει τὰ τῆς ἡδονῆς. Διὰ τί γάρ, εἰπέ μοι, καὶ ὁ Σολομὼν τὸν ὕπνον τοῦ δούλου φησὶν εἶναι ἡδὺν, οὕτωσὶ λέγων· « Ἡδὺς ὕπνος τῷ δούλῳ, ἂν τι πολὺ, ἂν τε ὀλίγον φάγῃ; » Ἆρα διὰ τὴν στρωμνὴν τὴν ἁπαλήν; Καὶ μὴν ἐπὶ ἰδάφους ἢ ἐπὶ στιβάδος οἱ πλείους καθεύδουσιν. Ἀλλὰ διὰ τὴν ἄδειαν; Ἀλλ' οὐδὲ μικρᾶς καιροῦ ῥοπῆς εἰσι κύριοι. Ἀλλὰ διὰ τὴν ῥᾳστώνην; Ἀλλ' οὐ διαλιμπάνουσι μόχθοις κοπτόμενοι καὶ ταλαιπωρίαις. Τί ποτ' οὖν ἐστι τὸ ποιοῦν τὸν ὕπνον ἡδὺν, ἢ τὸ πρότερον εἰς χρείαν καταστάντας οὕτως αὐτοῦ μεταλαμβάνειν; Τοὺς δὲ πλουτοῦντας ἂν

pistorum artificia, parasitorum et convivarum turbam, sciat, divites in his nihilo meliori esse loco quam coquos. Nam ut hi dominos, sic illi invitatos verentur, ne quid eorum quae operose et sumtuose iis apparata sint, reprehendant et carpant. Atque hac in parte coquis exæquantur : in alia etiam superant. Neque enim solum, ut illi, accusatores, sed æmulos etiam invidia accensos timent : siquidem multis saepe ex ejusmodi conviviis invidia creata est, nec ante destitit, quam eos in capitis periculum adduxit. At belluari saepe suave est. Apagesis : quando ex hoc luxu et gravedo, et ventris distentio, et spiritus obstructio, et oculorum obscuritas, et vertigo, et caligo, aliaque his etiam foediora mala pullulant. Atque utinam ea immoderatio ac jactura quotidianis tantum doloribus circumscripta sit : nunc morbi fere incurabiles ex his mensis originem trahunt ; nam et podagra, et tabes, et paralysis, et convulsiones, multaque his etiam graviora corpus aggressa ad extremum spiritum infestant. Quibus malis quae par exhiberi voluptas possit? quam non vitae duritiem ad eorum effugium malis inire?

LXX. [*Sobrietatem delictis et utiliorem et suaviorem esse.*] At ejusmodi non est frugalitas, sed ab his molestiis procul remota, sanitatis atque valetudinis causa. Quodsi quis voluptatem etiam requirat, in ea, quam in luxu, majorem inveniet : ac primum ex eo quod homo valeat, neque horum malorum quoquam exagitetur, quorum vel singula seorsim satis sint quae voluptatem exstinguant et tamquam a fundamentis evertant : deinde ex cibis ipsis. Quo pacto? Voluptatem efficit appetitus : appetitum non saturitas ac satietas, sed egestas et inopia parit. Ea autem non in divitum, sed in pauperum coenis assidue praesto est, epulis quovis structore et coquo gratius mel instillans. Siquidem divites nec esurientes cibum capiunt, nec sitientes bibunt, et antequam vehemens somni necessitas eis ingruat, consopiuntur : hi omnium illorum prius indigi, ita demum ea percipiunt; quod quidem voluptatem auget maxime. Cur enim et Salomon servi somnum dulcem confirmat his verbis (*Eccles.* 5. 11) : *Dulcis est servo somnus, sive multum sive parum comederit?* An propter mollem torum? At humi, aut super cespite ut plurimum dormiunt. An propter libertatem? At nec temporis momentum habent liberum. An propter otium? At laboribus et aerumnis assidue afflictantur. Quid est igitur quod somnum dulcem reddit, nisi hoc, ad necessitatem prius compulsos ita eum denique inire? Caeterum divitibus nisi ebriis

μὴ μέθῃ βαπτισθέντας ἡ νὺξ καταλάβῃ, ἀνάγκη διαπαντὸς ἀγρυπνεῖν καὶ περιστρέφεσθαι καὶ ἀλύειν ἐπὶ τῶν μαλακῶν κειμένους στρωμάτων.

Ἐνῆν καὶ ἑτέρωθεν δεῖξαι τῆς τρυφῆς τὴν ἀηδίαν καὶ τὴν ζημίαν καὶ τὴν ἀσχημοσύνην, τὰς νόσους καταλέγοντα ὅσας ἐναπομόργνυται τῇ ψυχῇ, πολλῷ πλείους καὶ χαλεπωτέρας οὔσας τῶν σωματικῶν. Καὶ γὰρ μαλακοὺς, καὶ ἀνάνδρους, καὶ θρασεῖς, καὶ ἀλαζόνας, καὶ ἀσελγεῖς, καὶ ὑβριστὰς, καὶ ἀκολάστους, καὶ ἀκρογόλους, καὶ ὠμοὺς, καὶ ἀγεννεῖς, καὶ πλεονέκτας, καὶ δουλοπρεπεῖς, καὶ πρὸς ἅπαν εἰπεῖν τῶν χρησίμων καὶ ἀναγκαίων ἀχρήστους καθίστησιν· ὧν τἀναντία πάντα ἡ αὐτάρκεια ποιεῖ. Ἀλλὰ νῦν πρὸς ἕτερον ἡμῖν ὁ λόγος ἐπείγεται· διὸ μόνον ἐκεῖνο προσθέντας τῶν ἀποστολικῶν πάλιν ἀψώμεθα ῥημάτων. Εἰ γὰρ τὰ δοκοῦντα εἶναι ζηλωτὰ τοσούτων γέμει κακῶν, καὶ τοσοῦτον τῇ ψυχῇ καὶ τῷ σώματι τὸν νιφετὸν ἐπάγει τῶν νοσημάτων, ποῦ τὰ λυπηρὰ θήσομεν; οἷον ἀρχόντων φόβους, δήμων ὁρμὰς, συκοφαντῶν καὶ βασκάνων ἐπιβουλάς· ἃ μάλιστα τοὺς πλουτοῦντας περιστοιχίζεται· ἐν οἷς καὶ τὰς γυναῖκας μειζόνως τῶν κακῶν ἀνάγκη κοινωνεῖν διὰ τὸ μὴ γενναίως τὰς τοιαύτας φέρειν μεταβολάς.

Καὶ τί λέγω γυναῖκας; καὶ γὰρ αὐτοὶ οἱ ἄνδρες ταλαιπώρως ὑπὸ τῶν τοιούτων ἁλίσκονται. Ὁ μὲν γὰρ ἐν αὐταρκείᾳ ζῶν οὐδεμίαν μετάπτωσιν δέδοικεν· ὁ δὲ ἐν ἐκείνῳ τῷ ὑγρῷ καὶ διακεχυμένῳ βίῳ δαπανηθείς, εἴποτε συμβαίη κατὰ περίστασίν τινα καὶ ἀνάγκην παραδοθῆναι πενίᾳ, τεθνήξεται πρότερον ἢ ταύτην οἴσει τὴν μεταβολὴν, διὰ τὸ ἀμελέτητον καὶ ἀγύμναστον. Διὰ ταῦτα ὁ μακάριος Παῦλος ἔλεγε, « Θλῖψιν τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι· » εἶτα μετὰ τοῦτό φησιν, « Ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν. »

Καὶ τί τοῦτο πρὸς τὸν γάμον; ἴσως ἂν εἴποι τις. Καὶ σφόδρα μὲν οὖν πρὸς αὐτόν. Εἰ γὰρ ἐν τῷ παρόντι βίῳ συγκέκλεισται, ἐν δὲ τῷ μέλλοντι οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ὁ δὲ παρὼν καιρὸς πρὸς τὸ τέλος ἐπείγεται, καὶ ἐπὶ θύραις τὰ τῆς ἀναστάσεως ἕστηκεν, οὐ γάμων καιρὸς οὐδὲ κτημάτων, ἀλλ' ἐνδείας καὶ τῆς ἄλλης φιλοσοφίας ἁπάσης τῆς ἐκεῖ χρησιμευούσης ἡμῖν. Ὥσπερ γὰρ ἡ παρθένος ἕως μὲν ἂν οἴκοι μένῃ μετὰ τῆς μητρὸς, πολλὴν τῶν παιδικῶν ἁπάντων ποιεῖται φροντίδα, καὶ κιβώτιον ἐν τῷ ταμιείῳ καταθεμένη τῶν ἀποκειμένων ἐκεῖ καὶ τὴν κλεῖν αὐτὴ κέκτηται, καὶ τὴν ἐξουσίαν ἅπασαν ἔχει, καὶ τοσαύτην ὑπὲρ τῆς τῶν μικρῶν ἐκείνων καὶ φαύλων φυλακῆς ἀναδέχεται μέριμναν, ὅσην οἱ τὰς μεγάλας ἐπιτροπεύοντες οἰκίας· ἐπειδὰν δὲ μνηστεύεσθαι δέῃ καὶ ὁ τοῦ γάμου καιρὸς ἀναγκάζῃ τὴν πατρῴαν οἰκίαν ἀρεῖναι, τότε τῆς εὐτελείας ἐκείνης ἀπαλλαγεῖσα καὶ τῆς ταπεινότητος, οἰκίας προστασίαν, καὶ κτημάτων καὶ ἀνδραπόδων πλῆθος, καὶ ἀνδρὸς θεραπείαν, καὶ τὰ ἄλλα τὰ τούτων πολλῷ μείζονα μεριμνᾶν ἀναγκάζεται· οὕτω καὶ ἡμᾶς χρὴ,

nox ingruat, pervigilandum est, et in mollibus stragulis æstuandum ac dolendum.

LXXI. [*Animam etiam lædi deliciis.*] Poteram et aliunde deliciarum insuavitatem, incommoda, fœditatem ostendere, morbos, quibus animam imbuant, corporalibus longe et plures et graviores percensens. Etenim molles, effeminatos, audaces, arrogantes, lascivos, injurios, impudicos, iracundos, crudeles, illiberales, avaros, sordidos, ad cuncta utilia ac necessaria ineptos præstat luxus : quibus diversa omnia frugalitas efficit. Sed jam alio mihi properat oratio. Itaque hoc uno addito, rursum apostolica verba retractemus. Quodsi quæ expetenda videantur, tot malis sunt referta, tantas et animo et corpori morborum pruinas accersunt, quo loco acerba habebuntur? velut magistratuum terror, populorum motus, sycophantarum et æmulorum insidiæ, quæ in primis divites circumstant. Quibus malis mulieres sane etiam vehementius angi est necesse, quod eas vicissitudines impotentius ferant.

LXXII. [*Delicias cum aliis malis vitæ commutationem afferre.*] Et quid mulieres dico, cum vel viri misere his capiantur : nam qui frugaliter vivit, commutationem nullam horret; qui lubricam illam ac dissolutam vitam exigit, eum si qua incidens calamitas atque vis inopiæ tradat, utpote qui rudis et inexercitatus sit, ante moriatur, quam vires eas perferat. Itaque beatus Paulus ait (1 *Cor.* 7. 28), *Tribulationem carnis habebunt hujusmodi, ego autem vobis parco :* ac post addit, *Tempus breve est.*

LXXIII. [*Non esse tempus hoc matrimonii tempus.*] Et quid hoc ad matrimonium? dicat quispiam. Valde sane ad ipsum pertinet. Si enim vita hac conclusum est, et in futuro nec ducunt nec ducuntur, atque hoc præsens tempus ad finem decurrit, quasique pro foribus resurrectio est, non jam tempus est matrimonii ac pecuniarum, sed egestatis et id genus reliquæ philosophiæ, quæ illic nobis profutura sit. Nam quemadmodum virgo quamdiu domi manet apud matrem, magnam puerilium omnium curam suscipit, et arcula in penum deposita, eorum quæ illic condita sint et clavem ipsa possidet, et arbitrium omne tenet, de levium illorum et futilium custodia æque sollicita ac qui grandem familiam administrant; cum autem sponsalia adsunt, paternas ædes dimittere coacta, tum vero iis ab nugis et minutiis digressa, domus gubernationem, opes, et mancipium numerosum, viri cultum, aliaque his multo majora procuret necesse est : ita et nobis adultis atque ætate virili,

ἐπειδὴ πρὸς τὸν τέλειον ἀγόμεθα βίον καὶ τὸν ἀνδράσι προσήκοντα, τὰ ἐπὶ τῆς γῆς πάντα ἀφέντας τὰ ὄντως παιδικὰ ἀθύρματα, φαντάζεσθαι τὸν οὐρανὸν καὶ τῆς ἐκεῖ διατριβῆς τὴν λαμπρότητα καὶ τὴν δόξαν ἅπασαν. Ἡρμόσθημεν γὰρ καὶ ἡμεῖς νυμφίῳ οὕτως ζητοῦντι παρ' ἡμῶν ἀγαπᾶσθαι, ὡς μὴ τῶν ἐν τῇ γῇ μόνον, μηδὲ τῶν μικρῶν τούτων καὶ εὐτελῶν, ἀλλὰ καὶ τῆς ψυχῆς αὐτῆς ἀφίστασθαι δι' αὐτὸν, ὅταν δέῃ. Ἐπεὶ οὖν ἐκεῖ λοιπὸν ἀπιέναι χρὴ, ἀπάξωμεν ἑαυτοὺς τῆς φροντίδος τῆς εὐτελοῦς. Οὐδὲ γὰρ εἰς βασιλείαν μεθίστασθαι μέλλοντες ἀπὸ πενιχρᾶς οἰκίας, κεραμίδων καὶ ξύλων καὶ ἐπίπλων καὶ τῆς ἄλλης τῆς κατὰ τὴν οἰκίαν ἐφροντίσαμεν ἂν πενίας. Μὴ τοίνυν μηδὲ νῦν τὰ ἐν τῇ γῇ μεριμνῶμεν· ὁ γὰρ καιρὸς ἡμᾶς ἤδη καλεῖ πρὸς τὸν οὐρανὸν, καθάπερ καὶ Ῥωμαίοις ἐπιστέλλων ὁ μακάριος Παῦλος ἔλεγε· « Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. » Καὶ πάλιν, « Ἐνταῦθα ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. » Τί οὖν δεῖ γάμου τοῖς οὐ μέλλουσιν ἀπολαύσεσθαι γάμου, ἀλλ' ἐν ἴσῳ τοῖς οὐκ ἔχουσι διακεῖσεσθαι; τί δὲ χρημάτων, τί δὲ κτημάτων, τί δὲ τῶν βιωτικῶν, τῆς χρήσεως αὐτῶν ἀώρου λοιπὸν οὔσης καὶ παρὰ καιρόν; Εἰ γὰρ οἱ μέλλοντες δικαστηρίῳ παραστήσεσθαι τῷ παρ' ἡμῖν, καὶ λόγον ὑφέξειν τῶν πεπλημμεληκότων, τῆς κυρίας γενομένης ἐγγὺς, οὐ γυναικὸς μόνον, ἀλλὰ καὶ σίτων καὶ ποτῶν καὶ πάσης ἑαυτοὺς ἀποστήσαντες φροντίδος, τῆς ἀπολογίας γίνονται μόνης, πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐκ ἐπιγείῳ τινὶ δικαστηρίῳ, ἀλλ' οὐρανίῳ βήματι παραστήσεσθαι μέλλοντας, καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν εὐθύνας ὑφέξειν, πάντων ἀφίστασθαι χρὴ, καὶ χαρᾶς καὶ λύπης τῆς ἐπὶ τοῖς παροῦσι πράγμασι, καὶ τὴν φοβερὰν μόνον ἐκείνην ἡμέραν μεριμνᾶν. « Εἴ τις γὰρ, φησὶν, ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητὴς εἶναι· καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής. » Σὺ δὲ παρακάθῃ σχολάζων ἐπιθυμίαις γυναικὸς καὶ γέλωτι καὶ διαχύσει καὶ τρυφῇ; « Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε· » σὺ δὲ ὑπὲρ χρημάτων φροντίζεις καὶ μεριμνᾷς; Ἡ βασιλεία τῶν οὐρανῶν ἐφέστηκε· σὺ δὲ περὶ οἰκίας καὶ τρυφῆς καὶ τῆς ἄλλης σκοπεῖς ἡδονῆς; « Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου »· τί οὖν κόπτεις σαυτὸν ἐν τοῖς τοῦ κόσμου πράγμασι τοῖς οὐ μένουσιν, ἀλλὰ δαπανωμένοις, τῶν μενόντων καὶ βεβαίων ἀμελῶν; Οὐκέτι γάμος, οὐδὲ ὠδῖνες, οὐχ ἡδονὴ καὶ μῖξις, οὐ χρημάτων εὐπορία οὐδὲ κτημάτων ἐπιμέλεια, οὐ τροφὴ οὐδὲ ἐνδύματα, οὐ γεωργίαι οὐδὲ ναυτιλίαι, οὐ τέχναι οὐδὲ οἰκοδομαὶ, οὐ πόλεις οὐδὲ οἰκίαι, ἀλλ' ἑτέρα τις κατάστασις καὶ διαγωγή· ταῦτα δὲ πάντα μικρὸν ὕστερον ἀπολεῖται. Τοῦτο γάρ ἐστι, « Παράγει τὸ

terrenis omnibus, vere puerilibus ludicris, omnia, de cælo cælestisque vitæ splendore et gloria cogitandum est. Desponsi enim sumus et nos sponso, eum a nobis amorem flagitanti, ut non solum terrestribus et levibus his futilibus, sed etiam vita propter eum, si opus sit, cedamus. Quare cum illuc discedendum sit, exilem hanc curam a nobis propulsemus; nam nec in regnum ex inopi domo transferendi, de fictilibus, lignis, utensilibus, et reliqua domestica tenuitate laboraremus. Itaque nec nunc terrena curemus, tempore nos jam ad cælum vocante; ut et beatus Paulus Romanis scribens ait (13. 11, 12), *Nunc enim propior est nostra salus, quam cum credidimus : nox præcessit, dies autem appropinquavit;* et rursum (1 *Cor.* 7. 29), *Tempus hic breve est, ut qui uxores habent perinde sint ac si non haberent.* Quorsum igitur matrimonium eo non usuris, sed perinde ac si non haberent futuris? quorsum opes? quorsum prædia? quorsum vitæ præsidia, quorum usus caducus porro atque intempestivus sit? Nam si apud nos qui judiciis sistendi sunt, scelerum causam dicturi, capitali die instanti non uxoris tantum, sed etiam cibi et potus, atque omni posthabita cura, defensionem solum cogitant, multo magis nobis, non terreno cuidam foro, sed cælesti tribunali sistendis, et dictorum, gestorum, cogitatorum rationem reddituris, ab omnibus abstinendum est, et gaudio et tristitia rerum præsentium, ac circa terribilem illam diem unice metuendum. *Si quis* enim, inquit (*Luc.* 14. 26, 27), *venit ad me, nec suum patrem, et matrem, et uxorem, et filios, et fratres, et sorores, insuper et animam suam odit, non potest meus esse discipulus. Et qui non portat crucem suam, et me sequitur, non potest meus esse discipulus.* Tu vero segnis uxoris cupiditati, risui, mollitici, deliciis vacas? (*Philipp.* 4. 5, 6) *Dominus prope est : nihil solliciti sitis* : tu de pecuniis curas ac sollicitus es? Cæleste regnum instat : tu ædes, luxum et reliquam voluptatem dispicis? (1 *Cor* 7. 31) *Præterit figura hujus mundi.* Quid te de mundi rebus non perennibus, sed caducis, perennium ac stabilium oblitus, crucias? Non jam matrimonium, non dolores partus, non voluptas et coitus, non divitiarum copia, non prædiorum studium, non cibus, non tegumenta, non agricultura ac navigatio, non artes et ædificia, non urbes, non ædes, sed alius quidam status atque vita consequetur; hæc paulo post cuncta interibunt. Id enim est *Præterit figura hujus mundi.* Quid igitur velut in

σχῆμα τοῦ κόσμου τούτου. » Τί τοίνυν ὡς εἰς τοὺς αἰῶνας ἅπαντας ἐνθάδε μενοῦντες, οὕτω πᾶσαν σπουδὴν ἐπιδεικνύμεθα, ὑπὲρ πραγμάτων μεριμνῶντες, ὧν πρὸ τῆς ἑσπέρας πολλάκις ἀποστησόμεθα; τί τὸν μοχθηρὸν αἱρούμεθα βίον, ἐπὶ τὸν ἀπράγμονα καλοῦντος ἡμᾶς τοῦ Χριστοῦ; « Θέλω γάρ, φησίν, ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου. »

Πῶς οὖν ἡμᾶς ἀμερίμνους εἶναι βούλει, εἰς ἑτέραν πάλιν ἐμβαλὼν φροντίδα; Ὅτι οὐδὲ φροντίζειν τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδὲ θλίβεσθαι τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι, οὐ διὰ τὸ μεταβάλλεσθαι τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ διὰ τὸ τὴν προαίρεσιν τῶν ταῦτα φερόντων μεθ' ἡδονῆς καὶ τῆς τῶν πραγμάτων φύσεως κρατεῖν. Ὁ μὲν γὰρ ὑπὲρ τούτων φροντίζων, ὃν οὐκ εἰς μακρὸν ἀπολαύσεται χρόνον, πολλάκις δὲ οὐδὲ εἰς βραχύν, εἰκότως ἂν λέγοιτο μεριμνᾶν· ὁ δὲ μείζονας τῶν φροντίδων ἀπολῃψόμενος τοὺς καρπούς, ἐν τοῖς ἀμερίμνοις παντί που δικαίως ἂν τάττοιτο λόγῳ. Καὶ τούτων δὲ χωρὶς τοσοῦτον τῆς μερίμνης ἑκατέρας τὸ μέσον, ὡς μηδὲ μέριμναν ταύτην ἐκείνῃ παραβαλλομένην νομίζεσθαι· οὕτω κουφοτέρα τέ ἐστιν ἐκείνης καὶ σφόδρα εὐκολωτέρα. Καὶ ταῦτα πάντα διὰ τῶν ἔμπροσθεν ἀπεδείξαμεν λόγων. « Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου· » ἀλλ' ὁ μὲν παράγει, ὁ δὲ μένει. Τοῦτο οὖν μόνον οὐχ ἱκανὸν δεῖξαι τὸ τῆς παρθενίας ἀξίωμα; Ὅσον γὰρ τοῦ Θεοῦ πρὸς τὸν κόσμον τὸ διάφορον, τοσοῦτον αὕτη βελτίων ἐκείνης ἡ φροντίς. Πῶς οὖν συγχωρεῖ τὸν γάμον, τὸν προσηλοῦντα ἡμᾶς ταῖς φροντίσι, καὶ τῶν πνευματικῶν ἀπάγοντα; Διὰ γὰρ τοῦτο, φησὶν, εἶπον, Ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, ἵνα οἱ φθάσαντες ἤδη δεθῆναι, ἢ καὶ μέλλοντες, ἑτέρῳ τινὶ τρόπῳ χαυνότερον ἐργάσωνται τὸν δεσμόν. Ἐπειδὴ γὰρ διαῤῥῆξαι αὐτὸν οὐκ ἔνι περιβληθέντα ἅπαξ, ἀνεκτότερον αὐτὸν ποίησον. Ἔξεστι γὰρ, ἂν βουλώμεθα, πάντα περικόπτειν τὰ περιττὰ, καὶ μὴ μείζονας τῶν ἀπὸ τῆς τοῦ πράγματος φύσεως τικτομένων φροντίδων τὰ παρὰ τῆς ἡμετέρας προστιθέναι ναθείας.

Εἰ δὲ καὶ σαφέστερόν τις θέλοι μαθεῖν τί ποτέ ἐστιν, ἔχοντα γυναῖκα μὴ ἔχειν, τοὺς οὐκ ἔχοντας ἐννοείτω, τοὺς ἐσταυρωμένους, πῶς διάκεινται. Πῶς οὖν ἐκεῖνοι διάκεινται; Οὐ θεραπαινίδων ἀναγκάζονται πλῆθος ὠνεῖσθαι, οὐ χρυσία καὶ περιδέραια, οὐκ οἰκίας λαμπρὰς καὶ μεγάλας, οὐ πλέθρα γῆς τόσα καὶ τόσα· ἀλλὰ ταῦτα πάντα ἀφέντες ὑπὲρ ἱματίου φροντίζουσιν ἑνὸς καὶ τροφῆς τῆς αὐτῶν. Ἔξεστι καὶ τῷ γυναῖκα ἔχοντι εἰς ταύτην ἑαυτὸν ἀγαγεῖν τὴν φιλοσοφίαν. Τὸ γὰρ ἀνωτέρω λεχθὲν « Μὴ ἀποστερεῖτε ἀλλήλους », περὶ μίξεως εἴρηται μόνης· ἐν τούτῳ γὰρ ἕπεσθαι ἀλλήλοις κελεύει, καὶ οὐδένα ἀρίησιν ἑαυτοῦ κύριον εἶναι· ἔνθα δὲ ἂν δέῃ τὴν ἄλλην φιλοσοφίαν ἀσκεῖν, τὴν ἐν τοῖς ἱματίοις, τὴν ἐν τῇ διαίτῃ, τὴν ἐν τοῖς ἄλλοις ἅπασιν, οὐκέτι θατέρῳ λοιπὸν ὁ ἕτερος ὑπεύθυνος γίνεται.

omnia secula hic mansuri, ita in earum rerum studio, a quibus sepe ante vesperam discedendum sit, summa ope nitimur? quid laboriosam vitam deligimus, Christo ad otiosam nos vocante? *Volo* enim, inquit (*ib.* 32), *vos sine sollicitudine esse. Qui sine uxore est, Domini res curat.*

LXXIV. [*Cur cum velit nos sine sollicitudine esse, jubeat esse sollicitos.*] Quomodo igitur nos sine sollicitudine esse vis, quos in aliam iterum curam conjicias? Quia hoc ne curare quidem est, quemadmodum nec afflictari propter Christum afflictari; non mutata quidem rerum natura, sed eorum qui ea cum voluptate patiantur studio vel rerum naturam vincente. Nam qui ea curet, quibus non longum tempus fruiturus sit, imo sepe nec minimum, curare merito dicetur; qui vero e curis majorem fructum capturus sit, omni ratione inter eos qui sine sollicitudine sunt numerabitur. Præterea autem utriusque curæ tantum est discrimen, ut hæc cum illa comparata ne cura quidem habeatur; adeo illa et levior est, et multis partibus facilior. Quæ nos omnia superius ostendimus. *Qui sine uxore est, sollicitus est quæ Domini sunt; qui autem cum uxore est, sollicitus est quæ sunt mundi.* At hic abit, ille manet. Annon igitur vel hoc solum sufficiat ad virginitatis dignitatem commonstrandam? Quanto enim Deus mundo præstat, tanto hæc illâ potior cura est. Cur ergo matrimonium permittit, quod et curis nos obstringat, et a spiritalibus abducat? Ideo enim, inquit, dixi: Ut qui uxores habent perinde sint ac si non haberent, ut qui jam vincti sunt, aut post vinciendi sunt, alio quopiam modo vinculum relaxent. Nam quoniam haud fas est semel circumjectum rumpere, tolerabilius redde. Siquidem licet, si velimus, supervacua omnia recidere, nec nostra ipsorum ignavia alia nobis addere iis curis, quas rei natura pariat, majora.

LXXV. [*Quid sit habentem uxorem non habere.*] Quod si quis etiam clarius intelligere vult, quid sit, Uxorem habentem perinde esse ac si non haberet, is mihi non habentes atque crucifixos cogitet, quomodo degant. Quomodo igitur degunt? Non necesse habent ancillarum gregem coemere, non aurum ac monilia, non ædes magnificas et amplas, non tot ac tot terræ jugera; sed iis omnibus dimissis, amictum unum atque victum procurant. Licet autem uxorem habenti ad eam se philosophiam reducere. Nam quod supra (*ib.* 5) ait, *Ne defraudate alter alterum*, de coitu solo dictum est: in eo enim invicem obsequi jubet, neque alterutrum sui dominum esse sinit: in reliquo philosophiæ exercitio, vestitu, victu, atque aliis omnibus, alter alteri

ται, ἀλλ' ἔξεστι τοῖς ἀνδράσι, κἂν ἡ γυνὴ μὴ βούληται, περικόψαι τρυφὴν ἅπασαν καὶ τὸν περιῤῥέοντα τῶν φροντίδων ὄχλον· καὶ γυναικὶ πάλιν ὁμοίως οὐδεμία ἀνάγκη μὴ βουλομένῃ καλλωπίζεσθαι καὶ κενοδοξεῖν καὶ περιττὰ μεριμνᾶν. Εἰκότως· ἐκείνη μὲν γὰρ ἡ ἐπιθυμία φυσική τίς ἐστι, καὶ διὰ τοῦτο πολλῆς ἔτυχε τῆς συγγνώμης, καὶ οὐκ ἔστι κύριος ὁ ἕτερος ἀποστερεῖν τὸν ἕτερον μὴ βουλόμενον· ἡ δὲ τῆς τρυφῆς καὶ τῆς θεραπείας τῆς περιττῆς καὶ τῆς φροντίδος τῆς ἀνονήτου οὐκ ἀπὸ τῆς φύσεως ὁρμᾶται, ἀλλ' ἀπὸ τῆς ῥᾳθυμίας καὶ τῆς πολλῆς ὕβρεως τίκτεται. Διὰ ταῦτα οὐκ ἀναγκάζει καὶ ἐν τούτοις τοὺς γεγαμηκότας ὑποκεῖσθαι ἀλλήλοις, καθάπερ καὶ ἐν ἐκείνοις. Τοῦτο τοίνυν ἐστὶν ἔχοντα γυναῖκα μὴ ἔχειν, ὅταν τὰς περιττὰς φροντίδας τὰς διὰ τὸν ἀκκισμὸν καὶ τὴν διάθρυψιν γινομένας τῶν γυναικῶν μὴ δεχώμεθα, ἀλλὰ τοσαύτην λάβωμεν προσθήκην φροντίδος, ὅσην εἰκὸς μιᾶς ψυχῆς προστεθείσης ἡμῖν, καὶ ταύτης φιλοσόφως καὶ εὐτελῶς ζῆν προῃρημένης. Ὅτι γὰρ τοῦτό φησι, διὰ τῆς ἐπαγωγῆς ἐδήλωσε· « Καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ οἱ χαίροντες ἐν κτήσεσιν ὡς μὴ χαίροντες. » Οἱ γὰρ μὴ χαίροντες οὐδὲ τῆς κτήσεως ἐπιμελήσονται, καὶ οἱ μὴ κλαίοντες οὔτε τὴν πενίαν δυνήσονται φρίττειν, οὔτε τὴν αὐτάρκειαν ἀποστρέφεσθαι. Τοῦτ' ἔστιν ἔχειν γυναῖκα καὶ μὴ ἔχειν· τοῦτ' ἔστι κεχρῆσθαι τῷ κόσμῳ καὶ μὴ καταχεχρῆσθαι. « Ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. » Ὅταν οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ μέριμνα ᾖ, καὶ ἐνταῦθα μὲν εἰκῇ καὶ μάτην, μᾶλλον δὲ καὶ ἐπὶ λύπῃ καὶ θλίψει (« Θλῖψιν γὰρ τῇ σαρκὶ, φησὶν, ἕξουσιν οἱ τοιοῦτοι »), ἐκεῖ δὲ ἐπὶ τοῖς ἀπορρήτοις ἀγαθοῖς, τί μὴ ταύτην αἱρούμεθα μᾶλλον τὴν φροντίδα, οὐ τῷ τοιαύτας καὶ τοσαύτας ἔχειν τὰς ἀντιδόσεις, ἀλλὰ καὶ τῇ φύσει κουφοτέραν οὖσαν ἐκείνης; Τί γὰρ ἡ μὴ γαμηθεῖσα μεριμνᾷ; ἆρα ὑπὲρ χρημάτων, ὑπὲρ οἰκετῶν, ὑπὲρ οἰκονόμων, ὑπὲρ ἀγρῶν, καὶ τῶν ἄλλων; μαγείροις ἐφίστηκε, καὶ ὑφάνταις, καὶ τῇ λοιπῇ θεραπείᾳ; Ἄπαγε· οὐδὲν τούτων εἰς νοῦν βάλλεται, ἀλλ' ἓν φροντίζει μόνον, τὴν αὐτῆς οἰκοδομεῖν ψυχὴν, τὸ ναὸν ἐκεῖνον τὸν ἅγιον κοσμεῖν οὐκ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις, οὐκ ἐπιτρίμμασιν οὐδὲ ὑπογραφαῖς, οὐ ταῖς ἄλλαις δυσκολίαις καὶ μοχθηρίαις, ἀλλὰ τῇ ἁγιωσύνῃ τῇ κατὰ σῶμα καὶ κατὰ πνεῦμα. « Ἡ δὲ γαμήσασα, φησὶ, μεριμνᾷ πῶς ἀρέσει τῷ ἀνδρί. » Σφόδρα συνετῶς οὐκ ἦλθεν ἐπὶ τὴν τῶν πραγμάτων αὐτῶν ἐξέτασιν, οὐδὲ εἶπεν ὅσα πάσχουσιν αἱ γυναῖκες ὑπὲρ τῆς εἰς τοὺς ἄνδρας ἀρεσκείας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, τὸ μὲν βασανίζουσαι καὶ κνιῶσαι καὶ ἑτέραις κολάσεσι καταστένουσαι, τὴν δὲ ἀνελευθερίας, κολακείας, ὑποκρίσεως, μικροψυχίας, φροντίδων περιττῶν καὶ ἀνονήτων πληροῦσαι· ἀλλὰ μιᾷ ῥήσει πάντα ταῦτα αἰνιξάμενος ἀφῆκε τῷ συνειδότι τῶν ἀκουόντων αὐτὰ ἀναλογίσασθαι· καὶ δείξας καὶ οὕτως τῆς παρθενίας τὴν ὑπεροχὴν, καὶ πρὸς αὐτὸν ἄρας αὐτὴν τὸν οὐρανὸν, πάλιν μετατίθησιν ἐπὶ τὴν

non est obnoxius, sed et viris fas est uxore invita delicias omnes ac circumfluentem curarum turbam amoliri; et uxori vicissim non est necesse, si nolit, comi, inanem gloriam captare, supervacua curare. Nec injuria; nam cupiditas quidem illa naturalis est; itaque ei nonnihil condonatum est, nec potest alter alterum nolentem defraudare; hæc vero deliciarum, supervacui cultus, inutilis curæ, non a natura proficiscitur, sed ex ignavia et insigni nequitia manat. Quare neque in his, ut in illis, conjuges invicem teneri cogit. Hoc igitur est, Uxorem habentes perinde esse ac si non haberent: supervacuas illas propter uxorem focum ac mollitiem curas non admittere, sed tantum curarum auxiliarium suscipere, quantum par sit unius capitis additamento, atque ejus philosophice ac tenuiter vitam instituentis. Id enim se velle corollario hoc significat (*ib.* 30): *Et qui flent tamquam non flentes, et qui* in prædiis *gaudent, ac si non gauderent:* nam nec qui non gaudent, prædia curabunt; nec qui non flent, aut inopiam horrere, aut frugalitatem aversari poterunt. Hoc vero est uxorem habere nec habere, mundo uti nec abuti. (*Ib* 33) *Qui cum uxore est, sollicitus est quæ sunt mundi.* Itaque cum et hic et illic curetur, atque hic etiam temere et frustra, imo et moleste et misere (nam *Tribulationem*, inquit [*ib.* 28], *carnis habebunt hujusmodi*), illic, quod ingens bonum sit; cur non illam potius adsciscimus curam, quæ non solum tot ac tantas remunerationes habeat, sed hac natura etiam levior sit? Quid enim curat innupta? an opes, an vernas, an œconomos, an agros, an reliqua? an coquis, textoribus, cætero servitio instat? Minime gentium; quin nihil horum vel cogitat, sed unum id laborat, ut animam suam tantum ædificet, et templum illud sanctum non cincinnis, aut auro, aut margaritis, non intritis, aut pigmentis, non id genus molestiis et ærumnis, sed animi atque corporis sanctimonia exornet. At *Nupta*, inquit (*ib.* 34), *curat ut viro placeat.* Admodum sapienter ad ipsarum rerum examen non descendit, neque ea commemoravit, quæ ut viris placeant et corpore et animo patiuntur, illud torquentes, oblinentes, atque aliis malis mulcantes, hunc illiberalitate, adulatione, simulatione, simultate, ineptis et inutilibus curis implentes; sed uno verbo hæc omnia subindicans recogitanda auditorum conscientiæ reliquit; atque ita virginitatis præstantiam declarans, ad cælumque eam tollens, rursum sermonem ad matrimonii

τοῦ γάμου συγχώρησιν τὸν λόγον, πανταχοῦ δεδοικὼς μή τις τὸ πρᾶγμα ἐπίταγμα εἶναι νομίσῃ. Διόπερ οὐδὲ ἠρκέσθη ταῖς προτέραις παραινέσεσιν, ἀλλ' εἰπὼν « Ἐπιταγὴν Κυρίου οὐκ ἔχω », καὶ « Ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε », πάλιν ἐνταῦθά φησιν, « Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. »

Ὑπὲρ οὗ καὶ διαπορήσειεν ἄν τις εἰκότως, πῶς ἀνωτέρω λύσιν δεσμῶν τὸ πρᾶγμα καλῶν, καὶ πρὸς τὸ συμφέρον ἡμῖν αὐτὸ συμβουλεύειν λέγων, καὶ ἵνα θλῖψιν μὴ ἔχωμεν, καὶ ἵνα ἀμέριμνοι ὦμεν, καὶ ἐπειδὴ φείδεται ἡμῶν, καὶ διὰ τούτων ἁπάντων δεικνὺς τὸ κοῦφον αὐτοῦ καὶ φορητὸν, ἐνταῦθά φησιν, « Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω; » Τί οὖν ἐστιν; Οὐ τὴν παρθενίαν βρόχον ἐκάλεσεν· ἄπαγε· ἀλλὰ τὸ μετὰ βίας καὶ ἀνάγκης αἱρεῖσθαι τοῦτο τὸ καλόν. Καὶ γὰρ οὕτως ἔχει· πᾶν ὅπερ ἂν βιαζόμενος καὶ μετὰ τοῦ μὴ βούλεσθαι καταδέχηταί τις, κἂν σφόδρα κοῦφον ᾖ, πάντων ἀφορητότερον γίνεται, καὶ ἀγχόνης χαλεπώτερον τὴν ἡμετέραν ἀποπνίγει ψυχήν. Διὰ τοῦτο εἶπεν, « Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω· » τοῦτ' ἔστιν, ἅπαντα τὰ καλὰ τῆς παρθενίας εἶπον καὶ ἀπέδειξα· καὶ μετὰ ταῦτα ὑμῖν ἅπαντα τὴν αἵρεσιν ὑμῖν ἐπιτρέπω τοῦ πράγματος, οὐχὶ μὴ βουλομένους ἕλκω πρὸς τὴν ἀρετήν. Οὐδὲ γὰρ ὑμᾶς θλῖψαι βουλόμενος ταῦτα συνεβούλευσα, ἀλλ' ὥστε μὴ τὴν εὐσχήμονα προσεδρίαν ὑπὸ τῶν βιωτικῶν ἐγκοπῆναι πραγμάτων. Σὺ δέ μοι θέα κἀνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς ταῖς παραιτήσεσι πάλιν παραίνεσιν ἐπεισήγαγε, καὶ διὰ τῆς συγχωρήσεως συμβουλήν. Τῷ γὰρ εἰπεῖν « Οὐκ ἀναγκάζω, ἀλλὰ παραινῶ », καὶ προσθεῖναι « διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον », ἔδειξε τῆς παρθενίας τὸ θαυμαστὸν, καὶ τὸ κέρδος ὅσον ἡμῖν ἐν τῇ κατὰ Θεὸν ἀπ' αὐτῆς γίνεται πολιτείᾳ. Οὐ γὰρ ἔνι τὴν βιωτικαῖς ἐμπεπλεγμένην φροντίσι καὶ πανταχοῦ περιελκομένην εὐπρόσεδρον εἶναι, τῆς σπουδῆς καὶ σχολῆς ἁπάσης εἰς πολλὰ μεριζομένης, εἰς ἄνδρα λέγω, καὶ οἰκίας ἐπιμέλειαν καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ὁ γάμος ἐπισύρεσθαι εἴωθε.

Τί οὖν, φησὶν, ὅταν καὶ ἡ παρθένος πολλὰ πραγματεύηται καὶ μερίμνας ἔχῃ βιωτικάς; Ἄπαγε· ἔξω ταύτην εἵλκυσας τοῦ τῶν παρθένων χοροῦ· οὐ γὰρ ἀρκεῖ τὸ μὴ γαμηθῆναι ποιῆσαι παρθένον, ἀλλὰ δεῖ καὶ τῆς ψυχικῆς ἁγνείας· ἁγνείαν δὲ λέγω οὐ τὸ πονηρᾶς καὶ αἰσχρᾶς ἐπιθυμίας ἀπηλλάχθαι μόνον καὶ καλλωπισμάτων καὶ περιεργίας, ἀλλὰ καὶ φροντίδος εἶναι καθαρὰν βιωτικῆς· ἂν δὲ μὴ τοῦτο ᾖ, τί τὸ ὄφελος τῆς σωματικῆς καθαρότητος; Ὥσπερ γὰρ στρατιώτου οὐδὲν αἰσχρότερον γένοιτ' ἂν τὰ ὅπλα ῥίψαντος καὶ καπηλείοις σχολάζοντος, οὕτως οὐδὲ παρθένων ἀσχημονέστερον βιωτικαῖς ἐνδεδεμένων φροντίσι. Καὶ γὰρ αἱ πέντε ἐκεῖναι καὶ λαμπάδας εἶχον καὶ παρθενίαν ἤσκησαν, ἀλλ' οὐδενὸς τούτων ἀπώναντο, ἀλλὰ τῶν θυρῶν ἀποκλεισθεισῶν ἔμενον ἔξω καὶ ἀπώλοντο. Καὶ γὰρ ἡ παρθενία διὰ τοῦτο καλὸν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος

permissionem confert; ubique sollicitus, ne id quisquam præceptum esse arbitraretur. Quamobrem nec superioribus cohortationibus contentus, cum dixisset, *Domini præceptum non habeo*; et, *Si nupsit virgo, non peccavit:* iterum hic ait (*ib.* 35), *Non ut laqueum vobis injiciam.*

LXXVI. [*Non virginitatem, sed nostram inertiam esse laqueum.*] In quo merito hoc alicui scrupulum moveat, quo pacto qui rem supra vinculorum solutionem vocet, et ad utilitatem nostram eam consulere dicat, ne miseris habeamus, ut sine sollicitudine simus, et quod nobis parceret, atque iis omnibus ejus levitatem ac facilitatem nolet, hic dicat, *Non ut laqueum vobis injiciam?* Quid igitur est? Non virginitatem: apage; sed vi et coactione bonum hoc amplecti, id laqueum vocat. Nam ita se res habet: quidquid compulsus et invitus suscipias, quantumvis leve sit, difficillimum redditur, et vel reste gravius mentem strangulat. Ideo ait, *Non ut laqueum vobis injiciam.* Id est, virginitatis bona omnia proposui et explicui, atque interim post hæc omnia optionem vobis permitto, non invitos virtutem trahо; neque enim vos afflictare volens hæc consului, sed ne honesta assiduitas humanis rebus inhibeatur. Videsis autem mihi et hic Pauli prudentiam, ut deprecationibus rursum exhortationem addat, ac permittens consulat. Nam qui dicit, *Non cogo, sed hortor*; ac subjicit (*ib.* 35), *Propter honestatem et assiduitatem*, virginitatis admirabilitatem atque fructum, qui ex ea ad divinam vitam manat, ostendit. Neque enim potest quæ humanis curis implicatur et huc illuc distrahitur, assidua esse, studio omni atque otio in multa distributo, in virum, ac familiæ curam, aliaque cuncta quæ matrimonium attrahere solet.

LXXVII. [*Quæ de terrenis rebus sollicita sit, virginem non esse.*] Quid vero, inquit, si et virgo de multis laboret, atque humana curet? Apage: virginum choro eam exemisti: siquidem ad virginem præstandam haud satis est non nupsisse, sed animi quoque castitate opus est; castitatem autem intelligo, non fœda ac flagitiosa solum libidine, ornatu, curiositate vacare, sed vitæ etiam curis solutam esse ac liberam: quod ni sit, quorsum corporis castitatem? Nam ut milite, qui abjectis armis in popinis occupetur, nihil turpius: ita nec virgine vitæ curis obstricta quidquam inhonestius. Etenim quinque illæ et lucernas habebant, et virginitatem exercuerant: quorum nihil eis profuit, sed clausis foribus exclusæ perierunt. Quippe ob id præstans est virginitas, quod omnem supervacuæ curæ ansam præ-

ὑπόθεσιν περιττῆς, καὶ πᾶσαν σχολὴν τοῖς κατὰ Θεὸν ἐνατίθησιν ἔργοις· ὡς ἂν μὴ τοῦτο ἔχῃ, πολὺ τοῦ γάμου πάλιν ἥττων γίνεται, ἀκάνθας ἐν τῇ ψυχῇ περιφέρουσα, καὶ τὸν καθαρὸν καὶ οὐράνιον συμπνίγουσα σπόρον.

« Εἰ δέ τις ἀσχημονεῖν, φησὶν, ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν. » Τί λέγεις « Ὃ θέλει ποιείτω », καὶ οὐ διορθοῖς τὴν ἐσφαλμένην γνώμην, ἀλλ' ἐπιτρέπεις γαμεῖν; Διὰ τί γὰρ οὐκ εἶπες, Εἰ δὲ ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἄθλιός ἐστι καὶ ταλαίπωρος, πρᾶγμα οὕτω θαυμαστὸν ἐπονείδιστον εἶναι νομίζων; Διὰ τί μὴ συνεβούλευσας ταύτης ἀπαλλαγέντα τῆς ὑποψίας, ἀπαγαγεῖν τοῦ γάμου τὴν αὐτοῦ θηγατέρα; Ὅτι, φησὶ, τῶν σφόδρα ἀσθενῶν καὶ χαμαὶ συρομένων ἦσαν αἱ τοιαῦται ψυχαί· τὰς δὲ οὕτω διακειμένας οὐκ ἐνῆν ἀθρόον ἀγαγεῖν ἐπὶ τοὺς ὑπὲρ τῆς παρθενίας λόγους. Ὁ γὰρ οὕτω πρὸς τὰ τοῦ κόσμου πράγματα ἐπτοημένος, καὶ τὸν παρόντα βίον θαυμάζων, ὡς καὶ μετὰ τὴν τοσαύτην παραίνεσιν αἰσχύνης ἄξιον εἶναι νομίζειν, ὃ τῶν οὐρανῶν ἄξιόν ἐστι καὶ τῆς ἀγγελικῆς πολιτείας ἐγγὺς, πῶς ἂν ἠνέσχετο συμβουλῆς εἰς τοῦτο εἰσαγούσης αὐτόν; Καὶ τί θαυμαστὸν, εἰ ἐπὶ πράγματος συγχωρημένου τοῦτο ὁ Παῦλος ἐποίησεν, ὅπου γε καὶ ἐπὶ κεκωλυμένου καὶ παρανόμου τὸ αὐτὸ πάλιν ποιεῖ; οἷόν τι λέγω· τὸ τῆς τῶν βρωμάτων παρατηρήσεως ἔχεσθαι, καὶ τοῦτο μὲν ἐγκρίνειν, ἐκεῖνο δὲ ἐκβάλλειν, Ἰουδαϊκῆς ἀσθενείας ἦν· ἀλλ' ὅμως ἦσαν παρὰ Ῥωμαίοις οἱ ταύτην ἔχοντες τὴν ἀσθένειαν· καὶ οὐ μόνον αὐτῶν οὐ κατηγόρησε μετὰ σφοδρότητος, ἀλλὰ καὶ ἕτερόν τι πλέον τούτου ποιεῖ. Τοὺς γὰρ ἁμαρτάνοντας ἀφεὶς, τοῖς ἐπιχειροῦσι κωλύειν αὐτοὺς ἐπιτιμᾷ λέγων, « Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; » Ἀλλ' οὐχ, ὅτε Κολοσσαεῦσιν ἐπέστειλε, τοῦτο ἐποίησεν, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ καθάπτεται αὐτῶν, καὶ φιλοσοφεῖ λέγων, « Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει· » καὶ πάλιν, « Εἰ ἀπεθάνετε ἐν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει. » Τί δήποτε οὖν τοῦτο ποιεῖ; Ὅτι ἐκεῖνοι μὲν ἦσαν ἰσχυροὶ, Ῥωμαῖοι δὲ πολλῆς ἔτι τῆς συγκαταβάσεως ἐδέοντο, καὶ περιέμενε πρότερον τὴν πίστιν ἐν ταῖς ἐκείνων παγῆναι ψυχαῖς, δεδοικὼς μὴ πρὸ καιροῦ τοῦ δέοντος θᾶττον ἐπὶ τὸ τὰ ζιζάνια ἀνασπάσαι ἐλθὼν, πρόῤῥιζα μετ' αὐτῶν συνανασπάσῃ καὶ τὰ τῆς ὑγιοῦς διδασκαλίας φυτά. Διὰ τοῦτο οὔτε καθικνεῖται αὐτῶν σφοδρῶς, οὔτε ἀνεπιτιμήτους ἀφίησιν, ἀλλὰ καθάπτεται μὲν, ἀνυπόπτως δὲ καὶ λανθανόντως, καὶ ἐν τῇ τῶν ἑτέρων ἐπιτιμήσει. Τῷ γὰρ λέγειν « Τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει » δοκεῖ μὲν ἐπιστομίζειν τὸν ἐπιπλήττοντα ἐκείνῳ, τὸ δὲ ἀληθὲς τὴν τούτου δάκνει ψυχὴν, ἐμφαίνων ὅτι τὸ τὰ τοιαῦτα αἱρεῖσθαι οὐ τῶν βεβαίων οὐδὲ τῶν παγίως

cidat, otium omne et studium divinis operibus consecrans : quod nisi habeat, matrimonio longe deterior est, spinas in animo circumferens, et legitimum ac cæleste semen suffocans.

LXXVIII. [*Cur non acriter eum carpat, qui in virgine sua indecorum se esse putat.*] *Si quis autem*, ait (*Ib.* 36), *turpem se videri existimat super virgine sua, quod sit superadulta, atque ita faciendum est, quod volet faciat, non peccat : nubant.* Hanc, *Quod volet faciat?* nec falsam existimationem corrigis, sed nubere permittis? Cur enim non dixisti, Quodsi quis in virgine sua indecorum se esse putat, miser et infelix est, rem tam admirandam infamem arbitratus? cur non consuluisti, opinione ea dimissa, filiam a matrimonio arcere? Quia, inquiet, animæ illæ admodum infirmæ et humi repentes erant, illæque sic affectæ statim ad virginitatis sermones adduci non poterant. Nam qui ad mundi res tam est attonitus, et hujus vitæ laudator, ut post tantam exhortationem, quod cælo dignum est et angelici instituti affine, probro habuisset, consilium eo inducens qui tulisset? Et quid mirum, si id in re concessa Paulus fecit, qui idem in vetita et illegitima facial? exempli causa : ciborum delectum habere, et alios probare, alios rejicere, Judaicæ imbecillitatis erat; quidam tamen apud Romanos ea imbecillitate laborabant : quos adeo non incessit vehementer, ut aliud quiddam majus etiam faciat; omissis enim iis qui peccassent, qui eos prohibere vellent, objurgat his verbis (*Rom.* 14. 10), *Tu autem quid judicas fratrem tuum?* At non Colossensibus scribens idem facit, sed magna auctoritate et eos carpit, et philosophatur, dicens (2. 16) : *Nemo ergo vos judicet in cibo atque potu.* Et rursum (*ibid.* v. 20-22), *Si ergo mortui estis cum Christo ab elementis mundi, quid tamquam viventes in mundo decernitis? Ne tangito, neu gustato, neu attrectato : quæ omnia usu pereunt.* Cur igitur id facit? Quod hi confirmati essent; Romani vero adhuc magna indulgentia opus haberent, et expectaret ille, dum fides in eorum prius animis constabiliretur : veritus ne ante tempus et æquo citius zizania revellere aggressus, cum iis sanæ doctrinæ stirpes una etiam revelleret. Itaque nec acriter incessit, nec irreprehensos dimittit, sed clam et necopinantes in aliis castigandis perstringit. Nam qui dicat (*Rom.* 14. 4), *Suo domino stat, aut cadit*, ille increpanti silentium imponere videtur, sed re vera increpati illius animum vellicat : ostendens, iis rebus duci non stabilium esse et firmiter consistentium, sed qui adhuc titu-

ἑστώτων ἐστὶν, ἀλλὰ τῶν ἔτι σαλευομένων, τῶν εἰ μὴ σταῖεν καὶ πεσεῖν κινδυνευόντων. Τὸν αὐτὸν δὴ κἀνταῦθα φυλάττει νόμον, διὰ τὴν πολλὴν ἀσθένειαν τῶν ἐπαισχυνομένων τῷ πράγματι. Οὐ γὰρ φανερῶς πρὸς αὐτὸν ἀποτείνεται, ἀλλ' ἐν τοῖς ἐπαίνοις τοῦ τὴν ἑαυτοῦ διατηροῦντος παρθένον δίδωσιν αὐτῷ σφοδρὰν τὴν πληγήν. Τί γάρ φησιν; « Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ. » Τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ εὐκόλως καὶ εὐχερῶς περιφερομένου, καὶ οὐδέποτε βέβαια βαδίζειν εἰδότος, οὐδὲ ἑστάναι μετὰ πολλῆς τῆς ἀνδρείας. Εἶτα ἐπειδὴ συνεῖδεν ἱκανὸν ὄντα τὸν λόγον δακεῖν τὴν ἐκείνου ψυχὴν, ὅρα πῶς αὐτὸν συνεσκίασε πάλιν, αἰτίαν ἐπαγαγὼν οὐ σφόδρα κατηγορίας ἀξίαν. Εἰπὼν γὰρ « Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ αὐτοῦ », προσέθηκε « Μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχων. » Καίτοι ἀκόλουθον ἦν εἰπεῖν, Ὃς δὲ ἕστηκεν ἑδραῖος, καὶ μὴ νομίζων τὸ πρᾶγμα ἀσχημοσύνην εἶναι· ἀλλὰ τοῦτο πληκτικώτερον ἦν· διὸ ἕτερον ἀντὶ τούτου προσέθηκε, παρημυθούμενος αὐτὸν, καὶ διδοὺς μᾶλλον ἐπὶ ταύτην ἐλθεῖν τὴν αἰτίαν. Οὐ γὰρ οὕτω δεινὸν τὸ πρᾶγμα δι' ἀνάγκην κωλύειν, ὡς δι' αἰσχύνην. Τοῦτο μὲν γὰρ ψυχῆς ἐστιν ἀνάνδρου καὶ ταλαιπώρου, ἐκεῖνο δὲ καὶ διεστραμμένης, καὶ οὐδὲ τὴν τῶν πραγμάτων ἐπισταμένης φύσιν κρίνειν ὀρθῶς. Ἀλλὰ τούτων οὔπω τῶν λόγων ἦν ὁ καιρός· ἐπεὶ ὅτι γε οὐδὲ ἀνάγκης ἐπικειμένης θέμις τὴν προῃρημένην παρθενεύειν κωλύεσθαι, ἀλλὰ πρὸς πάντα ἵστασθαι χρὴ γενναίως τὰ διακόπτοντα τὴν καλὴν ταύτην ὁρμὴν, ἄκουσον τί φησιν ὁ Χριστός· « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. » Ὅταν γάρ τι μετίωμεν τῶν τῷ Θεῷ δοκούντων, ἅπας ὁ κωλύων ἐχθρὸς ἔστω καὶ πολέμιος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν. Ἀλλ' ὁ Παῦλος ἔτι διαβαστάζων τῶν ἀκουόντων τὸ ἀτελὲς, ταῦτα ἔγραφε, λέγων, « Ὃς δὲ ἕστηκεν ἑδραῖος μὴ ἔχων ἀνάγκην »· καὶ οὐδὲ μέχρι τούτου τὸν λόγον ἔστησε· καίτοι γε τὸ « μὴ ἔχων ἀνάγκην » καὶ « ἐξουσίαν ἔχων » ταὐτόν ἐστιν· ἀλλὰ τῷ μήκει τοῦ λόγου καὶ τῇ συνεχείᾳ τῶν συγχωρήσεων τὴν εὐτελῆ καὶ μικρὰν παραμυθεῖται διάνοιαν, μετὰ τούτων καὶ ἑτέραν αἰτίαν προσθεὶς τὸ « Ὃς κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ. » Οὐ γὰρ ἀρκεῖ τὸ ἐλεύθερον εἶναι, οὐδὲ ἀπὸ τούτου μόνον ὑπεύθυνός ἐστιν, ἀλλ' ὅταν ἕληται καὶ κρίνῃ, τότε καλῶς ποιεῖ. Εἶτα ἵνα μὴ νομίσῃς διὰ τὴν πολλὴν συγκατάβασιν μηδὲν εἶναι τὸ μέσον, τίθησι πάλιν διαφορὰν μεθ' ὑποστολῆς μὲν, τίθησι δ' ὅμως, λέγων, « Ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ ». Ἀλλ' ἐνταῦθα μὲν ὅσον τὸ κρεῖττον οὐκ ἔδειξε διὰ τὴν αὐτὴν πάλιν αἰτίαν· σὺ δὲ εἰ θέλεις μαθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος, « Οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι ἐν οὐρανῷ ». Εἶδες τὸ μέσον, ποῦ τὸν θνητὸν ἡ παρθενία ἀθρόον αἴρει, ὅταν ὄντως ᾖ παρθενία;

Τί γὰρ τῶν ἀγγέλων ἀπεῖχον, εἰπέ μοι, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Ἰωάννης, οὗτοι οἱ γνήσιοι τῆς παρ-

bent, quibusque, ni sient, periculum sit ne cadant. Eamdem legem et hic servat propter insignem imbecillitatem eorum quibus pudendum esset : neque enim aperte eum petit, sed laudando eo qui suam virginem servet, egregie verberat. Nam quid ait? (1 *Cor.* 7. 37) *Sed qui stat firmus in corde suo* : quod ad distinctionem dictum est ejus qui leviter et facile jactetur, neque adhuc firmus gradiatur, nec viriliter stet. Deinde quia sciebat orationem eam satis esse ut ejus animum pungeret, vide ut eam rursum obnubat, causam haud sane reprehensione dignam afferendo. Eo enim dicto, *Sed qui stat firmus in corde suo*, addit, *Non habens necessitatem, potestatem autem habens.* Atqui consequens erat ut diceret, Sed qui constans est, neque id indecorum esse putat. Verum id acerbius erat. Itaque aliud substituit, eum consolans atque ad hanc potius causam venire passus. Siquidem minus indignum est coactum, quam dedecori habentem id velare. Nam illud imbecilli et miseri animi est; hoc etiam depravati, nec rerum naturam recte discernere scientis. Sed nondum hunc dicendi erat locus : etenim nec necessitate incumbente fas esse eam, quæ virgo degere instituerit, arcere, sed adversus omnia, quæ præclarum hoc studium impediant, fortiter nitendum esse, audi quid Christus censeat (*Matth.* 10. 37) : *Qui patrem aut matrem amat supra me, non est me dignus.* Quippe ubi quid Deo acceptum persequimur, quisquis prohibet, seu pater, seu mater, seu quicumque sit, hostis atque inimicus est habendus. Sed hæc Paulus, qui auditorum imperfectionem adhuc sustineret, scribit, inquiens, *Sed qui stat firmus non habens necessitatem.* Neque hic stetit, etsi, *non habens necessitatem*, et, *potestatem habens*, idem sint : sed sententiæ prolixitate, ac permissionum assiduitate, fractam et exilem mentem solatur; postea et alteram addens causam, *Qui in corde suo statuit.* Neque enim sufficit liberum esse, neque hinc solum fit obnoxius, sed ubi eligat atque statuat, tum vero recte facit. Deinde ne propter ingentem indulgentiam nihil interesse crederes, iterum discrimen edit, timide ille quidem, sed edit tamen his verbis (1 *Cor.* 7. 38) : *Itaque et qui matrimonio jungit, bene facit, et qui non jungit, melius facit.* Cæterum quanto hoc melius sit, hic non explicat eadem de causa : quod si scire vis, audi dicentem Christum (*Matth.* 22. 30), *Nec ducunt, nec ducuntur, sed sunt sicut angeli in cœlo.* Vidisti discrimen, quo virginitas mortalem repente attollit, modo vera sit virginitas?

LXXIX. [*Nulla re inferiorem fuisse Angelis Etiam ei qui ejus similes, idque virginitatis beneficio.*] Etenim

θνείας ἐράσται; Οὐδὲν ἀλλ' ἢ ὅσον θνητῇ προσεδέδεντο φύσει· τὰ δὲ ἄλλα εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲν χεῖρον ἐκείνων εὑρήσει διακειμένους· καὶ τοῦτο δὲ αὐτὸ τὸ ὀχεῖσθαι ἔλαττωμα εἶναι, μέγα εἰς ἐγκωμίου λόγον ἐστί. Τὸ γὰρ γῆν οἰκοῦντας, καὶ τῇ τῆς θνητῆς φύσεως ὑποκειμένους ἀνάγκῃ, δυνηθῆναι φθάσαι πρὸς ἐκείνην τὴν ἀρετὴν, ὅρα πόσης ἀνδρείας, πόσης φιλοσοφίας ἦν. Ὅτι δὲ αὐτοὺς ἡ παρθενία τοιούτους ἐποίησε, δῆλον ἐκεῖθεν· εἰ γὰρ γυναῖκα εἶχον καὶ παῖδας, οὐκ ἂν εὐκόλως τὴν ἐρημίαν ᾠκησαν, οὐκ ἂν οἰκίας κατεφρόνησαν, οὐκ ἂν τῆς ἄλλης τοῦ βίου κατασκευῆς· νῦν δὲ πάντων τούτων ἀπολυθέντες τῶν δεσμῶν, ὡς ἐν οὐρανοῖς ὄντες οὕτω διέτριβον ἐπὶ τῆς γῆς· οὐ τοίχων ἐδέοντο, οὐκ ὀροφῆς, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός, ἀλλ' ἀντὶ μὲν στέγης εἶχον τὸν οὐρανὸν, ἀντὶ δὲ κλίνης τὴν γῆν, ἀντὶ δὲ τραπέζης τὴν ἐρημίαν· καὶ πρᾶγμα ὃ τοῖς ἄλλοις αἴτιον εἶναι λιμοῦ δοκεῖ, τῆς ἐρημίας ἡ ἀκαρπία, τοῦτο τοὺς ἁγίους ἐκείνους ἐν ἀφθονίᾳ καθίστη. Οὐ γὰρ ἀμπέλων αὐτοῖς ἐδέησεν, οὐδὲ ληνῶν, οὐδὲ ληΐων, οὐδὲ ἀμητοῦ· ἀλλὰ τὸ μὲν ποτὸν αὐτοῖς ἄφθονον παρεῖχον καὶ ἡδὺ πηγαὶ καὶ ποταμοὶ καὶ λίμναι, τράπεζαν δὲ τῷ μὲν ἄγγελος κατεσκεύαζε θαυμαστήν τινα καὶ παράδοξον, καὶ μείζονα ἢ κατ' ἀνθρωπίνην συνήθειαν· « Ὁ γὰρ εἷς ἄρτος, φησὶ, πρὸς τεσσαράκοντα ἡμερῶν ἀσιτίαν ἤρκεσε· » τὸν δὲ ἡ τοῦ Πνεύματος χάρις πολλάκις ἔτρεφε θαυματουργοῦσα, καὶ οὐχ αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἐκείνου ἑτέρους. Ὁ δὲ προφήτου πλέον Ἰωάννης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, οὐδὲ ἀνθρωπίνης ἐδεήθη τροφῆς· οὐ γὰρ σῖτος καὶ οἶνος καὶ ἔλαιον, ἀλλ' ἀκρίδες καὶ μέλι ἄγριον τὴν τοῦ σώματος αὐτοῦ διεκράτουν ζωήν. Εἶδες ἀγγέλους ἐπὶ τῆς γῆς; εἶδες παρθενίας ἰσχύν; Τοὺς αἵματι καὶ σαρκὶ συμπεπλεγμένους, τοὺς χαμαὶ ἰοῦντας, τοὺς ἀνάγκῃ φύσεως ὑποκειμένους θνητῆς, ὡς ἀσωμάτους, ὡς τὸν οὐρανὸν ἤδη λαχόντας, ὡς ἀθανασίαν μετειληφότας, οὕτως ἅπαντα ποιεῖν παρεσκεύασε.

Πάντα γὰρ ἐκείνοις ἦν περιττὰ, οὐ ταῦτα μόνον τὰ ὄντως ὄντα περιττὰ, τρυφὴ, καὶ πλοῦτος, καὶ δυναστεία, καὶ δόξα, καὶ ὁ λοιπὸς τῶν ὀνείρων ὁρμαθός· ἀλλὰ καὶ τὰ δοκοῦντα εἶναι ἀναγκαῖα, οἰκίαι, καὶ πόλεις, καὶ τέχναι· τοῦτ' ἔστι τὸ « εὔσχημον καὶ εὐπρόσδορον εἶναι », τοῦτο παρθενίας ἀρετή. Θαυμαστὸν μὲν γὰρ καὶ πολλῶν στεφάνων ἄξιον καὶ τὸ τῆς τῶν ἐπιθυμιῶν περιγενέσθαι λύττης, καὶ μαινομένην κατέχειν τὴν φύσιν· ἀλλὰ τότε ὄντως γίνεται θαυμαστὸν, ὅταν ὁ τοιοῦτος βίος προσῇ· αὐτὸ δὲ καθ' ἑαυτὸ ἀσθενὲς, καὶ οὐχ ἱκανὸν σῶσαι τοὺς ἔχοντας. Καὶ μαρτυρήσειαν ἂν ἡμῖν ὅσαι παρθενίαν μὲν ἀσκοῦσι καὶ νῦν, τοσοῦτον δὲ ἀποδέουσιν Ἠλίου καὶ Ἐλισσαίου καὶ Ἰωάννου, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ. Ὥσπερ γὰρ τὸ « εὔσχημον καὶ εὐπρόσδορον » ἂν περιέλῃς, αὐτὰ τὰ νεῦρα τῆς παρθενίας ἐξέκοψας, οὕτως ὅταν αὐτὴν μετὰ πολιτείας ἔχῃς ἀρίστης, τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν ἔχεις τῶν καλῶν. Καθάquare ab angelis differebant Elias, Elisæus, Joannes, germani hi virginitatis amatores? Nulla nisi quod mortali natura erant obstricti; cætera si quis accurate inquirat, nihilo iis deterius affectos inveniet: atque hoc ipsum, quo inferiores videbantur, valde ad laudem facit. Nam in terra degentes, ac mortalis naturæ necessitati subjectos, ad eam virtutem evadere potuisse, vide quantæ fortitudinis, quantæ philosophiæ erat. Ac virginitatem eos tales comparasse, hinc perspicuum est. Si enim conjuges atque liberos habuissent, non tam facile deserta habitassent, nec ædes et reliquum vitæ apparatum neglexissent. Nunc iis omnibus vinculis soluti, in terra velut in cælo degentes agebant, non parietibus, non tecto, non toro, non mensa, non alio id genus ullo indigentes: quin cælum pro tecto, humum pro toro, solitudinem pro mensa habebant; ac quæ res aliis famis causa videatur, deserti sterilitas, ea sanctis illis abundantiam præstabat: siquidem nec vitibus, nec torcularibus, nec frugibus, nec messe opus habebant, sed uberem ac dulcem potum fontes, stagna et fluvii suppeditabant. Mensam uni angelus paravit insuditam, insolentem, humana consuetudine majorem: *Unus* enim, inquit (3 *Reg.* 19. 6 *et* 8), *panis ad quadraginta dierum inediam sufficit.* Alterum Spiritus gratia sæpe mirifice pavit, neque eum solum, sed alios etiam ejus causa. Cæterum Joannes plus quam propheta, quo nullus in feminarum natis major surrexit, nec humani cibi indiguit: qui non frumento, vino, oleo, sed locustis silvestrique melle corporis vitam sustentaret. En terrestres angelos, en virginitatis vim! efficiebat ut homines carne ac sanguine cognuentati, humi gradientes, mortalis naturæ necessitati obnoxii, tamquam incorporei, tamquam cælum jam adepti, tamquam immortalitatem consequuti, sic cuncta præstarent.

LXXX. [*Quid sit honestas et assiduitas decora.*] Quippe erant iis cuncta supervacua, non hæc solum quæ vere supervacua sunt, deliciæ, opes, potentia, gloria, et reliqua somniorum series, sed etiam quæ necessaria videntur, ædes, urbes, artificia. Hoc est *honestas et decora assiduitas,* hoc virginitatis virtus. Nam mirum quidem et multis coronis dignum est, libidinum insaniam frangere, ac furentem naturam coercere: sed tum vere mirum, cum ejusmodi etiam vita accedit; seorsim autem et per se exilis est, neque eo præditos servare potest. Atque hic nobis testes sint quotquot hodieque virginitatem exercent, quæ tantum absunt ab Elia et Elisæo et Joanne, quantum terra a cælo. Ut enim, si *honestatem et decoram assiduitatem* eripias, virginitatis nervos succideris; ita si eam cum vita quam optima conjungas, radicem ac fontem bonorum

περ γὰρ ῥίζαν γῆ λιπαρὰ καὶ γόνιμος, οὕτως οἶδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς παρθενίας καρπούς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν. Αὕτη τοὺς γενναίους ἐκείνους πρὸς τὸν θαυμαστὸν ἤλειψε δρόμον, πάντα μὲν αὐτῶν τὰ δεσμὰ περικόψασα, ποσὶ δὲ εὐλύτοις καὶ κούφοις καθάπερ πτηνοὺς ἀφεῖσα πέτασθαι πρὸς τὸν οὐρανόν. Ὅπου γὰρ οὔτε γυναικὸς θεραπεία, οὔτε παίδων ἐπιμέλεια, πολλὴ τῆς ἀκτημοσύνης ἡ εὐκολία· ἀκτημοσύνη δὲ ἐγγὺς εἶναι ποιεῖ τῶν οὐρανῶν, οὐ φόβων μόνον, οὐδὲ φροντίδων, οὐδὲ κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης δυσκολίας ἡμᾶς ἀπαλλάττουσα.

Ὁ μὲν γὰρ μηδὲν ἔχων ὡς τὰ πάντα κατέχων, οὕτως ἁπάντων καταφρονεῖ, καὶ παῤῥησίᾳ κέχρηται πολλῇ καὶ πρὸς ἄρχοντας καὶ πρὸς δυνάστας καὶ πρὸς αὐτὸν τὸν τὸ διάδημα περικείμενον. Ὁ χρημάτων καταφρονῶν ὁδῷ προβαίνων καὶ θανάτου καταφρονήσει ῥᾳδίως· τούτων δὲ γενόμενος ἀνωτέρω πᾶσι μετὰ παῤῥησίας διαλέξεται, οὐδένα δεδοικὼς οὐδὲ τρέμων. Ὁ δὲ περὶ χρήματα ἠσχολημένος οὐ χρημάτων ἐστὶ μόνον δοῦλος, ἀλλὰ καὶ δόξης καὶ τιμῆς καὶ τῆς παρούσης ζωῆς, καὶ πάντων ἁπλῶς εἰπεῖν τῶν βιωτικῶν. Διὰ τοῦτο ῥίζαν αὐτὴν τῶν κακῶν πάντων ὁ Παῦλος ἐκάλεσεν. Ἀλλὰ ταύτην ἱκανὴ ξηρᾶναι τὴν ῥίζαν ἡ παρθενία, καὶ ἑτέραν ἡμῖν ἐνθεῖναι τὴν ἀρίστην, τὴν ἅπαντα βλαστάνουσαν τὰ καλὰ, ἐλευθερίαν, παῤῥησίαν, ἀνδρείαν, ζῆλον πεπυρωμένον, ἔρωτα τῶν οὐρανίων θερμὸν, ὑπεροψίαν πάντων τῶν ἐπὶ τῆς γῆς· οὕτω τὸ « εὔσχημον καὶ εὐπρόσεδρον » γίνεται.

Ἀλλὰ τίς ὁ σοφὸς τῶν πολλῶν λόγος; Ὁ πατριάρχης, φησὶν, Ἀβραὰμ καὶ γυναῖκα εἶχε, καὶ παῖδας, καὶ χρήματα, καὶ ποίμνια, καὶ βουκόλια· καὶ μετὰ πάντα ἐκεῖνα Ἰωάννης, ὅ τε Βαπτιστὴς, ὅ τε Εὐαγγελιστὴς, παρθένοι ἀμφότεροι τυγχάνοντες, καὶ Παῦλος καὶ Πέτρος ἐπὶ τῆς ἐγκρατείας διαλάμψαντες, εἰς τοὺς ἐκείνου κόλπους εὔχονται ἐλθεῖν. Τίς σοι τοῦτο εἶπεν, ὦ βέλτιστε; ποῖος προφήτης, τίς εὐαγγελιστής; Αὐτὸς, φησὶν, ὁ Χριστός. Τὸν γὰρ ἑκατοντάρχην ἰδὼν πολλὴν ἔχοντα τὴν πίστιν, ἔλεγεν ὅτι « Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. » Καὶ ὁ Λάζαρος δὲ μετ' αὐτοῦ τότε ὁρᾶται ὑπὸ τοῦ πλουσίου τρυφῶν. Καὶ τί τοῦτο πρὸς Παῦλον, τί δὲ πρὸς Πέτρον, τί δὲ πρὸς Ἰωάννην; Οὐ γὰρ ὁ Λάζαρος Παῦλος καὶ Ἰωάννης ἦν, οὐδὲ οἱ πολλοὶ οἱ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ὁ τῶν ἀποστόλων ἦσαν χορός. Ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος καὶ μάταιος. Εἰ δὲ θέλεις ὅλως ἀκοῦσαι τὰ τῶν ἀποστόλων ἔπαθλα, ἄκουσον τοῦ μέλλοντος αὐτὰ διδόναι λέγοντος, « Καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. » Καὶ οὐδαμοῦ ἐνταῦθα ὁ Ἀβραὰμ, οὐδὲ ὁ τούτου παῖς, οὐδὲ ὁ ἐκείνου, οὐδὲ ὁ λαχὼν αὐτοὺς κόλπος, ἀλλ' ἀξία πολλῷ μείζων ἐκείνης· τοὺς γὰρ ἐκείνων οὗτοι καθεδοῦνται κρινοῦντες ἐκγόνους. Οὐ ταύτῃ δὲ μόνον

tenes. Nam quemadmodum radicem terra pinguis ac fertilis, sic vita quam optima virginitatis fructus nutrire novit : imo et radix et fructus virginitatis vita crucifixa est. Hæc generosos illos ad mirabilem cursum imunxit, vinculis omnibus recisis, liberis ac pernicibus pedibus tamquam alatos in cælum evolaturos dimittens. Ubi enim nec uxoris studium, nec liberorum cura sit, perfacilis est egestas : egestas autem nos cælo vicinos præstat, non terroribus solum et curis ac periculis, sed reliquis etiam omnibus molestiis liberans.

LXXXI. [*Quantum bonum egestas.*] Nam qui nihil habet, ceu omnia tenens omnia contemnit, et magna libertate adversus magistratus, primates, atque ipsum diademate ornatum utitur. Qui opes contemnit, sensim progressus facile mortem etiam contemnet : atque his excelsior omnes intrepide alloquetur, neminem pavens ac formidans. At qui opibus occupetur, non opum tantum mancipium est, sed etiam gloriæ, honoris, præsentis vitæ, atque, ut semel dicam, omnium quæ ad vitam pertinent. Itaque avaritiam Paulus (1 *Tim.* 6. 10) malorum omnium radicem dixit. Verum et hanc radicem virginitas potis est exsiccare, et aliam optimam nobis indere, unde bona omnia pullulent, libertas, fiducia, fortitudo, zelus ardens, cælestium fervens amor, terrestrium omnium despectus. Ita *honestas et decora assiduitas* paratur.

LXXXII. [*Contra eos qui dicunt optare virgines in Abrahami sinum venire.*] Sed quæ est hæc multorum sapiens oratio? Patriarcha, inquit, Abraham et uxorem habuit, et liberos, et opes, et greges, et armenta : ac post ea omnia Joannes tum Baptista, tum Evangelista, uterque virgo, et Paulus atque Petrus continentia illustres, in ejus sinum venire optant. Quis autem tibi id dixit, bone vir? quis propheta? quis evangelista? Ipse, inquit, Christus. Nam centurionem videns summa fiducia præditum, ait (*Matth.* 8. 11) : *Multi ab Oriente et Occidente venient, et recumbent cum Abraham et Isaac et Jacob.* Quin Lazarus cum eo tum delicians a divite videtur. Quid hoc ad Paulum? quid ad Petrum? quid ad Joannem? neque enim aut Lazarus Paulus ac Joannes erat, aut multi illi ab Oriente et Occidente, apostolorum chorus erant. Itaque hæc vobis cassa et inanis est oratio. Quodsi apostolorum præmia plane audire vis, ea distributuri sententiam accipe (*Matth.* 19. 28) : *Sedebitis super thronos duodecim, judicantes duodecim tribus Israel.* Nusquam hic aut Abraham, aut ejus natus, aut nepos, aut qui eos acceperit sinus, sed dignitas longe hac sublimior : nam hi illorum posteros judi-

ἡ διαφορὰ δήλη, ἀλλ' ὅτι ὧν μὲν ὁ Ἀβραὰμ ἔτυχε πολλοὶ τεύξονται (« Πολλοὶ γὰρ ἐλεύσονται, φησὶν, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ »), τῶν δὲ θρόνων ἐκείνων οὐδεὶς ἐπιλήψεται ἕτερος ἀλλ' ἢ μόνος ὁ τῶν ἁγίων τούτων χορός. Ἔτ' οὖν, εἰπέ μοι, ποιμνίων μέμνησθε, καὶ βουκολίων, καὶ γάμων, καὶ παίδων; Τί οὖν, φησὶν, ὅταν τῶν παρθενευσάντων πολλοὶ μετὰ τοὺς πολλοὺς ἱδρῶτας εὔχονται χωρῆσαι ἐκεῖ; Ἐγὼ δὲ τούτου μεῖζον ἐρῶ, ὅτι πολλοὶ τῶν παρθενευσάντων οὐδὲ ἐκείνων ἐπιτεύξονται τῶν κόλπων, οὐδὲ τῶν ἐλαττόνων, ἀλλ' εἰς τὴν γέενναν αὐτὴν ἀπελεύσονται· καὶ ἔηλοῦσιν αἱ τοῦ νυμφῶνος ἀποκλεισθεῖσαι παρθένοι. Ἆρ' οὖν παρὰ τοῦτο τῆς παρθενίας ἴσος ὁ γάμος, ἢ καὶ χείρων; τὸ γὰρ ὑπόδειγμα τὸ σὸν καὶ χείρονα αὐτὴν ποιεῖ. Εἰ γὰρ ὁ μὲν γεγαμηκὼς Ἀβραὰμ ἐν ἀνέσει καὶ τρυφῇ, οἱ δὲ παρθενεύσαντες ἐν γεέννῃ, τοῦτο λείπεται κατὰ τὸν ὑμέτερον ὑποπτεῦσαι λόγον. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐ γὰρ μόνον οὐκ ἥττων, ἀλλὰ καὶ πολλῷ βελτίων ἡ παρθενία τοῦ γάμου. Πῶς; Ὅτι οὔτε τὸν Ἀβραὰμ ὁ γάμος τοιοῦτον ἐποίησεν, οὔτε ἡ παρθενία τὰς ἀθλίας ἐκείνας ἀπώλεσεν· ἀλλὰ καὶ τὸν πατριάρχην ἡ λοιπὴ τῆς ψυχῆς ἀρετὴ λαμπρὸν ἀπέδειξε, καὶ ταύτας ἡ λοιπὴ κακία τοῦ βίου τῷ πυρὶ παρέδωκεν. Ἐκεῖνος μὲν γὰρ καὶ ἐν γάμῳ ζῶν ἐσπούδαζε τὰ τῆς παρθενίας κατορθῶσαι καλὰ, τὸ εὔσχημον λέγω καὶ εὐπρόσεδρον· αὗται δὲ καὶ παρθενίαν ἑλόμεναι, εἰς τὸν τοῦ βίου κλύδωνα καὶ τὰς ἐν τῷ γάμῳ πραγματείας κατέπεσον. Τί οὖν κωλύει, φησὶ, καὶ νῦν μετὰ τοῦ γάμου καὶ τῶν παίδων καὶ τῶν χρημάτων καὶ τῶν ἄλλων ἁπάντων τὸ εὐπρόσεδρον διασῶσαι; Πρῶτον μὲν ὅτι οὐδεὶς κατὰ τὸν Ἀβραὰμ νῦν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγύς. Καὶ γὰρ τῶν ἀκτημοσύνην ἀσκούντων μᾶλλον ἐκεῖνος χρημάτων καταφρόνει, πλουτῶν καὶ γυναῖκα ἔχων, καὶ ἡδονῆς μᾶλλον τῶν παρθενευόντων ἐκράτει. Οὗτοι μὲν γὰρ καθ' ἑκάστην ὑπὸ τῆς ἐπιθυμίας φλέγονται τὴν ἡμέραν· ἐκεῖνος δὲ οὕτω ταύτην κατεσβέκει τὴν φλόγα, καὶ οὐδεμιᾷ συνεδέδετο προσπαθείᾳ, ὡς μὴ μόνον ἀποσχέσθαι τῆς παλλακίδος, ἀλλὰ καὶ ἐκβαλεῖν αὐτὴν τῆς οἰκίας ὑπὲρ τοῦ μάχης καὶ στάσεως πᾶσαν ὑπόθεσιν ἀνελεῖν· νῦν δὲ οὐ σφόδρα εὔκολον τοῦτο εὑρεῖν.

Καὶ χωρὶς τούτων δὲ, ὅπερ καὶ ἀρχόμενος ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι οὐ τὸ αὐτὸ τῆς ἀρετῆς ἀπαιτούμεθα μέτρον ἡμεῖς τε κἀκεῖνοι. Νῦν μὲν γὰρ οὐκ ἔστι τέλειον εἶναι μὴ πάντα πωλήσαντα, μὴ πᾶσιν ἀποταξάμενον, οὐ χρήμασι λέγω μόνον καὶ οἰκίᾳ, ἀλλὰ καὶ τῇ ψυχῇ τῇ ἑαυτοῦ· τότε δὲ οὔπω τοσαύτης ἀκριβείας ἐπίδειξις ἦν. Τί οὖν; ἀκριβέστερον ἡμεῖς, φησὶ, τοῦ πατριάρχου βιοῦμεν νῦν; Ὠφείλομεν μὲν οὖν, καὶ τοῦτο ἐπιτεταγμεθα, οὐ βιοῦμεν δέ· καὶ διὰ τοῦτο πολὺ τοῦ δικαίου ἀπολειπόμεθα· ἐπεὶ ὅτι γε μείζονα ἡμῖν τὰ σκάμματα πρόκειται, παντί που δῆλόν ἐστι. Διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζουσα ἡ Γραφὴ

captari sedebunt. Neque hic dumtaxat evidens discrimen est, sed quod quæ Abrahamus est adeptus multi naneiscentur (*Multi* enim, inquit, *ab Oriente et Occidente venient, et recumbent cum Abraham et Isaac et Jacob*); thronos autem illos, nisi sanctorum horum chorus, occupabit nemo. Et adhuc greges, armenta, matrimonia, liberos commemoratis? Quid igitur, inquit, si virginum multi post graves sudores eo venire optant? Ego vero majus etiam quiddam dicam, virginum multos nec eos quidem sinus, nec minora consequuturos, sed in gehennam discessuros: atque id virgines ostendunt thalamo exclusæ. Ergone hinc virginitati par est matrimonium, aut hæc etiam deterior? exemplum quippe tuum hanc illo etiam deteriorem facit. Nam si Abraham conjugatus in requie et deliciis est, virgines in gehenna, id ex oratione vestra conjectandum relinquitur. Sed non ita est, inquam: quin adeo matrimonio deterior non est, ut longe etiam præstantior sit. Quomodo? Quod nec Abraham matrimonium talem præstitit, nec miseras illas virginitas perdidit; sed et patriarcham reliqua animæ virtus illustrem reddidit, et has reliqua vitæ nequitia igni tradidit. Siquidem ille in matrimonio degens, virginitatis bonis perfungi studuit, *honestate*, inquam, et *decora assiduitate*: hæ virginitatem amplexæ, in vitæ procellas et matrimonii negotia reciderunt. Quid igitur, inquit, et nunc vetat maritum, ac liberis, opibus, cæterisque omnibus instructum, *decoram assiduitatem* tueri? Primum quod nemo nunc par est Abrahamo, sed nec parvo intervallo proximus. Nam ille, qui et opes et uxorem haberet, etiam magis quam qui inopiam profitentur pecunias contemsit, et voluptatem fortius quam virginitatem amplexi cohibuit. Hi enim quotidie libidinibus ardent; ille adeo eam flammam exstinxerat, neque ulla cupiditate obstrictus tenebatur, ut non solum pellice abstineret, sed etiam domo eam pelleret, quo litis ac dissidii occasionem omnem tolleret. Quod equidem nunc haud sane facile reperire est.

LXXXIII. [*Non eumdem virtutis modum nobis et antiquis propositum esse.*] Præterea autem, quod initio dicebam, et nunc repetam, non eumdem a nobis atque ab illa virtutis modum exigi. Siquidem nunc perfectum esse non licet, nisi omnibus venditis, nisi omnibus valere jussis, non opibus tantum et ædibus, sed anima etiam sua: tum nondum tantæ accurationis specimen erat. Quid igitur? inquit; accuratius nunc quam patriarcha vivimus? Deberemus certe, atque id jubemur, sed non præstamus: ideoque longe a justo relinquimur. Nam quin majora nobis certamina proposita sint, nulli dubium est. Itaque Noe laudans Scri-

οὐχ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ προσθήκης τινός· « Νῶε γάρ, φησὶ, δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν· » οὐχ ἁπλῶς τέλειος, ἀλλ' ἐν τῷ τότε καιρῷ. Πολλοὶ γὰρ τελειότητος τρόποι κατὰ διαφόρους ὡρισμένοι καιρούς· καὶ τοῦ χρόνου προκόπτοντος τὸ ποτὲ τέλειον ἀτελὲς ὕστερον γίνεται· οἷόν τι λέγω· τέλειον ἦν ποτε τὸ κατὰ τὸν νόμον βιοῦν· « Ὁ ποιήσας γὰρ αὐτὰ, φησὶ, ζήσεται ἐν αὐτοῖς· » ἀλλ' ἐλθὼν ὁ Χριστὸς τοῦτο τὸ τέλειον ἔδειξεν ἀτελές· « Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Τότε φόνος ἐδόκει μόνον εἶναι δεινὸν, νῦν δὲ καὶ ὀργὴ καὶ λοιδορία μόνη τῇ γεέννῃ παραπέμψαι δύναιτ' ἄν· τότε μοιχεία ἐκολάζετο μόνον, νῦν δὲ καὶ τὸ ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα ἰδεῖν οὐκ ἀπήλλακται τιμωρίας· τότε ἡ ἐπιορκία μόνη ἦν ἐκ τοῦ πονηροῦ, νῦν δὲ καὶ τὸ ὀμόσαι· « Τὸ γὰρ περισσὸν, φησὶ, τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. » Οὐδὲν πλέον ἀπῃτοῦντο οἱ τότε, ἢ τὸ τοὺς φιλοῦντας ἀγαπᾶν· νῦν δὲ τὸ μέγα τοῦτο καὶ θαυμαστὸν οὕτως ἐστὶν ἀτελὲς, ὡς καὶ μετὰ τὴν κατόρθωσιν αὐτοῦ μηδὲν πλέον ἡμᾶς ἔχειν τῶν τελωνῶν.

Τί δήποτ' οὖν τῶν αὐτῶν κατορθωμάτων οὐχ ὁ αὐτὸς κεῖται μισθὸς ἡμῖν καὶ τοῖς ἐν τῇ Παλαιᾷ, ἀλλὰ μείζονα ἐπιδείκνυσθαι δεῖ τὴν ἀρετὴν, εἰ μέλλοιμεν τῶν αὐτῶν ἐκείνοις τυγχάνειν; Ὅτι πολλὴ ἡ τοῦ πνεύματος χάρις ἐκκέχυται νῦν, καὶ μεγάλη τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δωρεά· ἄνδρας γὰρ αὕτη τελείους ἀντὶ νηπίων ἐποίησεν. Ὥσπερ οὖν ἡμεῖς τοὺς παῖδας τοὺς ἡμετέρους, ὅταν ἡβήσωσι, πολλῷ μείζονα ἀπαιτοῦμεν τὰ κατορθώματα, καὶ ἃ ποιοῦντας πρότερον ἐπῃνοῦμεν κατὰ τὴν πρώτην ἡλικίαν, ταῦτα γενομένους ἄνδρας καὶ κατορθοῦντας οὐκέθ' ὁμοίως θαυμάζομεν, ἀλλ' ἕτερα πολλῷ μείζονα ἐκείνων κελεύομεν ἐπιδείκνυσθαι· οὕτω καὶ τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς ἐν τοῖς πρώτοις χρόνοις οὐ μεγάλα ἀπῄτει τὰ κατορθώματα, ἅτε νηπιωδέστερον διακειμένην· ἐπειδὴ δὲ προφητῶν ἤκουσεν, ἀποστόλων, καὶ τῆς τοῦ Πνεύματος ἐπέτυχε χάριτος, ἐπέτεινεν αὐτῇ τῶν κατορθωμάτων τὸ μέγεθος· εἰκότως. Καὶ γὰρ μισθοὺς μείζονας ἔθηκε, καὶ τὰ ἔπαθλα πολλῷ λαμπρότερα νῦν· οὐκέτι γὰρ γῇ καὶ τὰ ἐπὶ τῆς γῆς, ἀλλ' οὐρανὸς καὶ τὰ νοῦν ὑπερβαίνοντα ἀγαθὰ τοῖς κατορθοῦσιν ἀπόκειται. Πῶς οὖν οὐκ ἄτοπον ἐπὶ τῆς αὐτῆς ἔτι μένειν σμικρότητος ἀνδρωθέντας; Τότε μὲν γὰρ ἡ ἀνθρωπίνη καθ' ἑαυτὴν ἔσχιστο φύσις, καὶ πόλεμος ἦν ἄσπονδος· καὶ τοῦτον ὁ Παῦλος διηγούμενος οὕτωσί πως φησί· « Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. » Ἀλλὰ νῦν οὐκ ἔστι ταῦτα. « Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· » καὶ περὶ τούτων

ptura, non simpliciter id facit, sed cum additamento quodam : nam ait (*Gen.* 6. 9), *Noe justus, perfectus in generatione sua, Deo placuit :* non simpliciter perfectus, sed in illo tempore. Multi enim sunt perfectionis modi, aliis atque aliis temporibus definiti : ac quod aliquando perfectum fuit, temporis progressu fit imperfectum. Verbi gratia : aliquando perfectus erat qui legem exsequebatur : *Nam hæc qui faciat*, inquit (*Levit.* 18. 5), *per ea victurus est :* at Christus exortus perfectum hoc imperfectum ostendit. *Nisi* enim, inquit (*Matth.* 5. 20), *abundaverit justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cælorum.* Tum homicidium solum atrox videbatur; nunc vel ira duntaxat ac convicium ad gehennam rapere queat : tum adulterium solum plectebatur; nunc vel oculis flagitiosis mulierem aspicere, non abest a supplicio : tum perjurium solum a malo erat; nunc vel jurare : *Nam quod præter hæc est*, inquit (*ib.* 37), *a malo est.* Ab iis nihil amplius requirebatur, quam amare eos qui se amarent : nunc magnum hoc et præclarum tam est imperfectum, ut eo perfuncti nihilo publicanis præstemus.

LXXXIV. [*Merito eorumdem recte factorum non idem præmium nobis et antiquis propositum esse.*] Cur igitur non idem præmium iisdem recte factis, et nostris et antiquorum, propositum est, sed majorem virtutem exhibeamus necesse est, si eadem quæ illi consequemur? Quia nunc ingens Spiritus gratia effusa est, et magnum adventus Christi munus : adultos quippe pro infantibus reddidit. Itaque quemadmodum nos a pueris nostris puberibus majorem virtutem postulamus, et quæ in prima ætate facientes laudabamus, eadem si viri effecti præstent non æque admiramur, sed alia multo iis graviora edere jubemus : ita et ab humana natura Deus primo illo tempore eximia quædam facinora non exigebat, ut quæ puerilius affecta esset : at ubi prophetas, apostolos audivit, Spiritus gratiam consequuta est, virtutis ei magnitudinem auxit : nec injuria. Nam et mercedem ampliorem et præmia multo illustriora nunc proposuit : non enim amplius terra ac terrena, sed cælum, et quæ intelligentiam superent bona perfunctos exspectant. An non igitur absurdum sit, adultos adhuc in eadem infantia persistere? Nam humana tum natura adversum se factionibus divisa erat, bello ardens internecino. Atque id describens Paulus ait (*Rom.* 7. 23), *Aliam video legem in membris meis, repugnantem legi mentis meæ, et captivantem me legi peccati, quæ lex est in membris meis.* At nunc hæc non sunt : (*Rom.* 8. 3) *Nam quod impossibile erat legi, in quo infirmabatur per carnem, Deus Filium suum mittens in similitudinem carnis peccati, et de peccato damnavit peccatum in carne.*

εὐχαριστῶν ὁ Παῦλος ἔλεγε, « Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. » Διὰ τοῦτο κολαζόμεθα εἰκότως, ὅτι τῶν συμπεποδισμένων ἴσα τρέχειν οὐ βουλόμεθα οἱ λελυμένοι· μᾶλλον δὲ κἂν ἴσα δυνηθῶμεν, οὐδὲ οὕτως ἀπηλλάγμεθα τῆς κολάσεως. Τοὺς γὰρ βαθείας ἀπολαύοντας εἰρήνης τῶν σφόδρα βαρυνομένων πολέμῳ πολλῷ μείζονα δεῖ καὶ λαμπρότερα ἵστᾶν τὰ τρόπαια. Εἰ δὲ μέλλοιμεν περὶ χρήματα καὶ τρυφὴν καὶ γυναῖκας καὶ πραγμάτων ἐπιμέλειαν στρέφεσθαι, πότε ἄνδρες ἐσόμεθα, πότε πνεύματι ζήσομεν, πότε τὰ τοῦ Κυρίου μεριμνήσομεν; Ὅταν ἀποδημήσωμεν ἐντεῦθεν; Ἀλλ' οὐκέτι πόνων οὐδὲ ἀγώνων ὁ καιρὸς, ἀλλὰ στεφάνων καὶ κολάσεων. Τότε, κἂν παρθένος ᾖ τις οὐκ ἔχουσα ἔλαιον ἐν ταῖς λαμπάσιν, οὐ δυνήσεται παρ' ἑτέρων λαβεῖν, ἀλλ' ἔξω μενεῖ· κἂν ῥυπαρά τις ἱμάτια ἐνδεδυμένος παραγένηται, οὐ δυνήσεται ἐξελθὼν ἀμείψαι τὴν στολὴν, ἀλλ' εἰς τὸ τῆς γεέννης ἁπαχθήσεται πῦρ· κἂν αὐτὸν παρακαλῇ τὸν Ἀβραὰμ, οὐδὲν αὐτῷ πλέον ἔσται λοιπόν. Τῆς γὰρ κυρίας παραγενομένης, καὶ τοῦ βήματος τεθέντος, καὶ τοῦ δικαστοῦ καθίσαντος, καὶ τοῦ ποταμοῦ συρομένου τῆς φλογὸς, καὶ τῆς ἐξετάσεως γινομένης τῶν πεπραγμένων ἡμῖν, οὐκέτι λοιπὸν ἀπιτκλύσασθαι τὰ πλημμελήματα συγχωρούμεθα, ἀλλ' ἐπὶ τὴν ὀφειλομένην ἀπὸ τούτων δίκην καὶ ἑκόντες καὶ ἄκοντες ἐλκόμεθα μόνον, οὐδενὸς ἡμᾶς ἐξαιτήσασθαι τότε δυναμένου, ἀλλὰ κἂν τύχῃ τὴν αὐτὴν τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι παῤῥησίαν ἔχων τις, κἂν Νῶε, κἂν Ἰὼβ, κἂν Δανιὴλ, κἂν ὑπὲρ παίδων δέηται καὶ θυγατέρων, οὐδὲν ἔσται πλέον, ἀλλ' ἀνάγκη λοιπὸν ἀθάνατα κολάζεσθαι τοὺς ἡμαρτηκότας, ὥσπερ οὖν καὶ τιμᾶσθαι τοὺς κατωρθωκότας. Ὅτι γὰρ οὔτε τούτων οὔτε ἐκείνων τέλος ἔσται, ὁ Χριστὸς ἀπεφήνατο, ὥσπερ τὴν ζωὴν αἰώνιον, οὕτω καὶ τὴν κόλασιν αἰώνιον εἶναι λέγων. Ὅτι γὰρ τοὺς μὲν ἐκ δεξιῶν ἀπεδέξατο, τοὺς δὲ ἐξ εὐωνύμων κατεδίκασεν, ἐπήγαγε λέγων, « Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. » Διὸ χρὴ πάντα ἐνταῦθα πραγματεύεσθαι, καὶ τὸν ἔχοντα γυναῖκα ὡς μὴ ἔχοντα εἶναι, καὶ τὸν ὄντως οὐκ ἔχοντα μετὰ τῆς παρθενίας καὶ τὴν ἄλλην ἅπασαν ἀσκεῖν ἀρετὴν, ἵνα μὴ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀνόνητα ἀποδυρώμεθα.

De iisque gratias agens Paulus dicebat (*Rom.* 7. 24), *Infelix ego homo, quis me liberabit de corpore mortis hujus? Ago Deo gratias per Jesum Christum.* Itaque merito punimur, soluti tantumdem currere, quantum impediti, nolentes. Quamquam ut tantumdem possimus, nec sic pœna solvimur : nam qui alta pace fruatur, eum longe majus et illustrius tropæum erigere par est, quam qui admodum bello premantur. Quodsi in opibus, deliciis, conjugum studio, negotiorum cura assidue versamur, ecquando viri evademus, spiritu vivemus, Domini res curabimus? An postquam hinc migratum erit? At non id laborum ac certaminis, sed præmiorum et pœnarum tempus erit. Tum nec virgini oleum in lucernis non habenti ab aliis sumere licebit, sed ea foris manebit : nec qui sordidis indutus adstet, egressus mutare vestem poterit, sed ad gehennæ ignem abripietur : nec si vel Abrahamum imploret, quidquam tum proficiet. Quippe orta jam die definita, posito tribunali, sedente judice, et manante quasi quodam ignis fluvio, habita actionum nostrarum quæstione, non jam flagitia eluere sinemur, sed ad supplicium iis debitum velimus nolimus trahimur modo, nullius tum precibus liberandi; sed quamvis quis pari fiducia sit cum magnis et admirandis viris, quamvis Noe, Job, Daniel sit, etiamsi pro liberis ac filiabus deprecetur, nihil agit, sed necesse erit peccatores immortales pœnas expendere, et qui recte fecerunt, honorem inire. Nam neque his neque illis finem fore Christus declaravit, ut vitam, sic supplicium æternum esse dicens : qui et dextris collaudatis, et sinistris damnatis, ita subdit (*Matth.* 25. 46) : *Abibunt hi in pœnam sempiternam, justi vero in vitam sempiternam.* Itaque hic serio laborandum est, et qui uxorem habeat, ei perinde agendum ac si non haberet; et qui vere non habeat, ei cum virginitate reliquæ etiam omnes virtutes exercendæ sunt, ne post decessum ex hac vita incassum lamentemur.

ΠΡΟΣ ΤΟΥΣ ΕΧΟΝΤΑΣ

ΠΑΡΘΕΝΟΥΣ ΣΥΝΕΙΣΑΚΤΟΥΣ.

Ἐπὶ μὲν τῶν προγόνων τῶν ἡμετέρων δύο τινὲς ἦσαν προφάσεις αἱ τὰς γυναῖκας συγκατοικίζουσαι τοῖς ἀνδράσι· μία μὲν ἡ τοῦ γάμου, ἀρχαία τε καὶ δικαία καὶ εὔλογος, ἅτε τὸν Θεὸν ἔχουσα νομοθέτην· « Ἀντὶ γὰρ τούτου, φησὶ, καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· » ἑτέρα δὲ ἡ τῆς πορνείας, καὶ νεωτέρα ταύτης καὶ ἄδικος καὶ παράνομος, ἅτε παρὰ τῶν πονηρῶν εἰσενεχθεῖσα δαιμόνων. Ἐπὶ δὲ τῆς γενεᾶς τῆς ἡμετέρας καὶ τρίτος ἐπενοήθη τρόπος, καινός τις καὶ παράδοξος, καὶ πολλὴν ἔχων τὴν ἀπορίαν τοῖς βουλομένοις τὴν αἰτίαν εὑρεῖν. Εἰσὶ γάρ τινες οἳ γάμου καὶ συνουσίας χωρὶς κόρας ἀπειρογάμους ἀγόμενοι, καθίζουσιν οἶκοι διαπαντὸς, καὶ εἰς ἔσχατον γῆρας ἑαυτοῖς συγκατακλείουσιν, οὔτε ἐπὶ παιδοποιίᾳ (οὐ γάρ φασιν αὐταῖς συγγίνεσθαι), οὔτε ἐξ ἀκολασίας (λέγουσι γὰρ αὐτὰς ἀκεραίους διατηρεῖν)· ἀλλ' ἐάν τις ἔρηται τὴν αἰτίαν, ἔχουσι μὲν πολλὰς καὶ μεμελετήκασιν, εὔλογον δὲ, ὡς ἔγωγε οἶμαι, οὐδεμίαν, οὐδὲ σεμνήν. Ἀλλὰ μήπω περὶ τούτων, μηδὲ τὰς ἐκείνων τέως λέγωμεν προφάσεις, ἀλλ' ἣν αὐτοὶ μάλιστα ὑποπτεύομεν εἶναι, ταύτην εἰς μέσον ἀγάγωμεν. Τίς οὖν ἐστιν αὕτη; πάντως δὲ, εἰ διαμάρτοιμι τοῦ σκοποῦ, ἔξεστιν ἐπιλαβέσθαι τοῖς βουλομένοις ὑμῶν. Τίς οὖν ἐστιν ἡ πρόφασις; Δοκεῖ μοι τινὰ ἡδονὴν ἔχειν τὸ συνοικεῖν γυναιξὶν, οὐ νόμῳ γάμου μόνον, ἀλλὰ καὶ γάμου καὶ συνουσίας χωρίς. Εἰ δὲ οὐκ ὀρθῶς δοκῶ, λέγειν οὐκ ἔχω· τὴν γὰρ ἐμαυτοῦ τέως ὑμῖν διηγοῦμαι γνώμην· τάχα δὲ οὐ τὴν ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν αὐτῶν ἐκείνων· ὅτι γὰρ καὶ ἐκείνοις οὕτω δοκεῖ, δῆλον ἐκεῖθεν. Οὐ γὰρ ἂν τοσαύτης κατεφρόνησαν δόξης καὶ τοσούτων σκανδάλων, εἰ μὴ σφοδρά τις ἦν καὶ τυραννικὴ τῆς συνοικήσεως ταύτης ἡ ἡδονή. Εἰ δέ τινες δυσχεραίνοιεν ταῦτα λεγόντων ἡμῶν, παραιτήσομαι συγγινώσκειν ἡμῖν, καὶ μὴ ἀγανακτεῖν· οὐ γὰρ ἑκὼν οὐδὲ ἁπλῶς τὴν ἀπέχθειαν ἀναδέξασθαι ταύτην εἱλόμην· οὐχ οὕτως ἄθλιος ἐγὼ καὶ ταλαίπωρος, ὡς εἰκῇ βούλεσθαι προσκρούειν ἅπασιν· ἀλλ' ὀδυνῶμαι σφόδρα καὶ ἀλγῶ καὶ τὴν τοῦ Θεοῦ δόξαν ὑβριζομένην ὁρῶν, καὶ τὴν τῶν πολλῶν σωτηρίαν κατὰ μικρὸν ὑποῤῥέουσαν διὰ τὴν ἡδονὴν ταύτην. Ὅτι γὰρ ἡδὺ τοῦτο καὶ τοῦ νόμῳ γάμου συνοικεῖν δριμύτερον ἔχει τὸν ἔρωτα, νῦν μὲν ἴσως καὶ θορυβεῖσθε ἀκούοντες, μετὰ δὲ τὴν ἀπόδειξιν καὶ αὐτοὶ συνομολογήσετε. Ἐπὶ μὲν γὰρ τῆς ἐννόμου γυναικὸς ἡ μῖξις ἀκώλυτος οὖσα, τόν τε πόθον παρεμυθήσατο, καὶ εἰς κόρον τὸν ἄνδρα ἤγαγε, καὶ τὴν σφοδρὰν κατέλυσεν ἐπιθυμίαν. Καὶ χωρὶς δὲ τούτων

ADVERSUS EOS

QUI APUD SE HABENT VIRGINES SUBINTRODUCTAS.

1. Majoribus nostris duæ tantum fuerunt causæ, propter quas mulieribus viri cohabitarent. Et una quidem vetus est ac justa rationique consentanea : nempe matrimonium, quod Deo legislatore institutum est : *Propter hoc* enim, inquit (*Gen.* 2. 24), *relinquet vir patrem suum et matrem suam, et adhærebit uxori suæ, eruntque duo in carnem unam;* altera vero recentior, iniqua et legi adversa, nempe fornicatio, quæ a malignis introducta est dæmonibus. Atque nostra hac ætate tertius quidam novus et insolitus mos prodiit, cujus causam haud facile investigaveris. Sunt enim nonnulli, qui puellas nuptiarum inexpertas domum ducunt, et usque in extremam senectutem inclusas tenent ac fovent, non procreandorum liberorum gratia (negant enim se cum illis rem habere), neque libidinis causa (aiunt enim quod illas incorruptas servent); sed si quis ab eis causam rogaverit, dicunt sibi multas esse, et fingunt : ego enim nullam eos habere crediderim, quæ vel honesta vel idonea sit. Verum de his nondum dicemus : afferemus autem in medium quam nos potissimum causam suspicamur. Et quænam est illa? omnino vero, si a scopo aberravero, fas vobis est ut me redarguatis. Quænam igitur causa? quis ille prætextus? Videtur mihi mulieris convictus non ex lege nuptiarum modo, sed etiam absque nuptiis ac congressu, voluptatis habere nonnihil. Si forte non recte sentio, non possum dicere : meam modo vobis sententiam narro : fortasse autem non meam solum, sed et illorum; nam et illis sic videri, hinc liquet. Tantam enim famæ vim et tanta scandala neutiquam despicerent, nisi ingens quædam et vehemens cohabitandi voluptas esset. Quodsi forte succenseant quidam, quod hæc dicamus, precor ut nobis venia detur, absitque indignatio; neque enim libens ac temere hanc inimicitiam susciperem : non sum tam miser ac ærumnosus, qui temere omnes offendere velim; sed valde doleo ac crucior, et gloriam Dei blasphemari intuens, et multorum salutem propter voluptatem hanc paulatim perire. Quod enim illud suave sit, et nuptiali consortio ardentiorem parial amorem, nunc forte stupebitis audientes, sed ubi id demonstravero, vos etiam confitebimini. Etenim cum legitima muliere congredi, cum non sit vetitum, concupiscentiam sedat, et satietatem affert, et immodicum restinguit ardorem. Præterea partus et partuum dolores,

καὶ ὠδῖνες καὶ τόκοι καὶ παιδοποιΐαι καὶ παιδοτροφίαι, καὶ τὰ ἐκ τούτων ἑπόμενα συνεχῆ νοσήματα, πολιορκοῦντα τὸ σῶμα καὶ μαραίνοντα τὸ ἄνθος τῆς ὥρας, ἀσθενέστερον τὸ κέντρον ἐργάζεται τῆς ἡδονῆς. Ἐπὶ δὲ τῆς παρθένου οὐδὲν τούτων ἔνι· οὔτε γὰρ μῖξίς ἐστι τὸν οἶστρον τῆς φύσεως δυναμένη χαλάσαι καὶ κατευνάσαι, οὔτε ὠδῖνες καὶ παιδοτροφίαι τὴν σάρκα μαραίνουσαι, ἀλλ' ἐπὶ πολὺ διασώζουσι τὴν ἀκμήν, ἅτε ἀνέπαφοι μένουσαι ἐντεῦθεν. Τῶν μὲν [γὰρ] γαμουμένων μετὰ τοὺς τόκους καὶ τὰς παιδοτροφίας ἀσθενέστερα τὰ σώματα γίνεται, αἱ δὲ καὶ εἰς τεσσαρακοστὸν ἔτος μένουσιν ἀμιλλώμεναι τῶν παρθένων ταῖς θαλαμευομέναις· ὅθεν διπλᾶ τὰ τῆς ἐπιθυμίας ἐγείρεται τοῖς συνοικοῦσιν αὐταῖς, τῷ τε μὴ συγχωρεῖσθαι τῇ μίξει τὸν πόθον παραμυθεῖσθαι, καὶ τῷ μένειν ἐπὶ πολὺ τοῦ πόθου τὴν ὑπόθεσιν ἰσχυροτέραν. Ταύτην ὑποπτεύω πρόφασιν εἶναι ἐγὼ τῆς ὁμοσκηνίας ταύτης. Ἀλλὰ μὴ ἀγαναχτῶμεν πρὸς αὐτοὺς μηδὲ δυσχεραίνωμεν· οὐδεὶς γὰρ τὸν κάμνοντα ἀναστῆσαι βουλόμενος μετ' ὀργῆς καὶ ἐπιπλήξεως τοῦτο ποιεῖ, ἀλλὰ μετὰ θεραπείας καὶ παρακλήσεως προσάγει τὰ φάρμακα. Καὶ γὰρ εἰ μὲν κολάσαι προὔκειτο, καὶ τὴν τῶν δικαζόντων εἴχομεν τάξιν, ἐχρῆν καὶ ἀγαναχτεῖν· εἰ δὲ ἐκείνης ἀφέντες, τὴν τῶν ἰατρῶν καὶ θεραπεῦσαι βουλομένων μεταλαμβάνομεν, παρακαλεῖν χρὴ καὶ δέεσθαι, καὶ αὐτῶν, εἰ δέοι, τῶν γονάτων ἅπτεσθαι, ὥστε γενέσθαι τὸ σπουδαζόμενον. Καθάπερ οὖν οἱ ἰατροὶ τῶν βλαπτόντων μέν, ἡδονὴν δὲ ἐχόντων ἀπάγοντες, εἴτε σιτίων, εἴτε ποτῶν, τοῦτο πρὸ τῶν ἄλλων πείθουσι τοὺς ἀῤῥώστους, ὅτι τὸ τοιοῦτο μετὰ τῆς βλάβης πολλὴν ἔχει καὶ τὴν ἀηδίαν· οὕτω καὶ ἡμεῖς ποιῶμεν, δεικνύντες αὐτοῖς, ὅτι ἡ ἡδίστη αὕτη συνοίκησις πολὺν ἔχει τὸν ὄλεθρον, καὶ τῶν δηλητηρίων οὐδὲν ἄμεινον φαρμάκων κατεσκεύασται. Καὶ δοκεῖ μὲν εὐῤῥοσύνην τινὰ ἔχειν, πολλὴν δὲ ἐναποκεκρυμμένην δριμύτητα καὶ πικρίαν καταχέει τῆς ἡδομένης ψυχῆς· ἐπεὶ καὶ αὐτὴ ἡ μετὰ πειθοῦς ἀναχώρησις ἀσφαλής. Ὁ μὲν γὰρ φόβῳ τῆς φιλουμένης διαζευγνύμενος καὶ ἀνάγκῃ, σφοδρότερός τε ἐραστὴς γίνεται, καὶ ἴσως καὶ ἐπανήξει πάλιν· ὁ δὲ τοῦ πράγματος καταγνούς, καὶ οὕτω φυγὼν ὡς ἐπιβλαβὲς καὶ πικρὸν, οὐδ' ἂν ὑποστρέψειεν αὖθις, τὴν ἐκ τῆς οἰκείας γνώμης ψῆφον πάσης ἀνάγκης ἔχων ἰσχυροτέραν.

Πῶς οὖν αὐτοὺς πείσομεν, ὅτι οὐ βλαβερὸν τοῦτο μόνον, ἀλλὰ καὶ πικρόν; Πῶς δὲ ἄλλως ἢ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως; Ἐρώμεθα οὖν αὐτούς· εἴ τις πολυτελῆ τράπεζαν παραθεὶς, πολλῶν καὶ ἡδίστων γέμουσαν ἐδεσμάτων, ἀπηγόρευε μετὰ σφοδρᾶς τῆς ἀπειλῆς μὴ ἅπτεσθαί τινος τῶν προκειμένων, ἆρα ἄν τις εἵλετο τοιαύτῃ παρακαθῆσθαι τραπέζῃ, καὶ κολάζειν ἑαυτόν; Οὐκ ἔγωγε οἶμαι· οὐδὲ γὰρ τοσαύτην ἀπὸ τῆς ὄψεως ἐκαρποῦτο τὴν ἡδονὴν, ὅσην ἀπὸ τῆς κωλύσεως ὑπέμενε τὴν ἀθυμίαν. Τί δὲ εἰ διψῶντι καὶ κατα-

puerorumque procreationes ac educationes, necnon et frequentes qui ex his sequuntur morbi, corpus affligentes et florem artatis marcidum reddentes, invalidum voluptatis calcar facinnt. In virgine autem cohabitatrice nihil horum reperies: abest enim coitus, qui naturæ impetum deprimat et obtundat; neque dolores partus, neque puerorum educationes carnem marcescere faciunt: sed juvenilem vigorem diu conservat, utpote ab illis intacta manens. Post partus enim et educationes puerorum corpora uxorum infirmiora fiunt; illæ autem usque in quadragesimum annum in sua permanent forma, et cum virginibus jam elocandis certant. Iliuc est quod cohabitantes duplici igne accenduntur: nam et ardor eorum non restinguitur coitu eis interdicto, et ardoris fomes manet redditurque validior. Hanc ego hujus contubernii causam suspicor. Sed ne valde succenseamus eis, neque difficiles simus et importuni. Nam qui ægrum vult restituere, non hoc agit ira et verberibus, sed offert pharmaca cum magna cura et blanda adhortatione. Etenim si ab illis pœnas expetere nobis propositum esset, et si judicum ordinem teneremus, indignari oporteret; sed si illo dimisso medicorum et curare volentium munus suscipiamus, hortari, obsecrare, et, si opus sit, genua tangere opus est, ut quod agendum suscepimus perficiamus. Igitur quemadmodum medici, qui ægros a cibo vel potu nocivo arcere cupiunt, licet illa admixtam habeant voluptatem, ante omnia persuadent inesse illis præter nocumenta etiam multum insuavitatis: sic et nos faciamus, commonstrando illis quod cohabitatio illa, quamvis suavis et jucunda videatur, perniciosissima sit, et nihilo melior quam mortiferæ potiones. Et videtur quidem multam habere lætitiam, latet tamen multum in ea amaritudinis, quam animæ, quæ voluptatibus oblectatur, infundit. Nam qui persuasus discedit, secure discedit. Sane qui metu et necessitate a dilecta sejungitur, fortior amator fit, et fortasis iterum ad illam accedet; at si ut rem damnosam et amaram fugit, haudquaquam iterum revertitur, ob calculum sententiæ suæ, quæ quavis necessitate violentius illi persuadet.

2. Quomodo ergo persuadebimus illis, quod hoc non solum noceat, sed et amarum sit? Et quomodo aliter, quam ex ipsa rerum natura? Interrogemus ergo eos, si quis mensa sumtuosa apposita, variis dulcissimisque plena eduliis, denuntiet summis minis, ne quid propositorum contingatur: num vellet aliquis ad talem mensam considere, et se ipsum cruciare? Ego utique non opinor; neque enim tanta ex aspectu voluptate frueretur, quantam tristitiam ex interdicto conciperet. Quid autem, si quis sitienti et adusto

μένῳ πηγήν τις ἐπιδείξας καθαρὰν καὶ διαυγῆ, μὴ μόνον αὐτῆς μὴ ἀπογεύεσθαι, ἀλλὰ μηδὲ ἄχροις θιγεῖν τοῖς δακτύλοις ἐπέτρεπεν, ἆρα ἂν ταύτης ἐγίνετό τι πικρότερον τῆς κολάσεως; Οὐδὲ ἐνταῦθα οἶμαί τινα ἀντερεῖν. Τοσοῦτον γάρ ἐστι τοῦτο κακὸν, ὅτι καὶ τῶν ἔξωθεν οἱ ταῦτα διασκέπτεσθαι μάλιστα ὄντες δεινοὶ, ἡδονῆς φύσιν λέγω καὶ λύπης, θελήσαντες ποιῆσαι κολαζομένους τινὰς σφοδρῶς, οὐκ ἄλλως ἐποίησαν, ἢ τούτῳ τῷ τρόπῳ· πλάσαντες γάρ τινα μῦθον, ἄγουσιν ἐν τῷ μύθῳ τινὰ, ὃν δεῖ δοῦναι δίκην ἐσχάτην, καὶ ἕτερον μὲν οὐδὲν, πανδαισίαν δὲ παραθέντες αὐτῷ, καὶ παραῤῥέον δείξαντες ὕδωρ, οὐδενὸς ἀπολαῦσαι τούτων συνεχώρουν, ἀλλ' ὁμοῦ τε ἐξέτεινε τὴν χεῖρα ἐκεῖνος καὶ τὰ ὁρώμενα ἅπαντα ἀφίπτατο, καὶ τοῦτο ἐγίνετο διαπαντός. Καὶ οὗτος τῆς κολάσεως ὁ τρόπος ἦν κατὰ τὸν μῦθον τὸν ἔξωθεν. Καὶ φιλοσόφων δέ τις ἰδών τινα τῶν αὐτῷ συνόντων καταφιλήσαντα νέον εὔμορφον, ἐθαύμασεν, εἰπὼν ὅτι καὶ εἰς πῦρ οὗτος ῥᾳδίως ἂν κυβιστήσειεν ὁ ταύτην τολμήσας διὰ τοῦ φιλήματος ἀνάψαι ἐν ἑαυτῷ κάμινον. Ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποιμι, ὅτι τὰς συνοικούσας φιλοῦσιν ἢ ἁπαφῶνται· εἴ δέ τινες ἕτεροι ταῦτα κατηγοροῖεν, δείξαι πειράσομαι ὅτι, κἂν μέχρι τοσούτου προΐωσι, πικροτέραν πάλιν καθ' ἑαυτῶν τῆς προτέρας ἐπισπῶνται τὴν βάσανον. Εἰ γὰρ ὄψις μόνη τοσαύτην ἐντίθησιν ὀδύνην, ὅταν καὶ ἁφὴ προσῇ, τῆς ὄψεως πολὺ παχυτέρα ἀπόλαυσις, μείζονα αἴρει τὴν φλόγα, καὶ ὀριμυτέραν ἐργάζεται τὴν ἀλγηδόνα, καὶ χαλεπώτερον ποιεῖ τὸ θηρίον. Ὅσον γὰρ ἂν αὔξωμεν τὰ τῆς ἐπιθυμίας, καὶ ἰσχυροτέραν αὐτῇ παρέχωμεν τὴν τροφὴν, τοσοῦτον καὶ τὰ τῆς ὀδύνης ἡμῖν ἐπιτείνεται. Καὶ καθάπερ ὁ τῇ τραπέζῃ καὶ τῇ πηγῇ παρακαθήμενος οὐχ οὕτως ὁρῶν ὀδυνᾶται, ὡς ὅταν καὶ τῇ χειρὶ θιγεῖν ἐπιτραπεὶς ἀπογεύσασθαι κωλυθῇ πάλιν· οὕτω δὴ καὶ οἱ τῶν παρθενικῶν σωμάτων ψαῦσαι ἐπιτρεπόμενοι, χαλεπώτερον τῆς θέας ἀπὸ τῆς ἁφῆς κολάζονται, πικροτέραν ἐφελκόμενοι τὴν ἐκ τῆς ἀποτυχίας ὀδύνην. Καὶ τί δεῖ ταῦτα ἀπὸ τῶν ἔξωθεν πραγμάτων φιλοσοφεῖν; ἡ γὰρ τοῦ Θεοῦ ψῆφος ἡ τούτων ἁπάντων ἰσχυροτέρα, αὕτη δείκνυσι τοῦτο τοιοῦτον ὄν. Τὸν γὰρ Ἀδὰμ κολάσαι βουλόμενος, οὐ πόῤῥω τοῦ παραδείσου κατῴκισεν, ἀλλ' αὐτοῦ πλησίον ἐκείνου, ἵν' ἔχῃ διηνεκῆ κόλασιν, τὴν θέαν τοῦ ποθουμένου χωρίου, θεωρῶν μὲν αὐτὸ διαπαντὸς, ἀπολαῦσαι δὲ οὐκ ἐπιτρεπόμενος. Ἀλλ' ἴσως εἴποι τις ἄν, Καὶ πῶς, εἰ πικρὸν τοῦτο οὕτως ἐστὶ τῇ φύσει, μετὰ τοσαύτης αὐτὸ οἱ πολλοὶ διώκουσι τῆς σπουδῆς; Ἐγὼ δὲ πρὸς τοῦτο ἐκεῖνο ἂν εἴποιμι, ὅτι αὐτὸ μὲν οὖν τοῦτο μέγιστον τεκμήριον τῆς ἐσχάτης αὐτῶν ἀῤῥωστίας ἐστί. Τοῦτο γὰρ τῶν νοσούντων τὸ ἔθος, ψυχράν τινα καὶ ὀλιγοχρόνιον ἡδονὴν καρποῦσθαι, καὶ μακρὰν ἑαυτοῖς ἐντεῦθεν κατασκευάζειν κόλασιν. Τοῦτο γὰρ καὶ ἐπὶ τῶν πυρεττόντων ἴδοι τις ἂν, οἳ μὴ βουλόμενοι χαρτερῆσαι μικρὸν, δι' ὀλιγοχρόνιόν τινα ψυχαγωγίαν καὶ

præ siti fontem limpidum et purum demonstratum non solum non degustare, sed ne extremis quidem digitis contingere permitteret, an quid eo cruciatu acerbius? Neque hic, opinor, mihi contradixerit ullus. Tantum enim hoc malum est, ut etiam profani, qui plurimum valent in natura voluptatis et tristitiæ expendenda, volentes effingere quosdam qui valde cruciantur, talem quamdam fabulam in medium proferant. Introducitur in fabula quidam extremo supplicio afficiendus, cui ostenditur omnium ciborum copia et præterfluens aqua, nec conceditur ut aliquo istorum fruatur: et cum extendit ille manum, omnia quæ videntur a tactu fugiunt, fitque hoc semper. Et hæc est profanorum de illo supplicii genere fabula. Philosophorum vero quidam, cum vidisset sodalium quemdam osculum formoso puero dare, admirabundus dixit (*Xenophontis Socrates* 1. 3. 9): Hic opinor præcipitem facile se in ignem injiceret, qui tantum in se fornacem osculo est ausus accendere. Ego autem non idem dixerim, quod nempe contubernales suas osculentur aut contrectent. At si qui alii hæc calumnientur, demonstrare tentabo quod, si illo usque perveniant, durius sibi quam prius supplicium accersant. Nam si aspectus solus tantum infert dolorem, quando contactus accedit, ut est voluptas multo crassior quam aspectus, ita majorem struit flammam, acerbiorem efficit dolorem, et vehementius feram illam exasperat. Quanto enim magis concupiscentias augemus, et plura eis fomenta suppeditamus, tanto et dolores nostri magis intenduntur. Et quemamodum qui mensæ et fonti assidet, non sic videndo dolet, ut cui permissum est manu attingere, et tamen ne degustet prohibetur: sic utique qui ad contrectanda virginum corpora admittuntur, graviorem hauriunt cruciatum ex tactu quam ex aspectu, dum acerbius rei tactæ privatione torquentur. Et quid opus est philosophari ex rebus externis? Dei enim sententia, his omnibus potentior, ipsa nobis ostendit rem ita esse habere. Nam cum vellet punire Adam, non procul a paradiso ipsum habitare fecit, sed prope paradisum, ut continuam pœnam haberet e spectaculo loci quem desiderabat, et eo, quamvis semper illum ante se videret, frui non permitteretur. Jam forte aliquis dixerit, Et quomodo, si hoc natura tam amarum, plerique tanto studio sectantur? Ad hoc ego dixerim, istud ipsum extremæ illorum ægritudinis maximum esse argumentum. Nam hic mos est ægrotantium, ut quærant frigidam quamdam brevisque temporis voluptatem, unde prolixiorem sibi conciliant pœnam. Hoc et in febricitantibus videre quis potest, qui cum paulisper abstinere nolunt a refocillatione momentanea vetitorum vel esculentorum vel pocu-

ποτῶν καὶ σιτίων κεκωλυμένων ἁπτόμενοι, μακράν τινα καὶ χαλεπωτάτην ἑαυτοῖς ἐργάζονται νόσον. Δεῖ δὲ τοὺς ὑγιαίνοντας οὐκ ἀπὸ τῶν νοσούντων λαμβάνειν τὰς περὶ τῶν πραγμάτων ψήφους· ἐπεί, εἰ τούτοις ἐψόμεθα, καὶ ἰατρικῆς καὶ φιλοσοφίας καταγνωσόμεθα. Οὐδὲ γὰρ ἐπὶ πυρετῶν, οὐδὲ ἐπὶ γυναικῶν, τοῦτο πάσχουσι μόνον, ἀλλὰ καὶ ἐπὶ χρημάτων καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οἱ τὰ τοιαῦτα νοσοῦντες. Καὶ γὰρ οἱ περὶ τὰ χρήματα μεμηνότες, εἰδότες ὅτι οἱ τὰ μικρὰ ταῦτα ἐνταῦθα προίμενοι τοῖς δεομένοις μυρία ἐκεῖ λήψονται ἀγαθὰ, κατέχουσιν ὅμως αὐτὰ καὶ κατορύττουσι, καὶ πάντων ἐκπεσεῖν αἱροῦνται τῶν ἀγαθῶν μᾶλλον διὰ τὴν ψυχρὰν ταύτην καὶ βραχεῖαν ἡδονὴν, ἢ τῆς αἰωνίου κολάσεως ἀπαλλαγῆναι, καὶ τὴν ἀθάνατον καρπώσασθαι ζωὴν, διὰ τῆς προσκαίρου τούτων ὑπεροψίας. Τοῦτο δὴ καὶ οὗτοι πάσχουσι, τῆς μικρᾶς ταύτης ἐπιθυμίας τῆς διὰ τῶν ὀφθαλμῶν οὐκ ἀνεχόμενοι μικρὸν ἑαυτοὺς ἀποστῆσαι, ἀφόρητον ἑαυτοῖς συνάγουσι πῦρ· καὶ ὅσῳπερ ἂν νομίζωσιν ἥδεσθαι, τοσούτῳ μᾶλλον ἐμπλέκονται τῷ κακῷ, τοῦ διαβόλου τοῦτο τεχνασαμένου πρὸς τὴν παραμονὴν τῆς φλογὸς καὶ ἐπίδοσιν, ὅθεν καιόμενοι καὶ ἥδονται καὶ ἀλγοῦσιν, ἄτοπόν τινα κρᾶσιν ἐν ταῖς ἑαυτῶν καταρτιεύοντες ψυχαῖς.

Εἰ δέ τις ἡμῶν ἀκρασίαν ἀπὸ τούτων καταγινώσκει τῶν ῥημάτων (τοὺς γὰρ γενναίους ἄνδρας καὶ γυναιξὶ συνοικοῦντας μηδὲν πάσχειν δεινόν), μακαρίζω μὲν τοὺς τοιούτους, καὶ βουλοίμην ἂν καὶ αὐτὸς τοσαύτην λαβεῖν ἰσχύν· καὶ ἴσως μὲν καὶ αὐτὸς πείθομαι ὅτι ἐνατὸν εἶναι τοιούτους τινάς· ἐβουλόμην δὲ καὶ τοὺς ἐγκαλοῦντας ἡμῖν δυνηθῆναι πεῖσαι τοῦτο, ὅτι νέος σφριγῶν τῷ σώματι, κόρῃ συνοικῶν παρθένῳ καὶ συγκαθήμενος καὶ συνδειπνῶν καὶ συνδιαλεγόμενος δι' ἡμέρας — τῶν γὰρ ἄλλων οὐδὲν προστίθημι, τοὺς ἀκαίρους γέλωτας καὶ τὰς διαχύσεις καὶ τὰ μαλακὰ ῥήματα, καὶ τὰ ἄλλα, ἃ μηδὲ λέγειν ἴσως καλόν· ἀλλ' ὅτι τὴν αὐτὴν ἔχων οἰκίαν, καὶ τραπέζης καὶ λόγων κοινωνῶν, καὶ μετὰ παῤῥησίας πολλῆς καὶ μεταλαμβάνων πολλῶν καὶ μεταδιδοὺς, οὐδενὶ τῶν ἀνθρωπίνων ἁλίσκεται, ἀλλὰ καθαρὸς ἐπιθυμίας τε μένει πονηρᾶς καὶ ἡδονῆς· ἐβουλόμην ταῦτα δύνασθαι πείθειν τοὺς ἐγκαλοῦντας ἡμῖν, ἀλλ' οὐκ ἐθέλουσι πείθεσθαι, ἀλλὰ καὶ ἡμῶν τῶν ταῦτα ἀπολογουμένων καταβοῶσιν ὡς ἀναισχύντων, καὶ τὰ αὐτὰ νοσούντων αὐτοῖς, καὶ τὴν οἰκείαν περιστελλόντων κακίαν. Καὶ τί ταῦτα πρὸς ἡμᾶς; φησίν· οὐδὲ γὰρ τῆς ἑτέρων ἀνοίας ἡμεῖς ὑπεύθυνοι, οὐδὲ εἴ τις ἀλόγως σκανδαλίζοιτο, δοῦναι δίκην ἄξιος ἐγὼ διὰ τὴν ἄνοιαν τὴν ἐκείνου. Ἀλλὰ Παῦλος οὐκ εἶπε τοῦτο, ἀλλὰ κἂν ἀδίκως σκανδαλίζηταί τις, κἂν δι' ἀσθένειαν, βοηθεῖν ἐκέλευσε. Τότε γὰρ μόνον ἀπαλλαττόμεθα τῆς ἐπὶ τοῖς σκανδαλιζομένοις τιμωρίας λειμένης, ὅταν ἐκ τοῦ σκανδάλου κέρδος ἕτερον τίκτηται τῆς ἀπὸ τοῦ σκανδάλου βλάβης μεῖζον· ὡς ἂν τοῦτο

entorum, longum quemdam et difficillimum invehunt sibi morbum. Oportet autem ut li qui bene valent, non eorum qui male habent sententiam sequantur. Nam si illos sequemur, etiam medicam artem et philosophiam pro rebus vanis habebimus. Neque enim ægrotantibus hoc solum in febri contingit, vel in mulierum amore, sed et in divitiis et in omnibus aliis. Etenim qui in pecunias insaniunt, licet sciant quod ii qui hic parva hæc indigis impartiuntur, infinita illic bona capiant, detinent tamen ea et defodiunt, et bonis omnibus excidere malunt, ob frigidam brevemque hanc voluptatulam, quam æterna poena liberari, et immortalem vitam adipisci, illas ad breve tempus despiciendo. Hoc utique et illis contingit, dum a parva oculorum concupiscentia se ipsos aliquantisper continere nolentes intolerabilem sibi ignem colligunt : et quanto scilicet se magis oblectari putant, tanto magis malo implicantur, diabolo suis artibus hoc curante ad incrementum et perseverantiam incendii, ut ardentes et delectentur et doleant, absurdum quoddam temperamentum in animabus suis efficientes.

3. Jam vero si quis nos intemperantiæ ob hæc verba condemnet (strenuos enim viros etiam cum mulieribus habitantes nihil grave pati), beatos quidem dico qui tales sint, et vellem etiam ipse hoc robore donari : et ipse quidem forte adducor ut credam posse hujusmodi viros reperiri; vellem tamen iis qui nos reprehendunt, posse hoc a me persuaderi, quod adolescens fervens corpore, puellæ virgini cohabitans et ad latera ejus assidens, et simul cœnans, et per diem totum confabulans, ut nihil aliud apponam, intempestivos risus et effusos cachinnos et mollia verba, atque alia quæ dictu inhonesta; sed in eadem, inquam, habitans domo eidemque communicans mensæ, ubi multa est libertas verborum, et ultro citroque accipiuntur multa danturque, nulla humanarum affectionum capiatur, sed purus a mala voluptate et concupiscentia permaneat : vellem hæc iis qui nos arguunt a me persuaderi posse, sed neque ipsi volunt doceri, et nobis hæc ad defensionem afferentibus reclamant quasi impedentibus, eodem quo ipsi morbo correptis, propriamque tegentibus malitiam. Et quid hæc ad nos, inquit? neque nos sumus obnoxii insipientiæ alienæ, neque, si quis stulte scandalizetur, dignus ego sum qui pœnas dem ob illius insipientiam. Sed hoc non dixit Paulus, sed jussit ut, si vel injuste scandalizetur aliquis, ejus infirmitati consulatur. Tunc enim solum liberamur a pœna quæ posita est in eos qui scandalum dant aliis, si ex scandalo aliud quoddam lucrum nascitur majus damno quod ex scandalo fit. Adeoque si hoc non fuerit, et hoc solum

μὴ ᾖ, ἀλλ' ἵν μόνον συμβαίνῃ τὸ σκανδαλίζεσθαι ἑτέρους, ἄν τε εὐλόγως ἄν τε ἀλόγως σκανδαλίζωνται, ἄν τε ὡς ἀσθενεῖς, τὸ αἷμα αὐτῶν ἐπὶ τὴν κεφαλὴν τὴν ἡμετέραν, καὶ ἐκ τῶν χειρῶν τῶν ἡμετέρων ὁ Θεὸς τὰς τοιαύτας ἐκζητήσει ψυχάς. Διά τοι τοῦτο, ἵνα μὴ πανταχοῦ μήτε φροντίζωμεν μήτε καταφρονῶμεν τῶν σκανδαλιζομένων, ὅρους τινὰς ἡμῖν καὶ κανόνας τέθεικε τούτου ὁ Χριστὸς, καὶ τοῦτο κἀκεῖνο ποιήσας μετὰ καιροῦ τοῦ προσήκοντος. Ὅτε μὲν γὰρ περὶ τῆς τῶν ἐδεσμάτων διελέγετο φύσεως, καὶ ἐδείκνυ καθαρὰν αὐτὴν οὖσαν, καὶ τῆς Ἰουδαϊκῆς ἀπήλλαττε παρατηρήσεως, εἰσελθόντος τοῦ Πέτρου καὶ εἰπόντος ὅτι Ἐσκανδαλίσθησαν, « Ἄφες αὐτούς », φησί· καὶ οὐ μόνον κατεφρόνησεν αὐτῶν, ἀλλὰ καὶ κατηγόρησεν εἰπών, « Πᾶσα γὰρ φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται· » οὕτω τὸν νόμον ἠκύρωσε τὸν περὶ βρωμάτων. Ἐπειδὴ δὲ οἱ τὰ δίδραχμα ἀπαιτοῦντες τῷ Πέτρῳ προσελθόντες ἔλεγον, « Ὁ διδάσκαλός σου οὐ τελεῖ τὰ δίδραχμα », οὐκέτι τὸ αὐτὸ πεποίηκεν, ὅπερ ἐπ' ἐκείνων, ἀλλὰ φροντίζει τοῦ σκανδάλου καὶ φησίν, « Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν τῷ στόματι αὐτοῦ στατῆρα· τοῦτον λαβὼν δὸς ἀντὶ ἐμοῦ καὶ σοῦ. » Ὁρᾷς καὶ φροντίζοντα καὶ μὴ φροντίζοντα; Ἐνταῦθα μὲν γὰρ οὐκ ἦν κατεπεῖγον ἐκκαλυφθῆναι τοῦ Μονογενοῦς τὴν δόξαν· πῶς γὰρ, ὅπου καὶ ἐπετήδευεν αὐτὴν συσκιάζειν, καὶ ἐκέλευε πολλοῖς μὴ λέγειν, ὅτι αὐτὸς εἴη ὁ Χριστός; Καὶ διὰ τοῦτο ἀπὸ μὲν τοῦ καταθεῖναι τὴν δραχμὴν οὐδὲν ἦν βλάβος, ἀπὸ δὲ τοῦ μὴ καταθεῖναι μεγάλ' ἂν ἐτίκτετο κακά· ὡς γὰρ τύραννον, καὶ ἀνταίροντα, καὶ τῆς πόλεως ἁπάσης ἐχθρὸν, καὶ εἰς τοὺς ἐσχάτους ἐμβάλλοντα κινδύνους, οὕτως ἂν ἀπεστράφησαν. Διὰ δὴ τοῦτο καὶ βουλομένους αὐτοὺς ἁρπάσαι τε αὐτὸν καὶ βασιλέα ποιῆσαι ἀπέφυγε πόρρωθεν, ἐκ πολλοῦ τοῦ περιόντος ταύτην ἀποχρουόμενος τὴν ὑπόληψιν. Ἐκεῖ δὲ ἀναγκαῖον τὸ κατορθούμενον ἦν· διὸ χρησίμως τε καὶ εὐκαίρως καὶ ἐπὶ κατορθώματι μείζονι κατεφρόνησε τοῦ σκανδάλου. Καὶ γὰρ εὔκαιρον ἦν λοιπὸν τοὺς μέλλοντας ἐπὶ τὴν ἀκροτάτην ἀναβαίνειν φιλοσοφίαν μὴ κωλύειν διὰ τὴν εἰς τοὺς Ἰουδαίους φειδὼ, ἀλλ' ἀφιέναι λοιπὸν τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν τῆς ψυχῆς καθαρότητα, καὶ μὴ κατέχειν ἐν τῇ σωματικῇ παρατηρήσει, ἀλλὰ συγχωρεῖν τῆς ταπεινότητος ἀπαλλάττεσθαι ἐκείνης. Οὕτω καὶ Παῦλος καὶ καταφρονεῖ τῶν σκανδαλιζομένων, καὶ οὐ καταφρονεῖ, ἀκολουθῶν τῷ διδασκάλῳ, καὶ φησὶ, « Πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. » Εἰ δὲ Παῦλος τὸ οἰκεῖον παρορᾷ συμφέρον, ἵνα τὸ τῶν ἄλλων εὕρῃ, πόσης οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, μηδὲ οἰκείας ἀποστῆναι βλάβης ἀνεχόμενοι ὑπὲρ τοῦ τὸ ἑτέρων συμφέρον εὑρεῖν, ἀλλ' ἡδέως μεθ' ἑαυτῶν καὶ ἑτέρους προσαπολλύντες,

obvenerit, ut scandalizentur alii, sive ob rationem aliquam, sive ob nullam, sive ut infirmi offendantur, sanguis illorum super caput nostrum, et ex manibus nostris Deus animas tales requiret. Et propter hoc, ne per omnia vel curaremus vel negligeremus eos quibus offendiculo sumus, terminos quosdam et regulas nobis Christus præscripsit, et hoc et illud faciens, prout tempus postulabat. Enimvero cum de natura ciborum disereret, et ostenderet eam esse puram, et a Judaica observatione liberaret, Petro ingresso et dicente (*Matth.* 15. 12 *sqq.*), *Scandalizati sunt*, dixit : *Sine ipsos.* Et non solum despexit, quin et accusavit, dicens, *Omnis enim plantatio, quam non plantavit Pater meus cælestis, eradicabitur.* Ita legem de cibis irritam fecit. Ubi autem qui petebant didrachma, ad Petrum accedentes dixerunt, *Magister tuus non solvit didrachma*, tunc non idem egit sicut antea, sed rationem habuit scandali, et ait (*Matth.* 17. 27), *Ut autem non scandalizemus ipsos, mitte hamum in mare, et piscem qui primum egressus fuerit tolle, inveniesque in ore ejus staterem : hunc acceptum da pro me et te.* Vides modo curantem, modo nihil curantem? Nam hoc loco nihil valde referebat gloriam Unigeniti revelari : quomodo enim, cum vel studuerit eam obumbrare, præceperitque multitudini, ne dicerent quod ipse esset Christus? Et propterea nihil damni ex eo quod dependit didrachma : si autem non solvisset, magna inde nata fuissent mala ; nam ut tyrannum et obsidentem et civitatis universæ inimicum, et in extrema pericula injicientem, utique aversati fuissent. Propterea eos qui volebant ipsum rapere et facere regem, longius fugit, atque hoc inceptum vehementissime repulit. Priori autem loco necessarium erat id quod agebatur : ideo utiliter ac tempestive et ut in meliori opere contemsit scandalum. Etenim valde tempori congruebat ad supremam philosophiam ascensuros non prohibere, quo Judæis mos gereretur ; sed abire vocante tempore ad animi puritatem, neque retardari corporali observatione, sed a vili illa cura eximi. Sic et Paulus modo contemnit eos qui scandalizabantur, modo non contemnit, Magistrum sequens, et dicit (1 *Cor.* 10. 33), *Per omnia omnibus placeo, non quærens quod mihi utile est, sed quod multis, ut salvi fiant.* Si autem Paulus suam contemnit utilitatem, ut inveniat quod multis prosit, quanta nos digni erimus pœna, si neque proprium fugimus damnum, ut inveniamus quod utile sit aliis, sed nos quoque cum aliis suaviter perdimus, cum possemus et nos ipsos et alios servare?

παρὼν καὶ ἑτέρους καὶ ἑαυτοὺς διασῶσαι; Διὰ δὴ τοῦτο, ὅταν μὲν ἴδῃ πολὺ τὸ κέρδος, καὶ τῆς τοῦ σκανδάλου βλάβης μεῖζον, καταφρονεῖ τῶν σκανδαλιζομένων· ὅταν δὲ κέρδος ᾖ μηδέν, τοῦτο δὲ μόνον τὸ σκανδαλίζεσθαι ἐκβαίνῃ, πάντα καὶ ποιεῖν καὶ πάσχειν αἱρεῖται, ὥστε μὴ τοῦτο γενέσθαι. Καὶ οὐ φιλοσοφεῖ τοιαῦτα, οἷα ὑμεῖς, οὐδὲ λέγει, Διὰ τί γάρ εἰσιν ἀσθενεῖς; διὰ τί γὰρ ἀλόγως ταῦτα πάσχουσιν; ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτῶν φείδεται, ἐπειδὴ ἀλόγως τοῦτο πάσχουσιν, ἐπειδὴ ἀσθενεῖς εἰσιν.

Εἰπὲ γάρ μοι, ποίαν ἔχει πρόφασιν εὔλογον εἰπεῖν ὁ σκανδαλιζόμενος ἐπὶ τῷ ἐσθίοντι κρέα καὶ οἶνον πίνοντι; τοῦτον γὰρ ὁ Θεὸς τὸν νόμον ἄνωθεν ἐξέθετο. Ἀλλ' ὅμως κἂν ἐπὶ τούτοις σκανδαλίζηταί τις, καὶ τούτων ὁ Παῦλος ἀπέχεται. « Οὐ γὰρ μὴ φάγω κρέα, φησὶν, [οὐδὲ πίω οἶνον,] ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. » Καὶ οὐκ εἶπε ταῦτα ἅπερ ὑμεῖς, ὅτι Ἐγὼ μᾶλλον τῆς ἑτέρων ἀλογίας ὑπεύθυνος εἶναι; καὶ, Ἐάν τινι δόξῃ σκανδαλισθῆναι ἁπλῶς, ἐγὼ ἄξιος δίκην δοῦναι; Καίτοι εἰ καὶ εἶπε, δικαιότερον ἂν ὑμῶν εἶπε πολλῷ. Ὁ μὲν γὰρ ἐπ' ἐκείνοις σκανδαλιζόμενος ἀλόγιστος σφόδρα καὶ ἀνόητος· ὁ δὲ ἐπὶ τούτοις, πολλὰς ἂν σχοίη δικαίας καὶ εὐλόγους αἰτίας εἰπεῖν· ἀλλ' ὅμως καὶ δικαιότερα ἂν ὑμῶν εἰπὼν ὁ Παῦλος, οὐκ εἶπεν, ἀλλ' εἰς ἓν μόνον εἶδε, τοῦ πλησίον τὴν σωτηρίαν. Καὶ θέα τὴν ὑπερβολήν· οὐ γὰρ εἶπεν Ἅπαξ, ἢ Δίς, ἢ τόσον καὶ τόσον χρόνον, ἀλλ' « Εἰς τὸν αἰῶνα, φησὶν, οὐ μὴ φάγω », εἰ σκανδαλίζοιτο ἕτερος. Καὶ ἵνα μὴ νομίσῃς μέχρι τούτων αὐτὸν ἑστάναι, καὶ ἕτερόν τι προσέθηκε τούτου πλέον· εἰπὼν γὰρ « Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον », συνῆψε κἀκεῖνο· « Μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. » Καὶ πάλιν σκόπει μοι τὴν σοφίαν τοῦ διδασκάλου· τὸν μὲν ἀσθενοῦντα ἀφεὶς, τὸν ἰσχυρὸν διορθοῦται πρὸ ἐκείνου· οὗτος γὰρ αἴτιος τοῦ ἀσθενεῖν ἐκεῖνον, ὁ κύριος ὢν διορθῶσαι τὴν ἀῤῥωστίαν, καὶ μὴ ποιῶν. Καὶ τί λέγω περὶ τῶν ἀσθενῶν ἀδελφῶν; Καὶ γὰρ Ἰουδαίοις καὶ Ἕλλησι καλεύει ταύτην παρέχειν τὴν πρόνοιαν. « Ἀπρόσκοποι γὰρ, φησὶ, γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. » Ὥστε ὅσῳ ἂν ἰσχυρότερον εἶναι λέγῃς σαυτὸν, καὶ μηδὲν ἀπὸ τῆς ὁμοσκηνίας βλάπτεσθαι ταύτης, τοσούτῳ μᾶλλον ὑπεύθυνον σαυτὸν καθιστᾷς τοῦ διασπάσαι τὸν δεσμόν. Ὅσῳ γὰρ ἂν ᾖς ἰσχυρότερος, τοσούτῳ δικαιότερος ἂν εἴης τὸν ἀσθενέστερον διαβαστάσαι. Ἂν μὲν οὖν ἀσθενὴς ᾖς, διὰ σαυτὸν ἀπόστηθι· ἂν δὲ ἰσχυρότερος, διὰ τὸν ἀσθενοῦντα. Οὐ γὰρ ἑαυτῷ μόνον, ἀλλὰ καὶ ἑτέροις ἰσχυρὸν εἶναι χρὴ τὸν ἰσχύοντα. Εἰ δὲ λέγων ἰσχύειν, τὴν ἀσθένειαν τὴν ἐκείνου περιορᾷς, διπλῆν δώσεις δίκην, ὅτι τε οὐκ ἐφείσω, καὶ ὅτι πολλὴν ἔχων τοῦ φείσασθαι δύναμιν. Ὑπεύθυνος γὰρ ἕκαστος ἡμῶν τῆς τοῦ πλησίον σωτηρίας ἐστί. Διὰ τοῦτο οὐχὶ τὰ ἑαυτῶν σκοπεῖν, ἀλλὰ

Propterea cum videt majus lucrum quam damnum, contemnit eos qui scandalum patiuntur: ubi autem lucrum videt nullum, solum autem scandalum inde evenire, omnia et facere et pati paratus est ne eveniat. Et non disputat talia more nostro, neque dicit, Quare sunt infirmi? quare sine causa sic affecti sunt? sed ea de causa ipsis potissimum parcit, quia ob rationis penuriam ita se habent, quia infirmi sunt.

3. Dic enim mihi qualem ille rationabilem prætextum dicere potest, qui scandalizatur in comedente carnem et bibente vinum? hanc quippe legem Deus olim posuit. Verumtamen in his si scandalizetur aliquis, Paulus abstinet. *Non carnem comedam*, inquit (1 *Cor.* 8. 13), [*neque vinum bibam,*] *ut ne scandalizem fratrem.* Nec dixit ea quæ vos dicitis: Subjiciendusne ego alienæ insipientiæ? et Num quia alicui simpliciori videtur esse scandalum, ego dignus qui supplicium luam? Quamvis etiam si dixisset, multo tamen justius dixisset quam vos. Nam qui in illis scandalizatur, insensatus est et valde insipiens; verum ille in his multas justas et dignas causas quas dicat habuerit. At licet justiores dicendas haberet Paulus, siquidem voluisset; at non dixit, sed ad unum solum spectavit, nempe salutem proximi. Et vide quam eminenter: non enim dixit Semel, aut Bis, aut tanto tempore, sed *In æternum*, ait, *non comedam*, si scandalizetur alius. Et ut ne putes in his eum subsistere, et aliud quiddam adjicit hoc majus. Ubi enim dixit (*Rom.* 14. 21), *Bonum est non comedere carnem, et non bibere vinum*, conjunxit et illud: *Neque illud, per quod frater tuus impingit, vel scandalizatur, vel infirmatur.* Et animadverte rursus sapientiam præceptoris. Relicto enim infirmo fortem corrigit ante illum: nam fortis auctor est quod ille infirmus sit, eo quod possit infirmitatem corrigere, et non faciat. Et quid dico de infirmis fratribus? Etenim Judæis et gentibus jubet eamdem curam impendi (1 *Cor.* 10. 32): *Sine offendiculo*, ait, *estote et Judæis et gentibus et Ecclesiæ Dei.* Itaque quanto te fortiorem esse dicis, nihilque a cohabitatione nocumenti accipere, tanto magis te ipsum debitorem constituis, ut vinculum hoc rumpas. Nam quanto fortior eras, tanto æquius fuit, ut infirmiorem gestares. Igitur si infirmus es, propter te ipsum desiste; sin robustior, propter alterius infirmitatem. Non enim sibi ipsi dumtaxat, sed et aliis fortem esse oportet eum qui fortis est. Quod si te fortem esse dicis, et infirmitatem illius contemnis, duplam dabis pœnam, tum quod non pepercisti, tum quod multa tibi vis erat ut illi parcere posses. Nam unusquisque nostrûm debitor est salutis proximi. Propterea

τὰ τοῦ πλησίον ἐκελεύσθημεν. Τιμῆς γὰρ ἠγοράσθημεν· ὁ δὲ ἀγοράσας ἡμᾶς τοῦτο προσέταξεν ἐπὶ τῇ κοινῇ πάντων ἡμῶν λυσιτελείᾳ. Οὐδὲ γὰρ τοῦτο μόνον συμβαίνει τὸ κέρδος, ὅτι τὰ οἰκεῖα σώζομεν μέλη, ἀλλ' ὅτι καὶ ἑαυτοὺς ἐν ἀσφαλείᾳ καθιστῶμεν μείζονι. Κἂν γὰρ μυριάκις φιλοσοφῇς, δι' αὐτῶν ἐλέγχῃ τῶν πραγμάτων, οὐ τὴν τυχοῦσαν δεχόμενος βλάβην ἀπὸ τῆς συνοικήσεως ταύτης. Ὅταν γὰρ ἴδω σε δυσαποσπάστως ἔχοντα, καὶ μυρίων βλαπτομένων καταφρονοῦντα, καὶ πολλῶν ἐγκαλούντων οὐδὲ ἐπιστρεφόμενον, ἀλλὰ καὶ τὴν δόξαν ἑαυτοῦ καταπατοῦντα, καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας προστριβόμενον κατηγορίαν πολλὴν, καὶ τὰ τῶν ἀπίστων ἀνοίγοντα στόματα, καὶ πάντας πονηρᾷ περιβάλλοντα δόξῃ, καὶ τοσαῦτα μὲν ἀπὸ τοῦ συνοικεῖν κακὰ, ἀγαθὸν δὲ μηδὲν ὑμῖν ἐγγινόμενον, ἀπὸ δὲ τοῦ χωρισμοῦ, τούτων μὲν ἁπάντων τὴν ἀναίρεσιν τῶν κακῶν, πολλῶν δὲ ἑτέρων κτῆσιν ἀγαθῶν, εἶτα οὐκ ἀνεχόμενον ἀποπηδῆσαι, πῶς δυνήσομαι πεῖσαι τοὺς ἐγκαλοῦντας, ὅτι πάσης ἀπήλλαξαι προσπαθείας, καὶ ἐπιθυμίας εἶ πονηρᾶς καθαρός; Μᾶλλον δὲ αὐδὲν ὑπὲρ τούτων φιλονεικῶ· ἀλλ' ἔστω σε εἶναι καὶ συνοικοῦντα καθαρόν· καίτοι γε ὁ μακάριος Ἰὼβ οὐκ ἐτόλμησε τοσαύτην ἑαυτῷ μαρτυρῆσαι δύναμιν καὶ φιλοσοφίαν, ἀλλ' ὁ πᾶσαν ἐπελθὼν ἀρετὴν, καὶ πάντων ὑπερενεχθεὶς τῶν τοῦ διαβόλου δικτύων, καὶ πρῶτος καὶ μόνος τοσαύτην ἐπιδειξάμενος καρτερίαν, καὶ πάντα σίδηρον καὶ ἀδάμαντα τῇ τῆς ψυχῆς παρελθὼν ἐγκρατείᾳ, καὶ κατακόψας τοῦ διαβόλου τὴν ἰσχὺν, οὕτως ἐδεδοίκει τὴν τοιαύτην πάλην, καὶ ἐνόμιζεν ἀδύνατον εἶναι συνοικοῦντα παρθένῳ μένειν ἀσινῆ καὶ καθαρὸν, ὡς μὴ μόνον τῆς συνοικήσεως ταύτης πόρρω καὶ μακρὰν ἑαυτὸν καταστῆσαι, ἀλλὰ καὶ τῆς ὄψεως τῆς ἁπλῶς καὶ ἀπὸ συντυχίας γινομένης, καὶ νόμον ἔθηκε τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ, μηδὲ ἁπλῶς εἰς παρθένον ἰδεῖν. Ἤδει γὰρ, ἤδει σαφῶς, ὅτι οὐ μόνον τὸν συνοικοῦντα, ἀλλὰ καὶ τὸν βλέποντα περιέργως εἰς ὄψιν παρθενικὴν δύσκολον, τάχα δὲ καὶ ἀδύνατον, τὴν ἐκεῖθεν διαφυγεῖν βλάβην· διὸ ἔλεγε, « Καὶ οὐ συνήσω ἐπὶ παρθένῳ. »

Εἰ δὲ μικρός σοι πρὸς ἅμιλλαν ὁ Ἰὼβ, καίτοι γε οὐδὲ τῆς κοπρίας ἐσμὲν ἄξιοι τῆς ἐκείνου, πλὴν ἀλλ' εἰ ἔλαττόν σου τῆς μεγαλοψυχίας εἶναι νομίζεις τὸ ὑπόδειγμα, ἐννόησον τὸν μεγαλοφωνότατον κήρυκα τῆς ἀληθείας Παῦλον, ὃς ἅπασαν περιελθὼν τὴν οἰκουμένην, καὶ δυνηθεὶς εἰπεῖν ἐκεῖνα τὰ πολλῆς γέμοντα φιλοσοφίας ῥήματα, ὅτι οὐκέτι αὐτὸς εἴη ζῶν, ἀλλ' ἡ Χριστὸς ἐν αὐτῷ, καὶ ὅτι ἐσταύρωται τῷ κόσμῳ, καὶ ὁ κόσμος αὐτῷ, καὶ ὅτι καθ' ἡμέραν ἀποθνήσκει· μετὰ τὴν τοσαύτην τοῦ πνεύματος χάριν καὶ τὴν τοσαύτην τῶν ἄθλων ἐπίδειξιν, μετὰ τοὺς ἀφάτους κινδύνους, μετὰ τὴν ἠκριβωμένην φιλοσοφίαν, δεικνὺς ἡμῖν καὶ παραδηλῶν, ὅτι ἕως ἂν ἐμπνέωμεν καὶ τὴν σάρκα ὦμεν περικείμενοι ταύτην, παλαισμάτων ἡμῖν χρεία καὶ πόνων, καὶ οὐκ ἔστιν ἀπραγμόνως κατορθῶσαι σωφροσύνην ποτὲ, ἀλλὰ

jussi sumus, non quæ nostra sunt, sed quæ proximi spectare. Pretio enim emti sumus, et qui nos redemit, hoc præcepit in communem animarum nostrarum utilitatem. Non enim hoc solum nostrum est lucrum, ut membra nostra servemus, sed ut nos etiam ipsos in majori securitate constituamus. Quamvis enim millies philosopheris, redargueris tamen per opera, damnum ex hac cohabitatione accepturus non vulgare. Quando enim te video ita avelli non posse, et millia eorum despicere, quibus damnum infertur, nec converti te tam multis reprehendentibus, sed et gloriam tuam conculcare, Ecclesiæque magnam invidiam conflare, atque infidelium ora aperire, omnesque mala opinione imbuere, et tanta quidem ex cohabitatione nasci mala, nullum autem provenire bonum; ex separatione vero horum omnium malorum sublationem, multorum autem aliorum bonorum possessionem adipisci licere, deinde cum resilire nolis, quomodo persuadere potero aliis quod affectionis sis expers et a concupiscentia mala purus? Imo vero super his nihil contendo; sed esto quod sis etiam cohabitando purus, quamvis ne Job quidem ille beatus ausus fuit tantam virtutem et sapientiam sibi adscribere; sed qui omnem exercuerat virtutem, omnibus diaboli retibus superior evaserat, qui primus et solus tantam fortitudinem demonstravit, et omne ferrum et adamantem sua continentia prætergressus subnervavit diaboli potestatem, sic veritus erat talem pugnam, et ita putavit impossibile esse cohabitare virgini sine damno et purum, ut non solum a cohabitatione tali procul et longe se ipsum, sed et ab aspectu prorsus et consortio subduxerit, legemque posuerit oculis suis omnino in virginem ne respicere quidem. Sciebat enim et probe noverat quod non solum cohabitantem, sed et aspicientem curiose in faciem virginis difficile, forte autem et impossibile sit effugere damnum, quod inde oritur. Propter quod et dicebat (*Job.* 31. 1), *Ne cogitem quidem de virgine.*

5. At si parvus videtur tibi ad certamen Job, quamvis revera neque stercore illius simus digni; verumtamen si minus tua magnanimitate esse putas exemplum, cogita vocalissimum præconem veritatis Paulum, qui totum orbem circuit, et dicere potuit verba illa multa sapientia referta, quod (*Galat.* 2. 20) non jam ipse sit vivens, sed Christus in ipso, et quod (*Gal.* 6. 14) crucifixus sit mundo et mundus ipsi, et quod (1 *Cor.* 15. 31) quotidie moriatur: post tantam spiritus gratiam et tanta certaminum specimina, post inenarrabilia pericula, post tam eximium perfectæ sapientiæ studium, declarat nobis et commonstrat quod, donec spiraverimus et hac carne fuerimus circumdati, certaminibus nobis opus sit et laboribus, neque otio temperantia paretur, sed multis sudoribus et labo-

πολλῶν ἡμῖν ἱδρώτων δεῖ καὶ καμάτων πρὸς τοῦτο τὸ τρόπαιον, οὕτως ἔλεγεν· « Ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. » Ταῦτα δὲ ἔλεγε δηλῶν τὴν ἐπανάστασιν τῆς σαρκὸς καὶ τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν, καὶ τὸν διηνεκῆ πόλεμον, καὶ τὸν ἐναγώνιον αὐτοῦ βίον. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῦ πράγματος δηλῶν τὴν δυσκολίαν, οὐδὲ ἐμβλέπειν ἁπλῶς ἠφίει εἰς τὰς τῶν γυναικῶν ὄψεις, ἀλλὰ καὶ τῇ τῶν μοιχῶν κολάσει τοὺς οὕτως ὁρῶντας κολάζειν ἠπείλησε. Καὶ τῷ Πέτρῳ εἰπόντι ὅτι « Οὐ συμφέρει γαμῆσαι », οὐκ ἐνομοθέτησε μὴ γαμεῖν, ἀλλὰ παραδηλῶν τοῦ πράγματος τὸν ὄγκον, ἔλεγεν, « Ὁ δυνάμενος χωρεῖν, χωρείτω. » Ἀκούομεν δὲ καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὅτι πολλοὶ καὶ σιδήρῳ ἅπαν τὸ σῶμα καταδήσαντες, καὶ σάκκῳ περιβαλόντες, καὶ πρὸς τὰς τῶν ὀρῶν ἀναδραμόντες κορυφὰς, καὶ νηστείᾳ συζῶντες διηνεκεῖ καὶ παννυχίσι καὶ ἀγρυπνίαις, καὶ πᾶσαν ἐπιδεικνύμενοι σκληραγωγίαν, καὶ γυναιξὶν ἁπάσαις ἀπαγορεύσαντες ἐπιβαίνειν τοῦ δωματίου καὶ τῆς καλύβης τῆς ἑαυτῶν, καὶ τῷ τρόπῳ τούτῳ παιδαγωγοῦντες ἑαυτοὺς, μόλις περιγίνονται τῆς κατὰ τὴν ἐπιθυμίαν μανίας. Σὺ δὲ λέγεις ὅτι, κἂν συνοικοῦντα ἴδῃς παρθένῳ καὶ προσδεδεμένον, καὶ τρυφῶντα, καὶ τὴν ψυχὴν προϊέμενον μᾶλλον ἢ τὴν σύνοικον, καὶ πάντα καὶ παθεῖν καὶ ποιῆσαι αἱρούμενον ἢ χωρισθῆναι τῆς ποθουμένης, μὴ πιστεύσῃς τι πονηρὸν, μηδὲ ἐπιθυμίας εἶναι νομίσῃς τὸ πρᾶγμα, ἀλλ' εὐλαβείας. Ἀλλ' οὐ περὶ τῶν σωμάτα ἐχόντων, ὦ θαυμάσιε, ἀλλὰ περὶ τῶν λίθοις συνοικούντων οὕτω διακεῖσθαι χρή. Καὶ σὺ μὲν ἴσως ἀπιστεῖς διὰ τὴν πολλὴν σωφροσύνην· ἐγὼ δὲ ἤκουσα διηγουμένων τινῶν, ὅτι πολλοὶ καὶ πρὸς ἀγάλματα καὶ λίθους ἔπαθόν τι. Εἰ δὲ ἔνθα σκληρότης καὶ ἀντιτυπία, ἡ διάπλασις μόνη τοσοῦτον ἴσχυσεν, ὅταν μετὰ τῆς διαπλάσεως καὶ σῶμα ἁπαλὸν ᾖ ὑποκείμενον, τίνα οὐκ ἐργάσεται μανίαν; πῶς δὲ οὐ δόξουσιν εἰκότα λέγειν μᾶλλον οἱ κατηγοροῦντες, ἢ ὑμεῖς οἱ ἀπολογούμενοι; Τί γὰρ εἰκὸς, εἰπέ μοι, ἐπιθυμεῖν ἄνδρα γυναικὸς, ἢ μὴ ἐπιθυμεῖν; Πάντως ἂν εἴποιμεν ἐπιθυμεῖν. Πάλιν τὸν μυρίων ὠθουσῶν ἔξω προφάσεων εὐλόγων οὐκ ἀνεχόμενον ἐξελθεῖν, ἀλλ' εἰσωθοῦντα ἑαυτὸν ἐπ' οὐδενὶ μὲν κατορθώματι, μυρίοις δὲ ὀνείδεσι καὶ βλάβαις οἰκείων τε καὶ ἀλλοτρίων, τί εἰκός; ἐξ ἀγαθῆς τοῦτο προαιρέσεως πάσχειν, ἢ ἐκ πονηρᾶς; Τάχα ἂν ἐκ πονηρᾶς εἴποι τις μᾶλλον. Πλὴν ἀλλὰ μηδὲν ὑπὲρ τούτων ἀκριβολογώμεθα, ἀλλὰ κείσθω μήτε κατὰ λόγον σκανδαλίζεσθαι τοὺς σκανδαλιζομένους, μήτε δικαίως, ἀλλ' εἰκῇ καὶ μάτην· τίνος ἕνεκεν συνοικεῖς, εἰπέ μοι, τῇ παρθένῳ; Δι' οὐδὲν γὰρ ἡ συνοίκησις αὕτη νενομοθέτηται, ἢ δι' ἔρωτα καὶ πόθον· ἐκεῖ περίεστι τοῦτο, καὶ ἀνῄρηται ἡ τοῦ πράγματος χρεία. Τίς γὰρ ἂν ἕλοιτο ἀνὴρ ὢν ταύτης χωρὶς τῆς ἀνάγκης γυναικείας ἀνέχεσθαι τρυφῆς καὶ ὕβρεως καὶ τῶν ἄλλων τῶν τοῦ γένους ἐλαττωμάτων ἐκείνου; Διὰ

ribus opus sit ad hoc tropæum parandum, sic dicens (*1 Cor.* 9. 27): *Castigo corpus meum, et in servitutem redigo, ne dum aliis prædicavero, ipse reprobus fiam.* Hæc autem dicebat declarans seditionem carnis, et concupiscentiæ rabiem, prœliumque continuum, ac vitam semper in agone constitutam. Et idcirco etiam Christus difficultatem rei declarans, neque vel licite aspicere permittit mulierum facies, sed et adulterorum pœna punicndos sic respicientes interminatus est. Et cum dixisset Petrus (*Matth.* 19. 10), *Non expedit uxorem ducere*, non statuit legem ne ducantur uxores, sed gravitatem rei declarans dicebat (*ib.* 12): *Qui potest capere, capiat.* Audimus autem et hoc nostro sæculo, nonnullos ferro totum corpus ligantes, et sacco vestientes, et ad vertices montium currentes, et in continuis jejuniis ac pervigiliis viventes, omnemque disciplinæ severitatem ostendentes, omnibus mulieribus ingressum in domunculam et tugurium suum interdicere, atque hac ratione se ipsos castigantes ægre tamen concupiscentiæ furorem comprimere. At tu dicis: Licet videas cohabitantem virgini, et alligatum, et deliciantem, et animam potius amittentem quam cohabitatricem, paratumque omnia et facere et pati potius quam separari a dilecta, ne suspiceris aliquid mali, ne putes concupiscentiæ negotium, sed pietatis potius. Admirande vir, ita existimare oportet de iis qui lapidibus cohabitant, non de hominibus. Et tu quidem forte non credis ob magnam tuam continentiam; ego autem audivi quosdam dicentes quod etiam multi erga lapides et statuas nonnihil affecti sint. Quodsi tantum valuit artificium solum, ubi aspera et dura materies, quantam operabitur insaniam in effigie pulchra tenerum corpus? Quomodo non credentur magis verisimilia dicere qui vos accusant, quam vos qui defenditis? Quid enim verisimile, dic mihi? an quod vir mulierem concupiscat, an quod non concupiscat? Omnino dixerimus quod concupiscat. Rursum cum innumeræ causæ impellant ut egrediatur, nec egredi velit, sed se ipsum injiciat, nullo operæ pretio, multis vero probris ac nocumentis sequentibus, tum suis, tum alienis, quid hinc conjicias? ex bonone hoc agi proposito, an ex malo? Opinor quis facile dixerit quod ex malo. Verumtamen non de iis ipsis diligenter scrutabimur, sed ponatur quod ii qui scandalizantur non scandalizantur juste, sed temere et sine causa: dic mihi cujus gratia virgini cohabitas? Nulla enim alia de causa statuta est cohabitatio hæc, quam propter dilectionem et amorem: nam sufer hoc, et auferetur rei utilitas. Quis enim vir est, qui velit sine hac necessitate ferre delicias et injurias mulie-

τοῦτο καὶ ὁ Θεὸς ἐξ ἀρχῆς τὴν γυναῖκα ταύτῃ καθώπλισε τῇ ἰσχύϊ, εἰδὼς ὅτι σφόδρα εὐκαταφρόνητος ἔσται, μὴ ταύτην ἐπαγομένη τὴν ἀνάγκην, καὶ ὅτι οὐδεὶς ἂν ἕλοιτο αὐτῇ συνοικῆσαι καθαρεύων ἐπιθυμίας. Εἰ γὰρ καὶ τοσαύτης ἐπικειμένης ἀνάγκης νῦν καὶ πολλῆς ἑτέρας χρείας — καὶ γὰρ καὶ παιδοποιοῦσι, καὶ οἰκουροῦσι, καὶ ἕτερα διακονοῦνται πολλὰ καὶ πλείονα τούτων· εἰ δὲ τοιαῦτα νῦν καὶ τοσαῦτα λειτουργοῦσαι τοῖς ἀνδράσιν εὐκαταφρόνητοι πολλάκις ἐγένοντο, καὶ τῆς οἰκίας ἐξεβλήθησαν, πῶς ἂν ἐπιθυμίας χωρὶς ἦσαν ὑμῖν ποθειναὶ, καὶ ταῦτα τοσούτοις ὑμᾶς ὀνείδεσι περιβάλλουσαι; Ἢ λέγετε τοίνυν τὴν αἰτίαν τῆς συνοικήσεως, ἢ οὐδεμίαν ὑποπτεύειν ἑτέραν ἀνάγκη, ἀλλ' ἢ πονηρὰν ἐπιθυμίαν καὶ ἡδονὴν ἐπονείδιστον.

Τί οὖν, ἂν δυνηθῶμεν, φησὶν, αἰτίαν εὔλογον καὶ δικαίαν εἰπεῖν, ἔσῃ μάτην ταῦτα περὶ ἡμῶν εἰρηκώς; Μάλιστα μὲν οὐδεμίαν ἐρεῖτε τοιαύτην· πλὴν ἀλλὰ καὶ οὕτως ἐβουλόμην μαθεῖν, εἴ τινα σκιὰν γοῦν ἔχετε εὐλόγου προφάσεως εἰπεῖν. Ἀπροστάτευτος, φησὶν, ἐστὶν ἡ παρθένος, οὐκ ἀνδρα ἔχουσα, οὐ κηδεστὴν, πολλάκις δὲ οὐδὲ πατέρα, οὐκ ἀδελφὸν, καὶ δεῖται τοῦ χεῖρα ὀρέξοντος, καὶ τὴν ἐρημίαν παραμυθησομένου, καὶ πανταχοῦ προβεβλημένου καὶ καταστήσοντος αὐτὴν ἐν ἀσφαλείᾳ πολλῇ καὶ λιμένι. Ποίᾳ ἀσφαλείᾳ, εἰπέ μοι; ποίῳ λιμένι; τὸν γὰρ πρόβολον οὐκ εἴργοντα ὁρῶ τὰ κύματα, ἀλλ' ἐπεγείροντα, καὶ τὸν λιμένα οὐκ ἀναστέλλοντα τὸν χειμῶνα, ἀλλὰ καὶ τὰς οὐκ οὔσας τίκτοντα τρικυμίας. Εἶτα οὐκ αἰσχύνεσθε, οὐκ ἐγκαλύπτεσθε τοιαῦτα ἀπολογούμενοι; Εἰ γὰρ μηδεμία ἐκ ταύτης τῆς διακονίας ἐτίκτετο κακηγορία, μηδὲ βλάβη, μηδὲ σκάνδαλον, ἀλλὰ μετ' εὐφημίας ἐξῆν αὐτὸ τοῦτο ποιεῖν, τίνος οὐκ ἂν ἦτε ἐλεεινότεροι τὸν πλοῦτον αὐτῆς αὔξοντες, καὶ πρὸς φιλοχρηματίαν γυμνάζοντες, καὶ εἰς πράγματα ἐμβάλλοντες, καὶ πρὸς κοσμικὰς παιδοτριβοῦντες φροντίδας, οἰκονόμων τάξιν καὶ ἐπιτρόπων καὶ ἀγοραίων τινῶν ἀνταλλαττόμενοι; Καὶ σφόδρα γε· οὐ γὰρ δυνήσεσθε περὶ ἀκτημοσύνης διαλεχθῆναι, καὶ πεῖσαι τῶν ὄντων καταφρονεῖν, οἱ πάντα ποιοῦντες ὅπως μένοι καὶ αὔξοιτο τὰ ὄντα, καὶ πόροι πόροις ἐπιγίγνοιντο, κάπηλοί τινες καὶ παλιγκάπηλοι δι' ἐκείνας γινόμενοι, ἄχρηστοί γε· οὐ γὰρ καὶ γενναῖαι ὑμῶν αἱ ἐλπίδες, οἳ τὸν σταυρὸν κελευσθέντες βαστάζειν καὶ ἕπεσθαι τῷ Χριστῷ, ῥίψαντες τὸν σταυρὸν, καθάπερ στρατιῶται μαλακοὶ τὴν ἀσπίδα, ῥᾳθυμίᾳ παρακάθησθε καὶ καλαθίσκῳ, δι' ἑτέρας αἰσχροτέρας μεθόδου τὴν εἰς τὸν παρόντα βίον ἀνοίξαντες θύραν. Οὐ γὰρ οὕτως αἰσχρὸν τοὺς γεγαμηκότας ταῦτα οἰκονομεῖν, ὡς τοὺς προσποιουμένους ὑμᾶς ἀποπεπηδηκέναι μὲν τῶν παρόντων, δι' ἑτέρου δὲ προσώπου πάλιν αὐτὰ ὑποδυομένους. Διὰ τοῦτο λαιμάργων καὶ παρασίτων καὶ κολάκων καὶ γυναικοδούλων πανταχοῦ δόξαν λαμβάνομεν, ὅτι χαμαὶ τὴν εὐγένειαν ἅπασαν ῥίψαντες τὴν ἄνωθεν δοθεῖσαν ἡμῖν, ἀντικαταλλαττόμεθα τὴν ἀπὸ τῆς γῆς δουλοπρέπειάν

bres et alia hujus sexus vitia? Propterea et ab initio Deus mulierem hoc robore armavit, probe sciens quod valde despicabilis esset, nisi hanc necessitatem induceret, et quod nullus ei cohabitaturus esset, qui a cupiditatibus esset immunis. Nam si nunc ubi tam necessariæ et utiles sunt, cum et pueros procreant, et domum custodiunt, et alia multa his plura administrant: si igitur, inquam, cum ita viris ministrant, sæpe tamen contemtæ sunt, ut e domo ejiciantur, quomodo absque concupiscentia vobis esse possunt dilectæ, præsertim quæ vos tot opprobriis onerent? Vel ergo causam cohabitationis dicite, vel nullam aliam suspicari necesse, quam malam concupiscentiam et ignominiosam voluptatem.

6. Quid igitur, si poterimus, ait, causam justam et rationabilem dicere, an tum frustra hæc dixeris? Maxime quidem nullam talem dicetis, verumtamen hac etiam ratione vellem discere, an vel umbram aliquam justi prætextus dicere possitis. Defensore caret, ait, virgo, neque virum habet, neque tutorem, sæpe item neque patrem, nec fratrem; indiget aliquo, qui ei manum præbeat, et solitariæ mœrorem consoletur, et ubique se pro ea opponat adversariis, et ipsam in securitate et portu constituat. Quam tu mihi securitatem, quæso, quem portum narras? Portûs enim propugnaculum video non arcens fluctus, sed excitans, et portum non comprimentem tempestates, sed graves quæ non aderant moventem procellas. Non confundimini, non vultus vestros obtegitis, dum hanc defensionem affertis? Nam si ex hoc ministerio neque mala fama, neque damnum, neque scandalum nasceretur, sed fama adhuc salva liceret istud ipsum facere, an non admodum miseri essetis, qui, dum divitias ejus augetis et ad pecuniarum amorem illam exercetis, in negotia conjicitis et ad mundanas curas instituitis, œconomorum, curatorum et forensium officia adiretis? Sane: non enim poteritis de pauportate disserere, ac persuadere ut facultates contemnantur, qui omnia facitis ut facultates maneant et augeantur, ut opibus opes accrescant, institores quidam et permutatores propter illas facti, inutiles quidem: non enim vestra quoque spes ingenua. Nam cum jussi fueritis portare crucem et sequi Christum, abjecta cruce, quasi effeminati milites scuto projecto, ad colum et calathum considetis, per aliam turpiorem methodum aperta in præsentem vitam janua. Non enim tam turpe est eos qui in matrimonio sunt hæc administrare, quam vos qui simulatis vos resiliisse a præsentium rerum curis, sub alia persona iterum easdem subire. Propterea helluonum et adulatorum et parasitorum et mulieribus servientium ubique famam suscipimus, quandoquidem abjectam omnem generositatem nobis superne datam cum servilitate et vilitate terrena commutamus. Et viduis qui-

τι καὶ εὐτέλειαν. Καὶ χήρας μὲν διανεῖμαι χρήματα οὐχ εἵλοντο οἱ γενναῖοι τότε ἄνδρες ἐκεῖνοι, καὶ ταῦτα τοσαύτης βλασφημίας γινομένης διὰ τὸ μηδένα εἶναι τὸν οἰκονομοῦντα, ἀλλ' ἧττον τῆς αὐτῶν φιλοσοφίας εἶναι τοῦτο νομίσαντες, ἑτέροις ἐπέτρεψαν· ἡμεῖς δὲ οὐκ αἰδούμεθα πλοῦτον ἀλλότριον αὔξοντες ἐπὶ λύμῃ τῶν κεκτημένων, τῶν εὐνούχων τῶν περὶ τὰ τοιαῦτα ἐσχολακότων οὐδὲν ἄμεινον διακείμενοι, οἱ καθ' ἑκάστην ἡμέραν τὸ αἷμα καὶ τὰς ψυχὰς ἐπὶ τῶν χειρῶν προσταττόμενοι φέρειν ἀντὶ μεγάλων ὅπλων. Τί οὖν; ἁρπαζόμενα πάντα τὰ τῆς παρθένου χρὴ περιιδεῖν ἀγόμενά τε καὶ φερόμενα ὑπὸ συγγενῶν, ὑπὸ οἰκετῶν, καὶ ἀλλοτρίων καὶ οἰκείων; Καλήν γε (οὐ γάρ;) ἀποδώσομεν τῇ παρθένῳ τὴν ἀμοιβὴν ἀνθ' ὧν οὐκ ἔγημεν, οὐδὲ τὸν παρόντα κόσμον ἠγάπησεν, ἀλλ' ἀντὶ πάντων εἵλετο τὸν Χριστὸν, ἀφέντες αὐτὴν προκεῖσθαι τοῖς βουλομένοις τῶν ὄντων ἀποστερεῖν. Καὶ πόσῳ βέλτιον ἦν ὁμιλῆσαι γάμῳ, καὶ τῷ συνοικοῦντι πρὸς τὴν τῶν πραγμάτων τούτων οἰκονομίαν κεχρῆσθαι, ἢ μένουσαν ἄγαμον πατῆσαι μὲν τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑβρίσαι δὲ εἰς πρᾶγμα οὕτω σεμνὸν καὶ φρικῶδες, καθελκύσαι δὲ καὶ ἑτέρους πρὸς τὰ ναυάγια τῶν οἰκείων κακῶν; Πῶς δὲ αὐτὴν ἀντὶ πάντων εἶσθαι λέγεις τὸν Χριστὸν, τοῦ Χριστοῦ βοῶντος καὶ λέγοντος, « Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ »; πῶς δὲ τὸν κόσμον μισῆσαι καὶ τὰ παρόντα, πρὸς τὰς τοῦ κόσμου πείθων ἁπτοῆσθαι ἐπιθυμίας; Τίνι δέ ποτε τῶν ἄνδρα ἐχουσῶν δυνήσῃ παραινέσαι χρημάτων περιιδεῖν, τῇ παρθένῳ συγκατασκευάζων τὸν πλοῦτον; Αὐτὴν δὲ ταύτην πότε ἀφήσεις εὐπρόσοδον εἶναι τῷ Κυρίῳ καὶ ἀπερίσπαστον, πάντα τὸν βίον καὶ τὴν σπουδὴν εἰς τὰ ἐκείνης ἀναλίσκων πράγματα; Πότε δὲ δυνήσεται ἡ παρθένος φιλοσοφῆσαι, σὲ τὸν ἄνδρα ὁρῶσα δεινὸν ἡγούμενον εἶναι, εἰ τὰ ἐκείνης διασπασθείη χρήματα; πῶς δὲ ἀνέξεται ζημίας ὑπερορᾶν, πάντα σε καὶ ποιοῦντα καὶ πάσχοντα βλέπουσα, ὥστε ἐπιτείνειν αὐτῇ τὸν παρόντα πλοῦτον; Οὐχ οὕτως ἡμᾶς ἀπηλλάχθαι βούλεται πραγμάτων ὁ Θεὸς, ἀλλ' ἐν τῷ τῶν ὄντων καταφρονεῖν, τῷ πάντων ἀπηρτῆσθαι τῶν βιωτικῶν. Ἀλλ' οὐκ ἐᾶτε ὑμεῖς, οὐδὲ συγχωρεῖτε τοῦ Θεοῦ τὸν νόμον ἰσχύειν.

Τί οὖν, ἂν τῆς ἑτέρων δεηθῇ προστασίας, φησὶ, καὶ πολλὰ ἀνάξια ὑπομείνῃ; νῦν γὰρ οὐκ ἀνάξια ταῦτα τῆς παρθένου; Οὐδὲν οὕτως ἀνάξιον παρθένου, ὡς τὸ πλουτεῖν καὶ περιβεβλῆσθαι πραγμάτων πλῆθος. Τί δὲ, εἰ καὶ ἕτερα πρὸς τούτοις κελεύοι, οἷον δανείζειν χρυσίον, εἶτα καλέσασα ἡμᾶς εἰς τὰ συναλλάγματα μὴ πείθοι, καὶ μὴ πείσασα ἑτέρους λάβοι, ἡμεῖς ἐσόμεθα αἴτιοι; Τί δὲ, εἰ καπηλείας ἄλλας τινὰς ἀνελευθέρους καὶ ἀπρεπεῖς κατασκευάζοι, εἶτα, μὴ βουλομένων ἡμῶν συμπράττειν, ἄλλων δεηθείη τινῶν, ἐγκαλεῖσθαι ἂν εἴημεν ἄξιοι; Οὐδαμῶς, ἀλλὰ καὶ ἐπαινεῖσθαι· τοὐναντίον γὰρ ἂν ἦν ψόγου καὶ κατηγορίας τὸ πρὸς τὰ τοιαῦτα συμβάλλεσθαι καὶ συμπράττειν αὐταῖς.

dem dispensare opes noluerunt generosi olim illi viri, cum tanta inde oriretur blasphemia quod nullus esset qui administraret, sed existimantes hoc inferius esse sua philosophia, aliis demandarunt. Nos autem non erubescimus divitias alienas augere cum damno possidentium, nihilo meliores ennuchis in hoc occupatis, nos quibus mandatum est ut quotidie sanguinem et animas (*ad martyrium offerendas*) in manibus feramus in vicem armorum potentium. Quid igitur? oportebitne sua deque habere si omnia virgini rapiuntur, tolluntur et auferuntur a cognatis, a familiaribus, et alienis et domesticis? Profecto pulchram reddemus virgini retributionem, quod neque nupserit, neque præsentem mundum dilexerit, sed pro omnibus Christum elegerit, sinentes illam expositam iis qui eam facultatibus suis privare velint. Et quanto satius ipsi erat nubere, et uti contubernali, cui incumberet harum rerum administratio, quam si innupta manens et fœdera cum Deo inita conculcet, et injuriam faciat rei tam honestæ ac reverendæ, et alios quoque ad naufragia suorum malorum trahat? Quo pacto autem hanc omnibus Christum prætulisse dicis, cum Christus clamet ac dicat (*Matth.* 6. 24), *Non potestis servire Deo et mammonæ?* Quo pacto item mundum et præsentia odio habere eam dicis, tu qui concupiscentias hujus mundi ei non esse aspernandas doces? Quomodo autem eam quæ virum habet hortari poteris, ut contemnat opes, cum tu virgini divitias conquiras? Et hanc ipsam quando permittes assidue et constanter hærere Domino, cum omnem vitam et omne studium in ejus negotiis expendas? Quando poterit ipsa virgo philosophari, cum te virum videat indigne ferre si ejus pecuniæ diripiantur? quomodo poterit damnum contemtui habere, cum te videat omnia facientem et patientem ut illius opes accumules? Non sic nos Deus a negotiis liberari vult, sed contemnere facultates, et omnibus quæ ad hanc vitam pertinent renuntiare. At non similis vos, neque concedilis legem Dei valere.

Quid ergo, si aliorum opus habeat patrocinio, inquit, et multa ferat indigna? an non indigna sunt hæc virgine? Imo nihil tam indignum virgine, ut ditari et negotiorum turba obrui. Quid autem, si et alia cum his jubeat, qualia sunt fœnerari aurum, deinde nobis vocatis ad commercia id non persuaserit, et cum non persuaserit, alios adeat, nosne in causa erimus? Quid autem, si negotiationes alias illiberales et serviles instruat, deinde si, cum nos cooperari noluerimus, aliis quibusdam opus habeat, dignine erimus qui redarguamur? Nullo modo, quin potius digni qui laudemur: nam contra vituperio digni essemus, si in talibus mutuas illis operas daremus. Vis non auferri neque diripi

Βούλει μὴ φέρεσθαι μηδὲ ἄγεσθαι τὰ χρήματα ἐκείνης; παραίνεσον αὐτῇ καταθεῖναι ἔνθα μηδὲ ἀνδρὸς δεήσεται πρὸς φυλακήν, καὶ ἀνάλωτα μενεῖ διαπαντός· εἰ δὲ βούλοιτο πράγματα ἔχειν, τίνος ἕνεκεν παίζει ἐν οὐ παικτοῖς; Τὸ γὰρ παρθένον οὖσαν τοιαῦτα πράττειν, παίζειν ἐστὶ παιδιὰν οὐχὶ τέρψιν, ἀλλὰ θάνατον ἔχουσαν. Ὅταν γὰρ ὑπεύθυνον ἑαυτὴν καταστήσασα τῶν τοιούτων παλαισμάτων, ἀνάξια πάντα πράττῃ τῆς τοιαύτης ὑποσχέσεως, μείζων ἡ κόλασις, χαλεπωτέρα ἡ τιμωρία. Οὐκ ἤκουσας οἷον αὐτῇ νόμον ἔθηκεν ὁ Παῦλος, μᾶλλον δὲ ὁ Χριστὸς εἰπὼν δι' ἐκείνου, ὅτι μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος, καὶ « Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι »; Ἀλλ' ὑμεῖς οὐκ ἴστε, πρὸς τὰς ἐπιθυμίας αὐτῶν πάσας ἀνδραπόδων ἀργυρωνήτων εὐχολώτερον ὑπακούοντες. Ναὶ, φησί· τί οὖν, ἂν ἰσχάτῃ πενίᾳ παλαίῃ; περὶ μὲν γὰρ τῶν εὐπόρων ταῦτα καλῶς εἴρηταί σοι· τὰς δὲ ἐν πτωχείᾳ καὶ ἀμελείᾳ πολλῇ κειμένας ποῖον ἔγκλημα ἀνορθοῦν; Εἴθε μὲν οὖν μὴ καταβάλλετε μηδὲ ὠθεῖτε πρὸς αὐτὰ τῆς ἀπωλείας τὰ βάραθρα, καὶ ἀγαπητὸν ἦν· καὶ γὰρ εἰ τῷ κελεύσαντι πενήτων προΐστασθαι πειθόμενος ταῦτα ποιεῖς, ἔχεις ἀδελφοὺς μυρίους· ἐκεῖ τὴν καλὴν ταύτην ἐργασίαν ἐπίδειξαι, ἔνθα μηδὲν ὑφορμεῖ τῶν σκανδαλίσαι δυναμένων, ὡς ἐνταῦθά γε πάσης ὠμότητος καὶ ἀπανθρωπίας χείρων ἡ ἐλεημοσύνη. Τί γὰρ ὄφελος, ὅταν τὸ μὲν σῶμα διατρέφῃς, τὴν δὲ ψυχὴν καταδύσῃς; ὅταν ἱμάτιον δῷς, τὴν δὲ ὑπόληψιν τῶν γυμνῶν αἰσχροτέραν καταστήσῃς; ὅταν χρήσιμος ἐν τοῖς σωματικοῖς γενόμενος, πάντα λυμήνῃ τὰ πνευματικά; ὅταν ἐξευμαρίσας αὐτῇ τὰ ἐπὶ τῆς γῆς, ἐκβάλῃς αὐτὴν τῶν οὐρανῶν; Ποία δὲ ἐλεημοσύνη, ὅταν ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα; ὅταν ὄνειδος ᾖ καὶ αἰσχύνη καὶ σκώμματα καὶ λοιδορίαι καὶ τῆς ἐλεουμένης αὐτῆς καὶ ἑτέρων πολλῶν τῶν δι' ἐκείνης σκανδαλιζομένων; Οὐκ ἀπὸ ἐλέου, ἀλλ' ἀπ' ἀπανθρώπου ταῦτα γίνεται ψυχῆς καὶ ἀπηνοῦς. Εἰ γὰρ ἐξ ἐλέους καὶ φιλανθρωπίας ἐγίνετο, περὶ τοὺς ἄνδρας ταῦτα ἐπιδείκνυσθαι ἐχρῆν.

Ἀλλ' αἱ γυναῖκες πλείονος δέονται προστασίας, φησίν, οἱ δὲ ἄνδρες πολλὰς ἔχουσιν ἀπὸ τῆς φύσεως ἀφορμάς. Καίτοι καὶ ἐν ἀνδράσιν εἰσὶ πολλοὶ γυναικῶν ἀσθενέστερον διακείμενοι καὶ διὰ γῆρας μακρὸν, καὶ δι' ἀῤῥωστίαν, καὶ διὰ πήρωσιν σώματος, καὶ διὰ νόσους χαλεπὰς, καὶ δι' ἑτέρας τινὰς τοιαύτας προφάσεις· πλὴν ἀλλ' ἐπειδὴ μάλιστα τοῦ τῶν γυναικῶν κήδεσθε γένους, ἅτε ἀσθενεστέρου ὄντος, καὶ σφόδρα ἐλεήμονές ἐστε καὶ συμπαθεῖς πρὸς ἐκείνας, οὐδὲ ἐνταῦθα ταύτης ἀπορήσομεν τῆς προφάσεως, ἀλλὰ δείξομεν ὑποθέσεις ὑμῖν, αἳ καὶ κατηγορίας εἰσὶν ἀπηλλαγμέναι πάσης, καὶ πλείονα παρέξουσιν ὑμῖν τὸν μισθόν. Εἰσὶ γὰρ γυναῖκες, αἱ μὲν ὑπὸ γήρους παραλελυμέναι, αἱ δὲ τὰς χεῖρας ἐκκεκομμέναι, αἱ δὲ τοὺς ὀφθαλμοὺς πεπηρωμέναι, αἱ δὲ ἄλλα πάθη ποικίλα καὶ παντοδαπὰ ἔχουσαι καὶ τὴν τῶν παθῶν χαλεπωτέραν πενίαν.

opes illius? admone eam ut deponat, ubi neque viro opus habeat ad custodiam, et perpetuo integræ maneant; si autem voluerit negotia habere, quare ludit in non ludicris? Nam si virgo hæc agat, ludit ludum non jucundum, sed mortiferum. Quando enim obnoxiam his certaminibus se constituit, et omnia indigna sua pollicitatione facit, major pœna, gravior est parata vindicta. Num audisti qualem ipsi legem posuit Paulus, imo Christus qui per illum loquutus est, quod divisa est mulier et virgo, (1 *Cor.* 7. 34) *Et quæ innupta est cogitat quæ sunt Domini, ut sit sancta et corpore et spiritu?* Sed vos non sinitis, et omnia earum desideria auscultantes magis quam emtitia mancipia morigeri estis. Ita est, inquit. Quid igitur, si extrema inopia laboret? Nam de abundantibus hæc bene a te dicta sunt: quæ autem in mendicitate et inopia multa neglectæ jacent, quid criminis est si erigantur? Utinam non dejiceretis et depelleretis eas in ipsa perditionis barathra, et id optabile esset. Enimvero si hoc facis obsequens ejus mandato, qui jussit pauperibus subsidio esse, habes multos fratres; ibi bonum hoc opus exhibe, ubi nihil subibit offendiculo futurum; nam hic eleemosyna omni inhumanitate et crudelitate deterior est. Quæ enim utilitas, dum tu quidem corpus alis, animam autem deprimis? quando vestem das, suspicionem autem nuditate turpiorem facis? quando prodes in iis quæ sunt corporis, omnia autem spiritualia disperdis? quando ei properam rem facis in terra, ejicis autem e cœlis? Qualis autem hæc eleemosyna, quando gloria Domini contemtui est, quando palam sunt opprobria et confusio et convicia et scommata, et ejus cujus misereris, et aliorum multorum qui scandalizantur? Non a misericordia, sed ab inhumana et crudeli anima hæc proficiscuntur. Nam si ex misericordia et humanitate essent, hæc circa viros potius exhibere oportebat.

7. At mulieres, inquis, majore opus habent patrocinio, viri autem a natura multa habent adjumenta. Quin et in viris multi sunt mulieribus infirmiores et ob grandem senectam, et ob valetudinem, et ob mutilationem corporis, et ob morbos graves, aliasque id genus causas: verumtamen quia maxime vobis curæ est mulierum genus, utpote infirmius, et ad eas valde misericordes et compatientes estis, neque hac in parte occasione destituemur, sed ostendemus vobis argumenta, in quibus nihil vituperii et mercedis est plurimum. Sunt enim mulieres quædam senio confectæ, vel resectis manibus, vel captæ oculis, variisque aliis morbis invalidæ, et difficiliore morbis paupertate.

Ἤ τε γὰρ πενία καὶ τὸ μηδὲν ὅλως ἔχειν ἐπιτρίβει τοῦ σώματος αὐταῖς τὰ νοσήματα· αὐτή τε πάλιν ἡ πενία ὑπὸ τούτων χαλεπωτέρα γίνεται καὶ ἀφορητοτέρα. Ἐπὶ τὴν τούτων ἔξελθε θήραν, καὶ ταύτας συνάγαγε· μᾶλλον δὲ οὐδὲ πόνου σοι δεῖ πρὸς τὴν συλλογήν· οὕτω πρόκεινται πᾶσιν ἕτοιμοι τοῖς βουλομένοις ὀρέξαι χεῖρα. Κἂν χρήματα ἔχῃς, εἰς ταύτας δαπάνησον· κἂν ἰσχυρὸς ᾖς, ἐνταῦθα τὴν ἀπὸ τοῦ σώματος ὑπηρεσίαν εἰσένεγκε· πολλὰ καὶ ἐνταῦθα πράγματα ὄψει, καὶ σωματικῆς δεόμενα ὑπηρεσίας καὶ χρημάτων δαπάνης καὶ περιδρομῆς. Καὶ γὰρ οἰκήματα πορίσαι ταύταις ἔργον, καὶ φάρμακα κατασκευάσαι, καὶ κλίνην καὶ ἱμάτια πρίασθαι, καὶ τροφὰς ἐπιτηδείους, καὶ τἆλλα ἅπαντα ἐπιμελεῖσθαι, κἂν δέκα ὦσι μόναι αἱ τὰ τοιαῦτα νοσοῦσαι· νυνὶ δὲ ἡ πόλις ἡμῖν τούτων ἐμπέπλησται, καὶ χιλίας καὶ δὶς τοσαύτας εὑρήσεις. Αὗται αἱ δεόμεναι προστασίας, αὗται αἱ ἔρημοι, αὗται αἱ χαμαὶ κείμεναι· τοῦτο ἐλεημοσύνη, τοῦτο φιλανθρωπία, τοῦτο εἰς δόξαν διαβαίνει Θεοῦ, καὶ τὴν τῶν ὁρώντων καὶ τὴν τῶν πασχόντων καὶ τὴν τῶν ποιούντων ὠφέλειαν κατασκευάζει. Καὶ γὰρ τῶν ἰσχυρῶν αἱ ἀσθενέστεραι δικαιότερον ἂν βοηθοῖντο, καὶ τῶν νέων αἱ γεγηρακυῖαι, καὶ τῶν ὅλως μέτρια κεκτημένων αἱ μηδὲ τῆς ἀναγκαίας εὐποροῦσαι τροφῆς, καὶ τῶν παρὰ πολλοῖς ἐπαράτων αἱ βδελυκταὶ παρὰ τοῖς πολλοῖς διὰ τὸ τῶν παθῶν δυσανάσχετον, καὶ τῶν ὕβρει προστριβομένων αἱ καὶ τὴν γενομένην ἀποτρῖψαι δυνάμεναι καὶ εὐφημίαν προσθεῖναι. Δεῖξον τοίνυν, ὅτι διὰ τὸν Θεὸν τοῦτο ποιεῖς, καὶ τούτων ἀντιλαβοῦ. Ἂν δὲ ταύτας μηδὲ ὄναρ ἰδεῖν ἐθέλῃς, εὐπροσώπους δὲ καὶ νέας περιΐῃς ἀγρεύων, καὶ τῆς ἀνελευθέρου ταύτης ἄγρας αἰτίαν μὲν ἑτέραν ἔχων οὐκ ἀνεκτήν, προβαλλόμενος δὲ ἑτέραν δοκοῦσαν εἶναι εὐπρόσωπον, τὴν τῆς προστασίας, κἂν ἀνθρώπους παραλογίσῃ, ἀλλὰ τὸ ἀδέκαστον οὐκ ἀπατήσεις δικαστήριον, δι' ἑτέραν μὲν ταῦτα ποιῶν πρόφασιν, ἄλλην δὲ προβαλλόμενος. Λέγετε μὲν γὰρ διὰ τὸν Θεὸν πάντα πράττειν, πράττετε δὲ ἃ τῶν ἐχθρῶν ἐστι τοῦ Θεοῦ· τὸ γὰρ ποιεῖν τὸ ὄνομα αὐτοῦ βλασφημεῖσθαι καὶ διαβάλλεσθαι τῶν ἐχθρῶν ἐστι τοῦ Θεοῦ. Ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν ποιοῦμαι. Θῶμεν γὰρ ἀληθεύειν τὸν ταῦτα λέγοντα, καὶ ἐπιθυμίας καθαρεύειν ἁπάσης, καὶ ἐξ ἑτέρου μὲν οὐδενός, ἀπὸ δὲ εὐλαβείας μόνης ταύτην ἀναδέχεσθαι τὴν προστασίαν· οὐδὲ γὰρ οὕτως καλάσιρις αὐτὸν ἀπηλλαγμένον εὑρήσομεν. Εἰ μὲν γὰρ ἦπόρει προφάσεων ἑτέρων, ἐν αἷς καὶ τὴν εὐλάβειαν ἐπιδείξασθαι ἔδει καὶ χωρὶς τῶν σκανδαλιζομένων ψυχῶν τοῦτο ποιῆσαι· μάλιστα μὲν οὐδὲ οὕτω πραγματεύεσθαι ἔδει ἔνθα μείζων ἡ ζημία τοῦ κέρδους. Ποῦ γὰρ ἴσον, εἰπέ μοι, παρθένου μιᾶς ἢ δυοῖν προϊστάμενον σωματικῶν ἕνεκεν πραγμάτων ἄπειρα πλήθη σκανδαλίσαι κατὰ ψυχήν; Πλὴν ἀλλ' οὐχ οὕτως ἡ κατηγορία χαλεπή· ὅταν δὲ μυρίας εὕρῃς ὁδοὺς καὶ κατηγορίας ἀπηλλαγμένας, καὶ σκανδάλων

Siquidem inopia, cum prorsus nihil habetur, corporis morbos auget: ipsa autem paupertas a morbis quoque gravior fit et intolerabilior. Has perquire et collige, imo in colligendis nullo opus erit labore: ita ante omnes jacent, paratæ omnibus qui porrigant manum. Si opes habes, in has expende; si validus es, has corporis ministerio adjuva: multa et hic negotia videbis quæ indigent corporali ministerio et sumtu opum et circumcursitatione. Nam opus habent ut illis assignentur domicilia, præparentur medicamenta, et lectus et vestes emantur, et curentur cibi boni aliaque multa, etiamsi solum decem essent, quæ ita ægrotant; nunc autem civitas nostra his tota impleta est, inveniesque mille et duo millia. Istæ sunt quæ auxilio indigent, istæ desolatæ sunt, istæ humi jacent: hæc est eleemosyna, hæc est humanitas, hoc in gloriam transit Dei, et in utilitatem eorum qui vident, et qui accipiunt, et qui faciunt. Etenim justius adjuvantur infirmiores quam fortiores; et vetulæ quam juniores; et hæ quibus neque necessaria sunt, quam illæ quæ mediocria possident; et illæ quæ apud multos abominabiles, quam quas multi adamant; et illæ quæ contumeliis onerantur, quam eæ quæ illatas avertere et bonam sibi famam conciliare possunt. Ostende igitur quod propter Deum hoc facias, et illis opitulare. Quodsi has neque per somnum videre vis, sed formosas et adolescentes obambulando venaris, et illiberalis hujus venationis causam quidem aliam habes non ferendam, prætexis autem aliam quæ in speciem honesta et accepta est, nempe tutelam, licet homines decipias, sed non item tribunal Dei, quod muneribus corrumpi nequit: nam ob aliam quidem causam hæc facis, et aliam prætexis. Dicitis quidem quod propter Deum facitis omnia, facitis autem opera quæ sunt inimicorum Dei: siquidem efficere ut Dei nomen blasphemetur et accusetur, id demum est inimicorum Dei. Ego vero et aliud majus dicam: ponamus enim hoc vere dici, eumque omni concupiscentia purum esse, neque ex ulla alia re quam ex sola pietate hanc curam suscipere; attamen neque sic ipsum a pœnis fore liberum inveniemus. Nam si deessent occasiones aliæ, in quibus et pietatem exhibere, et hoc facere nullis animabus in eo impingentibus posset, ne sic quidem hoc agere oporteret, ubi majus lucro damnum. Num enim par est ut ob corporalia negotia unius aut duarum virginum infinita multitudo animarum jacturam faciat? Verumtamen neque sic gravis est accusatio: cum autem innumeras invenias vias, et alienas ab accusatione, et liberas a scandalis, et quæ majorem habeant facilitatem, cujus rei

ἐλευθέρας, καὶ μείζονα ἐχούσας τὴν εὐπορίαν, τίνος ἕνεκεν σαυτῷ πράγματα πλάττεις εἰκῇ καὶ μάτην, καὶ τὸ κέρδος ὑπορύττεις, καὶ ἐπισφαλῶς οἰκοδομεῖς καὶ ἐπονειδίστως, παρὸν μετὰ ἀσφαλείας καὶ δόξης πολλῆς; Οὐκ οἶσθα ὅτι λαμπρὸν ἀποστίλβειν χρὴ πανταχοῦ τοῦ Χριστιανοῦ τὸν βίον, καὶ ὅτι τὴν δόξαν τις τὴν ἑαυτοῦ καταισχύνας πανταχοῦ λοιπὸν ἄχρηστος ἔσται, καὶ οὐδὲν μέγα κερδᾶναι δυνήσεται, κἂν μεγάλα τύχῃ κατορθῶν; « Ἂν γὰρ τὸ ἅλας μωρανθῇ, φησὶν, ἐν τίνι ἁλισθήσεται λοιπόν; » Ἅλας γὰρ ἡμᾶς εἶναι βούλεται καὶ φῶς καὶ ζύμην ὁ Θεὸς, ὡς καὶ ἑτέρους δύνασθαι τῆς ἐξ ἡμῶν μεταλαμβάνειν ὠφελείας. Εἰ γὰρ ἀληπτους ζῶντες ἄνθρωποι μόλις τοὺς ἠμεληκότας ἐπιστρέψαι δύναιντ' ἄν, εἰ καὶ λαβὴν δοίημεν αὐτοῖς, πῶς οὐ πάντοθεν ὑπεύθυνοι τῆς ἀπωλείας ἐσόμεθα τῆς ἐκείνων; Ὥσπερ γὰρ οὐκ ἔνι βίον ἔχοντα διεφθαρμένον σωθῆναί ποτε, οὕτως οὔτε δόξαν ἑαυτῷ περιθέντα πονηρὰν δυνατὸν διαφυγεῖν τὴν κόλασιν. Ἀλλ' εἰ δεῖ καὶ θαυμαστὸν εἰπεῖν τι, κἂν μεγάλα τις ἁμάρτῃ, λαθὼν δὲ ἐργάσηται τοῦτο καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δώσει δίκην τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παῤῥησίας δὲ καὶ τοῦ πολλοὺς σκανδαλίσαι.

Καὶ ἵνα μὴ θαυμάσῃς τὸ λεχθὲν, μηδὲ ὑπερβολὴν καταγνῷς τοῦ λόγου, τὴν ψῆφόν σοι ταύτην οἴσομεν ἐκ τοῦ οὐρανοῦ, καὶ τὸν νόμον τοῦτον ἐκεῖθεν ἀναγνωσόμεθα. Τὸν γὰρ μακάριον Μωϋσέα, καὶ πάντων ἀνθρώπων πραότατον τῶν ἐπὶ τῆς γῆς, καὶ τῷ Θεῷ φίλον, καὶ προφητῶν μείζονα — τοῖς μὲν γὰρ ἄλλοις δι' αἰνιγμάτων διελέχθη, τούτῳ δὲ ὡς ἂν εἰ φίλος πρὸς φίλον· τοῦτον τοίνυν τὸν τοιοῦτον, τὸν μυρία κατὰ τὴν ἔρημον ταλαιπωρηθέντα ἐν ἔτεσιν τοσούτοις, τὸν περὶ τῶν ἰσχάτων κινδυνεύσαντα πολλάκις, παρά τε Αἰγυπτίοις ὑπὲρ Ἰουδαίων, παρά τε Ἰουδαίοις ὑπὲρ αὐτῶν πάλιν τῶν ἀγνωμόνων ἐκείνων, οὐδὲν ἕτερον ἐκώλυσε μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τὰ μυρία κατορθώματα τῆς ἐπαγγελίας τυχεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς συνόντας αὐτῷ ἐπὶ τοῦ ὕδατος. Καὶ τοῦτο αἰνιττόμενος ὁ Θεὸς ἔλεγεν, « Ὅτι οὐκ ἐπιστεύκατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς. » Καίτοι καὶ πρὸ τούτου τινὰ παρήκουσε (καὶ γὰρ ἀντεῖπε τῷ Θεῷ καὶ ἅπαξ καὶ ὃς πεμπόμενος εἰς Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐπὶ τῆς ἐρήμου διεπίστησε λέγων, « Ἑξακόσιαι χιλιάδες εἰσὶ πεζῶν, καὶ σὺ εἶπας, Κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα ἡμερῶν. Μὴ πρόβατα καὶ βόες σφαγήσονται, ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται, καὶ ἀρκέσει αὐτοῖς; » καὶ μετὰ ταῦτα δὲ πάλιν ἀπεδυσπέτησε, καὶ τοῦ δήμου τὴν προστασίαν παρητήσατο)· ἀλλ' ὅμως οὐδὲν τούτων ἴσχυσεν αὐτὸν ἀποστερῆσαι τῶν ἄθλων τῶν προκειμένων, ἀλλ' ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμβὰν μόνον· τῇ μὲν γὰρ φύσει ἐκείνων ἔλαττον ἦν, τῷ δὲ μετὰ τῆς ἑτέρων γενέσθαι βλάβης, πολλῷ μεῖζον ἐγένετο. Ἐκεῖνα μὲν γὰρ ἰδίᾳ καὶ λανθανόντως συνέβη, τοῦτο

gratia tibi ipsi nectis negotia frustra et incassum, et lucrum suffodis, et periculose exstruis et ignominiose, cum liceat sine damno et cum magna gloria? An nescis Christiani vitam usquequaque lucere debere, et eum qui suam gloriam fœdet, ubique postea inutilem fore, et nihil magnum lucrari posse, etiam si præclara facinora ediderit? nam (*Matth.* 5. 13) *Si sal infatuatum fuerit*, inquit, *in quo salietur ultra?* Sal enim nos esse vult et lumen et fermentum Deus, ut et alii a nobis utilitatem accipiant. Quodsi homines irreprehensibiliter viventes vix convertere valent negligentes, quomodo, si illis etiam ansam dederimus, non undequaque perditionis illorum rei erimus? Nam sicut qui perversam agit vitam, numquam salvatur, ita neque qui se ipsum ignominia aspergit, pœnam effugere poterit. Quodsi etiam mirabile quiddam dicendum, etiam si graviter quis peccet, si clam hoc faciat et neminem scandalizet, minorem dabit pœnam quam qui levius peccavit, sed impudenter et cum multorum scandalo.

8. Et ne dictum admireris, neque plus justo dictum putes, tibi hanc e cœlo sententiam afferemus, et hanc legem inde prolatam probabimus. Nam beatum Mosem, omnium qui super terram hominum mitissimum, Dei amicum, prophetarum maximum, quandoquidem Deus aliis per ænigmata locutus est, huic autem sicut amicus amico: hunc igitur et talem qui multas miserias in deserto tulit tot annis, qui in extremis sæpe periculis fuit, et apud Ægyptios propter Judæos, et apud Judæos pro ipsis ingratis: tamen hunc talem et tantum nihil aliud prohibuit post tot ærumnas multaque præclare gesta promissione potiri, quam quod scandalo fuisset iis qui cum ipso erant propter aquam. Et hoc est quod insinuabat Deus dicendo (*Num.* 20. 12): *Quia non credidistis mihi, ut sanctificaretis me coram filiis Israel, propter hoc non inducetis congregationem hanc in terram quam dedi eis.* Quamvis autem antea in nonnullis minus obedisset (contradixit enim Deo semel ac iterum cum mitteretur in Ægyptum, et postea in deserto incredulus dicebat (*Num.* 11. 21, 22), *Sexcenta millia sunt peditum; et tu dixisti: Carnes dabo ipsis, et comedent mensem dierum. Num oves et boves mactabuntur, vel omnia edulia maris congregabuntur, et sufficient ipsis?* et postea iterum difficilem se reddidit, et populi præfecturam detrectabat): attamen nihil aliud potuit ipsum propositis præmiis privare, quam illud solum quod ob aquam contigit, quod natura quidem minus aliis erat, sed quia cum damno aliorum fiebat, multo majus judicatum est. Illa enim privatim et occulte accidebant, hoc autem mani-

δὲ φανερῶς καὶ ἐπὶ τοῦ δήμου παντὸς ἡμαρτάνετο. Διὰ τοῦτο καὶ ἐγκαλῶν ὁ Θεὸς τοῦτο ἠνίξατο εἰπών, « Ὅτι οὐχ ἡγιάσατέ με ἐναντίον τῶν υἱῶν Ἰσραήλ », τῆς ἁμαρτίας τὴν φύσιν ἐκκαλύπτων αὐτῷ, καὶ ὅθεν γέγονεν ἀσύγγνωστος, παραδηλῶν. Εἰ δὲ τηλικοῦτον ἄνδρα τοῦτο προσκροῦσαι ἐποίησεν, ἡμᾶς τοὺς σκώληκας καὶ οὐδαμινοὺς πῶς οὐ καταδύσει τοῦτο καὶ ἀπολεῖ; Οὐδὲν γὰρ οὕτω παροξύνει τὸν Θεὸν, ὡς ὅταν τὸ ὄνομα αὐτοῦ βλασφημῆται. Καὶ τοῖς Ἰουδαίοις δὲ τοῦτο ἄνω καὶ κάτω διετέλεσεν ἐγκαλῶν, « Ὅτι τὸ ὄνομά μου βεβηλοῦται » καὶ πάλιν, « Ὑμεῖς βεβηλοῦτε αὐτό· » καὶ « Δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι· » καὶ τοσαύτη αὐτῷ τοῦ μὴ συμβαίνειν τοῦτο γέγονε πρόνοια, ὡς καὶ ἀναξίους σῶσαι πολλάκις, ἵνα μὴ τοῦτο γένηται. « Ἐποίησα γάρ, φησὶν, ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ· » καὶ « Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, οἶκος τοῦ Ἰσραὴλ, ἀλλ' ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ. » Καὶ ὁ Παῦλος δὲ ἀνάθεμα ηὔξατο εἶναι ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης· καὶ αὐτὸς ὁ Μωϋσῆς ἐξαλειφθῆναι τῆς βίβλου παρεκάλεσεν ὑπὲρ τῆς δόξης τοῦ ὀνόματος τοῦ Θεοῦ· ὑμεῖς δὲ οὐ μόνον οὐδὲν αἱρεῖσθε παθεῖν, ὥστε τὴν βλασφημίαν ἀποκρούσασθαι τὴν βλασφημίαν, ἀλλὰ καὶ πάντα πράττετε, δι' ὧν αὔξετε αὐτὴν καὶ ἐπιτείνετε καθ' ἑκάστην τὴν ἡμέραν. Τίς οὖν ὑμᾶς παραιτήσεται, τίς δὲ συγγνώσεται; Οὐκ ἔστιν οὐδείς. Τοσαύτην δὲ πρόνοιαν καὶ ὁ Θεὸς ποιεῖται καὶ οἱ ἅγιοι τοῦ μὴ βλασφημεῖσθαι τὸ ὄνομα αὐτοῦ, οὐχ ὡς τοῦ Θεοῦ δεομένου τῆς δόξης τῆς παρ' ἡμῶν (ἀνενδεὴς γάρ ἐστι καὶ τέλειος), ἀλλ' ὡς πολλῆς ἀπὸ τοῦ πράγματος τοῖς ἀνθρώποις γινομένης τῆς βλάβης. Ὅταν γὰρ πρὸς αὐτοὺς διαβληθῇ τὸ τοῦ Θεοῦ ὄνομα καὶ ἡ δόξα, οὐδὲν αὐτοὺς ὠφελεῖ λοιπόν· εἰ δὲ ὁ Θεὸς διαβαλλόμενος οὐδὲν ὠφελεῖ, πολλῷ μᾶλλον ἡμεῖς.

Πάντα οὖν πράττωμεν, ὥστε μηδεμίαν γενέσθαι πρόφασιν σκανδάλου· ἀλλὰ εἰ καὶ ἀδίκως ἐγκαλῶσι, πείθωμεν, καὶ διαλύωμεν τὰ ἐγκλήματα, καὶ μιμώμεθα τοὺς ἁγίους, οἳ τοσαύτην ἐποιοῦντο σπουδὴν καὶ τῆς τοῦ Θεοῦ δόξης καὶ τῆς ἑαυτῶν, ὥστε καταφρονεῖν τῆς ἑαυτῶν διὰ τὴν τοῦ Θεοῦ. Μὴ δὴ πάντα ῥίψαντες ἁπλῶς καὶ καταπατήσαντες ἀρκεῖν ἡγησώμεθα πρὸς ἀπολογίαν ἡμῖν, ἂν εἴπωμεν ὅτι Ἱμάτιον ἐπριάμεθα παρθένῳ καὶ ὑποδήματα, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν σωματικὴν ἀνάπαυσιν εὖ διεθήκαμεν. Καὶ τίς οἰκονομήσει, φησὶ, τὰ κατὰ τὴν οἰκίαν ἡμῖν; τίς δὲ ἐπόψεται τὰ ὄντα, τίς δὲ προστήσεται ἡμῶν ἔξω διατριβόντων, γυναικὸς ἔνδον οὐκ οὔσης; Καὶ γὰρ καὶ ταῦτα λέγουσιν ἐναντία τε ὄντα τοῖς προτέροις καὶ αἰσχρότερα, καὶ οὐδενὸς αὐτοῖς μέλει τούτων, οὐδὲ αἰσχύνονται καθάπερ οἱ μεθύοντες τὸ ἐπελθὸν ἅπαν φθεγγόμενοι. Διὸ μηδὲ ἡμεῖς ἀποκάμωμεν, κἂν τοιαῦτα ᾖ τὰ λεγόμενα, ὡς μηδὲ ἀποκρίσεως ἀξιοῦσθαί τινος· μὴ ἀποκάμωμεν καὶ ἀποκρινόμενοι, καὶ πρᾴως αὐτοῖς διαλεγόμενοι, ἕως ἂν τῆς μέθης αὐτοὺς ἀπαλλάξωμεν ταύτης, τό γε εἰς ἡμᾶς ἧκον. Αἰσχύνομαι γὰρ καὶ ἐρυθριῶ ταῦτα ἐπι-

feste et coram omni populo palam peccatum est. Propterea etiam reprehendens Deus hoc insinuabat dicens : *Quia non sanctificastis me coram filiis Israel*, peccati eorum naturam detegens, et unde factum, quod veniam non mereatur, declarans. Si autem talem virum hoc fecit impingere, nos vermiculos et nullius pretii quomodo non destruet et perdet? Nihil enim ita exacerbat Deum, ut quando nomen ejus blasphematur. Unde sursum ac deorsum apud Judæos hoc jactat, eos reprehendens (*Isai.* 48. 11), *Quia nomen meum profanatur* : et iterum (*Mal.* 1. 12), *Vos profanatis ipsum* : et (*Isai.* 52. 5), *Propter vos nomen meum blasphematur in gentibus.* Et tanta ipsi fuit cura ne hoc eveniret, ut et indignos sæpe salvarit, ne hoc fieret. *Feci* enim, ait (*Ezech.* 20. 9), *ne nomen meum profanetur* : et (*Ez.* 36. 22), *Non propter vos ego facio, domus Israel, sed ut nomen meum non profanetur.* Paulus vero anathema esse optabat pro gloria Dei : et ipse Moses quoque e libro vitæ deleri orabat pro gloria nominis Dei : vos autem non solum nihil pati vultis, ut hanc arceatis blasphemiam, sed etiam omnia facitis, per quæ illam augeatis et quotidie intendatis. Quis igitur vos excusabit? quis vobis ignoscet? Nullus est. Tantam autem curam et Deus et sancti gerunt, ut non blasphemetur nomen ejus, non quod Deus opus habeat ut a nobis glorificetur (nullius enim indiget et perfectus est), sed quod ex ea re multum damni hominibus accidat. Quando enim apud ipsos male audit nomen Dei et gloria ejus, nihil ipsis ultra prodest : quodsi Deus cum accusatur, nihil prodest, multo magis nos accusati sine ulla erimus utilitate.

9. Omnia igitur faciamus ut nulla sit occasio scandali; etiam si injuste reprehendant, persuasionibus diluamus crimina, et imitemur sanctos, quibus tantum fuit studium et gloriæ Dei, et suæ famæ, ut hanc tamen contemnerent propter Dei gloriam. Ne abjectis omnibus et concultatis sufficere arbitremur ad defensionem, si dixerimus : Vestem emimus virgini et calceos, et alia quæ ad corporale virginis commodum attinent bene disposuimus. Quis, ait, administraret ea quæ domi nostræ? quis possessionibus prospiceret? quis præesset domui nobis absentibus, si intus non sit mulier? Nam et hæc dicunt prioribus contraria et turpiora. Et nihil curant ista, neque erubescunt, sicuti ebrii omne quod in buccam venit loquentes : quapropter neque nos defatigabimur, etiamsi talia sint quæ ab iis dicuntur, ut nullum responsum mereantur. Non gravabimur, inquam, et respondere, et mansuete cum eis agere, donec ab hac ebrietate illos liberemus, quantum scilicet in nobis erit. Me pudet enim et erubesco, cum hæc ever-

χειρῶν ἀνατρέπειν, ἃ ἀντιλέγειν οὐκ ἐρυθριῶσιν ἐκεῖνοι· οἰστέον δὲ ὅμως τὴν αἰσχύνην διὰ τὸ λυσιτελοῦν τοῖς οὐκ αἰσχυνομένοις. Καὶ γὰρ ἄτοπον ἐγκαλοῦντας αὐτοῖς τὴν τῶν σκανδαλιζομένων ἀδελφῶν ὑπεροψίαν αὐτοὺς δι' αἰσχύνην τὴν τούτων ὑπερορᾶν θεραπείαν. Τίνα γὰρ λέγουσι τὰ ἔνδον, εἰπέ μοι, ὧν εἰς τὴν προστασίαν τῆς παρθένου τὴν χρείαν ἀναγκαίαν εἶναι νομίζουσι; παιδισκῶν σοι πλήθη βαρβάρων ἐστὶ καὶ νεωνήτων, καὶ δεῖ ταύτας ῥυθμίζεσθαι καὶ πρὸς ἐριουργίαν καὶ πρὸς τὴν ἄλλην διακονίαν; ἀλλὰ ταμιεῖον χρημάτων πολλῶν καὶ ἱματίων πολυτελῶν, καὶ δεῖ φύλακα ἔνδον καθῆσθαι διαπαντὸς, καὶ τῇ τῶν οἰκετῶν κακουργίᾳ τοὺς ὀφθαλμοὺς ἐπιτειχίζεσθαι τῆς παρθένου; ἀλλὰ δεῖπνα καὶ συμπόσια συνεχῶς ἐπιτελεῖσθαι, καὶ χρὴ τὴν οἰκίαν καλλωπίζεσθαι, καὶ μαγείρους καὶ τραπεζοποιοὺς τῆς προνοίας ἀπολαύειν τῆς παρθένου; ἀλλὰ πολύτροποι δαπάναι καὶ συνεχεῖς, καὶ δεῖ τινα ἑστάναι διαπαντὸς, ὅπως τὰ μὲν φυλάττοιτο μετὰ ἀκριβείας, τὰ δὲ μὴ μάτην ἐκρέοι τῆς οἰκίας; Οὐδὲν τούτων φησίν· ἀλλ' ὅπως αὐτὴ τὸ κιβώτιον καὶ τὸ ἱμάτιον καὶ τὴν ἄλλην ἐπιβλέποι πενίαν, ὅπως εὐτρεπίζοι τὴν τράπεζαν, καὶ τὴν εὐνὴν στρωννύοι, καὶ πῦρ ἀναικαίοι, καὶ περιπλύνοι πόδας, καὶ τὴν ἄλλην ἀνάπαυσιν παρέχοι πᾶσαν. Εἶτα ἀντὶ τῆς μικρᾶς καὶ ψυχρᾶς ἀναπαύσεως ταύτης τοσαύτην οἴσομεν κακηγορίαν, τοσαῦτα ὑποστησόμεθα ὀνείδη;

Καὶ πόσῳ βέλτιον ἀδελφὸς ταῦτα διακονήσεται καὶ εὐκολώτερον; τῇ τε γὰρ φύσει ἰσχυρότερος γυναικὸς ὁ ἀνὴρ, τῇ τε χρείᾳ οἰκειότερος ἡμῖν, καὶ οὐχ οὕτω δαπανηρός. Ἡ μὲν γὰρ γυνὴ, ἅτε ἁπαλωτέρα οὖσα, καὶ στρωμνῆς δεῖται μαλακωτέρας, καὶ λεπτοτέρας ἐσθῆτος, καὶ κόρης ἴσως πάλιν διακονησομένης αὐτῇ, καὶ οὐ τοσαύτην ἡμῖν παρέχει διακονίαν, ὅσης αὐτὴ δεῖται παρ' ἡμῶν· ὁ δὲ ἀδελφὸς πάντων τούτων ἀπήλλακται· εἰ δέ τινος καὶ δεηθείη, τῶν αὐτῶν ἡμῖν δεήσεται. Τοῦτο δὲ οὐ μικρὸν εἰς εὐκολίαν ἐστὶ, τὸ μὴ ἑτερόρων, ἀλλὰ τῶν αὐτῶν ἐν χρείᾳ καθεστάναι τοὺς συνοικοῦντας· ὅπερ ἐπὶ τῆς παρθένου οὐκ ἔνι. Πρῶτον μὲν γὰρ ἄν τε λούσασθαι δέῃ, ἄν τε κάμνῃ τὸ σῶμα, οὔτε ὁ ἀδελφὸς αὐτῇ πρὸς ταῦτα διακονήσεται, κἂν σφόδρα ἕληται ἀσχημονεῖν, οὔτε αὐτὴ ἑαυτῇ ἀρκέσαι ξυνήσεται· ἂν δὲ ἀδελφοὶ οἱ συνοικοῦντες ὦσιν, ἀντιδώσουσιν ἀλλήλοις τὴν ὑπηρεσίαν ταύτην. Πάλιν ὅταν καθεύδειν δέῃ, παρθένου μὲν ἔνδον καθημένης, καὶ κλίνας εἶναι δύο χρὴ, καὶ στρώματα διπλᾶ καὶ ἐπιβλήματα, ἂν δὲ εὖ φρονῶσι, καὶ οἰκήματα· ἀδελφῶν δὲ ὄντων, πάλιν τὰ τῆς χρείας συστέλλεται, ἅτε οἰκειοτέρας οὔσης. Καὶ γὰρ οἶκος εἷς, καὶ προσκεφάλαιον ἕν, καὶ κλίνη μία, καὶ ἐπιβλήματα ἀμφοτέροις ἀρκέσει τὰ αὐτά· καὶ ἁπλῶς εἴ τις ἅπασαν ἐπεξίοι τὴν διακονίαν, ἐνταῦθα μὲν πολλὴν τὴν εὐκολίαν εὑρήσει, ἐκεῖ δὲ τὴν δυσκολίαν. Καὶ παρίημι τὴν ἀσχημοσύνην τῆς οἰκίας· οἷον γάρ ἐστιν ἀνελθόντα εἰς ἀνδρὸς μονάζοντος οἰκίαν ὁρᾶν ὑποδήματα γυναικεῖα κρεμάμενα,

tere lento, quæ contradicentes illi opponere non erubescunt: ferenda tamen omnino erubescentia ad utilitatem eorum qui erubescere nesciunt. Etenim absurdum fuerit, dum redarguimus eos qui pro nihilo habent, quod fratribus offendiculo sint, pudoris causa illorum curam abjicere. Dic enim mihi, quænam illa dicunt domi ad curam virginis tam necessaria esse? barbararumne puellarum tibi examina sunt et nuper emtarum, quæ oporteat erudire et ad lanificium et ad alia ministeria? at penuaria adsunt opum et vestium, et oportet custodem intus semper sedere, et a famulorum malitia virginis oculos ea tutari? at cœnam et convivia continue apparare, et oportet domum ornari, et coquos et mensæ ministros cura regi virginis? suntne item multi varii sumtus et frequentes, et oportet aliquem semper esse præfectum, ut custodiantur cum diligentia, ut ne illa a domo sine utilitate elabantur? Nihil horum ait; sed ut ipsa arcam et vestem et aliam curet facultatulam, bene paret mensam, bene sternat lectum, et accendat ignem, et abluat pedes, et aliud solatium omne præbeat. Deinde pro parva et frigida commoditate hac tantam feremus diffamationem, tanta sustinebimus opprobria?

Et quanto melius frater et facilius administraret! natura enim fortior est muliere vir, usu autem nobis accommodatior, et non tam sumtuosus. Mulier quippe utpote tenerior, et molliore indiget lectulo, et tenuiore vestitu, et fortassis puella altera quæ ei ministret; et non tantum nobis ministerium præbebit, quanto ipsi opus erit a nobis: frater autem his omnibus non eget. Quodsi aliquo eget, iisdem quibus et nos indigebit: quod non parvæ commoditatis est, si contubernales non variis, sed iisdem utantur: id quod certe in virgine non est. Primum sane sive lavari velit, sive corpore ægra sit, neque frater ipsi ad hæc ministrabit, tametsi valde impudens sit, neque ipsa sibi sufficiens erit: si autem fratres sunt qui cohabitant, vicissim ministrare poterunt. Item quando dormire opus fuerit, virgine quidem intus sedente, et lectos duos esse oportet, et strata duo, et lodices duos: si autem sapiant, et domicilia duo. At si fratres sint, iterum re familiari tanta non est opus. Etenim domus una, cervical unum, et lectus unus, et eadem tegmina utrisque sufficiunt; et in summa, si quis omne percurrat ministerium, hic multam inveniet facilitatem, illic autem difficultatem. Taceo domus turpitudinem. Quale est enim, si in domum viri solitarii itur, videre calceos muliebres suspensos, et cingula et mitras et

καὶ διαζώματα, καὶ κεφαλόδεσμα, καὶ καλαθίσκους, καὶ ἡλακάτην, καὶ κερκίδα, καὶ κτένας, καὶ ἱστοπόδην, καὶ τὰ ἄλλα ἅπερ οὐκ ἔνι κατὰ μέρος λέγειν ἅπαντα. Ἂν δὲ καὶ ἐπὶ τῆς εὐπόρου ταῦτα ἐξετάζῃς, πλείων ὁ γέλως. Πρῶτον μὲν γὰρ ἐν ἀγέλῃ θεραπαινίδων τοσούτων μόνος στρέφεται μέσος, καθάπερ ἐπὶ τῆς ὀρχήστρας ἐν τῷ χορῷ τῶν γυναικῶν ὁ τοῖς ὑπορχουμένοις ὑπάδων χορευτής· οὗ τί γένοιτ' ἂν αἰσχρότερον καὶ ἀτιμότερον; Ἔπειτα διαῤῥήγνυται ὅλην τὴν ἡμέραν πρὸς οἰκέτας ἀγανακτῶν ὑπὲρ τῶν γυναικὶ προσηκόντων πραγμάτων. Ἡ γὰρ ἀνάγκη σιγᾶν, καὶ πάντων παραμελοῦντα παρ' ἐκείνης ἐπιτιμᾶσθαι, ἢ λέγοντα καὶ ἐπιπλήττοντα ἀσχημονεῖν· καὶ ὅρα τὸ συμβαῖνον. Ὁ γὰρ τῶν βιωτικῶν πραγμάτων μηδὲ ἐγγὺς γενέσθαι κελευσθείς, οὐχ ἁπλῶς βιωτικῶν, ἀλλὰ καὶ τῶν γυναικείων ἐνδοτέρω γίνεται· καὶ γὰρ καὶ σκεύη γυναικεῖα ἐκδοῦναι οὐ παραιτήσονται, ἀλλ' ἐπιστήσονται τοῖς ἀργυροκόποις συνεχῶς ἐρωτῶντες, εἰ τὸ κάτοπτρον κατεσκεύασται τῆς κυρίας, εἰ τὸν κάδον ἀπήρτισαν, εἰ τὸ ληκύθιον ἀπέδωκαν· καὶ γὰρ εἰς τοῦτο πάντα ἦκε διαφθορᾶς, ὡς τῶν βιωτικωτέρων μᾶλλον τὰς πολλὰς τῶν παρθένων τούτοις κεχρῆσθαι τοῖς σκεύεσιν. Ἐκεῖθεν πάλιν πρὸς τὸν μυρεψὸν ἔδραμεν ὑπὲρ τῶν τῆς κυρίας διαλεξόμενος ἀρωμάτων· πολλάκις δὲ ὑπὲρ πλείονος σπουδῆς καὶ ὑβρίσαι τὸν πένητα οὐ παραιτήσεται (καὶ γὰρ καὶ μύροις χρῶνται αἱ παρθένοι ποικίλοις τε καὶ πολυτελέσιν)· εἶτα ἀπὸ τοῦ μυρεψοῦ πρὸς τὸν τὰς ὀθόνας πωλοῦντα, καὶ ἀπ' ἐκείνου πάλιν πρὸς τὸν σκηνοποιόν. Οὐδὲ γὰρ τὰ μικρὰ ταῦτα αἰσχύνονται ἐπιτάττειν, ἐπειδὴ σφόδρα ὁρῶσιν αὐτοὺς ὑπακούοντας καὶ χάριν ἔχοντας ἐπιτατταύσαις αὐταῖς, ἢ ἑτέροις διακονουμένοις. Ἐντεῦθεν πάλιν, ὅταν ἐπισκευάσαι τι δέῃ τῆς περιφορητῆς ἐκείνης σκηνῆς, καὶ μέχρι ἑσπέρας αὐτῆς ἄσιτοι διατελοῦσι, τοῖς ἐργαστηρίοις προσηλωμένοι. Καὶ οὐ τοῦτό πως θαυμαστόν, ἀλλ' ὅτι καὶ τοῖς ταλαιπώροις οἰκέταις εἰσὶν ἐπαχθεῖς, καὶ πολλὴ κατ' αὐτῶν ὕβρις καὶ ἀγανάκτησις καὶ κραυγή. Ἐννόησον δὲ ὅσαι ἐκ τούτων αἱ κακηγορίαι· οἰκέτης γὰρ ὑβρισθείς, καὶ μάλιστα ὑπὲρ τοιούτων πραγμάτων, ἐπειδὴ μηδενὶ τρόπῳ τὸν ὑβριστὴν ἀμύνασθαι ἔχει, διὰ τῆς γλώττης τοῦτο ποιεῖ καὶ τῆς λαθραίας κακηγορίας, οὐδενὸς φειδόμενος τῶν ἐμπλῆσαι δυναμένων αὐτῷ τὸν θυμόν, ἀλλὰ μετὰ τοσαύτης ὑπερβολῆς τῇ ἀμύνῃ κέχρηται ταύτῃ, μεθ' ὅσης εἰκὸς οἰκέτην ὄντα, καὶ τοιαῦτα ὑβριζόμενον, καὶ ταύτην ἔχοντα μόνην παραμυθίαν τῶν οἰκείων κακῶν κατὰ τοῦ λελυπηκότος. Ὁ δὲ τῇ πενιχρᾷ συζῶν ἀργυροκόποις μὲν οὐ διαλέξεται (οὐ γὰρ ἀφίησιν ἡ πενία), οὐδὲ προσεδρεύσει μυροπώλοις, ὑποδηματορράφοις δὲ καὶ ὑφάνταις καὶ ποικίλταις καὶ βαφεῦσιν ἐνοχλήσει πολλάκις. Καὶ τί δεῖ πᾶσαν καταλέγειν τὴν ἀσχημοσύνην, οἷον, ὅταν εἰς οἰκήματα εἰσίωσι στήμονα καὶ κρόκην πωλούντων, ὅταν εἰς τὴν ἀγορὰν περιίωσιν αὐτὰ ταῦτα πάλιν ζητοῦντες;

Καὶ ταῦτα μὲν ἐν ταῖς οἰκίαις· ἐν δὲ ταῖς ἀγοραῖς

calathiscos et colum et radium textorium et pectines et malum textorium et alia quæ particulatim omnia enumerare non licet? Si autem de divite scruteris, major est risus materia. Primum quidem in puellarum tanta turba solus versatur, quasi choraules in orchestra qui in choro mulierum saltantium accinit: quo quid turpius et inhonestius? Deinde disrumpitur tota die famulis succensens ob res quæ ad mulierem spectant. Nam ei necessarium est aut omnino silere, et omnia negligentem ab illa increpari, aut dicentem et increpantem turpiter agere: et vide quid contingat. Nam qui jussus est ne prope quidem ad temporalia negotia accedere, non solum temporalia, sed muliebria etiam tractat. Etenim vasa muliebria conficienda elocare non detrectabit argentariis, atque adeo hos adibit sæpe rogans num speculum dominæ præparatum sit, num cadum absolverint, num lecythum reddiderint; nam in eam corruptionem venere omnia, ut pluribus vasis quam sæculares multæ utantur virgines. Hinc rursum ad unguentarium currit colloquuturus de aromatibus dominæ: sæpe etiam præ nimio studio nec detrectabit si et pauper injuria sit afficiendus. Utuntur autem virgines unguentis et variis et pretiosis. Deinde ab unguentario ad vendentem linteа, et ab illo iterum ad aulæorum textorem. Non enim verentur imperare hæc parva, quia vident eos valde obedientes, et gratiam habentes ipsis imperantibus majorem, quam aliis ministrantibus. Hinc iterum, si quando aliquid apparandum quod ad gestatorium tabernaculum hoc pertineat, usque ad vesperam impransi perseverant officinis affixi. Et illud non est mirandum, sed quod et miseris famulis sint molesti, et frequenti injuria et inclamatione hos urgeant. Cogita quantæ hinc querimoniæ: minister enim injuria affectus, maxime pro talibus rebus, quia eum qui se injuria affecit non alio modo ulcisci potest, lingua hoc facit, et occulta obtrectatione; nec parcit alicui eorum, quibus furori suo satisfaciat, sed tam immodice ulciscitur, quantum verisimile est servum ita exprobratum, et cui sola hæc est consolatio e malis suis adversus eum qui se contristavit. At qui pauperi cohabitat, cum argentariis quidem negotia non habet (non enim paupertas sinit), neque assidet officinis unguentariis; sed cum sutoribus et texturibus et variegatoribus et tinctoribus multum conversatur. Et quid opus recensere sordes omnes, ut quando in tabernas intrant hominum qui subtegmen ac tramam vendant, quando rursum in foro, circumeunt, ut eadem illa quærant?

10. Et hæc quidem domi, in foro autem risu digniora

καὶ τούτων πολὺ καταγελαστότερα ὑπομένουσιν. Ἐπὶ δὲ τῆς ἐκκλησίας οὐδὲ εἰπεῖν ἔστι τὴν αἰσχύνην. Ὥσπερ γὰρ δέον μηδένα τόπον ἀγνοεῖν αὐτῶν τὴν ὕβριν καὶ τὴν ἀνελεύθερον ταύτην δουλείαν, οὕτω καὶ ἐν τῷ ἁγίῳ τῷδε καὶ φρικωδεστάτῳ χωρίῳ πᾶσαν αὐτῶν τὴν ἀκρασίαν ἀνακηρύττουσι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ καλλωπίζονται ἐφ' οἷς ἐπαισχύνεσθαι ἔδει. Ἀπό τε γὰρ τῶν θυρῶν αὐτὰς ἔξωθεν δεχόμενοι, καὶ ἀντὶ τῶν εὐνούχων γινόμενοι σοβοῦσι, καὶ προηγούμενοι μέγα φρονοῦσιν, ὁρώντων ἁπάντων, καὶ οὐ καταδύονται, ἀλλὰ καὶ ἐπαγάλλονται· καὶ ἐν αὐτῷ δὲ τῷ τῶν φρικωδεστάτων μυστηρίων καιρῷ πολλὰ πρὸς τὴν ἐκείνων ἀρεσκείαν διακονοῦνται, πολλοῖς τῶν ὁρώντων λαβὰς παρέχοντες. Αἱ δὲ ἄθλιαι καὶ ταλαίπωροι, δέον ἀπείργειν αὐτοὺς τῆς τοιαύτης χάριτος, καὶ ἐναβρύνονται καὶ μέγα φρονοῦσι. Καίτοι τίς ἂν ἢ ταύταις ἢ ἐκείνοις εἴ γε ἤμελλέ τινα ἀρὰν ἐπαράσασθαι, ταύτης ἂν εὗρε χαλεπωτέραν, ἢ ὥστε μυρίους μάρτυρας ἔχειν τῆς ἀκολασίας αὐτῶν, καὶ ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ἀσχημονεῖν; Τί δεῖ λέγειν ὅσα ἐν αὐταῖς ταῖς ἐκκλησίαις ἀνατρέπεται διὰ τὴν τούτων χάριν, ὅσα τῶν τοῦ Θεοῦ πραγμάτων ἀμελεῖται παρὰ πολλῶν, ὥστε μὴ παροξυνθῆναι ταύτας; καὶ τί λέγω, μὴ παροξυνθῆναι; μόνον ἄν τις αὐτῶν σκυθρωπὸν εἰς αὐτὰς ἴδῃ καὶ ἀηδές, πάντα αἱροῦνται ὑπομένειν, ἢ τοῦτο παθοῦσαν ἐκείνην περιιδεῖν.

Ἀλλὰ μέχρι τίνος καὶ ἡμεῖς ἀσχημονοῦμεν τὰ ἐκείνων διηγούμενοι πάντα; Οὐ γὰρ δὴ τοῦτο προειλόμεθα, ἐπεὶ πολλῶν ἂν καὶ μακρῶν ἡμῖν ἐδέησε λόγων πάντα διεξιοῦσι· μᾶλλον δὲ πάντα μὲν οὐδὲ βουλομένοις δυνατὸν ἦν εἰπεῖν, ὀλίγα δὲ ἐκ πολλῶν συνθέντας, καὶ οὕτως ἱκανὸν ἦν ἐργάσασθαι τὸ μῆκος· ἀλλ' οὐκ εἰς τοῦτο ἥκομεν, ἀλλὰ καὶ τούτων ἄκοντες ἐμνημονεύσαμεν, ὥστε μικρὸν ἐπιστύψαι τοὺς νοῦν ἔχοντας τῶν ἀκουομένων· λοιπὸν δὲ παρακαλεῖν χρὴ καὶ ἱκετεύειν. Δέομαι δὴ καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων προκυλινδοῦμαι τῶν ὑμετέρων, καὶ πᾶσαν ἱκετηρίαν τίθημι, πείσθητε, καὶ ἀνενέγκωμεν ἀπὸ ταύτης τῆς μέθης, καὶ ἑαυτῶν γενώμεθα, καὶ τὴν τιμὴν ἐπιγνῶμεν, ἣν δέδωκεν ὁ Θεὸς ἡμῖν, καὶ τοῦ Παύλου βοῶντος ἀκούσωμεν, « Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· » καὶ παυσώμεθα γυναιξὶ δουλεύοντες ἐπὶ τῷ κοινῷ πάντων ἡμῶν ὀλέθρῳ. Στρατιώτας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται γενναίους καὶ ἀθλητάς. Οὐ διὰ τοῦτο ἡμᾶς ὥπλισεν ἐν τοῖς ὅπλοις τοῖς πνευματικοῖς, ἵνα κορῶν τριωβολιμαίων ἀναδεξώμεθα ὑπηρεσίαν, ἵνα περὶ ἔρια καὶ ἱστοὺς καὶ τὰς τοιαύτας στρεφώμεθα διακονίας, ἵνα νηθούσαις καὶ ὑφαινούσαις παραχαθώμεθα γυναιξίν, ἵνα διατελῶμεν πᾶσαν ἡμέραν καὶ ἤθη καὶ ῥήματα γυναικεῖα εἰς τὴν ἑαυτῶν ἐναποματτόμενοι ψυχήν· ἀλλ' ἵνα βάλλωμεν τὰς ἀοράτους δυνάμεις τὰς ἀντικειμένας ἡμῖν, ἵνα πλήττωμεν τὸν στρατηγοῦντα αὐταῖς διάβολον, ἵνα ἐλαύνωμεν τὰς ἀγρίας τῶν δαιμόνων φάλαγγας, ἵνα κατασκάπτωμεν αὐτῶν τὰ ὀχυρώματα, ἵνα τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους ὀήσαντες αἰχμα-

etiam ferunt. In ecclesia vero dici non potest quanta sit turpitudo. Nam quasi oporteat ut locus nullus illorum opprobrium ignoret et illiberalem servitutem, ita et in loco hoc sancto et terribili omnibus suam intemperantiam prædicant; et, quod utique gravius, ea re gloriantur, ob quam erubescere oportebat. Ante fores ipsas excipiunt, eunuchorum loco inserviunt, obvios submovent, ac præeuntes superbiunt videntibus omnibus, et non verecundantur, sed ea re gloriantur : atque in ipso sancto et horrendo mysteriorum tempore ministrantes ad earum placitum, criminandi occasiones multis intuentibus præbent. Illæ autem miseræ et calamitosæ, cum oporteret ab hac illos gratia prohibere, illa insuper gloriantur et confidentiores sunt. Quamquam si quis vel iis vel illis maledicere vellet, quid maledicto hoc inveniret atrocius, quam ut tam innumeris testibus intemperantia eorum arguatur, et in oculis omnium fœde agant? Quid opus est dicere quanta in ecclesiis ob illarum gratiam subvertantur, quot divina opera a multis negligantur, ut ne has irritent? et quid dico ne irritent? si quis tantum insuavius et tristius eas aspexerit, omnia malunt ferre, quam impune sinere illam hoc passam esse.

Sed quousque tandem et nos fœde agimus, illorum omnia enarrantes? Non utique hoc proposuimus : nam si omnia tractare velimus, multa et longa nobis oratione opus esset : imo si maxime vellem, non possent omnia dici, quandoquidem, dum ex multis panca colligimus, etiam sic prolixi sumus. Sed non ad hoc venimus, verum inviti ad illorum memoriam rapti sumus, ut cordati auditores parumper admonerentur : quod reliquum est, operæ pretium videtur ut obsecrationem et precationem adhibeamus. Oro igitur et supplico, et ante genua vestra me provolvo, atque obnixe rogo, persuadeamini, et ab hac emergamus ebrietate; simus nostri ipsorum compotes, et agnoscamus honorem, quem dedit nobis Deus, et Paulum clamantem audiamus (1 *Cor.* 7. 23) : *Ne sitis servi hominum*; et desinamus servire mulieribus ad communem omnium nostrum perniciem. Milites nos esse Christus vult strenuos et athletas. Non propter hoc nos armavit armis spiritualibus, ut puellarum triobolarium ministeria suscipiamus, ut circa lanas et stamina et alia ejusmodi ministeria versemur, ut assideamus mulierculis nentibus et texentibus, ut totum diem consumamus verbis et moribus muliebribus animas nostras imbuentes; sed ut colligamus invisibiles virtutes quæ nobis adversantur, ut diabolum percutiamus, qui illarum ducem agit, ut abigamus feroces dæmonum phalanges, ut subvertamus eorum propugnacula, ut Potestates et mundi dominos, rectores harum tenebrarum in servitutem

λώτους ἀγάγωμεν, ἵνα τὰ πνευματικὰ τῆς πονηρίας φυγαδεύσωμεν, ἵνα πῦρ πνέωμεν, ἵνα πρὸς καθημερινοὺς θανάτους ὦμεν ἕτοιμοι καὶ παρεσκευασμένοι. Διὰ τοῦτο ἐνέδυσεν ἡμᾶς τὸν θώρακα τῆς δικαιοσύνης, διὰ τοῦτο ἔζωσε τῇ ζώνῃ τῆς ἀληθείας, διὰ τοῦτο περιέθηκε τὴν περικεφαλαίαν τοῦ σωτηρίου, διὰ τοῦτο ὑπέδησε τοὺς πόδας ἡμῶν τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, καὶ τὴν μάχαιραν ἐνεχείρισε τοῦ πνεύματος, διὰ τοῦτο πῦρ ἀφῆκεν εἰς τὰς ἡμετέρας ψυχάς. Εἴ τινα οὖν, εἰπέ μοι, τῶν στρατιωτῶν μετὰ τὸ περιθέσθαι τὸ κράνος, τὰς κνημῖδας, τὸν θώρακα, μετὰ τὸ λαβεῖν τὸ ξίφος, τὸ ὅπλον, τὴν ἀσπίδα, τὰ τόξα, τὰ βέλη, τὴν φαρέτραν, τῆς σάλπιγγος λαμπρὸν ἠχούσης καὶ πάντας ἔξω καλούσης, τῶν τε πολεμίων σφοδρὸν πνεόντων καὶ τὴν πόλιν ἐκ βάθρων ἀνασπάσαι παρεσκευασμένων, εἶδες οὐκ ἐπὶ τὴν παράταξιν ἔξω τρέχοντα, ἀλλ' εἰς οἰκίαν εἰσιόντα, καὶ γυναικὶ παρακαθήμενον μετὰ τῶν ὅπλων ἐκείνων· ἆρ' οὐκ ἂν, εἴ γε ἐξῆν, μέσον τὸ ξίφος διήλασας, μηδὲ λόγου μεταδούς; Εἰ δὲ σὺ τοσαύτης ἂν ἐνεπλήσθης ὀργῆς, πῶς οἴει τὸν Θεὸν ἐπὶ τοῖς πολὺ τούτων ἀτοπωτέροις διακεῖσθαι; Τοσούτῳ γὰρ αἰσχρότερα ταῦτα ἐκείνων καὶ ἀτοπώτερα, ὅσῳ καὶ ὁ πόλεμος χαλεπώτερος, καὶ οἱ πολέμιοι σφοδρότεροι, καὶ τὰ ἔπαθλα περὶ ὧν ὁ πόλεμος μείζω, καὶ πάντα ἁπλῶς τοσοῦτον ἐξήλλακται, ὅσον ἀληθείας καὶ σκιᾶς τὸ μέσον. Μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχὺν, μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ταῖς ὁμιλίαις ταύταις· καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. Τί γὰρ, εἰ καὶ μὴ αἰσθανόμεθα τῇ φιλίᾳ μεθύοντες; τοῦτο γὰρ αὐτὸ καὶ τὸ πάντων ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν ὅπως ἐκνευριζόμεθα καὶ χηρεῦμεν παντὸς γινόμεθα μαλακώτεροι. Καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν λαβὼν, εἶτα ἀποκείρας μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρὸν ποιεῖ καὶ καταγέλαστον καὶ παιδίοις εὐκαταγώνιστον τὸν φοβερὸν καὶ ἀφόρητον καὶ ἀπὸ μόνου τοῦ βρυχήματος πάντα σείοντα· οὕτω δὴ καὶ αὗται πάντας ὅσους ἂν λάβωσιν εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀκροχόλους, θρασεῖς, ἀκαίρους, (ταπεινοὺς,) ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμοὺς, φλυάρους, καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα ἤθη τὰ διεφθαρμένα φέρουσαι εἰς τὴν τούτων ἐναπομάττονται ψυχήν.

Καὶ γὰρ ἀμήχανον τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης, καὶ ταῖς ἐκείνων ἐντρεφόμενον ὁμιλίαις, μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη. Κἂν γὰρ φθέγγηταί τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων· κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάσεται δουλοπρεπείας, πόρρω τῆς Χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποκλίσας, καὶ πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων γινόμενος χρήσιμος. Καὶ γὰρ, εἰ πρὸς τὰ βιωτικὰ

ducamus, ut spiritualia malitiæ fugemus, et ignem spiremus, ut ad quotidianas mortes parati simus. Propter hoc induit nos thorace justitiæ, propter hoc cinxit nos zona veritatis, propter hoc imposuit galeam salutis, propter hoc pedes nostros calceavit præparatione evangelii pacis, et tradidit gladium spiritus, propter hoc ignem accendit in nostris animabus. Si igitur militem aliquem, postquam induerit galeam, ocreas, thoracem, postquam acceperit gladium, lanceam, scutum, tela, sagittas, pharetram, tuba jam clarum sonante et omnes evocante, hostibus magno impetu sævientibus et civitatem a fundamentis evertere molientibus, videres non in agmen foras currere, sed in domum ingredi et mulieri assidere cum armis: an non, si modo liceret, gladio medium transfoderes, ne sermone quidem cum dignatus? At si tu tanta ira impietus esses, quomodo putas Deum in multo turpioribus erga nos affici? Tanto enim turpiora et absurdiora sunt hæc quam illa, quanto et gravius bellum, et hostes truculentiores, et præmia pro quibus bellatur majora, et in summa omnia tantum transcendunt, quantum umbram veritas. Itaque ne effeminemus robur nostrum, ne succidamus nervos nostros istis conversationibus. Etenim multam et immensam animabus nostris instillant malitiam. Quid enim, si ne sentiamus quidem nos esse amore ebrios? Istuc enim ipsum omnium est longe gravissimum, quod nesciamus quomodo enervemur, ceraque omni molliores reddamur. Nam sicut si quis leonem superbum et torve intuentem arripiat, et jubas abradat, dentes excutiat, ungues amputet, turpemque faciat et ridiculum, et terribilem illum et intolerabilem et rugitu solo omnia concutientem, facile a puero superabilem reddat: ita et illæ quos capiunt omnes superatu faciles reddunt diabolo, molliores, concitatiores, impudentes, inconsiderantes, iracundos, audaces, importunos, humiles, abjectos, crudeles, serviles, illiberales, temerarios, nugaces, et in summa omnino corruptos mulierum mores in animam illorum immittunt et inferunt.

11. Etenim fieri non potest mulieri cohabitantem cum tanto affectu, et illarum conversationibus innutritum, non esse circulatorem et forensem et sordidum. Nam si quid loquitur, de staminibus et lanis loquetur, lingua ejus muliebri loquacitate infecta: et si quid facit, hoc magna servilitate operatur, et se ipsum procul a Christiana libertate sejungit, ad nihil eximium aut præclarum utilis. Nam si ad sæculares et civiles res hominum inutilis est et

καὶ πολιτικὰ πράγματα ἄχρηστος ὁ τοιοῦτος, πολλῷ μᾶλλον πρὸς τὸ τῶν πνευματικῶν μέγεθος, ἃ τοσούτῳ δεῖται γενναιοτέρων ἀνδρῶν, ὡς μηδὲ ἅπτεσθαι αὐτῶν δύνασθαι τοὺς μέλλοντας αὐτὰ μετιέναι, εἰ μὴ ἄγγελοι γένοιντο ἐξ ἀνθρώπων. Οὐκ αὐτοὶ δὲ μόνον κακίαν ὑποδέχονται τοσαύτην, ἀλλὰ καὶ ἐκείναις ἠθῶν διεφθαρμένων αἴτιοι γίνονται. Καθάπερ γὰρ οὗτοι σῴζεσθαι αὐταῖς ἀρέσκειν βουλόμενοι τῆς ἁρμοττούσης πολιτείας ἐκβαίνουσιν, οὕτω καὶ αὗται τῆς προσηκούσης αὐταῖς αἰδοῦς δι' ἐκείνους ἐκπίπτουσι, τὴν πονηρὰν αὐτοῖς καὶ ὀλέθριον παρέχουσαι ταύτην ἀντίδοσιν. Καὶ γὰρ καὶ καλλωπίζονται περιεργότερον, καὶ σχήματος καὶ βαδίσματος τεταραγμένου πολλὴν ποιοῦνται πρόνοιαν, καὶ τὰ μὴ προσήκοντα διὰ πάσης φλυαροῦσιν ἡμέρας· ἐπειδὴ γὰρ ὁρῶσι τερπομένους τοῖς ἀκολάστοις τούτοις ἤθεσι καὶ ῥήμασι, πάντα ἐπιτηδεύουσι, δι' ὧν κατέχειν αὐτοὺς αἰχμαλώτους δυνήσονται. Ἀλλ' ἂν θελήσωμεν μικρὸν ἀνενεγκόντες ἡμῶν αὐτῶν γενέσθαι, ἐκείνας τε κερδανοῦμεν καὶ ἡμᾶς αὐτοὺς καὶ τοὺς ἄλλους ἅπαντας· καὶ ὥσπερ νῦν τῆς τῶν πολλῶν ἀπωλείας κατέστημεν ὑπεύθυνοι, οὕτω τότε τῆς πάντων σωτηρίας ἀπολήψόμεθα τὸν μισθὸν, καὶ ὧν δὲ ἀπολαύομεν νῦν αἰσχρῶς, τότε μετὰ πολλῆς ἀπολαύσομεν τῆς τιμῆς. Τί γὰρ, εἰπέ μοι, βούλει τιμᾶσθαι παρὰ γυναικῶν; Μάλιστα μὲν ἀνάξιον τοῦτο ἀνδρὸς πνευματικοῦ, τὸ τιμῆς τοιαύτης ἐρᾶν· πλὴν ἀλλὰ καὶ τοῦτο τότε παρέσται, ὅταν μὴ ζητῶμεν αὐτό. Πέφυκε γὰρ ἄνθρωπος τῶν μὲν θεραπευόντων ὑπεροράν, τοὺς δὲ μὴ κολακεύοντας θαυμάζειν· τὸ δὲ πάθος τοῦτο πλέον ἡ γυναικεία φύσις ὑπομένειν εἴωθεν. Ἀφόρητός τε γάρ ἐστι κολακευομένη, θαυμάσεται δὲ μάλιστα πάντων τοὺς οὐκ ἀνεχομένους εἶκειν καὶ ὑποκαταklίνεσθαι ταῖς ἀκαίροις αὐτῆς ἐπιθυμίαις· καὶ τοῦτο ὑμεῖς μοι μαρτυρήσετε. Νῦν μὲν γὰρ οὐχ οἱ ἔξωθεν μόνον, ἀλλὰ καὶ αὐταὶ καταγελῶσιν ὑμῶν αἱ συνοικοῦσαι, εἰ καὶ μὴ φανερῶς, ἀλλ' ἐν τῷ συνειδότι, καὶ ἐγκαλλωπίζονται τῇ χαλεπῇ ταύτῃ τυραννίδι· τότε δὲ θαυμάσονται πάντως ὑμᾶς, καὶ ἐκπλαγήσονται τὴν ἐλευθερίαν ὑμῶν. Εἰ δὲ ἀπιστεῖτε τοῖς ἡμετέροις λόγοις, αὐτὰς ἔρεσθε ἐκείνας, τίνας μᾶλλον ἐπαινοῦσαι καὶ ἀποδέχονται, τοὺς δουλεύοντας ἢ τοὺς κρατοῦντας αὐτῶν, τοὺς ὑποκειμένους καὶ πάντα ποιοῦντας καὶ πάσχοντας διὰ τὴν εἰς ἐκείνας χάριν, ἢ τοὺς οὐδὲν τούτων ἀνεχομένους, ἀλλὰ καὶ ἐπαισχυνομένους αὐτῶν τοῖς πονηροῖς ἐπιτάγμασι· κἂν ἐθελήσωσιν εἰπεῖν τἀληθὲς, πάντως ἐκείνους ἐροῦσι· μᾶλλον δὲ οὐδὲ ἀποκρίσεως χρεία, τῶν πραγμάτων τοῦτο βοώντων.

Ἀλλ' ἡδονῆς ἕνεκεν ὁ συνοικῶν πλεονεκτεῖ, τοὺς ὀφθαλμοὺς εὐωχῶν ταῖς τῶν παρθένων ὄψεσι. Μάλιστα μὲν εἰ καὶ τοῦτο οὕτως εἶχε, δι' αὐτὸ μὲν οὖν τοῦτο φυγεῖν ἐχρῆν· νῦν δὲ ἡμῖν ἱκανῶς ἀποδέδεικται, ὅτι οὐχ ἡδὺ τὸ τοιοῦτον, ἀλλὰ τοὐναντίον, τὸ μὴ ταύτης ἀπολαύειν τῆς θεωρίας· σὺ δέ μοι προστίθει καὶ τὴν ἀπὸ τοῦ συνειδότος εὐφροσύνην. Οὐδὲν γὰρ οὕτως

nullius frugis, multo magis ad magnitudinem rerum spiritualium, quæ tanto generosiores viros requirunt, ut ne attingi quidem possint, nisi ab iis qui ad eas transituri angeli ex hominibus fiant. Non ipsi autem solum tanto malo afficiuntur, sed et illis morum pessimorum auctores fiunt. Nam quemadmodum illi qui istis valde placere volunt, officii sui rationem negligunt, ita ipsæ propter illos a verecundia sibi convenienti aberrant, malam et perniciosam illis exhibentes retributionem. Etenim se ornant curiosius, delicatioris habitus et incessus multam curam agunt, et quæ non licet tota die nugantur : nam quia vident illos his incompositis moribus et verbis oblectari, omnia studiose sectantur, per quæ ipsos in servitute contineant. Jam si voluerimus paulisper resipiscere et nostri ipsorum esse, et illas lucrabimur, et nos ipsos et alios omnes : et sicut nunc perditionis multorum rei facti sumus, sic et a multorum salute tunc mercedem accipiemus; et quibus nunc potimur turpiter, illis tum fruemur magno cum honore. Quid enim, vis honorari a mulieribus, dic mihi? Maxime indignum hoc est viro spirituali, amare talem honorem; verumtamen et tunc aderit, quando non quæremus ipsum. Solet enim homo despicere eos qui se colunt, et in admiratione habere eos qui non adulantur : cui affectui muliebris natura magis obnoxia est. Nam si illis quis aduletur, intolerabilis est; admiratur autem omnium maxime eos qui cedere nesciunt nec succumbunt intempestivis suis concupiscentiis : et hujus vos mihi testes eritis. Nunc enim non solum externi, sed et ipsæ quoque contubernales vos irridet, etsi non manifeste, certe tamen in conscientia, glorianturque hac dura tyrannide; tunc autem omnino vos admirabuntur, et vestram obstupescent libertatem. Quodsi nostris sermonibus non creditis, illas ipsas interrogate, utros magis laudent et approbent, eosne qui serviunt, an qui dominantur; subjectos, et qui omnia faciunt et patiuntur in ipsarum gratiam, an eos qui nihil horum ferunt, et pravis earum parere mandatis erubescunt. Et si volent dicere verum, omnino hos, respondebunt : imo neque responso opus, rebus istuc ipsum clamantibus.

At voluptatis gratia qui cohabitat magis fruitur, oculos pascens virginum aspectibus. Licet maxime quidem hoc ita se haberet, tamen propter hoc ipsum fugere oportebat : nunc autem a nobis satis demonstratum est quod suave hoc non sit, sed plane contrarium, si quis hac contemplatione non fruatur : et tu illis adjecito etiam bonæ conscientiæ lætitiam. Nihil enim nos sic exhilarare solet, ut conscientia pura et

ἡμᾶς εὐφραίνειν εἰωθεν, ὡς συνειδὸς χρηστὸν, καὶ ἐλπίδες ἀγαθαί. Ἀλλ' ἀναπαύσεως ἕνεκεν τοῦτο ἐπιζητεῖς; Ἀλλ' ἀποδέδεικται καὶ τοῦτο εὐκολώτερον ὄν, ὅταν ἀδελφὸς συνοικῇ. Νῦν μὲν γὰρ οὐδὲν δούλου διενήνοχας, καὶ ζητῶν ἀνάπαυσιν δουλείαν εὗρες χαλεπωτάτην· τότε δὲ ταύτης ἐκτὸς ἔστηκας τῆς λειτουργίας, καὶ τῶν ἐπιταττόντων, οὐ τῶν ἐπιταττομένων ἔσῃ. Ὅταν οὖν ἐκεῖ μὲν ἀνθ' ἡδονῆς λύπη, καὶ ἀντὶ δόξης αἰσχύνη, καὶ ἀντὶ ἐλευθερίας δουλεία, καὶ πόνος ἀντὶ ἀναπαύσεως (πρόσκειται δὲ καὶ τὸ βλασφημεῖσθαι τὸν Θεὸν, καὶ ἀπώλεια τοσαύτη, καὶ σκάνδαλα, καὶ κόλασις ἀθάνατος, καὶ μυρίων ἔκπτωσις ἀγαθῶν), ἐνταῦθα δὲ τἀναντία ἅπαντα, δόξα, τιμὴ, ἡδονὴ, παῤῥησία, ἐλευθερία, σωτηρία ψυχῶν, βασιλείας κληρονομία, κολάσεως ἀπαλλαγὴ, τίνος ἕνεκεν οὐχ ἁνταλλαξόμεθα ταῦτα ἐκείνων; Ἐγὼ μὲν οὐκ οἶδα, πλὴν εἴ τις ἑαυτὸν ἁπλῶς ἀπολλύναι ἐπιθυμοίη· οὐδὲ γὰρ ἀπολογία λοιπὸν ἔσται ἡμῖν οὐδὲ συγγνώμη. Εἰ γὰρ καὶ μηδενὸς ὄντος τούτων, πάντα ὑπομεῖναι ἐχρῆν ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης, ὅταν καὶ τὰ ἐνταῦθα καρποῦσθαι παρῇ, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἡμεῖς δὲ πρὸς τῷ τὴν τοῦ Θεοῦ βλασφημεῖσθαι δόξαν, καὶ ἑαυτοὺς προσαπολλύωμεν, τίς ἡμᾶς ἐξαιρήσεται καὶ ἀπαλλάξει τῆς τιμωρίας τῆς ἐπὶ τούτοις κειμένης; Οὐκ ἔστιν οὐδείς.

Ταῦτα οὖν ἅπαντα συναγαγόντες πρὸς ἑαυτοὺς, καταλλαγῶμεν ὀψὲ γοῦν ποτε τῇ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν. Εἰ δὲ δοκεῖ τινα δυσκολίαν ἔχειν τὸ συνήθειαν ἀποσπασθῆναι μακρὰν, τῇ δυνάμει τοῦ λογισμοῦ μετὰ τὴν τοῦ Θεοῦ χάριν τὸ πᾶν ἐπιτρέψαντες, κἀκεῖνο πείσαντες ἑαυτοὺς, ὅτι, ἂν ἀρχὴν μόνον ἐπιθῶμεν τῷ πράγματι, οὐκέτι ὀψόμεθα δυσχερὲς, οὕτω κατατολμήσωμεν τῆς συνηθείας. Ἂν γὰρ δέκα ἡμέρας σαυτὸν ἀποστήσῃς, εὐκολώτερον τὰς εἴκοσι εἶτες, καὶ δὶς τοσαύτας πάλιν· εἶτα δὸς προβαίνων οὐδὲ αἴσθησιν λήψῃ λοιπὸν τῆς ἐν ἀρχῇ δυσκολίας, ἀλλὰ τὸ σφόδρα δυσπαταγώνιστον εὐκολώτατον ὄψει γινόμενον, καὶ εἰς ἑτέραν πάλιν καταστήσεις σαυτὸν συνήθειαν, καὶ ῥᾳδίαν εὑρήσεις τὴν μετάθεσιν οὖσαν οὐ διὰ συνήθειαν μόνον, ἀλλὰ καὶ διὰ τὰς χρηστὰς ἐλπίδας. Οὕτω σε κἀκεῖναι θαυμάσονται μειζόνως, καὶ ὁ Θεὸς ἀποδέξεται πρὸ ἐκείνων, καὶ πάντες ἄνθρωποι στεφανώσουσι, καὶ βίον βιώσῃ πολλὴν μὲν ἔχοντα ἐλευθερίαν, πολλὴν δὲ τὴν ἡδονήν. Τί γὰρ ἂν γένοιτο ἥδιον τοῦ τοῦ πονηροῦ συνειδότος ἀπαλλαγῆναι, καὶ τὸν διηνεκῆ τῆς ἐπιθυμίας κατα λῦσαι πόλεμον, καὶ μετὰ πολλῆς τῆς εὐκολίας τὸν καλὸν τῆς σωφροσύνης πλέξειν στέφανον, καὶ ἐλευθέροις μὲν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπειν, καθαρᾷ δὲ φωνῇ καὶ καρδίᾳ τὸν ἁπάντων Δεσπότην καλεῖν; Οὐδεὶς οὕτω δεσμώτης ἁλύσεως ἀπαλλαγεὶς καὶ αὐχμοῦ καὶ τῆς ἄλλης τῆς ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίας, μᾶλλον δὲ οὐδεὶς οὕτω πεπηρωμένος ἀναβλέψας καὶ τὸ γλυκὺ τοῦτο φῶς ἰδὼν ἀγάλλεται καὶ γάνυται καὶ σκιρτᾷ, ὡς ὁ τῆς δουλείας ταύτης ἐλευ-

bona spes. Sed quietis gratia hoc quæris? At jam demonstratum est quod hoc facilius esset, si frater cohabitaret : ac nunc nihil a servo differs, et quærens requiem, servitutem invenisti gravissimam; cum vero immunis ab hoc ministerio fueris, tum eris inter eos qui imperant, non quibus imperatur. Igitur si ibi pro voluptate mœror et pro gloria confusio, et pro libertate servitus, et pro requie labor, et accedunt ad hæc quod et Deus blasphematur, et tanta perdilio ac scandala, et immortalis pœna, et plurimorum bonorum amissio; hic autem contraria omnia, gloria, honor, voluptas, fiducia, libertas, salus animarum, regni hereditas, pœnæ effugium : cujus rei gratia non hæc illis commutabimus? Ego certe nescio, nisi quis se ipsum perdere desideret; nulla siquidem nobis posthac defensio erit nec venia. Si enim, quamvis nihil horum esset, omnia tamen pro gloria Dei ferre oportebat, cum et præsentia percipere, et futura assequi bona liceat; nos autem præterquam quod Dei gloria blasphematur, nos ipsos etiam perdimus : quis nos eripiet et liberabit a supplicio propter hoc nobis imminente? Nullus [illegible]

12. Omnia igitur hæc nobiscum perpendentes, vel sero tandem reparemus animarum nostrarum salutem. Quodsi quid difficultatis habet divelli a longa consuetudine, post Dei gratiam viribus ratiocinii hoc totum permittamus, et illud nobis persuadeamus, si modo principium imponamus huic operi, id non ultra visum nobis iri difficile : sic pugnam adversus consuetudinem audenter ineamus. Nam si decem dies te abstraxeris, facilius feres viginti, et iterum bis tantos; deindeque sensim progrediens ne senties quidem difficultatem quam habuisti initio, videbisque facillimum factu fieri, quod tot agones prius exposcebat, et in aliam rursus te transferes consuetudinem, inveniens haud ita gravem esse eam translationem : neque id per consuetudinem solum, sed et per bonam spem continget. Sic te illæ magis admirabuntur, et Deus præ illis acceptum habebit, et homines coronabunt, vivesque libere et jucunde. Quid enim fuerit suavius, quam a mala conscientia liberari, et perpetuum concupiscentiæ bellum dirimere, et multa facilitate insignem continentiæ coronam plectere, et liberis oculis in cælum respicere, puraque voce et corde Dominum universorum invocare? Nullus captivus catenis, squalore et aliis carcerum incommodis exemptus, imo nullus qui cæcus erat apertis oculis, et visa hac dulci luce sic exsultat, gestit et tripudiat, ut qui ab hac servitute

θερωθῆναι δυνηθείς. Καὶ γὰρ τοῦ φωτὸς τούτου γλυκυτέρα πολλῷ τῆς τυραννίδος ἐκείνης ἡ ἀπαλλαγὴ, καὶ ζόφου παντὸς χαλεπωτέρα τῆς δουλείας ἐκείνης καὶ τῶν δεσμῶν ἡ ταλαιπωρία. Ἀλλὰ γὰρ τί χρὴ ταῦτα μηκύνειν ἑκατέρου τοῦ βίου, τοῦ μὲν τὴν ἀνελευθερίαν καὶ τὴν ἀθυμίαν καὶ τὴν βλάβην καὶ τὴν πολλὴν τηκεδόνα, τοῦ δὲ τὴν ἐλευθερίαν καὶ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν καὶ τὴν πολλὴν παραδεικνύντα σωφροσύνην; λόγος γὰρ οὐδεὶς αὐτὰ παραστῆσαι δυνήσεται, μόνη δὲ τῶν πραγμάτων ἡ πεῖρα. Καὶ τότε εἴσεσθε καλῶς τίνων μὲν ἀπηλλάγητε κακῶν, ποίας δὲ ἐπετύχετε ζωῆς, ὅταν ἡμῖν διὰ τῶν πραγμάτων βουληθῆτε πεισθῆναι. Πεισθήσεσθε τοίνυν, ὅταν διὰ τῶν ἔργων αὐτῶν τὰ εἰρημένα μάθητε. Εἰ δὲ ἔτι δυσανασχετεῖτε καὶ τοῖς ἡμετέροις ἀπιστεῖτε λόγοις, ἔρεσθέ τινας τῶν ταύτην ποτὲ δουλευσάντων τὴν δουλείαν, εἶτα ἀθρόον ἀπαλλαγέντων, καὶ πρὸς τὴν καλὴν ἀναδραμόντων ἐλευθερίαν· καὶ τότε γνώσεσθε τῆς παραινέσεως ταύτης τὸ κέρδος. Ἐπεὶ καὶ ὁ Σολομὼν ἡνίκα μὲν τῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ πραγμάτων κατείχετο, μεγάλα τε αὐτὰ ἐνόμιζεν εἶναι καὶ θαυμαστὰ, καὶ πολλὴν περὶ αὐτὰ τὴν φιλοπονίαν ἐπεδείκνυτο, λαμπράς τε οἰκοδομούμενος οἰκίας, καὶ χρυσίον συνάγων ἄπειρον, μουσικῶν τε χοροὺς καὶ τραπεζοποιῶν γένη παντοδαπὰ καὶ μαγείρων πάντοθεν ἀγείρων, καὶ τὴν ἀπὸ τῶν κήπων χάριν, καὶ τὴν ἀπὸ τῶν λαμπρῶν σωμάτων ἡδονὴν ὀαψιλῶς τῇ τῆς ψυχῆς παρασκευάζων ἐπιθυμίᾳ, καὶ πᾶσαν, ὡς εἰπεῖν, ὁδὸν ψυχαγωγίας καὶ τέρψεως ἑαυτῷ τέμνων· ἐπειδὴ δὲ μικρὸν ἐκεῖθεν ἀνήνεγκε, καὶ καθάπερ ἐξ ἀβύσσου τινὸς ζοφερᾶς ἀναβλέψαι πρὸς τὸ τῆς φιλοσοφίας ἴσχυσε φῶς, τηνικαῦτα τὴν ὑψηλὴν ἐκείνην καὶ τῶν οὐρανῶν ἀξίαν ἀφῆκε φωνὴν, « Ματαιότης ματαιοτήτων, λέγων, τὰ πάντα ματαιότης. »

Ταύτην καὶ ὑμεῖς, καὶ ταύτης ὑψηλοτέραν, ἂν ἐθελήσητε, ψῆφον οἴσετε περὶ τῆς ἀκαίρου ταύτης ἡδονῆς, ἂν μικρὸν ἑαυτοὺς τῆς πονηρᾶς ἀποστήσητε συνηθείας. Καίτοι γε ὁ Σολομὼν ἐν τοῖς ἄνω γενόμενος χρόνοις οὐδὲ πολλὴν ἀπῃτεῖτο φιλοσοφίας ἀκρίβειαν· οὔτε γὰρ τὸ τρυφᾶν ὁ παλαιὸς ἐκώλυε νόμος, οὔτε τῶν ἄλλων ἀπολαύσεων ἀπολαύειν περιττὸν ἔφησεν εἶναι καὶ μάταιον· ἀλλ' ὅμως καὶ οὕτω τῶν πραγμάτων ἐχόντων, ἠδυνήθη συνιδεῖν τὸ ἐν αὐτοῖς ἀνόνητον, καὶ πολλὴν αὐτῶν καταγνῶναι ματαιότητα. Ἡμεῖς δὲ ἐπὶ μείζονα καλούμεθα πολιτείαν, καὶ πρὸς ὑψηλοτέραν ἀναβαίνομεν κορυφὴν, καὶ πρὸς μείζονα ἀπεδυσάμεθα σκάμματα. Καὶ τί γὰρ ἕτερον ἀλλ' ἢ κατὰ τὰς ἄνω δυνάμεις τὰς νοερὰς καὶ ἀσωμάτους ἐκείνας πολιτεύεσθαι κελευόμεθα; Πῶς οὖν οὐκ αἰσχρὸν καὶ πολλῆς ἄξιον κολάσεως ἐλάττους ἐκείνου φανῆναι πολλῷ, καὶ μὴ μόνον τῶν συγκεχωρημένων μὴ γίνεσθαι ὑψηλοτέρους, καθάπερ ἐκεῖνος, ἀλλὰ καὶ τῶν κεκωλυμένων καὶ τιμωρίαν ἐχόντων ἀόρητον ἅπτεσθαι; Τὸ γὰρ ἔρωτα ἐν τῇ ψυχῇ πονηρὸν τρέφειν, καὶ πρὸς ἐπιθυμίαν ὁρᾶν γυναῖκα, καὶ καταμανθάνειν κάλλος ἀλλότριον, καὶ καταισχύνειν μὲν

liberari potuit. Longe enim dulcior hac luce est liberatio ab illa tyrannide, et omni caligine gravior servitutis illius et vinculorum miseria. Verum quid opus est prolixius utriusque vitæ conditionem persequi, illius quidem illiberalitatem, tristitiam, damnum et corruptionem magnam, hujus vero libertatem, voluptatem, utilitatem et multam prudentiam demonstrando? nullus enim ea sermo potest exprimere, sed sola rerum experientia. Et tunc probe scietis a quibus malis liberati sitis, quam assequuti fueritis vitam, cum re ipsa nobis obtemperare volueritis. Obtemperabitis vero, cum opere ipso quæ dicta sunt didiceritis. Quodsi adhuc respuitis et nostris sermonibus non creditis, interrogate aliquos qui hanc servitutem tulerint aliquando, et deinde liberati ad pulcram libertatem recurrerint, et scietis admonitionis hujus lucrum. Etenim et Salomon cum sæcularium rerum concupiscentia teneretur, magnas eas et admirandas putabat, multumque in eis laboris et sollicitudinis insumebat magnificas ædificando domos, immensum coacervando aurum, congregando cantorum choros, varia genera ministrorum mensæ et popinæ, quærendo animæ suæ voluptatem ab hortorum et corporum formosorum gratia, et omnem, ut ita dicam, oblectationis et refrigerii viam sectando. At ubi inde ad se reversus et quasi ex caliginosa quadam abysso ad lumen veræ sapientiæ respicere valuit, tunc sublimem illam et cælis dignam emisit vocem, *Vanitas vanitatum*, dicens, *et omnia vanitas*.

13. Hanc vos quoque, et hac sublimiorem, si volueritis, efferetis sententiam de intempestiva hac voluptate, si aliquantisper a mala consuetudine vos sejunxeritis. Quamvis autem a Salomone sæculis superioribus non tam multa sapientiæ exigebatur diligentia (neque enim delicias lex vetus prohibebat, neque aliis frui voluptatibus dicebat esse vanum), attamen vel sic se habentibus rebus, in ipsis contueri potuit quam viles et vanitati obnoxiæ essent. Nos vero ad majorem vocamur vitam, et ad excellentius fastigium ascendimus, et in majoribus exercemur palæstris. Et quid aliud quam sicut supernæ Virtutes, intellectuales et incorporeæ illæ, viam instituere jubemur? An non igitur est turpe, extremoque supplicio dignum, illo multo minores apparere; et non solum concessis non fieri sublimiores, ut ille, sed et vetita aggredi et quæ intolerabilem pœnam afferant? Nam in anima malum amorem pascere, ex concupiscentia spectare mulierem, speculari alienam formositatem,

ἑαυτὸν, βλάπτειν δὲ τοὺς ἀσθενεστέρους, καὶ πολλὰς μὲν Ἕλλησι παρέχειν λαβὰς, πολλὰς δὲ Ἰουδαίοις, καὶ τούς τε οἰκείους τούς τε ἀλλοτρίους ὑποσκελίζειν, καὶ πολλὴν τῆς τοῦ Θεοῦ δόξης κατασκεδάζειν βλασφημίαν, καὶ δουλοπρεπεῖς ἀναδέχεσθαι διακονίας, καὶ πρὸς τὸν τῶν βιωτικῶν πραγμάτων θόρυβον ἑαυτοὺς εἰσωθεῖν, καὶ τὴν δωρηθεῖσαν ἡμῖν ἐλευθερίαν προπίνειν τῷ διαβόλῳ, καὶ ταύτης χαλεπωτάτην ἀντικαταλλάττεσθαι τυραννίδα, καὶ καταγέλαστον μὲν φίλοις, ἀποπίδιστον δὲ ἐχθροῖς εἶναι, καὶ πονηρὰν μὲν τῷ κοινῷ τῆς Ἐκκλησίας προστρίβεσθαι δόξαν, καταισχύνειν δὲ τὸ σεμνὸν τῆς παρθενίας ἀξίωμα, καὶ τοῖς ἀσελγαίνειν βουλομένοις πολλὰς παρέχειν προφάσεις, καὶ ἕτερα πλείονα τούτων κατασκευάζειν δεινά (ἅπαντα γὰρ οὔτε συνιδεῖν οὔτε λόγῳ παραστῆσαι δυνατὸν, ὅσα διὰ τῶν πραγμάτων αὐτῶν ὑπομένουσι), καὶ τῶν σφόδρα κεκωλυμένων ἐστὶ, καὶ τῶν κόλασιν ἐχόντων ἀφόρητον. Ὥστε εἰ καὶ μικρά τίς ἐστιν ἡδονὴ, ταῦτα πάντα ἀντιθέντες ἐκείνῃ, τὸν γέλωτα, τὴν αἰσχύνην, τὴν τῶν πολλῶν ὑποψίαν, τὰς κακηγορίας, τὰ σκώμματα, τὰ ὀνείδη, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸ σκότος τὸ ἐξώτερον, τὸ πῦρ τὸ ἄσβεστον, τὴν θλῖψιν, τὴν στενοχωρίαν, τὸν βρυγμὸν τῶν ὀδόντων, τὰ δεσμὰ τὰ ἄλυτα, καὶ καθάπερ ἐν πλάστιγγι καταθέντες καὶ ἀντιστήσαντες, ἀποπηδήσωμεν ὀψὲ γοῦν ποτε τῆς χαλεπωτάτης καὶ ὀλεθρίας νόσου, ἵνα μετὰ λαμπρῶν ἀπέλθωμεν ἐκεῖ στεφάνων, καὶ δυνηθῶμεν ἐλευθέροις στόμασι πρὸς τὸν Χριστὸν εἰπεῖν ὅτι Διὰ σὲ καὶ τὴν δόξαν τὴν σὴν καὶ συνηθείας κατεφρονήσαμεν, καὶ ἡδονῆς ἐκρατήσαμεν, καὶ τὴν ψυχὴν ἐθλίψαμεν τὴν ἡμετέραν, καὶ πᾶσαν φιλίαν ἐκβαλόντες καὶ προλῆψιν, σὲ καὶ τὸν εἰς σὲ πόθον ἁπάντων προτετιμήκαμεν πραγμάτων. Οὕτω γὰρ κερδανοῦμεν ἡμᾶς αὐτοὺς, κερδανοῦμεν δὲ τὰς ἀθλίας ἐκείνας, κερδανοῦμεν δὲ τοὺς σκανδαλιζομένους, καὶ παρ' αὐτοὺς στησόμεθα τοὺς μάρτυρας, καὶ τὴν πρώτην ληψόμεθα τάξιν. Τῶν γὰρ τὴν μεγίστην ἀθλησάντων ἆθλησιν ἐκείνην, καὶ τὰς καρτερικὰς ἐνεγκόντων ὀδύνας, οὐκ ἐλάττονα τίθεμαι ἄνθρωπον τὸν ἐπιθυμίᾳ κατεχόμενον παλαιᾷ, καὶ ἐν ἤθίστῃ τινὶ καὶ ἀρχαίᾳ προκατειλημμένον συνηθείᾳ, εἶτα διὰ τὸν τοῦ Θεοῦ φόβον διακόπτοντα τὰ δεσμὰ, καὶ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἀνατρέχοντα. Καὶ γὰρ τῶν σφόδρα ἐστὶ χαλεπωτάτων, συμπάθειάν τε καὶ φιλοστοργίαν ἐκβαλεῖν ἀρχαίαν, καὶ τὰς πολυπλόκους διακόψαι λαβὰς, καὶ πτεροφυῆσαι, καὶ πρὸς τὰς οὐρανίους ἁψῖδας ἀναδραμεῖν. Καὶ καθάπερ ἐκείνοις ὁρισμὸς ὁ πόνος, οὕτω καὶ τούτοις μακροτέρα ἡ ὀδύνη. Διὸ καὶ εἰ στέφανοι πάλιν ἴσοι, ἐπειδὴ καὶ τὰ παλαίσματα αὐτοῖς παράλληλα κεῖται. Εἰ γὰρ καὶ ὁ ἕνα ἐξαγαγὼν τίμιον ἐξ ἀναξίου ὡς στόμα Θεοῦ ἔσται, ὁ καὶ ἑαυτὸν ἐλευθερώσας καὶ μυρίους ἄλλους ἀπαλλάξας κατηγορίας, ἐννόησον ὅσον λήψεται τὸν μισθὸν, καὶ τῇ τῶν ἐπάθλων ἐλπίδι κουφιζόμενος καταφρόνησον συνηθείας πονηρᾶς, ἵνα κατὰ τὸ τῷ Θεῷ δοκοῦν δια-

dehonestare se ipsum, nocere infirmioribus, multas gentilibus et Judæis ansas præbere, domesticos et alienos supplantare, multamque contra Dei gloriam procurare blasphemiam, servili ministerio mancipatos esse, ad sæcularium negotiorum turbam nos ipsos intrudere, donatam nobis libertatem diabolo propinare, et cum immanissima tyrannide commutare; ridiculum quidem amicis, probrosum vero inimicis esse, malam omni Ecclesiæ opinionem invehere, confundere honestam virginitatis dignitatem, et luxuriantibus multas præbere occasiones, aliaque his plura facere gravia (neque enim omnia scire licet, aut verbis exprimere, quæcumque per hujusmodi opera sustinent) : hæc et valde prohibita sunt, et cruciatum intolerabilem secum afferunt. Itaque licet parva etiam voluptas sit, opponantur ei risus, confusio, multorum suspiciones, reprehensiones, convicia, exprobrationes, vermis qui non moritur, tenebræ exteriores, ignis inexstinguibilis, tribulatio, angustia, stridor dentium, vincula insolubilia; hæc sicut in statera appendamus alteri lanci imposita, resiliamusque vel sero a pernicioso gravissimoque hoc morbo, ut cum fulgentibus coronis illuc migremus, et possimus libero ore ad Christum dicere: Propter te et propter gloriam tuam et familiaritates contemsimus, et voluptati imperavimus, et animam nostram affliximus, rejectaque omni amicitia et præjudicata opinione, te amoremque tui rebus omnibus præposuimus. Sic enim lucrabimur nos ipsos, lucrabimur miseras illas, lucrabimur eos qui scandalizantur; et cum martyribus collocabimur, primoque in ordine erimus. Nam iis qui hoc maximo certamine vicerunt, et fortiter cruciatus tulerunt, non minorem pono hominem concupiscentia veteri detentum et in suavissima et antiqua consuetudine præoccupatum, et deinde per timorem Dei disrumpentem vincula, et ad id quod Deo probatur recurrentem. Est enim hoc ex difficillimis, affectum et dilectionem inveteratam ejicere, et multiplices occasiones avellere, et assumtis alis ad cælestes apsides recurrere. Et sicut martyrum velox labor, ita horum prolixior dolor. Quapropter et pares coronæ, quoniam et certamina inter se sunt similia. Nam (*Jer.* 15,19) si qui educit et separat vel unum pretiosum a vili, sicut os Dei erit, qui et se ipsum liberarit, et multos alios criminatione exemerit, cogita quantam accipiet mercedem, et præmiorum spe levis et alacris, contemne malam consuetudinem, ut juxta Dei vo-

δραμὼν τὸν παρόντα βίον, μετὰ καθαροῦ συνειδότος αὐτὴν ἴδῃς ἐκεῖ, καὶ τῆς ἁγιωτάτης αὐτῆς ἀπολαύσῃς ὁμιλίας. Τῶν γὰρ σωματικῶν λοιπὸν λυθέντων παθῶν, καὶ τῆς τυραννικῆς σβεσθείσης ἐπιθυμίας, οὐδὲν τὸ κωλύον ἄνδρας τε ὁμοῦ καὶ γυναῖκας εἶναι ἐκεῖ, πάσης μὲν ἐκποδὼν πονηρᾶς οὔσης ὑποψίας, τὴν δὲ τῶν ἀγγέλων πολιτείαν καὶ τῶν νοερῶν δυνάμεων ἐκείνων δυναμένων διασώζειν τῶν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσαγομένων ἁπάντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

luntatem decursa vita hac, cum pura conscientia in cælis videas, sanctissimaque illius conversatione fruaris. Nam ubi corporales affectiones solutæ fuerint, et exstincta fuerit tyrannica concupiscentia, nullum erit obstaculum simul ibi esse mulierem et virum, e medio sublatis omnibus suspicionibus malis, et agere et servare cum liceat omnibus, qui in regnum cælum introducuntur, vitam quam agunt angeli et intellectuales illæ Virtutes, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri una cum Spiritu sancto gloria, honor et imperium in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΚΑΝΟΝΙΚΑΣ ΜΗ ΣΥΝΟΙΚΕΙΝ ΑΝΔΡΑΣΙΝ.

QUOD REGULARES FEMINÆ VIRIS COHABITARE NON DEBEANT.

Οἴμοι ψυχή· μετὰ γὰρ τοῦ προφήτου καὶ ἐμοὶ νῦν εὔκαιρον τοῦτο εἰπεῖν, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, Οἴμοι ψυχή· πρᾶγμα ἥλικον καὶ ὅσης γέμον φιλοσοφίας, ἡ παρθενία, καθύβρισται, καὶ τὸ διεῖργον αὐτὴν ἀπὸ τοῦ γάμου καταπέτασμα ἀνῄρηται, ὑπὸ ἀναισχύντων κατασπασθὲν χειρῶν, καὶ τὰ ἅγια τῶν ἁγίων πεπάτηται, καὶ τὰ σεμνὰ καὶ φρίκης γέμοντα γέγονε βέβηλα καὶ πᾶσι βατά, καὶ ἡ τοῦ γάμου σεμνοτέρα τοσοῦτον καθειλκύσθη καὶ κατηνέχθη κάτω, ὡς τὰς γεγαμημένας μακαρίζεσθαι μᾶλλον. Ἀεὶ μὲν γὰρ ἡ παρθενία μετὰ τοῦ γάμου ταττομένη τὰ πρωτεῖα εἶχε καὶ τὴν προεδρίαν ἅπασαν· νυνὶ δὲ οὐδὲ ἐν τῇ δευτέρᾳ τάξει μένειν δεδύνηται, ἀλλὰ πόῤῥω που καὶ πρὸς τὴν ἐσχάτην ἀπελήλαται τάξιν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ πολέμιοί τινες οὐδὲ ἐχθροὶ, ἀλλ' αἱ μάλιστα δοκοῦσαι θεραπεύειν αὐτὴν οὕτως αὐτὴν διέθηκαν, καὶ αἱ παρέχουσαι μάλιστα πάντων ἡμῖν πρὸς τοὺς ἀπίστους ἐλευθεροστομεῖν, αὗται μάλιστα πάντων ἀπέῤῥαψαν ἡμῶν τὰ στόματα, καὶ πολλὴν κατεσκέδασαν αἰσχύνην. Χρημάτων μὲν γὰρ ἕνεκεν ὀλίγους μὲν, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνες παρ' αὐτοῖς φιλοσοφήσαντας, καὶ ὀργῆς δέ τινες ἐν ἐκείνοις περιεγένοντο· παρθενίας δὲ ἄνθος οὐδαμοῦ παρ' αὐτοῖς, ἀλλ' ἀεὶ παρεχώρουν ἐνταῦθα τῶν πρωτείων ἡμῖν, ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα, καὶ οὐκ ἀνθρώπινον. Διὰ τοῦτο σφόδρα ἡμῶν τὸ πᾶν ἔθνος ἐθαύμαζον· ἀλλὰ νῦν οὐκέτι, ἀλλὰ καταγελῶσι καὶ κωμῳδοῦσι. Διὰ τοῦτο καὶ ὁ διάβολος τοσοῦτον κατὰ ταύτης ἐνέπνευσε τῆς ἀγέλης, ἐπειδὴ μάλιστα ἀπὸ ταύτης ἑώρα τῆς φάλαγγος λαμπρὸν τοῦ Χριστοῦ τὸ στρατόπεδον, καὶ οὕτως αὐτὴν ἐπεχείρησε καταισχῦναι, ὡς βέλτιον εἶναι λοιπὸν μηδὲ παρθένους εἶναι τὰς οὕτω τὸ πρᾶγμα μετιέναι ἐπιχειρούσας. Τὸ δὲ αἴτιον τῶν κακῶν ἁπάντων, ὅτι μέχρι προσηγορίας τὸ πρᾶγμα ἕστηκε, καὶ ἐν τῷ σώματι τὸ πᾶν περιγέγρα-

Heu me, o anima! sic enim ego quoque nunc cum propheta tempestive dico, et semel et iterum ac sæpius, Heu me, o anima! quanta res et quantæ plena philosophiæ, virginitas, injuria est affecta; velum quod eam a nuptiis separabat, sublatum est, et ab impudentissimis manibus dilaceratum: sancta sanctorum conculcata sunt, honesta et reverentiæ plena profanata et omnibus pervia. Quæ honestior nuptis erat, adeo depressa est et humiliata, ut nuptas magis dicere beatas liceat. Semper quidem virginitas cum conjugio comparata primas partes tenuit et omnem dignitatem: nunc autem neque in secundo ordine manere potuit, sed valde procul et plane in ultimum concessit ordinem; et quod multo gravius, non hostes, neque inimici, sed ipsæ potissimum quæ illam colere videbantur, eam sic affecerunt, et eæ quibus fulti adversus infideles hactenus libere loquebamur, illæ ipsæ ora nostra maxime obturant, et multa ignominia suffundunt. Inter Græcos sane quidam licet pauci ita philosophati fuerunt, ut opum essent contemtores, et iram vincerent; virginitatis vero flos nullo modo apud illos fuit, in qua semper concesserunt nobis primam dignitatem, fatentes rem supra naturam esse et non humanam. Ideo illis omnibus summæ admirationi fuimus; sed nunc non item, quin potius derident nos et in fabulam vertunt. Ideo diabolus ita contra hunc gregem spiravit, quoniam vidit in hac potissimum phalange fulgidum Christi exercitum: sicque tentavit ipsam confundere, ut posthac melius sit, ne virgines quidem esse, quæ ita rem hanc suscipiant. Causa malorum omnium, quod nomine solum tenus res consistat, et negotium totum in corpore non tradendo circumscriptum sit, quæ scilicet omnium ultima

πται, ὅπερ ἔσχατον μέρος παρθενίας ἐστί· τὰ δὲ ἀναγκαιότερα καὶ μάλιστα αὐτὴν δεικνύντα ἠμέληται, καὶ οὔτε στολῆς κοσμίας λόγος αὐταῖς, οὐχ ἡσυχίας παρθένους πρεπούσης, οὐ κατανύξεως, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· ἀλλὰ καὶ ῥᾴγγονται εὐκόλως ἅπαντα, καὶ γελῶσιν ἀκαίρως, καὶ καταχλῶνται καὶ θρύπτονται μᾶλλον τῶν ἐπὶ τοῦ τέγους μαλακιζομένων γυναικῶν, πάντοθεν μηχανήματα τοῖς ὁρῶσιν ἐνιεῖσαι, καὶ εἰς τὴν τῶν πορνευομένων γυναικῶν ἀσχημοσύνην εἰσωθεῖν ἑαυτὰς βιάζονται, καθάπερ ἁμιλλώμεναι πρὸς ἐκείνας καὶ φιλονεικοῦσαι τὰ πρωτεῖα εἰς αἰσχύνης δόξαν λαβεῖν. Πόθεν γὰρ, εἰπέ μοι, λοιπὸν δυνησόμεθα τὴν τοιαύτην παρθένον τῆς τάξεως ἐξελέσθαι τῆς ἐκείνων καὶ τῆς κοινωνίας, ὅταν καὶ αὐτὴ τὸ αὐτὸ ποιῇ ἐκείναις [ὡς] νέων ἐξάπτεσθαι καρδίας, ὅταν ἀνεπτερωμένη ᾖ καὶ ἄσωτος, ὅταν τὰ αὐτὰ φάρμακα τρίβῃ, καὶ τὰ αὐτὰ κεραννύῃ ποτήρια, καὶ τὸ αὐτὸ κατασκευάζῃ κώνειον; Ἀλλ' οὐ λέγει, « Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι », οὐδὲ « Ἔρραγκα τὴν κοίτην μου κρόκῳ, καὶ τὴν κλίνην μου κινναμώμῳ. » Εἶθε τὴν κοίτην καὶ τὴν κλίνην, καὶ μὴ τὰ ἱμάτια καὶ τὸ σῶμα. Ἐκεῖναι μὲν γὰρ οἴκοι τὸ ὄφλεαρ καταχρύπτουσι, σὺ δὲ παντα χοῦ περιφέρεις τὴν παγίδα, καὶ ἀναπετάσασα τῆς ἡδονῆς τὰ πτερὰ περιάγεις ἐπὶ τῆς ἀγορᾶς. Ἀλλ' οὐ διελέχθης, οὐδὲ εἶπες ἐκεῖνα τὰ πορνικὰ ῥήματα, « Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι. » Οὐκ εἶπες τῇ γλώττῃ, ἀλλ' εἶπες τῷ σχήματι· οὐκ ἐφθέγξω τῷ στόματι, ἀλλ' ἐφθέγξω τῷ βαδίσματι· οὐκ ἐκάλεσας τῇ φωνῇ, ἀλλ' ἐκάλεσας φωνῆς λαμπρότερον διὰ τῶν ὀφθαλμῶν. Ἀλλὰ καλέσασα οὐκ ἔδωκας σεαυτήν. Οὐδὲ οὕτως ἀπήλλαξαι τῆς ἁμαρτίας. Καὶ γὰρ καὶ τοῦτο ἕτερον εἶδος πορνείας· καθαρὰ τῆς ὕβρεως ἐμείνας, ἀλλὰ τῆς σωματικῆς, οὐ τῆς ψυχικῆς· καὶ ἀπήρτισταί σοι τὰ τῆς ἁμαρτίας, εἰ καὶ μὴ διὰ τῆς μίξεως, ἀλλὰ διὰ τῆς ὄψεως. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καλεῖς τοὺς παριόντας; τί δὲ ἐξάπτεις τὸ πῦρ; πῶς δὲ νομίζεις εἶναι καθαρὰ τῆς ἁμαρτίας, πᾶσαν αὐτὴν ἐργασαμένη; Καὶ γὰρ τέλειον εἰργάσω μοιχὸν τὸν ἁλόντα σου τῷ σχήματι τούτῳ· πῶς οὖν δύνασαι μὴ εἶναι μοιχαλίς, ὅταν τὸ ἔργον σου μοιχείας ἁλίσκηται; ἡ γὰρ ἐκείνου μανία σὸν ἔργον ἐστί. Ὅτι γὰρ ἡ κατασκευάζουσα μοιχοὺς μοιχείας διαφυγεῖν τιμωρίαν οὐκ ἂν δυνηθείη ποτὲ, παντί που δῆλόν ἐστι. Σὺ τὸ ξίφος ἠκόνησας, σὺ τὴν δεξιὰν ὥπλισας, σὺ τὴν ὡπλισμένην δεξιὰν κατὰ τῆς ἀθλίας ὦσας ψυχῆς· πῶς οὖν δύνασαι τῆς ἐπὶ τῷ φόνῳ τούτῳ τιμωρίας ἀπαλλάττεσθαι; Εἰπὲ γάρ μοι, τίνας μισοῦμεν καὶ ἀποστρεφόμεθα ἡμεῖς, τίνας δὲ οἱ νομοθέται καὶ οἱ δικασταί; τοὺς πίνοντας τὰ θηλητήρια φάρμακα, ἢ τοὺς κεραννύντας τὴν κύλικα, καὶ κατασκευάζοντας αὐτὰ, καὶ διὰ τῆς τέχνης ἀπολλύντας τῆς αὐτῶν; οὐχὶ τοὺς πίνοντας μὲν καὶ ἐλεοῦμεν ἅτε ἠδικημένους, ἐκείνους δὲ πάσαις καταδικάζομεν ψήφοις; Καὶ οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν αὐτοῖς τὸ λέγειν, ὅτι οὐκ ἐμαυτὸν ἔβλαψα, ἀλλ' ἕτερον ἀπώ-

virginitatis pars est; quæ autem plus necessaria, et ipsam magis demonstrant, neglecta sint, et nulla ratio habeatur vestium, quæ virginitatem decent, vel silentii, vel compunctionis, vel alicujus id genus. Quin temere nugantur omnia, et rident intempestive, et in mollitie atque deliciis magis vivunt, quam mulieres quæ in fornice prostant, dum spectantes tectnis suis undique pellicinnt, et in meretricum turpitudinem se conjicere conantur, ac si cum illis concertent, deque turpitudinis gloria contendant. Unde enim, dic mihi, poterimus postea talem virginem ordine illarum et societate eximere, quando et ipsa idem facit quod illæ, ut adolescentum corda incendantur, quando petulans est et intemperans, quando eadem venena porrigit, eadem pocula miscet, eandem parat cicutam? Sed non dicit (*Prov.* 7. 17), *Veni, amore involvamur*: nec dicit (18), *Aspersi cubile meum croco et lectum meum cinnamomo*. Utinam cubile et lectum, non vestes et corpus! Illæ enim domi escam occultant, tu ubique laqueum circumfers, et expandis voluptatis alas obambulans in foro. Sed non colloquuta es, nec dixisti verba illa meretricia, *Veni, amore involvamur*. Non dixisti lingua, sed dixisti habitu: non loquuta es ore, sed loquuta es gressu: non invitasti voce, sed invitasti oculis clarius quam voce. At postquam vocaveras, non te obtulisti. Neque sic a peccato liberaris: est enim et hæc alia fornicationis species. Pura mansisti ab injuria corporis quidem, sed non animæ, et completum est a te peccatum, etiamsi non per coitum, sed per aspectum. Cujus enim gratia vocas prætereuntes? cur accendis ignem? quomodo putas te puram a peccato, cum totum ipsum opus operata sis? Etenim cum adulterum feceris perfectum cum, quem tuo isto habitu cepisti, quomodo potes non esse adultera, cum opus tuum adulterium esse deprehendatur? Illius insania tuum opus est. Profecto te quæ adulteros præparasti, adulterii supplicium minime posse effugere, nulli non manifestum. Tu gladium acuisti, tu dextram armasti, tu armatam dextram in miseram animam impulisti: quomodo igitur poteris ab homicidii supplicio liberari? Dic enim, quosnam habemus odio et aversamur, tam nos quam legislatores et judices? num eos qui bibunt mortifera venena, an miscentes calicem, et præparantes ea, arteque sua perdentes alios? nonne bibentes quidem utpote injuria affectos miseramur, veneficos autem omnibus calculis condemnamus? Nec sufficit eis ad excusationem dicere, Non me ipsum læsi, sed alium perdidi; sed propter hoc tanto graviorem

λεσα· ἀλλὰ καὶ δι' αὐτὸ μὲν τοῦτο χαλεπωτέραν δίδουσι δίκην. Σὺ δὲ ἀθλία καὶ ταλαίπωρε, χεράσασα τὴν κύλικα τὴν ὀλεθρίαν ταύτην, καὶ ὀρέξασα καὶ δοῦσα τὸ φάρμακον, μετὰ τὸ πιεῖν ἐκεῖνον καὶ ἀπολέσθαι ἀπολογίαν σαυτῇ νομίζεις ὑπολελεῖφθαι, τὸ μὴ αὐτὴ πιεῖν, ἀλλ' ἑτέρῳ παρασχεῖν τὸ δηλητήριον; Καίτοι γε ὑμεῖς τῶν φαρμακοπωλῶν ἐκείνων τοσούτῳ χαλεπωτέραν δώσετε δίκην, ὅσῳ καὶ ὁ θάνατος χαλεπώτερος. Οὐ γὰρ σῶμα μόνον, ἀλλὰ καὶ ψυχὴν ἀναιρεῖτε· κἀκεῖνοι μὲν πολλάκις ἢ θυμῷ καὶ ὀργῇ τοῦτο πράττουσιν, ἢ χρημάτων δεόμενοι· ὑμεῖς δὲ οὐδὲ εἰς ταύτην ἔχετε καταφυγεῖν τὴν πρόφασιν. Οὔτε γὰρ ἐχθροὺς ὄντας, οὔτε ἠδικηκότας, οὔτε χρημάτων δεόμενοι τοῦτο ποιεῖτε, ἀλλ' ὑπὲρ κενοδοξίας μόνης εἰς τὰς ἀλλοτρίας παίζετε ψυχὰς, τέρψιν οἰκείαν τὸν ἑτέρων ποιούμενοι θάνατον.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἐξηνέχθην ταῦτα εἰπεῖν ἑτέρωσε ὁρμῶν· διόπερ ἐπανιτέον ὅθεν ἐξέβην. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων καταισχῦναι τὸ πᾶν ἔθνος, καὶ ἄλλο τι πλέον ἐπενόησαν. Ἀλλὰ μηδεὶς περὶ πασῶν ταῦτα εἰρῆσθαι νομιζέτω· οὐ γὰρ οὕτως ἄθλιός εἰμι, ὡς ὁμοῦ πάντα φύρειν καὶ συγχεῖν. Περὶ γὰρ τῶν ὑπευθύνων καὶ ταῦτα εἴρηται, καὶ τὰ μετὰ ταῦτα εἰρήσεται. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τούτων εἰς βλάβην, ἄνδρας τινὰς οὐδαμόθεν αὐταῖς προσήκοντας λαβοῦσαι συγκαταλείουσι, καὶ τὸν πάντα συνοικίζουσι χρόνον, καθάπερ ἐνδεικνύμεναι καὶ διὰ τούτων καὶ διὰ τῶν εἰρημένων, ὅτι ἄκουσαι ἐπὶ τὴν παρθενίαν εἱλκύσθησαν καὶ βίαν ὑπομείνασαι τὴν ἐσχάτην· καὶ ταύτῃ παραμυθοῦνται τὴν βίαν καὶ τὴν ἀνάγκην. Τί γάρ; οὐχὶ τούτων χείρω παρὰ πάντων, ὅταν ταῦτα γίνηται, λέγεται καὶ φίλων καὶ οἰκείων; Ταύτας δὲ ζῆν; ἀναπνεῖν δὲ ὅλως; ἀλλὰ μὴ διαπρίεσθαι μέσας, ἢ κατορύττεσθαι ζώσας μετ' ἐκείνων αὐτῶν; Καὶ γὰρ καὶ ταῦτα καὶ τούτων πολλῷ πλείονα ἅπαντες λέγουσι· καὶ δρόμος λοιπὸς ταῖς μαίαις καθ' ἑκάστην ἡμέραν ἐπὶ τὰς τῶν παρθένων οἰκίας, καθάπερ πρὸς τὰς ὠδινούσας, οὐχ ὥστε λοχεῦσαι τίκτουσαν (γέγονε μὲν γὰρ ἐπί τινων καὶ τοῦτο), ἀλλ' ὥστε διαγνῶναι καθάπερ ἐπὶ τῶν ὠνουμένων θεραπαινίδων, τίς μὲν ἡ διεφθαρμένη, τίς δὲ ἡ ἀνέπαφος· καὶ ἡ μὲν ὑπήκουσε ῥᾳδίως τῇ δοκιμασίᾳ, ἡ δὲ ἀντεῖπε, καὶ αὐτῷ τούτῳ καταισχυνθεῖσα ἀπῆλθεν, εἰ καὶ μὴ διέφθαρτο· καὶ ἡ μὲν ἑάλω, ἡ δὲ οὐχ ἑάλω, καὶ αὐτὴ δὲ πάλιν οὐχ ἧττον ἐκείνης αἰσχύνεται, μὴ δυνηθεῖσα ἀξιόπιστος ἀπὸ τοῦ τρόπου φανῆναι, ἀλλὰ μαρτυρίας τῆς ἀπὸ τῆς ἐξετάσεως δεηθεῖσα. Πόσων οὐκ ἄξια ταῦτα δακρύων; πόσων οὐκ ἄξια θανάτων; Τίς δὲ οὕτω λίθινος καὶ ἀσυμπαθὴς, ὡς μὴ πυρωθῆναι καὶ τὰ τοῦ Φινεὲς παθεῖν; Ἀλλ' ἐκεῖνος μὲν, εἰ κατὰ τὸν καιρὸν ἐκεῖνον ταύτην εἶδε γινομένην τὴν ἀσχημοσύνην, οὐκ ἂν αὐτῶν ἐφείσατο, ἀλλ' ἐποίησεν ἂν ταὐτὸ, ὅπερ καὶ ἐπὶ τῆς Μαδιανίτιδος τότε εἰργάσατο· ἡμεῖς δέ (οὐ γὰρ ἐφεῖται ἁρπάσαι μάχαιραν, οὐδὲ κεντῆσαι τῷ σειρομάστῃ τοὺς τὰ τοιαῦτα πλημμελοῦντας) πάσχομεν

hit pœnam. Tu autem misera et calamitosa miscuisti calicem hunc perniciosum, et præbuisti et dedisti pharmacum: et postquam bibit et perditus est, defensam te putas, quia non ipsa biberis, sed alteri præbueris venena? Quamquam et vos tanto graviorem luetis pœnam, quam pharmacopolæ illi, quanto et mors gravior. Non enim corpus solum, sed et animam interimitis. Et illi quidem sæpe vel furore et ira hoc faciunt, vel inopia; vos autem ad nullum talem confugere prætextum potestis. Neque enim hoc facitis inimicis, vel eis qui nocuerunt, vel ob inopiam, sed ob solam vanam gloriam in alienis luditis animabus, et ex aliorum morte voluptatem propriam constituitis.

2. Sed nescio unde, ut hæc dicerem, huc sum appulsus; propter quod redeundum ad id unde digressus sum. Nam quasi non sufficerent hæc in totius feminei generis confusionem, et aliud quiddam majus excogitaverunt. Sed nemo hæc de omnibus dicta putet: non enim tam miser sum, ut simul omnia commisceam et confundam. Nam de his quæ culpis obnoxiæ et hæc dicta sunt, et quæ postea dicentur. Quasi igitur non satis damnosa essent hæc, viros sibi minime cognatos secum includunt, et omni tempore contubernales faciunt, quasi demonstraturæ et per hæc, et per ea quæ dicta sunt, quod invitæ ad virginitatem raptæ sint, et extremam vim sustinuerint, et hac ratione consolentur vim et necessitatem. Quid igitur? annon his deteriora, cum hæc contingunt, dicuntur ab amicis et familiaribus? Permittendæne sunt illæ vivere et respirare, et non potius dissecandæ mediæ, vel vivæ cum illis ipsis tumulandæ? Etenim et hæc et his multo plura omnes dicunt. Cæterum et frequens et quotidianus est cursus obstetricum ad virginum domus, quasi ad parientes, non quod obstetricentur parienti (quamvis contigit in aliquibus etiam hoc), sed quod probentur et judicentur sicut emtæ ancillæ, quænam corruptæ, vel quæ intactæ; et illa quidem facile obediit probationi, hæc vero contradixit, et hoc ipso confusa abiit, etiamsi non corrupta sit; et hæc quidem deprehensa est, illa vero non; sed hæc non minus quam illa confunditur, cum non possit digna fide ex moribus comprobari, sed opus habeat externo examinis testimonio. Quantis lacrimis hæc non sunt digna, quantis non digna mortibus? Quis autem sic lapideus et durus, ut non accendatur zelo sicut Phinees? Et ille quidem si suo tempore hanc turpitudinem vidisset, non ipsis pepercisset, sed fecisset idem quod in Madianitide olim fecit: nos autem, cum nobis non sit permissum arripere gladium, neque lancea confodere eos qui ista perpetrant,

μὲν τὰ αὐτὰ, ἅπερ ἐκεῖνος ἔπαθεν ὁ ἅγιος, οὐ δρῶμεν δὲ τὰ αὐτὰ, ἀλλ' ἑτέρως παραμυθούμεθα τὴν ὀδύνην, δι' ὀδυρμῶν καὶ θρήνων.

Δεῦρο οὖν συναλγήσατέ μοι καὶ συστενάξατε, ὅσαι ταύτης ἐκτός ἐστε τῆς αἰσχύνης· αἱ γὰρ ἄθλιαι καὶ ταλαίπωροι ἐκεῖναι καὶ ἀναλγησίαν ἴσως μετὰ τῶν ἄλλων νοσοῦσι κακῶν. Ἀλλ' ὑμεῖς αἱ τοῦτον ἀναδεξάμεναι τὸν βίον, καὶ τοῦ νυμφῶνος καταξιούμεναι καὶ τοῦ νυμφίου, καὶ φαιδρὰς ἔχουσαι τὰς λαμπάδας, καὶ τῷ τιμίῳ τῆς παρθενίας παντὸς διαδήματος βασιλικοῦ μᾶλλον κοσμούμεναι στεφάνῳ, δακρύσατε σὺν ἡμῖν, καὶ πικρὸν ἀνοιμώξατε· οὐ μικρὸν τοῦτό ἐστι φάρμακον καὶ εἰς διόρθωσιν τῶν τὰ ἀνίατα νοσούντων, καὶ εἰς παραμυθίαν τῶν τὰ ἐκείνων ὀδυρομένων· τοῦτο καὶ ὁ νυμφίος ὁ ὑμέτερος πεποίηκε ποτέ. Τὴν γὰρ Ἱερουσαλὴμ πρὸς ἔσχατον ἀπωλείας κατενεχθεῖσαν ἰδὼν, καὶ οὐκέτι δυναμένην ἀνενεγκεῖν ἀπὸ τῆς ἀῤῥωστίας, ἐδάκρυσε, καὶ ἐπὶ τῆς Βηθσαϊδᾶ συμβουλαῖς μὲν οὐκ ἐχρήσατο λοιπὸν οὐδὲ σημείοις, ταλανισμῷ δὲ μόνον, τὸ Οὐαὶ συνεχῶς ἐπιλέγων ταῖς πόλεσι, καθάπερ ἐπὶ τῶν ψυχορραγούντων ποιοῦμεν ἡμεῖς. Καὶ ὁ μακάριος δὲ Παῦλος τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος οὐκ ἐπαύσατο πάντα τὸν βίον τοὺς πεσόντας καὶ ἐν αὐτῷ τῷ πτώματι μένοντας καὶ οὐκ ἐθέλοντας ἀναστῆναι λοιπὸν ὀλοφυρόμενος οὕτω πικρῶς, ὡς καὶ μετὰ διορισμοῦ τινος ἰσχυροτέρου τοῖς Ῥωμαίοις αὐτὸ δὴ τοῦτο ἐπιστέλλειν καὶ λέγειν ὅτι « Λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· [ηὐχόμην γὰρ ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ] ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα. » Εἶδες ὅσην ἔχει τὰ ῥήματα ἔμφασιν, ὅσον πόνον καρδίας παρίστησι; Καὶ τῶν πιστῶν δὲ τοὺς χωλεύοντας καὶ κλυδωνιζομένους οὕτω πενθεῖ, ὡς αὐτὸς ἐν ἐκείνοις τυγχάνων τοῖς κακοῖς. « Τίς γὰρ, φησὶν, ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; » Καὶ οὐκ εἶπε Λυποῦμαι, ἀλλὰ « πυροῦμαι », τὸ ἀῤῥητον καὶ ἀνήκεστον τῆς ὀδύνης διὰ τῆς πυρώσεως παραστῆσαι βουλόμενος.

Μιμησώμεθα τοίνυν καὶ ἡμεῖς καὶ τὸν Δεσπότην τὸν ἡμέτερον καὶ τὸν ὁμόδουλον. Καὶ γὰρ οὐδὲ μικρὸς ἡμῖν κείσεται μισθὸς τῶν ὀδυρμῶν τούτων καὶ τῶν θρήνων, ὥσπερ οὖν οὐδὲ ἡ τυχοῦσα ἕπεται μέμψις παρὰ τοῦ Θεοῦ τοῖς τὰ τῶν οἰκείων μελῶν κακὰ ἀσυμπαθῶς παρατρέχουσι. Καὶ τούτων τὸ μὲν ἀπὸ τοῦ χαρτεριωτάτου ἀνδρὸς Ἰεζεκιὴλ ἔστιν ἰδεῖν, τὸ δὲ ἀπὸ τοῦ μακαρίου Μιχαίου. Ὁ μὲν γάρ φησιν ὅτι, τῶν Ἰουδαίων εἰς ἔσχατον κακίας ἐληλακότων, καὶ πρὸς τὴν τῶν εἰδώλων θεραπείαν αὐτομολησάντων, προσέταξεν ὁ Θεὸς δοῦναι σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ κατοδυνωμένων ἐπὶ τοῖς γινομένοις. Οὐδὲ γὰρ ἁπλῶς στένειν χρὴ, ἀλλὰ καὶ κατοδυνᾶσθαι· καίτοι γε οὐδὲν οὔτε εἶπον οὔτε ἔπραξαν ἐκεῖνοι πρὸς τὴν τῶν γινομένων διόρθωσιν, ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτῶν εἰσήνεγκαν μόνον, τοσαύτῃ τετίμηνται τιμῇ παρὰ τοῦ φι-

affecti certe sumus sicut sanctus ille, non facimus autem eadem, sed dolori aliter succurrimus, ploratibus scilicet ac lamentis.

Venite ergo, dolorum ac gemituum sociæ estote quotquot ab hac obscœnitate estis alienæ; nam calamitosæ et miseræ illæ forte in tanta sunt miseria, ut mali dolorem ullum non sentiant. Sed vos quæ hanc suscepistis vitam, dignæ factæ thalamo et sponso, lampades claras gestatis, et honesto virginitatis serto magis ornatæ quam corona regia, lacrimas fundite nobiscum, et amare simul ejulate; nam hoc non parvum est remedium et ad curandos eos qui incurabiliter ægrotant, et ad consolationem lugentium. Hoc ipsum aliquando et sponsus vester fecit. Nam cum videret Jerusalem in extremam perditionem (*Luc.* 19. 41) inductam, ita ut non posset jam ab infirmitate reduci, lacrimas fudit; et in Bethsaida admonitione quidem non est usus neque signis, miserans autem civitates solum, Vae subinde inclamavit (*Luc.* 10. 13), sicut et nos facimus in iis qui animam jam efflant. Item beatus Paulus exemplo Magistri sui non cessavit per omnem vitam suam eos, qui exciderant, et qui in ruina sua manserant, et resurgere postea noluerant, deplorare tam amare, ut hac valida determinatione significaret et scriberet Romanis (9. 2 — 4) dicens: *Tristitia mihi est magna, et continuus dolor cordi meo. Optabam enim ego ipse anathema esse a Christo pro fratribus meis, qui sunt cognati mei secundum carnem.* Vides quantam habeant verba emphasim, quantam anxietatem cordis præ se ferant! Insuper fideles claudicantes et tempestatibus depressos sic deplorat, quasi ipse eadem mala experiretur. *Quis* enim, ait (2. *Cor.* 11. 29), *infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror?* Et non dicit Contristor, sed *uror*, intolerabilem et incredibilem dolorem per urendi vocabulum enuntiare volens.

Imitemur igitur etiam nos et Dominum nostrum et conservum. Nam nobis horum gemituum non parva erit merces; sicut neque vulgariter reprehenduntur a Deo qui absque commiseratione suorum membrorum mala prætercurrunt. Et illud quidem apud patientissimum Ezechielem, hoc vero apud beatum Michæam videre licet. Ille enim (*Ezech.* 9. 4) dicit, cum Judæi in extremum malorum venissent, et sponte idolorum cultu se coinquinassent, imperasse Deum dari signum super facies virorum gementium et dolentium super iis quæ fiebant. Neque enim simpliciter gemere oportet, sed et dolere; quamvis nihil unquam dixerint vel fecerint illi ad correctionem eorum quæ fiebant; sed quoniam sua intulerant solum, tantum adepti

λανθρώπου Θεοῦ, ὡς καὶ ἀσφαλείας καὶ δόξης ἀξιωθῆναι πολλῆς. Ὁ δὲ Μιχαίας μετὰ τῶν ἄλλων ἐγκλημάτων, τῆς γαστριμαργίας λέγω καὶ τῆς μέθης καὶ τῆς τῶν μύρων ἀλοιφῆς, καὶ τοῦτο ἐπήγαγε τὸ κατηγόρημα τὸ τῆς ἀσυμπαθείας, οὕτω λέγων· « Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ. » Καὶ τοὺς τὴν Αἰλὰμ οἰκοῦντας πόλιν ἐκ τούτου διέβαλε πάλιν εἰπών, ὅτι « Οὐκ ἐξῆλθε κόψασθαι οἶκον ἐγγύθεν αὐτῆς. » Εἰ δὲ ἔνθα ὁ Θεὸς ὀργίζεται, ὁ μὴ συμπάσχων τοῖς κολαζομένοις ἐγκαλεῖται, ὁ τοῖς εἰς κακίαν καταπίπτουσι μὴ συναλγῶν τίνος ἔσται συγγνώμης ἄξιος; Καὶ μὴ θαυμάσῃς εἰ τοῦ Θεοῦ κολάζοντος ἡμᾶς συναλγεῖν τοῖς κολαζομένοις δεῖ· οὐδὲ γὰρ αὐτὸς ὁ Θεὸς κολάζων βούλεται τοῦτο ποιεῖν· « Οὐδὲ γὰρ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, » φησίν. Εἰ τοίνυν ὁ τιμωρούμενος οὐ βούλεται τιμωρεῖσθαι, πολλῷ μᾶλλον ἡμᾶς συναλγεῖν χρὴ τοῖς κολαζομένοις· ἴσως αὐτοὺς ἐκκαλεσόμεθα τούτῳ τῷ τρόπῳ, ἴσως ἀνακτησόμεθα. Εἰ γὰρ καὶ ἀπολώλασιν, ἀλλ' ὅμως τὴν λειπομένην παράσχωμεν θεραπείαν, καὶ θρηνήσωμεν καὶ ὀλοφυρώμεθα, οὐ χοροὺς περιστήσαντες γυναικῶν, ἀλλ' ἕκαστος ἰδίᾳ καὶ καθ' ἑαυτὸν οὐ παρόντων ἐκείνων. Εἰ δὲ βούλεσθε, καὶ ἐγὼ κατάρξομαι τοῦ μέλους ὑμῖν τούτου τοῦ γοεροῦ· οὐδὲ γὰρ αἰσχύνομαι μετὰ Ἱερεμίου τοῦτο ποιῶν καὶ Ἡσαΐου καὶ Παύλου καὶ πρό γε πάντων τούτων τοῦ Δεσπότου.

Ἀρξώμεθα οὖν ὡς ὁ Χριστὸς ἤρξατο πρῶτον, καὶ εἴπωμεν, Οὐαί σοι, ψυχή· ἐπὶ ποίαν κληθεῖσα τιμὴν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ποίαν λήψῃ χώραν διὰ τὴν ῥᾳθυμίαν τὴν σήν; Οὐαί σοι, ὅτι αὐτὸς μέν σε ἐπὶ τὰς παστάδας εἵλκυσε τὰς πνευματικάς, σὺ δὲ ἑαυτὴν ἀπορρήξασα τῆς δόξης ἐκείνης, εἰς τὸ τοῦ διαβόλου κατηνέχθης πῦρ καὶ πρὸς τὰς ἀνηκέστους κολάσεις, ἔνθα κλαυθμὸς καὶ βρυγμὸς ὀδόντων, ἔνθα οὐδεὶς ὁ παραμυθησόμενος, οὐδὲ χεῖρα ὀρέξων, ἀλλὰ σκότος πάντα καὶ ἀπορία καὶ θόρυβος καὶ κακὰ παραμυθίαν οὐκ ἔχοντα οὐδὲ πέρας· ταῦτά σοι πάντα ἡ τοῦ κόσμου φιλία πεποίηκε, καὶ τὸ προτιμῆσαι τοῦ οὐρανοῦ τὴν γῆν, καὶ τὸ μὴ θελῆσαι ἀκοῦσαι τῆς τοῦ νυμφίου φωνῆς συνεχῶς παραινούσης μηδὲν ἡμᾶς κοινὸν πρὸς τὰ παρόντα ἔχειν πράγματα. Τίς σε, ἀθλία καὶ ταλαίπωρε, λοιπὸν ἐλεῆσαι δυνήσεται; Κἂν γὰρ αὐτὸν ἴδῃς τὸν Νῶε τὸν ἐν τῷ κοινῷ τῆς οἰκουμένης κλυδωνίῳ τὴν οἰκίαν ὁλόκληρον διασώσαντα, καὶ πρὸς τοσαύτην στάντα ὀργήν, κἂν τὸν Ἰὼβ, καὶ τὸν Δανιήλ, καὶ μετ' ἐκείνων τὸν Μωσέα καὶ τὸν Σαμουήλ, κἂν τὸν πατριάρχην Ἀβραάμ, οὐδείς σοι χεῖρα ὀρέξει λοιπὸν, κἂν γένει προσήκουσα ᾖς, κἂν θυγάτηρ, κἂν ἀδελφὴ, κἂν ἱκετηρίαν θῇς, καθάπερ ὁ πλούσιος ἐκεῖνος, πάντα εἰκῇ καὶ μάτην ἐργάσῃ. Πῶς ἐξέπεσες ἐκ τοῦ οὐρανοῦ οὐχ ἑωσφόρος οὖσα, οὐδὲ πρωὶ ἀνατέλλουσα, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων λάμψαι δυναμένη μᾶλλον; πῶς ἐκάθισας ἔρημος; Καὶ τοὺς πλείονας δὲ τῶν θρήνων τῶν ἐπὶ τῇ πόλει λεχθέντων ἐκείνῃ οὐκ ἄν τις ἁμάρτοι με-

sunt honorem a misericordi Deo, ut et securitatem et gloriam multam assequerentur. Michæas autem cum aliis reprehensionibus, comessationis et ebrietatis et inunctionis unguentorum, aliud adjicit crimen, nempe defectum commiserationis, sic dicens (*Amos* 6. 6) : *Neque compatiebantur super contritione Joseph.* Et eos qui habitabant civitatem Ænan propter hoc reprehendit, iterum dicens (*Mich.* 1. 11), *Quod non exivit ut ploraret domum contiguam.* Si autem ubi Deus irascitur, reprehendit eum qui non compatitur ei qui punitur, qua venia dignus erit qui non condolet cum eo, qui in peccatum prolap-us est? Neque mireris, si oporteat nos simul dolere cum iis qui puniuntur, quamvis Deus puniat; neque enim Deus ipse qui punit vult hoc facere : (*Ezech.* 18. 23) *Non enim volo mortem peccatoris*, inquit. Si igitur qui vindictam sumit, non vult vindictam sumere, multo magis nos condolere oportet iis qui puniuntur; forte hac via illos eripiemus, forte recuperabimus. Nam licet perierint, tamen curam quæ reliqua est geramus, lacrimemur et ploremus, non mulierum choros inducentes, sed unusquisque privatim apud semetipsum, non præsentibus illis. Si autem vultis, ipse incipiam luctuosum hoc canticum : neque enim pudet me cum Jeremia hoc facere et Isaia et Paulo, et in primis cum Domino nostro.

Incipiamus igitur sicut Christus incepit primum et dicamus : Væ tibi, anima! ad quam vocata dignitatem per benignitatem et misericordiam Dei, qualem accipies locum propter ignaviam tuam? Væ tibi, quia ipse te ad thalamos traxit spirituales, tu autem te ipsam ab hac gloria abripisti, et inducta es in diaboli ignem, et ad gravissima supplicia, ubi fletus et stridor dentium, ubi nullus consolaturus est, nec manum porrecturus, sed tenebræ omnia, et perplexitas, et turbatio, et mala neque consolationem neque finem habentia. Hæc tibi omnia mundi amor peperit, quia prætulisti cælo terram, et noluisti audire vocem sponsi assidue admonentis, ut nihil nobis esset cum præsentis sæculi rebus commune. Quis te miseram et calamitosam miserari poterit postea? Nam etsi ipsum videas Noe, qui in communi totius orbis diluvio totam domum salvavit, in hac ira patrocinantem, etsi Job, etsi Danielem, cumque illis Mosem et Samuelem, etsi patriarcham Abraham, nullus tibi manum porriget; etiamsi genere illum attingas, etiamsi filia sis, etiamsi soror, etiamsi supplices multum, sicut dives ille, omnia frustra et in vanum facies. Quomodo excidisti e cælo, quæ non lucifer es, neque mane oriens (*Isai.* 14. 12), sed ipsis solis radiis plus splendere potuisses? quomodo sedes deserta? Atque adeo haud quis aberrarit, si in hanc

ταφέρων ἐπὶ τὴν αἰχμάλωτον ταύτην ψυχήν, τὴν μᾶλλον ἐκείνης αἰχμάλωτον.

Ἀλλὰ τάχα τῶν θρήνων ἅλις, ἅλις δὲ ὡς ἐν γραφῇ καὶ βιβλίῳ· ἐπεὶ τούτων χωρὶς οὐδ' ἂν ὁ πᾶς ἡμῖν ἀρκέσειε χρόνος, ὥστε κατ' ἀξίαν ὀδύρασθαι τὴν τὰ τοιαῦτα παθοῦσαν ψυχήν. Τί γὰρ ἄν τις ὠλοφύρετο πρῶτον; ὅτι τὸ τίμιον καὶ ἅγιον καὶ μέγα ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καὶ ἡ δόξα αὐτοῦ βεβηλοῦται; ὅτι πρᾶγμα οὕτω σεμνὸν καὶ μέγα διαβέβληται; ἀλλ' ὅτι ψυχαὶ πολλαὶ διὰ τῶν σκανδάλων καταπίπτουσι τούτων; ἀλλ' ὅτι καὶ τὸ ὑγιαῖνον τοῦ χοροῦ μέρος τῇ τῆς ὑμετέρας δόξης ἀναχρώννυται κηλῖδι; ἀλλ' ὅτι τὸ ἄσβεστον καὶ ὑμῖν αὐταῖς καὶ τοῖς συνοικοῦσιν ἀνάπτετε πῦρ; Καὶ πῶς ταῦτα ἀνάγκη συμβῆναι, φησίν, ὅταν ἔχωμεν δεῖξαι τὸ σῶμα ἡμῶν μὴ διεφθαρμένον μηδὲ πεπορνευμένον; Μάλιστα μὲν αὕτη ἡ ἐπίδειξις οὐχὶ νῦν, ἀλλὰ τότε ἔσται δῆλη κατὰ τὴν ἡμέραν ἐκείνην. Μαίας μὲν γὰρ σοφία καὶ τέχνη τοσοῦτον δύναται μόνον ἰδεῖν, εἰ μῖξιν ἀνδρὸς οὐκ ἐδέξατο τὸ σῶμα· εἰ δὲ καὶ ἀφῆν ἀνελεύθερον καὶ τὴν ἀπὸ τῶν φιλημάτων καὶ τὴν τῶν περιπλοκῶν μοιχείαν διέφυγε καὶ φθοράν, ἡ ἡμέρα δηλώσει τότε ἐκείνη, ὅταν ὁ ζῶν τοῦ Θεοῦ Λόγος, ὁ τὰ κρυπτὰ τῶν ἀνθρώπων εἰς μέσον ἄγων, καὶ τοῖς λάθρα γινομένοις παρὼν, πάντα γυμνὰ καὶ τετραχηλισμένα πρὸ τῶν ἁπάντων ὀφθαλμῶν θῇ· τότε εἰσόμεθα καλῶς, εἰ τούτων ἐστὶ καθαρόν σου τὸ σῶμα καὶ πάντοθεν ἄφθορον. Πλὴν ἀλλ' οὐδὲν ὑπὲρ τούτων ἀκριβολογούμεθα οὐδὲ φιλονεικοῦμεν· ἀλλὰ κείσθω τέως αὐτὸ πάντων τούτων ὑπερεντεῦθεν τῶν δικτύων, καὶ εἴη πάντοθεν καθαρὸν, καὶ πάσης ἠλευθερώσθω βλάβης, καὶ μενέτω παρθένος ἡ παρθένος· τί τοῦτο πρὸς τὰ εἰρημένα παρ' ἡμῶν; Καὶ γὰρ τὸ δεινότατον τῶν δεινῶν τοῦτό ἐστι, καὶ μυρίων γέμον δακρύων, ὅτι τοσοῦτον ὑπέμεινε πόνον πάντοθεν τὸ σῶμα διατηρῆσαι ἀκριβῶς, καὶ πάντα τὸν πόνον ἐξεκένωσε, καὶ τὸν μόχθον ἐξέχεε διὰ τῆς εἰς τὸν Χριστὸν βλασφημίας, καὶ τῆς σαρκὸς φεισαμένη τῆς δόξης οὐκ ἐφείσατο τοῦ Θεοῦ, ἀλλ' ὅπως μὲν ἀνέπαφον αὐτῇ μένοι τὸ σῶμα, πάντα ἐποίησεν, ὅπως δὲ ἐκεῖνος μὴ ὑβρίζοιτο μηδὲ καταισχύνοιτο παρὰ τοῖς πολλοῖς, οὐδὲ λόγον ἔσχε τινά. Εἶθε μὲν οὖν μὴ πάντα ἔπραττε καὶ ἐπετήδευεν, ἐξ ὧν ἡ τοῦ Θεοῦ διαβάλλεται δόξα. Καὶ πῶς τοῦτο ποιῶ; φησίν. Ἄνδρας ἀποκλείουσα μετὰ σαυτῆς ἐπὶ τῆς οἰκίας, καὶ διαπαντός σοι παρακαθίζουσα. Εἰ γὰρ ἄνδρας ἐπιθυμεῖς ἔχειν συνοικοῦντας, οὐκ ἔδει παρθενίαν ἑλέσθαι, ἀλλ' ἐπὶ τὸν γάμον ἐλθεῖν· πολλῷ γὰρ βέλτιον γαμεῖν ἐκείνως, ἢ παρθενεύειν οὕτως. Τὸν μὲν γὰρ τοιοῦτον γάμον οὔτε ὁ Θεὸς καταδικάζει, οὔτε ἄνθρωποι διαβάλλουσι· τίμιον γάρ ἐστι τὸ πρᾶγμα, οὐδένα ἀδικοῦν οὐδὲ πλῆττον· ἡ δὲ παρθενία αὕτη ἡ μετὰ ἀνδρῶν πορνείας χαλεπώτερον παρὰ πᾶσι διαβέβληται· καὶ τὴν οἰκείαν ἀπολέσασα τάξιν, κάτω που καὶ παρ' αὐτὸ τῆς πορνείας ἐξεκυλίσθη τὸ βάραθρον. Οὔτε γὰρ μετὰ τῶν παρθένων ἀνάσχοιτό τις ἂν ἀριθμεῖσθαι τὴν μετὰ ταῦτα πολλοῖς συνοικοῦσαν, οὔτε μετὰ τῶν πορνῶν τὴν ἀπὸ τοσούτου χρόνου τὸν γάμον ἐπιδεδειγμένην.

majori captivitati traditam animam lamentorum, quæ in civitatem illam dicta sunt, majorem partem transferat.

3. Sed forte lamentorum satis, satis, inquam, ut scriptura libellusque ferre potest: alioquin ad condignam animæ tot malis oppressæ deplorationem neque omne tempus nobis sufficeret. Quid enim quis deploraret primum? an quod venerabile et sanctum et magnum nomen Dei per vos blasphematur in gentibus, et ipsius gloria profanatur? an quod tam venerabilis et magna res in invidiam adducitur? an quod multæ animæ per vos tot scandalis perduntur? an quod sana pars chori vestræ gloriæ macula fœdatur? an quod inexstinguibilem et vobis et cohabitantibus vobis accenditis ignem? Et quomodo necessarium est ut hæc fiant, inquit, cum possimus ostendere corpus nostrum non corruptum, neque vitiatum? Verum hæc demonstratio non nunc, sed in die illo erit manifesta. Obstetricis enim ars et sapientia hoc solum potest videre, an congressum viri corpus tulerit: an vero tactum inhonestum, et adulterium et corruptionem ex osculis et amplexibus effugerit, dies illa tunc declarabit, quando vivum Dei Verbum, quod occulta hominis in medium adducit, et præsens nunc his quæ clam fiunt, omnia nuda et aperta ante omnium oculos ponet: tunc sciemus bene an ab his sit purum et undequaque incorruptum corpus tuum. Atqui de his non tam exacte loquemur neque contendemus: sed ponatur, superatis omnibus retibus esse corpus undequaque purum ab omnique labe liberum, et maneat virgo quæ virgo: quid hoc ad ea quæ dicta sunt a nobis? Etenim hoc omnium gravissimum est, et plurimis dignum lacrimis, quod tantum undequaque sustinuerit laborem, diligenter observarit corpus, et omnem laborem vanum reddiderit, et sudorem effuderit, propter blasphemiam in Christum, cumque pepercerit carni, non pepercit gloriæ Dei, sed ut intactum ipsi maneret corpus omnia fecit; ut autem ille non afficeretur contumelia, nec dehonestaretur apud multos, ne ullam quidem curam habuit. Utinam non omnia fecisset, nec operam dedisset, ut gloria Dei infamaretur. Et quomodo hoc facio? inquit. Quia viros tecum in domo inclusos semper tibi assidentes habes. Nam si viros habere cohabitatores concupiscis, non oportebat virginitatem eligere, sed ad nuptias transeundum erat: multo enim melius sic nupsisse, quam illo modo virginem profiteri fuisset. Nam illas nuptias neque Deus condemnat, neque homines reprehendunt: honesta enim res est, neminem offendens, neminem lædens: virginitas autem illa cum viris plus ab omnibus arguitur, quam fornicatio ipsa. Namque suum perdit ordinem, et in profundius quam sit fornicationis barathrum ejecta est. Neque enim aliquis ferret cum virginibus numerari eam quæ non curat quæ sunt

θμῆσαι τὴν μὴ τὰ τοῦ Κυρίου μεριμνῶσαν, ἀλλὰ μυρίους ἐργαζομένην μοιχούς, οὔτε μετὰ τῶν γεγαμημένων. Ἐκείνη μὲν γὰρ φροντίζει, ὅπως ἀρέσῃ ἀνδρὶ ἑνί· σὺ δὲ μυρίοις, καὶ τούτοις οὐ νόμῳ γάμου γνωρίμοις, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ διαβεβλημένῳ καὶ κατεγνωσμένῳ παρὰ πάντων. Ὅθεν δέδοικα μὴ τῆς χώρας ἑκατέρας ἐκβληθεῖσα μετὰ τῶν ἠτιμωμένων γυναικῶν φανῇς ταττομένη. Καὶ γὰρ καὶ ἀπὸ τῆς προσηγορίας αὐτῆς εἴ τις ταῦτα ψηφίσασθαι βούλοιτο, οὐδὲ ἐνταῦθα πάλιν ἀντειπεῖν τι ὑννησόμεθα. Ὅταν γὰρ ἡ εἰς ἀγορὰν ἐμβάλωσιν, ἢ λόγος τις οἴκοι περὶ αὐτῶν γίνηται, οἱ διαλεγόμενοι περὶ τῆς ἀτόκου συζυγίας ταύτης, δηλῶσαι βουλόμενοι τὴν τοῦ δεῖνος, οὐ τὴν μητέρα καλοῦσιν (οὐδὲ γὰρ αὐτὸν ἔτεκεν), οὐδὲ τὴν ἀδελφήν (οὐδὲ γὰρ τὰς αὐτὰς ἔλυσεν ὠδῖνας), οὐδὲ τὴν γαμετήν (οὐδὲ γὰρ νόμῳ γάμου συνῴκησεν), οὐδὲ ἄλλο τι συγγενείας ὄνομα τῶν συγκεχωρημένων καὶ κατὰ νόμον κειμένων, ἀλλὰ τὸ αἰσχρὸν καὶ καταγέλαστον — οὐδὲ γὰρ ἂν ἔγωγε ἀνασχοίμην αὐτὸ εἰπεῖν· οὕτω μισῶ καὶ τὴν προσηγορίαν αὐτὴν καὶ ἀποστρέφομαι, καὶ προσίσταταί μοι καὶ ἡ ἐπωνυμία τῆς συνοικήσεως.

Ἀλλ' οὐκ ἔτεκες, οὐδὲ ὠδῖνας. Καὶ τί ταύτης τῆς ἀπολογίας αἰσχρότερον; τί δὲ ἀθλιώτερον, ὅταν ἀπὸ τούτων βούληται φαίνεσθαι παρθένος ἡ παρθένος, εἰς ἃ καὶ τῶν πορνευομένων πολλαὶ γυναῖκες καταφυγεῖν ἔχουσι; Ἀλλ' ἐκεῖναι ἑτέρωθεν ὄῆλαι, φησὶν, ἀσελγαίνουσαι. Πόθεν ἑτέρωθεν, εἰπέ μοι; Ἀπὸ τοῦ σχήματος, ἀπὸ τοῦ βλέμματος, ἀπὸ τοῦ βαδίσματος, ἀπὸ τῶν ἐραστῶν τῶν ἁλισκομένων τούτοις. Καλῶς μὲν ἡμῖν ὑπέγραψας τὸν χαρακτῆρα τῆς πόρνης γυναικός· ἀλλ' ὅρα μὴ σαυτὴν πρὸ ἐκείνης ἅλῃς τούτοις τοῖς τεκμηρίοις καὶ τοῖς ἐλέγχοις· καὶ γὰρ καὶ σὺ τοιούτοις ἑαυτῇ πολλοὺς κατασκευάζεις ἐραστὰς, καὶ διὰ τῶν αὐτῶν δικτύων. Εἰ δὲ μὴ ἵστασαι ἐπ' οἰκήματος καλοῦσα τοὺς παριόντας, ἀλλ' ἔχεις ἔνδον συγκεκλεισμένους διαπαντός (ὃ πολὺ χαλεπώτερον), δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ ἡδονὴν πληρώσῃς ἄτοπον τὴν ἐκείνου καὶ τὴν σαυτῆς, οὐ τὴν διὰ τῆς μίξεως λέγω. Ἀλλὰ τί τὸ κέρδος, ὅταν καὶ ἡ διὰ τῶν ὀφθαλμῶν συνουσία τὸ αὐτὸ τοῦτο ἐργάζηται; ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, μηδὲ ταύτην μοιχεύετε τὴν μοιχείαν, τίνος ἕνεκεν αὐτὸν ἔχεις οἶκοι; ποίαν αἰτίαν δικαίαν καὶ εὔλογον ἡμῖν ἐρεῖς; Ἡ μὲν γὰρ γεγαμημένη τὸν γάμον ἐρεῖ, ἡ δὲ πορνευομένη τὴν ἀσέλγειαν· σὺ δὲ ἡ παρθένος ποίαν ἡμῖν προβαλῇ πρόφασιν εὐπρόσωπον καὶ δικαίαν;

Τί γὰρ τοῦτο περιεργάζῃ, φησὶν, ὅταν μὴ συγκαθεύδωσι μηδὲ συγγίνωνται ἡμῖν οἱ συνοικοῦντες, καθάπερ ἐκείναις ἐκεῖνοι; Μάλιστα μὲν καὶ τοῦτο πολλοὶ λέγουσι. Καὶ τί τοῦτο; φησί· κατὰ τῆς ἑαυτῶν κεφαλῆς. Εἰ μὲν κατὰ τῆς ἑαυτῶν κεφαλῆς μόνον, ὕστερον τοῦτο ζητήσομεν. Καὶ ἤδη μὲν γὰρ σαφῶς ἀποδέδεικται, ἡνίκα τοῖς ἀνδράσι διελεγόμεθα, ὅτι οὐχ οἱ κακῶς λέγοντες μόνον, ἀλλὰ καὶ οἱ τὰς αἰτίας παρέ-

Domini, et multos reddit adulteros, neque cum nuptis. Illa enim curam habet, quomodo placeat viro uni: tu autem ut innumeris, et iis qui non lege conjugii noli, sed alio quodam modo ab omnibus condemnato et rejecto: unde vereor ne ab utroque loco excidens in mulierum inhonestarum ordinem redacta vilearis. Etenim ab appellatione ipsa si quis rem dijudicare velit, ipsi contradicere nihil poterimus. Nam si quando in forum se conferant, vel alias sermo domi de ipsis sit apud eos qui colloquuntur de absurda hujusmodi copulatione, significare volentes illam, hujus vocant, non matrem (neque enim illum perperit), neque sororem (non enim ex eodem utero prognata est), neque conjugem (non enim lege conjugii cohabitant), neque alio quopiam cognationis nomine, quod concessum vel lege permissum sit, sed turpi quodam ac ridiculo — non enim ego quidem tulerim ipsum nominare: sic exosam habeo et aversor hanc appellationem, et molestum mihi est etiam nomen contubernii.

Sed non peperisti, nullos tolerasti partus dolores. Et quid hac defensione fœdius? quid item miserius quam quod ab iis vult apparere virgo, ad quæ et multæ fornicatrices mulieres confugere possunt? Sed illæ, inquit, aliunde arguuntur quod libidini vacent. Unde aliunde dic mihi? A vestitu, a visu, a gressu, ab amatoribus qui his capiuntur. Bene quidem nobis depinxisti scorti characterem; sed vide ne his signis et argumentis, antequam illas, te ipsam capias. Etenim et tu tibi ipsi tales sæpe præparas amatores, atque per eadem retia. Quodsi non prostas in domo publica vocans prætereuntes, at habes intra conclusos semper, quod multo gravius, ob nihil quidem aliud, quam ut absurdam voluptatem impleas, et illius et tuam, non congressum inquam. Sed quid inde lucri, quandoquidem mutuis aspectibus istud ipsum contingit? Alioqui si hoc non est, neque adulterium istud committitis, quare ipsum habes domi? quam causam justam et rationabilem nobis dices? Nupta enim nuptias dicet, scortum libidinem; tu autem virgo qualem nobis causam narrabis dignam quæ proferatur et justam?

4. At cur curiose inquiris, inquit, cum non simul dormiant, neque nobiscum congrediantur, ut illis mulieribus illi? Imo hoc potissimum plerique affirmant. Verum quid hoc? inquit: contra suum illi caput. An contra suum tantum caput illi dicant, postea inquiremus. Et jam quidem manifeste demonstratum est, cum de viris diceremus, quod non solum qui maledicunt, sed et qui occasiones temere

γοντες εἰκῇ, τῆς ἐπὶ τῇ κακηγορίᾳ κειμένης εἰσὶν ὑπεύθυνοι τιμωρίας· πλὴν ἀλλὰ τοῦτο μὲν καὶ αὖθις ἀποδείξομεν πάλιν· τέως δ' ἄν σε ἔρωμαι τῆς ὁμοσκηνίας τὴν πρόφασιν ταύτης, τίνα ἂν ἔχοις εἰπεῖν; Ἀσθενής εἰμι, φησὶ, καὶ γυνὴ, καὶ οὐχ ἱκανὴ μόνη ταῖς χρείαις ἀρκέσαι ταῖς ἐμαυτῆς. Καὶ μὴν, ὅτε τοῖς συνοικοῦσιν ὑμῖν ἐνεκαλοῦμεν, τἀναντία λεγόντων ἠκούομεν, ὅτι διὰ τὴν αὐτῶν διακονίαν ὑμᾶς κατέχουσι. Πῶς οὖν εἰ καὶ τοὺς ἄνδρας ἀναπαῦσαι δυνάμεναι ἐκ περιουσίας, ἑαυταῖς γυναιξὶν οὔσαις οὐ δυνήσεσθε βοηθεῖν, ἀλλ' ἑτέρων δεήσεσθε; Καθάπερ γὰρ ἀνὴρ ἀνὴρ, οὕτω καὶ γυνὴ γυναικὶ ῥᾷον καὶ εὐκολώτερον συνοικήσειεν ἄν· ὅταν δὲ καὶ ἀνδράσιν ἐπιτηδειότεραι πρὸς ὑπηρεσίαν γίνησθε, πολλῷ μᾶλλον ὑμῖν αὐταῖς. Ποῦ γὰρ, εἰπέ μοι, χρήσιμος καὶ ἀναγκαία γένοιτ' ἂν ἡ τοῦ ἀνδρὸς κοινωνία; ποίαν δὲ οὗτος ὑμῖν παρέξει λειτουργίαν, ἣν γυναῖκα ἀδύνατον γυναικὶ παρασχεῖν; ἐστὸν ὑφῆναι μετὰ σοῦ καὶ νῆσαι κρόκην καὶ στήμονα οὗτος τῆς γυναικὸς δυνήσεται μᾶλλον; Καὶ μὴν τοὐναντίον ἐστίν. Ὁ μὲν γὰρ, οὐδ' ἂν ἐθέλῃ, μεταχειρίσασθαί τι τούτων εἴσεται (πλὴν εἰ μὴ νῦν καὶ τοῦτο αὐτοὺς ἐδιδάξατε), ἀλλὰ τῆς γυναικὸς μόνης τὸ ἔργον ἐστίν. Ἀλλ' ἱμάτιον πλῦναι, καὶ πῦρ ἀναχαῦσαι, καὶ χύτραν ἕψειν; Καὶ μὴν καὶ ταῦτα οὐκ ἔλαττον, ἀλλὰ καὶ βέλτιον ἀνδρὸς γυνὴ μεταχειρίζεσθαι δύναται. Πῶς οὖν σοι χρήσιμος ὁ ἀνὴρ, εἰπέ μοι; ὅταν ἀποδόσθαι τι δέῃ καὶ πρίασθαι πάντως; Ἀλλ' οὐδὲ ἐνταῦθα ἔλαττον ἔχει τἀνδρὸς ἡ γυνή· καὶ μαρτυρήσειεν ἂν ἡ ἀγορὰ, καὶ πάντες δὲ ὅσοι ἱμάτια ὠνεῖσθαι βούλονται, παρὰ γυναικῶν τὰ πλείω τούτων ὠνούμενοι. Εἰ δὲ αἰσχρὸν παρθένον ἐπ' ἀγορᾶς ἑστάναι ἐπὶ συναλλάγμασι τοιούτοις, ὥσπερ οὖν καὶ αἰσχρὸν, μάλιστα μὲν τὸ συνοικεῖν ἀνδράσιν αἰσχρότερον. Πλὴν ἀλλὰ καὶ τοῦτο τὸ ἔλαττον ἐκείνου διαφυγεῖν ξυνατόν· ἢ γὰρ κόρῃ τῇ διακονουμένῃ, ἢ γραϊδίοις τοῖς πρὸς ταῦτα ἐπιτηδείοις τὸ πᾶν ἐπιτρέψαις ἄν· ὅθεν δῆλον ὅτι προφάσεις ταῦτα καὶ σκήψεις εἰσὶ καὶ προκαλύμματα ἀσθενείας. Ποίας προκαλύμματα ἀσθενείας; φησίν· εἰ γὰρ ἐπεθύμουν ἀνδρὸς καὶ γάμου καὶ τῆς τοιαύτης διαγωγῆς, τίς ὁ κωλύων ἦν; οὐκ ἐφεῖτο μετὰ παῤῥησίας τοῦτο ἐργάσασθαι, καὶ μήτε προσκροῦσαι Θεῷ, μήτε παρὰ ἀνθρώπων κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; Καὶ γὰρ καὶ ἐγὼ τοῦτό φημι, καὶ οὐ σὰ μᾶλλον ἢ ἐμά ἐστι ταῦτα τὰ ῥήματα. Ἢ γὰρ ἀνάγκη εἰπεῖν, ποῦ σοι τἀνδρὸς ἡ χρεία γένοιτ' ἂν ἀναγκαία, ἢ τοῦτο δεῖξαι μὴ δυναμένην ἐκπέμπειν τὸν συνοικοῦντα κακῶς· ἑτέρως γὰρ σε ἀπαλλαγῆναι τῆς ὕβρεως ταύτης οὐκ ἔνι· ταῦτα γὰρ, ἅπερ ἔφης, οὐχὶ σὰ μᾶλλον ἢ τῶν ὑπὲρ τῆς σῆς ἀσχημοσύνης ἀλγούντων ἐστίν.

Ἔδει μὲν οὖν, εἰ καὶ μυριάκις χρήσιμος ἦν ἡ διακονία τἀνδρὸς, μηδὲ οὕτως αὐτὴν μετὰ τοσαύτης προσίεσθαι τῆς λοιδορίας· ὅταν γὰρ ἡ τοῦ Θεοῦ ὑβρίζηται δόξα, μηδεμία οὕτως ἔστω πρόφασις ἀναγκαία, ὡς πεῖσαι τοσοῦτον κακὸν παριδεῖν. Καὶ γὰρ εἰ μυριά-

præbent maledicendi, rei sunt supplicii : verumtamen hoc infra denuo demonstrabimus. Jam autem si te rogavero causam hujus contubernii, num aliquam dicere possis? Infirma sum, inquit, mulier, neque sola valeo meo usui sufficere. Enimvero cum hæc cohabitatoribus vestris objiciebamus, ab eis contraria audivimus, nempe quod propter suum ministerium vos teneant. Quomodo igitur quæ ex abundanti viris etiam solatio esse potestis, vobis mulieribus subsidio esse non potestis, sed aliis indigetis? Nam sicut vir viro, ita mulier mulieri commodius et rectius utique cohabitarit : quando autem et viris ad ministerium commodiores estis, multo magis vobis ipsis. Ad quid enim, quæso, necessaria et utilis viri societas? aut quale ille mulieri exhibebit ministerium, quod non possit mulieri mulier? num telam tecum texere vel tramam nere cum stamine ille magis poterit quam mulier? an non contra se res habet? Ille enim etiamsi vellet, non utique sciret, nisi forte nunc id ipsos docueritis : quippe mulieris solius hoc opus est. Sed vestem lavare, ignem accendere, et ollam fervefacere? Etiam hæc non minus, sed melius quam vir mulier efficere potest. Quomodo igitur utilis vir, dic quæso? an quando vendere aut emere oportet? Sed neque hic mulier valet minus quam vir, et testabitur utique forum, et omnes quotquot vestimenta emere volunt, a mulieribus plerumque ementes. Quodsi turpe virginibus in foro stare in commerciis ejusmodi, sicut et turpe est, maxime quidem cohabitare viro est turpius. Verumtamen et hoc minus quam illud effugere potest. Nam hæc vel puellæ quæ ministrat, vel vetulis quæ ad hæc idoneæ sunt, rectius commiseris : unde palam est hæc prætextus et effugia esse ac tegumenta infirmitatis. Qualis infirmitatis velamenta? inquit : nam si concupiscerem virum et nuptias et id genus vitæ, quis prohiberet? annon erat libertas ut hoc facerem, quo neque offenderetur Deus, neque ipsa ab hominibus redarguerer? Etenim et ego hoc dico, et non tam tua-quam mea sunt verba. Aut necesse dicere, ubi tibi viri sit usus tantopere necessarius; aut cum monstrare non possis, ejiciatur is qui male cohabitat : nam ab hac contumelia absolvi aliter non potes. Hæc enim quæ dicebas, non tua magis sunt, quam eorum qui turpitudinem tuam dolent.

Oportebat quidem, tametsi plurimum utile esset, viri ministerium cum tanto convicio non admittere : nam quando Dei gloria dedecore afficitur, nullus tam necessarius esse poterit prætextus, ut persuadeatur contemni tantum malum. Quin etiam si millies in die sit moriendum, ne hoc

χις ἀποθανεῖν τῆς ἡμέρας ὑπὲρ τοῦ μὴ γενέσθαι τοῦτο προὔκειτο, μετὰ πολλῆς ἔδει τῆς ἡδονῆς ὑπομεῖναι τοῦτο, μήτι γε ἀναπαύσεως ἕνεκεν καὶ κοσμικῆς χρείας τοσοῦτον παραδραμεῖν κακόν. Ἄκουσον γοῦν πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος καὶ τρέμει, καὶ ἐξ ὅσης τῆς περιουσίας. « Καλὸν γάρ μοι, φησὶν, ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. » Εἶτα ἐκεῖνος μὲν, ἵνα μὴ κενωθῇ αὐτοῦ τὸ καύχημα, ἀποθανεῖν εἵλετο· ἡμεῖς δὲ ἵνα σκάνδαλα ἀνέλωμεν, οὐδὲ μικρᾶς καταφρονοῦμεν ἀνέσεως; καὶ πῶς δυνησόμεθα σωθῆναί ποτε; Καίτοι οὐκ ἴσον ἐστὶν, οὐδὲ κἂν μικρὸν ἐγγὺς, ἐγκωμίου τε ἀποστερηθῆναι καὶ κατηγορίᾳ περιπεσεῖν. Ἐκεῖνος μὲν γὰρ, εἰ καὶ τοῦτο ἐγένετο, οὐκ ἂν προσέκρουσε τῷ Θεῷ· αὐτὸς γὰρ αὐτῷ προσέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν· ἀλλ' ὅμως ἠρεῖτο μᾶλλον ἀποθανεῖν ἢ τὸ κατόρθωμα προδοῦναι· ἡμεῖς δὲ τὰ προστεταγμένα πανταχοῦ ταράττοντες, καὶ εἰδότες ὅτι μεγίστην ὑπὲρ τούτων τίσομεν δίκην, οὐδὲ συνηθείας ἀκαίρου καὶ ψυχρᾶς ὑπεριδεῖν ἀνεχόμεθα· καὶ τίς ἡμῖν ἔσται συγγνώμη; Ἔδει μὲν οὖν, ὅπερ ἔφην, εἰ καὶ ἄνδρα μόνον αἱ πολλαὶ τῶν χρειῶν ἐπεζήτουν, τοσαύτη δὲ ἀπὸ τοῦ πράγματος ἐτίκτετο ὕβρις, ἑλέσθαι μᾶλλον ἀποθανεῖν, ἢ τοῦτο γενόμενον περιιδεῖν· ὅταν δὲ καὶ διὰ γυναικὸς εὐκολώτερον ἦ καὶ ῥᾷστον πάντα ἀνύειν, τίς ὑμῖν ἔσται συγγνώμη θρυπτομέναις οὕτω καὶ εἰς τὴν ὑμετέραν ἐνυβριζούσαις σωτηρίαν; Εἰπὲ δέ μοι, ὅταν σοι ταῦτα ἐκεῖνος παρέχῃ, παρέξεις τινὰ καὶ αὐτὴ διακονίαν αὐτῷ; Παντί που δῆλον. Καὶ πόσῳ βέλτιον μήτε ἀντιδιδόναι τὰ τοιαῦτα, μήτε ἀντιλαμβάνειν, ἀλλὰ τὸν καιρὸν τῶν πόνων, ὃν εἰς τὴν ἀνάπαυσιν ἀναλίσκεις τὴν ἐκείνου, τοῦτον εἰς τὴν σαυτῆς δαπανᾶν, ἢ χαλεπώτερα πονουμένην ἔτι καὶ καταισχύνειν ἑαυτῆς τὴν ὑπόληψιν; Ἀλλ' οὐδεμίαν αὐτῷ παρέχεις διακονίαν. Οὐκοῦν αὐτὸν ἑαυτῷ πάντα ὑπηρετεῖν ἀνάγκη, καὶ στρωννύναι, καὶ ἕψειν, καὶ πῦρ ἀναλίσκειν, καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα ποιεῖν. Ταῦτα δὲ οὐδ' ἂν οἰκέτης ἀνάσχοιτο μηδὲν παρὰ τοῦ δεσπότου καρπούμενος ὑπηρετεῖν. Ἀλλ' οὗτος ἀνέχεται πάντα, φησὶ, διὰ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὸν ἀποκείμενον ὑπὲρ τῆς διακονίας ταύτης μισθὸν, καὶ χάριν εἴσεται ἐπιταττόμενος, πρὸς τῷ μηδὲν καρποῦσθαι παρ' ἡμῶν. Πόθεν οὖν λοιπὸν ἐμφράξομεν τὰ τῶν ἀναισχύντων στόματα; Εἰ γὰρ τοσαύτην αὐτῷ μαρτυρεῖς εὐλάβειαν, καὶ οὕτω τρέμει καὶ δέδοικε τοῦ Θεοῦ τὰ προστάγματα, ὡς ἀνθρακῶδους παντὸς εὐτελέστερον ἑαυτὸν καθορᾶν, καὶ πάντα ὑφίστασθαι μηδὲν καρπούμενον παρὰ σοῦ, πρὸ πάντων τούτων τῆς δόξης αὐτὸν καὶ τῆς εὐφημίας δεῖ φροντίσαι τοῦ Θεοῦ· νῦν δὲ οὐκ ἔστι τῆς αὐτῆς ψυχῆς ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν χρόνον τοσαύτην πειθώ τε καὶ ὑπεροψίαν ἐπιδείκνυσθαι περὶ τὰ προστάγματα τοῦ Θεοῦ, καὶ νῦν μὲν αὐτὰ τρέμειν, νῦν δὲ μηδένα ποιεῖσθαι λόγον αὐτοῦ τοῦ θέντος τοὺς νόμους ὑβριζομένου. Τὸ μὲν γὰρ ἡδονῆς καθαρεύοντα καὶ μηδὲν ὅλως ἀνθρώπινον πάσχοντα κόπτεσθαι καὶ ταλαιπωρεῖσθαι, καὶ

fiat, cum multa voluptate hoc sustinere oportebat, multo minus quietis, vel mundani usus gratia, negligendum erat tantum malum. Audi igitur quomodo id ipsum timet Paulus et tremit, et quam vehementer. *Bonum* enim *mihi est mori*, ait (1 *Cor.* 9. 15), *quam gloriam meam ut quis evacuet.* Sane ille, ut ne evacuaret suam gloriam, mori elegit : nos autem ut scandala tollamus, neque parvum commodum contemnimus? et quomodo poterimus unquam salvari, cum non sit par, nec vel minime accedat prope, laude privari, et in crimen incidere? Ille enim etsi hoc fecisset, non offendisset Deum : ipse namque ei constituerat ex evangelio vivere : attamen malebat mori, quam tam bonum opus relinquere : nos autem turbantes ea quæ ubique sunt ordinata, licet sciamus quod maximam propterea luituri simus pœnam, neque consuetudinem frigidam et intempestivam despici patimur? et quæ tandem nobis erat venia? Oportebat igitur, etsi virum unice multi usus requirerent, ut antea dicebam, tanta vero inde nasceretur contumelia, eligere mortem potius, quam hoc contemnere : cum autem per mulierem commodius et facilius hæc omnia perfici possint, quæ vobis erit venia sic delicate agentibus et contra salutem vestram insultantibus? Dic item mihi, quando tibi hæc ille exhibet, an exhibebis etiam illi vicissim aliquod ministerium? Nulli non manifestum. Et quanto melius non retribuere talia, neque vicissim accipere, sed tempus laborum, quod in illius quietem impendis, hoc in tuam insumere, quam graviter laborantem tuam existimationem confundere? Sed nullum ipsi exhibes ministerium. Ergo ipsum sibi ipsi omnia ministrare necessarium, et sternere lectos, et coquere, et ignem accendere, et alia id genus facere. Hæc neque famulus ferret ita ministrans, et nihil commodi a domino accipiens. Sed hic fert omnia, inquit, propter timorem Domini et repositam huic ministerio mercedem, et gratiam habebit ex istis imperatis, cum nihil illi sit utilitatis ex nobis. Unde igitur postea impudentium obturabimus ora? Etenim si tantam ipsa ejus testaris pietatem, et sic tremit et veretur Dei mandata, ut se ipsum plus quam vilissimum mancipium despiciat, omniaque tibi exhibeat, nullum inde capiens fructum, ante omnia oportebat ipsum rationem habere gloriæ et honoris Dei : nunc autem non est ejusdem animæ simul et per idem tempus tantam obsequentiam simul et despectum ostendere circa mandata Dei, et nunc quidem ipsa tremere, nunc vero nullam rationem habere ejus qui leges dedit, dum contumelia afficitur. Etenim si se purum servare a voluptate, et nihil humani agere, se ipsum humiliare, affligere, et ærumnis subjicere, suis-

ταπεινοῦν ἑαυτὸν, καὶ τοῖς οἰκείοις μόχθοις ἑτέροις παρέχειν ἀνάπαυσιν, φιλοσόφου σφόδρα ψυχῆς καὶ ἐπτερωμένης· τὸ δὲ μὴ ὑβρίζειν εἰς τὴν τοῦ Θεοῦ δόξαν, μηδὲ ταῦτα ποιεῖν, δι' ὧν ἂν βλασφημηθείη παρὰ πολλῶν, καὶ τῶν οὐ σφόδρα μεγάλων πολλοὶ κατωρθώκασι. Πῶς οὖν σοι πιστεύσομεν, ὅτι τοῦτο διὰ τὸν Θεὸν καὶ τὸν τῆς ἀσκήσεως τόνον ποιεῖς, ὃ μεγάλης καὶ νεανικῆς δεῖται ψυχῆς, ὅταν ἐκεῖνο, ὅπερ ἐλάττονός ἐστι καὶ τῆς τυχούσης, ὑπερορᾷς; οὐκ ἀνέχῃ ἀποστῆναι τούτων, ἐξ ὧν ὁ Θεὸς ὑβρίζεται, καὶ τὸ σῶμα καὶ πάντα προδίδους ὑπὲρ τῶν δοκούντων αὐτῷ; Καὶ τίς ἂν ταῦτα πεισθῆναι ἀνάσχοιτο;

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἀπὸ τῶν παρθένων πρὸς τοὺς συνοικοῦντας αὐταῖς ἐξέβην· διὸ δὴ πάλιν πρὸς αὐτὰς ἐπανιτέον ἡμῖν. Πόθεν οὖν τοὺς ταῦτα κατηγοροῦντας καὶ συλλογιζομένους ἡμεῖς δυνησόμεθα πεῖσαι; Καὶ μὴ πιθέσθωσαν, φησί. Καὶ ποῦ τοῦτο ψυχῆς εὐλαβοῦς; Τῶν γὰρ κακῶς λεγόντων τότε χρὴ καταφρονεῖν, ὅταν ἡμεῖς αὐτοῖς μὴ παρέχωμεν λαβάς· μᾶλλον δὲ οὐδὲ τότε, ἐπειδὰν δυνώμεθα ἐπιστομίζειν αὐτούς· ὅταν δὲ ἐξ ἡμῶν γίνηται τὸ πᾶν, ἐπὶ τὴν ἡμετέραν τρέπεται κεφαλὴν ἅπαν τὸ πῦρ. « Οὕτω γὰρ ἁμαρτάνοντες, φησὶν, εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. » Ἴδει γὰρ, ἴδει σαφῶς, ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπολογίαν ἡμῖν ἡ τῶν πληττομένων ἀσθένεια, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ μάλιστά ἐστι τὸ καταδικάζον ἡμᾶς. Ὅσῳ γὰρ ἂν καθαρεύωμεν τῆς πληττούσης αἰτίας, τοσούτῳ δίκαιοι μᾶλλον ἂν εἴημεν φείδεσθαι τῆς ἀσθενείας αὐτῶν. Καὶ οὔπω λέγω ὅτι ἐνταῦθα οὐδὲ ἀπεικότως πλήττονται, ἀλλὰ κείσθω ἀλόγως αὐτοὺς ὑπομένειν τοῦτο· οὐδὲ γὰρ οὕτως αὐτῶν ἀφειδεῖν χρή. Καὶ ταῦτα Ῥωμαίοις ἐπιστέλλων ὁ Παῦλος ἡμᾶς ἐπαίδευσεν, οὕτω λέγων· « Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. » Καίτοι γε ἄλογος ἦν ἡ πληγὴ, ἀλλ' ὅμως οὐ τῷ πληττομένῳ, ἀλλὰ τῷ τὴν πληγὴν ἐπάγοντι ταύτην ἐπιτιμᾷ. Ὅπερ γὰρ ἔφην ἤδη, τοῦτο καὶ νῦν ἐρῶ· ὅταν μὲν γὰρ μέγα τι γίνηται κέρδος καὶ τῆς πληγῆς μεῖζον, δεῖ τῶν σκανδαλιζομένων ὑπεροπτᾶν· ὅταν δὲ μηδὲν ᾖ πλέον ἢ τοὺς ἀσθενεῖς καταβάλλεσθαι, κἂν μυριάκις ἐξ ἀλογίας τοῦτο πάσχωσιν ἐκεῖνοι, φείδεσθαι χρή· ἐπεὶ καὶ ὁ Θεὸς τοὺς ὠθοῦντας καὶ καταβάλλοντας ὑπὸ τὴν ἀπόφασιν ἄγει τῆς τιμωρίας. Τὸ γὰρ μηδὲν κερδαίνοντα ἕτερον πλήττειν, τῆς ἐσχάτης πονηρίας ἐστί. Καὶ ἡμεῖς δὲ ὅταν ἴδωμέν τινα δυσάρεστον ἀπὸ μακρᾶς ἀῤῥωστίας γενόμενον, τοὺς παροξύνοντας αὐτὸν ἀκαίρως τῆς οἰκίας ἀπελαύνομεν, καὶ οὐκ ἀκριβολογούμεθα, εἴτε δικαίως, εἴτε ἀδίκως ἐκεῖνοι τοῦτο ποιοῦσιν, ἀλλὰ πάσης αὐτοὺς ἀπολογίας ἐκβαλόντες, καὶ πολλὴν τούτῳ δόντες συγγνώμην διὰ τὴν ἀσθένειαν, κἂν ἀδίκως παροξύνηται, ἐλεοῦμεν. Εἰ δὲ ἡμεῖς τοσαύτῃ καὶ περὶ τοὺς οἰκέτας καὶ περὶ τοὺς παῖδας προνοίᾳ χῤῥήμεθα, καὶ υἱὸν πολλάκις τοιαῦτα πλημμελοῦντα μαστιγοῦ-

que laboribus aliis quietem parere, valde sapientis animæ est et sublimis, sane gloriam Dei contumelia non afficere, neque hæc facere, propter quæ blasphematur a multis, hoc multi nec valde magni bene et cum laude præstiterunt. Quomodo igitur tibi credemus, facere hoc te propter Deum et asceseos studium, quod magnam et generosam animam requirit, quando illud, quod scilicet minus est et vulgare, despicis? Non sustines abstinere plane ab iis, a quibus Deo infertur injuria? et tu corpus et omnia prodis pro iis quæ Deo placent? Et cui hæc persuaderi poterunt?

5. Sed nescio quomodo a virginibus ad earum cohabitatores transiverim; propterea utique ad illas nobis est redeundum. Unde igitur illis, qui ita eas accusant et argumentantur, nos poterimus persuadere? Ne persuadeantur, ait. Qui vero piæ animæ hoc fuerit? Tunc enim maledicentes despiciendi sunt, cum nos illis ansas non præbuerimus; imo neque tunc, quandoquidem ipsorum obturare ora possumus; quando autem totum ex nobis est, in nostrum vertitur caput totus ignis. *Sic enim*, ait (1 *Cor.* 8, 12), *peccantes in fratres, et infirmam ipsorum conscientiam percutientes, in Christum peccatis.* Sciebat enim, sciebat manifeste, quod non sufficeret ad defensionem nostram, eorum qui offenduntur infirmitas, sed hoc ipsum potissimum est quod condemnat nos. Quanto enim puriores sumus a causa quæ intentatur, tanto magis nostri officii est ut infirmitati eorum parcamus. Et nondum dico quod hic merito offendantur; sed ponatur quod absque ulla ratione hoc patiantur: nam ne sic quidem negligendi sunt. Quæ Romanis per epistolam scribens Paulus docuit nos sic dicens (14. 20): *Noli propter escam destruere opus Dei.* Quamvis illi improvide erant offensi, attamen non eum qui offenditur, sed offendentem increpat. Nam quod jam videlicet dicebam et nunc dico: Quando magnum aliquod lucrum obvenerit et plaga ipsa majus, contemnendi sunt qui scandalum patiuntur: quando autem nullum fuerit amplius, quam quod infirmi dejiciantur, etiamsi millies ex imprudentia hoc patiantur illi, parcendum eis erit; quoniam et Deus eos, qui impellunt in lapsum et dejiciunt, lata sententia supplicii puniet. Nam nihil lucrantes alium offendere, extremæ malitiæ est. Nos autem quando videmus aliquem inquietum ob diuturnam valetudinem, eos qui illum exacerbant, domo abigimus, neque multum disputamus, an juste vel injuste illi hoc faciant, sed negata illis omni defensione, et huic data ob infirmitatem venia, quamvis injuste exacerbetur, ejus miseremur. Quodsi nos hac cura circa famulos et pueros utimur, et sæpe filium ita peccan-

μεν, πολλῷ μᾶλλον ὁ ἀγαθὸς Θεὸς καὶ χρηστὸς καὶ ἐπιεικὴς τοῦτο ἐργάσεται.

Τί λέγεις; ἀσθενής ἐστιν ὁ πληττόμενος; Οὐκοῦν φειδοῦς, οὐ πληγῆς ἐστιν ἄξιος. Τραύματα ἔχει; Μὴ τοίνυν ἐπιτρίψωμεν, ἀλλ' ἰασώμεθα. Ὑποπτεύει πονηρῶς καὶ ἀλογίστως; Οὐκοῦν ἀνέλωμεν τὴν ὑποψίαν, μὴ ἐπιτείνωμεν· εἰς γὰρ Χριστὸν αὐτὸν ἁμαρτάνεις οἷα ταῦτα φιλονεικοῦσα. Ἢ οὐκ ἀκούεις συνεχῶς ἐν μὲν τῇ Παλαιᾷ τοῦ Μωϋσέως λέγοντος ὅτι « Θεός ἐστι ζηλωτής; » αὐτοῦ δὲ, ὅτι « Ἐζήλωκα τὴν Ἱερουσαλήμ; » ἐν δὲ τῇ Καινῇ τοῦ Παύλου βοῶντος, « Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. » Τοῦτο, εἰ καὶ μηδὲν ἕτερον ἄλλο, ἱκανὸν ἦν τὴν μὴ σφόδρα νοσοῦσαν καὶ ἀπηλγημένην ἐπιστρέψαι ψυχήν· οὕτω γὰρ φοβερὸν ὄν, ἡδὺ μᾶλλόν ἐστιν ἢ φοβερόν. Οὐ γὰρ ἂν ζηλός ποτε γένοιτο, μὴ θερμῆς τινος καὶ ζεούσης προϋποκειμένης ἀγάπης· ὥστε τῆς σφοδρᾶς καὶ πεπυρωμένης τοῦ Θεοῦ φιλίας τεκμήριον τοῦτό ἐστιν. Οὐδὲ γὰρ πάθος ἐστὶν ὁ ζῆλος ἐπὶ Θεοῦ, ἀλλὰ τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἑρμηνεῦσαι βουλόμενος, τούτῳ πολλάκις ἀποκέχρηται τῷ ὀνόματι. Ἀλλ' ὅμως ἡμεῖς οἱ σφόδρα ἀναίσθητοι πρὸς τὰς ἀνθρωπίνας καταπίπτομεν συμπαθείας, καὶ τὸν μὲν οὕτως ἡμῶν σφοδρῶς ἐρῶντα καθυβρίζομεν, τοὺς δὲ οὐδὲν δυναμένους ὠφελῆσαι παντὶ τρόπῳ θεραπεύομεν. Τί γάρ σε, ὦ ταλαίπωρε, τοσοῦτον ὀνῆσαι δυνήσεται ἡ ψυχρὰ αὕτη συνοίκησις, ὅσων ἐκβάλλει σε θησαυρῶν; Σκόπει δέ· κατάγει σε ἐκ τῶν οὐρανῶν, τοῦ νυμφῶνος ἀπελαύνει τοῦ πνευματικοῦ, διαζεύγνυσί σε τοῦ οὐρανίου νυμφίου, προξενεῖ τὴν ἀθάνατον κόλασιν, τὰ βασανιστήρια τὰ τέλος οὐκ ἔχοντα. Ἀντὶ τούτων, εἰ τάλαντα χρυσίου παρεῖχεν ὁ συνοικῶν μυρία, εἰ τῶν ἀργυρωνήτων σοι μᾶλλον ὑπέκειτο ἀνδραπόδων, εἰ τῆς βασιλίδος αὐτῆς ἐν πλείονί σε καὶ τιμῇ καὶ ἀναπαύσει καθίστη, ἆρα οὐχ ὡς λυμεῶνα καὶ ἐχθρὸν καὶ μείζονα ἁφαιρούμενον ἢ διδόντα, οὕτω μισεῖν καὶ ἀποστρέφεσθαι ἔδει; Περὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν ὁ λόγος σοι πρόκειται, περὶ τῆς ἐκεῖ βασιλείας, περὶ τῆς ἀθανάτου ζωῆς, περὶ τῆς ἀπορρήτου δόξης· σὺ δὲ γηΐνων μνημονεύεις πραγμάτων, καὶ τὸν ἐν ἐκείνοις χρήσιμον εἶναι δοκοῦντα θεραπεύεις ὥσπερ δεσπότην, καὶ οὐ καταδύῃ, οὐδὲ εὔχῃ διαστῆναί σοι τὴν γῆν, καὶ οὕτως ἐνθένδε ἀπελθεῖν;

Ἀλλ' ἀσθένειάν μοι προβάλλῃ γυναικείας φύσεως, καὶ χρειῶν ἀνθρωπίνων οἰκονομίαν, καὶ ἀνάπαυσιν τὴν κατὰ τὴν οἰκίαν, πλάττουσα καὶ συντιθεῖσα τὰς οὐκ οὔσας προφάσεις. Ἀλλ' οὐδὲ οὕτως λήσεις τοὺς νοῦν ἔχοντας. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνάπαυσις ἡ καταναγκάζουσα τοσαῦτα ἀσχημονεῖν. Γυνὴ γὰρ, εἰ βουληθείη, οὐχ ἑαυτῇ μόνον, ἀλλὰ καὶ ἑτέροις ἀρκέσει πλείοσιν εἰς διακονίαν· ἐπεὶ καὶ ἐξ ἀρχῆς τἀνδρὸς τὰ πολιτικὰ πράγματα λαχόντος, τὸ οἰκουρεῖν αὐτὴ καὶ οἰκονομεῖν τὰ ἔνδον ἅπαντα ἐκληρώσατο. Οὐ τοίνυν ἀναπαύσεως δεόμεναι ἕλκετε τοὺς ἄνδρας ἔνδον. Ἀλλὰ τί; φησί· πορνείας ἕνεκεν καὶ ἀσελγείας; Ἐγὼ μὲν

tem flagellamus, multo magis bonus Deus et clemens et æquus hoc faciet.

Quid dicis? infirmus est qui offenditur? Igitur dignus est cui parcatur, non ut lædatur. Vulnera habet? Ne igitur atteramus, sed curemus. Suspicatur male et imprudenter? Igitur auferamus suspicionem, non augeamus : in Christum enim peccat quæ de his contendit. An non audis in Veteri Mosem sæpe dicentem (*Exod.* 20. 5), *Deus zelotes est?* et ibidem (*Zach.* 1. 14), *Zelavi Jerusalem :* in Novo vero Paulum clamantem (2 *Cor.* 11, 2), *Æmulor enim vos Dei æmulatione.* Hoc, si nihil aliud, sufficere debebat ut adverteretur anima non nimis ægra et omni sensu privata. Cum enim res adeo sit terribilis, dulcis magis est, quam terribilis. Numquam enim zelus est, non præeunte caritate aliqua calida et fervente, ita ut hoc sit argumentum vehementis ardentisque Dei amicitiæ. Non enim affectio est zelus in Deo, sed volens immensum amorem suum interpretari, hoc sæpe usus est nomine. Attamen nos qui valde insensati ad humanas decidimus affectiones, eum qui nos tantum amat contumelia afficimus, eos autem qui nihil nobis prodesse possunt omnibus modis colimus. Quid enim tibi, o misera, tantum prodesse potest frigida hæc cohabitatio, cum tanto thesauro te privet? Vide, quæso : deducit te e cælis, excludit te spirituali thalamo, sejungit te a cælesti sponso, parat tibi immortalia supplicia et tormenta finem non habentia. Pro his si auri talenta innumera præberet contubernalis tuus, si promtior esset mancipiis venalitiis, si te in majori honore et dignitate constitueret, quam sit regina : an non ut damnosum et inimicum, et plura auferentem quam dantem, sic aversari et odio habere oporteret? Proponitur tibi cura de bonis cælestibus, de regno futuro, de vita immortali, de ineffabili gloria; tu vero negotia terrena commemoras, et hunc ad illa utilem visum colis quasi dominum, et non te occultas, neque oras ut te terra absorbeat, ut sic inde migres?

Sed infirmitatem muliebris naturæ mihi prætexis, et humanorum usuum dispensationem, et quietem domesticam, fingens et componens prætextus qui non sunt? At neque sic eos qui cor habent falles. Non est enim, non est quies, quæ ad tantam turpitudinem cogat. Mulier enim si voluerit, non sibi ipsi solum, sed et aliis pluribus sufficiet ad ministerium : quoniam cum ab initio vir civilia negotia susceperit, mulier sortita est domesticam administrationem et curam. Non igitur quietis indigæ intus rapitis viros. Ad quid ergo? stupri gratia et libidinis? Ego quidem non sic

οὐκ ἂν εἴποιμι τοῦτο, μὴ γένοιτο, ἀλλὰ καὶ τοῖς λέγουσιν ἐπιτιμῶν οὐ παύομαι· εἴθε δὲ καὶ πεῖσαι δυνατὸν ἦν. Τίς οὖν ἐστιν ἡ πρόφασις ἡ ποθεινὸν ἡμῖν τὸ πρᾶγμα ποιοῦσα; φησί. Κενοδοξίας ἔρως. Καὶ καθάπερ ἀνδράσιν ἡδονὴ ψυχρὰ καὶ ταλαίπωρος, οὕτω ταύταις φιλοτιμίας ἐπιθυμία τὴν ὁμοσκηνίαν ταύτην ἐργάζεται. Κενόδοξον μὲν γὰρ ἅπαν, ὡς εἰπεῖν, τὸ τῶν ἀνθρώπων ἔθνος, μάλιστα δὲ τὸ γυναικεῖον γένος· ὅταν γὰρ μήτε ἀναπαύσεως δέωνται, καθάπερ ἀποδέδεικται, μήτε διαφθείρωνται μετ' αὐτῶν, εὔδηλον ὅτι τοῦτο λείπεται ὑποπτεύειν μόνον.

Ἐπεὶ οὖν αὐτὴν τοῦ κακοῦ τὴν ῥίζαν εὑρήκαμεν, φέρε λοιπὸν τὸ ἐγκαλεῖν ἀφέντες, παραινῶμεν καὶ πείθωμεν, ὅτι καθάπερ τῶν ἀνδρῶν οἱ συνοικοῦντες αὐταῖς δοκοῦσι μὲν ἡδονὴν καρποῦσθαι, πλείονι δὲ περιβάλλονται βασάνῳ (καὶ γὰρ ἐκείνη μόνη καθαρὰ γένοιτ' ἂν ἡδονὴ καὶ μόνιμος, ἡ τοῦ χωρισμοῦ), οὕτω δὴ καὶ ταύταις δοκεῖ μὲν, ὡς αὐταὶ νομίζουσι, δόξα τις ἐντεῦθεν καὶ περιφάνεια τίκτεσθαι· εἰ δὲ ἀκριβῶς τις ἐξετάσειε, γέλωτος καὶ αἰσχύνης καὶ ὀνειδῶν καὶ τῆς ἐσχάτης ἐμπίπλανται ἀδοξίας. Καὶ ὑπὲρ τούτων εἴρηται μὲν ἡμῖν καὶ ἐν ἀρχῇ βραχέα, εἰρήσεται δὲ καὶ νῦν. Ἔστω γὰρ ὁ συνοικῶν, εἰ βούλει, μὴ τῶν εὐτελῶν τις, μηδὲ τῶν ἀπερρίμμενων, ἀλλὰ τῶν πολλὴν ἐν Ἐκκλησίᾳ δύναμιν ἐχόντων, καὶ ἐπὶ γένους δὲ λαμπρότητι, καὶ ἐπὶ λόγων δυνάμει, καὶ εὐλαβείᾳ θαυμαζέσθω παρὰ πᾶσι, καὶ πανταχόθεν ἔστω λαμπρός· οὐδὲ (γὰρ) οὕτω δυνήσεται ταύτην ποιῆσαι περιφανῆ καὶ εὐδόκιμον. Τὸν γὰρ μέλλοντα καρποῦσθαι δόξαν ἐκ τῆς πρός τινα φιλίας, τὴν ἐκείνου δόξαν πρότερον φυλάττειν δεῖ τοῦ παρέχοντος τὸ δοξάζεσθαι· ὡς εἴγε ταύτῃ λυμήναιτο, πολλῷ μᾶλλον ἂν τὴν ἑαυτοῦ καταβάλοι. Ὥσπερ γὰρ πηγῆς διαφθειρομένης καὶ τὰ προχεόμενα κοινωνεῖ νάματα τοῦ μολυσμοῦ, καὶ ῥίζης σηπομένης πολλῷ μᾶλλον ὁ καρπὸς τοῦτο πείσεται· οὕτω καὶ νῦν, τοῦ μέλλοντος τὴν παρθένον δεικνύναι λαμπρὰν γενομένου καταγελάστου διὰ τῆς συνοικήσεως, αὐτὴ πρὸ ἐκείνου μετ' ἐκείνου κοινωνήσει τοῦ γέλωτος· κἂν τύχῃ τις τῇ γυναικὶ χρηστὴ παρὰ πολλοῖς προϋπάρχουσα δόξα, καὶ ταύτην εἰσελθὼν ἐκεῖνος ἀπολέσει τῆς οἰκίας· τοσοῦτον ἀπέχει καὶ ἑτέραν προστίθησι τοιαύτην· κἂν αὐτὸς ἔχῃ πάλιν τοιαύτην ὑπόληψιν, τοῦτο καὶ αὐτὸς πείσεται. Οὐκ ἄρα δόξαν ὑμῖν χρηστὴν προστίθησιν αὕτη ἡ κοινωνία τῆς συνοικήσεως, ἀλλὰ καὶ τὴν οὖσαν ἀναιρεῖ, καὶ τὴν οὐκ οὖσαν ἐπάγει τὴν πονηρὰν ἀμφοτέροις. Καὶ ὁ περὶ τῶν Ἰουδαίων ὁ προφήτης εἶπεν, εὔκαιρον νῦν εἰπεῖν· « Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς », καὶ οἱ ταῖς τοιαύταις συνοικοῦντες τὴν κηλῖδα ἀποθήσονταί ποτε ταύτην· οὕτω, καθάπερ τις καυτὴρ σώματι, ταῖς ἀμφοτέρων ὑπολήψεσιν ἐγκαίεται ἐπισκοτοῦσα ἅπασιν αὐτῶν τοῖς καλοῖς.

Ἀλλ' ἴσως δόξαν ἡγοῦνται αὐτὸ τοῦτο τὸ κεκρατη-

dixerim, absit, imo non desino objurgare eos qui sic dicunt : utinam autem possibile esset id persuadere! Quis ergo prætextus, quæ causa efficit ut rem illam expetamus, inquit? Inanis gloriæ amor. Et quemadmodum viris voluptas frivola et misera, sic illis honoris concupiscentia hoc contubernium conciliat. Nam vanæ gloriæ cupidum tota fere hominum natio est, maxime autem muliebre genus. Nam cum neque opus habeant quiete, sicut declaratum est, neque cum ipsis rem habeant, manifestum quod hoc solum reliquum est suspicari.

6. Quoniam igitur hanc mali radicem invenimus, age jam reprehensione omissa, admoneamus et persuadeamus, quod sicut viri qui cohabitant videntur quidem voluptate frui, majori autem tormento subduntur (etenim sola pura et solida voluptas, quæ per sequestrationem est) : sic utique illis quoque videtur quidem, ut ipsæ opinantur, gloria aliqua hinc et claritas nasci; si autem diligenter quis exquisierit, risu, confusione, opprobriis et extrema ignominia opplentur. Et de his dicta sunt in principio pauca, dicentur autem et nunc. Sit igitur qui cohabitat, si velis, non aliquis vilis neque abjectus, sed qui multam in Ecclesia dignitatem habeat, et ob generis claritudinem, et ob eloquentiam et pietatem admirabilis sit omnibus, sitque undequaque clarus; neque vel sic poterit illam facere claram ac probatam. Gloriam enim habiturus quispiam ex amicitia erga aliquem, illius gloriam prius custodire debet, qui præbet ut glorificetur; nam si illius gloria offenditur, multo magis suam ipsius gloriam dejicit. Nam sicut fonte corrupto, etiam quæ inde manant fluenta corruptioni communicant, et radice corrupta multo magis fructus corrumpentur : sic et nunc, si is qui virginem claram facturus est fiat ridiculus ob cohabitationem, ipsa quoque ante illum et cum illo ridebitur; et si mulieri antea contigerit gloria bona apud multos, eam tamen statim ingressus ille domo ejiciet : tantum abest ut aliam secum afferat : ac si etiam ipse habeat talem existimationem, idem illi continget. Non igitur famam vobis bonam adducit hæc consuetudo, sed eam aufert quam habebatis, et malam insuper conflat quam non habebatis. Et quod de Judæis propheta dicit, opportunum est etiam nunc dicere (*Jer.* 13. 23) : *Si mutabit Æthiops pellem suam, et pardus maculas suas*, etiam qui talibus cohabitant, maculam hanc aliquando deponent : sic quemadmodum corpori cauterium, amborum existimationi inuritur, et bona ipsorum omnia offuscat.

Sed forte gloriam putant hoc ipsum, imperare viris. At

κέναι τῶν ἀνδρῶν. Ἀλλ' οὗτός ἐστιν ὁ πολὺς γέλως, καὶ ᾧ μάλιστα αἱ ἑταιριζόμεναι ἐγκαλλωπίζονται μόναι. Οὐ γὰρ δὴ γυναικῶν ἐλευθέρων οὐδὲ σωφρόνων τὸ τούτοις ἐναβρύνεσθαι τοῖς δικτύοις. Ἔπει καὶ αὕτη πάλιν ἑτέρα ἀτιμίας ὑπόθεσις, καὶ ὅσῳπερ ἂν κρατῶσι τῶν ἀνδρῶν, καὶ χαλεπώτερα ἐπιτάττωσι, τοσούτῳ μᾶλλον ἑαυτὰς καταισχύνουσι μετ' ἐκείνων. Οὐδὲ γὰρ ἡ δουλουμένη τοὺς ἄνδρας γυνή, ἀλλ' ἡ αἰδουμένη, αὕτη πᾶσίν ἐστιν αἰδέσιμός τε καὶ ἐπίδοξος. Εἰ δὲ οὐκ ἀνέχοιντο τῶν ῥημάτων τῶν ἡμετέρων, ὁ τοῦ Θεοῦ νόμος αὐτὰς ἐπιστομίσαι δυνήσεται, λέγων οὕτως· « Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· κεφαλὴ γὰρ γυναικὸς ὁ ἀνήρ. » Καὶ ἑτέρωθεν δὲ εὕροι τις ἂν πολλαχόθεν τοῦτο οὕτω νενομισμένον, καὶ ταύτην ἄνωθεν οὖσαν τὴν τάξιν. Ὥστε ἀσχημοσύνη μεγάλη, ὅταν τὰ ἄνω κάτω γένηται, κάτω μὲν ἡ κεφαλὴ, τὸ σῶμα δὲ ἄνω. Εἰ δὲ ἐπὶ γάμου τοῦτο αἰσχρὸν, πολλῷ μᾶλλον ἐπὶ ταύτης τῆς συζυγίας, ἔνθα οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι νόμου παράβασίς ἐστι τὸ γινόμενον θείου, ἀλλ' ὅτι πονηροτέραν καὶ ἑαυτῷ καὶ τῇ γυναικὶ περιτίθησι δόξαν. Εἰ γὰρ τὸ συνοικεῖν αἰσχρὸν, πολλῷ δήπου [μᾶλλον] τὸ συνοικοῦσαν δουλοῦσθαι· οὐδὲ γὰρ παντχοῦ τὸ κρατεῖν ἔπαινον φέρει, ἀλλ' ἔστι καὶ μὴ κρατοῦντα εὐδοκιμεῖν, καὶ κρατοῦντα ἀσχημονεῖν. Ὥστε, εἰ βούλει θαυμάζεσθαι παρὰ ἀνδράσι, μηδέν σοι κοινὸν ἔστω πρὸς αὐτούς· πόρρω καὶ συνουσίας καὶ ὄψεως καὶ συνοικήσεως γίνου τῆς ἐκείνων. Τότε σε καὶ γυναῖκες ἐκπλαγήσονται, καὶ ἄνδρες θαυμάσονται πάντες ὁμοῦ ἅτε παρθένον οὖσαν, καὶ τῷ νυμφίῳ προσεδρεύουσαν ἀπερισπάστως· τότε σε οὐχ οἱ οἰκεῖοι μόνον, ἀλλὰ καὶ Ἕλληνες, καὶ Ἰουδαῖοι, καὶ πᾶν τὸ τῶν ἀνθρώπων ἀποδέξεται γένος. Ὥστε εἰ δόξαν ζηλοῖς, ταύτην δεῦρο τὴν ὁδὸν, μὴ τὴν ἐναντίαν· τότε σε οὐκέτι τὴν τοῦ δεῖνος καλέσουσι καὶ τοῦ δεῖνος, ἀλλὰ τὴν τοῦ Χριστοῦ· τούτου δὲ κόσμος ἕτερος ἴσος οὐκ ἂν σοί ποτε γένοιτο παρ' οὐδενός. Ἦ μικρὰ ταῦτα, εἰπέ μοι, καθ' ἑκάστην ᾀδόμενα τὴν ἡμέραν καὶ ἐν ἀγορᾷ καὶ ἐν οἰκίαις καὶ ἐν ἑτέραις πόλεσιν· Ἦ δεῖνα, κόρη τε οὖσα καὶ νέα κομιδῇ καὶ σφόδρα εὐπρόσωπος, πολλοὺς, εἴ γε ἤθελεν, ἐπισπάσασθαι δυναμένη προστάτας, οὐκ ἠθέλησεν, ἀλλ' εἵλετο πᾶν ὁτιοῦν ὑπομεῖναι καὶ παθεῖν, ἢ τὴν τοῦ Χριστοῦ προδοῦναι φιλίαν, καὶ τὸ τῆς σωφροσύνης ἄνθος ἀφανίσαι; Μακαρία καὶ δὶς καὶ τρὶς καὶ πολλάκις· ὅσων ἀπολαύσεται ἀγαθῶν, οἷον δέξεται στέφανον, ὅσον καρπώσεται μισθὸν, πρὸς αὐτὰς ἁμιλλωμένη τὰς ἀσωμάτους δυνάμεις! Ταῦτα καὶ τὰ τοιαῦτα περὶ αὐτῆς πάντες ἐροῦσι, καὶ εἰς ζῆλον ταῖς ἑαυτῶν θυγατράσι προθήσουσι· κἂν κοσμίως βιοῦσάν τις προτρέψαι, κἂν διεφθαρμένην σωφρονίσαι βουληθῇ, τὰ ταύτης ἐγκώμια πάλιν ἅπαντες εἰς μέσον οἴσουσιν· οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ κἂν ἁπλῶς περὶ παρθενίας γίνηται λόγος, καὶ οὕτως αὐτὴν ἅπαντες ἐπαινέσονται, οὐχ οἱ κοσμίως ζῶντες μόνον, ἀλλὰ καὶ ἐκεῖνοι οἱ

hoc est mire ridiculum, et quo maxime gloriantur solæ meretrices. Mulierum utique liberarum et castarum hoc non fuerit, in talibus retibus deliciari. Nam et hinc iterum aliud ignominiæ argumentum, et quanto magis imperant viris, et graviora injungunt, tanto magis se ipsas confundunt cum ipsis. Non enim quæ servire facit viros mulier, sed quæ reveretur, omnibus est reverenda et gloriosa. Si autem non sustinuerint hæc nostra verba, Dei lex occludere ora earum potest, sic dicens (*Gen.* 3. 16) : *Ad virum tuum conversio tua, et ipse tui dominabitur.* (1 *Cor.* 11. 3) *Caput enim mulieris vir.* Et aliunde e multis locis quis hoc inveniet sic legibus cautum, et hunc olim datum esse ordinem. Itaque magna est fœditas, si superiora fiant inferiora, caput deorsum et corpus sursum. Quodsi in nuptiis hoc turpe, multo magis in hoc consortio, ubi non hoc solum grave est, quod sit transgressio divinæ legis, sed quod pessimam et mulieri et illi afferat famam. Nam si cohabitare est turpe, multo magis cohabitantem viro dominari. Non enim undequaque imperare laudem habet, sed fieri potest ut qui non imperat laudabiliter, et qui imperat turpiter agat. Itaque si vis in admiratione esse apud viros, nihil tibi commune sit cum ipsis, procul a congressu et aspectu et cohabitatione illorum esto : tunc te et mulieres obstupescent, et viri omnes simul admirabuntur, utpote virginem sponso indivulse assidentem : tunc non domestici solum, sed et gentiles et Judæi, et omne hominum probabit genus. Atque adeo si gloriam amas, hanc vade viam, non aliam : tunc te non jam illius vel illius vocabunt, sed Christi : huic autem ornatus alius par a nullo tibi erit. An vero exigua sunt, quæso, quæ quotidie canuntur et in foro, et in domibus, et in aliis civitatibus? Puella istæc formosa valde et adolescens, si voluisset, multos patronos sibi concillare potuisset, sed noluit : imo maluit quævis sustinere ac pati, quam Christi amorem relinquere, et castitatis florem obscurare. Beata et bis et ter et sæpius. Quantis fruetur bonis, qualem accipiet coronam, quanta mercede donabitur, quæ cum ipsis incorporeis certat Virtutibus! Hæc et talia de hac omnes dicent, et ad æmulationem suis filiabus proponent ; et si quis admonere honeste viventem, et si quis corruptam ad modestiam reducere voluerit, hæc illius encomia omnes rursum in medium ferent : non hic autem solum, sed et quoties de virginitate fiat sermo; et sic omnes eam laudabunt, non solum qui caste vivunt,

σπουδάσαντες καὶ πάντα πράξαντες ὥστε αὐτὴν ἑλεῖν, εἶτα καταφρονηθέντες καὶ ὑπερφθέντες.

Καὶ αὕτη μὲν τοσαύτης καὶ πολλῷ πλείονος τῆς εἰρημένης ἀπολαύσεται δόξης· ἡ δὲ ἔχουσα τοὺς συνοικοῦντας τῶν ἐναντίων ἁπάντων. Καὶ πρῶτον μέν, ὅταν κατηγορῆται παρά τινων ἡ παρθενία μιαρῶν, ἥξουσι μὲν εἰς μνήμην ἀμφότεραι ἐν τοῖς τοιούτοις συλλόγοις, ἀλλ' ἡ μὲν τὰ τῶν ἀπολογουμένων, ἡ δὲ τὰ τῶν κατηγορούντων ἀνοίγουσα στόματα. Ἔπειτα, ὅταν σωφρονισθῆναί τινα καὶ ῥυθμισθῆναι δέῃ, αὕτη μὲν καθάπερ φάρμακον ἐπιστῦφον, καὶ σηπεδόνα ἀναστέλλειν δυνάμενον, εἰς μέσον ἄγεται, καὶ τὸ τοῦ διδασκάλου στόμα κοσμεῖ· ἐκείνη δὲ μετὰ τῆς καταισχυνθείσης ἕστηκε, κἂν μὴ παρῇ, κολαζομένη καὶ καταισχυνομένη. Ἀνάγκη γὰρ καθ' ἑκάστην διαμαρτάνουσαν κατηγορεῖσθαι ταύτην καὶ καταισχύνεσθαι πάλιν. Καὶ ὅπουπερ ἂν περὶ τοῦ πράγματος τούτου γίγηται λόγος, ὥσπερ ἐκείνη μακαρία, οὕτως ἀθλία αὕτη καὶ ταλαίπωρος καὶ πάντα τὰ τοιαῦτα ἀκούσεται· καὶ ὥσπερ ἐκείνην οὐχ οἱ εἰδότες μόνον, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες καὶ μηδὲν εὐεργετηθέντες ᾄδουσι καὶ ἀνυμνοῦσιν, οὕτω καὶ ταύτην οἵ τε εἰδότες οἵ τε ἀγνοοῦντες οἵ τε μηδὲν παθόντες κακὸν κακίζουσι καὶ διαβάλλουσιν. Οἱ μὲν γὰρ ὀρθῶς βιοῦντες, οὐ παρὰ τῶν γνωρίμων μόνον, ἀλλὰ καὶ παρὰ τῶν ἀγνώστων, καὶ παρ' αὐτῶν δὲ τῶν ἐχθρῶν ἐπαινοῦνται καὶ θαυμάζονται· οἱ δὲ διεφθαρμένοι καὶ φαῦλοι καὶ παρὰ τῶν φίλων κακίζονται. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον ἐστὶ, τὸ τοσαύτην περὶ τὴν ἀρετὴν οἰκειότητα ἡμῖν ἐνθεῖναι, τοσαύτην δὲ περὶ τὴν κακίαν ἀλλοτρίωσιν, ὡς ἐκείνῃ μὲν πάντας ψηφίζεσθαι, καὶ τοὺς μὴ μετιόντας, τὴν δὲ κακίαν καταδικάζειν καὶ τοὺς ἀποστρεφομένους αὐτὴν, καὶ τοὺς διώκοντας. Ὅθεν δῆλον ὅτι τὰς ἠμελημένας ταύτας οὐχ οἱ εἰδότες μόνον, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες ἀποστρέφονται, καὶ μάλιστα πάντων αὐτοὶ οἱ συνοικοῦντες. Κἂν γὰρ σφόδρα λέγωσιν ὑμᾶς φιλεῖν καὶ θαυμάζειν, κἂν χάριν ἔχωσιν ὑπὲρ ταύτης τῆς ἡδονῆς, ὑπὲρ αὐτῶν ὧν χαρίζεσθε, πάλιν μισεῖσθε κατὰ τὸ συνειδὸς τὸ ἐκείνων, ὅταν ποτὲ μικρὸν ἀνενεγκόντες ἐννοήσωσι τὴν παγίδα, ἐφ' ἧς ἑστήκασι. Τοσοῦτόν ἐστιν ἡ κακία κακόν· καὶ οἱ μάλιστα πάντων θεραπευόμενοι παρ' ὑμῶν, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ καταγινώσκοντες, ἐπειδὴ καὶ μάλιστα πάντων τὰ ὑμέτερα ἴσασιν, εἰς τὰ ἐνδότατα εἰσαχθέντες, καὶ τὰ ἀπόῤῥητα ὑμῶν ἅπαντα διακωδωνίσαντες. Καὶ ὅτι μισοῦσι δῆλον ἐκεῖθεν· μυριάκις ἂν εἵλοντο τῆς ψώρας ἀπαλλαγῆναι ταύτης καὶ τῆς νόσου τῆς χαλεπῆς, τὸ δὲ κωλύον ἡ συνήθεια, καὶ ἡ δοκοῦσά τις εἶναι ἡδονή· ἐπεὶ καὶ ἐκείνου τοῦ νοσήματος εὔχονται μὲν ἀπαλλαγῆναι, καὶ μισοῦσιν αὐτὸ πάντες οἱ ἔχοντες, ἥδονται δὲ ὄντες ἐν αὐτῷ, καθάπερ ἐν τούτῳ. Κἂν γὰρ λίαν ἄθλιός τις ᾖ καὶ ταλαίπωρος, οὐκ ἔστιν οὕτω τῶν ἀπεγνωσμένων καὶ σφόδρα τὴν ἑαυτῶν καταισχύνειν ἐπιθυμούντων

sed et illi qui studuere et omnia fecerunt ut ipsam obtinerent, ac deinde contenti et despecti fuerunt.

Atque ista quidem tanta, et multo majore quam dictum est, fruetur gloria : quæ vero cohabitantes habet, omnia secus reperit. Et primo quidem quando ab aliquibus impuris accusatur virginitas, de utrisque habetur memoria in talibus conventibus; sed illa quidem aperit ora defensantium, ista autem accusantium. Postea quando corrigi aliquam et compositam reddi decet, hæc quidem ut pharmacum astringens, et quod putredinem repellere possit, in medium affertur, et præceptoris os ornat : illa autem cum confusa stat, tametsi non adsit, erubescens et pudefacta. Necesse est enim ut occasione cujusque lapsus hæc accusetur, et iterum confundatur; et ubi de re hac sermo fit, sicut illa beata, ita ista misera et calamitosa, et quidvis simile audiet. Et sicut illam non qui vident solum, sed et qui ignorant, et nullo beneficio affecti, celebrant et laudant : ita et hanc quotquot vel sciunt vel ignorant ipsam, et qui nihil mali ab ea sunt passi, affligunt et criminantur. Nam ii qui recte vivunt, non a notis solum, sed et ab ignotis, imo ab ipsis inimicis laudantur et admirationi sunt : qui autem corrupti et improbi, et ab amicis affliguntur. Et vero divinæ hoc providentiæ opus est, quod tantam nobis cum virtutibus cognationem, et tantum vitiorum abominationem indidit; ut illa quidem omnium calculo probetur, etiam eorum, qui illam non adeunt; malitia vero condemnetur et ab iis qui illam aversantur, et ab iis qui illam consectantur. Unde clarum quod contemtas illas non noti solum, sed et ignoti aversantur, et maxime omnium ii qui cohabitant. Nam etsi se dicant valde vos diligere et admirari, etsi gratiam habeant pro hac voluptate et pro donis vestris, attamen odio iterum eritis conscientiis eorum, ubi parum resipuerint, et intellexerint quo laqueo fuerint capti. Tantum est nequitia malum, ut ii, quos maxime omnium colitis, vos potissimum condemnaturi sint, quoniam et maxime omnium vestra sciunt in penitissima admissi, et secreta vestra omnia diffamant. Et quod oderint hinc manifestum est : sæpius voluerunt ab hac scabie et hoc morbo gravi liberari, impedit vero consuetudo, et voluptas quædam quæ inesse videtur; quandoquidem et illa liberari ægritudine optant quidem, eamque omnes qui illa laborant oderunt; at delectantur tamen dum ea laborant, ut in hoc casu contingit. Nam licet quis valde miser et calamitosus sit, non est tamen ita desperatus, nec ita suam cupit inquinari gloriam, ut velit in turpitudine vivere, et in ore omnium

δόξαν, ὡς ἐθελῆσαι ἐν ἀσχημοσύνῃ ζῆν, καὶ ἐν τοῖς πάντων εἶναι στόμασιν ἐπὶ κακηγορίᾳ καὶ γέλωτι καὶ ὀνείδεσι, καὶ θέατρον κοινὸν ἐπὶ τῆς ἀγορᾶς γίνεσθαι, πάντων αὐτὸν ἅμα τῷ φανῆναι τοῖς πλησίον δακτυλοδεικτούντων ἐπὶ τοῖς αἰσχίστοις. Καὶ γὰρ οὐδὲ μικρά τις ἀπὸ τῆς ὑποψίας ταύτης ἀηδία τίκτεται τούτοις, καὶ ἐνοχλεῖ τῷ συνειδότι διηνεκῶς ἐγκαθημένη, καὶ σκώληκος παντὸς μονιμώτερον διατιτρῶσα αὐτῶν τὴν διάνοιαν. Εἰ δὲ ἔνθα παρὰ ἀνθρώπων ἕπεται αἰσχύνη, φανερῶς μὲν οὐδὲν λεγόντων, οἷκοι δὲ καὶ καθ' ἑαυτοὺς ἐγκαλούντων, τοσαύτη γίνεται ὀδύνη, ὅταν πρὸς αὐτὸν ἀπέλθωμεν τὸν ὑβρισμένον νυμφίον, ὅταν καὶ τὰ ἄδηλα εἰς μέσον ἄγηται, ὅταν καὶ καρδίαι ἀναπτύσσωνται καὶ ῥῆμα καὶ σχῆμα καὶ βλέμμα καὶ ἔννοια (τὰ γὰρ τούτων αἰσχρότερα παρίημι)· ὅταν οὖν πάντα ἁπλῶς ἐπὶ τῆς οἰκουμένης ἅπάσης γυμνὰ φαίνηται καὶ τετραχηλισμένα, πόσην ὑποστησόμεθα ἀσχημοσύνην καὶ κόλασιν καὶ τιμωρίαν; Τότε γὰρ, ἂν μὴ παραστῇ λάμπουσα οὕτως ἡμῶν ἡ ψυχὴ, ὡς εἰκὸς τὴν ἁρμοσθεῖσαν ἐκείνῳ τῷ νυμφίῳ, ἂν μὴ πάσης κηλῖδος καὶ ῥύπου καὶ ῥυτίδος ᾖ καθαρὰ, ἀπολεῖται, καὶ τὰ ἔσχατα πείσεται δεινά. Καὶ γὰρ ὁ τυχὼν μῶμος ἱκανὸς αὐτὴν ἐκβαλεῖν· εἰ δὲ ὁ τυχὼν μῶμος ἐκβάλλει, ὅταν πολὺς ὁ ῥύπος ᾖ, καὶ τοσαύτη ἡ ὀυσωδία, καὶ μυρία πάντοθεν τὰ ἕλκη, τίς αὐτὴν ἐξαιρήσεται τῆς κολάσεως καὶ τῆς τιμωρίας ἐκείνης; Εἰ γὰρ ἐνταῦθα οὕτω φαῦλον ὄζει παρὰ πᾶσι καὶ ἀηδὲς τῆς τοιαύτης ὁ βίος, ὡς πάντας αὐτὴν ἀποστρέφεσθαι καὶ φίλους καὶ ἐχθροὺς, πῶς τῶν βασιλικῶν ἐπιβῆναι δυνήσεται προθύρων ἀνακεχρισμένη βορβόρῳ τοσούτῳ; Οὐχ ὁρᾷς ὅτι οὐδὲ ἐν οἰκίᾳ ἀνδρὸς ἰδιώτου καὶ εὐτελοῦς ἀνάσχοιτό τις ἂν ὖν ἐγκυλισθέντα βορβόρῳ παραδέξασθαι ἔνδον, ἀλλ' ἀπελαύνουσι καὶ διώκουσιν ἅπαντες, καὶ τὰς θύρας ἀποκλείουσι, καὶ φεύγουσι πόρρω; Εἰ δὲ ἄλογον ζῶον, καὶ ταῦτα ἐν βορβόρῳ τρεφόμενον, οὐχ ὑπομένουσιν ἄνθρωποι παραδέξασθαι ἔνδον μετὰ κηλῖδος, πῶς εἰς τὰς οὐρανίους σκηνὰς, ἔνθα τοσαύτη λαμπρότης, ἔνθα πάντα φαιδρὰ, ἔνθα φῶς ἀπρόσιτον, ἔνθα ἀστραπῆς πάσης λαμπρότερον ἀπαντῶσι στίλβουσαι αἱ παρθένοι, πῶς δυνήσεταί τις οὕτω ῥυπῶν εἰσελθεῖν; Αἱ μὴ ἔχουσαι ἔλαιον ἀπεκλείσθησαν τοῦ νυμφῶνος, καὶ πῶς ὑμεῖς προσδοκᾶτε ἐπιβήσεσθαι τοῦ νυμφῶνος καὶ τῶν ἀδύτων ἐκείνων; Καὶ γὰρ πολλῷ τοῦτο ἐκείνου χαλεπώτερον τὸ ἁμάρτημα. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἴσον σωματικῆς μὴ μεταδοῦναι τροφῆς, καὶ ψυχὰς ἀπολέσαι πολλάς. Ἐκεῖναι μὲν γὰρ τοὺς πενομένους ἠδίκησαν μὲν οὐδὲν, ἐπειδὴ δὲ τῶν ἑαυτῶν αὐτοῖς οὐ μετέδωκαν, οὐδὲ ἀπήλλαξαν πενίας, ταῦτα ἔπαθον· σὺ δὲ καὶ ἠδίκησας καὶ ὤσας, καὶ οὐ μόνον οὐδὲν ὤνησας, ἀλλὰ καὶ τὰ μέγιστα κατέβλαψας. Εἰ δὲ αἱ μὴ ὠφελήσασαι τοσαύτην ἔδωκαν δίκην, καὶ ταῦτα τῆς παρθενίας ἀκηράτου μενούσης· αἱ πρὸς τῷ μηδὲν ὠφελῆσαι καὶ τὰ μέγιστα ἀδικήσασαι αὑτὰς καὶ τοὺς συνοικοῦντας καὶ τοὺς σκανδαλισθέντας, καὶ πρὸ τούτων τὸ τοῦ

versari, maledictis incessi, rideri, opprobriis onerari, et spectaculum esse in foro commune, omniumque digitis monstrari per ignominiam. Enimvero non parva his insuavitas ab hujusmodi suspicione nascitur, quæ conscientiam assidue exagitat, et omni verme tenacius mentem intus depascitur. Si autem ubi hæc apud homines sequitur infamia, licet nihil palam proferant, sed intra se solum improbent, tantus oritur dolor: cum ad injuria affectum sponsum proficiscemur, cum occulta in medium adducentur, quando et corda revelabuntur, et sermo, et figura, et visus, et cogitatio (transeo enim quæ sunt his turpiora): quando igitur omnia simpliciter in orbe toto nuda apparebunt et aperta, quantam sustinebimus ignominiam, et supplicium, et vindictam? Tunc enim si non se sistat fulgens virtutibus anima, ut decet hujusmodi junctam sponso; si non omni labe, macula et ruga sit pura, peribit et extrema feret. Nam vel quantalibet macula ejicere illam potest. Quodsi autem quantalibet macula ejicit, quando multæ sordes sunt, et tantus fœtor, et plurima ubique ulcera, quis eam eruet e supplicio et illa pœna? Nam si hic ita despecta et insuavis ejus est vita, ut omnes eam aversentur, et amici et inimici, quomodo poterit ad regia transcendere vestibula, tanta luti fœditate oblita? Non vides quod in domo viri privati et vilis nemo ferret porcum luto volutatum intus admitti, sed illum abigunt et persequuntur omnes, et januas claudunt, et fugant procul? Si autem brutum animal, in luto educatum, non ferunt homines intus excipi cum tali macula, quomodo in cælestia tabernacula, ubi tanta claritas, ubi omnia fulgida, ubi lux inaccessa, ubi fulgore omni fulgidiores occurrent virgines, poterit quis sic coinquinatus ingredi? Quæ non habebant oleum, a thalamo exclusæ sunt, et quomodo vos illum thalamum et adyta illa ingredi exspectatis? Etenim multo hoc illo gravius peccatum est. Non enim est par, corporalem cibum non impertire, et multas perdere animas. Illæ quidem pauperes nulla in re afficerant injuria, sed quia sua illis non impartitæ sunt, neque eorum inopiam levaverunt, hæc passæ sunt: tu autem injuria affecisti, et pepulisti, et non solum non profuisti, sed et maxime nocuisti. Quodsi quæ nihil profuerunt, tantam dederunt pœnam, præsertim virginitate sincera manente: quæ non solum inutiles aliis, sed et plurimum sibi ipsis nocuerunt, necnon contubernalibus, et iis qui scandalizati

νυμφίου καθυβρίσασαι ὄνομα, ποίαν ὑποστήσονται τιμωρίαν;

Ἆρα ἴστε, οἷον μεταχειρίζεσθε πρᾶγμα, πρὸς οἷον ἀγῶνα ἀπεδύσασθε, ποῖον ἐλάχετε πολέμου μέρος, οἵαν ἐκληρώθητε τοῦ στρατοῦ τάξιν; Παρ' αὐτὸν τὸν τοῦ πολέμου στρατηγὸν, μᾶλλον δὲ παρ' αὐτὸν ἐσκήνωσθε τὸν βασιλέα καὶ στρατεύεσθε. Καθάπερ οὖν ἐν τοῖς πολέμοις τὸ στρατόπεδον ἅπαν οὐχ ἕνα τόπον ἀπολαμβάνει, ἀλλ' οἱ μὲν τὰ κέρατα ἔχουσι τῆς παρατάξεως, οἱ δὲ τὰ μέσα, καὶ οἱ μὲν τὰ ὀπίσω, οἱ δὲ τὸ μέτωπον κατακοσμοῦσι τῆς φάλαγγος, ἄλλοι δὲ ὅπουπερ ἂν ὁ βασιλεὺς φαίνηται, πανταχοῦ μετ' αὐτοῦ φαίνονται καὶ συμπαραθέουσιν· οὕτω δὴ καὶ ὁ τῶν παρθένων χορὸς, ὅταν παρθένων ᾖ χορὸς, οὐδεμίαν ἄλλην ἀλλ' ἢ ταύτην τὴν τάξιν εἴληχεν. Οὐχ οὕτως οἱ τὰ χρυσᾶ φοροῦντες ἱμάτια, καὶ ἐφ' ἵππων χρυσοφορούντων φερόμενοι, καὶ ἀσπίδας βαστάζοντες χρυσᾶς καὶ λιθοκολλήτους, τοῦ βασιλέως τὴν παρουσίαν ἐμφαίνειν ὀφείλουσιν, ὡς ἡ παρθένος τὴν τοῦ Χριστοῦ. Ἐκεῖνοι μὲν γὰρ παρ' αὐτὸ φαίνονται τοῦ βασιλέως τὸ ὄχημα (τὸ βασιλικὸν), αὕτη δὲ καὶ ὄχημα γίνεται βασιλικὸν, καθάπερ τὰ Χερουβὶμ, ἂν ἐθέλῃ, καὶ παρέστηκεν αὐτῷ καθάπερ τὰ Σεραφίμ.

Δεῖ τοίνυν αὐτὴν εἰς ἀγορὰν ἐμβάλλουσαν, ὥσπερ ἄγαλμα φιλοσοφίας ἁπάσης φαίνεσθαι, καὶ πάντας ἐκπλήττειν, ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα νῦν· καὶ ὡς ἄν, εἴ τῶν Χερουβὶμ αὐτῶν ἓν ἐπὶ τῆς γῆς ἐφάνη, πάντας ἀνθρώπους ἐπέστρεψε, οὕτω καὶ τὴν παρθένον τοὺς ὁρῶντας ἅπαντας εἰς θαῦμα καὶ ἔκπληξιν τῆς ἁγιωσύνης αὐτῆς ἐμβάλλειν δεῖ. Ὅταν γὰρ βαδίζῃ μὲν ὥσπερ δι' ἐρημίας, καθέζηται δὲ ἐν ἐκκλησίᾳ μετὰ σιγῆς βαθυτάτης, τὸ δὲ ὄμμα μηδένα τῶν παρόντων ὁρᾷ, μὴ γυναικῶν, μὴ ἀνδρῶν, ἀλλ' ἢ τὸν νυμφίον μόνον ὡς παρόντα καὶ φαινόμενον, ἀναχωρῇ δὲ οἴκαδε πάλιν τούτῳ διειλεγθεῖσα ἐν εὐχαῖς, καὶ τῆς αὐτοῦ μόνης ἀκούσασα φωνῆς διὰ τῶν Γραφῶν· γενομένη δὲ ἐπὶ τῆς οἰκίας, τὸν ποθούμενον ἀναλογίζηται μόνον, καὶ ξένη καὶ πάροικος ᾖ καὶ παρεπίδημος, καὶ πάντα οὕτω ποιῇ, ὡς εἰκὸς ξένην τῶν ἐνταῦθα πραγμάτων, καὶ μὴ μόνον ἀῤῥένων ὄψεις φεύγῃ, ἀλλὰ καὶ γυναικῶν συνουσίαν τῶν βιωτικωτέρων, καὶ τοσαῦτα τῷ σώματι διακονῆται, ὅσα ἀνάγκη μόνον, τὸ δὲ πᾶν εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἀναλίσκῃ, τίς οὐ θαυμάσεται, τίς οὐκ ἐκστήσεται, ἐν γυναικείᾳ φύσει πολιτείαν ἀγγελικὴν ὁρῶν; τίς δὲ ὅλως τολμήσει προσελθεῖν, τίς δὲ ἅψασθαι πεπυρωμένης ψυχῆς ἄνθρωπος ὤν; Διὰ δὴ τοῦτο πάντες μὲν ἀποστήσονται καὶ ἑκόντες καὶ ἄκοντες, πάντες δὲ ἐκπλαγήσονται, ἅτε χρυσίον πεπυρωμένον καὶ ἀποστίλβον ὁρῶντες. Ἔχει μὲν γὰρ καὶ αὐτὴ ἡ τοῦ χρυσοῦ φύσις πολλὴν τὴν λαμπηδόνα· ὅταν δὲ καὶ τὴν ἀπὸ τοῦ πυρὸς προσλάβῃ, μεῖζον τὸ θαῦμα γίνεται καὶ φοβερώτερον. Εἰ δὲ ἐπὶ σώματος τοῦτο, ὅταν ἐπὶ χρυσῆς τοῦτο συμβαίνῃ ψυχῆς, οὐκέτι ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις ποθεινὸν ἔσται

sunt, et præ omnibus nomen sponsi contumelia affecerunt, qualem sustinebunt cruciatum?

Scitis qualem rem aggressæ, in quem agonem instructæ estis? quam prælii partem, quem in exercitu locum sortitæ? Apud ipsum belli ducem, imo apud ipsum habitatis regem, et militatis. Sicut igitur in bellis non unum locum exercitus omnis occupat, sed alii cornua agminis, alii medium, alii postrema, alii frontem phalangis ornant, alii autem ubi rex comparet ubique cum ipso apparent ac cum ipso currunt: sic virginum quoque chorus, si vere virginum chorus est, nullum alium nisi hunc ordinem sortitus est. Non sic ii qui aureas togas induti, et equis auro ornatis vecti, et aurea gemmisque distincta ferentes scuta, regis præsentiam declarare debent, ut virgo Christi. Nam illi quidem apud ipsum currum regium versantur; virgo autem etiam fit regius currus, sicut Cherubim, si vult, et adstat ipsi sicut Seraphim.

7. Igitur cum in publicum prodit, oportet omnis philosophiæ specimen præ se ferat, et omnes in stuporem convertat, sicut angelus si nunc e cælo descenderet: et sicut ex Cherubim aliquis si in terris appareret, omnes homines in se converteret: sic et virginem omnes qui vident adducere in admirationem et stuporem suæ sanctimoniæ oportet. Nam si dum incedit, quasi per desertum eat; quando autem sedet in ecclesia, profundissimo cum silentio; oculus ejus nullum videat præsentium, non mulierum, non virorum, sed solum sponsum ut præsentem et conspicuum; concedat autem iterum in domum, ei in precibus colloquuta, et ejus solius voce per Scripturas audita; domi vero eum quem desiderat et amat, solum cogitet, sit quasi peregrina et advena, omniaque faciat quasi res præsentes nihil ad ipsam pertineant; et non solum masculorum fugiat aspectus, sed et conventum sæcularium mulierum, tantaque corpori suppeditet, quanta necesse est, et universa in animæ salutem impendat: quis non admiretur, qui non obstupescat, in muliebri natura vitam angelicam intuens? quis autem homo accedere, quis tangere audeat tam flagrantem animam? Eapropter omnes quidem ab ea abstinebunt, et sponte et inviti; omnes item in stuporem vertentur, utpote aurum fulgens et ignitum videntes. Nam etsi auri natura habet per se multum fulgoris; cum autem et ignem in se tenet, majori miraculo est et terribilior. Quodsi hoc in corpore, quando idem in anima contingit aurea, non tunc hominibus solum,

θέαμα. Τί τοίνυν κοσμεῖς σεαυτὴν ἱματίοις, τὸν ἀπὸ τῆς φλογὸς ταύτης ἔχουσα κόσμον; Καὶ γὰρ τὰ ἱμάτια οὐχ ἵνα καλλωπιζώμεθα δέδοται, ἀλλ' ἵνα τὴν ἀπὸ τῆς γυμνότητος αἰσχύνην κρύπτωμεν· οὐχ ἵνα τοιαῦτα ἐνδυώμεθα, ἃ τῶν γυμνῶν ἡμᾶς μᾶλλον καταισχῦναι δυνήσεται. Διὰ τοῦτο καὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους ἐνέδυσεν ὁ Θεὸς καὶ τὴν ἐκείνου γυναῖκα· καίτοι γε ἐνῆν, εἴπερ ἠβούλετο, καλὰ περιθεῖναι ἱμάτια· ἀλλ' ἄνωθεν ἡμῖν καὶ δι' ἐκείνων δείκνυσιν ὅτι οὐ τρυφῆς ὁ παρὼν καιρὸς, ἀλλὰ τοῦ στένειν καὶ κόπτεσθαι. Εἰ δὲ αὐτὸ τὸ δεηθῆναι περιβολῆς αἰσχύνη καὶ κατάγνωσις καὶ ἐξ ἁμαρτίας γέγονε, τί τῆς κατηγορίας ἐπιτείνεις τὸ αἴνιγμα; μὴ γὰρ οὐκ ἀρκεῖ δεῖξαι τὴν κατάπτωσιν ἡμῶν αὐτὸ τὸ δεηθῆναι σκέπης; τί μείζονα ποιεῖς τὴν διαβολήν; τί τὴν κατηγορίαν αὔξεις, ἐπιτείνουσα τὴν χρείαν; Δίον γὰρ ὀδύρεσθαι καὶ στένειν καὶ τὸ σῶμα αὐτὸ ἀποθέσθαι κατὰ τὸν Παῦλον, ἡμεῖς δὲ καθήμεθα περὶ τὰ σκεπάσματα αὐτοῦ φιλοτεχνοῦντες, ὥσπερ ἂν εἴ τις οἰδήματα περὶ τὴν ὄψιν ἔχων, καὶ εἰς ἀνάγκην τοῦ σκέπειν αὐτὰ καταστὰς, ἔτι καὶ καλλωπίζοι τὰ καλύμματα ταῦτα. Διὰ τοῦτο Ἠλίας, διὰ τοῦτο Ἰωάννης ἁπλῆν εἶχον ἐσθῆτα, δερματίνους χιτῶνας καὶ ἱμάτια τρίχινα περιβαλλόμενοι· ἠπείγοντο γὰρ καὶ ἐπεθύμουν τὸ ἔνδυμα τῆς ἀφθαρσίας λαβεῖν. Σὺ δὲ καὶ τὰς ἐν τῇ σκηνῇ παρατρέχεις γυναῖκας τῇ τῶν ἱματίων περιεργίᾳ, δι' ἐκείνων τοῖς ἀνεπτερωμένοις τῶν νέων τιθεῖσα τὰς μηχανάς. Οὐχ οὕτω σὲ κοσμεῖσθαι καὶ καλλωπίζεσθαι βούλεται ὁ νυμφίος, ἀλλ' ἐν τῇ ψυχῇ σου πᾶσαν ἀποκεῖσθαι αὐτοῦ τὴν δόξαν ἐκέλευσε· σὺ δὲ ἐκείνης μὲν ἀμελοῦσα, τὸν πηλὸν καὶ τὴν τέφραν κατακοσμεῖς ποικίλως, καὶ ἐραστὰς ἕλκεις ἀκολάστους, καὶ μοιχοὺς ἐργάζῃ τοὺς ὁρῶντας, ὡς εἰπεῖν, ἅπαντας. Καὶ ὅτι μὲν πολὺ συνάγεις ἐντεῦθεν τὸ πῦρ, οὐδὲ αὐτὴν οἶμαί σε ἀντερεῖν· ὅτι δὲ καὶ ἀδοξία καὶ ὄνειδος ἐντεῦθεν ἕψεται, καὶ τοῦτο πειράσομαι ποιῆσαι φανερὸν ἀπ' αὐτῶν τῶν ἐραστῶν. Ὅταν γὰρ ἡ μὲν τὴν ψυχὴν καλλωπίζουσα τὸν Θεὸν ἔχῃ τοῦ κάλλους ἐραστὴν, σὺ δὲ ἀνθρώπους, μᾶλλον δὲ οὐδὲ ἀνθρώπους, ἀλλὰ χοίρους καὶ κύνας, καὶ εἴ τι τούτων ἀλογώτερον, τίς οὕτως ἀνόητος, ὡς σὲ μᾶλλον ἐκείνης κεκοσμῆσθαι φάναι τῆς τὸν Θεὸν εἰς ἐπιθυμίαν ἀγούσης τῆς εὐμορφίας τῆς ἄνωθεν; Ὥστε ὅσῳ ἂν ἐπιτείνῃς τὴν περιεργίαν, τοσούτῳ γέγονας βδελυκτὴ, τὸν μὲν Θεὸν ἀποτρέπουσα, τούτους δὲ ἑλκομένη, καὶ ταύτῃ μειζόνως αἰσχροτέρα φαινομένη καὶ δυσειδής. Πῶς γὰρ οὐ δυσειδὴς ἡ μὴ δυναμένη τὸν Θεὸν ἐπισπάσασθαι; Εἰ δὲ ἡ καλλωπιζομένη οὕτως ἀηδὴς, ὅταν ᾖ καὶ συνοικοῦντα ἔχουσα, ἐννόησον ὅσον ἐπιτείνει τὸ μῖσος.

Ἀλλ' εἰ δοκεῖ, μὴ τὴν συνοίκησιν εἴπωμεν μόνον, ἀλλὰ καὶ ἀναπτύξωμεν αὐτὴν, ὥστε αἰσχροτέραν φανῆναι. Ἐπειδὴ γὰρ οὐ δεδοίκασι τὸν ἀκοίμητον ὀφθαλμὸν, ἀλλ' οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων τοῦτο φόβος αὐτοῖς, φέρε καὶ ταύτης αὐτοὺς ἀποστερήσωμεν τῆς παραμυθίας, ἃ κρύπτουσι τοῖχοι καὶ συσκιάζουσι,

sed et angelis desiderabile erit hoc spectaculum. Quare ergo vestibus te ipsam ornas, quæ ab hac flamma tantum habes ornatum? Etenim vestes non sunt datæ ut eis ornemur, sed ut nuditatis fœditatem occultemus, non ut talibus induamur, quæ nos majori turpitudini, quam ipsa nuditas, exponant. Idcirco et Adam induit Deus vestes pelliceas, similiter et ejus uxorem; quamvis si voluisset, pulchris eum potuisset induere vestibus; sed nobis antiquitus et per illas ostendit, quod non sit præsens tempus deliciarum, sed gemitus et planctus. Quodsi ignominiæ est et condemnationis, et ex peccato venit, ut amictu indigeas, quid accusationis documenta auges? an non satis casum nostrum indicat, quod vestibus egeamus? cur crimen exaggeras? cur indigentia ampliore accusationem auges? Oportebat enim ejulare et gemere, et corpus ipsum castigare, secundum Paulum (1 *Cor.* 9. 27): nos autem sedemus, et velamenta artificiose contexentes, sicut si quis tumores circa oculos habeps ea cogatur obvelare, et hæc adhuc velamenta exornet. Propterea Elias, propterea Joannes simplicem habentes amictum et pelliceas tunicas, et vestibus e pilis induti, anhelabant et concupiscebant indumenta incorruptionis accipere. Tu autem scenicas mulieres præcellis vestium curiositate, quibus insidias adolescentibus elegantioribus pares. Non sic te indui et ornari vult sponsus, sed in anima tua omnem repositam suam esse gloriam jussit; tu autem illam negligis, ac lutum ac cinerem varie decoras, et amatores incontinentes illicis, et adulteros facis pæne omnes qui te vident. Et quod multum hinc ignem congeras, nec te puto infitias ire; quod autem inde ignominia et probra sequantur, id ex amatoribus tuis ostendam. Nam cum ea quæ animam ornat, Deum suæ pulchritudinis habeat amatorem, tu vero homines, imo non homines, sed porcos et canes, et si quid magis est rationis expers: quis ita est insipiens, ut te ornatiorem illis putet, quarum desiderio Deus ducitur ob æternam formositatem? Atque adeo, quanto curiositati plus vacas, tanto abominabilior facta es: et Deum quidem a te avertis, hos autem illicis, hinc que tanto magis fœda ac turpis appares. Nam quomodo non turpis, si Deum allicere non potes? Quodsi quæ se ornat, adeo ingrata; si etiam cohabitantem habet, cogita quantum conciliet sibi odium.

8. Sed si videtur, non cohabitationem dicamus solum, sed aperiamus ipsam palam, ut magis fœda videatur. Nam quoniam non timent oculum soporis nescium, sed oculi hominum timor eorum: age et hac ipsas consolatione privemus, quæ occulta et tecta parietibus sunt in medium

ταῦτα εἰς μέσον ἀγαγόντες, καὶ τὰς θύρας ἀναπετάσαντες τοῖς βουλομένοις ὁρᾶν, ἀπὸ τῆς εὐνῆς αὐτοὺς πρῶτον ἐγείραντες· μᾶλλον δέ, εἰ δοκεῖ, τὰ κατὰ τὴν οἰκίαν ἐξετάσωμεν πρῶτον. Καὶ δῶμεν τοίχοις αὐτοὺς διαίργεσθαι καὶ οἰκήμασι καθεύδοντας· οὐδὲ γὰρ οἶμαί τινα, κἂν σφόδρα ἀσχημονεῖν ἔληται, μέχρι τοσούτου παραδειγματίζειν ἑαυτὸν, ὡς καὶ ἐν ἑνὶ καθεύδειν οἰκήματι. Ἑστωσαν τοίνυν διηρημένοι τοῖς τοίχοις· καὶ τί τοῦτο; οὐ γὰρ ἱκανὸν ἀπαλλάξαι ὑποψίας αὐτούς· πλὴν ἀλλὰ μηδὲν περὶ ὑποψίας νῦν, μηδ' ἐὰν μυρίαι παιδίσκαι συνοικῶσιν αὐτῷ· τὴν δὲ ἄλλην ἀσχημοσύνην ἐξετάσωμεν τέως. Συμβαίνει γὰρ κατὰ ταὐτὸν ἀναστάντας, οὐ πανυχίδων ἕνεκεν (οὐδὲν γὰρ ἀπὸ τῶν τοιούτων ψυχῶν εὐλαβὲς ἄν ποτε γένοιτο), καὶ διοδεύειν ἀλλήλους κειμένους, καὶ προσφθέγγεσθαι νύκτωρ· οὗ τί γένοιτ' ἂν αἰσχρότερον; Εἰ δὲ συμβαίη καὶ ἀῤῥωστῆσαι ἄφνω τὴν συνοικοῦσαν, οὐδὲ τοίχων ἐνταῦθα ὄντος λοιπὸν, ἀλλὰ διαναστὰς πρὸ τῶν ἄλλων ἐπεισέρχεται κειμένῃ τῇ παρθένῳ, τὴν ἀῤῥωστίαν ἔχων ἀπολογίαν, καὶ τῶν θεραπαινίδων πολλάκις ὀκνηρότερον διακειμένων, καὶ παρακάθηται, καὶ τὰ ἄλλα ἐπιμελεῖται, ἃ γυναῖκας μόνον πολλάκις θέμις διακονεῖν, καὶ οὔτε ἐκείνη αἰσχύνεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται, οὔτε οὗτος ἐρυθριᾷ, ἀλλὰ καὶ χαίρει μειζόνως, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὴν δουλείαν αἰσχροτέραν ἐπιδείκνυται· καὶ ἡ ἀποστολικὴ ῥῆσις ἐκείνη ἡ λέγουσα ὅτι « Ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν », διὰ τῶν ἔργων δείκνυται τότε. Ὅταν δὲ καὶ αἱ θεραπαινίδες διανασταῖσι, χείρων ἡ αἰσχύνη· καὶ γὰρ ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καὶ μονοχίτωνες, καὶ γυμναῖς ταῖς χερσὶν, ἅτε τεθορυβημέναι καὶ ἐν νυκτὶ ἀνιστάμεναι, διατρέχουσι παρόντος ἐκείνου, μᾶλλον δὲ μέσον στρεφομένου καὶ συνδιαθέοντος, ἅπαντα ἀναγκάζονται πληροῦν· οὗ τί γένοιτ' ἂν αἰσχρότερον; Εἰ δὲ καὶ μαῖα παραγένοιτο, οὐδὲ οὕτως ἐπαισχύνεται, ἀλλὰ καὶ χορῶν ἀλλοτρίων ἐπεισιουσῶν ἐνεβρύνεται. Εἷς ἐν γὰρ ὁρᾷ μόνον, ὅπως ἐπιδείξαιτο τῇ ἀῤῥωστούσῃ τὴν ἑαυτοῦ διακονίαν, οὐκ εἰδὼς ὅτι ὅσῳ ἂν ἐπιδείξηται, τοσούτῳ μᾶλλον καὶ ἑαυτὸν κἀκείνην κατήσχυνε. Καὶ τί θαυμαστὸν εἰ παραγινομένην μὴ ἐρυθριᾷ; πολλάκις γὰρ καὶ μέσων νυκτῶν οὐκ ὀκνοῦσι, θεραπαινίδων εὐτελεστέρων ἔργον ποιοῦντες, ἐπ' αὐτὴν τὴν μαῖαν δραμεῖν· ὅταν δὲ παραγένηται, νῦν μὲν αὐτὸν ἐξέβαλε καὶ ἄκοντα, κἂν λίαν ἀναίσχυντος ᾖ, νῦν δὲ ἐπέτρεψεν εἰσελθεῖν καὶ παρακαθῆσθαι· καίτοι τί ἄν τις, κἂν μυρία ἐπιτηδεύσῃ ὥστε καταισχῦναι αὐτὸν, τοιοῦτον ποιήσειεν ἄν, οἷον αὐτοὶ κατασκευάζουσιν ἑαυτοῖς; Ὅταν δὲ ἡμέρα γένηται, καὶ τῆς εὐνῆς ἀμφοτέρους ἐξανίστασθαι δεῖ, φυλακαὶ καὶ παρατηρήσεις. Οὔτε γὰρ προελθεῖν εἰς τὸ ἔξώτερον δωμάτιον ἀδεῶς αὐτὴ δύναιτ' ἄν· πολλάκις δὲ προελθοῦσα ἴσως, καὶ γυμνῷ τῷ σώματι προσπεσοῦσα τἀνδρός — κἀκεῖνος αὐτὸ τοῦτο ὑφορώμενος νῦν μὲν προαγγείλας εἰσῆλθε, νῦν δὲ ἀφυλάκτως, καὶ πολὺν ὦρλιγσε γέλωτα· πλέον γὰρ οὐδὲν εἰπεῖν βούλομαι·

afferentes; aperiamus januam iis qui videre ea volunt, a lecto ipsos primum excitantes; imo si videtur, primum exquiramus quæ domi contingunt. Concedamus parietibus ipsos separari et in cubiculis variis dormire. Non enim puto aliquem, etsi valde fœditati sit obnoxius, ita se ipsum traduci velle, ut in uno dormiat cubiculo. Sint igitur disjuncti parietibus: et quid hoc fuerit? non enim sufficit ut a suspicione liberentur. Verum nunc de suspicione nihil, licet ancillæ plurimæ illi cohabitent; aliam autem turpitudinem jam exquiramus. Evenit enim cum per idem tempus surgunt, non ob pervigilia (nihil enim pium ab his animabus expectandum), ut transeant ad se invicem jacentes, et compellent nocte: quo quid esse queat turpius? Quodsi contingat repente et cohabitantem ægrotare, neque parietum hic postea aliqua utilitas, sed exsurgens præ aliis ad virginem jacentem ingreditur, infirmitatem prætexens, et ancillis sæpe tardius paratis, et assidet et alia curat quæ mulierem sæpe solam ministrare fas est; neque pudet illam, sed gloriam putat, neque ipse erubescit, sed magis gaudet, et tanto magis quanto fœdiorem servitutem præ se fert. Apostolicum illud verbum (*Philipp.* 3. 19) quod dicit, *Gloria in confusione ipsorum*, tunc re ipsa monstratur. Ubi autem et ancillæ surrexerint, major turpitudo; nam et aperto capite, et una tunica, et nudis manibus, utpote turbatæ et in nocte surgentes, discurrunt illo præsente, imo in medio versante et simul currente, omnia coguntur implere: quo quid fieri possit fœdius? Quodsi et obstetrix adsit, neque sic pudeat, sed et aliis virginibus ingredientibus hoc sibi gloriosum existimat. Unum enim solum spectat, quomodo monstret ægrotanti suum ministerium, ignorans quod quo magis ostendit, eo magis et se ipsum et illam deionestat. Et quid mirum, si præsentem obstetricem non erubescat? sæpe enim mediis noctibus vilium ancillarum opus facturus ad ipsam obstetricem currere non gravatur: quando autem advenit, nunc quidem ipsum ejicit vel invitum, licet valde impudens sit; nunc autem permittit ut ingrediatur et assideat: quamquam quidnam facere quispiam possit ad illum pudore afficiendum, etiamsi millia conetur, iis simile quæ ipse sibi facit? Ubi autem dies illuxit et utrosque e lecto surgere oportet, custodiæ et observationes sunt. neque enim ipsa ad exteriorem domunculam progredi sine timore possit; sæpe autem progressa, fortasse et in virum nudum incidit. Ille vero hoc ipsum suspicans, modo id ante monens ingreditur, modo incautus, ac multum risum excitat: nihil enim amplius

ταῦτα δὲ, εἰ καὶ μικρὰ, ἀλλὰ μεγάλους ἄνθρακας ἀσελγείας τίκτειν εἴωθε. Καὶ ταῦτα μὲν ἐπὶ τῆς οἰκίας, καὶ πλείονα τούτων· ὅταν δὲ εἰς ἀγορὰν ἐμβαλὼν ἐπανιέναι μέλλῃ, μείζων ἡ ἀσχημοσύνη πάλιν. Ἅτε γὰρ εἰς ἰδίαν εἰσιὼν οἰκίαν, καὶ οὐκ ἀναγκαζόμενος προαγγεῖλαι, παρακαθημένας εὑρὼν γυναῖκας κατήσχυνεν ἐκείνην· καὶ αὐτὴ δὲ τὸ αὐτὸ πέπονθε πολλάκις. Καὶ γυναῖκας μὲν γυνὴ δέξασθαι αἰσχρὸν εἶναι νενόμικε, καὶ ἄνδρας ὁ ἀνήρ· ἀλλήλοις δὲ συνοικεῖν οὐ παραιτοῦνται, παραιτούμενοι ἀλλήλων τοὺς ὁμοφύλους ξενίσαι. Τί τούτου χεῖρον γένοιτ' ἄν; Ἔστι δὲ ὅτε αὐτὸν καὶ γυναῖκες εὗρον παρακαθήμενον μηρυομένῃ καὶ ἠλακάτην ἐχούσῃ. Τί ἂν τις εἴποι τὰς ὕβρεις, τὰς μάχας τὰς καθημερινάς; κἂν γὰρ πολλὴ ἡ φιλία ᾖ, ἀλλὰ καὶ ταῦτα συμβαίνειν εἰκός. Ἤκουσα δὲ ἔγωγέ τινων, ὅτι καὶ ζηλοτυπίας ὑπομένουσιν· ἔνθα γὰρ ἂν μὴ ᾖ ἀγάπη πνευματικὴ, ἀνάγκη καὶ τοῦτο γίνεσθαι. Ἐντεῦθεν τὰ πτώματα τὰ συνεχῆ, ἐντεῦθεν αἱ διαφοραὶ, ἐντεῦθεν ἀνελεύθεροι καὶ ἀναίσχυντοι γίνονται αἱ παρθένοι, κἂν μὴ διαφθαρῶσι τὸ σῶμα, τὸ ἦθος διαφθειρόμεναι. Ὅταν γὰρ μετὰ παῤῥησίας μάθῃ διαλέγεσθαι ἀνδρὶ, καὶ συγκαθέζεσθαι, καὶ ἀντιβλέπειν, καὶ γελᾶν παρόντος, καὶ πολλὰ ἕτερα ἀσχημονεῖν, καὶ μηδὲν ἡγῆται τοῦτο εἶναι δεινὸν, ἀναιρεῖται τὸ κατάπτασμα τῆς παρθενίας, καὶ πατεῖται τὸ ἄνθος. Ἐντεῦθεν οὐδὲν ὀκνοῦσιν οὐδὲ παραιτοῦνται, ἀλλὰ καὶ προμνήστριαι γίνονται γάμων, καὶ κάπηλοι πραγμάτων ἑτέρων, καὶ βουλομένας χηρεύειν πολλὰς κωλύουσι, νομίζουσαι τῶν οἰκείων κακῶν ἀπολογίαν εὑρηκέναι ταύτην· ἐντεῦθεν εὐκαταφρόνητοι πᾶσίν εἰσιν, ἐντεῦθεν καὶ αὐταὶ αἱ γεγαμημέναι αὐτὰς οὐκ ἐπαισχύνονται, ἅτε ἄμεινον αὐτῶν πράττουσαι πανταχοῦ. Πολλῷ γὰρ βέλτιον ἑνὶ καὶ δευτέρῳ συνάπτεσθαι γάμῳ, ἢ τοιαῦτα ἀσχημονεῖν, καὶ προαγωγῶν καὶ μαστροπῶν ὑπόνοιαν λαμβάνειν παρὰ πᾶσιν, ὅτι τῶν ἡδέων ἀποστᾶσα τοῦ γάμου τοῖς φορτικοῖς ἑαυτὴν ὑποβάλλει τοῦ γάμου. Τί γὰρ φορτικώτερον ἢ ἄνδρα ἔχειν καὶ τὰ ἐκείνου μεριμνᾶν; Ἀπήλλαξέν σε τῆς ἐπαχθείας ταύτης ὁ Θεός· τὸ « Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει » λέλυταί σοι διὰ τῆς παρθενίας· τί πάλιν ἐπισπᾶσαι τὴν δουλείαν; Ἐλευθέραν σε ἐποίησεν ὁ Χριστὸς, σὺ δὲ σαυτῇ ῥάπτεις πράγματα· ἀμέριμνόν σε ἐποίησε, σὺ δὲ ἐπινοεῖς φροντίδας.

Ἀλλὰ γὰρ ἐπειδὴ μερίμνης ἐμνημόνευσα, εὐκαίρως με ταῦτα λέγοντα εἰσῆλθε τὸ ἀποστολικὸν ἐκεῖνο. Εἰ γὰρ τὸ συνοικεῖν ἀνδράσι γυναῖκας, καὶ γυναιξὶν ἄνδρας, τοῦτο ὑπετέμνετο φροντίδας, οὐκ ἂν ἐπὶ ἐγκράτειαν παρακαλῶν ὁ Παῦλος εἶπε, « Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι », ὡς καὶ ταύτῃ προτρέπων ἡμᾶς. Τί γὰρ βούλεσθε; φησίν· ἀνάπαυσιν, καὶ ἐλευθερίαν; Εἶτα οὐχ ὁρᾶτε τοὐναντίον ἐκβαῖνον, δουλείαν καὶ μόχθους καὶ ταλαιπωρίας πολλὰς ἀπὸ τοῦ συνοικεῖν ἀνδράσι; Πολλαὶ γοῦν πολλάκις ἀποβαλοῦσαι τοὺς ἄνδρας διὰ τοῦτο οὐκ ἐγήμαντο πάλιν, ἵνα μὴ ὑπὸ ζυ-

dicere volo. Haec autem quamvis parva, tamen magnae libidinis carbones accendere consueverunt. Et haec quidem domi, et majora his: quando autem in publicum iverit et jam sit rediturus, iterum major turpitudo. In domum quippe suam ingressus, dum non cogitur praenuntiare, inventis mulieribus assidentibus illam pudefacit, et ipsa saepe ita afficitur; turpeque censet mulier si mulieres excipiat, et vir si viros: mutuum vero contubernium non recusant; cavent autem ne suos contribules hospitio excipiant: quo quid deterius fieri possit? Accidit interdum, ut ipsum mulieres etiam invenerint assidentem agglomeranti vel colum tenenti. Quid opus est dicere jurgia et quotidianas lites? nam etiam si multa amicitia sit, haec quoque contingere est verisimile. Audivi autem de aliquibus, eos etiam zelotypiae mala sustinere. Nam ubi non est dilectio spiritualis, et hoc necesse est fieri: inde continui casus, inde corruptiones, inde virgines redduntur impudentes et illiberales; etsi corpore non corrumpantur, moribus tamen. Quando enim discit libere loqui viro, considere, in eum obtueri, et ipse praesente ridere, et multa alia foeda agere, neque hoc grave aliquid esse putat, tollitur virginitatis velum, et flos conculcatur. Inde vero nihil agere dubitant, nihil deprecantur, sed et internuntiae nuptiarum fiunt, et institoriam negotiorum obeunt, multasque volentes esse viduas prohibent, putantes se suorum malorum defensionem invenisse: inde omnibus despicabiles sunt, inde et nuptae ipsarum causa non erubescunt, utpote in omnibus melius agentes. Multo enim melius unum et alterum inire conjugium, quam haec foeda agere, et lenonum suspicionem apud omnes subire, quod a suavitate nuptiarum se abstrahant, et oneribus nuptiarum se subdant. Quid enim onerosius quam virum habere, et sollicitam esse de iis quae illius sunt? Exoneravit te ab hac molestia Deus: illo (*Gen.* 3. 16) *Ad virum tuum conversio tua, et ipse tui dominabitur*, soluta es per virginitatem: quid iterum te servituti subjicis? Liberam te effecit Christus, tu autem tibi ipsi nectis negotia: ab omni sollicitudine liberam te fecit, tu autem curas excogitas.

9. Sed quoniam sollicitudinis mentio incidit, tempestive haec dicenti succurrit apostolicum illud. Nam si cohabitare viris mulieres et mulieribus viros curas tolleret, ad continentiam adhortando Paulus (1 *Cor.* 7. 32) non dixisset: *Volo autem vos sine sollicitudine esse*, ut et hac ratione nos admoneret. Quid enim vultis? ait: quietem et libertatem? Deinde non videtis contrarium evenire, servitutem et labores et miserias multas, dum viris cohabitatur? Multae quidem saepe amissis viris ob hoc non iterum

γὸν δουλείας ὤσιν. Ὅλως δὲ εἰ πενίᾳ συζῇς, καὶ πανταχόθεν ἀπροστάτευτος εἶ, ἀρετὴν ἐπίδειξαι βίου, καὶ πρὸς ἄνδρα μὲν μηδὲν ἔχε κοινόν, ἀνάμιξον δὲ σαυτὴν γυναιξὶν εὐσχημόνως βεβιωκυίαις, καὶ οὔτε ἀπολεῖς σου τὸν στέφανον, καὶ ἀδείας ἀπολαύσεις πάσης. Εἰ δὲ δυσπόριστον εἶναι τοῦτο νομίζεις, ζήτησον σπουδαίως, καὶ πάντως εὑρήσεις· μᾶλλον δὲ οὐδὲ ζητεῖν ἀναγκη. Ὥσπερ γὰρ τῷ φωτὶ προστρέχομεν ἅπαντες, οὕτως ἐὰν λάμψωσί σου τῆς πολιτείας αἱ ἀκτῖνες, πᾶσαι ἐπιδραμοῦνται ἀγαπῶσαι, ἑκάστη διακόνου σοι τάξιν ἐπέχειν καὶ τῆς ἰδίας οἰκίας ἀσφάλειάν σε ἡγήσονται εἶναι, καὶ κόσμον τοῦ βίου, καὶ στέφανον τῆς ζωῆς κατὰ τὸν τοῦ Χριστοῦ λόγον· « Ζητεῖτε γὰρ, φησὶ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. » Νυνὶ δὲ καὶ τοῦ τῶν βιωτικῶν ἐκπίπτειν ἡμεῖς αἴτιοι, τῶν οὐρανίων ἀμελοῦντες πραγμάτων. Ἡμεῖς δὲ ὅταν εἴπω, οὐκ ἄνδρας λέγω μόνον, ἀλλὰ καὶ ὑμᾶς, καὶ ὑμᾶς μᾶλλον ἢ ἄνδρας, ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν διὰ τοῦτο χαλεπωτέραν ἐδέξατο τιμωρίαν ἡ γυνὴ, ἐπειδὴ καὶ τὸ πλέον τῆς ἀπάτης εἰσήνεγκε· διὸ καὶ τὴν ἀπατήσασαν τοῦ ἀπατηθέντος μᾶλλον ἐκόλασεν ὁ Θεός· ὃ καὶ νῦν ἔσται, ἂν μὴ βουληθῆτε διορθώσασθαι καὶ πρὸς τὴν οἰκείαν ἐπανελθεῖν εὐγένειαν. Διὰ γάρ τοι τοῦτο καὶ ἡ γυνὴ τότε ἐγκαλουμένη, ὅτι τῷ ἀνδρὶ ἔδωκεν ἐκ τοῦ καρποῦ, οὐκ ἐτόλμησεν εἰπεῖν ὅτι Ἐχρῆν μὲν αὐτὸν ἄνδρα ὄντα μὴ πεισθῆναι, μηδὲ ἀπατηθῆναι, ἀλλὰ ταύτην μὲν ὡς οὐδὲν οὖσαν ἀπολογίαν ἐσίγησεν, ἐφ' ἑτέραν δὲ ἦλθεν, ἀσθενῆ μὲν καὶ αὐτὴν, πλὴν ἀλλ' ὅμως παρὰ ταύτην μᾶλλον ἔχουσαν λόγον. Ὅθεν δῆλον ὅτι μᾶλλον τοῖς ἠπατημένοις ἔξεστι προβαλέσθαι τοὺς ἀπατεῶνας, ἢ ἐκείνοις τοὺς ἠπατημένους. Ἡ πόρνη καλεῖ τὸν ὑβρίζοντα αὐτῆς τὸ σῶμα, καὶ συγκατακλίνασα πάλιν ἀφίησι· σὺ δὲ τὸν ὑβρίζοντά σου τὴν ψυχὴν καὶ φθείροντα καλέσασα, καταклείεις ἔνδον διαπαντὸς, καὶ οὐ συγχωρεῖς ἐξιέναι, δεσμὰ περιβάλλουσα χαλεπὰ τῇ κολακείᾳ, τῇ θεραπείᾳ, ταῖς ἄλλαις πράξεσι, καὶ ἡγῇ δοξάζεσθαι, καταισχύνουσα ἑαυτήν; Εἶτα οὐκ ἐννοεῖς, εἰπέ μοι, τὸν παρόντα βίον, πῶς βραχύς, πῶς ὀνείρασι προσέοικε, καὶ ἄνθεσι μαραινομένοις, καὶ σκιᾷ παρατρεχούσῃ; Τί βούλει τρυφήσασα νῦν ἐν ὀνείρατι, κολάζεσθαι ἐν ἀληθείᾳ τότε; Καίτοι γε οὐδὲ τρυφὴ τὸ πρᾶγμά ἐστι· πῶς γὰρ, ὅπου κατάγνωσις καὶ κατηγορία καὶ σκώμματα καὶ σκάνδαλα; Πλὴν ἀλλ' εἰ καὶ τρυφὴ ἦν, τί σταγὼν ὕδατος μικρὰ πρὸς ἄπειρον πέλαγος;

« Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου », πρὸς τὴν οἰκουμένην ποτὲ κακῶς διακειμένην ἔλεγεν ὁ Δαυίδ. Τοῦτο τοίνυν καὶ ἡμεῖς ἐπᾴδομέν σοι, τὸ ῥῆμα μικρὸν παραλλάξαντες τοῦ προφήτου, καὶ ἐροῦμεν μετὰ τοῦ προφήτου· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τῆς πονηρᾶς συνηθείας, καὶ τῶν ἐπὶ κακῷ σοι συνοικούντων, καὶ

nubunt, ne sub jugo servitutis iterum sint. Prorsus autem si in paupertate vivis et omni patrocinio cares, virtutem vitæ ostende, et cum viro nihil habe commune : conjunge te mulieribus quæ honeste vixerunt, et neque tuam coronam disperdes, et omni perfrueris securitate. Quodsi hoc difficile esse putas, quære diligenter, et omnino invenies; imo non necessarium est quærere. Nam sicut ad lucem occurrimus omnes, sic, si refulgebunt radii vitæ tuæ, omnes accurrent te diligentes, unaquæque tibi munere fungetur ministræ, et te domus suæ securitatem putabit esse, et ornatum vitæ et coronam secundum sermonem Christi. *Quærite* enim, ait (*Matth.* 6. 33), *regnum Dei, et hæc omnia adjicientur vobis.* Nunc autem et nos auctores sumus, ut ex hac sæculari felicitate excidamus, quod cælestia negligamus. Nos autem quando dico, non viros solum dico, sed et vos, et vos magis quam viros, quoniam et ab initio ob hoc graviorem pœnam accepit mulier, quia deceptionis major causa fuit; propter hoc et decipientem magis quam deceptum punivit Deus : quod et nunc erit, si non volueritis corrigi, et ad propriam redire nobilitatem. Propter hoc enim et mulier tunc reprehensa, quod viro dedisset de fructu, non audebat dicere : oportuisse, cum vir esset, non persuaderi neque decipi; sed hanc quidem utpote frigidam defensionem tacuit, ad aliam autem venit infirmam quidem et ipsam, attamen plus hac habentem rationis. Unde palam est magis licere deceptis in deceptores culpam rejicere, quam deceptoribus in deceptos. Scortum accersit eum qui contumelia corpus suum afficiat, et postquam cum illo dormierit, iterum dimittit; tu autem ubi vocaris eum qui injuria afficit et corrumpit animam tuam, semper ipsum includis, et non permittis exire, vinculaque gravia injicis adulatione, cura et aliis operibus, et putas te glorificari, cum te ipsam ita confundis? Non cogitas tu, dic mihi, præsentem vitam, quam brevis, ut somniis assimiletur, et flosculis marcescentibus, et umbræ prætereunti? Cur vis deliciari nunc in somnio, et puniri tunc in veritate? Quamquam nec delicias hæc res habet : quomodo enim, ubi condemnatio et reprehensiones et convicia et scandala? Verum si etiam essent deliciæ, quid est parva aquæ gutta ad immensum mare?

Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris tui, et concupiscet rex decorem tuum, ad orbem terræ aliquando male affectum dicebat David (*Psal.* 44. 11). Hoc igitur nos tibi occinemus, verbum prophetæ paululum immutantes, et dicemus cum propheta : Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere malæ consuetudinis et eorum qui tibi male cohabitant, et concupiscet Rex pulchritudinem

ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Τί σοι τούτου πλέον, τί δὲ ἴσον ἔχοιμεν ἂν εἰπεῖν, ὅταν τὸν τῶν οὐρανῶν καὶ γῆς καὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων Δεσπότην ἐραστὴν λάβῃς, ἀπαλλαγεῖσα τούτων τῶν εὐτελῶν ὁμοδούλων καὶ καταισχυνόντων σου τὴν εὐγένειαν; Διὸ δὴ καὶ ἐνταῦθα καταλῦσαι τὸν λόγον καλόν· οὐδὲν γὰρ ἴσον εἰπεῖν τούτης ἔχομεν τῆς τιμῆς. Εἰ γὰρ βασιλέα τῶν ἐπὶ γῆς λαβοῦσά τις νυμφίον, πάντων ἡγεῖται ἑαυτὴν εἶναι μακαριωτέραν, σὺ οὐ τὸν ἐπὶ γῆς, οὐδὲ τὸν ὁμόδουλον, ἀλλὰ τὸν ἐν τοῖς οὐρανοῖς, τὸν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου, τὸν ἐπάνω τῶν Χερουβὶμ καθήμενον, τὸν σείοντα τὴν γῆν, τὸν ἐκτείναντα τὸν οὐρανὸν, τὸν φοβερὸν μὲν τοῖς Χερουβὶμ, ἀπρόσιτον δὲ τοῖς Σεραφὶμ, οὐχὶ νυμφίον ἔχουσα μόνον, ἀλλὰ καὶ ἐραστὴν, καὶ ἐραστὴν παντὸς ἀνθρώπου σφοδρότερον, πῶς οὐ πάντα ἀφήσεις τὰ ἐνταῦθα, εἰ καὶ αὐτὴν δέοι προέσθαι τὴν ψυχήν; Ἐπεὶ οὖν τοῦτο ἀρκεῖ τὸ ῥῆμα μόνον καὶ τὸν μολύβδου παντὸς βαρύτερον ὀρθῶσαι καὶ πρὸς τὰς ἄνω πτερῶσαι διατριβὰς, καὶ ἡμεῖς ἐνταῦθα καταλύομεν, καὶ σοὶ παραινοῦμεν, καθάπερ τινὰ θείαν ταύτην ἐπᾴδειν τὴν ἐπῳδὴν καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, καὶ ἐν ὁδῷ καὶ ἐν θαλάμῳ, καὶ διὰ φωνῆς καὶ κατὰ διάνοιαν, καὶ συνεχῶς ἐπιλέγειν τῇ ψυχῇ· Ἄκουσον, ψυχή μου, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τῆς πονηρᾶς σου συνηθείας, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου· κἂν τοῦτο ἐπιλέγῃς διηνεκῶς τὸ ῥῆμα, χρυσοῦ παντὸς καθαρωτέραν ἐργάσῃ τὴν ψυχὴν, πυρὸς σφοδρότερον τῆς λέξεως ταύτης τοῖς τῆς διανοίας ἐμπνεούσης λογισμοῖς, καὶ πᾶσαν ἐκκαθαιρούσης κηλῖδα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

tuam. Quid tibi hoc majus, quid item par poterimus dicere, quam ut cæli, terræ et angelorum et archangelorum et supernarum Virtutum Dominum amatorem sortita, libereris a vilibus conservis, tuam nobilitatem dehonestantibus? Propter quod e re fuerit hic finire sermonem: nihil enim dicere poterimus quod huic honori sit par. Nam si quæ sponsum in terra acceperit regem, omnibus se putat esse beatiorem: tu cum habeas non terrenum, nec conservum, sed eum qui in cælis, eum qui super omnem principatum et potestatem et virtutem et omne nomen quod nominatur, eum qui super Cherubim sedet, qui concutit terram, qui extendit cælum, qui terribilis est Cherubinis, inaccessus Seraphinis, non sponsum solum, sed amatorem quovis homine ardentiorem, quomodo non omnia relinquis quæ hic sunt, etiamsi animam ipsam relinquere oporteat? Quoniam igitur sufficit hoc verbum solum ad plumbo omni graviorem erigendum et promovendum ad supernam conversationem, et nos hic desinimus, teque admonemus ut quasi divinum aliquod canticum concinas et domi et in foro, et die et nocte, et in via et in thalamo, et voce et mente, et continue loquaris animæ dicens: Audi, anima, et vide, et inclina aurem tuam, et obliviscere malæ consuetudinis, et concupiscet Rex pulchritudinem tuam. Et si hoc continue verbum dixeris, auro omni puriorem facies animam. Dictum enim hoc igne vehementius et efficacius afflare tuas cogitationes et omnes tuæ mentis maculas expurgare valebit, in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula sæculorum. Amen.

ΕΙΣ ΝΕΩΤΕΡΑΝ ΧΗΡΕΥΣΑΣΑΝ.

Ὅτι μὲν χαλεπὴν ἔλαβες τὴν πληγὴν, καὶ ἐν καιρῷ τὸ πεμφθὲν ἄνωθεν ἐδέξω βέλος, ἅπαντες ἂν σοι συνομολογήσαιεν, καὶ οὐδὲ τῶν σφόδρα φιλοσοφούντων οὐδεὶς ἀντερεῖ· ἐπειδὴ δὲ τοὺς πληττομένους οὐκ εἰς πένθος καὶ δάκρυα τὸν ἅπαντα χρόνον ἀναλίσκειν δεῖ, ἀλλὰ καὶ τῆς θεραπείας τῶν τραυμάτων πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν, ὥστε μὴ παροφθέντων μείζονα τοῖς δάκρυσι παρασχεῖν τὴν πληγὴν, καὶ τῆς ὀδύνης σφοδροτέραν τὴν φλόγα ἐργάσασθαι, καλὸν καὶ τῆς διὰ τῶν λόγων ἀνασχέσθαι παρακλήσεως, καὶ τοὺς χρουνοὺς μικρὸν ἀνασχοῦσαν τῶν δακρύων, χρόνον γοῦν βραχὺν καὶ τοῖς παραμυθεῖσθαί σε ἐπιχειροῦσι παρασχεῖν σεαυτήν. Διὰ γάρ τοι τοῦτο καὶ ἡμεῖς οὐ παρ' αὐτὴν τοῦ πένθους τὴν ἀκμὴν, οὐδ' ἅμα τῷ κατενεχθῆναι τὸν σκηπτὸν ἠνωχλήσαμεν· ἀλλ' ἀναμείναν-

AD VIDUAM JUNIOREM.

1. Gravem te quidem accepisse plagam, atque ad maxime vitalem partem jaculum superne immissum pervenisse omnes sane tibi consenserint, ac nemo ne ex iis quidem, qui valde philosophi sunt, contradixerit: verum quoniam male acceptos non in luctu ac lacrimis omne suum tempus consumere oportet, sed vulnerum quoque curationi plurimum operæ studiique navare, ne, hæc si despecta fuerint, majorem usque lacrimando reddant plagam, atque ipso luctu vehementiorem flammam excitent: æquum profecto fuerit te eam quæ per sermones adhibetur consolationem non repudiare, ac lacrimarum fluvios parumper coercentem ad breve saltem tempus iis etiam, qui te consolari aggrediuntur, te ipsam dare. Hæc enim causa est, cur et nos non in ipso luctus vigore, neque simul ac fulmen decidit, ob-

τες τὸν ἐν μέσῳ τουτονὶ χρόνον, καὶ συγχωρήσαντες ἐμπλησθῆναί σε τῶν ὀδυρμῶν, ὅτε λοιπὸν καὶ διαβλέψαι μικρὸν ἀπὸ τῆς ἀχλύος ἐκείνης καὶ τὰς ἀκοὰς παρασχεῖν δεδύνησαι τοῖς σε παρακαλεῖν πειρωμένοις, τότε καὶ αὐτοὶ μετὰ τοὺς τῶν θεραπαινίδων λόγους καὶ τὰ παρ' ἑαυτῶν προστεθείκαμεν. Ἔτι μὲν γὰρ τοῦ χειμῶνος ὄντος σφοδροῦ, καὶ πολλοῦ τοῦ πένθους πνέοντος, ὁ παρακαλῶν ἀποσχέσθαι τῆς λύπης πλέον ἂν παρώξυνε πρὸς τὰς οἰμωγάς, καὶ τὸ μισηθῆναι κερδάνας μόνον, ὕλην ἂν πολλὴν τοῖς τοιούτοις λόγοις παρέσχε τῷ πυρὶ μετὰ τοῦ καὶ ἐχθροῦ καὶ ἀνοήτου δόξαν λαβεῖν· ἐπειδὴ δὲ λοιπὸν ἤρξατο λήγειν ἡ ζάλη, καὶ τὸ τῶν κυμάτων ἄγριον κατεστόρεσεν ὁ Θεὸς, εὐκόλως τοῦ λόγου τὰ ἱστία ἀναπετάσομεν. Ἐν συμμέτρῳ μὲν γὰρ χειμῶνι δυνήσεται ἴσως ἡ τέχνη ποιῆσαι τὸ ἑαυτῆς· ὅταν δὲ ἄμαχος ἡ τῶν πνευμάτων ᾖ προσβολὴ, τῆς ἐμπειρίας ὄφελος οὐδέν. Διὰ ταῦτα πάντα τὸν ἔμπροσθεν χρόνον σιγήσαντες, μόλις καὶ νῦν ἐπεχειρήσαμεν ῥῆξαι φωνὴν, ἐπειδὴ παρὰ τοῦ θείου ἠκούσαμεν τοῦ σοῦ, ὅτι λοιπὸν χρὴ θαῤῥεῖν· καὶ γὰρ καὶ τῶν θεραπαινίδων τὰς ἐν τιμῇ κατατολμᾶν ὑπὲρ τούτων μακροὺς ἀποτείνειν λόγους, τάς τε ἔξωθεν γυναῖκας, καὶ τὰς γένει προσηκούσας, καὶ τὰς ἄλλως πως ἐπιτηδείως ἐχούσας. Ὅτι δὲ τοὺς παρ' ἐκείνων δεχομένη λόγους οὐκ ἀτιμάσεις τοὺς παρ' ἡμῶν, ἀλλὰ καὶ ἡσυχίαν καὶ ἀταραξίαν παρέξεις αὐτοῖς κατὰ δύναμιν, σφόδρα θαῤῥοῦμεν καὶ πεπιστεύκαμεν. Καὶ ἄλλως μὲν οὖν τὸ γυναικεῖον γένος ἐπιῤῥεπέστερόν πώς ἐστι πρὸς συμπάθειαν· ὅταν δὲ καὶ νεότης προσῇ, καὶ χηρεία ἄωρος, καὶ πραγμάτων ἀπειρία, καὶ φροντίδων ὄχλος πολὺς, καὶ τὸ ἐν τρυφῇ καὶ εὐθυμίᾳ καὶ πλούτῳ τὸν ἔμπροσθεν ἅπαντα τεθράφθαι χρόνον, πολλαπλάσιον γίνεται τὸ δεινὸν, κἂν ἡ τοῦτο παθοῦσα μὴ τῆς ἄνωθεν τύχῃ ῥοπῆς, καὶ ὁ τυχὼν αὐτὴν λογισμὸς καταπλύσαι δυνήσεται· ὅπερ πρῶτον καὶ μέγιστον τῆς πολλῆς περὶ σὲ τοῦ Θεοῦ κηδεμονίας τίθεμαι εἶναι τεκμήριον. Τὸ γὰρ τοσούτων ἐξαίφνης συνδραμόντων κακῶν μὴ ἀποπνιγῆναι τῇ λύπῃ, μηδὲ τῶν κατὰ φύσιν ἑστῆναι φρενῶν, οὐκ ἀνθρωπίνης τινὸς βοηθείας ἦν, ἀλλὰ τῆς τὰ πάντα δυναμένης χειρὸς, τῆς συνέσεως, ἧς οὐκ ἔστιν ἀριθμὸς, τῆς φρονήσεως, ἧς οὐκ ἔστιν ἐξεύρεσις, τοῦ Πατρὸς τῶν οἰκτιρμῶν, καὶ Θεοῦ πάσης παρακλήσεως. « Αὐτὸς γὰρ πέπαικεν ἡμᾶς, φησὶ, καὶ ἰάσεται ἡμᾶς· πατάξει, καὶ μαστώσει ἡμᾶς καὶ ὑγιάσει ἡμᾶς. » Ἕως μὲν γάρ σοι συνῆν ὁ μακάριος ἐκεῖνος ἀνὴρ, ἀπέλαυες μὲν τιμῆς καὶ φροντίδος καὶ σπουδῆς, ἀπέλαυες δὲ οἷας παρὰ ἀνθρώπου ἀπολαύειν εἰκὸς ἦν· ἐπειδὴ δὲ ἐκεῖνον ἔλαβε πρὸς ἑαυτὸν ὁ Θεὸς, ἀντ' ἐκείνου σοι γέγονεν αὐτός. Καὶ οὐκ ἐμὸς ὁ λόγος οὗτος, ἀλλὰ τοῦ μακαρίου προφήτου Δαυίδ· φησὶ γάρ, « Ὀρφανὸν καὶ χήραν ἀναλήψεται· » καὶ πάλιν αὐτὸν πατέρα καλεῖ τῶν ὀρφανῶν, καὶ κριτὴν τῶν χηρῶν· καὶ πολλὴν ὑπὲρ τούτου τοῦ γένους πολλαχοῦ ποιούμενον αὐτὸν ὄψει τὴν σπουδήν.

turbaremus, sed cunctantes toto hoc intermedio tempore, ac permittentes te saltari fletu, quando jam a caligine illa paululum oculos attollere, atque aures iis qui te consolari tentarent, præbere potuisti, tunc ipsi quoque post ancillarum sermones nostra adjungeremus. Nam cum adhuc tempestas magna est, et luctus viget, qui dolorem deponere suadet, is ejulatum magis provocat, nihil aliud lucri reportans, quam odium, multamque materiem ejusmodi oratione suppeditat igni, simulque de se et inimici et stulti hominis affert opinionem : verum quando jam æstus ille desidere cœpit, ac violentiam fluctuum sedavit Deus, secure orationis vela pandemus. Nam mediocri quidem tempestate poterit fortasse ars suum officium facere : at cum ventorum impetus invictus fertur, nihil loci est peritiæ. His adducti causis toto superiore tempore siluimus, ac vix nunc emittere vocem aggressi sumus. Audivimus enim a patruo tuo, confidendum posthac esse : nam et famulæ, quæ paulo honoratiores sint, audere de his rebus prolixos inferre sermones, imo externas quoque mulieres, tam eas quæ genere tibi sint cognatæ, quam quæ alia quavis ratione usu aut familiaritate tecum conjunctæ. Quodsi illarum sermones admittis, valde confidimus ac pro certo habemus fore ut nostros non contemnas, sed quietem ac tranquillitatem, quoad poteris, ipsis audiendis adhibeas. Sane muliebris sexus proclivior quodammodo ad concipiendum dolorem est; at cum præterea juventus adest, et viduitas immatura, et nullius negotiorum usus, et curarum magna moles, atque omne pristinum tempus in deliciis, hilaritate, divitiis insumtum est, multis partibus major redditur calamitas, ut, nisi supernum adsit auxilium, periculum sit ne a qualicumque irruente cogitatione submergatur : quod equidem vel præcipuum ac maximum divinæ erga te curæ indicium censuerim. Nam quod tot repente concurrentibus malis non te ægritudo absorbuerit, nec de naturali mentis statu sis deturbata, non id humani alicujus auxilii fuit, sed Omnipotentis illius manus, sed intelligentiæ illius cujus non est numerus, sed prudentiæ illius quæ investigari non potest, sed Patris misericordiarum, ac Dei totius consolationis. *Ipse* enim, inquit (*Osee.* 6. 2), *verberavit nos, et ipse sanabit nos; percutiet, et curabit et sanos faciet nos.* Quamdiu enim tecum una vivebat beatus ille vir, capiebas quidem fructus honoris, curæ, studii; capiebas autem, quales ex homine capere par erat : quoniam vero illum ad se vocavit Deus, ipse nunc illius loco se tibi substituit. Neque hoc meum est, sed beati prophetæ Davidis, qui ita inquit (*Psal.* 145. 9) : *Pupillum et viduam suscipiet;* et alibi (67. 6) ipsum vocat patrem pupillorum, et judicem viduarum, omninoque hoc hominum genus magnæ ipsi curæ esse videbis.

Ἵνα δὲ μὴ συνεχῶς τοῦτο λεγόμενον τὸ ὄνομα στρέφῃ σου τὴν ψυχὴν καὶ συγχέῃ σου τὸν λογισμὸν, ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει ἐπελθὸν, ὑπὲρ τούτου διαλεχθῆναι βούλομαι πρῶτον καὶ δεῖξαι ὅτι οὐ συμφορᾶς, ἀλλὰ τιμῆς ἐστιν ὄνομα, καὶ τιμῆς τῆς μεγίστης. Μὴ γάρ μοι τὴν τῶν πολλῶν δόξαν τὴν πεπλανημένην εἰς μαρτυρίαν ἀγάγῃς, ἀλλὰ τοῦ μακαρίου Παύλου, μᾶλλον δὲ τοῦ Χριστοῦ τὴν νομοθεσίαν. Ἃ γὰρ ἐκεῖνος ἐφθέγγετο, ταῦτα ὁ Χριστὸς ἐλάλει δι' αὐτοῦ, καθὼς καὶ αὐτὸς ἔλεγεν, « Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Τί οὖν φησι; « Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα· » καὶ πάλιν, « Νεωτέρας δὲ χήρας παραιτοῦ· » δι' ἀμφοτέρων τοῦ πράγματος ἡμῖν τὸ μέγεθος παραστῆσαι βουλόμενος. Καὶ περὶ μὲν ἐπισκόπων διατασσόμενος οὐδαμοῦ τίθησιν ἐτῶν ἀριθμὸν, ἐνταῦθα δὲ πολλὴν ποιεῖται τὴν ἀκρίβειαν. Τί δήποτε; Οὐχ ὅτι ἡ χηρεία μείζων ἱερωσύνης ἐστὶν, ἀλλ' ὅτι μείζονα αὗται πόνον ἐκείνων ἔχουσι, πραγμάτων αὐτὰς πολλῶν πολλαχόθεν περιρρεόντων, δημοσίων, ἰδιωτικῶν. Καθάπερ γὰρ πόλις ἀτείχιστος εἰς μέσον πᾶσι τοῖς βουλομένοις ἁρπάζειν πρόκειται, οὕτω καὶ χώρη χηρείᾳ συζῶσα πολλοὺς ἔχει πανταχόθεν τοὺς ἐπιβουλεύοντας, οὐ τοὺς τῶν χρημάτων αὐτῆς ἐρεμένους μόνον, ἀλλὰ καὶ τοὺς τὴν σωφροσύνην αὐτῆς διαφθεῖραι σπεύδοντας. Καὶ οὐ ταύτας μόνον, ἀλλὰ καὶ ἑτέρας πρὸς τὸ πεσεῖν αὐτὴν ἀφορμὰς προσγινομένας εὑρήσομεν. Καὶ γὰρ οἰκέται καταφρονοῦντες, καὶ πράγματα ἀμελούμενα, καὶ τὸ μηκέτι ἐν τῇ προτέρᾳ εἶναι τιμῇ, καὶ τὸ τὰς ἡμήλικας εὖ πραττούσας ὁρᾶν, πολλάκις δὲ καὶ τὸ τρυφῆς ἐπιθυμεῖν, δευτέροις αὐτὰς ἔπεισεν ὁμιλῆσαι γάμοις. Εἰσὶ δὲ αἳ νόμῳ μὲν οὐκ ἐθέλουσι γάμου συγγίνεσθαι τοῖς ἀνδράσι, λάθρα δὲ καὶ μετὰ τοῦ κρύπτεσθαι. Τοῦτο δὲ ποιοῦσιν, ἵνα τὰ ἐγκώμια τῆς χηρείας καρπώσωνται· οὕτως οὐκ ἐπονείδιστον, ἀλλὰ θαυμαστὸν καὶ τιμῆς ἄξιον τὸ πρᾶγμα παρὰ ἀνθρώποις εἶναι δοκεῖ, οὐ παρ' ἡμῖν μόνον τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις αὐτοῖς. Καὶ γὰρ ἐγώ ποτε, ἔτι νέος ὢν, τὸν σοφιστὴν τὸν ἐμόν (πάντων δὲ ἀνδρῶν δεισιδαιμονέστερος ἐκεῖνος ἦν) οἶδα ἐπὶ πολλῶν τὴν μητέρα τὴν ἐμὴν θαυμάζοντα. Τῶν γὰρ παρακαθημένων αὐτῷ πυνθανομένων, οἷα εἰώθασι, τίς εἴην ἐγὼ, καί τινος εἰπόντος, ὅτι χήρας γυναικὸς, ἐμάνθανε παρ' ἐμοῦ τήν τε ἡλικίαν τῆς μητρὸς καὶ τῆς χηρείας τὸν χρόνον· ὡς δὲ εἶπον ὅτι ἔτη τεσσαράκοντα γεγονυῖα εἴκοσι ἔχει λοιπὸν ἐξ οὗ τὸν πατέρα ἀπέβαλε τὸν ἐμὸν, ἐξεπλάγη καὶ ἀνεβόησε μέγα, καὶ πρὸς τοὺς παρόντας ἰδὼν, Βαβαὶ, ἔφη, οἷαι παρὰ Χριστιανοῖς γυναῖκές εἰσι! Τοσούτου οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἔξωθεν τὸ πρᾶγμα ἀπολαύει τοῦ θαύματος καὶ τοῦ ἐπαίνου. Ἅπερ ἅπαντα συνιδὼν ὁ μακάριος Παῦλος ἔλεγε, « Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα. » Καὶ οὐδὲ μετὰ τὴν τοσαύτην τῶν χρόνων μαρτυρίαν ἀφίησιν αὐτὴν εἰς τὸν ἅγιον τοῦτον ταγῆναι

2. Cæterum ne hoc nomen assidue usurpatum animum tibi dejiciat, ac rationem perturbet reputanti in ipso ætatis flore illud te subiisse, de hoc mihi primum disserendum proposui, atque ostendendum, non calamitatis nomen esse nomen viduitatis, sed honoris, et honoris quidem maximi. Neque enim tu mihi vulgi depravatam opinionem in testimonium afferas, sed beati Pauli, vel potius Christi decretum ac legem. Quæ enim ille loquebatur, hæc per ipsum pronuntiabat Christus, quemadmodum et ipse dixit (2 *Cor.* 13. 3), *Aut experimentum quæritis ejus qui in me loquitur Christi?* Quid igitur inquit? (1 *Tim.* 5. 9) *Vidua eligatur non minus sexaginta annorum*; et rursus (*ib.* 11), *Adolescentiores autem viduas devita*: utroque hoc præcepto rei nobis magnitudinem indicans. Nam de episcopis quidem præcipiens nullibi numerum annorum statuit; hic autem magnam adhibet accurationem. Quid ita? Non quod viduitas sacerdotio major sit, sed quoniam majorem ipsæ quam illi laborem sustinent, multis undique negotiis illas circumvenientibus publicis et privatis. Etenim quemadmodum civitas mœnibus non circumdata patet exposita omnibus, quicumque diripere eam voluerint: ita et puella in viduitate ætatem degens multos habet qui undique insidientur, non solum eos qui pecuniis animum adjecerunt, sed etiam qui pudicitiam ipsius violare student. Neque vero has tantum, sed etiam alias labendi occasiones in ipsam incurrere inveniemus. Nam et domesticorum contemtus, et res neglectæ, et pristinæ dignitatis amissio, æqualium prosperitas, sæpe autem et deliciarum cupiditas eo ipsas adduxerunt, ut secundis se nuptiis illigarent. Nec vero desunt quæ legitimo quidem matrimonio viris se jungere minime velint, sed occulte et clam. Id autem propterea faciunt, ut encomia viduitatis lucrentur: ita non ignominiæ, sed admirationis atque honoris plena res ipsa apud homines est, non modo fideles, verum etiam infideles ipsos. Nam et ego aliquando, cum essem junior, doctorem meum (erat autem ille omnium hominum maxime superstitiosus) memini matris meæ coram multis exhibuisse admirationem. Nam cum eorum, qui ipsi assidebant, aliquis (ut solet fieri) interrogasset, quis ego essem, et alius respondisset, me viduæ mulieris esse filium, ex me quæsivit ætatem matris et viduitatis tempus. Cum primum vero dixi eam quadraginta annos natam esse, vigesimum vero jam annum agi, ex quo patrem meum amiserit, obstupuit plane, atque ad eos qui aderant conversus, clara voce exclamavit: Papæ, quales mulieres apud Christianos sunt! Tanta non modo apud nos, sed etiam apud gentiles viduitatis laus est et admiratio. Quæ omnia considerans beatus Paulus dixit, *Vidua eligatur non minus sexaginta annorum.* Neque vero ex hoc solo, quamvis gravi, ætatis testimonio, continuo sinit ut in sacrum hunc adlegatur chorum; sed alia addit ita scribens

χορὸν, ἀλλὰ καὶ ἕτερα προστίθησι, λέγων, « Ἐν ἔργοις ἀγαθοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. » Βαβαὶ τῆς δοκιμασίας καὶ τῆς βασάνου, ὅσην παρὰ τῆς χήρας ἀπαιτεῖ τὴν ἀρετὴν καὶ πῶς ἀκριβολογεῖται! οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ πρᾶγμα τίμιον καὶ σεμνὸν ἔμελλεν ἐμπιστεύειν αὐτῇ. Καὶ « Νεωτέρας δὲ, φησὶ, χήρας παραιτοῦ. » Εἶτα καὶ τὴν αἰτίαν προστίθησιν· « Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. » Διὰ τούτου γὰρ ἡμῖν αἰνίττεται τοῦ ῥήματος, ὅτι αἱ τοὺς ἄνδρας ἀποβαλοῦσαι ἀντ' ἐκείνων ἁρμόττονται τῷ Χριστῷ. Εἶτα δεικνὺς τὴν ἁρμονίαν ταύτην πρᾶον οὖσαν καὶ ἐπιεικῆ, τοῦτο τίθησιν εἰπών, « Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι, » καθάπερ τινὸς ἀνδρὸς ἐπιεικοῦς καὶ οὐ μετ' ἐξουσίας αὐταῖς κεχρημένου, ἀλλ' ἐῶντος ἐν ἐλευθερίᾳ ζῆν. Καὶ οὐδὲ μέχρι τούτων τὸν λόγον ἔστησεν, ἀλλὰ καὶ ἐτέρωθι πάλιν πολλὴν ὑπὲρ αὐτῆς τὴν φροντίδα πεποίηται λέγων, « Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν· ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπισεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. » Καὶ Κορινθίοις ἐπιστέλλων φησὶ, « Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ. » Εἶδες ὅσα τῆς χηρείας τὰ ἐγκώμια, καὶ ταῦτα ἐν τῇ Καινῇ, ὅτε καὶ τὸ τῆς παρθενίας διέλαμψε καλόν; ἀλλ' ὅμως οὐδὲ τότε τὰς μαρμαρυγὰς αὐτῆς ἀποκρύψαι ἴσχυσεν ἡ ταύτης φαιδρότης, ἀλλὰ διαλάμπει καὶ οὕτω τὴν οἰκείαν ἔχουσα ἀρετήν.

Ὅταν οὖν μνημονεύωμεν μεταξὺ χηρείας, μὴ καταπέσῃς, μηδὲ ὀνειδος τὸ πρᾶγμα νόμιζε· εἰ γὰρ τοῦτο ἐπονείδιστον, πολλῷ μᾶλλον ἡ παρθενία. Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστι, μὴ γένοιτο. Ὅπου γὰρ τὰς ἔτι περιόντων ἀπεχομένας τῶν ἀνδρῶν θαυμάζομεν ἅπαντες καὶ ἀποδεχόμεθα, τὰς καὶ ἀπελθόντων αὐτῶν τὴν αὐτὴν περὶ αὐτοὺς ἐπιδεικνυμένας εὔνοιαν, πῶς οὐχ ἐκπλήττεσθαι δεῖ καὶ ἐπαινεῖν; Ἕως μὲν οὖν, ὅπερ ἔφην, συνῆς τῷ μακαρίῳ Θηρασίῳ, καὶ τιμῆς καὶ προνοίας ἀπέλαυες, οἵας παρὰ ἀνθρώπου χρηστοῦ ἀπολαύειν εἰκός· νῦν δὲ εἰς τὴν ἐκείνου τάξιν ἔχεις τὸν ἁπάντων δεσπότην Θεὸν, ὃς καὶ πάλαι σου προστατῶν, μείζονας καὶ μετὰ πλείονος τοῦτο ποιήσει τῆς σπουδῆς νῦν· καὶ τῆς πολλῆς αὐτοῦ προνοίας οὐ μικρὸν, ὥσπερ ἔφθην εἰπὼν, τεκμήριον ἔδειξεν ἡμῖν ἤδη, ἐν τοσαύτῃ χειμῶνι φροντίδων καὶ λύπης ὑγιῆ καὶ ἀνέπαφόν σε διαφυλάξας, καὶ μηδὲν ἀφεὶς τῶν ἀβουλήτων παθεῖν. Ὁ δὲ ἐν τοσούτῳ σάλῳ μὴ συγχωρήσας γενέσθαι ναυάγιον, πολλῷ μᾶλλον ἐν γαλήνῃ διατηρήσει τὴν σὴν ψυχὴν καὶ κούφην ποιήσει τὴν χηρείαν καὶ τὰ ἐκ ταύτης δοκοῦντα εἶναι δεινά.

Εἰ δέ σε οὐ τὸ τῆς χηρείας ὄνομα θορυβεῖ, ἀλλὰ τὸ ἀνδρα τοιοῦτον ἀποβαλεῖν, συνομολογῶ μέν σοι κἀγὼ πανταχοῦ γῆς ὀλίγους γεγενῆσθαι τοιούτους ἐν ἀνδράσι βιωτικοῖς φιλοστόργους, ἐπιεικεῖς, ταπεινοὺς, ἁπλά-

(*ib.* 10): *In operibus bonis testimonium habens, si filios educavit, si hospitio recepit, si sanctorum pedes lavit, si tribulationem patientibus subministravit, si omne opus bonum subsecuta est.* O diligentiam atque accurationem in probando! quantam a vidua requirit virtutem, et quam subtiliter omnia persequitur! hanc sane operam non sumturus, nisi munus honestatis ac dignitatis plenum illi commissurus fuisset. At vero cum dixisset (*ib.* 11), *Adolescentiores autem viduas devita*, causam quoque adjungit: *Cum enim luxuriatæ fuerint in Christo, nubere volunt.* His enim verbis illud nobis significat, mulieres quæ viros amiserunt, in illorum locum aptari et jungi Christo. Deinde ostendens hanc conjunctionem esse suavem ac lenem, hac locutione utitur: *Cum enim luxuriatæ fuerint in Christo, nubere volunt;* quasi de viro quodam leni ac probo loquens, qui non agat pro imperio, sed libertate illas frui permittat. Nec vero hactenus orationem produxisse satis habuit; sed et aliunde rursus magnæ sibi illas curæ esse declaravit, ita scribens (*ibid.* 6 *et* 5): *Nam quæ in deliciis est, vivens mortua est: quæ autem vere vidua est et desolata, speravit in Deum, et instat obsecrationibus et orationibus nocte ac die.* Et ad Corinthios scribens (1 *Cor.* 7. 40) inquit, *Beatior autem erit, si sic permanserit.* Vides quanta viduitatis encomia, atque hæc quidem in nova lege, quando jam virginitatis decus summopere emicuit? Verumtamen neque hujus splendor viduitatis luminibus officere potuit, sed et ipsa elucet adhuc suam habens virtutem.

Quotiescumque igitur inter dicendum viduitatis mentionem faciemus, ne animo concidas, nec rem turpem existimes: nam si viduitas turpis, multo turpior virginitas. Sed non ita se res habet; absit. Quando enim eas, quæ viris adhuc superstitibus continentiam servant, omnes admiramur et commendamus, cur non eas, quæ post virorum obitum eamdem illis benevolentiam præstant, laudibus et admiratione prosequamur? Donec igitur, quemadmodum dicebam, cum beato Therasio vivebas, cum ille tibi honorem tuorumque commodorum studium præstitit, cujusmodi ab homine probo exspectanda erant: nunc autem illius loco habes dominum omnium Deum, qui cum antea tibi affuit, tum vero id nunc multo impensius ac cumulatius faciet. Atqui providentiæ ipsius non minimum, quemadmodum antea dicebam, indicium jam nobis dedit in hoc curarum atque doloris incendio incolumem te præstans, nec permittens ut quidquam damni patereris. Qui autem tanta tempestatis vi incumbente naufragium fieri minime permisit, multo magis tranquillo jam mari custodiet animam tuam, et levem reddet viduitatem atque ea quæ ex ipsa oriri videntur mala.

3. Quodsi non viduitatis nomen te discruciat, sed talis viri jactura, ego etiam tibi plane assentior, in toto terrarum orbe paucos ex viris sæcularibus extitisse viri tui similes, tanta humanitate, probitate, modestia, sinceritate,

στους, συνετοὺς, εὐλαβεῖς. Ἀλλ' εἰ μὲν διελύετο παντελῶς καὶ εἰς τὸ μηδὲν ἔληγεν, ἔδει θορυβεῖσθαι καὶ ἀλγεῖν· εἰ δὲ εἰς τὸν εὔδιον κατέπλευσε λιμένα, καὶ πρὸς τὸν ὄντως αὐτοῦ βασιλέα ἀποδεδήμηκεν, οὐ πενθεῖν ὑπὲρ τούτων, ἀλλὰ καὶ χαίρειν δεῖ. Οὐ γὰρ θάνατος ὁ θάνατος οὗτος, ἀλλ' ἀποδημία καὶ μετάστασίς τις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω, ἀπὸ τῆς γῆς πρὸς τὸν οὐρανὸν, ἀπὸ τῶν ἀνθρώπων πρὸς τοὺς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ τὸν τῶν ἀγγέλων καὶ ἀρχαγγέλων Δεσπότην. Ἐνταῦθα μὲν γὰρ ἐπὶ τῆς γῆς στρατευόμενον βασιλεῖ καὶ κινδύνους ἦν προσδοκᾶν, καὶ πολλὰς παρὰ τῶν φθονούντων τὰς ἐπιβουλάς· ὅσῳ γὰρ αὐτῷ τὰ τῆς εὐδοκιμήσεως ηὔξετο, τοσούτῳ καὶ τὰ παρὰ τῶν ἐχθρῶν ἐπλεόναζεν· ἐκεῖ δὲ ἀπελθόντα οὐκ ἔστιν ὑποπτεῦσαι τούτων οὐδέν. Ὥστε ὅσῳπερ ἂν πενθῇς ὅτι χρηστὸν ὄντα καὶ ἀνάριστον ἔλαβεν ὁ Θεὸς, τοσούτῳ χαίρειν δεῖ ὅτι μετὰ πολλῆς τῆς ἀσφαλείας καὶ τῆς δόξης ἀποδεδήμηκε, καὶ τῆς ἐν τῷ παρόντι βίῳ ταραχῆς ἀπαλλαγείς, ἔστιν ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ πολλῇ. Πῶς γὰρ οὐκ ἄτοπον τὸν μὲν οὐρανὸν πολλῷ βελτίω τῆς γῆς εἶναι ὁμολογεῖν, τοὺς δὲ ἀπὸ ταύτης ἐκεῖ μεταστάντας πενθεῖν; Εἰ μὲν γὰρ τῶν αἰσχρῶς βεβιωκότων καὶ παρὰ τὸ τῷ Θεῷ δοκοῦν ὁ μακάριος ἦν, ἔδει κόπτεσθαι καὶ θρηνεῖν, οὐκ ἀπελθόντα μόνον, ἀλλὰ καὶ ζῶντα ἐκεῖνον· ἐπειδὴ δὲ τῶν αὐτῷ φίλων καὶ οὗτος εἷς ἐτύγχανεν ὢν, οὐ ζῶντι μόνον, ἀλλὰ καὶ κοιμηθέντι συνήδεσθαι χρή. Τοῦ μακαρίου Παύλου πάντως ἤκουσας λέγοντος, « Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. » Ἀλλὰ ῥημάτων ἴσως ποθεῖς ἀκοῦσαι τῶν ἐκείνου, καὶ φιλίας ἀπολαῦσαι τῆς πρὸς αὐτὸν, καὶ συνήθειαν ἐπιζητεῖς, καὶ δόξαν τὴν δι' αὐτὸν καὶ λαμπρότητα καὶ τιμὴν καὶ ἀσφάλειαν, καὶ ταῦτά σε πάντα φροῦδα γενόμενα θορυβεῖ καὶ σκοτοῖ; Τὴν μὲν οὖν φιλίαν τὴν πρὸς ἐκεῖνον ἔξεστί σοι φυλάττειν καὶ νῦν ὁμοίως, ὥσπερ καὶ πρότερον. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· οὐ τοὺς παρόντας μόνον καὶ πλησίον ὄντας ἡμῶν καὶ ὁρωμένους, ἀλλὰ καὶ τοὺς μακρὰν ἀφεστῶτας περιλαμβάνει καὶ συγκολλᾷ καὶ συνδεῖ· καὶ οὔτε χρόνων πλῆθος, οὔτε ὁδῶν διάστημα, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν ψυχῆς φιλίαν διακόψαι δύναιτ' ἂν καὶ διατεμεῖν. Εἰ δὲ καὶ πρόσωπον αὐτὸν βούλει πρὸς πρόσωπον ἰδεῖν (τοῦτο γὰρ οἶδα ὅτι μάλιστα ποθεῖς), διαφύλαξον αὐτῷ τὴν εὐνὴν ἀνέπαφον ἀνδρὸς ἑτέρου, καὶ βίον ἐπιδείξασθαι σπούδασον ἴσον ἐκείνῳ, καὶ πάντως εἰς τὸν αὐτὸν ἀπελεύσῃ χῶρον αὐτῷ, οὐ πέντε ἔτη καθάπερ ἐνθάδε, οὐδὲ εἴκοσι καὶ ἑκατὸν, οὐδὲ χίλια καὶ δὶς τοσαῦτα, οὐδὲ μύρια καὶ πολλάκις τοσαῦτα, ἀλλὰ τοὺς ἀπείρους καὶ ἀτελευτήτους αἰῶνας αὐτῷ συνοικήσουσα. Τοὺς γὰρ τῆς ἀναπαύσεως τόπους ἐκείνης οὐχ αἱ συγγένειαι αἱ σωματικαὶ, ἀλλ' ἡ τῶν βίων ἰσότης κληρονομεῖν πέφυκεν. Εἰ γὰρ τὸν Λάζαρον ἀγνῶτα ὄντα τῷ Ἀβραὰμ εἰς τοὺς αὐτοὺς αὐτῷ κόλπους ἤγαγε, καὶ πολλοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν

prudentia, pietate praeditos. Verum, si quidem penitus interiisset atque in nihilum abiisset, mœrendum ac dolendum erat; sin autem ad quietum placidumque delatus est portum, atque ad suum vere Regem profectus est, nullus hic lacrimis, sed lætitiæ locus est. Etenim hæc mors non est mors, sed migratio ac domicilii mutatio a deterioribus ad meliora, a terra in cælum, ab hominibus ad angelos et archangelos, atque adeo ipsum angelorum et archangelorum Dominum. Nam hic quidem dum in terris Imperatori militabat, multa erant exspectanda discrimina, multæ ab invidis insidiæ. Quo enim magis illius existimatio et gloria augebatur, eo plures in ipsum excitabantur inimicitiæ. Illic autem profecto nihil ejusmodi metuendum est. Quamobrem quantum luges, tam commodum ac bonum juvenem esse ad Deum ire, tantum lætari oportet quod magna cum securitate et gloria profectus, et a periculorum quæ hic imminebant tumultu liber in pace et quiete multa degat. Quam enim absurdum est fateri quidem cælum terra longe melius esse, ac tamen eos, qui hinc eo commearunt, luctu prosequi? Nam si beatus iste ex illorum hominum numero fuisset, qui turpiter ac Deo minime probati vixerunt, profecto non solum mortuus, sed etiam vivens fletu prosequendus erat: nunc vero, quando et ipse unus ex Dei amicis est, non solum viventi, sed etiam somnum suum dormienti gratulandum est. Omnino audisti beatum Paulum, cum ita diceret (*Philipp.* I. 23): *Longe satius est dissolvi, et esse cum Christo.*

At forte voces illius audire cupis tuoque erga illum amore frui, et consuetudinem requiris et gloriam, splendorem, decus, securitatem, quæ ab illo in te redundabant, atque hæc omnia perisse ægre fers, et quasi tenebras menti tuæ offundi sentis? Verum tuam quidem erga illum amicitiam æque tibi nunc atque antea fueri licet. Talis enim est caritatis potentia; non solum præsentes ac proximos, quique ob oculos versantur, sed eos etiam qui longe absunt complectitur, conglutinat, conjungit: ac neque temporis longinquitas, neque locorum intervalla, neque aliud hujus generis quidquam frangere ac discindere animæ amicitiam potest. Quodsi præsens præsentem intueri cupis (non enim me fugit id tibi esse maxime in optatis), custodi illi lectum alteri viro minime pervium, incumbe in eam curam, ut eadem in te atque in illo vitæ probitas eluceat, ac sine dubio ad eumdem cum ipso pervenies locum, atque una cum eo habitatis non quinque annos, quemadmodum hic, non viginti, non centum, non mille, aut bis mille, aut decem millia, aut multo plures, sed infinita sæcula. Illius enim regiones requiei non corporeæ cognationes, sed vitæ similitudo obtinet. Nam si eadem susceptæ vivendi ratio Lazarum Abrahæ ignotum in sinum illius adduxit, multosque facit ab Oriente et Occidente cum

μετ' ἐκείνου ἀναλιθῆναι παρασκευάζει τὸ τῆς πολιτείας ἀπαράλλακτον, καὶ σὲ μετὰ τοῦ καλοῦ Θηρασίου ὁ τῆς ἀνέσεως ἐκδέξεται τόπος, ἂν ἐκείνῳ τὸν βίον θέλῃς ἐπιδείξασθαι τὸν αὐτόν· καὶ τότε αὐτὸν οὐκ ἐν τούτῳ τῷ κάλλει τοῦ σώματος, ὅπερ ἔχων ἀπῆλθεν, ἀπολήψῃ πάλιν, ἀλλ' ἐν ἑτέρᾳ τινὶ μαρμαρυγῇ καὶ φαιδρότητι μᾶλλον τῶν ἡλιακῶν ἀκτίνων ἀπολαμπούσῃ. Τοῦτο γὰρ τὸ σῶμα, κἂν ἐν ὕψει τρίχῃ πολλῷ, φθαρτὸν ὅμως ἐστί· τὰ δὲ σώματα τῶν εὐηρεστηκότων τῷ Θεῷ τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲ ἰδεῖν ἔνι τούτοις τοῖς ὀφθαλμοῖς. Καὶ τούτων ἡμῖν σημεῖά τινα καὶ ἴχνη ἀμυδρὰ καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ δοθῆναι παρεσκεύασεν ὁ Θεός. Ἐκεῖ μὲν γὰρ τὸ πρόσωπον τοῦ Μωϋσέως τοσαύτη κατελάμπετο δόξῃ ποτέ, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς· ἐν δὲ τῇ Καινῇ τούτου πολλῷ πλέον ἐξέλαμψε τὸ τοῦ Χριστοῦ. Εἰπέ γάρ μοι, εἰ βασιλέα τις αὐτὸν ἐπηγγέλλετο πάσης ποιῆσαι τῆς γῆς, εἶτα ἐτῶν εἴκοσι χρόνον ἀποστῆναί σε ἐκέλευσεν ὑπὲρ τούτου, καὶ μετὰ ταῦτά σοι μετὰ τοῦ διαδήματος καὶ τῆς ἁλουργίδος ἀποδόσειν αὐτὸν ἐπηγγέλλετο, καὶ πάλιν εἰς τὴν αὐτὴν τάξειν ἐκείνῳ τιμήν, ἂν τὸν χωρισμὸν πράως ἐνέγκῃς καὶ μετὰ σωφροσύνης τῆς προσηκούσης, ἆρα οὐκ ἂν ἡσμένισας τὸ δῶρον καὶ πρᾶγμα εὐχῆς ἄξιον εἶναι ἐνόμισας; Τοῦτο τοίνυν ἀνάσχου καὶ νῦν, οὐχ ὑπὲρ βασιλείας τῆς ἐν τῇ γῇ, ἀλλ' ὑπὲρ τῆς ἐν τοῖς οὐρανοῖς· οὐχ ἵνα ἱμάτιον χρυσοῦν φοροῦντα ἀπολάβῃς, ἀλλ' ἵνα ἀφθαρσίαν καὶ ἀθανασίαν καὶ δόξαν, ὅσην τοὺς ἐν οὐρανοῖς διάγοντας ἔχειν εἰκός. Εἰ δὲ σφόδρα ἀφορήτως ἔχεις πρὸς τὸ τοῦ χρόνου μακρὸν, εἰκὸς αὐτὸν καὶ δι' ὀνειράτων ἐπιστῆναί σοί ποτε, καὶ διαλέγεσθαι τὰ ἐν συνηθείᾳ, καὶ δεῖξαι ὄψιν τὴν ποθουμένην· τοῦτό σοι ἀντὶ τῆς τῶν ἐπιστολῶν ἔστω παραμυθίας, μᾶλλον δὲ τοῦτο καὶ ἐπιστολῶν τρανότερον. Ἐκεῖ μὲν γὰρ γράμματα μόνον ἔστιν ἰδεῖν, ἐνταῦθα δὲ καὶ τύπον ὄψεως καὶ γέλωτα πρόσηνῆ καὶ σχῆμα καὶ βάδισιν, καὶ ἠχῆς ἀκοῦσαι, καὶ φωνὴν ἐπιγνῶναι τὴν φιλτάτην.

Ἐπειδὴ δὲ καὶ ὑπὲρ ἀσφαλείας θρηνεῖς, ἣν δι' ἐκεῖνον πάλαι ἐκέκτησο, ἴσως δὲ καὶ διὰ τὸ μείζους ἐμφαίνειν ἐλπίδας εὐδοκιμήσεως (καὶ γὰρ ἤκουον εὐθέως ἐκεῖ τὸν τῶν ὑπάρχων θρόνον ἥξειν αὐτὸν, ὃ μάλιστα πάντων, οἶμαι, συστρέφει σου τὴν ψυχὴν καὶ συγχεῖ), ἐννόησον τοὺς ἐπὶ μείζονος ἀξιώματος ὄντας ἐκείνου, καὶ τὸν βίον σφόδρα ἐλεεινῶς καταστρέψαντας. Ἀναμνήσω δέ σε· Θεόδωρον ἴσως ἀκούεις τὸν ἀπὸ Σικελίας· καὶ γὰρ τῶν σφόδρα ἐπισήμων ἐτύγχανεν ὤν· οὗτος καὶ κάλλει καὶ μεγέθει σώματος καὶ παῤῥησίᾳ τῇ πρὸς τὸν βασιλέα πάντων κρατῶν, καὶ δυνάμενος ὅσα τῶν ἄλλων στρεφομένων οὐδείς, οὐκ ἤνεγκε τὴν εὐπραγίαν πρᾴως ἐκείνην, ἀλλ' ἐπιβουλεύσας βασιλεῖ καὶ ἄλλοις, αὐτὸς μὲν ἀπετμήθη σφόδρα ἐλεεινῶς, ἡ δὲ τούτου γυνὴ, καὶ ἀνατροφῆς καὶ γένους καὶ τῶν ἄλλων ἁπάντων οὐδὲν ἧττον ἔχουσα τῆς εὐγενείας τῆς σῆς,

illo recumbere, profecto te quoque una cum optimo Therasio locus quietis excipiet, si eandem atque ille colere volueris vitam; tuncque ipsum non cum ea corporis pulchritudine, qua præditus abiit, iterum recipies, sed cum alio quodam splendore, ac venustate, quæ ipsos solis radios fulgore vincat. Etenim hoc quidem corpus, etiam si ad summum pulchritudinis gradum pervenerit, mortale tamen est; corpora autem eorum, qui Deo placuerunt, tantam induent gloriam, quantam ne intueri quidem his oculis licet. Atque harum quidem rerum signa quædam atque obscura vestigia et in Vetere et in Novo Testamento nobis ostendit Deus. Nam illic quidem Mosis facies aliquando tanta fulgebat gloria, ut eam oculi Israelitarum ferre non possent; in Novo autem longe magis fulsit Christi facies. Quarro igitur ex te, si quis tibi pollicitus esset illi se totius orbis regnum traditurum, sed ob hanc causam jussisset te viginti annorum spatio ab eo secedere, atque iis transactis diademate ac purpura ornatum eum tibi traditurum promisisset, teque in eodem atque illum honoris gradu collocaturum, si secessionem istam æquo animo et ea qua decet continentia tulisses: nonne munus præclarum lata accepisses remque omnibus votis optandam duxisses? Patienter feras igitur et nunc, non regni terreni, sed cælestis causa; non ut in veste aurea, sed ut incorruptibilitate et immortalitate indutum recipias atque gloria, quantam eos, qui in cælis degunt, habere consentaneum est. Quodsi valde tibi intoleranda videtur temporis diuturnitas, verisimile est illum tibi interdum in somniis adstare, et quæ consueverat tecum colloqui, et desideratam faciem ostendere. Id te loco epistolarum consoletur: quinimo id epistolis clarius et evidentius est. In illis enim literas tantum cernere licet: hic vero et formam vultus, et risum tranquillum, et figuram, et incessum, et sonum audire, et amicam illam vocem agnoscere.

4. Cæterum quoniam securitatis præterea ratio, quæ ex illo tibi aderat, te ad fletum impellit, fortasse etiam spes illæ, quæ sese ostendebant, majoris dignitatis et amplitudinis (audivi enim cito futurum fuisse ut ille ad præfectorum tironum ascenderet, iisque præcipue animum tuum excruciare puto): illos tibi ante oculos pone, qui cum ad majorem quam ille dignitatem evecti essent, miserrimum vitæ exitum sortiti sunt. Revocabo autem tibi in memoriam: Theodorum illum e Sicilia [*Gallia?*] fortasse audisti; erat enim inprimis conspicuus. Hic et pulchritudine et magnitudine corporis et auctoritate apud Imperatorem omnibus præstans, qui ea poterat quæ intimorum familiarium nemo, prosperam illam fortunam non moderate tulit, sed insidiatus Imperatori ac deprehensus, ipse quidem valde miserabiliter obtruncatus est; ipsius autem uxor, neque educatione, neque genere, neque ulla alia re nobilitati tuæ

πάντων ἅρνια γυμνωθεῖσα τῶν αὐτῆς καὶ τῆς ἐλευθερίας ἐκπεσοῦσα ταῖς ταμιακαῖς ἐρίθοις ἐγκατελέγετο, καὶ πάσης θεραπαινίδος οἰκτρότερον ζῆν ἠναγκάζετο βίον, τοσοῦτον ἔχουσα τῶν ἄλλων πλέον, ὅσον διὰ τὴν ὑπερβολὴν τῆς συμφορᾶς ἐδακρύετο παρὰ τῶν ὁρώντων ἁπάντων αὐτήν. Λέγεται δὲ καὶ Ἀρτεμισία ἀνδρὸς σφόδρα εὐδοκίμου γενομένη γυνὴ, ἐπειδὴ κἀκεῖνος τυραννίδος ἐπεθύμησεν, οὕτως εἰς ταύτην τὴν πενίαν ἐλθεῖν καὶ τὴν πήρωσιν. Τό τε γὰρ μέγεθος τῆς ἀθυμίας, τό τε πλῆθος τῶν δακρύων ἔσβεσεν αὐτῇ τοὺς ὀφθαλμούς· καὶ νῦν τῶν χειραγωγησόντων δεῖται καὶ πρὸς τὰς ἑτέρων ἀξόντων θύρας, ἵνα τῆς ἀναγκαίας οὕτως εὐπορεῖν ἔχῃ τροφῆς. Καὶ πολλὰς ἂν ἑτέρας εἶχον οἰκίας εἰπεῖν οὕτω κατενεχθείσας, εἰ μὴ τήν τε εὐλάβειαν καὶ τὴν σύνεσιν τῆς σῆς ἠπιστάμην ψυχῆς οὐκ ἐκ τῶν ἀλλοτρίων κακῶν τῆς οἰκείας συμφορᾶς παραμυθίαν βουλομένην εὑρεῖν. Καὶ τούτων δὲ, ὧν ἐμνήσθην, οὐδ' ὅτερον ἐμνήσθην νῦν, ἀλλ' ἵνα μάθῃς ὅτι τὰ ἀνθρώπινα οὐδέν ἐστι πράγματα, ἀλλ' ἀληθῶς, ὡς ὁ προφήτης φησὶ, « Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. » Ὅσῳ γὰρ ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσούτῳ μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τὰ τῶν ἀρχομένων μόνον, ἀλλὰ καὶ τὰ τῶν βασιλευόντων αὐτῶν. Οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσων τὰ βασίλεια γέμει τῶν κακῶν. Καὶ γὰρ ὀρφανίαι ἄωροι, καὶ χηρεῖαι, καὶ θάνατοι βίαιοι, καὶ τῶν ἐν ταῖς τραγῳδίαις παρανομώτεροι πολλῷ καὶ πικρότεροι μάλιστα εἰς ταύτην κατασκήπτουσι τὴν ἀρχήν. Καὶ ἵνα τὰ παλαιὰ ἀφῶμεν, τῶν βασιλευσάντων ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ἐννέα γεγενημένων ἁπάντων, δύο μόνοι κοινῷ θανάτῳ τὸν βίον κατέλυσαν· τῶν δὲ ἄλλων ὁ μὲν ὑπὸ τυράννου, ὁ δὲ ἐν πολέμῳ, ὁ δὲ ὑπὸ τῶν ἔνδον φυλαττόντων αὐτὸν ἐπιβουλευθεὶς, ὁ δὲ ὑπ' αὐτοῦ τοῦ χειροτονήσαντος καὶ τὴν ἁλουργίδα περιθέντος αὐτῷ· αἱ δὲ τούτοις συνοικήσασαι γυναῖκες, αἱ μὲν, ὥς φασι, φαρμάκοις ἀπέθανον, αἱ δὲ ὑπὸ τῆς ἀθυμίας αὐτῆς. Τῶν δὲ ἔτι περιουσῶν ἡ μὲν παῖδα ἔχουσα ὀρφανὸν τρέμει καὶ δέδοικε μή τις αὐτὸν τῶν κρατούντων φόβῳ τῶν μελλόντων ἀνέλῃ· ἡ δὲ μόλις πολλῶν δεηθέντων ἀπὸ τῆς ὑπερορίας ἐπανῆλθεν, εἰς ἣν αὐτὴν ὁ κρατῶν ἐξέβαλε πρότερον. Τῶν δὲ τοῖς νῦν βασιλεύουσι συνοικουσῶν ἡ μὲν ἀπὸ τῶν προτέρων ἀναπνεύσασα συμφορῶν ἀναμεμιγμένην ἔχει πολλὴν τῇ ἡδονῇ τὴν ὀδύνην διὰ τὸ σφόδρα ἔτι νέον εἶναι καὶ ἄπειρον τὸν κρατοῦντα, καὶ πολλοὺς πολλαχόθεν ἔχειν τοὺς ἐπιβουλεύοντας· ἡ δὲ ἀποτέθνηκε τῷ δέει, καὶ τῶν καταδίκων ἀθλιώτερον ζῇ διὰ τὸ τὸν ἄνδρα αὐτῆς, ἐξ οὗ τὸ διάδημα ἀνεδήσατο, μέχρι τῆς σήμερον ἐν πολέμοις διατρίβειν καὶ μάχαις, καὶ τῶν συμφορῶν πλέον ὑπὸ τῆς αἰσχύνης ἀναλίσκεσθαι καὶ τοῖς παρὰ πάντων ὀνείδεσιν. Ὃ γὰρ μηδέποτε γέγονε, συνέβη νῦν, καὶ τὴν αὐτῶν ἀφέντες οἱ βάρβαροι χώραν μυρίους σταδίους τῆς ἡμετέρας καὶ πολλάκις τοσούτους ἐπίδραμον, καὶ

concedens, omnibus repente rebus suis spoliata ac libertate amissa, cubicullariis ancillis annumerata, ac nulla non ancilla miseriorem vitam agere coacta est, hoc uno cæteras antecellens, quod propter non comparabilem calamitatis magnitudinem lacrimas eorum omnium, qui ipsam aspicerent, eliciebat. Fertur etiam Artemisia viro valde claro nupta, quoniam et ille tyrannidem affectavit, in eamdem incidisse paupertatem, ac præterea oculis esse capta. Nam magnitudo ægritudinis et lacrimarum vis lumina exstinxit: ac nunc quidem hominibus eget qui ducant, atque ad alienas portas adducant, ut hoc modo necessarium sibi victum comparare queat. Nec vero aliæ familiæ desunt itidem dejectæ ac prostratæ, quas commemorarem, nisi probitatem ac prudentiam tuam probe nossem, quæ minime ex alienis malis calamitati tuæ cupias solatium adhibere. Neque vero hæc exempla aliam ob causam commemoravi, quam ut intelligas res humanas nihil esse, vereque a propheta (*Isai.* 40. 6) esse dictum, *Omnis gloria hominis, ut flos fœni.* Quo enim altius evehitur atque emicat, eo majorem parit ruinam, neque iis solum qui sub alieno imperio vivunt, sed etiam Imperatoribus ipsis. Neque enim facile quis inveniat privatam domum æque refertam calamitatibus, ac regiæ malis redundant. Nam et orbitates et viduitates immaturæ, et neces violentæ, atque iis quidem, quæ in tragediis narrantur, multo scelestiores et acerbiores in hoc ipsum præcipue cadunt imperium. Atque, ut vetera omittamus, ex iis omnibus, qui ævo nostro imperarunt (fuerunt autem novem), duo soli communi morte vitam clauserunt: reliquorum autem hic quidem a tyranno, ille vero in bello, alius domesticorum custodum insidiis, alius autem ab illo ipso, qui coronam ac purpuram imposuerat, interfectus occubuit; uxores vero illorum partim, ut ferunt, veneno interierunt, partim ipso mœrore. Earum quæ adhuc superstites sunt, altera quidem filium habens pupillum tremit ac metuit, ne quis eorum qui rerum potiuntur, metu futurorum eum de medio tollat; altera vero vix multorum precibus ab exsilio rediit, quo antea ab eo qui rerum potiebatur, missa erat. Quod ad eorum autem qui nunc imperant uxores, altera ex pristinis calamitatibus respirans voluptati magnum habet dolorem admistum, eo quod qui rerum potitur nimis juvenis ac inexpertus sit, multosque habeat undique insidiantes; altera vero timore exanimata iis qui capite damnati sunt, miseriorem vitam ducit, eo quod vir ipsius ab eo tempore, quo diadema suscepit, usque ad hodiernum diem in bello et præliis versetur, verecundiaque et probris, quibus undique afficitur, magis quam ex calamitatibus tabescat. Quod enim antea numquam, nunc evenit, ut barbari propriam relinquentes regionem, multa stadiorum millia regionis

τὰς χώρας καταχαυσαντες, και τὰς πόλεις ἑλόντες, οὐκ ἐθέλουσιν ὑποστρέφειν οἴκαδε πάλιν, ἀλλ' ὥσπερ χορεύοντες μᾶλλον ἢ πολεμοῦντες, οὕτω καταγελῶσι τοὺς ἡμετέρους ἅπαντας· καί τινα τῶν παρ' ἐκείνοις βασιλέων φασὶν εἰπεῖν ὅτι τῆς ἀναισχυντίας ἐκπλήττοιτο τοὺς ἡμετέρους στρατιώτας, οἳ μᾶλλον προβάτων κατασφαττόμενοι προσδοκῶσιν ἔτι νικᾶν, καὶ οὐκ ἐθέλουσιν ἐκστῆναι τῆς ἑαυτῶν· αὐτὸς μὲν γὰρ ἔφασκε καὶ κόρον εἰληφέναι πολλάκις κατακόπτων αὐτούς. Ποίαν οὖν οἴει καὶ τὸν βασιλέα καὶ τὴν τούτου γυναῖκα ταῦτα ἀκούουσαν τὰ ῥήματα ἔχειν ψυχήν;

Ἐπειδὴ δὲ ἐμνήσθην τοῦ πολέμου τούτου, ἐσμός μοι πολὺς χηρῶν ἐπέδραμεν, αἱ πάλαι μὲν σφόδρα ἔλαμπον ἀπὸ τῆς τῶν ἀνδρῶν τιμῆς, νῦν δὲ ἀθρόως ἅπασαι πενθήρη καὶ μέλαιναν περιθέμεναι στολὴν θρηνοῦσι τὸν ἅπαντα χρόνον. Οὐδὲ γὰρ τοῦτο αὐταῖς ὑπῆρξεν, ὅπερ τῇ τιμίᾳ σου κεφαλῇ. Σὺ μὲν γάρ, ὦ θαυμασία, καὶ κείμενον ἐπὶ τῆς κλίνης εἶδες τὸν καλὸν ἐκεῖνον, καὶ ἐσχάτης ἤκουσας φωνῆς, καὶ τίνα χρὴ πρᾶξαι ὑπὲρ τῶν πραγμάτων τῆς οἰκίας ἔμαθες ἐπισκήπτοντος, καὶ διὰ τῶν διαθηκῶν ἅπασαν τοῖς πλεονέκταις καὶ συκοφάνταις ἀποτειχίζοντος ἔφοδον. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ νεκρῷ κειμένῳ πολλάκις ἐπέπεσας, καὶ κατεφίλησας ὀφθαλμοὺς, καὶ περιεχύθης, καὶ ἐκώκυσας, καὶ προπεμφθέντα εἶδες μετὰ πολλῆς τῆς τιμῆς, καὶ τὰ πρὸς τὴν ταφὴν πάντα ἔπραξας, ὡς προσῆκον ἦν, καὶ πρὸς τὸν τάφον πολλάκις ἐρχομένη τὸν ἐκείνου παραμυθίαν ἔχεις τῆς ὀδύνης οὐ μικράν· αὗται δὲ τούτων ἁπάντων ἐστέρηνται, ἐκπέμψασαι μὲν εἰς πόλεμον ἅπασαι τοὺς ἑαυτῶν, ὡς πάλιν αὐτοὺς ἀπολῃψόμεναι, ἀντὶ δὲ ἐκείνων τὴν πικρὰν τῆς τελευτῆς αὐτῶν ἀγγελίαν δεξάμεναι. Οὐδὲ γὰρ τὰ σώματά τις αὐτῶν κομίζων ἐπανῆλθεν αὐταῖς, ἀλλὰ ῥήματα μόνον, τὸν τρόπον διηγούμενα τῆς τελευτῆς. Εἰσὶ δὲ αἳ οὐδὲ ταύτης ἠξιώθησαν τῆς διηγήσεως, οὐδὲ ὅπως κατέπεσον μαθεῖν ἠδυνήθησαν, ἐν πολλῷ τῷ πλήθει τῆς συμβολῆς καταχωσθέντων αὐτῶν. Καὶ τί θαυμαστὸν εἰ τῶν στρατηγῶν οὕτως ἀπέθανον οἱ πολλοί, ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς εἰς κώμην τινὰ ἀπολῃφθεὶς μετ' ὀλίγων στρατιωτῶν ἐξελθεῖν μὲν καὶ ἀντιστῆναι τοῖς ἐπελθοῦσιν οὐκ ἐτόλμησε, μένων δὲ ἔνδον, πῦρ ἐξαψάντων ἐκείνων, συγκατεφλέχθη τοῖς ἔνδον ἅπασιν, οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ ἵπποις καὶ δοκοῖς καὶ τοίχοις, καὶ πάντα μία γέγονε κόνις; Καὶ ταύτην οἱ μετὰ τοῦ βασιλέως ἀπελθόντες εἰς πόλεμον ἀντὶ τοῦ βασιλέως ἐπανῆλθον τῇ γυναικὶ φέροντες τὴν φωνήν. Οὐδὲν γὰρ, οὐδὲν τῶν ἐν τῇ σκηνῇ γινομένων καὶ τῆς τῶν ἡρωϊκῶν ἀνθῶν ὥρας τὰ τοῦ κόσμου λαμπρὰ διανήνοχε. Πρῶτον μὲν γὰρ πρὶν ἢ φανῆναι ἀφίπταται· ἔπειτα δὲ, κἂν μικρὸν ἀναμεῖναι ἀνάσχηται χρόνον, εὐθέως εὔφθαρτα γίνεται. Τί γὰρ τῆς παρὰ τῶν πολλῶν τιμῆς καὶ δόξης οὐδαμινέστερον; τίνα ἔχει τὸν καρπὸν, ποίαν τὴν ὄνησιν; εἰς ποῖον τέλος χρήσιμον ἅπαντᾷ; Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν· νυνὶ δὲ, πρὸς τῷ

nostræ percurrerint, et vicis incensis captisque urbibus domum redeundi omnem cogitationem abjecerint; ac perinde quasi choreas ducerent, non bellum gererent, ita nostros omnes irrident; et quemdam ex illorum regibus dixisse ferunt, mirari se impudentiam nostrorum militum, qui cum facilius quam oves soleant jugulari, adhuc victoriam sperent, neque ex sua regione velint excedere. Nam ipse quidem dixit, sese illis cædendis satietate sæpe captum esse. Quo igitur animo et Imperatorem et ipsius uxorem ista verba audientem existimas esse?

5. Et quoniam hujus belli mentio incidit, magnum mihi viduarum agmen occurrit, quarum aliæ olim ex virorum quidem dignitate plurimum splendoris acceperunt, nunc vero repente omnes nigra ac luctuosa stola amictæ omne tempus in lacrimis ducunt. Neque illis hoc datum est, quod honorato tuo capiti. Tu enim, o admirabilis, et in lectulo jacentem vidisti honestum illum, et supremam audisti vocem, cum quibus modis res domesticæ administrandæ essent te doceret, et testamento omnem alieni appetentibus ac sycophantis aditum obstrueret. Adde illud, quod jacenti mortuo sæpe incubuisti, et suaviata es oculos et amplexa es ac luxisti, honestissimoque funere elatum vidisti: omnibus quæ decebat erga illum officiis functa es, et justa persolvisti, et ad sepulcrum sæpe accedens non minimum habes tui doloris solatium. Illæ vero omnibus hujusmodi solatiis sunt destitutæ, cum omnes quidem ad bellum misissent viros suos tamquam rursus ipsos recepturæ, at pro illis tristem illorum mortis acceperint nuntium. Non enim quisquam corpora ipsorum afferens, sed verba tantum mortis genus narrantia, ad ipsas rediit. Verum sunt quæ neque hac ipsa narratione dignæ fuerint habitæ, neque quomodo illi ceciderint doceri potuerint, cum in magno cæsorum numero reliquis essent coacervati. Et quid mirum, si multi ex ducibus hoc modo interierunt, quando et Imperator ipse in vico quodam cum paucis militibus conclusus exire quidem et sese invadentibus opponere minime ausus est, sed intus manens accenso ab illis igne una cum iis omnibus, quos secum habebat, combustus est, nec viris solum, sed etiam equis, et trabibus, et parietibus, omnibus in unum atque eumdem cinerem abeuntibus? Atque hunc nuntium ii qui una cum Imperatore ad bellum profecti fuerant, loco Imperatoris ipsius ad uxorem reportantes redierunt. Nihil enim, nihil plane ea quæ in mundo splendida sunt, ab iis quæ in scena geruntur, atque a vernorum florum venustate differunt. Primum enim antequam apparent evanescunt, deinde, etiam si paululum temporis maneant, cito tamen ad interitum properant. Quid enim honore, qui a vulgo exhibetur, et gloria exilius ac vilius? quem fructum, quam utilitatem afferunt? quonam bono exitu concluduntur? Atque utinam nihil aliud subesset

μηδὲν ἀπὸ τούτου κερδαίνειν καλὸν, πολλὰ λυπηρὰ καὶ ἐπιβλαβῆ φέρειν ἀναγκάζεται συνεχῶς ὁ τὴν χαλεπωτάτην ταύτην δέσποιναν ἔχων. Δέσποινα γάρ ἐστι τῶν ἐχόντων αὐτὴν, καὶ ὅσῳπερ ἂν κολακεύηται παρὰ τῶν δούλων, τοσούτῳ πλέον αἴρεται κατ' αὐτῶν καὶ σκληροτέροις αὐτοὺς κατατείνει τοῖς ἐπιτάγμασι· (τοὺς δὲ διαπτύοντας αὐτὴν καὶ παρορῶντας οὐδὲ αὐτὴ λοιπὸν ἁμύνασθαι δύναιτ' ἄν·) οὕτω καὶ τυράννου καὶ θηρίου παντός ἐστι χαλεπωτέρα. Ὁ μὲν γὰρ τύραννος καὶ τὰ θηρία τιθασεύονται διὰ θεραπείας πολλάκις, αὕτη δὲ τότε μάλιστα ἀγριαίνει, ὅταν αὐτῇ μάλιστα πειθώμεθα· κἂν εὕρῃ τὸν ἀκουσόμενον καὶ πάντα εἴξοντα, οὐδέν ἐστιν ὃ παραιτεῖται ἐπιτάξαι λοιπόν. Ἔχει δὲ καὶ σύμμαχον ἑτέραν, ἣν οὐκ ἄν τις ἁμάρτοι θυγατέρα αὐτῆς προσειπών. Ὅταν γὰρ αὕτη τραφεῖσα καὶ αὐξηθεῖσα καλῶς ῥιζωθῇ παρ' ἡμῖν, τότε τίκτει τὴν ἀπόνοιαν, πρᾶγμα οὐχ ἧττον αὐτῆς δυνάμενον καταχρημνίσαι τὴν τῶν ἐχόντων ψυχήν.

Ταῦτα οὖν θρηνεῖς, εἰπέ μοι, ὅτι σε ὁ Θεὸς τῆς οὕτω χαλεπωτάτης δουλείας ἀπήλλαξεν, ὅτι ταῖς λοιμικαῖς ταύταις νόσοις πᾶσαν ἀπετείχισεν ἔφοδον; Ζῶντος μὲν γάρ σοι τοῦ ἀνδρὸς οὔπω ἐπαύσαντο συνεχῶς ἐπιπηδῶσαι τοῖς τῆς ψυχῆς λογισμοῖς, τελευτήσαντος δὲ οὐκ ἔχουσι πόθεν ἐπιλάβωνται τῆς διανοίας τῆς σῆς. Τοῦτο οὖν δεῖ κατορθωθῆναι λοιπὸν, τὸ μὴ θρηνεῖν αὐτῶν τὴν ἀναχώρησιν, μηδὲ τὴν δεσποτείαν ἐπιζητεῖν τὴν πικράν. Ὅπου γὰρ ἂν αὗται πνεύσωσι σφοδρὸν, πάντα ἐκ βάθρων ἀνέτρεψαν καὶ κατέσπασαν· καὶ καθάπερ πολλαὶ τῶν πορνευομένων γυναικῶν, δυσειδεῖς οὖσαι κατὰ φύσιν καὶ εἰδεχθεῖς, τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς ἁπαλὰς οὔσας ἔτι τὰς τῶν νέων ἀνεπτεροῦσι ψυχὰς, καὶ ἐπειδὰν ὑπὸ τὴν ἀρχὴν λάβωσι τὴν ἑαυτῶν, παντὸς ἀνδραπόδου τούτοις ὑβριστικώτερον χέχρηνται· οὕτω καὶ ταῦτα τὰ πάθη, ἥ τε κενοδοξία καὶ ἡ ἀπόνοια, παντὸς ἄγους μᾶλλον τὰς τῶν ἀνθρώπων μολύνουσι ψυχάς. Διὰ τοῦτο καὶ ὁ πλοῦτος τοῖς πολλοῖς ἔδοξεν εἶναι καλόν· ταύτης γοῦν γυμνωθεὶς οὐδὲ αὐτὸς ἔσται λοιπὸν ἐπέραστος. Οἷς γοῦν ἐξῆν διὰ πενίας ἐπιτυχεῖν τῆς δόξης τῆς παρὰ τῶν πολλῶν, οὐκέτι εἵλοντο πλουτεῖν, ἀλλὰ πολὺ διδόμενον χρυσίον διέπτυσαν. Καὶ τούτους οὐ παρ' ἐμοῦ δεήσῃ μαθεῖν, ἀλλ' ἀκριβέστερον ἡμῶν οἴδας αὐτὴ τὸν Ἐπαμεινώνδαν, τὸν Σωκράτην, τὸν Ἀριστείδην, τὸν Διογένην, τὸν Κράτητα τὸν μηλόβοτον ἀνέντα τὴν χώραν τὴν αὐτοῦ. Οἱ μὲν γὰρ ἄλλοι, παρὸν πλουτῆσαι, οὐκ ἤθελον, ἐπεὶ διὰ τῆς πενίας εἶδον τὴν δόξαν παραγινομένην αὐτοῖς, καὶ ἐπὶ τοῦτο ἦλθον εὐθέως· οὗτος δὲ καὶ ἅπερ εἶχεν ἔρριψεν· οὕτως ἅπαντες ἦσαν ἐμμανεῖς πρὸς τὴν τοῦ χαλεποῦ τούτου κτῆσιν θηρίου.

Μὴ δὴ δακρύωμεν ὅτι ἡμᾶς ὁ Θεὸς ταύτης τῆς τυραννίδος ἀπήλλαξε τῆς αἰσχρᾶς καὶ καταγελάστου καὶ πολλὰ ἐχούσης ὀνείδη· ὄνομα γὰρ ἔχει μόνον λαμπρὸν, ἐν δὲ τοῖς ἔργοις τἀναντία τῇ προσηγορίᾳ τοὺς ἔχοντας αὐτὴν διατίθησι, καὶ οὐκ ἔστιν οὐδεὶς ὁ μὴ καταγελῶν

mali: nunc vero, præterquam quod nihil vere boni inde provenit, multas etiam molestias, multa damna assidue is ferre cogitur, qui se huic acerbissimæ dominæ subjecit. Domina enim est eorum qui ipsam admiserunt, et quo majoribus blanditiis et assentationibus colitur a servis, eo magis sese contra ipsos erigit, et durioribus ipsos urget mandatis; (interim eos qui ipsam rejiciunt ac despiciunt, nullatenus ulcisci potest:) ita et tyranno et fera qualibet immitior est. Nam tyrannus quidem et feræ obsequiis sæpe mitescunt; hæc autem tunc maxime efferatur, quando ei maxime auscultaverimus; ac si dicto audientem inveniat atque ad omnia obsequentem, nihil est præterea quod imperare omittat. Habet vero et alteram belli sociam, quam non male fortasse quis ipsius filiam appellarit. Quando enim ipsa probe a nobis educata et aucta radices egerit, tunc arrogantiam parit, rem quæ nihilo minus quam mater animum, quem ceperit, præcipitem agere potest.

6. Hoc igitur, dic mihi, luges, quod ab hac durissima domina Deus te liberavit? quod omnibus his pestiferis morbis omnem obsepsit viam? Vivente enim adhuc tibi viro nullum in mentem tuam insultandi finem fecissent; mortuo autem, non habent unde in cogitationes tuas impetum faciant. Hoc igitur tibi posthac curandum ac præstandum est, ut ne illarum discessum lugeas, neque acerbum illum dominatum expetas. Nam ubi illæ vehementius spirant, omnia funditus evertunt ac prosternunt: et quemadmodum meretrices, cum plerumque suapte natura deformes sint ac squalidæ, frictionibus et fucis incautos et simplices juvenum animos illaqueant, et postquam in suam ditionem receperunt, servis omnibus contumeliosius tractant: ita et hujusmodi affectiones, ambitio et arrogantia, quavis lue hominum animos magis inquinant. Hinc et multi divitias magnum bonum duxerunt: certe qui ambitionem ejecerit, a divitiis non amplius capietur. Nam quibus licuit ob paupertatem consequi magnam gloriam, ii ditescere minime voluerunt, sed magnam auri vim sibi oblatam contemserunt. Atque hos minime ex me cognoscere necesse habes: ipsa enim longe melius quam ego nosti Epaminondam, Socratem, Aristidem, Diogenem, Cratetem, qui suos agros in pecorum pastum reliquit. Nam cæteri quidem, cum possent ditescere, nolebant, quia ex paupertate gloriam nasci sibi animadvertebant, et statim in hanc se partem dederunt; hic autem etiam ea quæ habebat, projecit: adeo omnes hujus feræ bellum (*gloriæ*) sibi acquirendæ cupiditate insaniebant.

Ne igitur queramur Deum ex hac turpi nos tyrannide et ridicula et multorum probrorum plena exemisse. Nomen enim solum splendidum est, res autem ipsa longe alios atque appellatio ipsa polliceatur, amatores suos reddit, ac nemo

τοῦ πρὸς δόξαν τι πράττοντος. Μόνος γὰρ ἐκεῖνος περίβλεπτος καὶ ἐπίδοξος γενέσθαι δυνήσεται ὁ μὴ πρὸς τοῦτο ὁρῶν· ὁ δὲ μεγάλην δόξαν τιθέμενος τὴν παρὰ τῶν πολλῶν, καὶ πάντα ὑπὲρ τοῦ ταύτης τυχεῖν ὑπομένων καὶ ποιῶν, οὗτος μάλιστα αὐτῆς ἀποτεύξεται καὶ ἀποπεσεῖται, καὶ τῶν ἐναντίων ἀπολαύσεται πάντων, γέλωτος καὶ κατηγορίας, σκωμμάτων καὶ ἀπεχθείας καὶ μίσους. Οὐκ ἐπὶ τῶν ἀνδρῶν δὲ τοῦτο μόνον συμβαίνειν εἰωθεν, ἀλλὰ καὶ ἐπὶ ὑμῶν τῶν γυναικῶν, καὶ μάλιστά γε ἐφ' ὑμῶν. Τὴν μὲν γὰρ ἁπλοῦν τινα καὶ ἐν σχήματι καὶ ἐν βαδίσει καὶ ἐν ἱματίοις, καὶ παρὰ μηδενὸς ἐπιζητοῦσαν τιμήν, θαυμάζουσιν ἅπασαι καὶ ἐκπλήττονται καὶ μακαρίζουσι καὶ πάντα αὐτῇ συνεύχονται τὰ καλά· τὴν δὲ κενόδοξον ἀποστρέφονται καὶ μισοῦσι, καὶ ὥσπερ τι θηρίον ἄγριον φεύγουσι, καὶ μυρίαις ἀραῖς τε καὶ λοιδορίαις βάλλουσιν.

Οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ μὴ προσίεσθαι τὴν παρὰ τῶν πολλῶν δόξαν διαφεύγομεν τὰ κακά, ἀλλὰ καὶ τὰ μέγιστα πάντων κερδανοῦμεν πρὸς τοῖς εἰρημένοις, παιδευόμενοι κατὰ μικρὸν ἀνιέναι καὶ πέτεσθαι πρὸς τὸν οὐρανὸν, καὶ πάντων καταφρονεῖν τῶν ἐπὶ τῆς γῆς. Ὁ γὰρ μὴ οἰόμενος τῆς παρὰ τῶν ἀνθρώπων τιμῆς, ἅπερ ἂν πράττῃ καλὰ, ταῦτα μετὰ ἀσφαλείας ἅπαντα πράξει, καὶ οὔτε ἐπὶ τῶν λυπηρῶν οὔτε ἐπὶ τῶν χρηστῶν τοῦ βίου τούτου πείσεταί τι δεινόν. Οὔτε γὰρ ταῦτα αὐτὸν βαπτίσαι καὶ καθιλεῖν, οὔτε ἐκεῖνα ἐξογκῶσαι καὶ φυσῆσαι δύναται, ἀλλ' ἐν πράγμασιν εὐμεταπτώτοις καὶ τεταραγμένοις αὐτὸς μένει πάσης ἐκτὸς ὢν μεταβολῆς· ὅπερ ταχέως καὶ ἐπὶ τῆς σῆς ἔσεσθαι προσδοκῶ ψυχῆς, καὶ ἁθρόως ἁπάντων ἀποστασθεῖσαν τῶν βιωτικῶν, τὴν ἐν τοῖς οὐρανοῖς ἡμῖν ἐπιδείξεσθαι πολιτείαν, καὶ τῆς δόξης, ἣν θρηνεῖς νῦν, μικρὸν ὕστερον καταγελάσεσθαι, καὶ τὸ διάχενον καὶ μάταιον κατοπτεύσειν προσωπεῖον αὐτῆς. Εἰ δὲ ἀσφάλειαν ποθεῖς τὴν δι' ἐκεῖνόν σοι γεγενημένην, καὶ τὴν τῶν πραγμάτων φυλακὴν, καὶ τὸ παρὰ μηδενὸς ἐπιβουλεύεσθαι τῶν ταῖς ἀλλοτρίαις ἐπιπηδώντων συμφοραῖς, « Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. Ἐμβλέψατε γὰρ, φησὶν, εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε τίς ἐνεπίστευσε τῷ Κυρίῳ, καὶ κατῃσχύνθη, ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτὸν, ἢ τίς ἐνέμεινε ταῖς ἐντολαῖς αὐτοῦ, καὶ ἐγκατέλιπεν αὐτόν. » Ὁ γὰρ τὴν συμφορὰν τὴν οὕτως ἀφόρητον παρενεγκὼν, καὶ ποιήσας εἶναι ἐν γαλήνῃ νῦν, οὗτος καὶ τὰ ἐπερχόμενα ἀποκρούσεται· ὅτι γὰρ ταύτης τῆς πληγῆς οὐδεμίαν ἑτέραν χαλεπωτέραν λήψῃ λοιπὸν, καὶ αὐτὴ συνομολογήσαις ἡμῖν. Ἦ τοίνυν οὕτω γενναίως ἐνεγκοῦσα τὰ ἐν χερσὶ, καὶ ταῦτα ἄπειρος οὖσα, πολλῷ μᾶλλον τὰ ἐπερχόμενα, εἴποτε, ὃ μὴ γένοιτο, συμβῇ τι τῶν ἀβουλήτων ἡμῖν, οἵαις εὐκόλως. Τὸν οὐρανὸν γὰρ ζήτει καὶ πάντα τὰ πρὸς τὴν ἐκεῖ φέροντα ζωὴν, καὶ οὐδὲν τῶν ἐνταῦθα βλάψαι δυνήσεταί σε, οὐδὲ ὁ τοῦ σκότους κοσμοκράτωρ αὐτὸς, μόνον μὴ ἑαυτοὺς κατα-

est qui gloriæ causa quidpiam agentem non irrideat. Ille enim solus suspiciandum se præbere et gloria circumfluere poterit, qui eo minime spectat: qui autem magnum quiddam putat gloriam a multis delatam, atque illius consequendæ causa omnia facit et patitur, is potissimum ab ea longe aberit, ejusque expers erit, rerum vero gloriæ adversantium maxime particeps, irrisionis, criminationis, maledictorum, offensionis, odii. Neque in viris tantum id usu venit, sed etiam in vobis mulieribus, atque multo magis. Nam quæ et figura et incessu et vestitu simplicem quamdam bonitatem præ se fert, et a nemine honorem aucupatur, eam omnes admirantur, suspiciunt, prædicant, omnibus bonis ominibus prosequuntur: vanæ autem gloriæ cupidam aversantur, oderunt, et veluti belluam quamdam agrestem fugiunt, sexcentas in illam exsecrationes et contumelias conjicientes.

Nec vero his dumtaxat malis nos eripimus vulgarem gloriam contemnentes, sed et ea quæ omnium maxima sunt, lucramur, dum præter ea quæ dicta sunt paulatim erudimur emergere et evolare ad cælum, et terrena omnia despicere. Nam qui delato ab hominibus honore minime egere se putat, quidquid boni faciet, magna cum securitate faciet, neque aut adversis aut secundis hujus vitæ rebus quidquam incommodi sentiet. Neque enim aut adversæ illum dejicere atque obruere possunt, aut secundæ inflare ac tumidum reddere, sed in rebus maxime caducis ac fluxis ipse omnis mutationis expers manet. Quod celeriter et in tuo ipsius animo eventurum spero, confestimque terrenis omnibus abjectis, cælestem te nobis vivendi rationem repræsentaturam, gloriam vero, quam nunc defles, paulo post irrisuram, et vanam ac futilem illius personam agnituram. Quodsi pristinam, qua per illum potiebaris, securitatem desideres, et bonorum custodiam, nec patere velis eorum insidiis, qui alienis calamitatibus insultant, (*Psal.* 54. 23) *Jacta super Dominum curam tuam, et ipse te enutriet. Inspicite* enim, inquit (*Eccli.* 2. 10), *in antiquas generationes, et videte si quis confidit in Domino, et confusus est, vel si quis invocavit illum, et despectus est, vel si quis stetit in mandatis ejus, et derelictus est.* Nam qui onus tam intolerabilis calamitatis levius reddidit, et in præsenti tranquillitate te collocavit, is et quæ imminent propulsabit. Nam hac quidem plaga nullam te unquam graviorem posse accipere profecto nobis assentieris. Quando igitur præsens malum adeo fortiter ac generose tulisti, idque cum te usus nondum docuisset, multo magis ex iis quæ accidere possunt, si quid præter voluntatem nostram acciderit, quod Deus omen avertat, facile feres. Cælum quære, et omnia quæcumque ad vitam illic degendam conducunt, ac nihil eorum quæ hic fiant lædere te poterit, ne ipse quidem tenebrarum imperator, dummodo ne

βλάψωμεν ἡμεῖς. Κἂν γὰρ τὴν οὐσίαν τις ἀφέληται, κἂν κατατίμῃ τὸ σῶμα, τούτων οὐδὲν πρὸς ἡμᾶς, ὑγιοῦς μενούσης ἡμῖν τῆς ψυχῆς.

Ὅλως δὲ εἰ βούλει καὶ τὰ χρήματά σοι μένειν ἐν ἀσφαλείᾳ, καὶ αὔξεσθαι πάλιν, ἐγώ σοι καὶ τὸν τρόπον ὑποδείξω, καὶ τόπον ἔνθα οὐδενὶ τῶν ἐπιβουλευόντων θέμις εἰσελθεῖν. Τίς οὖν ἐστιν ὁ τόπος; Ὁ οὐρανός. Ἀπόστειλον αὐτὰ πρὸς τὸν καλὸν ἐκεῖνον ἄνδρα, καὶ οὔτε κλέπτης, οὔτε ἐπίβουλος, οὔτε ἄλλο τι τῶν λυμαινομένων αὐτοῖς ἐπιπηδῆσαι δυνήσεται. Ἂν ἐκεῖ κατορύξῃς ταῦτα τὰ χρήματα, πολὺν εὑρήσεις τὸν ἀπὸ τούτων καρπόν. Τὰ γὰρ ἐν τοῖς οὐρανοῖς φυτευόμενα πάντα παρ' ἡμῶν καὶ πλείονα καὶ κρείττονα ἔχει τὴν φοράν, καὶ τοιαύτην οἵαν εἰκὸς ἐν οὐρανοῖς ἐρριζωμένων αὐτῶν. Κἂν τοῦτο πράξῃς, ὅρα ποίων ἀπολαύσῃ καλῶν· πρῶτον μὲν τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεὸν, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ἔπειτα τοῦ πάντα συνοικῆσαι τῷ καλῷ τούτῳ τὸν αἰῶνα, καὶ τῶν ἐνταῦθα δὲ φροντίδων καὶ φόβων καὶ κινδύνων καὶ ἐπιβουλῶν καὶ ἔχθρας καὶ μίσους ἀπαλλάξεις σαυτήν. Ἕως μὲν γὰρ αὐτὰ περικειμένη ᾖς, ἴσως ἔσονταί τινες οἱ ἐπιθησόμενοι· ἂν δὲ πρὸς τὸν οὐρανὸν αὐτὰ μεταθῇς, ἀκίνδυνον καὶ ἀσφαλῆ καὶ πολλῆς ἡσυχίας γέμοντα βιώσῃ βίον, αὐταρκείας μετὰ εὐσεβείας ἀπολαύουσα. Καὶ γὰρ πολλῆς ἀλογίας, ἀγροὺς μὲν βουλόμενον ὠνήσασθαι τὴν εὐφορουσαν γῆν ἐπιζητεῖν, οὐρανοῦ δὲ ἀντὶ γῆς προκειμένου, παρὸν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπὶ τῆς γῆς, καὶ τῶν ἐκ ταύτης ἀνέχεσθαι πόνων καὶ τῶν διαμαρτιῶν· πολλάκις γὰρ σφάλλει τῆς ἐλπίδος ἡμᾶς.

Ἐπειδὴ δέ σου δεινῶς στρέφει τὴν ψυχὴν καὶ θορυβεῖ τὸ προσδοκηθὲν πολλάκις αὐτὸν ἐπὶ τὸ τῶν ὑπάρχων ἧξειν ἀξίωμα, καὶ προαντιπράσθαι τῆς ἀρχῆς, πρῶτον μὲν ἐκεῖνο σκόπει, ὅτι εἰ καὶ σφόδρα δῆλη ἦν αὕτη ἡ ἐλπὶς, ἀλλ' ὅμως ἀνθρώπων ἐλπὶς ἦν, πολλάκις διαπίπτουσα· καὶ πολλὰ ἐν τῷ βίῳ τοιαῦτα ὁρῶμεν γινόμενα, καὶ τῶν σφόδρα προσδοκηθέντων ἀτελέστων μεινάντων, τὰ δὲ μηδ' εἰς νοῦν ἐλθόντα ἡμῖν εἰς τέλος ἐξῆλθε πολλάκις· καὶ τοῦτο κἀν ταῖς ἀρχαῖς, κἀν ταῖς βασιλείαις, κἀν ταῖς κληρονομίαις, κἀν τοῖς γάμοις, καὶ πανταχοῦ συμβαίνον ὁρῶμεν ἀεί. Ὥστε εἰ καὶ σφόδρα ἐγγὺς ἦν ὁ καιρὸς, ἀλλὰ πολλὰ, κατὰ τὴν παροιμίαν, μεταξὺ κύλικος καὶ χείλεος ἄκρου. Καὶ ἡ Γραφὴ δέ φησιν, « Ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός. » Οὕτω καὶ βασιλεὺς ὁ σήμερον ὢν αὔριον τελευτᾷ. Καὶ πάλιν τὸ παρ' ἐλπίδας ἐμφαίνων ἡμῖν αὐτὸς οὗτος ὁ σοφός φησι, « Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. » Καὶ οὐ πάντως δῆλον ἦν ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν· τὸ γὰρ τοῦ μέλλοντος ἄδηλον καὶ ἕτερα ὑποπτεύειν παρεῖχεν ἡμῖν. Πόθεν γὰρ δῆλον ὅτι ζήσας ἐπ' ἐκείνην ἥξει τὴν ἀρχήν; ὅτι οὐχὶ καὶ τὰ ἐναντία ἐξέβαινε, καὶ τῆς οὔσης ἐξέπιπτε τιμῆς νόσῳ

nobis ipsi noceamus. Nam et si quis bonis spoliet, et si corpus concidat, nihil horum ad nos, modo animus nobis incolumis maneat.

7. Omnino autem si vis pecunias ab omni periculo tuas custodire et amplificare, ego sane et modum et locum demonstrabo, quo nulli eorum, qui insidiari solent, fas est irruere. Quis igitur locus est? Cælum : mitte illas ad optimum illum virum, ac neque fur, neque insidiator, neque ulla alia pestis impetum facere in illas poterit. Si ibi has ipsas pecunias defoderis, magnum ex his lucrum reportabis. Omnia enim quæcumque a nobis in cælis seruntur, longe majorem ac meliorem proventum habent, ac plane talem, qualem consentaneum est ex iis quæ in cælis radices egerunt. Quodsi hoc feceris, vide qualibus frueris bonis : primum quidem sempiterna vita et iis quæ promissa sunt diligentibus Deum, (1 *Cor.* 2. 9) quæ neque oculus vidit, neque auris audivit, neque in cor hominis ascenderunt; deinde consuetudine optimi viri tui in omne ævum; postremo a curis, timoribus, periculis, insidiis, simultate, odio, quæ hanc vitam exercent, te ipsam liberabis. Quamdiu enim pecunias apud te retinebis, erunt fortasse aliqui, qui fraudibus intervertant : sin autem ad cælum transmiseris, periculis vacuam, tutam, ac tranquillitatis plenissimam vitam vives, quippe quæ sufficientia una cum pietate frueris. Magnæ enim dementiæ est, si agri quidem emendi sint, feraciorem terram sectari; cum vero cælum terræ loco sit propositum, cum ibi liceat prædium sibi comparare, terræ potius inhærere, seque molestiis, quæ ex hac sæpe incidunt, exponere et deceptionibus : sæpe enim nostram frustratur spem.

Quoniam vero illud graviter percellit concutitque animum tuum, quod sæpe sperasti fore ut is ad præfectorum dignitatem eveheretur, ideoque magistratum illi quodammodo ereptum doles, primum illud quidem fac tecum cogites, licet valde explorata esset hæc spes, attamen humanam fuisse spem, quæ sæpe fallere sit solita : ac multa hujusmodi in hac vita quotidie evenire cernimus : ut cum ea quæ valde sperantur, minime exitum inveniant, ea vero quæ neque in mentem venerunt, ad finem sæpenumero perducantur : sive ad imperia, sive ad regna, sive ad hæreditates, sive ad matrimonia, sive alio animum intendamus. Quocirca quamvis prope adesset tempus, tamen, ut in proverbio est, *Multa sunt inter calicem et summum labium.* Ac sane Scriptura ipsa inquit (*Eccli.* 18. 26), *A mane usque ad vesperam immutatur tempus.* Sic et rex, qui hodie est, cras moritur. Ac rursus quam incerti rerum exitus sint, nobis declarans hic ipse Sapiens (11. 6) inquit, *Multi tyranni sederunt in solo, et insuspicabilis portavit diadema.* Neque exploratissimum erat, si vixisset, ad eum dignitatis gradum fuisse perventurum. Nam incertus futuri eventus, atque alia etiam erant, quæ nobis suspicionem injicerent. Unde enim manifestum erat, si vixisset, ad magistratum illum evectum iri, nec adeo contraria eventura esse : verbi gratia, ut morbo correptus,

παραδοθείς, καὶ φθόνῳ καὶ βασκανίᾳ τῶν βουλομένων αὐτὸν παρευημερῆσαι βληθείς, ἢ καὶ ἕτερόν τι παθὼν χαλεπόν; Θῶμεν δὲ, εἰ βούλει, καὶ δῆλον εἶναι σαφῶς ὅτι πάντως ἐπιβιώσας ταύτης ἐμελλεν ἐπιτυγχάνειν τῆς κορυφῆς· ἀλλ' ὅσῳ ἡ ἀξία μείζων, τοσούτῳ καὶ μείζονας ἔχειν ἀνάγκη τοὺς κινδύνους ἦν καὶ φροντίδας καὶ ἐπιβουλάς. Μηδὲ ταῦτα ἔστω, ἀλλ' ἀκινδύνως καὶ μετὰ πολλῆς τῆς ἡσυχίας ἐκεῖνο διαπλείτω τὸ πέλαγος· καὶ τί τὸ πέρας, εἰπέ μοι; οὐ τοῦτο ὅπερ νῦν; μᾶλλον δὲ οὐ τοῦτο, ἀλλ' ἕτερον ἴσως δηδὲς καὶ ἀπευκτόν. Πρῶτον μὲν τὸ βραδύτερον ἰδεῖν τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ὅπερ οὐ μικρὰ ζημία τοῖς ὑπὲρ τῶν μελλόντων πεπιστευκόσιν ἐστίν· ἔπειτα δὲ, εἰ καὶ σφόδρα ἐβίου καθαρῶς, ἀλλ' ὅμως τὸ μῆκος τοῦ βίου καὶ ἡ τῆς ἀρχῆς ἐκείνης ἀνάγκη οὐκ ἂν ἀφῆκεν οὕτως ἀπελθεῖν καθαρὸν ὥσπερ νῦν. Ἄδηλον δὲ εἰ μὴ πολλὰς δεξάμενος μεταβολὰς, καὶ πρὸς ῥᾳθυμίαν ἀποκλίνας, ἰσχάτως ἀπέναυσε. Νῦν μὲν γὰρ θαῤῥοῦμεν, ὅτι τῇ τοῦ Θεοῦ χάριτι πρὸς τὸ τῆς ἀναπαύσεως ἀπέπτη χωρίον, διὰ τὸ μηδὲν αὐτῷ τετολμῆσθαι τῶν ἀποκλειόντων τῆς βασιλείας τῶν οὐρανῶν· τότε δὲ πολὺν χρόνον δημοσίοις πράγμασιν ἐνδιατρίψας, ἴσως ἂν καὶ ῥύπον πολὺν προσετρίψατο. Τὸ γὰρ ἐν μέσῳ στρεφόμενον τοσούτων κακῶν κατορθῶσαι μὲν τῶν σφόδρα σπανίων ἐστὶν, ἁμαρτεῖν δὲ καὶ ἄκοντα καὶ ἑκόντα, τῶν εἰκότων καὶ συμβαινόντων ἀεί. Ἀλλὰ νῦν τούτου τοῦ δέους ἀπηλλάγμεθα, καὶ σφόδρα πεπείσμεθα ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετὰ πολλῆς ἕξει τῆς φαιδρότητος, ἄγγελος τοῦ βασιλέως ἀπολάμπων, καὶ μετ' ἀγγέλων προηγούμενος τοῦ Χριστοῦ, καὶ τὴν ἄῤῥητον δόξαν ἠμφιεσμένος, καὶ κρίνοντι παριστὼς τῷ βασιλεῖ, καὶ τὰ πρῶτα διακονούμενος αὐτῷ. Διὸ τοὺς θρήνους ἀφεῖσα καὶ τὰς οἰμωγὰς, ἔχου τῆς αὐτῆς πολιτείας, μᾶλλον δὲ καὶ ἀκριβεστέρας, ἵνα πρὸς τὴν ἴσην αὐτῷ φθάσασα ἀρετὴν, τὴν αὐτὴν ἐκείνῳ κατοικήσῃς σκηνὴν, καὶ συναφθῆναι πάλιν αὐτῷ δυνηθῇς εἰς τοὺς ἀθανάτους αἰῶνας ἐκείνους, οὐ ταύτην τὴν τοῦ γάμου συνάφειαν, ἀλλ' ἑτέραν πολλῷ βελτίονα. Αὕτη μὲν γὰρ σωμάτων ἐστὶ συμπλοκὴ μόνον· τότε δὲ ψυχῆς ἔσται πρὸς ψυχὴν ἕνωσις ἀκριβεστέρα, καὶ ἡδίων πολλῷ καὶ βελτίων.

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ ΜΟΝΑΝΔΡΙΑΣ.

Τὸ μὲν τὰς ἀπείρους ὁμιλίας ἀνδρῶν καὶ ὠδίνων καὶ τῶν ἄλλων ἁπάντων, ἅπερ ἐπισυρόμενος ὁ γάμος εἰς τὰς τῶν ἀνθρώπων εἰσέρχεται οἰκίας, ἄνδρας ἐπιζητεῖν θαυμαστὸν οὐδέν· καὶ γὰρ τὸν πόλεμον, πρᾶγμα οὕτως ἐπίπονον, τοῖς ἀπείροις γλυκὺν ἡ παροιμία εἶναί φησι· τὸ δὲ τὰς μυρίας ἀνασχομένας κακὰ, πολλάκις δὲ ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης ἀναπεισθείσας, μα-

aut invidia ac malevolentia eorum qui prosperitatem illius non ferrent, circumventus, vel aliqua alia calamitate affectus, præsenti etiam dignitate privaretur? Sed ponamus exploratum fuisse, si diutius vixisset, ad illud fastigium perventurum : at certe, quanto major dignitas, tanto majoribus periculis, curis, insidiis necessario suberat. Cæterum absint et ista, ac sine periculo summaque cum tranquillite illud navigarit pelagus : ecquis finis, dic mihi, manebat? an non idem qui nunc? aut potius non idem, sed alius fortasse, tristis nimirum, ac votis omnibus fugiendus? Primum quidem tardius vidisset cælum et ea quæ in cœlis sunt, quod iis qui res futuras fide et spe præceperunt, non minimum damnum est. Deinde, quantumvis pure vixisset, attamen vitæ longitudo ac necessitas quædam in illum magistratum incurrens non æque integrum et purum abire hinc permisisset, atque hoc tempore. Incertum quoque illud, an forte multis modis immutatus, ac negligentiæ cedens, tandem extremis modis declinaverit. Nam nunc quidem confidimus Dei gratia illum evolasse ad locum quietis, quod nullam ex iis culpis in se admiserit, quæ a regno cælorum excludunt : tunc vero publica negotia plerumque tractans fortasse multas ad se attraxisset sordes. Nam tot undique malis circumstantibus rectum tenere cursum rarum admodum est; peccare autem et per imprudentiam et sponte, valde usitatum ac quotidianum. Nunc vero a timore isto longe absumus, ac magnopere confidimus, venturum in die illa plenum gaudii et splendoris proximum Regi, atque una cum angelis præeuntem Christo, gloria amictum ineffabili, et judicanti Regi assistentem, et in præstantissimis muneribus ministrantem. Quamobrem misso jam flectu et ejulatu eamdem vivendi rationem, imo accuratiorem tene, ut eamdem atque illo adepta virtutem, in idem etiam cum illo tabernaculum recipiaris, ac rursus conjungi cum illo queas in sempiterna illa sæcula, non hoc matrimonii nexu, sed alio quodam longe meliore. Hic enim corpora tantum copulat, ille vero multo arctior, jucundior, melior animam animæ jungit.

EJUSDEM

DE NON ITERANDO CONJUGIO.

1. Mulieres, quæ virorum consuetudinem, partus dolores, et cætera omnia quæ secum trahens matrimonium in hominum domos ingreditur, numquam usu cognoverunt, ad viros animum appellere, nihil sane mirandum est : nam et *bellum*, rem adeo laboriosam, *inexpertis dulce esse* (*Pindar. fragm.* 73) in proverbio est. At sexcentis malis affectas, quasque sæpe ipsa rerum conditio dura perdo-

καίρεσαι μὲν τὰς ἀπηλλαγμένας τῶν τοῦ κόσμου πραγμάτων, ἐπαρᾶσθαι δὲ μυριάκις ἑαυταῖς καὶ ταῖς προμνηστευτρίαις καὶ τῇ ἡμέρᾳ καθ' ἣν αἱ παστάδες ἐπλέκοντο, ταύτας δὲ μετὰ τοσαύτην ἀποδυσπέτησιν πάλιν τῶν αὐτῶν πραγμάτων ἐπιθυμεῖν, τοῦτό ἐστι τὸ μάλιστά με ἐκπλῆττον καὶ ποιοῦν ἀπορεῖν, καὶ τὴν αἰτίαν ἐπιζητεῖν, δι' ἣν τὰ πράγματα, ἃ πρότερον ἐνόμιζον εἶναι φευκτὰ, ὅτε ἦσαν ἐν αὐτοῖς, ταῦτα νῦν, ὅτε αὐτῶν ἀπηλλάγησαν, ὡς ποθεινὰ πάλιν [ἀνέχονται] διώκειν. Καὶ μυρίους ἄνω καὶ κάτω στρέφων παρ' ἐμαυτῷ λογισμοὺς, μόλις ποτὲ, ὡς ἐμαυτὸν πείθω, τὴν αἰτίαν τοῦ πράγματος ηὕρισκον· μᾶλλον δὲ οὐ μία τίς ἐστιν, οὐδὲ δύο μόνον, ἀλλὰ καὶ τούτων πλείους. Αἱ μὲν γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου λήθῃ παραδοῦσαι τὰ πρότερα, καὶ τὰ ἐν χερσὶ μνημονεύουσαι μόνον, ἔρχονται μὲν ἐπὶ τὸν γάμον ὡς ἐπὶ λύσιν τῶν τῆς χηρείας κακῶν, εὑρίσκουσι δὲ ἕτερα πολλῷ χαλεπώτερα ἐν αὐτῷ, ὡς πάλιν τὰς αὐτὰς ἀρῆναι φωνὰς ἅσπερ καὶ πρότερον. Ἄλλαι δὲ πάλιν πρὸς τὰ τοῦ κόσμου χεχηνυῖαι πράγματα, καὶ τῆς δόξης τοῦ παρόντος ἐκκρεμάμεναι βίου, καὶ τὴν χηρείαν ἐπονείδιστον πρᾶγμα εἶναι νομίζουσαι, αἱροῦνται τὰς ἐν τῷ γάμῳ ταλαιπωρίας ὑπὲρ τῆς δόξης τῆς κενῆς καὶ τοῦ τύφου τοῦ περιττοῦ. Εἰσὶ δὲ αἳ τούτων μὲν οὐδενὶ, ἀκρασίᾳ δὲ μόνῃ κρατούμεναι, ἐπὶ τὰ πρότερα πάλιν ἐπανέρχονται, καὶ τὴν ὄντως αἰτίαν πειρῶνται ταῖς εἰρημέναις ἀποκρύπτειν προφάσεσιν. Αἰτιάσασθαι μὲν οὖν αὐτὰς καὶ καταδικάσαι ὑπὲρ τοῦ γάμου τούτου οὔτε αὐτὸς τολμῶ, οὔτε ἄλλῳ παραινῶ· ἐπειδὴ μηδὲ τῷ μακαρίῳ Παύλῳ τοῦτο δοκεῖ, μᾶλλον δὲ τῷ Πνεύματι τῷ ἁγίῳ. Εἰπὼν γὰρ « Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· » καὶ συγχωρήσας τῇ χήρᾳ εἰ βούλοιτο γαμηθῆναι πάλιν, καὶ εἰπὼν, « Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ· » ἵνα μή τις νομίσῃ ἀνθρώπινον εἶναι τὸ ἐπίταγμα, ἐπήγαγε, « Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν· » δηλῶν ὅτι πνεύματι ταῦτα ἔγραψε. Μὴ τοίνυν ἐγκαλοῦντα ταῖς γαμουμέναις ἢ μεμφόμενον νομιζέτω μέ τις λέγειν ταῦτα, ἅπερ ἐρῶ νῦν. Καὶ γὰρ ἂν εἴη τῆς ἰσχάτης ἀπονοίας τε καὶ μανίας, ἃς οὐκ ἐκόλασεν ὁ μακάριος ἐκεῖνος, ἀλλ' ἐφείσατο, ταύτας ἡμᾶς καταδικάζειν ἀφειδῶς ἐξ ἐναντίας, καὶ ταῦτα μυρίων ἐμπεπλησμένους κακῶν. Εἰ γὰρ μηδὲ κρίνειν κελευόμεθα, ἵνα μὴ τῷ αὐτῷ μέτρῳ κριθῶμεν, μηδὲ σφοδροὶ τῶν ἑτέροις ἁμαρτανομένων γίνεσθαι δικασταὶ, ἀλλὰ συγγνωμονικοὶ καὶ ἥμεροι· ὅταν πρᾶγμά τις κολάζῃ καὶ κατακρίνῃ μηδὲ ἁμάρτημα ὄν, πῶς οὐχ ἑαυτὸν πρῶτον πάσης ἀποστερήσει συγγνώμης, διὰ τῶν εἰς τὸν πλησίον σφοδρότερον αὐτῷ γίνεσθαι παρασκευάζων τὸν κριτήν; Οὐ τοίνυν κατηγορῶν αὐτῶν οὐδὲ καθαπτόμενος ἐπὶ τοῦτο ἦλθον νῦν· τὸ γὰρ ἐν Κυρίῳ γενέσθαι δυνάμενον, πάσης κατηγορίας ἐπήλλακται· « Μόνον γάρ, φησὶν, ἐν Κυρίῳ. » Ἀλλ' ὥσπερ ὅταν ὑπὲρ παρθενίας λέγωμεν, οὐ τὸν γάμον

cuit, eas quidem, quæ solutæ a rebus hujus mundi vitam agerent, beatas prædicare, se ipsas autem et pronubas et diem quo in matrimonium sunt collocatæ, millies exsecrari, eas ipsas post tantum fastidii rursus earumdem rerum desiderio capi, hoc est, quod me propemodum obstupefacit ac dubitare cogit, et quærere quid causæ sit quamobrem quas res antea, cum in iis versarentur, fugiendas existimabant, has nunc, cum ab iis liberæ sunt, tamquam expetendas rursum persequi possint. Ac multa quidem animo versans, vix tandem, ut puto, ad ipsam rei causam indagando perveni : imo vero non una est, aut duæ solum, sed his etiam plures. Partim enim ob temporis longinquitatem priorum oblitæ, et ea tantum quæ in manibus sunt recolentes, veniunt quidem ad matrimonium, quasi ad id quod omnia viduitatis incommoda depellat; sed alia quædam ibi longe graviora inventes rursus easdem, quas antea, voces emittunt : partim vero mundanis rebus rursus inhiantes gloriamque præsentis vitæ admirantes et viduitatem rem dedecoris plenam putantes, hujus inanis gloriæ et nimii tumoris causa easdem appetunt matrimonii miserias. Nec vero desunt quæ non hujusmodi causis adductæ, sed soli intemperantiæ cedentes, rursus ad priorem vitæ rationem redeunt, ac veram causam occultare iis, quas diximus, prætexendis conantur. Atqui istas accusare atque hujusmodi matrimonii nomine condemnare neque ipse ausim, neque alteri ut audeat auctor sim, quandoquidem aliter visum est beato Paulo, vel potius Spiritui ipsi sancto. Nam cum dixisset (1 *Cor.* 7. 39), ***Mulier alligata est legi, quanto tempore vir ejus vivit : quodsi dormierit vir ejus, libera est, cui velit nubat, tantum in Domino;*** atque ita viduæ potestatem fecisset rursus si velit nubendi, addidissetque (*ib.* 40), ***Beatior autem est, si sic permanserit :*** ne quis putaret humanum esse præceptum, hæc adjunxit : ***Puto autem quod et ego Spiritum Dei habeam***, plane ostendens Spiritu dictante ita sibi esse conscripta. Ne quis igitur, quæ modo dicturus sum, in eam partem accipiat, quasi eas quæ matrimonio se jungunt, reprehendam ac criminer. Summæ enim arrogantiæ ac furoris fuerit, quas non castigavit beatus ille, sed quibus pepercit, has contra a nobis acerbe condemnari, idque cum sexcentis nos criminibus premamur. Etenim qui vel a judicando abstinere, ne eadem mensura in nos judicium exerceatur, atque in aliorum peccata minime vehementes esse judices jubemur, sed lenes et ad veniam dandam faciles; si quis crimietur et condemnet rem quæ ne in culpa quidem est, quomodo non omnem primo sibi veniam præcidet, ex suo in proximum facto judicem adversus se ipsum reddens duriorem? Non igitur ut illas accusem aut pungam, huc oratione delatus sum : quod enim in Domino fieri potest, in id cadere crimen nullo modo potest : *Tantum*, inquit, *in Domino*. Verum quemadmodum cum de virginitate verba facimus, non ut

ἀτιμάζοντες ἐκείνην ἐπαίρομεν, οὕτως, ὅταν περὶ χηρείας διαλεγώμεθα, οὐ τὸν δεύτερον γάμον ἐν τοῖς ἀπειρημένοις τιθέντες τῷ προτέρῳ στέργειν παρακαλοῦμεν, ἀλλ' ὁμολογοῦμεν μὲν καὶ τοῦτον εἶναι κατὰ νόμον τὸν δεύτερον, πολλῷ δὲ τὸν ἕνα τοῦ δευτέρου βελτίονα. Μὴ δὴ τὴν κατὰ σύγκρισιν ὑπεροχὴν τοῦ κατ' αὐτὴν ἐλαττωθέντος πράγματος κακίαν τις εἶναι νομιζέτω. Οὐδὲ γὰρ εἰς τὴν τῶν πονηρῶν τὸ πρᾶγμα ὠθοῦντες τάξιν τὴν σύγκρισιν ταύτην ποιούμεθα· ἀλλ' ἀφέντες αὐτὸ τῶν νενομισμένων εἶναι καὶ ἐν ἐξουσίᾳ, οὕτως αὐτοῦ τὸ πολλῷ κρεῖττον προτιμῶμέν τι καὶ θαυμάζομεν. Τί δήποτε; Ὅτι οὐκ ἔστιν ἴσον ἑνὸς ἀνδρὸς εἶναι γυναῖκα καὶ δύο τὴν αὐτήν. Ἡ μὲν γὰρ ἀρκεσθεῖσα τῷ προτέρῳ ἔδειξεν ὅτι οὐδ' ἂν τοῦτον εἵλετο τὴν ἀρχήν, εἰ τοῦ πράγματος ἦδει τὴν πεῖραν καλῶς· ἡ δὲ δεύτερον ἐπισαγαγοῦσα νυμφίον τῇ τοῦ προτέρου εὐνῇ, τῆς πολλῆς περὶ τὸν κόσμον φιλίας καὶ πρὸς τὰ γήϊνα πράγματα συμπαθείας τεκμήριον ἐξήνεγκεν οὐ μικρόν. Καὶκείνη μὲν οὔτε ζῶντος τοῦ ἀνδρὸς πρὸς ἕτερόν τινα ἐπτόητο· αὕτη δέ, εἰ καὶ μὴ ἥμαρτεν εἰς ἑτέρους ζῶντος ἐκείνου, ἀλλ' ἐκείνου μᾶλλον πολλοὺς ἑτέρους ἐθαύμασεν.

Ἵνα δὲ μὴ τοῦ διελθόντος καταστοχαζώμεθα βίου, αὐτὸ τὸ πρᾶγμα συγκρίνωμεν. Ὥσπερ γὰρ ἡ παρθενία τοῦ γάμου κρείττων, οὕτως οὗτος ἐκείνου βελτίων ὁ γάμος. Ἡ μὲν γὰρ χήρα, ἀπὸ τῆς ἀρχῆς ἐλαττωθεῖσα τῆς παρθενίας μόνον, κατὰ τὸ τέλος ἐξισοῦται πάλιν αὐτῇ καὶ συνάπτεται· ὁ δὲ γάμος οὗτος ἑξ ἑκατέρων αὐτῆς ἀφίστηκε τῶν μερῶν. Χωρὶς δὲ τούτων ἡ μὲν εὐκόλως φέρουσα τὴν χηρείαν, καὶ ζῶντος πολλάκις ἐγκρατεύεται τοῦ ἀνδρός· ἡ δὲ τὸ πρᾶγμα ἔχουσα ἐπαχθῶς οὐ δύο μόνον καὶ τρισὶν, ἀλλὰ καὶ πολλῷ πλείοσιν ὁμιλῆσαι παρεσκεύασται ἀνδράσι, καὶ μόλις τοῦ γήρως ἐπελθόντος ἀφίσταται. Ὥσπερ οὖν πολλῆς σεμνότητος καὶ σωφροσύνης σημεῖον ὁ γάμος ἐκεῖνός ἐστιν, οὕτως οὗτος ἀσελγείας μὲν οὐκ ἂν εἴποιμι, μὴ γένοιτο· ἀσθενοῦς δὲ ψυχῆς καὶ σαρκικωτάτης, καὶ τῇ γῇ προσδεδεμένης, καὶ μέγα καὶ ὑψηλὸν οὐδὲν δυναμένης φαντασθῆναί ποτε. Εἰ δέ λέγοι τις, ὅτι τὸ καλὸν ταὐτόν ἐστι, κἂν τε ἅπαξ γένηται, κἂν τε δὶς, κἂν τε πολλάκις· ὁμοίως γὰρ ἔσται καλὸν, καὶ ὁ πολλάκις αὐτῷ χρώμενος μᾶλλον ἐπαινοῖτ' ἂν ἴσως δικαίως· ὥστε εἰ καὶ ὁ γάμος καλὸν, ὁ συνεχῶς αὐτῷ κεχρημένος τοῦ σπανιάκις θαυμαστότερος καὶ μᾶλλον ἀποδεκτος· ἐροῦμεν ὅτι τοὺς μὲν ἀφελεστέρους τοῦτο σοφίσασθαι δύναιτ' ἄν, τοῖς δὲ βουλομένοις προσέχειν εὐπόρατον ἔσται τὸ σόφισμα. Γάμος γὰρ οὐ διὰ τὴν μῖξιν λέγεται γάμος· ἐπεὶ οὕτω γε καὶ ἡ πορνεία γάμος ἂν ἦν· ἀλλὰ διὰ τὸ στέργειν ἑνὶ τὴν γαμουμένην ἀνδρὶ, καὶ τούτῳ τῆς πόρνης διέστηκεν ἡ ἐλευθέρα καὶ σώφρων γυνή. Εἰ μὲν γὰρ ἑνὶ διαπαντὸς ἀρκοῖτο ἀνδρὶ, γάμος τὸ πρᾶγμα εἰκότως ἂν λέγοιτο· εἰ δὲ ἀνθ' ἑνὸς πολλοὺς εἰς τὴν οἰκίαν εἰσάγει νυμφίους, πορνείαν μὲν οὐ τολμῶ τὸ πρᾶγμα καλεῖν, τῆς δὲ οὐκ εἰδυίας ἕτερον ἄνδρα

de matrimonii dignitate detrahamus, illam laudibus extollimus: ita cum de viduitate disputamus, non quidem ceu secundas nuptias in earum rerum numero, quibus interdictum sit, collocemus, mulieres, ut semel nupsisse contentæ sint, cohortamur; sed fatemur quidem secundis etiam legem non violari, verumtamen unas iteratis longe præstare non dubitamus. Itaque in hac comparatione, cum unum alteri præstare dicimus, nemo hoc ipsum, quod inferiorem locum tenere dicimus, vitium putet. Non enim illa inter se ipsa conferimus, ut ipsorum alterum in malorum ordinem rejiciatur; sed concedentes id legi consentaneum esse, nostroque arbitrio permissum, alterum tamen præ hoc longe pluris facimus, magisque suspicimus. Quid ita? Quoniam multum interest mulierem unius esse viri uxorem, ac duorum. Nam cui prior satis est, plane ostendit se nec ad illum ipsum se adjuncturam fuisse, si rem usu ipso probe novisset: quæ autem alterum sponsum in prioris cubile induxit, magnum egregiæ erga mundum amicitiæ atque erga res terrenas propensionis indicium præbet. Atque illa quidem nec dum viveret vir, erga alium commota animo est: hæc vero, etsi illo vivente ab aliis se pudicam servarit, attamen multos alios magis quam illum suspexit.

2. Sed ne ex hoc facto conjecturam de præterita vita faciamus, rem ipsam expendamus. Etenim ut virginitas matrimonio melior est, ita hoc matrimonio illud. Vidua enim de principio tantum virginitati concesserit, ad extremum vero ipsi rursus æquatur et conjungitur: hoc vero matrimonium utraque ex parte a virginitate abest. Huc accedit, eam quæ facile fert viduitatem, a viro quoque, dum vivit, sæpe se continere; eam vero, quæ rem maxime molestam putat, ita animum instituisse, ut non cum duobus solum tribusve, sed etiam multo pluribus, si ita sors fert, sibi res habenda sit, ac vix extrema ætate abstineat. Quemadmodum igitur matrimonium illud magnæ honestatis ac temperantiæ specimen est: ita hoc minime quidem dixerim lasciviæ, absit, sed certe animi infirmioris, et qui carni deditus sit terræque affixus nec magnum atque excelsum quidpiam in se concipere unquam possit. Quodsi quis objiciat, quod honestum est, tale esse, sive semel obeatur, sive bis, sive sæpius: similiter enim honestum manere, quinetiam eum qui sæpius functus sit, laudabiliorem esse eo qui rarius; respondebimus hujusmodi sophisma incautioribus fortasse posse imponere, ab iis autem, qui animum advertere voluerint, facile refelli posse. Matrimonium enim non corporum commistio facit (ita enim et fornicatio matrimonium esset), sed quod ea quæ nupta est, uno viro contenta est. Atque hoc inter meretricem atque ingenuam pudicamque mulierem interest. Quodsi uno viro contenta perpetuo sit, conjunctionem istam matrimonii nomine vere appellaris: sin pro uno multos sponsos in domum inducat, non equidem fornicationem audeo dicere, sed illud conten-

πλὴν ἑνὸς πολλῷ τῷ μέτρῳ ἀπολείπεσθαι φαίην ἄν. Ἐκείνη μὲν γὰρ ἤκουσε τοῦ Κυρίου λέγοντος, « Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν », καὶ ὥσπερ σαρκὸς ἀληθῶς οἰκείας ἀντίσχετο, καὶ οὐκ ἐπελάθετο τῆς ἅπαξ δοθείσης αὐτῇ κεφαλῆς· αὕτη δὲ οὔτε τὸν πρῶτον, οὔτε τὸν δεύτερον ἔσχεν ἐν τάξει τῆς οἰκείας σαρκός· ὁ μὲν γὰρ πρῶτος ἐκβέβληται παρὰ τοῦ δευτέρου, ὁ δεύτερος δὲ ὑπ' ἐκείνου· καὶ οὔτε τοῦ προτέρου μεμνῆσθαι δύναιτ' ἂν καλῶς τῷ ἑτέρῳ μετ' ἐκεῖνον προσέχουσα, οὔτε τοῦτον μετὰ τῆς προσηκούσης φιλοστοργίας ὄψεται, σχιζομένης εἰς τὸν ἀπελθόντα τῆς διανοίας αὐτῆς. Ὥστε ἑκάτερον λοιπὸν συμβαίνει, καὶ τοῦτον ἀκαίνον ἐκβεβλῆσθαι τῆς ἀνδρὶ προσηκούσης καὶ τιμῆς καὶ φιλίας παρὰ γυναικός. Ποίαν δὲ ὅλως ἔχειν οἴεται ψυχὴν τὸν δεύτερον νυμφίον εἰς τὸν τοῦ προτέρου θάλαμον εἰσαγόμενον, καὶ εἰς τὴν εὐνὴν ἀναβαίνοντα τὴν ἐκείνου, καὶ γελῶσαν καὶ χαριεντιζομένην ἐπὶ τούτοις ὁρῶντα τὴν ἐκείνου γυναῖκα; Σφόδρα γε· οὐ γὰρ μετὰ πολλῆς αὐτῇ προσελεύσεται τῆς φιλίας· κἂν γὰρ ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖ, οὐκ ἔσται οὕτως ἄγριος, ὡς μηδὲν ἀνθρώπινον παθεῖν, κἂν μυρίοις καὶ ἑαυτὴν καὶ τὸν οἶκον περιβάλλῃ καλλωπισμοῖς ἐκείνη. Τὸ γὰρ καταλαβὸν ἤδη πένθος τὴν οἰκίαν οὐκ ἀφίησι καθαρὰν γενέσθαι τὴν εὐφροσύνην· ἀλλ' ὥσπερ ἐπὶ τῶν τοίχων ὅταν σφόδρα καταφλεγέν τι μέρος τύχῃ, εἶτα ῥέμμα κονιαθέν, τὸ τῆς μελανίας ἐπιτεταμένον καὶ βαθὺ λυμαίνεται τῇ τῆς ἐπιφανείας λευκότητι, καὶ ἔστι θέαμα ἀηδές· οὕτω καὶ ἐνταῦθα, κἂν πολλὰ ἐπινοήσῃ τὰ λαμπρὰ, ἐν μέσοις αὐτοῖς διαφαίνεται τὰ σκυθρωπὰ καί τις ἐν αὐτοῖς μῖξις ἀτερπής. Καὶ γὰρ καὶ οἰκέται, καὶ θεράπαιναι, καὶ γεωργοὶ, καὶ πάροικοι, καὶ γείτονες, καὶ συγγενεῖς τοῦ προαπελθόντος κατηφιῶσιν ἐπὶ τοῖς γινομένοις καὶ στενάζουσιν. Ἢν δὲ καὶ ὀρφανοὶ τύχωσι καταλειφθέντες, νέοι μὲν ὄντες κομιδῇ, σφοδρὸν παρὰ τῶν δυναμένων συνιέναι τὰ γινόμενα τῇ μητρὶ τὸ μῖσος ἐξάπτουσιν· εἰ δὲ ἐνήλικες τύχοιεν ὄντες, πάντων ἐκείνοι μᾶλλον ἀηδίαν κατασκευάζουσιν. Ἅπερ οὖν καὶ οἱ νόμοι συνεωρακότες ἅπαντα, καὶ τοὺς ἐπὶ τούτοις ἀλγοῦντας παραμυθούμενοι, καὶ ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι, ὅτι οὐ κατὰ γνώμην οὐδὲ προηγουμένως τοῦτον τὸν γάμον ἐπέταξαν, ἀλλὰ δεδοικότες, μή τι χεῖρον γένηται κακὸν, πάντα τοῦ δευτέρου γάμου τὰ φαιδρὰ παρεσπάσαντο, καὶ οὔτε αὐλὸς, οὔτε κρότοι, οὔτε ὑμέναιος, οὔτε ὀρχήματα, οὔτε στέφανοι νυμφικοὶ, οὔτε ἄλλο τι τῶν τοιούτων τὴν ἑσπέραν κοσμοῦσιν ἐκείνην, ἀλλὰ πάντων αὐτὴν ἀποκοσμήσαντες, οὕτως ἀστεφάνωτον ἄγουσι τὸν ἄνδρα πρὸς τὴν χήραν γυναῖκα, μονονουχὶ βοῶντες διὰ τούτων, ὅτι πάντα συγγνώμης ἄξια πράττουσιν, ἀλλ' οὐκ ἐπαίνων καὶ κρότων καὶ στεφάνων.

Πῶς οὖν ὁ Παῦλος ἐκώλυσε χηρεύειν, φησὶ, καὶ

derim, hanc illa, quæ unum duntaxat virum novit, longe inferiorem esse. Illa enim audivit Dominum dicentem (*Matth.* 19. 5), *Propter hoc dimittet homo patrem et matrem suam, et adhærebit uxori suæ, et erunt duo in carnem unam*, ac viro adhæsit, perinde ac vere sua caro esset, neque oblita est sibi semel impositi capitis : hæc vero nec priorem nec posteriorem virum propriam carnem reputat ; nam primus a secundo, secundus ab illo ejectus est. Neque enim mulier prioris viri memoriam colere poterit, quæ post illum alteri nupsit, nec posteriorem justo amore prosequetur, magna adhuc mentis parte in eum qui obiit derivata. Ita fit ut neutri is, qui viro debetur, amor atque honos ab uxore exhibeatur. Ecquid vero animi putet posteriori sponso esse, qui in prioris thalamum ingreditur, et illius lectum scandit, ac præterea illius uxorem ridentem, et hac de causa jocantem ac ludentem videt ? Sane ita se res habet : neque enim iste magno cum amore ad illam accedet. Nam tametsi omnium hominum durissimus sit, non tamen ita erit immanis, ut humano quodam sensu non afficiatur, etiam si illa sexcentis ornamentis et se ipsam et domum comserit. Dolor enim domui illatus non sinit puram et sinceram esse voluptatem : sed quemadmodum in muris usu venit, ut cum pars aliqua valde exusta est, postmodum sensim dealbata, subjectus tamen ac profundus nigror candorem tectorii obscuret, atque injucundum spectaculum præbeat : ita et hac in re, tametsi multa splendida excogitentur, in mediis tamen ipsis eminent tristia, ac molesta quædam ex iis mistio fit. Nam et servi, et ancillæ, et agricolæ, et inquilini, et vicini, et gentiles prioris viri mœrentes intuentur quæ fiunt ac gemunt. Quodsi præterea pupilli affuerint, si quidem valde pueri sint, magnum ab iis, qui de rebus judicare queunt, in matrem odium excitant : sin autem puberes, tantam, quantam vix aliud quidquam, molestiam comparant. Quæ quidem omnia cum legislatores animadverterent, et eos qui propterea anguntur, consolari vellent, et simul sui facti rationem reddere, quod non ex proposito vel ex professo hujusmodi matrimonium instituerent, sed tantum metu adducti, ne gravius aliquod malum existeret, secundas nuptias omni illa splendida pompa spoliarunt : neque enim tibia, neque plausus, neque hymenæus, neque choreæ, neque coronæ nuptiales, neque aliud quidquam ejusmodi vesperam illam ornant, sed hæc omnia auferentes, sic non coronatum virum ad viduam mulierem adducunt : tantum non per hæc clamantes, quæ fiunt omnia esse quidem ejusmodi quibus venia detur, sed laudibus, coronis, plausibus minime digna.

3. Cur igitur, dices, Paulus prohibet, ne juniores, etiam

βουλομένας τὰς νέας, οὕτωσὶ γράφων· « Νεωτέρας δὲ χήρας παραιτοῦ; » Οὐχ ὁ Παῦλος τὰς βουλομένας χηρεύειν ἐκώλυσεν, ἀλλ' ἐκεῖναι καὶ τὸν Παῦλον ἠνάγκασαν μὴ βουλόμενον τοῦτον διατάξασθαι τὸν νόμον αὐταῖς· εἰ γὰρ τοῦ Παύλου τὸ θέλημα βούλει μαθεῖν, ἔχουι τί φησι· « Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, » ἐν ἐγκρατείᾳ. Ὥστε οὐκ ἂν ἐμαχέσατο ἑαυτῷ, οὐδὲ ἐναντιολογίᾳ τοσαύτῃ περιέπεσεν ὁ μακάριος ἐκεῖνος, οὐδ' ἂν ὁ πάντας ἀνθρώπους βουλόμενος εἶναι ἐν ἐγκρατείᾳ, τὰς βουλομένας χηρεύειν ἐκώλυσε. Πῶς οὖν φησι, « Νεωτέρας δὲ χήρας παραιτοῦ; » Ἀλλ' εἶπε τίνος ἕνεκεν καὶ διὰ τί. Οὐ γὰρ ἁπλῶς οὕτως εἰρηκεν, ἀλλὰ καὶ τὴν αἰτίαν προστέθεικεν, εἰπών « Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν ». Ὁρᾷς ὅτι οὐ τὰς χηρεύειν βουλομένας, ἀλλὰ τὰς γαμῆσαι προαιρουμένας μετὰ τὸ χηρεῦσαι κωλύει χηρεῦσαι ἐκεῖνος καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατατάττεσθαι χορόν· καὶ σφόδρα ποιῶν συνετῶς. Εἰ γὰρ μέλλοις, φησὶ, δευτέροις γάμοις ὁμιλεῖν, μηδὲ ἐπαγγείλῃ χηρείαν· τοῦ γὰρ μηδ' ὅλως ὑποσχέσθαι τὸ μετὰ τὴν ὑπόσχεσιν ἀγνωμονῆσαι πολλῷ χεῖρόν ἐστιν. Ὥσπερ οὖν τὰς συνεχεῖς συνουσίας ἐπέτρεψεν, οὐ νομοθετῶν, ἀλλὰ συγγινώσκων αὐτοῖς· « Τοῦτο γὰρ λέγω, φησὶ, κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν, διὰ τὴν ἀκρασίαν ὑμῶν· » οὕτω καὶ ἐνταῦθα δι' ἕτερον μεῖζον κακὸν τὸν δεύτερον γάμον ἐπέταξε, δεικνὺς ὅτι καὶ τοῦτο συγγνώμης ἐστὶ, τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκαταβαινούσης. Ἀσθένειαν δὲ οὐ δυνάμεως, ἀλλὰ προαιρέσεώς φημι. Καθάπερ γὰρ ἡ παρθένος, μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαῤῥαρεῖσα, μοιχείας χεῖρον ἐτόλμησεν, οὕτω καὶ ἡ χήρα ἅπαξ ἐπαγγειλαμένη, εἶτα πατήσασα τὰς πρὸς τὸν Θεὸν συνθήκας, ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν πεσεῖται, καὶ τῆς αὐτῆς ἕσται τιμωρίας ὑπεύθυνος. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα καὶ πολλῷ μείζονος· οὐ γάρ ἐστιν ἴσον, ὅπερ καὶ ἀρχόμενος εἶπον, τὴν τε ἄπειρον καὶ τὴν πεπειραμένην τοῖς αὐτοῖς πάλιν περιπεσεῖν πειρασμοῖς. Καὶ οὐχ ἐνταῦθα μόνον, ἀλλὰ προειπὼν, καὶ πάλιν λέγων, « Βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν », τὴν αἰτίαν προστίθησι, δι' ἣν ταῦτα βούλεται. Τίς δέ ἐστι; « Μηδεμίαν, φησὶ, διδόναι τῷ ἀντικειμένῳ ἀφορμὴν λοιδορίας χάριν. » Ἐπειδὴ γὰρ πολλὰς τῶν χηρῶν εἰκὸς ἦν τότε προπετέστερον καὶ αὐθαδέστερον τῷ μετὰ ταῦτα κεχρῆσθαι βίῳ, καθάπερ τινὸς ἀνάγκης καὶ δεσποτείας τῆς πρὸς τὸν ἄνδρα συζυγίας ἀπαλλαγείσας, ὡς καὶ πονηρὰν ἐπισπάσασθαι δόξαν διὰ τῆς ἰταμότητος, ἀπάγων αὐτὰς τῆς ὀλεθρίου ταύτης ἐλευθερίας, πάλιν ἐπὶ τὸν ζυγὸν ἄγει τὸν πρότερον. Εἰ γὰρ μέλλοι τις, φησὶ, χήρα οὖσα λάθρα πορνεύειν καὶ καταισχύνειν ἑαυτὴν, πολλῷ βέλτιον γαμεῖν, καὶ « μηδεμίαν διδόναι τῷ ἀντικειμένῳ ἀφορμὴν λοιδορίας χάριν· » ὥστε διὰ τὸ μὴ παρέχειν τὰς ἀφορμὰς τῆς λοιδορίας, καὶ βίον ἐφύβριστον ζῆν καὶ πορνικὸν, τὸν γάμον ἐπέταξεν. Ἄκουε

si velint, viduæ maneant? ita enim scribit (1 *Tim.* 5. 11): *Adolescentiores autem viduas devita.* Non sane Paulus impedimento est, quominus quæ volunt virginitatem servent, sed ipsæ potius sunt, quæ Paulum eo necessitatis adegerunt, ut præter animi sui sententiam hanc ipsis legem ferret. Nam si Pauli sententiam vis cognoscere, audi quid dicat (1 *Cor.* 7. 7) : *Volo omnes homines esse sicut me ipsum* : id est continentiam servare. Apparet non sibi ipsi adversaturum fuisse beatum illum, neque tam inter se pugnantia loquuturum, nec qui velit omnes homines colere continentiam, obstaret quo minus quæ volunt viduæ maneant. Qui ergo dicit, *Adolescentiores autem viduas devita?* At ipse dixit cur et qua de causa. Non enim ita sic simpliciter protulit, sed causam adjunxit : *Cum enim luxuriatæ fuerint in Christo, nubere volunt.* Vides non eas quæ viduitatem servare volunt, sed quæ, postquam in viduitatem inciderunt, nubendum sibi statuunt, ab illo prohiberi ne viduæ maneant, neve in sacrum illum chorum admittantur, idque valde sapienter. Nam si alteri matrimonio illigandæ es, inquit, neque spondere viduitatem debes. Nam post promissionem mutare sententiam longe deterius est, quam omnino non promittere. Quemadmodum igitur assiduam liberis operam dare permisit, non legem statuens, sed ipsis indulgens : sic enim inquit (*ib.* 6), *Hoc autem dico secundum indulgentiam, non secundum imperium, propter incontinentiam vestram* : ita hoc etiam loco gravioris mali motu secundum instituit matrimonium, ostendens hoc quoque indulgentiæ esse ad multorum infirmitatem sese accommodantis. Infirmitatem autem dico non potentiæ, sed voluntatis. Nam quemadmodum virgo, si post promissam virginitatem se violari siverit, facinus adulterio gravius perpetravit : ita et vidua, quæ semel promisit, si deinde pactionem cum Deo factam conculcans eodem crimine se polluerit, eidem quoque supplicio obnoxia est, ac forte etiam, si licet mirum quiddam dicere, longe majori. Non enim idem est, ut initio dicebam, imperitam atque usu jam edoctam iisdem succumbere tentationibus. Neque vero hoc loco dumtaxat, sed etiam paulo post, cum iterum hæc præmisisset (1 *Tim.* 5. 14), *Volo ego juniores viduas nubere, filios procreare, matres familias esse*, causam subdit, cur istud velit. Quæ ea est? *Nullam*, inquit, *occasionem dare adversario maledicti gratia.* Nam quoniam verisimile est multas eo tempore viduas post viri obitum licentius, magisque arbitratu suo vivere solitas, a viri societate, quasi a necessitate quadam ac dominatu, liberas, ita ut impudentiæ nomine malam de se opinionem afferrent, abducens ipsas ab hac pestifera libertate, rursus ad pristinum jugum adducit. Nam si, inquit, futurum est ut viduitatem præ se ferens quæpiam clam fornicetur ac se ipsam dedecoret, longe satius nubere, ac *Nullam occasionem dare adversario maledicti gratia.* Quamobrem, ne occasiones maledictis dent, ac vitam meretriciam contumeliisque obnoxiam agant, matrimonium præcipit. Audi quot

γεῖν καὶ ὅσα αὐτῶν κατηγορεῖ. Δίον γὰρ εἰς προσευχὰς τετράφθαι τὸν ἅπαντα χρόνον καὶ ἱκετηρίας, « Αἱ δὲ, φησὶ, καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. » Αὐτὸς δὲ οὐχ οὕτω βούλεται, ἀλλὰ προσηλῶσθαι αὐτὴν διαπαντὸς τοῖς πνευματικοῖς· « Ἡ γὰρ σπαταλῶσα, φησὶ, ζῶσα τέθνηκεν· » ἐπεὶ καὶ τὴν παρθένον οὐ τῇ τοῦ σώματος ἁγνείᾳ βούλεται ὁρίζειν τοῦτο τὸ καλὸν, ἀλλὰ τὴν πᾶσαν σχολὴν εἰς τὴν λατρείαν ἀναλίσκειν τοῦ Θεοῦ. « Τοῦτο γὰρ, φησὶ, λέγω ὑμῖν, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως. » Οὐ γὰρ αὐτὴν θέλει μερίζεσθαι, ἀλλ' ὅλην εἶναι τῶν πνευματικῶν καὶ τῶν ἐν τοῖς οὐρανοῖς, καὶ τὰ τοῦ Κυρίου μεριμνᾶν. Οὕτω καὶ τὴν χήραν πολιτεύεσθαι παραινεῖ λέγων, « Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. » Ὅταν οὖν τὴν σχολὴν ἣν ἐν τοῖς εὐαγγελικοῖς πράγμασιν ἀναλίσκειν χρὴ, μὴ μόνον ταύτην εἰς περιττὰ καὶ ἀνωφελῆ, ἀλλὰ καὶ εἰς τὰ σφόδρα ἐπιβλαβῆ παρὰ πάντα δαπανῶσι τὸν βίον, εἰκότως αὐτὰς ἐπὶ τὸν γάμον ἄγει λοιπόν. Καθάπερ οὖν καὶ Ἰουδαίοις τὸ σάββατον ἔδωκεν ὁ Θεὸς, οὐχ ἵνα ἀργῶσιν ἁπλῶς, ἀλλ' ἵνα τῶν πονηρῶν ἀπέχωνται πράξεων· οὕτω καὶ ἡ χήρα καὶ ἡ παρθένος, οὐχ ἵνα ἁπλῶς μὴ ὁμιλῶσιν ἀνδρὶ, τοῦτον αἱροῦνται τὸν βίον, ἀλλ' ἵνα τὰ τοῦ Κυρίου μεριμνῶσιν, ἵνα ἐξ ὁλοκλήρου τῇ τοῦ Κυρίου θεραπείᾳ προσεδρεύωσι.

Ναὶ, φησίν· ἀλλ' ἀφόρητον ἔσται κακὸν γυναῖκα οὖσαν πραγμάτων ἄπειρον τὰ τῶν ἀνδρῶν ἀναγκάζεσθαι ὑπομένειν· οὔτε γὰρ αὐτὴ μεταχειρίσαι δυνήσεται, καθάπερ ἐκεῖνος, καὶ θλίψεις ἀπὸ τούτων καὶ τὸ πάντα ἀπολέσαι κερδανεῖ μόνον. Ἆρ' οὖν πᾶσαι αἱ μὴ δευτέροις ὁμιλήσασαι γάμοις πάντα ἀπώλεσαν τὰ αὐτῶν, καὶ πάντων ἐξέπεσον, καὶ οὐκ ἔστιν ἰδεῖν γυναῖκα χήραν πραγμάτων προϊσταμένην; Σκῆψις ταῦτα καὶ πρόφασις καὶ τῆς οἰκείας ἀσθενείας προκαλύμματα. Πολλαὶ γὰρ τῶν ἀνδρῶν γενναιότερον καὶ οἰκίας προέστησαν, καὶ παῖδας ἐξέθρεψαν ὀρφανοὺς, καὶ τὰς ἐν χερσὶν οὐσίας αἱ μὲν ηὔξησαν, αἱ δὲ οὐκ ἠλάττωσαν. Καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς οὐ τὸ πᾶν τοῖς ἀνδράσιν ἐπέτρεψεν, οὐδὲ ἐν πᾶσιν αὐτῶν ἐκκρέμασθαι τὰ ἐν τῷ βίῳ πράγματα μόνον ἀφῆκεν· ἦ γὰρ ἂν εὐκαταφρόνητος ἦν ἡ γυνὴ, μηδὲν συντελοῦσα πρὸς τὸν βίον ἡμῖν. Ὅπερ οὖν εἰδὼς ὁ Θεὸς ἀπένειμεν αὐτῇ μοῖραν οὐκ ἐλάττονα· καὶ τοῦτο δηλῶν ἄνωθεν ἔλεγε, « Ποιήσωμεν αὐτῷ βοηθόν. » Ἵνα γὰρ μὴ τῷ πρῶτος γεγενῆσθαι, μηδὲ τῷ δι' αὐτὸν τὴν γυναῖκα πεπλάσθαι, μέγα κατ' αὐτῆς ἔχῃ φρονεῖν ὁ ἀνὴρ, διὰ τοῦ ῥήματος τούτου κατέστειλε τὸν τῦφον αὐτοῦ, δεικνὺς ὅτι οὐχ ἧττον τοῦ ἀνδρὸς ἡ τῆς γυναικὸς τὰ τοῦ κόσμου δεῖται πράγματα. Τίνα οὖν ἐστι ταῦτα, καὶ ἐν τίσι συνεφάπτεται ἡμῖν εἰς τὴν τοῦ βίου σύστασιν αὕτη; Ἐπειδὴ γὰρ οὐχ ἧττον τῶν

praeterea sint quae ipsis vitio vertat. Nam cum deberent omne suum tempus orationibus et supplicationibus instare, istae vero, inquit (*ib.* 13), *Et otiosæ discunt circumire domos; non solum otiosæ, sed et verbosæ, et curiosæ, loquentes quæ non oportet.* Haec vero ipsi minime probantur, sed vult perpetuo affixas esse rebus spiritualibus. *Nam quæ in deliciis est*, inquit (*ib.* 6), *vivens mortua est;* quandoquidem et virginem ipsam vult bonum hoc suum non corporis castitate definire, sed universum otium suum Deo consecrare, atque illi perpetuo deservire. Ita enim scribit (1 *Cor.* 7. 35) : *Porro hoc ad utilitatem vestram dico, non ut laqueum vobis injiciam, sed ad id quod honestum est, et quod facultatem præbeat sine impedimento Dominum obsecrandi.* Non enim ipsam patitur divisam esse, sed totam rebus spiritualibus ac cælestibus haerere vult, et quae Domini sunt curare. Ad eamdem vitae rationem viduam quoque vocat, dicens (1 *Tim.* 5. 5), *Quæ autem vere vidua est, et desolata speravit in Deum, et instat obsecrationibus et orationibus nocte et die.* Quando igitur otium quod in evangelicis negotiis insumendum erat, id non modo in rebus supervacuis atque inutilibus, sed etiam valde noxiis perpetuo impendunt; merito ad matrimonium eas rursus adducit. Nam quemadmodum Judæis sabbatum dederat Deus, non ut otiarentur duntaxat, sed ut a turpibus actionibus abstinerent : ita vidua, et virgo, non ut viris non misceantur, hanc sibi deligunt vitam, sed ut ea quae Domini sunt curent, ut se totas in Domini cultum conferant.

4. Ita sane, inquiet aliquis. Verum intolerabile malum erit, mulierem nullo rerum usu peritam ea, quae ad viros pertinent, subire cogi : neque enim ipsa perinde atque ille tractare atque administrare res poterit; atque hinc nihil aliud lucrabitur, quam tribulationes et fortunarum ruinam. Ergo quaecumque secundis nuptiis abhorruerunt, omnia sua pessum dederunt, omnia perdiderunt? neque mulierem viduam invenias, quae rem suam recte gerat? Tergiversationes ista sunt ac praetextus propriaeque infirmitatis integumenta. Multae enim praeclarius quam viri et domum administrarunt, et filios pupillos educaverunt, et bona quae acceperant, aliae auxerunt, aliae non minuerunt. Nam ab ipsomet initio non omnia viris commisit Deus; neque ab ipsis solis pendere, quae ad vitam pertinent, voluit, ne si mulier nihil ad vitam conferret, despicatui duceretur. Quamobrem id prospiciens Deus non inferiore illam loco constituit; atque id ab ipsomet initio clarum faciens dixit (*Gen.* 2. 18), *Faciamus ipsi adjutorem.* Etenim ne eo quod ipse primum factus est ac propter ipsum formata mulier, magnos adversus illam spiritus vir sumeret, hoc verbo tumorem ipsius compressit, ostendens mundana negotia nihilo minus mulieris quam viri egere. Quaenam igitur ista sunt? quibusque in rebus ad vitam sustentandam nobiscum mulier sociotatem init? Sane quoniam ad praesentis vitae statum

δημοσίων τὰ ἰδιωτικὰ συγχρωτεῖ τὴν παροῦσαν κατάστασιν, διανείμας αὐτὰ, τὰ μὲν ἐπ' ἀγορᾶς πάντα ἐνεχείρισε τοῖς ἀνδράσι, τὰ δὲ κατὰ τὴν οἰκίαν ταῖς γυναιξί· κἂν ἀλλάξωνται τὴν τάξιν, πάντα διαφθάρη καὶ ἀπόλοιτο· οὕτως ἕκαστος ἐν τῷ ἰδίῳ πολὺ θατέρου χρησιμώτερος. Οὐκοῦν εἰ τὰ κατὰ τὴν οἰκίαν τῆς γυναικείας ἐπιστήμης ἐξήρτηται, καὶ τοσοῦτον ἐν τούτῳ κρείττων ἀνδρὸς ἡ γυνὴ, ὅσον τῶν ἀτέχνων οἱ τεχνῖται ἐν οἷς εἰσι τεχνῖται, τί περιττῶς τὸ δέος τοῦτο δεδοίκαμεν; Τὸ μὲν γὰρ προσοδεύειν ἔξωθεν καὶ συνάγειν, ἀνδρῶν μόνον ἐστὶ, γυναῖκας δὲ κερδαίνειν οὐ θέμις· τὸ δὲ τὰ συναχθέντα διατηρεῖν καὶ φυλάττειν, ταύτης μόνης ἐστίν. Ὥστε, εἰ καὶ δοκεῖ πλέον εἶναι τὸ κτήσασθαι τοῦ φυλάξαι, ἀλλ' ὅμως ἄνευ τούτου κἀκεῖνο ἄχρηστον γίνεται καὶ περιττόν· πολλάκις δὲ καὶ τούτου προσόντος ἐκεῖνο οὐ μόνον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ τὰ πάντα διέφθειρεν. Ἐπειδὴ γὰρ πρᾶγμά ἐστι δυσχερὲς, κερδαίνοντα ἔξωθεν ἄνδρα δίκαια κέρδη περίζεσθαι (ὡς γὰρ τὰ πολλὰ τὰς τῶν ἀλλοτρίων οὗτοι πραγματεύονται συμφοράς), καὶ τῇ τῆς γυναικὸς τέχνῃ καὶ τῇ οἰκονομίᾳ πολλάκις ἐλυμήναντο τὰ ἀδίκως καὶ κατὰ βίας εἰς τὰς χεῖρας ἐλθόντα τὰς ἐκείνης. Ὥστε, εἰ καὶ μεῖζον τὸ κτήσασθαι τοῦ φυλάξαι, ἑτέρῳ δείκνυται τρόπῳ ἔλαττον τοῦτο, ὅταν μὴ μόνον μηδὲν συντελῇ εἰς τὴν τῶν ὄντων προσθήκην, ἀλλὰ καὶ διαφθείρῃ τὰ ἀποκείμενα. Τί οὖν δέδοικεν ἡ χήρα, μὴ παρὰ τὴν ἀπουσίαν τοῦ ἀνδρὸς χεῖρον διαθῇ τὰ κατὰ τὴν οἰκίαν, ἧς καὶ ζῶντος ἐκείνου τὴν ἐπιμέλειαν εἶχεν αὐτή;

Ἀλλ' εὐκολώτερον, φησὶ, μετεχειρίσεται, διὰ τὸν ἐκείνου φόβον οὐδενὸς ἀντιπίπτοντος, οὐδὲ δυσκολίαν παρέχοντος. Καὶ γὰρ οἰκέται καὶ οἰκονόμοι καὶ ἐπίτροποι καὶ πάντες κατεπτήχασι, καὶ μετὰ πολλῆς ὑπακούουσι τῆς πειθοῦς, καὶ ὁ ἀντιλέγων οὐδείς· ὅταν δὲ ὁ φοβῶν ἀπέλθῃ, ἅπαντες ἐπεμβαίνουσι τῇ χήρᾳ, κακουργοῦσι, καταθρασύνονται, πάντα συγχέουσι καὶ διασπῶσι· κἂν ἐπεξέλθῃ καὶ ἀμύνηται, στρεβλοῦσα, μαστίζουσα, εἰς δεσμωτήριον ἐμβάλλουσα, καταγνώσεις, λοιδορίαι, κατηγορίαι παρὰ τῶν πολλῶν. Ἂν δὲ τὰς πρὸς τὸν ἀπελθόντα συνθήκας πατήσῃ, καὶ τῆς φιλίας ἐπιλάθηται τῆς ἐκείνου, καὶ τὴν ἑσπέραν καθ' ἣν πρῶτον αὐτῇ συνήπτετο, καὶ τὸν κρότον, καὶ τὸν ὑμέναιον, καὶ τὰς γαμηλίους ᾠδὰς, καὶ τὰς πρώτας περιπλοκὰς, καὶ τὰς τραπέζας, καὶ τῶν ἄλλων ὧν αὐτῇ παρὰ πάντα τὸν χρόνον ἐκεινώνησε, καὶ ῥημάτων ὧν εἰκὸς γυναῖκα ἀπολαύειν παρὰ ἀνδρός· ἂν ταῦτα ῥίψῃ πάντα ἐξαίφνης ὡς οὐδὲ γεγενημένα, ἑτέρῳ τὰς θύρας ἀνατετάσασα τῆς οἰκίας, καὶ πρὸς τὴν εὐνὴν αὐτὸν ἄγῃ τὴν ἐκείνου τὴν πάντα τὰ πρότερον συνειδυῖαν, ἂν ταῦτα ποιῇ, οὐδεὶς ὁ μεμφόμενος οὐδὲ ἐγκαλῶν; οὐδεὶς ὁ μισήσων, καὶ ἄστοργον καὶ ἄπιστον καὶ ἀσπονδὸν καὶ πάντα τὰ τοιαῦτα προσερῶν;

Μὴ γὰρ, ἐπειδὴ συνεχώρησεν ὁ μακάριος Παῦλος τὸ πρᾶγμα, ἤδη αὐτὸ καὶ ἐπαίνων ἄξιον νόμιζε, καὶ

componendum non minus privata, quam publica negotia faciunt, haec dispertiens Deus forensia quidem viris commisit, domestica autem mulieribus : ac si munera officiaque ista commutentur, omnia corruent ac peribunt : tanto uterque utilior altero in suo munere obeundo est. Igitur, si domestica ex muliebri scientia pendent, atque ista in re tantum viro mulier praestat, quantum rudi homini artifex in rebus in quibus artifex est, cur vanum nobis timorem incutimus? Nam peregre quidem proficisci resque colligere virorum tantummodo est, mulieribus autem lucro operam dare minime fas est; at quae sunt apportata custodire ac tueri ipsius solius est. Ac tametsi praestantius quiddam videatur acquirere, quam tueri, attamen, si hoc absit, illud quoque inutile ac vanum : saepe vero etiam si hoc adsit, illud non solum nihil profuit, sed etiam cuncta evertit. Quoniam enim difficile est, hominem foris negotiantem atque amplificando patrimonio operam navantem juste quaestum facere (majori enim ex parte ex alienis isti calamitatibus lucrum faciunt); hinc etiam mulieris arti et gubernationi saepe officiunt ea quae per injustitiam et vim parta in manus ipsius pervenerunt. Quamobrem etsi majus sit acquirere, quam conservare, tamen altera ex parte minus esse deprehenditur, quando non solum ad bonorum amplificationem nihil confert, sed etiam perdit jam reposita. Quid igitur metuat vidua, ne viri absentia res domesticae deterius se habeant, quarum vivente etiam viro ipsa procurationem susceperat?

At facilius, inquiet, gubernabit, cum metu illius nemo reluctabitur, nemo molestiam afferet. Nam et famuli, et oeconomi, et procuratores, ac reliqui omnes illum metuentes ad parendum aderunt promti, ac nemo erit qui contradicat : at eo quem metuebant e medio sublato, omnes viduae mulieri insultant, improbe agunt, confidenter resistunt, atque omnia pervertunt ac dissipant. Quodsi ulcisci ac vindictam sumere velit, torquens, verberans, in carcerem conjiciens, tum vero in vulgi reprehensionem, criminationem, contumelias incurrit. Atqui si fidem ei qui abiit datam fregerit, atque illius amorem oblivione deleverit, et vesperam, qua ille ad se primum accessit, et plausum, et hymenaeum, et faces nuptiales, et primos amplexus, et mensas, et convictus cujus una cum illo per omne tempus particeps fuit, et verba, quae a viro magna cum voluptate uxorem audire verisimile est : si haec, inquam, omnia, perinde ac si nunquam fuissent, repente abjiciat, atque alteri viro fores aperiat, ipsumque trahat ad illius cubile rerum omnium priorum conscium : si haec faciat, nemone erit qui reprehendat? nemo qui criminetur? nemo qui odio prosequatur, ac inhumanam, perfidam, fodifragam vocet, atque hujusmodi aliis conviciis oneret?

5. Non enim, etsi beatus Paulus rem istam permisit, propterea laudibus dignam putes, ac quae vulgi reprehen-

καταγνώσεως ἀπηλλάχθαι τῆς παρὰ τῶν πολλῶν. Κολάσεως μὲν γὰρ καὶ τιμωρίας ἐστὶν ἐκτὸς, ἐπαίνων δὲ καὶ ἐγκωμίων οὐκ ἂν δύναιτο κοινωνεῖν. Καὶ γὰρ τὸ κατωφερῆ τινα καὶ λάγνον εἶναι, καὶ μήτε ἐν καιρῷ τῆς νηστείας, μήτε ἐν ἄλλῳ τινὶ τῆς γυναικὸς ἀπέχεσθαι, κολάσεως μὲν καὶ αὐτὸ πόρρω καὶ μακρὰν, οὐ μὴν ἐπαίνων ἐγγύς· αὐτὸ γὰρ τὸ συγκαταβῆναι τοσοῦτον, οὐδέν ἕτερόν ἐστιν ἢ σημεῖον ἀσθενείας καὶ ἀπροσεξίας πολλῆς. Ὥστε εἰ δέδοικας μὴ θρασύτητος δόξαν λάβῃς διὰ τὴν τῶν οἰκετῶν ἐπιτίμησιν, χρὴ πρὸ τούτου δεδοικέναι μὴ λαγνείας καὶ ἀσωτίας καὶ ἀπιστίας δόξαν προστρίψῃ τοσαύτην. Χωρὶς δὲ τούτων τῇ χήρᾳ τὸ πρᾶγμα ἄμεινον ἔξέσται μετελθεῖν, ὥστε καὶ ἐν ἀσφαλείᾳ αὐτῇ τὰ πολλὰ πράγματα εἶναι, καὶ μὴ μόνον μὴ ψέγεσθαι, ἀλλὰ καὶ ἐπαινεῖσθαι παρὰ πάντων, καὶ πρὸ τούτου τῶν μισθῶν ἐπιτυχεῖν τῶν παρὰ τοῦ Θεοῦ. Ἂν γὰρ θελήσῃ παρακαταθέσθαι τὰ χρήματα τῷ οὐρανῷ, καὶ εἰς τὸν ἄσυλον αὐτὰ κατορύξῃ τόπον ἐκεῖνον, οὐ μόνον οὐκ ἐλαττωθήσεται, ἀλλὰ καὶ πολλῷ πλείω γενήσεται. Τοιοῦτος γὰρ οὗτος ὁ σπόρος. Εἰ δὲ ἐλάττων ἐστὶ τοῦ χωρῆσαι μέχρι τῆς νομοθεσίας ἐκείνης, καὶ πάντα ἀθρόως οὐ βούλεται μεταθεῖναι, λογιζέσθω πάλιν ἐκεῖνο, ὅτι καὶ ἄνδρα λαβοῦσα οὐ πάντως λήψεται τοιοῦτον, οἷον καὶ προσθεῖναι τοῖς οὖσιν· ἂν δ' ἄρα καὶ τοιοῦτος ᾖ, μὴ τοῦτο ἐννοείτω μόνον, τὴν τῶν χρημάτων προσθήκην, ἀλλ' ὅτι πολλὰ καὶ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις προσκρούειν προαχθήσεται. Ἂν μὲν γὰρ τῶν δυνατῶν ᾖ καὶ πολλὴν ἐχόντων ἰσχύν, ἔστιν ὅτε παρὰ γνώμην πολλὰ καὶ πρᾶξαι καὶ παθεῖν αὐτὴν βιάσεται, καὶ ὅπερ ἐπὶ τῆς χηρείας ἐδεδοίκει, τοῦτο μετὰ πλείονος ἀνάγκης ὑποστήσεται νῦν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ταχίστην εἰκὸς αὐτὴν δέξασθαι τὴν μεταβολήν. Χήρα μὲν γὰρ οὖσα, κἂν ἐλαττώσῃ τι τῶν ὄντων, ὅμως τὰ λειπόμενα μετὰ πολλῆς ἔξει τῆς ἀσφαλείας· ἀνδρὶ δὲ συναφθεῖσα δυνατῷ καὶ τὰ τῆς πόλεως πράττοντι, ἢ καὶ ἑτέραν τινὰ μετιόντι φροντίδα, πολλάκις ἀθρόον πάντα ἀποβαλεῖται· ταῖς γὰρ τῶν ἀνδρῶν συμφοραῖς ἀνάγκη καὶ τὰς συνοικούσας αὐτοῖς κοινωνεῖν. Εἰ δὲ καὶ μηδὲν συμβαίη τοιοῦτον, τί τὸ κέρδος, εἰπέ μοι, δουλείαν ἀντὶ ἐλευθερίας αἱρεῖσθαι; τί δὲ τὸ ὄφελος τῶν πολλῶν χρημάτων, ὅταν αὐτοῖς χρήσασθαι μὴ δύνηται πρὸς ὃ βούλεται; Οὐ πολλῷ βέλτιον ὀλίγα μετ' ἐξουσίας ἔχειν, ἢ τὰ τῆς οἰκουμένης μετὰ τοῦ καὶ αὐτὴν σὺν ἐκείνοις ὑποκεῖσθαι ἑτέρῳ; τὰς γὰρ φροντίδας, καὶ τὰς ὕβρεις, καὶ τὰς λοιδορίας, καὶ τὰς ζηλοτυπίας, καὶ τὰς ὑποψίας τὰς εἰκῇ, καὶ τὰς ὠδῖνας, καὶ τὰ ἄλλα ἅπαντα παρίημι νῦν. Ὁ μὲν γὰρ τῇ παρθένῳ διαλεγόμενος καὶ περὶ τούτων εἰκότως διαλέξεται, ἅτε ἀπείρῳ οὔσῃ καὶ ἀμαθεῖ τῶν πραγμάτων ἐκείνων· χήρᾳ δὲ κἂν ἐνοχλήσειέ τις ταῦτα λέγων· ἃ γὰρ διὰ τῶν πραγμάτων ἔμαθεν ἀκριβέστερον, περιττὸν τῷ λόγῳ πειρᾶσθαι διδάσκειν αὐτήν. Τοσοῦτον δὲ προσθεῖναι καλὸν, ὅτι μετὰ πλείονος ὁμιλήσει τῆς παῤῥησίας καὶ τῆς ἐλευθερίας ἡ παρθένος γαμηθεῖσα

sionem effugiat; pœna tantum ac supplicio caret, laudes quidem et encomia non est quod se reportare posse speret. Nam et remissum atque ad libidinem proclivem esse, ac ne jejunii quidem tempore, aut quovis alio ab uxore abstinere, longe quidem et multum a supplicio abest, non tamen laudi proximum est: nam hæc ipsa indulgentia nihil aliud est, quam signum magnæ cujusdam infirmitatis ac socordiæ. Quamobrem si times, ne famulis puniendis audaciæ subeas opinionem, illud vicissim cogites, multo magis pertimescendum esse, ne tantam mollitiei et libidinis et infidelitatis famam subeas. Præterea vero licebit viduæ meliore quadam ratione rebus suis consulere, ut et magna ex parte in tuto illas collocet, et non solum reprehensionem fugiat, sed etiam ab omnibus laudetur, quodque præcipuum est, mercedes illas, quæ a Deo præbentur, reportet. Nam si pecunias in cælo sibi deponendas censuerit ibique tamquam in asylo quodam defodiendas, non solum non minuentur, sed multis partibus majores fient. Talis est enim hujus sementis natura. Quodsi infirmiore animo est, quam ut perfectæ illi legi implendæ par sit, neque omnia simul eo trajicere velit, illud rursus cogitet, si virum accipiat, non omnino talem accepturam, qui bona amplificet. Quodsi etiam talis sit, non solam pecuniarum accessionem consideret, sed illud quoque, fore ut multis in rebus Deum atque homines lædere cogatur. Nam si ille ex numero potentium atque opibus abundantium fuerit, multa illam præter sententiam et facere et ferre coget; et quod a viduitate metuebat, illi nunc multo gravius et violentius imminebit. Adde, evenire facillime posse, ut celerrimam faciat mutationem. Nam dum vidua est, etiam si aliquod in bonis detrimentum accipiat, reliqua tamen illa salva et tuta manebunt: at potenti viro, et rempublicam, vel aliam quampiam procurationem gerenti, matrimonio juncta, serpe omnia simul amittet: calamitatum enim, quæ viris accidunt, uxores quoque participes sint oportet. Sed esto, nihil ejusmodi accidat, quid lucri, dic mihi, servitutem libertati anteferre? quid utilitatis divitiæ afferunt, cum illis arbitratu suo uti minime queat? Nonne multo præstabilius est, pauca ita possidere, ut illa in potestate habeas, quam omnia, quæ in orbe terrarum sunt, ea conditione, ut una cum illis te quoque alteri subjicias? Mitto nunc curas, contumelias, convicia, zelotypias, inanes suspiciones, dolores partus, et reliqua id genus. Hæc enim recte tunc afferuntur, cum ad virginem sermo habetur, quippe quæ rudis atque imperita est hujusmodi difficultatum; viduæ autem si narrentur molestiam potius afferent. Quæ enim usu ipso optime didicit, ea si ipsam verbis docere velis, frustra operam sumas. Illud tantum addere par est, eam quæ virgo nupsit, multo majore cum libertate ac fiducia viro

τῆς μετὰ τὴν χήρειαν. Ταύτην μὲν γὰρ κἂν ὡς γυναῖκα στέργῃ, ἀλλ' οὐχ ὡς παρθένον λαβών· ὅτι δὲ πολλῷ ἐκεῖναι τούτων οἱ ἔρωτες σφοδρότεροι καὶ μανικώτεροι, παντί που δῆλόν ἐστιν· ἐκείνην δὲ ἅτε μὴ παντὸς ἀνδρὸς ἄπειρον οὐ παντὶ θυμῷ καὶ ἀσπάσεται καὶ φιλήσει. Πεφύκαμεν γὰρ ὡς εἰπεῖν ἅπαντες ἄνθρωποι, εἴτε ὑπὸ ζηλοτυπίας, εἴτε ὑπὸ κενοδοξίας, εἴτε οὐκ οἶδ' ὅθεν ἑτέρωθεν, τῶν πραγμάτων ἐκεῖνα μάλιστα φιλεῖν ὧν καὶ τὴν ἐξουσίαν καὶ τὴν ἀπόλαυσιν οὐ μεθ' ἑτέρους ἔχομεν, ἀλλ' αὐτοὶ πρῶτοι καὶ μόνοι καθεστήκαμεν κύριοι. Τοῦτο καὶ ἐπὶ ἱματίων ἴδοι τις ἂν συμβαῖνον ἡμῖν· οὐ γὰρ ὁμοίως διακείμεθα πρὸς τὰ παρ' ἑτέρων χρησθέντα καὶ τὰ παρ' αὐδενός. Τοῦτο καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ σκευῶν· καὶ γὰρ καὶ οἰκίαν τὴν παρ' ἑτέρου δοθεῖσαν ἡμῖν οὐχ ὁμοίως ἐκείνῃ φιλοῦμεν, ἣν αὐτοὶ κατεσκευάσαμεν· καὶ τῶν σκευῶν τὰ μὲν ἄρτι γενόμενα καὶ πρώτην τὴν παρ' ἡμῖν χρείαν δεξάμενα ἐν πολλῇ τῇ φειδοῖ φυλάττομεν καὶ σπουδῇ, τὰ δὲ ἐξ ἑτέρων ἐλθόντα εἰς ἡμᾶς οὐ σφόδρα προσίμεθα, ἀλλ' οὕτως ἀποστρεφόμεθα, ὡς καὶ ἀνασκευάσαι πολλάκις αὐτά. Εἰ δὲ ἐπ' οἰκίας καὶ ἱματίων καὶ σκευῶν τοῦτο ἡμῖν συμβαίνει τὸ πάθος, ἐννόησον ἐπὶ τῆς γυναικός, οὗ τιμιώτερον ἀνδράσιν οὐδέν, πῶς αὐτὸ μετὰ σφοδρότητος ἐμπίπτειν εἰκός. Ἐκείνων μὲν γὰρ κἂν μεταδοίημεν τοῖς βουλομένοις, ταύτης δὲ οὐ θέμις ἡμῖν, ἀλλὰ τῆς ψυχῆς ἀποστησόμεθα πρῶτον, ἢ τοῦτο παθεῖν ἀνεξόμεθα. Τὴν μὲν οὖν παρθένον, ὅπερ ἔφην, ἅτε ἀνέπαφον οὖσαν καὶ ἰδίαν αὐτοῦ καὶ οὐδενὸς ἑτέρου γενομένην, πάσῃ προθυμίᾳ προσίεται· τὴν δὲ ἑτέρῳ πρότερον συναφθεῖσαν οὐ μετὰ τῆς αὐτῆς ὄψεται φιλίας τε καὶ εὐνοίας. Μὴ γάρ μοι τὰ σπανιάκις καὶ μόλις ἅπαξ συμβαίνοντα εἴπῃς, ἀλλὰ τὰ συνεχῶς ἐπὶ τῶν πραγμάτων δεικνύμενα.

Οὐ διὰ ταῦτα δὲ μόνον πλείονος ἐκείνη μαθέξει τῆς παῤῥησίας, ἀλλὰ καὶ δι' ἕτερα πολλά. Οὗτος μὲν γὰρ καὶ ἀνειδίσαι εὐκόλως δύναιτ' ἂν ὡς καταφρονούμενος παρ' αὐτῆς, καὶ τεκμήριον τῆς ὀλιγωρίας τὴν εἰς τὸν πρότερον αὐτῇ γεγενημένην ἀπιστίαν προενεγκεῖν καὶ ἐπιστομίσαι καὶ ὑπὲρ τῶν γεγενημένων, καὶ ὑπὲρ τῶν μηδὲ συμβησομένων ἴσως. Ὁ γὰρ ἀπελθὼν καταφρονηθεὶς καὶ τὸν ζῶντα ταὐτὰ ὑποπτεῦσαι πείσει περὶ ἑαυτοῦ, κἂν μὴ γένηται. Οὐκ ἐκεῖνος δὲ μόνος ταῦτα προφέρων αὐτῇ συνεχῶς ἔσται φορτικὸς, ἀλλὰ καὶ οἰκέται καὶ θεράπαιναι, κἂν μὴ φανερῶς, λάθρα γοῦν διαγογγύζοντες μυρίοις αὐτὴν βάλλουσι σκώμμασιν. Ἦν δὲ συμβῇ καὶ παῖδας τοῦ τετελευτηκότος καταλειφθῆναι νέους, πῶς αὐτοὺς ἀναθρέψει, πῶς δὲ προστήσεται; τίνων δὲ ὀρφανῶν οὐ χαλεπώτερον ἐκεῖνοι βιώσονται τὰ τοῦ πατρὸς ὁρῶντες ἅπαντα ἕτερον ἔχοντα, καὶ οἰκέτας, καὶ οἰκίαν, καὶ ἀγροὺς, καὶ τὸ πάντων κεφάλαιον τὴν γυναῖκα; πῶς δυνήσονται ὡς πρὸς μητέρα διακεῖσθαι ἐκεῖνοι; πῶς δὲ αὕτη ὡς πρὸς παῖδας, οὓς αἰσχύνεσθαι καὶ ἐρυθριᾶν ἀναγκάζεται, καὶ οἷς πᾶσαν ἀπονεῖμαι τὴν μητρικὴν οὐκ ἔχει φιλο-

usuram, quam quæ post viduitatem. Nam hanc qui acceperit, ut uxorem amare potest, ut virginem ductam non potest. Quam vero amores illi his vehementiores, et magis quodammodo insani sint, nemini non exploratum est. Viduam vero tamquam viri non omnino insciam minime toto animo complectetur atque amabit. Omnes enim fere homines solemus sive zelotypia, sive inanis gloriæ studio, sive nescio qua alia causa adducti eas res præcipue in amore habere, quibus antequam in aliorum potestatem venerint fruimur, quarumque nos primi ac soli domini sumus. Id et in vestimentis usu venire animadvertas; non enim ea, quibus alii usi sunt, æque cara habemus atque illa quibus nemo. Idem in domo, idem in vasis: domum enim nobis ab alio datam non perinde amamus, atque illam, quam nobis ipsi paravimus: ac vasis, quæ nuper facta sunt nobisque primum usui fuerunt, valde parcimus, magnumque illis conservandis studium impendimus; quæ autem ab aliis ad nos venerunt, non magnopere in deliciis habemus, sed adeo aversamur, ut sæpe in aliam convertamus formam. Quodsi in domo, in veste, in vasis hoc animo sumus, cogites velim, in uxore, qua nihil hominibus pretiosius est, quanto vehementius nos affici consentaneum sit. Nam illa quidem nec iis, qui cupiunt, recusamus communicare: hanc autem minime fas est, ac citius vitam profundemus, quam id ferre animum inducamus. Virginem igitur, ut dicebam, utpote intactam et sibi propriam, nec ulli alii prius, omni animi impetu complectetur; eam vero, quæ alteri prius consuevit, non æque benevolis atque amicis oculis aspiciet. Neque tu mihi, quæ raro ac vix semel eveniunt, afferas, sed quæ quotidie in communi vita cernuntur.

6. Neque vero hæ solæ causæ sunt, cur illa fidentius agat, verum etiam aliæ multæ. Nam viduæ quidem maritus facile exprobrare poterit, se quoque ab illa parvi fieri, ac despectus indicium proferre infidelitatem, quam erga priorem virum adhibuit, atque ita os illi obstruere, idque tam de præteritis rebus, quam de iis, quæ fortasse futuræ non sunt. Mortui enim viri contemtus, viventem quoque, ut idem sibi exspectet, admonebit, licet eventurum non sit. Neque vero ille solus hæc perpetuo uxori objiciens molestus erit, sed famuli etiam atque ancillæ, si minus palam, certe tacito quodam murmure sexcentis ipsam conviciis incessunt. Quodsi filios etiam impuberes ex priore viro habuerit, quomodo illos educabit, quomodo curabit? quibus autem pupillis non illi miserius vivent, qui paterna omnia in alterius potestate videbunt, famulos, domum, prædia, et quod caput omnium est, uxorem? quomodo matris loco ipsam colere illi poterunt? quomodo ipsos illa filiorum loco diligere, quos cum intuetur, erubescat ac pudore suffundatur necesse sit, quibusque non omnem impendere maternum

στοργίαν, εἰς τοὺς ἐξ ἐκείνου παῖδας σχιζομένης αὐτῇ τῆς διανοίας;

Τί οὖν, ἂν ᾖ σφόδρα κόρη, φησὶ, καὶ βραχὺν ἀπολαύσασα χρόνον τοῦ ἀνδρός; Πρὸς γὰρ τὰς κόρας μοι ταῦτα εἴρηται, οὐ πρὸς τὰς γεγηρακυίας· πρὸς γὰρ ἐκείνας τοῦτο ποιούσας οὐδὲ διαλεχθήσομαι· εἰ γὰρ ὁ πολὺς χρόνος καὶ ἡ ἡλικία καὶ τὰ ἄλλα πάντα οὐκ ἔπεισαν αὐτὰς ἀποσχέσθαι δευτέρου γάμου, πολύ γε [ἧττον] ἡμεῖς· οὐ γὰρ ὁ παρ' ἡμῶν πείσει λόγος· ἀλλ' ἅπας μοι πρὸς ταύτας ὁ λόγος ἐστί. Τί οὖν, ἂν ᾖ κόρη, φησὶ, καὶ μόνον ἐνιαυτὸν μετὰ τοῦ προτέρου συνοικήσασα δευτέρῳ γαμῆται πάλιν; τίνος ἕνεκεν τὴν εἰκοστὸν ἔτος καὶ τριακοστὸν ἀνηλωκυῖαν ἐν γάμῳ προτιμήσεις αὐτῆς; Οὐκ ἔγωγε, ἀλλ' ὁ μακάριος Παῦλος· ἐκεῖνος γάρ φησι, « Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ ». Τί γάρ; εἰ καὶ πολὺν ἐκείνη χρόνον συνῴκησεν ἀνδρὶ, ἀλλ' ἑνὶ καὶ τῷ αὐτῷ καὶ μόνῳ καὶ ὃν ἐξ ἀρχῆς ἐκληρώθη· αὕτη δὲ δυσὶν ἔδωκεν ἑαυτὴν, καὶ ταῦτα ἐν βραχεῖ τῷ χρόνῳ. Ἀλλ' οὐχ ἑκοῦσα, φησίν· εἰ γὰρ ὁ πρότερος ἔζη, οὐκ ἂν ἕτερον ἠγάπησεν ἐπ' ἐκείνῳ· ἐπειδὴ δὲ πρὸ ὥρας ἀπῆλθεν ἐκεῖνος, ὑπὸ τῆς ἀνάγκης δευτέρῳ συνήφθη πάλιν. Ποίας ἀνάγκης; ἐγὼ γὰρ ταύτης ἧς λέγεις μείζονα ἑτέραν ἀνάγκην ὁρῶ ἱκανὴν αὐτὴν κατασχεῖν ἐπὶ τῷ τετελευτηκότι, τὸ πικρῶν οὕτως ἀπολαῦσαι τῶν πραγμάτων τοῦ κόσμου. Ἡ μὲν γὰρ πολὺν αὐτοῖς συγγενομένη χρόνον, καὶ ἐμπλησθεῖσα καλῶς, ὡς τῶν αὐτῶν τευξομένη τῶν ἴσων ἅψεται πάλιν· ἡ δὲ προοιμίων οὕτω χαλεπῶν πειραθεῖσα ποίᾳ προαιρέσει καὶ ἐλπίδι πρὸς τὴν πεῖραν ἥξει τῶν χαλεπῶν; Οὐδὲ γὰρ εἴ τις βουλόμενος ἐμπορεύσασθαι, πρίν τι κερδᾶναι, ἅμα τῷ τὸν λιμένα ἐξελθεῖν ναυάγιον ὑπομένοι, εὐκόλως ἅψεται τῆς πραγματείας λοιπόν· οὐδὲ ταύτην εἰκὸς τὴν πολλὰ μὲν προσδοκήσασαν ἡδέα, πρὶν ἢ δὲ ἐκείνων πεῖραν καλῶς λαβεῖν, τοσοῦτον πένθος ἰδοῦσαν ἀγαπῆσαι τὰ τοῦ κόσμου πράγματα, εἰ μὴ σφόδρα ἀκρατὴς οὖσα τύχοι· μᾶλλον δὲ, εἰ καὶ σφόδρα πρὸς αὐτὰ διακέοιτο καὶ λίαν ἔχοι προσπαθῶς, ἱκανὴ τῆς ἀρχῆς ἡ ἀηδία πᾶσαν σβέσαι τὴν ἐπιθυμίαν αὐτῆς. Τότε γὰρ τοῖς πράγμασι μάλιστα ἐπιμένειν εἰώθαμεν, ὅταν προοιμίων πειραθῶμεν καλῶν· ὅταν δὲ ἐξ ἀρχῆς καὶ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς χαλεπῶν καὶ δυσκόλων αἰσθώμεθα, ταχέως ἀναχρούομεθα, τῆς προαιρέσεως σβεννυμένης ἡμῖν. Ὥστε αἱ τὰς ἀώρους ὑπομείνασαι χηρείας, αὗται εἰκότως ἂν ἀπόσχοιντο γάμου δευτέρου ὑπὲρ τοῦ μὴ τὰ αὐτὰ πάλιν παθεῖν. Ἡ μὲν γὰρ ἐν τῇ χηρείᾳ μένουσα ἕξει τὸ ἀσφαλὲς, καὶ οὐχ ὑποπτεύσει πένθος ἕτερον τοιοῦτον πάλιν· ἡ δὲ προσομιλήσασα γάμῳ δευτέρῳ καὶ τοῦτο προσδοκᾶν ἀναγκασθήσεται τὸ ὀτινοῦν. Καὶ ἄλλως δὲ, εἰ καὶ πρᾶγμα ἦν ἐστιν ἡ χηρεία, ἀλλ' οὐ πᾶσαι τοὺς αὐτοὺς ἀπολήψονται τούτου μισθοὺς, ἀλλ' αἱ μὲν πλείους, αἱ δὲ ἐλάττους. Αἱ μὲν γὰρ ἐν νεότητι τὸν ζυγὸν ἀναδεξάμεναι πλείονος ἀπολαύσονται καὶ τῆς τιμῆς καὶ τῆς δωρεᾶς, αἱ δὲ πρὸς αὐτῷ τῷ γήρᾳ

affectum potest, magna animi atque amoris parte in filios, quos ex altero suscepit, translata?

Quid igitur, inquies, si valde tenera ætate fuerit, atque exiguo tempore frui viro potuerit? Quin ad puellas hæc mihi dicta sunt, non illas, quæ jam senuerunt; nam cum illis, si ad nuptias animum adjiciant, ne verbum quidem faciam: neque enim nostra illis oratio a secundo matrimonio abstinendum persuaderet, quod nec temporis longinquitas, neque ætas, neque aliud quidquam persuadere potuit; sed ad juvenes omnis mihi est instituta oratio. Quæris igitur, quid si puella, et quæ uno tantum anno cum priore viro fuerit, alteri nubat? cur huic præferes eam quæ viginti aut triginta annos in matrimonio egit? Non hoc meum est, sed beati Pauli: ille enim inquit (1 *Cor.* 7. 40), *Beatior autem erit, si sic permanserit.* Cæteroqui, tametsi illa diu cum viro vixit, tamen cum uno, eodem, ac solo, quemque ab initio accepit: hæc autem duobus se ipsam dedit, idque intra breve tempus. At non voluntate sua, inquit; nam si prior viveret, unum illum amaret, præterea neminem: nunc quando immatura morte sublatus est, necessario alteri jungitur. Sed qualis est hæc necessitas? Ego enim hac quam affers aliam longe majorem video, quæ ipsam mortuo viro contentam esse suadeat, nimirum gustando percepisse, quantum amari insit in rebus mundanis. Nam quæ in ipsis perdiu versata atque satiata est, ad easdem rursum se conferet, quasi similes inventura: quæ autem principia ipsa adeo molesta experta est, quid sibi volens, aut sperans, molestiarum periculum faciet? Nam si quis ad mercaturam animum appulit, si antequam quidquam lucri faciat, simul ac e portu exiit, naufragium fecit, non facile mercaturam posthac exercebit; ita consentaneum est, hanc multa sibi e matrimonio jucunda pollicentem, verum antequam ad ea bene percipienda pervenire queat, tantum luctum deprehendentem, rerum humanarum amorem, nisi valde sit intemperans, deponere. Quinetiam si valde iis afficiatur atque inhiet, principii tamen injucunditas satis idonea est, quæ omnem exstinguat cupiditatem. Tunc enim in iis quæ suscepimus, potissimum perseverare consuevimus, cum principia ipsa ex sententia processerint; quodsi ab initio, atque ab ipsis, ut ita dixerim, carceribus in molestias ac difficultates incurrimus, statim cupiditas defervet, ac totum negotium deponimus. Quamobrem, quarum immatura viduitas est, has mihi alterum matrimonium facilius repudiaturas verisimile videtur, ne eadem rursus perpellantur. Nam quæ servat viduitatem, in tuto se collocabit, nec similem posthac luctum timebit; quem sane exspectare cogetur, quæ secundo matrimonium contraxit. Huc accedit eamdem quidem esse viduitatem, non tamen eamdem omnibus viduis propositam esse mercedem, sed uni ampliorem, alteri parciorem. Quæ enim ab adolescentia jugum susceperunt, multo majore honore potientur, atque amplioribus muneribus; quæ autem in ipsa jam se-

οὐχ ὁμοίας ἐκείναις. Τί δήποτε; Ὅτι ἡ μὲν πολλῶν ὄντων τῶν κωλυμάτων διὰ τὸν τοῦ Θεοῦ φόβον πάντα ἠνέσχετο, αὕτη δὲ οὐδὲ βραχὺν ἰδρῶτα ὑπέμεινεν οὐδὲ πόνον· πῶς γὰρ, οὐδενὸς ὄντος πράγματος τοῦ βίαν παρέχοντος; Ὥσπερ οὖν ἡ δευτέρῳ δοῦσα ἑαυτὴν ἐλάττων ἐστὶ τῆς τὸν ἕνα ἄνδρα ἐχούσης, οὕτως ἡ ἐν χηρείᾳ μένουσα ἐν αὐτῇ τῇ νεότητι πολλῷ τῷ μέτρῳ τὴν ἐν τῷ γήρᾳ τὸν ἄνδρα ἀποβαλοῦσαν ὑπεραντίσαι δυνήσεται· καίτοι γε ἀμφοτέραις εἷς γέγονεν ὁ ἀνὴρ, ἀλλ' ὅμως αὕτη μὲν τὸν τῆς ἁγνείας ἔδραμε δρόμον, ἐκείνη δὲ πολλοῖς ἀπελείφθη τοῖς σταδίοις.

Μὴ τοίνυν τὸν πόνον ἴδῃς μόνον, ἀλλὰ καὶ τὸν μισθόν. Καὶ γὰρ τὰ πολλὰ τῶν κατορθωμάτων οὕτως ἡμῖν δύσκολα φαίνεται, ὅτι τὸν μόχθον αὐτῶν καὶ τοὺς ἱδρῶτας συνεχῶς στρέφοντες, τοὺς ἀποκειμένους αὐτοῖς μισθοὺς οὐκ ἐν νῷ λαμβάνομεν. Ἀλλ' οὐχ οὕτω δεῖ ποιεῖν, ἀλλὰ πάντα ὁμοῦ λογίζεσθαι, μετὰ τῶν πόνων καὶ τὰς ἀμοιβὰς, καὶ οὕτως εὔκολα ἡμῖν φανεῖται, ὥσπερ οὖν καὶ ἔστιν εὔκολα. Καὶ γὰρ ὁ ἀριστεὺς οὐ τὰ τραύματα μόνον, οὐδὲ τὰ πτώματα, οὐδὲ τὸν θάνατον, ἀλλὰ καὶ τὰ τρόπαια καὶ τὰς νίκας καὶ τὰς ἄλλας ἁπάσας ἀναλογισάμενος τιμὰς, οὕτως ἐπὶ τὴν ἀριστείαν ἔρχεται· καὶ ὁ γεωργὸς δὲ οὐχὶ τὴν ἄροσιν μόνον, οὐδὲ τὸν ἐν τῷ σκάπτειν πόνον, ἀλλὰ καὶ τὴν ἅλω καὶ τὰς ληνοὺς πρὸ τῶν ὀφθαλμῶν θεὶς, οὕτω τῶν ἔργων ἐφάπτεται. Οὕτω καὶ ἡμεῖς ταῖς ἐλπίσι ταῖς χρησταῖς τὸν τῆς χηρείας μόχθον ἐπικουφίσωμεν, καὶ πολλῷ μᾶλλον ἡμεῖς ἢ ἐκεῖναι· ἐκείναις μὲν γὰρ πολλὰ πολλάκις τῶν οὐκ ἐπ' αὐτοῖς κειμένων τὴν προσδοκίαν διέκοψε, τὰς δὲ ἡμετέρας ἐλπίδας οὐδεὶς ὁ καταισχύνων ἐστὶν, ἂν μὴ βουληθῶμεν αὐτοί. Μὴ δὴ βουληθῶμεν, ἀλλ' ἐννοήσαντες ὡς οὐ πολλῷ τῆς παρθένου ἡ χήρα λείπεται (ἔστι δὲ ὅπου αὐτὴν καὶ ὑπερηκόντισεν, ὅταν ἡ μὲν παρθένος περιπλέκηται πράγμασιν, ἡ δὲ χήρα κατὰ τὸν Παῦλον μεμονωμένη καὶ ἐλπίζουσα ἐπὶ τὸν Θεὸν προσκαρτερῇ ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, καὶ τῶν βιωτικῶν πραγμάτων ἀπέχηται), ἀναδεξώμεθα τὸν ἀγῶνα τοῦτον, ἵνα τῶν ἐν αὐτῷ στεφάνων τύχωμεν.

Ταῦτα ἡμῖν οὐκ ἀνάγκης ἕνεκεν εἴρηται, οὐδὲ, ὅπερ ἔφην, καταδικάζοντες τὰς οὐ βουλομένας χηρεύειν, ἐπὶ ταύτην ἤλθομεν τὴν παραίνεσιν, ἀλλὰ προτρέποντες καὶ παρακαλοῦντες, μὴ ἐπὶ τοσοῦτον προσδεθῆναι τῇ γῇ, ἀλλ' ἅπαξ λυθείσας μένειν ἐλευθέρας, καὶ τὸν οὐρανὸν ἐπιζητεῖν, καὶ τὴν πολιτείαν ἐπιδείκνυσθαι τὴν ἐκεῖ, καὶ ἁρμοσθείσας τῷ Χριστῷ οὕτως ἅπαντα πράττειν, ὡς προσῆκε τὰς τὸν τοιοῦτον ἐχούσας νυμφίον.

nectute, non æque atque illæ. Quid ita? Quod illa quidem, cum multa obstarent, ob Dei timorem omnia sibi perferenda duxit, huic autem nullo sudore ac labore opus fuit: quis enim labor, ubi nihil quod vim afferat? Quemadmodum igitur, quæ se ipsam alteri viro dedit, ei, quæ unicum agnovit, concedat oportet: ita quæ in ipsomet ætatis flore in viduitate perseverat, longo intervallo eam, quæ in senectute virum amisit, anteibit. Atqui utraque unum habuit virum, sed hæc tamen ipsum castitatis curriculum confecit, illa vero longo relicta est intervallo.

Igitur non ad laborem solum, sed etiam ad mercedem spectes. Sic pleraque virtutum officia difficilia nobis videntur, cum sudores et ærumnas, quæ subeundæ sunt, assidue animo versamus, neque proposita illis præmia animadvertimus. Quod minime faciendum est, sed circumspectis simul laboribus ac præmiis, summa subducenda; tunc autem, ut vere sunt, ita a nobis facilia judicabuntur. Nam qui in bello præclare se gerit, non vulnera duntaxat, casus ac mortem, sed etiam tropæa, victorias cæterosque honores omnes reputans in aciem fortiter descendit: sic agricola non solum laborem, qui arando ac fodiendo insumendus est, sed etiam aream ac torcularia ob oculos proponens, alacriter opera sua urget. Iisdem igitur et nos spe bona ærumnam viduitatis levem reddamus, atque eo magis nos quam illi, quod illis quidem multa sæpe ex iis quæ in ipsis sita non erant, exspectationem præciderunt; nostras autem spes nemo est qui confundat, nisi voluntas nostra accesserit. Quæ utinam non accedat, sed illud nobiscum cogitantes viduam a virgine non procul abesse (atque etiam interdum illam antecellere, nimirum, cum virgo negotiis se implicarit: *Vidua* autem ex Pauli (1 *Tim.* 5. 5) sententia *desolata et in Deo spem ponens institerit obsecrationibus et orationibus*, atque ab hujus vitæ negotiis abstinuerit), in arenam hanc descendamus, ut quæ inde nos manent præmia consequamur.

Hæc, non quo necessaria judicaremus, attulimus, aut quo illas, quæ in viduitate permanere nolunt, condemnaremus, sed hoc unum cohortatione admonitioneque nostra agentes, ut ne terræ perpetuo affixæ hærere velint, sed semel solutæ in libertate maneant, ad cælum aspirent, cælestem vivendi rationem adhibeant, ac junctæ Christo ea omnia præstent, quæ iis conveniunt, quæ talem sactæ sunt sponsum.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ

ΚΑΙ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΚΑΙ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μέλλων πρὸς τὸ πάθος ἤδη χωρεῖν καὶ τὸν θάνατον ἀποθνήσκειν τὸν ζωοποιὸν, αὐτῇ τῇ τελευταίᾳ νυκτὶ καλέσας ἰδίᾳ τοὺς ἑαυτοῦ μαθητὰς, ἄλλα τε διελέχθη πολλὰ καὶ παρήνεσε, καὶ μετὰ τῶν ἄλλων εἶπέ τι καὶ τοιοῦτον αὐτοῖς· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. » Καίτοι πολλοὶ ἕτεροι διδάσκαλοί τε ἐγένοντο, καὶ μαθητὰς ἔσχον, καὶ θαύματα ἐπεδείξαντο, καθὼς Ἑλλήνων παῖδες κομπάζουσιν, ἀλλ' ὅμως οὐδεὶς οὐδέποτε ἐκείνων τοιοῦτον οὐδὲν οὔτε εἰς νοῦν ἐβάλετο, οὔτε εἰπεῖν ἐτόλμησεν· οὐδ' ἂν ἔχοιεν Ἑλλήνων παῖδες, κἂν πάντα ἀναισχυντοῖεν, ἐπιδεῖξαι πρόῤῥησιν ἢ λόγον τοιοῦτον κείμενον παρ' αὐτοῖς· ἀλλὰ φάσματα μὲν τῶν κατοιχομένων καὶ νεκρῶν τινων εἴδωλα δεῖξαι πολλοὶ πολλοὺς παρ' αὐτοῖς θαυματοποιούς φασι, καὶ φωνάς δέ τινας ἀπὸ μνημείων τισὶν ἐνεχθῆναι λέγουσιν· ὅτι δέ τις τῶν ζησάντων ἀνθρώπων καὶ θαυμασθέντων παρ' αὐτοῖς, ἢ οὓς μετὰ τελευτὴν ἐνόμισαν εἶναι θεοὺς, εἶπέ τι τοιοῦτον τοῖς ἑαυτοῦ μαθηταῖς, οὐδεὶς ἂν αὐτῶν ἰσχυρίσαιτό ποτε. Καὶ τὴν αἰτίαν δὲ εἰ βούλεσθε ἐρῶ, διὰ τί τὰ ἄλλα πάντα ἀπηρυθριασμένοις καὶ γυμνῇ ψευδόμενοι τῇ κεφαλῇ, τοιοῦτον οὐδέποτε οὐδὲν πλάσασθαι ἐτόλμησαν. Οὐ γὰρ ἁπλῶς οὐδὲ ἄνευ τινὸς λόγου ταύτης ἀπέσχοντο τῆς μηχανῆς, ἀλλ' εἶδον τοῦτο κακούργως οἱ λυμεῶνες ἐκεῖνοι, ὅτι τὸν μέλλοντα ἀπατᾶν πιθανά τινα καὶ πολλῆς γέμοντα κομψείας καὶ πρὸς τὸ μὴ φωραθῆναι ὁυσοιάγνωστα συντιθέναι χρή· καὶ γὰρ τοὺς δεινοὺς τῶν τε ἰχθύων τῶν τε ὀρνίθων θηρευτὰς οὐ γυμνὰ προτιθέναι τὰ θήρατρα, ἀλλὰ τῷ δελέατι πάντοθεν αὐτὰ περιστείλαντας ἀκριβῶς, οὕτω τῆς ἄγρας περιγενέσθαι ἑκατέρας ἑκατέρους· εἰ δὲ ἐκκαλύψαντες αὐτὰ τοῖς ἁλίσκεσθαι μέλλουσιν οὕτω παρεῖχον ὁρᾶν, οὔτε ἰχθῦς οὔτε ὄρνιθες τῶν ἀρκύων ἐκείνων ἐντὸς ἂν ἐγένοντό ποτε· μᾶλλον δὲ οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθον αὐτοῖς, ἀλλὰ κεναῖς ἂν ἕκαστος οἴκαδε ἀπῆλθε χερσὶν, ὅ τε θαλάττιος ὅ τε χερσαῖος θηρατής. Ἐπεὶ οὖν καὶ τούτοις σαγηνεύειν ἀνθρώπους προύκειτο, οὐκ ἔῤῥιψαν γυμνὴν τὴν ἀπάτην εἰς τὸ τοῦ βίου πέλαγος, ἀλλὰ πλασάμενοι καὶ συνθέντες τὰ δυνάμενα τοὺς ἀλογωτέρους ἑλεῖν, περαιτέρω προελθεῖν ἐφείσαντο τῷ ψεύδει, δεδοικότες τὴν ὑπερβολὴν, καὶ φοβούμενοι μὴ τῇ τῶν δευτέρων ἀμετρίᾳ καὶ τὰ πρότερα ἀναλύσωσιν. Εἰ γὰρ εἶπον ὅτι τοιοῦτόν τι παρ' αὐτοῖς ἐπηγγείλατό τις, οἷον ὁ ἡμέτερος Σωτὴρ τοῖς μαθηταῖς εἶπε τοῖς ἑαυτοῦ, καὶ οἱ παρ' αὐτῶν ἠπατημένοι κατεγέλασαν ἂν αὐτῶν, ὡς οὐδὲ πιθανὰ ψεύσασθαι δυνηθέντων. Τὸ γὰρ τοιαῦτα καὶ προλέγειν καὶ πληροῦν μετὰ ἀληθείας, τῆς μακαρίας ἐκείνης δυνά-

LIBER IN SANCTUM BABYLAM,

CONTRA JULIANUM ET ADVERSUS GENTILES.

1. Dominus noster Jesus Christus supplicium jamjam subiturus, et morte vivifica moriturus, nocte illa postrema discipulos seorsim vocavit, ipsisque tum alia multa monita dedit, tum hæc etiam verba fecit (*Joann.* 14. 12) : *Amen, amen dico vobis, qui credit in me, opera, quæ ego facio, et ipse faciet, et majora his faciet.* Atqui multi alii magistri exstitere, qui discipulos habuerunt et miracula perpetrarunt, ut Græci jactitant ; attamen nullus eorum umquam simile quidpiam vel cogitare vel dicere ausus est. Neque possunt Græci, etsi admodum impudentes sint, prædictionem sermonemve similem penes se exhibere ; sed spectra defunctorum mortuorumque simulacra multi eorum dicunt a plurimis apud se mirabilium patratoribus ostendi ; voces item e sepulcris ad quosdam emissas jactitant : quod autem quis ex viris, qui apud se vixerunt et admirationi habiti sunt, aut ex iis quos post decessum deos reputaverunt, tale quidpiam discipulis dixerit, nullus eorum affirmare audeat. Causam autem, si placet, aperiam : cur scilicet cum cætera omnia impudenter effutierint, et perficta fronte mentiti sint, nihil hujusmodi comminisci ausi sint. Non enim abs re ; neque sine quadam ratione a tali commento abstinuere ; sed astute conspicati sunt pestiferi illi homines, eum qui fucum facere velit, oportere probabilia quædam, et fallaciæ plena, quæ facile non possint falsi argui, proferre : nam piscibus avibusque non nudos hamos proponere venatores callidos, sed esca ab omni parte obtegere atque ita venationem utramque prospere succedere ; si vero conspicua retia essent, neque pisces neque aves irretirentur umquam, imo vero ne accederent quidem ; sed tum piscator, tum venator vacuis manibus domum redirent. Quia igitur illis in proposito erat homines ceu sagena capere, non nudam fallaciam in hujus vitæ pelagus immisere, sed iis conflictis ac compositis, quibus possent imprudentiores capere, ulterius mendacio progredi supersederunt, veriti ne ultra modum procederent, metuentes ne posteriorum fraudum immodica magnitudine priores subverterent. Nam si dixissent suorum quempiam rem talem pollicitum esse, qualem discipulis Servator noster promisit, etiam iis quos deceperant sese ridiculos præbuissent, utpote qui ne verisimilia quidem mentiri possent : talia enim prædicere atque præstare ad beatam illam virtutem solam pertinet. Quod-

μιας μόνης ἐστίν. Εἰ δέ τι καὶ δαίμονες ἴσχυσάν ποτε φαντάσαι τοὺς ἠπατημένους μικρὸν, ἀλλ' ὅτε οὔπω τοῦ φωτὸς ἡ πηγὴ γνώριμος ἦν τοῖς πολλοῖς· καὶ τότε δὲ αὐτόθεν ἐδείκνυτο, ὅτι δαιμόνων ἦν ἔργα τὰ τελούμενα, τῇ τε ἄλλῃ ἀπάτῃ καὶ ταῖς θυσίαις αὐταῖς. Τὸ γὰρ ἀνθρωπίνοις αἵμασι τοὺς ἑαυτῶν προστάττειν φοινίσσεσθαι βωμοὺς, καὶ παρὰ τῶν σπειράντων τὰ τοιαῦτα αὐτοῖς κελεύειν ἱερεῖα καταβάλλεσθαι, τίνα οὐκ ἂν ἀποκρύψειε μανίας ὑπερβολήν; Οἱ γὰρ μηδέποτε ἐκ τῶν ἡμετέρων χορεννύμενοι συμφορῶν, μηδὲ εἰδότες ὅρον τινὰ καὶ πέρας τῆς μάχης τῆς πρὸς ἡμᾶς, ἀλλὰ ἀθάνατα λυττῶντες ἀεὶ, καθάπερ οὐκ ἀρκοῦν αὐτῶν ἐμπλῆσαι τὸν θυμὸν τὸ γυναῖκας καὶ παῖδας ἀντὶ προβάτων καὶ βοῶν εἰς τοὺς αὐτῶν κατασφάττεσθαι βωμοὺς, ἐπενόησαν ξένην ἀνδροφονίας παρανομίαν, καὶ καινότερον συμφορᾶς ἐπεισήγαγον τρόπον. Οὓς γὰρ ἔδει πενθεῖν τὰς τῶν ἀνηρημένων σφαγὰς, τούτους ἔπεισαν εἰς τὴν ἀθλίαν ἐκείνην μιαιφονίαν προάγειν αὐτούς. Καὶ ἵνα μὴ μόνον οἱ παρὰ τῶν ἀνθρώπων τεθέντες ἀτιμάζωνται νόμοι, καὶ τοὺς τῆς φύσεως αὐτῆς θεσμοὺς ἐκ βάθρων ἀνέσπασαν, αὐτὴν καθ' ἑαυτῆς ἐκβακχεύσαντες, καὶ τὸν ἁπάντων ἐναγέστερον φόνον εἰς τὸν τῶν ἀνθρώπων εἰσάγοντες βίον. Οὐδένας γὰρ ἐχθροὺς οὕτω λοιπὸν ὡς τοὺς γεγεννηκότας ἅπαντες ἔδεισαν, καὶ οἷς ἐχρῆν μάλιστα πάντων θαρρεῖν, τούτους μάλιστα πάντων δι' ὑποψίας εἶχον καὶ ἀπεστρέφοντο. Οἱ γὰρ ἀλάστορες ἐκεῖνοι, δι' ὧν ὁ Θεὸς αὐτοὺς ἐπὶ τὴν θεωρίαν τοῦδε τοῦ κόσμου παρήγαγε, διὰ τούτων αὐτοὺς ταύτης ἐκβαλεῖν ἐμηχανείκησαν τῆς θεωρίας, τοὺς πρὸς τὸ ζῆν ὑπηρετησαμένους, τούτους καὶ τοῦ θανάτου καταστήσαντες αἰτίους, ὥσπερ ἐπιδεῖξαι βουλόμενοι, ὅτι πλέον αὐτοῖς οὐδὲν γέγονεν ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ· οὐ γὰρ ἑτέρων δεήσονται σφαγίων, ἀλλὰ τῶν φυσαμένων αὐτῶν. Ταῦτα, εἰ καὶ θαῦμά τι παρηκολούθησεν μέγα (μὴ ὅτι εἴ που τι καὶ ἐδείχθη μικρὸν καὶ οὐδενὸς ἄξιον λόγου καὶ πολλῆς γέμον ἀπάτης, ἀλλ' εἰ καὶ μεγάλα ἦν τὰ γινόμενα), ταῦτα, ἅπερ εἶπον, τοῖς μὴ λίαν ἐξεστηκόσιν ἱκανὰ δεῖξαι, τίνες ἦσαν οἱ ἐκεῖνα ἐργαζόμενοι, πῶς μιαροὶ καὶ παμμίαροι, καὶ πάντα ἐπ' ἀνατροπῇ καὶ τῆς ζωῆς καὶ τῆς καταστάσεως τεκταίνοντες τῆς ἡμετέρας.

Ἀλλ' οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς τοιοῦτον οὐδὲν ἐπέταξεν ἡμῖν, ἀλλὰ θαυμαστὸς ὢν διὰ τὰ τεράστια, διὰ τὰ προστάγματα τῶν θαυμάτων οὐχ ἧττον παρὰ πάντων ἂν προσκυνοῖτο δικαίως καὶ πιστεύοιτο εἶναι Θεός. Τὴν γὰρ παρανομίαν ταύτην αὐτὸς ἐλθὼν ἔλυσε· καὶ τὸ θαυμαστότερον, ὅτι τῆς ἀγρίας καὶ ἀπηνοῦς τυραννίδος οὐ τοὺς προσκυνοῦντας αὐτὸν μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς βλασφημοῦντας αὐτὸν ἐκείνους ἀπήλλαξεν· οὐδὲ γὰρ Ἑλλήνων τις ἔτι τοιαύτας θυσίας τοῖς ἑαυτοῦ δαίμοσι προσάγειν ἠνάγκασται. Τοσαύτη πρὸς τὸ ἡμέτερον ἀεὶ φιλανθρωπίᾳ κέχρηται γένος, καὶ ὧν ἃ δαίμονες τοὺς ἑαυτῶν φίλους εἰργάσαντο κακῶν μείζονα ὁ Θεὸς τοὺς ἐχθροὺς ἐποίησεν ἀγαθά. Οἱ μὲν

si potuere olim dæmones iis, quos deceperant, nonnihil phantasmatis exhibere, id tunc evenit, cum luminis fons vulgo nondum cognitus esset. Illo quippe tempore tum ex aliis fallaciis, tum ex ipsis sacrificiis ostensum est ea quæ gerebantur dæmonum opera esse. Nam quod humano sanguine aras suas cruentari juberent, et a generantibus tales sibi parari victimas præciperent, id quam insaniæ speciem non obruat? Qui enim calamitatibus nostris numquam satiantur, neque ullum finem terminumve ponunt bello contra nos indicto, sed immortali semper rabie ducti, ac si non satis sit ad eorum explendum animum, quod mulieres et parvuli ovium boumque loco ad aras suas immolentur, novam homicidii iniquitatem excogitarunt, inauditumque calamitatis induxere modum. Quos enim par erat peremtorum cædes lugere, iis persuasere ut ad miseram illam subeundam cædem sese offerrent; atque non leges modo ab hominibus positæ violarentur, ipsas quoque naturæ leges funditus destruxerunt, ipsam adversum se naturam grassari curantes, omniumque scelestissimam cædem in hominum vitam inducentes. Nullos enim inimicos perinde atque parentes tunc formidabant omnes: ac quibus maxime fidendum erat, eos in primis suspectos habebant et aversabantur. Siquidem nefarii dæmones, per quos Deus illos ad hujus mundi contemplationem induxerat, per eosdem ab ejusmodi dono dejicere satagebant, dum eos qui vitam ministraverant, mortis auctores constituerent, declarare volentes, nihil eos amplius ex Dei bonitate consequutos esse: ut qui non aliis opus haberent interfectoribus, quam parentibus. Hæc, etiamsi magnum aliquod miraculum subsequutum fuisset (ne dicam si forte res ostensa fuisset exigua ac nihili facienda, multaque plena fallaciæ; sed etiamsi vere magna essent quæ fiunt), hæc, inquam, quæ dixi, sufficiunt, iis saltem qui non mente capti sunt, ad demonstrandum, quinam essent qui talia agerent, quam flagitiosi, quam scelesti, qui nihil non molirentur ad nostram statusque nostri subversionem.

2. At Dominus noster Jesus nihil tale imperavit nobis; sed mirabilis cum sit ob prodigia, nec minus præceptis quam signis admirandus, jure ab omnibus adoretur, ac Deus esse credatur. Hanc enim impietatem adventu ipse suo solvit: quodque mirabilius est, a fera illa et immani tyrannide non nos tantum, qui adoramus eum, sed etiam eos, qui ipsum blasphemis dictis impetunt, liberavit: neque enim Gentilium quisquam tales hostias dæmonibus suis posthac immolare coactus est: tanta nempe usus est erga genus nostrum benignitate; majoraque bona Deus inimicis suis contulit, quam mala dæmones amicis. Dæmones quippe,

γὰρ δαίμονες τοὺς θεραπεύοντας αὐτοὺς καὶ τιμῶντας τῶν οἰκείων παίδων γενέσθαι σφαγέας ἠνάγκασαν· ὁ δὲ Χριστὸς τοὺς ἀποστρεφομένους αὐτὸν τούτων τῶν ἐπιταγμάτων ἀπήλλαξε, καὶ τῆς θηριώδους λειτουργίας τὴν ἀτέλειαν, καὶ τὴν θαυμαστὴν ταύτην εἰρήνην, οὐκ εἰς τοὺς οἰκείους μόνους συνέκλεισεν, ἀλλὰ καὶ εἰς τοὺς ἀλλοτρίους ἐξήγαγε, δεικνὺς ὅτι ἐκεῖνοι μὲν τύραννοί τινες καὶ τοῦ γένους ἡμῶν ἐχθροὶ καὶ λυμεῶνές εἰσι, δι' ὃ καὶ τοῖς ὡκειωμένοις ὡς ἀλλοτρίοις ἐκέχρηντο· καὶ γὰρ ἦσαν ἀλλότριοι. Ὁ δὲ βασιλεὺς καὶ δημιουργὸς καὶ σωτὴρ τοῦ παντὸς γένους ἀνθρώπων αὐτὸς ἦν· διὸ καὶ τῶν ἠλλοτριωμένων ὡς ἰδίων ἐφείδετο. Καὶ γὰρ ἦν ἴδιον ἔργον αὐτοῦ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, καθὼς καὶ ὁ μαθητὴς αὐτοῦ φησιν, • Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἐδέξαντο. • Ἀλλὰ πᾶσαν μὲν αὐτοῦ καταλέγειν τὴν φιλανθρωπίαν οὐ τοῦ παρόντος καιροῦ, ἀλλὰ κἂν πάντας τοὺς αἰῶνας περὶ αὐτῆς φθέγγηταί τις, κἂν τοσαύτην ἔχῃ δύναμιν, ὅσην τὰς ἀσωμάτους δυνάμεις εἰκὸς, οὐδὲ οὕτως ἐφάψεται τῆς ἀξίας ποτέ. Ὅσον γάρ ἐστιν ἀγαθὸς, μόνος οἶδεν αὐτὸς, ἐπειδὴ καὶ μόνος ἐστὶν οὗτος ἀγαθός.

Ὅρα γοῦν οἷα τοῖς μαθηταῖς φησιν· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. » Οὐδὲ γὰρ ἂν τοσαύτης αὐτοῖς μετέδωκε τῆς τιμῆς, μὴ λίαν καὶ ἀπείρως ὢν ἀγαθός. Εἰ δέ τις ἡμῖν ἀμφισβητοίη, πῶς τέλος ἴσχεν οὗτος ὁ χρησμὸς, τὸ βιβλίον μετὰ χεῖρας λαβὼν, ὃ καλεῖται μὲν Ἀποστόλων Πράξεις, ἔχει δὲ αὐτὰς οὐ πάσας, ἀλλ' οὐδὲ πάντων αὐτῶν, ἀλλ' ἑνὸς ἢ δύο, καὶ ταύτας εὐαριθμήτους, ὄψεται τοὺς μὲν ἀρρωστοῦντας ἐπὶ τῶν κλινιδίων κατακειμένους, τὰς δὲ σκιὰς μόνον τῶν μακαρίων ἐκείνων ἁπτομένας τε αὐτῶν ἅμα καὶ τὴν ὑγίειαν ἐργαζομένας, πολλοῖς δὲ τῶν μαινομένων τῶν ἱματίων Παύλου οὐδὲν πλέον ἐδάησε πρὸς τὴν τοῦ κινοῦντος αὐτοὺς δαίμονος ἀπαλλαγήν. Εἰ δέ τις ταῦτα τῦφον εἶναι λέγοι καὶ ταρατείαν πλασμάτων ἀπίθανον, ἀλλὰ τά γε νῦν ὁρώμενα ἱκανὰ τὸ βλάσφημον ἐμφράξαι στόμα καὶ καταισχῦναι, καὶ τὴν ἀχαλίνωτον γλῶτταν ἐπισχεῖν. Οὐ γάρ ἐστιν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ οὐ χώρα, οὐκ ἔθνος, οὐ πόλις, ἔνθα ταῦτα οὐκ ᾄδεται τὰ παράδοξα, οὐ θαυμασθέντα ποτὲ εἰ πλάσματα ἦν. Καὶ τοῦ λόγου τὴν μαρτυρίαν ὑμεῖς ἂν παράσχοιτε ταύτην ἡμῖν· οὐ γὰρ ἕξομεν παρ' ἑτέρων τὴν πίστιν τῶν λεγομένων λαβεῖν, ὑμῶν τῶν ἐχθρῶν ταύτην παρεχομένων ἡμῖν. Εἰπέ γάρ μοι, διὰ τί τὸν Ζωροάστρην ἐκεῖνον καὶ τὸν Ζάμολξιν οὐδὲ ἐξ ὀνόματος ἴσασιν οἱ πολλοὶ, μᾶλλον δὲ οὐδένες, πλὴν ὀλίγων τινῶν; ἆρ' οὐχ ὅτι πλάσματα ἦν τὰ περὶ ἐκείνων λεγόμενα ἅπαντα; Καίτοι κἀκεῖνοι καὶ οἱ τὰ ἐκείνων συνθέντες δεινοὶ γενέσθαι λέγονται, οἱ μὲν γοητείαν εὑρεῖν καὶ ἐργάσασθαι, οἱ δὲ συσκιάσαι ψεῦδος τῇ τῶν λόγων πιθανότητι. Ἀλλὰ πάντα μάτην γίνεται καὶ εἰκῇ, ὅταν ἡ τῶν λεγομένων ὑπόθεσις σαθρὰ καὶ ψευδὴς οὖσα τύχῃ, ὥσπερ οὖν, ὅταν ἰσχυρὰ καὶ

eos, qui se colerent et honorarent, ad proprios mactandos filios coegerunt; Christus vero adversarios suos his præceptis liberos esse curavit, et ferini ministerii immunitatem, et pacem hanc mirabilem, non suis modo contulit, sed et alienis præstitit : ostendens illos tyrannos generis nostri hostes et corruptores esse; quapropter etiam iis qui sibi hærebant, quasi alienis utebantur; alieni quippe revera erant. Ille vero rex et creator et servator totius generis humani erat; ideoque ab se alienis quasi propriis pepercit. Etenim proprium ejus opificium erat humana natura, quemadmodum discipulus ejus (*Joan.* 1. 11) ait : *In propria venit, et sui eum non receperunt.* Ejus vero totam in nos clementiam enarrare non est præsentis temporis; sed etiamsi per cuncta sæcula de illa quis loqueretur, etiamsi tantam haberet virtutem, quantam par est incorporeas illas habere virtutes, ne sic quidem illam pro dignitate posset attingere. Quam bonus enim sit, ipse solus novit, quandoquidem ipse solus bonus est.

Vide modo quæ verba discipulis proferat : *Amen, amen dico vobis, qui credit in me, opera quæ ego facio, et ipse faciet, et his majora faciet.* Neque enim tantum illis honoris contulisset, nisi immensa bonitate præditus esset. Quodsi quis dubitando quærat a nobis, ubinam finem habuerit hoc oraculum, accepto libro, cui nomen Acta Apostolorum, qui non omnium, sed unius vel duorum acta, eaque non ita multa continet, videbit ægrotos in lectulis decumbentes, umbrasque beatorum illorum vel solo tactu sanitatem restituisse; multosque furiosos Pauli tantum vestimentis ab agitante se dæmone liberatos. Quodsi quis hæc fucum esse dicat et portentorum figmenta non credibilia, vel ea quæ nunc videntur satis sunt ad blasphemum ejus os obturandum et confundendum, et ad effrenem ejus linguam cohibendam. Nulla enim in orbe nostro est regio, nulla gens, nulla urbs, ubi hæc miracula non celebrentur : quæ utique si figmenta essent, non admirationi haberentur. Cujus rei testimonium vos ipsi exhibere potestis : non enim fidem aliunde mutuari opus habebimus, cum vos inimici nostri eam exhibeatis. Cur, quæso, Zoroastrem illum et Zamolxin multi ne nomine quidem norunt, imo nonnisi admodum pauci norunt? nonne quia figmenta erant omnia, quæ de illis dicebantur? Quamquam tum illi, tum ii qui ea confinxerunt, viri sollertes fuisse ferantur; illi quidem ad prestigias inveniendas exercendasque, hi vero ad mendacium verborum fuco adumbrandum. Sed hæc frustra et in cassum proferuntur, quando ipsum argumentum pravum et fallax esse comperitur; ut contra quando certum verum

ἀληθὴς, ἅπαντα πάλιν μάτην γίνεται καὶ εἰκῇ τὰ πρὸς ἀνατροπὴν ἐπινοούμενα παρὰ τῶν ἐχθρῶν· οὐδεμιᾶς γὰρ δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλὰ κἂν μυρίους ἔχῃ τοὺς σβεννύντας αὐτὴν, οὐ μόνον οὐκ ἀφανίζεται, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων φαιδροτέρα καὶ ὑψηλοτέρα ἄνεισι, τῶν εἰκῇ κοπτόντων ἑαυτοὺς καὶ μαινομένων καταγελῶσα. Τὰ μὲν γὰρ παρ' ἡμῖν, ἃ φατὲ πλάσματα εἶναι, καὶ τύραννοι καὶ βασιλεῖς καὶ λόγων ἄμαχοι σοφισταὶ, ἤδη δὲ καὶ φιλόσοφοι καὶ γόητες καὶ μάγοι καὶ δαίμονες καθελεῖν ἐσπούδασαν, « Καὶ ἐξησθένησεν ἐπ' αὐτοὺς ἡ γλῶσσα αὐτῶν », κατὰ τὸν προφητικὸν λόγον, καὶ « Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. » Οἱ μὲν γὰρ βασιλεῖς τοσοῦτον ἐκέρδαναν ἐκ τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὅσον θηριωδίας δόξαν παρὰ πᾶσι λαβεῖν. Διὰ γὰρ τὸν κατὰ τῶν μαρτύρων θυμὸν εἰς τὴν τῆς κοινῆς φύσεως ἐξενεχθέντες ἀπόνοιαν, μυρίοις ἑαυτοὺς οὐ συνιδὸν περιβαλόντας ὀνείδεσιν. Οἱ δὲ φιλόσοφοι καὶ δεινοὶ ῥήτορες δόξαν πολλὴν, οἱ μὲν ἐπὶ σεμνότητι, οἱ δὲ ἐπὶ λόγων δυνάμει παρὰ τοῖς πολλοῖς ἔχοντες, μετὰ τὴν πρὸς ἡμᾶς μάχην καταγέλαστοι γεγόνασι, καὶ παίδων ληρούντων ἁπλῶς οὐδὲν διαφέρειν ἔδοξαν. Ἀπὸ γὰρ ἐθνῶν καὶ δήμων τοσούτων οὐ σοφόν τινα, οὐκ ἄσοφον, οὐκ ἄνδρα, οὐ γυναῖκα, ἀλλ' οὐδὲ παιδίον μικρὸν μεταπεῖσαι ἴσχυσαν, ἀλλὰ τοσοῦτός ἐστι τῶν ὑπ' αὐτῶν γεγραμμένων ὁ γέλως, ὥστε ἀφανισθῆναι καὶ τὰ βιβλία πάλαι, καὶ ἅμα τῷ δειχθῆναι, καὶ ἀπολέσθαι τὰ πολλά. Εἰ δέ πού τι καὶ εὑρεθείη διασωθὲν, παρὰ Χριστιανοῖς τοῦτο σωζόμενον εὑροι τις ἂν· τοσοῦτον ἀπέχομεν βλάβην τινὰ παρὰ τῆς ἐκείνων ὑποπτεύειν ἐπιβουλῆς· οὕτω καταγελῶμεν τῆς πολλῆς τῶν μηχανημάτων αὐτῶν περιεργίας. Οὔτε γὰρ εἰ τὰ σώματα ἀδαμάντινα καὶ ἄφθαρτα ἦν ἡμῖν, σκορπίους καὶ ὄφεις καὶ πῦρ ταῖς χερσὶν ἐπισφίγγοντες ἐδείσαμεν ἄν, ἀλλὰ καὶ ἐπεδειξάμεθα· οὔτε ἐπειδὴ τὰς ψυχὰς ἡμῖν καὶ τὴν πίστιν τοιαύτην κατεσκεύασεν ὁ Χριστὸς, τὰ φάρμακα τῶν ἐχθρῶν ἔχοντες δεδοίκαμεν. Εἰ γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων καὶ πάσης τοῦ διαβόλου τῆς τυραννίδος πατεῖν ἡμῖν ἐπιτέταχται, πολλῷ μᾶλλον ἐπάνω σκωλήκων καὶ κανθάρων· τοσοῦτον γὰρ τὸ μέσον τῆς τούτων βλάβης πρὸς τὴν ἐκείνου τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν.

Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, τὰ δὲ ὑμέτερα, ἀπολέμησε μὲν αὐτοῖς οὐδεὶς οὐδέποτε· οὐδὲ γὰρ θέμις Χριστιανοῖς ἀνάγκῃ καὶ βίᾳ καταστρέφειν τὴν πλάνην, ἀλλὰ καὶ πειθοῖ καὶ λόγῳ καὶ προσηνείᾳ τὴν τῶν ἀνθρώπων ἐργάζεσθαι σωτηρίαν. Ὅθεν οὐδεὶς τῶν τὰ τοῦ Χριστοῦ φρονούντων βασιλεὺς δόγματα καθ' ὑμῶν ἔθηκε τοιαῦτα, οἷα καθ' ἡμῶν οἱ τὰ τῶν δαιμόνων θεραπεύσαντες ἐπενόησαν. Ἀλλ' ὑμᾶς τοσαύτης ἀπολαύσασα ἡσυχίας καὶ ὑπ' οὐδενὸς ἐνοχληθεῖσά ποτε τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἡ πλάνη ἀφ' ἑαυτῆς ἐσβέσθη, καὶ περὶ ἑαυτὴν διέπεσε, καθάπερ τῶν σωμάτων τὰ τηκεδόνι παραδοθέντα μακρᾷ, καὶ μηδενὸς αὐτὰ βλάπτον-

que est, frustra omnia cedunt, quæ ad illud evertendum ab inimicis excogitantur : veritatis quippe robur nullo eget auxilio; sed etiamsi innumeri sint qui illam extinguere conentur, non solum non destruitur, sed etiam impugnantium operâ splendidior sublimiorque evadit, illosque irridet, qui frustra sese excruciant et insaniunt. Nostra quippe illa, quæ vos figmenta esse dicitis, et tyranni et reges et dicendo invicti sophistæ; itemque philosophi et præstigiatores et magi et dæmones destruere curarunt; *Et infirmata est contra illos lingua eorum*, secundum propheticum sermonem (*Psal.* 63. 9), et (*ibid.* 8), *Sagittæ parvulorum factæ sunt plagæ eorum.* Reges quippe ex insidiis contra nos structis tantum lucrati sunt, quantum satis erat ad ferini animi famam apud omnes sibi parandam : ob iram enim contra martyres susceptam, in communem naturam ferocientes, sese imprudentes execrutis opprobriis obnoxios reddiderunt. Philosophi autem et acuti rhetores opinionem magnam, alii gravitatis, alii eloquentiæ apud multos habentes, post commissam adversum nos pugnam ridiculi effecti, a pueris nugacibus nihil differre visi sunt. A tot enim populis gentibusque non sapientem quempiam, non insipientem, non virum, non mulierem, non parvulum ad suam pertrahere sententiam potuerunt; sed eorum scripta usque adeo risu digna sunt, ut ex eorum libris alii jamdiu perierint, alii statim atque visi sunt exoleverint. Quodsi quid ex iis supersit, apud Christianos servari comperitur : tantum abest ut ex eorum insidiis damni quidpiam nobis timendum suspicemur; ita ridemus versutos illorum adversum nos conatus. Neque enim si corpora nobis adamantina essent et incorruptibilia, scorpiones, serpentes et ignem manu stringere formidaremus, verum ostentandi causa faceremus; sic neque quando nobis Christus ejusmodi animos atque fidem paravit, venena hostium penes nos habentes pertimescimus. Nam si nobis jussum est (*Luc.* 10. 19) supra serpentes, scorpiones et omnem diaboli tyrannidem ambulare, multo magis supra vermes et lumbricos : tantum enim est intervallum inter illorum nocumentum et maligni diaboli insidias.

3. Et nostrarum quidem rerum illa est ratio, vestras autem res oppugnavit nemo unquam : neque enim fas est Christianis necessitate ac violentia errorem subvertere, sed suadela, sermone et mansuetudine hominum salus curanda est. Quamobrem nemo ex Christianis Imperatoribus talia contra vos posuit decreta, qualia contra nos excogitarunt ii qui dæmones colebant. Attamen error ille gentilium, tantam consecutus quietem et a nemine turbatus unquam, per se tamen exstinctus est et in se ipse corruit, more corporum, quæ diuturna tabe infecta, neminè lædente, per sese

τος, αὐτόματα φθείρεται, καὶ διαλυθέντα κατὰ μικρὸν ἀφανίζεται. Ὥστε εἰ καὶ μὴ τέλεον ὁ σατανικὸς οὗτος ἐξήλειπται γέλως ἀπὸ τῆς γῆς, ἀλλ' ἱκανά γε τὰ ἤδη γινόμενα πιστώσασθαι καὶ ὑπὲρ τῶν μελλόντων ὑμᾶς. Τοῦ γὰρ πλείονος καθαιρεθέντος ἐν οὕτω χρόνῳ βραχεῖ, περὶ τοῦ λειπομένου οὐδεὶς φιλονεικήσει λοιπόν. Οὐδὲ γὰρ πόλεως ἁλούσης, καὶ τειχῶν κατενεχθέντων, καὶ βουλευτηρίων καὶ θεάτρων καὶ περιπάτων κατακαυθέντων, καὶ τῶν ἐν ἡλικίᾳ πάντων ἀνῃρημένων, στοάς τις ἰδὼν ἡμικαύστους καὶ οἰκιῶν ὀλίγων ἑστῶτα μέρη, καὶ γραῒδια μετὰ παιδίων μικρῶν, ἀμφισβητήσειε τῷ νικήσαντι καὶ περιγενομένῳ τοῦ πλείονος, ὡς οὐ δυναμένῳ κατεργάσασθαι τὸ περιλειφθέν. Ἀλλ' οὐ τά γε τῶν ἁλιέων τοιαῦτα, ἀλλὰ καθ' ἑκάστην ἀνθεῖ τὴν ἡμέραν, καὶ ταῦτα οὐ δι' εὐρυχωρίας τινὸς καὶ ἀνέσεως εἰς τὸν ἡμέτερον εἰσαχθέντα βίον, ἀλλὰ διὰ θλίψεως καὶ πολέμων καὶ μάχης. Ὁ μὲν γὰρ Ἑλληνισμὸς παντα-χοῦ τῆς γῆς ἐκταθείς, καὶ τὰς ἁπάντων ἀνθρώπων ψυχὰς κατασχών, οὕτως ὕστερον, μετὰ τὴν τοσαύτην ἰσχὺν καὶ τὴν ἐπίδοσιν, ὑπὸ τῆς τοῦ Χριστοῦ κατελύθη δυνάμεως· τὸ δὲ κήρυγμα τὸ ἡμέτερον οὐ μετὰ τὸ διαδοθῆναι παντα-χοῦ, καὶ στῆναι βεβαίως, ἔσχε τοὺς πολεμοῦντας, ἀλλὰ πρὶν ἢ παγῆναι καὶ φυτευθῆναι ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἐξ αὐτῶν τῶν προοιμίων πρὸς ἅπασαν ἠναγκάζετο παρατάττεσθαι τὴν οἰκουμένην, « πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας· » οὕπω γὰρ τοῦ σπινθῆρος τῆς πίστεως ἁφθέντος καλῶς, ποταμοὶ καὶ ἄβυσσοι πάντοθεν ἐπέρρεον. Ἴστε δὲ ὅήπου ὡς οὐκ ἔστιν ἴσου τὸ μυρίοις ἔτεσι ριζωθὲν ἀνασπάσαι φυτὸν, καὶ τὸ ἐπὶ τῆς γῆς ἄρτι τεθέν. Ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων, ἐπέκλυζε μὲν ἔτι μικρὸν ὄντα τὸν σπινθῆρα, ὡς ἔφην, τῆς εὐσεβείας τὸ τῶν ἐναντίων πέλαγος· ὁ δὲ οὐ μόνον οὐκ ἐσβέννυτο τούτῳ, ἀλλὰ καὶ μείζων γενόμενος καὶ φαιδρότερος πάντα ἐπῄει ταχέως, τὰ μὲν τῶν ἐχθρῶν καταλύων καὶ ἀναλίσκων εὐκόλως, τὰ δὲ τῶν οἰκείων ἀνιστῶν καὶ πρὸς ὕψος ἄφατον αἴρων, καίτοι ἀνδρῶν εὐτελῶν καὶ ἀσήμων ὑπηρετησαμένων αὐτῷ. Τὸ δὲ αἴτιον οὐκ ἦν τῶν ἁλιέων ἐκείνων οὔτε τὰ ῥήματα οὔτε τὰ θαύματα, ἀλλὰ τῆς εἰς αὐτοὺς ἐνεργούσης δυνάμεως τοῦ Χριστοῦ. Τῶν γὰρ ταῦτα ἐργασαμένων ὁ μὲν ἦν σκηνοποιὸς, ὁ **Παῦλος**, ὁ **Πέτρος** δὲ ἁλιεὺς, καὶ οὐκ ἂν οὕτως εὐτελέσι καὶ ταπεινοῖς πλάσαι τι τοιοῦτον ἐπῆλθέ ποτε, πλὴν εἰ μαίνεσθαί τις αὐτοὺς φαίη καὶ παραπαίειν. Ὅτι δὲ οὐκ ἐμαίνοντο, δῆλον ἐξ ὧν εἰπόντες κατώρθωσαν, καὶ ἐκ τῶν ἔτι καὶ νῦν πειθομένων αὐτοῖς.

Οὐκ ἂν οὖν ποτε τοιαῦτα ἐψεύσαντο, οὐδὲ ἐκόμπασαν ἁπλῶς. Καὶ γὰρ, ὅπερ ἀρχόμενος ἔφην, ὁ μέλλων ἐξαπατᾶν ψεύδεται μὲν, ψεύδεται δὲ οὐχ οὕτως ὡς πᾶσι γενέσθαι καταφανής. Εἰ γὰρ καὶ τῶν πραγμάτων ἐκβεβηκότων, καὶ τοσούτων μαρτυρούντων τῷ τέλει, τῶν τε ἐν ἐκείνοις πιστευσάντων τοῖς χρόνοις καὶ

corrumpuntur, et paulatim dissoluta pereunt. Itaque etsi satanicus iste risus non prorsus a terra deletus est, at quæ jam contigerunt satis sunt ad futurorum confirmandam fidem. Cum enim ita brevi tempore maxima pars eversa jam fuerit, de reliquo nemo postea controversiam movebit. Etenim urbe capta, muris dirutis, prætoriis, theatris, ambulacris exustis, cæsisque omnibus qui florida erant ætate, si quis semiustas porticus videat, paucarum adhuc stantes adhuc partes, aniculas cum parvis puerulis, nequaquam victori, qui summam rei confecit, timuerit, ne quod residuum est perficere non valeat. Piscatorum autem res non ita se habent, sed quotidie magis magisque florent, non per ampla et libera spatia ac per quietem ad nostram usque ætatem deductæ, sed per angustias, bella et prælia. Gentilitas quippe cum ubique terrarum prolata omnium animos occupasset, ita demum, post tantum robur atque incrementum, a Christi virtute soluta est; prædicatio autem nostra non tunc hostes habere cœpit, cum ubique propagata firmiter staret, sed priusquam in auditorum animis deligeretur et fundaretur, ab ipso rei primordio, contra universum terrarum orbem aciem instruere cogebatur (*Ephes* 6. 12), *Contra principatus et potestates, et rectores tenebrarum sæculi hujus, adversus spiritualia nequitiæ*: cum enim scintilla fidei nondum bene accensa esset, tum flumina et abyssi undique influebant. Scitis porro non perinde esse plantam ab innumerabilibus jam annis radices agentem evellere, atque eam quæ nuper insita fuerit. Sed in eo rei statu pietatis scintillam adhuc modicam, ut dixi, inundavit adversariorum pelagus, quæ tamen nedum exstingueretur, major etiam ac splendidior effecta, omnia cito pervadebat, res adversariorum facile devastans ac consumens, suam vero rem erigens atque in immensam tollens altitudinem, etiamsi viri tenues atque obscuri eam administrarent. Nec in causa erant piscatorum hujusmodi verba vel miracula, sed Christi virtus in ipsis operans. Ex illis enim, qui talia patrabant, alter Paulus erat, tentoriorum artifex; alter Petrus piscator: neque tam tenuibus hominibus in mentem venisset unquam rem talem confingere, nisi quis eos insaniisse et mente captos fuisse dicat. Quod autem non insanirent, palam est tum ex iis quæ sermone perfecere, tum ex iis qui etiamnum illis obtemperant.

Numquam igitur talia illi mentiti fuissent, vel gloriabundi jactitassent. Etenim, ut principio dicebam, qui decipere vult, mentitur quidem, sed non ita mentitur, ut ab omnibus deprehendi possit. Nam si, postquam res contigerunt et tam multi earum eventum testificati sunt, tum ex iis qui illis temporibus crediderunt, tum ex iis

τῶν ἐξ ἐκείνου πανταχοῦ ταῦτα ᾀδόντων, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ βαρβάροις καὶ τοῖς ἐκείνων μᾶλλον ἐκτεθηριωμένοις, ὅμως εἰσί τινες μετὰ τοσαῦτα τεκμήρια, καὶ τῆς οἰκουμένης ὡς εἰπεῖν ἅπάσης τὴν μαρτυρίαν, οἳ ἀπιστοῦσι τοῖς γεγενημένοις, καὶ οὐκ οἶδ' ὅπου οὗτοι ἀβασανίστως καὶ ἀνεξετάστως· τίς ἂν παρὰ τὴν ἀρχὴν μήτε πράγματα θεασάμενος, μήτε μαρτυρίας ἀξιοπίστους τούτων ἔχων, ταύτην ἂν τὴν πίστιν ἐδέξατο τῇ ψυχῇ; Τί δὲ ὅλως καὶ ἐπῆρε πλάσαι καὶ συνθεῖναί τι τοιοῦτον αὐτούς; Οὔτε γὰρ λόγων ἰσχύϊ (πῶς γὰρ, ὧν θάτερος οὐδὲ γράμματα ὅλως ἠπίστατο;) οὔτε χρημάτων ἐθάρρουν περιουσίᾳ· καὶ γὰρ τῆς ἀναγκαίας μόλις εὐπόρουν τροφῆς, ἀπὸ τῆς τῶν χειρῶν τέχνης διαζῶντες ἀμφότεροι. Ἀλλ' οὐδὲ ἐπὶ γένους λαμπρότητι παρῆν αὐτοῖς μεγαλοφρονεῖν· τοῦ μὲν γὰρ οὐδὲ τὸν πατέρα ἴσμεν ὅστις ἦν, οὕτως ἦν ἄσημος καὶ ἀφανής· τοῦ Πέτρου δὲ ὄῆλος μέν ἐστιν ὁ πατὴρ, τοσοῦτον δὲ ἔχει θατέρου πλέον, ὅσον τὴν προσηγορίαν αὐτοῦ γνώριμον ἡμῖν ἐποίησαν αἱ Γραφαὶ μόνον, καὶ τοῦτο διὰ τὸν υἱόν. Εἰ δὲ καὶ χώραν τις καὶ ἔθνος ἐξετάζειν βούλοιτο, τὸν μὲν Κίλικα εὑρήσει, τὸν δὲ πόλεως ἀσήμου πολίτην, μᾶλλον δὲ οὐδὲ πόλεως, ἀλλὰ κώμης τῆς ἰσχάτης· ἀπὸ Βηθσαϊδὰ γάρ· τῆς Γαλιλαίας δέ ἐστι χωρίον οὕτω καλούμενον, ἐξ ἧς ὁ μακάριος ἐκεῖνος ἦν. Καὶ τὰς τέχνας δέ τις αὐτῶν ἀκούσας, ὄψεται οὐδὲν μέγα ἐχούσας καὶ σεμνόν· τοῦ μὲν γὰρ ἁλιέως ὁ σκηνοποιὸς τιμιώτερος, τῶν δὲ ἄλλων χειροτεχνῶν καὶ εὐτελέστερος. Πόθεν οὖν, εἰπέ μοι, πόθεν πρᾶγμα τοσοῦτον ὑποκρίνασθαι ἐτόλμησαν; ποίαις ἐπαρθέντες ἐλπίσι; τίνι θαρρήσαντες; ἆρα τῷ καλάμῳ καὶ τῷ ἀγκίστρῳ, ἢ τῇ σμίλῃ καὶ τῷ τρυπάνῳ; Οὐκ ἀπελθόντες ἀπάγξασθέ που ἢ κατακρημνίσατε ἑαυτοὺς τοσαύτην ὀρλιτκάνοντες ἄνοιαν;

Θῶμεν δὲ, εἰ βούλεσθε, καθ' ὑμᾶς καὶ τὸ ἀδύνατον τοῦτο γενέσθαι δυνατὸν, καὶ τὸν μὲν ἀπὸ τῆς λίμνης ἀναλθόντα λέγειν ὅτι Ἡ σκιὰ τοῦ σώματος τοῦ ἐμοῦ νεκροὺς ἀνέστησε, τὸν δὲ ἐκπηδήσαντα τῶν τοῦ σκηνορράφείου δερρῶν, τὰ αὐτὰ δὴ ταῦτα κομπάζειν ἐκείνῳ περὶ τῶν ἱματίων αὐτοῦ· τίς οὕτως ἐμεμήνει τῶν ταῦτα ἀκουόντων, ὡς ψιλοῖς ῥήμασι πιστεῦσαι περὶ πραγμάτων τοιούτων; Διὰ τί δὲ μηδεὶς τῶν κατ' ἐκεῖνον τὸν χρόνον χειροτέχνης ἀνὴρ εἶπέ τι περὶ ἑαυτοῦ τοιοῦτόν ποτε, ἢ ἕτερός τις περὶ αὐτοῦ; Καίτοι εἰ τὰ ἡμέτερα πλάσματα ἦν, τοὺς μετ' ἐκείνους εὐκολώτερον τὰ τοιαῦτα ψεύσασθαι εἰκὸς ἦν. Ἐκεῖνοι μὲν γὰρ οὐκ εἶχον εἰς ἑτέρους ἀνενεγκόντες ὑπὲρ τούτων ἐλπίσαι τοῦ πράγματος περιέσεσθαι· οἱ δὲ μετ' ἐκείνους, εἰς ἐκείνους ὁρῶντες, προχειρότερον ἂν τοῦ πλάσματος κατετόλμησαν, τοῦ παραδείγματος τῶν προτέρων τοῖς δευτέροις παρακελευομένου θαρρεῖν, ὡς οὐδενὸς ἐν τῇ γῇ νοῦν ἔχοντος, ἀλλὰ πάντων ἐξεστηκότων καὶ μεμηνότων, καὶ τοῖς βουλομένοις ἐξὸν ἅπασιν, ἅπερ ἂν θέλωσι περὶ ἑαυτῶν λέγειν τε καὶ πιστεύεσθαι. Ἄῤῥες ταῦτα καὶ γέλως, καὶ μωρίας Ἑλληνικῆς ῥήματα. Καθάπερ γὰρ ἂν εἴ

qui postea hanc ubique celebrarunt, nec apud nos tantum, sed apud barbaros, et apud eos qui ipsis barbaris efferatiores sunt, supersunt tamen quidam, qui post tot signa, et totius, ut ita dicam, orbis testimonium, rebus gestis non credunt, nullo prorsus examine, nulla perquisitione præmissa: quis ab initio, nullis perspectis rebus, nullo fide digno testimonio munitus, hanc fidem animo exceperit? Quid tandem illos induxisset ad tale quidpiam fingendum et comminiscendum? Neque enim dicendi vi fidebant (qui enim id fieri possit, cum alter ne literas quidem nosset?) neque divitiarum copiæ, quibus alimenta necessaria vix suppeterent, et qui diurno opificio victitarent; neque de generis splendore gloriari poterant: alterius enim ne patrem quidem novimus, ita erat obscurus atque ignotus; Petri vero pater quidem notus est, sed id tantum amplius habet, quam alter, quod solam patris appellationem, idque propter filium, Scriptura commemoret. Si regionem quis et gentem explorare velit, alium Cilicem deprehendet, alium ignobilis urbis civem; imo vero non urbis, sed vici infimi incolam: Bethsaidæ enim, vici nempe in Galilæa sic vocati, beatus ille vir incola erat. Artes vero eorum si quis audiat, nihil magnum vel honorabile comperiet: nam piscatore quidem honestior est tentoriorum artifex, cæteris autem artificibus vilior. Undenam, quæso, unde rem tantam simulare ausi fuissent? qua spe elati? cui fidentes? an calamo et hamo? an scalpro et terebræ? Homines insani, annon abscedentes vos strangulabitis, aut præcipites dabitis?

4. Fingamus autem, si placet, rem quæ fieri nequit, fieri revera posse, et eum qui e stagno prodiit dicere: Umbra corporis mei mortuos suscitavit; eum vero qui ex pelliceorum tentoriorum officina exiit, paria de vestimentis suis jactitare: quis auditorum usque adeo mente captus erat, ut circa res tantas nudis verbis fidem haberet? Cur nullus illo tempore artifex quidpiam simile de se ipso, aut alius de illo dixit? Atqui si res nostræ figmenta essent, eos qui postea fuerunt, facilius similia mentituros fuisse verisimile erat. Illi enim priores non poterant exemplo aliorum, qui præcessissent, spem habere circa rei successum; hi vero posteriores, illos intuiti, commentum facilius ausi fuissent, cum priorum exemplum posterioribus fiduciam præberet, quasi nullus in terra mente præditus esset, sed omnes mente capti et insani essent, ita ut cuivis liceret quæcumque vellet de se ipso dicere aliisque persuadere. Nugæ plane, et risu digna sunt gentilitiæ stultitiæ

τις προσχθείη τοξεύειν τὸν οὐρανόν, ὡς διαῤῥήξων αὐτὸν τοῖς αὐτοῦ βέλεσιν, ἢ τὸν Ὠκεανὸν ἐξαντλεῖν, ὡς κενώσων αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν, οὐδεὶς ὅστις οὐ γελάσεται τῶν ἀστειοτέρων αὐτὸν, οἱ δὲ σεμνότεροι καὶ δακρύσονται δάκρυσι πολλοῖς· οὕτως ὅταν ἡμῖν Ἕλληνες ἀντιλέγωσι, γελᾶν αὐτοὺς καὶ δακρύειν καλόν· πολλῷ γὰρ τοῦ τὸν οὐρανὸν τρώσειν ἐλπίζοντος καὶ τὴν ἄβυσσον κενώσειν ἀπορωτέροις ἐπιχειροῦσι πράγμασιν. Οὔτε γὰρ τὸ φῶς ἔσται σκότος ποτὲ, ἕως ἂν ᾖ φῶς, οὔτε ἡ τῶν παρ' ἡμῖν πραγμάτων ἀλήθεια διαλεγχθήσεται· ἀλήθεια γάρ ἐστι· ταύτης δὲ ἰσχυρότερον οὐδέν.

Ὅτι μὲν οὖν καὶ τὰ ἀρχαῖα ἃ ἀκοῇ ἴσμεν, τῶν παρόντων καὶ ὁρωμένων οὐχ ἧττόν ἐστι πιστὰ, πᾶς ὅστις οὖν μὴ παραπαίων καὶ ἐξεστηκὼς ὁμολογήσειεν ἄν· ἵνα δὲ καὶ ἐκ περιουσίας τὴν νίκην ἀρώμεθα, βούλομαι καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς γενόμενόν τι παράδοξον εἰπεῖν. Ἀλλὰ μὴ θορυβηθῆτε εἰ θαῦμα ὑποσχόμενος ἐρεῖν ἐφ' ἡμῶν γεγονὸς, εἶτα ἐκ παλαιᾶς ἱστορίας ἄρχομαι τοῦ διηγήματος ὑφαίνειν τὴν ἀρχήν. Οὔτε γὰρ μέχρις ἐκείνων στήσομαι μόνον, οὔτε ἀλλότρια τῆς νέας ὑποθέσεως ἐρῶ τὰ παλαιά· ἀλλήλων γὰρ ἑκάτερα ἔχεται, καὶ διαζευχθῆναι τὴν ἀκολουθίαν αὐτῶν οὐκ ἔνι· εἴσεσθε δὲ καλῶς αὐτῶν τῶν πραγμάτων ἀκούσαντες.

Ἐγένετό τις βασιλεὺς ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων, καὶ τὰ μὲν ἄλλα ὁποῖός τις ἦν οὗτος ὁ βασιλεὺς, οὐκ ἔχω λέγειν· τὸ δὲ ἄγος ὅπερ ἐτόλμησεν ἀκούσαντες εἴσεσθε καὶ περὶ τῆς λοιπῆς τῶν τρόπων ὠμότητος. Τί οὖν τὸ ἄγος ἦν; Ἔδοξέν ἔθνει τινὶ τῶν ἐκείνῳ πολεμούντων τῷ βασιλεῖ καταλῦσαι τὸν πόλεμον, καὶ μήτε ἑτέρους κόπτειν, μήτε αὐτοὺς ὑπὸ ἑτέρων κόπτεσθαι τοῦ λοιποῦ, ἀλλὰ πραγμάτων μὲν ἀπηλλάχθαι καὶ κινδύνων καὶ φόβων, στέργειν δὲ τοῖς ὑπάρχουσι, καὶ μηδὲν πλέον τῶν ὄντων ἐπιζητεῖν· κρεῖττον γὰρ εἶναι μετὰ ἀφοβίας ἀπολαύειν μετρίων, ἢ τοῦ πλείονος ἐφιεμένους διδοικέναι καὶ τρέμειν ἀεὶ, καὶ κακὰ αὐτούς τε ἑτέροις διδόντας καὶ παρ' ἑτέρων λαμβάνοντας ζῆν. Δόξαν δὴ καταθέσθαι τὸν πόλεμον, καὶ τὸν ἀπράγμονα βίον ζῆν, ἔδοξεν ἰσχυρῷ τινι θεσμῷ καὶ ὅροις ἀσφαλέσι τοῦτο καταδῆσαι τὸ καλόν· καὶ ποιησάμενοι συνθήκας, καὶ λαβόντες ὅρκους καὶ δόντες, ἐκ περιουσίας ἐπεχείρουν πείθειν τὸν βασιλέα τὸν αὐτῶν, τὸν υἱὸν τὸν αὐτοῦ (παιδίον δὲ ἦν κομιδῇ) τῆς εἰρήνης ἐνέχυρον καταθέντα ἀσφαλὲς, τοῖς τε πρότερον πολεμίοις οὖσι παρέχειν θαῤῥεῖν, τῆς τε οἰκείας γνώμης μαρτύριον ἐξενεγκεῖν, ὡς ἀδόλως τὴν εἰρήνην πεποιημένου πρὸς αὐτούς. Καὶ ταῦτα λέγοντες ἔπεισαν, καὶ ἐξέδωκε τὸν υἱὸν ὁ βασιλεὺς, ὡς μὲν αὐτὸς ᾤετο, τοῖς φίλοις καὶ συμμάχοις, ὡς δὲ τὸ τέλος ἔδειξε, τῷ πάντων ἀπηνεστάτῳ θηρίῳ. Λαβὼν γὰρ νόμῳ φιλίας καὶ συνθηκῶν τὸ παιδίον ἐκεῖνο τὸ βασιλικὸν, πάντα ὁμοῦ κατεπάτησε καὶ ἀνέτρεψε, τοὺς ὅρκους, τὰς συνθήκας τὸν πρὸς ἀνθρώπους αἰδῶ. τὸν πρὸς τὸ

verba. Quemadmodum enim si quis cælum sagittis impetere velit, quasi telis ipsum dirupturus; aut Oceanum haurire, quasi manibus evacuaturus illum, ex urbanioribus nemo erit quin rideat, ex gravioribus nemo non id effusis lacrimis deplorabit: sic cum nobis gentiles contradixerint, par est eos irridere ac deplorare: rem enim magis arduam suscipiunt, quam qui vel cælum confodere vel abyssum evacuare se posse speraverit. Neque enim lux umquam obscura erit, donec lux erit, neque nostrarum rerum veritas confutabitur: veritas quippe est, qua nihil validius.

Quod igitur vetera illa, quæ aure percipimus, non minus credibilia sint, quam ea quæ nunc præsentia cernimus, quivis non mente captus et insanus confiteatur; ut autem victoriam cumulatius referamus, rem admirandam, ætate nostra gestam, referam. At ne turbemini, si miraculum nostra ætate editum narraturum me pollicitus, ex veteri historia narrationem ordiar: neque enim his solum consistam, neque novo argumento aliena vetera referam: nam utraque mutuo hærent, nec licet eorum seriem disjungere, ut auditis rebus comperietis.

5. Erat quis Imperator majorum nostrorum ævo, qui qualis in cæteris fuerit, dicere nequeo: at audito scelere, quod aggredi est ausus, reliquam morum immanitatem cognoscetis. Quodnam igitur scelus illud? Genti cum illo bellum gerenti visum fuerat bellum solvere mutuarumque cædium finem facere, res componere, pericula et formidines sedare, suis se rebus continere, neque his ampliores expetere: præstare enim mediocribus sine formidine frui, quam majoribus inhiantes in metu ac timore degere semper, malaque cæteris inferentes, ab illis vicissim accipere. Cum autem constitutum illis esset, bello prorsus deposito, quietam transigere vitam: visum est firma pactione validisque conditionibus pacem stabilire. Tum fœdere facto, dato acceptoque juramento, regi præterea suo suadere conantur, filium suum admodum puerum, in solidum pacis pignus traditum iis qui prius hostes erant, fiduciam præstare posse, simulque propositi sui testimonium exhibere, quod nempe sine dolo pacem cum ipsis fecerit. Qua oratione rex adductus filium dedit, ut quidem existimabat ille, amicis et sociis; ut vero rei exitus probavit, feræ omnium immanissimæ. Nam cum amicitiæ et fœderis lege puerum regium accepisset, omnia simul conculcavit et evertit, juramenta, fœdera hominum reverentiam, pie-

Θεῖον αὐλάβειαν, τὸν ἀπὸ τῆς ἡλικίας ἔλεον· καὶ οὔτε ἡ νεότης τὸ θηρίον ἐπέκαμψεν, οὔτε ἡ παρεπομένη τοῖς τοιούτοις μιάσμασι δίκη τὸν ἄγριον ἐκεῖνον ἐφόβησεν, οὔτε τὰ τοῦ παρακαταθεμένου πατρὸς αὐτὸν εἰσῆλθε ῥήματα, ἅπερ ἐκεῖνος τὸν υἱὸν ἐγχειρίζων ἴσως ἐκέσκηπτεν, ἐν ἐπιμελείᾳ τε αὐτὸν ἔχειν ἀξιῶν πολλῇ, καὶ πατέρα αὐτὸν ἐπιφημίζων τῷ παιδί, καὶ ὡς αὐτὸν γεγεννηκότα, οὕτω τρέφειν καὶ παιδεύειν παρακαλῶν, καὶ τῆς τῶν οἰκείων προγόνων εὐγενείας ἄξιον ἀποφαίνειν· καὶ μετὰ τούτων τῶν ῥημάτων τὴν δεξιὰν τοῦ παιδὸς τῇ δεξιᾷ τοῦ φονέως ἐντιθεὶς, καὶ μετὰ δακρύων διαλυόμενος· τούτων οὐδὲν εἰς νοῦν ὁ μιαρὸς ἐκεῖνος ἔβαλετο, ἀλλὰ πάντα ῥίψας ἀθρόως ἀπὸ τῆς ψυχῆς, τὸν φόνον ἐκεῖνον τὸν πάντων ἐναγέστατον τῶν φόνων ἠργάζεται. Τοῦτο γὰρ καὶ παιδοκτονίας χεῖρον τὸ μίασμα· καὶ μάρτυρες ὑμεῖς, οἱ οὐκ ἂν οὕτως ἀλγήσαντες, εἴπερ τοῖς ἐμοῖς πάθεσι καὶ τὰ ὑμέτερα στοχάζεσθαι χρὴ, εἰ τὸν υἱὸν ὅτι κατέσφαξεν ἠκούσατε τὸν ἑαυτοῦ· τότε μὲν γὰρ μετὰ τῶν κοινῶν νόμων καὶ οἱ τῆς φύσεως ἐδόκουν ἀνατετράχθαι θεσμοί· ἐνταῦθα δὲ πολλὰ ὁμοῦ συνδεδράμηκεν, ἃ καὶ τῆς φυσικῆς ἀνάγκης ἰσχυρότερα τῷ πλήθει γίνεται. Ὅταν γὰρ ἐννοήσω τὸ μειράκιον τὸ μηδὲν ἠδικηκὸς, τὸ παρὰ τοῦ πατρὸς ἐκδοθὲν, τὸ τῶν προγονικῶν βασιλείων ἀποσπασθὲν, καὶ τῆς οἰκείας τρυφῆς καὶ δόξης καὶ τιμῆς ἀλλαξάμενον τὴν ἐν ἀλλοτρίᾳ διαγωγὴν, ἵνα ἐξῇ τῷ μιαρῷ θαῤῥεῖν ἐκείνῳ περὶ τῶν συνθηκῶν, εἶτα ὑπ' αὐτοῦ κατεργασθὲν, καὶ τῶν οἴκοι λαμπρῶν δι' αὐτὸν ἀποστερηθὲν, καὶ ὑπ' αὐτοῦ πάλιν ἀποσφαχθὲν, ἐναντίον τι πάσχω πάθος, τηκόμενός τε ὁμοῦ τὴν ψυχὴν καὶ ἐξοιδῶν, τὸ μὲν τοῦ θυμοῦ, τὸ δὲ τῆς ἀθυμίας ἐργαζομένης. Ὅταν μὲν γὰρ ἐννοήσω τὸν μιαρὸν ἐκεῖνον ὁπλιζόμενον, καὶ τὸ ξίφος ἀνατείνοντα, καὶ τὴν δειρὴν κατέχοντα τοῦ παιδὸς, καὶ τὴν δεξιὰν, ᾗ τὴν παρακαταθήκην ἐδέξατο, ταύτῃ κατ' αὐτῆς εὐθοῦντα τὸ ξίφος, διαῤῥήγνυμαι καὶ ἀποπνίγομαι τῷ θυμῷ· ὅταν δὲ πάλιν ἴδω τὸν νέον δεδοικότα καὶ τρέμοντα, καὶ οἰμώττοντα τὰς ἰσχάτας οἰμωγὰς, καὶ τὸν πατέρα ἀνακαλοῦντα, καὶ τούτων αἴτιον αὐτὸν γεγενῆσθαι λέγοντα, καὶ τὴν σφαγὴν οὐ τῷ βαπτίζοντι τὸ ξίφος εἰς τὸν λαιμὸν, ἀλλὰ τῷ γεγεννηκότι λογιζόμενον, καὶ μὴ δυνάμενον ἐκφυγεῖν, μηδὲ ἐπαμῦναι ἑαυτῷ, ἀλλ' ἀνήνυτα λοιπὸν τῷ φυσαμένῳ μεμφόμενον, καὶ δεχόμενον τὴν πληγὴν, καὶ σπαίροντα καὶ λακτίζοντα τοὔδαφος, καὶ τὴν γῆν τοῖς τῶν αἱμάτων μολύνοντα ῥουνοῖς, διακόπτομαι τὰ σπλάγχνα, καὶ σκοτοῦμαι τὸν λογισμὸν, καί μού τις ἀχλὺς ἀθυμίας καταχεῖται τοῖς ὀφθαλμοῖς.

Ἀλλ' οὐχ ὁ θὴρ ἐκεῖνος ἔπαθέν τι τοιοῦτον οὐδὲν, ἀλλ' ὅσπερ τι ἀρνίον καταθύειν μέλλων ἢ μόσχον, οὕτω διετέθη πρὸς τὴν μιαρὰν ἐκείνην σφαγήν. Καὶ ὁ μὲν παῖς ἔκειτο νεκρὸς δεξάμενος τὴν πληγὴν, ὁ δὲ σφαγεὺς ἐκαγχάζετο τῷ μιάσματι, τοῖς δευτέροις τὰ πρότερα ἐπακρύψαι φιλονεικῶν. Τάχα μέ τις οἴεται τι περὶ τῆς ταφῆς ἐρεῖν, καὶ ὅτι μετὰ τὴν σφαγὴν οὐδὲ βραχείας

tatem erga Deum, ætatis commiserationem : non juventus belluam flexit, non ea quæ hujusmodi scelera sequi solet ultio trucem hominem deterruit; non patris filium deponentis verba animum subiere, quæ dum in manibus traderet fecerat, rogans eum, ut in magna cura haberet, se filio ipsum constituere patrem quasi ab se genito, obsecrans ut eum ita enutriret educaretque, et majorum suorum nobilitate dignum redderet; inter hæc verba dextram pueri homicidæ dextræ junxit, et perfusus lacrimis abcessit. Horum ille scelestissimus nihil in animo recepit, sed iis omnibus simul excussis, eadem omnium cædium immanissimam perpetrat. Hoc enim flagitium proprii filii cæde atrocius est : vos testes appello, qui non ita doluissetis, si quidem ex meo affectu vestrum metiri licet, si audissetis ipsum filium occidisse suum : tunc enim cum communi lege naturalis quoque lex subverti videretur; hic autem plurima simul concurrerunt, quæ præ multitudine naturali necessitate fortiora sint. Quoties enim mecum reputo puerulum, qui nihil injuriæ fecerat, a patre traditum, a majorum suorum regia abductum, qui domesticas delicias, gloriam, honorem, cum extranea educatione commutaverat, ut pactionibus initis scelestus ille fidere posset : ab ipso postea male affectum, splendore paternæ domus ejus gratia privatum, ab eodemque demum interfectum, contraria patior, simul animo contabescens et exæstuans, quorum aliud ira, aliud mœstitia parit. Cum enim cogito sceleratum illum armatum, gladiumque vibrantem, pueri collum apprehendentem, et qua dextera depositum receperat, eadem gladium in illud intendentem, disrumpor atque ira præfocor; rursus cum juvenem conspicio formidantem, trementem, extremisque gemitibus ejulantem, patrem inclamantem horumque causam esse dicentem, ac cædem non ei qui gladium in guttur infigeret, sed parenti imputantem, neque fugere neque se ulcisci posse, sed frustra parentem incusare, plagam excipere, palpitare, calcibus pavimentum ferire, terram sanguineis rivis inquinare : ipsa mihi viscera discerpuntur, cogitatio obtenebratur, ac mœstitiæ caligo quædam oculis offunditur.

At fera illa nihil simile passa est; sed ac si agnus vel vitulus sibi mactandus esset, sic ad nefariam illam cædem affectus erat. Et puer quidem plaga recepta jacebat mortuus : homicida vero sceleri magis instabat, posterioribus priora obtegere curans. Fulat fortasse quispiam me de sepultura loquuturum esse, dicturumque, defuncto ne

τῷ φονευθέντι μετέδωκε γῆς· ἐγὼ δέ τι τούτου τολμηρότερον ἕτερον ἐρῶ. Τὰς γὰρ ἀνόμους χεῖρας ἐκείνας τοιούτῳ μολύνας αἵματι, καὶ τὴν καινὴν ἐργασάμενος τραγῳδίαν, ὡς οὐδὲν ὅλως τετολμηκὼς ὁ ἀναιδὴς, καὶ πετρῶν αὐτῶν σκληρότερος, πρὸς τὴν ἐκκλησίαν ἠπείγετο τοῦ Θεοῦ. Καὶ ἴσως τινὲς θαυμάζουσι, πῶς οὐκ ἐπλήγη θεηλάτῳ πληγῇ τοιαῦτα τολμῶν, ἢ πῶς οὐκ ἐπαφῆκεν αὐτῷ σκηπτὸν ἄνωθεν ὁ Θεὸς, καὶ πρὸ τῆς εἰσόδου τὴν ἀναίσχυντον ὄψιν κατέφλεξε τῷ κεραυνῷ· ἐγὼ δὲ εἴ τινες ἔλαβον τοῦτον τὸν λογισμὸν, ἐπαινῶ μὲν αὐτοὺς καὶ θαυμάζω τῆς πυρώσεως, λείπειν δὲ αὐτῶν οὐ μικρὸν τῷ θαύματι τούτῳ καὶ τοῖς ἐπαίνοις φημί. Δικαίαν μὲν γὰρ τὴν ἀγανάκτησιν ἔσχον ὑπέρ τε τοῦ οὐκ ἐν δίκῃ καταχοπέντος παιδὸς, ὑπέρ τε τῶν τοῦ Θεοῦ νόμων οὕτως ὑβρισθέντων ἰταμῶς, ἀλλὰ τῷ θυμῷ ζέοντες οὐ συνεῖδον ὅσον ἐχρῆν· τοῦ γὰρ δικαίου τούτου νόμος ἕτερος ἀνώτερος πολλῷ κεῖται ἐν τοῖς οὐρανοῖς. Τίς οὖν ἐστιν ὁ νόμος; Τοῖς ἡμαρτηκόσι μὴ κατὰ πόδας τὴν τιμωρίαν ἐπάγειν, ἀλλ' ἐνδιδόναι τῷ πεπλημμεληκότι χρόνους καὶ προθεσμίαν, ὥστε τὸ πλημμεληθὲν ἀποδύσασθαι, καὶ διὰ τῆς μετανοίας ἐξισωθῆναι τοῖς οὐδὲν εἰργασμένοις δεινόν· ὅπερ καὶ τότε ἐνεδείξατο εἰς τὸν δεῖλαιον ἐκεῖνον ὁ Θεός· ἐγίνετο δὲ πλέον οὐδὲν, ἀλλ' ἔμενεν ἀδιόρθωτος. Ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο προειδὼς, οὐδὲ οὕτως ὑπερεῖδεν αὐτὸν, οὐδὲ ἐνέλιπε τὰ παρ' ἑαυτοῦ ποιῶν, ἀλλ' αὐτὸς μὲν καὶ ἐπεσκόπησε κάμνοντα, καὶ τὰ πρὸς ὑγίειαν ἔπραξεν· ἐκεῖνος δὲ οὐκ ἠθέλησε τὸ φάρμακον δέξασθαι, ἀλλὰ καὶ τὸν ἐπὶ τούτῳ πεμφθέντα συνέκοψεν ἰατρόν. Τὸ δὲ φάρμακον καὶ ὁ τῆς ἰατρείας τρόπος τοιοῦτος ἦν.

Ἔτυχε κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν τὸ ἀπηνὲς τοῦτο δρᾶμα ἐτολμᾶτο καὶ ἐλεεινὸν, ἀνὴρ τινὰ μέγας καὶ θαυμαστὸν, εἴ γε δεῖ αὐτὸν ἄνδρα καλεῖν, τῆς ποίμνης ἐπιμελεῖσθαι τῆς παρ' ἡμῖν· Βαβυλᾶς ἦν ὄνομα αὐτῷ. Οὗτος τοίνυν τότε τοῦ Χριστοῦ τὴν ἐκκλησίαν τὴν ἐνθάδε ὑπὸ τῆς τοῦ Πνεύματος χάριτος ἐγχειρισθεὶς, τὸν Ἠλίαν καὶ τὸν ἐκείνου ζηλωτὴν τὸν Ἰωάννην ὅτι παρῆλασε μὲν οὐκ ἂν εἴποιμι, μὴ καὶ λίαν φορτικὸν τὸ λεγόμενον ᾖ, ἔρθασεν δὲ οὕτως, ὡς μηδὲ τὸ τυχὸν ἀπολειφθῆναι τῆς ἐλευθερίας τῶν γενναίων ἐκείνων ἀνδρῶν. Οὐ γὰρ τετράρχην πόλεων ὀλίγων, οὐδὲ ἑνὸς ἔθνους βασιλέα, ἀλλὰ τὸν τὸ πλεῖστον μέρος τῆς οἰκουμένης ἁπάσης κατέχοντα, αὐτὸν δὴ τοῦτον τὸν ἀνδροφόνον, καὶ πολλὰ μὲν ἔθνη, πολλὰς δὲ πόλεις καὶ στρατιὰν ἄπειρον κεκτημένον, καὶ πάντοθεν ὄντα φοβερὸν, ἀπό τε τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπό τε τῆς τῶν τρόπων θρασύτητος, ὡς ἀνδράποδον εὐτελὲς καὶ οὐδενὸς ἄξιον λόγου, οὕτω τῆς ἐκκλησίας ἐξέβαλε μετὰ τοσαύτης ἀταραξίας καὶ ἀφοβίας, μεθ' ὅσης ἂν ποιμὴν πρόβατον ψώρας ἐμπεπλησμένον καὶ νενοσηκὸς τῆς ποίμνης ἀπείρξειε, κωλύων εἰς τὰ λοιπὰ διαβῆναι τὴν νόσον τοῦ κάμνοντος. Καὶ ταῦτα ἔπραττεν, ἔργῳ τὸν τοῦ Θεοῦ λόγον βεβαιῶν, ὅτι μόνος δοῦλός ἐστιν ὁ τὴν ἁμαρτίαν ποιῶν, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ

tantillum quidem terræ interfectorem dedisse : ego vero atrocius aliud dicam. Nam cum iniquas manus tali sanguine fœdasset, novamque tragœdiam exhibuisset, ac si nihil perpetrasset impudens ille, ipsis petris durior, ad ecclesiam Dei concessit. Forte mirantur quidam, cur non immissa de cælo plaga percussus fuerit qui talia ausus esset, aut cur non Deus eum fulmine ferierit, ut ante ingressum os illud impudens igneo ictu conflagraret. Ego vero si quibus hæc cogitatio animum subiit, laudo eos et æstum eorum admiror; attamen eorum laudibus et admirationi non minimum quidpiam deesse puto. Justa quippe indignatione commoti sunt, tum super injuste caso puero, tum super Dei legibus ita temere violatis; sed ira ferventes non quantum opus erat perspexerunt : justitia enim hæc lex alia longe superior in cœlis est. Quænam igitur hæc lex? Ne peccatoribus protinus ultio inferatur, sed delinquenti tempus detur et induciæ, ut delictum possit excutere, et per pœnitentiam iis qui nihil mali admiserunt æquari : quod tunc in nefario illo demonstratum est; nihil vero profecit, sed sine emendatione mansit. Deus certe benignus cum sit, hoc prospiciens, ne ita quidem contemsit illum, nec quæ a se erant facere desiit; sed illum et ægrum visitavit, et ejus restaurandæ sanitati studuit. Ille vero remedium accipere noluit; imo ad hoc missum medicum concidit. Medicina porro et medicinæ modus hujusmodi erat.

6. Eo tempore quo drama illud et facinus immane miserandumque agebatur, fuit vir magnus et mirabilis, si tamen fas sit illum appellare virum, qui hujus gregis curam gerebat, nomine Babylas. Hic itaque, cui hæc Christi Ecclesia a Spiritus gratia concredita fuerat, quod Heliam ejusque æmulum Joannem antecelleret non dixerim, ne quid molestius proferam, sed ita attigit, ut ne tantillum quidem generosis ejusmodi viris inferior esset. Neque enim paucarum urbium tetrarcham, neque gentis unius regem, sed eum, qui maximam orbis partem teneret, hunc ipsum scilicet sanguinarium, qui plurimas gentes, multas urbes, immensum exercitum moderabatur, atque omni ex parte formidabilis erat, ab imperii magnitudine, a morum ferocitate, quasi vile ac nullius pretii mancipium, ab ecclesia expulit cum tanta firmitate animique constantia, quanta pastor scabiosam et morbidam ovem a grege arceat, cohibens ne morbus ejus cæteras oves afficiat. Id vero fecit Dei verbum confirmans, nempe servum esse solum eum qui peccatum faciat, quamvis sexcentas capite co-

στεφάνους, κἂν ἁπάντων δοκῇ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων κρατεῖν· ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, κἂν ἐν τῇ τῶν ὑπηκόων καταλέγηται τάξει, πάντων ἐστὶ βασιλέων βασιλικώτερος. Αὐτίκα γοῦν τὸν ἄρχοντα διέταττεν ὁ ἀρχόμενος, καὶ τῷ κρατοῦντι πάντων ἔκρινεν ὁ ὑπήκοος, καὶ τὴν καταδικάζουσαν αὐτὸν ψῆφον ἔφερε.

Σὺ δὲ ταῦτα ἀκούων μὴ παρέλθῃς ἁπλῶς τὸ λεχθέν· ἱκανὸν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ τοῦτο ἀπαγγελθὲν, ὅτι τὸν βασιλέα τῶν τῆς ἐκκλησίας προθύρων ἐξήλασε τῶν ὑπὸ τὴν ἀρχὴν ὄντων τις τὴν αὐτοῦ, διαναστῆσαι καὶ ἐκπλῆξαι τὴν τῶν ἀκουόντων ψυχήν. Εἰ δὲ βούλει τὸ θαῦμα ἅπαν καταμαθεῖν ἀκριβῶς, μὴ ψιλῷ τῷ ῥήματι πρόσεχε, ἀλλ' ὑπόγραψον τοὺς δορυφόρους, τοὺς ὑπασπιστὰς, τοὺς στρατηγοὺς, τοὺς ἄρχοντας, τοὺς ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφομένους, τοὺς ἐπὶ τῶν πόλεων τεταγμένους, τὸν τῦφον τῶν προηγουμένων, τῶν ἑπομένων, τῶν σοβούντων τὸ πλῆθος, τὴν ἄλλην θεραπείαν ἅπασαν· εἶτα αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλοῦ μὲν ἐπιβαίνοντα τοῦ φρονήματος, σεμνότερον δὲ ἀπὸ τῶν ἱματίων φαινόμενον, καὶ τῆς ἀλουργίδος, καὶ τῶν λίθων τῶν πανταχοῦ διεσπαρμένων κατὰ τὴν δεξιὰν, κατὰ τὴν συμβολὴν τῆς χλανίδος, τῶν ἀπὸ τοῦ διαδήματος ἐξ αὐτῆς ἀστραπτόντων τῆς κεφαλῆς. Καὶ μηδὲ μέχρι τούτου στήσῃς τὴν εἰκόνα, ἀλλ' ἔκτεινον αὐτὴν καὶ ἐπὶ τὸν τοῦ Θεοῦ δοῦλον, τὸν μακάριον Βαβυλᾶν, καὶ τὸ σχῆμα τὸ ταπεινὸν, καὶ ἐπὶ τὴν στολὴν τὴν ἰδιωτικὴν, καὶ τὴν συντετριμμένην ψυχὴν, καὶ τὸ θράσους ἀπηλλαγμένον φρόνημα· καὶ οὕτως ἀμφοτέρους διαγράψας καὶ ἀντιθείς, τότε γνώσῃ τὸ θαῦμα καλῶς, μᾶλλον δὲ οὐδὲ οὕτως ἐπιλήψῃ τῆς ἀκριβείας αὐτῆς· τὴν γὰρ παῤῥησίαν ἐκείνην λόγος μὲν οὐδεὶς οὐδὲ ὄψις παραστῆσαι δύναιτ' ἄν, ἡ πεῖρα δὲ μόνη καὶ ἡ χρῆσις αὐτῆς. Καὶ τὸ παράστημα δὲ τῆς τοῦ γενναίου ψυχῆς μόνος ἐκεῖνος δύναιτ' ἂν εἰδέναι καλῶς, ὁ συνηθεὶς εἰς τὴν αὐτὴν αὐτῷ τῆς παῤῥησίας φθάσαι κορυφήν. Πῶς γὰρ προσῆλθεν ὁ γέρων; πῶς τοὺς δορυφόρους διέκοψε; πῶς τὸ στόμα διῆρε; πῶς ἐφθέγξατο; πῶς ἐπετίμησε; πῶς τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισε τὸ φλεγμαῖνον ἔτι τῷ θυμῷ καὶ ζέον τῷ φόνῳ; πῶς ἀπώσατο τὸν ἀνθρφόνον; Οὐδὲν αὐτὸν τῶν ὁρωμένων κατέπληξε καὶ τῆς προθέσεως ἐξέκρουσεν. Ὦ ψυχῆς ἀκαταπλήκτου καὶ διανοίας ὑψηλῆς· ὦ φρενῶν οὐρανίων καὶ παραστήματος ἀγγελικοῦ. Ὥσπερ γὰρ ἐν τοίχῳ γεγραμμένην ἅπασαν τὴν φαντασίαν ἐκείνην ὁρῶν, οὕτως ἀταράχως ἅπαντα ἔπραττεν ὁ γενναῖος ἀνήρ. Καὶ γὰρ ἦν πεπαιδευμένος ἀπὸ τῶν θείων δογμάτων, ὅτι σκιὰ καὶ ὄναρ καὶ τούτων οὐδαμινώτερα ἅπαντα τὰ τοῦ κόσμου πράγματα. Διὰ τοῦτο οὐδὲν αὐτὸν τούτων καταπτῆξαι ἐποίησεν, ἀλλὰ καὶ μᾶλλον ἐθάῤῥυνεν. Ἡ γὰρ ὄψις ἐκείνη τῶν ὁρωμένων τὴν διάνοιαν παρέπεμπεν ἐπὶ τὸν ἄνω βασιλέα τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ καὶ βλέποντα ἀβύσσους, ἐπὶ τὸν θρόνον τὸν ἔνδοξον καὶ ὑψηλὸν, ἐπὶ τὴν στρατιὰν τὴν οὐράνιον,

ronas gestet, quamvis universis totius orbis hominibus imperare videatur : illum vero qui nullius peccati sibi conscius sit, etsi inter subditos locum habeat, plus quam reges omnes regnare existimandum esse. Statim ergo imperanti præcepit subditus, et de omnium moderatore judicium tulit, atque damnationis sententiam emisit.

Tu vero dum hæc audis, ne dictum obiter prætereas. Nam vel hoc per se solum, si narratur, quod imperatorem subditus quispiam ab ecclesiæ vestibulo ejecerit, sufficit ad auditorum animos excitandos percellendosque. Si vis autem totum miraculum diligenter ediscere, ne simplici dictioni attendas, sed tecum reputa satellites, scutatos, tribunos, duces, omnes qui in regia versantur, eos qui civitatibus præficiuntur, fastum præeuntium, sequentium, abigentium multitudinem, ceterumque famulatum omnem. Deinde ipsum imperatorem in medio, ingenti cum fastu ingredientem, qui gravior videatur ex vestibus, ex purpura, ex gemmis tum undique sparsis in dextra, ad commissuram lænæ, tum ex diademate in ipso capite fulgentibus. Neque huc usque imaginem sistas, sed eam usque ad servum Dei beatum Babylam extendas, ejusque humilem habitum, amictum vulgarem, animum contritum, sensum ab omni audacia alienum; et cum ambos sic descripseris mutuoque contuleris, tunc rem illam mirabilem probe cognosces; imo ne sic quidem accurate comprehendes : illam quippe loquendi libertatem nec sermo nec conspectus representare potest, sed sola experientia et usus. Porro imperturbatum ejus animum ille solus probe nosse possit, qui idem cum illo fiduciæ culmen attingere valeat. Quomodo enim senex ille accessit? quomodo satellites trajecit? quomodo os aperuit? quomodo loquutus est? quomodo corripuit? quomodo dextram imposuit pectori illi adhuc intumescenti atque cæde ferventi? quomodo homicidam repulit? Nihil rerum gestarum eum exterruit et a proposito deduxit. O animum imperterritum, mentemque sublimem! o cæleste pectus et constantiam angelicam! Ac si enim pompam illam in muro depictam conspiceret, sic intrepide omnia generosus vir perfecit. Erat enim divinis his dogmatibus institutus, quod scilicet umbra et somnium hisque inaniora sint hujus mundi negotia. Ideo nihil eorum ipsum exterruit, imo fiduciam omnia indidere : illarum quippe rerum aspectus ejus mentem transmittebat ad supernum regem, qui sedet super Cherubim et intuetur abyssos, ad thronum gloriosum et excelsum, ad cælestem

ἐπὶ τὰς μυριάδας τῶν ἀγγέλων, ἐπὶ τὰς χιλιάδας τῶν ἀρχαγγέλων, ἐπὶ τὸ βῆμα τὸ φοβερὸν, ἐπὶ τὸ κριτήριον τὸ ἀδέκαστον, ἐπὶ τὸν τοῦ πυρὸς ποταμὸν, ἐπὶ τὸν κριτὴν αὐτόν. Διά τοι τοῦτο ὅλον ἑαυτὸν μεταστήσας ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, ὡς ἐκείνῳ τῷ δικαστῇ, παρεστὼς, καὶ αὐτοῦ κελεύοντος ἀκούων τὸν ἐναγῆ καὶ μιαρὸν τῆς ἱερᾶς ἀγέλης ἐξωθεῖν, οὕτως ἐξέβαλλε, καὶ τῶν λοιπῶν προβάτων ἀφώριζε, καὶ πρὸς οὐδὲν ἐπεστρέφετο τῶν ὁρωμένων καὶ δοκούντων εἶναι φοβερῶν, ἀλλ' ἀνδρείως αὐτὸν μάλα καὶ γενναίως ἀπωσάμενος, παρέστη τυραννουμένοις τοῖς τοῦ Θεοῦ νόμοις. Καίτοι πόσῃ περὶ τοὺς λοιποὺς αὐτὸν παῤῥησίᾳ κεχρῆσθαι εἰκός; Ὁ γὰρ τῷ κρατοῦντι μετὰ τοσαύτης ἐξουσίας προσενεχθεὶς, τίνα τῶν λοιπῶν ἔδεισεν ἄν; Ἐγὼ τὸν ἄνδρα ἐκεῖνον στοχάζομαι, μᾶλλον δὲ οὐ στοχάζομαι, ἀλλὰ πιστεύω, μὴ πρὸς χάριν, μὴ πρὸς ἀπέχθειαν μήτε πρᾶξαι μήτε εἰπεῖν τί ποτε, ἀλλὰ καὶ πρὸς φόβον, καὶ πρὸς τὴν τούτου δυνατωτέραν κολακείαν, καὶ πρὸς τὰ ἄλλα τὰ τοιαῦτα (πολλὰ δὲ τὰ ἀνθρώπινα) γενναίως στῆναι καὶ ἀνδρείως, καὶ μηδὲ μικρόν τι τῆς ὀρθῆς διαφθεῖραι κρίσεως. Εἰ γὰρ στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀπαγγέλλει τὰ περὶ αὐτοῦ, πολλῷ μᾶλλον τὰ τοσαῦτα κατορθώματα πᾶσαν ἡμῖν ἱκανὰ τοῦ λοιποῦ βίου παραδεῖξαι τὴν ἀρετήν· οὐδὲ γὰρ ἐπὶ τῇ παῤῥησίᾳ μόνον αὐτὸν θαυμάζειν χρὴ, ἀλλὰ καὶ ἐπὶ τῷ μέχρι τοσούτου τὴν παῤῥησίαν ἐκτεῖναι, καὶ ἐπὶ τῷ πάλιν μηδὲν προσθεῖναι πλέον αὐτῇ.

Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ σοφία, μήτε ἐλλιπῶς μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, ἀλλὰ πανταχοῦ τὴν συμμετρίαν φυλάττουσα. Καίτοι γε ἐνῆν, εἴπερ ἐβούλετο, καὶ περαιτέρω προελθεῖν. Τῷ γὰρ ἀπαγορεύσαντι τὸ ζῆν (οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθεν, εἰ μὴ τοιούτοις αὐτὸν ὥπλισε λογισμοῖς, μετ' ἐξουσίας ἅπαντα πράττειν) ἐξῆν καὶ ὕβρεσι πλῦναι τὸν βασιλέα, καὶ τὸ διάδημα καθελεῖν τῆς κεφαλῆς, καὶ πληγὰς εἰς τὸ πρόσωπον ἐντεῖναι, ὅτε τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρτισεν. Ἀλλ' οὐδὲν τούτων ἐποίησε· τῷ γὰρ ἅλατι τῷ πνευματικῷ τὴν ψυχὴν ἠρτυμένος ἦν· δι' ὅπερ οὐδὲν ἔπρατεν εἰκῇ καὶ μάτην, ἀλλὰ πάντα κρίσει λογισμῶν ὀρθῇ, καὶ μετὰ καταστάσεως ὑγιοῦς· οὐ καθάπερ οἱ παρ' Ἕλλησι σοφοὶ, οἱ συμμέτρως μὲν οὐδέποτε, πανταχοῦ δὲ, ὡς εἰπεῖν, ἢ πλέον ἢ ἔλαττον τοῦ δέοντος παῤῥησιάζονται, ἵνα ἀνδρείας μὲν οὐδαμοῦ, παθῶν δὲ ἀλογίστων δόξαν λάβωσι πανταχοῦ, ἐν οἷς μὲν ὑστέρησαν, δειλίας, ἐν οἷς δὲ ὑπερέβησαν, ἀλαζονείας καὶ φιλοδοξίας παρὰ πᾶσιν ἁλισκόμενοι. Ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος· οὐ γὰρ ἁπλῶς τὸ ἐπελθὸν ἔπραττεν, ἀλλὰ πάντα βασανίζων ἀκριβῶς, καὶ πρὸς τοὺς θείους νόμους τοὺς λογισμοὺς ἁρμόζων τοὺς ἑαυτοῦ, οὕτως ἐπὶ τὸ πράττειν ἐξήγαγεν αὐτούς. Διὰ τοῦτο καὶ τὴν τομὴν οὔτε ἐπιπόλαιον ἔδωκεν, ὥστε μὴ τὸ πλέον τοῦ νοσοῦντος ἐναπομεῖναι μέρος, οὔτε βαθυτέραν τοῦ δέοντος, ὥστε μὴ τῷ περιττῷ τῆς πληγῆς λυμήνασθαι τὴν ὑγίειαν

exercitum, ad myriadas angelorum, ad millia archangelorum, ad terribile illud tribunal, ad judicium illud sine acceptione personarum, ad fluvium ignis, ad Judicem ipsum. Quapropter se totum a terra in cælum transferens, quasi illi Judici adstaret, ipsumque imperantem audiret, ut nefarium illum ac scelestum ex sacro ovili expelleret, sic ejecit et a reliquis ovibus sequestravit, ad nihil eorum respiciens, quæ videbantur terribilia esse, sed viriliter illum ac generose admodum repellens violatis Dei legibus opem tulit. Atqui quanta erga cæteros fiducia usum illum esse par est? Qui enim imperantem tanta cum potestate aggressus est, quem reliquorum formidaverit? Equidem opinor, imo non opinor, sed credo, virum illum nec ad gratiam nec ad odium quidpiam fecisse vel dixisse unquam; sed adversus timorem, et adversus timore potentiorem adulationem, et alia similia, quæ apud homines multa adsunt, viriliter fortiterque stetisse, ac ne tantillum quidem recti judicii adulterasse. Si enim (*Eccli.* 19. 26) amictus viri, dentium risus, pedum incessus ejus mores arguunt, multo magis cætera ab eo præclare gesta ostendere possunt quantæ in reliqua vita virtutis fuerit: neque enim ob fiduciam solum admirandus ille est, sed quod fiduciam illam eo usque produxerit, tum etiam quod ei nihil ulterius addiderit.

7. Talis quippe est Dei sapientia, quæ nec minus nec plus justo decertare permittat, sed ubique moderationem servet. Atqui ipsi licebat, si voluisset, ultra progredi. Ei enim qui vitæ curam abjecisset (non enim prorsus accessisset, nisi se hujusmodi cogitationibus armavisset, ut omnia cum potestate faceret) licebat et Imperatorem contumeliis aspergere, et diadema de capite detrahere, et pugnis os contundere, quando dextram in pectus impegit. Sed nihil horum fecit: spirituali namque sale conditam habebat animam: quamobrem nihil temere vel frustra egit, sed omnia recto rationis judicio et saniori modo: non quemadmodum gentilium sapientes, qui moderate numquam, sed ubique, ut ita dicam, aut plus aut minus, quam par est, confidentiam exhibent suam, ita ut nusquam fortitudinis, sed irrationabilium affectuum opinionem ubique sibi concilient: ubi minus præstitere, formidinis; ubi excessere, arrogantiæ et vanæ gloriæ apud omnes convicti. At non item beatus ille? non enim temere quod in mentem subiret agebat, sed cunctis accurate examinatis, concinnatisque secundum divinas leges cogitationibus, sic ad opus eas eduxit. Ideoque sectionem non in superficie tantum fecit, ne major pars morbi remaneret; neque profundiorem, quam par erat, ne plagæ excessu sanitatem corrumperet;

πάλιν, ἀλλὰ συμμετρήσας τῷ νοσήματι τὴν πληγήν, οὕτω τὴν ἀρίστην ἰατρείαν εἰργάσατο. Ἐντεῦθεν αὐτὸν καὶ θυμοῦ, καὶ δειλίας, καὶ ἀλαζονείας, καὶ δοξομανίας, καὶ ἀπειρθείας, καὶ φόβων, καὶ κολακείας θαρρούντως ἀπεφηνάμην εἶναι καθαρόν· εἰ δὲ δεῖ τι καὶ παράδοξον εἰπεῖν, οὐχ οὕτω θαυμάζω τοῦ μακαρίου τὸ καταλιμῆσαι τῆς τοῦ κρατοῦντος μανίας, ὡς τὸ συνιδεῖν μέχρι τίνος τοῦτο ποιῆσαι ἐχρῆν, καὶ μηδὲν περαιτέρω μήτε πρᾶξαι μήτε εἰπεῖν. Καὶ ὅτι τοῦτο ἐκείνου θαυμαστότερον, πολλοὺς ἂν εὕροι τις τούτου μὲν περιγεγονότας, ὑπ' ἐκείνου δὲ ἡττηθέντας· τὸ μὲν γὰρ ἁπλῶς παῤῥησιάσασθαι, καὶ τῶν τυχόντων πολλάκις ἐστὶ, τὸ δὲ εἰς δέον καὶ καιρῷ τῷ προσήκοντι, καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς· ἐπεὶ καὶ τὸν μακάριον Δαυὶδ μετὰ πολλῆς τῆς ἐξουσίας ὕβρισεν ὁ Σεμεΐ, καὶ ἄνδρα αἱμάτων ἐκάλεσεν· ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο παῤῥησίαν ἐγὼ, ἀλλὰ γλώττης ἀκολασίαν καὶ θρασύτητα διανοίας, καὶ ἀναγωγίαν, καὶ ἀπόνοιαν, καὶ πάντα μᾶλλον ἢ παῤῥησίαν. Δεῖ γὰρ, οἶμαι, τὸν μέλλοντα εἶναι ἐλεγκτικὸν, θρασύτητος μάλιστα καὶ ἀπονοίας ὡς πορρωτάτω τὴν ἑαυτοῦ ψυχὴν ἀπαγαγεῖν, καὶ τὸ θραστήριον ἐν τῇ φύσει τῶν ῥημάτων καὶ τῶν πραγμάτων ἐπιδείκνυσθαι μόνον. Καὶ γὰρ ἰατρῶν παῖδες, ὅταν τέμνειν τὰ σεσηπότα δέῃ τῶν μελῶν, ἢ τὰ φλεγμαίνοντα κατασταλλειν, οὐκ ὀργῆς πρότερον γεμίσαντες ἑαυτοὺς, οὕτως ἐπὶ τὴν ἰατρείαν ἔρχονται, ἀλλὰ τότε μάλιστα ἐν καταστάσει τῇ προσηκούσῃ σπουδάζουσι φυλάττειν τὸν λογισμὸν, ὥστε μὴ τῇ τέχνῃ λυμήνασθαι τὴν ἐκείνου παραχήν. Εἰ δὲ σώματά τις θεραπεύειν μέλλων τοσαύτης δεῖται γαλήνης, τὸν ψυχὰς ἰατρεύοντα ποῦ τάξομεν, εἰπέ μοι, καὶ πόσην ἀπαιτήσομεν φιλοσοφίαν; Πολλῷ μείζονα δῆλον ὅτι, καὶ τοσαύτην, ὅσην ὁ ἀγαθὸς ἐκεῖνος ἐπεδείξατο μάρτυς. Καθάπερ γάρ τινας ὅρους καὶ κανόνας ἡμῖν τιθεὶς, ἵν' ἐξ ἐκείνων τὰ μέτρα καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν ἀναλογίαν λαμβάνωμεν, οὕτω τὸν δείλαιον ἐκεῖνον ἀπὸ τῶν ἱερῶν περιβόλων ἀπώσατο.

Καὶ δοκεῖ μὲν ἓν κατόρθωμα εἶναι τὸ γεγονός· εἰ δέ τις αὐτὸ διασκέψαιτο καὶ ἀναπτύξας πάντοθεν κατοπτεύσειεν ἀκριβῶς, καὶ δεύτερον, καὶ τρίτον συμπεφυκὸς εὑρήσει καλὸν, καὶ πολὺν τῆς ὠφελείας τὸν θησαυρόν. Ὁ μὲν γὰρ ἀπελαυνόμενος τότε εἷς μόνος ἦν, οἱ δὲ δι' ἐκείνου κερδαίνοντες πολλοί. Ἐξ ἧς γὰρ ἀρχῆς τῆς ὑπὸ τῷ τυράννῳ κειμένης (αὕτη δὲ ἦν τὸ πλεῖστον τῆς οἰκουμένης μέρος) ὅσοιπερ ἂν ἦσαν ἄπιστοι, κατεπλάγησαν καὶ ἐθαύμασαν μαθόντες ὅσης τοῖς ἑαυτοῦ δούλοις ὁ Χριστὸς τῆς παῤῥησίας μετέδωκε, κατεγέλασαν τῆς παρ' αὐτοῖς δουλοπρεπείας καὶ ἀνελευθερίας καὶ ταπεινότητος, εἶδον ὅσον τῆς Χριστιανῶν εὐγενείας πρὸς τὴν Ἑλλήνων αἰσχύνην τὸ μέσον. Οἱ μὲν γὰρ παρ' αὐτοῖς τὴν τῶν ἱερῶν ἐπιμέλειαν ἐγχειρισμένοι, μᾶλλον δεσποτῶν, καὶ τῶν εἰδώλων δὲ αὐτῶν, τοὺς βασιλεῖς θεραπεύουσι, καὶ διὰ τὸν ἐκείνων φόβον καὶ

sed plaga ad morbum attemperata, sic optimam adhibuit medicinam. Hinc illum ira, timiditate, arrogantia, vanæ gloriæ cupidine, odio, metu, adulatione purum esse fidenter pronuntiavi. Quodsi quid inexspectatum dicere opus sit, non tam miror beatum illum quod Imperatoris furorem reprimere ausus sit, quam quod intellexerit qualenus hoc ipsum facere oporteret, nec quidquam ulterius vel fecerit vel dixerit. Quod autem hoc sit illo mirabilius: multos invenire est, qui cum illud fecerint, hoc præstare non potuerunt. Nam cum libertate loqui quilibet sæpe possunt; id ipsum autem tempore, modo, moderatione ac prudentia congruenti præstare, magni admirandique animi est. Quandoquidem beatum David magna cum confidentia contumeliis incessit Semei (2 *Reg.* 16. 5), virumque sanguinum vocavit; at non id ego fiduciam vel libertatem dixerim, sed linguæ potius intemperantiam animique audaciam, contumaciam, arrogantiam, et quidvis potius, quam libertatem. Par est enim, ut puto, eum qui redarguturus est, ab audacia maxime atque arrogantia abstinere, vimque suam in natura tantum verborum et rerum demonstrare. Medici namque cum putrida membra resecare aut æstuantia comprimere opus est, non iræ pleni medicinam aggrediuntur; sed tunc maxime in convenienti statu cogitationem continere student, ne perturbatio animi noceat arti. Quodsi is qui corpus sanare cupit, tanta opus habet animi tranquillitate, animarum medico quid, quæso, faciendum statuemus, et quantam in eo philosophiam requiremus? Longe majorem scilicet, et tantam quantam ille martyr exhibuit. Nobis enim quosdam ceu terminos et regulas ponens, ut inde modum agendi in cæteris proportione quadam metuemur, sic miserum illum a sacro limine repulit.

Ac videtur quidem unum tantum tunc probe gestum opus fuisse; sed si quis illud examinet et undique accurate perpendat, et secundum, et tertium huic insitum, magnumque utilitatis thesaurum reperiet. Nam qui tunc rejiciebatur, unus tantum erat; qui lucrum inde reportarunt, plurimi: siquidem in imperio ejus, quod maximam orbis partem complectebatur, quotquot increduli erant, obstupefacti miratique sunt, ubi didicerunt quantam servis suis Christus loquendi fiduciam indidisset, suam ipsorum illiberalem et abjectam servitutem deriserunt, viderunt quantum inter Christianorum nobilitatem et gentilium turpitudinem discriminis esset. Etenim ii apud illos, quibus sacrorum cura concredita est, plus quam dominos, plus quam idola sua,

τοῖς ξοάνοις αὐτοῖς παρεδρεύουσιν, ὡς τοὺς πονηροὺς δαίμονας τοῖς βασιλεῦσι χάριν ἔχειν τῆς εἰς αὐτοὺς τιμῆς. Αὐτίκα γοῦν ὅταν τινὰ συμβῇ μὴ τὰ ἐκείνων φρονοῦντα ἐπὶ ταύτην ἐλθεῖν τὴν ἀρχήν, εἰσιών τις εἰς τοὺς τῶν εἰδώλων ναοὺς, πανταχοῦ τῶν τοίχων ὄψεται διατεταμένα τὰ τῶν ἀραχνίων ὑφάσματα, καὶ τοσαύτην ἐπικειμένην τῷ ξοάνῳ τὴν κόνιν, ὡς μήτε ῥῖνα μήτε ὀφθαλμὸν μήτε ἄλλο τι τοῦ προσώπου φαίνεσθαι μέρος· τῶν δὲ βωμῶν τῶν μὲν τὰ λείψανα μόνον ἑστηκε, τοῦ πλείονος ἀποθραυσθέντος μέρους, τοὺς δὲ οὕτω βαθεῖα πάντοθεν περιβάλλει πόα, ὡς τὸν ἀγνοοῦντα κοπρίας τινὸς σωρείαν εἶναι νομίζειν τὸ φαινόμενον. Τὸ δὲ αἴτιον, ὅτι πάλαι μὲν αὐτοῖς κλέπτειν ἐξῆν ὅσα ἐβούλοντο, καὶ γαστρίζεσθαι διὰ τῆς τῶν ξοάνων θεραπείας, νῦν δὲ ὑπὲρ τίνος ἑαυτοὺς κόψουσι; Προσεδρεύοντες γὰρ καὶ δαπανώμενοι, παρ' ἐκείνων μὲν οὐδεμίαν προσδοκῶσιν ἀμοιβήν· καὶ γάρ εἰσι ξύλα καὶ λίθοι· τὸ δὲ πεῖθον αὐτοὺς ὑποκρίνεσθαι τὴν θεραπείαν, ἡ παρὰ τῶν κρατούντων τιμή, καὶ αὐτὴ ἀνῄρηται, τῶν βασιλευόντων γενομένων συνετῶν καὶ τὸν τοῦ Θεοῦ προσκυνούντων Υἱόν.

Ἀλλ' οὐ τά γε ἡμέτερα τοιαῦτα, ἀλλὰ πᾶν τοὐναντίον. Ὅταν μὲν γάρ τις ὁμολογῶν ἡμῖν ἐν τῇ περὶ τοῦ Θείου δόξῃ ἐπὶ τὸν βασιλικὸν ἀναβῇ θρόνον, ῥᾳθυμότερα γίνεται τὰ Χριστιανῶν· τοσοῦτον ἀπέχει ταῖς ἀνθρωπίναις ὀρθοῦσθαι τιμαῖς· ὅταν δέ τις κρατήσῃ δυσσεβὴς καὶ πάντοθεν ἡμᾶς ἐλαύνων, καὶ μυρίοις περιβάλλων κακοῖς, τότε εὐδοκιμεῖ καὶ λαμπρότερα γίνεται τὰ καθ' ἡμᾶς, τότε ἀριστείων καὶ τροπαίων καιρὸς, τότε στεφάνων καὶ ἀναῤῥήσεων καὶ πάσης ἀνδραγαθίας ἀφορμή. Εἰ δὲ λέγοι τις ὅτι καὶ νῦν εἰσι πόλεις τὴν ἴσην δεισιδαιμονίαν ἐπιδεικνύμεναι περὶ τὴν τῶν εἰδώλων μανίαν, πρῶτον μὲν εὐαριθμήτους καὶ ὀλίγας ἐρεῖ, πλὴν ἀλλ' οὐδὲ οὕτω τὸν ἡμέτερον βλάψει λόγον. Ἡ γὰρ ὑπόθεσις ἡ αὐτὴ, καὶ ἀντὶ τοῦ κρατοῦντος, τοὺς τὴν πόλιν διοικοῦντας ἔχουσι τὴν ἴσην αὐτοῖς παρεχομένους τιμήν· καὶ τοῦτο αἴτιον τῆς θεραπείας, αἱ κραιπάλαι, καὶ οἱ κῶμοι οἱ μεθ' ἡμέραν, οἱ διὰ πάσης νυκτὸς, οἱ αὐλοὶ καὶ τὰ τύμπανα, τὸ μετὰ πάσης ἀναισχυντίας αἰσχρὰ μὲν εἰπεῖν, πρᾶξαι δὲ αἰσχρότερα· τὸ διαῤῥαγῆναι μὲν ὑπὸ τῆς ἀδηφαγίας, ἐκβακχευθῆναι δὲ ὑπὸ τῆς μέθης, καὶ εἰς τὴν αἰσχίστην μανίαν ἐκπεσεῖν· αὗται αἱ ἀσχήμονες δαπάναι συνέχουσιν ἔτι καὶ διακρατοῦσι διαπίπτουσαν τὴν πλάνην. Οἱ γὰρ εὐπορώτεροι τοὺς διὰ τὴν ἀργίαν ὑπὸ τοῦ λιμοῦ φθειρομένους ἐκλέγοντες, ἐν τάξει παρασίτων καὶ τῶν περὶ τὰς τραπέζας στρεφομένων ἔχουσι κυνῶν, τοῖς λειψάνοις τοῖς ἀπὸ τῶν παρανόμων δείπνων διασπῶντες τὰς γαστέρας τὰς ἀναιδεῖς, καὶ πρὸς ὅπερ ἂν θέλωσιν αὐτοῖς χρώμενοι. Ἡμεῖς δὲ καθάπαξ τὴν ὑμετέραν ἀλογίαν καὶ παρανομίαν μισήσαντες, τοὺς μὲν ἀργοῦντας καὶ διὰ τοῦτο πεινῆν ἀναγκαζομένους οὐ τρέφομεν, ἀλλ' ἐργαζομένους καὶ αὐτοῖς καὶ ἑτέροις ἐπαρκεῖν πείθομεν· τοὺς δὲ ἀναπήρους τῷ σώματι γενομένους παρὰ

Imperatores colunt, filiorumque metu simulacris suis assident, ita ut maligni dæmones Imperatoribus sibi collati honoris gratiam habeant. Itaque ubi contingit quempiam Imperatorem creari, qui cum illis religione non consentiat, si quis idolorum templa ingrediatur, in muris passim videbit extensas aranearum telas, tantoque pulvere conspersam statuam, ut neque nasus, neque oculus, neque alia quævis pars vultus appareat; altarium vero reliquiæ solum, majori abrupta parte, supersunt, et alioqui tam densa undique herba circumdata sunt, ut qui altaria esse ignoret, acervum sterquilinii esse putet. Hujus rei causa est, quod olim illis liceret quæcumque vellent suffurari et per statuarum cultum ventri indulgere: nunc autem quam ob causam sese cruciaverint? Assidentes enim ac sese conficientes ab illis ne minimum quidem præmii exspectant: sunt enim ligna et lapides: quod autem illos ad simulandum cultum inducit, est honor quem illis exhibent Imperatores; verum et ille sublatus est, quando Imperatores sapiunt et Dei Filium adorant.

8. At nostra non hoc se habent modo, sed plane contrario. Cum enim quis religione nobiscum consentiens imperatorium adit thronum, Christianorum res segniores evadunt: tantum abest ut humanis honoribus erigantur; cum autem quis impius et nobis plane infestus innumerisque nos malis afficiens imperium tenet, tunc florent nostra ac splendidiora efficiuntur, tunc præmiorum et tropæorum tempus, tunc coronarum, præconiorum, ac fortitudinis exhibendæ occasio. Quodsi quis dicat etiam nunc superesse urbes quæ circa idolorum insaniam parem exhibent cultum, primo quidem paucas numerabit, verumtamen ne hac quidem ratione verbis meis officiet: manet enim eadem hypothesis, ac pro Imperatore optimates urbis habent, qui parem illis præstent honorem. Atque hujus cultus causæ sunt crapulæ et comessationes tum diurnæ tum nocturnæ, tibiæ, tympana, libertas impudentissime loquendi turpia, agendi turpiora, esse cibis ingurgitandi donec diruumpantur præ ebrietate, debacchandi, et in fœdissimam insaniam delabendi: hi turpissimi sumtus jam labentem errorem detinent et fovent. Opulentiores enim eos qui ob ignaviam fame pereunt, in ordinem parasitorum adscitos, tamquam canes mensas circumstantes enutriunt, impudentes ventres iniquarum epularum reliquiis distendunt, et pro lubitu iis utuntur. Nos vero qui prorsus insipientiam iniquitatemque vestram aversamur, eos qui præ ignavia fame laborant, non alimus, sed ipsis suademus ut laborantes et sibi et aliis victum parent; eos autem qui mutilo sunt corpore, ab iis

τῶν ἐχόντων τῆς ἀναγκαίας μόνον συγχωροῦμεν ἀπολαύειν τροφῆς· κῶμοι δὲ καὶ μέθαι καὶ πᾶσα ἡ λοιπὴ μανία καὶ αἰσχρότης ἐκβέβληται, ἀντεισῆκται δὲ ἀντὶ τούτων « ὅσα σεμνὰ, ὅσα ἁγνὰ, ὅσα δίκαια, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος. » Καὶ τὰ ἄλλα δὲ ἃ ὑπὲρ τῶν παρ' αὐτοῖς φιλοσοφησάντων κομπάζουσιν, ἀπέδειξε κενοδοξίαν καὶ θρασύτητα καὶ παιδικῆς ἔργα διανοίας. Οὐ γὰρ πίθον ἐκεῖνος λαβὼν κατέκλεισεν ἑαυτὸν, οὐδὲ ῥάκη περιβαλλόμενος, οὕτω περιήει κατὰ τὴν ἀγοράν. Ταῦτα γὰρ δοκεῖ μέν τινα εἶναι θαυμαστὰ, καὶ πόνον ἔχειν πολὺν καὶ τὴν ἰσχάτην ταλαιπωρίαν, ἐπαίνου δὲ παντὸς ἀπεστέρηται. Καὶ τοῦτο δὲ τῆς τοῦ διαβόλου κακουργίας, τοὺς δουλεύοντας αὐτῷ τοιούτοις παραδιδόναι πόνοις, οἳ καὶ διασπάσονται τοὺς ἠπατημένους, καὶ μάλιστα πάντων καταγελάστους ἀποφανοῦσιν αὐτούς· πόνος γὰρ οὐδὲν κέρδος ἔχων, ἐγκωμίου παντὸς ἀπεστέρηται. Καὶ γὰρ ἔτι καὶ νῦν εἰσιν ἄνθρωποι φθόροι καὶ μυρίων γέμοντες κακῶν, τοῦ φιλοσόφου πολλῷ μείζονα ἐπιδεικνύμενοι· οἱ μὲν γὰρ ἥλους ὀξεῖς καὶ ἠκονημένους ἔφαγον, οἱ δὲ ὑποδήματα διεμασήσαντο καὶ κατέπιον, οἱ δὲ πρὸς ἕτερα πολλῷ τούτων παρεβουλεύσαντο μοχθηρότερα· καίτοι τὰ τοιαῦτα πολλῷ τοῦ πίθου καὶ τῶν ῥακίων θαυμαστότερα· ἀλλ' οὐκ ἀποδεχόμεθα αὐτὰ, ὥσπερ οὖν οὐδὲ ἐκεῖνα, ἀλλ' ἐξίσης τῷ φιλοσόφῳ κακίζομεν καὶ δακρύομεν καὶ τούτους καὶ πάντας ὁμοίως τοὺς τὰ τοιαῦτα τερατευομένους εἰκῇ.

Ἀλλὰ καὶ παῤῥησίαν ἐπεδείξατο πρὸς βασιλέα πολλήν. Ἴδωμεν οὖν καὶ τὴν πολλὴν παῤῥησίαν, μή ποτε καὶ αὕτη τῆς τοῦ πίθου τερατείας ματαιοτέρα οὖσα τύχοι. Τίς οὖν ἡ παῤῥησία; Ἐλαύνοντι τῷ Μακεδόνι ποτὲ ἐπὶ τὸν Πέρσην, ἐπιστάντι τε αὐτῷ καὶ ἀπαγγεῖλαι ἐπιτρέψαντι εἴ τινος δέοιτο, Οὐδενὸς, ἔφη, πλὴν τοῦ μὴ ἐπισκοτεῖν αὐτῷ τὸν βασιλέα· καὶ γὰρ ἔτυχε τότε ἡλίῳ θερόμενος ὁ φιλόσοφος. Οὐ καταδύεσθε; οὐκ ἐγκαλύψεσθε; οὐκ ἀπελθόντες ἑαυτούς που κατορύξετε, ἐπὶ τούτοις μεγαλοφρονοῦντες ἐφ' οἷς αἰσχύνεσθαι ἐχρῆν, Πόσῳ γὰρ βέλτιον ἦν ἱμάτιον ἐνδύντα ἁδρὸν ἐνεργὸν εἶναι, καί τι τῶν χρησίμων τὸν βασιλεύοντα τότε αἰτεῖν, ἢ καθῆσθαι μετὰ τῶν ῥακίων θερμαινόμενον, κατὰ τὰ μικρὰ καὶ ὑπομάζια τῶν παιδίων, ἅπερ αἱ τίτθαι, μετὰ τὸ λοῦσαι καὶ ἀλεῖψαι, προτιθέασιν εἰς τοῦτο, εἰς ὅπερ ὁ φιλόσοφος τότε ἐκεῖνος ἐκάθητο, γραιδίου δυστήνου χάριν αἰτῶν; Ἀλλ' ἡ παῤῥησία ἴσως θαυμαστή; Ἀλλὰ ταύτης οὐδὲν τερατωδέστερον. Τὸν γὰρ ἀγαθὸν ἄνδρα πρὸς τὸ κοινωφελὲς ἅπαντα πράττειν χρὴ, καὶ τὸν τῶν ἄλλων βίον κατορθοῦν· τὸ δὲ αἰτῆσαι μὴ ἐπισκοτεῖν, ποίαν πόλιν, ποίαν οἰκίαν, τίνα ἄνδρα, ποίαν γυναῖκα διέσωσεν; Εἰπὲ τῆς παῤῥησίας τὸ κέρδος· τὸ γὰρ τοῦ μάρτυρος ἡμεῖς ἐπεδείξαμεν, καὶ προϊόντες δὲ αὐτὸ σαφέστερον ἐκκαλύψομεν.

Τίνος δὲ τὸν ὕβριστὴν ἐκόλασε, καὶ ταύτῃ ἦ τὸν ἱερέα κολάζειν θέμις ἐστὶ, τὰ τῶν ἀρχόντων κατέστειλε

qui subministrare possunt, necessariam solum escam accipere concedimus : comessationes, ebrietates, ac reliqua omnis insania et turpitudo a nobis eliminata est, eorumque loco inducta sunt (*Phil.* 4. 8) *quæcumque gravia, quæcumque casta, quæcumque justa, quæcumque laudabilia, si qua virtus, si qua laus.* Cætera porro, quæ de philosophis suis jactabundi dictitant, Babylas vanam gloriam, audaciam et puerilis animi opera esse demonstravit. Non enim dolio ille capto ibi sese inclusit, non laceris pannis vestitus forum circuivit. Hæc quippe licet videantur esse mirabilia, multumque laboris et ærumnæ habeant, indigna laude sunt. Est autem hoc quoque diaboli astutiæ, eos qui sibi serviunt, laboribus hujusmodi addicere, qui et a se deceptos discrucient, et maxime omnium ridiculos exhibeant. Labor enim is, ex quo nullum lucrum manat, omni prorsus laude caret. Siquidem etiam nunc sunt homines perditi, innumeris pleni flagitiis, qui plura, quam philosophus ille, exhibent; alii enim clavos acutissimos deglutiunt, alii calceos mandunt et devorant, alii ad alia sceleratiora male consulti se conferunt : atqui hæc longe sunt mirabiliora, quam dolium et panni : verum neque hæc neque illa probamus, sed perinde ac philosophum, hos et omnes quotquot portentosa hujusmodi exhibent, miseros prædicamus et deploramus.

Sed multa, dices, usus est apud regem loquendi libertate. Videamus itaque egregiam loquendi libertatem, annon et ipsa sit portentoso dolio vel ineptior. Quænam illa libertas? Cum ad Persas moveret Macedo, dum ipsi adstaret, dicereque permitteret an quapiam re opus haberet, Nulla, inquit : solum ne mihi rex umbram faciat : tunc enim philosophus apricabatur. Annon pudore suffundemini? annon vos obtegetis? annon hinc facessentes terra vos obruetis, de iis altum sapientes, de quibus pudore affici oporteret? Quanto enim satius fuisset veste indutum crassiuscula, operi vacantem, aliquid quod usui foret, a rege petisse, quam lacero pallio vestitum sedisse apricantem, instar lactentium puerorum, quos lotos et unctos nutrices inibi ad eam rem collocant, ob quam tunc philosophus sedebat infelicis aniculæ gratiam flagitans? Sed admiranda fortasse est illa loquendi libertas? Imo vero nihil illa prodigiosius. Bonum enim virum oportet facta sua omnia publica utilitate metiri, aliorumque vitam emendare; postulare autem ne sibi umbram faceret, quam urbem, quam domum, quem virum, quam mulierem conservavit? Indica quod ex illa loquendi libertate lucrum : nam lucrum a libera martyris voce natum nos ostendimus, et ulterius progressi clarius aperiemus.

9. Interim ille injurium illum punivit, quatenus sacerdoti fas erat, principum altos spiritus coercuit, violatis Dei

φρονήματα, τοῖς τοῦ Θεοῦ νόμοις κινουμένοις ἐπήμυνε, τιμωρίαν ὑπὲρ τοῦ κακῶς σφαγέντος ἀπήτησε, τὴν πασῶν τιμωριῶν χαλεπωτέραν τοῖς γε νοῦν ἔχουσι. Μέμνησθε δήπου πάντως, ὅτε περὶ τοῦ φόνου διελεγόμην, πῶς ἕκαστος διεθερμαίνετο τῶν ἀκροατῶν, καὶ τὸν αὐθέντην λαβεῖν εἰς χεῖρας ἐπεθύμει, καὶ φανῆναί ποθεν τὸν ἐκδικήσοντα τὸν φόνον ηὔχετο. Τοῦτο τοίνυν ὁ μακάριος ἐκεῖνος ἐποίησε, καὶ δίκην ἐπέθηκεν αὐτῷ τε πρέπουσαν, κἀκεῖνον ἐπιστρέψαι ἱκανὴν, εἰ μὴ λίαν ἀναίσθητος ἔτυχεν ὤν, οὐχὶ θερομένῳ αὐτῷ τὸν βασιλέα ἐπισκοτοῦντα ἀποστῆναι ἀξιῶν, ἀλλ' ἀναιδῶς τοῖς ἱεροῖς ἐπιπηδῶντα περιβόλοις καὶ πάντα συγχέοντα καθάπερ τινὰ κύνα καὶ οἰκέτην ἀγνώμονα τῶν δεσποτικῶν ἀπείργων αὐλῶν. Ὁρᾷς ὡς οὐ κομπάζων ἔλεγον ὅτι παιδικῆς ἔργα διανοίας τὰ τῶν παρ' ὑμῖν φιλοσόφων ἀπέδειξε θαύματα; Ἀλλὰ καὶ ἐσωφρόνησεν ὁ Σινωπεὺς ἐκεῖνος, καὶ ἐν ἐγκρατείᾳ διήγαγε, τῶν κατὰ νόμον οὐκ ἀνεχόμενος γάμων. Ἀλλὰ πῶς καὶ τίνι τρόπῳ προστίθει. Ἀλλ' οὐ προσθήσεις, ἀλλ' ἧδιον τῶν τῆς σωφροσύνης ἐγκωμίων ἀποστερήσεις αὐτὸν, ἢ τὸν τρόπον τῆς σωφροσύνης ἐρεῖς, οὕτως αἰσχρὸς καὶ πολλῆς γέμων αἰσχύνης ἦν. Ἐπῆλθον δ' ἂν καὶ τὸν τῶν ἄλλων λῆρον καὶ τὴν ματαιοπονίαν καὶ τὴν αἰσχρότητα· ποῦ γὰρ, εἰπέ μοι, χρήσιμον γονῆς ἀπογεύεσθαι ἀνθρωπίνης, ὅπερ ὁ Σταγειρίτης ἐποίει; ποῖον δὲ ὄφελος μίγνυσθαι μητράσι καὶ ἀδελφαῖς, ὅπερ ὁ τῆς Στοᾶς προεστὼς φιλόσοφος ἐνομοθέτει; Καὶ τὸν τῆς Ἀκαδημίας δὲ ἄρξαντα, καὶ τὸν ἐκείνου διδάσκαλον, καὶ τοὺς ἔτι τούτων μᾶλλον θαυμαζομένους, τούτων αἰσχροτέρους ἀνέδειξα ἄν, καὶ τὴν παιδεραστίαν, ἣν σεμνὸν εἶναι τίθενται καὶ φιλοσοφίας μέρος, ἐξεκάλυψα πάσης ἀπαμφιάσας τῆς ἀλληγορίας, εἰ μὴ εἰς μακρὸν ὁ λόγος ἡμῖν ἐξετείνετο μῆκος, καὶ πρὸς ἕτερον ἠπείγετο μέρος, καὶ ἱκανῶς καὶ διὰ τοῦ ἑνὸς τὸν γέλωτα πάντων διήλεγξεν. Ὅταν γὰρ ὁ κρατῶν κατὰ τὸ δοκοῦν αὐστηρότερον εἶναι τῆς φιλοσοφίας μέρος, καὶ παῤῥησίας καὶ ἐγκρατείας ἕνεκεν, οὕτως αἰσχρὸς καὶ ἄτοπος καὶ περιττὸς ἀποφαίνηται· (καὶ γὰρ καὶ ἀνθρώπων ἀπογεύεσθαι ἔλεγεν ἀδιάφορον εἶναι·) τίς ἡμῖν πρὸς τοὺς ἄλλους ἔσται λόγος λοιπὸν, τοῦ κατὰ τὴν κορυφὴν τοῦ ἐπιτηδεύματος ὑπὲρ τοὺς ἄλλους λάμψαντος οὕτω καταγελάστου καὶ μειρακιώδους καὶ ἀνοήτου δειχθέντος ἅπασι; Διόπερ ἐπανίωμεν ὅθεν ταῦτα εἰπεῖν ἐξέβημεν.

Τοὺς μὲν οὖν ἀπίστους οὕτω συνέστειλεν ὁ μακάριος, τοὺς δὲ πιστοὺς εὐλαβεστέρους κατέστησεν, οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ στρατιώτας καὶ στρατηγοὺς καὶ ὑπάρχους, δείξας ὅτι ὁ βασιλεὺς καὶ ὁ πάντων ἔσχατος παρὰ Χριστιανοῖς ὀνόματα μόνον ἐστὶ, καὶ τῶν ἐλαχίστων ὁ τὸ διάδημα ἔχων οὐδὲν ἔσται σεμνότερος, ὅταν κολάζεσθαι καὶ ἐπιτιμᾶσθαι δέῃ. Πρὸς δὲ τούτοις τοὺς βουλομένους ἀναισχυντεῖν καὶ κόμπον τινὰ πεπλασμένον τὰ παρ' ἡμῖν εἶναι λέγοντας ἐπεστόμισε, τὴν τῶν ἀποστόλων παῤῥησίαν διὰ τῶν ἔργων ἐπιδείξας, καὶ διδάξας ὅτι καὶ πάλαι τοιούτους ἄνδρας γενί-

legibus opem tulit, supplicium pro cæso juvene exegit, omnium suppliciorum gravissimum, iis certe qui mente valent. Meministis plane, cum de cæde verba faceremus, quomodo singuli auditorum inflammarentur, et principem manibus tenere cuperent, atque ultorem alicunde cædis apparere. Hoc itaque beatus ille vir fecit, pœnamque ipsi congruentem imposuit, quæ posset illum convertere, si modo stupidus admodum non fuisset, non ab Imperatore postulans ut a sole se calefaciente deflecteret, sed impudenter in sacra septa insilientem omniaque confundentem, ceu canem aut improbum famulum a dominicis atriis, depellens. Vides me non jactabunde dixisse, puerilis animæ gesta esse vestrorum philosophorum miracula a Babyla demonstrari? At temperans fuit, continentemque vitam egit Sinopensis ille, qui ne legitimas quidem nuptias contraxerit. Sed adde quomodo et qua ratione. Tu vero non addes, quin libentius eum continentiæ laudibus privabis, quam temperantiæ modum efferas, ita nempe turpis ac dedecore plenus est. Ad aliorum quoque nugas, vanum studium et turpitudinem libenter transirem : nam ubi, quæso, utile est humanum semen gustare, ut faciebat Stagirites? quæ utilitas cum matribus et sororibus misceri, ut Stoæ præfectus philosophus (*Zeno*) lege sanxit? Academiæ quoque principem, ejusque magistrum, itemque alios, qui majori admirationi habentur, his obscœniores fuisse ostenderem, infamemque puerorum amorem, quem honestum et partem philosophiæ esse statuunt, omni retecta allegoria denudarem, nisi nobis ad alia properantibus oratio longius protraheretur, ac nisi ex uno quam ridiculi cæteri sint satis argueretur. Quando enim præcipuus qui severiorem philo-ophiæ partem sequi videbatur, tum ex loquendi fiducia, tum ex temperantia, adeo turpis, adeo absurdus et ineptus esse deprehensus est, quippe qui humanis vesci carnibus indifferens esse diverit : quorsum attinet contra cæteros verba facere, cum ille qui ad fastigium instituti positus præ aliis fulgebat, tam ridiculus, puerilis et stultus apparuerit omnibus? Quamobrem eo redeamus, unde ad hæc dicendo digressi sumus.

Incredulos itaque beatus ille ita compescuit, fideles autem religiosiores reddidit : non privatos modo, sed etiam milites, tribunos, præfectos, ostendens Imperatorem et omnium novissimum apud Christum mera nomina esse, et diademate redimitum non potiori esse loco, quando punitione et correctione utendum est. Ad hæc vero impudentes illos, qui dicerent nostra non aliud esse quam fucum et figmentum, refrenavit, apostolorum fiduciam operibus comprobans, docensque tales olim haud dubie viros fuisse, quan-

σθαι εἰκὸς ἦν, ὅτε καὶ πλείονα ἡ τῶν σημείων ἐπίδειξις παρεῖχε τὴν ἐξουσίαν αὐτοῖς. Ἔστι τι καὶ τρίτον κατόρθωμα οὐ τὸ τυχόν· τῶν γὰρ μετὰ ταῦτα ἱερᾶσθαι καὶ βασιλεύειν λαχόντων τὰ φρονήματα, τῶν μὲν κατίστειλε, τῶν δὲ ἐπῆρεν, ἀποφήνας ὅτι τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ πραττομένων κυριώτερος ἐπίτροπος ὁ τὴν ἱερωσύνην λαχὼν τοῦ τὴν ἁλουργίδα ἔχοντός ἐστι, καὶ χρὴ τῆς ἐξουσίας ταύτης τὸ μέγεθος μὴ ἐλαττοῦν, ἀλλὰ τῆς ψυχῆς ἐξίστασθαι πρότερον ἢ τῆς αὐθεντίας, ἣν ὁ Θεὸς ἄνωθεν ταύτῃ συνεκλήρωσε τῇ ἀρχῇ. Ὁ μὲν γὰρ οὕτως ἀποθανὼν καὶ μετὰ τὴν τελευτὴν δύναιτ' ἂν ἅπαντας ὠφελεῖν· ὁ δὲ ταύτην τὴν τάξιν λιπὼν οὐ μόνον μετὰ τὸν θάνατον οὐδένα ὤνησεν, ἀλλὰ καὶ ζῶν τῶν τε ὑπ' αὐτῷ τεττομένων τοὺς πλείονας μαλακωτέρους εἰργάσατο, καὶ παρὰ τοῖς ἔξωθεν ἐπονείδιστος καὶ καταγέλαστος γίνεται· καὶ ἀπελθὼν δὲ ἐντεῦθεν, μετὰ πολλῆς αἰσχύνης καὶ κατηφείας παραστήσεται τῷ βήματι τοῦ Χριστοῦ, ἐκεῖθέν τε αὐτὸν πάλιν εἰς τὴν κάμινον ἀπάξουσιν ἔλκουσαι αἱ πρὸς τοῦτο ταχθεῖσαι δυνάμεις. Διά τοι τοῦτο σοφός τις παραινεῖ λόγος, « Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου. » Εἰ δὲ ἀνδρὸς ἀδικουμένου οὐκ ἀσφαλὲς ὑποκρίνεσθαι, τῶν θείων νόμων ὑβριζομένων ὁ σιγήσας καὶ παριδὼν τίνος οὐκ ἔσται κολάσεως ἄξιος;

Μετὰ δὲ τούτων καὶ ἕτερόν τι τούτων οὐχ ἧττον ἐδίδαξε καλὸν, ὅτι τὰ αὐτοῦ ποιεῖν ἕκαστον χρὴ, κἂν μηδεὶς ὁ δεχόμενος ᾖ τῶν γινομένων τὸ κέρδος. Οὐδὲ γὰρ αὐτός τι τότε τῆς παῤῥησίας εἰς τὴν ὠφέλειαν ἀπώνατο τοῦ βασιλέως, ἀλλ' ὅμως τὸ αὐτοῦ πᾶν ἐπλήρωσε, καὶ ἐνέλιπεν οὐδέν· ὁ δὲ κάμνων διὰ τῆς οἰκείας ἀπονοίας ἐλυμήνατο τοῦ τεχνίτου τὴν ἐπιστήμην, μετὰ πολλοῦ τοῦ θυμοῦ τὸ φάρμακον ἀπὸ τοῦ τραύματος ἀφελών. Ὥσπερ γὰρ οὐκ ἀρκοῦν εἰς ἀσέβειαν τὸ φονεῦσαι καὶ ἀναισχύντως ἐπιπηδῆσαι τῷ ναῷ τοῦ Θεοῦ, προσετίθει φόνῳ φόνον ἕτερον, καὶ καθάπερ φιλονεικῶν θυμοῦ καὶ νικῆσαι τοῖς δευτέροις τὰ πρότερα, καὶ τὰ τῶν φθασάντων πάθη ἀμαυρῶσαι τῇ τῶν ὑστέρων ὑπερβολῇ (τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μανία, τὰ ἐναντία κατασκευάζειν ἅμα), οὕτως ἀμφοτέραις ταῖς σφαγαῖς ἔχειν τι κατ' ἀλλήλων ἐξαίρετον ἔδωκεν. Καὶ ἦν ἡ μὲν προτέρα ἐλεεινοτέρα τῆς δευτέρας, ἡ τοῦ παιδός· ἡ δὲ δευτέρα ἐναγεστέρα τῆς προτέρας, ἡ τοῦ μακαρίου Βαβυλᾶ. Ψυχὴ γὰρ ἅπαξ ἁμαρτίας γευσαμένη, καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην. Καὶ οἷον εἰς ὕλην ἄφατον σπινθὴρ ἐμπεσὼν, καίει μὲν εὐθέως τὸ προστυγχάνον, οὐχ ἵσταται δὲ μέχρι ἐκείνου μόνον, ἀλλὰ πᾶν ἐπινέμεται τὸ λοιπὸν, καὶ ὅσῳπερ ἂν πλείονα λάβῃ τῇ φλογὶ, τοσούτῳ πλείονα προσλαμβάνει τὴν ἰσχὺν πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, καὶ γίνεται τῶν ἁλόντων ξύλων τὸ πλῆθος τοῖς ἁλίσκεσθαι μέλλουσιν ἐπιβουλὴ, τοῖς ληφθεῖσι κατὰ τῶν μελλόντων ὁπλιζομένης ἀεὶ τῆς φλογός· οὕτω καὶ ἡ τῆς ἁμαρτίας φύσις, ἐπειδάν τινος λάβηται τῶν τῆς ψυχῆς λογισμῶν, καὶ μηδεὶς ὁ σβεννύων ᾖ τὸ

do signorum ostensio vel majorem ipsis præbebat potestatem. Tertium quoque præclarum facinus non leve deprehenditur, futurorum quippe sacerdotum et regum animos, horum quidem depressit, illorum vero extulit, declarans sacerdotem cum terræ, tum eorum quæ in terra geruntur, verius præfectum esse, quam eum qui purpura induitur, oportereque potestatem illam non minuere, sed animam potius exuere, quam potestatem, quam Deus superne ipsi attribuit. Nam is qui sic moriatur, etiam post mortem possit omnes juvare; qui vero hunc ordinem dereliquit, non modo post mortem nemini profuit, sed etiam vivens multos ex subditis molliores effecit, et apud exteros vituperabilis ridiculusque est: insuperque hinc abscedens multo cum dedecore ac mœrore ad Christi tribunal sistetur, unde ipsum in fornacem abducent potestates ad id deputatæ. Quamobrem sapiens quidam (*Eccli.* 4. 26) monet, *Ne accipias faciem contra tuam animam.* Jam si, ubi homo injuria afficitur, non tutum est dissimulare, qui, violatis Dei legibus, tacet ac negligit, quo supplicio dignus non erit?

Cum his etiam aliud, his non minus bonum, nos docuit: oportere scilicet quemque suo fungi officio, etiamsi nullum inde lucrum ad alios emanet. Neque enim ille quidpiam ex loquendi libertate ad imperatoris utilitatem lucratus est; attamen quod penes se erat totum implevit, ac nihil reliquum fecit. Qui autem morbo laborabat, arrogantia sua artificis peritiam inutilem reddidit, ingenti cum furore medicamentum e vulnere removens. Ac si enim non satis esset necem patrasse, et in templum Dei impudenter insiliisse, cædi cædem alteram adjecit, et ac si contenderet posterioribus priora superare, ac præcedentes morbos subsequentium magnitudine obscurare (talis quippe est diaboli insania, ut contraria simul paret): sic utrique cædi aliquid eximium dedit, quo altera alteram superaret. Et erat quidem prior pueri cædes miserabilior secunda, secunda vero sceleratior priore, nempe sancti Babylæ. Anima quippe quæ semel peccatum degustavit ac sensu caret, multum adjicit morbo incrementum. Et quemadmodum scintilla in immensam materiam incidens quod occurrit statim incendit, neque hic tamen consistit, sed quod reliquum est statim consumit, et quanto plura flamma apprehenderit, tanto majorem vim accipit ad reliquorum perniciem, deprehensorumque lignorum copia iis quæ mox inflammabuntur insidiosa evadit, flamma iis quæ jam incensa sunt sese armante contra ea quæ statim corripientur: sic se habet et peccati natura, ubi quamdam animæ cogitationem occuparit, nec quisquam est qui malum exstinguat, ulterius

κακὸν, προϊοῦσα περαιτέρω χαλεπωτέρα γίνεται καὶ δυσχείρωτος· καὶ διὰ τοῦτο τὰ μετὰ ταῦτα πολλάκις τῶν προτέρων ἰσχυρότερα γέγονεν ἁμαρτήματα, τῆς ψυχῆς ἀεὶ τῇ τῶν δευτέρων προσθήκῃ πρὸς μείζονα ἀπόνοιαν καὶ καταφρόνησιν αἰρομένης, καὶ διὰ τούτων τὴν μὲν οἰκείαν διαλυούσης δύναμιν, τὴν δὲ τῆς ἁμαρτίας τρεφούσης. Οὕτω γοῦν πολλοὶ εἰς πᾶν εἶδος ἁμαρτημάτων ἐλθόντες ἔλαθον, ἐπειδὴ τὴν φλόγα ἀρχομένην οὐκ ἔσβεσαν· οὕτω καὶ ὁ δεῖλαιος ἐκεῖνος χαλεπώτερα τοῖς προτέροις προσετίθει τὰ δεύτερα. Ἐπειδὴ γὰρ τὸν νέον ἐκεῖνον ἀπώλεσεν, ἀπὸ τοῦ φόνου πρὸς τὴν ὕβριν τὴν εἰς τὸν νεὼν ὥρμησε, καὶ πάλιν ἐκ ταύτης ὁδῷ προβαίνων, εἰς τὴν κατὰ τῆς ἱερωσύνης ἀπόνοιαν ἐπαπεδύσατο, καὶ τὸν ἅγιον σιδήρῳ δήσας, καὶ εἰς δεσμωτήριον ἐμβαλὼν, οὕτω τέως ἐκόλαζε, δίκην αὐτὸν τῆς εὐεργεσίας ἀπαιτῶν, καὶ ὑπὲρ ὧν θαυμάζειν ἔδει καὶ στεφανοῦν, καὶ τῶν γεγεννηκότων μᾶλλον τιμᾶν, ὑπὲρ τούτων τὰ τῶν κακούργων ὑπομένειν ἠνάγκαζε, δεσμὰ καὶ τὴν ἀπὸ τῶν δεσμῶν ταλαιπωρίαν περιθείς.

Οὕτως, ὅπερ ἔφην, ἀρχὴν ἁμαρτίᾳ λαβοῦσα, καὶ μηδένα τὸν εἰς τὸ πρόσω προβῆναι κωλύοντα ἔχουσα, δυσανάσχετος καὶ ἀκάθεκτος γίνεται, κατὰ τοὺς μεμηνότας τῶν ἵππων, οἳ ἐπειδὰν τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλόντες, καὶ τὸν ἐπιβάτην ῥίψαντες ἀπὸ τῶν νώτων ὕπτιον, τοῖς ἁπαντῶσιν ἀφόρητοι γένωνται, μηδενὸς αὐτοὺς κωλύοντος, ὑπὸ τῆς ἀτάκτου ῥύμης φέροντες ἑαυτοὺς κατεκρήμνισαν. Διά τοι τοῦτο εἰς μανίαν τὰς τοιαύτας ἐκφέρει ψυχὰς ὁ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, ἵνα αὐτὰς ἐν ἐρημίᾳ τῶν θεραπευσόντων ἀπολαβὼν καταχόψῃ, καὶ μυρίοις περιβάλῃ κακοῖς. Καὶ γὰρ οἱ τὰ σώματα ἀῤῥωστοῦντες, ἕως μὲν ἂν προσίωνται τοὺς θεραπεύοντας, πολλὴν τὴν ἐλπίδα τῆς ὑγιείας ἔχουσιν· ἐπειδὰν δὲ εἰς φρενῖτιν ἐκπεσόντες λακτίζωσι καὶ δάκνωσι τοὺς βουλομένους ἀπαλλάξαι τῆς ἀῤῥωστίας αὐτοὺς, τότε νοσοῦσιν ἀνίατα, οὐ διὰ τὴν τῆς νόσου φύσιν, ἀλλὰ διὰ τὴν ἐρημίαν τῶν ἀπαλλάξαι δυναμένων τῆς μανίας αὐτούς· εἰς ἣν καὶ οὗτος ἑαυτὸν κατέστησε· λαβὼν γὰρ τὸν ἰατρὸν, τέμνοντα ἔτι τὸ τραῦμα, ἀπήλασεν εὐθέως καὶ ὡς πορῤῥωτάτω τῆς οἰκίας ἀπήγαγε. Καὶ ἦν τὸ Ἡρῴδου δρᾶμα μηκέτι μόνον ἀκοῇ μανθάνειν, ἀλλὰ καὶ ὄψεσι μετὰ πλείονος τῆς περιπετείας θεωρεῖν· ἐπειδὴ καὶ μετὰ πλείονος αὐτὸ τῆς ἐπιδείξεως καὶ παρασκευῆς ὁ διάβολος πάλιν εἰς τὸ τοῦ βίου θέατρον εἰσήγαγεν, ἀντὶ τετράρχου βασιλέα κατασκευάσας, καὶ ἀντὶ μιᾶς αἰτίας διπλῆν ὑπόθεσιν τῷ πράγματι δοὺς, καὶ πολὺ τῆς προτέρας μιαρωτέραν, ὡς μὴ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ αὐτῇ τῶν πραγμάτων τῇ φύσει λαμπροτέραν ταύτην γενέσθαι τὴν τραγῳδίαν. Οὐ γὰρ γάμος ἐνταῦθα ὑβρίζετο καθάπερ ἐκεῖ, οὐδὲ ἀπὸ παρανόμου μίξεως, ἀλλ' ἀπὸ μολυσμοῦ παιδοκτονίας ἐναγεστέρου, καὶ τυραννίδος ἀπηνεστάτης, καὶ παρανομίας οὐκ εἰς γυναῖκα γενομένης, ἀλλ' εἰς αὐτὴν τὴν ἁγιστείαν, ταύτην τὴν ἱστορίαν ἔπλεξεν ὁ πονηρός.

Ἐμβληθεὶς τοίνυν ἐν τῷ δεσμωτηρίῳ ὁ μακάριος

progressa gravior et plane indomita efficitur : ideoque posteriora plerumque peccata validiora fuere prioribus, anima semper posteriorum accessione ad majorem arrogantiam et contemtum elata, ac per haec vim suam dissolvente, peccati vero robur alente. Sic itaque multi in omne peccatorum genus non advertentes prolapsi sunt, qui flammam initio non restinxerunt : ita miser ille graviora prioribus posteriora adjunxit. Postquam enim juvenem illum peremerat, a cæde ad inferendam templo injuriam progressus est, ac rursus via et modo procedens, ad arrogantiam contra sacerdotium exhibendam se accinxit, sanctumque ferro vinctum et in carcerem conjectum sic ultus est, beneficii pœnas ab eo repetens, cumque eum ideo admirari, coronare et plus quam parentes honorare oporteret, maleficorum eum subire vincula vinculorumque miserias coegit.

10. Sic, quemadmodum dicebam, subortum peccatum, nemine prohibente ne ad ulteriora progrederetur, cohiberi postea continerique non potest : perinde atque equi furentes, rejectis ex ore frenis, excussisque sessoribus ac supinis humi relictis, occurrentibus admodum molesti sunt, nemineque cohibente, impetu sese in præcipitia conjiciunt. Ideo animas hujusmodi salutis nostræ inimicus in insaniam conjicit, ut eas desertas, nemine curante, corripiens disperdat, et innumeris circumdet malis. Etenim qui corpore laborant, donec medicos se adire patiuntur, magnam salutis spem habent; cum vero in phrenesin lapsi calcibus impetunt mordentque eos qui se a morbo eruere volunt, tum sane incurabiliter ægrotant, non tam ob morbi naturam, quam quia deserti fuerunt ab iis qui ipsos a furore liberare potuissent. In quem furorem hic, de quo loquimur, se conjecit : comprehenso namque medico, dum vulnus adhuc secaret, cum statim expulit, et a domo quam potuit longissime exegit. Licebatque hic Herodis drama non tantum auribus percipere, sed coram majori cum petulantia gestum spectare : quia illud majori cum ostentatione et apparatu diabolus in mundi theatrum iterum induxit, pro tetrarcha personam Imperatoris constituens, et pro una causa duplex rei argumentum, illo longe turpius, præbens; ita ut non numero tantum, sed ipsa quoque rerum natura tragœdia multo insignior esset. Non enim hic sicut illic nuptiæ violabantur, neque ex illegitimo coitu, sed ex scelestiori quam est filii cædes inquinamento, ex tyrannide crudelissima, et ex iniquitate, non in uxorem, sed in ipsam sanctimoniam exhibita, hanc historiam malignus ille texuit.

Conjectus ergo in carcerem beatus ille gaudebat quidem

ἔχαιρε μὲν ἐπὶ τοῖς δεσμοῖς, ἤλγει δὲ ἐπὶ τῇ τοῦ δήσαντος ἀπωλείᾳ. Οὔτε γὰρ πατὴρ οὔτε παιδοτρίβης, ὅταν ὁ μὲν ἐκ τῆς τοῦ παιδὸς, ὁ δὲ ἐκ τῆς τοῦ μαθητοῦ μοχθηρίας καὶ δυσπραγίας λαμπρότεροι γίνωνται, καθαρὰν ἀθυμίας τὴν ἐκ τῆς εὐδοκιμήσεως ἔχουσιν ἡδονήν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος Κορινθίοις ἔλεγεν, « Εὐχόμεθα δὲ μηδὲν κακὸν ποιῆσαι ὑμᾶς, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. » Οὕτω γοῦν καὶ ἐκείνῳ τῷ θαυμαστῷ τότε ποθεινότερον ἦν τῶν ἀπὸ τοῦ δεσμωτηρίου μισθῶν ἡ τοῦ μαθητοῦ σωτηρία, καὶ τὸ σωφρονήσαντα ἀποστερῆσαι τούτων τῶν ἐπαίνων αὐτὸν, μᾶλλον δὲ τὸ μηδὲ τὴν ἀρχὴν εἰς ταύτην αὐτὸν τὴν διαστροφὴν ἐμπεσεῖν. Οἱ γὰρ ἅγιοι τοὺς στεφάνους αὐτοῖς οὐκ ἀπὸ τῶν ἀλλοτρίων βούλονται πλέκεσθαι συμφορῶν· εἰ δὲ ἀπὸ τῶν ἀλλοτρίων οὐ βούλονται, πολλῷ μᾶλλον ἀπὸ τῶν τοῖς οἰκείοις συμβαινόντων κακῶν. Τούτου χάριν καὶ ὁ μακάριος Δαβὶδ μετὰ τὰ τρόπαια καὶ τὴν νίκην ἐπένθει καὶ ἐδάκρυεν, ἐπειδὴ μετὰ τῆς τοῦ παιδὸς συμφορᾶς αὕτη γέγονε· καὶ τοῖς τε ἐξιοῦσι στρατηγοῖς ἐπέσκηπτεν ὑπὲρ τοῦ τυράννου πολλὰ, καὶ ἀνελεῖν αὐτὸν ἐπειγομένους ἐπεῖχε λέγων, « Φείσασθε τοῦ παιδαρίου Ἀβεσσαλὼμ, » καὶ πεσόντα ἐπένθει, καὶ ἀνεκαλεῖτο τὸν ἐχθρὸν μετὰ οἰμωγῶν καὶ δακρύων πικρῶν. Εἰ δὲ ὁ φυσικὸς πατὴρ οὕτω φιλόστοργος, πολλῷ μᾶλλον ὁ πνευματικός. Ὅτι γὰρ τῶν κατὰ σάρκα οἱ κατὰ πνεῦμα γονεῖς κηδεμονικώτεροι, τοῦ Παύλου λέγοντος ἄκουε, « Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; » Ἀλλὰ τοῦτο μὲν τὴν ἰσότητα παρίστησιν ἡμῖν, καίτοι γε μόλις ἂν πατέρες ταύτην ἀφήσειαν τὴν φωνήν· ἀλλ' ὅμως συγχωρείσθω καὶ μέχρι τούτου φθάσαι αὐτούς· δεῖ δὲ τὸ πλέον ἐπιδεῖξαι λοιπόν. Πόθεν οὖν τοῦτο ἐπιδείξομεν; Ἀπὸ τῶν αὐτῶν σπλάγχνων πάλιν, καὶ ἀπὸ τῶν τοῦ νομοθέτου ῥημάτων. Τί δ' ἐκεῖνός φησιν; « Εἰ μὲν ἀφὶης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, καὶμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. » Οὐδεὶς δὲ ἂν ἕλοιτο πατὴρ, παρὸν μυρίων ἀπολαύειν ἀγαθῶν, μετὰ τῶν τέκνων κολάζεσθαι· ὁ δὲ ἀπόστολος ἅτε ἐν τῇ χάριτι πολιτευσάμενος, καὶ ταύτης ἐπίτασιν πεποίηται τῆς φιλοστοργίας διὰ τὸν Χριστόν. Οὐ γὰρ μετ' ἐκείνων κολάζεσθαι εἵλετο καθάπερ ἐκεῖνος, ἀλλ' ἵνα ἑτέροις σωθῆναι ἐγγένηται, αὐτὸς ἀπολέσθαι ηὔχετο λέγων, « Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. » Τοσαύτη εὐσπλαγχνία καὶ φειδὼ παρὰ ταῖς τῶν ἁγίων ψυχαῖς. Ὅθεν καὶ οὗτος μειζόνως διεκόπτετο τὰ σπλάγχνα τὴν ἀπώλειαν τοῦ βασιλέως περαιτέρω προϊοῦσαν ὁρῶν. Οὐδὲ γὰρ μόνον ὑπὲρ τοῦ νεὼ δακνόμενος ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ καὶ ὑπὸ τῆς πρὸς ἐκεῖνον εὐνοίας ἐπικαμπτόμενος. Ὁ μὲν γὰρ εἰς τὴν τοῦ Θεοῦ λειτουργίαν ὑβρίζων, ἐκείνην μὲν ἔβλαψεν οὐδὲν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς.

de vinculis, sed dolebat de vinculorum auctoris pernicie: neque enim pater, neque pædotriba, cum ille de filii, hic de discipuli flagitio vel calamitate clariores evadunt, mœrore vacuam voluptatem ex illa claritate capiunt. Quamobrem beatus Paulus Corinthiis (2 *Cor.* 13. 7) dicebat: *Oramus autem ut nihil mali facialis, non ut nos probati appareamus, sed ut vos quod bonum est facialis, nos autem ut reprobi simus.* Sic itaque admirando illi viro optatior erat discipuli salus, quam carceris merces; optatius item, ut discipulus resipiscens his eum laudibus privasset; imo potius, ut prorsus in hanc perversitatem lapsus non esset. Nolunt enim sancti coronas sibi necti ex alienis calamitatibus: quodsi ab alienis nolint, multo sane minus a domesticorum ærumnis. Qua de causa beatus David post tropæa et victoriam lugebat et lacrimabatur, quod ea cum filii calamitate conjuncta esset: quin et exeuntibus ducibus multa pro tyranni salute præcipiebat, et eos qui ipsum occidere cupiebant, his verbis cohibebat (2 *Reg.* 18. 5): *Parcite puero Abessalom*: et prostratum lugebat, inimicumque cum gemitibus et amaris lacrimis compellabat. Quodsi naturalis pater ita prolis amans est, multo magis spiritualis: quod enim secundum spiritum parentes prolem magis curent, quam ii qui secundum carnem, audi Paulum dicentem (2 *Cor.* 11. 29), *Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror?* Sed hoc quidem æqualitatem nobis repræsentat: atqui vix patres hanc vocem emittant; sed concedatur tamen eousque illos procedere: jam quod majus est exhibere est opus. Undenam exhibebimus? Ex iisdem iterum visceribus, atque ex legislatoris verbis. Ille vero quid dicit? (*Exod.* 32. 31 *seq.*) *Si remittas eis peccatum, remitte; sin minus, dele me de libro quem scripsisti.* Nullus vero pater, cui innumeris frui bonis liberum sit, cum liberis supplicium subire maluerit: apostolus vero, utpote in gratia versatus, paternum hujusmodi affectum, propter Christum, etiam majorem exhibet. Non enim cum ipsis pœnas dare volebat, ut ille; sed ut alii salutem consequi possent, ipse sibi perniciem precabatur his verbis (*Rom.* 9. 3): *Optabam anathema esse a Christo pro fratribus meis, cognatis meis secundum carnem.* Tanta misericordia, tantus affectus penes sanctos est. Quare et Babylæ viscera magis excruciabantur, quod imperatoris exitium ultra semper intendi cerneret. Neque enim templi solum causa dolens hæc agebat; sed etiam affectu erga Imperatorem inductus. Nam qui divinum ministerium contumelia afficit, ipsum quidem nihil lædit, sese vero innumeris complicat malis.

Διόπερ ὁ φιλόπαις πατὴρ, θεωρῶν κατὰ κρημνῶν ὠθούμενον τῷ θυμῷ τὸν ὑβριστὴν, ἀνέχειν τὴν ἄλογον φορὰν ἐσπούδαζεν, ὥσπερ τινὰ δυσήνιον ἵππον, εἰς τοὐπίσω διὰ τῆς ἐπιπλήξεως ἀναχρούσασθαι σπεύδων αὐτόν. Ἀλλ' οὐκ εἴασεν ὁ δείλαιος, ἀλλὰ τὸν χαλινὸν ἐνδακών, καὶ ἀντιτείνας, καὶ θυμῷ καὶ μανίᾳ ἀντὶ τῶν ὀρθῶν λογισμῶν ἑαυτὸν ἐκδοὺς, εἰς τὰ βάραθρα τῆς ἐσχάτης ἀπωλείας ἐνέβαλε· καὶ τὸν ἅγιον τοῦ δεσμωτηρίου ἐξαγαγὼν τὴν ἐπὶ θανάτῳ ἀπαχθῆναι δεδεμένον ἐκέλευσε. Καὶ ἦν ἐναντία τῶν ὁρωμένων τὰ ὁρώμενα. Ὁ μὲν δεδεμένος πάντων ὁμοῦ τῶν δεσμῶν ἐλύετο, καὶ τῶν ἀπὸ τοῦ σιδήρου, καὶ τῶν ἔτι σφοδροτέρων, φροντίδων λέγω καὶ πόνων, καὶ τῶν ἄλλων ἁπάντων τῶν διὰ τὸν ἐπίκηρον βίον περιισταμένων ἡμᾶς· ὁ δὲ λελύσθαι δοκῶν καὶ σιδήρου καὶ ἀδάμαντος, ἑτέροις χαλεπωτέροις περιεβάλλετο δεσμοῖς, ταῖς σειραῖς τῶν ἁμαρτιῶν ἐπισφιγγόμενος. Μέλλων τοίνυν ὁ μακάριος ἀποσφάττεσθαι ἐκεῖνος, μετὰ τοῦ σιδήρου τὸ σῶμα ταφῆναι ἐπέσκηψε, δεικνὺς ὅτι τὰ δοκοῦντα ἐπονείδιστα εἶναι, ταῦτα ὅταν διὰ τὸν Χριστὸν γίνηται, σεμνά τέ ἐστι καὶ λαμπρὰ, καὶ οὐ μόνον οὐκ ἐγκαλύπτεσθαι, ἀλλὰ καὶ σεμνύνεσθαι ἐπ' αὐτοῖς χρὴ τὸν πάσχοντα· κἂν τούτῳ τὸν μακάριον Παῦλον μιμούμενος, ὃς ἄνω καὶ κάτω τὰ στίγματα, τὰ δεσμὰ, τὴν ἅλυσιν ἔστρεφε, καυχώμενος καὶ μέγα φρονῶν, ἐφ' οἷς ἡσχύνοντο ἕτεροι. Ὅτι γὰρ ἠσχύνοντο, δῆλον ἡμῖν αὐτὸς ἐποίησε διὰ τῆς πρὸς τὸν Ἀγρίππαν γενομένης ἀπολογίας αὐτῷ. Λέγοντος γὰρ ἐκείνου, « Κινδυνεύεις με ἐν ὀλίγῳ ποιῆσαι Χριστιανὸν », ὁ Παῦλος, « Ηὐξάμην ἂν τῷ Θεῷ, φησὶ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ τοὺς περιεστῶτας πάντας γενέσθαι Χριστιανοὺς, χωρὶς τῶν δεσμῶν τούτων· » οὐκ ἂν τοῦτο προσθεὶς, εἰ μὴ τὸ πρᾶγμα ἐπονείδιστον εἶναι ἐδόκει τοῖς πολλοῖς. Φιλοδέσποτοι γὰρ ὄντες οἱ ἅγιοι τὰ ὑπὲρ τοῦ Δεσπότου πάθη μετὰ πολλῆς ἐδέχοντο τῆς προθυμίας, καὶ φαιδρότεροι τούτοις ἐγίνοντο. Καὶ ὁ μέν φησι, « Χαίρω ἐν τοῖς παθήμασί μου· » ὁ δὲ Λουκᾶς περὶ τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ τὰ αὐτὰ δὴ ταῦτα φθέγγεται· Μετὰ γὰρ τὰς πολλὰς μάστιγας ἀνεχώρουν, φησὶ, « χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. » Ἵν' οὖν μή τις τῶν ἀπίστων ἀνάγκης εἶναι νομίσῃ τοὺς ἄθλους καὶ κατηφείας, αὐτὰ τῶν ἄθλων τὰ σύμβολα συνταφῆναι κελεύει τῷ σώματι, δεικνὺς ὅτι λίαν αὐτὰ ἠσπάζετο καὶ ἐφίλει, διὰ τὸ λίαν ἐκκρέμασθαι τῆς ἀγάπης τοῦ Χριστοῦ. Καὶ κεῖνται νῦν μετὰ τῆς τέφρας αἱ πέδαι, πᾶσι παραινοῦσαι τοῖς τῶν Ἐκκλησιῶν προεστῶσι, κἂν δεθῆναι δέῃ, κἂν σφαγῆναι, κἂν ἕτιοῦν παθεῖν, πάντα προθύμως καὶ μετὰ πολλῆς ὑπομένειν τῆς ἡδονῆς, ὥστε τῆς ἐμπιστευθείσης ἡμῖν ἐλευθερίας μηδὲ τὸ τυχὸν προδοῦναι καὶ καταισχῦναι μέρος.

Καὶ ὁ μὲν μακάριος ἐκεῖνος οὕτω λαμπρῶς τὸν βίον κατέλυσε· τάχα δέ τις καὶ ἡμᾶς οἴεται ἐνταῦθα κατα-

11. Quapropter pater ille prolis amans, contumeliosum illum iretum per præcipitia ferri cerneas, brutum impetum coercere curabat, ceu quemdam effrenem equum deterrendo retrahere salagens. At non sustinuit infelix ille, sed frenum mordens, et obsistens, seseque furori et insaniæ, misso rectæ rationis judicio, dedens, in barathra extremæ perniciei sese conjecit, sanctumque e carcere eductum, ad eædem vinctum jussit abduci. Atque hic ea quæ cernebantur, iis quæ fiebant contraria erant. Ille quidem vinciis omnibus simul vinculis solutus erat, tam ferreis, quam aliis gravioribus, sollicitudinibus scilicet atque laboribus, aliisque omnibus, quæ nos in hac mortali vita circumsistunt; contra qui solutus ferro et adamante videbatur, aliis longe gravioribus vinculis constrictus erat, catenis peccatorum vinctus. Cædi proximus vir beatus cum ferro corpus suum sepeliri mandavit, docens, ea quæ ignominiosa videntur, cum propter Christum fiunt, honorifica et splendida esse, patientemque non pudorem hinc, sed gloriam reportare: hac item in parte beatum Paulum imitatus, qui ultro citroque stigmata, vincula, catenam versabat, gloriabundus altumque sapiens in iis, quorum alios pudebat. Quod autem alios puderet, palam nobis fecit ea defensione, qua apud Agrippam usus est. Illo namque dicente (*Act.* 26. 28), *Videris me in modico facere Christianum*, Paulus dixit (*ib.* 29), *Opto apud Deum et in modico et in magno, non tantum te, sed etiam eos qui adsunt omnes fieri Christianos, exceptis vinculis his*: quod non adjecisset, nisi id ignominiosum multis visum fuisset. Sancti enim Dominum amantes, ærumnas pro illo magna cum alacritate suscipiebant, per quas etiam lætiores evadebant. Unde hic quidem ait (*Col.* 1. 24), *Gaudeo in afflictionibus meis;* Lucas vero (*Act.* 5. 41) de reliquo apostolorum cœtu eadem ipsa loquitur: nam Post multa flagella recedebant, inquit, *gaudentes, quoniam digni habiti essent pro nomine Christi contumeliam pati.* Ne quis ergo infidelium putaret, certamina per vim ac necessitatem committi, ipsa certaminum symbola cum corpore suo sepeliri jussit, ostendens ea sibi admodum grata et amabilia esse, quod totus penderet a caritate Christi. Et jacent etiam nunc cum cineribus compedes, ut moneant omnes Ecclesiarum præfectos, etsi vincula, eædem et quælibet alia pati oporteat, omnia alacriter ac cum voluptate multa sustinenda esse, ita ut concreditam nobis libertatem ne minimum quidem prodamus aut dedecoremus.

Et quidem ille vir beatus ita splendide vitam clausit. Putat forte quispiam nos hic orandi finem facturos esse,

λύσειν τὸν λόγον· μετὰ γὰρ τὴν τοῦ βίου τελευτὴν οὐκ εἶναι λοιπὸν κατορθωμάτων οὐδὲ ἀνδραγαθίας ἀφορμὰς, ὥσπερ οὐδὲ τοῖς ἀθληταῖς μετὰ τὸ παρελθεῖν τοὺς ἀγῶνας στεφάνους πλέκεσθαι ξυνατόν. Ἀλλ' Ἕλληνες μὲν εἰκότως ταῦτα νομίζουσιν, ἐπειδὴ καὶ μέχρι τοῦ παρόντος βίου τὴν ἐλπίδα συνέκλεισαν τὴν αὐτῶν· ἡμεῖς δὲ, οἷς ἑτέρας ζωῆς φαιδροτέρας ἀρχὴ ἡ ἐνθάδε γίνεται τελευτὴ, ταύτης ἀφεστήκαμεν τῆς ὑπονοίας καὶ δόξης. Καὶ ὅτι δικαίως, σαφέστερον μὲν καὶ ἐν ἑτέρῳ δείξομεν λόγῳ· τέως δὲ καὶ τὰ μετὰ τὴν τελευτὴν τῷ γενναίῳ κατορθωθέντα Βαβύλᾳ ἱκανὰ πίστιν μεγάλην τῷ λόγῳ παρασχεῖν. Ἐπειδὴ γὰρ ἕως θανάτου περὶ τῆς ἀληθείας ἠγωνίσατο, καὶ μέχρι αἵματος ἀντικατέστη πρὸς τὴν ἁμαρτίαν μαχόμενος, καὶ ὥστε μὴ ἀφεῖναι τὴν τάξιν, ἣν ἔταξεν αὐτὸν ὁ μέγας βασιλεὺς, ἀφῆκε τὴν ψυχὴν, καὶ παντὸς ἀριστέως λαμπρότερον ἐτελεύτησεν, αὐτὸν μὲν εἶχε λοιπὸν ὁ οὐρανὸς, τὸ δὲ σῶμα τὸ πρὸς τὴν ἀριστείαν διακονησάμενον ἡ γῆ, καὶ διενείματο ἡ κτίσις τὸν ἀθλητήν. Καίτοι γε ἐνῆν καὶ μετατεθῆναι αὐτὸν κατὰ τὸν Ἐνώχ, καὶ ἁρπαγῆναι κατὰ τὸν Ἠλίαν, οὓς ἐζήλωσεν· ἀλλ' ὁ Θεὸς φιλάνθρωπος ὢν, καὶ μυρίας ἡμῖν τοῦ σώζεσθαι προφάσεις διδοὺς, καὶ ταύτην μετὰ τῶν ἄλλων διέτεμεν ἡμῖν τὴν ὁδὸν, ἱκανὴν παρακαλέσαι πρὸς ἀρετὴν, τὰ τῶν ἁγίων λείψανα παρ' ἡμῖν τέως ἀφείς. Μετὰ γὰρ τὴν διὰ τοῦ λόγου δύναμιν, δευτέραν ἔχουσι τάξιν οἱ τῶν ἁγίων τάφοι πρὸς τὸ διεγείρειν εἰς τὸν ἴσον ζῆλον τὰς τῶν θεωμένων αὐτοὺς ψυχάς· καὶ εἴ πού τις ἐπισταίη θήκῃ τοιαύτῃ, καὶ τῆς ἐνεργείας εὐθέως ταύτης σαφῆ λαμβάνει τὴν αἴσθησιν. Ἡ γὰρ ὄψις τῆς λάρνακος εἰς τὴν ψυχὴν ἐμπίπτουσα καταπλήττει τε αὐτὴν καὶ διανίστησι, καὶ ὡς αὐτοῦ τοῦ κειμένου συνευχομένου καὶ παρεστῶτος καὶ δρωμένου, οὕτως αὐτὴν διακεῖσθαι ποιεῖ. Εἶτα προθυμίας πολλῆς ὁ τοῦτο παθὼν πληρωθεὶς, καὶ ἕτερος ἀνθ' ἑτέρου γενόμενος, οὕτως ἐκεῖθεν ἀνέρχεται. Μάθοι δ' ἄν τις καλῶς, ὡς ἡ φαντασία τῶν ἀπελθόντων ἀπὸ τῶν τόπων ἐγγίνεται ταῖς τῶν ζώντων ψυχαῖς, εἰς νοῦν τοὺς πενθοῦντας λαβών, οἳ ἅμα τε τοῖς τῶν τεθνηκότων τάφοις ἐφίστανται, καὶ ὥσπερ ἀντὶ τῆς θήκης τοὺς ἐν τῇ θήκῃ κειμένους ἑστῶτας ἰδόντες, οὕτως αὐτοὺς ἀπὸ τῶν προθύρων εὐθέως ἀναλοῦσι. Πολλοὶ δὲ τῶν ἀφορήτως πρὸς τὰ πάθη διατεθέντων παρὰ τοῖς μνήμασι τῶν ἀπελθόντων τὸν ἅπαντα κατῴκισαν ἑαυτοῖς χρόνον, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μή τινα παραμυθίαν ὑπὸ τῆς τῶν τόπων ἐλάμβανον ὄψεως. Καὶ τί λέγω τόπον καὶ τάφον; καὶ γὰρ ἱμάτιον μόνον πολλάκις τῶν ἀπελθόντων ὀφθὲν, καὶ ῥῆμα εἰς διάνοιαν ἐλθὸν, διήγειρε τὴν ψυχὴν καὶ τὴν μνήμην ἀνίστησι διαπίπτουσαν. Διὰ ταῦτα ἡμῖν τὰ λείψανα τῶν ἁγίων ἀφῆκεν ὁ Θεός.

Καὶ ὅτι οὐχ ἁπλῶς κομπάζων ταῦτα λέγω νῦν, ἀλλὰ πρὸς ὠφέλειαν τὴν ἡμετέραν τοῦτο γεγένηται, ἱκανὰ μὲν τὸν λόγον πιστώσασθαι καὶ τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν μαρτύρων γινόμενα θαύματα, καὶ τὸ

cum post vitæ finem nulla sit reliqua virtutis operumque occasio, quemadmodum nec athletis exacto certaminum tempore coronas nectere licet. Verum id gentiles quidem non abs re arbitrantur, quia spem suam illi intra hujus vitæ terminos incluserunt : nos vero, quibus obitus alterius illustriorisque vitæ initium est, ab hac opinione atque sententia longe absumus; quod autem id jure ac merito, in alia oratione probabitur : interim vero ea quæ post mortem a generoso illo Babyla præclare gesta sunt, magnam verbis meis fidem præstare possunt. Quia enim usque ad mortem pro veritate certavit, et usque ad sanguinem restitit contra peccatum depugnans, et ut ordinem, quem ipsi constituerat Rex ille magnus, non desereret, animam ipsam deposuit, omnique athleta splendidius occubuit : ipsum quidem deinceps cælum habuit, corpus autem, quod ad certamen ministraverat, terra occupat, ita ut creatura athletam diviserit. Atqui poterat ille et transferri ut Enoch, et rapi ut Helias, qui utriusque æmulator fuerit : at Deus ille clemens, qui infinitas nobis salutis occasiones contulit, hanc quoque nobis cum aliis aperuit viam, quæ nos posset ad virtutem evocare, sanctorum reliquias apud nos interim relinquens. Nam post sermonis virtutem secundum tenent ordinem sanctorum sepulcra, ad animos intuentium hominum ad imitationem concitandos. Ac siculbi quis ejusmodi capsæ astitit, statim ejus efficaciam sensu percipit. Etenim capsæ aspectus animum occupans, ipsum percellit et excitat, atque illum sic afficit, ac si ille qui jacet simul precaretur, adesset, videretur. Hinc alacritate plenus ille, qui sic affectus est, in alterumque virum mutatus, ita illinc redit. Probe autem animadvertet defunctorum phantasiam ex ipsis locis in viventium animis excitari, si quis cogitet, quomodo ii qui lugendi causa veniunt, statim atque ad sepulcra accesserunt, ac si vice urnæ eos qui in urna jacent stantes viderent, sic illos e limine statim compellent. Multi vero, intolerabili affecti dolore, prope sepulcra mortuorum domicilium sibi perenne constituerunt, id nequaquam facturi, nisi ex loci conspectu quidpiam consolationis perciperent. Ecquid de loco et sepulcro loquor? cum vestis sæpe sola mortuorum visa, aut verbum unum mente repetitum, animum excitarit, et labentem memoriam reduxerit. Ideo reliquias sanctorum nobis Deus concessit.

12. Me autem non hæc frustra jactitare, sed ad utilitatem nostram ita provisum esse, fidem facere possunt miracula, quæ a sanctis quotidie martyribus edantur, nempe multitudo ita ut dixi ab iis redeuntium virorum, nec minus,

πλῆθος τῶν οὕτως ἐπιστρεφόντων ἀνδρῶν· οὐχ ἧττον δὲ ἐκείνων, καὶ τὰ τοῦ μακαρίου τούτου κατορθώματα τὰ μετὰ τὴν τελευτήν. Ἐπειδὴ γὰρ ἐτάφη καθὼς ἐπέσκηψε, καὶ χρόνος παρῆλθε μακρὸς μετὰ τὴν ταφήν, ὡς ὀστᾶ λείπεσθαι μόνον καὶ κόνιν ἐν τῇ σορῷ, ἔδοξέ τινι τῶν μετὰ ταῦτα βασιλευσάντων εἰς τὸ προάστειον τουτὶ τὴν Δάφνην ἀπενεχθῆναι τὴν λάρνακα, ἔδοξε δὲ τοῦ Θεοῦ πρὸς τοῦτο κινήσαντος τὴν τοῦ βασιλέως ψυχήν. Ὡς γὰρ εἶδε τὸ χωρίον ὑπὸ τῆς τῶν νέων ἀσελγείας τυραννούμενον, καὶ κινδυνεῦον ἄβατον εἶναι τοῖς σεμνοτέροις καὶ ἐπιεικῶς βουλομένοις βιοῦν, ἐλεήσας αὐτὸ τῆς ἐπηρείας, ἔπεμψε τὸν ἀμυνοῦντα τὴν ὕβριν. Ὁ μὲν γὰρ Θεὸς αὐτὸ καλόν τε καὶ ἐπέραστον εἰργάσατο καὶ τῇ τῶν ὑδάτων ἀφθονίᾳ καὶ ὥρᾳ, καὶ τῇ φύσει τῆς γῆς, καὶ τῇ τῶν ὡρῶν εὐμοιρίᾳ, οὐχ ἵνα ἁπλῶς ἀναπαυώμεθα, ἀλλ' ἵνα καὶ ὑπὲρ τούτου τὸν ἀριστοτέχνην δοξάζωμεν· ὁ δὲ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς, καὶ εἰς τοὐναντίον ἀεὶ καταχρώμενος ταῖς τοῦ Θεοῦ δωρεαῖς, τῷ πλήθει τῶν διεφθαρμένων νέων καὶ ταῖς τῶν δαιμόνων οἰκήσεσι τὸ χωρίον προκαταλαβών, ἐπεφήμισεν αὐτῷ τινα καὶ μῦθον αἰσχρὸν, ὥστε ἀναθεῖναι διὰ τούτου τῷ δαίμονι τοῦ προαστείου τὴν χάριν· ὁ δὲ μῦθος τοιοῦτος ἦν. Τὴν Δάφνην κόρην οὖσάν φησι, καὶ θυγατέρα τοῦ Λάδωνος ποταμοῦ — καὶ γὰρ ποταμοὺς γεννῶντας εἰσάγειν, καὶ τὰ γεννώμενα εἰς ἀναίσθητα μεταβάλλειν, καὶ πολλὰ τοιαῦτα αὐτῷ τερατεύεσθαι ἔθος ἀεί. Ταύτην οὖν τὴν κόρην εὔμορφον οὖσαν ἰδεῖν ποτε τὸν Ἀπόλλω φησὶ, καὶ ἰδόντα παθεῖν τι πρὸς αὐτὴν, καὶ παθόντα διώκειν ὥστε ἑλεῖν· τὴν δὲ φεύγειν, καὶ φεύγουσαν ἐπιστῆναί τε τῷ προαστείῳ, καὶ τὴν μητέρα τὴν ὕβριν ἀμῦναι ταύτην αὐτῇ· διαστῆναί τε γὰρ εὐθέως καὶ δέξασθαι τὴν παρθένον, καὶ ἀντὶ τῆς παιδὸς ἀναδοῦναι φυτὸν ἐπώνυμον τῇ παιδί· τὸν δὲ ἀκόλαστον ἐραστὴν ἀποτυχόντα τῶν παιδικῶν, περιπλακῆναί τε τῷ δένδρῳ, καὶ οἰκειώσασθαι καὶ τὸ φυτὸν καὶ τὸν τόπον, καὶ προσεύχεσθαι τῷ χωρίῳ λοιπὸν, καὶ τοῦτο πάσης τῆς γῆς μάλιστα ἀσπάζεσθαι καὶ φιλεῖν· κελεῦσαί τε τὸν βασιλεύοντα τότε νεῶν αὐτῷ δεῖμασθαι καὶ βωμὸν, ἵν' ἔχῃ παραμυθεῖσθαι διὰ τοῦ τόπου τὴν μανίαν ὁ δαίμων.

Καὶ ὁ μὲν μῦθος οὗτος, ἡ δὲ ἀπὸ τοῦ μύθου γινομένη βλάβη οὐκέτι μῦθος ἦν. Ἐπειδὴ γὰρ οἱ τῶν νέων ἀκόλαστοι φθάσαντες, ὅπερ ἔφην, ἐξύβρισαν εἰς τὸ τοῦ προαστείου κάλλος, ἐπὶ κώμοις καὶ μέθαις τὰς ἐκεῖ ποιούμενοι διατριβὰς, βουλόμενος τοῦτο ἐπιθοθῆναι τὸ κακὸν ὁ διάβολος, τόν τε μῦθον ἔπλασε, καὶ τὸν δαίμονα κατῴκισεν, ὡς καὶ ἀσελγείας καὶ ἀσεβείας ὑπέρκαυμα γενέσθαι μεῖζον τὴν ἱστορίαν ταύτην αὐτοῖς. Πρὸς δὴ τὴν λύσιν τῶν τοσούτων κακῶν εὗρε ταύτην τὴν σοφωτάτην μηχανὴν ὁ βασιλεὺς, τὸ μετοικίσαι τε τὸν ἅγιον, καὶ πέμψαι τὸν ἰατρὸν πρὸς τοὺς κάμνοντας. Διατάξει μὲν οὖν καὶ αὐθεντίᾳ βασιλικῇ τὴν εἰς τὸ προάστειον ἐγκόπτειν ὁδὸν τοῖς τὴν πόλιν οἰκοῦσιν, ἔδόκει τυραννίδος ἔργον εἶναι μᾶλλον καὶ ὠμότητος καὶ

quam illa, beati hujus viri etiam post obitum praeclara gesta. Postquam enim ita ut mandaverat sepultus est, longumque tempus post sepulturam effluxit, ita ut ossa tantum et pulvis in tumulo remaneant, visum est cuidam ex iis qui postea imperaverunt, in hoc suburbium Daphnen capsam adduci : idque visum est, Deo Imperatoris animum ad eam rem movente. Cum enim videret locum, adolescentium lascivia, ceu quadam tyrannide, obsessum, ita ut periculum esset, ne ab honestioribus, iisque qui probe vivere vellent, prorsus desereretur, misericordia motus super hujusmodi damno, misit qui contumeliam vindicaret. Deus enim locum illum amœnum et amabilem reddidit, et aquarum copia ac specie, et natura soli atque tempestatum temperie, non solum ut inde recrearemur, sed ut etiam ea de re optimum Opificem celebraremus. Salutis porro nostræ inimicus, qui Dei donis semper in contrarium abutitur, corruptorum juvenum turbæ dæmonumque domiciliis occupatum ab se locum addicens, turpi fabula famam ejus dehonestavit, qua fabula suburbii gratia dæmoni consecraretur. Fabula autem hujusmodi est. Daphne puella erat, filia Ladonis fluvii : nam fabulæ mythicæ mos semper fuit fluvios gignentes inducere, proiem eorum in res sensu carentes mutare, et multa hujusmodi portentosa fingere. Hanc porro puellam admodum formosam *Apollinem* quondam vidisse narrant, ejusque amore captum *fuisse*; insequentem, ut caperet, fugisse puellam, et in hoc suburbio substitisse. Tum *Terram* matrem ejus opem tulisse filiæ suæ, ne injuriam pateretur, atque aperto statim gremio virginem excepisse, ac pro puella plantam ejusdem nominis edidisse; lascivumque amatorem amoribus suis fraudatum, arborem complexum esse, ac tum plantam, tum locum ipsum sibi proprium effecisse : hinc considere in loco semper, eumque cæteris, quæ per orbem sunt, anteferre, ac præ omnibus diligere. Aiunt item regem qui tunc imperabat, templum et aram construxisse, quo posset dæmon insaniam suam per eum locum consolari.

Hæc est fabula, damnum vero ex fabula exortum non jam fabula fuit. Postquam enim juvenes lascivi suburbii pulchritudinem contaminarunt, ut dictum est, ibidem in comessationibus et ebrietate victitantes, ut hoc malum in dies propagaretur, diabolus fabulam effinxit, dæmonemque ibi constituit, ut hæc historia majus illis lasciviæ et impietatis incendium pararet. Ad tanta igitur tollenda mala hunc sapientissimum modum excogitavit Imperator, ut sanctum illum transferret, et medicum ægris mitteret. Nam si jussione et auctoritate imperatoria civibus iter ad suburbium interdixisset, id tyrannicum, imo crudelitatis

ἀγροικίας πολλῆς· εἰ δὲ προύθηκεν ὅτι οἱ μὲν ἐπιτιχίστεροι καὶ μετριώτεροι ἀναβαινέτωσαν, οἱ δὲ ἀσελγεῖς καὶ ἀκόλαστοι κωλυέσθωσαν, ἄπορον ἦν τὸ ἐπίταγμα, καὶ δίκας ἐχρῆν καθ' ἑκάστην γίνεσθαι τὴν ἡμέραν, τῆς ἑκάστου κρινομένης ζωῆς· μόνην δὲ τῶν τοσούτων δεινῶν διέξοδον ἀρίστην, τὴν τοῦ μακαρίου γενέσθαι παρουσίαν· τήν τε γὰρ τοῦ δαίμονος διαλῦσαι δύναμιν, καὶ τὴν τῶν νέων ἐπιστρέψαι διάχυσιν, ἱκανὸν εἶναι τὸν μάρτυρα· καὶ οὐκ ἐσφάλη τῆς ἐλπίδος. Ἅμα τε γὰρ ἐφίσταταί τις τῇ Δάφνῃ, καὶ τὸ μαρτύριον εὐθέως ἀπὸ τῶν τοῦ προαστείου προθύρων ἰδὼν συστέλλεται, (καθάπερ τις νέος ἐν συμποσίῳ παιδαγωγὸν θεασάμενος ἐφεστῶτα καὶ παρακελευόμενον διὰ τῆς ὄψεως ἐν τάξει τῇ προσηκούσῃ πίνειν τε καὶ ἐσθίειν καὶ φθέγγεσθαι καὶ γελᾶν, φυλαττόμενος μήπου τὸ μέτρον ὑπερβὰς τὴν δόξαν αἰσχύνῃ τὴν ἑαυτοῦ,) γενόμενος δὲ ὑπὸ τῆς ὄψεως εὐλαβέστερος, καὶ τὸν μακάριον φαντασθείς, πρὸς τὴν λάρναχα εὐθέως ἐπείγεται, καὶ ἐλθὼν ἐκεῖ, μείζονά τε προσλαμβάνει φόβον, καὶ πᾶσαν ὀλιγωρίαν ἐκβαλών, καὶ γενόμενος πτηνὸς, οὕτως ἄπεισι. Καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας δεχόμενος ἀπὸ τῆς ὁδοῦ, μετὰ τοιαύτης σωφροσύνης παραπέμπει πρὸς τὴν τῆς Δάφνης ἀνάπαυσιν, μόνον οὐκ ἐκείνην αὐτοῖς ἐπιβοῶν τὴν φωνήν, « Ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ, » καὶ τὸ ἀποστολικὸν προστιθείς « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε· » τοὺς δὲ εἰς τὴν πόλιν κατιόντας μετὰ τὴν τρυφήν (εἰ συμβαίη ῥᾳθυμότερον διατεθέντας ἀποῤῥῖψαι τὸν χαλινὸν καὶ εἰς κραιπάλην καὶ εἰς ἄτοπον ἐξενεχθῆναι τρυφήν) δεξάμενος πάλιν μεθύοντας εἰς τὸ αὐτοῦ καταγώγιον, οὐκ ἀφίησι τὴν ἀπὸ τῆς μέθης βλάβην ἔχοντας οἴκαδε ἀπελθεῖν, ἀλλὰ σωφρονίσας τῷ φόβῳ, πρὸς τὴν αὐτὴν ἐπανάγει νῆψιν, ἣν καὶ πρὸ τοῦ τῇ μέθῃ βαπτισθῆναι ἐφύλαττον. Καὶ γὰρ ὥσπερ τις αὔρα λεπτὴ τοὺς ἐν τῷ μαρτυρίῳ γενομένους περιπνεῖ πάντοθεν, αὔρα οὐκ αἰσθητή τις, οὐδὲ σωμάτων αὐξητική, ἀλλ' εἰς αὐτὴν ἱκανὴ διαδῦναι τὴν ψυχήν, καὶ καταστέλλουσα πάντοθεν αὐτὴν εὐσχημόνως, καὶ πᾶν γήϊνον περικόπτουσα βάρος, ἀναπαύει τε καὶ κουφοτέραν ἐργάζεται τὴν βεβαρημένην καὶ καταπίπτουσαν.

Καὶ τὸ μὲν τῆς Δάφνης κάλλος καὶ τοὺς ῥᾳθυμοτέρους ἐκκαλεῖται πρὸς ἑαυτήν· ὁ δὲ μάρτυς καθάπερ ἐν ἁλείᾳ τινὶ καθήμενος καὶ λοχῶν τοὺς εἰσιόντας, κατέχει τέως αὐτοὺς, καὶ ῥυθμίσας πρότερον, οὕτως ἀφίησιν, οὐχ ὑβριστικῶς, ἀλλὰ σεμνῶς τῇ ἐρωμένῃ χρησομένους λοιπόν. Ἐπειδὴ γὰρ τῶν ἀνθρώπων οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ διὰ φροντίδας βιωτικὰς, οὐκ ἐθέλουσιν εἰς τὰς τῶν μαρτύρων θήκας ἁπάντων ἀφικνεῖσθαι, ᾠκονόμησεν ὁ Θεὸς τούτῳ σαγηνεύεσθαι τῷ τρόπῳ, καὶ τῆς θεραπείας αὐτοὺς ἀπολαύειν τῆς ἐν τῇ ψυχῇ· καὶ γίνεται παρόμοιον ὥσπερ ἂν εἴ τις τὸν κάμνοντα ὠφέλιμα φάρμακα προσίεσθαι μὴ καταδεχόμενον μεθοδεύσειεν ἡδύσματι τὸ φάρμακον ἐγκατακρύψας τινί. Τῷ γοῦν χρόνῳ θεραπευόμενοι εἰς τοῦτο κατέστησαν, ὡς μηκέτι

feritatisque plenum visum esset; sin probos modestosque solum adire permisisset, lascivis autem intemperantibusque aditum interclusisset, difficultatis plenum fuisset decretum, unde quotidie lites oboriri necesse erat, dum singulorum vita disquireretur. Itaque solam sancti viri præsentiam hisce malis optimum exitum allaturam esse putavit: martyrem quippe solvendæ dæmonis potentiæ juvenumque luxui emendando parem esse intelligebat: neque spe lapsus est. Statim enim atque Daphnen quis advenit, et a suburbii limine martyrium conspicit, sic reprimitur, ac si quis juvenis in convivio pædagogum adstantem intuens, atque oculo præcipientem, ut decore servato bibat, comedat, loquatur, rideat, caveatque ne modum excedens existimationem suam dehonestet: tali aspectu religiosior factus, beatumque illum animo sibi repræsentans, ad capsam statim properat; quo cum pervenerit, majore afficitur metu: mox ignavia procul abacta, ceu volatilis effectus, ita discedit. Atque eos, quos ex urbe ascendentes offendit, statim a via tali cum temperantia Daphnen recreatum mittit, tantum non vocem illam inclamans (*Psal.* 2. 11), *Exsultate Domino in tremore,* illudque apostolicum (1 *Cor.* 10. 31) adjiciens, *Sive manducatis, sive bibitis, sive aliud quid facitis, omnia ad gloriam Dei facite.* Eos autem qui in urbem descendunt post delicias (si quidem contingat excusso freno licentius egisse, atque in crapulam absurdasque delicias delapsos esse), eos, inquam, ebrios in diversorio suo exceptos non sinit ebrietatis damno affectos domum abire, sed incusso timore ad eamdem temperantiam adducit, quam servabant antequam in ebrietatem demergerentur. Etenim quasi tenuis quædam aura eos qui in martyrio fuerunt, undique perflat; aura, inquam, non sensibilis, nec augendo corpori apta, sed quæ in ipsam animam penetret, eamque undique decenter componat, omnem terrenam molem præscindat, eamque aggravatam et labentem recreet ac leviorem reddat.

13. Et quidem Daphnes pulchritudo vel segniores ad se illicit: martyr vero ceu in aliquo loco piscationi idoneo sedens, ac ingredientibus insidias parans, eos interim detinet, et prius decenter affectos, sic dimittit, ut amata non contumeliose, sed temperanter in posterum utantur. Quia enim ex hominibus alii segnitie, alii sæcularibus curis abducti, nolunt martyrum thecas adire, ideo providit Deus ut hoc irretirentur modo, et animæ curatione medelaque fruerentur. Et perinde accidit ac si quis ægrum congruentia remedia admittere nolentem, pharmacum dulci condimento obductum offerens, deciperet. Sic igitur paulatim

τὴν τρυφὴν μόνον, ἀλλὰ καὶ τοῦ ἁγίου τὴν ἐπιθυμίαν τῆς ἐπὶ τὸ προάστειον ἀνόδου πρόφασιν γίνεσθαι τοῖς πολλοῖς· μᾶλλον δὲ οἱ μὲν ἐπιεικέστεροι διὰ τοῦτο μόνον ἐκεῖσε ἔρχονται, οἱ δὲ ἐκείνων ἐλάττους δι' ἀμφότερα, οἱ δὲ ἔτι τούτων ἀτελέστερον διακείμενοι διὰ μόνην μὲν ἀναβαίνουσι τὴν τρυφήν· ἐπειδὰν δὲ παραγένωνται, καλέσας αὐτοὺς ὁ μάρτυς καὶ ἑστιάσας τοῖς αὐτοῦ, καὶ καθοπλίσας καλῶς, οὐδὲν ἀφίησι δεινὸν παθεῖν· καὶ ἔστιν θαυμαστὸν τὸ ἐκεῖ γινόμενον σωφρονῆσαί τινα τῶν ἁβρῶν καὶ ῥᾳθύμων, οἷον ἐκ μέσης μανίας ἀνενεγκεῖν, ἢ εἰς κάμινον ἐμπεσόντα μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν. Τῆς τε γὰρ νεότητος, καὶ τῆς τόλμης τῆς ἀλόγου, καὶ τοῦ οἴνου, καὶ τῆς πλησμονῆς, φλογὸς χαλεπώτερον περισταμένων τοὺς λογισμούς, ἡ παρὰ τοῦ μακαρίου δρόσος διὰ τῶν ὄψεων εἰς τὴν τῶν ὁρώντων καταβαίνουσα ψυχὴν τήν τε φλόγα ἐκοίμισε, καὶ τὸν ἐμπρησμὸν ἔστησε, καὶ πολλὴν τῆς διανοίας κατέσταξε τὴν εὐλάβειαν.

Καὶ τῆς μὲν ἀσελγείας τὴν τυραννίδα οὕτως ὁ μακάριος κατέλυσε· πῶς δὲ καὶ τοῦ δαίμονος τὴν δύναμιν ἔσβεσε; Πρῶτον μὲν τούτοις αὐτοῖς ἄπρακτον αὐτοῦ καὶ τὴν προσεδρείαν καὶ τὴν ἀπὸ τοῦ μύθου βλάβην ἐργασάμενος, ὕστερον δὲ καὶ αὐτὸν ἀπελάσας τὸν δαίμονα. Πρὶν ἢ δὲ τὸν τρόπον τῆς διώξεως εἰπεῖν, ἐκεῖνο ὑμᾶς ἐπισημήνασθαι ἀξιῶ, ὅτι οὐχ εὐθέως αὐτὸν ἀνελθὼν ἐξέβαλεν, ἀλλὰ μένοντα εἰργάσατο ἄπρακτον, καὶ ἐπεστόμισε, καὶ τῶν λίθων ἀπέφηνεν ἀφωνότερον· τοῦ δὲ ἀπελάσαι τὸ μένοντος περιγενέσθαι οὐκ ἔλαττον ἦν. Καὶ ὁ πάντας πανταχοῦ πρότερον ἀπατῶν οὐδὲ πρὸς τὴν κόνιν ἀντιβλέψαι ἐτόλμησε τοῦ μακαρίου Βαβύλα· τοσαύτη τῶν ἁγίων ἡ δύναμις, οὓς ζώντων μὲν οὐδὲ τὰς σκιὰς φέρουσιν, οὐδὲ τὰ ἱμάτια, τελευτησάντων δὲ καὶ τὰς λάρνακας τρέμουσιν. Ὥστε εἴ τις ἀπιστεῖ τοῖς ὑπὸ τῶν ἀποστόλων γεγενημένοις, τὰ παρόντα θεωρῶν παυέσθω τῆς ἀναισχυντίας ποτέ. Ὁ γὰρ πάντα τὰ τῶν Ἑλλήνων πάλαι κυκῶν, καθάπερ ὑπὸ δεσπότου τοῦ μάρτυρος ἐπιτιμηθείς, ἐπαύσατο τῆς ὑλακῆς, καὶ οὐδὲν ἐφθέγγετο. Καὶ τὸ μὲν πρῶτον ἐδόκει διὰ τὸ μὴ μετέχειν θυσιῶν καὶ τῆς ἄλλης θεραπείας τοῦτο ποιεῖν. Τοιοῦτος γὰρ ὁ τῶν δαιμόνων τρόπος· ὅταν μὲν τῇ κνίσῃ καὶ τῷ καπνῷ καὶ τοῖς αἵμασιν αὐτοὺς θεραπεύωσι, καθάπερ κύνες αἱμοβόροι καὶ λίχνοι παραγίνονται λάψοντες· ὅταν δὲ μηδεὶς ὁ ταῦτα παρέχων ᾖ, καθάπερ τινὶ λιμῷ διαφθείρονται. Καὶ τῶν μὲν θυσιῶν καὶ τῶν αἰσχρῶν ἐπιτελουμένων τελετῶν — οὐδὲν γὰρ αὐτῶν ἕτερον τὰ μυστήρια, ἀλλ' ἢ ἔρωτες ἄτοποι, καὶ παίδων ὕβρεις, καὶ γάμων διαφθοραὶ, καὶ οἰκιῶν ἀνατροπαί· τῶν γὰρ φόνων τοὺς σκαιοὺς τρόπους καὶ τὰ τῶν φόνων ἀνομώτερα δεῖπνα ἀφίημι νῦν· ἀλλ' ὅμως τούτων μὲν τελουμένων πάρεισι καὶ εὐφραίνονται, κἂν κακοῦργοι, κἂν γόητες, κἂν λοιμοὶ οἱ ταῦτα τελοῦντες ὦσι· μᾶλλον δὲ οὐδέ εἰσιν ἕτεροί τινες οἱ ταῦτα διακονούμενοι. Σώφρων γὰρ ἀνὴρ καὶ ἐπιεικὴς καὶ σεμνὸς οὐκ ἂν ἀνέσχοιτο κώμου

ad sanitatem reducti, eo pervenerunt, ut non jam deliciæ solum, sed etiam sancti desiderium suburbium adeundi occasio sit multis; imo vero qui modestiores sunt, hac una de causa illo accedunt; qui in minori gradu, utriusque rei causa; qui vero his etiam imperfectiores sunt, ob delicias tantum eo ascendunt: cum autem eo advenerunt, accitos martyr cum suis epulis exceperit, optima munitos armatura, non sinit quidpiam mali pati: perindeque mirum est quod illic fit, nimirum mollem et socordem aliquem temperantem fieri, id est ex media insania sanum emergere, ac si quis in fornacem illapsus nihil ex igne damni pateretur. Nam dum juventus, petulans audacia, vinum, satietas qualibet flamma vehementius cogitationem invadunt, ros a beato viro immissus, per oculos in ipsam descendens animam, flammam sopit, incendium extinguit, magnamque pietatem in animum instillat.

Sic igitur sanctus ille lasciviæ tyrannidem solvit. Quo autem pacto dæmonis potestatem exstinxit? Primo quidem illis ipsis quæ dixi obsessionem ejus atque fabulæ noxam inutilem et inefficacem reddidit, deinde ipsum dæmonem prorsus exegit. Verum antequam ejectionis modum dicam, illud vos animadvertere rogo, eum scilicet non statim atque advenit dæmonem expulisse, sed manentem illum agendis rebus ineptum reddidisse, osque illi obturasse, ita ut plusquam lapides mutum ipsum redderet: nec minus erat manentem superare, quam expellere. Ac qui prius omnes ubique homines decipiebat, ne cinerem quidem beati Babylæ respicere audebat: tanta est sanctorum potestas, quorum viventium ne umbras quidem neque vestimenta ferunt, mortuorum vero capsas tremunt. Itaque si quis apostolorum gestis fidem non habet, his saltem conspectis impudentiam tandem ponat. Nam qui omnia, quæ gentilium erant, olim conturbabat, a martyre tamquam ab hero increpatus latrandi finem fecit, nec ultra loquutus est. Ac primo quidem videbatur, quod sacrificiorum cæterique cultus particeps non esset, id facere. Hic enim dæmonum mos est: cum homines nidore, fumo sanguineque ipsos colunt, tamquam canes sanguinarii et voraces lambendi causa adsunt; cum autem ruraus nemo quidquam præbet hujusmodi, quasi fame pereunt. Dum sacrificia offeruntur, dum turpia celebrantur mysteria — nihil enim aliud sunt gentilium mysteria, quam obscœni amores, puerorum contumelia, adulteria, domorum subversiones; mitto nunc cædium stolidos modos, ac ipsis cædibus iniquiores cœnas: dum hæc, inquam, celebrantur, adsunt et lætantur, etiamsi malefici, etiamsi præstigiatores, etiamsi pestes sint, qui talia peragunt mysteria; imo vero non alii sunt qui hæc administrant. Sapiens enim vir, prolus ac modestus nec comessationem nec ebrietatem admittit, nec obscœnum

καὶ μέθης, οὐδὲ ῥῆμα αἰσχρὸν οὔτε αὐτὸς ἐκβαλεῖν οὔτε ἑτέρου τινὸς τοιαῦτα ἀσχημονοῦντος ἀκοῦσαι. Καίτοι γε ἐχρῆν, εἰ τῆς ἀρετῆς ἐπεμελεῖτο τῆς ἀνθρωπίνης καὶ τῆς εὐζωίας τῶν προσκειμένων αὐτῷ λόγον εἶχε βραχύν, μηδὲν πλέον βίου ζητεῖν ἀρίστου καὶ τρόπων ὀρθότητος, καὶ τὴν ἀσχήμονα πᾶσαν ἐκείνην ἀρεῖναι θοίνην. Ἀλλ' ἐπειδὴ τῆς τῶν ἀνθρώπων ἀπωλείας αὐτοῖς οὐδὲν προτιμότερον, τούτοις καὶ τέρπονται καὶ τιμᾶσθαι λέγουσιν, ἃ τὸν βίον ἀνατρέπειν εἴωθε τὸν ἡμέτερον καὶ πάντα ἐκ βάθρων ἀνασπᾶν τὰ καλά.

Τὸ μὲν οὖν πρῶτον ἐδόκει καὶ οὗτος διὰ τοῦτο σιγᾶν, ἠλέγχετο δὲ ὕστερον ἰσχυρᾷ πεπεδημένος ἀνάγκῃ. Ὁ γὰρ ἀναγκάζων φόβος αὐτὸν ἀντὶ χαλινοῦ τινος ἐπικείμενος ἐκώλυε τῇ συνήθει χρῆσθαι κατὰ τῶν ἀνθρώπων ἀπάτῃ. Πόθεν τοῦτο δῆλον; Ἀλλὰ μὴ θορυβηθῆτε· πρὸς γὰρ αὐτὴν βαδιοῦμαι τὴν ἀπόδειξιν, μεθ' ἣν οὐδὲ τοῖς μεμελετηκόσιν ἀναισχυντεῖν ἐξέσται τοῦτο ποιεῖν, οὐ περὶ τῶν παλαιῶν ἐκείνων, οὐ περὶ τῆς τοῦ μάρτυρος δυνάμεως, οὐ περὶ τῆς τοῦ δαίμονος ἀσθενείας. Οὐδὲ γὰρ δέομαι στοχασμοῖς τισι καὶ δι' εἰκότων τοῦτο ποιῆσαι φανερόν, ἀλλ' αὐτὴν τοῦ δαίμονος τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν. Αὐτὸς γὰρ ὑμῖν καιρίαν ἔδωκα τὴν πληγήν, καὶ τὴν παῤῥησίαν ὑμῶν πᾶσαν ἐξέκοψεν. Ἀλλὰ μὴ ὀργίζεσθε αὐτῷ· οὐ γὰρ ἑκὼν τὰ αὐτοῦ κατέβαλεν, ἀλλ' ἀναγκαζόμενος ὑπὸ μείζονος δυνάμεως τοῦτο ἔπραττε.

Πῶς δὲ τοῦτο γέγονε, καὶ τίς ὁ τρόπος; Τοῦ βασιλέως τελευτήσαντος τοῦ τὸν μάρτυρα ἀναγαγόντος, τὸν ἀδελφὸν τὸν ἐκείνου παρήγαγεν εἰς μέσον διαδεξόμενον τὴν ἀρχήν ὁ καὶ ἐκείνῳ πρότερον δοὺς τὴν τιμήν· καὶ δέχεται χωρὶς τοῦ διαδήματος τὴν βασιλείαν οὗτος· τοσοῦτον γὰρ καὶ τῆς τἀδελφοῦ τοῦ τετελευτηκότος ἐξουσίας τὸ μέτρον ἦν. Ὅτις δὲ ὢν καὶ μιαρὸς, τὸ μὲν πρῶτον τὰ τοῦ Χριστοῦ φρονεῖν ὑπεκρίνατο, διὰ τὸν τὴν ἀρχὴν αὐτῷ δεδωκότα· ὡς δὲ καὶ οὗτος τὸν βίον μετῆλλαξε, ῥίψας τὸ προσωπεῖον λοιπὸν, γυμνῇ τῇ κεφαλῇ, ἣν πάλαι ἔχων δεισιδαιμονίαν ἔκρυπτε, ταύτην εἰς μέσον ἐξήγαγε, καὶ πᾶσιν ἐποίει φανερόν· καὶ προστάγματα πανταχοῦ τῆς οἰκουμένης κατεπέμπετο τοὺς ναοὺς ἐπισκευάζεσθαι τῶν εἰδώλων, τοὺς βωμοὺς ἀνίστασθαι, τὰς παλαιὰς τοῖς δαίμοσιν ἀποδίδοσθαι τιμάς, προσόδους αὐτοῖς γίνεσθαι πολλὰς πολλαχόθεν. Ἐντεῦθεν μάγοι, καὶ γόητες, καὶ μάντεις, καὶ οἰωνοσκόποι, καὶ μηναγύρται, καὶ πάσης ἐργαστήρια μαγγανείας πάντοθεν ἀπὸ τῆς οἰκουμένης συνέτρεχον, καὶ ἦν ἰδεῖν τὰ βασίλεια ἀνδρῶν ἀτίμων καὶ φυγάδων πλήρουμενα. Οἱ μὲν γὰρ ὑπὸ τοῦ λιμοῦ πάλαι διαφθειρόμενοι, οἱ δὲ ἐπὶ ταῖς φαρμακείαις καὶ ταῖς κακουργίαις ἁλόντες, δεσμωτήριά τε οἰκοῦντες, καὶ μέταλλα ἐργαζόμενοι, ἄλλοι δὲ ἐξ ἐπιτηδευμάτων αἰσχρῶν μόλις δυνάμενοι διαζῆν, ἱερεῖς καὶ ἱεροφάνται ἀναφανέντες ἐξαίφνης, ἐν πολλῇ ἦσαν τῇ τιμῇ. Καὶ ὁ βασιλεὺς στρατηγοὺς μὲν καὶ ἄρχοντας παρεπέμπετο καὶ οὐδενὸς ἀξίου λόγου,

verbum emittere, neque alium talia proferentem audire sustineat. Atqui oportebat, si de hominum virtute sollicitus esset, et si sequacium suorum felicitatem vel tantillum curaret, nihil potius requirere, quam vitam optimam morumque probitatem, atque illas omnes turpissimas dapes relinquere. Sed quia hominum pernicie nihil ipsis optatius est, iis lætantur seseque honorari dicunt, quæ vitam nostram subvertere, omniaque bona funditus evellere solent.

14. Primo quidem videbatur hic quoque dæmon ideo tacere; sed ut postea palam factum est, violenta necessitate præpeditus erat : metus enim imminens instar freni, ne solita contra homines fraude uteretur, impediebat. Unde hoc liquet? Sed ne tumultuemini; nam ad id ipsum demonstrandum propero, postea vero ne iis quidem, qui impudenter agere meditantur, id licebit; non circa vetera illa id facere poterunt, non circa martyris potestatem, non circa dæmonum infirmitatem. Non conjecturis enim, non verisimilitudine ad id liquido demonstrandum opus habeo, sed ipsum dæmonis super his testimonium exhibebo. Ipse enim letalem vobis plagam inflixit, vestramque omnem fiduciam præcidit. At vos ne illi succenseatis : non enim sponte res suas prostravit, sed majori coactus virtute id fecit.

Id vero quo modo et qua ratione factum est? Mortuo eo Imperatore, qui martyrem illic posuerat, fratrem ejus imperium susceperum in medium produxit is, qui illi quoque prius hunc honorem contulerat : atque hic sine diademate imperium accipit : par enim erat etiam defuncto fratri dignitatis mensura. Cum autem hic præstigiator ac scelestus esset, primo quidem ejus gratia qui sibi principatum dederat, Christianum se esse simulavit; illo autem vita functo, abjecta larva, perfricta fronte, quam antea intus celaverat superstitionem in medium productam nemini non manifestam fecit : tum mandata in omnes partes terrarum mittebantur, ut idolorum templa instaurarentur, aræ excitarentur, pristini dæmonibus honores redderentur, et multi illis proventus attribuerentur. Hinc magi, præstigiatores, vates, haruspices, menagyrtæ, omnesque præstigiarum officinæ undique ex toto orbe concurrebant; videreque erat regiam ipsam infamibus fugitivisque viris refertam. Nam qui fame olim peribant, qui in maleficiis veneficiisque deprehensi, qui carceri mancipati, qui ad metalla damnati fuerant; alii quoque qui sordidis artibus victum parare vix poterant, sacerdotes et sacri vates statim effecti magno in honore erant. Et imperator quidem

ἄνδρας δὲ ἡταιρηκότας, καὶ τὰς ἀπὸ τοῦ τέγους γυναῖκας ἀναστήσας ἀπὸ τῶν οἰκημάτων, ἐν οἷς προεστήκεισαν, μεθ' ἑαυτοῦ τὴν πόλιν ἅπασαν περιῆγε καὶ τοὺς στενωπούς. Καὶ ὁ μὲν ἵππος ὁ βασιλικὸς καὶ οἱ δορυφόροι πάντες ὄπισθεν ἐκ πολλοῦ τοῦ διαστήματος εἵποντο, πορνοβοσκοὶ δὲ ἄνδρες καὶ γυναῖκες προαγωγοὶ καὶ πᾶς ὁ τῶν ἡταιρηκότων χορὸς τὸν βασιλέα κυκλώσαντες εἶχον ἐν μέσῳ διὰ τῆς ἀγορᾶς βαδίζοντες, καὶ τοιαῦτα φθεγγόμενοι, καὶ οὕτως ἀναχαγχάζοντες, ὡς τοὺς ἐκ τῆς ἐργασίας ἐκείνης εἰκὸς ἦν. Ταῦτα δὲ οἶδα μὲν ὅτι τοῖς μεθ' ἡμᾶς γεννησομένοις ἄπιστα εἶναι δόξει, διὰ τὴν τῆς ἀτοπίας ὑπερβολήν· οὐδὲ γὰρ ἂν ἰδιώτην τῶν εὐτελῶς καὶ αἰσχρῶς βεβιωκότων ἐλέσθαι τοιαῦτα δημοσίᾳ ἀσχημονεῖν· ἀλλὰ πρὸς μὲν τοὺς ἔτι ζῶντας οὐδενὸς δέομαι λόγου· οἱ γὰρ παρόντες καὶ θεασάμενοι ταῦτα γινόμενα, οὗτοι καὶ λεγόμενα ἀκούουσι νῦν. Διὰ γάρ τοι τοῦτο τῶν μαρτύρων ἔτι περιόντων γράφω, ἵνα μή τίς με τὰ παλαιὰ διηγούμενον ἐν οὐκ εἰδόσι μετὰ πολλῆς ψεύσασθαι τῆς ἐξουσίας νομίζῃ. Τῶν γὰρ ταῦτα θεασαμένων ἔτι καὶ γέροντες καὶ νέοι περίεισιν, οὓς ἀξιῶ πάντας, εἴ τι παρ' ἐμοῦ προστέθειται, προσιέναι καὶ διελέγχειν. Ἀλλὰ προστεθέντα μὲν οὐκ ἂν ἐλέγξαιεν, ἐλλείποντα δὲ μόνον· οὐδὲ γὰρ οἷόντε πᾶσαν αὐτοῦ τῷ λόγῳ παραστῆσαι τῆς ἀσχημοσύνης τὴν ὑπερβολήν. Πρὸς δὲ τοὺς μετὰ ταῦτα ἀπιστήσοντας ἐκεῖνο ἂν εἴποιμι, ὅτι ὁ δαίμων ὁ παρ' ὑμῖν, ὃν Ἀφροδίτην καλεῖτε, οὐκ αἰσχύνεται τοιούτους ἔχων θεραπευτάς. Οὐδὲν οὖν θαυμαστὸν καὶ τὸν δείλαιον ἐκεῖνον, τὸν ἅπαξ ἑαυτὸν ἐκδεδωκότα τῷ τῶν δαιμόνων γέλωτι, μὴ ἐγκαλύπτεσθαι ἐφ' οἷς οἱ παρ' αὐτῷ θεραπευόμενοι σεμνύνονται θεοί. Τί ἄν τις λέγοι τὰς νεκυομαντείας, τὰς τῶν παίδων σφαγάς; Αἱ γὰρ θυσίαι ἐκεῖναι αἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας τολμώμεναι, μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ καταστᾶλεῖσαι, ἐτολμῶντο πάλιν, φανερῶς μὲν οὐκέτι· εἰ γὰρ καὶ βασιλεὺς ἦν, καὶ μετ' ἐξουσίας ἅπαντα ἔπραττεν, ἀλλ' ὅμως ἡ τῆς τῶν δρωμένων ἀνοσιότητος ὑπερβολὴ τῆς ἐξουσίας τὸ μέγεθος ἤλεγχεν· ἐτολμῶντο δ' οὖν ὅμως.

Οὗτος δὴ οὖν ὁ βασιλεὺς εἰς τὴν Δάφνην συνεχῶς ἐνιὼν μετὰ πολλῶν μὲν ἀναθημάτων, μετὰ πολλῶν δὲ θυσιῶν, καὶ χειμάρρους αἱμάτων ἐργαζόμενος ἀπὸ τῆς τῶν θρεμμάτων σφαγῆς, ἐπέκειτο σφοδρῶς τὸν δαίμονα χρησμὸν ἀπαιτῶν καὶ ἀξιῶν ἀναιρεῖν ὑπὲρ τῶν κατὰ γνώμην αὐτῷ. Ὁ δὲ γενναῖος ἐκεῖνος,

> Καὶ ψάμμου τ' ἀριθμὸν εἰδὼς καὶ μέτρα θαλάσσης,
> Καὶ κωφοῦ συνιεὶς, καὶ οὐ λαλέοντος ἀκούων,

ὥς φησι, τὸ μὲν εἰπεῖν διαῤῥήδην καὶ σαφῶς, ὅτι Διὰ τὸν ἅγιον Βαβυλᾶν καὶ τὴν ἐκ γειτόνων δύναμιν ἐπιστομισθεὶς οὐ δύναμαι φθέγγεσθαι, παρητήσατο, δεδοικὼς μὴ γέλωτα παρὰ τοῖς θεραπευταῖς ὄφλοι τοῖς ἑαυτοῦ· βουλόμενος δὲ συσκιάσαι τὴν ἧτταν, εἶπε πρόφασιν τῆς σιγῆς, ἣ μᾶλλον αὐτὸν καταγελαστότερον ἀπέφηνε τῆς σιγῆς. Ἐκεῖνος μὲν γὰρ ἂν τὴν ἀσθένειαν μόνον ἀπε-

duces ac praefectos missos faciebat, nihilique ducebat, amasios autem viros, meretricesque e fornicibus ubi prostabant eductas, secum per urbem totam et viculos circumducebat: imperatorius autem equus, et praetoriani omnes a tergo procul sequebantur; lenones et lenae totusque amasiorum coetus Imperatorem in medio positum circumdantes per forum ambulabant, talia verba jactantes, tales cachinnos effundentes, quales par erat hujusmodi officinae homines. Scio quidem haec posteros nostros incredibilia putaturos esse, ob absurditatis magnitudinem: neque enim vel privatus homo ex iis qui vilem turpemque vitam duxerunt, tam indecore palam agere velit. Sed ad eos, qui etiamnum superstites sunt, nulla opus oratione: nam qui praesentes talia viderunt, haec jam audituri sunt. Ideo enim vivis etiamnum testibus haec scribo, ne quis me vetera quaedam ignorantibus narrantem magna licentia mentiri existimet. Ex iis enim qui ea viderunt et senes et juvenes adhuc supersunt, quos rogo omnes, ut si quid a me additum fuerit, accedant meque redarguant. Sed quod aliquid addiderim, me arguere non poterunt; quod omiserim, possunt: neque enim turpitudinis excessus omnis potest oratione repraesentari. Posteris vero non crediturisve haec dixerim, daemonem illum apud vos, quem Venerem vocatis, non pudere talibus uti ministris. *Nihil itaque* mirum est si miser ille, qui daemonum ludibrio sese prorsus addixerat, non pudore afficeretur de quibus ipsi dii, quos colendos existimabat, gloriabantur. Jam quid recenseas necromantias puerorumque caedes? Haec quippe sacrificia, quae ante Christi adventum homines offerre ausi sunt, postque ejus adventum cessaverunt, rursum instaurare aggressus est, non quidem palam: etiamsi enim Imperator esset et arbitratu suo omnia faceret, attamen facinoris impietas immanitasque ejus potestatis magnitudinem superabat: nihilominus tamen facere ausus est.

15. Hic igitur Imperator Daphnen frequenter cum multis donariis ascendens, plurimis oblatis sacrificiis, torrentesque sanguinis ex pecudum mactatione faciens, vehementer instabat oraculum a daemone quaerens, roganaque referri circa ea quae in mente versabat. At strenuus ille,

> Qui arenae numerum novit mensuramque maris,
> Et surdum intelligit, et mutum audit,

ut ipse ait [*Crœso, ap. Herodot.* I, 47], noluit quidem aperte palamque dicere, se ob beatum Babylam, vicinamque illam virtutem, obstructo esse ore, ac loqui non posse, veritus ne cultoribus suis risum moveret; sed celare volens cladem suam, praetextum quendam silentii edidit, qui eum magis ridiculum, quam ipsum silentium, declaravit: nam

κάλυψε τὴν ἑαυτοῦ, νυνὶ δὲ καὶ τὴν ἀσθένειαν καὶ τὴν ἀσχημοσύνην καὶ τὴν ἀναισχυντίαν ἔδειξε, τὰ ἀσυσκίαστα συσκιάζειν ἐπιχειρῶν. Τίς γὰρ ἡ πρόφασις; Νεκρῶν, φησὶν, ἐστὶ τὸ χωρίον ἡ Δάφνη μεστὸν, καὶ τοῦτο κωλύει τὸν χρησμόν. Καὶ πόσῳ βέλτιον ἦν, ὦ δείλαιε, τοῦ μάρτυρος ὁμολογῆσαι τὴν δύναμιν, ἢ οὕτως ἀναίσχυντα προφασίζεσθαι; Καὶ ὁ μὲν δαίμων ταῦτα· ὁ δὲ ἀνόητος βασιλεὺς, καθάπερ ἐν σκηνῇ παίζων καὶ δρᾶμα ὑποκρινόμενος, ἐπὶ τὸν μακάριον εὐθέως ἦλθε Βαβυλᾶν. Καίτοι, ὦ μιαροὶ καὶ παμμίαροι, εἰ μὴ ἀλλήλους ἐξηπατᾶτε ἑκόντες καὶ συνυπεκρίνεσθε πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, τί δήποτε σὺ μὲν λέγεις ἀνωνύμως καὶ ἀδιορίστως τοὺς νεκροὺς, σὺ δὲ, ὡς ὀνομαστὶ καὶ μετὰ διορισμοῦ τινος ἀκούσας, τῶν ἄλλων ἀφέμενος, τὸν ἅγιον μόνον κινεῖς; Ἐχρῆν γὰρ κατὰ τὴν τοῦ δαίμονος ἀπόφασιν πάσας ἀνορύττειν τὰς ἐν τῇ Δάφνῃ θήκας, καὶ τὸ μορμολυκεῖον τῆς τῶν θεῶν ὄψεως ἀπάγειν ὡς πορρωτάτω. Ἀλλ' οὐ περὶ πάντων εἶπε τῶν νεκρῶν. Τί οὖν τοῦτο οὐ διαῤῥήδην ὡμολόγησεν; Ἢ σοὶ τὸ δρᾶμα ὑποκρινομένῳ τῆς πλάνης τοῦτο ἀφῆκε τὸ αἴνιγμα; Ἐγὼ μὲν γὰρ λέγω τοὺς νεκροὺς, φησὶν, ὥστε μὴ δῆλην γενέσθαι τὴν ἧτταν· καὶ ἄλλως γὰρ δέδοικα ὀνομαστὶ τὸν ἅγιον εἰπεῖν· σὺ δὲ νόει τὸ λεχθὲν, καὶ ἀντὶ πάντων κίνει τὸν μάρτυρα· ἐκεῖνος γὰρ ἡμᾶς ἐπεστόμισε. Τοσαύτην κατέγνω παραπληξίαν τῶν θεραπευόντων αὐτὸν, ὡς οὕτω φανερὰν ἀπάτην μὴ δυνηθῆναι συνιδεῖν. Εἰ γὰρ ἐξεστήκεσαν ἅπαντες, εἰ γὰρ ἐμεμήνεσαν, οὐδ' ἂν οὕτω διέφυγε τὴν τῆς ἥττης κατάγνωσιν, οὕτω φανερὰ πᾶσίν ἐστι καὶ σαφής. Εἰ γὰρ μίασμά τι καὶ μύσος ἐστὶν, ὡς φῂς, τὰ νεκρὰ τῶν ἀνθρώπων σώματα, πολλῷ μᾶλλον τὰ τῶν ἀλόγων, ὅσῳ καὶ τὸ γένος ἀτιμότερον τοῦ γένους· πολλῶν δὲ καὶ κυνῶν καὶ πιθήκων καὶ ὄνων ὀστᾶ πλησίον τοῦ ναοῦ κατορώρυκται, καὶ ταῦτα μᾶλλον ἐχρῆν μετακινεῖν, εἰ μὴ πιθήκων ἀτιμοτέρους ἀνθρώπους ἡγῇ. Ποῦ νῦν εἰσιν οἱ τὸ καλὸν τοῦ Θεοῦ δημιούργημα καὶ πρὸς ὑπηρεσίαν ἡμετέραν γεγονὸς τὸν ἥλιον ἐνυβρίζοντες, καὶ τῷ δαίμονι τὸ ἄστρον ἐπιφημίζοντες, καὶ τοῦτο ἐκεῖνον εἶναι λέγοντες; Ὁ μὲν γὰρ ἥλιος, μυρίων ἐν τῇ γῇ κειμένων νεκρῶν, ἐχεῖται κατὰ τῆς οἰκουμένης, καὶ οὐδαμοῦ συστέλλει τὰς ἀκτῖνας οὐδὲ τὴν ἐκ τούτων ἐνέργειαν διὰ τοὺς μολυσμούς· ὁ δὲ θεὸς ὁ ὑμέτερος βίους μὲν αἰσχροὺς καὶ μαγγανείας καὶ φόνους οὐκ ἀποστρέφεται, οὐδὲ μισεῖ, ἀλλὰ καὶ ἀγαπᾷ καὶ ἀσπάζεται καὶ φιλεῖ· σώματα δὲ ἐκτρέπεται τὰ ἡμέτερα· καίτοι τὸ μὲν τῆς κακίας εἶδος καὶ παρ' αὐτοῖς τοῖς δρῶσιν αὐτὸ μυρίας καταγνώσεως ἄξιον εἶναι δοκεῖ, τὸ δὲ σῶμα τὸ νεκρὸν καὶ ἀκίνητον οὐδεμιᾶς μετέχει μέμψεως καὶ αἰτίας. Ἀλλ' αὕτη τῶν δαιμόνων ὑμῶν ἡ προαίρεσις, βδελύττεσθαι μὲν τὰ μὴ βδελυκτὰ, τιμᾶν δὲ καὶ ἀποδέχεσθαι τὰ παντὸς ἄξια μίσους καὶ ἀποστροφῆς. Καὶ ἀνὴρ μὲν ἀγαθὸς οὔτε βουλεύσασθαί τι χρήσιμον οὔτε πρᾶξαί τι τῶν δεόντων ὑπὸ σώματος κωλυθήσεται νεκροῦ· ἀλλὰ ἂν ὑγιαίνῃ τὴν ψυχὴν, καὶ παρ' αὐτοὺς

silentio quidem infirmitatem tantum suam manifestabat, tum vero infirmitatem simul, turpitudinem et impudentiam declaravit, dum ea occultare, quæ occultari non poterant, conaretur. Quinam igitur ille silentii prætextus? Daphne, inquit, locus est cadaveribus plenus, idque oraculum impedit. At quanto melius fuisset, miser, martyris virtutem confiteri, quam adeo impudenter hæc prætexere? Hæc dæmon respondit, stultus autem Imperator, quasi in scena ludens fabulamque agens, ad beatum statim Babylam accessit. Atqui, o scelerati ac sceleratissimi, nisi vos mutuo sponteque deciperetis et ad aliorum perniciem simulatione uteremini, quare tu sine nomine adjecto et indiscriminatim cadavera memoras, tu vero, quasi nominatim et distincte audisses, relictis aliis sanctum solum removes? Oportebat enim secundum dæmonis sententiam omnes in Daphne tumulos effodere, et terriculum illud a deorum aspectu quam longissime removere. At non de omnibus, inquies, cadaveribus loquutus est. Cur ergo id non professus est clare et distincte? An potius tibi hanc erroris fabulam agenti hoc ænigma reliquit? Ego, inquit dæmon, cadavera dico, ne me victum aperte fatear; et alioquin timeo sanctum nominatim proferre: tu quod dictum est intellige, et pro cunctis sanctum solum amove: ille quippe os nobis obstruxit. Tantam nempe cultorum suorum dementiam agnovit, ut tam apertam fraudem advertere non possent: etsi enim omnes mente capti insaniique essent, ne sic quidem ille cladis hujus cognitionem et notitiam effugere poterat: ita nempe clara et aperta omnibus est. Nam si polluta quædam et exsecranda res sunt, ut dicis, hominum cadavera, quanto magis brutorum, tanto scilicet quanto hoc genus illo vilius est: multa vero canum, simiarum, asinorum cadavera proxime templum defossa sunt, quæ potius transmovere oportebat, nisi forte homines simiis censea esse viliores. Ubi nunc sunt, qui pulchrum illud Dei opificium, ad ministerium nostrum creatum, nempe solem, contumelia afficiunt, et dæmoni astrum illud adscribunt, atque hunc illud esse affirmant? Sol enim, cadaveribus innumeris in terra jacentibus, per universum orbem diffunditur, nec uspiam radios vel radiorum efficaciam pollutionis metu contrahit: deus autem vester nec turpem vitam, nec præstigias, nec cædes aversatur vel odio habet, sed diligit, amplectitur et amat; verum corpora tamen nostra aversatur: quamquam malitiæ species, etiam illam peragentibus summa reprehensione digna esse videatur; at mortuum immobileque corpus nec culpæ nec reprehensioni obnoxium est. Sed hoc est deorum vestrorum institutum, ut abominentur, quæ non abominanda sunt, colant autem et approbent ea, quæ omni sunt odio et exsecratione digna. Et bonus quidem vir neque a sano consilio, neque ab honesta actione per mortuum corpus deterrebitur; sed si animo sit sano, etsi ad

οἰκῶν τοὺς τάφους, καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ πᾶσαν ἐπιδείξεται τὴν ἀρετήν. Καὶ χειροτέχνης δὲ ἕκαστος ἀνεμποδίστως τὰ τῆς οἰκείας ἐπιστήμης πάντα ἐργάσεται, καὶ παρέξει τοῖς δεομένοις αὐτοῦ, οὐ πλησίον νεκρῶν καθήμενος μόνον, ἀλλὰ κἂν αὐτὰ τὰ μνήματα τῶν κατοιχομένων οἰκοδομῆσαι δέῃ, καὶ ὁ ζωγράφος, καὶ ὁ λιθοξόος, καὶ ὁ τέκτων, καὶ ὁ χαλκοτύπος, καὶ πάντες τὰ αὐτῶν συνεισφέρουσι· μόνος δὲ πάντων ὁ Ἀπόλλων ὑπὸ τῶν νεκρῶν κωλύεσθαί φησι τὰ μέλλοντα προορᾶν. Καὶ μὴν καὶ παρ' ἡμῖν ἄνδρες γεγόνασι μεγάλοι καὶ θαυμαστοί, καὶ τὰ [ἡμέτερα] πρὸ τετρακοσίων καὶ χιλίων προεῖπον ἐτῶν, καὶ προλέγοντες οὐδὲν τούτων οὔτε ἐζήτησαν οὔτε ἐμέμψαντο, οὔτε τοὺς τάφους τῶν ἀπελθόντων ἀναρρήγνυσθαι ἐκέλευσαν, καὶ τοὺς κειμένους ῥίπτεσθαι, καὶ τυμβωρυχίας ξένον καὶ ἀναίσχυντον ἐπινοεῖν τρόπον· ἀλλ' οἱ μὲν αὐτῶν ἔθνεσι παροικοῦντες ἀθέοις καὶ μιαροῖς, οἱ δὲ ἐν μέσοις τοῖς βαρβάροις ὄντες, ἔνθα τὰ ἀληθῶς μολυσμοῦ ἄξια καὶ μιασμοῦ πάντα ἑόρᾶτο, μετ' ἀληθείας ἅπαντα προύλεγον, καὶ οὐδὲν αὐτοὺς ὁ τῶν ἄλλων μιασμὸς ἐκώλυεν εἰς τὴν πρόῤῥησιν. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν ἀληθῶς ὑπὸ θείας ἐνεργούμενοι δυνάμεως ἔλεγον ἅπερ ἔλεγον, ὁ δὲ δαίμων, κενὸς τῆς ἐνεργείας ἐκείνης καὶ ἔρημος ὤν, εἶχε μὲν οὐδὲν προεῖπεῖν, ὑπὲρ δὲ τοῦ μὴ δόξαι ἀπορεῖν, ἀπίθανα ἁπλῶς καὶ καταγέλαστα προφασίζεσθαι ἀναγκάζεται. Διὰ τί γάρ, εἰπέ μοι, κατὰ τὸν ἔμπροσθεν χρόνον οὐδέποτά τι τοιοῦτον εἶπεν οὐδὲ ἐφθέγξατο; Ὅτι τότε μὲν εἶχε τὸ μὴ θεραπεύεσθαι πρόφασιν, ταύτης δὲ αὐτῷ τῆς ἀπολογίας περιαιρεθείσης, κατέφυγεν ἐπὶ τοὺς νεκροὺς στενοχωρηθείς τί πάθοι. Οὐ γὰρ ἐβούλετο ἀσχημονεῖν, ἀλλ' ὑμεῖς αὐτὸν ἠναγκάσατε, διὰ τῆς πολλῆς θεραπείας τὴν ἀπολογίαν ἐκκόψαντες, καὶ οὐκ ἀφέντες εἰς τὴν τῶν θυσιῶν σπάνιν καταφυγεῖν.

Ἀκούσας δὴ ταῦτα ὁ ὑποκριτὴς ἐκέλευσε κατενεχθῆναι τὴν λάρνακα, ἵνα πᾶσιν ἡ ἧττα δήλη γένηται καὶ καταφανής. Εἰ μὲν γὰρ εἶπεν ὅτι Διὰ τὸν ἅγιον οὐ δύναμαι φθέγγεσθαι, ἀλλὰ μηδὲν κινεῖτε, μηδ' ἐνοχλεῖτε περαιτέρω, τοῖς αὐτοῦ μόνοις ἂν ἐγένετο φανερόν· οὐ γὰρ ἂν εἰς ἑτέρους τοῦτο ἐξήνεγκαν αἰσχυνόμενοι· νῦν δὲ ὥσπερ ἐκπομπεῦσαι σπουδάζων τὴν ἀσθένειαν αὐτοῦ, οὕτως ἅπαντα πράττειν ἠνάγκαζε, δι' ὧν οὐδὲ βουλομένοις ἐνῆν συσκιάσαι τὸ γεγονός. Οὐδὲ γὰρ ἔτι δυνατὸν διασωθῆναι τὴν ὑπόκρισιν ἦν, διὰ τὸ μηδένα τῶν ἄλλων νεκρῶν, ἀλλὰ μόνον τὸν μάρτυρα μεταχινηθῆναι ἐκεῖθεν. Καὶ οὐχ οἱ τὴν πόλιν οἰκοῦντες μόνον καὶ τὸ προάστειον καὶ τοὺς ἀγροὺς, ἀλλὰ καὶ οἱ πόῤῥωθεν ἀφιστάμενοι τῶν χωρίων, καὶ τὴν λάρνακα οὐχ ὁρῶντες κειμένην, εἶτα τὴν αἰτίαν ἐξετάζοντες εὐθέως ἐμάνθανον, ὡς ὁ δαίμων παρὰ τοῦ βασιλέως ἀξιούμενος μαντεύσασθαι, εἶπε τοῦτο μὴ δύνασθαι ποιεῖν, ἕως ἂν αὐτοῦ τὸν μακάριον ἀποστήσῃ τις Βαβυλᾶν. Καίτοι γε, ὦ καταγέλαστε, ἐνῆν σοι καὶ εἰς ἑτέρας προφάσεις καταφυγεῖν, οἷα πολλάκις ποιεῖς, μυρία τεχνάζων ἐν ταῖς ἀπορίαις ἀεί· πρὸς μὲν τὸν Λυδὸν

ipsa sepulcra domicilium habeat, et temperantiam et justitiam et virtutem omnem exhibebit. Quivis item artifex, quæ ad artem spectant suam, omnia sine obice faciet, et rogantibus se præbebit, non modo prope cadavera sedens, sed etiamsi ipsa defunctorum sepulcra construere opus fuerit, et pictor, et latomus, et faber, et ærarius sculptor, denique omnes suam operam conferunt; unus autem omnium Apollo a cadaveribus impediri se ait quominus futura prospiciat. Atqui et apud nos viri fuere magni et mirabiles, qui ante mille et quadringentos annos nostra prædixerunt, et vaticinantes nihil horum requisierunt, non conquesti sunt, non defunctorum sepulcra dirui jusserunt, non cadavera abjici, non sepulcrorum violationis novum impudentemque modum excogitari: attamen ex eis alii cum impiis scelestisque gentibus habitantes, alii in medio barbarorum, ubi omnia vere inquinata et contaminata erant, cum veritate omnia prædicebant, neque aliorum pollutio eorum vaticiniis oberat. Cur hoc? Quia illi divina virtute vere moti loquebantur; dæmon autem, vi illa vacuus ac destitutus, nihil prænuntiare poterat: ne autem hærere videretur, incredibilia plane et ridicula fingere cogebatur. Cur enim, queso, nihil hujusmodi ante dixerat, vel effutierat? Quia tunc prætextum proferre poterat, quod scilicet non coleretur; hac porro excusatione adempta, ad mortuos confugit, anxius de imminenti malo: nam nolebat a decoro recedere; sed vos eum coegistis, qui magno illo cultu excusationem ei ademistis, nec permisistis eum ad sacrificiorum penuriam confugere.

16. Hoc audito histrio ille jussit capsam inde auferri, ut victum esse dæmonem nemo ignoraret. Etenim si dixisset ille, Propter sanctum loqui non possum, sed nihil movete, nihil tumultus inferte, id suis tantum cultoribus notum fuisset: puduisset enim factum ad alios deferre; jam vero quasi infirmitatem suam palam facere studeret, sic omnia facienda curavit, quibus ne volenti quidem rem oblegere licebat: neque enim jam simulatio servari poterat, quod nullum aliud cadaver, sed solus martyr inde transferebatur: nec solum qui urbem, suburbium et agros incolebant, sed etiam qui remotissime habitabant, cum jacentem capsam non cernerent, statim sciscitantes audiebant: Dæmon ab Imperatore rogatus ut vaticinaretur, dixit se non posse, donec beatum hinc Babylam quis amovisset. Atqui, o ridicule, poteras ad alias excusationes confugere, ut sæpe facis, innumeris semper artificiis dubia responsa concinnans; Lydo nempe

εἰπὼν ὅτι « Ἅλυν τὸν ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει, » καὶ δείξας αὐτὸν ἐπὶ τῆς πυρᾶς· ἐπὶ δὲ τῆς Σαλαμῖνος αὐτῷ τε τῷ σοφῷ τούτῳ χρησάμενος, καὶ τὸν καταγέλαστον σύνδεσμον προσθείς· τὸ μὲν γὰρ εἰπεῖν,

Ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,

ὅμοιον ἦν τῷ τοῦ Λυδοῦ, τὸ δὲ προσθεῖναι,

Ἴτοι σκιδναμένης Δημήτερος, ἢ συνιούσης,

πλείονος γέλωτος, καὶ τοῖς ἐν ταῖς τριόδοις ὑπὸ τῶν ἀγυρτῶν λεγομένοις προσοικός· ἀλλ' οὐδὲ τοῦτο ἤθελες. Καὶ ἐξῆν ἀσαφείᾳ κρύψαι τὸν λόγον· καὶ γὰρ καὶ τοῦτο τῆς τέχνης ἀεὶ τῆς σῆς· ἀλλ' ἐπέκειντο πάντες πάλιν ἀγνοοῦντες καὶ λύσιν ἐπιζητοῦντες. Καὶ ἐνῆν σοι καταφυγεῖν ἐπὶ τοὺς ἀστέρας· καὶ γὰρ καὶ τοῦτο ποιεῖς πολλάκις, καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς. Οὐ γὰρ πρὸς ἄνδρας νοῦν ἔχοντας ὁ λόγος ἐστί σοι, ἀλλὰ πρὸς θρέμματα καὶ θρεμμάτων ἀλογωτέρους· οὐκ ἦσαν τῶν Ἑλλήνων σοφώτεροι τῶν ταῦτα ἀκουόντων καὶ οὐκ ἀφισταμένων τῆς ἀπάτης. Ἀλλὰ συνεώρων τὸ ψεῦδος; Οὐκοῦν ἐχρῆν τἀληθῆ πρὸς τὸν ἱερέα μόνον εἰπεῖν, καὶ αὐτὸς ἂν ἡῴδην σου μᾶλλον συσκιάσαι τὴν ἧτταν. Νῦν δὲ τίς σε ἔπεισεν, ἄθλιε, εἰς οὕτω φανερὰν σαυτὸν ἀναισχυντίαν ἐμβαλεῖν; Ἀλλὰ τάχα σὺ μὲν οὐδὲν ἥμαρτες, ὁ δὲ βασιλεὺς κακῶς ὑπεκρίνατο, ἀδιορίστως μὲν περὶ τῶν νεκρῶν ἀκούσας, ἐπὶ δὲ τὸν ἅγιον μόνον ἐλθών· ἐκεῖνός σε διήλεγξε, καὶ τὴν ἀπάτην ἐγύμνωσεν· ἀλλ' οὐδὲ ἐκεῖνος ἑκών· οὐ γὰρ ἦν τοῦ αὐτοῦ, τοσούτοις τε ἀναθήμασι τιμᾶν, καὶ πάλιν ὑβρίζειν τὸν αὐτόν· ἀλλὰ πάντας ὁμοῦ τοῦ μάρτυρος ἐσκότωσεν ἡ δύναμις, καὶ οὐκ ἀφῆκε συνιδεῖν τὰ γινόμενα, ἀλλ' ἐπράττετο μὲν ἅπαντα ὡς κατὰ Χριστιανῶν, περιετρέπετο δὲ οὐκ εἰς τοὺς πάσχοντας, ἀλλ' εἰς τοὺς δρῶντας ὁ γέλως. Οὕτω που καὶ οἱ μαινόμενοι δοκοῦσι μὲν ἀεὶ τοὺς πλησίον ἀμύνεσθαι τοὺς τοίχους λακτίζοντες, καὶ ῥητὰ καὶ ἄῤῥητα τοὺς παρόντας λέγοντες κακά· αἰσχύνουσι δὲ ὅτ' ὧν ποιοῦσιν οὐκ ἐκείνους ἀλλ' ἑαυτούς· ὃ δὴ καὶ τότε ἐγένετο. Εἵλκετο μὲν γὰρ ἡ λάρναξ διὰ τῆς ὁδοῦ πάσης, ἐπανήει δὲ ὁ μάρτυς καθάπερ τις ἀθλητὴς εἰς τὴν ἑαυτοῦ πόλιν δεύτερον φέρων στέφανον, ἐν ᾗ καὶ τὸν πρότερον ἀνεδήσατο. Ὥστε εἴ τις μὴ κατασβέχοιτο τὴν ἀνάστασιν, λαμπρότερα τοῦ μάρτυρος μετὰ τὴν τελευτὴν ἔργα θεώμενος αἰσχυνέσθω λοιπόν. Οἷον γάρ τις ἀριστεὺς, τροπαίοις συνῆπτε τρόπαια, μεγάλοις μείζονα καὶ θαυμαστοῖς θαυμαστότερα. Τότε μὲν γὰρ πρὸς βασιλέα μόνον ἠγωνίσατο, νῦν δὲ καὶ πρὸς βασιλέα καὶ δαίμονα· καὶ τότε μὲν τῶν ἱερῶν περιβόλων τὸν κρατοῦντα ἀπήλασε, νῦν δὲ τοῦ χωρίου παντὸς τῆς Δάφνης τὸν λυμεῶνα ἀπήγαγεν, οὐ χειρὶ χρώμενος καθάπερ καὶ πρότερον, ἀλλ' ἀοράτῳ δυνάμει τὴν ἀόρατον καταγωνιζόμενος. Καὶ ζῶντος μὲν οὐκ ἤνεγκε τὴν παῤῥησίαν ὁ ἀνδροφόνος, τελευτήσαντος δὲ οὐχ ὑπέμεινε τὴν κόνιν οὔτε ὁ βασιλεὺς οὔτε ὁ δαίμων ὁ ταῦτα κινῶν τὸν βασιλέα ποιεῖν. Ὅτι γὰρ μείζονα τοῦ πρωτέρου φόβον τούτοις τοῖς δευτέροις

dicens, si Halyn fluvium transmitteret, magnum imperium soluturum esse, ipsumque postea pyræ impositum exhibens; in Salamine item [*Herodot.* VII. 141] eodem usus es artificio, ridicula adjecta conjunctione: nam dicere,

Perdes tu filios mulierum,

simile ei erat, quod Lydo dixeras; adjicere autem,

Sive dum spargitur Ceres, sive dum colligitur,

majore id certe risu dignum fuit, et quod plane conveniat circulatoribus in triviis; sed neque hoc tibi placuit. Licebat etiam obscuritate sermonem velare, quod artificium tibi semper solenne est. Verum institissent omnes, non intellectæ rei solutionem quærentes. Licebat quoque tibi ad astra confugere: id enim sæpe facis, neque pudore ruboreque perfunderis. Siquidem non cum viris mente præditis tibi res est, sed cum pecudibus, et quam pecudes ipsæ crassioribus: non erant inter Græcos sapientiores iis, qui hæc audierunt, nec tamen à fraude sese exemerunt? At mendacium intellexissent? Ergo oportuit uni sacerdoti veritatem aperire; et ipse cladem tuam occultandi meliorem quam tu modum invenisset. Jam vero quis te, miser, adduxit ut te in tam manifestam impudentiam conjiceres? At fortasse tu nihil peccasti; Imperator vero male histrionem egit, qui cum indiscriminatim de cadaveribus audisset, sanctum illum dumtaxat aggressus est: ille te coarguit et fraudem nudavit, sed neque ille id libens fecit: neque enim unius ejusdemque erat donaria afferre et contumelia afficere; sed martyris virtus omnes simul caligine offudit, nec ea quæ tum gerebantur videre permisit; verum omnia quidem ceu contra Christianos flebant, at non in patientes, sed in agentes risus convertebatur. Sic et furiosi videntur sibi semper proximos ulcisci, dum contra parietes calcitrant, ac fanda nefandaque in præsentes jaclitant; factis autem suis non illos sed seipsos pudore afficiunt: quod tunc etiam contigit. Trahebatur enim capsa per totam viam; martyr vero ceu quidam athleta in suam urbem revertebatur, secundam referens coronam, in qua urbe primo coronatus fuerat. Quamobrem si quis splendidiora post mortem martyris opera conspicatus, resurrectionem non admittat, in posterum erubescat. Ceu enim quidam strenuus bellator tropæis tropæa conjunxit, magnis majora et mirabilibus mirabiliora. Tunc enim cum Imperatore solo pugnabat, nunc cum Imperatore et dæmone: tunc a sacris septis Imperatorem abegit, nunc a toto Daphnes loco perniciosum illum abduxit, non manu usus ut antea, sed invisibili virtute invisibilem expugnans. Hujus viventis dicendi libertatem non tulit homicida ille, mortui vero cinerem non sustinuit tum Imperator, tum dæmon, qui Imperatorem ad hæc agenda movit. Quod autem metum majorem his posterioribus duobus incusserit,

εἰργάσατο, δῆλον ἐκεῖθεν. Ἐκεῖνος μὲν γὰρ αὐτὸν λαβὼν καὶ ἔδησε καὶ ἀνεῖλεν, οὗτοι δὲ μόνον μετέθηκαν. Διὰ τί γὰρ μὴ καταποντίσαι τὴν λάρνακα μήτε ἐκεῖνος ἐκέλευσε, μήτε οὗτος ἠθέλησε; διὰ τί μὴ συνέτριψε καὶ κατέκαυσε; διὰ τί μὴ εἰς ἔρημον καὶ ἀοίκητον αὐτὴν ἀπενεχθῆναι προσέταξεν; Εἰ γὰρ ἄγος ἦν καὶ μίασμα, καὶ βδελυττόμενος ἀλλὰ μὴ δεδοικὼς ἐκεῖθεν αὐτὴν ἐκίνησεν, οὐκ εἰς τὴν πόλιν ἐχρῆν τὸ ἄγος εἰσάγειν, ἀλλ' ἀποικίζειν εἰς ὄρη καὶ νάπας.

Ἀλλ' ἦδει καὶ αὐτοῦ τοῦ Ἀπόλλωνος οὐχ ἧττον ὁ δείλαιος τοῦ μακαρίου τὴν ἰσχὺν καὶ τὴν παῤῥησίαν τὴν πρὸς τὸν Θεὸν, καὶ ἔδεισε μὴ τοῦτο ἐργασάμενος σκηπτὸν ἢ τινα νόσον ἑτέραν ἐφ' ἑαυτὸν προκαλέσηται. Καὶ γὰρ εἶχε πολλὰ τῆς τοῦ Χριστοῦ δυνάμεως τὰ τεκμήρια, ἔν τε τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐπιδειχθείσης, καὶ ἐν τοῖς σὺν αὐτῷ τότε τὴν ἐπ' αὐτοῦ διέπουσιν ἀρχήν. Τῶν μὲν γὰρ πάλαι βασιλευσάντων οἱ τὰ τοιαῦτα τολμήσαντες, μετὰ πολλὰς καὶ ἀφορήτους συμφορὰς, αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσαν· ὡς τοῦ μὲν τὰς κόρας ἔτι ζῶντος αὐτομάτως ἐκπηδῆσαι τῶν ὀφθαλμῶν (Μαξιμῖνος οὗτος ἦν), τὸν δὲ μανέντα, τὸν δὲ ἄλλῃ τοιαύτῃ χρησάμενον συμφορᾷ, οὕτως ἐνθένδε ἀπελθεῖν. Τῶν δὲ σὺν αὐτῷ τότε ὄντων ὁ μὲν θεῖος ὁ πρὸς πατρὸς νεανικώτερον τῇ καθ' ἡμῶν μανίᾳ χρησάμενος, καὶ τῶν ἱερῶν σκευῶν ταῖς μιαραῖς τολμήσας ἅψασθαι χερσὶ, καὶ οὐδὲ τούτοις ἀρκεσθείς, ἀλλὰ περαιτέρω τῇ ὕβρει προελθών (περιστρέψας γὰρ αὐτὰ καὶ θεὶς ἐπὶ τοῦ ἐδάφους καὶ ἁπλώσας, οὕτως ἐκάθισεν ἐπ' αὐτῶν), παραχρῆμα ταύτης τῆς παρανόμου καθέδρας τὴν δίκην ἔδωκε. Διαφθαρὲν γὰρ αὐτοῦ τὸ αἰδοῖον σκώληκας ἔτεκε· καὶ, ὥστε δειχθῆναι ὅτι ἡ νόσος θεήλατος ἦν, πίονας ὄρνεις καὶ ξενικὰς καταθύοντες οἱ ἰατροὶ, καὶ πλησίον τῶν διεφθορότων μελῶν τιθέντες, ἐξεκαλοῦντο τοὺς σκώληκας· οἱ δὲ οὐκ ἀφίσταντο, ἀλλὰ ἀπριξ τῶν σεσηπότων εἶχοντο μερῶν, καὶ οὕτως αὐτὸν ἐπὶ πολλαῖς δαπανήσαντες ἡμέραις κακῶς ἀπώλεσαν. Ἕτερος δέ τις ἐπὶ τῇ φυλακῇ τῶν ταμείων τεταγμένος τῶν βασιλικῶν, πρὶν ἢ τὸν οὐδὸν ὑπερβῆναι τῶν βασιλείων, ἔλαχησεν ἄφνω μέσος, καὶ αὐτὸς ἑτέρας τινὸς τοιαύτης παρανομίας δίκην δούς.

Ταῦτα δὴ καὶ τὰ τούτων πλείονα (οὐ γὰρ ἅπαντα καταλέγειν καιρὸς νῦν) εἰς νοῦν λαβὼν ὁ μιαρὸς ἐδεδοίκει τὴν τόλμαν περαιτέρω προαγαγεῖν. Καὶ ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα λέγω νῦν, ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτοῦ γενομένων ἔσται δῆλον ἡμῖν· τέως δὲ τῆς ἀκολουθίας τῶν γεγενημένων ἐχώμεθα. Τί δὴ τὸ ἐντεῦθεν ἦν; Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν, οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν ἄφατον φιλανθρωπίαν ἐπιδεικνύον τοῦ Θεοῦ. Ὁ μὲν γὰρ ἅγιος μάρτυς τῶν ἱερῶν εἴσω περιβόλων ἦν, ἐν οἷς καὶ πρότερον ἐτύγχανεν ὤν, πρὶν εἰς τὴν Δάφνην ἐλθεῖν· ὁ δὲ πονηρὸς δαίμων ἐμάνθανεν εὐθέως, ὅτι μάτην αὐτῷ τὰ τῆς ἀπάτης μεμηχάνηται, καὶ ὅτι οὐ πρὸς νεκρὸν τὸν ἀγῶνα εἶχεν, ἀλλὰ πρὸς ζῶντα καὶ ἐνεργοῦντα, καὶ οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ

quam priori incusserat, hinc palam est. Ille quippe comprehensum illum vinculis constrinxit et occidit, hi vero transtulere tantum. Cur enim capsam in mare præcipitare neque ille jussit, neque hic voluit? cur non contrivit aut combussit? cur non in desertum et inhabitatum locum ipsam auferri jussit? Nam si ea exsecranda et polluta res fuisset, eamque abominatus, non reformidans, inde illam amovit, non in urbem oportuit rem exsecrandam inducere, sed amandare in montes et saltus.

17. At miser ille non minus quam Apollo beati viri robur et fiduciam erga Deum noverat, timuitque ne, si id faceret, aut fulmen aut malum aliquod aliud in se provocaret. Multa quippe Christi virtutis signa habebat, tum in decessoribus suis Imperatoribus exhibita, tum in iis etiam qui idem tum imperium secum administrabant. Etenim ex illis olim Imperatoribus, qui talia ausi sunt, post multas intolerabilesque calamitates, turpiter ac misere vitam clauserunt, adeo ut unius adhuc viventis pupillæ ex oculis sponte exsilierint : hic autem Maximinus erat; alius in furorem actus, alius in similem lapsus calamitatem, sic mortem obierint. Cæterum ex iis qui tunc cum ipso erant, avunculus paternus [*imo* maternus] cum petulantius contra nos fureret et sacra vasa sceleratis manibus contingere ausus esset, neque his contentus, contumelia ulterius progressus esset (ipsis enim inversis et in pavimento positis et extensis, iis insedit), derepente iniquæ hujusmodi sessionis pœnas dedit : ejus enim verenda corrupta vermibus scatebant, atque, ut palam esset morbum divinitus immissum fuisse, ad vulnus curandum medici maclatas aves pingues atque peregrinas putrefactis membris admoventes, vermiculos evocabant : illi vero non abcesserunt, sed mordicus putridis partibus inhærebant : atque ita illum multis diebus absumtum, male perdiderunt. Alius vero quispiam imperatorii ærarii custos constitutus, priusquam aulæ imperatoriæ limen præteriret, statim crepuit medius, ipse quoque similis cujusdam flagitii dans pœnas.

. Hæc et his plura (non enim jam omnia recensere tempus est) secum reputans scelestus ille temeritatem suam ulterius promovere non audebat. Quod autem hæc non a meipso dicam, ex iis quæ ab ipso postea gesta sunt, id conspicuum erit; interim vero historiæ seriem persequamur. Quid igitur exinde evenit? Hoc enim illud est admirandum, quod non potentiam modo, sed etiam ineffabilem Dei benignitatem ostendit. Nam sanctus martyr intra septa erat, ubi prius situs fuerat, antequam Daphnen veniret; malignus vero dæmon statim didicit, se frustra fraudes suas molitum esse; neque sibi cum mortuo pugnam esse, sed cum vivente

πάντων δαιμόνων ἰσχυρότερον. Παρακαλέσας γὰρ τὸν Θεὸν ἀφεῖναι πῦρ εἰς τὸν νεών, τήν τε ὀροφὴν κατέφλεξε πᾶσαν, καὶ τὸ εἴδωλον μέχρις ἐσχάτων ἀφανίσας ποδῶν, τέφραν τε ἀπορήνας καὶ κόνιν, ἀφῆκεν ἑστάναι τοὺς τοίχους ἅπαντας. Καὶ εἴ τις ἐπισταίη τῷ τόπῳ νῦν, οὐκ ἂν εἴποι πυρὸς εἶναι ἔργον τὸ γεγονός· οὐδὲ γὰρ ἄτακτος, οὐδὲ ὡς ἐξ ὕλης ἀψύχου γέγονεν ἡ πυρπόλησις, ἀλλ' ὥσπερ τινὸς χειρὸς περιαγούσης τὸ πῦρ, καὶ δεικνυούσης τίνων μὲν φείσασθαι, τίνα δὲ ἀναλῶσαι ἔδρᾳν, οὕτως εὐρύθμως καὶ τεχνικῶς ὁ ναὸς ἐκκέκαυται, καὶ οὐ τοῖς ἐμπεπρησμένοις ἁπλῶς, ἀλλὰ τοῖς ἀρτίους μὲν ἔχουσι τοὺς περιβόλους, στέγης δὲ δεομένοις μόνης προσέοικεν. Τά τε γὰρ ἄλλα, καὶ οἱ κίονες οἵ τε τὸν ὄροφον ἀνέχοντες οἵ τε τὰ προπύλαια ἅπαντες ἑστήκασι, πλὴν τῶν περὶ τὸν ὀπισθόδομον ἑνός· καὶ οὗτος δὲ οὐχ ἁπλῶς ἀφείθη διακλασθῆναι τότε, ἀλλὰ δι' αἰτίαν ἣν μετὰ ταῦτα ἐροῦμεν. Τούτου δὴ συμβάντος, ἄγεται μὲν εἰς δικαστήριον εὐθέως ὁ τοῦ δαίμονος ἱερεὺς, καὶ τὸν αἴτιον ἠναγκάζετο λέγειν· ὡς δὲ οὐκ εἶχεν, ἐξαγανίσαντες αὐτὸν, καὶ πολλὰς ἐπιθέντες πληγὰς, εἶτα μετεωρίσαντες καὶ τὰς πλευρὰς διαξαίνοντες ἐμάνθανον πλέον οὐδέν, ἀλλ' ἐγίνετο παρόμοιον τῷ ἐπὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Καὶ γὰρ τότε ἐτάγησαν μὲν οἱ στρατιῶται τὸ σῶμα φυλάττειν τοῦ Ἰησοῦ, ἵνα μὴ ἐκγένηται, φησὶ, κακουργῆσαι περὶ τὴν κλοπὴν τοῖς μαθηταῖς· τὸ δὲ πρᾶγμα εἰς τοῦτο ἐξέβαινεν, ὥστε μηδὲ ἀναίσχυντον πρόφασιν ὑπολειφθῆναι τοῖς βουλομένοις περὶ τὴν πίστιν τῆς ἀναστάσεως κακουργεῖν. Καὶ ἐνταῦθα εἵλκετο μὲν ὁ ἱερεὺς, ἵνα μὴ θείας ὀργῆς, ἀλλ' ἀνθρωπίνης κακουργίας ἔργον εἶναι μαρτυρήσῃ τὸ γεγονός· στρεβλούμενος δὲ καὶ αἰκιζόμενος καὶ οὐδένα ἔχων ἐκδοῦναι, ἐμαρτύρει θεόπεμπτον εἶναι τὸ πῦρ, ὡς μηδὲ τοῖς ἀναισχυντεῖν βουλομένοις εἶναί τινα λόγον λοιπόν.

Ἀλλ' ὅπερ πρὸ μικροῦ θεῖον εἰπεῖν ἀνεβαλόμην, τοῦτο νῦν εὐκαίρως ἐρῶ. Τί δὲ τοῦτό ἐστιν; Ὅτι τῷ φόβῳ διέσεισεν αὐτοῦ τὴν ψυχὴν ὁ μάρτυς, ὡς μὴ περαιτέρω τῆς τόλμης προελθεῖν. Οὐ γὰρ δήπου τὸν μὲν ἱερέα, καὶ ὃν ἐν τοσαύτῃ πρότερον ἦγε τιμῇ, τοσούτοις ὑπὲρ τῆς ὀροφῆς περιέβαλλε κακοῖς, καὶ θηρίου μᾶλλον ὠμοβόρου διεσπάραττε, τάχα δ' ἂν καὶ ἀπεγεύσατο τῶν σαρκῶν, εἰ μὴ πᾶσι τὸ πρᾶγμα ἐδόκει εἶναι μυσαρόν· τὸν δὲ ἅγιον αὐτὸ τοῦ δαίμονος τὸ στόμα ἐμφράξαντα πάλιν εἰς τὴν πόλιν ἦγεν, ὥστε ἐν πλείονι εἶναι τιμῇ. Εἰ γὰρ καὶ μὴ πρότερον, ὅτε τὴν ἧττταν ὁ δαίμων ὡμολόγησεν, ἀλλὰ μετὰ τὸν ἐμπρησμὸν πάντα ἀνέτρεψεν ἂν καὶ ἀπώλεσε καὶ κατέφλεξε, τὴν λάρνακα, τὸ μαρτύριον ἑκάτερον, τό τε ἐν τῇ Δάφνῃ, τό τε ἐν τῇ πόλει, εἰ μὴ τοῦ θυμοῦ ὁ φόβος ἦν μείζων, καὶ τῆς ἀθυμίας ἐκράτει τὸ δίος. Ἔθος γὰρ τοῖς πολλοῖς τῶν ἀνθρώπων, ὅταν ὑπὸ ὀργῆς κατασχεθῶσι καὶ λύπης, κἂν μὴ τοὺς αἰτίους λάβωσι τῶν παθῶν, εἰς τοὺς ἐμπίπτοντας ἁπλῶς καὶ ὑπόπτους ἀφιέναι τὴν ὀργήν. Οὐ πόρρω δὲ τῆς ὑποψίας ταύτης ὁ μάρτυς ἦν· ἅμα τε

ac viriliter agente, ac non se tantum, sed omnibus simul dæmonibus fortiore. Deum enim precatus ut ignem in templum immitteret, totum tectum combussit, idoloque ad extremos usque pedes absumto, ita ut pulvis tantum et cinis remaneret, parietes solum stantes intactosque reliquit. Si quis vero nunc locum adeat, nequaquam ignis id opus esse dixerit : neque enim incendium illud sine aliquo ordine, neque ex inanimata materia factum esse videtur; sed quasi manu quadam ignem circumducente, ac monstrante quibusnam parcere, quænam absumere oporteret, tanta nempe concinnitate, tanto artificio templum exustum est; neque vero simile est incendio simpliciter affectis, sed iis quorum integra sunt septa, et quæ solo tecto habent opus. Reliqua enim atque columnæ, tum quæ tectum, tum quæ vestibulum fulciebant, una excepta quæ ad posteriorem templi partem posita erat, stant omnes. Hæc tamen non temere tunc fracta est, sed ea de causa, quam mox dicturi sumus. Hoc ubi accidit, statim dæmonis sacerdos ad tribunal rapitur et incendii auctorem indicare cogitur. Cum autem non posset, eum, distortis antea cubitis, multis plagis afficientes, deinde sublimem agentes cæsis lateribus, nihil amplius didicerunt : ac perinde accidit atque in resurrectione Christi. Tum enim milites ad custodiam corporis Jesu constituti sunt, ne possent, inquit (*Matth.* 27. 64), discipuli illud callide suffurari : cæterum is fuit rei eventus, ut nulla ne impudentibus quidem occasio relinqueretur, qui vellent resurrectionis fidem tollere. Hic quoque trahebatur sacerdos, ut non divina ira, sed humana nequitia id accidisse testificaretur : contortus tamen atque laceratus, cum neminem posset indicare supplicio tradendum, divinitus immissum fuisse ignem testatus est, ut nullus jam locus impudenter agentibus relinqueretur.

Sed quod paulo ante alium in locum remisi, nunc opportune dicam. Quid illud est? Ita Imperatoris animum exterruit martyr, ut non ultra progredi auderet. Neque enim postquam sacerdotem, quem prius tanto in honore habebat, incensi tecti causa tot malis affecerat, ita ut immanius, quam sanguinaria fera, laceraret, atque ab ejus fortasse vorandis carnibus non abstinuisset, nisi res exsecranda omnibus visa esset : sanctum illum, qui os dæmonis obstruxerat, rursus in urbem deduxisset, ut majore in honore esset : nam si non antea, cum dæmon se victum confessus est, at certe post incendium omnia evertisset et perdidisset, capsam et utrumque martyrium combussisset, tum quod in Daphne, tum quod in urbe erat, nisi metus iram superasset ac formido mœrorem vicisset. Solent enim multi, cum ira et mœrore corripiuntur, si ægritudinis auctores apprehendere non valeant, in obvios quosque ac suspectos iram effundere. Non procul autem hac suspicione martyr

γὰρ αὐτὸς εἰς τὴν πόλιν ἀφίκετο, καὶ τὸ πῦρ ἦλθεν εἰς τὸν ναόν. Ἀλλ' ὅπερ ἔφην, πάθος ἐμάχετο πάθει, καὶ ὀργῆς ἐκράτει δειλία. Ἐννόησον γάρ μοι τίς ἦν ὁ χρηστὸς ἐκεῖνος εἰς τὸ προάστειον ἀνιὼν, καὶ τὸ μὲν μαρτύριον ὁρῶν ἑστηκὸς, τὸν δὲ νεὼν ἐμπεπρησμένον, καὶ τὸ εἴδωλον ἠφανισμένον, καὶ τὰ ἀναθήματα ἀνηλωμένα, καὶ τῆς τε αὐτοῦ φιλοτιμίας καὶ τῆς σατανικῆς πομπῆς πᾶσαν ἐξῃρημένην ὑπόμνησιν. Εἰ γὰρ μήτε θυμὸς αὐτὸν μήτε ἀθυμία ταῦτα ὁρῶντα εἰσῆλθε, τὴν γοῦν αἰσχύνην οὐκ ἂν ἤνεγκε καὶ τὸν πολὺν γέλωτα, ἀλλ' ἐξέτεινεν ἂν τὰς ἀνόμους χεῖρας καὶ ἐπὶ τὸ τοῦ μακαρίου μαρτύριον, εἰ μὴ τοῦτο ὅπερ εἶπον κατεῖχεν αὐτόν. Οὐδὲ γὰρ μικρὸν ἦν τὸ γεγονὸς, ἀλλὰ πᾶσαν μὲν τῶν Ἑλλήνων τὴν παῤῥησίαν ἐξέκοψεν, ἅπασαν δὲ τὴν εὐφροσύνην ἔσβεσε, τοσαύτην δὲ τῆς ἀθυμίας τὴν ἀχλὺν αὐτοῖς κατεσκέδασεν, ὅσην ἂν εἰ πάντες ἀπωλώλεσαν οἱ ναοί.

Καὶ ὅτι οὐ κομπάζων λέγω ταῦτα, αὐτὰ παραθήσομαι τὰ ῥήματα τῶν ὀδυρμῶν καὶ τῆς μονῳδίας, ἣν εἰς τὸν δαίμονα τοῦτον ὁ τῆς πόλεως τότε εἰργάσατο σοφιστής. Ἔχει δὲ οὕτως ἡ τῶν θρήνων ἀρχή· « Ἄνδρες, ὧν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ οὖν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν μήτε μεγάλην ἔτι καλῶμεν τήνδε τὴν πόλιν. » Εἶτα εἰπών τινα περὶ τοῦ μύθου τῆς Δάφνης καὶ διαλεχθεὶς (οὐ γὰρ ἅπαντα ἐνθεῖναι τὸν λόγον ἐνταῦθα καιρὸς, ὑπὲρ τοῦ μὴ μῆκος ἐπεισαγαγεῖν περιττόν), λέγει ὅτι ὁ Περσῶν βασιλεύς ποτε ὁ τὴν πόλιν ἁλὼν ἐφείσατο τοῦ νεώ· τὰ δὲ ῥήματά ἐστι ταῦτα· « Ὁ μὲν στρατὸν ἐφ' ἡμᾶς ἀγαγὼν, ᾤετο αὐτῷ βέλτιον εἶναι σεσῶσθαι τὸν νεὼν, καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ· νῦν δὲ, ἥλιε καὶ γῆ, τίς ἡ πόθεν ὁ πολέμιος οὗτος, ὃς οὐδὲ ὁπλιτῶν, οὐδὲ ἱππέων οὔτε ψιλῶν τινῶν δεηθεὶς μικρῷ σπινθῆρι πάντα ἀνάλωσεν; » Εἶτα δεικνὺς ὅτι αὐτοῦ τότε ἐκράτησεν ὁ μακάριος, ὅτε μάλιστα ἤνθει τὰ τῶν Ἑλλήνων θυσίαις καὶ τελεταῖς, φησὶ, « Καὶ δὴ καὶ ἡμῖν τὸν νεὼν ὁ μὲν πολὺς ἐκεῖνος κατακλυσμὸς οὐ παρέσυρεν, ἐν αἰθρίᾳ δὲ καὶ τῆς νεφέλης παρελθούσης κατενήνεκται· » νεφέλην καὶ κατακλυσμὸν τὸν τοῦ προτέρου βασιλέως καιρὸν καλῶν. Καὶ πάλιν μικρὸν προελθών, αὐτὸ δὴ τοῦτο πικροτέρως ἀποδύρεται λέγων, « Εἶτα διῳχώντων μέν σοι τῶν βωμῶν αἵματος, ἔμενες, Ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς Δάφνης, καὶ ῥᾳθυμούμενος, ἔστι δὲ ὅπη καὶ προπηλακιζόμενος περικοπτόμενός τε τὸν ἔξω κόσμον ἠνείχου· νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βόας, στόμα βασιλέως ὅσιον τῷ ποδὶ δεξάμενος, ἰδὼν ὃν προύλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμηνυμένου, πονηροῦ γειτονήματος ἀπαλλαγεὶς νεκροῦ τινος ἐνοχλοῦντος ἐγγύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. Πόθεν ἔτι φιλοτιμησόμεθα πρὸς ἄνδρας ἱερῶν μεμνημένους καὶ ἀγαλμάτων; » Τί λέγεις, ὦ θρηνῳδέ; Ἀτιμαζόμενος μὲν καὶ προπηλακιζόμενος τῆς Δάφνης ἔμενε φρουρὸς ἀκριβής· τιμώμενος δὲ καὶ θεραπευόμενος οὐδὲ τὸν ναὸν ἴσχυσε φυλάξαι τὸν αὑ-

aberat : nam simul atque in urbem pervenit, statim ignis templum invasit. Sed quod dixi, affectus cum affectu pugnabat, iramque vincebat metus. Cogita enim qualis esse poterat ille vir bonus, cum in suburbium ascendens, martyrium stans cerneret, ac templum incensum, idolum deletum, donaria absumta, liberalitatis tuæ et satanicæ pompæ sublatam omnem memoriam. Etiamsi enim eum talia videntem neque ira neque tristitia invasissent, pudorem certe non tulisset, risumque tantum; sed in beati illius martyrium iniquas manus extendisset, nisi id, quod dixi, cohibuisset illum. Neque enim modicum erat quod tunc agebatur, sed omnem gentilium confidentiam præciderat, omnem lætitiam exstinxerat; tantamque illis mœstitiæ caliginem offuderat, quantam si omnia simul templa periissent.

13. Quod autem hæc non jactabundus efferam, ipsa verba lamenti et monodiæ proferam, quam urbis sophista [*Libanius*] tunc in hunc dæmonem edidit. Sic autem habet næniæ initium : *Viri, quorum oculis, æque ac meis, caligo offusa est, nec pulchram, nec magnam deinceps hanc urbem vocemus.* Deinde cum nonnulla dixisset asseruissetque de Daphnes fabula (neque enim totam orationem hic intexere tempus patitur, ne longiores, quam par est, simus), Persarum, inquit, ille rex, qui olim civitatem cepit, templo pepercit : ipsa porro verba hæc sunt : *Qui exercitum contra nos movit, præstare putavit ut templum servaretur, statuæque decor barbarico furori prævaluit. Nunc autem, o sol, o terra! quis vel unde hic hostis, qui nec gravis armaturæ militibus, nec equitibus, nec velitibus opus habens, parva scintilla omnia absumpsit?* Postea ubi declaravit dæmonem tunc ab illo beato fuisse victum, cum res gentilium maxime florerent sacrificiis et initiationibus : *Et nostrum*, inquit, *templum ingens illud diluvium non dejecit, sed sereno tempore, cum nubes præteriisset, dejectum est.* Nubem et diluvium vocat præcedentis Imperatoris tempus. Rursus paulum progressus, hoc ipsum amarulentius deplorat his verbis : *Sic, cum aræ tuæ sanguinem sitirent, neglectus, o Apollo, sedulus Daphnes custos manebas; aliquando etiam lacessitus atque externo spoliatus ornatu patienter tulisti : nunc autem tot ovibus bobusque mactatis, os Imperatoris sacrum pede excepisti, intuitus quem prædicebas, visus ab eo, quem pronuntiaveras, malo vicino liberatus, mortuo quodam nempe, qui tibi molestiam creabat, ex medio cultu exsiliisti. Undenam ultra gloriabimur apud viros sacrorum statuarumque tuarum memores?* Quid ais, lugubris decantator? Itane contumelia et injuria affectus sedulus mansit Daphnes custos; cum autem honor ipsi atque cultus redderetur, ne templum quidem suum servare potuit; præsertim

τοῦ, καὶ ταῦτα εἰδὼς ὅτι ἐκείνου πεσόντος εἰς μείζονα ἀτιμίαν καταστήσεται τῆς προτέρας; Τίς δὲ καὶ ὁ νεκρὸς, ὦ σοφιστὰ, ὁ τὸν σὸν θεὸν ἐνοχλῶν; ποῖόν τὸ πονηρὸν γειτόνημα; Ἐνταῦθα γὰρ εἰς τὰς τοῦ μακαρίου Βαβυλᾶ ἀνδραγαθίας ἐμπεσὼν, καὶ διανήξασθαι τὴν αἰσχύνην οὐκ ἔχων, ἐγκαλυψάμενος ἁπλῶς παρέδραμεν, ὅτι μὲν ὑπὸ τοῦ μάρτυρος ἠναχλεῖτο καὶ ἐθλίβετο ὁ δαίμων, εἰπὼν, οὐκέτι δὲ προσθεὶς πῶς τὴν ἧτταν συσκιάσαι σπουδάσας ὁ δαίμων μᾶλλον αὐτὴν ἐξεκάλυψεν, ἀλλὰ ἁπλῶς, « Πονηροῦ γειτονήματος, φησὶν, ἀπαλλαγείς. » Διὰ τί γὰρ οὐ λέγεις, ὦ ληρόσοφε, τὸν νεκρὸν τίς ἦν, καὶ διὰ τί μόνος ἠνώχλει σου τὸν θεὸν, καὶ διὰ τί μετεκινεῖτο μόνος; διὰ τί δὲ καὶ πονηρὸν αὐτὸν γειτόνημα καλεῖς, εἰπέ μοι; ὅτι τοῦ δαίμονος τὴν ἀπάτην ἤλεγξε; Καὶ μὴν τοῦτο οὐ πονηροῦ τινος ἔργον ἦν, ὥσπερ οὖν οὐδὲ νεκροῦ, ἀλλὰ καὶ ζῶντος, καὶ ἐνεργοῦντος, καὶ χρηστοῦ, καὶ προστάτου, καὶ κηδεμόνος, καὶ πάντα ὑπὲρ τῆς ὑμετέρας πραγματευομένου σωτηρίας, εἴ γε ἐβούλεσθε. Ἵνα γὰρ ὑμῖν μὴ ἐξῇ ἐπὶ πλέον ἀπατᾶν ἑαυτοὺς, καὶ λέγειν ὅτι ὀργιζόμενος καὶ ὑπὲρ θυσιῶν ἐγκαλῶν, καὶ ὑπὲρ τῆς ἄλλης θεραπείας μεμφόμενος ἀνεχώρησεν ἐκεῖνος, διὰ τοῦτο αὐτὸν καὶ ἐκ τοῦ χωρίου τούτου παντὸς ἀπήλασεν, ὃ μάλιστα πάντων φίλον ἦν αὐτῷ, καὶ ὃ τῶν ἄλλων οὕτω προετίμησεν, ὡς καὶ ἀτιμαζόμενος προσεύρεύειν αὐτῷ (οὐ γὰρ τοῦτο προλαβὼν εἶπες), « καὶ ἐν τούτῳ δὲ τῷ καιρῷ ἐν ᾧ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς αὐτῷ κατέσφαττεν ὁ βασιλεύς· » ὥστε πανταχόθεν ἐλέγχεσθαι, ὅτι ἀναγκαζόμενος καὶ ὑπὸ μείζονος ὠθούμενος δυνάμεως τὴν Δάφνην ἀπέλιπεν. Ἐνῆν μὲν γὰρ καὶ τοῦ ξοάνου μένοντος δυήκειν αὐτὸν, ἀλλ' ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, ὥσπερ οὖν οὐδὲ πάλαι ὅτε ὑπ' αὐτοῦ πεπέδητο, ἀλλ' ἐνέκεισθε θεραπεύοντες. Διὸ πρότερον ἀφεὶς ἑστάναι τὸ ξόανον, ὅτε μάλιστα ἦρθη τῆς ἀσεβείας ἡ φλὸξ, τότε αὐτὸ κατήνεγκε, δεικνὺς ὅτι τὸν νικῶντα οὕτω χρὴ νικᾶν, οὐ τεταπεινωμένων, ἀλλ' αἰρομένων καὶ λαμπρῶν ὄντων περιγινόμενον τῶν ἐχθρῶν. Διὰ τί γὰρ αὐτὸς τότε οὐκ ἐκέλευσε τῷ εἰς τὴν Δάφνην αὐτὸν ἀναγαγόντι βασιλεῖ κατασκάψαι τὸν νεών, μεταθεῖναι τὸ ξόανον, ὥσπερ οὖν ὁ δαίμων τὴν λάρνακα; Ὅτι οὔτε ἐβλάπτετο παρ' αὐτοῦ, οὔτε σαρκικῆς ἔχρηζε συμμαχίας, ἀλλὰ καὶ τότε καὶ νῦν χωρὶς ἀνθρωπίνης αὐτὸν κατέβαλε χειρός. Καὶ τὴν μὲν πρότεραν ἡμῖν οὐκ ἐδήλωσε νίκην, ἀλλ' ἐπιστομίσας αὐτὸν μόνον ἡσύχαζε. Τοιοῦτοι γὰρ οἱ ἅγιοι· κατορθοῦσθαι βούλονται τὰ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν μόνον, οὐκέτι δὲ καὶ ἐπιδείκνυσθαι τοῖς πολλοῖς, ὅτι αὐτῶν τὰ κατορθώματα, πλὴν εἴ πού τις χρεία ἀναγκάσειε (χρείαν δὲ τὴν τῶν σωζομένων κηδεμονίαν λέγω πάλιν)· ὅπερ τότε ἐγίνετο. Ἐπειδὴ γὰρ τὰ τῆς ἀπάτης κακὰ ἐρρύετο, ἐκκαλύπτεται μὲν ἡμῖν ἡ νίκη λοιπὸν, ἐκκαλύπτεται δὲ οὐχ ὑπὸ τοῦ νικήσαντος, ἀλλ' ὑπὸ τοῦ νικηθέντος αὐτοῦ. Οὕτω γὰρ ἥ τε μαρτυρία καὶ παρὰ τοῖς ἐχθροῖς ἀνύποπτος ἦν, ὅ τε ἅγιος τὸ περὶ

cum sciret, collapso illo, majorem sibi ignominiam futuram esse? Quis autem ille mortuus, o sophista, qui deo illi molestiam creabat? qualis illa mala vicinitas? Hic enim in beati Babylæ virtutes cum incidisset, nec ignominiam transire posset, eam præ pudore se occultans præteriit, testatus quidem dæmonem a martyre molestia atque ærumna affectum fuisse, minime vero adjiciens, dæmonem, cum cladem suam tegere vellet, magis illam detexisse, sed simpliciter, A *mala vicinitate*, inquit, *liberatum*. Cur non dicis, o sapientium nugacissime, quis ille mortuus esset, et quare solus deo tuo molestiam crearet, quare denique solus alio fuerit translatus? Quare autem, dic mihi, vicinitatem illam malam vocas? an quia dæmonem fraudis arguebat? Atqui id non erat mali opus, quemadmodum nec mortui, sed viventis, operantis, probi, patrocinantis et curatoris, atque omnia pro salute vestra agentis, si quidem voluissetis. Etenim ne vobis ulterius liceret vos ipsos decipere ac dicere ipsum iratum, et ob intermissa sacrificia expostulantem, deque reliquo pariter omisso cultu conquerentem, ultro abscessisse : ideo martyr eum et ex loco prorsus ejecit, qui locus ipsi maxime omnium gratus erat, quemque aliis locis ita anteferebat, ut vel inhonoratus ibi insideret (quod ipsum tu dicere prævertisti); *et hoc ipso tempore, quo multas ipsi oves et multos boves immolabat Imperator* : ut palam sit undequaque, ipsum coactum majoreque vi pulsum Daphnen reliquisse. Potuisset quidem Babylas vel manente statua ipsum loco pellere; at vos non credidissetis, quemadmodum neque olim, cum ab eo vinctus fuisset, vosque tamen assiduo cultui instaretis. Quamobrem cum prius simulacrum stare permisisset, tunc illud dejecit, cum maxime flamma impietatis exsurgeret, ostendens victorem tum vincere oportere, non cum afflicti ac depressi, sed cum florentes atque elati sunt adversarii. Cur enim, cum Daphnen transportaretur, Imperatori se transferenti non mandavit ut templum diruerat ac statuam transferret, sicut dæmon jusserat capsam transferri? Quia nimirum nihil ab illo lædebatur, neque carnali egebat auxilio; sed et tunc et nunc eum sine humana manu dejecit. Et primam quidem ille victoriam non declaravit nobis; sed cum illi os modo obstruxisset, quievit. Hujusmodi sunt sancti : ea solum, quæ ad hominum salutem spectant, perfici volunt, nec tamen multis hæc sua esse opera declarari, nisi urgente necessitate; necessitatem porro voco servandorum hominum salutem : quod et tunc factum est. Quoniam enim fraudis mala latius serpebant, tunc demum nobis victoria revelatur : revelatur autem non a victore, sed ab ipso victo. Hoc enim modo testimonium ne ipsis quidem hostibus suspectum erat, cum sanctus ille, vel urgente necessitate, quæ

αὐτοῦ λέγειν καὶ ἀνάγκης οὔσης ἐξέφυγεν· ἐπειδὴ δὲ οὐδὲ οὕτω τὰ τῆς πλάνης ἔληγεν, ἀλλ' ἐνέκειντο πάλιν οἱ τῶν λίθων ἀναισθητότεροι τὸν ἡττημένον παρακαλοῦντες, καὶ πρὸς οὕτω φανερὰν ἀλήθειαν τυφλώττοντες, τηνικαῦτα ἐπαφεῖναι ἠναγκάσθη τῷ ξοάνῳ τὸ πῦρ, ὥστε διὰ τούτου τοῦ ἐμπρησμοῦ ἕτερον τὸν τῆς εἰδωλολατρείας σβέσαι ἐμπρησμόν.

Τί οὖν μέμφῃ τῷ δαίμονι λέγων ὅτι « Ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας; » Οὐκ ἀπεπήδησεν ἑκών, ἀλλ' ἀπηλάθη καὶ ἐξεβλήθη ἄκων καὶ ἀναγκαζόμενος τότε, ὅτε μάλιστα μένειν ἤθελε καὶ διὰ τὴν κνῖσαν καὶ διὰ τὰ θύματα. Ὥσπερ γὰρ εἰς τοῦτο βασιλεύσας ὁ τότε κρατῶν, ἵνα τὰ θρέμματα τῆς οἰκουμένης ἀναλώσῃ πάσης, οὕτως ἀῤῥιζοῦς κατέκοπτεν ἐπὶ τῶν βωμῶν πρόβατα καὶ βοῦς, καὶ εἰς τοῦτο μανίας ἦλασεν, ὡς καὶ τῶν παρ' αὐτοῖς δοκούντων ἔτι φιλοσοφεῖν πολλοὺς μάγειρον αὐτὸν, καὶ κρεῶν κάπηλον, καὶ πάντα τὰ τοιαῦτα ἀποκαλεῖν. Οὐκ ἂν οὖν οὕτω δαψιλοῦς τραπέζης καὶ κνίσης καὶ καπνοῦ καὶ χειμάῤῥων αἱμάτων ἀνεχώρησεν ὁ δαίμων ἑκών, ὁ καὶ χωρὶς τούτων μένων, ὡς ἔφης, διὰ τὴν πρὸς τὴν ἐρωμένην μανίαν. Ἀλλὰ γὰρ τὸν παρ' ἡμῶν λόγον στήσαντες τέως, πάλιν ἐπακούσωμεν τῶν ὀδυρμῶν τοῦ σοφιστοῦ. Ἀφεὶς γὰρ τὸν Ἀπόλλω πρὸς τὸν Δία πάλιν ὀλοφύρεται λέγων, « Οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀναπαυλαν! ὡς καθαρὸν μὲν θορύβων ἡ Δάφνη χωρίον, καθαρώτερος δὲ ὁ νεὼς, οἷον λιμένος ἐπὶ λιμένι παρ' αὐτῆς πεποιημένου τῆς φύσεως· ἀκυμάντοιν μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν παρεχομένου τοῦ δευτέρου. Τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ; τίς δὲ οὐκ ἂν φόβον; τίς δὲ οὐκ ἂν πένθος; τίς δὲ ἂν ἐπόθησε τὰς μαχάρων νήσους; » Ποίαν ἀνάπαυλαν ἀφῃρέθημεν, ὦ μιαρέ; πῶς δὲ καθαρώτερος θορύβων ὁ νεὼς, καὶ λιμὴν ἀκύμαντος, ἔνθα αὐλοὶ καὶ τύμπανα, καὶ κραιπάλαι, καὶ κῶμοι, καὶ μέθαι; « Τίς οὐκ ἂν αὐτόθι, φησὶ, νόσον ἀπέδυ; » Τίς μὲν οὖν τῶν προσκειμένων σοι οὐκ ἂν ἐδέξατο νόσον αὐτόθι, εἰ καὶ πρότερον ὑγιαίνων ἐτύγχανε, καὶ νόσον τὴν πασῶν χαλεπωτάτην; Ὁ γὰρ τὸν δαίμονα προσκυνῶν, καὶ τῆς Δάφνης τὴν ὑπόθεσιν ἀκούων, καὶ τοῦ θεοῦ τὴν μανίαν τοσαύτην ὁρῶν, ὡς καὶ καταποθείσης τῆς ἐρωμένης ἔτι προσεδρεύειν τῷ τόπῳ καὶ τῷ φυτῷ, πόσην οὐκ ἂν ἐκεῖθεν ἐδέξατο φλόγα μανίας; πόσον χειμῶνα; πόσον θόρυβον; πόσην νόσον; πόσον πάθος; Τοῦτο οὖν ἀνάπαυλαν καλεῖς ψυχῆς, καὶ λιμένα ἀκύμαντον; τοῦτο νόσων ἀπαλλαγήν; Καὶ τί θαυμαστὸν εἰ τὰ ἐναντία τοῖς ἐναντίοις τίθεσαι; Καὶ γὰρ οἱ μαινόμενοι τῶν πραγμάτων οὐδενὸς ὡς ἔχει φύσεως αἰσθάνονται, ἀλλὰ ἐναντίας τοῖς οὖσι τὰς ψήφους φέρουσιν. « Ὀλύμπια μὲν οὐ μάλα πόῤῥω » — πάλιν γὰρ ἐπὶ τὸν θρῆνον ἥξομαι, δεικνὺς ὅσην ἅπαντες οἱ τότε τὴν πόλιν οἰκοῦντες Ἕλληνες ἐδέξαντο τὴν πληγὴν, καὶ ὡς οὐκ ἂν τοῦτο ῥᾳδίως ἤνεγκεν ὁ βασιλεὺς, ἀλλὰ πάντα θυμὸν εἰς τὴν τοῦ μάρτυρος λάρνακα ἀφῆκεν, εἰ μὴ φόβῳ κατεῖχετο μείζονι. Τί οὖν φησιν;

ad se spectabant prædicare renueret: at vero cum ne sic quidem error cessaret, sed rursus instarent illi, vel saxis ipsis stupidiores, devictum dæmonem implorantes, et ad tam apertam veritatem caecutientes, tunc necesse fuit in statuam ignem jaculari, ut hoc incendio alterum, idololatriæ nempe, incendium exstingueretur.

19. Cur ergo dæmonem criminaris dicens, *De medio cultu te subtraxisti?* Non libens se subtraxit, sed invitus et coactus, ejectus et pulsus est, cum maxime manere, nidore et sacrificiis allicientibus, voluisset. Ac si enim ad hoc imperaret Imperator ille, ut orbis pecora omnia absumeret, sic affatim oves et boves ad aras mactabat, eo insaniæ progressus, ut multi ex iis qui etiam nunc apud eos philosophari videntur, coquum ipsum, carnium cauponem, et similibus vocabulis appellarent. Certe a tam lauta mensa, nidore, fumo, et sanguinis torrentibus libens non aufugisset dæmon, qui, ut tu dicebas, etiam his destitutus, propter insanum puellæ amorem ibi manebat. Verum hic, intermissa tantisper nostra oratione, sophistæ lamenta iterum audiamus, qui miso jam Apolline, apud Jovem conqueritur his verbis: *Quale, o Jupiter, laborantis animi laxamentum perdidimus! quam tumultu vacuus Daphne locus! quanto magis vacuum ipsum templum! quo in loco natura ceu portum in portu fecerat, fluctuum expertem utrumque, sed secundum majorem tranquillitatem afferentem. Quis ibi morbum non deposuisset? quis non metum? quis non luctum? quis fortunatas insulas desideravisset?* Quale laxamentum perdidimus, o scelesle? quomodo tumultu magis vacuum templum, quomodo portus fluctuum expers, ubi tibiæ, tympana, crapulæ, comessationes et ebrietates? *Quis non ibi morbum deposuisset*, inquit? Imo quis cultorum tuorum non ibi morbum contraxit, etiamsi prius bene valeret, morbum, inquam, omnium gravissimum? Nam qui dæmonem adorat, et Daphnes fabulam audit, tantamque dæmonis insaniam videt, ut vel absorpta amica adhuc loco et arbori assideat, quantam hinc insaniæ flammam non concipiat? quantam tempestatem, quantum tumultum, quantum morbum, quantam perturbationem? Idne vocas animi laxamentum, et portum fluctuum expertem? idne morbi levamen? Et quid mirum si contraria contrariis apponas? Nam qui furore correpti sunt, nullius rei naturam uti se habet sentiunt, sed contrarios rei veritati calculos ponunt. *Olympia siquidem non admodum procul* — rursus enim ad lamentum revertar, ut ostendam quantam gentiles omnes tunc urbem incolentes plagam acceperint; palamque faciam Imperatorem non id æquo animo laturum, sed totum furorem in martyris arcam effusurum fuisse, nisi eum major metus cohibuisset?

« Ὀλύμπια μὲν οὐ μάλα πόῤῥω· συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις, αἱ δὲ ἥξουσι βοῦς ἄγουσαι τῷ Ἀπόλλωνι θυσίαν. Τί δράσομεν; ποῖ καταδυσόμεθα; τίς ἡμῖν θεῶν διαστήσει τὴν γῆν; ποῖος κῆρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυον; τίς ἑορτὴν ἐρεῖ τὰ Ὀλύμπια, τοῦ πτώματος ἐγγύθεν ἐπεμβάλλοντος ὀδυρμόν; Δός τόξα μοι κερουλκά, φησὶν ἡ τραγῳδία· ἐγὼ δὲ λέγω, καὶ μαντικῆς τι μικρὸν, ὅπως τῇ μὲν ὅλως, τοῖς δὲ τοξεύσω τὸν δράσαντα. Ὦ τόλμης ἀσεβοῦς· ὦ ψυχῆς μιαρᾶς· ὦ θρασείας χειρός· Τιτυός τις οὗτος ἕτερος, ἢ Ἴδας ὁ ἀδελφὸς Λυγκέως, οὐ μέγας μὲν ὥσπερ ἐκεῖνος, οὐδὲ τοξότης ὥσπερ οὗτος, ἀλλ' ἓν τοῦτο εἰδὼς, κατὰ θεῶν μαίνεσθαι. Τοὺς μὲν Ἀλωέως ἔτι διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσας, Ἄπολλον, τούτῳ δὲ πόῤῥωθεν φέροντι τὸ πῦρ οὐκ ἀπήντησεν οἰστὸς ἐπ' αὐτὴν πετόμενος τὴν καρδίαν. Ὦ δεξιᾶς τελχῖνος· ὦ πυρὸς ἀδίκου· ποῦ ποτε ἆρα τὸ πρῶτον ἔπεσε; τί τοῦ κακοῦ τὸ προοίμιον; ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τἆλλα προύβη, τὴν κεφαλὴν ἐκείνην, τὸ πρόσωπον, τὴν φιάλην, τὴν κίδαριν, τὸν ποδήρη χιτῶνα; Ἥφαιστος δὲ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου· ἀλλ' οὐδὲ ὁ Ζεὺς, ὄμβρων ἡνίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. Τί πρῶτον ἆρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θράσος; πῶς δὲ ἐφύλαξε τὴν ὁρμήν; πῶς δὲ οὐκ ἔλυσε τὸ δόγμα, τοῦ θεοῦ τὸ κάλλος αἰδεσθείς; » Μέχρι τίνος οὐ διαβλέψεις, ἄθλιε καὶ ταλαίπωρε, ταῦτα ἀνθρωπίνης εἶναι λέγων χειρὸς, (καὶ) ὥσπερ οἱ παραπαίοντες ἐναντιολογῶν καὶ σαυτῷ μαχόμενος; Εἰ γὰρ τὸν Περσῶν βασιλέα, καὶ τοσαύτην ἄγοντα στρατιὰν, καὶ τὴν πόλιν ἑλόντα, καὶ τὰ λοιπὰ τῶν ἱερῶν ἐμπρήσαντα, καὶ τὴν δᾷδα μετὰ χεῖρας ἔχοντα, καὶ προσάγειν αὐτὴν ἤδη τούτῳ μέλλοντα τῷ ναῷ, μετέβαλεν ὁ δαίμων — καὶ γὰρ καὶ ταῦτα ἐν ἀρχῇ τῆς μονῳδίας ἔλεγες θρηνῶν, οὕτως εἰπών· « Τόν τοι βασιλέα Περσῶν, τοῦ νῦν τούτου πολεμοῦντος πρόγονον, προδοσίᾳ τὸ ἄστυ λαβόντα καὶ ἐμπρήσαντα, χωρήσαντα ἐπὶ Δάφνην ὡς τὸ αὐτὸ δράσοντα, μετέβαλεν ὁ θεὸς, καὶ τὴν δᾷδα ῥίψας προσεκύνησε τῷ Ἀπόλλωνι· οὕτως αὐτὸν κατεπραΰνέ τε καὶ διήλλαξε φανείς· » ὁ δὴ θυμοῦ βαρβαρικοῦ καὶ τοσαύτης περιγενόμενος στρατιᾶς, ὡς ἔφης, καὶ δυνηθεὶς τότε τὸν κίνδυνον διαφυγεῖν — λέγεις δὲ ὅτι καὶ τοὺς Ἀλωέως παῖδας διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσε· πῶς οὖν ὁ τοσαῦτα δυνηθεὶς, οὐδὲν τοιοῦτον εἰργάσατο νῦν; Καίτοι γε εἰ μηδὲν ἕτερον, τὸν γοῦν ἱερέα σπαραττόμενον ἀδίκως ἐλεῆσαι ἐχρῆν, φανερὸν καταστήσαντα τὸν ἐπίβουλον. Καὶ εἰ τότε παρὰ τὸν ἐμπρησμὸν διέφυγεν, ὅτε γοῦν ὁ δειλαιος ἐκεῖνος κρεμάμενος διωρύττετο τὰς πλευρὰς, καὶ τὸν ἐργασάμενον ἀπαιτούμενος εἰπεῖν οὐκ εἶχε, τότε παραστῆναι ἐχρῆν καὶ ἐκδοῦναι τὸν δράσαντα, ἢ καὶ καταμηνῦσαι μόνον, εἴ γε ἐκδοῦναι οὐκ

Quid igitur ait? *Olympia non admodum procul: celebritas urbes convocabit; hæ venient boves agentes Apollini sacrificandos. Quid faciemus? quo nos subducemus? quis deorum nobis terram dehiscere jubebit? quis præco, quæ tuba non lacrimas exprimet? quis Olympia festum vocabit, quod proximus casus luctum invexerit? Da mihi arcum corneum, inquit tragœdia* [Euripides Oreste 262]. *Ego autem dico, et vaticinii nonnihil, ut hoc capiam, illo sagittis impetam facinoris auctorem. O impiam audaciam! o impuram animam! o temerariam manum! Tityus alter hic est, vel Idas Lyncei frater; non magnus ut ille, non jaculator ut hic, sed id unum edoctus, contra deos insanire. Aloei filios diis insidias struere cogitantes morte sedasti, Apollo; huic vero ignem procul ferenti non occurrit sagitta in cor ipsius involans. O dexteram dolosam! o iniquum ignem! quonam primum incidit? quod mali exordium? num a tecto exorsus ad reliqua processit, ad caput illud, ad faciem, ad phialam, ad cidarim, ad talarem vestem? Vulcanus, ignis penuarius, non comminatus est igni grassanti, cum gratiam referendam haberet deo ob datum sibi olim indicium. Sed neque Jupiter imbrium moderator aquam emisit in flammam, qui tamen Lydorum regi periclitanti pyram exstinxerit. Quid primum ad illum dixit qui bellum aggressus est? undenam illa confidentia? quomodo impetum servavit? cur decretum suum non solvit, dei pulchritudinem reveritus?* Quousque miser et infelix rem non intelliges, qui dicis hæc humanæ opus manus esse, et ceu lymphatus tecum ipse pugnas et digladiaris? Nam si Persarum regem, tantum ducentem exercitum, qui urbem ceperat, cæteraque omnia templa exusserat, facem manibus gerebat, et jamjam templo admoturus erat, dæmon mutavit; hoc enim initio næniæ tuæ lugens dicebas: *Persarum regem, unum ex majoribus ejus, qui nobiscum bellum gerit, cum proditione urbem cepisset et incendisset, Daphnen id ipsum facturum properantem, mutavit deus, ut abjecta face Apollinem adoraret: adeo illum conspectu suo emollivit atque convertit;* ille, inquam, dæmon, qui furorem barbaricum et tantum exercitum superare, ut dicebas, et tantum tunc periculum effugere potuit, qui, ut adjicis, Aloidas diis insidias struentes morte sedavit: quomodo, quæso, is qui tanta potuit, nihil simile nunc effecit? Atqui si nihil aliud, certe sacerdotem injuste laceratum, producto facinoris auctore, miserari oportuit. Et si quidem incendii tempore effugit ille, at quando miser iste suspensus latera perfoderetur, cumque rogatus facinoris auctorem declarare, non haberet quem nominaret, tunc certe adesse et facinorosum producere oportuit, vel saltem indicare, si producere non poterat.

ἴσχυεν· νῦν δὲ περιορᾷ μὲν ὁ ἀχάριστος καὶ ἀγνώμων τὸν αὐτοῦ θεραπευτὴν καταξαινόμενον ἀλόγως, περιορᾷ δὲ τὸν βασιλέα μετὰ τοσαύτας θυσίας καταγελώμενον. Καὶ γὰρ ὡς μαινόμενον καὶ παραπαίοντα πάντες ἐγέλων αὐτὸν, ὅτε εἰς τὸν ἄθλιον ἐκεῖνον ἠφίει τὴν ὀργήν. Πῶς δὲ ὁ τοῦ βασιλέως τὴν παρουσίαν ἔτι μακρὰν ὄντος προλέγων (καὶ γὰρ καὶ τοῦτο ἀνωτέρω τούτων ἐθρήνεις), τὸν πλησίον ἑστῶτα καὶ καταχαίοντα αὐτὸν οὐκ εἶδε; Καίτοι γε καὶ μαντικὸν αὐτὸν εἶναί φατε, καὶ ἄλλοις ἄλλας διανέμοντες τέχνας καθάπερ ἀνθρώποις τοῖς ὑμετέροις θεοῖς, τούτῳ τὴν μαντικὴν ἀνεθήκατε· καὶ οὐδὲ μεταδοῦναι αὐτόν σοι τῆς τέχνης ἀξιοῖς. Πῶς οὖν τὰς οἰκείας οὐκ ἔγνω συμφοράς; καίτοι τοῦτο οὐδ' ἂν ἄνδρα διέλαθεν. Ἀλλ' ἆρα μὴ ἐκάθευδεν ἁπτομένου τοῦ πυρός; Ἀλλ' οὐδὲ οὕτως ἀναίσθητός τίς ἐστιν, ὡς αὐτῷ τῆς φλογὸς προσφερομένης μὴ διαναστῆναι εὐθέως, καὶ τὸν προσάγοντα κατασχεῖν. Ἀληθῶς Ἕλληνες ἀεὶ παῖδες, γέρων δὲ Ἕλλην οὐδείς. Δίον γὰρ τὴν οἰκείαν ἄνοιαν θρηνεῖν, ὅτι τῶν πραγμάτων βοώντων τὴν τῶν δαιμόνων ἀπάτην, οὐδὲ οὕτως ἀφίστασθε, ἀλλ' ἐκδόντες ἑαυτοὺς εἰς ἀπώλειαν, καὶ τὴν ὑμετέραν ἀποδόμενοι σωτηρίαν, ἄγεσθε δίκην θρεμμάτων, ἥπερ ἂν κελεύωσιν ἕπεσθαι, οἱ κάθησθε ξοάνων πενθοῦντες ἀπώλειαν. Σὺ δὲ καὶ τόξα ἀπαιτεῖς οὐδὲν ἐκείνου τοῦ ταῦτα ἐν τῇ τραγῳδίᾳ λέγοντος διαστηκώς. Πῶς γὰρ οὐ μανίᾳ πρόδηλος καὶ σαφὴς προσδοκᾷν τι τοῖς ὅπλοις τούτοις ἀνύειν, ἃ τὸν κεκτημένον οὐδὲν ὤνησεν; Εἰ μὲν γὰρ αὐτὸς μείζονα καὶ τὴν τέχνην καὶ τὴν ἐμπειρίαν τοῦ δαίμονος ἔχειν φῂς, οὐκ ἐχρῆν αὐτὸν τιμᾶν ἀμαθέστερόν τε ὄντα καὶ ἀσθενέστερον, ἐν οἷς αὐτόν φατε πάντων κρατεῖν· εἰ δὲ τῶν πρωτείων ἐκείνῳ παραχωρεῖς, ἄν τε τοξεύειν, ἄν τε μαντεύεσθαι δέῃ, πῶς ἐν τῷ μέρει τῆς τέχνης ταῦτα προσεδόκησας δράσειν, ἅπερ ὁ τὴν ὅλην ἔχων οὐκ ἴσχυσεν;

Γέλως ταῦτα καὶ λῆρος· οὔτε γὰρ εἴχέ τι μαντικῆς, οὔτε κἂν εἶχεν ἤνυσεν ἄν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ ταῦτα ἐργασάμενος ἀνὴρ, ἀλλὰ θεία τις δύναμις. Καὶ τὴν αἰτίαν δὲ μετὰ ταῦτα ἐρῶ· τέως δὲ ἄξιον μαθεῖν ὑπὲρ ὧν ἀγνωμοσύνην ἐγκαλεῖ τῷ Ἡφαίστῳ οὑτωσί πως λέγων· « Ἥφαιστος δέ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου. » Ποίαν χάριν; ποίου μηνύματος ἀρχαίου; εἰπέ· διὰ τί κρύπτεις σου τὰ σεμνὰ τῶν θείων κατορθώματα; Εἰ γὰρ καὶ τὴν χάριν εἶπες αὐτὴν, μᾶλλον ἂν ἀγνώμονα τὸν Ἥφαιστον ἔδειξας. Ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς; οὐκοῦν ἡμεῖς μετὰ παῤῥησίας ἐροῦμεν τὰ σά. Τίς οὖν ἡ χάρις; Ἐρασθέντα ποτὲ τὸν Ἄρην τῆς Ἀφροδίτης, καὶ τὸν Ἥφαιστον (ἀνδρα γὰρ αὐτῆς εἶναι) δεδοικότα, τὴν ἀπουσίαν ἐπιτηρήσαντα τὴν ἐκείνου, πρὸς αὐτὴν εἰσελθεῖν φασί. Τὸν δὲ Ἀπόλλω θεασάμενον μιγνυμένους αὐτοὺς, ἀπελθόντα πρὸς τὸν Ἥφαιστον τὴν μοιχείαν κατειπεῖν· ἐλθόντα δὲ ἐκεῖνον καὶ ἀμφοτέρους ἐπὶ τῆς κλίνης εὑρόντα, δεσμὰ αὐτοῖς οὕτως ὡς εἶχον περιβαλόντα,

Nunc vero negligit ingratus ministrum suum injuste lancinatum intuitus, negligit ipsum Imperatorem tot victimis risum sibi parantem. Siquidem eum ceu furiosum et mente captum omnes deridebant, cum iram suam in miserum illum effunderet. Quomodo autem is qui Imperatoris adhuc procul agentis adventum prædicebat (nam et illud superius lugens dicebas), eum qui proxime stabat seque comburebat non vidit? Quamquam et vatem illum dicitis, aliasque aliis diis vestris, tamquam hominibus, artes assignatis: illi vaticinandi facultatem adscripsistis, nec tamen eum tecum artem suam communicare rogas. Quomodo proprias non novit calamitates, quod ne vir quidem ignoraret? An fortasse dormivit cum ignis accenderetur? At non ita quisquam sensus expers est, ut admota flamma non statim surgat, et admoventem comprehendat. Vere [ut loquitur Ægyptius sacerdos apud Platonem Timæo p. 22, B] *Græci semper pueri, senex Græcus nemo.* Cum enim propriam deplorare stultitiam oporteret, quod ipsis etiam rebus dæmonum fallaciam inclamantibus, neque sic resilitis, sed vos in perniciem dedentes, vestramque prodentes salutem, instar pecudum agimini, quo illi ducere velint, qui sedentes statuarum exitium lugetis. Tu vero arcum flagitas, nihilque differs ab eo qui hæc in tragœdia loquitur. Quo pacto enim id non furor manifestus fuerit, de armis ejusmodi aliquid exspectare, quæ ne possidenti quidem se opem tulere? Quodsi tu tibi majorem et artem et experientiam inesse dicas, quam dæmoni, ipsum certe colere non oportebat, utpote imperitiorem et infirmiorem, vel in quibus illum præcellere dicitis. Quodsi primas illi concedis, sive jaculari sive vaticinari oporteat, quomodo artis solum parte præditus, illa te præstare posse potasti, quæ non potuit is qui totam tenet artem?

20. Hæc ridicula, hæc nugæ sunt; neque enim ille vaticinandi artem quampiam habuit, neque si habuisset, illam exercere potuisset. Non enim vir, non utique hæc operatus est, sed divina virtus; causam autem postea aperiam. Interim vero par est ediscere cujus rei causa ingrati animi Vulcanum accuset his verbis: *Vulcanus autem, ignis penuarius, non comminatus est igni grassanti, cum gratia ipsi referenda esset deo ob datum olim indicium.* Quæ gratia? quod olim indicium? quare præclara deorum tuorum gesta occultas? Nam si gratiam ipsam indicares, Vulcanum magis ingratum ostenderes. Sed rubore ac pudore teneris: igitur nos libere res tuas aperiemus. Quænam igitur illa gratia? Martem olim Veneris amore captum, atque Vulcanum, qui maritus ejus erat, metuentem, cum eum absentem observasset, ad eam accessisse narrant. Apollinem vero, cum illos una commixtos vidisset, Vulcano adulterium renuntiasse: illum eo cum venisset, ambos in lecto repertos vinculis ut tunc erant colligasse, et ad turpe

καλέσαι τε τοὺς θεοὺς ἐπὶ τὴν ἀσχήμονα θεωρίαν, καὶ ταύτην τῆς μοιχείας εἰσπράξασθαι δίκην αὐτούς. Ταύτης οὖν τῆς χάριτος ὀφειλέτην ὄντα τὸν Ἥφαιστον, καιροῦ καλοῦντος, ἀγνωμονῆσαι πρὸς τὴν ἀντίδοσίν φησι. Τί οὖν καὶ ὁ Ζεύς, ὦ βέλτιστε; καὶ γὰρ καὶ τούτῳ πάλιν ἀπήνειαν ἐγκαλεῖς, « Ἀλλ' οὐδὲ ὁ Ζεὺς, λέγων, ὄμβρων ἡνίας ἔχων, ὕδωρ ἀρῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. » Ἀλλὰ γὰρ καλῶς ποιῶν ἀνέμνησας ἡμᾶς καὶ τοῦ Λυδοῦ· καὶ γὰρ κἀκεῖνον ὁ μικρὸς οὗτος δαίμων ἠπάτησεν ἐλπίσι φυσήσας κεναῖς, καὶ εἰς προῦπτον κακὸν ἐμβαλών· καὶ εἰ μὴ φιλάνθρωπος ἦν ὁ Κῦρος, οὐδὲν ἂν αὐτὸν ὤνησεν ὁ Ζεύς. Ὥστε μάτην ἐγκαλεῖς τῷ Διὶ ὡς προτιμήσαντι τοῦ παιδὸς τὸν Λυδόν· οὐδὲ γὰρ ἑαυτῷ ἔνθα μάλιστα πασῶν ἐτιμᾶτο πόλεων, τὴν Ῥωμύλου λέγω, κεραυνωθεὶς ἤμυνεν.

Ἐπακούσωμεν δὲ καὶ τῶν λοιπῶν τοῦ θρήνου ῥημάτων· οὕτω γὰρ τὸ πένθος εἰσόμεθα καλῶς, ὃ κατέσχεν αὐτῶν τὰς ψυχάς. « Ἄνδρες, ἕλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τοῦ θεοῦ, καί μοι πρὸ τῶν ὀμμάτων ἵστησιν ὁ λογισμὸς τὸν τύπον, ἡμερότητα μορφῆς, ἁπαλότητα δέρρης (καὶ ταῦτα ἐν λίθῳ), ζωστῆρα περὶ τῷ στήθει συνάγοντα χιτῶνα χρυσοῦν, ὡς αὐτοῦ τὰ μὲν ἐνιζάνειν, τὰ δὲ ὑπανίστασθαι. Τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; Ἔοικε γὰρ ᾄδοντι μέλος, καί πού τις καὶ ἤκουσεν, ὡς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος· ὦτα εὐδαίμονα! Τὸ δὲ ᾆσμα ἄρα ἦν ἔπαινος τῆς Γῆς, ἢ μοι φαίνεται καὶ σπένδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε ραγεῖσά τε καὶ συνελθοῦσα. » Εἶτα μικρὰ πρὸς τὸν ἐμπρησμὸν ὀλοφυρόμενος, « Ἑβόα μὲν, φησὶν, ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς, ἐκυκᾶτο δὲ φίλη Δάφνης ἔνοικος, ἱέρεια τοῦ θεοῦ· πλῆγαὶ δὲ στέρνων καὶ οἰμωγή τις ὀξεῖα διὰ χωρίου πολυδένδρου δραμοῦσα πίπτει μὲν εἰς τὸ ἄστυ δεινή τε καὶ φρικώδης, ὄμμα δὲ ἄρχοντος, ἄρτι γευόμενον ὕπνου, πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανίστησεν. Ὁ δὲ ἐμμανὴς ἤλαυνε, πτερὰ παρ' Ἑρμοῦ ζητῶν· αὐτὸς μὲν ἐπὶ ζήτησιν ἦει τῆς τοῦ κακοῦ ῥίζης, φλεγόμενος ἔνδον οὐχ ἧττον ἢ ὁ νεώς· δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ, ὅτῳ πελάσειαν φθείρουσαι, τὸν Ἀπόλλω μὲν εὐθὺς, ἅτε καὶ μικρὸν διέχοντα τοῦ στέγους, ἔπειτα δὲ τὰ ἄλλα κάλλη Μουσῶν, οἰκιστῶν εἰκόνας, λίθων ἀστραπὰς, κιόνων ὥραν. Ὁ δὲ ὅμιλος εἰλῇ περιεστήκεσαν ὀλοφυρόμενοι, βοηθεῖν δὲ ἀποροῦντες, ὃ καταλαμβάνει τοὺς ἀπὸ γῆς ναυγίαν ὁρῶντας, ὧν ἡ βοήθεια δακρῦσαι τὸ γινόμενον. Ἦπου μέγαν μὲν ἦγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ νύμφαι, μέγαν δὲ ὁ Ζεὺς ἐγγύς που καθήμενος, ὁποῖον εἰκὸς ἐπὶ τιμαῖς υἱέος συγχεχυμέναις, μέγαν δὲ δαιμόνων μυρίων ὅμιλος ἐν τῷ ἄλσει διαιτωμένων· οὐδὲν ἧττον θρῆνον ἐκμίσης τῆς πόλεως ἡ Καλλιόπη, τοῦ χοροποιοῦ τῶν Μουσῶν ἠδικημένου τῷ πυρί. » Εἶτα πρὸς τῷ τέλει φησὶ, « Γενοῦ μοι καὶ νῦν, Ἄπολλον, οἷόν σε ἐποίησεν ὁ Χρύσης καταρώμενος τοῖς Ἀχαιοῖς,

spectaculum deos evocasse, talesque de illis adulterii pœnas sumsisse. Talis ergo gratiæ debitorem Vulcanum, tempore id postulante, ingratum in reddendo beneficio fuisse ait. Quid igitur Jupiter, o vir optime? Nam et illum inhumanitatis accusas, *Sed neque Jupiter*, inquiens, *imbrium moderator aquam immisit in flammam, qui tamen Lydorum regi periclitanti pyram restinxit.* Sed enim pulchre nobis Lydum in memoriam revocasti : nam et illum hic dæmon decepit vana spe inflans, et in manifestam perniciem conjiciens. Ac nisi Cyrus humanus fuisset, nihil ipsum Jupiter juvisset. Quare frustra Jovi vitio vertis, quod Lydum filio prætulerit : neque enim sibi ipsi in qua urbe maxime colebatur, in Romuli scilicet urbe, fulmine tactus opem tulit.

Cæterum audiamus reliqua lamenti verba : sic enim luctum illum, qui eorum occupavit animos, probe sciemus. *Viri, trahitur mihi animus ad speciem dei, mihique cogitatio typum ejus ante oculos statuit, formæ lenitatem, cutis teneritudinem (et hoc in lapide), cingulum circa pectus auream tunicam colligens, ita ut alia quidem subsiderent, alia subsurgerent. Tota vero forma cujus iram vel fervorem non sedasset? Similis enim erat melos canenti : imo quispiam audivit, ut aiunt, in meridie citharam pulsantem. Aures beatas! Cantus vero fortasse erat laudatio terræ, cui de aureo cyatho mihi libare videtur, quod puellam occultarit dehiscens, ac deinde sese contrahens.* Post hæc pauca de incendio querens, *Clamabat*, inquit, *viator flamma erumpente : turbabatur amicâ Daphnes inquilina sacerdos dei : percussiones autem pectorum, et ejulatus acutus per locum arboribus densum percurrens, ad urbem usque vehemens atque horrificus pervadit, et principis oculum tunc somnum capere incipientem, ad acerbum nuntium e lecto excitavit. Ille furore percitus cucurrit alas a Mercurio petens ; ad mali radicem quærendam properabat, ipse non minus intus ardens, quam templum. Trabes interea cadebant deorsum ignem ferentes, quæ proxime stabant absumentes, Apollinem statim, utpote qui parum distaret a tecto, hinc cetera ornamenta, Musarum et eorum qui condiderant suburbium statuas, lapillorum fulgura, columnarum pulchritudinem. Multitudo circumstans lugebat, opem ferre non valens, ut accidit iis qui e terra naufragium vident, quorum auxilium unum est, factum lugere. Certe magnum excitavere luctum ex fontibus exsilientes nymphæ, magnum Jupiter prope sedens, ut par erat labefactatis filii honoribus ; ingentem item sexcentorum dæmonum in luco degentium cœtus ; nec minorem luctum media ex urbe Calliope excitavit, Musarum chorago igne læso.* Post hæc sub finem ait : *Fias mihi nunc certe, Apollo, qualem te reddidit Chryses, dum Achivis imprecaretur, ira plenum et nocti si-*

θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα, ὅτι δή σοι τὰς στολὰς ἡμῶν ἀποδιδόντων, καὶ ὅσον ἦν ἀπενεχθὲν ἀντικαθιστάντων, προαντιρπάσθη τὸ τιμώμενον, οἷον νυμφίου τινὸς πλεκομένων ἤδη στεφάνων ἀπελθόντος. »

Ὁ μὲν θρῆνος οὗτος, μᾶλλον δὲ ὀλίγα τοῦ θρήνου μέρη. Ἐμοὶ δὲ θαυμάζειν ἔπεισι, πῶς ἐφ' οἷς ἐγκαλύπτεσθαι ἐχρῆν, ἐπὶ τούτοις αὐτὸν σεμνύνειν οἴεται, οὐδὲν ἄμεινον ἀκολάστου νέου καὶ αἰσχροῦ κατὰ μεσημβρίαν ποιῶν αὐτὸν κιθαρίζοντα, καὶ τοῦ ᾄσματος ὑπόθεσιν εἶναι λέγων τὴν ἐρωμένην, καὶ ὥτα εὐδαίμονα καλῶν τὰ τῆς ᾠδῆς ἐπακούσαντα τῆς αἰσχρᾶς. Καὶ τὸ μέν τινας τῶν τὴν Δάφνην οἰκούντων δακρύειν, καὶ τοὺς προσκειμένους αὐτοῖς καὶ τὸν τῆς πόλεως ἄρχοντα φλέγεσθαι, καὶ πλέον τῶν θρήνων μηδὲν ἐμποιεῖν, οὐδὲν θαυμαστόν· τὸ δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἐπὶ τῆς αὐτῆς ἀμηχανίας εἶναι, καὶ δακρύειν μόνον κατ' αὐτοὺς, καὶ μήτε τὸν Δία, μήτε τὴν Καλλιόπην, μήτε τὸν πολὺν τῶν δαιμόνων ὄμιλον, ἀλλὰ μηδὲ τὰς νύμφας αὐτὰς ἀρκέσαι πρὸς τὴν πυρὰν, ἀλλὰ πάντας κωκυτοὺς καὶ οἰμωγὰς ἐγείρειν μόνον, τοῦτό ἐστι τὸ πολλοῦ γέλωτος γέμον. Ὅτι μὲν οὖν μεγάλην εἶχον πληγὴν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἀποδέδεικται· καὶ γὰρ καὶ ἐν μέσῳ που τῆς μονῳδίας ῥητῶς οὕτως περὶ τὰ καίρια πεπλῆχθαι αὐτοὺς ὡμολόγησεν. Οὐκ ἂν οὖν τοῦτο πράως ἤνεγκεν ὁ βασιλεὺς, μὴ δέει καὶ τρόμῳ μείζονι κατεχόμενος.

Ὥρα δὴ λοιπὸν ἐπιδεῖξαι καὶ τὴν αἰτίαν δι' ἣν ὁ Θεὸς οὐκ εἰς τὸν βασιλεύοντα τὴν ὀργὴν ἀφῆκεν, ἀλλ' εἰς τὸν δαίμονα, καὶ διὰ τί μὴ πάντα ἀπώλεσε τὸ πῦρ τὸν ναὸν, ἀλλὰ τὴν στέγην ἀφανίσαν ἅμα καὶ τὸ εἴδωλον ἔληξεν. Οὐ γὰρ ἁπλῶς οὐδὲ ἄνευ αἰτίας τινὸς ταῦτα ἐγένετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς ὑπὲρ τῶν πλανωμένων πάντα ἐδρᾶτο. Ὁ γὰρ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, μετὰ τῶν ἄλλων ᾔδει καὶ τοῦτο, ὅτι κατὰ μὲν τοῦ βασιλέως ἐνεχθέντος τοῦ κεραυνοῦ, οἱ μὲν παρόντες καὶ θεασάμενοι τὴν πληγὴν ἐφοβήθησαν ἂν πρὸς καιρὸν, δευτέρου δὲ καὶ τρίτου παρελθόντος ἔτους, ἥ τε μνήμη τοῦ γεγονότος ἀπώλλυτο, καὶ πολλοὶ οἱ διαπιστήσοντες ἦσαν τῷ θαύματι· εἰ δὲ ὁ ναὸς δέξοιτο τὴν φλόγα, παντὸς κήρυκος σαφέστερον οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσιν ἀπαγγελεῖ τοῦ Θεοῦ τὴν ὀργὴν, ὡς καὶ τοῖς βουλομένοις ἀναισχυντεῖν καὶ συγκαλύπτειν τὸ γεγονὸς πᾶσαν ἀνῃρῆσθαι πρόφασιν. Ἕκαστος γὰρ ἱστάμενος τῷ τόπῳ, ὥσπερ ἄρτι συμβεβηκότος τοῦ ἐμπρησμοῦ, οὕτω διατίθεται τὴν ψυχὴν, καὶ φρίκη τις αὐτὸν εἴσεισι, καὶ πρὸς τὸν οὐρανὸν ἀπιδὼν εὐθέως δοξάζει τοῦ ταῦτα ἐργασαμένου τὴν ἰσχύν. Ὥσπερ γὰρ ἂν εἴ τις λῃστάρχου τινὸς σπήλαιον καὶ κατάδυσιν διαῤῥήξας ἄνωθεν ἐξαγάγοι τὸν ἐνοικοῦντα δέσμιον, καὶ τὰ αὐτοῦ πάντα λαβὼν καταλίποι τὸν τόπον θηρίων καὶ κολοιῶν εἶναι καταφυγὴν, εἶτα ἕκαστος τῶν πρὸς τὴν κατάδυσιν ἐρχομένων ἐκείνην, ἅμα τὸν τόπον ὁρῶν, τὰς καταδρομὰς καὶ τὰς κλοπὰς καὶ τὴν ἰδίαν φαντα-

milem, quia cum stolas tibi redderemus nos, et quantum ablatum fuerat restitueremus, præreptum est quod colimus, ac si sponsus aliquis, dum coronæ nectuntur, excessisset.

21. Hæc lamentatio fuit, seu potius hæ modicæ sunt lamentationis partes. Mihi vero mirari subit, quomodo sophista in iis, quæ pudore afficere debebant, se ornare deum putet : nihilo melius, quam lascivum et obscœnum juvenem, in meridie eum cithara ludentem inducens, et cantici argumentum dicens amicam esse, auresque illas beatas prædicans, quæ turpem illam cantilenam audierint. Et quod quidem dicat aliquos ex iis qui Daphnen habitant, lacrimasse, et propinquos, ipsumque urbis principem arsisse, nihilque amplius, quam lamentationes potuisse efficere, nihil mirum : quod autem ipsos deos in eadem consilii inopia fuisse dicat, solumque apud se lacrimatos esse; ac neque Jovem, neque Calliopen, neque frequentem illam dæmonum turbam, neque ipsas nymphas aliquid contra incendium potuisse, sed omnes ejulatus et luctus excitasse tantum : id profecto ridiculum admodum est. Quod igitur magnam acceperint plagam satis ex jam dictis demonstratum est : etenim in medio mœniæ ipsos letali vulnere perfossos liquido confitetur. Non igitur id patienter tulisset Imperator, nisi illum major metus et formido occupasset.

Restat demum ut ostendamus qua de causa Deus iram suam in Imperatorem non immiserit, sed in dæmonem, et cur ignis non totum templum absumserit, sed combusto tecto atque idolo cessaverit. Neque enim temere et sine causa hæc facta sunt, sed ex Dei erga errantes clementia omnia gesta fuere. Qui enim omnia novit antequam fiant, et hoc cum aliis noverat : scilicet si fulmen in Imperatorem immissum fuisset, qui præsentes fuissent ac vidissent, ad tempus exterriti essent, secundo autem vel tertio peracto anno facti memoria periisset, multique futuri erant, qui miraculo non crederent. Sin vero templum flammam reciperet, omni præcone clarius, non iis solum qui tunc erant, sed etiam posteris omnibus iram suam denunciaturus erat Deus : ita ut si qui rem gestam vellent impudenter occultare, iis omnis occasio præcideretur. Quisquis enim locum petit, sic animo afficitur, ac si incendium super accidisset, atque horror quidam ipsum invadit, et ad cælum respiciens statim celebrat virtutem ejus, qui istæc operatus est. Ut enim si quis prædonum principis antrum et latibulum sursum perfringens, vinctum illum eduxerit, direptisque ejus facultatibus, locum reliquerit receptaculum ferarum et monedularum ; deinde vero, quisquis in hujusmodi latibulum venerit, statim atque locum videt, incursus

ζεται καὶ ὑπογράφει τοῦ πρότερον κατοικοῦντος αὐτὴν, οὕτω καὶ ἐνταῦθα γίνεται. Πόρρωθεν γάρ τις τοὺς κίονας ἰδὼν, εἶτα ἐλθὼν καὶ τὸν οὐδὸν ὑπερβὰς, ὑπογράφει ἑαυτῷ τὸ τοῦ δαίμονος ἀποτρόπαιον, τὴν ἀπάτην, τὰς ἐπιβουλὰς, καὶ καταπλαγεὶς τοῦ Θεοῦ τήν τε ὀργὴν καὶ τὴν ἰσχὺν ἄπεισι, καὶ τὸ πρότερον πλάνης οἰκοδόμημα καὶ βλασφημίας, νῦν δοξολογίας ὑπόθεσις γίνεται· οὕτως εὐμήχανός ἐστιν ἡμῶν ὁ Θεός.

Καὶ τὰ παράδοξα ταῦτα οὐ νῦν πρῶτον, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν προτέρων θαυματουργεῖ γενεῶν. Καὶ πάντα μὲν καταλέγειν οὐ τοῦ παρόντος καιροῦ, ἐπιμνησθήσομαι δὲ ὃ τούτῳ παρόμοιον εἶναι δοκεῖ. Πολέμου γὰρ συγκροτηθέντος ἐν τῇ Παλαιστίνῃ ποτὲ τοῖς Ἰουδαίοις πρὸς ἀλλοφύλους τινὰς, νικήσαντες οἱ πολέμιοι, καὶ τοῦ Θεοῦ τὴν κιβωτὸν λαβόντες, ὡς δὴ λάφυρόν τι καὶ ἀκροθίνιον, ἀνέθηκαν αὐτήν τινι τῶν ἐπιχωρίων εἰδώλῳ· Δαγὼν δὲ ἦν ὄνομα αὐτῷ· καὶ τὸ πρῶτον εἰσενεχθείσης τῆς κιβωτοῦ, κατέπεσε τὸ ξόανον καὶ ἔκειτο πρηνές· ὡς δὲ οὐ συνίεσαν τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἰσχὺν ἀπὸ ταύτης τῆς πτώσεως, ἀλλ' ὀρθώσαντες αὐτὸ πάλιν ἐπὶ τῆς οἰκείας ἔστησαν ἕδρας, τῇ ὑστεραίᾳ ὑπὸ τὴν ἕω παραγενόμενοι, θεωροῦσιν οὐκέτι μόνον πεπτωκὸς, ἀλλὰ καὶ διακεκλασμένον παντα χόθεν. Αἵ τε γὰρ χεῖρες ἀποσπασθεῖσαι τῶν ὤμων εἰς τὸν οὐδὸν ἐξηλοντίσθησαν τοῦ ναοῦ μετὰ τῶν ποδῶν, τό τε λοιπὸν τοῦ ξοάνου μέρος εἰς ἕτερον διέσπαρτο τόπον διασπασθέν. Καὶ τῶν Σοδόμων δὲ, ὡς ἄν τις μεγάλῳ παραβάλοι μικρὸν, διὰ τοῦτο μετὰ τῶν οἰκητόρων καὶ ἡ γῆ καταφλεχθεῖσα ἀπώλετο, καὶ γέγονεν ἄκαρπος, ἵνα μὴ μόνον οἱ τότε, ἀλλὰ καὶ οἱ μετ' ἐκείνους ἅπαντες ἀπὸ τῶν τόπων σωφρονίζωνται. Εἰ γὰρ ἔστη μέχρι τῶν ἀνδρῶν ἡ κόλασις, κἂν ἠπιστήθη μετὰ ταῦτα τὸ γεγονός· διὰ τοῦτο ὁ τόπος δέχεται τὴν πληγὴν, ὁ τῷ χρόνῳ παρεκταθῆναι δυνάμενος, καὶ ἑκάστην τῶν ἐπιγινομένων ὑπομιμνήσκει γενεῶν, ὅτι τοὺς τὰ τοιαῦτα δρῶντας τοιαῦτα πάσχειν νενομοθέτηται, κἂν μὴ παραυτὰ τὴν τιμωρίαν τίσωσιν· ὅπερ καὶ ἐπὶ τοῦ ναοῦ γέγονε τούτου. Ἰδοὺ γὰρ εἰκοστὸν ἔτος ἐστὶν ἐξ ἐκείνου λοιπὸν, καὶ τῆς ὑπὸ τοῦ πυρὸς καταλ[illegible] οὐδὲν παραπόλωλεν οἰκοδομῆς, ἀλλ' ἕστηκε παγίως καὶ βεβαίως τὰ διαφυγόντα μέρη τὸ πῦρ, καὶ οὕτως ἐστὶν ἰσχυρὰ, ὡς καὶ πρὸς ἑκατὸν ἔτη καὶ πρὸς ἕτερα δὶς τοσαῦτα, καὶ τούτων πάλιν πολλῷ πλείονα ἀρκέσαι χρόνον. Καὶ τί θαυμαστὸν, εἰ τῶν τοίχων οὐδεὶς ἀποσχισθεὶς θατέρου κατηνέχθη πρὸς τοὔδαφος; τῶν γὰρ κιόνων τῶν περὶ τὸν ὀπισθόδομον εἷς τότε μόνον διακλασθεὶς, οὐδὲ οὗτος κατέπεσεν· ἀλλὰ διαλυθεὶς ἀπὸ τῆς οἰκείας ἕδρας, καὶ πρὸς τὸν τοῖχον ἀναπεσὼν, οὕτως ἔμεινε· καὶ αὐτοῦ τὸ μὲν ἀπὸ τῆς κρηπῖδος ἐπὶ τὴν τομὴν πλάγιον πρὸς τὸν τοῖχον ἐρήρεισται, τὸ δὲ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν κεφαλίδα ἕστηκεν ὕπτιον ὑπὸ τοῦ κατωτέρου βασταζόμενον μέρους. Καίτοι καὶ ἀνέμων σφοδρῶς τῷ τόπῳ προσπεσόντων πολλάκις, καὶ σεισμῶν γενομένων, καὶ τῆς γῆς τινα χθείσης, οὐκ

et furta locum prius incolentis sibi animo depingit : ita et hic usu venit. Quisquis enim columnas procul conspicit, accedensque postea limen transgreditur, dæmonis abominationem animo sibi depingit, fallaciam item et insidias : atque iram virtutemque Dei miratus abscedit. Sic quod prius erroris et blasphemiæ habitaculum fuerat, nunc laudis decantandæ argumentum est : tanta Deus noster machinandi arte valet.

Ac mirabilia hujusmodi non nunc primum, sed jam olim a prioribus generationibus operatur. Omnia porro recensere non est præsentis temporis; rem tamen commemorabo huic omnino similem. Bello olim in Palæstina suborto inter Judæos et quosdam alienigenas (1 *Reg.* 5), victoria potiti hostes captam Dei arcam, quasi manubias et spolia, cuidam indigenæ idolo consecrarunt, cui nomen Dagon erat. Ubi autem primum inducta fuit arca, statua decidit et prostrata jacebat. Ubi ex hoc casu Dei virtutem non intellexerunt, sed erectam rursus illam in basi sua collocarunt, postridie sub auroræ tempus accedentes, non solum delapsam, sed penitus fractam repererunt. Nam avulsæ manus ab humeris, ad limen templi cum pedibus exsilierant, reliqua pars statuæ divulsa alibi reperta est. Sodomorum item tellus, ut parva magnis conferamus, ideo cum habitatoribus igne absumta periit, infructuosaque mansit, ut non modo illius ævi homines, sed post futuri omnes a locis ipsis ad meliorem frugem reducerentur. Si enim homines tantum ultio attigisset, factum postea non creditum fuisset. Ideo locus plagam accipit, qui potest per tempus durare, singulasque generationes commonefacit, lege nempe statutum esse, ut qui talia agant, talia patiantur, etiamsi non statim pœnas luant; ut in hoc templo contigit. Ecce namque vigesimus annus ex illo tempore agitur, nec tamen ædificii ab igne relicti pars ulla periit, sed quæ partes ignem effugerunt, eæ firmiter stant usque adeo validæ, ut et centum et bis tantos, hisque rursum longe plures annos durare possint. Et quid mirum si ex parietibus nullus ab altero avulsus ad solum deciderit? Columnarum enim earum quæ ad posteriorem templi partem erant, una tantum fracta, ne ea quidem corruit, sed a sua basi mota et ad murum reclinata mansit, ejusque pars ab imo usque ad fracturam obliqua muro nititur; a fractura vero usque ad capitellum supina stat, ab inferiori parte suffulta. Quamquam autem et venti vehementer ingruerint, terræ motus acciderint, et

ἐτινάχθη τὰ λείψανα τῆς φλογὸς, ἀλλ' ἕστηκε βεβαίως, μονονουχὶ βοῶντα ὅτι διὰ τὸν τῶν ἐσομένων τετήρηνται σωφρονισμόν.

Καὶ τοῦ μὲν μὴ πάντα ἁλῶναι τῷ πυρὶ τὸν νεών, ταύτην ἂν εἴποι τις εἶναι πρόφασιν· τοῦ δὲ μὴ ἐλθεῖν ἐπὶ τὸν βασιλέα τὸν σκηπτὸν, καὶ ἑτέραν εὕροι τις ἂν αἰτίαν ζητῶν ἀπὸ τῆς αὐτῆς ὁρμωμένην πηγῆς, τῆς χρηστότητος λέγω καὶ φιλανθρωπίας τοῦ Χριστοῦ. Διὰ γὰρ τοῦτο τῆς μὲν τοῦ βασιλέως κεφαλῆς τέως ἀνέσχε τὸ πῦρ, ἔῤῥιψε δὲ αὐτὸ κατὰ τῆς ὀροφῆς, ἵνα ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευθεὶς ἐκφύγῃ τὴν ἀποκειμένην αὐτῷ κόλασιν, μεταβαλὼν καὶ τῆς πλάνης ἀπαλλαγείς. Οὐδὲ γὰρ τοῦτο μόνον οὐδὲ πρῶτον αὐτῷ τῆς οἰκείας δυνάμεως σημεῖον ἔδωκεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἕτερα πρὸς τούτοις πολλὰ τούτου οὐχ ἧττονα· ὅ τε γὰρ θεῖος αὐτοῦ, ὅ τε ταμίας, οὕτως ἄμφω καταλύσαντες τὸν βίον, καὶ λιμὸς εἰς τὴν πόλιν εὐθέως ἐμπεσὼν, μετ' αὐτοῦ καὶ ἡ τῶν ὑδάτων σπάνις οὐδέποτε συμβᾶσα πρότερον, ἀλλ' ἢ μετὰ τὰς ἐπὶ τῶν πηγῶν γενομένας θυσίας ὑπ' αὐτοῦ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα, τά τε ἐν τῷ στρατοπέδῳ, τά τε ἐν ταῖς πόλεσι συμβαίνοντα, καὶ λιθίνην ἱκανὰ κάμψαι ψυχὴν, οὐ τῷ πλήθει μόνον, οὐδὲ τῷ πάντα ὁμοῦ γίνεσθαι καὶ ἐφεξῆς καὶ κατὰ πόδας τῶν τολμημάτων, ὡς ἐπὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων ποτὲ, ἀλλὰ τῷ καὶ καθ' ἑαυτὰ τοιαῦτα εἶναι τὰ δεικνύμενα τέρατα, ὡς μὴ δεῖσθαι ἕτερον ἑτέρου πρὸς τὴν τῶν ὁρώντων ἐπιστροφὴν, ἀλλ' ἀρκεῖν ἕκαστον αὐτῶν καὶ καθ' ἑαυτὸ τοῦτο ἐργάσασθαι.

Ἵνα γὰρ τὰ ἄλλα παραλίπω, τίνα οὐκ ἂν ἐξέπληξε τῶν μὴ σφόδρα ἀναισθήτων τὸ περὶ τὰ θεμέλια τοῦ παλαιοῦ τῶν Ἱεροσολύμων ναοῦ σημεῖον ἐπιδειχθέν; Τί δὲ τοῦτο ἦν; Ὁρῶν ὁ τύραννος εἰς τὴν ἀρχὴν ἅπασαν τὴν ὑπ' αὐτῷ κειμένην τοῦ Χριστοῦ τὴν πίστιν ἐκκεχυμένην, ἤδη δὲ καὶ τῆς Περσῶν ἁψαμένην καὶ βαρβάρων ἑτέρων μετ' ἐκείνους, καὶ πάλιν ἐνδοτέρω τούτων προελθοῦσαν, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν ὑφ' ἥλιον κατέχουσαν, ἐδάκνετο μὲν καὶ ἤλγει, καὶ πρὸς τὸν τῶν Ἐκκλησιῶν παρεσκευάζετο πόλεμον· ἠγνόει δὲ πρὸς κέντρα λακτίζων ὁ δείλαιος. Καὶ πρῶτον μὲν τὸν ἐν Ἱεροσολύμοις ναὸν, ὃν εἰς ἔδαφος ἡ τοῦ Χριστοῦ κατήνεγκε δύναμις, ἀνορθοῦν ἐπειρᾶτο, καὶ τὰ τῶν Ἰουδαίων ὁ Ἕλλην ἐθεράπευεν, ἀπόπειραν διὰ τούτου τῆς τοῦ Χριστοῦ δυνάμεως βουλόμενος λαβεῖν· καὶ καλέσας Ἰουδαίων τινὰς, καὶ θύειν κελεύσας (καὶ γὰρ τοὺς προγόνους τοὺς ἐκείνων τοῦτον τῆς θρησκείας θρησκεύειν τὸν τρόπον ἔλεγεν), ἐπειδὴ εἰς ταύτην ἐκεῖνοι κατέφυγον τὴν ἀναχώρησιν, ὡς οὐ θέμις αὐτοῖς τοῦ ναοῦ πεπτωκότος ἔξω τῆς παλαιᾶς μητροπόλεως τοῦτο ποιεῖν, κελεύει χρήματα ἀπὸ τῶν ταμείων λαβόντας τῶν βασιλικῶν, καὶ τὰ ἄλλα ἅπαντα, ἃ πρὸς τὴν οἰκοδομὴν παρέχειν ἐχρῆν, ἀπιέναι καὶ ἀνορθοῦν τὸν ναὸν, καὶ ἐπὶ τὴν παλαιὰν ἐπανιέναι συνήθειαν τῶν θυσιῶν. Οἱ δὲ ἀνόητοι, πλανώμενοι ἐκ νοιλίας καὶ παιδευόμενοι ἕως γήρως, ἀπῆσαν ὡς συμπράξοντες τῷ

terra concussa fuerit, flammæ reliquiæ non amotæ sunt; sed firmiter steterunt, propemodum clamantes, se ad posterorum emendationem servatas esse.

22. Et quidem quod templum non funditus dirutum fuerit, hanc causam dicere possis: quod autem fulmen Imperatorem non attigerit, alteram causam si quæras reperies, ex eodem ipso benignitatis et clementiæ Christi fonte manantem. Ideo enim ignem ab Imperatoris capite tum avertit, in ipsumque tectum jaculatus est, ut alienis calamitatibus edoctus repositam sibi pœnam effugeret, mutatus et ab errore liberatus. Neque hoc solum neque primum propriæ virtutis signum ei dedit Christus, sed et alia multa his non minora. Nam et patruus ejus et quæstor ærarius, sic ambo vita functi sunt; ad hæc fames urbem invadens, unaque cum ea aquarum illa penuria nunquam ante visa, quam ab eo sacrificia fontibus facta fuissent, aliaque multa, sive in exercitu sive in urbibus accidentia, potuissent vel lapideum animum flectere, non multitudine tantum, neque quod omnia simul facinora statim sequerentur, ut quondam Ægyptiorum regis tempore; sed etiam quod per se talia ederentur miracula, ut aliud alio non egeret ad videntium conversionem, sed singula ex se ad id peragendum satis essent.

Nam ut cætera omittam, quem vel ex admodum stupidis non deterruisset quod circa veteris Hierosolymitani templi fundamenta exhibitum est signum? Quidnam illud erat? Cum videret tyrannus in tota sua ditione diffusam Christi fidem, jamque Persarum fines occupantem, aliorumque remotiorum barbarorum, rursumque citerius progressam, ac totum, ut ita dicam, orbem occupantem: cruciabatur animo et angebatur, Ecclesiisque bellum parabat: ignorabat autem infelix se contra stimulum calcitrare. Ac primo quidem Hierosolymitanum templum, quod funditus Christi virtus diruerat, restaurare conabatur, gentilisque homo res Judæorum procurabat, virtutis Christi periculum inde facere volens; et accitis Judæis quibusdam, ilisque sacrificare jussis (nam majores eorum dicebat hoc cultus genere usos esse), cum Judæi eo confugerent, ut non fas esse sibi dicerent, templo diruto extra veterem metropolin id facere, jubet pecunias ex imperatorio ærario accipere, necnon alia omnia ad structuram necessaria, abireque instauratum templum, ac veterem sacrificiorum morem repetitum. Tum stulti illi, ab utero errantes et ad canos usque puerili egentes institutione, discesserunt,

βασιλεῖ. Καὶ αὐτόν τι ὁμοῦ τὸν χοῦν ἤρξαντο χενοῦν, καὶ πῦρ τῶν θεμελίων ἐκπηδῆσαν ἀθρόον ἅπαντας αὐτοὺς κατανάλωσεν. Ὡς δὲ ἀπηγγέλθη ταῦτα τῷ βασιλεῖ, οὔτε περαιτέρω τὴν τόλμαν προάγειν ἐπεχείρει λοιπόν· κατεῖχετο γὰρ τῷ δέει· οὔτε τῆς πλάνης τῶν δαιμόνων ἤθελεν ἀπαλλάττεσθαι, καθάπαξ τυραννηθεὶς ὑπ' αὐτῶν, ἀλλὰ τέως μὲν ἡσυχίαν ἦγε· χρόνου δὲ παρελθόντος μικροῦ, τῆς αὐτῆς εἴχετο ματαιοπονίας, τὸν μὲν νεὼν οὐκέτι τολμῶν οἰκοδομεῖν, ἑτέρωθεν δὲ ἀκροβολιζόμενος πρὸς ἡμᾶς· εἰς πόλεμον γὰρ καθεῖναι φανερὸν ἀνεβάλλετο τέως, ἑνὸς μὲν καὶ μάλιστα πρώτου τοῦ πεπεῖσθαι σαφῶς ἀδυνάτοις ἐπιχειρεῖν, δευτέρου δὲ τοῦ μηδεμίαν ἡμῖν ἀφορμὴν παρασχεῖν μαρτυρίου στέφανον ἀναδήσασθαι. Καὶ γὰρ ἀφόρητον ἦν αὐτῷ καὶ πάσης συμφορᾶς χεῖρον, τὸ παραχθέντα τινὰ εἰς μέσον μέχρι τελευτῆς ἐγκαρτερῆσαι ταῖς ὑπὲρ τῆς ἀληθείας βασάνοις· οὕτως ἐκ ψυχῆς τὴν πρὸς ἡμᾶς ἀπέχθειαν ἐπεδείκνυτο. Ἤδει γάρ, ἤδει σαφῶς ὅτι τοῦτο τολμήσαντος αὐτοῦ, πάντες ἂν ὑπὲρ τοῦ Χριστοῦ τὰς ἑαυτῶν προύδωκαν ψυχάς· κακοῦργος δὲ ὢν καὶ δεινός, τοὺς ὑπὸ τῶν ἀρχόντων τῆς Ἐκκλησίας κεκολασμένους δι' ἁμαρτίας τινὰς καὶ τῆς ἀρχῆς ἐκβεβλημένους πάντας πάντοθεν ἠφίει, τούτῳ τῷ τρόπῳ τοῖς τε πονηροτάτοις ἐξουσίαν διδοὺς, καὶ τοὺς τῆς Ἐκκλησίας ἀνατρέπων θεσμοὺς, καὶ πρὸς ἀλλήλους συγχρούων ἅπαντας· εὐχειρώτους γὰρ λοιπὸν ἔσεσθαι, πρότερον ὑπὸ τοῦ πρὸς ἀλλήλους καταναλωθέντας πολέμου. Καί τινα καὶ τῆς τοῦ δόγματος ἕνεκεν διαστροφῆς, καὶ τῆς τοῦ βίου μοχθηρίας, τῆς ἀρχῆς τῆς ἐκκλησιαστικῆς ἐκβεβλημένον (Στέφανος ἦν ὄνομα αὐτῷ) καλεύει πάλιν τὸν διδασκαλικὸν θρόνον ἀναλαβεῖν. Καὶ τὸ κυριακὸν δὲ ὄνομα τέως σβεσθῆναι, τό γε εἰς αὐτὸν ἦκον, ἐσπούδαζε, Γαλιλαίους ἀντὶ Χριστιανῶν αὐτός τε ἐν τοῖς διατάγμασι καλῶν, καὶ τοὺς ἄρχοντας τοῦτο προτρέπων ποιεῖν.

Μεταξὺ δὲ τῶν σημείων τούτων ὧν εἶπον γενομένων τῶν κατὰ τὸν λιμὸν καὶ τὸν αὐχμὸν, ἔμενεν ἐπὶ τῆς αὐτῆς ἀναισχυσίας ἔτι καὶ σκληρότητος· καὶ μέλλων ἐπιστρατεύειν τῷ Πέρσῃ, καὶ μετὰ τοσούτου τύφου κατιὼν ὡς ἅπαν τὸ τῶν βαρβάρων ἀναρπασόμενος ἔθνος, ἠπείλει μυρίας ἡμῖν ἀπειλὰς, λέγων μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον πάντας ἄρδην ἀπολεῖν· πόλεμον γὰρ αὐτῷ τοῦτον εἶναι τοῦ Περσικοῦ χαλεπώτερον, καὶ δεῖν πρότερον κατορθώσαντα ἐκεῖνον τὸν ἐλάττω, τότε ἐπὶ τὸν μείζονα τοῦτον ἐλθεῖν. Καὶ ταῦτα ἡμῖν οἱ τῆς γνώμης αὐτῷ κοινωνοῦντες ἀπήγγελλον. Ζέων δὲ τῷ καθ' ἡμῶν θυμῷ, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς μείζονα μανίαν αἰρόμενος, οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἵστατο γνώμης, ἀλλὰ τὴν προτέραν βουλὴν ἀποθέμενος, πάλιν ἠπείλει τὸν διωγμὸν ἡμῖν. Βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς ἀναχρούσασθαι καὶ καταστεῖλαι φλεγμαίνοντα, ἐπήγαγε πάλιν τουτὶ τὸ σημεῖον, ἐν τῇ Δάφνῃ τὸ πῦρ ἐπὶ τὸν νεὼν ἀφείς.

Ὁ δὲ οὐδὲ οὕτω καθυφῆκε τοῦ θυμοῦ, ἀλλὰ τῇ τῆς

ut Imperatore favente rem peragerent: ac statim atque humum egerere cœpissent, ignis e fundamentis exiliens eos statim consumsit. His Imperatori nuntiatis non ultra rem promovere ausus est, metu scilicet cohibente; neque tamen ab errore dæmonum, quibus plane subditus erat, liberari voluit; interim tamen paulum quievit. Brevi postea tempore vanam itidem operam suscepit, non quidem ausus ultra templum construere, sed nobiscum velitationibus pugnare volens: aperto enim marte nos adoriri adhuc differebat: hac una et prima de causa, quod persuasus esset se id frustra tentaturum esse; secunda vero, ne nobis occasionem præberet ut corona martyrii redimiremur. Hoc quippe intolerandum ipsi, et omni calamitate gravius erat, si quis in medium productus pro veritate usque ad mortem in cruciatibus perseveraret: ita sese ex animo inimicum nostrum declarabat. Noverat enim, noverat plane, si id auderet, omnes pro Christo animas suas tradituros esse; malignus autem et callidus cum esset, eos qui ob peccatum quoddam Ecclesiæ principibus pœnas dedissent, aut ab episcopatu amoti essent, liberos omnes ubique dimittebat, hoc modo nequissimis potestatem tribuens, Ecclesiæ leges evertens, mutuumque inter nostros conflictum movens: nam expugnatu faciles demum futuros sperabat, cum sese intestino bello consumsissent. Quemdam etiam tum perversæ doctrinæ, tum improbæ vitæ causa, ecclesiastico principatu pulsum, nomine Stephanum, jubet rursum doctrinæ thronum occupare: atque Dominicum nomen, quoad ejus fieri potuit, exstinguere curabat, Galilæos pro Christianis nos tum in edictis suis vocans, tum principes ut idem facerent adhortans.

Inter tot signa, ut dixi, quæ per famem et siccitatem edebantur, in eadem adhuc impudentia ac duritie perseverabat. Expeditionemque Persicam suscepturus, tanto cum fastu descendens ac si totam barbarorum gentem vastaturus esset, sexcentas nobis minas intentabat, jactitabatque, se post reditum nos omnes funditus deleturum esse: hoc quippe bellum Persico sibi esse gravius; unde prius confecto minore, tunc majus hoc sibi esse suscipiendum. Hæc porro nobis renuntiarunt ii qui ipsi a consiliis erant. Contra nos igitur furore ardens, et quotidie ad majorem elatus insaniam, numquam in eadem sententia persistebat; sed priore consilio posito, rursus nobis persecutionem minabatur. Cum vero Deus illum coercere, ardentemque comprimere vellet, hoc denuo signum induxit, igni in templum Daphnes immisso.

23. Ille vero ne sic quidem furorem sedavit, imo potius

ἡμετέρας λεηλασίας ἐπιθυμίᾳ διαῤῥηγνύμενος, οὐδὲ τὸν καιρὸν ὃν ἠπείλησεν ἔμεινεν· ἀλλὰ τὸν Εὐφράτην διαβαίνειν μέλλων ἀπόπειραν ἐποιεῖτο τῶν στρατιωτῶν, καί τινας εὐαριθμήτους κολακείᾳ διαφθείρας, τοὺς ἀντιστάντας οὐ παρέλυσε τῆς στρατείας, δεδοικὼς μὴ διαστήσας αὐτοὺς ἀσθενέστερον ἐργάσεται τῷ Πέρσῃ τὸν στρατόν. Τίς ἡμῖν λοιπὸν τὰ ἐντεῦθεν διηγήσεται, καὶ τῶν κατὰ τὴν ἔρημον καὶ τῶν κατὰ τὴν θάλατταν καὶ τῶν κατὰ τὴν Αἴγυπτον, ὅτε ὁ ἀναίσθητος ἐκεῖνος ἐκολάζετο Φαραὼ καὶ πάντες κατεποντίζοντο, ὄντα πολλῷ φοβερώτερα; Καθάπερ γὰρ τότε, ἐπεὶ μηδενὶ τῶν τοσούτων εἶξαι συμβόλων καὶ γενέσθαι βελτίων ἠθέλησεν ὁ Αἰγύπτιος, τέλος αὐτὸν σὺν αὐτῷ τῷ στρατοπέδῳ κατέδυσεν· οὕτω καὶ νῦν, ἐπειδὴ πρὸς πάντα ἀναιδῶς ἔστη τοῦ Θεοῦ τὰ τεράστια, καὶ οὐδὲν ἀπ' αὐτῶν κερδᾶναι ἠθέλησεν, ἀλλ' ἔμεινεν ἀδιόρθωτος, τοῖς ἐσχάτοις αὐτὸν λοιπὸν περιέβαλε κακοῖς, ἵν' ἐπειδὴ τοῖς ἑτέρων αὐτὸς σωφρονισθῆναι οὐκ ἠνέσχετο, τοῖς αὐτοῦ παθήμασι γένωνται βελτίους ἕτεροι. Ὁ γὰρ τοσαύτας μυριάδας στρατιωτῶν καταγαγὼν, ὅσας οὐδεὶς τῶν βασιλευσάντων ποτὲ, καὶ πᾶσαν τὴν Περσῶν ἐξ ἐπιδρομῆς καὶ ἀπονητὶ προσδοκήσας ἑλεῖν, οὕτως ἀθλίως καὶ ἐλεεινῶς ἔπραξεν, ὡς γυναικῶν μᾶλλον καὶ παιδίων μικρῶν ἢ ἀνδρῶν στρατόπεδον ἔχων μεθ' ἑαυτοῦ. Πρῶτον μὲν γὰρ εἰς τοσαύτην αὐτοὺς ἀνάγκην ὑπὸ τῆς οἰκείας ἀβουλίας κατέστησεν, ὥστε ἱππείων ἀπογεύσασθαι κρεῶν, καὶ τοὺς μὲν τῷ λιμῷ, τοὺς δὲ τῇ δίψῃ διαφθαρέντας ἀποθανεῖν. Καθάπερ γὰρ τοῖς Πέρσαις στρατηγῶν, καὶ οὐκ ἐκείνους ἑλεῖν, ἀλλὰ τοὺς οἰκείους αὐτοῖς προδοῦναι σπουδάζων, οὕτως αὐτοὺς εἰς χωρία συνέκλεισεν ἄπορα, καὶ μόνον οὐχὶ δήσας παρέδωκεν.

Ἀλλὰ πάσας μὲν τὰς ἐκεῖ γενομένας συμφορὰς οὐδὲ τῶν ἰδόντων τις καὶ πεῖραν εἰληφότων δυνήσεται διελθεῖν· οὕτω πᾶσαν ἀπέκρυψεν ὑπερβολήν· ὡς δὲ ἐν κεφαλαίῳ εἰπεῖν, πεσόντος αὐτοῦ αἰσχρῶς καὶ ἐλεεινῶς — οἱ μὲν γὰρ ὑπό τινος τῶν σκευοφόρων τοῖς παροῦσι δυσανασχετοῦντος βληθέντα ἀποθανεῖν αὐτόν φασιν· οἱ δὲ οὐδὲ εἰδέναι τὸν σφαγέα τὸν ἐκείνου λέγουσιν, ἀλλ' ὅτι μόνον ἐπλήγη καὶ παρεκάλεσεν εἰς τὴν Κιλίκων ταφῆναι γῆν, ἔνθα καὶ κεῖται νῦν. Πεσόντος δὴ οὖν οὕτως αἰσχρῶς, ὁρῶντες ἐν τοῖς ἐσχάτοις αὐτοὺς ὄντας οἱ στρατιῶται προσέπεσον τοῖς ἐχθροῖς, καὶ δόντες ὅρκους ἀποστήσεσθαι τοῦ πάντων ἀσφαλεστάτου φρουρίου, καὶ ὃ τῆς καθ' ἡμᾶς οἰκουμένης ὥσπερ τεῖχος ἦν ἀῤῥαγὲς, φιλανθρώπων τε τυχόντες τῶν βαρβάρων, οὕτω διέφυγον καὶ ἐπανῆλθον ἐκ πολλῶν ὀλίγοι, καὶ αὐτοὶ πεπονηκότες τὰ σώματα, αἰσχυνόμενοι μὲν ἐφ' οἷς συνέθεντο, ἀναγκαζόμενοι δὲ διὰ τοὺς ὅρκους ἀποστῆναι τῶν πατρικῶν κτημάτων αὐτοῖς. Καὶ ἦν ἰδεῖν πάσης αἰχμαλωσίας ἐλεεινότερον θέαμα· οἱ γὰρ τὴν πόλιν οἰκοῦντες ἐκείνην, παρ' ὧν χάριτας προσεδόκησαν λήψεσθαι, ὅτι δίκην προβόλου πάντας τοὺς ἔνδον ἐν λιμένι κατέστησαν, ἀντὶ πάντων πρὸς πάντας αὐ

cum rei nostræ devastandæ cupidine disrumperetur, ne tempus quidem, quod comminando sibi præstituerat, exspectavit; sed Euphratem trajecturus, de militibus experimentum sumebat: ac quibusdam numero paucis adulatione corruptis, repugnantes sibi nequaquam remisit, veritus ne si hos segregasset, debiliorem exercitum suum Persico regi redderet. Quis nobis quæ hinc consequuta sunt recenseat, longe terribiliora iis quæ in deserto, quæ in mari, quæ in Ægypto, quo tempore induratus ille Pharao plectebatur, omnesque alii submergebantur? Quemadmodum enim tunc, postquam tot signorum nulli cedere neque resipiscere voluit Ægyptius, tandem illum Deus cum reliquo exercitu perdidit: ita et nunc, postquam ad omnia Dei prodigia impudenter ille restitit, nihilque inde lucri percepit, sed sine emendatione mansit, extremis illum Deus malis involvit, ut, quandoquidem ille aliorum calamitatibus ad meliorem frugem reduci noluerat, ejus exitio cæteri emendarentur. Qui enim tot militum myriadas eduxerat, quot nullus antea Imperatorum, totamque Persidem incursu quodam et sine sudore se capturum sperabat, ita misere et infeliciter rem gessit, ac si mulierum vel parvulorum potius quam virorum exercitum secum habuisset. Primum namque illos consilii inopia in tantam necessitatem adegit, ut equinis carnibus vescerentur, et alii fame, alii siti absumti perirent. Quasi enim in Persarum gratiam exercitum ducere, ac non illos capere, sed suos prodere vellet, sic in angusta eos loca conclusit, ac tantum non vinctos hosti tradidit.

Omnes porro quæ illic contigere calamitates, ne ex iis quidem, qui illas viderunt et experti sunt, possit quispiam recensere, ita omnem modum superarunt. Sed ut summatim dicam: illo turpiter ac misere mortuo — alii enim dicunt illum a calone quodam, de rerum statu indignante, percussum cecidisse; alii interfectorem non novisse, sed tantummodo percussum dicunt rogasse ut in Cilicia sepeliretur, ubi nunc jacet: cum itaque sic ille turpiter cecidisset, milites se in extremis constitutos esse cernentes, hostibus supplices accedunt, datisque juramentis, se omnium munitissimo præsidio cessuros, quod partium nostrarum ceu murus erat inexpugnabilis, humanosque nacti barbaros, sic evaserunt, ex multisque pauci remigrarunt, sed male affectis corporibus, de inito fœdere pudefacti, per jusjurandum vero coacti paternis bonis cedere. Videreque erat quavis captivitate miserabilius spectaculum: nam urbis illius cives, a quibus gratiam exspectabant, quod instar propugnaculi positi eos omnes, qui intra hos limites

τὸ προβεβλημένοι τοὺς κινδύνους ἀεὶ, παρὰ τούτων τὰ τῶν πολεμίων ἔπασχον, εἰς ἀλλοτρίαν μετανιστάμενοι γῆν, καὶ οἰκίας ἀφέντες καὶ ἀγροὺς, καὶ πάντων τῶν κτημάτων ἀποσπώμενοι τῶν προγονικῶν, καὶ ταῦτα ὑπὸ τῶν οἰκείων ὑπομείναντες.

Τοιαῦτα τοῦ γενναίου βασιλέως ἀπολελαύκαμεν. Ταῦτα δὲ οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε λῦσαι τὴν ἀπορίαν τῶν ζητούντων, τί δήποτε μὴ τὸν βασιλέα ἐκόλασεν [ἐξ ἀρχῆς] ὁ Θεός. Ἐβουλήθη μὲν γὰρ αὐτὸν λυττῶντα πολλάκις ἀναστεῖλαι τῆς εἰς τὸ πρόσω φορᾶς, καὶ τοῖς ἑτέρων διορθῶσαι κακοῖς· ἐπειδὴ δὲ ἀντέτεινε, παρέδωκεν αὐτὸν τοῖς ἐσχάτοις κακοῖς, τὴν μὲν ἀληθῆ τῶν αὐτοῦ τολμημάτων ἀντίδοσιν κατὰ τὴν μεγάλην ταμιευόμενος ἡμέραν, (καὶ) διὰ τῆς παρούσης δὲ κολάσεως τοὺς ὑπτιωτέρους διανιστὰς καὶ σωφρονεστέρους ποιῶν. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ μακροθυμία· τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ πικροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην· καὶ καθάπερ τοῖς μετανοοῦσιν ὠφέλιμος, οὕτω καὶ τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις. Εἰ δὲ λέγοι τις, Τί οὖν οὐ προῄδει τὸν τύραννον ἀδιόρθωτον ἐσόμενον ὁ Θεός; ἐροῦμεν ὅτι προῄδει μὲν, ἀλλ' οὐδέποτε παύεται διὰ τὴν πρόγνωσιν τῆς ἡμετέρας κακίας τὰ αὐτοῦ ποιῶν· ἀλλὰ κἂν ἡμεῖς μὴ δεχώμεθα τὴν νουθεσίαν, αὐτὸς τὴν φιλανθρωπίαν ἐπιδείκνυται τὴν αὐτοῦ. Εἰ δὲ εἰς μείζονα ἑαυτοὺς ὠθοῦμεν κακὰ, οὐκέτι τοῦτο παρ' αὐτὸν, οὐ διὰ τοῦτο μακροθυμήσαντα, ἵνα ἀπολώμεθα, ἀλλ' ἵνα σωθῶμεν, ἀλλὰ παρ' ἡμᾶς τοὺς ἐξυβρίσαντας εἰς τὴν ἄρατον ἀνεξικακίαν αὐτοῦ. Καὶ οὕτω δὲ τῆς φιλανθρωπίας τὸ ἄπειρον δείκνυται. Ὅταν γὰρ μὴ θελήσωμεν αὐτοὶ τῆς πολλῆς αὐτοῦ μακροθυμίας ἀπόνασθαι, τότε εἰς τὸ ἑτέρων αὐτὴν τρέπει κέρδος, πανταχοῦ τό τε φιλάνθρωπον δμοῦ καὶ τὸ εὐμήχανον ἐπιδεικνύς· ὅπερ καὶ τότε γέγονε. Καὶ ὁ μὲν τύραννος οὕτω τὸν βίον κατέλυσε, τῆς δὲ μανίας αὐτοῦ, καὶ τῆς δυνάμεως τοῦ μακαρίου Βαβυλᾶ, ἕστηκεν ὑπομνήματα ὅ τε ναὸς καὶ τὸ μαρτύριον, ὁ μὲν ἔρημος ὤν, τὸ δὲ τὴν αὐτὴν ἔχον ἐνέργειαν ἥνπερ καὶ πρότερον. Ἡ δὲ λάρναξ οὐκέτι πάλιν ἀνάγεται, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος, ἵνα τρανοτέρα τοῖς ἐπιγινομένοις γένηται τῶν τοῦ ἁγίου κατορθωμάτων ἡ γνῶσις. Ἕκαστος γὰρ τῶν ἐξ ἀλλοτρίας ἥκόντων ἑστὼς ἐπὶ τῷ τόπῳ, καὶ τὸν μάρτυρα ζητῶν, εἶτα οὐχ ὁρῶν ἐκεῖ, εὐθέως ἐπὶ τὸ ζητῆσαι τὴν αἰτίαν ἔρχεται, καὶ οὕτω πᾶσαν τὴν ἱστορίαν ἀκούσας ἄπεισι, πλέον κερδάνας ἢ πρότερον· οὕτω καὶ παραγενόμενος τῇ Δάφνῃ, καὶ πάλιν αὐτὴν ἐγκαταλιπὼν, τὰ μέγιστα ὠφέλησε. Τοιαύτη ἡ τῶν μαρτύρων ἰσχὺς, καὶ ζώντων καὶ τελευτώντων, καὶ τόποις ἑστώτων, καὶ πάλιν αὐτοὺς καταλιμπανόντων. Καὶ γὰρ ἐξ ἀρχῆς μέχρι τέλους συνῆπται τὰ κατορθώματα συνεχῆ. Ὅρα γάρ· ἤμυνε τοῖς τοῦ Θεοῦ νόμοις ὑβριζομένοις, ἔλαβεν ὑπὲρ τοῦ τετελευτηκότος δίκην ἣν ἔδει· ἔδειξεν ὅσον ἱερωσύνης καὶ βασιλείας τὸ μέσον, κατέλυσε

esset, quasi in portu constituissent, pro omnibus semper ad omnia pericula objecti, ab iisdem hostilia passi sunt, et domibus cedentes et agris, et a paternis possessionibus avulsi, qua calamitate a suis affecti sunt.

Hunc nos fructum ab egregio Imperatore percepimus. Hæc porro non temere dicta sunt, sed ut responderemus iis qui quærerent, cur non de ipso Imperatore Deus pœnas sumpserit. Illum enim rabie ductum sæpe voluit ab ulteriore impetu coercere, alienorumque malorum exemplo emendare; quia vero ille repugnavit, in extrema eum mala conjecit: veram quidem peccatorum ultionem in magnum illum diem reservans, præsenti vero pœna supiniores excitans et ad meliorem frugem reducens. Talis est enim Dei tolerantia: eos qui ea non recte utuntur, graviore in fine tandem afficit pœna: ac quemadmodum pœnitentibus utilis, ita pervicacibus et obstinatis majoris supplicii causa evadit. Quodsi quis dicat: Quid igitur? annon prævidérat Deus fore ut tyrannus numquam emendaretur? huic respondebimus, prævidisse quidem, sed numquam propter malitiæ nostræ prævisionem cessaturum esse quæ ad se spectant facere: verum etsi nos admonitionem non admittamus, ille nihilominus benignitatem suam demonstrat; sin etiam in majora impingamus mala, nihil hoc ad eum spectat, qui non ideo nos peccantes diu tulit ut periremus, sed ut salutem consequeremur; verum nostra culpa evenit, qui ineffabilem ejus tolerantiam despeximus. Atque ita immensa ejus benignitas declaratur. Cum enim nolumus magna ejus frui patientia, tunc eam ille in aliorum lucrum convertit, ubique simul benignitatem et solertiam suam prodens. Quod etiam tunc factum est. Et tyrannus quidem sic vitam clausit; ac tum insaniæ ejus, tum Babylæ virtutis monumenta exstant: templum, item et martyrium, illud quidem desertum, hoc eamdem quam prius virtutem retinens. Capsa autem non ultra refertur, Deo ita providente, ut adventantibus clarior Babylæ gestorum notitia evadat. Quisquis enim peregrinus locum adiens et martyrem quærens, cum illum abesse videt, statim causam sciscitatur, et sic totam edoctus historiam recedit, majus, quam prius, lucrum reportans; sic sanctus martyr et Daphnæ præsens, et ea rursus relicta, maximam utilitatem affert. Ea est martyrum virtus, viventium, mortuorum, præsentium locis, absentium. Etenim ab initio ad finem ejus facinora continua quasi serie copulata fuere. Nam sic perpende: violatas Dei leges ultus est, pro occiso debitas pœnas sumsit, quanta sit sacerdotium inter et imperium differentia ostendit, mundi fastum

πάντα τὸν τοῦ κόσμου τῦφον, κατεπάτησε τοῦ βίου τὴν φαντασίαν, ἐπαίδευσε τοὺς βασιλεῖς μὴ πέρα τοῦ δοθέντος αὐτοῖς παρὰ τοῦ Θεοῦ μέτρου τὴν ἐξουσίαν προάγειν· ἔδειξε τοῖς ἱερωμένοις πῶς ταύτης προίστασθαι τῆς ἀρχῆς δεῖ. Καὶ ταῦτα μὲν καὶ τούτων πλείονα ἡνίκα ἦν ἐν σαρκί· ἐπειδὴ δὲ μετέστη καὶ ἀπεδήμησε, κατέλυσε τοῦ δαίμονος τὴν ἰσχύν, διήλεγξε τὴν τῶν Ἑλλήνων ἀπάτην, ἀπεκάλυψε τῆς μαντείας τὸν λῆρον, συνέτριψε τὸ προσωπεῖον αὐτῆς, καὶ πᾶσαν αὐτῆς τὴν ὑπόκρισιν γυμνώσας ἐπέδειξε, τὸν ἐν αὐτῇ δοκοῦντα κρατεῖν ἐπιστομίσας καὶ καταβαλὼν μετὰ πολλῆς τῆς σφοδρότητος. Καὶ νῦν ἑστᾶσιν οἱ τοῖχοι τοῦ νεὼ, πᾶσι κηρύττοντες τοῦ δαίμονος τὴν αἰσχύνην, τὸν γέλωτα, τὴν ἀσθένειαν· τοῦ μάρτυρος τοὺς στεφάνους, τὴν νίκην, τὴν δύναμιν. Τοσαύτη ἡ τῶν ἁγίων ἰσχύς· οὕτως ἄμαχος καὶ φοβερὰ καὶ βασιλεῦσι καὶ δαίμοσι καὶ αὐτῷ τῷ τῶν δαιμόνων ἀρχηγῷ.

omnem dissolvit, mundi pompam calcavit, Imperatores docuit, ne ultra mensuram sibi a Deo præscriptam potestatem extenderent; sacerdotes docuit, quomodo huic principatui præesse oporteat. Et hæc quidem bisque plura dum in carne esset: ubi autem hinc emigravit, dæmonis robur enervavit, gentilium fallaciam confutavit, vaticinii nugacitatem detexit, ejus larvam contrivit, histrionicam ejus omnem detexit artem, eum qui in ea præesse videretur obmutescere cogens ac magna vehementia opprimens. Stant hodieque templi muri, dæmonis ignominiam omnibus prædicantes, risum item imbecillitatemque; martyris vero coronas, victoriam, virtutem. Tanta est sanctorum fortitudo, tam invicta atque formidabilis et Imperatoribus et dæmonibus, imo ipsi quoque dæmonum principi.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ πρώτῳ λόγῳ.

α'. Βασίλειος ὁ πάντας τοὺς τοῦ Χρυσοστόμου φίλους ὑπερβαλλόμενος.
β'. Ἡ ὁμόνοια Βασιλείου καὶ Χρυσοστόμου, καὶ συζήτησις περὶ πάντων.
γ'. Ὁ ζυγὸς ἄνισος ἐν τῇ τοῦ μοναστικοῦ βίου μεταδιώξει.
δ'. Ἡ πρόθεσις περὶ κοινῆς οἰκήσεως ἀμφοτέρων.
ε'. Αἱ τῆς μητρὸς ἐπῳδαί.
ς'. Ἡ ἀπάτη Χρυσοστόμου, ᾗ ἐχρήσατο ἐν τῇ χειροτονίᾳ.
ζ'. Βασιλείου κατηγορία ἐπιεικὴς καὶ ἁπλῆς.
η'. Χρυσοστόμου ἀπολογία ἀντιληπτική.
θ'. Ἀπάτης εὐκαίρου μέγα κέρδος. Θέσις καὶ κοινὸς τόπος.

DE SACERDOTIO

LIBER PRIMUS.

Hæc insunt libro primo.

I. Basilius omnibus Chrysostomi amicis antecellit.
II. Concordia Basilii et Chrysostomi, et communis circa res omnes disquisitio.
III. Statera inæqualis, cum vita monastica ineunda esset.
IV. Propositum communis habitationis utriusque.
V. Matris blanditiæ.
VI. Fraus qua in ordinatione usus est Chrysostomus.
VII. Basilii accusatio modesta et simplex.
VIII. Chrysostomi defensio cum reprehensione conjuncta.
IX. Magna ex tempestiva fraude utilitas: thesis et locus communis.

Ἐμοὶ πολλοὶ μὲν ἐγένοντο φίλοι γνήσιοί τε καὶ ἀληθεῖς, καὶ τοὺς τῆς φιλίας νόμους καὶ εἰδότες καὶ φυλάττοντες ἀκριβῶς· εἷς δέ τις τουτωνὶ τῶν πολλῶν, ἅπαντας αὐτοὺς ὑπερβαλλόμενος τῇ πρὸς ἡμᾶς φιλίᾳ, τοσοῦτον ἐφιλονείκησεν ἀφεῖναι κατόπιν αὐτοὺς, ὅσον ἐκεῖνοι τοὺς ἁπλῶς πρὸς ἡμᾶς διακειμένους. Οὗτος τῶν τὰν ἅπαντά μοι χρόνον παρηκολουθηκότων ἦν· καὶ γὰρ μαθημάτων ἡψάμεθα τῶν αὐτῶν, καὶ διδασκάλοις ἐχρησάμεθα τοῖς αὐτοῖς. Ἦν δὲ ἡμῖν καὶ προθυμία καὶ σπουδὴ περὶ τοὺς λόγους οὓς ἐπονούμεθα μία, ἐπιθυμία τε ἴση καὶ ἐκ τῶν αὐτῶν τικτομένη πραγμάτων. Οὐ γὰρ ὅτε εἰς διδασκάλου μόνον ἐφοιτῶμεν, ἀλλὰ καὶ ἡνίκα ἐκεῖθεν ἐξελθόντας βουλεύεσθαι ἐχρῆν ὁποίαν ἑλέσθαι τοῦ βίου βέλτιον ἡμῖν ὁδὸν, καὶ ἐνταῦθα ὁμογνωμονοῦντες ἐφαινόμεθα. Καὶ ἕτερα δὲ πρὸς τούτοις ἡμῖν τὴν ὁμόνοιαν ταύτην ἐφύλαττεν ἀῤῥαγῆ τε καὶ βεβαίαν. Οὔτε γὰρ ἐπὶ πατρίδος μεγέθει ἕτερος ἑτέρου μᾶλλον φρονεῖν εἶχεν, οὔτε ἐμοὶ μὲν πλοῦτος ὑπέρογκος

[I.] Mihi quidem amici complures fuere, iique germani et veri, qui amicitiæ leges et probe intelligerent et diligenter observarent: horum vero complurium unus, qui cæteros omnes amicitia longe superabat, tantum illos retro relinquere studebat, quantum illi reliquos mediocriter erga me affectos. Is ex eorum numero erat, qui lateri meo perpetuo hærerent: etenim iisdem tum disciplinis tum magistris operam dedimus. Unum utriusque erat circa literas studium, una sollicitudo, par desiderium iisdem ex rebus natum. Neque enim solum cum in scholam ventitaremus, sed etiam cum illinc egressos consilium inire oporteret, quod vitæ genus capessere nobis utile esset, tunc etiam idem consensus apparebat. Erant et alia quæ hanc concordiam firmam inconcussamque servarent. [II.] Neque enim ob patriæ amplitudinem alter adversus alterum se efferre poterat: mihi non opes summæ erant,

ἦν, ἐκεῖνος δὲ ἐσχάτῃ συνέζη πενίᾳ, ἀλλὰ καὶ τὸ τῆς οὐσίας μέτρον τὸ τῆς προαιρέσεως ἰσοστάσιον ἐμιμεῖτο. Καὶ γένος δὲ ἡμῖν ὁμότιμον ἦν, καὶ πάντα τῇ γνώμῃ συνέτρεχεν. Ἐπειδὴ δὲ ἔδει τὸν μακάριον τὸν τῶν μοναχῶν μεταδιώκειν βίον καὶ τὴν φιλοσοφίαν τὴν ἀληθῆ, οὐκ ἔτι ἡμῖν ὁ ζυγὸς οὗτος ἴσος ἦν, ἀλλ' ἡ μὲν ἐκείνου πλάστιγξ ἐκουφίζετο μετέωρος, ἐγὼ δ' ἔτι ταῖς τοῦ κόσμου πεπεδημένος ἐπιθυμίαις, καθειλκον τὴν ἐμαυτοῦ καὶ ἐδιαζόμην κάτω μένειν, νεωτερικαῖς αὐτὴν ἐπιβρίθων φαντασίαις. Ἐνταῦθα λοιπὸν ἡ μὲν φιλία βέβαιος ἔμενεν ἡμῖν, καθάπερ καὶ πρότερον, ἡ δὲ συνουσία διεκόπτετο· οὐ γὰρ ἦν τοὺς μὴ περὶ τὰ αὐτὰ σπουδάζοντας κοινὰς ποιεῖσθαι τὰς διατριβάς. Ὡς δὲ ποτὲ καὶ αὐτὸς μικρὸν ἀνέκυψα τοῦ βιωτικοῦ κλύδωνος, δέχεται μὲν ἡμᾶς ἄμφω τὼ χεῖρε [προτείνας], τὴν δὲ ἰσότητα οὐδὲ οὕτως ἰσχύσαμεν φυλάξαι τὴν προτέραν. Καὶ γὰρ καὶ τῷ χρόνῳ φθάσας ἡμᾶς, καὶ πολλὴν τὴν σροδρότητα ἐπιδειξάμενος, ἀνωτέρω πάλιν ἡμῶν ἐρέρετο, καὶ εἰς ὕψος ἦρετο μέγα· πλὴν ἀλλ' ἀγαθός τε ὢν, καὶ πολλοῦ τὴν ἡμετέραν τιμώμενος φιλίαν, ἁπάντων ἑαυτὸν ἀποστήσας τῶν ἄλλων, ἡμῖν τὸν ἅπαντα χρόνον συνῆν, ἐπιθυμῶν μὲν τούτου καὶ πρότερον, ὅπερ δὲ ἔφην, ὑπὸ τῆς ἡμετέρας κωλυόμενος ῥᾳθυμίας. Οὐ γὰρ ἦν τὸν δικαστηρίῳ προσεδρεύοντα καὶ περὶ τὰς ἐν τῇ σκηνῇ τέρψεις ἑπτημένον συγγίνεσθαι πολλάκις τῷ βιβλίοις προσηλωμένῳ καὶ μηδὲ εἰς ἀγορὰν ἐμβαλόντι ποτέ. Διὰ τοῦτο οὖν πρότερον διαιρούμενος, ἐπειδή ποτε ἡμᾶς ἔλαβεν εἰς τὴν αὐτὴν τοῦ βίου κατάστασιν, ἀθρόως ἦν πάλαι ὠδῖνεν ἐπιθυμίαν ἀπέτεκεν τότε, καὶ οὐδὲ τὸ βραχύτατον τῆς ἡμέρας ἡμᾶς ἀπολιμπάνειν ἠνείχετο μέρος. Διετέλει τε παρακαλῶν, ἵνα τὴν οἰκίαν ἕκαστος ἀφέντες τὴν ἑαυτοῦ, κοινὴν ἀμφότεροι τὴν οἴκησιν ἔχοιμεν, καὶ ἔπεισέ γε, καὶ τὸ πρᾶγμα ἦν ἐν χερσίν.

Ἀλλ' ἐμὲ αἱ συνεχεῖς τῆς μητρὸς ἱκεσίαι διεκώλυσαν δοῦναι ταύτην ἐκείνῳ τὴν χάριν, μᾶλλον δὲ λαβεῖν ταύτην παρ' ἐκείνου τὴν δωρεάν. Ἐπειδὴ γὰρ ᾔσθετο ταῦτα βουλευόμενον, λαβοῦσά με τῆς δεξιᾶς εἰσήγαγεν εἰς τὸν ἀποτεταγμένον οἶκον αὐτῇ, καὶ καθίσασα πλησίον ἐπὶ τῆς εὐνῆς ἧς ἡμᾶς ὠδῖνεν, πηγάς τε ἠφίει δακρύων, καὶ τῶν δακρύων ἐλεεινότερα προσετίθει τὰ ῥήματα, τοιαῦτα πρὸς ἡμᾶς ἀποδυρομένη· Ἐγὼ, παιδίον, φησὶ, τῆς ἀρετῆς τοῦ πατρὸς τοῦ σοῦ οὐκ ἀφείθην ἀπολαῦσαι ἐπὶ πολὺ, τῷ Θεῷ τοῦτο δοκοῦν. Τὰς γὰρ ὠδῖνας τὰς ἐπὶ σοὶ διαδεξάμενος ὁ θάνατος ἐκείνου, σοὶ μὲν ὀρφανίαν, ἐμοὶ δὲ χηρείαν ἐπέστησεν ἄωρον καὶ τὰ τῆς χηρείας δεινὰ, ἃ μόναι αἱ παθοῦσαι δύναιντ' ἂν εἰδέναι καλῶς. Λόγος γὰρ οὐδεὶς ἂν ἐφίκοιτο τοῦ χειμῶνος ἐκείνου καὶ τοῦ κλύδωνος, ὃν ὑφίσταται κόρη, ἄρτι μὲν τῆς πατρῴας οἰκίας προελθοῦσα, καὶ πραγμάτων ἄπειρος οὖσα, ἐξαίφνης δὲ πένθει τε ἀσχέτῳ βαλλομένη, καὶ ἀναγκαζομένη φροντίδων καὶ τῆς ἡλικίας καὶ τῆς φύσεως ἀνέχεσθαι μειζόνων. Δεῖ γὰρ, οἶμαι, ῥᾳθυμίας τε οἰκετῶν ἐπιστρέφειν καὶ κακουργίας πα-

nec ille extrema premebatur inopia : imo et facultatum modum propositi paritas æmulabatur ; par generis etiam conditio erat, omniaque ad animum nostrum concurrebant. [III.] Cum autem proximum esset ut beatus ille vir monachorum vitam veramque philosophiam amplecteretur, jam non par erat statera, sed ejus lanx, utpote levior, sublimis ferebatur ; ego vero, mundi etiamnum cupiditatibus irretitus, lancem meam, juvenilibus onustam cogitationibus, deprimebam et inferius cogebam manere. Hic demum amicitia quidem firma, sicut etiam ante, manebat, sed consuetudo dirimebatur : neque enim una versari poterant qui non iisdem studiis tenerentur. Cæterum ubi et ipse a vitæ hujus fluctibus caput paululum erexi, me ille ambabus apprehendit manibus : at ne sic quidem potuimus æqualitatem pristinam retinere. Etenim cum ille nos tempore antevertisset, ardensque studium exhibuisset, rursus sublimior ferebatur, in altum valde sublatus. [IV.] Attamen bonus cum esset amicitiamque nostram magni faceret, a cæterorum omnium contubernio se abducens, nobiscum omni tempore versabatur, quod antea ipsi in voto erat, sed, ut dixi, a segnitie nostra prohibitus fuerat. Neque enim poterat is, qui judiciis et foro hærebat et scenæ oblectamenta sectabatur, cum eo sæpe versari, qui libris deditus in forum nunquam ventitaret. Quamobrem cum antea divulsus, tandem nos ad eamdem vitæ societatem accepisset, quod jam pridem desiderium parturiebat, confestim peperit, ac ne minimam quidem diei partem a nobis abesse patiebatur : sed assidue hortabatur, ut domo uterque sua relicta commune domicilium incoleremus : quo impetrato jam res in manibus erat.

[V.] Verum assiduæ matris illecebræ obstiterunt, quo minus hanc illi gratiam redderem ; imo vero, quo minus id beneficii ab eo acciperem. Enimvero ubi illa odorata est me id consilii inire, dextra apprehensum introduxit me in peculiare sibi domicilium, ac me prope lectum, ubi me enixa fuerat, assidere jusso, emissis lacrimarum fontibus, ipsis lacrimis miserabiliora verba proferebat, his me gemebunda compellans : Ego, inquit, fili, virtute patris tui non multo tempore, ita providente Numine, frui potui. Nam partus tui dolores excipiens illius obitus, te pupillum, me viduam præmature reliquit, additis viduitatis incommodis, quæ expertis solum probe nota sunt. Nullus enim sermo illam tempestatem ac procellam exprimere possit, quam puella subit, cum nuper e domo patris emissa, ac negotiorum imperita, repente luctu intolerabili perculsa, sollicitudinem ætate ac sexu suo majorem suscipere cogitur. Opus enim est servorum ignaviam emendare, nequitiam obser-

ρατηρεῖν, συγγενῶν ἀποκρούεσθαι ἐπιβουλάς, τῶν τὰ δημόσια εἰσπραττόντων τὰς ἐπηρείας καὶ τὴν ἀπήνειαν ἐν ταῖς τῶν εἰσφορῶν καταβολαῖς φέρειν γενναίως. Ἐὰν δὲ καὶ παιδίον καταλιπὼν ὁ τεθνεὼς ἀπέλθῃ, θῆλυ μὲν ὂν πολλὴν καὶ οὕτω παρέξει τῇ μητρὶ τὴν φροντίδα, ὅμως δὲ καὶ ἀναλωμάτων καὶ δέους ἀπηλλαγμένην· ὁ δὲ υἱὸς μυρίων αὐτὴν φόβων καθ' ἑκάστην ἐμπίπλησι τὴν ἡμέραν καὶ πλειόνων φροντίδων· τὴν γὰρ τῶν χρημάτων ἐῶ δαπάνην, ὅσην ὑπομένειν ἀναγκάζεται, ἐλευθερίως αὐτὸν θρέψαι ἐπιθυμοῦσα. Ἀλλ' ὅμως οὐδέν με τούτων ἔπεισε δευτέροις ὁμιλῆσαι γάμοις, οὐδ' ἕτερον εἰσαγαγεῖν νυμφίον τῇ τοῦ πατρὸς οἰκίᾳ τοῦ σοῦ· ἀλλ' ἔμενον ἐν τῇ ζάλῃ καὶ τῷ θορύβῳ, καὶ τὴν σιδηρᾶν τῆς χηρείας οὐκ ἔφυγον κάμινον, πρῶτον μὲν ὑπὸ τῆς ἄνωθεν βοηθουμένη ῥοπῆς· ἔφερε δέ μοι παραμυθίαν οὐ μικρὰν τῶν δεινῶν ἐκείνων καὶ τὸ συνεχῶς τὴν σὴν ὄψιν ὁρᾶν, καὶ εἰκόνα μοι τοῦ τετελευτηκότος φυλάσσεσθαι ἔμψυχον καὶ πρὸς ἐκεῖνον ἀπηκριβωμένην καλῶς. Διά τοι τοῦτο καὶ ἔτι νήπιος ὢν, καὶ μηδὲ φθέγγεσθαί πω μαθὼν, ὅτε μάλιστα τέρπουσι τοὺς τεκόντας οἱ παῖδες, πολλήν μοι παρεῖχες τὴν παράκλησιν. Καὶ μὴν οὐδὲ ἐκεῖνό γ' ἂν ἔχοις [εἰπεῖν καὶ] αἰτιάσασθαι ὅτι τὴν μὲν χηρείαν γενναίως ἠνέγκαμεν, τὴν δὲ οὐσίαν σοι τὴν πατρῴαν ἠλαττώσαμεν διὰ τὴν τῆς χηρείας ἀνάγκην, ὅπερ πολλοὺς τῶν τὴν ὀρφανίαν δυστυχησάντων οἶδα παθόντας ἐγώ. Καὶ γὰρ καὶ ταύτην ἀκέραιον ἐφύλαξα πᾶσαν, καὶ τῶν ὀφειλόντων εἰς τὴν εὐδοκίμησιν δαπανηθῆναι τὴν σὴν ἐνέλιπον οὐδέν, ἐκ τῶν ἐμαυτῆς καὶ ὧν ἦλθον οἴκοθεν ἔχουσα δαπανῶσα χρημάτων. Καὶ μή τοι νομίσῃς ὀνειδίζουσάν με ταῦτα λέγειν νῦν· ἀλλ' ἀντὶ πάντων σε τούτων μίαν αἰτῶ χάριν, μή με δευτέρᾳ χηρείᾳ περιβαλεῖν, μηδὲ τὸ κοιμηθὲν ἤδη πένθος ἀνάψαι πάλιν, ἀλλὰ περίμεινον τὴν ἐμὴν τελευτήν· ἴσως μετὰ μικρὸν ἀπελεύσομαι χρόνον. Τοὺς μὲν γὰρ νέους ἐλπὶς καὶ εἰς γῆρας ἦξειν μακρὸν, οἱ δὲ γεγηρακότες ἡμεῖς οὐδὲν ἕτερον ἢ τὸν θάνατον ἀναμένομεν. Ὅταν οὖν με τῇ γῇ παραδῷς, καὶ τοῖς ὀστέοις τοῦ πατρὸς ἀναμίξῃς τοῦ σοῦ, στέλλου μακρὰς ἀποδημίας, καὶ πλέε θάλατταν ἣν ἂν ἐθέλῃς· τότε ὁ κωλύσων οὐδείς· ἕως δ' ἂν ἐμπνέωμεν, ἀνάσχου τὴν μεθ' ἡμῶν οἴκησιν. Μὴ δὴ προσκρούσῃς τῷ Θεῷ μάτην καὶ εἰκῇ τοσούτοις ἡμᾶς περιβάλλων κακοῖς ἠδικηκότας οὐδέν. Εἰ μὲν γὰρ ἔχεις ἐγκαλεῖν ὅτι σε εἰς βιωτικὰς περιέλκω φροντίδας, καὶ τῶν πραγμάτων ἀναγκάζω φροντίζειν τῶν ἐμῶν, μὴ τοὺς τῆς φύσεως νόμους, μὴ τὴν ἀνατροφὴν, μὴ τὴν συνήθειαν, μηδὲ ἄλλο μηδὲν αἰδεσθείς, ὡς ἐπιβούλους φεῦγε καὶ πολεμίους· εἰ δὲ ἅπαντα πράττομεν ὑπὲρ τοῦ πολλήν σοι παρασκευάσαι σχολὴν εἰς τὴν τοῦ βίου τούτου πορείαν, εἰ καὶ μηδὲν ἕτερον, οὗτος γοῦν κατεχέτω σε παρ' ἡμῖν ὁ δεσμός. Κἂν γὰρ μυρίους σε λέγῃς φιλεῖν, οὐδείς σοι παρέξει τοσαύτης ἀπολαῦσαι ἐλευθερίας, ἐπειδὴ μηδὲ ἔστι τις ὅτῳ μέλει τῆς σῆς εὐδοκιμήσεως ἐξ ἴσης ἐμοί.

varc, cognatorum insidias propulsare, publicanorum molestias et in vectigalibus exigendis immanitatem fortiter ferre. Quodsi is qui mortem obit, prolem relinquat; si sit femina, magnam utique matri curam exhibet, sed tamen sumtibus et metu vacantem : at filius sexcentis quotidie timoribus replet multisque sollicitudinibus; mitto enim pecuniarum expensam, quam multam facere cogitur mater, si liberaliter illum educare cupiat. Me tamen horum nihil ad alteras nuptias vel ad alterum in patris tui aedes inducendum sponsum permovit; sed in procella et turbine mansi, ferreamque viduitatis fornacem non evasi, primo quidem superno fulta subsidio, deinde non modico mihi in calamitatibus solatio erat, quod vultum frequenter tuum aspicerem, ac vivam defuncti imaginem servarem, quae illum accurate referret. Quapropter cum adhuc infans esses, necdum loqui valeres, cum maxime pueri parentes oblectare solent, magnae mihi consolationi fuisti. Neque illud mihi vitio vertere possis, quod licet viduitatem fortiter tulerim, paternas tamen ob viduitatis incommodum tibi minuerim facultates, quod multis in orbitate infelici accidisse novi : nam illas tibi integras servavi, licet nihil eorum sumtuum praetermiserim, qui ad liberalem institutionem tuam necessarii erant : idque ex meis facultatibus exque pecuniis, quas e domo paterna attuleram. Ne vero putes me tibi exprobrantem haec nunc dicere : sed pro his omnibus unam postulo gratiam, ne me altera viduitate involvas, neu sopitum jam luctum denuo excites, verum mortem expectes meam : fortasse brevi hinc emigrandum mihi erit. Nam juvenes quidem ad provectam perduci senectutem sperare possunt; nos autem, qui consenuimus, nihil aliud quam mortem praestolamur. Cum itaque me terrae tradideris, patrisque ossibus admiscueris, longas suscipito peregrinationes, et quodcumque volueris pelagus trajicito : nemo tunc prohibiturus est : caeterum donec respiramus, contubernium meum ne respuas, neu in Dei offensionem temere incurras, dum nos nihil tamen laesus a nobis tot malis involves. Etenim si conqueri potes, quod te ad mundanas curas pertraham, ac negotiis prospicere meis cogam, ne leges naturae, ne educationem, ne consuetudinem, neu aliud quidpiam reverearis, sed nos tamquam insidiatores et inimicos fuge; sin vero nihil non agimus, ut tibi otium paremus ad vitam instituendam, si minus aliud vinculum, certe hoc unum te apud nos detineat. Nam etiamsi te a sexcentis aliis amari dicas, nullus tibi tantam libertatem procurabit, quandoquidem nemo est, cui existimatio tua aeque ac mihi cara sit.

Ταῦτα (μὲν) καὶ τὰ τούτων πλείονα πρὸς ἐμὲ μὲν ἡ μήτηρ, ἐγὼ δὲ πρὸς τὸν γενναῖον ἔλεγον ἐκεῖνον. Ὁ δὲ οὐ μόνον οὐκ ἐδυσωπεῖτο τοῖς ῥήμασι τούτοις, ἀλλὰ καὶ πλέον ἐνέκειτο, τὰ αὐτὰ ἀπαιτῶν ἅπερ καὶ πρότερον. Ἐν τούτῳ δὲ ἡμῶν ὄντων, καὶ τοῦ μὲν συνεχῶς ἱκετεύοντος, ἐμοῦ δὲ οὐκ ἐπινεύοντος, ἄφνω τις ἐπιστᾶσα φήμη διετάραξεν ἀμφοτέρους· ἡ δὲ φήμη ἦν εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα μέλλειν ἡμᾶς προάγεσθαι. Ἐγὼ μὲν οὖν ἅμα τῷ τὸν λόγον ἀκοῦσαι τοῦτον δέει τε καὶ ἀπορίᾳ συνεχόμην· δέει μέν, μήποτε καὶ ἄκων ἁλῶ, ἀπορίᾳ δὲ, ζητῶν πολλάκις πόθεν ἐπῆλθε τοῖς ἀνδράσιν ἐκείνοις ἐνθυμηθῆναί τι τοιοῦτο περὶ ἡμῶν· εἰς γὰρ ἐμαυτὸν ἀφορῶν οὐδὲν εὕρισκον ἔχοντα τῆς τιμῆς ἄξιον ἐκείνης. Ὁ δὲ γενναῖος οὗτος προσελθών μοι κατ' ἰδίαν καὶ κοινωσάμενος περὶ τούτων ὡς ἀνηκόῳ γε ὄντι τῆς φήμης ἐδεῖτο κἀνταῦθα καὶ πράττοντας καὶ βουλευομένους ὀρθῆναι τὰ αὐτὰ, καθάπερ καὶ πρότερον· ἕψεσθαι γὰρ αὐτὸν ἑτοίμως ἡμῖν, καθ' ὁποτέραν ἂν ἡγώμεθα τῶν ὁδῶν, εἴτε φυγεῖν εἴτε ἑλέσθαι δέοι. Αἰσθόμενος τοίνυν αὐτοῦ τῆς προθυμίας ἐγὼ, καὶ ζημίαν ἡγησάμενος οἵαν παντὶ τῷ κοινῷ τῆς Ἐκκλησίας, εἰ νέον οὕτως ἀγαθὸν καὶ πρὸς τὴν τῶν ἀνθρώπων ἐπιστασίαν ἐπιτήδειον ἀποστεροίην τοῦ Χριστοῦ τὴν ἀγέλην διὰ τὴν ἀσθένειαν τὴν ἐμαυτοῦ, οὐκ ἀπεκάλυψα τὴν γνώμην ἣν περὶ τούτων εἶχον ἐκείνου, καίτοι γε μηδέποτε πρότερον ἀνασχόμενος λαθεῖν τι τῶν βουλευμάτων αὐτὸν τῶν ἐμῶν· ἀλλ' εἰπὼν δεῖν τὴν ὑπὲρ τούτων βουλὴν εἰς ἕτερον ἀναβαλέσθαι καιρόν (οὐ γὰρ νῦν τοῦτο κατεπείγειν), ἔπεισά τε εὐθέως μηδὲν ὑπὲρ τούτων φροντίζειν, καὶ ὑπὲρ ἐμαυτοῦ παρέσχον θαρρεῖν ὡς ὁμογνωμονήσοντος, εἴ ποτε συμβαίη τοιοῦτόν τι παθεῖν. Χρόνου δὲ παρελθόντος οὐ πολλοῦ, καὶ τοῦ μέλλοντος ἡμᾶς χειροτονήσειν ἐλθόντος καὶ κρυπτομένου, μηδὲν τούτων εἰδὼς ἄγεται μὲν ὡς ἐφ' ἑτέρᾳ προφάσει, δέχεται δὲ τὸν ζυγὸν, ἐλπίζων ἐξ ὧν ὑπεσχημένος ἦμην αὐτῷ, καὶ ἡμᾶς πάντως ἕψεσθαι, μᾶλλον δὲ νομίζων ἡμῖν ἀκολουθεῖν. Καὶ γάρ τινες τῶν ἐκεῖ παρόντων, ἀσχάλλοντα πρὸς τὴν σύλληψιν ὁρῶντες, ἠπάτησαν βοῶντες ὡς ἄτοπον εἴη τὸν μὲν θρασύτερον εἶναι δοκοῦντα παρὰ πᾶσιν (ἐμὲ λέγοντες) μετὰ πολλῆς τῆς ἐπιεικείας εἶξαι τῇ τῶν πατέρων κρίσει, ἐκεῖνον δὲ τὸν πολὺ συνετώτερον καὶ ἐπιεικέστερον θρασύνεσθαι καὶ κενοδοξεῖν σκιρτῶντα καὶ ἀποπηδῶντα καὶ ἀντιλέγοντα. Τούτοις εἴξας τοῖς ῥήμασιν, ἐπειδὴ ἤκουσεν ὅτι διέφυγον, εἰσελθὼν πρός με μετὰ πολλῆς τῆς κατηφείας, καθέζεται πλησίον μου, καὶ ἐβούλετο μέν τι καὶ εἰπεῖν, ὑπὸ δὲ τῆς ἐπηρείας κατεχόμενος, καὶ λόγῳ παραστῆσαι τὴν βίαν, ἣν ὑπέμεινεν, οὐκ ἔχων, ἅμα τῷ χᾶναι ἐκωλύετο φθέγξασθαι, τῆς ἀθυμίας, πρὶν ἢ τοὺς ὀδόντας ὑπερδῆναι, διακοπτούσης τὸν λόγον. Ὁρῶν τοίνυν ἐγὼ περίδακρυν ὄντα καὶ πολλῆς πεπληρωμένον τῆς ταραχῆς, καὶ τὴν αἰτίαν εἰδὼς, ἐγέλων τε ὑπὸ πολλῆς τῆς ἡδονῆς, καὶ τὴν δεξιὰν κατέχων, ἐβιαζόμην φιλεῖν, καὶ τὸν Θεὸν ἐδόξαζον

[VI.] Hæc et his plura matris verba erant: quæ cum generoso illi viro renuntiarem, ille nedum hujusmodi verbis moveretur, acrius etiam instabat, eadem ipsa quæ prius efflagitans. Hæc cum inter nos versaremus, illo frequenter instante, me abnuente, exortus subito rumor utrumque turbavit: fama enim erat nos ad sacerdotalem dignitatem promovendos esse. Quibus auditis, ego timore simul et hæsitatione perculsus sum, timore, ne invitus raperer; hæsitatione, cum identidem disquirerem, quo pacto viris illis in mentem venisset de nobis quidquam hujusmodi cogitare: nam me ipsum inspicienti nihil succurrebat illo dignum honore. Generosus autem ille, me seorsim conveniens, cum famam quasi ignoranti aperisset, rogabat ut, quemadmodum ante, hic etiam factorum consiliorumque consortes videremur: paratum se esse ad utramvis viam amplecterer, sive fugiendum, sive consentiendum esset, persequendam. Ejus ego animum conspicatus, damnumque ratus me universæ Ecclesiæ illaturum, si tam probo, tam ad hominum præfecturam idoneo juvene gregem Christi ob infirmitatem meam privarem, quod in animo erat non detexi, etsi antea nullum consiliorum meorum ipsi occultassem: sed cum respondissem ea de re consultationem aliud in tempus rejiciendam esse (neque enim id in præsentia urgere); statim persuasi nihil propterea curandum esse, fiduciamque indidi, me ejusdem sententiæ consortem fore, si quando res hujusmodi contingeret. Haud ita multo elapso tempore, cum is qui nos ordinaturus erat advenisset, ac mentem suam celaret, horum ignarus ille quasi ad aliud negotium ducitur, jugumque accipit, sperans me, ut promiseram, perinde sequuturum esse: imo potius se, me præeunte, sequuturum. Etenim nonnulli ex iis qui aderant videntes eum, quod comprehensus esset, ægre ferentem, ei verba dederunt, clamantes, absurdum esse, eum qui omnibus videretur ferocior (me designantes) cum magna modestia Patrum placito obtemperasse; illum autem multo prudentiorem et moderatiorem ferocire, vanam gloriam appetere, subsultantem, resilientem, repugnantem. His ille verbis obsequutus, postquam audivit me aufugisse, tristis admodum me adit, assidetque mihi, verba facere cupiens; verum injuria illa oppressus, cum eam, quam passus fuerat, vim declarare non posset, in ipso oris hiatu fari prohibebatur, mœrore orationem antequam dentes transiliret interrumpente. Illum ego intuitus lacrimis perfusum animoque turbatum, rei causam edoctus, multa cum voluptate in risum prorupi, apprehensumque dextera deosculari conatus sum, Deoque gloriam referebam, quod

ὅτι μοι τὰ τῆς μηχανῆς τέλος εἶχε καλὸν καὶ οἷον ηὐχόμην ἀεί. Ὡς δὲ εἶδε περιχαρῆ τε ὄντα καὶ φαιδρὸν, καὶ πρότερον ἠπατημένος ὑφ' ἡμῶν ἤσθετο, καὶ μᾶλλον ἐδάκνετο καὶ ἐδυσχέραινε.

Καί ποτε μικρὸν ἀπ' ἐκείνου καταστὰς τοῦ θορύβου τῆς ψυχῆς, Ἀλλ' εἰ καὶ τὸ ἡμέτερον, φησὶ, μέρος διέπτυσας, καὶ λόγον ἡμῶν ἔχεις οὐδένα λοιπὸν, ὡς ἔγωγε οὐκ οἶδα ἀνθ' ὅτου, τῆς γοῦν ὑπολήψεως ἔδει σε φροντίσαι τῆς σῆς· νῦν δὲ τὰ πάντων ἀνέῳξας στόματα, καὶ δόξης σε ἐρῶντα κενῆς τὴν λειτουργίαν ταύτην παρῃτῆσθαι λέγουσιν ἅπαντες, ὁ δὲ ἐξαιρησόμενός σε τῆς κατηγορίας ταύτης οὐκ ἔστιν. Ἐμοὶ δὲ οὐδὲ εἰς ἀγορὰν ἐμβαλεῖν ἀνεκτόν· τοσοῦτοι οἱ προσιόντες ἡμῖν καὶ καθ' ἑκάστην ἐγκαλοῦντες τὴν ἡμέραν. Ὅταν γὰρ ἴδωσι φανέντα που τῆς πόλεως, λαβόντες καταμόνας ὅσοι πρὸς ἡμᾶς οἰκείως ἔχουσι, τῷ πλείονί με τῆς κατηγορίας ὑποβάλλουσι μέρει· εἰδότα γὰρ αὐτοῦ τὴν γνώμην, φασίν (οὐδὲ γὰρ ἄν σε ἔλαθέν τι τῶν ἐκείνου), οὐκ ἀποκρύψασθαι, ἀλλ' ἡμῖν ἀναλοινώσασθαι ἐχρῆν, καὶ πάντως οὐκ ἂν ἠπορήσαμεν μηχανῆς πρὸς τὴν ἄγραν. Ἐγὼ δὲ, ὅτι μέν σε οὐκ ἦδειν ἐκ πολλοῦ ταῦτα βουλευόμενον, αἰσχύνομαι καὶ ἐρυθριῶ πρὸς ἐκείνους εἰπεῖν, μήποτε καὶ ὑπόκρισιν τὴν ἡμετέραν εἶναι νομίσωσι φιλίαν. Εἰ γὰρ καὶ ἔστιν (ὥσπερ οὖν καὶ ἔστιν, καὶ οὐδ' ἂν αὐτὸς ἀρνηθείης ἐξ ὧν εἰς ἡμᾶς ἔπραξας νῦν), ἀλλὰ τοὺς ἔξωθεν καὶ μετρίαν γοῦν περὶ ἡμῶν ἔχοντας δόξαν καλὸν τὰ ἡμέτερα κρύπτειν κακά. Εἰπεῖν μὲν οὖν πρὸς αὐτοὺς τἀληθὲς, καὶ ὡς ἔχει τὰ καθ' ἡμᾶς, ὀκνῶ· ἀναγκάζομαι δὲ λοιπὸν σιωπᾶν καὶ κύπτειν εἰς γῆν καὶ τοὺς ἁπαντῶντας ἐκτρέπεσθαι καὶ ἀποπηδᾶν. Κἂν γὰρ τὴν προτέραν ἐκφύγω κατάγνωσιν, ψεύδους ἀνάγκη με κρίνεσθαι λοιπόν. Οὐδὲ γὰρ ἐθελήσουσί μοι πιστεῦσαί ποτε, ὅτι καὶ Βασίλειον μετὰ τῶν ἄλλων ἔταξας, οἷς οὐ θέμις εἰδέναι τὰ σά. Ἀλλὰ τούτων μὲν οὐ πολύς μοι λόγος, ἐπειδή σοι τοῦτο γέγονεν ἡδύ· τῶν δὲ λοιπῶν πῶς οἴσομεν τὴν αἰσχύνην; Οἱ μὲν γὰρ ἀπονοίας, οἱ δὲ φιλοδοξίας σε γράφονται· ὅσοι δέ εἰσιν ἀφειδέστεροι τῶν αἰτιωμένων, ταῦτά τε ἡμῖν ἀμφότερα ἐγκαλοῦσιν ὁμοῦ, καὶ προστιθέασι τὴν εἰς τοὺς τετιμηκότας ὕβριν, δίκαια πεπονθέναι λέγοντες αὐτοὺς, καὶ εἰ μείζονα τούτων ἀτιμασθέντες ἔτυχον παρ' ἡμῶν, ὅτι τοσούτους καὶ τηλικούτους ἀφέντες ἄνδρας, μειράκια χθὲς καὶ πρώην ἔτι ταῖς τοῦ βίου μερίμναις ἐγκαλινδούμενα, ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι, καὶ φαιὰ περιβάλωνται, καὶ κατήφειαν ὑποκρίνωνται, ἐξαίφνης εἰς τοσαύτην ἤγαγον τιμὴν, ὅσην οὐδὲ ὄναρ λήψεσθαι προσεδόκησαν. Καὶ οἱ μὲν ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τὴν ἑαυτῶν ἐκτείναντες ἄσκησιν, ἐν τοῖς ἀρχομένοις εἰσίν· ἄρχουσι δὲ αὐτῶν οἱ παῖδες αὐτῶν, καὶ μηδὲ τοὺς νόμους ἐκμεμαθηκότες καθ' οὓς δεῖ ταύτην αὐτοὺς διέπειν τὴν ἀρχήν. Ταῦτα καὶ πλείω τούτων λέγοντες συνεχῶς ἡμῖν ἐπιφύονται. Ἐγὼ δὲ ὅ τι μὲν ἀπολογήσομαι πρὸς ταῦτα οὐκ ἔχω, δέομαι δέ σου φράσαι μοι. Οὐδὲ

machinamenta mihi recte ac pro voto cessissent. Ille ut me lætum hilaremque vidit, et prius a nobis se deceptum esse animadvertit, rem multo jam gravius indigniusque ferebat.

[VII.] Porro ab illa perturbatione sedato parumper animo, Etsi, inquit, partes nostras respueris, ac nullam jam nostri rationem habeas, nec certe scio qua de causa, oportuit saltem tum te existimationis curam habere. Nunc vero omnium ora aperuisti, teque ex inanis gloriæ amore cuncti dicunt hoc ministerium recusasse, nec quisquam est qui te ab hac criminatione eximat. Mihi autem ne in forum quidem ventitare licet: tam multi nempe sunt qui nos conveniunt, ac quotidie incusant. Nam quoties me in quacumque urbis parte vident, seorsim adductum familiares nostri me in maximam criminis partem vocant. Ejus consilii gnarum, aiunt (nullam enim rerum ad eum pertinentium ignorabas), non dissimulare, sed rem nobiscum communicare oportuit, neque defuisset haud dubie ars qua illum in retia conjiceremus. Me vero fateri pudet dicere, me id consilium a te jam pridem initum ignorasse, ne illi amicitiam nostram ficlam esse putent. Nam si ita est (ut vere est, quod ne tu quidem post talia gesta infitiari possis), non e re fuerit externos homines, qui vel mediocrem de nobis opinionem habent, mala celare nostra. Rem itaque ut vere se habet illis aperire vereor, sed tacere cogor, oculosque in terram demittere, atque ab occurrentibus declinare et resilire. Etenim licet prius illud crimen effugiam, restat tamen ut mendacii necessario arguar. Neque enim credent unquam mihi dicenti te Basilium in eorum numero posuisse, quibus arcana scire tua non licet. Verum hæc non multum curo, quando ita tibi jucunda fuere; at reliquum dedecus qui ferre possimus? Nam alii te arrogantiæ, alii vanæ gloriæ accusant; qui autem reis minus parcere volunt, et hæc utraque nobis simul improperant, et adjiciunt eam, quam iis qui nos honore affecerunt intulimus, contumeliam, quos etiam dicunt hæc jure passos esse, imo graviora promeruisse; utpote qui tot tantisque relictis viris, pueros heri ac nudiustertius in sæcularibus curis volutatos, quod ad breve tempus supercilia contraxerint, pullas vestes induerint, vultusque tristitiam simularint, derepente ad tantum honorem adduxerint, quantum ne in somnis quidem assequi speravissent. Atque ii quidem, aiunt, qui a prima ætate ad extremam usque senectutem ascesim sive exercitationem sectati sunt, in subditorum numero sunt; imperant autem illis ipsorum filii, qui ne leges quidem noverunt huic exercendo magistratui positas. Hæc et his plura loquentes frequenter instant. Ego vero quid ad hæc respondeam ignoro: te, quæso, mihi suppetitato. Neque

γὰρ ἁπλῶς οὐδὲ εἰκῇ ταύτην οἶμαί σε φυγεῖν τὴν φυγήν, καὶ πρὸς ἄνδρας οὕτω μεγάλους τοσαύτην ἀναδέξασθαι τὴν ἔχθραν, ἀλλὰ μετά τινος λογισμοῦ καὶ σκέψεως ἐπὶ τοῦτο ἐλθεῖν, ὅθεν καὶ λόγον ἕτοιμον εἶναί σοι πρὸς ἀπολογίαν στοχάζομαι. Εἰπὲ οὖν εἴ τινα πρόφασιν δικαίαν πρὸς τοὺς ἐγκαλοῦντας δυνησόμεθα λέγειν. Ὧν γὰρ αὐτὸς ἠδίκημαι παρὰ σοῦ, οὐδένα ἀπαιτῶ λόγον, οὐχ ὧν ἡπάτησας, οὐχ ὧν προὔδωκας, οὐχ ὧν ἀπέλαυσας παρ' ἡμῶν ἅπαντα τὸν ἔμπροσθεν χρόνον. Ἡμεῖς μὲν γὰρ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν, ὡς εἰπεῖν, φέροντες ἐνεθήκαμέν σου ταῖς χερσί· σὺ δὲ τοσαύτῃ πρὸς ἡμᾶς ἐχρήσω τῇ πανουργίᾳ, ὅσῃπερ ἂν εἰ πολεμίους σοί τινας φυλάξασθαι προὔκειτο. Καίτοι γε ἐχρῆν, εἰ μὲν ὠφέλιμον ταύτην ἠδεις οὖσαν τὴν γνώμην, μηδὲ αὐτὸν τὸ κέρδος φυγεῖν· εἰ δὲ ἐπιβλαβῆ, καὶ ἡμᾶς, οὓς ἁπάντων ἀεὶ προτιμᾶν ἔλεγες, ἀπαλλάξαι τῆς ζημίας. Σὺ δὲ καὶ ὅπως ἐμπεσούμεθα ἅπαντα ἔπραξας· καὶ δόλου σοι καὶ ὑποκρίσεως ἐδέησεν οὐδὲν πρὸς τὸν ἀδόλως καὶ ἁπλῶς ἅπαντα καὶ λέγειν καὶ πράττειν εἰωθότα πρὸς σέ. Ἀλλ' ὅμως, ὅπερ ἔφην, οὐδὲν τούτων ἐγκαλῶ νῦν, οὐδὲ ὀνειδίζω τὴν ἐρημίαν, εἰς ἣν κατέστησας ἡμᾶς, τὰς συνόδους διακόψας ἐκείνας, ἐξ ὧν καὶ ἡδονὴν καὶ ὠφέλειαν οὐ τὴν τυχοῦσαν ἐκαρπούμεθα πολλάκις· ἀλλὰ πάντα ταῦτα ἀφίημι, καὶ φέρω σιγῇ καὶ πράως· οὐκ ἐπειδὴ πράως εἰς ἡμᾶς ἐπλημμέλησας, ἀλλ' ἐπειδὴ τοῦτον ἔθηκα ἐμαυτῷ τὸν νόμον ἀπὸ τῆς ἡμέρας ἐκείνης ἧς τὴν φιλίαν ἐστερξα τὴν σήν, ὑπὲρ ὧν ἂν ἐθέλῃς ἡμᾶς λυπεῖν, μηδέποτέ σε εἰς ἀπολογίας ἀνάγκην καθιστᾶν. Ἐπεί, ὅτι γε οὐχὶ σμικρὰν τὴν ζημίαν ἡμῖν ἐπήγαγες, οἶσθα καὶ αὐτός, εἴ γε μέμνησαι τῶν ῥημάτων, καὶ τῶν παρὰ τῶν ἔξωθεν περὶ ἡμῶν, καὶ τῶν ὑφ' ἡμῶν λεγομένων ἀεί· ταῦτα δὲ ἦν, ὅτι πολὺ κέρδος ἡμῖν ὁμοψύχοις εἶναί τε καὶ φράττεσθαι τῇ πρὸς ἀλλήλους φιλίᾳ. Καὶ οἱ μὲν ἄλλοι πάντες ἔλεγον, καὶ ἑτέροις πολλοῖς οὐ μικρὰν ὠφέλειαν τὴν ἡμετέραν οἴσειν ὁμόνοιαν· ἐγὼ δὲ ὠφέλειαν μὲν οὐδέποτε ἐνενόησα, τό γε εἰς ἐμὲ ἦκον, παρέξειν τισίν· ἔλεγον δὲ, ὅτι τοῦτο γοῦν ἀπ' αὐτῆς κερδανοῦμεν κέρδος οὐ μικρὸν, τὸ δυσχείρωτοι εἶναι τοῖς καταγωνίσασθαι βουλομένοις ἡμᾶς. Καὶ ταῦτά σε ὑπομιμνήσκων οὐκ ἐπαυσάμην ποτέ· Χαλεπὸς ὁ καιρός· οἱ ἐπιβουλεύοντες πολλοί· τὸ τῆς ἀγάπης γνήσιον ἀπόλωλεν· ἐντεισῆκται δὲ ὁ τῆς βασκανίας ὄλεθρος· ἐν μέσῳ παγίδων διαβαίνομεν, καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατοῦμεν· οἱ μὲν ἕτοιμοι τοῖς ἡμετέροις ἐφησθῆναι κακοῖς, εἴ ποτέ τι συμβαίη, πολλοὶ καὶ πολλαχόθεν ἐφεστήκασιν· ὁ δὲ συναλγήσων οὐδείς, ἢ καὶ εὐαρίθμητοι λίαν. Ὅρα μὴ διαστάντες ποτὲ πολὺν τὸν γέλωτα ὀφλωμεν, καὶ τοῦ γέλωτος μείζονα τὴν ζημίαν. « Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ, καὶ ὡς μεμοχλευμένη βασιλεία. » Μὴ δὴ διαλύσῃς ταύτην τὴν γνησιότητα, μηδὲ διακόψῃς τὸν μοχλόν. Ταῦτα καὶ πλείω τούτων ἔλεγον συνεχῶς, οὐδὲν μέντοι πότε ὑποπτεύων τοιοῦτον, ἀλλὰ καὶ πάνυ σε τὰ πρὸς

enim puto temere te et sine causa fugisse, tantamque suscepisse adversus adeo præstantes viros inimicitiam; sed ponderatis rebus ad id venisse, unde et tibi paratam defensionem adesse arbitror. Dic ergo, num justam habeas excusationem, quam criminatoribus afferamus. Nam de injuria qua me affecisti non expostulo tecum, non quod deceperis, non quod prodideris, non quod omni tempore amicitiæ meæ fructum tuleris. Nos quippe animam nostram, ut ita dicam, confidenter in manibus tuis reposuimus: tu vero tantam adversum nos calliditatem adhibuisti, quantam si ab inimicis tuis cavendum tibi fuisset. Atqui oportuit, si consilium hujusmodi utile esse putabas, nec ipsum lucrum ejus fugere: sin damnosum, nos quoque, quos omnibus semper præferre dicebas, damno eripere. Tu vero nihil non egisti ut eo incideremus; neque dolo vel simulatione opus erat adversus eum, qui sine dolo et simpliciter omnia dicere et agere apud te solebat. Attamen, ut dixi, nihil eorum crimini do, neque solitudinem exprobro, in qua nos constituisti, cum colloquia illa abstulisti, ex quibus et voluptatem et utilitatem non minimam sæpe carpebamus. Verum hæc omnia mitto, hæc tacite et mansuete fero: non quod tu mansuete in nos deliqueris, sed quod eam mihi legem præscripserim ab illa die, qua amicitiam inii tuam, ut quamvis mihi molestiam afferres, nullam abs te apologiam exigerem. Etenim quod non mediocre mihi damnum intuleris, ipse nosti, si modo meminisse velis sermonum, tum quos exteri de nobis, tum quos nos inter nos perpetuo habuimus. Hi porro sermones erant, magnum nobis fore lucrum ex concordia, præsidiumque ex amicitia mutua. Aliique omnes dicebant, aliis etiam bene multis non modicæ utilitati fore concordiam nostram: ego vero, quod ad me attinet, nunquam utilitatem cuipiam posse me præstare putavi; dicebam tamen, hoc saltem nos lucrum non parvum ex amicitia decerpturos esse, quod iis qui nos oppugnare vellent, inexpugnabiles futuri essemus. Hæc tibi in mentem revocare nunquam cessabam: Difficile est tempus, insidiatores multi, germana caritas extincta, invidiæ pernicies ejus locum subiit, in medio laqueorum progredimur, in pinnis murorum urbis ambulamus: multi ad gaudendum de malis nostris parati sunt, si quid forte sinistrum acciderit, et undique instant; nemo vero est qui vicem nostram doleat, vel saltem perpauci hujusmodi sunt. Vide ne si disjungamur, risum multum aliis moveamus, risuque graviorem jacturam: (*Prov.* 18. 19) *Frater qui adjuvatur a fratre, quasi civitas munita, et quasi regnum vectibus firmatum.* Ne, quæso, hanc dissolvas necessitudinem, neu vectem dirumpas. Hæc et his plura sæpe dicebam, nihil tum hujusmodi suspicans, sed te sano admodum animo

ἡμᾶς ὑγιαίνειν νομίζων, ἐκ περιουσίας δὲ καὶ ὑγιαίνοντα θεραπεύειν βουλόμενος· ἐλάνθανον δὲ, ὡς ἔοικε, νοσοῦντι τὰ φάρμακα ἐπιτιθείς· καὶ οὐδὲ οὕτως ὁ δείλαιος ὤνησα, οὐδὲ γέγονεν ἐμοί τι πλέον ἐκ ταύτης τῆς ἄγαν προμηθείας. Πάντα γὰρ ἐκεῖνα ῥίψας ἀθρόως, καὶ οὐδὲ εἰς νοῦν βαλόμενος, ὥσπερ ἀνερμάτιστον πλοῖον εἰς πέλαγος ἡμᾶς ἄπειρον ἀφῆκας, οὐδὲν τῶν ἀγρίων ἐκείνων ἐννοήσας κυμάτων, ἅπερ ἡμᾶς ὑπομένειν ἀνάγκη. Εἰ γάρ ποτε συμβαίη συκοφαντίαν ἢ χλευασίαν ἢ καὶ ἄλλην τινὰ ὕβριν καὶ ἐπήρειαν ἡμῖν ἐπενεχθῆναί ποθεν (πολλάκις δὲ τὰ τοιαῦτα συμβαίνειν ἀνάγκη), πρὸς τίνα καταφευξόμεθα; τίνι κοινωσόμεθα τὰς ἡμετέρας ἀθυμίας; τίς ἡμῖν ἀμῦναι θελήσει, καὶ τοὺς μὲν λυποῦντας ἀνακόψει καὶ ποιήσει μηκέτι λυπεῖν, ἡμᾶς δὲ παραμυθήσεται καὶ παρασκευάσει τὰς ἑτέρων φέρειν ἀπαιδευσίας; Οὐκ ἔστιν οὐδείς, σοῦ πόρρωθεν ἑστηκότος τοῦ δεινοῦ τούτου πολέμου, καὶ μηδὲ κραυγὴν ἀκοῦσαι δυναμένου ποτέ. Ἆρα οἷδας ὅσον εἴργασταί σοι κακόν; ἆρα νῦν γοῦν μετὰ τὸ πλῆξαι ἐπιγινώσκεις ὡς καιρίαν ἡμῖν ἔδωκας τὴν πληγήν; Ἀλλὰ ταῦτα μὲν ἀφείσθω· οὐδὲ γὰρ ἔστι τὰ γενόμενα ἀναλῦσαι λοιπὸν, οὐδὲ πόρον τοῖς ἀπόροις εὑρεῖν. Τί πρὸς τοὺς ἔξωθεν ἐροῦμεν; τί πρὸς τὰς αἰτίας ἀπολογησόμεθα τὰς ἐκείνων;

ΧΡΥΣΟΣΤΟΜΟΣ. Θάρσει, ἔφην ἐγώ· οὐ γὰρ ὑπὲρ τούτων εἰμὶ μόνον ἕτοιμος εὐθύνας ὑπέχειν, ἀλλὰ καὶ ὧν ἀνεύθυνους ἡμᾶς ἀφῆκας, καὶ τούτων πειράσομαί σοι δοῦναι λόγον, ὡς ἂν οἶδας ὦ, καὶ, εἰ βούλει γε, ἀπ' αὐτῶν πρώτων τῆς ἀπολογίας ποιήσομαι τὴν ἀρχήν. Καὶ γὰρ ἂν εἶην ἄτοπος καὶ λίαν ἀγνώμων, εἰ τῆς παρὰ τῶν ἔξωθεν δόξης φροντίζων, καὶ ὅπως παύσαιντο ἡμῖν ἐγκαλοῦντες, πάντα ποιῶν, τὸν ἁπάντων μοι φίλτατον, καὶ τοσαύτῃ πρὸς ἡμᾶς αἰδοῖ κεχρημένον, ὡς μηδὲ ὑπὲρ ὧν ἠδικῆσθαί φησιν ἐγκαλέσαι θελῆσαι, ἀλλὰ φροῦδα τὰ αὐτοῦ θέμενον ἔτι τῶν ἡμετέρων φροντίζειν, μὴ δυναίμην ὡς οὐκ ἀδικῶ πεῖσαι, ἀλλὰ μείζονι περὶ αὐτὸν φαινοίμην κεχρημένος ῥᾳθυμίᾳ ἧς αὐτὸς περὶ ἡμᾶς ἐπεδείξατο σπουδῆς. Τί ποτε οὖν σε ἠδικήκαμεν, ἐπειδὴ καὶ ἐντεῦθεν ἐγνώκαμεν εἰς τὸ τῆς ἀπολογίας ἀφεῖναι πέλαγος; ἆρα ὅτι σε παρεκρουσάμεθα, καὶ τὴν ἡμετέραν ἐκρύψαμεν γνώμην; Ἀλλ' ἐπὶ κέρδει καὶ τοῦ ἀπατηθέντος σου, καὶ οἷς ἀπατήσαντές σε προυδώκαμεν. Εἰ μὲν γὰρ διόλου τὸ τῆς κλοπῆς κακὸν, καὶ οὐκ ἔστιν εἰς δέον αὐτῷ χρήσασθαί ποτε, δοῦναι ἕτοιμοι δίκην ἡμεῖς, ἣν ἂν αὐτὸς ἐθέλῃς· μᾶλλον δὲ σὺ μὲν οὐδέποτε παρ' ἡμῶν ἀνέξῃ δίκην λαβεῖν, ἡμεῖς δὲ ἑαυτῶν καταγνωσόμεθα ταῦτα ἃ τῶν ἀδικούντων οἱ δικάζοντες, ὅταν αὐτοὺς ἕλωσιν οἱ κατήγοροι. Εἰ δὲ οὐκ ἀεὶ τὸ πρᾶγμα ἐπιβλαβὲς, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται φαῦλον ἢ καλὸν, ἀφεὶς ἐγκαλεῖν τὸ ἠπατῆσθαι, δεῖξον ἐπὶ κακῷ τοῦτο τεχνασαμένους· ὡς ἕως ἂν τοῦτο ἀπῇ, μὴ ὅτι μέμψεις καὶ αἰτίας ἐπάγειν, ἀλλὰ καὶ ἀποδέχεσθαι τὸν ἀπατῶντα

erga nos esse putans, atque ex abundanti medelam vel sano adhibere curans, nec animadvertens, ut patet, me ægrotanti remedia apponere. At ne sic quidem infelix quidpiam lucratus sum, neque ex tanta illa cautela mihi quidquam accessit emolumenti. Omnia quippe illa confertim projiciens, neque id tecum reputans, me tamquam navem non saburratam in pelagus immensum emisisti, nihil cogitans humanos illos fluctus, quos me sustinere necesse est. Nam si contingat vel calumniam, vel cachinnum, vel aliam quamvis contumeliam et molestiam in nos inferri (sæpe autem multa hujusmodi necessario accidunt), ad quem confugiemus? apud quem angustias nostras exonerabimus? quis defensionem suscipiet nostram? quis mœroris auctores retundet atque sedabit, nobisque dolorum finem faciet, et solatium afferet, paratosque nos reddet ad aliorum ferendas ineptias? Nemo sane adest, te ab hoc gravissimo bello procul remoto, ut ne clamorem quidem audire valeas unquam. An nosti quantum admiseris malum? an vel nunc, postquam percussisti, agnoscis quam letale mihi vulnus inflixeris? Verum hæc missa faciamus: neque enim deinceps poterunt ea dissolvi, quæ facta sunt, neque exitus reperiri in rebus exitu carentibus. Quid tandem ad exteros dicemus? quid eorum criminationibus respondebimus?

CHRYSOSTOMUS. [VIII.] Bono, inquam, animo esto; neque enim ad horum tantum rationem reddendam ego paratus sum, sed et in quibus nos immunes dimisisti, in iis etiam pro virili mea defensionem parare conabor; ac si libet, ab iis ipsis ordiar. Siquidem absurdus admodumque ingratus essem, si exterorum opinionem curans, nihilque non agens ut accusandi finem faciant, virum mihi omnium amicissimum, qui tanta erga me usus sit verecundia, ut ne de illata quidem sibi, ut putat, injuria conqueri velit, imo etiam suis posthabitis de nostris insuper satagat, non possim flectere, neque apud illum de illata injuria purgare, quin etiam majore erga illum segnitie uti videar, quam ille sollicitudine erga me utitur. Qua igitur in re te læsimus, quandoquidem hinc constituimus apologiæ pelagus ingredi? an quia te circumvenimus, nostramque tibi mentem celavimus? Atqui illud cum pro tui decepti, tum pro eorum etiam, quibus te fallendo prodidimus, utilitate fecimus. Si itaque astutia semper mala, neque illa unquam vel ad quodlibet commodum uti liceat, paratus sum pœnas dare quascumque volueris: seu potius, quia nunquam ex me pœnas exigere tu sustinebis, eas ipsi nobismetipsis irrogabimus, quas solent judices sontibus, cum ab actoribus suis rei peracti fuerint. Sin vero astutia non semper noxia est, sed pro eorum qui illa utuntur animo seu mala seu bona efficitur, missam faciens criminationem istam, qua te circumventum quereris, proba nos in malum astu usos esse: donec enim id abfuerit, non criminari, sed

δίκαιον ἂν εἴη τούς γε εὐγνωμόνως διατείσθαι βουλομένους. Τοσοῦτον γὰρ ἔχει κέρδος εὔκαιρος ἀπάτη καὶ μετὰ τῆς ὀρθῆς γινομένη διανοίας, ὡς πολλοὺς, ὅτι μὴ παρεκρούσαντο, καὶ δίκην δοῦναι πολλάκις. Καὶ εἰ βούλει γε τῶν στρατηγῶν τοὺς ἐξ αἰῶνος εὐδοκιμήσαντας ἐξετάσαι, τὰ πλείονα αὐτῶν τρόπαια τῆς ἀπάτης εὑρήσεις ὄντα κατορθώματα, καὶ μᾶλλον τούτους ἐπαινουμένους, ἢ τοὺς ἐκ τοῦ φανεροῦ κρατοῦντας. Οἱ μὲν γὰρ μετὰ πλείονος τῆς δαπάνης, καὶ τῆς τῶν χρημάτων καὶ τῆς τῶν σωμάτων, κατορθοῦσι τοὺς πολέμους, ὡς μηδὲν αὐτοῖς πλέον ἀπὸ τῆς νίκης γίνεσθαι, ἀλλὰ παρ' οὐδὲν τὰ τῶν ἡττωμένων τοὺς κρατοῦντας δυστυχεῖν, καὶ τῶν στρατευμάτων ἀνηλωμένων καὶ τῶν ταμιείων κεκενωμένων. Πρὸς δὲ τούτοις οὐδὲ τῆς ἐπὶ τῇ νίκῃ δόξης αὐτοὺς ἀφίησιν ἀπολαῦσαι πάσης· μέρος γὰρ αὐτῆς οὐ μικρὸν συμβαίνει καὶ τοὺς πεπτωκότας καρποῦσθαι, διὰ τὸ ταῖς ψυχαῖς νικῶντας τοῖς σώμασιν ἡττᾶσθαι μόνοις· ὡς, εἴ γε ἐνῆν βαλλομένους μὴ πίπτειν, μηδὲ ἐπελθὼν ὁ θάνατος αὐτοὺς ἔπαυσεν, οὐκ ἂν ἔστησαν τῆς προθυμίας ποτέ. Ὁ δὲ ἀπάτῃ κρατῆσαι δυνηθείς, οὐ συμφορᾷ μόνον, ἀλλὰ καὶ γέλωτι περιβάλλει τοὺς πολεμίους. Οὐ γὰρ ὥσπερ ἐκεῖ τοὺς ἐπαίνους ἐξ ἴσης ἀμφότεροι ἀποφέρονται τοὺς ἐπὶ τῇ ῥώμῃ, οὕτω καὶ ἐνταῦθα τοὺς ἐπὶ τῇ φρονήσει, ἀλλ' ὅλον τῶν νικώντων ἐστὶ τὸ βραβεῖον, καὶ τὸ τούτων οὐκ ἔλαττον, τὴν ἀπὸ τῆς νίκης ἡδονὴν εἰλικρινῆ τῇ πόλει φυλάττουσιν. Οὐ γάρ ἐστιν ὥσπερ ὁ τῶν χρημάτων πλοῦτος καὶ τὸ τῶν σωμάτων πλῆθος, ἡ τῆς ψυχῆς φρόνησις· ἀλλ' ἐκεῖνα μὲν, ὅταν τις αὐτοῖς ἐν τοῖς πολέμοις χρῆται συνεχῶς, δαπανᾶσθαι συμβαίνει καὶ ἀπολείπειν τοὺς ἔχοντας, αὕτη δὲ, ὅσῳπερ ἄν τις αὐτὴν ἀναχινῇ, τοσούτῳ μᾶλλον αὔξεσθαι πέφυκεν. Οὐκ ἐν τοῖς πολέμοις δὲ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ πολλὴν καὶ ἀναγκαίαν εὕροι τις ἂν τῆς ἀπάτης τὴν χρείαν, καὶ οὐ πρὸς τὰ τῆς πόλεως πράγματα μόνον, ἀλλὰ καὶ ἐν οἰκίᾳ καὶ πρὸς γυναῖκα ἀνδρὶ, καὶ πρὸς ἄνδρα γυναικὶ, καὶ πατρὶ πρὸς υἱὸν, καὶ πρὸς φίλον φίλῳ, ἤδη δὲ καὶ πρὸς πατέρα παισί. Καὶ γὰρ τῶν τοῦ Σαοὺλ χειρῶν ἡ τοῦ Σαοὺλ θυγάτηρ οὐκ ἴσχυσεν ἑτέρως ἐξελέσθαι τὸν ἄνδρα τὸν αὑτῆς, ἀλλ' ἢ μετὰ τοῦ παραλογίσασθαι τὸν πατέρα· ὁ ταύτης δὲ ἀδελφὸς, τὸν ὑπ' ἐκείνης διασωθέντα σῶσαι βουλόμενος κινδυνεύοντα πάλιν, τοῖς αὐτοῖς ὅπλοις ἐχρήσατο, οἷσπερ καὶ ἡ γυνή.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ, Ἀλλ' οὐδὲν τούτων πρὸς ἐμὲ, φησίν· οὔτε γὰρ ἐχθρὸς ἐγὼ καὶ πολέμιος, οὔτε τῶν ἀδικεῖν ἐπιχειρούντων, ἀλλὰ πᾶν τοὐναντίον· τῇ σῇ γὰρ γνώμῃ τὰ ἐμαυτοῦ πάντα ἐπιτρέψας ἀεὶ ταύτῃ εἱπόμην, ἥπερ ἐκέλευσας.

ΧΡΥΣΟΣΤΟΜΟΣ. Ἀλλ', ὦ θαυμάσιε καὶ ἀγαθώτατε, διὰ τοῦτο γὰρ καὶ αὐτὸς φθάσας εἶπον, ὅτι οὐκ ἐν πολέμῳ μόνον, οὐδ' ἐπὶ τοὺς ἐχθροὺς, ἀλλὰ καὶ ἐν εἰρήνῃ καὶ ἐπὶ τοὺς φιλτάτους χρῆσθαι ταύτῃ καλόν. Ὅτι γὰρ οὐ τοῖς ἀπατῶσι μόναν, ἀλλὰ καὶ τοῖς ἀπα-

laudare decipientem æquum fuerit apud eos saltem qui aliquam æqui bonique rationem habent. Tantum enim lucri habet opportuna bonoque animo parata fraus, ut multi sæpe, quod ea non sint usi, pœnas dederint. Ac si velis duces exercituum examinare ab orbe condito celebriores, illorum tropæa quam plurima dolo parta comperies, eosque majori laude celebratos, quam qui aperto marte vicerunt. Nam hi quidem majori pecuniarum hominumque dispendio hostes superant, ita ut plerumque nihil commodi ex victoria referant, sed propemodum eorum, qui victi sunt, sortem subeant victores tum exercituum tum ærarii jacturam passi. Ad hæc vero res non sinit eos tota victoriæ gloria frui; etenim victis quoque ejus pars non minima cedit, utpote qui animis victores, corporibus solum inferiores fuerint; ita ut, si potuissent confossi non cadere, neque mors illos prostravisset, nunquam alacritatem animi amisissent. Qui vero fraude vincere potuit, non calamitosos solum, sed etiam risu dignos efficit hostes. Non enim, ut illic, parem utrique fortitudinis, ita et hic ambo prudentiæ laudem referunt; sed integrum victoribus victoriæ præmium cedit: quodque non minus est, victoriæ voluptatem civitati sinceram servant. Neque enim perinde se habent pecuniarum copia hominumque multitudo, atque animi prudentia; siquidem illa in usu bellico frequenti consumi solent, atque possessores suos deserere; hæc vero, quanto magis exerceas, tanto magis augetur. Neque solum in bellis, sed etiam pacis tempore, magnum necessariumque fraudis usum esse comperias, nec tantum ad civitatis negotia, sed et ad domestica, viro adversus uxorem, uxori adversus virum, patri in filium, amico in amicum, imo etiam filio in patrem. Neque enim alio modo potuit filia Saülis (1 *Reg.* 19. 11) virum suum e manibus ejus eruere, quam patrem decipiendo. Ejusque frater (*ib. c.* 20. 8) jam ereptum a sorore, iterumque periclitantem servare cupiens, iisdem quibus uxor ejus usus est telis.

Tum BASILIUS, Nihil hæc ad me, inquit: neque enim hostis sum vel inimicus, neque ex eorum numero, quibus ladendi animus est; contra vero tuæ semper sententiæ omnia mea commisi, cui semper, quando tu jussisti, obsequutus sum.

CHRYSOSTOMUS. [IX.] At, o vir admirande atque optime, ideo tibi jam antea dixi, non in bello tantum et contra hostes, sed etiam in pace et adversus amicissimos fraude uti interdum opus esse. Quod autem ea non modo decipientibus, sed etiam deceptis utilis sit, a quopiam me-

τωμένοις τοῦτο χρήσιμον, προσελθών τινι τῶν ἰατρῶν ἐρώτησον, πῶς ἀπαλλάττουσι τῆς νόσου τοὺς κάμνοντας, καὶ ἀκούσῃ παρ' αὐτῶν, ὅτι οὐκ ἀρκοῦνται τῇ τέχνῃ μόνῃ, ἀλλ' ἔστιν ὅπου καὶ τὴν ἀπάτην παραλαβόντες, καὶ τὴν παρ' αὐτῆς βοήθειαν καταμίξαντες, οὕτως ἐπὶ τὴν ὑγίειαν τοὺς ἀσθενοῦντας ἐπανήγαγον. Ὅταν γὰρ τὸ δυσάρεστον τῶν ἀῤῥωστούντων καὶ τῆς νόσου δὲ αὐτῆς τὸ δυστράπελον μὴ προσίηται τὰς τῶν ἰατρῶν συμβουλὰς, τότε τὸ τῆς ἀπάτης ὑποδῦναι προσωπεῖον ἀνάγκη, ἵν' ὥσπερ ἐπὶ τῆς σκηνῆς τὴν τῶν γινομένων ἀλήθειαν κρύψαι δυνηθῶσιν. Εἰ δὲ βούλει, καὶ ἐγώ σοι διηγήσομαι δόλον ἕνα ἐκ πολλῶν, ὧν ἤκουσα κατασκευάζειν ἰατρῶν παῖδας. Ἐπίπασέν ποτέ τινι πυρετὸς ἀθρόως μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ἡ φλὸξ ἥρετο· καὶ τὰ μὲν δυνάμενα σβέσαι τὸ πῦρ ἀπεστρέφετο ὁ νοσῶν, ἐπεθύμει δὲ καὶ πολὺς ἐνέκειτο, τοὺς εἰσιόντας πρὸς αὐτὸν ἅπαντας παρακαλῶν, ἄκρατον ὀρέξαι πολὺν, καὶ παρασχεῖν ἐμφορηθῆναι τῆς ὀλεθρίου ταύτης ἐπιθυμίας. Οὐ γὰρ τὸν πυρετὸν μόνον ἐκκαύσειν ἤμελλεν, ἀλλὰ καὶ παραπληξίᾳ παραδώσειν τὸν δείλαιον, εἴ τις αὐτῷ πρὸς ταύτην εἶξε τὴν χάριν. Ἐνταῦθα τῆς τέχνης ἀπορουμένης καὶ οὐδεμίαν ἐχούσης μηχανὴν, ἀλλὰ παντελῶς ἐκβεβλημένης, εἰσελθοῦσα τοσαύτην ἐπεδείξατο τὴν ἑαυτῆς δύναμιν ἡ ἀπάτη, ὅσην αὐτίκα παρ' ἡμῶν ἀκούσῃ. Ὁ γὰρ ἰατρὸς ἄρτι τῆς καμίνου προελθὸν ἄγγος ὀστράκου λαβὼν, καὶ βάψας οἴνῳ πολλῷ, εἶτα ἀνασπάσας κενὸν καὶ πλήσας ὕδατος, κελεύει τὸ δωμάτιον ἔνθα κατέκειτο ὁ νοσῶν συσκιάσαι παραπετάσμασι πολλοῖς, ἵνα μὴ τὸ φῶς ἐλέγξῃ τὸν δόλον, καὶ δίδωσιν ἐκπιεῖν ὡς ἀκράτου πεπληρωμένον. Ὁ δὲ πρὶν εἰς τὰς χεῖρας λαβεῖν ὑπὸ τῆς ὀσμῆς προσπεσούσης εὐθέως ἀπατηθεὶς οὐδὲ πολυπραγμονεῖν ἠνέσχετο τὸ δοθὲν, ἀλλὰ ταύτῃ πειθόμενος, καὶ τῷ σκότῳ κλαπείς, ὑπό τε τῆς ἐπιθυμίας ἐπειγόμενος, ἔσπασε τοῦ δοθέντος μετὰ πολλῆς τῆς προθυμίας, καὶ ἐμφορηθεὶς ἀπετινάξατο τὸ πνῖγος εὐθέως, καὶ τὸν ἐπικείμενον ἐξέφυγε κίνδυνον. Εἶδες τῆς ἀπάτης τὸ κέρδος; Καὶ εἰ πάντας βούλοιτό τις τῶν ἰατρῶν καταλέγειν τοὺς δόλους, εἰς ἄπειρον ἐκπεσεῖται μῆκος ὁ λόγος. Οὐ μόνον δὲ τοὺς τὰ σώματα θεραπεύοντας, ἀλλὰ καὶ τοὺς τῶν ψυχικῶν νοσημάτων ἐπιμελομένους εὕροι τις ἂν συνεχῶς τούτῳ κεχρημένους τῷ φαρμάκῳ. Οὕτω τὰς πολλὰς μυριάδας ἐκείνας τῶν Ἰουδαίων ὁ μακάριος προσηγάγετο Παῦλος· μετὰ ταύτης τῆς προαιρέσεως τὸν Τιμόθεον περιέτεμεν ὁ Γαλάταις ἀπειλῶν, ὅτι Χριστὸς οὐδὲν ὠφελήσει τοὺς περιτεμνομένους· διὰ τοῦτο ὑπὸ νόμον ἐγίνετο ὁ ζημίαν ἡγούμενος μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν ἀπὸ τοῦ νόμου δικαιοσύνην. Πολλὴ γὰρ ἡ τῆς ἀπάτης ἰσχύς· μόνον μὴ μετὰ δολερᾶς προσαγέσθω τῆς προαιρέσεως. Μᾶλλον δὲ οὐδὲ ἀπάτην τὸ τοιοῦτον δεῖ καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ καὶ σοφίαν καὶ τέχνην ἱκανὴν πολλοὺς πόρους ἐν τοῖς ἀπόροις εὑρεῖν, καὶ πλημμελείας ἐπανορθῶσαι ψυχῆς. Οὐδὲ γὰρ τὸν Φινεὲς

dicorum sciscitare, quonam illi modo aegros a morbo liberent; audiesque ipsos non arte tantum uti, sed et fallaciam interdum adhibere, atque ejus auxilio adhibito aegros sanitati restituere. Quando enim tum morbo laborantium morositas, tum morbi ipsius difficultas medicorum consilium non admittit, tunc fallaciæ personam induere coguntur, ut quemadmodum in scena rei veritatem obtegere possint. Atque hic, si placet, unum tibi ex multis dolum enarrabo, quem a medicis concinnatum audivi. Incidit quidam in febrim ardentem ac vehementissimam: æstus ingens erat, ac cuncta ea, quæ ignem exstinguere poterant, respuebat æger. Cupiebat autem et apud omnes se adeuntes instabat, sibi merum large porrigerent, et exitiosam illam cupidinem implere procurarent. Quod sane non febrim modo inflammasset, sed miserum in furorem conjecisset, si quis tamen talem ipsi gratiam exhibuisset. Cum hic ars nihil proficeret, nullamque machinam excogitare posset, imo prorsus ea rejicienda videretur, ejus vices fallacia suscipiens vim tantam ostendit, quantam mox audies. Etenim medicus vas testaceum recens e fornace eductum vino permulto immersit: abstractum hinc vacuum cum aqua repleviisset, jubet ægrotantis cubiculum velis multis obumbrari, ne lux dolum proderet; et ægro vas quasi mero plenum propinat: quo vix manibus apprehenso ægrotus vini odore statim deceptus, quod oblatum fuerat non examinavit, sed morem gerens ac tenebris deceptus, urgente cupidine, alacriter hausit; ac satiatus suffocationem statim excussit, et imminens periculum effugit. Viden' fallaciæ lucrum? Quodsi quis omnes medicorum dolos recensere velit, oratio sane longior, quam par sit, evadet. Nec vero solum ii qui corpora curant, sed etiam ii qui animæ morbis curandis vacant, hoc frequenter remedio uti comperiuntur. Sic beatus Paulus (*Act.* 21. 26) multas illas Judæorum myriadas attraxit: hoc item consilio (*Act.* 16. 3) Timotheum circumcidit ille, qui Galatis comminatur (*Gal.* 5. 2) nihil profuturum Christum iis qui circumciduntur. Ideo legi se subdidit is qui (*Philipp.* 3. 7) justitiam ex lege post fidem in Christum detrimentum putabat. Fraudis quippe magna vis, dum ne doloso consilio offeratur. Imo vero hæc minime fraus appellanda est, sed œconomia, sapientia et ars quædam, quæ possit multos exitus in rebus arduis reperire, animæque delicta emendare. Neque enim Phinees (*Num.*

ἀνδροφόνον εἴποιμ' ἂν ἔγωγε, καίτοι γε μιᾷ πληγῇ δύο σώματα ἀνεῖλεν· ὥσπερ οὐδὲ τὸν Ἠλίαν μετὰ τοὺς ἑκατὸν στρατιώτας καὶ τοὺς τούτων ἡγεμόνας καὶ τὸν πολὺν τῶν αἱμάτων χειμάρρουν, ὃν ἐκ τῆς τῶν ἱερευομένων τοῖς δαίμοσιν ἐποίησε ῥεῦσαι σφαγῆς. Εἰ γὰρ τοῦτο συγχωρήσαιμεν, καὶ τὰ πράγματα τῆς τῶν πεποιηκότων προαιρέσεώς τις γυμνώσας ἐξετάζοι καθ' ἑαυτὰ, καὶ τὸν Ἀβραὰμ παιδοκτονίας ὁ βουλόμενος κρινεῖ, καὶ τὸν ἔγγονον τὸν ἐκείνου καὶ τὸν ἀπόγονον κακουργίας καὶ δόλου γράψεται· οὕτω γὰρ ὁ μὲν τῶν τῆς φύσεως ἐκράτησε πρεσβείων, ὁ δὲ τὸν τῶν Αἰγυπτίων πλοῦτον εἰς τὸν τῶν Ἰσραηλιτῶν μετήνεγκε στρατόν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἄπαγε τῆς τόλμης. Οὐ γὰρ μόνον αὐτοὺς αἰτίας ἀφίεμεν, ἀλλὰ καὶ θαυμάζομεν διὰ ταῦτα, ἐπεὶ καὶ ὁ Θεὸς αὐτοὺς διὰ ταῦτα ἐπῄνεσεν. Καὶ γὰρ ἀπατεὼν ἐκεῖνος ἂν εἴη καλεῖσθαι δίκαιος, ὁ τῷ πράγματι κεχρημένος ἀδίκως, [οὐχ ὁ μεθ' ὑγιοῦς γνώμης τοῦτο ποιῶν]· καὶ πολλάκις ἀπατῆσαι θέον, καὶ τὰ μέγιστα διὰ ταύτης ὠφελῆσαι τῆς τέχνης, ὁ δὲ ἐξ εὐθείας προσενεχθεὶς κακὰ μεγάλα τὸν οὐκ ἀπατηθέντα εἰργάσατο.

25. 7 *seqq.*) homicidam dixerim, quamvis plaga una duos occiderit : quemadmodum neque Heliam (4 *Reg.* 1. 12) ob illos centum milites eorumque duces, ac (3 *Reg.* 18. 34) magnum illum sanguinis torrentem, quem ex eorum qui dæmonum sacrificuli erant cæde manare fecit. Nam si hoc concederemus, et si res ipsas nudas, non expenso auctorum consilio, expendere quis voluerit, Abraham (*Gen.* 22) occisi nati damnare quivis poterit; nepotem item (*Gen.* 27. 19) et abnepotem ejus (*Exod.* 11. 2 *sqq.*) maleficii et doli accusare : sic enim ille primogenituram obtinuit; hic vero Ægyptiorum divitias in Israelitarum exercitus transtulit. At non ita se res habet, non ita sane : apage tantam audaciam. Non modo enim illos culpa vacare dicimus, sed etiam eo nomine miramur; quandoquidem ipse Deus illos ideo laudavit. Namque ille fallax jure dicatur, qui id inique aggreditur, non autem qui sano id consilio facit. Sæpeque contingit ut fallere sit opus, ut per hujusmodi artem magna utilitas importetur : at qui tali in re recta via incedit, ei quem fallere noluit magna sæpe mala intulit.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ δευτέρῳ λόγῳ.

α'. Ὅτι μέγιστον ἡ ἱερωσύνη τεκμήριον τῆς εἰς τὸν Χριστὸν ἀγάπης.
β'. Ὅτι ἡ ταύτης ὑπηρεσία μείζων τῶν ἄλλων.
γ'. Ὅτι μεγάλης δεῖται ψυχῆς καὶ θαυμαστῆς.
δ'. Ὅτι πολλῆς τὸ πρᾶγμα δυσκολίας γέμει καὶ κινδύνων.
ε'. Ὅτι τῆς εἰς τὸν Χριστὸν ἀγάπης ἕνεκεν τὸ πρᾶγμα ἐφύγομεν.
ϛ'. Ἀπόδειξις τῆς ἀρετῆς τοῦ Βασιλείου, καὶ τῆς ἀγάπης τῆς σφοδρᾶς.
ζ. Ὅτι οὐχ ὑβρίσαι ἑλόμενοι τοὺς ψηφισαμένους ἐφύγομεν τὴν χειροτονίαν.
η'. Ὅτι καὶ μέμψεως αὐτοὺς ἀπηλλάξαμεν διὰ τῆς φυγῆς.

DE SACERDOTIO.

LIBER SECUNDUS.

Hæc insunt libro secundo.

I. Sacerdotium grande esse signum charitatis erga Christum.
II. Hoc ministerium aliis antecellere.
III. Magnum et admirandum animum requirere.
IV. Rem esse plenam difficultatum ac periculorum.
V. Nos propter charitatem in Christum rem istam fugisse.
VI. Demonstratio virtutis Basilii, ac vehementis ejus charitatis.
VII. Quod non in contumeliam eorum, qui nos elegerant, ordinationem effugerimus.
VIII. Quod fugiendo etiam a vituperatione illos eruerimus.

Ὅτι μὲν οὖν ἔστι καὶ ἐπὶ καλῷ τῇ τῆς ἀπάτης κεχρῆσθαι δυνάμει, μᾶλλον δὲ ὅτι μηδὲ ἀπάτην δεῖ τὸ τοιοῦτον καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ θαυμαστὴν, ἐνῆν μὲν καὶ πλείονα λέγειν· ἐπειδὴ δὲ καὶ τὰ εἰρημένα πρὸς ἀπόδειξιν ἱκανὰ γέγονε, φορτικὸν καὶ ἐπαχθὲς περιττὸν τῷ λόγῳ προστιθέναι μῆκος. Σὸν δὲ ἂν εἴη δεικνύναι λοιπὸν, εἰ μὴ τῷ πράγματι τούτῳ πρὸς τὸ κέρδος ἐχρησάμεθα τὸ σόν.

ΒΑΣΙΛΕΙΟΣ. Καὶ ποῖον ἡμῖν κέρδος, φησὶν, ἐκ ταύτης γέγονε τῆς οἰκονομίας, ἢ σοφίας, ἢ ὅπως ἂν αὐτὴν χαίρῃς καλῶν, ἵνα πεισθῶμεν ὅτι οὐκ ἠπατήμεθα παρὰ σοῦ;

ΧΡΥΣΟΣΤ. Καὶ τί τούτου τοῦ κέρδους, ἔφην, ἂν γένοιτο μεῖζον, ἢ τὸ ταῦτα φαίνεσθαι πράττοντας,

Quod igitur ex æquo et bono fraudis vi uti liceat, imo potius quod eam non fraudem, sed admirandam œconomiam appellare oporteat, pluribus poterat comprobari. Quia vero quæ superius dicta sunt ad id demonstrandum sufficiunt, grave molestumque putarim supervacaneam prolixamque ea de re orationem texere. Tuum de reliquo erit ostendere, an non ex commodo tuo fraus ea a nobis adhibita sit.

BASILIUS. Quod tandem, inquit, nobis lucrum ex tali vel œconomia vel sapientia, vel quomodo eam appellare libeat, ut persuasum nobis sit nos a te non fuisse deceptos?

CHRYSOSTOMUS. [I.] Ecquid, inquam, hoc lucro majus fuerit, quam si hæc agamus, quæ dilectionis erga

ἅπερ δείγματα τῆς εἰς τὸν Χριστὸν ἀγάπης αὐτὸς ἔφησεν εἶναι ὁ Χριστός; Πρὸς γὰρ τὸν κορυφαῖον τῶν ἀποστόλων διαλεγόμενος, « Πέτρε, φησίν, φιλεῖς με; » τούτου δὲ ὁμολογήσαντος, ἐπιλέγει, « Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. » Ἐρωτᾷ τὸν μαθητὴν ὁ διδάσκαλος, εἰ φιλοῖτο παρ' αὐτοῦ, οὐχ ἵνα αὐτὸς μάθῃ (πῶς γὰρ ὁ τὰς ἁπάντων ἐμβατεύων καρδίας;) ἀλλ' ἵνα ἡμᾶς διδάξῃ, ὅσον αὐτῷ μέλει τῆς τῶν ποιμνίων ἐπιστασίας τούτων. Τούτου δὲ ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερὸν, ὅτι πολὺς καὶ ἄφατος ἀποκείσεται μισθὸς τῷ περὶ ταῦτα πονουμένῳ, ἃ πολλοῦ τιμᾶται ὁ Χριστός. Εἰ γὰρ ἡμεῖς, ὅταν ἴδωμεν τῶν οἰκετῶν ἢ τῶν θρεμμάτων τῶν ἡμετέρων ἐπιμελουμένους τινὰς, τῆς περὶ ἡμᾶς ἀγάπης τὴν εἰς ἐκεῖνα σπουδὴν τιθέμεθα σημεῖον, καίτοι γε ταῦτα πάντα χρημάτων ἐστὶν ὠνητὰ, ὁ μὴ χρημάτων μηδὲ ἄλλου τινὸς τοιούτου, ἀλλ' ἰδίῳ θανάτῳ τὸ ποίμνιον πριάμενος τοῦτο, καὶ τιμὴν τῆς ἀγέλης τὸ αἷμα δοὺς τὸ ἑαυτοῦ, πόσῃ τοὺς ποιμαίνοντας αὐτὴν ἀμείψεται δωρεᾷ; Διά τοι τοῦτο εἰπόντος τοῦ μαθητοῦ, « Σὺ οἶδας, Κύριε, ὅτι φιλῶ σε », καὶ μάρτυρα τῆς ἀγάπης αὐτὸν τὸν ἀγαπώμενον καλέσαντος, οὐκ ἔστη μέχρι τούτου ὁ Σωτὴρ, ἀλλὰ καὶ τὸ τῆς ἀγάπης προσέθηκε σημεῖον. Οὐ γὰρ ὅσον ὁ Πέτρος αὐτὸν ἐφίλει, τότε ἐπιδείξαι ἐβούλετο (καὶ γὰρ ἐκ πολλῶν τοῦτο ἤδη ἡμῖν γέγονε δῆλον), ἀλλ' ὅσον αὐτὸς τὴν Ἐκκλησίαν ἀγαπᾷ τὴν ἑαυτοῦ, καὶ Πέτρον καὶ πάντας ἡμᾶς μαθεῖν ἠθέλησεν, ἵνα καὶ ἡμεῖς πολλὴν περὶ ταῦτα εἰσφέρωμεν τὴν σπουδήν. Διὰ τί γὰρ Υἱοῦ καὶ μονογενοῦς οὐκ ἐφείσατο ὁ Θεὸς, ἀλλ' ὃν μόνον εἶχεν ἐξέδωκεν; Ἵνα τοὺς ἐχθρωδῶς πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ, καὶ ποιήσῃ λαὸν περιούσιον. Διὰ τί καὶ τὸ αἷμα ἐξέχεεν; Ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείριζεν. Εἰκότως ἄρα καὶ δικαίως ἔλεγεν ὁ Χριστὸς, « Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ; » Πάλιν τὰ μὲν ῥήματα ἀποροῦντος, ὁ δὲ φθεγγόμενος αὐτὰ οὐκ ἀπορῶν ἐφθέγγετο· ἀλλ' ὥσπερ τὸν Πέτρον ἐρωτῶν, εἰ φιλοῖτο, οὐ μαθεῖν διόμενος τοῦ μαθητοῦ τὸν πόθον ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμενος τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν· οὕτω καὶ νῦν λέγων, « Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; » οὐ τὸν πιστὸν καὶ φρόνιμον ἀγνοῶν ἔλεγεν, ἀλλὰ παραστῆσαι θέλων τὸ τοῦ πράγματος σπάνιον, καὶ τῆς ἀρχῆς ταύτης τὸ μέγεθος. Ὅρα γοῦν καὶ τὸ ἔπαθλον ὅσον· « Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτὸν, » φησίν.

Ἔτι οὖν ἀμφισβητήσεις ἡμῖν τοῦ μὴ καλῶς ἡπατῆσθαι, πᾶσι μέλλων ἐπιστήσεσθαι τοῦ Θεοῦ τοῖς ὑπάρχουσι, καὶ ταῦτα πράττων, ἃ καὶ τὸν Πέτρον ποιοῦντα ἔφησε δυνήσεσθαι τῶν ἀποστόλων ὑπεραντίσαι τοὺς λοιπούς. « Πέτρε γὰρ, φησὶ, φιλεῖς με πλεῖον τούτων; Ποίμαινε τὰ πρόβατά μου. » Καίτοι γ' ἐνῆν εἰπεῖν πρὸς αὐτὸν, Εἰ φιλεῖς με, νηστείαν ἄσκει, γαμετὴν, ἀγρυπνίας συντόνους, προίστασο τῶν ἀδι-

Christum argumenta esse dixit ipse Christus, qui apostolorum coryphæum sic alloquitur: *Petre,* inquit (*Joan.* 21. 15), *amas me?* id illo confitente, adjungit: *Si amas me, pasce oves meas.* Interrogat discipulum Magister, num diligatur ab eo, non ut ediscat (quomodo enim ediscat qui omnium corda norit?), sed ut nos doceret, quantum cordi sibi esset hujusmodi gregis præfectura. Id cum palam sit, illud item manifestum erit, magnam fore mercedem laboranti in iis, quæ magno apud Christum in pretio sunt. Nam si, cum quosdam videmus famulorum vel pecorum nostrorum curam habere, sollicitudinem illam pro argumento amoris erga nos habemus, etiamsi illa omnia pecuniæ pretio emantur: qui non pecunia aut alio quopiam simili, sed propria morte hunc gregem emit, et pro ovilis pretio sanguinem dedit, quanto præmio pastores ejus remunerabit? Quamobrem cum dixisset discipulus, *Tu scis, Domine, quia amo te,* et dilectum ipsum in dilectionis testem vocasset: non hic stetit Servator, sed dilectionis argumentum adjecit. Non enim quantum Petrus se diligeret ostendere tunc volebat: nam id nobis ex multis argumentis jam palam erat; sed quantum ipse Ecclesiam diligeret suam, et Petrum et nos omnes edoceri voluit, ut magnam et nos hac in re sollicitudinem exhiberemus. Cur enim (*Rom.* 8. 32) Deus Filio suo unigenito non pepercit, sed quem unicum habebat tradidit? (*Joan.* 3. 16, 17) Ut eos qui inimico erga se animo essent sibi reconciliaret, et peculiarem sibi populum faceret. Cur sanguinem effudit? (*Tit.* 2. 14) Ut has emeret oves, quas Petro et successoribus ejus tradidit. Jure ergo dicebat Christus (*Matth.* 24. 45), *Quisnam est fidelis servus et prudens, quem constituet dominus ejus super domum suam?* Rursum verba dubitantis sunt, etsi qui loquitur nihil dubitans ea proferat: sed quemadmodum cum Petrum interrogaret num se diligeret, non ideo sciscitabatur quod vellet discipuli amorem explorare, sed ut proprii amoris magnitudinem declararet; ita et nunc cum dicit, *Quisnam est fidelis servus et prudens?* non hoc ait, quod ei ignotus sit fidelis ac prudens servus, sed quod ostendere velit quam rari sint hujusmodi servi, et quanta sit illius magistratus amplitudo. Vide itaque quantum sit præmium: *Super omnia,* inquit, *bona sua constituet eum.*

Etiamne igitur nunc nobiscum contendes quasi te male in fraudem injecerimus, cum omnibus Dei bonis præficiendus sis, illa agens, quæ si faciat Petrum dicit posse apostolos cæteros longe superare. Nam, *Petre,* inquit, *amas me plus his? Pasce oves meas.* [II.] Atqui poterat sic cum alloqui: Si amas me, jejunia exerce, humi cuba, vigilias cole, injuria affectis patrocinare, esto pupillis quasi pater,

κουμένων, γίνου ὀρφανοῖς ὡς πατὴρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. Νῦν δὲ ταῦτα πάντα ἀφεὶς, τί φησι; « Ποίμαινε τὰ πρόβατά μου. » Ἐκεῖνα μὲν γὰρ, ἃ προεῖπον, καὶ τῶν ἀρχομένων πολλοὶ δύναιντ' ἂν ἐπιτελεῖν ῥᾳδίως, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες· ὅταν δὲ Ἐκκλησίας προστῆναι δέῃ, καὶ ψυχῶν ἐπιμέλειαν πιστευθῆναι τοσούτων, πᾶσα μὲν ἡ γυναικεία φύσις παραχωρείτω τῷ μεγέθει τοῦ πράγματος, καὶ ἀνδρῶν δὲ τὸ πλέον· ἀγέσθωσαν δὲ εἰς μέσον οἱ πολλῷ τῷ μέτρῳ πλεονεκτοῦντες ἁπάντων, καὶ τοσοῦτον ὑψηλότεροι τῶν ἄλλων κατὰ τὴν τῆς ψυχῆς ὄντες ἀρετὴν, ὅσον τοῦ παντὸς ἔθνους Ἑβραίων κατὰ τὸ τοῦ σώματος μέγεθος ὁ Σαοὺλ, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Μὴ γάρ μοι μόνον ὑπερωμίας ἐνταῦθα ζητείσθω μέτρον· ἀλλ' ὅση πρὸς τὰ ἄλογα τῶν λογικῶν ἀνθρώπων ἡ διαφορὰ, τοσοῦτον τοῦ ποιμένος καὶ τῶν ποιμαινομένων ἑστω τὸ μέσον, ἵνα μὴ καὶ πλέον τι εἴπω· καὶ γὰρ περὶ πολλῷ μειζόνων ὁ κίνδυνος. Ὁ μὲν γὰρ πρόβατα ἀπολλὺς, ἢ λύκων ἁρπασάντων, ἢ λῃστῶν ἐπιστάντων, ἢ λοιμοῦ τινος ἢ καὶ ἄλλου συμπτώματος ἐπικεσόντος, τύχοι μὲν ἄν τινος καὶ συγγνώμης παρὰ τοῦ κυρίου τῆς ποίμνης· εἰ δὲ καὶ δίκην ἀπαιτοῖτο, μέχρι τῶν χρημάτων ἡ ζημία· ὁ δὲ ἀνθρώπους πιστευθεὶς, τὸ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, πρῶτον μὲν οὐκ εἰς χρήματα, ἀλλ' εἰς τὴν ἑαυτοῦ ψυχὴν τὴν ζημίαν ὑφίσταται ὑπὲρ τῆς τῶν προβάτων ἀπωλείας· ἔπειτα καὶ τὸν ἀγῶνα πολλῷ μείζονα καὶ χαλεπώτερον ἔχει. Οὐ γὰρ αὐτῷ πρὸς λύκους ἡ μάχη, οὐδὲ ὑπὲρ λῃστῶν δέδοικεν, οὐδ' ἵνα λοιμὸν ἀπελάσῃ τῆς ποίμνης φροντίζει, ἀλλὰ πρὸς τίνας ὁ πόλεμος; μετὰ τίνων ἡ πάλη; Ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. » Εἶδες πολεμίων πλῆθος δεινὸν, καὶ φάλαγγας ἀγρίας, οὐ σιδήρῳ πεφραγμένας, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκουμένας τῇ φύσει; Βούλει καὶ ἕτερον στρατόπεδον ἰδεῖν ἀπηνὲς καὶ ὠμὸν ταύτῃ προσεδρεῦον τῇ ποίμνῃ; καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ὄψει περιωπῆς. Ὁ γὰρ περὶ ἐκείνων ἡμῖν διαλεχθεὶς, οὗτος καὶ τούτους ἡμῖν ὑποδείκνυσι τοὺς ἐχθροὺς, οὐδέ πως λέγων· « Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔριδες, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ, φυσιώσεις, ἀκαταστασίαι, » καὶ ἕτερα τούτων πλείονα· οὐ γὰρ πάντα κατέλεξεν, ἀλλ' ἐκ τούτων ἀφῆκεν εἰδέναι καὶ τὰ λοιπά. Καὶ ἐπὶ μὲν τοῦ ποιμένος τῶν ἀλόγων οἱ βουλόμενοι διαφθεῖραι τὴν ἀγέλην, ὅταν ἴδωσι τὸν ἐφεστῶτα φεύγοντα, τὴν πρὸς ἐκεῖνον μάχην ἀφέντες, ἁρκοῦνται τῇ τῶν θρεμμάτων ἁρπαγῇ· ἐνταῦθα δὲ, κἂν ἅπασαν λάβωσι τὴν ποίμνην, οὐδ' οὕτω τοῦ ποιμένος ἀφίστανται, ἀλλὰ μᾶλλον ἐφεστήκασι, καὶ πλέον θρασύνονται· καὶ οὐ πρότερον παύονται

et matri eorum quasi maritus. Nunc vero his prætermissis omnibus, quid ait? *Pasce oves meas.* Illa enim quæ supra dixi ex subditis quoque multi facile præstare possint, non viri solum, sed etiam mulieres : at cum de Ecclesiæ præfectura deque concredenda tot animarum cura agitur, recedat a magnitudine tanti negotii totus femininus sexus, imo etiam virorum pars maxima; et agantur in medium qui magno intervallo cæteris omnibus antecellunt, et qui secundum animi virtutem cæteris tanto sublimiores sunt, quanto universa Hebræorum gente Saül secundum corporis proceritatem (1 *Reg.* 10. 23); imo et longe majori spatio. Ne mihi enim hic humerorum proceritatis mensura quæratur : sed quanta est inter bruta et rationabiles homines differentia, tantum inter pastorem et eos qui pascuntur sit intervallum, ne quid amplius dicam : nam de multo majoribus periculum est. Siquidem qui oves perdidit, aut lupis rapientibus, aut furibus instantibus, aut peste quadam, aut alio contingente casu, aliquam fortasse veniam a domino gregis impetraverit; sin pœnas ille exigat, pecunia tantum mulctabitur : at ille cui homines, rationabilis Christi grex, concrediti sunt, primo quidem pro ovium pernicie non pecuniarum, sed animæ suæ jacturam facit; deinde multo majus gravisque certamen habet. Non cum lupis ipsi pugna est, nec de furibus metuit, neque ut pestem abigat a grege sollicitus est; sed quibuscum bellum sit, et adversum quos lucta incunda, audi beatum Paulum dicentem (*Ephes.* 6. 12) : *Non est nobis lucta adversus sanguinem et carnem, sed adversus principatus, adversus potestates, adversus mundi rectores tenebrarum sæculi hujus, adversus spiritualia nequitiæ in cœlestibus.* Vidistin' inimicorum multitudinem ingentem, phalanges feroces non ferro munitas, sed quibus sufficit ad omnigenam armaturam ipsa natura? Vis et alium exercitum videre trucem et immanem, huic gregi insidiantem? ipsum quoque ex eadem specula conspicies. Nam qui de supra dictis verba fecit, is ipse et hos nobis hostes indicat his verbis (*Galat.* 5. 19 — 21) : *Manifesta sunt opera carnis : quæ sunt fornicatio, adulterium, immunditia, impudicitia, idolorum servitus, veneficium, inimicitiæ*, (2 *Cor.* 12. 20) *contentiones, æmulationes, iræ, rixæ, detractiones, susurri, animi tumores, dissensiones*, et alia his plura : neque enim omnia enumeravit, sed ex his nobis cætera reliquit intelligenda. Porro quod ad brutorum pastorem pertinet, qui gregem perdere volunt, ubi vident præfectum fugientem, non illum oppugnant, sed satis habent si pecora rapiant : hic vero, etsi totum gregem abripuerint, ne sic quidem a pastore abstinent, sed magis instant magisque ferociunt, nec prius finem faciunt

ται, ἕως ἂν ἢ καταβάλωσιν ἐκεῖνον, ἢ νικηθῶσιν αὐτοί. Πρὸς δὲ τούτοις τὰ μὲν τῶν προβάτων νοσήματα καθέστηκε φανερὰ, κἂν λιμὸς ᾖ, κἂν λοιμὸς, κἂν τραῦμα, κἂν ὁτιδηποτοῦν ἕτερον ἢ τὸ λυποῦν· οὐ μικρὸν δὲ τοῦτο δύναιτ' ἂν πρὸς τὴν τῶν ἐνοχλούντων ἀπαλλαγήν.

Ἔστι δέ τι καὶ ἕτερον τούτου μεῖζον, τὸ ποιοῦν ταχεῖαν τῆς ἀῤῥωστίας ἐκείνης τὴν λύσιν. Τί δὲ τοῦτό ἐστι; Μετὰ πολλῆς τῆς ἐξουσίας καταναγκάζουσι τὰ πρόβατα οἱ ποιμένες δέχεσθαι τὴν ἰατρείαν, ὅταν ἐκόντα μὴ ὑπομένῃ. Καὶ γὰρ δῆσαι εὔκολον, ὅταν καῦσαι δέῃ καὶ τεμεῖν, καὶ φυλάξαι ἔνδον ἐπὶ χρόνον πολὺν, ἡνίκα ἂν τοῦτο συμφέρῃ, καὶ ἑτέραν δὲ ἀνθ' ἑτέρας προσαγαγεῖν τροφὴν, καὶ ἀποκωλῦσαι ναμάτων, καὶ τὰ ἄλλα δὲ πάντα, ὅσαπερ ἂν δοκιμάσωσι πρὸς τὴν ἐκείνων ὑγίειαν συμβάλλεσθαι, μετὰ πολλῆς προσάγουσι τῆς εὐκολίας. Τὰς δὲ τῶν ἀνθρώπων ἀῤῥωστίας πρῶτον μὲν οὐκ ἔστιν ἀνθρώπῳ ῥᾴδιον ἰδεῖν· « Οὐδεὶς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. » Πῶς οὖν τις προσαγάγοι τῆς νόσου τὸ φάρμακον, ἧς τὸν τρόπον οὐκ οἶδε, πολλάκις δὲ μηδὲ εἰ τυγχάνοι νοσῶν δυνάμενος συνιδεῖν; Ἐπειδὰν δὲ καὶ καταφανὴς γένηται, τότε πλείονα αὐτῷ παρέχει τὴν δυσκολίαν. Οὐ γὰρ ἔστι μετὰ τοσαύτης ἐξουσίας ἄκοντας θεραπεύειν ἀνθρώπους, μεθ' ὅσης τὸ πρόβατον ὁ ποιμήν. Ἔστι μὲν γὰρ καὶ ἐνταῦθα καὶ δῆσαι, καὶ τροφῆς ἀπείρξαι, καὶ καῦσαι, καὶ τεμεῖν· ἀλλ' ἡ ἐξουσία τοῦ δέξασθαι τὴν ἰατρείαν οὐκ ἐν τῷ προσάγοντι τὸ φάρμακον, ἀλλ' ἐν τῷ κάμνοντι κεῖται. Τοῦτο γὰρ καὶ ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ συνιδὼς Κορινθίοις ἔλεγεν· « Οὐ γὰρ κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. » Μάλιστα μὲν γὰρ ἁπάντων Χριστιανοῖς οὐκ ἐφεῖται πρὸς βίαν ἐπανορθοῦν τὰ τῶν ἁμαρτανόντων πταίσματα. Ἀλλ' οἱ μὲν ἔξωθεν δικασταὶ τοὺς κακούργους ὅταν ὑπὸ τοῖς νόμοις λάβωσι, πολλὴν ἐπιδείκνυνται τὴν ἐξουσίαν, καὶ ἄκοντας τοῖς τρόποις κωλύουσι χρῆσθαι τοῖς αὑτῶν· ἐνταῦθα δὲ οὐ βιαζόμενον, ἀλλὰ πείθοντα δεῖ ποιεῖν ἀμείνω τὸν τοιοῦτον. Οὔτε γὰρ ἡμῖν ἐξουσία τοσαύτη παρὰ τῶν νόμων δέδοται πρὸς τὸ κωλύειν τοὺς ἁμαρτάνοντας, οὔτε, εἰ καὶ ἔδωκαν, εἴχομεν ὅπου καὶ χρησόμεθα τῇ δυνάμει, οὐ τοὺς ἀνάγκῃ τῆς κακίας, ἀλλὰ τῇ προαιρέσει ταύτης ἀπεχομένους στεφανοῦντος τοῦ Θεοῦ. Διὰ τοῦτο πολλῆς χρεία τῆς μηχανῆς, ἵνα πεισθῶσιν ἑκόντες ἑαυτοὺς ὑπέχειν ταῖς παρὰ τῶν ἱερέων θεραπείαις οἱ κάμνοντες, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ χάριν εἰδῶσι τῆς ἰατρείας αὐτοῖς. Ἄν τε γάρ ποτε σκιρτήσῃ δεθείς (κύριος δέ ἐστι τούτου), χεῖρον εἰργάσατο τὸ δεινόν· ἄν τε τοὺς σιδήρου δίκην τέμνοντας παραπέμψηται λόγους, προσέθηκε διὰ τῆς καταφρονήσεως τραῦμα ἕτερον, καὶ γέγονεν ἡ τῆς θεραπείας πρόφασις νόσου χαλεπωτέρας ὑπόθεσις. Ὁ γὰρ καταναγκάζων καὶ ἄκοντα θεραπεῦσαι δυνάμενος οὐκ ἔστι.

Τί οὖν ἄν τις ποιήσειε; καὶ γὰρ, ἂν πρᾴτερον

quam vel illum prostraverint, vel ipsi profligati fuerint. Ad hæc autem pecudum morbi manifesti sunt, sive fames sit, sive pestis, sive vulnus, sive aliud quidpiam dolorem pariens: id autem non modico adjumento est ad ægritudinis curationem.

Est et aliud hoc commodius ad quemvis morbum cito abigendum. Quid illud? Magna cum potestate pastores pecudes suas porrectam medicinam capere cogunt, etiamsi obsistant. Nam facile ligare possunt, si adustione, si sectione opus sit, et diu inclusas servare, si hoc fieri oporteat, et aliud pro alio pabulum offerre, et abigere a rivis aquarum; cæteraque omnia, quæ censuerint ad illarum incolumitatem conferre, nullo negotio admovent. [III.] At hominum infirmitates haud facile homo noverit: (1 *Cor.* 2. 11) ***Nullius enim hominum novit quæ sunt hominis, nisi spiritus hominis, qui est in illo.*** Qui igitur possit quispiam remedium admovere morbo, cujus modum non novit, cum etiam persæpe nec scire possit an ægrotet necne? Cum porro notus morbus est, tunc majus negotium facessit. Neque enim possunt inviti homines pari cum auctoritate et agendi libertate curari, ac pastor curat ovem. Hic enim perinde quidem poterit ligare, ab alimento abigere, urere, secare; sed potestas spiritualis medicinæ accipiendæ non penes illum est qui remedium admovet, sed penes *illum* qui morbo laborat. Hoc enim cum nosset admirandus ille vir, Corinthiis dicebat (2 *Cor.* 1. 23): *Non enim dominamur fidei vestræ, sed adjutores sumus gaudii vestri.* Christianis enim minime omnium licet delicta peccantium vi emendare. Exteri quidem judices facinorosos homines, qui secundum leges capti sunt, magna cum auctoritate cohibent, ac vel invitos a moribus pristinis arcent: hic autem non vi adactum, sed persuasum hujusmodi hominem oportet ad meliorem frugem revocare. Non enim tanta nobis facultas a legibus datur ad delinquentes coercendos; imo etiamsi dedissent, non possemus illa uti, quandoquidem Deus non eos coronat, qui vi abacti a nequitia abstinent, sed eos, qui ex libero proposito ab ea declinant. Quamobrem multa arte opus est, ut ægri sacerdotum remediis libenter se subjicere suadeantur: neque id solum, sed ut etiam illis medelæ gratiam habeant. Nam si quis vinctus resiliat (id enim penes ipsum est), gravius sibi malum efficit; si monentis verba, ferri more secantia, respuerit, contemtu suo aliud sibi vulnus adjicit, ac ex medelæ occasione vehementioris morbi causa nascitur: neque enim est qui vim afferat, nec qui curare invitum possit.

[IV.] Quid igitur agendum? Etenim si mitius agas cum

προσενεχθῇς τῷ πολλῆς ἀποτομίας δεομένῳ, καὶ μὴ δῷς βαθεῖαν τὴν τομὴν τῷ τοιαύτης χρείαν ἔχοντι, τὸ μὲν περιέκοψας, τὸ δὲ ἀφῆκας τοῦ τραύματος· κἂν ἀφειδῶς τὴν ὀφειλομένην ἐπαγάγῃς τομὴν, πολλάκις ἐπωγνοὺς πρὸς τὰς ἀλγηδόνας ἐκεῖνος, ἀθρόως πάντα ἀποῤῥίψας, καὶ τὸ φάρμακον καὶ τὸν ἐπίδεσμον, φέρων ἑαυτὸν κατακρήμνισε, συντρίψας τὸν ζυγὸν καὶ διαῤῥήξας τὸν δεσμόν. Καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν τοὺς εἰς ἔσχατα ἐξοκείλαντας κακὰ διὰ τὸ δίκην ἀπαιτηθῆναι τῶν ἁμαρτημάτων ἀξίαν. Οὐ γὰρ ἁπλῶς πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖ καὶ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μήποτε ῥάψαι τὸ διῤῥωγὸς βουλόμενος χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι καὶ τὸ πλέον τῇ τοῦ κόσμου προσδεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ῥᾳδίως μὲν καὶ κατὰ μικρὸν ἐν οἷς ἂν ἁμαρτάνωσιν ἐπιστρεφόμενοι, δύναιντ' ἂν, εἰ καὶ μὴ τέλεον, ἀλλὰ γοῦν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν· ἂν δὲ ἀθρόον τις ἐπαγάγῃ τὴν παίδευσιν, καὶ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. Ψυχὴ γὰρ ἐπειδὰν ἅπαξ ἀπαρυθριάσαι βιασθῇ, εἰς ἀναλγησίαν ἐκπίπτει, καὶ οὔτε προσηνέσιν εἶναι λόγοις λοιπὸν, οὔτε ἀπειλαῖς κάμπτεται, οὐκ εὐεργεσίαις προτρέπεται, ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν, « Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. » Διὰ τοῦτο πολλῆς δεῖ τῆς συνέσεως τῷ ποιμένι καὶ μυρίων ὀφθαλμῶν πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ, καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μείζονα ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς καταλλήλως τὰ παρ' αὐτοῦ προσάγειν τὸν ἱερώμενον, ἵνα μὴ μάταιος αὐτῷ γίνηται ἡ σπουδή.

Οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ τὰ ἀπερῥηγμένα μέλη τῆς Ἐκκλησίας συνάπτειν πολλὰ ἴδοι τις ἂν αὐτὸν ἔχοντα πράγματα. Ὁ μὲν γὰρ τῶν προβάτων ποιμὴν ἕξει τὸ ποίμνιον ἑπόμενον ᾗπερ ἂν ἡγῆται· εἰ δὲ καὶ ἐκτρέποιτό τινα τῆς εὐθείας ὁδοῦ, καὶ τὴν ἀγαθὴν ἀφέντα νομὴν λεπτόγεα καὶ ἀπόκρημνα βόσκοιτο χωρία, ἀρκεῖ βοήσαντα σφοδρότερον συνελάσαι πάλιν, καὶ εἰς τὴν ποίμνην ἐπαναγαγεῖν τὸ χωρισθέν· εἰ δὲ ἄνθρωπος τῆς εὐθείας ἀποπλανηθείη πίστεως, πολλῆς δεῖ τῷ ποιμένι τῆς πραγματείας, τῆς καρτερίας, τῆς ὑπομονῆς. Οὐ γὰρ ἑλκύσαι πρὸς βίαν ἔστιν, οὐδὲ ἀναγκάσαι φόβῳ, πείσαντα δὲ δεῖ πάλιν πρὸς τὴν ἀλήθειαν ἀγαγεῖν, ὅθεν ἐξέπεσε τὴν ἀρχήν.

eo qui magna sectione opus habet, neque profundam opus habenti plagam infligas, partem vulneris abstulisti, partem reliquisti; sin requisitam sectionem prorsus adhibueris, sæpe ille doloris impatientia animum despondens, omnibus confertim rejectis, tum medicina, tum ligamine, se ipsum præcipitem dabit, contrito jugo ac confracto vinculo. Equidem multos recensere possem in extrema mala deductos, quod ab eis pœna peccatis par exposceretur. Neque enim simpliciter ad peccatorum modum oportet et pœnam adhibere; sed peccantium propositum explorandum est, ne, dum quod scissum est consuere vis, deteriorem sciemram facias, neu, dum lapsum emendare studes, majorem ruinam pares. Nam qui infirmi sunt ac remissi, magisque mundi deliciis irretiti, quique ex genere et potentia altum sapere possunt, ii sensim paulatimque a peccandi consuetudine retrahi, ac si non penitus, partim saltem ab iis, quibus detinentur, malis liberari possint: quibus si confertim correptionem inducas, etiam minore illa emendatione privabis. Anima quippe, semel pudore amisso, in indolentiam labitur, neque blandis postea verbis paret, neque minis flectitur, nec beneficiis movetur; sed multo deterior efficitur illa civitate, quam propheta (*Jerem.* 3. 3) vituperans dicebat: *Facta est tibi frons meretricis, apud omnes inverecunde egisti.* Quocirca multa opus est pastori prudentia ac sexcentis oculis, ut undique animæ statum circumspiciat. Quemadmodum enim multi in arrogantiam extolluntur et in salutis suæ desperationem incidunt, quod acerbiora remedia pati nequeant: ita sunt et alii qui, quod pares peccatis suis pœnas luerint, in neglectum vertuntur, et multo deteriores evadunt, majoremque peccandi licentiam usurpant. Nihil itaque horum sine examine relinquendum est, sed omnibus rite exploratis sacerdos congruenter, quæ ad se pertinent, proferat oportet, ne vanam sollicitudinem adhibeat.

Neque hac in re tantum, sed etiam in abscissis Ecclesiæ membris conjungendis multis illum negotiis distendi videas. Nam ovium quidem pastor gregem habet sequentem quocumque duxerit: quodsi quæ oves de recta via deflectant, salubrique relicto pabulo sterilia atque abrupta loca depascant, satis est, si alius clamet, ut eas repetat et ad gregem reducat. At si quis a recta fide aberraverit, magnum pastori opus incumbit, magna eget perseverantia atque patientia. Neque enim potest vel vi retrahere, vel metu cogere; sed suasione oportet ad veritatem reducere, unde

Γενναίας οὖν δεῖ ψυχῆς, ἵνα μὴ περιακῇ, ἵνα μὴ ἀπογινώσκῃ τὴν τῶν πεπλανημένων σωτηρίαν, ἵνα συνεχῶς ἐκεῖνο καὶ λογίζηται καὶ λέγῃ, « Μήποτε δῷῃ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀπαλλαγῶσι τῆς τοῦ διαβόλου παγίδος. » Διὰ ταῦτα τοῖς μαθηταῖς ὁ Κύριος διαλεγόμενος ἔφη, « Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; » Ὁ μὲν γὰρ ἑαυτὸν ἀσκῶν εἰς ἑαυτὸν μόνον περιίστησι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος εἰς ἅπαντα διαβαίνει τὸν λαόν. Καὶ ὁ μὲν χρήματα διανέμων τοῖς δεομένοις, ἢ καὶ ἑτέρως πως ἀδικουμένοις ἀμύνων, ὤνησέ μέν τι καὶ οὗτος τοὺς πλησίον, τοσούτῳ δὲ ἔλαττον τοῦ ἱερέως, ὅσον τὸ μέσον σώματος πρὸς ψυχήν. Εἰκότως ἄρα τῆς εἰς αὐτὸν ἀγάπης τὴν περὶ τὰ ποίμνια σπουδὴν ὁ Κύριος ἔφησεν εἶναι σημεῖον.

ΒΑΣΙΛ. Σὺ δὲ, φησὶν, οὐ φιλεῖς τὸν Χριστόν;

ΧΡΥΣΟΣΤ. Καὶ φιλῶ, καὶ φιλῶν οὐ παύσομαί ποτε, δίδοικα δὲ μὴ παροξύνω τὸν φιλούμενον ὑπ' ἐμοῦ.

ΒΑΣΙΛ. Καὶ τί τούτου γένοιτ' ἂν αἴνιγμα, φησὶν, ἀσαφέστερον, εἰ ὁ μὲν Χριστὸς τὸν φιλοῦντα αὐτὸν ποιμαίνειν προσέταξε τὰ πρόβατα αὐτοῦ, σὺ δὲ διὰ τοῦτο φῂς οὐ ποιμαίνειν, ἐπειδὴ τὸν τοῦτο προστάξαντα φιλεῖς;

ΧΡΥΣΟΣΤ. Οὐκ ἔστιν αἴνιγμα, ἔφην, ὁ λόγος, ἀλλὰ καὶ λίαν σαφὴς καὶ ἁπλοῦς. Εἰ μὲν γὰρ ἱκανῶς ἔχων διοικῆσαι τὴν ἀρχὴν ταύτην, καθὼς ὁ Χριστὸς ἤθελεν, εἶτα ἀπέφυγον, ἔδει πρὸς τὸ παρ' ἐμοῦ λεγόμενον ἀπορεῖν· ἐπειδὴ δὲ ἄχρηστόν με πρὸς τὴν διακονίαν ταύτην ἡ τῆς ψυχῆς ἀσθένεια καθίστησι, ποῦ ζητήσεως ἄξιον τὸ λεγόμενον; Καὶ γὰρ δέδοικα μὴ τὴν ἀγέλην τοῦ Χριστοῦ σφριγῶσαν καὶ εὐτραφῆ παραλαβὼν, εἶτα ὑπὸ τῆς ἀπειρίας λυμηνάμενος, παροξύνω κατ' ἐμαυτοῦ τὸν οὕτως αὐτὴν ἀγαπήσαντα Θεὸν, ὡς ἑαυτὸν ἐκδοῦναι διὰ τὴν ταύτης σωτηρίαν τε καὶ τιμήν.

ΒΑΣΙΛ. Παίζων ταῦτα λέγεις, φησὶν· εἰ γὰρ σπουδάζων, οὐκ οἶδα πῶς ἂν ἑτέρως μᾶλλον ἡμᾶς ἀπέδειξας δικαίως ἀλγοῦντας, ἢ διὰ τῶν ῥημάτων τούτων, δι' ὧν ἀποκρούσασθαι τὴν ἀθυμίαν ἐσπούδασας. Ἐγὼ γὰρ καὶ πρότερον εἰδὼς ὅτι με ἠπάτησας καὶ προὔδωκας, νῦν πολλῷ πλέον, ὅτε τὰ ἐγκλήματα ἀπολύσασθαι ἐπεχείρησας, τοῦτο μανθάνω καὶ συνίημι καλῶς, οἵ τῶν κακῶν με ἦγαγες. Εἰ γὰρ διὰ τοῦτο σαυτὸν ὑπεξήγαγες τῆς τοιαύτης λειτουργίας, ὅτι σύνοιδας οὐκ ἀρκοῦσάν σου τὴν ψυχὴν πρὸς τὸν τοῦ πράγματος ὄγκον, ἐμὲ πρότερον ἐξελίσθαι ἐχρῆν, καὶ εἰ πολλὴν πρὸς τοῦτο τὴν ἐπιθυμίαν ἔχων ἐτύγχανον, μὴ ὅτι καὶ πᾶσαν τὴν ὑπὲρ τούτων ἐπέτρεψά σοι βουλήν· νῦν δὲ τὸ σαυτοῦ μόνον ἰδὼν τὸ ἡμέτερον παρεῖδες. Εἴθε μὲν οὖν παρεῖδες, καὶ ἀγαπητὸν ἂν ἦν· σὺ δὲ καὶ ὅπως εὐχείρωτοι γενώμεθα τοῖς βουλομένοις λαβεῖν, ἐπεβούλευσας. Οὐδὲ γὰρ εἰς ἐκεῖνο καταφυγεῖν ἔχοις ἄν, ὅτι ἡ τῶν πολλῶν δόξα ἠπάτησέν σε, καὶ μεγάλα τινὰ καὶ θαυμαστὰ περὶ ἡμῶν ὑποπτεύειν ἔπεισεν. Οὔτε γὰρ τῶν θαυμαζομένων καὶ ἐπισήμων ἡμεῖς, οὔτε, εἰ καὶ

initio excidit. Generoso itaque indiget animo, ne viribus deficiat, neu de errantium salute desperet, ut frequenter hæc cogitet et loquatur (2 *Tim.* 2. 25 et 26): *Nequando Deus det illis pœnitentiam ad cognoscendam veritatem, et liberentur a diaboli laqueo.* Propterea Dominus discipulos sic alloquebatur (*Matth.* 24, 45): *Quisnam fidelis servus et prudens?* Nam qui se ipsum exercet, in se solum utilitatem circumscribit: pastoralis autem officii lucrum ad universum populum manat. Sane qui pecunias egenis distribuit, aut alio modo læsis patrocinatur, in aliquo et ipse proximis prodest, tanto minus tamen quam sacerdos, quanto intervallo anima corpori præstat. Jure itaque Dominus curam gregis amoris erga se argumentum esse dixit.

BASIL. Tu vero, inquit, Christum non amas?

CHRYSOST. Et amo, et amandi finem nunquam faciam: at vereor ne, quem amo, eum irritem.

BASIL. Ecquod ænigma, inquit, obscurius fuerit, si Christus illum, qui se amet, oves suas pascere jubeat; tu vero dicas ideo nolle pascere, quia hoc præcipientem amas?

CHRYSOST. Non est, inquam, ænigma, imo res admodum clara et simplex. Nam si idoneus essem administrando muneri juxta Christi placitum, et tamen effugerem, argute posses dicta mea refellere: quia vero animi imbecillitas huic me officio inutilem constituit, quam objectionem verba mea patiuntur? Etenim vereor ne, si gregem Christi bene valentem ac vegetum accipiam, deindeque ipsum per imperitiam pessumdem, Deum adversum me irritem, qui ita ipsum amat, ut sese ipsum ad ejus salutem in pretium tradiderit.

BASIL. Ludens, inquit, hæc dicis: nam si serio, non video quomodo melius demonstrare volueris nos jure dolere, quam hisce verbis tuis, quibus mœrorem depellere studuisti. Ego enim licet prius noverim me per te deceptum ac proditum fuisse, nunc sane multo magis, quando objecta tibi crimina diluere conatus es, id edisco et probe intelligo, quo me tandem malorum induxeris. Nam si te ideo ab hoc ministerio subduxisti, quia animum tuum tantæ molis rei parem non esse sciebas, me prius ereptum oportuit, etiam si id summo studio ambivissem: ne dicam me tibi horum consilium penitus commisisse. Nunc vero rem solum tuam ob oculos habens, meam neglexisti. Atque utinam neglexisses! id sane optandum esset: verum tu, ut facilius a quærentibus caperer, insidias struxisti. Neque enim illud effugii tibi relinquitur, quod videlicet vulgi opinio te deceperit, et ad magna mirabiliaque de me existimanda deduxerit. Non enim inter admirandos et conspicuos censemur: neque, etiamsi res ita se habuisset, mul-

τοῦτο οὕτως ἔχον ἐτύγχανε, τὴν τῶν πολλῶν δόξαν τῆς ἀληθείας προτιμᾶσαι ἐχρῆν. Εἰ μὲν γὰρ μηδέποτέ σοι πεῖραν τῆς ἡμετέρας ἐδώκαμεν συνουσίας, ἐδόκει τις εἶναί σοι πρόφασις εὔλογος, ἀπὸ τῆς τῶν πολλῶν φήμης φέροντι τὴν ψῆφον· εἰ δὲ οὐδ' εἷς οὕτω τὰ ἡμέτερα οἶδεν, ἀλλὰ καὶ τῶν γεγεννηκότων καὶ θρεψαμένων αὐτῶν τὴν ἡμετέραν μᾶλλον ἐπίστασαι ψυχήν, τίς οὕτως ἔσται σοι λόγος πιθανὸς, ὡς δυνηθῆναι πεῖσαι τοὺς ἀκούοντας ὅτι οὐχ ἑκὼν ἡμᾶς εἰς τοῦτον ὦσας τὸν κίνδυνον; Ἀλλὰ γὰρ ταῦτα ἀφείσθω νῦν· οὐδὲ γὰρ ὑπὲρ τούτων σε ἀναγκάζομεν κρίνεσθαι· τί πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογησόμεθα, λέγε.

ΧΡΥΣΟΣΤ. Ἀλλ' οὐδὲ αὐτὸς πρότερον, ἔφην, ἐπ' ἐκεῖνα πορεύσομαι, ἕως ἂν διαλύσωμαι τὰ πρὸς σὲ, κἂν μυριάκις αὐτὸς ἡμᾶς τῶν ἐγκλημάτων ἀπολύειν ἐθέλῃς. Σὺ μὲν γὰρ ἔφης τὴν ἄγνοιαν ἡμῖν φέρειν συγγνώμην, καὶ πάσης ἂν ἡμᾶς ἀφεῖναι κατηγορίας, εἰ μηδὲν τῶν σῶν εἰδότες, εἶτά σε εἰς τὰ παρόντα ἠγάγομεν· ἐπειδὴ δὲ οὐχ ἀγνοοῦντας προδοῦναι, ἀλλ' ἀκριβῶς ἐπισταμένους τὰ σὰ, διὰ τοῦτο πᾶσαν ἡμῖν πρόφασιν εὔλογον καὶ ἀπολογίαν ἀνῃρῆσθαι δικαίαν. Ἐγὼ δὲ πᾶν τοὐναντίον φημί. Διὰ τί; Ὅτι τὰ τοιαῦτα πολλῆς δεῖται τῆς ἐξετάσεως, καὶ τὸν μέλλοντα παραδώσειν τὸν εἰς ἱερωσύνην ἐπιτήδειον οὐ δεῖ τῇ τῶν πολλῶν ἀρκεῖσθαι φήμῃ μόνον, ἀλλὰ μετ' ἐκείνης καὶ αὐτὸν μάλιστα πάντων καὶ πρὸ πάντων ἐξητακέναι τὰ ἐκείνου. Καὶ γὰρ ὁ μακάριος Παῦλος εἰπὼν, « Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν ἔχειν καλὴν ἀπὸ τῶν ἔξωθεν, » οὐκ ἀναιρεῖ τὴν ἀκριβῆ καὶ βεβασανισμένην ἔρευναν, οὐδ' ὡς προηγούμενον τεκμήριον τοῦτο τίθησι τῆς τῶν τοιούτων δοκιμασίας. Καὶ γὰρ πολλὰ πρότερον διαλεχθεὶς, ὕστερον τοῦτο προσέθηκε, δεικνὺς ὡς οὐκ αὐτῷ μόνον ἀρκεῖσθαι δεῖ πρὸς τὰς τοιαύτας αἱρέσεις, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ αὐτὸ παραλαμβάνειν χρή. Συμβαίνει γὰρ πολλάκις τὴν τῶν πολλῶν ψεύδεσθαι δόξαν· τῆς δὲ ἀκριβοῦς ἐξετάσεως ἡγησαμένης, οὐδένα ἐκ ταύτης κίνδυνον ἔστιν ὑποπτεῦσαι λοιπόν. Διὰ τοῦτο μετὰ τὰ ἄλλα τὸ παρὰ τῶν ἔξωθεν αὐτοῦ τίθησιν. Οὐ γὰρ ἁπλῶς ἔφησε, « Δεῖ δὲ αὐτὸν μαρτυρίαν ἔχειν καλὴν, » ἀλλὰ τὸ « καὶ παρὰ τῶν ἔξωθεν » παρενέβαλε, δηλῶσαι βουλόμενος ὅτι πρὸ τῆς τῶν ἔξωθεν φήμης πρὸς ἀκρίβειαν αὐτὸν διερευνήσασθαι χρή. Ἐπεὶ οὖν καὶ αὐτὸς ᾔδειν τὰ σὰ τῶν γεγεννηκότων μᾶλλον, ὡς καὶ αὐτὸς ὡμολόγησας, διὰ τοῦτο δίκαιος ἂν εἴην πάσης ἀρεῖσθαι αἰτίας.

ΒΑΣΙΛ. Δι' αὐτὸ μὲν οὖν τοῦτο, φησὶν, οὐκ ἂν ἔφυγες, εἴ τις σε γράφεσθαι ἤθελεν. Ἢ οὐ μέμνησαι καὶ παρ' ἡμῶν ἀκούσας πολλάκις καὶ διὰ τῶν ἔργων αὐτῶν διδαχθεὶς τὸ τῆς ψυχῆς ἀγεννὲς τῆς ἐμῆς; οὐ διὰ τοῦτο εἰς μικροψυχίαν ἡμᾶς διετέλεις σκώπτων ἀεὶ, ὅτι καὶ ταῖς τυχούσαις φροντίσι καταπίπτομεν εὐκόλως;

ΧΡΥΣΟΣΤ. Μέμνημαι μὲν καὶ ταῦτα πολλάκις, ἔφην, ἀκούσας παρὰ σοῦ τὰ ῥήματα, καὶ οὐκ ἂν ἀρνηθείην· ἐγὼ δέ σε εἴ ποτε ἔσκωπτον, παίζων, οὐκ

torum opinio veritati anteponenda fuisset. Nam si tibi nunquam per nos antea licuisset, ut consuetudinis nostræ periculum faceres, color aliquis adesse tibi videretur, cum ex vulgi fama sententiam ferres; sin autem nullus perinde atque tu nostra novit, imo nostrum animum melius quam ipsi parentes et eductores perspectum habes, qua tam probabili oratione utaris, ut possis auditoribus persuadere, te nos in tantum periculi non ultro conjecisse? Verum hæc nunc missa faciamus: non enim te cogimus his de causis jus dicere: qua defensione contra accusatores utemur? dic sodes.

CHRYSOST. Certe non prius, inquam, ad illa me vertam, quam ea diluero, quæ ad te spectant, etiamsi sexcenties tu ipse criminibus me exsolvas. Ignorantiam enim dixisti veniam nobis afferre, et omni nos criminatione liberos fore, si rerum tuarum ignari, te in præsentem statum deduxissemus; quia vero te non ignorantes prodidisse dicis, sed tua apprime callentes, ideo omnem nobis auferri excusationis et congruentis apologiæ ansam. At ego contrarium prorsus dico. Quare? Quia hæc multo egent examine. Sane eum qui ad sacerdotium quempiam tradere velit, non oportet sola vulgi opinione contentum esse, sed ut cum illa suam præ omnibus addat opus est, utque in primis illius facultates exploratas habeat. Nam beatus Paulus cum dixit (1 *Tim.* 3. 7), *Oportet autem illum et testimonium habere bonum ab iis qui foris sunt*, nequaquam tollit accuratum probatumque examen, nec ut præcipuum ejus probationis signum id proponit. Etenim multis antea præmissis tandem hoc addidit, ut ostenderet, non hunc tantum calculum sufficere ad tales electiones, sed cum aliis tamen requiri. Sæpe namque evenit ut vulgi opinio falsa sit: præeunte autem accurato examine, nihil postea periculi ex ea suspicari licet: ideoque post alia illic hoc exterorum testimonium posuit. Neque enim simpliciter dixit, *Oportet autem illum et testimonium habere bonum*; sed interposuit, *Etiam ab iis qui foris sunt*, ut palam faceret, exterorum opinioni et famæ præire debere accuratum examen proprium. Quoniam igitur ego quem te spectabant plus quam parentes tui, ut ipse fateris, noveram, ideo dignus sum qui ab omni crimine liber dimittar.

BASIL. Non ideo effugeris, inquit, si te quispiam accusare velit. Annon meministi te a nobis sæpe audiisse, et ab ipsis operibus edidicisse quam parum generosi sim animi? annon mihi sæpe ridendo pusillanimitatem exprobrabas, quod vel leviusculis curis facile dejicerer?

CHRYSOST. Memini sane me sæpe hoc abs te audire, neque infitias eo. Ego vero si quando cavillabar, joco, non serio, id agebam. Attamen non ea de re nunc con-

ἀληθεύων τοῦτο ἐποίουν. Ἀλλ' ὅμως οὐδὲν ὑπὲρ τούτων φιλονεικῶ νῦν, ἀξιῶ δὲ καὶ σεαυτὸν τὴν ἴσην μοι παρασχεῖν εὐγνωμοσύνην, ὅταν θελήσω τινὸς ἐπιμνησθῆναι τῶν σοι προσόντων ἀγαθῶν. Κἂν γὰρ ἐπιχειρήσῃς ἡμᾶς ἀπελέγξαι ψευδομένους, οὐ φεισόμεθα, ἀλλ' ἀποδείξομεν μετριάζοντά σε μᾶλλον ἢ πρὸς ἀλήθειαν ταῦτα φθεγγόμενον, ἑτέρῳ μὲν οὐδενί, τοῖς δὲ λόγοις τοῖς σοῖς καὶ ταῖς πράξεσι μάρτυσι χρώμενοι πρὸς τὴν τῶν λεγομένων ἀλήθειαν. Πρῶτον δέ σε ἐκεῖνο ἐρέσθαι βούλομαι· οἶσθα πόση τῆς ἀγάπης ἡ δύναμις; Ὁ μὲν γὰρ Χριστὸς τὰ τεράστια πάντα ἀφεὶς, ἅπερ ἔμελλεν ὑπὸ τῶν ἀποστόλων τελεῖσθαι, « Ἐν τούτῳ, φησὶ, γνώσονται οἱ ἄνθρωποι ὅτι ἐμοί ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους· » ὁ δὲ Παῦλος πλήρωμα τοῦ νόμου φησὶν αὐτὴν εἶναι, καὶ ταύτης ἀπούσης οὐδὲν εἶναι τῶν χαρισμάτων ὄφελος. Τοῦτο δὴ τὸ ἐξαίρετον ἀγαθὸν, τὸ γνώρισμα τῶν τοῦ Χριστοῦ μαθητῶν, τὸ τῶν χαρισμάτων ἀνωτέρω κείμενον, εἶδον γενναίως ἐν τῇ σῇ πεφυτευμένον ψυχῇ, καὶ πολλῷ βρύον τῷ καρπῷ.

Καὶ ὁ ΒΑΣΙΛ., Ὅτι μὲν πολλή μοι, φησὶ, τοῦ πράγματος ἡ φροντὶς, καὶ μεγίστην ποιοῦμαι τὴν σπουδὴν ὑπὲρ ταύτης τῆς ἐντολῆς, καὶ αὐτὸς ὁμολογῶ· ὅτι δὲ οὐδὲ ἐξ ἡμισείας αὐτὴν διηνύσαμεν, καὶ αὐτὸς ἂν μοι μαρτυρήσαις, εἰ τὸ πρὸς χάριν λέγειν ἀφεὶς τιμῆσαι τἀληθὲς βουληθείης.

ΧΡΥΣΟΣΤ. Οὐκοῦν ἐπὶ τοὺς ἐλέγχους τρέψομαι, ἔφην, καὶ ὅπερ ἠπείλησα, ποιήσω νῦν, μετριάζειν μᾶλλον ἢ ἀληθεύειν βουλόμενον ἀποδείξας. Ἐρῶ δὲ πρᾶγμα ἄρτι συμβεβηκὸς, ἵνα μή τις ὑποπτεύσῃ τὰ παλαιά με διηγούμενον τῷ πλήθει τοῦ χρόνου τἀληθὲς ἐπισκιάζειν ἐπιχειρεῖν, τῆς λήθης οὐκ ἀφιείσης ἐπισκῆψαι τοῖς πρὸς χάριν λεγομένοις παρ' ἡμῶν. Ὅτε γὰρ τῶν ἐπιτηδείων τις τῶν ἡμετέρων ἐπ' ἐγκλήμασιν ὕβρεως καὶ ἀπονοίας συκοφαντηθεὶς περὶ τῶν ἐσχάτων ἐκινδύνευε, τότε οὔτε ἐγκαλοῦντός σοί τινος, οὔτε ἐκείνου τοῦ κινδυνεύειν μέλλοντος δεηθέντος, εἰς μέσους σαυτὸν ἔρριψας τοὺς κινδύνους. Καὶ τὸ μὲν ἔργον τοῦτο ἦν· ἵνα δέ σε καὶ ἀπὸ τῶν ῥημάτων ἐλέγξωμεν, καὶ αὐτῶν τῶν εἰρημένων σοι μνημονεύσωμεν· ἐπειδὴ γὰρ τὴν προθυμίαν ταύτην οἱ μὲν οὐκ ἀπεδέχοντο, οἱ δὲ ἐπῄνουν καὶ ἐθαύμαζον, Καὶ τί πάθω; πρὸς τοὺς ἐγκαλοῦντας ἔφης· ἑτέρως γὰρ οὐκ οἶδα φιλεῖν, ἀλλ' ἢ μετὰ τοῦ καὶ τὴν ψυχὴν ἐκδιδόναι τὴν ἑμαυτοῦ, ἡνίκα ἂν τινα τῶν ἐπιτηδείων κινδυνεύοντα διασῶσαι δέῃ· ῥήμασι μὲν ἑτέροις, διανοίᾳ δὲ τῇ αὐτῇ τὰ τοῦ Χριστοῦ φθεγγόμενος, ἃ πρὸς τοὺς μαθητὰς ἔλεγε, τῆς τελείας ἀγάπης τοὺς ὅρους τιθείς· « Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, φησὶν, ἢ ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Εἰ τοίνυν μείζονα ταύτης οὐκ ἔστιν εὑρεῖν, ἐπὶ τὸ τέλος αὐτῆς ἔφθασας, καὶ δι' ὧν ἔπραξας, καὶ δι' ὧν εἶπας, τῆς κορυφῆς ἐπέβης αὐτῆς. Διὰ τοῦτό σε προυδώκαμεν, διὰ τοῦτο τὸν δόλον ἐρράψαμεν ἐκεῖνον. Ἆρά σε πείθομεν ὅτι οὔτε

tendam; rogo te autem eamdem mihi præstes ingenuitatem, ubi virtutum tuarum mentionem faciam. Etenim si coneris nos mendacii arguere, tibi non parcemus, sed ostendemus te modestiæ potius, quam veritatis causa hæc verba fecisse, non aliis quam tuis verbis et factis maurpatis ad rem confirmandam testibus. [V.] Atque primum abs te quærere volo : Nostin' quanta sit vis charitatis? Etenim Christus, missis prodigiis omnibus, quæ ab apostolis edenda erant, *In hoc*, inquit (*Joan.* 13. 35) *cognoscent homines quia discipuli mei estis, si dilectionem habueritis ad invicem.* Paulus vero ait (*Rom.* 13. 10) illam esse legis plenitudinem, sine qua charismata nihil prosunt. Illud sane eximium bonum, discipulorum Christi signum, quod ipsis charismatibus superius est, vidi in animo tuo generose insitum, copiosumque fructum emittere.

Tum BASILIUS : Mihi hanc rem summopere curæ esse, maximamque me sollicitudinem in hoc implendo præcepto ponere, ipse quoque fateor : quod autem ne dimidium quidem ejus assequutus sim, tu mihi testis eris, si non ad gratiam, sed secundum rei veritatem loqui volueris.

CHRYSOST. Igitur ad argumenta me vertam, et quod comminatus sum nunc præstabo, ut ostendam te modestiam quam veritatem magis curasse. Remque narrabo nuper gestam, ne quis, si vetera recenseam, suspicetur me temporis diuturnitate veritatem oblegere, oblivione rei non permittente refellere ea quæ ad gratiam a nobis dicerentur. [VI.] Cum enim quidam ex familiaribus nostris contumeliæ et arrogantiæ per calumniam accusatus, in extremo periculo esset : tunc nemine te incusante, nec rogante illo qui periclitabatur, in medium te periculum conjecisti. Hoc tu factum edidisti. Ut autem te ex verbis quoque tuis arguamus, dicta tibi in mentem revocemus : cum hanc animi tui generositatem alii non approbarent, alii laudarent ac mirarentur, accusatoribus tuis dixisti : Ecquid agam? aliter amare non didici, nisi ut vitam meam exponam, cum periclitantem amicum servare opus est : aliis quidem verbis, sed eodem sensu, Christi dicta loquutus, quibus ille discipulis perfectæ charitatis terminos posuit : nam *Majorem hac*, inquit (*Joan.* 15. 13), *charitatem nemo habet, quam ut animam suam quis ponat pro amicis suis.* Igitur si major hac inveniri non potest, ad finem ejus pervenisti, ac gestis dictisque tuis ipsius culmen attigisti. Ideo te prodidimus, ideo dolum hujusmodi concinnavimus. Num tibi persuadebimus,

ἐκ κακονοίας, οὔτε εἰς κίνδυνον ἐμβαλεῖν βουλόμενοι, ἀλλὰ χρήσιμον ἔσεσθαι εἰδότες, εἰς τὸ στάδιον εἵλκομεν τοῦτο;

ΒΑΣΙΛ. Εἶτα ἀρκεῖν οἴει, φησὶ, πρὸς τὴν τῶν πλησίον διόρθωσιν τὴν τῆς ἀγάπης δύναμιν;

ΧΡΥΣΟΣΤ. Μάλιστα μὲν πολὺ μέρος, ἔφην, πρὸς τοῦτο συμβάλλεσθαι δύναιτ' ἄν· εἰ δὲ βούλει καὶ τῆς φρονήσεως ἡμᾶς τῆς σῆς δείγματα ἐξενεγκεῖν, καὶ ἐπὶ ταύτην βαδιούμεθα, καὶ δείξομεν συνετὸν ὄντα μᾶλλον ἢ φιλόστοργον.

Ἐπὶ τούτοις ἐρυθριάσας ἐκεῖνος καὶ φοινιχθεὶς (ΒΑΣΙΛ.), Τὰ μὲν ἡμέτερα, φησὶ, παρείσθω νῦν· οὐδὲ γὰρ παρὰ τὴν ἀρχήν σε τὸν ὑπὲρ τούτων λόγον ἀπῄτουν· εἰ δέ τι πρὸς τοὺς ἔξωθεν δίκαιον ἔχεις εἰπεῖν, ἡδέως ἂν τοὺς ὑπὲρ τούτων ἀκούοιμι λόγους. Διὸ τὴν σκιαμαχίαν ταύτην ἄφεις, εἰπέ τί πρὸς τοὺς λοιποὺς ἀπολογησόμεθα, καὶ τοὺς τετιμηκότας καὶ τοὺς ὑπὲρ ἐκείνων ὡς ὑβρισμένων ἀλγοῦντας.

ΧΡΥΣΟΣΤ. Καὶ αὐτὸς λοιπὸν, ἔφην, πρὸς τοῦτο ἐπείγομαι. Ἐπειδὴ γὰρ ὁ πρός σέ μοι διήνυσται λόγος, εὐκόλως καὶ ἐπὶ τοῦτο τρέψομαι τῆς ἀπολογίας τὸ μέρος. Τίς οὖν ἡ τούτων κατηγορία, καὶ τίνα τὰ ἐγκλήματα; Ὑβρίσθαι φασὶν ὑφ' ἡμῶν καὶ δεινὰ πεπονθέναι, ὅτι τὴν τιμὴν, ἣν τιμῆσαι ἠθέλησαν, οὐκ ἐδεξάμεθα. Ἐγὼ δὲ πρῶτον μὲν ἐκεῖνό φημι, ὅτι οὐδένα λόγον ποιεῖσθαι δεῖ τῆς εἰς ἀνθρώπους ὕβρεως, ὅταν διὰ τῆς εἰς ἐκείνους τιμῆς ἀναγκαζώμεθα προσκρούειν Θεῷ. Οὐδὲ γὰρ τοῖς ἀγανακτοῦσιν αὐτοῖς τὸ δυσχεραίνειν ἐπὶ τούτοις ἀκίνδυνον φαίην ἄν, ἀλλὰ καὶ πολλὴν ἔχειν τὴν ζημίαν. Δεῖ γὰρ, οἶμαι, τοὺς ἀνακειμένους Θεῷ, καὶ πρὸς αὐτὸν βλέποντας μόνον, οὕτω διακεῖσθαι εὐλαβῶς, ὡς μηδὲ ὕβριν τὸ τοιοῦτο ἡγεῖσθαι, καὶ εἰ μυριάκις ἠτιμασμένοι τυγχάνοιεν. Ὅτι δὲ οὐδὲ μέχρι ἐννοίας τετόλμηταί τι τοιοῦτον ἐμοὶ, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ ἀπονοίᾳ καὶ φιλοδοξίᾳ, ὡς πολλάκις ἔφης τινὰς διαβάλλειν, ἐπὶ τοῦτο ἦλθον ἐγὼ, ψηφίσασθαι [δεῖ] τοῖς κατηγόροις, [ὡς] τῶν τὰ μέγιστα ἠδικηκότων ἂν εἴην, ἀνδρῶν καταφρονήσας θαυμαστῶν καὶ μεγάλων, καὶ πρὸς τούτοις εὐεργετῶν. Εἰ γὰρ τὸ τοὺς μηδὲν ἠδικηκότας ἀδικεῖν κολάσεως ἄξιον, [*] τοὺς τιμᾶσαι προελομένους ἀφ' ἑαυτῶν; Οὐδὲ γὰρ τοῦτο ἔχοι τις ἂν εἰπεῖν, ὅτι εὖ παθόντες ἢ μικρὸν ἢ μέγα παρ' ἐμοῦ, τῶν εὐεργεσιῶν ἐκείνων ἐξέτισαν τὰς ἀμοιβάς. Πόσης οὖν οὐκ ἂν εἴη τιμωρίας ἄξιον, τοῖς ἐναντίοις ἀμείβεσθαι; Εἰ δὲ τοῦτο μὲν οὐδὲ εἰς νοῦν ἐβαλόμεθά ποτε, μεθ' ἑτέρας δὲ προαιρέσεως τὸ βαρὺ φορτίον ἐξεκλίναμεν, τί παρέντες συγγινώσκειν, εἴ γε ἀποδέχεσθαι μὴ βούλοιντο, ἐγκαλοῦσιν ὅτι τῆς ἑαυτῶν ἐφεισάμεθα ψυχῆς; Ἐγὼ γὰρ τοσοῦτον ἀπέσχον εἰς τοὺς ἄνδρας ὑβρίσαι ἐκείνους, ὅτι καὶ τετιμηκέναι αὐτοὺς φαίην ἂν τῇ παραιτήσει. Καὶ μὴ θαυμάσῃς, εἰ παράδοξον τὸ λεγόμενον· ταχεῖαν γὰρ καὶ τούτου τὴν λύσιν ἐπάξομεν. Τότε μὲν γὰρ, εἰ καὶ μὴ πάντες, ἀλλ' οἷς τὸ κακῶς ἀγορεύειν ἡδὺ,

nos non ex malevolentia, non ut te in periculum conjiceremus, sed quod id utile fore sciremus, te in hoc stadium pertraxisse?

BASIL. An tu ad proximorum emendationem vim charitatis satis esse putas?

CHRYSOST. Maxime quidem et magna ex parte ad id conferre charitas possit. Quodsi velis ut prudentiæ quoque tuæ specimina proferamus, ad hoc etiam me conferam, ostendamque te prudentia vel magis valere quam charitate.

Ad hæc ille pudore ruboreque affectus (BASIL.), Quæ me, inquit, spectant nunc missa faciamus: neque enim ab initio horum abs te rationem exigebam. Si quid porro habes quod exteris congruenter opponere possis, id vero libenter audiam. Quapropter missa hac umbratili pugna, dic quam excusationem cæteris afferemus, scilicet iis qui nos honore affecerunt, necnon aliis qui illorum tamquam injuria affectorum vicem dolent.

CRYSOST. [VII.] Equidem ad id, inquam, jam propero; quandoquidem enim rationis apud te reddendæ finem feci, ad hanc apologiæ partem facile me vertam. Quænam igitur horum accusatio, quæ crimina? Se contumelia affectos et gravia passos queruntur, quia honorem, quo nos ornare volebant, non accepimus. Ego vero primum dicam, nos de contumeliis hominibus illatis nihil curare debere, cum per illatum eis honorem in Dei offensionem incurrere cogimur. Neque enim dixerim eos ipsos qui indignantur, cum eam rem moleste ferunt, periculo vacare, imo vero magnam hac re afferri pœnam. Illos quippe, qui Deo addicti sunt, et ad ipsum solum respiciunt, ita placide affectos esse debere censeo, ut id non pro contumelia habeant, etiamsi sexcenties sic inhonorentur. Quod vero similis ausus ne in mentem quidem mihi unquam venerit, hinc liquidum erit. Nam si fastu vel vanæ gloriæ cupidine, ut sæpe dixisti nonnullos calumniari, ad id deductus sum, accusatoribus adstipulandum est maximam me injuriam commisisse, qui admirandos et conspicuos illos, præterea mihi beneficos contemserim. Etenim si nihil lædentes injuria afficere supplicio dignum est, *quanto magis* eos qui honorem nobis ultro conferre volunt? Neque enim dicere quis possit, ipsos vel parvo vel magno beneficio a me affectos vicem rependere voluisse. Quanto igitur supplicio dignus esset qui adversa rependeret? Sin autem id ne cogitavimus quidem, sed alio longe consilio grave onus declinavimus: quorsum illos, quibus si non approbationem, saltem veniam dare debuissent, criminantur, quod animæ pepercerimus nostræ? Tantum enim abest ut viris illis contumeliam irrogaverim, ut etiam recusando ipsos honore affecisse me putem. Neque vero paradoxum me dixisse putaveris; etenim hujus quoque explicationem mox proferam. [VIII.] Tunc enim, si minus omnes, saltem ii qui maledictis delectan-

πολλὰ ἂν εἶχον καὶ ὑποπτεῦσαι καὶ εἰπεῖν περί τε τοῦ χειροτονηθέντος ἐμοῦ, περί τε τῶν ἑλομένων ἐκείνων· οἷον ὅτι πρὸς πλοῦτον βλέπουσιν, ὅτι λαμπρότητα γένους θαυμάζουσιν, ὅτι κολακευθέντες ὑφ' ἡμῶν εἰς τοῦτο ἡμᾶς παρήγαγον· εἰ δὲ καὶ ὅτι χρήμασι πεισθέντες, οὐκ ἔχω λέγειν, εἴ τις καὶ τοῦτο ὑποπτεύσων ἦν. Καὶ ὁ μὲν Χριστὸς ἁλιεῖς καὶ σκηνοποιοὺς καὶ τελώνας ἐπὶ ταύτην ἐκάλεσε τὴν ἀρχήν· οὗτοι δὲ τοὺς μὲν ἀπὸ τῆς ἐργασίας τῆς καθημερινῆς τρεφομένους διαπτύουσιν· εἰ δέ τις λόγων ἅψαιτο τῶν ἔξωθεν καὶ ἀργῶν τρέφοιτο, τοῦτον ἀποδέχονται καὶ θαυμάζουσι. Τί γὰρ δήποτε τοὺς μὲν μυρίους ἀναισχομένους ἑδρῶτας εἰς τὰς τῆς Ἐκκλησίας χρείας παρεῖδον, τὸν δὲ οὐδέποτε τοιούτων γευσάμενον πόνων, πᾶσαν δὲ τὴν ἡλικίαν ἐν τῇ τῶν ἔξωθεν λόγων ματαιοπονίᾳ καταναλώσαντα, ἐξαίφνης εἰς ταύτην εἵλκυσαν τὴν τιμήν; Ταῦτα καὶ πλείονα τούτων λέγειν εἶχον ἄν, ὀξαμένων ἡμῶν τὴν ἀρχήν. Ἀλλ' οὐ νῦν· πᾶσα γὰρ αὐτοῖς κακηγορίας ἐκκόπτεται πρόφασις, καὶ οὔτε ἐμοὶ κολακείαν, οὔτε μισθαρνίαν ἐκείνοις ἔχουσιν ἐγκαλεῖν, πλὴν εἴ τινες ἁπλῶς μαίνεσθαι βούλοιντο. Πῶς γὰρ ὁ κολακεύων καὶ χρήματα ἀναλίσκων, ἵνα τύχῃ τῆς τιμῆς, ἡνίκα ἔδει τυχεῖν, ἑτέροις ἂν ἀφῆκεν αὐτήν; Ὅμοιον γὰρ ἂν εἴη τοῦτο, ὥσπερ ἂν εἴ τις πολλοὺς περὶ τὴν γῆν ἀνασχόμενος πόνους, ἵνα βρίθηται μὲν αὐτῷ τὸ ληΐον πολλῷ τῷ καρπῷ, οἴνῳ δὲ ὑπερβλύζωσιν αἱ ληνοί, μετὰ τοὺς μυρίους ἱδρῶτας καὶ τὴν πολλὴν τῶν χρημάτων δαπάνην, ἡνίκα ἂν καλαμᾶσθαι καὶ τρυγᾶν δέῃ, τηνικαῦτα ἑτέροις τῆς τῶν καρπῶν ἑκταίη φορᾶς. Ὁρᾷς ὅτι τότε μὲν εἰ καὶ πόρρω τῆς ἀληθείας ἦν τὰ λεγόμενα, ἀλλ' ὅμως εἶχον πρόφασιν οἱ βουλόμενοι διαβάλλειν αὐτούς, ὡς οὐκ ὀρθῇ κρίσει λογισμῶν τὴν αἵρεσιν πεποιημένους; Ἡμεῖς δὲ αὐτοῖς νῦν οὐδὲ χᾶναι οὐδὲ ἁπλῶς διᾶραι τὸ στόμα συνεχωρήσαμεν. Καὶ τὰ μὲν παρὰ τὴν ἀρχὴν λεγόμενα τοιαῦτα ἂν ἦν καὶ τούτων πλείονα· μετὰ δὲ τὸ τῆς διακονίας ἅψασθαι οὐκ ἂν ἠρκέσαμεν καθ' ἑκάστην ἡμέραν τοῖς ἐγκαλοῦσιν ἀπολογούμενοι, εἰ καὶ πάντα ἡμῖν ἀναμαρτήτως ἐπράττετο, μὴ ὅτι καὶ πολλὰ διαμαρτεῖν ὑπό τε τῆς ἀπειρίας καὶ τῆς ἡλικίας ἠναγκάσθημεν ἄν. Νῦν δὲ καὶ ταύτης αὐτοὺς τῆς κατηγορίας ἀπηλλάξαμεν, τότε δὲ μυρίοις ἂν αὐτοὺς περιεβάλομεν ὀνείδεσι. Τί γὰρ οὐκ ἂν εἶπον; παισὶν ἀνοήτοις πράγματα οὕτω θαυμαστὰ καὶ μεγάλα ἐπέτρεψαν, ἐλυμήναντο τοῦ Θεοῦ τὸ ποίμνιον, παίγνια καὶ γέλως γέγονε τὰ Χριστιανῶν. Ἀλλὰ νῦν « πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. » Εἰ γὰρ καὶ διὰ σὲ ταῦτα λέγοιεν, ἀλλὰ ταχέως αὐτοὺς διδάξεις διὰ τῶν ἔργων, ὅτι οὐ χρὴ τὴν σύνεσιν ἡλικίᾳ κρίνειν, οὐδὲ τὸν πρεσβύτην ἀπὸ τῆς πολιᾶς δοκιμάζειν, οὐδὲ τὸν νέον πάντως ἀπείργειν τῆς τοιαύτης διακονίας, ἀλλὰ τὸν νεόφυτον· πολὺ δὲ ἀμφοτέρων τὸ μέσον.

tur, multa cum de me ordinato, tum de iis qui me elegerant, suspicari potuissent: verbi gratia, quod ad divitias respicerent, quod generis splendorem mirarentur, quod adulatione nostra moti ad id nos cooptarint; quin etiam pecunia adductos id egisse nescio an dicam aliquem suspicaturum fuisse. Christus quidem, dixissent, piscatores, tabernaculorum opifices et publicanos ad hujusmodi magistratum vocavit: hi eos, qui sibi quotidiano opere victum parant, respuunt; si quis autem exterorum literis operam det, otioseque vivat, hunc approbant et admirantur. Nam cur tandem eos, qui in Ecclesiæ negotiis mille sudores pertulerant, contemserunt, eumque, qui hos nunquam expertus labores totam ætatem in vanis exterorum disciplinis contriverat, statim in tantum honorem pertraxere? Hæc et similia dicere poterant, si hanc dignitatem accepissem. Nunc vero secus; omnis enim illis maledicendi occasio resecta est, nec mihi adulationem, nec illis accepta munera exprobrare possunt, nisi forte sint qui ultro insanire velint. Quo pacto enim adulatione et largitione usus quispiam ad honorem adipiscendum, mox adepturus eum, aliis reliquisset? Perinde enim illud esset ac si quis post infinitos in excolenda terra labores, ut uberes fructus segetesque colligeret, et vino torcularia redundarent, post mille sudores et multam pecuniarum expensam, cum messis et vindemiæ tempus adveniret, aliis fructuum proventum traderet. Viden', etiamsi quæ tunc jactabantur procul a veritate essent, magnam calumniandi ansam habituros adversarios fuisse, quod scilicet non recto judicio electio facta fuisset. Nunc autem ne hiscere quidem vel os asperire mea opera possunt. Et hæc quidem multoque his plura initio dixissent. Postquam autem ministerium attigissemus, nunquam potuissemus quotidianas accusatorum calumnias refellere, etiamsi inculpate omnia egissemus: ne dicam nos hac ætate rerumque imperitia in multis necessario aberraturos fuisse. At nunc illis criminationis hujusmodi occasionem sustulimus: tunc autem probrorum innumerorum ansam iis dedissemus. Quid enim non dicturi erant? Res tantas tamque admirandas pueris insipientibus commiserunt, Dei gregem pessumdederunt, res Christianorum jam risui ac ludibrio expositæ sunt. At vero nunc (*Psal.* 106. 42) *Omnis iniquitas oppilabit os suum.* Si enim tui causa ista protulerint, statim illos ex ipsa re docebis, non oportere prudentiam ætate metiri, neque senem ex canitie probatum habere, neque juvenem a tali ministerio prorsus arcere, sed neophytum. Multum est autem inter utrumque discrimen.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ λόγῳ.

α'. Ὅτι οἱ ὑπονοήσαντες δι' ἀπόνοιαν παρητῆσθαι ἡμᾶς τὴν ἑαυτῶν ὑπόληψιν ἔβλαψαν.

β'. Ὅτι οὐδὲ διὰ κενοδοξίαν ἐφύγομεν.

γ'. Ὅτι εἰ δόξης ἐπεθυμοῦμεν, ἑλέσθαι μᾶλλον τὸ πρᾶγμα ἐχρῆν.

δ'. Ὅτι φρικτὸν ἡ ἱερωσύνη, καὶ πολὺ τῆς παλαιᾶς λατρείας ἡ καινὴ φρικωδεστέρα.

ε'. Ὅτι πολλὴ τῶν ἱερέων ἡ ἐξουσία καὶ ἡ τιμή.

ς'. Ὅτι τῶν παρὰ τοῦ Θεοῦ μεγίστων δωρεῶν εἰσιν αἱ διακονίαι.

ζ'. Ὅτι καὶ ὁ Παῦλος περιδεὴς ἦν, πρὸς τὸ μέγεθος τῆς ἀρχῆς ὁρῶν.

η'. Ὅτι πολλάκις ἁμαρτάνειν προάγεται, εἰς τὸ μέσον ἐλθών, ἂν μὴ σφόδρα γενναῖος ᾖ.

θ'. Ὅτι κενοδοξίᾳ καὶ τοῖς τούτης ἁλίσκεται δεινοῖς.

ι'. Ὅτι οὐχ ἡ ἱερωσύνη τούτων αἰτία, ἀλλ' ἡ ἡμετέρα ῥᾳθυμία.

ια'. Ὅτι τὴν ἐπιθυμίαν τῆς φιλαρχίας ἐκβεβλῆσθαι δεῖ ἀπὸ τῆς τοῦ ἱερέως ψυχῆς.

XII. Sapientissimum oportere esse sacerdotem.

XIII. Præter maximam abstinentiam alia quoque in animo sacerdotis requiri.

XIV. Nihil tam puritatem et aciem mentis obtundere, quam iracundiam inordinatam.

Τῆς μὲν οὖν ὕβρεως ἕνεκεν τῆς εἰς τοὺς τετιμηκότας, καὶ ὅτι αὐτοὺς οὐ καταισχῦναι βουλόμενοι ταύτην ἐφύγομεν τὴν φυγήν, ταῦτα ἂν ἔχοιμεν λέγειν, ἅπερ εἰρήκαμεν· ὅτι δὲ οὐδὲ ὑπὸ ἀπονοίας τινὸς φυσηθέντες, καὶ τοῦτο νῦν εἰς δύναμιν τὴν ἐμὴν πειράσομαί σοι ποιῆσαι φανερόν. Εἰ μὲν γὰρ στρατηγίας ἡμῖν ἢ βασιλείας αἵρεσις προὔκειτο, εἶτα ταύτην εἶχον τὴν γνώμην, εἰκότως ἄν τις τοῦτο ὑπέλαβεν, ἢ τότε μὲν ἀπονοίας οὐδείς, ἀνοίας δὲ πάντες ἂν ἡμᾶς ἔκρινον· ἱερωσύνης δὲ προκειμένης, ἣ τοσοῦτον ἀνωτέρω βασιλείας ἕστηκεν, ὅσον πνεύματος καὶ σαρκὸς τὸ μέσον, τολμήσει τις ἡμᾶς ὑπεροψίας γράφεσθαι; Καὶ πῶς οὐκ ἄτοπον τοὺς μὲν τὰ μικρὰ διαπτύοντας ὡς παραπαίοντας αἰτιᾶσθαι, τοὺς δὲ ἐπὶ τῶν ἅγαν ὑπερεχόντων τοῦτο ποιοῦντας τῶν μὲν τῆς παραπληξίας ἐγκλημάτων ἐξαιρεῖν, ταῖς δὲ τῆς ὑπερηφανίας ὑποβάλλειν αἰτίαις; ὥσπερ ἂν εἴ τις τὸν ἀγέλης βοῶν καταφρονοῦντα, καὶ μὴ βουλόμενον εἶναι βουκόλον, εἰς ὑπερηφανίαν μὲν οὐδαμῶς, εἰς δὲ φρενῶν ἔκστασιν αἰτιώμενος, τὸν ἁπάσης τῆς οἰκουμένης τὴν βασιλείαν καὶ τὸ γενέσθαι κύριον τῶν ἁπανταχοῦ στρατοπέδων μὴ καταδεχόμενον ἀντὶ τοῦ μαίνεσθαι τετυφῶσθαι φαίη. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, οὐδὲ ἡμᾶς μᾶλλον ἢ ἑαυτοὺς οἱ ταῦτα λέγοντες διαβάλλουσι. Τὸ γὰρ ἐννοῆσαι μόνον, ὅτι δυνατὸν ἀνθρωπείᾳ φύσει τῆς ἀξίας ὑπερφρονῆσαι ἐκείνης, δεῖγμα κατὰ τῶν ἐκφερόντων ἐστὶν ἧς ἔχουσι περὶ τοῦ πράγματος δόξης. Εἰ γὰρ μὴ τῶν τυχόντων αὐτὸ, καὶ ὧν οὐ πολὺς λόγος, ἐνόμιζον εἶναι, οὐδ' ἂν ὑπο-

DE SACERDOTIO.

LIBER TERTIUS.

Hæc insunt libro tertio.

I. Qui suspicati sunt nos per superbiam recusasse, nam ipsorum existimationem læsisse.

II. Neque nos propter vanam gloriam fugisse.

III. Quod si gloriam concupisceremus, tale potius ministerium eligere oportuerit.

IV. Tremendum quid esse sacerdotium, novumque cultum veteri formidabiliorem esse.

V. Magnam esse sacerdotii potestatem et dignitatem.

VI. Ministeria e numero esse maximorum Dei donorum.

VII. Ipsum etiam Paulum formidasse ad aspectum tanti principatus.

VIII. Sæpe ad peccandum induci, qui in medium progrediatur, nisi perquam fortis animi fuerit.

IX. Vana gloria ejusque malis ipsum irretiri.

X. Non ipsum sacerdotium horum malorum causam esse, sed nostram ignaviam.

XI. Ambitum principatus eliminandum ab animo sacerdotis.

XV. Aliam speciem litis plenam periculorum Chrysostomus ostendit.

XVI. Quantum esse oporteat eum, qui tantis tempestatibus opponendus sit.

XVII. Quantus sit in gubernatione virginum timor.

Quod spectat contumeliam nos honorantibus illatam, quodque non eos dehonestandi animo fuga nos subduxerimus, ex jam dictis sat comprobari posset : [I.] quod vero nulla inflati superbia id egerimus, jam pro viribus palam facere conabor. Nam si vel militaris legationis vel imperii nobis optio proponeretur, eique proposito insisterem, jure posset quispiam id de me suspicari ; imo non jam superbiæ, sed amentiæ me omnes damnarent : at sacerdotio proposito, quod tantum imperio sublimius est, quantum inter spiritum et carnem est intervallum, audebitne quispiam me superbiæ accusare? Qui porro non absurdum fuerit, eos qui minora respuunt insaniæ accusare, eos autem, qui in longe sublimioribus id ipsum faciunt, non jam in amentiæ, sed in superbiæ crimen vocare? Haud secus ac si quis eum qui boum armentum despiceret, ac bubulcus esse nollet, non superbiæ, sed amentiæ accusans, eum qui totius orbis imperium et omnium ubique terrarum exercituum dominatum non acciperet, non insanire diceret, sed superbia inflari. Sed non ita est, non ita sane, neque nos magis, quam se ipsos, criminantur qui hæc jactitant. Nam vel cogitasse tantum, quod possit humana natura tantam despicere dignitatem, satis indicat quid opinionis circa illam habeant qui id protulerunt : nisi enim putarent esse rem levem ac parvi pretii, nunquam ipsis talis suspicio in men-

πτεῦσαι τοῦτο ἐπῆλθεν αὐτοῖς. Διὰ τί γὰρ περὶ τῆς τῶν ἀγγέλων ἀξίας οὐδεὶς ἐτόλμησέ τι τοιοῦτον ὑποπτεῦσαί ποτε, καὶ εἰπεῖν ὅτι ἔστιν ἀνθρωπίνη ψυχὴ δι' ἀπόνοιαν οὐκ ἀνεχομένη ἐπὶ τὸ τῆς φύσεως ἐκείνης ἀξίωμα ἐλθεῖν; Μεγάλα γάρ τινα φανταζόμεθα περὶ τῶν δυνάμεων ἐκείνων, καὶ τοῦτο ἡμᾶς οὐκ ἀφίησι πιστεῦσαι ὅτι δύναιτ' ἂν ἄνθρωπος τῆς τιμῆς φρονῆσαί τι μεῖζον ἐκείνης. Ὥστε αὐτοὺς μᾶλλον δικαίως ἄν τις γράψαιτο ἀπονοίας τοὺς ἡμῶν τοῦτο κατηγοροῦντας. Οὐ γὰρ ἂν ποτε περὶ ἑτέρων τοῦτο ὑπέλαβον, εἰ μὴ πρότερον αὐτοὶ τοῦ πράγματος, ὡς οὐδενὸς ὄντος, κατέγνωσαν. Εἰ δὲ πρὸς δόξαν ὁρῶντά με τοῦτο πεποιηκέναι φασὶν, περιπίπτοντες ἑαυτοῖς ἐλεγχθήσονται καὶ μαχόμενοι φανερῶς· οὐδὲ γὰρ οἶδα ποίους ἂν ἑτέρους πρὸ τούτων ἐζήτησαν λόγους, εἰ τῶν τῆς κενοδοξίας ἡμᾶς ἠθέλησαν ἀπαλλάξαι ἐγκλημάτων. Εἰ γὰρ οὗτός μέ ποτε εἰσῆλθεν ὁ ἔρως, καταδέξασθαι μᾶλλον ἐχρῆν, ἢ φυγεῖν. Διὰ τί; Ὅτι πολλὴν ἡμῖν τοῦτο τὴν δόξαν ἤνεγκεν ἄν. Τὸ γὰρ ἐν τούτῳ τῆς ἡλικίας ὄντα καὶ πρὸ βραχέος ἀποστάντα τῶν βιωτικῶν φροντίδων ἐξαίφνης οὕτω δόξαι παρὰ πᾶσιν εἶναι θαυμαστὸν, ὥστε τῶν τὸν ἅπαντα χρόνον ἐν τοῖς τοιούτοις ἐξαναλωθέντων πόνοις προτιμηθῆναι, καὶ πλείονας ψήφους πάντων ἐκείνων λαβεῖν, θαυμαστά τινα καὶ μεγάλα περὶ ἡμῶν πάντας ἂν ὑποπτεύειν ἔπεισε, καὶ σεμνοὺς ἂν ἡμᾶς καὶ περιβλέπτους κατέστησε. Νῦν δὲ, πλὴν ὀλίγων, τὸ πλέον τῆς Ἐκκλησίας μέρος οὐδ' ἐξ ὀνόματος ἡμᾶς ἴσασιν· ὥστε οὐδὲ ὅτι παρητήμεθα πᾶσιν ἔσται φανερὸν, ἀλλ' ὀλίγοις τισὶν, οὓς οὐδ' αὐτοὺς οἶμαι τὸ σαφὲς εἰδέναι πάντας· ἀλλ' εἰκὸς καὶ τούτων πολλοὺς ἢ μηδ' ὅλως ἡμᾶς ἠρῆσθαι νομίσαι, ἢ παρεῶσθαι μετὰ τὴν αἵρεσιν, ἀνεπιτηδείους εἶναι δόξαντας, οὐχ ἑκόντας φυγεῖν.

ΒΑΣΙΛ. Ἀλλ' οἱ τἀληθὲς εἰδότες θαυμάσονται.

ΧΡΥΣΟΣΤ. Καὶ μὴν τούτους ἔφης ὡς κενοδόξους καὶ ὑπερηφάνους διαβάλλειν ἡμᾶς. Πόθεν οὖν ἐστιν ἐλπίσαι τὸν ἔπαινον; ἀπὸ τῶν πολλῶν; Ἀλλ' οὐκ ἴσασι τὸ σαφές. Ἀλλ' ἐκ τῶν ὀλίγων; Ἀλλὰ κἀνταῦθα ἡμῖν εἰς τοὐναντίον τὸ πρᾶγμα περιτέτραπται. Οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν ἐνθάδε εἰσῆλθες νῦν, ἀλλ' ἵνα μάθῃς, τί πρὸς ἐκείνους ἀπολογήσασθαι δέοι. Καὶ τί τούτων ἕνεκεν ἀκριβολογοῦμαι νῦν; ὅτι γὰρ, εἰ καὶ πάντες ἦσαν τἀληθὲς, οὐδὲ οὕτως ἡμᾶς ἀπονοίας ἢ φιλοδοξίας ἔδει κρίνειν, μικρὸν ἀνάμεινον, καὶ τοῦτο εἴσῃ σαφῶς. Καὶ πρὸς τοῦτῳ πάλιν ἐκεῖνο· ὅτι οὐ τοῖς ταύτην τολμῶσι τὴν τόλμαν μόνον, εἴπερ τίς ἐστιν ἀνθρώπων (οὐ γὰρ ἔγωγε πείθομαι), ἀλλὰ καὶ τοῖς περὶ ἑτέρων ὑποπτεύουσι, κίνδυνος ἀποκείσεται οὐ μικρός. Ἡ γὰρ ἱερωσύνη τελεῖται μὲν ἐπὶ γῆς, τάξιν δὲ ἐπουρανίων ἔχει πραγμάτων· καὶ μάλα γε εἰκότως. Οὐ γὰρ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ Παράκλητος ταύτην διετάξατο τὴν ἀκολουθίαν, καὶ ἔτι μένοντας ἐν σαρκὶ τὴν τῶν ἀγγέλων ἔπεισε φαντάζεσθαι διακονίαν. Διὸ χρὴ

tem venisset. Cur enim de angelica dignitate nullus unquam quid simile suspicari vel dicere ausus est, nempe humanum esse animum, qui præ superbia nolit ad illius naturæ dignitatem pervenire? Magna quippe concipimus de Potestatibus illis, idque impedit quominus credamus, posse hominem quidpiam majus honore illo sapere. Quo fit ut jure quis illos potius superbiæ accuset, qui hac de re nos criminantur. Neque enim id de aliis suspicati fuissent, nisi prius rem ipsam quasi nullius pretii æstimassent. [II.] Porro si id me gloriæ causa fecisse dicant, secum dissentire ac pugnare palam deprehendentur : nescio enim quam aliam orationem quæsivissent, si nos ab inanis gloriæ crimine liberare voluissent. Nam si hujusmodi me unquam amor invasit, accipere potius, quam fugere oportuit. Quare? Quia magnam id nobis gloriam attulisset. Siquidem virum hæc ætate, qui nuper a sæcularibus curis se abdicaverit, usque adeo admirandum apud omnes derepente videri, ut iis etiam, qui in hujusmodi laboribus totam ætatem contrivissent, anteferretur, et plura his omnibus suffragia acciperet; id certe magnam et admirabilem de nobis opinionem omnibus indidisset, nosque conspicuos et illustres exhibuisset. Nunc vero, paucis exceptis, maxima pars Ecclesiæ nos ne nomine quidem norunt : adeo ut ne omnibus quidem notum sit quod abnuerimus, sed paucis tantum, quos tamen nec ipsos omnes probe nosse puto quid gestum sit : verisimile autem est eorum multos aut nullatenus nos electos fuisse censere, aut post electionem depulsos fuisse, ut non sat idoneos visos, neque sponte aufugisse.

BASIL. At qui rem vere sciunt, mirabuntur.

CHRYSOST. [III.] Atqui hos ipsos dixisti nobis vanæ gloriæ ac superbiæ crimen offerre. Undenam igitur laus speranda est? A multitudine? At rem, ut peracta est, nesciunt. A paucis? Sed hic quoque nobis res in contrarium cecidit. Neque alio nomine huc ingressus es, quam ut edisceres, quæ adversus eos defensio paranda sit. Quid vero hac de re accurate nunc proferam? Quod enim, etiamsi omnibus rei veritas nota esset, ne sic quidem superbiæ aut vanæ gloriæ accusare oporteret, si paulum exspectes, id planum tibi erit, atque insuper illud, nempe non iis modo qui id ansi fuerint, si tamen quis reperiatur (non enim facile credam), sed etiam iis qui de aliis suspicantur, periculum non modicum imminere. [IV.] Sacerdotium enim in terra peragitur, sed cælestium rerum ordinem obtinet : et jure quidem merito. Non enim homo, non angelus, non archangelus, non alia quæpiam creata potestas, sed ipse Paracletus hunc ordinem constituit, et manentibus in carne auctor fuit ut angelorum ministerium animo concíperent. Idcirco sacerdotium obeuntem ita purum esse

τὸν ἱερώμενον ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς μεταξὺ τῶν δυνάμεων ἐκείνων οὕτως εἶναι καθαρόν. Φοβερὰ μὲν γὰρ καὶ φρικωδέστατα καὶ τὰ πρὸ τῆς χάριτος, οἷον οἱ κώδωνες, οἱ ῥοΐσκοι, οἱ λίθοι οἱ ἐπὶ τοῦ στήθους, οἱ τῆς ἐπωμίδος, ἡ μίτρα, ἡ κίδαρις, ὁ ποδήρης, τὸ πέταλον τὸ χρυσοῦν, τὰ ἅγια τῶν ἁγίων, ἡ πολλὴ τῶν ἔνδον ἠρεμία. Ἀλλ' εἴ τις τὰ τῆς χάριτος ἐξετάσειε, μικρὰ ὄντα εὑρήσει τὰ φοβερὰ καὶ φρικωδέστατα ἐκεῖνα, καὶ τὸ περὶ τοῦ νόμου λεχθὲν κἀνταῦθα ἀληθὲς ὄν, « Ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. » Ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον καὶ κείμενον, καὶ τὸν ἱερέα ἑστῶτα τῷ θύματι, καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ τιμίῳ φοινισσομένους αἵματι, ἆρα ἔτι μετὰ ἀνθρώπων εἶναι νομίζεις, καὶ ἐπὶ τῆς γῆς ἑστάναι, ἀλλ' οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μετανίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβαλὼν, γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; Ὦ τοῦ θαύματος· ὦ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Ὁ μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσὶ, καὶ δίδωσιν ἑαυτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν· ποιοῦσι δὲ τοῦτο τότε πάντες διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως. Ἆρά σοι τοῦ καταφρονεῖσθαι ταῦτα ἄξια καταφαίνεται, ἢ τοιαῦτα εἶναι ὡς δυνηθῆναί τινα καὶ ἐπαρθῆναι κατ' αὐτῶν; Βούλει καὶ ἐξ ἑτέρου θαύματος τῆς ἁγιαστείας ταύτης ἰδεῖν τὴν ὑπερβολήν; ὑπόγραψόν μοι τὸν Ἠλίαν τοῖς ὀφθαλμοῖς, καὶ τὸν ἄπειρον ὄχλον περιεστῶτα, καὶ τὴν θυσίαν ἐπὶ τῶν λίθων κειμένην, καὶ πάντας μὲν ἐν ἡσυχίᾳ τοὺς λοιποὺς καὶ πολλῇ τῇ σιγῇ, μόνον δὲ τὸν προφήτην εὐχόμενον· εἶτα ἐξαίφνης τὴν φλόγα ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ἱερεῖον ῥιπτουμένην· θαυμαστὰ ταῦτα καὶ πάσης ἐκπλήξεως γέμοντα. Μετάβηθι τοίνυν ἐκεῖθεν ἐπὶ τὰ νῦν τελούμενα, καὶ οὐ θαυμαστὰ ὄψει μόνον, ἀλλὰ καὶ πᾶσαν ἔκπληξιν ὑπερβαίνοντα. Ἕστηκε γὰρ ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τις λαμπὰς ἄνωθεν ἀρθεῖσα καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπικεσοῦσα τῇ θυσίᾳ δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. Ταύτης οὖν τῆς φρικωδεστάτης τελετῆς τίς μὴ σφόδρα μαινόμενος, μηδὲ ἐξεστηκὼς, ὑπερφρονῆσαι δυνήσεται; Ἢ ἀγνοεῖς ὅτι οὐκ ἄν ποτε ἀνθρωπεία ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλ' ἄρδην ἅπαντες ἂν ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια;

Εἰ γάρ τις ἐννοήσειεν ὅσον ἐστὶν ἄνθρωπον ὄντα, καὶ ἔτι σαρκὶ καὶ αἵματι περιπεπλεγμένον, τῆς μακαρίας καὶ ἀληράτου φύσεως ἐκείνης ἐγγὺς δυνηθῆναι γενέσθαι, τότε ὄψεται καλῶς ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ Πνεύματος ἠξίωσε χάρις. Διὰ γὰρ ἐκείνων καὶ ταῦτα τελεῖται, καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα, καὶ εἰς ἀξιώματος καὶ εἰς σωτηρίας τῆς ἡμετέρας λόγον.

decet, ac si in cælis inter Potestates illas collocatus esset. Terribilia namque erant quæ gratiam præcesserunt : qualia erant tintinnabula, mala punica, lapides in pectore positi, et alii in superhumerali, mitra, cidaris, poderes, lamina aurea, sancta sanctorum, ingens intus quies. At si quis ea quæ ad gratiam spectant, consideret, terribilia illa atque horrifica, parva esse comperiet : ac quod de lege dictum est, hic quoque verum deprehenderet; nempe (2 *Cor.* 3. 10) *Non glorificatum est quod claruit in hac parte propter excellentem gloriam.* Cum enim videris Dominum immolatum et jacentem, et sacerdotem sacrificio incumbentem ac precantem, omnesque pretioso illo sanguine rubentes, an putas te adhuc cum hominibus et in terra esse? annon potius in cælos translatus, omnique carnali cogitatione eliminata, nudo animo menteque pura quæ in cælis sunt circumspicis? O miraculum! o Dei benignitatem! Qui cum Patre sursum sedet, illa hora omnium manibus tenetur, seseque volentibus dat complectendum et accipiendum. Illud autem tunc omnes faciunt oculis fidei. Num tibi hæc contemptu digna videntur? an hujusmodi esse, ut possit quispiam adversus ea extolli? Visne et sanctimoniæ illius excellentiam ex alio miraculo perspicere? Heliam mihi ob oculos depinge, immensamque circumfusam turbam, et hostiam lapidibus impositam; atque omnes alios in quiete et magno silentio stantes, solum vero prophetam precantem : tum repente flammam ex cælis in sacrificium injectam. Admiranda sunt hæc, omnique stupore plena. Illinc te transfer ad ea quæ nunc peraguntur, ac non mira tantum videbis, sed omnem stuporem superantia. Stat enim sacerdos, non ignem detrahens, sed Spiritum sanctum; preces multo tempore fundit, non ut fax demissa cælitus apposita consumat, sed ut gratia in sacrificium delapsa per illud omnium animos inflammet, et argento igne purgato splendidiores exhibeat. Hoc itaque terribilissimum mysterium, quis tandem, nisi admodum insaniat, vel mente captus sit, despicere queat? An ignoras humanam animam ignem sacrificii hujusmodi nunquam gestare potuisse, sed omnes funditus perituros fuisse, nisi magnum adesset gratiæ Dei auxilium?

(V.) Si quis enim secum reputet quantum illud sit, nempe hominem carne et sanguine involutum, prope beatam illam et immortalem naturam constitui, tunc probe intelliget quanto honore Spiritus gratia sacerdotes ornaverit. Nam per eos hæc peraguntur aliaque his nihilo inferiora, quæ ad dignitatis salutisque nostræ rationem spectant. Etenim qui terram incolunt in eaque commo-

Οἱ γὰρ τὴν γῆν οἰκοῦντες, καὶ ἐν ταύτῃ ποιούμενοι τὰς διατριβάς, τὰ ἐν οὐρανοῖς διοικεῖν ἐπετράπησαν, καὶ ἐξουσίαν ἔλαβον ἣν οὔτε ἀγγέλοις οὔτε ἀρχαγγέλοις ἔδωκεν ὁ Θεός. Οὐ γὰρ πρὸς ἐκείνους εἴρηται, « Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. » Ἔχουσι μὲν γὰρ καὶ οἱ κρατοῦντες ἐπὶ τῆς γῆς τὴν τοῦ δεσμεῖν ἐξουσίαν, ἀλλὰ σωμάτων μόνον· οὗτος δὲ ὁ δεσμὸς αὐτῆς ἅπτεται τῆς ψυχῆς, καὶ διαβαίνει τοὺς οὐρανούς· καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ, καὶ τὴν τῶν δούλων γνώμην ὁ Δεσπότης βεβαιοῖ. Καὶ τί γὰρ ἀλλ' ἢ πᾶσαν αὐτοῖς τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν; « Ὧν γὰρ ἂν, φησὶν, ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται, καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται. » Τίς ἂν γένοιτο ταύτης ἐξουσία μείζων; « Πᾶσαν τὴν κρίσιν δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ· » ὁρῶ δὲ πᾶσαν αὐτὴν τούτους ἐγχειρισθέντας ὑπὸ τοῦ Υἱοῦ. Ὥσπερ γὰρ εἰς οὐρανοὺς ἤδη μετατεθέντες, καὶ τὴν ἀνθρωπείαν ὑπερβάντες φύσιν, καὶ τῶν ἡμετέρων ἀπαλλαγέντες παθῶν, οὕτως εἰς τοσαύτην ἦλθησαν τὴν ἀρχήν. Εἶτα, ἂν μὲν βασιλεύς τινι τῶν ὑπ' αὐτὸν ὄντων ταύτης μεταδῷ τῆς τιμῆς, ὥστε ἐμβάλλειν εἰς δεσμωτήριον οὓς ἂν ἐθέλῃ, καὶ ἀφιέναι πάλιν, ζηλωτὸς καὶ περίβλεπτος παρὰ πᾶσιν οὗτος· ὁ δὲ παρὰ Θεοῦ τοσούτῳ μείζονα ἐξουσίαν λαβὼν, ὅσῳ γῆς τιμιώτερος ὁ οὐρανὸς καὶ σωμάτων ψυχαὶ, οὕτω μικράν τισιν ἔδοξεν εἰληφέναι τιμὴν, ὡς δυνηθῆναι καὶ ἐννοῆσαι ὅτι τῶν ταῦτά τις πιστευθέντων ὑπερφρονήσει τῆς δωρεᾶς. Ἄπαγε τῆς μανίας· μανία γὰρ περιφανὴς ὑπεροράν τῆς τοσαύτης ἀρχῆς, ἧς ἄνευ οὔτε σωτηρίας ἡμῖν, οὔτε τῶν ἐπηγγελμένων τυχεῖν ἐστιν ἀγαθῶν. Εἰ γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ δι' ὕδατος καὶ πνεύματος ἀναγεννηθῇ, καὶ ὁ μὴ τρώγων τὴν σάρκα τοῦ Κυρίου, καὶ τὸ αἷμα αὐτοῦ πίνων, ἐκβέβληται τῆς αἰωνίου ζωῆς, πάντα δὲ ταῦτα δι' ἑτέρου μὲν οὐδενὸς, μόνον δὲ διὰ τῶν ἁγίων ἐκείνων ἐπιτελεῖται χειρῶν, τῶν τοῦ ἱερέως λέγω· πῶς ἄν τις, τούτων ἐκτὸς, ἢ τὸ τῆς γεέννης ἐκφυγεῖν δυνήσεται πῦρ, ἢ τῶν ἀποκειμένων στεφάνων τυχεῖν; Οὗτοι γὰρ ἡμῖν, οὗτοι οἱ τὰς πνευματικὰς πιστευθέντες ὠδῖνας, καὶ τὸν διὰ τοῦ βαπτίσματος ἐπιτραπέντες τόκον· διὰ τούτων ἐνδυόμεθα τὸν Χριστὸν, καὶ συνθαπτόμεθα τῷ Υἱῷ τοῦ Θεοῦ, μέλη γινόμεθα τῆς μακαρίας ἐκείνης κεφαλῆς. Ὥστε ἡμῖν οὐκ ἀρχόντων μόνον οὐδὲ βασιλέων φοβερώτεροι, ἀλλὰ καὶ πατέρων τιμιώτεροι δικαίως ἂν εἶεν. Οἱ μὲν γὰρ ἐξ αἱμάτων καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν, οἱ δὲ τῆς ἐκ τοῦ Θεοῦ γεννήσεως ἡμῖν εἰσιν αἴτιοι, τῆς μακαρίας παλιγγενεσίας ἐκείνης, τῆς ἐλευθερίας τῆς ἀληθοῦς καὶ τῆς κατὰ χάριν υἱοθεσίας. Λέπραν σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλλάττειν μὲν οὐδαμῶς, τοὺς δὲ ἀπαλλαγέντας δοκιμάζειν μόνον εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς, καὶ οἶσθα πῶς περιμάχητον ἦν τὸ τῶν ἱερέων τότε. Οὗτοι δὲ οὐ λέπραν σώματος,

rantur, ad ea quæ in cælis sunt dispensanda commissi sunt, potestatemque acceperunt, quam neque angelis neque archangelis dedit Deus. Neque enim illis dictum est (*Matth.* 18. 18), *Quæcumque ligaveritis in terra, erunt ligata et in cælo; et quæcumque solveritis in terra, erunt soluta et in cælo.* Habent quidem ii qui in terra imperant, potestatem ligandi, verum corpora solum : hoc autem vinculum ipsam attingit animam, cælosque transcendit : ac quæcumque inferne sacerdotes faciunt, eadem Deus superne confirmat, servorumque sententiam ipse Dominus ratam facit. Quid enim aliud illis dedit, quam omnem cælestium potestatem? nam *Quorum*, inquit (*Joan.* 20. 23), *remiseritis peccata, remittuntur; et quorum retinueritis, retenta sunt.* Quæ major hac potestas fuerit? (*Joan.* 5. 22) *Omne judicium dedit Pater Filio :* videoque ipsum omne his traditum a Filio esse. Ac si enim jam in cælos translati essent, atque humanam naturam exsuperassent, a nostris affectibus liberati, ita in tantum imperium evecti sunt. Ad hæc, si Imperator subditorum cuipiam hunc honorem contulerit, ut quos libuerit possit in carcerem conjicere indeque eruere, ille admirandus et conspicuus apud omnes habetur; at is qui a Deo tanto majorem potestatem accepit, quanto cælum terra pretiosius est, et quanto animæ corporibus, ita exiguum nonnullis videtur honorem accepisse, ut cogitari possit, quempiam hoc sibi concreditum donum despicere. Apage insaniam : insania namque manifesta est, tantum principatum despicere, sine quo neque salutem neque promissa bona consequi possumus. Nam si non potest quis intrare in regnum cælorum, nisi per aquam et spiritum regeneratus fuerit (*Joan.* 3. 5); et qui non manducat carnem Domini, nec bibit ejus sanguinem, æterna vita privatur (*Joan.* 6. 54) ; hæc autem omnia non aliter, quam per sanctas illas manus, sacerdotum nempe, perficiuntur : quis sine illarum opera aut gehennæ ignem effugere, aut repositas assequi coronas poterit? [VI.] Hi namque sunt, hi sunt, quibus concrediti sunt spirituales partus et generatio per baptismum : per hos Christum induimus, et cum Filio Dei sepelimur, membra beati illius capitis efficimur. Ita non modo principibus ac regibus formidabiliores, sed patribus etiam venerabiliores nobis jure fuerint. Illi enim ex sanguinibus exque voluntate carnis nos genuerunt; hi vero illius quæ ex Deo est generationis nobis auctores sunt, beatæ nempe illius regenerationis, veræ libertatis, et illius quæ secundum gratiam est adoptionis. Corporis lepram purgare, imo potius nullatenus purgare, sed purgatos probare tantum, Judæorum sacerdotibus licebat : et tamen nosti quanta tunc esset pro sacerdotali dignitate concertatio. Illi vero non lepram corporis, sed immunditiam

ἀλλ' ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπαλλαγεῖσαν δοκιμάζειν, ἀλλ' ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. Ὥστε οἱ τούτων ὑπερορῶντες πολλῷ καὶ τῶν περὶ Δαθὰν εἶεν ἂν ἐναγέστεροι, καὶ μείζονος ἄξιοι τιμωρίας. Οἱ μὲν γὰρ εἰ καὶ μὴ προσηκούσης αὐτοῖς ἀντεποιοῦντο τῆς ἀρχῆς, ἀλλ' ὅμως θαυμαστήν τινα περὶ αὐτῆς εἶχον δόξαν, καὶ τοῦτο τῷ μετὰ πολλῆς ἐφίεσθαι σπουδῆς ἔδειξαν· οὗτοι δὲ, ὅτε ἐπὶ τὸ κρεῖττον διεκοσμήθη καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμήκασιν. Οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον ἐφίεσθαι μὴ προσηκούσης τιμῆς, καὶ ὑπερορᾶν, ἀλλὰ τοσούτῳ μεῖζον ἐκείνου τοῦτο, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστίν. Τίς οὖν οὕτως ἀθλία ψυχὴ, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν; Οὐκ ἄν ποτε οὐδένα φαίην ἔγωγε, πλὴν εἰ μή τις οἶστρον ὑπομείνειεν δαιμονικόν.

Ἀλλὰ γὰρ ἐπάνειμι πάλιν ὅθεν ἐξέβην· οὐ γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν εὖ, μείζονα τοῖς ἱερεῦσιν ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς. Οἱ μὲν γὰρ εἰς ταύτην, οἱ δὲ εἰς ἐκείνην γεννῶσι· κἀκεῖνοι μὲν οὐδὲ τὸν σωματικὸν αὐτοῖς δύναιντ' ἂν ἀμῦναι θάνατον, οὐ νόσον ἐπεγχθεῖσαν ἀποκρούσασθαι, οὗτοι δὲ καὶ κάμνουσαν καὶ ἀπόλλυσθαι μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πραοτέραν τὴν κόλασιν ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ καὶ τῷ δι' εὐχῶν βοηθεῖν. Οὐ γὰρ ὅταν ἡμᾶς ἀναγεννῶσι μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξουσίαν ἁμαρτήματα. « Ἀσθενεῖ γάρ τις, φησὶν, ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεπυηκὼς, ἀφεθήσονται αὐτῷ. » Ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς, εἰ μέν τισι τῶν ὑπερεχόντων καὶ μεγάλα ὠδὲ δυναμένων προσκρούσαιεν οἱ παῖδες, οὐδὲν αὐτοὺς ἔχουσιν ὠφελεῖν· οἱ δὲ ἱερεῖς οὐχ ἄρχοντας, οὐδὲ βασιλεῖς, ἀλλ' αὐτὸν αὐτοῖς πολλάκις ὀργισθέντα κατήλλαξαν τὸν Θεόν. Ἔτι οὖν ἡμᾶς μετὰ ταῦτα τολμήσει τις ἀπονοίας κρίνειν; Ἐγὼ μὲν γὰρ ἐκ τῶν εἰρημένων τοσαύτην εὐλάβειαν οἶμαι τὰς τῶν ἀκουόντων κατασχεῖν ψυχὰς, ὡς μηκέτι τοὺς φεύγοντας, ἀλλὰ τοὺς ἀφ' ἑαυτῶν προσιόντας καὶ σπουδάζοντας ταύτην ἑαυτοῖς κτήσασθαι τὴν τιμὴν, ἀπονοίας καὶ τόλμης κρίνειν. Εἰ γὰρ οἱ τὰς τῶν πόλεων ἀρχὰς ἐμπιστευθέντες, ὅταν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πόλεις ἀνέτρεψαν, καὶ ἑαυτοὺς προσαπώλεσαν· ὁ τοῦ Χριστοῦ τὴν νύμφην κατακοσμεῖν λαχὼν, πόσης σοι δοκεῖ δεῖσθαι δυνάμεως καὶ τῆς παρ' αὐτοῦ καὶ τῆς ἄνωθεν πρὸς τὸ μὴ διαμαρτεῖν;

Οὐδεὶς μᾶλλον Παύλου τὸν Χριστὸν ἠγάπησεν, οὐδεὶς μείζονα ἐκείνου σπουδὴν ἐπεδείξατο, οὐδεὶς πλείονος

animæ, non purgatam probandi, sed prorsus purgandi potestatem acceperunt; ita ut qui ipsos contemnunt, longe scelleratiores et graviore supplicio digniores sint ipso Dathan et sociis ejus (*Num.* 16). Illi enim, etsi principatum ad se non spectantem sibi vindicarent, attamen miram quamdam de illo opinionem habebant, ut ex magno illius desiderio palam faciebant : hi vero, postquam sacerdotium tantopere ornatum est, tantumque accepit incrementum, contra quam illi, sed tamen longe graviora ausi sunt. Neque enim par est contemtus, non competentem sibi honorem ambire, et despicere honorem; sed tanto gravius hoc illo est, quantum est inter fastidium et admirationem intervallum. Quis ita miser fuerit, ut tot bona despiciat? Neminem dixerim, nisi quis diabolico stimulo concitetur.

Verum eo jam redibo, unde digressus sum : neque enim in puniendo solum, sed etiam in benefaciendo majorem sacerdotibus quam parentibus potestatem dedit Deus : tantaque est inter utrosque differentia, quanta inter præsentem et futuram vitam. Nam illi quidem in hanc vitam, hi in futuram gignunt : atque illi ne corporalem quidem interitum a liberis amoliri possunt, non ingruentem morbum depellere; hi vero ægram et mox interituram animam sæpe servarunt, aliis remissiorem pœnam reddentes, alios prorsus labi non sinentes; idque non doctrinæ tantum atque monitionum, sed etiam orationum auxilio. Neque enim tantum cum nos regenerant, sed etiam post regenerationem admissa peccata condonare possunt. Nam *Infirmatur*, inquit (*Jac.* 5. 14 *et* 15), *quis in vobis? advocet presbyteros Ecclesiæ, et orent super eo, ungentes eum oleo in nomine Domini. Et oratio fidei salvabit infirmum; et excitabit eum Dominus : et si peccata fecerit, remittentur ei.* Insuper naturales parentes, si viros quosdam principes et potentes eorum liberi offenderint, opem ipsis nullam afferre possunt : sacerdotes vero non principes, non reges, sed ipsum Deum iratum illis sæpe reconciliarunt. An postea quispiam ausit nos superbiæ accusare? Ego enim ex jam dictis tantam puto religionem auditorum animos occupasse, ut non ultra eos qui fugiunt, verum eos qui suopte motu accedunt, et tantum sibi ambiunt honorem, arrogantiæ et audaciæ damnent. Nam si ii quibus civitatum magistratus concrediti sunt, nisi admodum prudentes ac vigilantes fuerint, sæpe rempublicam se ipsosque simul in perniciem dederunt, qui Christi sponsam ornandam suscipit, quanta tibi videtur potestate indigere, tum sua, tum superne data, ut non peccet?

[VII.] Nemo Christum magis quam Paulus dilexit, nemo majus quam ille studium exhibuit, nemo majore gratia

ἠξιώθη χάριτος· ἀλλ' ὅμως μετὰ τοσαῦτα [πλεονεκτήματα] ἔδδοικεν ἔτι καὶ τρέμει περὶ ταύτης τῆς ἀρχῆς καὶ τῶν ἀρχομένων ὑπ' αὐτοῦ. « Φοβοῦμαι γάρ, φησὶ, μή πως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν· » καὶ πάλιν, « Ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς· » ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, καὶ ἀπορρήτων κοινωνήσας Θεοῦ, καὶ τοσούτους ὑπομείνας θανάτους, ὅσας μετὰ τὸ πιστεῦσαι ἔζησεν ἡμέρας· ἄνθρωπος μηδὲ τῇ ἐοθείσῃ παρὰ τοῦ Χριστοῦ χρήσασθαι ἐξουσίᾳ βουληθεὶς, ἵνα μή τις τῶν πιστευσάντων σκανδαλισθῇ. Εἰ τοίνυν ὁ τὰ προστάγματα ὑπερβαίνων τοῦ Θεοῦ, καὶ μηδαμοῦ τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν ἀρχομένων, οὕτως ἔμφοβος ἦν ἀεὶ, πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἀφορῶν, τί πεισόμεθα ἡμεῖς οἱ πολλαχοῦ τὰ ἑαυτῶν ζητοῦντες, οἱ τὰς ἐντολὰς τοῦ Χριστοῦ οὐ μόνον οὐχ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐκ πλείονος παραβαίνοντες μοίρας; « Τίς ἀσθενεῖ, φησὶ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; » Τοιοῦτον εἶναι δεῖ τὸν ἱερέα, μᾶλλον δὲ οὐ τοιοῦτον μόνον· μικρὰ γὰρ ταῦτα καὶ τὸ μηδὲν πρὸς ὃ μέλλω λέγειν. Τί δὲ τοῦτό ἐστιν; « Ηὐχόμην, φησὶν, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. » Εἴ τις δύναται ταύτην ἀφεῖναι τὴν φωνὴν, εἴ τις ἔχει τὴν ψυχὴν ταύτης ἐφικνουμένην τῆς εὐχῆς, ἐγκαλεῖσθαι δίκαιος ἂν εἴη φεύγων· εἰ δέ τις ἀποδέοι τῆς ἀρετῆς ἐκείνης τοσοῦτον, ὅσον ἡμεῖς, οὐχ ὅταν φεύγῃ, ἀλλ' ὅταν δέχηται, μισεῖσθαι δίκαιος. Οὐδὲ γὰρ, εἰ στρατιωτικῆς ἀξίας αἵρεσις προὔκειτο, εἶτα χαλκοτύπον, ἢ σκυτοτόμον, ἤ τινα τῶν τοιούτων δημιουργῶν ἑλκύσαντες εἰς τὸ μέσον οἱ δοῦναι κύριοι τὴν τιμὴν ἐνεχείριζον τὸν στρατὸν, ἐπῄνεσα ἂν τὸν δείλαιον ἐκεῖνον οὐ φεύγοντα, καὶ πάντα ποιοῦντα ὥστε μὴ εἰς πρῶπτον ἑαυτὸν ἐμβαλεῖν κακόν. Εἰ μὲν γὰρ ἁπλῶς τὸ κληθῆναι ποιμένα καὶ μεταχειρίσαι τὸ πρᾶγμα ὡς ἔτυχεν ἀρκεῖ, καὶ κίνδυνος οὐδεὶς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος· εἰ δὲ πολλὴν μὲν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν τὸν ταύτην ἀναδεχόμενον τὴν φροντίδα, μή μα ἀποστερήσῃς συγγνώμης, μάτην ἀπολέσθαι μὴ βουλόμενον καὶ εἰκῇ. Καὶ γὰρ εἰ μυριάγωγόν τις ὁλκάδα ἄγων, πεπληρωμένην ἐρετῶν καὶ μυρίων φορτίων γέμουσαν πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰάκων καθίσας ἐκέλευέ με περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυρρηνικὸν πέλαγος, ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις ἤρετο, διὰ τί; Ἵνα μὴ καταδύσω τὸ πλοῖον, εἶπον ἄν. Εἶτα ἔνθα μὲν εἰς χρήματα ἡ ζημία, καὶ ὁ κίνδυνος σωματικοῦ μέχρι θανάτου, οὐδεὶς ἐγκαλέσει πολλῇ κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν οὐκ εἰς τὸ πέλαγος τοῦτο, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πεσεῖν, εἰ θάνατος αὐτοὺς οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ

dignatus est. Attamen tot fultus præclaris dotibus adhuc timebat tremebatque, tum principatus hujusmodi, tum subditorum causa : *Timeo* enim, inquit (2 *Cor.* 11. 3), *ne sicut serpens Evam seduxit astutia sua, ita corrumpantur sensus vestri a simplicitate, quæ est in Christo :* ac rursum (1 *Cor.* 2. 3) : *In timore et tremore multo factus sum ad vos :* homo in tertium cælum raptus (2 *Cor.* 12. 2), atque arcanis Dei communicans, totque perpessus mortes, quot dies post susceptam fidem vixerat : homo qui data per Christum potestate uti noluit, ne quis credentium scandalizaretur. Si igitur ille, qui majora, quam præcepta Dei ferrent, præstaret, et nusquam quæ sua erant quæreret, sed quæ subditorum, ita formidolosus erat, cum ad principatus magnitudinem respiceret, quid faciemus nos, qui sæpe nostra quærimus, qui Christi mandata non solum non superamus, sed majori ex parte transgredimur? *Quis infirmatur,* inquit (2 *Cor.* 11. 29), *et ego non infirmor? quis scandalizatur, et ego non uror?* Talem esse oportet sacerdotem, imo non talem solummodo : parva enim hæc sunt, imo nihil his comparata, quæ jam dicturus sum. Quænam hæc? *Optabam,* ait (*Rom.* 9. 3), *anathema esse a Christo pro fratribus meis, qui sunt cognati mei secundum carnem.* Si quis possit hanc emittere vocem, si quis ea præditus sit anima, quæ ad hujusmodi votum accedere possit, is jure possit argui si fugiat. At si quis tantum ab hac virtute remotus sit, quantum nos sumus, non cum fugerit, sed cum munus susceperit, odio dignus est. Neque enim, si militaris dignitatis electio proponeretur, et ii quibus tale munus deferendi potestas incumberet, fabrum ærarium, aut coriarium, aut similem artificem in medium pertractum exercitui præficerent, miserum illum laudarem, si non fugeret, nec omnia ageret ut non se in malum imminens conjiceret. Nam si satis est pastorem vocari, et munus utcumque accipere, nullumque adsit periculum, quivis pro lubito nos inanis gloriæ accuset; sin magna prudentia, si ante prudentiam magna Dei gratia, morum probitas, vitæ puritas, et major humana virtus requiritur in illo, qui talem curam suscipit : ne me venia privatum velis, si frustra ac temere me in perniciem dare nolim. Etenim si quis navem ducens innumeris onustam mercibus pretiosis, remigibusque plenam, me ad gubernacula constitutum juberet Ægæum Tyrrhenumve mare trajicere, ad primum rei auditum resilirem : ac si quis causam rogaret, Ne submergam navem, responderem. Itane ubi pecuniæ tantum jactura timetur, nec nisi corporeæ mortis periculum est, nemo arguet si quis magna cautione utatur; ubi autem naufragis non in hoc pelagus corruendum, sed in abyssum ignis cadendum est, et mors exspectanda, non quæ animam

σώματος διαιρῶν, ἀλλ' ὁ ταύτην μετ' ἐκείνου εἰς κόλασιν παραπέμπων αἰώνιον ἐκδέχεται, ἐνταῦθα ὅτι μὴ προπετῶς εἰς τοσοῦτον ἑαυτοὺς ἐρρίψαμεν κακὸν, ὀργιεῖσθε καὶ μισήσετε; Μὴ, δέομαι καὶ ἀντιβολῶ. Οἶδα τὴν ἐμαυτοῦ ψυχὴν, τὴν ἀσθενῆ ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος καὶ τὴν πολλὴν τοῦ πράγματος δυσκολίαν. Πλείονα γὰρ τῶν τὴν θάλατταν ταραττόντων πνευμάτων χειμάζει κύματα τὴν τοῦ ἱερωμένου ψυχήν. Καὶ πρῶτον ἁπάντων ὁ δεινότατος τῆς κενοδοξίας σκόπελος, χαλεπώτερος ὢν ἢ ὃν οἱ μυθοποιοὶ τερατεύονται [τῶν Σειρήνων]· τοῦτον γὰρ πολλοὶ μὲν ἰσχυσαν διαπλεύσαντες διαφυγεῖν ἀσινεῖς· ἐμοὶ δὲ οὕτω τοῦτο χαλεπὸν, ὡς μηδὲ νῦν, ὅτε οὐδεμία μέ τις ἀνάγκη πρὸς ἐκεῖνο ὠθεῖ τὸ βάραθρον, δύνασθαι καθαρεύειν τοῦ δεινοῦ. Εἰ δέ καὶ τὴν ἐπιστασίαν τις ἐγχειρίζοι ταύτην, μονονουχὶ δήσας ὀπίσω τὼ χεῖρε, παραδώσει τοῖς ἐν ἐκείνῳ τῷ σκοπέλῳ κατοικοῦσι θηρίοις καθ' ἑκάστην με σπαράττειν τὴν ἡμέραν. Τίνα δέ ἐστι τὰ θηρία; Θυμὸς, ἀθυμία, φθόνος, ἔρις, διαβολαὶ, κατηγορίαι, ψεῦδος, ὑπόκρισις, ἐπιβουλαὶ, εὐχαὶ κατὰ τῶν ἠδικηκότων οὐδὲν, ἡδοναὶ ἐπὶ ταῖς τῶν συλλειτουργούντων ἀσχημοσύναις, πένθος ἐπὶ ταῖς εὐημερίαις, ἐπαίνων ἔρως, τιμῆς πόθος (τοῦτο δὴ τὸ μάλιστα πάντων τὴν ἀνθρωπείαν ἐκτραχηλίζον ψυχήν), διδασκαλίαι πρὸς ἡδονὴν, ἀνελεύθεροι κολακεῖαι, θωπεῖαι ἀγεννεῖς, καταφρονήσεις πενήτων, θεραπεῖαι πλουσίων, ἀλόγιστοι τιμαὶ καὶ ἐπιβλαβεῖς, χάριτες κίνδυνον φέρουσαι καὶ τοῖς παρέχουσι καὶ τοῖς δεχομένοις αὐτὰς, φόβος δουλοπρεπὴς καὶ τοῖς φαυλοτάτοις τῶν ἀνθρώπων προσήκων μόνοις, παῤῥησίας ἀναίρεσις, ταπεινοφροσύνης τὸ μὲν σχῆμα πολὺ, ἡ ἀλήθεια δὲ οὐδαμοῦ, ἔλεγχοι δὲ ἐκποδὼν καὶ ἐπιτιμήσεις, μᾶλλον δὲ κατὰ μὲν τῶν ταπεινῶν καὶ πέρα τοῦ μέτρου, ἐπὶ δὲ τῶν δυναστείαν περιβεβλημένων οὐδὲ διᾶραί τις τὰ χείλη τολμᾷ. Ταῦτα γὰρ ἅπαντα, καὶ τὰ τούτων πλείονα, ὁ σκόπελος ἐκεῖνος τρέφει θηρία, οἷς τοὺς ἅπαξ ἁλόντας εἰς τοσοῦτον ἀνάγκη καθελκυσθῆναι δουλείας, ὡς καὶ εἰς γυναικῶν ἀρέσκειαν πράττειν πολλὰ πολλάκις, ἃ μηδὲ εἰπεῖν καλόν. Ὁ μὲν γὰρ θεῖος νόμος αὐτὰς ταύτης ἐξέωσε τῆς λειτουργίας, ἐκεῖναι δὲ ἑαυτὰς εἰσωθεῖν βιάζονται. Καὶ ἐπειδὴ δι' ἑαυτῶν ἰσχύουσιν οὐδὲν, δι' ἑτέρων ἅπαντα πράττουσι· καὶ τοσαύτην περιβέβληνται δύναμιν, ὡς τῶν ἱερέων καὶ ἐγκρίνειν καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλωσι· καὶ τὰ ἄνω κάτω, τοῦτο δὴ τὸ τῆς παροιμίας λεγόμενον ἔστιν ἰδεῖν γιγνόμενον, τοὺς ἄρχοντας ἄγουσιν οἱ ἀρχόμενοι· καὶ εἴθε μὲν ἄνδρες, ἀλλ' αἷς οὐδὲ διδάσκειν ἐπιτέτραπται· τί λέγω διδάσκειν; οὐδὲ λαλεῖν μὲν οὖν αὐταῖς ἐν Ἐκκλησίᾳ συνεχώρησεν ὁ μακάριος Παῦλος. Ἐγὼ δέ τινος ἤκουσα λέγοντος, ὅτι καὶ τοσαύτης αὐταῖς μετέδωκαν παῤῥησίας, ὡς καὶ ἐπιτιμᾶν τοῖς τῶν Ἐκκλησιῶν προεστῶσι, καὶ καθάπτεσθαι πικρότερον ἐκείνων, ἢ τῶν ἰδίων οἰκετῶν οἱ δεσπόται.

Καὶ μή μέ τις οἰέσθω πάντας ταῖς εἰρημέναις ὑπο-

a corpore divellat, sed quæ hanc cum illo in supplicium æternum conjiciat, jam quia non temere in tantum nos malum præcipitavimus, irascemini nosque odio habebitis? Absit quæso et obsecro. [VIII.] Novi animam meam, infirmam illam et exiguam, necnon ingentem rei difficultatem. Majores sane fluctus iis, quos in mari excitant venti, sacerdotis animum concutiunt. [IX.] Primus autem omnium est teterrimus ille vanæ gloriæ scopulus, longe infestior illo Sirenarum, quem poetæ portentose confingunt. Illum enim multi præternavigantes effugere sine damno potuerunt; mihi ita molestus hic scopulus est, ut ne nunc quidem, ubi nulla me in hoc barathrum compellit necessitas, a malo hujusmodi evadere possim. Si quis autem hanc mihi præfecturam tradat, perinde faciat ac si ligatis a tergo manibus me feris hujus scopuli incolis quotidie lacerandum tradat. Quænam illæ feræ? Ira, tristitia, invidia, contentio, calumniæ, criminationes, mendacium, hypocrisis, insidiæ, devotiones nihil lædentium, voluptates de ministrorum turpitudine, luctus de prosperitate, laudum cupido, honoris desiderium (hoc enim maxime omnium humanum perimit animum), doctrinæ ad voluptatem, illiberales adulationes, palpationes sordidæ, despectus pauperum, cultus divitum, honores indebiti et damnosi, gratiarum largitiones periculum creantes tam largientibus quam accipientibus, timor servilis vilissimisque tantum mancipiis congruens, fiduciæ eliminatio, humilitatis species quidem multa, veritas nulla, arguendi et increpandi facultas sublata; imo potius contra inopes ultra mensuram, adversus autem optimates ne bisoere quidem quisquam audet. Hæc quippe omnia et horum plura alit scopulus ille ferarum genera, quibus semel capti, in tantam necessario servitutem rediguntur, ut et in mulierum gratiam multa sæpe facere cogantur, quæ ne fari quidem decet. Nam lex divina (1 *Cor.* 14. 34) illas ab hoc ministerio repulit: illæ vero se intromittere conantur: et quia nihil per se possunt, per alios omnia agunt, tantamque obtinuerunt potestatem, ut quos velint episcopos vel cooptent vel ejiciant, ac *quæ sursum deorsum*, quod in proverbio vulgatum ipsis jam oculis videre licet: principes suos agunt subditi: atque utinam viri, non illæ etiam quibus ne permittitur quidem docere: quid dico docere? ne loqui quidem in Ecclesia beatus Paulus (*ibid.*) concessit. Audivi autem quemdam dicentem, quod tantam ipsis impertissent libertatem, ut etiam Ecclesiarum antistites objurgarent, illosque acerbius quam servos domini increpent.

Cæterum ne quispiam existimet me omnes simul de me-

δαλλειν αἰτίαις· εἰσὶ γὰρ, εἰσὶ πολλοὶ οἱ τούτων ὑπερενεχθέντες τῶν δικτύων, καὶ τῶν ἁλόντων πλείους. Ἀλλ' οὐδὲ τὴν ἱερωσύνην αἰτιασαίμην ἂν τούτων τῶν κακῶν, μήποτε οὕτω μανείην ἐγώ. Οὔτε γὰρ τὸν σίδηρον τῶν φόνων, οὔτε τὸν οἶνον τῆς μέθης, οὔτε τὴν ῥώμην τῆς ὕβρεως, οὔτε τὴν ἀνδρείαν τῆς ἀλόγου τολμης, ἀλλὰ τοὺς οὐκ εἰς δέον χρωμένους ταῖς παρὰ τοῦ Θεοῦ δεδομέναις δωρεαῖς ἅπαντες οἱ νοῦν ἔχοντες αἰτίους εἶναί φασι καὶ κολάζουσιν. Ἐπεὶ ἥ γε ἱερωσύνη κἂν ἐγκαλέσαι δικαίως ἡμῖν οὐκ ὀρθῶς αὐτὴν μεταχειρίζουσιν. Οὐ γὰρ αὕτη τῶν εἰρημένων ἡμῖν αἰτία κακῶν, ἀλλ' ἡμεῖς αὐτὴν τοσούτοις, τό γε εἰς ἡμᾶς ἧκον, κατερρυπάναμεν μολυσμοῖς, ἀνθρώποις τοῖς τυχοῦσιν ἐγχειρίζοντες αὐτήν· οἵ γε οὔτε τὰς ἑαυτῶν πρότερον καταμαθόντες ψυχὰς, οὔτε εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, δέχονται μὲν προθύμως τὸ διδόμενον, ἡνίκα δ' ἂν εἰς τὸ πράττειν ἔλθωσιν, ὑπὸ τῆς ἀπειρίας σκοτούμενοι, μυρίων ἐμπιπλῶσι κακῶν οὓς ἐπιστεύθησαν λαούς. Τοῦτο δὴ, τοῦτο, ὅπερ καὶ ἐφ' ἡμῶν μικροῦ δεῖν ἔμελλε γίνεσθαι, εἰ μὴ ταχέως ἡμᾶς ὁ Θεὸς τῶν κινδύνων ἐκείνων ἐξείλκυσε, καὶ τῆς Ἐκκλησίας τῆς αὐτοῦ καὶ τῆς ἡμετέρας φειδόμενος ψυχῆς. Ἢ πόθεν, εἰπέ μοι, νομίζεις τὰς τοσαύτας ἐν ταῖς Ἐκκλησίαις τίκτεσθαι ταραχάς; Ἐγὼ μὲν γὰρ οὐδὲ ἄλλοθέν ποθεν οἶμαι ἢ ἐκ τοῦ τὰς τῶν προεστώτων αἱρέσεις καὶ ἐκλογὰς ἁπλῶς καὶ ὡς ἔτυχε γίνεσθαι. Τὴν γὰρ κεφαλὴν ἰσχυροτάτην εἶναι ἐχρῆν, ἵνα τοὺς ἐκ τοῦ λοιποῦ σώματος κάτωθεν πεμπομένους ἀτμοὺς πονηροὺς διοικεῖν καὶ εἰς τὸ δέον καθιστᾶν δύνηται· ὅταν δὲ καθ' ἑαυτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσοποιοὺς ἐκείνας προσβολὰς ἀποκρούσασθαι μὴ δυναμένη, αὐτή τε ἀσθενεστέρα μᾶλλον ἥπερ ἐστὶ καθίσταται, καὶ τὸ λοιπὸν μεθ' ἑαυτῆς προσαπόλλυσι σῶμα. Ὅπερ ἵνα μὴ καὶ νῦν γένηται, ἐν τῇ τάξει τῶν ποδῶν ἡμᾶς ἐφύλαξεν ὁ Θεὸς, ἥνπερ καὶ ἐλάχομεν ἐξ ἀρχῆς. Πολλὰ γάρ ἐστιν, ὦ Βασίλειε, πρὸς τοῖς εἰρημένοις, πολλὰ ἕτερα, ἃ τὸν ἱερώμενον ἔχειν χρὴ, ἡμεῖς δὲ οὐκ ἔχομεν· καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο· πανταχόθεν αὐτῷ τῆς τοῦ πράγματος ἐπιθυμίας καθαρεύειν δεῖ τὴν ψυχήν· ὡς ἐὰν προσπαθῶς πρὸς ταύτην διακείμενος τύχῃ τὴν ἀρχὴν, γενόμενος ἐπ' αὐτῆς, ἰσχυροτέραν ἀνάπτει τὴν φλόγα, καὶ κατὰ κράτος ἄλους, ὑπὲρ τοῦ βεβαίαν ἔχειν αὐτὴν μυρία ὑπομένει δεινὰ, κἂν κολακεῦσαι δέῃ, κἂν ἀγεννές τι καὶ ἀνάξιον ὑπομεῖναι, κἂν χρήματα ἀναλῶσαι πολλά. Ὅτι γὰρ καὶ φόνων τὰς Ἐκκλησίας ἐνέπλησάν τινες, καὶ πόλεις ἀναστάτους ἐποίησαν ὑπὲρ ταύτης μαχόμενοι τῆς ἀρχῆς, παρίημι νῦν, μὴ καὶ ἄπιστα δόξω λέγειν τισίν. Ἐχρῆν δὲ, οἶμαι, τοσαύτην τοῦ πράγματος ἔχειν εὐλάβειαν, ὡς καὶ τὴν ἀρχὴν ἐκφυγεῖν τὸν ὄγκον, καὶ μετὰ τὸ γενέσθαι ἐν αὐτῇ μὴ περιμένειν τὰς παρ' ἑτέρων κρίσεις, εἴ ποτε συμβαίη καθαίρεσιν ἱκανὸν ἐργάσασθαι ἁμάρτημα, ἀλλὰ προλαβόντα ἐκβάλλειν ἑαυτὸν τῆς ἀρχῆς. Οὕτω

moratis criminibus reos agere. [X.] Sunt enim, sunt, inquam, multi his retibus superiores, imo plures iis qui capti sunt. Neque tamen sacerdotium tanquam horum causam malorum culpaverim: absit ut eo neque insaniam; neque enim ferrum caedium, neque vinum ebrietatis, neque fortitudinem contumeliae, neque robur inconsideratae audaciae, sed eos qui Dei donis illicito utuntur, omnes sanae mentis homines causam esse dicunt, illosque puniunt. Quandoquidem et sacerdotium nos jure culpare possit si non recte ipsum tractemus: neque enim in causa est eorum, quae supra diximus, malorum; sed nos ipsum tantis, quantum facultas tulit, polluimus sordibus, cum quibuslibet ipsum tradimus: qui cum neque animi vim sui edidicerint, neque rei molem considerent, oblatum munus avide suscipiunt; cum autem manus operi admovenda est, imperitia sua obtenebrati commissos sibi populos malis replent innumeris. Hoc sane, hoc ipsum pene in nobis futurum erat, nisi nos Deus subito ex tantis periculis eruisset, et Ecclesiae suae et animae nostrae consulens. Aut unde, dic mihi, aliunde putas tantos in Ecclesiis oriri tumultus? Ego sane non aliunde existimo, quam quia praesulum electiones temere et inconsulto fiunt. Nam caput oportebat firmissimum esse, ut pravas exhalationes ex imo corpore emissas dispensare et ad congruentem statum reducere posset. Cum autem per se caput infirmum est, nec morbosos illos vapores depellere potest, tunc ipsum infirmius in dies redditur, et reliquum corpus secum in perniciem trahit. Quod ne nunc etiam fiat, in pedum ordine nos Deus servavit, quo in statu ab initio fuimus. Multa enim, Basili, multa sane sunt, praeter ea quae diximus, sacerdoti necessaria, quae nos non habemus: illud vero prae omnibus, nempe illius muneris concupiscentia animus ejus omnino vacuus sit oportet; nam si ad eum principatum nimio affectu propendeat, eo adepto vehementiorem accendit flammam: ac vi captus, ut eum sibi firmiorem statuat, innumera sustinet mala, sive adulandum sit, sive quidpiam servile atque indignum sustinendum, sive pecuniae multae absumendae. Nam quod multi ejus dignitatis gratia pugnantes Ecclesias caedibus repleverint, civitatesque devastaverint, id jam missum facio, ne quibusdam incredibilia narrare videar. Oportere autem puto tanta circa rem hanc pietate teneri, ut ab initio illius molem onusque declines; adeptus vero, non aliorum judicia expectes, si quando in delictum incidas depositione dignum, sed antevertens te ipsum ab illo munere

μὲν γὰρ καὶ ἔλεον ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ εἰκὸς ἦν· τὸ δὲ ἀντέχεσθαι παρὰ τὸ πρέπον τῆς ἀξίας, πάσης ἑαυτὸν ἀποστερεῖν συγγνώμης ἐστὶ, καὶ μᾶλλον ἐκκαίειν τοῦ Θεοῦ τὴν ὀργὴν, δεύτερον χαλεπώτερον προστιθέντα πλημμέλημα.

Ἀλλ' οὐδεὶς ἀνέξεταί ποτε. Δεινὸν γὰρ ἀληθῶς, δεινὸν τὸ ταύτης γλίχεσθαι τῆς τιμῆς. Καὶ οὐ μαχόμενος τῷ μακαρίῳ Παύλῳ ταῦτα λέγω, ἀλλὰ καὶ πάνυ συνᾴδων αὐτοῦ τοῖς ῥήμασι. Τί γὰρ ἐκεῖνός φησιν; « Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. » Ἐγὼ δὲ οὐ τοῦ ἔργου, τῆς δὲ αὐθεντίας καὶ δυναστείας ἐπιθυμεῖν εἶπον εἶναι δεινόν. Καὶ τοῦτον οἶμαι δεῖν τὸν πόθον πάσῃ σπουδῇ τῆς ψυχῆς ἐξωθεῖν, καὶ μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι αὐτὴν ὑπ' αὐτοῦ συγχωρεῖν, ἵνα μετ' ἐλευθερίας ἅπαντα αὐτῷ πράττειν ἐξῇ. Ὁ γὰρ οὐκ ἐπιθυμῶν ἐπὶ ταύτης δειχθῆναι τῆς ἐξουσίας οὐδὲ τὴν καθαίρεσιν αὐτῆς δέδοικεν, οὐ δεδοικὼς δὲ μετὰ τῆς προσηκούσης Χριστιανοῖς ἐλευθερίας πάντα πράττειν δύναιτ' ἄν· ὡς οἵ γε φοβούμενοι καὶ τρέμοντες κατενεχθῆναι ἐκεῖθεν, πικρὰν ὑπομένουσι δουλείαν καὶ πολλῶν γέμουσαν τῶν κακῶν, καὶ ἀνθρώποις καὶ Θεῷ προσκρούειν ἀναγκάζονται πολλάκις. Δεῖ δὲ οὐχ οὕτω διακεῖσθαι τὴν ψυχὴν, ἀλλ', ὥσπερ ἐν τοῖς πολέμοις τοὺς γενναίους τῶν στρατιωτῶν ὁρῶμεν καὶ πολεμοῦντας προθύμως καὶ πίπτοντας ἀνδρείως, οὕτω καὶ τοὺς ἐπὶ ταύτην ἥκοντας τὴν οἰκονομίαν καὶ ἱερᾶσθαι καὶ παραλύεσθαι τῆς ἀρχῆς, ὡς Χριστιανοῖς ἔστι προσῆκον ἀνδράσιν, εἰδότας ὡς ἡ τοιαύτη καθαίρεσις οὐκ ἐλάττονα φέρει τῆς ἀρχῆς τὸν στέφανον. Ὅταν γάρ τις ὑπὲρ τοῦ μηδὲν ἀπρεπὲς μηδ' ἀνάξιόν τι τῆς ἀξίας ὑπομεῖναι ἐκείνης πάθῃ τι τοιοῦτον, καὶ τοῖς ἀδίκως καθελοῦσι τὴν κόλασιν, καὶ ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν. « Μακάριοι γάρ, φησὶν, ἐστὲ ὅταν ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολύς ἐστιν ἐν τοῖς οὐρανοῖς. » Καὶ ταῦτα μὲν ὅταν ὑπὸ τῶν ὁμοταγῶν ἢ διὰ φθόνον, ἢ πρὸς ἑτέρων χάριν, ἢ πρὸς ἀπέχθειαν, ἢ ἑτέρῳ τινὶ μὴ ὀρθῷ τις ἐκβάλληται λογισμῷ· ὅταν δὲ καὶ ὑπὸ τῶν ἐναντίων τοῦτο πάσχειν συμβαίνῃ, οὐδὲ λόγου δεῖν οἶμαι πρὸς τὸ δεῖξαι τὸ κέρδος, ὅσον αὐτῷ διὰ τῆς ἑαυτῶν συλλέγουσι πονηρίας ἐκεῖνοι. Τοῦτο οὖν δεῖ πανταχόθεν περισκοπεῖν καὶ ἀκριβῶς διερευνᾶν, μή πού τις σπινθὴρ τῆς ἐπιθυμίας ἐκείνης ἐντυφόμενος λάθῃ. Ἀγαπητὸν γὰρ καὶ τοὺς ἐξ ἀρχῆς καθαρεύοντας τοῦ πάθους, ἡνίκα ἂν ἐμπέσωσιν εἰς τὴν ἀρχὴν, δυνηθῆναι τοῦτο διαφυγεῖν. Ἐὰν δέ τις καὶ πρὶν ἢ τυχεῖν τῆς τιμῆς τρέφῃ παρ' ἑαυτῷ τὸ δεινὸν καὶ ἀπηνὲς τοῦτο θηρίον, οὐδὲ ἔστιν εἰπεῖν εἰς ὅσην ἑαυτὸν ἐμβάλλει κάμινον μετὰ τὸ τυχεῖν. Ἡμεῖς δέ (καὶ μήτοι νομίσῃς μετριάζοντας ἡμᾶς ἐθελῆσαι ἄν τί ποτε ψεύσασθαι πρὸς σέ) πολλὴν ταύτην κεκτήμεθα τὴν ἐπιθυμίαν, καὶ μετὰ τῶν ἄλλων ἁπάντων οὐχ ἧττον ἡμᾶς καὶ τοῦτο ἐφόβησε, καὶ πρὸς

exturbes. Sic enim par est ut divinam misericordiam impetres : quodsi præter decorum dignitati inæreas illi, te indignum venia constituis, magisque Dei iram accendis, dum secundum addis deterius facinus.

Sed nemo unquam hoc dedecus sustineat. Grave quippe est, grave admodum hunc honorem appetere. Id vero non cum beato Paulo decertans dico, sed verbis ejus maxime consentiens. Quid enim ait ille? (1 *Tim.* 3. 2) *Si quis episcopatum desiderat, bonum opus desiderat.* [XI.] Ego vero non opus, sed auctoritatem et potentiam desiderare grave dico esse. Hancque concupiscentiam toto studio ab animo deturbandam, nec vel initio retinendam censeo, ut cum libertate omnia facere possit. Nam qui non concupiscit in hac potestate splendere, is sane deturbari non formidat : si non formidet, cum ea quæ Christianos decet libertate omnia facere poterit. Itaque qui inde deturbari metuunt ac formidant, duram multisque incommodis refertam sustinent servitutem, atque in hominum ipsiusque Dei offensionem incurrere sæpe coguntur. Non sic autem anima affecta esse debet; sed quemadmodum in præliis strenuos milites videmus alacriter pugnare, fortiterque cadere, ita et eos, qui ad hoc ministerium accedunt, par est et sacerdotio fungi, et a principatu dejici eo modo, quo Christianos viros decet, cum sciant talem depositionem non minorem, quam ipsum principatum, referre coronam. Quando enim quis, ut nihil indecorum, vel dignitati non consentaneum sustineat, simile quidpiam patitur, et se injuste deponentibus supplicium, et majorem mercedem procurat sibi : nam *Beati*, inquit (*Matth.* 5. 11 *et* 12), *estis, cum exprobraverint vos et persecuti fuerint, et dixerint omne malum verbum adversum vos mentientes, propter me : gaudete et exsultate, quia multa est merces vestra in cœlis.* Et hæc cum a comministris vel per invidiam, vel ad aliorum gratiam, vel per inimicitiam, vel alia quadam non recta ratione, quis ex loco suo movetur. Cum autem ab adversariis id patitur, nulla puto esse oratione opus ad lucrum demonstrandum, quod illi malitia sua ipsi colligunt. Id ergo undique circumspiciendum et accurate explorandum est, ne qua desiderii illius scintilla ardens lateat. Optandum quippe est eos, qui initio hoc morbo liberi fuere, ubi ad hujusmodi dignitatem pervenerint, illum effugere posse. Quodsi quis, antequam honorem illum assequatur, hanc sævam immanemque feram penes se nutriat, dici nequit in quantam fornacem illum nactus se conjiciat. Nos autem (ne vero putes modestiæ causa me ullatenus apud te mentiri velle) magna hujusmodi cupidine tenemur : quæ res una cum aliis omnibus non parum nos

ταύτην ἔτρεψε τὴν φυγήν. Καθάπερ γὰρ οἱ σωμάτων ἐρῶντες, ἕως μὲν ἂν πλησίον εἶναι τῶν ἐρωμένων ἐξῇ, χαλεπωτέραν τοῦ πάθους τὴν βάσανον ἔχουσιν, ὅταν δὲ ὡς πορρωτάτω τῶν ποθουμένων ἑαυτοὺς ἀπαγάγωσι, καὶ τὴν μανίαν ἀπέλασαν· οὕτω καὶ τοῖς ταύτης ἐπιθυμοῦσι τῆς ἀρχῆς, ὅταν μὲν πλησίον αὐτῆς γένωνται, ἀφόρητον γίνεται τὸ κακὸν, ὅταν δὲ ἀπελπίσωσι, καὶ τὴν ἐπιθυμίαν μετὰ τῆς προσδοκίας ἔσβεσαν.

Μία μὲν οὖν αὕτη πρόφασις οὐ μικρά. Ἀλλ' εἰ καὶ μόνη καθ' ἑαυτὴν οὖσα ἐτύγχανεν, ἱκανὴ ταύτης ἡμᾶς ἀπεῖρξαι τῆς ἀξίας· νῦν δὲ καὶ ἑτέρα ταύτης οὐχ ἧττων προστέθειται. Τίς δέ ἐστιν αὕτη; Νηφάλιον εἶναι δεῖ τὸν ἱερέα, καὶ διορατικὸν, καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμοὺς, ὡς οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ. Ἡμεῖς δὲ ὅτι νωθροὶ καὶ παρειμένοι καὶ πρὸς τὴν ἑαυτῶν μόλις ἀρκοῦντες σωτηρίαν, καὶ αὐτὸς ἂν ὁμολογήσειας, ὁ μάλιστα πάντων τὰ ἡμέτερα διὰ τὸ φιλεῖν κρύπτειν σπουδάζων κακά. Μὴ γάρ μοι νηστείαν ἐνταῦθα καὶ ἀγρυπνίαν εἴπῃς, μηδὲ χαμευνίαν καὶ τὴν λοιπὴν τοῦ σώματος σκληραγωγίαν· καὶ τούτων μὲν γὰρ ὅσον ἀπέχομεν οἶδας. Εἰ δὲ καὶ εἰς ἀκρίβειαν ἡμῖν κατώρθωτο, οὐδὲ οὕτως μετὰ τῆς παρούσης νωθρότητος ἰσχυσεν ἄν τι πρὸς τὴν ἐπιστασίαν ἡμᾶς ταῦτα ὠφελῆσαι ἐκείνην. Ἀνθρώπῳ μὲν γὰρ εἰς οἰκίσκον τινὰ κατακλεισθέντι, καὶ τὰ αὑτοῦ μεριμνῶντι μόνον, πολλὴν ἂν ταῦτα παράσχοι τὴν ὠφέλειαν· εἰς δὲ τοσοῦτον σχιζομένῳ πλῆθος, καὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἰδίας κεκτημένῳ φροντίδας, τί δύναιτ' ἂν πρὸς τὴν ἐκείνων ἐπίδοσιν ἀξιόπιστον συμβαλέσθαι κέρδος, ἐὰν μὴ ψυχὴν αὐτόνομον καὶ ἰσχυροτάτην ἔχων τύχῃ; Καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τοσαύτην καρτερίαν ἑτέραν βάσανον ζητῶ τῆς ἐν τῇ ψυχῇ ἀνδρείας. Τὸ μὲν γὰρ σίτων καὶ ποτῶν καὶ στρωμνῆς καταφρονεῖν ἁπαλῆς, πολλοῖς οὐδὲ ἔργον ὁρῶμεν ὄν, καὶ μάλιστά γε τοῖς ἀγροικότερον διακειμένοις, καὶ οὕτως ἐκ πρώτης τραφεῖσι τῆς ἡλικίας, καὶ πολλοῖς δὲ ἑτέροις, τῆς τε τοῦ σώματος κατασκευῆς καὶ τῆς συνηθείας ἐξευμαριζούσης τὴν ἐν ἐκείνοις τοῖς πόνοις τραχύτητα· ὕβριν δὲ, καὶ ἐπήρειαν καὶ λόγον φορτικὸν, καὶ τὰ παρὰ τῶν ἐλαττόνων σκώμματα, τά τε ἁπλῶς καὶ τὰ ἐν δίκῃ λεγόμενα, καὶ μέμψεις τὰς εἰκῇ καὶ μάτην παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν ἀρχομένων γινομένας, οὐ τῶν πολλῶν ἐνεγκεῖν, ἀλλ' ἑνός που καὶ δευτέρου· καὶ ἴδοι τις ἂν τοὺς ἐν ἐκείνοις ἰσχυροὺς πρὸς ταῦτα οὕτως ἰλιγγιῶντας, ὡς μᾶλλον τῶν χαλεπωτάτων ἀγριαίνειν θηρίων. Τοὺς δὲ τοιούτους μάλιστα τῶν τῆς ἱερωσύνης ἀπείρξομεν περιβόλων. Τὸ μὲν γὰρ μήτε πρὸς τὰ σῖτα ἀπηγχονίσθαι, μήτε ἀνυπόδετον εἶναι τὸν προεστῶτα, οὐδὲν ἂν βλάψειε τὸ κοινὸν τῆς Ἐκκλησίας· θυμὸς δὲ ἄγριος εἴς τε τὸν κεκτημένον εἴς τε τοὺς πλησίον μεγάλας ἐργάζεται συμφοράς. Καὶ τοῖς μὲν ἐκεῖνα μὴ ποιοῦσιν οὐδεμία ἀπειλὴ παρὰ τοῦ Θεοῦ

exterruit, et in hanc fugam vertit. Quemadmodum enim corporum amatores, quamdiu licet cum amatis versari, graviorem morbi cruciatum habent; cum autem procul illis abducuntur, tunc insaniam excutiunt: sic et qui principatus istius cupidine tenentur, cum penes illum sunt, malo ferendo sunt impares; ubi vero spem amittunt, cum exspectatione ipsam cupidinem extinguunt.

Hæc una causa est non mediocris: quæ licet sola esset, nos ab hac dignitate arcere posset. Verum et alia additur hac non minor. Quæ illa? [XII.] Vigilantem oportet episcopum esse, perspicacem, et innumeris undique præditum oculis, utpote qui non sibi solum, sed tantæ multitudini vivat. Nos vero segnes sumus et remissi, et nostræ saluti vix sufficientes. Hoc vel tute fateare, qui maxime omnium amicitiæ causa mala nostra obtegere conaris. Ne mihi enim hic jejunium alleges, vel vigilias, vel humi cubationem, et reliquam corporis macerationem: nam quantum ab his virtutibus absimus, non ignoras. Etiamsi vero a nobis accurate excolerentur, nihil hæc nos tanta animi segnitie præditos ad hanc præfecturam juvarent. Homini quippe in domuncula quadam incluso et sua solum curanti hæc magnam afferrent utilitatem; sed in tantam multitudinem scisso, et cujusque subditorum peculiarem sollicitudinem gerenti, quid id lucri afferat ad illorum profectum, nisi animum virilem ac fortissimum obtineat? [XIII.] Neque mireris si cum tanta tolerantia alterum postulo fortis animi experimentum. Nam delicatum cibum, potum, lectum despicere, multis facile esse videmus, maxime vero iis qui natura agrestiores et a teneris sic educati sunt, ac multis item aliis, corporis temperamento atque consuetudine laborum hujusmodi asperitatem mitigantibus. At contumelia, damnum, molestum verbum, dicteria ab inferioribus tum temere, tum jure merito prolata, querimonias frustra et temere tum a principibus tum a subditis oblatas, non multi ferre possunt, sed unus fortasse vel alter. Videreque est etiam viros in illis fortes ad hæc ita vertigine captos, ut vel immanissimis belluis ferius exasperentur: hos vero maxime a sacerdotii septis arcebimus. Antistitem quippe nec inedia afflictari, nec nudis pedibus incedere, id sane Ecclesiæ cœtui nihil afferet detrimenti: furor autem animi et illi et proximo magnas parit calamitates. Atque iis quidem, qui supra dicta non præstant, nulla a Deo comminatio: at temere excandescentibus et gehennam et ge-

κεῖται, τοὶς δὲ ἁπλῶς ὀργιζομένοις γέεννα καὶ τὸ τῆς γεέννης ἠπείληται πῦρ. Ὥσπερ οὖν ὁ δόξης ἐρῶν κενῆς, ὅταν τῆς τῶν πολλῶν ἀρχῆς ἐπιλάβηται, μείζονα τῷ πυρὶ παρέχει τὴν ὕλην, οὕτως ὁ καθ' ἑαυτὸν καὶ ἐν ταῖς πρὸς ὀλίγους ὁμιλίαις κρατεῖν ὀργῆς μὴ δυνάμενος, ἀλλ' ἐκφερόμενος εὐχερῶς, ὅταν πλήθους ὅλου προστασίαν ἐμπιστευθῇ, καθάπερ τι θηρίον πανταχόθεν καὶ ὑπὸ μυρίων κεντούμενον, οὔτε αὐτὸς ἐν ἡσυχίᾳ δύναιτ' ἄν ποτε διάγειν, καὶ τοὺς ἐμπιστεύοντας αὐτῷ μυρία διατίθησι κακά. Οὐδὲν γὰρ οὕτω καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς φερόμενος τῆς ῥύμης· « Οὗτος γὰρ, φησὶν, ἀπόλλυσι καὶ τοὺς φρονίμους. » Καθάπερ γὰρ ἔν τινι νυκτομαχίᾳ σκοτωθεὶς ὁ τῆς ψυχῆς ὀφθαλμὸς οὐχ εὑρίσκει διακρῖναι τοὺς φίλους τῶν πολεμίων, οὐδὲ τοὺς ἐντίμους τῶν ἀτίμων, ἀλλὰ πᾶσιν ἐξῆς ἐνὶ κέχρηται τρόπῳ, κἂν λαβεῖν τι δέῃ κακὸν, ἅπαντα εὐκόλως ὑπομένων ὑπὲρ τοῦ πληρῶσαι τὴν τῆς ψυχῆς ἡδονήν. Ἡδονὴ γάρ τίς ἐστιν ἡ τοῦ θυμοῦ πύρωσις, καὶ ἡδονῆς χαλεπώτερον τυραννεῖ τὴν ψυχὴν, πᾶσαν αὐτῆς τὴν ὑγιῆ κατάστασιν ἄνω καὶ κάτω ταράττουσα. Καὶ γὰρ πρὸς ἀπόνοιαν αἴρει ῥᾳδίως, καὶ ἔχθρας ἀκαίρους, καὶ μῖσος ἄλογον, καὶ προσκρούματα ἁπλῶς καὶ εἰκῇ προσκρούειν παρασκευάζει συνεχῶς, καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ λέγειν καὶ πράττειν βιάζεται, πολλῷ τῷ ῥοίζῳ τοῦ πάθους τῆς ψυχῆς ὑποσυρομένης, καὶ οὐκ ἐχούσης ὅποι τὴν αὐτῆς ἐρείσασα δύναμιν ἀντιστήσεται πρὸς τοσαύτην ὁρμήν.

ΒΑΣΙΛ. Ἀλλ' οὐκ ἔτι σε εἰρωνευόμενον ἀνέξομαι περαιτέρω. Τίς γὰρ οὐκ οἶδε, φησὶν, ὅσον ταύτης ἀπέχεις τῆς νόσου;

ΧΡΥΣΟΣΤ. Τί οὖν, ἔφην, ὦ μακάριε, βούλει πλησίον με τῆς πυρᾶς ἀγαγεῖν, καὶ παροξῦναι τὸ θηρίον ἠρεμοῦν; Ἢ ἀγνοεῖς ὡς οὐκ οἰκείᾳ τοῦτο κατωρθώσαμεν ἀρετῇ, ἀλλ' ἐκ τοῦ τὴν ἡσυχίαν ἀγαπᾶν, τὸν δὲ οὕτω διακείμενον ἀγαπητὸν ἐφ' ἑαυτοῦ μένοντα, καὶ ἑνὶ μόνῳ ἢ δευτέρῳ χρώμενον φίλῳ, δυνηθῆναι τὸν ἐκεῖθεν διαφυγεῖν ἐμπρησμὸν, μὴ ὅτι εἰς τὴν ἄβυσσον τῶν τοσούτων ἐμπεσόντα φροντίδων; Τότε γὰρ οὐχ ἑαυτὸν μόνον, ἀλλὰ καὶ ἑτέρους πολλοὺς ἐπισύρει μεθ' ἑαυτοῦ πρὸς τὸν τῆς ἀπωλείας κρημνὸν, καὶ περὶ τὴν τῆς ἐπιεικείας ἐπιμέλειαν ἀργοτέρους καθίστησι. Πέφυκε γὰρ ὡς τὰ πολλὰ τὸ τῶν ἀρχομένων πλῆθος ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα τοὺς τῶν ἀρχόντων τρόπους ὁρᾶν, καὶ πρὸς ἐκείνους ἐξομοιοῦν ἑαυτούς. Πῶς οὖν ἄν τις τὰς ἐκείνων παύσειε φλεγμονὰς, οἰδαίνων αὐτός; τίς δ' ἂν ἐπιθυμήσειε ταχέως τῶν πολλῶν γενέσθαι μέτριος, τὸν ἄρχοντα ὀργίλον ὁρῶν; Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὰ τῶν ἱερέων κρύπτεσθαι ἁλαττώματα, ἀλλὰ καὶ τὰ μικρότατα ταχέως κατάδηλα γίνεται. Καὶ γὰρ ἀθλητὴς, ἕως μὲν ἂν οἴκοι μένῃ, καὶ μηδενὶ συμπλέκηται, δύναιτ' ἂν λανθάνειν, κἂν ἀσθενέστατος ὢν τύχῃ· ὅταν δὲ ἀποδύσηται πρὸς τοὺς ἀγῶνας, ῥᾳδίως ἐλέγχεται. Καὶ τῶν ἀνθρώπων τοίνυν οἱ μὲν τὸν ἰδιωτικὸν

hennæ ignem Deus comminatus est (*Matth.* 5. 22). Quemadmodum igitur vanæ gloriæ cupidus, cum multorum præfecturam adit, majorem igni præbet materiam; sic et qui nec apud se, nec in familiaribus paucorum colloquiis iram continere potest, sed facile excandescit, huic si popularis magistratus tradatur, ceu fera quædam a multis undique extimulata, neque ipse quieto unquam animo esse potest, insuperque commisso sibi populo innumera procurat mala. [XIV.] Nihil enim sic ingenii puritatem mentisque aciem obturbat, ut ira inordinata, quæ multo fertur impetu. *Ira* enim, inquit ille (*Prov.* 15. 1), *etiam prudentes perdit.* Nam quemadmodum in nocturno prælio obtenebratus mentis oculus amicos ab adversariis discernere nequit, nec nobiles ab ignobilibus; sed cum omnibus eodem se gerit modo, et si quid mali subeundum sit, omnia facile patitur, ut animi voluptatem impleat. Nam certe voluptas quædam est animi excandescentia, et voluptate majorem in animum exercet tyrannidem, tranquillum ejus statum sus deque revolvens: nam in arrogantiam facile impellit, et simultates intempestivas, et odium sine ulla causa, et offensiones temere natas frequenter parat, multaque his similia et dicere et facere cogit, animo multo cum stridore morbi ultro citroque tracto, ita ut nullo modo stare et tanto impetui obsistere queat.

BASILIUS. Ego vero te sic dissimulantem non ulterius patiar. Quis enim ignorat quantum ab hoc morbo tu sis alienus?

CHRYSOST. Quid igitur, inquam, o vir beate, vis me huic rogo admovere, ac feram quiescentem irritare? An ignoras id nobis non nostra virtute successisse, sed ex quietæ vitæ amore; eum vero qui sic affectus est, si seorsum degens, et uno alterove utens amico, possit hujusmodi incendium effugere, contentum esse debere ut re feliciter eveniente; non posse autem, si in tot curarum abyssum incidat? Tunc enim non se solum, sed et alios permultos ad interitus præcipitium secum trahit, et ad virtutis curam segniores efficit. Solet enim subditorum turba præfectorum sibi mores ceu archetypum et quamdam imaginem spectare, seque ad illorum formam effingere. Qui ergo possit illo eorum tumores sedare, si tumeat ipse? quis facile plebeius moderatus fieri cupiat, si principem iracundum videat? Neutiquam enim possunt sacerdotum vitia latere, sed minima etiam cito conspicua sunt. Siquidem athleta quamdiu domi manet, et cum nullo congreditur, licet infirmior sit, occultare se potest; cum autem nudatus in arenam descendit, statim qui sit evincitur. Homines itaque qui seorsum et in otio vitam agunt, vitiorum suorum tegmen habent soli-

τοῦτον καὶ ἀπράγμονα βιοῦντες βίον, ἔχουσι παραπέτασμα τῶν ἰδίων ἁμαρτημάτων τὴν μόνωσιν· εἰς δὲ τὸ μέσον ἀχθέντες καθάπερ ἱμάτιον τὴν ἠρεμίαν ἀποδῦναι ἀναγκάζονται, καὶ πᾶσι γυμνὰς ἐπιδεῖξαι τὰς ψυχὰς διὰ τῶν ἔξωθεν κινημάτων. Ὥσπερ οὖν αὐτῶν τὰ κατορθώματα πολλοὺς ὤνησε πρὸς τὸν ἴσον παρακαλοῦντα ζῆλον, οὕτω καὶ τὰ πλημμελήματα ῥᾳθυμοτέρους κατέστησε περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ βλακεύειν πρὸς τοὺς ὑπὲρ τῶν σπουδαίων παρεσκεύασε πόνους. Διὸ χρὴ πάντοθεν αὐτοῦ τὸ κάλλος ἀποστίλβειν τῆς ψυχῆς, ἵνα καὶ εὐφραίνειν ἅμα καὶ φωτίζειν δύνηται τὰς τῶν ὁρώντων ψυχάς. Τὰ μὲν γὰρ τῶν τυχόντων ἁμαρτήματα, ὥσπερ ἔν τινι σκότῳ πραττόμενα, τοὺς ἐργαζομένους ἀπώλεσε μόνους· ἀνδρὸς δὲ ἐπιφανοῦς καὶ πολλοῖς γνωρίμου πλημμέλεια κοινὴν ἅπασι φέρει τὴν βλάβην, τοὺς μὲν ἀναπεπτωκότας πρὸς τοὺς ὑπὲρ τῶν ἀγαθῶν ἱδρῶτας ὑπτιωτέρους ποιοῦσα, τοὺς δὲ προσέχειν ἑαυτοῖς βουλομένους ἐρεθίζουσα πρὸς ἀπόνοιαν. Χωρὶς δὲ τούτων τὰ μὲν τῶν εὐτελῶν παραπτώματα, κἂν εἰς τὸ μέσον ἔλθῃ, οὐδένα ἔπληξεν ἀξιόλογον πληγήν· οἱ δὲ ἐν τῇ κορυφῇ ταύτης καθήμενοι τῆς τιμῆς, πρῶτον μὲν πᾶσίν εἰσι καταδήλοι, ἔπειτα, κἂν ἐν τοῖς μικροτάτοις σφαλῶσι, μεγάλα τὰ μικρὰ τοῖς ἄλλοις φαίνεται. Οὐ γὰρ τῷ τοῦ γεγονότος μέτρῳ, ἀλλὰ τῇ τοῦ διαμαρτόντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. Καὶ δεῖ τὸν ἱερέα καθάπερ τισὶν ἀδαμαντίνοις ὅπλοις πεφράχθαι πάντοθεν τῇ τε συντόνῳ σπουδῇ καὶ τῇ διηνεκεῖ περὶ τὸν βίον νήψει, πάντοθέν τε περισκοπεῖν, μή πού τις γυμνὸν εὑρὼν τόπον καὶ παρημελημένον, πλήξῃ καιρίαν πληγήν. Πάντες γὰρ περιεστήκασι τρῶσαι ἕτοιμοι καὶ καταβαλεῖν, οὐ τῶν ἐχθρῶν μόνον καὶ πολεμίων, ἀλλὰ καὶ αὐτῶν πολλοὶ τῶν προσποιουμένων φιλίαν.

Τοιαύτας οὖν ἐπιλέγεσθαι δεῖ ψυχάς, οἷα τὰ τῶν ἁγίων ἐκείνων ἀπέδειξε σώματα ἡ τοῦ Θεοῦ χάρις ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ ποτέ. Οὐ γὰρ κληματὶς καὶ πίσσα καὶ στυππεῖον ἡ τοῦ πυρὸς τούτου τροφή, ἀλλὰ πολὺ τούτων χαλεπωτέρα· ἐπεὶ μηδὲ πῦρ τὸ αἰσθητὸν ὑπόκειται ἐκεῖνο, ἀλλ' ἡ παμφάγος αὐτοὺς τῆς βασκανίας περιστοιχίζεται φλὸξ, πανταχόθεν ἐπαιρομένη, καὶ ἀκριβέστερον αὐτῶν ἐπιοῦσα καὶ διερευνωμένη τὸν βίον ἢ τὸ πῦρ τότε τῶν παίδων ἐκείνων τὰ σώματα. Ὅταν οὖν εὕρῃ καλάμης ἴχνος μικρὸν, προσπλέκεται ταχέως· καὶ τὸ μὲν σαθρὸν ἐκεῖνο κατέκαυσε μέρος, τὴν δὲ λοιπὴν ἅπασαν οἰκοδομίαν, κἂν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέρα οὖσα τύχῃ, ἀπ' ἐκείνου τοῦ καπνοῦ προσέφλεξε καὶ ἠμαύρωσεν ἅπασαν. Ἕως μὲν γὰρ ἂν πανταχόθεν ἡρμοσμένος ᾖ καλῶς ὁ τοῦ ἱερέως βίος, ἀνάλωτος γίνεται ταῖς ἐπιβουλαῖς· ἂν δὲ τύχῃ μικρόν τι παριδών, οἷα εἰκὸς ἄνθρωπον ὄντα καὶ τὸ πολυπλανὲς τοῦ βίου τούτου περῶντα πέλαγος, οὐδὲν αὐτῷ τῶν λοιπῶν κατορθωμάτων ὄφελος πρὸς τὸ δυνηθῆναι τὰ τῶν κατηγόρων στόματα διαφυγεῖν, ἀλλ' ἐπισκιάζει παντὶ τῷ λοιπῷ τὸ μικρὸν ἐκεῖνο παράπτωμα. Καὶ

tudinem; in medium adducti sicut vestimentum solitudinem exuere coguntur, exque externis motibus nudum omnibus animum exhibere. Quemadmodum ergo ipsorum præclara gesta multis prosunt ad simile studium evocantia, sic et eorum vitia alios ad virtutis exercitium segniores efficiunt, et ad bonorum operum laborem torpere faciunt. Quamobrem animæ ejus pulchritudinem splendere oportet, ut spectatorum animos oblectare simul et illustrare possit. Nam vulgarium hominum peccata, quasi in tenebris perpetrata, peccantes solos perdunt: viri autem illustris et multis cogniti scelus, commune omnibus affert detrimentum, dum remissos ad sudores pro bonis operibus capessendos supiniores efficit, eos autem qui sibi attendere cupiunt, ad superbiam excitat. Ad hæc vero, vulgarium delicta, vel in medium adducta, nemini ita profundam infligunt plagam: qui autem in hoc honoris fastigio sedent, primo omnibus sunt conspicui; deinde, licet in minimis labantur, quæ minora sunt aliis, magna videntur. Non enim ipsius facti mensura, sed peccantis dignitate peccatum omnes metiuntur. Sane sacerdotem oportet ceu quibusdam adamantinis armis undequaque muniri, assiduo nempe studio, et perenni circa vitam vigilantia, undique circumspiciendo, ne quis nudo ac neglecto loco reperto letale infligat vulnus. Omnes enim circumstant parati, ut vulnerent ac dejiciant, non modo ex hostibus et inimicis multi, sed etiam ex iis, qui amicitiam simulant.

Tales igitur animas eligi oportet, qualia sanctorum olim illorum corpora in Babylonica fornace Dei gratia exhibuit. Neque enim ignis hujus esca sunt sarmentum, pix et stuppa, sed his multo graviora, quandoquidem non sensibilis ille ignis subjacet, sed omnia devorans invidiæ flamma ipsum circumsistit, undique se attollens, ipsi ingruens, accuratiusque ipsum examinans, quam tunc ignis puerorum illorum corpora. Cum igitur vel tenue quodpiam stipulæ vestigium invenerit, statim inhærens vitiatam illam partem exurit; reliquam vero structuram, etiamsi solaribus radiis splendidior fuerit, fumo illo adurit et obscurat totam. Donec enim sacerdotis vita probe undique concinnata fuerit, insidiis ille nullis pervius est; sin vel tantillum quid prætermittat, quod sane facile contingere potest, homo cum sit, et erroribus plenum vitæ hujus pelagus trajiciat, nihil reliqua illi bona opera prosunt, ut accusatorum voces effugiat, sed parvum delictum reliquum omne obumbrat et obscurat.

οὐχ ὡς σάρκα περικειμένῳ, οὐδὲ ἀνθρωπείαν λαχόντι φύσιν, ἀλλ' ὡς ἀγγέλῳ, καὶ τῆς λοιπῆς ἀσθενείας ἀπηλλαγμένῳ, δικάζειν ἅπαντες ἐθέλουσι τῷ ἱερεῖ. Καὶ καθάπερ τύραννον, ἕως μὲν ἂν κρατῇ, πάντες πεφρίκασι καὶ κολακεύουσι, διὰ τὸ μὴ δύνασθαι καθελεῖν, ὅταν δὲ ἴδωσι προχωροῦν ἐκεῖνο, τὴν μεθ' ὑποκρίσεως ἀφέντες τιμὴν οἱ πρὸ μικροῦ φίλοι γεγόνασιν ἐξαίφνης ἐχθροὶ καὶ πολέμιοι, καὶ πάντα αὐτοῦ τὰ σαθρὰ καταμαθόντες ἐπιτίθενται καὶ παραλύουσι τῆς ἀρχῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν ἱερέων οἱ πρὸ βραχέος, καὶ ἡνίκα ἐκράτει, τιμῶντες καὶ θεραπεύοντες, ὅταν μικρὰν εὕρωσι λαβὴν, παρασκευάζονται σφοδρῶς, οὐχ ὡς τύραννον μόνον, ἀλλ' εἴ τι τούτου χαλεπώτερον, καθαιρήσειν μέλλοντες. Καὶ ὥσπερ ἐκεῖνος τοὺς τοῦ σώματος φύλακας δέδοικεν, οὕτω καὶ οὗτος τοὺς πλησίον καὶ συλλειτουργοῦντας αὐτῷ μάλιστα πάντων τρέμει. Οὔτε γὰρ ἕτεροί τινες οὕτω τῆς ἀρχῆς ἐπιθυμοῦσι τῆς ἐκείνου, καὶ τὰ ἐκείνου μάλιστα πάντων ἴσασιν, ὡς οὗτοι· ἐγγύθεν γὰρ ὄντες, εἴ τι συμβαίη τοιοῦτο, πρὸ τῶν ἄλλων αἰσθάνονται, καὶ δύναιντ' ἂν εὐχερῶς καὶ διαβάλλοντες πιστευθῆναι, καὶ τὰ μικρὰ μεγάλα ποιοῦντες τὸν συκοφαντούμενον ἑλεῖν. Τὸ γὰρ ἀποστολικὸν ἐκεῖνο ῥῆμα ἀντέστραπται· « Καὶ εἴτε πάσχει ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· » πλὴν εἴ τις εὐλαβείᾳ πολλῇ πρὸς ἅπαντα στῆναι δυνηθείη. Εἰς τοσοῦτον οὖν ἡμᾶς ἐκπέμπεις πόλεμον, καὶ πρὸς μάχην οὕτω ποικίλην καὶ πολυειδῆ τὴν ἡμετέραν ἐνόμισας ἀρκέσειν ψυχήν; πόθεν καὶ παρὰ τίνος μαθών; Εἰ μὲν γὰρ ὁ Θεὸς * ἐγνώρισε τοῦτο, ἐπίδειξον τὸν χρησμὸν, καὶ πείθομαι· εἰ δὲ οὐκ ἔχεις, ἀλλ' ἀπὸ δόξης ἀνθρωπίνης φέρεις τὴν ψῆφον, ἀπαλλάγηθί ποτε ἐξαπατώμενος. Ὑπὲρ γὰρ τῶν ἡμετέρων ἡμῖν μᾶλλον ἢ ἑτέροις πείθεσθαι δίκαιον· ἐπειδὴ « τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. » Ὅτι γὰρ καὶ ἡμᾶς αὐτοὺς καὶ τοὺς ἑλομένους καταγελάστους ἂν ἐποιήσαμεν ταύτην δεξάμενοι τὴν ἀρχὴν, καὶ μετὰ πολλῆς τῆς ζημίας εἰς ταύτην ἂν ἐπανήλθομεν τοῦ βίου τὴν κατάστασιν, ἐν ᾗ καὶ νῦν ἐσμὲν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν σε τούτοις οἶμαι πεπεικέναι τοῖς ῥήμασιν. Οὐδὲ γὰρ βασκανία μόνον, ἀλλὰ πολλῷ καὶ τῆς βασκανίας σφοδρότερον, ἡ τῆς ἀρχῆς ταύτης ἐπιθυμία τοὺς πολλοὺς ὁπλίζειν εἴωθε κατὰ τοῦ ταύτην ἔχοντος. Καὶ καθάπερ οἱ φιλάργυροι τῶν παίδων βαρύνονται τὸ τῶν πατέρων γῆρας· οὕτω καὶ τούτων τινὲς, ὅταν ἴδωσιν εἰς μακρὸν παραταθεῖσαν τὴν ἱερωσύνην χρόνον, ἐπειδὴ ἀνελεῖν οὐκ εὐαγὲς, παραλῦσαι σπεύδουσιν αὐτὸν τῆς ἀρχῆς, πάντες ἀντ' ἐκείνου γενέσθαι ἐπιθυμοῦντες, καὶ εἰς ἑαυτὸν ἕκαστος μεταπεσεῖσθαι τὴν ἀρχὴν προσδοκῶντες.

Βούλει σοι καὶ ἕτερον ἐπιδείξω ταύτης τῆς μάχης εἶδος, μυρίων ἐμπεπλησμένον κινδύνων; Ἴθι δὴ καὶ διάκυψον εἰς τὰς δημοτελεῖς ἑορτὰς, ἐν αἷς μάλιστα τῶν ἐκκλησιαστικῶν ἀρχῶν τὰς αἱρέσεις ποιεῖσθαι νό-

Et de sacerdote omnes non quasi carne induto, et humana natura prædito, sed quasi de angelo, omni reliqua infirmitate libero, judicium ferre volunt. Ac sicut tyrannum, dum imperio potitur, omnes reformidant ipsique adulantur, quod eum deturbare non possint; cum autem hoc vident succedere, simulatum illum honorem abjicientes, qui paulo ante amici erant, derepente inimici et adversarii evadunt, et debilia quæque explorantes irrumpunt, imperiumque illius solvunt : sic et sacerdotibus contingit; qui paulo ante, dum munère potiretur, ipsum colebant ac reverebantur, parvam occasionem nacti statim se fortiter comparant, ut eum non quasi tyrannum solum, sed quasi tyranno deteriorem, deponant. Ac quemadmodum ille corporis sui satellites metuit, ita et hic proximos comministrosque suos maxime omnium reformidat. Nulli quippe alii perinde ejus dignitatem affectant, ejusdemque res notas habent atque illi : propinqui enim cum sint, si quid hujusmodi contingat, ante omnes id sentiunt, facileque etiam calumniantes credi, et dum parva magna faciunt, eum sycophantia circumvenire possunt. Nam apostolicum illud dictum (1 *Cor.* 12. 26) inversum est : *Et sive patitur unum membrum, gaudent omnia membra; sive glorificatur unum membrum, compatiuntur omnia membra :* nisi forte alicui tanta sit pietas, ut adversus omnia stare possit. Ad tantum itaque bellum nos emittis? et ad pugnam tam variam tamque multiformem animum nostrum sufficere posse putas? undenam, quæso, et a quo edoctus? Nam si id tibi Deus indicavit, exhibe oraculum, et morem geram : si non potes, sed ex humana opinione calculum ducis, ab isto tandem errore te libera. Nam circa ea quæ ad nos spectant, nobis magis credendum quam aliis : quandoquidem (1 *Cor.* 2. 11) *Quæ sunt hominis nemo novit, nisi spiritus hominis, qui in ipso est.* Quod enim et nos ipsos, et eos qui nos elegerant, ridiculos reddituri essemus hoc suscepto munere, quodque magno dispendio nostro in eum, in quo nunc versamur, vitæ statum reversuri fuissemus, si non antehac, his saltem verbis tibi persuasisse puto. Non enim invidia solum, sed quæ multo invidia vehementior est hujus principatus cupido, multos solet contra ipsum occupantem armare. Ac quemadmodum filii pecuniarum avidi longam patrum senectutem moleste ferunt : sic et quidam eorum, cum vident sacerdotium in diuturnum produci tempus, quoniam interficere nefas, ipsum a dignitate deturbare satagunt, omnes in illius constitui loco cupientes, ac singuli ad se deferri principatum exspectantes.

[XV.] Visne tibi aliam hujus pugnæ speciem ostendam, innumeris plenam periculis? Ito jam, ac publica festa spectato, ubi maxime ad dignitates ecclesiasticas electiones fieri mos est : ac tam multis sacerdotem criminationibus impeti

μος· καὶ τοσαύταις ὄψει κατηγορίαις τὸν ἱερέα βαλλόμενον, ὅσον τῶν ἀρχομένων τὸ πλῆθός ἐστι. Πάντες γὰρ οἱ δοῦναι κύριοι τὴν τιμὴν εἰς πολλὰ τότε σχίζονται μέρη, καὶ οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς αὐτὸν τὸν λαχόντα τὴν ἐπισκοπὴν, τὸ τῶν πρεσβυτέρων συνέδριον ὁμογνωμονοῦν ἴδοι τις ἄν· ἀλλ' ἕκαστος καθ' ἑαυτὸν ἑστήκασιν, ὁ μὲν τοῦτον, ὁ δὲ ἐκεῖνον αἱρούμενος. Τὸ δὲ αἴτιον, οὐχ εἷς ἓν πάντες ὁρῶσιν, εἰς ὃ μόνον ὁρᾶν ἐχρῆν, τῆς ψυχῆς τὴν ἀρετήν· ἀλλ' εἰσὶ καὶ ἕτεραι προφάσεις αἱ ταύτης πρόξενοι τῆς τιμῆς· οἷον, ὁ μὲν, ὅτι γένους ἐστὶ λαμπροῦ, ἐγκρινέσθω, φησίν· ὁ δὲ, ὅτι πλοῦτον περιβέβληται πολὺν, καὶ οὐκ ἂν δέοιτο τρέφεσθαι ἐκ τῶν τῆς Ἐκκλησίας προσόδων· ὁ δὲ, ὅτι παρὰ τῶν ἐχθρῶν ηὐτομόλησε· καὶ ὁ μὲν τὸν οἰκείως πρὸς αὐτὸν διακείμενον, ὁ δὲ τὸν γένει προσήκοντα, ὁ δὲ τὸν κολακεύοντα μᾶλλον προτιμᾶν τῶν ἄλλων σπουδάζουσιν· εἰς δὲ τὸν ἐπιτήδειον οὐδεὶς ὁρᾶν βούλεται, οὐδὲ ψυχῆς τινα ποιεῖσθαι βάσανον. Ἐγὼ δὲ τοσούτου δέω ταύτας ἡγεῖσθαι τὰς αἰτίας ἀξιοπίστους εἶναι πρὸς τὴν τῶν ἱερέων δοκιμασίαν, ὡς μηδὲ εἴ τις πολλὴν εὐλάβειαν ἐπιδείξαιτο τὴν οὐ μικρὸν ἡμῖν πρὸς τὴν ἀρχὴν συντελοῦσαν ἐκείνην, μηδὲ τοῦτον ἀπὸ ταύτης εὐθέως ἐγκρίνειν τολμᾶν, εἰ μὴ μετὰ τῆς εὐλαβείας πολλὴν καὶ τὴν σύνεσιν ἔχων τύχοι. Καὶ γὰρ οἶδα πολλοὺς ἐγὼ τῶν τὸν ἅπαντα χρόνον καθειρξάντων ἑαυτοὺς, καὶ νηστείαις δαπανηθέντων, ὅτι, ἕως μὲν αὐτοῖς μόνοις εἶναι ἐξῆν καὶ τὰ αὑτῶν μεριμνᾶν, εὐδοκίμουν παρὰ Θεῷ, καὶ καθ' ἑκάστην ἡμέραν ἐκείνῃ προσετίθεσαν τῇ φιλοσοφίᾳ μέρος οὐ μικρόν· ἐπειδὴ δὲ εἰς τὸ πλῆθος ἦλθον, καὶ τὰς τῶν πολλῶν ἀμαθίας ἐπανορθοῦν ἠναγκάσθησαν, οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἤρκεσαν πρὸς τὴν τοσαύτην πραγματείαν· οἱ δὲ βιασθέντες ἐπιμεῖναι, τὴν προτέραν ἀκρίβειαν ῥίψαντες, ἑαυτούς τε ἔζημίωσαν τὰ μέγιστα, καὶ ἑτέρους ὤνησαν οὐδέν. Ἀλλ' οὐδὲ εἴ τις τὸν ἅπαντα χρόνον ἀνάλωσεν ἐν τῇ ἐσχάτῃ τῆς λειτουργίας τάξει μένων, καὶ εἰς ἔσχατον ἦλασε γῆρας, τοῦτον ἁπλῶς διὰ τὴν ἡλικίαν αἰδεσθέντες ἐπὶ τὴν ἀρχὴν οἴσομεν τὴν ἀνωτέρω. Τί γὰρ, εἰ καὶ μετὰ τὴν ἡλικίαν ἐκείνην ἀνεπιτήδειος ὢν μένοι; Καὶ οὐ τὴν πολιὰν ἀτιμάσαι βουλόμενος, οὐδὲ νομοθετῶν τοὺς ἀπὸ χοροῦ μοναζόντων ἥκοντας πάντως ἀπείργεσθαι τῆς τοιαύτης ἐπιστασίας, ταῦτα εἶπον νῦν (συνέβη γὰρ πολλοὺς καὶ ἐξ ἐκείνης ἐλθόντας τῆς ἀγέλης εἰς ταύτην διαλάμψαι τὴν ἀρχήν), ἀλλ' ἐκεῖνο δεῖξαι σπουδάζων, ὅτι εἰ μήτε εὐλάβεια καθ' ἑαυτὴν μήτε γῆρας μακρὸν ἱκανὰ γένοιτ' ἂν δεῖξαι τὸν κεκτημένον ἱερωσύνης ἄξιον ὄντα, σχολῇ γ' ἂν αἱ προειρημέναι προφάσεις τοῦτο ἐργάσαιντο. Οἱ δὲ καὶ ἑτέρας προστιθέασιν ἀτοπωτέρας· καὶ γὰρ οἱ μὲν, ἵνα μὴ μετὰ τῶν ἐναντίων τάξωσιν ἑαυτοὺς, εἰς τὴν τοῦ κλήρου καταλέγονται τάξιν, οἱ δὲ διὰ πονηρίαν, καὶ ἵνα μὴ παροφθέντες μεγάλα ἐργάσωνται κακά. Ἆρα γένοιτ' ἄν τι τούτου παρανομώτερον, ὅταν ἄνθρωποι μοχθηροὶ καὶ μυρίων γέμοντες κακῶν διὰ ταῦτα θεραπεύωνται, δι' ἃ κολάζεσθαι ἔδει,

videbis, quanta est subditorum turba. Omnes enim penes quos est hunc honorem conferre, in multas tunc scinduntur partes, ac neque mutuo, neque cum eo qui episcopatum sortitus est, presbyterorum cœtum consentire videas: sed unusquisque a suis partibus stat, alius hunc, alius illum eligens. Cujus rei causa hæc est, quod non idem omnes respiciant, quod solum respicere debebant, nempe animi virtutem: sed aliæ sunt hujus conciliandi honoris causæ: nimirum alius dicit, Hic eligatur, quia claro genere ortus: alius, quod opibus abundet, nec egeat alimentis ex Ecclesiæ proventu quæsitis: alius, quod ab adversariis ad nos transfugerit: ille familiarem, hic sibi genere propinquum, alius adulantem sibi aliis vult anteponi; in eum vero, qui sit idoneus, nemo vult respicere, neque animi dotes explorare. At ego, tantum abest, ut ad sacerdotum probationes causas hujusmodi consentaneas esse putem, ut etiamsi quis multam pietatem exhibeat, quæ tamen non parum nobis ad hanc dignitatem confert, non ideo statim eum eligere ausim, nisi cum pietate magna sit prudentia præditus. Novi quippe multos, qui perpetuo sese coercebant ac jejuniis macerabant, quique dum soli degere et sua tantum curare poterant, Deo accepti erant, ac singulis diebus philosophiæ suæ incrementum non minimum addebant: at ubi in turbam prodiere, et vulgi imperitiam emendare coacti sunt, alii ne principio quidem tanto negotio pares fuere; alii vi coacti, ut in munere perseverarent, missa pristina diligentia, et magnam ipsi jacturam fecerunt, et aliis nihil profuerunt. Sed neque si quis totum vitæ tempus in ultimo ministerii ordine transegerit, ad extremamque pervenerit senectutem, hunc statim propter ætatis reverentiam ad summum principatum evehemus. Quid enim, si decursa tanta ætate, minus tamen idoneus maneat? Non quo velim canitiem dehonestare, nec legem constituere, ut qui ex choro monachorum veniunt, ab hac præfectura omnino arceantur: (contigit enim multos ex illo grege profectos in hac dignitate claruisse:) sed hoc probare contendo, si neque pietas sola, neque longæva senectus satis sunt, ut quis sacerdotio digne fungatur, vix sane causas supra memoratas hoc ipsum præstare posse. Alii vero alias addunt etiam absurdiores: id nimirum, ne se in adversariorum partes transferant, in cleri ordinem adleguntur; illi, propter nequitiam, ne contemti magna inferant mala. An possit iniquius quidpiam excogitari, quod homines improbi, innumeris repleti malis, inde colantur, unde supplicio digni erant, et qua de causa ne li-

καὶ οἷον ἦναν μηδὲ τὸν οὐδὸν τῆς ἐκκλησίας ὑπερβαίνειν ἐχρῆν, ὑπὲρ τούτων καὶ εἰς τὴν ἱερατικὴν ἀναβαίνουσιν ἀξίαν; Ἔτι οὖν ζητήσομεν, εἰπέ μοι, τοῦ Θεοῦ τῆς ὀργῆς τὴν αἰτίαν, πράγματα οὕτως ἅγια καὶ φρικωδέστατα ἀνθρώποις τοῖς μὲν πονηροῖς, τοῖς δὲ οὐδενὸς ἀξίοις λυμαίνεσθαι παρέχοντες; Ὅταν γὰρ οἱ μὲν τῶν οὐδὲν αὐτοῖς προσηκόντων, οἱ δὲ τῶν πολλῷ μειζόνων τῆς οἰκείας δυνάμεως προστασίαν ἐμπιστευθῶσιν, οὐδὲν εὐρίπου τὴν Ἐκκλησίαν διαφέρειν ποιοῦσιν.

Ἐγὼ δὲ πρότερον τῶν ἔξωθεν ἀρχόντων καταγελῶν, ὅτι τὰς τῶν τιμῶν διανομὰς οὐκ ἀπὸ τῆς ἀρετῆς τῆς ἐν ταῖς ψυχαῖς, ἀλλ' ἀπὸ τῶν χρημάτων καὶ πλήθους ἐτῶν καὶ ἀνθρωπίνης ποιοῦνται προστασίας, ἐπειδὴ ἤκουσα, ὅτι αὕτη ἡ ἀλογία καὶ εἰς τὰ ἡμέτερα εἰσακύμασεν, οὐκέτι ὁμοίως ἐποιούμην τὸ πρᾶγμα δεινόν. Τί γὰρ θαυμαστὸν, ἀνθρώπους βιωτικοὺς, καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ἐρῶντας, καὶ χρημάτων ἕνεκα πάντα πράττοντας, ἁμαρτάνειν τοιαῦτα, ὅπου γε οἱ πάντων ἀπηλλάχθαι προσποιούμενοι τούτων οὐδὲν ἧττον ἐκείνων διάκεινται, ἀλλ' ὑπὲρ τῶν οὐρανίων τὸν ἀγῶνα ἔχοντες, ὡς περὶ πλέθρων γῆς ἢ ἑτέρου τινὸς τοιούτου τῆς βουλῆς αὐτοῖς προκειμένης, ἁπλῶς ἀνθρώπους ἀγελαίους λαβόντες ἐριστᾶσι πράγμασι τοιούτοις, ὑπὲρ ὧν καὶ τὴν ἑαυτοῦ κενῶσαι δόξαν, καὶ ἄνθρωπος γενέσθαι, καὶ δούλου μορφὴν λαβεῖν, καὶ ἐμπτυσθῆναι καὶ ῥαπισθῆναι, καὶ θάνατον τὸν ἐπονείδιστον ἀποθανεῖν οὐ παρητήσατο ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός;

Καὶ οὐδὲ μέχρι τούτων οὗτοι ἵστανται μόνον, ἀλλὰ καὶ ἕτερα προστιθέασιν ἀτοπώτερα· οὐ γὰρ τοὺς ἀναξίους ἐγκρίνουσι μόνον, ἀλλὰ καὶ τοὺς ἐπιτηδείους ἐκβάλλουσιν. Ὥσπερ γὰρ δέον ἀμφοτέρωθεν λυμήνασθαι τῆς Ἐκκλησίας τὴν ἀσφάλειαν, ἢ ὥσπερ οὐκ ἀρκούσης τῆς προτέρας προφάσεως ἐκκαῦσαι τοῦ Θεοῦ τὴν ὀργὴν, οὕτω τὴν δευτέραν συνῆψαν, οὐχ ἧττον οὖσαν χαλεπήν. Καὶ γὰρ ἐξ ἴσης οἶμαι εἶναι δεινὸν, τό τε τοὺς χρησίμους ἀπείργειν, καὶ τὸ τοὺς ἀχρείους εἰσωθεῖν. Καὶ τοῦτο δὲ γίνεται, ἵνα μηδαμόθεν παραμυθίαν εὕρῃ μηδὲ ἀναπνεῦσαι δυνηθῇ τοῦ Χριστοῦ τὸ πέμνιον. Ταῦτα οὐ μυρίων ἄξια σκηπτῶν; ταῦτα οὐ γεέννης σφοδροτέρας, οὐ ταύτης μόνον τῆς ἠπειλημένης ἡμῖν; Ἀλλ' ὅμως ἀνέχεται καὶ φέρει τὰ τοσαῦτα κακὰ ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. Καὶ πῶς ἄν τις [ἀξίως] αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειε; πῶς ἂν ἐκπλαγείη τὸν Θεόν; Οἱ τοῦ Χριστοῦ τὰ τοῦ Χριστοῦ διαφθείρουσιν ἐχθρῶν καὶ πολεμίων μᾶλλον, ὁ δὲ ἀγαθὸς ἔτι χρηστεύεται καὶ εἰς μετάνοιαν καλεῖ. Δόξα σοι, Κύριε, δόξα σοι· πόση φιλανθρωπίας ἄβυσσος παρὰ σοί; πόσος ἐπιεικείας πλοῦτος; Οἱ διὰ τὸ ὄνομα τὸ σὸν ἐξ εὐτελῶν καὶ ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι γεγονότες τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος χέχρηνται, καὶ τολμῶσι τὰ ἀτόλμητα, καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια, τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ

men quidem ecclesiæ prætergredi licebat illis, eadem illi ad sacerdotalem ascendant dignitatem? Etiamne, dic mihi, quæremus divinæ in nos iræ causam, dum res tam sacras, adeo tremendas hominibus tum improbis, tum indignis labefactandas tradimus? Quando enim alii rerum sibi minime convenientium, alii multo majorum, quam vires ferant, præfecturam accipiunt, ii certe efficiunt, ut Ecclesia nihil ab euripo differat.

Equidem prius exteros principes deridebam, quod in honorum dispensatione non animi virtutem, sed pecunias et annorum numerum et humanum patrocinium spectarent; ubi autem audivi hanc absurditatem in nostras etiam res debacchari, facinus hujusmodi non perinde grave visum est. Quid enim mirum si sæculares homines, popularem auram venantes, pecuniæ causa nihil non agentes, in hujusmodi vitia prorumpant, quando ii qui se ab iis omnibus liberos esse simulant, nihilo melius quam illi sunt affecti, sed ubi de cælestibus certamen est, perinde atque si de terræ jugeribus aut alio quopiam simili deliberaretur, gregarios homines talibus præficiunt rebus, quarum causa unigenitus Dei Filius gloriam evacuare suam, homo fieri, servi formam accipere, conspui, colaphis cædi, mortem turpissimam obire non recusavit?

Neque hic tamen consistunt, sed alia addunt absurdiora: non enim indignos solum deligunt, sed etiam idoneos dejiciunt. Nam quasi opus esset Ecclesiæ securitatem utrimque labefactari, ac causa illa prior non sufficeret ad iram Dei accendendam, ita alteram addidere non minus perniciosam. Etenim perinde perniciosum esse puto utiles arcere, atque inutiles introducere. Id autem ideo agitur, ut Christi ovile nulla ex parte consolationem invenire aut respirare valeat. Hæc nonne millibus digna fulminibus? hæc nonne vehementiori etiam gehenna, quam sacræ literæ comminantur? Attamen hæc mala sustinet patiturque qui non vult mortem peccatoris, sed ut convertatur et vivat. Quis digne ejus clementiam admiretur, ejus misericordiam stupeat? Ipsi Christiani ea quæ Christi sunt, plus quam hostes et inimici pessumdant: at ille bonus adhuc benignitatem præfert, et ad pœnitentiam vocat. Gloria tibi, Domine, gloria tibi: quanta apud te clementiæ abyssus! quantus tolerantiæ thesaurus! Qui per nomen tuum ex ignobilibus et obscuris clari et conspicui evadunt, honore illo contra honorantem se utuntur, et non audenda audent, sancta contumeliis afficiunt, probos repellunt et ejiciunt, ut

πολλῇ καὶ μετὰ ἀδείας τῆς ἰσχάτης οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσι.

Καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις· τὴν μὲν γὰρ ῥίζαν, καὶ ὡς ἄν τις εἴποι, μητέρα μίαν ἔχουσι, τὴν βασκανίαν· αὗται δὲ οὐ μιᾶς εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν· ὁ μὲν γὰρ ἐπειδὴ νέος ἐστὶν, ἐκβαλλέσθω, φησίν· ὁ δὲ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν· ὁ δὲ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσεν· καὶ ὁ μὲν, ἵνα μὴ ὁ δεῖνα λυπῆται, τὸν μὲν ὑπ' αὐτοῦ δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον δρῶν· ὁ δὲ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· ὁ δὲ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερὸς, ὁ δὲ δι' ἄλλην αἰτίαν τοιαύτην· οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν· ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων ἐστὶν αὐτοῖς αἰτιάσασθαι, ὅταν μηδὲν ἔχωσιν ἕτερον, καὶ τὸ μὴ δεῖν ἀθρόως εἰς ταύτην ἄγεσθαι τὴν τιμὴν, ἀλλ' ἡρέμα καὶ κατὰ μικρὸν, καὶ ἑτέρας, ὅσας ἂν βούλωνται, ζύναιντ' ἂν αἰτίας εὑρεῖν. Ἐγὼ δέ σε ἡδέως ἐνταῦθα ἐρήσομαι, τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν, τοσούτοις μαχόμενον πνεύμασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύτας ἀπώσεται τὰς προσβολάς; Ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ τὸ πρᾶγμα διαθῇ, ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτῷ καὶ τοῖς αἱρεθεῖσιν ἅπαντες, καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου ἅπαντα πράττουσι, στάσεις καθ' ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν, καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ τούτους ἐκβάλωσιν, ἢ τοὺς αὑτῶν εἰσαγάγωσιν. Καὶ γίνεται παραπλήσιον, οἷον ἂν εἴ τις κυβερνήτης ἔνδον ἐν τῇ νηῒ τῇ πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας, καὶ αὐτῷ καὶ τοῖς ναύταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ' ἑκάστην ἐπιβουλεύοντας ὥραν. Ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὐτοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ' ἐκείνων ἐχθρόν· οὗ τί γένοιτ' ἂν χαλεπώτερον; καὶ τὰ πρὸς ἐκείνους δὲ αὐτῷ δυσκολώτερον ἢ πρότερον διακείσεται, πάντων συμπραττόντων ἀλλήλοις, καὶ τούτῳ μᾶλλον ἰσχυρῶν γιγνομένων. Ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπεσόντων, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται, καὶ τοὺς ἐμπλέοντας ἀπόλλυσιν· οὕτω καὶ ἡ τῆς Ἐκκλησίας γαλήνη, δεξαμένη φθόρους ἀνθρώπους, ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν.

Ἐννόησον οὖν, ὁποῖόν τινα εἶναι χρὴ τὸν πρὸς τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα, καὶ τοσαῦτα κωλύματα τῶν κοινῇ συμφερόντων διαθήσειν καλῶς. Καὶ γὰρ καὶ σεμνὸν καὶ ἄτυφον, καὶ φοβερὸν καὶ προσηνῆ, καὶ ἀρχικὸν καὶ κοινωνικὸν, καὶ ἀδέκαστον καὶ θεραπευτικὸν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ, ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι δύνηται· καὶ τὸν ἐπιτήδειον δεῖ μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν· καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾶν, τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν, καὶ μηδὲν

quiete et cum summa licentia nequissimi omnia pro libito subvertere possint.

Cujus mali causas si ediscere velis, illas prioribus similes reperies: radicem enim, sive, ut ita dicam, matrem unam habent, invidiam. Earum autem non una tantum species est, sed diversæ. Hic enim, aiunt, quia juvenis est, ejiciatur; ille, quia adulari nescit; alius, quia in cujuspiam offensionem incurrit; alius, ne ille quispiam doleat, si eo, quem ipse obtulerat, ejecto, hunc electum videat; ille, quia mitis et probus est; ille, quia peccantibus terribilis; ille ob aliam similem causam: neque enim desunt obtentus, quos pro libito offerant; imo et facultatum copiam crimini dant, si nihil aliud proferendum habeant; atque illud etiam, non oportere statim in hunc honorem assumi, sed sensim et paulatim, aliasque similes pro voluntate causas comminisci possunt. Ego vero hic ex te libens sciscitarer: Quid episcopum tot ventis agitatum facere opus est? quomodo adversus tantos fluctus stare poterit? quomodo tot impetus repellet? Nam si recta ratione rem gerat, adsunt omnes et ipsi et electis inimici et hostes, et per contentionem omnia cum illo agunt, quotidianas seditiones movent, sexcenta item scommata in electos jaculantur, donec aut illos ejecerint, aut suos intruserint: perinde atque si gubernator in navi piratas secum navigantes habeat, qui et ipsi et nautis et vectoribus assidue horisque singulis insidientur. Quodsi illorum gratiam saluti suæ præponat, admissis non admittendis, illorum loco Deum ipsum inimicum habebit: quo quid deterius esse possit? et cum illis ipsis negotium difficilius quam antea erit, omnibus simul consentientibus, ac per eam concordiam jam fortioribus. Quemadmodum enim sævis ex adverso pugnantibus ventis, mare antea tranquillum derepente furit atque intumescit, vectoresque perdit: sic et Ecclesiæ tranquillitas, corruptoribus admissis, tempestate et naufragiis infestatur multis.

[XVI.] Cogita ergo qualem oporteat eum esse cui tantæ tempestati resistere necesse sit, et tot impedimenta rerum communi utilitati conducentium probe temperare. Nam et gravem illum, sed minime fastuosum, et formidabilem, sed humanum, et imperiosum, sed comem omnibus, et personam non accipientem, sed officiosum, et humilem, sed minime servilem, et vehementem, sed mansuetum esse oportet, ut contra illa omnia pugnare facile possit: atque eum qui idoneus sit, omnibus licet obsistentibus, cum magna potestate promovere; huic vero dissimilem cum eadem auctoritate, omnibus etiam conspirantibus, non admittere, sed unum tantum ob oculos habere, Ecclesiæ nempe stru-

πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν. Ἆρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος τούτου τὴν διακονίαν; Καίτοι γε οὔπω πάντα διῆλθον πρὸς σέ· ἔχω γὰρ καὶ ἕτερα λέγειν. Ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φίλου καὶ γνησίου, βουλομένου σε πείθειν ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος· οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοι τὴν ὑπὲρ ἡμῶν ταῦτα χρήσιμα ἔσται μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ γὰρ ἀναγκαῖον, τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδὸν πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως ἅψασθαι τῆς διακονίας. Τί δήποτε; Ὅτι, εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται τῷ πάντα εἰδότι σαφῶς.

Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προστασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν, ἢ τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' ἑκάστου τούτων διάφορος ἡ φροντὶς, καὶ τῆς φροντίδος μείζων ὁ φόβος. Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχήν, ἡ τῶν χηρῶν θεραπεία δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπιμελουμένοις αὐτῶν παρέχειν τὴν φροντίδα· τὸ δὲ οὐ τοιοῦτόν ἐστιν, ἀλλὰ πολλῆς δεῖ κἀνταῦθα τῆς ἐξετάσεως, ὅταν αὐτὰς καταλέγειν δέῃ, ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς ἐγγράφεσθαι μυρία εἰργάσατο δεινά. Καὶ γὰρ οἴκους διέφθειραν, καὶ διώσπασαν γάμους, καὶ ἐπὶ κλοπαῖς πολλάκις καὶ ἐπὶ κακηλείαις καὶ ἕτερα τοιαῦτα ἀσχημονοῦσαι ἑάλωσαν. Τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς Ἐκκλησίας τρέφεσθαι χρημάτων καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώπων φέρει τὴν ἰσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βουλομένους ἀκνηροτέρους καθίστησι. Τίς γὰρ ἂν ὅστις ποτε, ἃ τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; Διὰ ταῦτα πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὥστε μὴ μόνον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἐπαρκεῖν δυναμένας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. Μετὰ δὲ τὴν ἐξέτασιν ταύτην ἑτέρα διαδέχεται φροντὶς οὐ μικρὰ, ἵνα αὐταῖς τὰ τῆς τροφῆς ἀθρόως ὥσπερ ἐκ πηγῶν ἐπιῤῥέῃ, καὶ μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκούσιος πενία καὶ μεμψίμοιρον καὶ ἀχάριστον. Καὶ δεῖ πολλῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρόφασιν. Οἱ μὲν οὖν πολλοὶ, ὅταν τινὰ ἴδωσι χρημάτων κρείττονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνονται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ τὴν μεγαλοψυχίαν μόνην ἀρκεῖν, ἀλλὰ δεῖν μὲν αὐτὴν πρὸ τῶν ἄλλων ἔχειν (χωρὶς γὰρ ταύτης λυμεὼν ἂν εἴη μᾶλλον ἢ προστάτης, καὶ λύκος ἀντὶ ποιμένος), μετὰ δὲ αὐτῆς καὶ ἑτέραν ζητεῖν εἰ κεκτημένος τυγχάνοι. Αὕτη δέ ἐστιν ἡ πάντων αἰτία ἀνθρώποις τῶν ἀγαθῶν, ἐνέκκλεια, ὥσπερ εἴς τινα εὔδιον λιμένα ὁρμίζουσα καὶ

eturam, nihilque vel ad inimicitiam vel ad gratiam facere. Num tibi videmur rei hujusmodi ministerium merito recusasse? Atqui nondum omnia recensui : suppetunt et alia dicenda. Verum ne defatigeris dum amici ac vere germani viri sese apud te excusantis orationem toleras. Hæc porro non ad apologiam modo nostram tibi erunt utilia, sed ad ipsam fortasse muneris de quo agitur functionem non parum afferent lucri. Eum namque, qui vitæ hujusmodi semitam ingressurus est, omnia prius diligenter perscrutatum, sic ministerio manum admovere oportet. Quare? Quia etsi nulla alia subesset causa, omnium probe gnaro id lucri accedet, ut non rei insolentia turbetur, cum hæc contingent.

Vis igitur ut prius ad viduarum patrocinium veniamus, an ad virginum curam, an ad judicialis partis difficultatem? nam in horum singulis varia est sollicitudo, et sollicitudine major metus. Ac primum (ut ab eo, quod aliis facilius esse videtur, ordiamur) viduarum cura, ipsam suscipientibus solam sumtuum sollicitudinem afferre videtur : at non ita se res habet, sed hic quoque multo opus est examine, ubi illas deligere oportet : quandoquidem cum temere et ut casus tulit in album relatæ sunt, id innumera peperit mala. Etenim familias pessumdederunt, conjugia diremerunt, et in furtis, cauponis aliisque similibus turpiter se agentes sæpe deprehensæ sunt. Porro tales viduas sumtibus Ecclesiæ ali, id et a Deo supplicium et apud homines infamiam summamque damnationem parit, beneficorumque animum segniorem efficit. Nam quis unquam velit pecunias, quas Christo dare jussus est, iis largiri, qui Christi nomini calumniam pariunt? Ideoque multo et accurato scrutinio est opus, ut neque illæ, neque aliæ, quibus res familiaris sufficere potest, tenuiorum mensam absumant. Hanc perquisitionem alia non parva cura excipit, ut ipsis alimenta confertim quasi ex fontibus affluant, nec unquam desint : siquidem insatiabile malum est invita paupertas, querelas ingratumque animum præ se ferens. Ac multa prudentia diligentiaque est opus ut earum obstruantur ora, quæ quamlibet criminationis occasionem arripiunt. Sane multi ubi quempiam vident pecuniis non deditum, statim ipsum ad hanc functionem idoneum pronuntiant. Ego vero non existimo hanc illi animi magnitudinem solam satis esse, sed oportere tamen illam cæteris præire : nam illius expers vastator potius quam patronus, et pro pastore lupus fuerit : verum cum illa aliam in eo requirere oportet. Ea autem est bonorum omnium hominibus conciliatrix patientia, quæ quasi in tranquillum quemdam portum animam deducit.

παραπέμπουσα τὴν ψυχήν. Τὸ γὰρ τῶν χηρῶν γένος καὶ διὰ τὴν πενίαν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν φύσιν ἀμέτρῳ τινὶ κέχρηται παῤῥησίᾳ (οὕτω γὰρ ἄμεινον εἰπεῖν), καὶ βοῶσιν ἀκαίρως, καὶ αἰτιῶνται μάτην, καὶ ἀποδύρονται ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν, καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει. Καὶ δεῖ τὸν προεστῶτα ἅπαντα φέρειν γενναίως, καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις, μήτε πρὸς τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. Ἐλεεῖσθαι γὰρ ἐκεῖνο τὸ γένος ὑπὲρ ὧν δυστυχοῦσιν, οὐχ ὑβρίζεσθαι, δίκαιον· ὡς τό γε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς, καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι τῆς ἐσχάτης ὠμότητος ἂν εἴη. Διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, εἴς τε τὸ φιλοχερδὲς καὶ τὸ ὑπεροπτικὸν τῆς ἀνθρωπίνης φύσεως ἀπιδών, καὶ τῆς πενίας τὴν φύσιν καταμαθὼν δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν, καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις, ἵνα μή τις αἰτούμενος παρ' αὐτῶν ὀργίζηται, μηδὲ τῷ συνεχεῖ τῆς ἐντεύξεως παροξυνθεὶς πολέμιος ὁ βοηθεῖν ὀφείλων γένηται, παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ ἐνδεεῖ, λέγων, « Κλῖνον πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά· » καὶ τὸν παροξύνοντα ἀφεὶς (τί γὰρ ἄν τις τῷ χειμένῳ λέγοι;) τῷ δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν διαλέγεται, παρακαλῶν τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λόγων πραότητι πρὸ τῆς δόσεως αὐτὸν ἀνορθοῦν. Ἂν δέ τις τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίους δὲ αὐτὰς ὀνείδεσι περιβάλλῃ καὶ ὑβρίζῃ καὶ παραξύνηται κατ' αὐτῶν, οὐ μόνον οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. Κἂν γὰρ λίαν ἀναισχυντεῖν βιάζωνται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην, ἀλλ' ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ. Ὅταν οὖν διὰ μὲν τὸ τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαιτεῖν ἀναιδεύεσθαι, διὰ δὲ τὸ ἀναιδεύεσθαι πάλιν ὑβρίζωνται, ποικίλη τις καὶ πολὺν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκείνων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. Καὶ δεῖ τὸν τούτων ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ μόνον αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγαναχτήσεσιν, ἀλλὰ καὶ τῆς οὔσης τὸ πλέον κοιμίζειν διὰ τῆς παραχλήσεως. Ὥσπερ γὰρ ἐκεῖνος ὁ ὑβρισθεὶς ἐν πολλῇ περιουσίᾳ οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρημάτων ὠφελείας διὰ τὴν ἀπὸ τῆς ὕβρεως πληγήν· οὕτως οὗτος ὁ προσηνῆ λόγον ἀκούσας, καὶ μετὰ παραχλήσεως τὸ διδόμενον δεξάμενος, γάννυται πλέον καὶ χαίρει, καὶ διπλοῦν αὐτὸ τὸ δοθὲν τῷ τρόπῳ γίνεται. Καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπ' ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος, φθέγγομαι. « Τέκνον γάρ, φησὶν, ἐν ἀγαθοῖς μὴ ὄνῃς μῶμον, καὶ ἐν πάσῃ δόσει λύπην λόγου. Οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; Οὕτω κρείσσων λόγος ἢ δόσις. Ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα ἀγαθόν· καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ. » Οὐκ ἐπιεικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ καὶ

Nam viduarum genus tum paupertatis, tum ætatis, tum sexus nomine, immoderata quadam loquendi libertate utitur (sic enim congruentius loquemur); importune clamant, abs re queruntur et lamentantur, ubi gratiæ erant habendæ; incusant ubi laudandum erat: præfectumque oportet omnia fortiter ferre, neque ob importunas rixas vel absurdas querelas ira commoveri. Illarum enim infelicitas misericordiam potius, quam contumeliam meretur: ipsarum autem ærumnis insultare, et paupertatis dolori contumeliam addere, extremæ crudelitatis fuerit. Quamobrem vir quidam sapientissimus, avaritiam superbiamque humanæ naturæ considerans, gnarus paupertatem hujusmodi esse, ut possit vel generosissimum animum dejicere, eoque deducere ut iisdem in rebus sæpius impudenter agat, ne quis petentibus illis irascatur, neu, frequentibus eorum precibus exasperatus, infestus evadat ille qui opem ferre debet, ut sese mitem et aditu facilem exhibeat hortatur his verbis (*Ecclesiasticus* 4. 8): *Inclina pauperi sine tristitia aurem tuam, et responde illi in mansuetudine pacifica;* ac missum faciens eum qui exasperat (quid enim jacenti dixeris?), eum alloquitur qui ejus infirmitatem ferre possit, monens, ut vultus blandit'e ac verborum mansuetudine etiam ante oblatum donum ipsum erigat. Quodsi quis illarum quidem bona non usurpet, sed innumeris ipsas conviciis et contumeliis oneret, et adversus eas irritetur, non modo paupertatem largitione non sublevat, sed calamitatem ipsam conviciis auget. Etiamsi enim ob ventris necessitatem admodum impudentes esse cogantur, attamen de hujusmodi violentia dolent. Cum itaque famis ingruentis metu mendicare coguntur, et mendicando impudentes esse, ac rursum impudentia illa contumeliam pati, multiformis quædam, et mentem caligine offundens doloris vis earum animos occupat. Oportet vero curatorem earum tanta esse longanimitate, ut non modo indignatione sua dolorem non augeat, sed etiam cohortatione sua mœrorem mitiget. Nam quemadmodum qui contumelia afficitur, etsi facultatibus abundet, pecuniarum commodum non sentit ob inflictam contumeliæ plagam: ita qui blande et leniter compellatur, et cum consolatione donum accipit, gaudet et lætatur, duplexque munus ex largiendi modo consequitur. Hæc porro non a me ipso, sed ab illo, qui paulo ante hortabatur, loquor. Nam *Fili*, inquit (*Ecclesiasticus* 18. 15 — 17), *in bonis ne des vituperium, et in omni dono dolorem verborum. Nonne æstum ros sedabit? Ita melius est verbum dono. Ecce enim verbum bonum est plus quam donum, et utrumque est apud virum gratiosum.* Illarum item præfectum non mitem tantum et patientem,

οἰκονομιὼν οὐχ ἧττον εἶναι χρή· ὡς, ἐὰν τοῦτο ἀπῇ, πάλιν εἰς τὴν ἴσην περίσταται ζημίαν τὰ τῶν πενήτων χρήματα. Ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν οἰκονομίαν, καὶ χρυσὸν συναγαγὼν πολὺν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ' οὐδὲ εἰς τοὺς δεομένους πλὴν ὀλίγων ἀνάλωσε· τὸ δὲ πλέον κατορύξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν αὐτὰ ταῖς τῶν ἐναντίων χερσί. Πολλῆς οὖν δεῖ τῆς προμηθείας, ὡς μήτε πλεονάζειν μήτε ἐλλείπειν τῆς Ἐκκλησίας τὴν περιουσίαν, ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως τοῖς δεομένοις τὰ προιζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι συνάγειν τῆς Ἐκκλησίας τοὺς θησαυρούς. Τὰς δὲ τῶν ξένων ὑποδοχὰς, καὶ τὰς τῶν ἀσθενούντων θεραπείας, πόσης μὲν οἶει δεῖσθαι χρημάτων δαπάνης, πόσης δὲ τῆς τῶν ἐπιστατούντων ἀκριβείας τε καὶ συνέσεως; Καὶ γὰρ τῆς εἰρημένης ἀναλώσεως ταύτην ἧττονα μὲν οὐδαμῶς, πολλάκις δὲ καὶ μείζονα εἶναι ἀνάγκη, καὶ τὸν ἐπιστατοῦντα πορίστικόν τινα μετ' εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτίμως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ' ἑαυτῶν, ἵνα μὴ τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν τὰς τῶν παρεχόντων πλήττῃ ψυχάς. Τὴν δὲ μακροθυμίαν καὶ τὴν σπουδὴν πολλῷ πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ· δυσάρεστον γάρ πως οἱ νοσοῦντες χρῆμα καὶ ῥάθυμον· κἂν μὴ πολλὴ πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντὶς, ἀρχαῖ καὶ τὸ μικρὸν ἐκεῖνο παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά.

Ἐπὶ δὲ τῆς τῶν παρθένων ἐπιμελείας τοσούτῳ μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον, καὶ βασιλικώτερα τῶν ἄλλων αὕτη ἡ ἀγέλη. Ἤδη γὰρ καὶ εἰς τὸν τῶν ἁγίων τούτων χορὸν μυρίαι μυρίων γέμουσι κακῶν εἰσεκώμασαν· μεῖζον δὲ ἐνταῦθα τὸ πένθος· καὶ καθάπερ οὐκ ἴσον, κόρην τε ἐλευθέραν καὶ τὴν ταύτης θεράπαιναν ἁμαρτεῖν, οὕτως οὐδὲ παρθένον καὶ χήραν. Ταῖς μὲν γὰρ καὶ ληρεῖν, καὶ λοιδορεῖσθαι πρὸς ἀλλήλας, καὶ κολακεύειν, καὶ ἀναισχυντεῖν, καὶ πανταχοῦ φαίνεσθαι, καὶ τὸ περιιέναι τὴν ἀγορὰν, γίγνεται ἀδιάφορον· ἡ δὲ παρθένος ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δείξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται· καὶ οὔτε προόδους περιττὰς ποιεῖσθαι καὶ πολλὰς, οὔτε ῥήματα αὐτῇ φθέγγεσθαι εἰκῇ καὶ μάτην ἐφεῖται· λοιδορίας δὲ καὶ κολακείας οὐδὲ τοὔνομα εἰδέναι χρή. Διὰ τοῦτο ἀσφαλεστάτης φυλακῆς καὶ πλείονος δεῖται τῆς συμμαχίας. Ὅ τι γὰρ τῆς ἁγνωσύνης ἐχθρὸς ἀεὶ καὶ μᾶλλον αὐταῖς ἐφέστηκε καὶ προσεδρεύει, καταπιεῖν ἕτοιμος, εἴ που τις ἐξολισθήσειε καὶ καταπέσοι, ἀνθρώπων τε οἱ ἐπιβουλεύοντες πολλοὶ, καὶ μετὰ τούτων ἁπάντων ἡ τῆς φύσεως μανία· καὶ [ἁπλῶς] πρὸς διπλοῦν τὸν πόλεμον ἡ παράταξις αὐτῇ, τὸν μὲν ἔξωθεν προσβάλλοντα, τὸν δὲ ἔνδοθεν ἐνοχλοῦντα. Διὰ ταῦτα τῷ τούτων ἐπισταροῦντι πολὺς μὲν ὁ φόβος, μείζων δὲ ὁ κίνδυνος καὶ

sed perinde œconomicum esse oportet : id vero si abfuerit, rursum pauperum facultates in idem damnum recidunt. Nuper enim quis huic ministerio adscitus, multa auri vi collecta, ipse nec consumpsit, neque egentibus, paucis exceptis, distribuit; maximam vero partem terra obruit, donec superveniente tumultus tempore hostium manibus sunt tradita. Magna itaque providentia est opus, ut Ecclesiæ facultates nec redundent, nec deficiant : sed quæ erogantur omnia statim sunt egenis distribuenda, atque in subditorum pio proposito Ecclesiæ thesauri colligendi sunt. In hospitibus autem excipiendis, et in curandis ægrotis, quanto putas opus esse pecuniarum sumtu, quanta præfectorum diligentia prudentiaque? Hanc enim expensam illa non minorem, imo sæpe majorem esse necesse est. Præfectumque ipsum in largitione decet reverentiam et prudentiam adhibere; quo iis, qui re familiari abundant, suadeat, ut certatim et hilariter sua dona erogent, ne dum infirmorum commodo prospicit, beneficorum animos exasperet. Hic porro majorem patientiam et diligentiam exhibere convenit : sunt enim ægri morosi et segnes; ac nisi summam undique diligentiam curamque adhibeas, vel tantilla quidem negligentia potest magna ægrotanti mala importare.

[XVII.] Quod ad virginum curam attinet, tanto major adest metus, quanto depositum pretiosius, et quanto rege dignior hic grex est, quam alii. Jam enim innumeræ in sanctarum hujusmodi chorum irruperunt, vitiis multis refertæ. Hic vero luctus major est quam in viduis : ac quemadmodum non perinde est puellane libera, an ejus ancilla peccet : ita non idem ipsum est si virgo an vidua. His enim et nugari, et mutuis conviciis litigare, et adulari, et impudenter agere, et nusquam non apparere, et in foro sæpe ambulare, permissum usu est. Virgo autem majus certamen adlit, et supremam philosophiam sectatur, profiteturque se angelicam vitam in terra ducere, ac cum hac carne quæ incorporearum sunt potestatum sibi præstanda proponit. Nec licet ei frequenter et inutiliter foras progredi, nec verba futilia vanaque proferre : convicii vero et adulationis ne nomen quidem norit oportet. Quapropter firmissima custodia et majori præsidio opus habet : nam sanctitatis hostis ipsas magis observat insidiisque appetit, ad devorandum paratus si quam labentem cadentemque videat : hominum item multi ipsis insidiantur, cum iisque omnibus naturæ petulantia. In summa duplex bellum ab ea geritur, aliud extrinsecus incumbens, aliud intrinsecus obturbans. Ideo magnus instat harum curatori timor, majus periculum,

ἡ ὀδύνη, εἴ τι τῶν ἀβουλήτων, ὃ μὴ γένοιτο, συμβαίη ποτέ. Εἰ γὰρ πατρὶ θυγάτηρ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον, ὅπου περὶ τοῦ στειρωθῆναι ἢ παραχμάσαι ἢ μισηθῆναι τοσοῦτον τὸ δέος, τί πείσεται ὁ τούτων μὲν οὐδέν, ἕτερα δὲ τούτων πολλῷ μείζονα μεριμνῶν; Οὐ γὰρ ἀνὴρ ἐνταῦθα ὁ ἀθετούμενος, ἀλλ' αὐτὸς ὁ Χριστὸς, οὐδὲ μέχρις ὀνειδῶν ἡ στείρωσις, ἀλλ' εἰς ἀπώλειαν ψυχῆς τελευτᾷ τὸ δεινόν. « Πᾶν γὰρ δένδρον, φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. » Καὶ μισηθείσῃ δὲ παρὰ τοῦ νυμφίου οὐκ ἀρκεῖ λαβεῖν ἀποστασίου βιβλίον καὶ ἀπελθεῖν, ἀλλὰ κόλασιν αἰώνιον τοῦ μίσους δίδωσι τὴν τιμωρίαν. Καὶ ὁ μὲν κατὰ σάρκα πατὴρ πολλὰ ἔχει τὰ ποιοῦντα αὐτῷ τὴν φυλακὴν εὔκολον τῆς θυγατρός· καὶ γὰρ καὶ μήτηρ, καὶ τροφὸς, καὶ θεραπαινῶν πλῆθος, καὶ οἰκίας ἀσφάλεια, συναντιλαμβάνεται τῷ γεννησαμένῳ πρὸς τὴν τῆς παρθένου τήρησιν. Οὔτε γὰρ εἰς ἀγορὰν αὐτῇ ἐμβάλλειν ἐφεῖται συνεχῶς, οὔτε, ἡνίκα ἂν ἐμβάλλῃ, φαίνεσθαί τινι τῶν ἐντυγχανόντων ἀναγκάζεται, τοῦ σκότους τῆς ἑσπέρας οὐχ ἧττον τῶν τῆς οἰκίας τοίχων καλύπτοντος τὴν φανῆναι μὴ βουλομένην. Χωρὶς δὲ τούτων πάσης αἰτίας ἀπήλλακται, ὡς μὴ ἄν ποτε εἰς ἀνδρῶν ὄψιν βιασθῆναι ἐλθεῖν· οὔτε γὰρ ἡ τῶν ἀναγκαίων φροντὶς, οὔτε αἱ τῶν ἀδικούντων ἐπήρειαι, οὐδ' ἄλλο τοιοῦτον οὐδὲν εἰς ἀνάγκην αὐτὴν τοιαύτης συντυχίας καθίστησιν, ἀντὶ πάντων αὐτῇ γινομένου τοῦ πατρός· αὕτη δὲ μίαν ἔχει φροντίδα μόνον, τὸ μηδὲν ἀνάξιον μήτε πρᾶξαι μήτε εἰπεῖν τῆς αὐτῇ προσηκούσης κοσμιότητος. Ἐνταῦθα δὲ πολλὰ τὰ ποιοῦντα τῷ πατρὶ δύσκολον, μᾶλλον δὲ καὶ ἀδύνατον τὴν φυλακήν· οὔτε γὰρ ἔνδον ἔχειν αὐτὴν μεθ' ἑαυτοῦ δύναιτ' ἄν· οὔτε γὰρ εὐσχήμων οὔτε ἀκίνδυνος ἡ τοιαύτη συνοίκησις. Ὅταν γὰρ αὐτοὶ μηδὲν ζημιωθῶσιν, ἀλλ' ἀκεραίαν μείνωσι τὴν ἁγιωσύνην φυλάττοντες, οὐκ ἐλάττονα δώσουσι λόγον ὑπὲρ ὧν ἐσκανδάλισαν ψυχῶν, ἢ εἰ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. Τούτου δὲ οὐκ ὄντος δυνατοῦ, οὔτε τὰ τῆς ψυχῆς κινήματα καταμαθεῖν εὔπορον, καὶ τὰ μὲν ἀτάκτως φερόμενα περικόψαι, τὰ δὲ ἐν τάξει καὶ ῥυθμῷ μᾶλλον ἀσκῆσαι καὶ ἐπὶ τὸ βέλτιον ἀγαγεῖν· οὔτε τὰς ἐξόδους περιεργάζεσθαι ῥᾴδιον. Ἡ γὰρ πενία καὶ τὸ ἀπροστάτευτον οὐκ ἀρίσην αὐτὸν ἀκριβῆ τῆς ἐκείνῃ προσηκούσης εὐκοσμίας γενέσθαι ἐξεταστήν. Ὅταν γὰρ αὐτῇ πάντα διακονεῖν ἀναγκάζηται, πολλὰς, εἴ γε βούλοιτο μὴ σωφρονεῖν, τῶν προόδων τὰς προφάσεις ἔχει. Καὶ δεῖ τὸν κελεύοντα διαπαντὸς οἴκοι μένειν καὶ ταύτας περικόψαι τὰς ἀφορμὰς, καὶ τὴν τῶν ἀναγκαίων αὐτάρκειαν παρασχόντα καὶ τὴν πρὸς ταῦτα διακονησομένην αὐτῇ· δεῖ δὲ καὶ ἐκφορῶν καὶ παννυχίδων ἀπείργειν. Οἶδε γὰρ, οἶδεν ὁ πολυμήχανος ὄφις ἐκεῖνος καὶ διὰ χρηστῶν πράξεων τὸν αὐτοῦ παρασπείρειν ἰόν. Καὶ χρὴ τὴν παρθένον πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις τοῦ παντὸς ἐνιαυτοῦ προβαίνειν τῆς οἰκίας, ὅταν ἀπαραίτητοι καὶ ἀναγ-

dolor ingens, si quid contra animi sententiam, quod absit, accidat. Nam si (*Eccli.* 42. 9) *patri filia occulta vigilantia* est, et sollicitudo ejus somnum ab eo depellit, timente ne aut sterilis sit, vel nubilem transgrediatur ætatem, vel perosa sit conjugi : quid patietur is, qui horum quidem nihil, sed alia iis longe graviora metuit? Neque enim vir hic contemnitur, sed ipse Christus : neque sterilitas in ignominiam tantum, sed in perniciem animæ malum hoc desinit. Nam *Omnis arbor*, ait (*Matth.* 3. 10), *quæ non facit fructum bonum, excidetur et in ignem mittetur.* Ei vero quæ in sponsi odium incurrit, non satis est acceptо repudii libello abire; sed odii illius pœnas luit, supplicium æternum. Certe pater carnalis multa habet, quæ facilem ipsi filiæ custodiam reddant; nam et mater et nutrix et famularum turba et domus firmitas parentem ad virginem servandam juvant. Neque enim in forum ei frequenter prodire licet; neque si prodeat, cuipiam occurrentium apparere cogitur, cum vespertinæ tenebræ conspici nolenti non minorem obicem obtendant, quam parietes domus. Præter hæc vero nulla subest causa, quæ illam unquam ad virorum conspectum adigat : neque enim rerum necessariarum cura, neque lædentium molestiæ, neque simile quidpiam illam in talis congressus necessitatem impellit : cum illi pater vice omnium sit, ipsa vero unam habeat curam, ut nihil vel agat vel loquatur quod honestatem deceat. At hic multa sunt quæ custodiam patri difficilem, imo arte superiorem reddant. Neque enim potest eam intus secum habere : hoc quippe contubernium nec honestum esset, nec periculo vacaret. Licet enim hinc illis nihil damni adesset, sed sinceram sanctitatem servare pergerent, non minorem redditurі essent rationem pro iis animabus, quibus offendiculo fuissent, quam si amhо peccassent. Cum autem id fieri nequeat, non facile ipsi est animæ motus ediscere, et eos qui inordinati sunt resecare, qui vero debito ordine et modo procedunt excolere, et in melius deducere : neque exitus in publicum curiose indagare in promptu est; nam quod illa inops sit et patrocinio destituta, non potest ipse tam accuratus decori et honesti explorator esse. Etenim cum ipsa sibi omnia administrare cogatur, si temperanter vivere nolit, exeundi occasiones commintsci potest. Oportetque aliquem jubentem domi manere, etiam tales occasiones præcidere, ac necessaria omnia suppeditare, necnon feminam rem illius curantem : arcenda item est a funeribus ac pervigiliis Novit enim, novit callidissimus ille serpens per bona etiam opera virus spargere suum. Atque opus est virginem undequaque muniri, et raro per annum domo egredi, nempe cum indecli-

καῖαι κατεπείγωσι προφάσεις. Εἰ δέ λέγοι τις, οὐδὲν εἶναι τούτων ἔργον τῷ ἐπισκόπῳ μεταχειρίζειν, εὖ ἴστω, ὅτι τῶν ἐφ' ἑκάστης γινομένων αἱ φροντίδες καὶ αἱ αἰτίαι εἰς ἐκεῖνον ἔχουσι τὴν ἀναφοράν. Πολλῷ δὲ λυσιτελέστερον αὐτὸν ἅπαντα διακονούμενον ἀπηλλάχθαι ἐγκλημάτων, ἃ διὰ τὰς ἑτέρων ἁμαρτίας ὑπομένειν ἀνάγκη, ἢ τῆς διακονίας ἀφειμένον τὰς ὑπὲρ ὧν ἔπραξαν ἕτεροι τρέμειν εὐθύνας. Πρὸς δὲ τούτοις ὁ μὲν δι' ἑαυτοῦ ταῦτα πράττων μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα διεξέρχεται· ὁ δὲ ἀναγκαζόμενος μετὰ τοῦ πείθειν τὰς ἁπάντων γνώμας τοῦτο ποιεῖν, οὐ τοσαύτην ἔχει τὴν ἄνεσιν ἐκ τοῦ τῆς αὐτουργίας ἀφεῖσθαι, ὅσα πράγματα καὶ θορύβους διὰ τοὺς ἀντιπίπτοντας καὶ ταῖς αὐτοῦ κρίσεσι μαχομένους. Ἀλλὰ πάσας μὲν οὐκ ἂν δυναίμην καταλέγειν τὰς ὑπὲρ τῶν παρθένων φροντίδας. Καὶ γὰρ καὶ ὅταν αὐτὰς ἐγγράφεσθαι δέῃ, οὐ τὰ τυχόντα παρέχουσι πράγματα τῷ ταύτην πεπιστευμένῳ τὴν οἰκονομίαν.

Τὸ δὲ τῶν κρίσεων μέρος μυρίας μὲν ἔχει τὰς ἐπαχθείας, πολλὴν δὲ τὴν ἀσχολίαν, καὶ δυσκολίας τοσαύτας, ὅσας οὐδὲ οἱ τοῖς ἔξωθεν δικάζειν καθήμενοι φέρουσι· καὶ γὰρ εὑρεῖν αὐτὸ τὸ δίκαιον ἔργον, καὶ εὑρόντα μὴ διαφθεῖραι χαλεπόν. Οὐκ ἀσχολία δὲ μόνον καὶ δυσκολία, ἀλλὰ καὶ κίνδυνος πρόσεστιν οὐ μικρός. Ἤδη γάρ τινες τῶν ἀσθενεστέρων πράγμασιν ἐμπεσόντες, ἐπειδὴ προστασίας οὐκ ἔτυχον, ἐναυάγησαν περὶ τὴν πίστιν. Πολλοὶ γὰρ τῶν ἠδικημένων οὐχ ἧττον τῶν ἠδικηκότων τοὺς μὴ βοηθοῦντας μισοῦσι· καὶ οὔτε πραγμάτων διαστροφὴν, οὔτε καιρῶν χαλεπότητα, οὔτε ἱερατικῆς δυναστείας μέτρον, οὔτε ἄλλο τοιοῦτον οὐδὲν ἀναλογίζεσθαι βούλονται· ἀλλ' εἰσὶν ἀσύγγνωστοι δικασταὶ, μίαν ἀπολογίαν εἰδότες, τὴν τῶν συνεχόντων αὐτοὺς κακῶν ἀπαλλαγήν. Ὁ δὲ μὴ δυνάμενος ταύτην παρασχεῖν, κἂν μυρίας λέγῃ προφάσεις, οὐδέποτε τὴν κατάγνωσιν φεύξεται τὴν παρ' ἐκείνων. Ἐπειδὴ δὲ προστασίας ἐμνήσθην, φέρε σοι καὶ ἑτέραν μέμψεων ἀποκαλύψω πρόφασιν. Εἰ γὰρ μὴ καθ' ἑκάστην ἡμέραν μᾶλλον τῶν ἀγοραίων περινοστεῖ τὰς οἰκίας ὁ τὴν ἐπισκοπὴν ἔχων, προσκρούματα ἐντεῦθεν ἀμύθητα. Οὐδὲ γὰρ ἀῤῥωστοῦντες μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες ἐπισκοπεῖσθαι βούλονται, οὐ τῆς εὐλαβείας αὐτοὺς ἐπὶ τοῦτο προκαλουμένης, τιμῆς δὲ καὶ ἀξιώματος οἱ πολλοὶ ἀντιποιούμενοι μᾶλλον. Εἰ δέ ποτε συμβαίη τινὰ τῶν πλουσιωτέρων καὶ δυνατωτέρων, χρείας τινὸς κατεπειγούσης, εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας κέρδος συνεχέστερον ἰδεῖν, εὐθέως ἐντεῦθεν θωπείας καὶ κολακείας προστρίψαντο δόξαν. Καὶ τί λέγω προστασίας καὶ ἐπισκίψεις; ἀπὸ γὰρ τῶν προσρήσεων μόνον τοσοῦτον φέρουσιν ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ τῆς ἀθυμίας πολλάκις· ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσι. Τὰ γὰρ ἁπλῶς παρ' αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοὶ, καὶ μέτρον φωνῆς ἐξετάζοντες, καὶ διάθεσιν ὄψεως, καὶ ποσότητα γέλωτος. Τὸν μὲν δεῖνα, φησὶ,

nabiles ac necessariæ urgent causæ. Si quis vero dicat, non opus esse ut res hujusmodi episcopo committatur, noverit is, singularum rerum gerendarum curas et causas ad ipsum referendas esse: ita ut multo sit utilius, si omnia ipse administrans, iis criminibus liber futurus sit, quæ propter aliorum peccata subire debet, quam si, dimissa hujusmodi administratione, pro aliorum gestis de ratione reddenda tremere cogatur. Ad hæc, qui per se id agit, admodum facile omnia percurrit: qui vero omnibus aliis ad suam sententiam pertractis id agere cogitur, non tantam habet laboris remissionem ex eo quod non ipse omnia agat, quanta negotia et tumultus per eos qui adversantur ei et cum ipsius pugnant judicio. Verum non omnes de virginibus sollicitudines recensendi facultas est: etenim vel cum in album referendæ sunt, non parum negotii facessunt ei, cui hæc administratio concredita est.

Judiciorum officium innumeras parit molestias, multum negotii, tot difficultates, quot ne forenses quidem judices subeunt: siquidem jus ipsum reperire labor est, repertum non violare difficile. Non modo autem negotium et difficultas adest, sed etiam periculum non parvum. Jam enim quidam ex infirmioribus in negotia delapsi, quia patrocinium non invenere, circa fidem naufragati sunt. Multi enim ex læsorum numero non minus, quam ipsos lædentes, eos qui sibi non ferunt opem odio habent: ac neque negotiorum distractionis, nec temporum iniquitatis, neque sacerdotalis potentiæ mediocritatis, neque alius cujuspiam rationem habere volunt; sed sunt inexorabiles judices, hanc unam scientes apologiam, malorum se prementium exitum. Qui hunc præbere nequit, quamvis innumeras causas proferat, nunquam eorum condemnationem effugiet. Quia vero patrocinii mentionem feci, age aliam tibi querelæ causam declarabo. Nam nisi quotidie episcopus, plus quam ipsi forenses, domos circumeat, hinc offensiones innumeræ. Non enim ægri solum, sed etiam qui bene valent, invisi se volunt; non pietatis religionisve causa, sed honoris dignitatisque id multi exigunt. Quodsi forte contingat ut aliquem ex ditioribus potentioribusque, urgente casu, in Ecclesiæ lucrum frequentius visitet, statim palpatoris atque adulatoris notam sibi inurit. Sed quid patrocinia et aditus memoro, quando ex compellationibus solum tantam criminationum molem afferunt, ut ex animi mœrore sæpe illi graventur et decidant? Jam vero vel oculorum contuitus explorantur: nam ejus vel simpliciora gesta ad trutinam vocant bene multi, vocis modum, aspiciendi ridendique rationem. Illi cuipiam, aiunt, effuse

δαψιλῶς ἐπεγέλασε καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μεγάλῃ προσεῖπε τῇ φωνῇ· ἐμὲ δὲ ἧττον καὶ ὡς ἔτυχε. Κἂν πολλῶν συγκαθημένων μὴ παντα χοῦ περιφέρῃ τοὺς ὀφθαλμοὺς διαλεγόμενος, ὕβριν τὸ πρᾶγμά φασιν οἱ λοιποί. Τίς οὖν μὴ λίαν ἰσχυρὸς ὢν τοσούτοις ἂν ἀρκέσειε κατηγόροις, ἢ πρὸς τὸ μηδ' ὅλως γραφῆναι παρ' αὐτῶν, ἢ πρὸς τὸ διαφυγεῖν μετὰ τὴν γραφήν; Δεῖ μὲν γὰρ μηδὲ ἔχειν κατηγόρους· εἰ δὲ τοῦτο ἀδύνατον, ἀπολύεσθαι τὰ παρ' ἐκείνων ἐγκλήματα· εἰ δὲ οὐδὲ τοῦτο εὔπορον, ἀλλὰ τέρπονταί τινες εἰκῇ καὶ ἁπλῶς αἰτιώμενοι, γενναίως πρὸς τὴν τῶν μέμψεων τούτων ἀθυμίαν ἵστασθαι. Ὁ μὲν γὰρ δικαίως ἐγκαλούμενος κἂν ἐνέγκοι τὸν ἐγκαλοῦντα ῥᾳδίως· ἐπειδὴ γὰρ οὐκ ἔστι πικρότερός τις τοῦ συνειδότος κατήγορος, διὰ τοῦτο, ὅταν ὑπ' ἐκείνου τοῦ χαλεπωτάτου πρότερον ἁλῶμεν, τοὺς ἔξωθεν ἡμερωτέρους ὄντας εὐκόλως φέρομεν. Ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδέναι πονηρὸν ἔχων, ὅταν ἐγκαλῆται μάτην, καὶ πρὸς ὀργὴν ἐκφέρεται ταχέως, καὶ πρὸς ἀθυμίαν καταπίπτει ῥᾳδίως, ἂν μὴ πρότερον τύχῃ μεμελετηκὼς τὰς τῶν πολλῶν φέρειν ἀνοίας. Οὐ γάρ ἐστιν, οὐκ ἔστι συκοφαντούμενον εἰκῇ καὶ καταδικαζόμενον μὴ ταράττεσθαι καὶ πάσχειν τι πρὸς τὴν τοσαύτην ἀλογίαν. Τί ἄν τις λέγοι τὰς λύπας, ἃς ὑπομένουσιν, ἡνίκα ἂν δέῃ τινὰ τοῦ τῆς Ἐκκλησίας περικόψαι πληρώματος; Εἶδε μὲν οὖν μέχρι λύπης ἵστατο τὸ δεινόν· νῦν δὲ καὶ ὄλεθρος οὐ μικρός. Δέος γὰρ μήποτε πέρα τοῦ δέοντος κολασθεὶς ἐκεῖνος πάθῃ τοῦτο δὴ τὸ ὑπὸ τοῦ μακαρίου Παύλου λεχθὲν καὶ « Ὑπὸ τῆς περισσοτέρας λύπης καταποθῇ. » Πλείστης οὖν χἀνταῦθα δεῖ τῆς ἀκριβείας, ὥστε μὴ τὴν τῆς ὠφελείας ὑπόθεσιν μείζονος αὐτῷ γενέσθαι ζημίας ἀφορμήν. Ὧν γὰρ ἂν ἁμάρτῃ μετὰ τὴν τοιαύτην θεραπείαν ἐκεῖνος, κοινωνεῖ τῆς ἐφ' ἑκάστῳ τούτων ὀργῆς ὁ μὴ καλῶς τὸ τραῦμα τεμὼν ἰατρός. Πόσας οὖν χρὴ προσδοκᾶν τιμωρίας, ὅταν μὴ μόνον ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἐπλημμέλησεν ἀπαιτῆται λόγον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτηθέντων εἰς τὸν ἔσχατον καθίστηται κίνδυνον; Εἰ γὰρ τῶν οἰκείων πλημμελημάτων εὐθύνας ὑπέχοντες φρίττομεν, ὡς οὐ δυνησόμενοι τὸ πῦρ ἐκφυγεῖν ἐκεῖνο, τί χρὴ πείσεσθαι προσδοκᾶν τὸν ὑπὲρ τοσούτων ἀπολογεῖσθαι μέλλοντα; Ὅτι γὰρ τοῦτό ἐστιν ἀληθές, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· « Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. » Ἆρα μικρὸς οὗτος ὁ τῆς ἀπειλῆς φόβος; Οὐκ ἔστιν εἰπεῖν. Ἀλλὰ καὶ τοὺς σφόδρα ἀπειθεῖς καὶ σκληροὺς ἱκανὰ ταῦτα πεῖσαι, ὡς οὔτε ἀπονοίᾳ οὔτε φιλοδοξίᾳ ἁλόντες, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότες μόνον, καὶ εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, ταύτην ἐφύγομεν τὴν φυγήν.

arrisit, hilari ipsum vultu et magna voce salutavit : me vero longe parcius et perfunctorie. Quodsi multis assidentibus non undique oculos circumferat inter loquendum, id pro contumelia habent relicti. Quis igitur nisi admodum fortis tam multis accusatoribus sufficere poterit, ut vel ab illis nullatenus in crimen vocetur, vel accusatus esse expediat? Oportet enim accusatorem esse neminem ; si id minus fieri possit, oblata saltem crimina abluere. Quodsi ne hoc quidem facile est, sed quidam temere et frustra culpando gaudent : fortiter ferenda est querimoniarum hujusmodi mœstitia. Etenim qui jure accusatur, facile accusantem tulerit : quandoquidem enim nullus accusator acerbior est ipsa conscientia, ideo ab illo actore omnium molestissimo capti externos accusatores, utpote mitiores, facile patimur. Qui autem nullius sibi culpæ conscius est, falso accusatus continuo in iram vertitur, et in mœrorem facile decidit, nisi prius ad multorum ferendas insanias exercitatus fuerit. Neque enim fieri potest, calumniis impetitum et inique damnatum non turbari, et de tanta iniquitate nihil pati. Quid memorem tristitiam tum subeundam, cum quempiam ex cœtu Ecclesiæ amovere opus est? Utinam vero malum totum in tristitia consisteret : nunc vero pernicies non modica. Metuendum quippe est, ne ultra modum pœnis affectus ille id patiatur, quod a beato Paulo dictum est (2 *Cor.* 2. 7), et *abundantiori tristitia absorbeatur.* Maxima ergo diligentia hic opus est, ne quod prodesse illi debuerat, majoris ipsi damni sit occasio : nam quæcumque ille post hujusmodi curationem peccata admiserit, communem tam ipsi quam medico iram accendunt, si hic non recte vulnus inciderit. Quot autem supplicia exspectanda sunt, cum quis non ex peccatis modo suis, sed ex aliorum quoque delictis in extremum periculum adducitur? Nam si de propriis sceleribus rationem reddituri exhorrescimus, quippe non valentes ignem illum effugere, quid illi exspectandum est, qui tam multorum nomine causam sit dicturus? Quod autem hoc verum sit, audi beatum Paulum dicentem; imo potius non illum, sed in ipso loquentem Christum (*Hebr.* 13. 17) : *Obedite præpositis vestris, et subjacete eis : ipsi enim pervigilant, quasi rationem pro animabus vestris reddituri.* Num exiguus videtur hic comminationis terror? Is quantus sit dici nequit. Verum hæc satis sunt, quæ vel pertinacioribus fidem faciant, nos non superbia vel vana gloria captos, sed nobis tantum metuentes et rei molem considerantes hujusmodi fugam fecisse.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ τετάρτῳ λόγῳ.

α'. Ὅτι οὐ μόνον οἱ σπουδάζοντες ἐπὶ κλῆρον ἐλθεῖν, ἀλλὰ καὶ οἱ ἀνάγκην ὑπομένοντες, ἐν οἷς ἂν ἁμάρτωσι σφόδρα κολάζονται.

β. Ὅτι οἱ χειροτονοῦντες ἀναξίους τῆς αὐτῆς αὐτοῖς εἰσιν ὑπεύθυνοι τιμωρίας, κἂν ἀγνοῶσι τοὺς χειροτονουμένους.

γ'. Ὅτι πολλῆς τῆς ἐν τῷ λέγειν δυνάμεως χρεία τῷ ἱερεῖ.

δ'. Ὅτι πρὸς τὰς ἁπάντων μάχας καὶ Ἑλλήνων καὶ Ἰουδαίων καὶ αἱρετικῶν παρεσκευάσθαι χρή.

ε'. Ὅτι σφόδρα ἔμπειρον εἶναι δεῖ τῆς διαλεκτικῆς.

ς'. Ὅτι τῷ μακαρίῳ Παύλῳ μάλιστα τοῦτο κατώρθωτο.

ζ'. Ὅτι οὐκ ἀπὸ τῶν σημείων μόνον λαμπρὸς ἐγένετο, ἀλλὰ καὶ ἀπὸ τοῦ λέγειν.

η'. Ὅτι καὶ ἡμᾶς τοῦτο βούλεται κατορθοῦν.

θ'. Ὅτι τούτου μὴ παρόντος τῷ ἱερεῖ, πολλὴν ἀνάγκη τοὺς ἀρχομένους ζημίαν ὑφίστασθαι.

Ταῦτα ὁ ΒΑΣΙΛΕΙΟΣ ἀκούσας, καὶ μικρὸν ἐπισχών, Ἀλλ' εἰ μὲν αὐτὸς ἐσπούδασας, φησὶ, ταύτην κτήσασθαι τὴν ἀρχὴν, εἶχεν ἄν σοι λόγον οὗτος ὁ φόβος. Τὸν γὰρ ὁμολογήσαντα ἐπιτήδειον εἶναι πρὸς τὴν τοῦ πράγματος διοίκησιν τῷ σπουδάσαι λαβεῖν, οὐκ ἔστι μετὰ τὸ πιστευθῆναι ἐν οἷς ἂν σφάλληται καταφεύγειν εἰς ἀπειρίαν· προλαβὼν γὰρ αὐτὸς ἑαυτὸν ταύτην ἀφείλατο τὴν ἀπολογίαν, τῷ προσδραμεῖν καὶ ἁρπάσαι τὴν διακονίαν, καὶ οὐκ ἔτι ἂν δύναιτο λέγειν ὁ ἑκὼν καὶ ἐθελοντὴς ἐπὶ τοῦτο ἐλθών, ὅτι ἄκων τόδε ἥμαρτον, καὶ ἄκων τὸ δεῖνα διέφθειρα. Ἐρεῖ γὰρ πρὸς αὐτὸν ὁ ταύτην αὐτῷ τότε δικάζων τὴν δίκην· Καὶ τί δήποτε τοσαύτην ἑαυτῷ συνειδὼς ἀπειρίαν, καὶ οὐκ ἔχων διάνοιαν ἱκανὴν πρὸς τὸ μεταχειρίσαι τὴν τέχνην ταύτην ἀναμαρτήτως, ἔσπευσας καὶ ἐτόλμησας μείζονα τῆς οἰκείας δυνάμεως ἀναδέξασθαι πράγματα; τίς ὁ καταναγκάσας; τίς ὁ πρὸς βίαν ἑλκύσας ἀποπηδῶντα καὶ φεύγοντα; Ἀλλ' οὐ σύ γε τούτων οὐδὲν ἀκούσῃ ποτέ· οὔτε γὰρ αὐτὸς ἂν ἔχοις τοιοῦτόν τι σαυτοῦ καταγνῶναι, καὶ πᾶσίν ἐστι καταφανὲς ὅτι οὔτε μέγα οὔτε μικρὸν ὑπὲρ ταύτης ἐσπούδασας τῆς τιμῆς, ἀλλ' ἑτέρων γέγονε τὸ κατόρθωμα. Καὶ ὅπερ ἐκείνους ἐν τοῖς ἁμαρτήμασιν οὐκ ἀφίησιν ἔχειν συγγνώμην, τοῦτό σοι πολλὴν παρέχει πρὸς ἀπολογίαν τὴν ὑπόθεσιν.

Πρὸς ταῦτα ἐγὼ κινήσας τὴν κεφαλὴν, καὶ μειδιάσας ἡρέμα ἐθαύμαζόν τε αὐτὸν τῆς ἁπλότητος, καὶ πρὸς αὐτὸν ἔλεγον· (ΧΡΥΣ.) Ἐβουλόμην καὶ αὐτὸς ταῦθ' οὕτως ἔχειν, ὡς ἔφης, ὦ πάντων ἀγαθώτατε σὺ, οὐχ ἵνα δέξασθαι δυνηθῶ τοῦτο, ὅπερ ἔφυγον νῦν. Εἰ γὰρ καὶ μηδεμία μοι προὔκειτο κόλασις ὡς ἔτυχε καὶ ἀπείρως ἐπιμελουμένῳ τῆς ποίμνης τοῦ Χριστοῦ, ἀλλ' ἐμοὶ πάσης τιμωρίας χαλεπώτερον ἦν αὐτὸ τὸ πιστευθέντα πράγματα οὕτω μεγάλα περὶ τὸν πιστεύσαντα οὕτω φανῆναι κακόν. Τίνος οὖν ἕνεκεν ηὐχόμην τὴν

DE SACERDOTIO

LIBER QUARTUS.

Hæc insunt libro quarto.

I. Non eos tantum, qui ad clerum pervenire student, verum etiam qui vim patiuntur, ob peccata graviter puniri.

II. Qui indignos ordinant, idem quod hi supplicium experturos esse, licet ipsos non norint.

III. Sacerdoti necessariam esse expeditam dicendi facultatem.

IV. Ad quorumvis concertationes, et Græcorum, et Judæorum, et hæreticorum, eum paratum esse oportere.

V. Perquam peritum dialecticæ esse oportere.

VI. B. Paulum id optime præstitisse.

VII. Eumdem non signis tantum claruisse, sed etiam arte dicendi.

VIII. Eumdem id a nobis quoque velle exerceri.

IX. Quo nisi præditus sit episcopus, subditus non leve damnum necesario subire.

1. [I.] His auditis, BASILIUS paulum cunctatus: At si tu quidem, inquit, hanc dignitatem affectasses, hunc jure timorem admittere posses. Nam qui ad rei cujuspiam administrationem se idoneum esse professus est eo quod eam arripere studuerit, illa sibi concredita si labatur, non potest ad imperitiæ excusationem confugere; utpote qui antevertens hanc sibi ipse defensionem ademerit, quod accurrerit, eamque sibi administrationem rapuerit: neque dicere potest is, qui lubens et sponte huc accessit, Invitus hac in re peccavi, invitus illam rem pessumdedi. Respondebit illi, qui tum hac in re judex futurus est: Et cur tantæ tibi conscius imperitiæ, cum mens ad talem inculpate tractandam artem tibi non adesset, involasti, aususque es majora, quam vires ferrent, negotia suscipere? Quis te coegit, quis reluctantem et fugientem vi pertraxit? At tu nihil unquam simile audies, neque possis unquam hujusmodi delicti te ipsum damnare, omnibusque planum est te ne tantillum quidem ad hunc suscipiendum honorem laborasse, sed id aliorum opera factum esse. Atque adeo id ipsum quod illis nullam peccatorum veniam relinquit, hoc tibi magnam defensionis materiam suppeditabit.

Ad hæc ego caput cum movissem, sensimque arrisissem, hominis simplicitatem miratus, hæc loquutus sum: (CHRYS.) Equidem optarim rem ita se habere, ut dicis, vir omnium optime, non ut id suscipere possem, quod nunc refugi. Etiamsi enim mihi nullum supplicium propositum esset, si perfunctorie et imperite Christi gregem curassem: at illud mihi omni supplicio gravius foret, si post tantas mihi concreditas res erga eum, qui concredidisset, ita ingratus viderer. Quare igitur optabam illam tuam

δόξαν σου ταύτην μὴ διαπεσεῖν; Ἵνα τοῖς ἀΰλίοις καὶ ταλαιπώροις (οὕτω γὰρ δεῖ καλεῖν τοὺς οὐχ εὑρόντας καλῶς ταύτης προστῆναι τῆς πραγματείας, κἂν μυριάκις αὐτοὺς πρὸς ἀνάγκην ἦχθαι λέγῃς, καὶ ἀγνοοῦντας ἁμαρτεῖν), ἵνα τούτοις διαφυγεῖν γένηται τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τὸ διχοτομηθῆναι καὶ μετὰ τῶν ὑποκριτῶν ἀπολέσθαι. Ἀλλὰ τί σοι πάθω; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Καί, εἰ βούλει γε, ἀπὸ τῆς βασιλείας πρῶτον, ἧς οὐ τοσοῦτος ὅσος τῆς ἱερωσύνης τῷ Θεῷ λόγος, παρέξω σοι τούτων ὧν εἶπον τὴν πίστιν. Ὁ Σαοὺλ ἐκεῖνος ὁ τοῦ Κεὶς υἱὸς οὐχ αὐτὸς σπουδάσας ἐγένετο βασιλεὺς, ἀλλ' ἀπῆλθε μὲν ἐπὶ τὴν τῶν ὄνων ζήτησιν, καὶ ὑπὲρ τούτων ἐρωτήσων τὸν προφήτην ἦρχετο, ὁ δὲ αὐτῷ περὶ τῆς βασιλείας διελέγετο. Καὶ οὐδὲ οὕτως ἐπέδραμε, καίτοι παρὰ ἀνδρὸς ἀκούων προφήτου, ἀλλὰ καὶ ἀνεδύετο καὶ παρῃτεῖτο λέγων, Τίς εἰμι ἐγὼ, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου; Τί οὖν; ἐπειδὴ κακῶς ἐχρήσατο τῇ παρὰ τοῦ Θεοῦ δοθείσῃ τιμῇ, ἴσχυσεν αὐτὸν ἐξελέσθαι τὰ ῥήματα ταῦτα τῆς τοῦ βασιλεύσαντος αὐτὸν ὀργῆς; Καίτοι γε ἐνῆν λέγειν πρὸς τὸν Σαμουὴλ ἐγκαλοῦντα αὐτῷ· Μὴ γὰρ αὐτὸς ἐπέδραμον τῇ βασιλείᾳ; μὴ γὰρ ἐπεπήδησα ταύτῃ τῇ δυναστείᾳ; τὸν τῶν ἰδιωτῶν ἐβουλόμην βίον ζῆν τὸν ἀπράγμονα καὶ ἡσύχιον, σὺ δέ με ἐπὶ τοῦτο εἵλκυσας τὸ ἀξίωμα. Ἐν ἐκείνῃ μένων τῇ ταπεινότητι εὐκόλως ἂν ταῦτα ἐξέκλινα τὰ προσκρούματα. Οὐ γὰρ δήπου τῶν πολλῶν εἷς ὢν καὶ ἀσήμων ἐπὶ τοῦτο ἂν ἐξεπέμφθην τὸ ἔργον, οὐδ' ἂν ἐμοὶ τὸν πρὸς τοὺς Ἀμαληκίτας πόλεμον ἐνεχείρισεν ὁ Θεός· μὴ ἐγχειρισθεὶς δὲ οὐκ ἄν ποτε ταύτην ἥμαρτον τὴν ἁμαρτίαν. Ἀλλὰ ταῦτα πάντα ἀσθενῆ πρὸς ἀπολογίαν, οὐκ ἀσθενῆ δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνα, καὶ μᾶλλον ἐκκαίοντα τοῦ Θεοῦ τὴν ὀργήν. Τὸν γὰρ ὑπὲρ τὴν ἀξίαν τιμηθέντα οὐκ εἰς τὴν τῶν ἁμαρτημάτων ἀπολογίαν χρὴ προβάλλεσθαι τῆς τιμῆς τὸ μέγεθος, ἀλλ' εἰς μείζονος βελτιώσεως προκοπὴν κεχρῆσθαι τῇ πολλῇ περὶ αὐτὸν τοῦ Θεοῦ σπουδῇ. Ὁ δὲ διότι κρείττονος ἔτυχεν ἀξιώματος, διὰ τοῦτο ἁμαρτάνειν αὐτῷ νομίζων ἐξεῖναι, οὐδὲν ἕτερον ἢ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αἰτίαν τῶν οἰκείων ἁμαρτημάτων ἐπιδεῖξαι ἐσπούδακεν, ὅπερ τοῖς ἀσεβέσι καὶ ῥᾳθύμως τὸν ἑαυτῶν διοικοῦσι βίον λέγειν ἔθος ἀεί. Ἀλλ' οὐχ ἡμᾶς οὕτω διακεῖσθαι χρὴ, οὐδὲ εἰς τὴν αὐτὴν ἐκείνοις ἐκπίπτειν μανίαν, ἀλλὰ πανταχοῦ σπουδάζειν τὰ παρ' ἑαυτῶν εἰσφέρειν εἰς δύναμιν τὴν ἡμετέραν, καὶ εὔφημον καὶ γλῶτταν καὶ διάνοιαν ἔχειν. Οὐδὲ γὰρ ὁ Ἠλί (ἵνα τὴν βασιλείαν ἀφέντες ἐπὶ τὴν ἱερωσύνην, περὶ ἧς ἡμῖν ὁ λόγος, ἔλθωμεν νῦν) ἐσπούδασε κτήσασθαι τὴν ἀρχήν. Τί οὖν αὐτὸν τοῦτο, ἡνίκα ἥμαρτεν, ὤνησεν; Καὶ τί λέγω κτήσασθαι; οὐδὲ διαφυγεῖν μὲν οὖν, εἴπερ ἤθελε, δυνατὸν ἦν αὐτῷ διὰ τὴν ἀνάγκην τοῦ νόμου· καὶ γὰρ ἦν τῆς Λευὶ φυλῆς, καὶ τὴν ἀρχὴν διὰ τοῦ γένους ἄνωθεν καταβαίνουσαν

opinionem non esse falsam? Ut miseris et infelicibus (sic enim vocandi ii, qui hoc negotium probe tractare nesciunt, quamvis sexcenties ipsos vi adactos et ignorantes peccare dicas), ut illis, inquam, effugere liceat ignem illum inextinguibilem, et tenebras exteriores, vermemque nunquam morientem, ne dissecentur et cum hypocritis pereant. Verum quid tibi faciam? Non ita se res habet, non ita sane. Ac si vis, a regno primum, quod apud Deum tanti non est quanti sacerdotium, eorum quæ dixi fidem faciam. Saül ille, filius Cis, non suopte motu et cura rex factus est; sed abiit, ut quæreret asinas, et super iis prophetam interrogare cœpit; ille vero de regno ipsum alloquutus est. Neque tamen ille statim regnum adiit, licet id a propheta audisset, sed deprecabatur, renuebatque dicens: Quis sum ego, et quæ domus patris mei? Quid ergo? an cum honore sibi per Deum tradito male usus esset, potuit his verbis eximi ab ira ejus, qui se in regem constituerat? Atqui poterat ad Samuelem increpantem dicere: Num ego regnum invasi? num insilivi in hanc potentiam? vitam privatam, otiosam et quietam ducere volebam: tu vero me in hanc dignitatem pertraxisti. Si in illa humilitate permansissem, hæc offendicula facile declinassem; nam cum ex vulgarium et ignobilium essem numero, ad hoc opus missus nunquam fuissem: neque mihi bellum contra Amalecitas Deus commisisset; quo mihi non commisso in peccatum hujusmodi nunquam incidissem. Verum hæc omnia ad defensionem infirma sunt; nec infirma modo, sed periculosa, quæ Dei magis iram accendant. Eum enim, qui meritis majorem dignitatem accepit, non oportet ad peccatorum excusationem honoris magnitudinem ostendere, sed ad majorem in virtute profectum uti magno illo Dei erga se studio. Ille vero quia meliorem nactus dignitatem, ideo peccare sibi licitum esse existimabat, nihil aliud, quam Dei clementiam, peccatorum suorum causam facere conatus est. Quod sane impiis, et iis qui vitam ignave ducunt, mos est dicere. Nos autem non sic affectos esse, nec in similem decidere insaniam decet, sed ubique curare ut quæ facultatis nostræ sunt adhibeamus, ac bene de Deo cogitemus et loquamur. Neque enim Heli (ut misso regno ad sacerdotium, de quo nunc agitur, transeamus) principatum studio acquisierat. Quid igitur id illi profuit, cum peccasset? Quid dico, acquisierat? ac si voluisset quidem, lege ita cogente, poterat effugere: nam ex tribu Levi erat, et principatum ex generis retro successione accipere illum oportebat. Attamen et hic non

δεῖ δέξασθαι. Ἀλλ' ὅμως καὶ οὗτος τῆς τῶν παίδων παρανίας ἔδωκε δίκην οὐ μικράν. Τί δὲ αὐτὸς ὁ πρῶτος γενόμενος τῶν Ἰουδαίων ἱερεὺς, περὶ οὗ τοσαῦτα ὁ Θεὸς διελέχθη τῷ Μωϋσεῖ; Ἐπειδὴ οὐκ ἰσχυσε μόνος πρὸς τοσούτου πλήθους στῆναι μανίαν, οὐ παρὰ μικρὸν ἦλθεν ἀπολέσθαι, εἰ μὴ ἡ τοῦ ἀδελφοῦ προστασία ἔλυσε τοῦ Θεοῦ τὴν ὀργήν;

Ἐπειδὴ δὲ Μωϋσέως ἐμνήσθημεν, καλὸν καὶ ἐκ τῶν ἐκείνῳ συμβεβηκότων δεῖξαι τοῦ λόγου τὴν ἀλήθειαν. Αὐτὸς γὰρ οὗτος ὁ μακάριος Μωϋσῆς τοσοῦτον ἀπέσχε τοῦ τὴν προστασίαν ἁρπάσαι τῶν Ἰουδαίων, ὡς καὶ διδομένην παραιτεῖσθαι, καὶ Θεοῦ κελεύοντος ἀνανεῦσαι ἐπὶ τοσοῦτον, ὡς καὶ παροξῦναι τὸν προστάττοντα. Καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα γενόμενος ἐπὶ τῆς ἀρχῆς ὑπὲρ τοῦ ταύτης ἀπαλλαγῆναι ἥδιον ἂν ἀπέθνησκεν· « Ἀπόκτεινόν γάρ με, φησὶν, εἰ οὕτω μοι μέλλεις ποιεῖν. » Τί οὖν, ἐπειδὴ ἥμαρτεν ἐπὶ τοῦ ὕδατος, ἴσχυσαν αἱ συνεχεῖς αὗται παραιτήσεις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ, καὶ πεῖσαι τὸν Θεὸν δοῦναι συγγνώμην; Καὶ πόθεν ἄλλοθεν τῆς ἐπηγγελμένης ἀπεστερεῖτο γῆς; Οὐδαμόθεν, ὡς ἅπαντες ἴσμεν, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν ταύτην, δι' ἣν ὁ θαυμαστὸς ἐκεῖνος ἀνὴρ οὐκ ἴσχυσε τῶν αὐτῶν τοῖς ἀρχομένοις τυχεῖν· ἀλλὰ μετὰ τοὺς πολλοὺς ἄθλους καὶ τὰς ταλαιπωρίας, μετὰ τὴν πλάνην ἐκείνην τὴν ἄφατον, καὶ τοὺς πολέμους καὶ τὰ τρόπαια, ἔξω τῆς γῆς ἀπέθνησκεν, ὑπὲρ ἧς τοσαῦτα ἐμόχθησε· καὶ τὰ τοῦ πελάγους ὑπομείνας κακὰ τῶν τοῦ λιμένος οὐκ ἀπήλαυσεν ἀγαθῶν. Ὁρᾷς ὡς οὐ τοῖς ἁρπάζουσι μόνον, ἀλλ' οὐδὲ τοῖς ἐκ τῆς ἑτέρων σπουδῆς ἐπὶ τοῦτο ἐρχομένοις, λείπεταί τις ἐν οἷς ἂν πταίσωσιν ἀπολογία. Ὅπου γὰρ οἱ τοῦ Θεοῦ χειροτονοῦντος παραιτησάμενοι πολλάκις τοσαύτην ἔδωκαν δίκην, καὶ οὐδὲν ἴσχυσεν ἐξελέσθαι τοῦ κινδύνου τούτου οὔτε τὸν Ἀαρὼν, οὔτε τὸν Ἠλὶ, οὔτε τὸν μακάριον ἐκεῖνον ἄνδρα, τὸν ἅγιον, τὸν προφήτην, τὸν θαυμαστὸν, τὸν πρᾶον μάλιστα πάντων τῶν ἐπὶ τῆς γῆς, τὸν ὡς φίλον λαλοῦντα τῷ Θεῷ, σχολῇ γε ἡμῖν τοῖς τοσοῦτον ἀποδέουσι τῆς ἀρετῆς τῆς ἐκείνου δυνήσεται πρὸς ἀπολογίαν ἀρκέσαι τὸ συνειδέναι ἑαυτοῖς μηδὲν ὑπὲρ ταύτης ἐσπουδακόσι τῆς ἀρχῆς· καὶ μάλιστα ὅτε πολλαὶ τούτων τῶν χειροτονιῶν οὐκ ἀπὸ τῆς θείας γίγνονται χάριτος, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἀνθρώπων σπουδῆς. Τὸν Ἰούδαν ὁ Θεὸς ἐξελέξατο, καὶ εἰς τὸν ἅγιον ἐκεῖνον κατέλεξε χορὸν, καὶ τὴν ἀποστολικὴν ἀξίαν μετὰ τῶν λοιπῶν ἐνεχείρισεν· ἔδωκε δέ τι καὶ τῶν ἄλλων πλέον αὐτῷ, τὴν τῶν χρημάτων οἰκονομίαν. Τί οὖν; ἐπειδὴ τούτοις ἀμφοτέροις ἐναντίως ἐχρήσατο καὶ ὃ ἐπιστεύθη κηρύττειν προὔδωκε, καὶ ἃ καλῶς διοικεῖν ἐνεχειρίσθη, ταῦτα ἀνήλωσε κακῶς, ἐξέφυγε τὴν τιμωρίαν; Δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ χαλεπωτέραν ἑαυτῷ τὴν δίκην εἰργάσατο· καὶ μάλα γε εἰκότως. Οὐ γὰρ εἰς τὸ τῷ Θεῷ προσκρούειν δεῖ κατακεχρῆσθαι ταῖς παρὰ τοῦ Θεοῦ διδομέναις τιμαῖς, ἀλλ' εἰς τὸ μᾶλλον ἀρέσκειν αὐτῷ. Ὁ

minimas filiorum petulantiæ pœnas luit. Quid autem ille qui primus Judæorum sacerdos fuit, de quo tam multa cum Moyse Deus verba fecit? Quia non potuit solus tantæ multitudinis furori obsistere, annon parum abfuit quin periret (*Exod.* 32. 10), nisi fratris patrocinium Dei iram avertisset?

Quia vero Moysis mentionem fecimus, e re fuerit etiam ex iis quæ ipsi contigerunt rei veritatem probare. Hic quippe beatus Moyses tantum abfuit ut præfecturam Judæorum invaderet, ut oblatam recusaret, Deoque jubente renueret, tantopere quidem ut mandantem irritaret. Neque tunc tantum, sed etiam postea, cum principatum obtineret, lubens mortem subiisset, ut eum exueret: *Occide me*, inquit (*Num.* 11. 15), *si ita mecum facturus es.* Quid igitur, postquam peccavit ob aquam (*Num.* 20. 12), potuerunt ne assiduæ illæ recusationes ipsum defendere et a Deo veniam impetrare? ecquanam alia de causa terra illa promissionis privatus est? Certe non alia, ut omnes scimus, quam propter hoc peccatum, cujus causa admirandus ille vir non eadem, quæ subditi, consequi potuit; sed post multos labores multasque miserias, post evagationem illam inenarrabilem, post bella et tropæa, extra terram illam obiit, pro qua tot susceperat labores, marisque incommoda passus, portus commoda non assequutus est. Vides non modo raptoribus, sed etiam iis qui aliorum studio huc evehuntur, nullam relinqui peccatorum excusationem. Quando enim ii, qui Deo se ordinante recusaverant, tantas pœnas luernnt, nihilque potuit ab hoc periculo eximere Aaron, non Heli, non beatum illum virum, sanctum, prophetam, mirabilem, mitissimum omnium qui erant super terram, quasi amicum cum Deo colloquentem: vix nobis, qui ab illius virtute tantum absumus, satis ad defensionem esse poterit, quod nobis conscii simus, nos hujusmodi munus nullo studio consequutos esse: cum maxime multæ ex hujusmodi ordinationibus non divina gratia fiant, sed hominum studio. Judam Deus elegit, et in sanctum illum chorum cooptavit, atque ipsi apostolicam dignitatem ut reliquis tradidit; imo quidpiam plus dedit quam aliis (*Joan.* 12. 6), pecuniarum nempe dispensationem. Quid igitur? an quia utroque munere contra quam debuit usus est, quum eum, quem prædicandum susceperat, prodidit, et creditas pecunias male impendit, supplicium effugit? Certe hoc potissimum nomine gravius inde sibi supplicium attraxit; idque jure merito. Non enim a Deo acceptis honoribus ad ejus offensionem utendum est, sed ad ei magis placendum. Ille vero, qui majore dignatus ho-

δὲ, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ, παραπλήσιον ποιεῖ ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων Ἰουδαίων ἀκούσας τοῦ Χριστοῦ λέγοντος ὅτι « Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ εἰ μὴ τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον, » ἐγκαλοίη τῷ Σωτῆρι καὶ συνεργέτῃ λέγων, Τί γὰρ ἦρχου καὶ ἐλάλεις; τί δὲ ἐποίεις σημεῖα, ἵνα μειζόνως ἡμᾶς κολάσῃς; Ἀλλὰ μανίας τὰ ῥήματα ταῦτα καὶ τῆς ἐσχάτης παραπληξίας. Ὁ γὰρ ἰατρὸς οὐχ ἵνα σε καταχρίνῃ ἦλθεν, ἀλλὰ μᾶλλον θεραπεύσων· οὐχ ἵνα σε νοσοῦντα παρίδῃ, ἀλλ' ἵνα σε ἀπαλλάξῃ τῆς νόσου τέλεον. Σὺ δὲ σαυτὸν ἐκὼν ἀπεστέρησας τῶν ἐκείνου χειρῶν· δέχου τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. Ὥσπερ γὰρ εἰ εἶξας τῇ θεραπείᾳ, καὶ τῶν προτέρων ἂν ἀπηλλάγης κακῶν, οὕτως ἐπειδὴ παραγενόμενον ἰδὼν ἔφυγες, οὐκέτι ἀπονίψασθαι ταῦτα δυνήσῃ, μὴ δυνάμενος δὲ καὶ τούτων δώσεις τὴν τιμωρίαν· καὶ ἀνθ' ὧν αὐτῷ ματαίαν τὴν σπουδὴν ἐποίησας, τό γε μέρος τὸ σὸν, διὰ ταῦτα οὐκ ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ καὶ μετὰ τὰς τιμὰς τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ σφοδροτέραν ὕστερον. Ὁ γὰρ μηδὲ τῷ παθεῖν εὖ γενόμενος ἀγαθὸς πικρότερον δίκαιος ἂν εἴη κολάζεσθαι. Ἐπεὶ οὖν ἀσθενὴς ἡμῖν αὕτη ἡ ἀπολογία δέδεικται, καὶ οὐ μόνον οὐ σώζει τοὺς εἰς αὐτὴν καταφεύγοντας, ἀλλὰ καὶ προδίδωσι πλέον, ἑτέραν ἡμῖν ποριστέον ἀσφάλειαν.

Ποίαν δὴ ταύτην; ὁ ΒΑΣΙΛΕΙΟΣ ἔφη, ὡς ἔγωγε οὐδὲ ἐν ἐμαυτῷ δύναμαι εἶναι νῦν, οὕτω με ἔμφοβον καὶ ἔντρομον τοῖς ῥήμασι κατέστησας τούτοις.

ΧΡΥΣΟΣΤ. Μὴ, δέομαι, ἔφην, καὶ ἀντιβολῶ, μὴ τοσοῦτον καταβάλῃς σαυτόν. Ἔστι γὰρ, ἔστιν ἀσφάλεια τοῖς μὲν ἀσθενέσιν ἡμῖν τὸ μηδέποτε ἐμπεσεῖν, ὑμῖν δὲ τοῖς ἰσχυροῖς τὸ τὰς ἐλπίδας τῆς σωτηρίας εἰς ἕτερον μὲν ἀνηρτῆσθαι μηδὲν, μετὰ δὲ τὴν τοῦ Θεοῦ χάριν εἰς τὸ μηδὲν ἀνάξιον πράττειν τῆς δωρεᾶς ταύτης καὶ τοῦ δεδωκότος αὐτὴν Θεοῦ. Μεγίστης μὲν γὰρ ἂν εἶεν κολάσεως ἄξιοι οἱ μετὰ τὸ δι' οἰκείας σπουδῆς ταύτης ἐπιτυχεῖν τῆς ἀρχῆς, ἢ διὰ ῥᾳθυμίαν, ἢ διὰ πονηρίαν, ἢ καὶ δι' ἀπειρίαν κακῶς κεχρημένοι τῷ πράγματι. Οὐ μὴν διὰ τοῦτο τοῖς οὐκ ἐσπουδακόσι καταλείπεταί τις συγγνώμη, ἀλλὰ καὶ οὗτοι πάσης ἀπολογίας ἐστέρηνται. Δεῖ γὰρ, οἶμαι, κἂν μυρίοι καλῶσι καὶ καταναγκάζωσι, μὴ πρὸς ἐκείνους ὁρᾶν, ἀλλὰ πρότερον τὴν ἑαυτοῦ βασανίσαντα ψυχὴν, καὶ πάντα διερευνησάμενον ἀκριβῶς, οὕτως εἴξαι τοῖς βιαζομένοις. Νῦν δὲ οἰκίαν μὲν οἰκοδομήσασθαι οὐδεὶς ἂν ὑποσχέσθαι τολμήσειε τῶν οὐκ ὄντων οἰκοδομικῶν, οὐδὲ σωμάτων ἅψασθαι νενοσηκότων ἐπιχειρήσειεν ἄν τις τῶν ἰατρεύειν οὐκ εἰδότων, ἀλλὰ κἂν πολλοὶ οἱ πρὸς βίαν ὠθοῦντες ὦσιν, παραιτήσεται, καὶ οὐκ ἐρυθριάσει τὴν ἄγνοιαν· ψυχῶν δὲ ἐπιμέλειαν μέλλων ἐμπιστεύεσθαι τοσούτων οὐκ ἐξετάσει πρότερον ἑαυτὸν, ἀλλὰ, κἂν ἁπάντων ἀπειρότατος ᾖ, δέξεται τὴν ὁτιοῦν ἀρχὴν, ἐπειδὴ πλέον τετίμηται, διὰ τοῦτο ἀξιῶν ἀποφυγεῖν, ἐν οἷς ἂν κολάζεσθαι δέῃ, παραπλήσιον ποιεῖ ὥσπερ ἂν εἴ τις καὶ τῶν ἀπίστων Ἰουδαίων ἀκούσας τοῦ Χριστοῦ λέγοντος ὅτι « Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ εἰ μὴ τὰ σημεῖα ἐποίουν ἐν αὐτοῖς, ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον, » ἐγκαλοίη τῷ Σωτῆρι καὶ συνεργέτῃ λέγων, Τί γὰρ ἦρχου καὶ ἐλάλεις; τί δὲ ἐποίεις σημεῖα, ἵνα μειζόνως ἡμᾶς κολάσῃς; Ἀλλὰ μανίας τὰ ῥήματα ταῦτα καὶ τῆς ἐσχάτης παραπληξίας. Ὁ γὰρ ἰατρὸς οὐχ ἵνα σε καταχρίνῃ ἦλθεν, ἀλλὰ μᾶλλον θεραπεύσων· οὐχ ἵνα σε νοσοῦντα παρίδῃ, ἀλλ' ἵνα σε ἀπαλλάξῃ τῆς νόσου τέλεον. Σὺ δὲ σαυτὸν ἐκὼν ἀπεστέρησας τῶν ἐκείνου χειρῶν· δέχου τοίνυν χαλεπωτέραν τὴν τιμωρίαν. Ὥσπερ γὰρ εἰ εἶξας τῇ θεραπείᾳ, καὶ τῶν προτέρων ἂν ἀπηλλάγης κακῶν, οὕτως ἐπειδὴ παραγενόμενον ἰδὼν ἔφυγες, οὐκέτι ἀπονίψασθαι ταῦτα δυνήσῃ, μὴ δυνάμενος δὲ καὶ τούτων δώσεις τὴν τιμωρίαν· καὶ ἀνθ' ὧν αὐτῷ ματαίαν τὴν σπουδὴν ἐποίησας, τό γε μέρος τὸ σὸν, διὰ ταῦτα οὐκ ἴσην πρὸ τοῦ τιμηθῆναι παρὰ τοῦ Θεοῦ καὶ μετὰ τὰς τιμὰς τὴν βάσανον ὑπομένομεν, ἀλλὰ πολλῷ σφοδροτέραν ὕστερον. Ὁ γὰρ μηδὲ τῷ παθεῖν εὖ γενόμενος ἀγαθὸς πικρότερον δίκαιος ἂν εἴη κολάζεσθαι. Ἐπεὶ οὖν ἀσθενὴς ἡμῖν αὕτη ἡ ἀπολογία δέδεικται, καὶ οὐ μόνον οὐ σώζει τοὺς εἰς αὐτὴν καταφεύγοντας, ἀλλὰ καὶ προδίδωσι πλέον, ἑτέραν ἡμῖν ποριστέον ἀσφάλειαν.

more, ideo rogat ut debitum sibi supplicium eludere posse liceat, perinde agit ac si quis ex incredulis Judæis Christum audiens dicentem (*Joan.* 15. 22 *et* 24), *Nisi venissem et loquutus fuissem eis, peccatum non haberent; et nisi signa fecissem eis, quæ nullus alius fecerat, peccatum non haberent*, Servatorem ac beneficum incusaret his verbis: Cur venisti ac loquutus es? cur signa fecisti, ut majore nos supplicio afficeres? Sed furoris ac summæ insaniæ sunt hæc verba. Medicus enim non ut te damnaret venit, sed ut curaret; non ut te ægrotantem despiceret, sed ut morbo penitus liberaret. Tu autem ultro te ejus manibus summovisti: gravius igitur supplicium subeas. Quemadmodum enim si curationi te subdidisses, a pristinis malis liberareris: sic quia præsentem effugisti, non ultra poteris illa abstergere, quumque non possis, horum pœnas dabis; et quia vanam, quantum penes te fuit, ejus sollicitudinem fecisti, ideo non parem, quam ante collatum a Deo honorem, sed longe graviorem cruciatum sustinebis. Etenim is, quem beneficia accepta meliorem non reddunt, jure acerbius plecti meretur. Quia igitur hujusmodi defensio infirma nobis esse demonstratur, nec solum non tutatur eos qui ad illam confugiunt, sed magis etiam prodit, aliud nobis præsidium quærendum.

Quodnam illud? inquit BASILIUS; quandoquidem ego in me ipso esse non possum: tantum mihi terroris ac formidinis verba tua incusserunt.

CHRYSOST. Ne, quæso et obsecro, te eousque dejicias. Est enim, est sane præsidium nobis infirmis, ut nunquam eo incidamus; vobis autem fortibus, ut spem salutis post Dei gratiam non alibi ponatis, quam ut nihil indignum faciatis illo dono et ipso largitore Deo. Maximo quippe supplicio digni erunt ii, qui postquam studio suo dignitatem hujusmodi sunt adepti, vel ex ignavia, vel ex improbitate, vel ex imperitia, non recte illa utuntur. Neque tamen ideo iis, qui nullo studio ipsam assequuti sunt, venia relinquitur, sed ne ipsis quidem ulla superest excusatio. Oportet enim, arbitror, quamvis sexcenti advocent et cogant, non illos respicere, sed primo animum explorare suum, et omnia accurate scrutatum ita vim inferentibus cedere. Jam nullus se domum ædificaturum polliceri audeat, nisi sit architectus, neque ægrotantia corpora curare, nisi medicinam calleat; sed etiamsi vim inferant, semper obsistet, nec pudebit eum ignorantiæ. Cui autem tam multarum animarum cura concredenda est, is nonne prius se ipsum explorabit, sed, etiamsi omnium imperitissimus sit, ministerium suscipiet, quia alius quispiam id jubet,

χονίαν, ἐπειδὴ ὁ δεῖνα κελεύει, καὶ ὁ δεῖνα βιάζεται, καὶ ἵνα μὴ προσκρούσῃ τῷ δεῖνι; Καὶ πῶς οὐκ εἰς προῦπτον ἑαυτὸν μετ' ἐκείνων ἐμβαλεῖ κακόν; Ἐξὸν γὰρ αὐτῷ σώζεσθαι καθ' ἑαυτὸν, νῦν καὶ ἑτέρους προσπολλύσι μεθ' ἑαυτοῦ. Πόθεν γὰρ ἔστιν ἐλπίσαι σωτηρίαν; πόθεν συγγνώμης τυχεῖν; τίνες ἡμᾶς παραιτήσονται τότε; οἱ βιαζόμενοι νῦν ἴσως καὶ πρὸς ἀνάγκην ἥκοντες; αὐτοὺς δὲ τούτους τίς κατ' ἐκεῖνον διασώσει τὸν καιρόν; καὶ γὰρ καὶ αὐτοὶ προσδέονται ἑτέρων, ἵνα διαφύγωσι τὸ πῦρ. Ὅτι δέ σε οὐ δεδιττόμενος ταῦτα λέγω νῦν, ἀλλ' ὡς ἔχει τὸ πρᾶγμα ἀληθείας, ἄκουε τί τῷ μαθητῇ φησιν ὁ μακάριος Παῦλος Τιμοθέῳ, τῷ γνησίῳ τέκνῳ καὶ ἀγαπητῷ· « Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. » Εἶδες ὅσης τοὺς μέλλοντας ἡμᾶς ἐπὶ τοῦτο παράγειν οὐ μέμψεως μόνον, ἀλλὰ καὶ τιμωρίας τό γε ἡμέτερον ἐπηλλάξαμεν μέρος; Ὥσπερ γὰρ τοῖς αἱρεθεῖσιν οὐκ εὔαρκες πρὸς ἀπολογίαν τὸ λέγειν, Οὐκ αὐτόκλητος ἦλθον, οὐδὲ προειδὼς οὐκ ἀπέφυγον· οὕτως οὐδὲ τοὺς χειροτονοῦντας ὠφελῆσαί τι δύναται, εἰ λέγοιεν τὸν χειροτονηθέντα ἀγνοεῖν, ἀλλὰ διὰ τοῦτο καὶ μεῖζον τὸ ἔγκλημα γίνεται, ὅτι ὃν ἠγνόουν παρήγαγον, καὶ ἡ δοκοῦσα εἶναι ἀπολογία αὔξει τὴν κατηγορίαν. Πῶς γὰρ οὐκ ἄτοπον, ἀνδράποδον μὲν πρίασθαι βουλομένους καὶ ἰατροῖς ἐπιδεικνύναι, καὶ τῆς πράσεως ἐγγυητὰς ἀπαιτεῖν, καὶ γειτόνων πυνθάνεσθαι, καὶ μετὰ ταῦτα πάντα μηδέπω θαρρεῖν, ἀλλὰ καὶ χρόνον πολὺν πρὸς δοκιμασίαν αἰτεῖν· εἰς δὲ τοσαύτην λειτουργίαν μέλλοντάς τινα ἐγγράφειν, ἁπλῶς καὶ ὡς ἔτυχεν, ἂν τῷ δεῖνι δόξῃ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἑτέρων μαρτυρῆσαι, ἐγκρίνειν, μηδεμίαν ποιουμένους ἑτέραν ἐξέτασιν; Τίς οὖν ἡμᾶς ἐξαιτήσεται τότε, τῶν ὀφειλόντων προστῆναι καὶ αὐτῶν προστατῶν δεομένων; Δεῖ μὲν οὖν καὶ τὸν χειροτονεῖν μέλλοντα πολλὴν ποιεῖσθαι τὴν ἔρευναν, πολλῷ δὲ πλείονα τούτου τὸν χειροτονούμενον. Εἰ γὰρ καὶ κοινωνοὺς ἔχει τῆς κολάσεως τοὺς ἑλομένους ἐν οἷς ἂν ἁμάρτῃ, ἀλλ' ὅμως οὐδὲ αὐτὸς ἀπήλλακται τῆς τιμωρίας, ἀλλὰ καὶ μείζονα δίδωσι· μόνον εἰ μή τινα ἀνθρωπίνην αἰτίαν παρὰ τὸ φανὲν αὐτοῖς εὔλογον ἔπραξαν οἱ ἑλόμενοι. Εἰ γὰρ ἐν τούτῳ φωραθεῖεν, καὶ τὸν ἀνάξιον εἰδότες διά τινα πρόφασιν αὐτὸν παρήγαγον, ἐξ ἴσης τὰ τῶν κολαστηρίων αὐτοῖς· τάχα δὲ καὶ μείζονα τῷ τὸν οὐκ ἐπιτήδειον καταστήσαντι. Ὁ γὰρ τὴν ἐξουσίαν παρασχὼν τῷ βουλομένῳ διαφθεῖραι τὴν Ἐκκλησίαν, οὗτος ἂν εἴη τῶν ὑπ' ἐκείνου τολμηθέντων αἴτιος. Εἰ δὲ τούτων μὲν μηδενὶ γίνοιτο ὑπεύθυνος, ἀπὸ δὲ τῆς τῶν πολλῶν ὑπολήψεως ἡπατῆσθαι λέγοι, ἀτιμώρητος μὲν οὐδὲ οὕτω μένει, ὀλίγῳ δὲ ἐλάττονα τοῦ χειροτονηθέντος δίδωσι δίκην. Τί δήποτε; Ὅτι τοὺς μὲν ἑλομένους εἰκὸς ὑπὸ δόξης ψευδοῦς ἀπατηθέντας ἐπὶ τοῦτο ἐλθεῖν· ὁ δὲ αἱρεθεὶς οὐκέτι ἂν δύναιτο λέγειν, ὅτι ἠγνόουν ἐμαυτὸν, καθάπερ αὐτὸν ἕτεροι. Ὡς οὖν βαρύτερον μέλλοντα κολάζεσθαι τῶν παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτὸν ἐξετάζειν ἐχρῆν.

aliusque cogit, et ne in cujuspiam offensionem incurrat? Annon se ipse sponte cum illis in præcipitium conjicit? nam cum liceret sibi saluti suæ consulere, alios secum in perniciem trahit. Undenam salutem sperare possit? unde veniam consequi? quinam tunc nobis patrocinabuntur? an ii qui nobis vim nunc inferunt, et ad necessitatem adigunt? At hos ipsos quis illo tempore servabit? nam et ipsi deprecatoribus indigebunt, ut ignem effugiant. Quod autem hæc dicam non ut tibi terrorem incutiam, sed ut veritas postulat, audi quid Paulus dicat Timotheo discipulo, germano filio atque dilecto (1 *Tim.* 5. 22): *Manus cito nemini imposueris, neque communicaveris peccatis alieni.* Viden' quanta eos, qui nos ad eam dignitatem perducturi erant, non reprehensione modo, sed etiam pœna, quantum in nobis fuit, eripuerimus? [II.] Sicut enim iis, qui electi fuere, non satis est ad defensionem dicere, Non sponte accessi, nec rem prospiciens haud effugi, ita nec eos, qui elegerunt, juvabit, si dicant, se ordinatum non novisse; sed ideo majus crimen efficitur, quia quem non noverant produxerunt, et quæ videtur esse defensio, crimen auget. Quomodo enim non absurdum fuerit, eos qui mancipium emere volunt, et medicis ostendere, et emtionis sponsores postulare, et vicinos interrogare, nec tamen postea confidere, sed diuturnum ad probationem tempus poscere: in tantum vero ministerium inscribere quempiam volentes, temere et ut fors ferat, sive ad gratiam, sive ad invidiam aliorum cui placuerit testimonium ferre, sic eum recipere, nullo alio habito examine? Quis ergo pro nobis tunc deprecabitur, cum ipsi qui patrocinari debebunt patrocinio egeant? Proinde oportet eum, qui ordinaturus est, multa prius perquisitione uti; sed multo majore eum, qui ordinandus est. Etiamsi enim peccatorum supplicii consortes habiturus sit eos qui elegerunt, attamen non ipse quidem hac ratione supplicium evadit, imo gravius sustinet; nisi forte illi humana aliqua ratione ducti, contra quam consentaneum sibi videbatur, electionem fecerint. Nam si in ejusmodi delicto deprehensi fuerint, et quem indignum certo scirent, quadam de causa coaptarint, paria luent supplicia: fortasse etiam majores pœnas dabit qui non idoneum constituit. Nam qui potestatem dat volenti Ecclesiam corrumpere, is facinorum ejus auctor fuerit. Quodsi nulli eorum obnoxius ipse fuerit, sed vulgi opinione se deceptum dicat, ne sic quidem impune fuerit, sed paulo minores, quam qui ordinatus est, dabit pœnas. Quare? Quia verisimile videtur eos qui elegere falsa vulgi opinione deceptos eo animum appulisse; sed qui electus fuit, non perinde dicere potest, Me ipsum ignorabam, ut alii se ignorasse ipsum dicunt. Sicut igitur gravius plectendus est, quam ii qui ipsum cooptarunt, ita accuratius sui ipsi-

τῶν χρὴ ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν· κἂν ἀγνοοῦντες ἕλκωσιν ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι' ὧν ἠπατημένους παύσει, καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας ἀποδείξας ἐκφεύξεται τοσούτων πραγμάτων ὄγκον. Διὰ τί γὰρ περὶ στρατείας καὶ ἐμπορίας καὶ γεωργίας καὶ τῶν ἄλλων τῶν βιωτικῶν βουλῆς προκειμένης, οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης γεωργεῖν, οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους τις ἀπειλήσῃ θανάτους; Ἢ δῆλον ὅτι τὸν ἐκ τῆς ἀπειρίας προορώμενοι κίνδυνον ἕκαστος; Εἶτα, ὅπου μὲν ἡ ζημία περὶ μικρῶν, τοσαύτῃ χρησόμεθα προνοίᾳ, καὶ οὐκ εἴξομεν τῇ τῶν βιαζομένων ἀνάγκῃ· ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ εἰδόσι μεταχειρίζειν ἱερωσύνην, ἁπλῶς καὶ ὡς ἔτυχε τοσοῦτον ἀναδεξόμεθα κίνδυνον, τὴν ἑτέρων προβαλλόμενοι βίαν; Ἀλλ' οὐκ ἀνέξεται ταῦτα ὁ τότε κρίνων ἡμᾶς. Ἔδει μὲν γὰρ καὶ πολλῷ πλείω τῶν σαρκικῶν περὶ τὰ πνευματικὰ τὴν ἀσφάλειαν ἐπιδείκνυσθαι· νῦν δὲ οὐδὲ ἴσην εὑρισκόμεθα παρεχόμενοι. Εἰπέ γάρ μοι, εἴ τινα ὑποπτεύσαντες ἄνδρα εἶναι τεκτονικὸν οὐκ ὄντα τεκτονικὸν πρὸς τὴν ἐργασίαν καλοῖμεν, ὁ δὲ ἕποιτο, εἶτα ἁψάμενος τῆς πρὸς τὴν οἰκοδομὴν παρεσκευασμένης ὕλης, ἀφανίζοι μὲν ξύλα, ἀφανίζοι δὲ λίθους, ἐργάζοιτο δὲ τὴν οἰκίαν οὕτως, ὡς εὐθέως καταπεσεῖν, ἆρα ἀρκέσει πρὸς ἀπολογίαν αὐτῷ τὸ παρ' ἑτέρων ἠναγκάσθαι, καὶ μὴ αὐτεπάγγελτον ἧκειν; Οὐδαμῶς· καὶ μάλα γε εἰκότως καὶ δικαίως· ἐχρῆν γάρ, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. Εἶτα τῷ μὲν ξύλα ἀφανίζοντι καὶ λίθους οὐδεμία ἔσται καταφυγὴ πρὸς τὸ μὴ δοῦναι δίκην, ὁ δὲ ψυχὰς ἀπολλὺς καὶ οἰκοδομῶν ἀμελῶς, τὴν ἑτέρων ἀνάγκην ἀποχρῆν αὐτῷ πρὸς τὸ διαφυγεῖν οἴεται; καὶ πῶς οὐ λίαν εὔηθες; Οὔπω γὰρ προστίθημι, ὅτι τὸν μὴ βουλόμενον οὐδεὶς ἀναγκάσαι δυνήσεται. Ἀλλ' ἔστω μυρίαν αὐτὸν ὑπομεμενηκέναι βίαν καὶ μηχανὰς πολυτρόπους, ὥστε ἐμπεσεῖν· τοῦτο οὖν αὐτὸν ἐξαιρήσεται τῆς κολάσεως; Μὴ, παρακαλῶ, μὴ ἐπὶ τοσοῦτον ἀπατῶμεν ἑαυτούς, μηδὲ ὑποκρινώμεθα ἀγνοεῖν τὰ καὶ τοῖς ἄγαν παισὶ φανερά. Οὐ γὰρ δήπου καὶ ἐπὶ τῶν εὐθυνῶν αὕτη τῆς ἀγνοίας ἡ προσποίησις ἡμᾶς ὠφελῆσαι δυνήσεται. Οὐκ ἐσπούδασας αὐτὸς ταύτην δέξασθαι τὴν ἀρχὴν, ἀσθένειαν σεαυτῷ συνειδώς; εὖ καὶ καλῶς. Ἐχρῆν οὖν μετὰ τῆς αὐτῆς προαιρέσεως, καὶ ἑτέρων καλούντων, ἀποπηδᾶν. Ἢ ὅτε μὲν οὐδεὶς ἐκάλει, ἀσθενὴς σὺ καὶ οὐκ ἐπιτήδειος· ἐπειδὴ δὲ εὑρέθησαν οἱ δώσοντες τὴν τιμὴν, γέγονας ἐξαίφνης ἰσχυρός; Γέλως ταῦτα καὶ λῆρος καὶ τῆς ἰσχάτης ἄξια τιμωρίας. Διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος παραινεῖ, μὴ πρότερον βαλέσθαι θεμέλιον τὸν βουλόμενον πύργον οἰκοδομεῖν, πρὶν ἢ τὴν οἰκείαν ἀναλογίσασθαι δύναμιν, ἵνα μὴ δῷ τοῖς παριοῦσι μυρίας ἀφορμὰς χλευασίας τῆς εἰς αὐτόν. Ἀλλ' ἐκεῖ μὲν μέχρι τοῦ γέλωτος ἡ ζημία· ἐνταῦθα δὲ ἡ κόλασις πῦρ ἄσβεστον, καὶ σκώληξ ἀτελεύτητος, καὶ βρυγμὸς ὀδόντων, καὶ σκότος ἐξώτερον, καὶ τὸ διχοτομηθῆναι, καὶ

us examen, quam illi, facere debet: ac si ipsum illi ignorantes pertrahant, obviam ire debet, docereque causas eas, per quas ab errore illi desistant, seque probatione indignum ostendens, a tantarum rerum mole eximat. Cur enim, cum de re militari, de mercatura, de agricultura, deque aliis sæcularibus rebus deliberatur, non agricola navigationem, nec miles agriculturam, nec gubernator militiam suscipiat, etiamsi mortem illis sexcenties comminaris? Nempe quia periculum ex imperitia emergens singuli prospiciunt. Itane ergo ubi de modicis rebus periclitamur, tanta utemur providentia, nec cogentium violentiæ cedemus: ubi autem æternum supplicium paratur, iis quos non norunt, sacerdotium tradunt, an temere et inconsulto, vim ab aliis illatam obtendentes, in tantum nos periculum conjiciemus? At hæc non tolerabit qui tunc nos judicaturus est. Oportebat enim majorem circa spiritualia cautionem, quam circa carnalia exhibere: jam vero ne parem quidem exhibere deprehendimur. Dic enim mihi, si quem suspicati fabrum esse, qui tamen faber non esset, ad opus vocaremus, sequereturque ipse, si manus ad materiam ædificio paratam admovens, ligna lapidesque perderet, sicque domum construeret, ut statim collaberetur, num ad illius defensionem satis esset, quod coactus nec sponte motu venisset? Nequaquam, idque jure ac merito: oportebat enim etiam aliis vocantibus resilire. Itane qui ligna et lapides perdidit, debitas pœnas nullo modo effugiat; qui autem animas perdiderit, ac negligenter ædificaverit, vim sibi illatam ad supplicium declinandum sibi satis esse putabit? quomodo id non admodum ineptum fuerit? Nondum enim adjicio, nolentem a nemine compelli posse. Sed esto, ingentem vim passus sit, machinisque variis impetitus deciderit: an hoc illum supplicio eximet? Ne, obsecro, ne eousque nos ipsos decipiamus; ne nos ignorare simulemus ea, quæ vel pueruli perspicua sunt. Neque enim, ubi rationes reddendæ erunt, ignorantiæ simulatio nobis prodesse poterit. Principatum hujusmodi non ipse ambivisti, imbecillitatis tuæ conscius? probe et optime illud. Oportebat ergo, cum id esset animi, etiam aliis vocantibus resilire. An cum nemo vocaret, infirmus et non idoneus eras; simul vero atque reperti sunt qui hunc tibi honorem conferrent, statim fortis effectus es? Hæc risu digna et nugæ sunt, extremoque supplicio digna. Nam propterea monet Dominus (*Luc.* 14. 28 *seqq.*), ne qui turrim vult ædificare prius jaciat fundamentum, quam vires suas exploraverit, ne prætereuntibus sexcentas ridendi ansas præbeat. At illius quidem jactura sola derisione terminatur; hic vero supplicium est ignis inexstinguibilis, vermis qui non moritur, stridor dentium, tenebræ

μετὰ τῶν ὑποκριτῶν. Ἀλλ' οὐδὲν τούτων εἶν οἱ κατηγοροῦντες ἡμῶν· ἦ γὰρ ἂν ἐπαύομενοι τὸν οὐκ ἐθέλοντα ἀπολέσθαι μάτην. ἡμῖν περὶ οἰκονομίας πυροῦ καὶ κριθῶν, καὶ προβάτων, οὐδὲ περὶ τοιούτων ἄλλων προκειμένη νῦν, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ σώ- Ἰησοῦ. Ἡ γὰρ Ἐκκλησία τοῦ Χριστοῦ, ... μακάριον Παῦλον, σῶμά ἐστι τοῦ Χριστοῦ· καὶ δεῖ τὸν τοῦτο πεπιστευμένον εἰς εὐεξίαν αὐτὸ πολλὴν καὶ κάλλος ἀμήχανον ἐξασκεῖν, πανταχοῦ περισκοποῦντα, μή που σπίλος, ἢ ῥυτὶς, ἤ τις ἄλλος μῶμος τοιοῦτος ἢ τὴν ὥραν καὶ τὴν εὐπρέπειαν λυμαινόμενος ἐκείνην· καὶ τί γὰρ ἄλλ' ἢ τῆς ἐπικειμένης αὐτῷ κεφαλῆς, τῆς ἀκηράτου καὶ μακαρίας, ἄξιον αὐτὸ κατὰ δύναμιν τὴν ἀνθρωπείαν ἀποφαίνειν; Εἰ γὰρ τοῖς περὶ τὴν ἀθλητικὴν εὐεξίαν ἐσπουδακόσι καὶ ἰατρῶν χρεία καὶ παιδοτριβῶν, καὶ διαίτης ἠκριβωμένης, καὶ ἀσκήσεως συνεχοῦς, καὶ μυρίας παρατηρήσεως ἑτέρας (καὶ γὰρ καὶ τὸ τυχὸν ἐν αὐτοῖς παροφθὲν πάντα ἀνέτρεψε καὶ κατέβαλεν), οἱ τὸ σῶμα θεραπεύειν λαχόντες τοῦτο, τὸ τὴν ἄθλησιν οὐ πρὸς σώματα, ἀλλὰ πρὸς τὰς ἀοράτους δυνάμεις ἔχον, πῶς αὐτὸ δυνήσονται φυλάττειν ἀκέραιον καὶ ὑγιὲς, μὴ πολὺ τὴν ἀνθρωπίνην ὑπερβαίνοντες ἀρετὴν καὶ πάσῃ ψυχῇ πρόσφορον ἐπιστάμενοι θεραπείαν; Ἦ ἀγνοεῖς ὅτι καὶ πλείοσι τῆς ἡμετέρας σαρκὸς καὶ κύσεις καὶ ἐπιβουλαῖς τοῦτο ὑπόκειται τὸ σῶμα, καὶ θᾶττον αὐτοῦ φθείρεται, καὶ σχολαίτερον ὑγιαίνει; Καὶ τοῖς μὲν ἐκεῖνα θεραπεύουσι τὰ σώματα καὶ φαρμάκων ἐξεύρηται ποικιλία, καὶ ὀργάνων διάφοροι κατασκευαὶ, καὶ τροφαὶ τοῖς νοσοῦσι κατάλληλοι· πολλάκις δὲ καὶ φύσις ἀέρων ἤρκεσε μόνη πρὸς τὴν τοῦ κάμνοντος ὑγίειαν· ἔστι δὲ ὅπου καὶ ὕπνος προσπεσὼν εἰς καιρὸν παντὸς ἀπήλλαξε πόνου τὸν ἰατρόν. Ἐνταῦθα δὲ οὐδὲν τούτων ἐπινοῆσαι ἔστιν· ἀλλὰ μία τις μετὰ τὰ ἔργα δέδοται μηχανὴ καὶ θεραπείας ὁδὸς, ἡ διὰ τοῦ λόγου διδασκαλία· τοῦτο ὄργανον, τοῦτο τροφὴ, τοῦτο ἀέρων κρᾶσις ἀρίστη· τοῦτο ἀντὶ φαρμάκου, τοῦτο ἀντὶ πυρὸς, τοῦτο ἀντὶ σιδήρου· κἂν καῦσαι δέῃ, κἂν τεμεῖν, τούτῳ χρῆσθαι ἀνάγκη· κἂν τοῦτο μὴ ᾖ, πάντα οἴχεται τὰ λοιπά. Τούτῳ καὶ κειμένην ἐγείρομεν καὶ φλεγμαίνουσαν καταστέλλομεν τὴν ψυχὴν, καὶ τὰ περιττὰ περικόπτομεν, καὶ τὰ λείποντα πληροῦμεν, καὶ τὰ ἄλλα πάντα ἐργαζόμεθα, ὅσα εἰς τὴν τῆς ψυχῆς ὑγίειαν ἡμῖν συντελεῖ. Πρὸς μὲν γὰρ βίου κατάστασιν ἀρίστην βίος ἕτερος εἰς ἴσον ἂν ἐναγάγοι ζῆλον· ὅταν δὲ περὶ δόγματα νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ τοῦ λόγου ἐντεῦθεν ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολεμίους. Εἰ μὲν γάρ τις ἔχοι τὴν μάχαιραν τοῦ πνεύματος, καὶ θυρεὸν πίστεως τοσοῦτον, ὡς δύνασθαι θαυματουργεῖν, καὶ διὰ τῶν τεραστίων τὰ τῶν ἀναισχύντων ἐμφράττειν στόματα, οὐδὲν ἂν δέοιτο τῆς ἀπὸ τοῦ λόγου βοηθείας· μᾶλλον δὲ οὐδὲ τότε ἄχρηστος ἡ τούτου φύσις, ἀλλὰ καὶ λίαν ἀναγκαία. Καὶ γὰρ ὁ μακάριος Παῦλος αὐτὸν

exteriores, dissecari, in hypocritarum numero constitui. Horum tamen omnium nihil perpendere volunt accusatores nostri : alioquin finem culpandi ejus facerent, qui non frustra perire velit. Non agitur nunc de dispensatione frumenti et hordei, boum et ovium, aliorumque similium, sed de ipso Jesu corpore. Nam Ecclesia Christi secundum beatum Paulum (*Coloss.* 1. 18) corpus Christi est : parque est eum, cui corpus illud creditum est, ejus habitum optimum et ingentem pulchritudinem summe curare, et undique circumspicere (*Ephes.* 5. 27), ne macula, vel ruga, vel labes similis ejus speciem ac decorem dehonestet. Et quid aliud præstet, quam ut illud capite immortali ac beato dignum exhibeat, quantum quidem homo præstare potest? Nam qui athleticæ habitudini dant operam, opus habent medicis, pædotribis, diæta accurate temperata, exercitatione frequenti, infinitaque observatione : etenim si quid vel minimum negligatur, id omnia evertit ac dejicit : ii quibus corporis Christi cura incumbit, cui corpori certamen est, non contra corpora, sed contra invisibiles potestates, quomodo illud integrum et sanum servare poterunt, nisi humanam virtutem multum transcendant, et omnem animæ utilem curandi modum probe norint?

[III.] An ignoras hoc corpus pluribus et morbis et insidiis obnoxium esse, quam carnem nostram, itemque citius corrumpi tardiusque sanari? Humana certe corpora curantibus varia inventa sunt medicamina, diversorum instrumentorum apparatus, alimenta ægris congruentia : aeris quoque natura sæpe sufficit ad ægri valetudinem; est etiam cum somnus opportune cadens omnem medico laborem auferat. Hic vero nihil simile excogitari potest; sed una post operum exemplum datur machina viaque ad curationem, nempe verbi doctrina. Hoc est instrumentum, hoc esca, hoc aeris temperies optima, hoc vice medicamenti, hoc vice ignis ac vice ferri : sive urendum, sive secandum sit, illo uti necesse est : quod si non licet, reliqua omnia incassum abeunt. Hoc et jacentem animam excitamus, et tumentem compescimus, et redundantia præcidimus, et deficientia supplemus, et reliqua omnia facimus, quæ ad animæ conferunt incolumitatem. Nam ad vitæ optimam constitutionem alterius vita ad simile studium et æmulationem revocare possit : cum autem anima circa spuria dogmata ægrotat, tunc verbi usus maxime necessarius est, non ad domesticorum securitatem tantum, verum etiam ad externa bella. Nam si quis frameam spiritus habeat, clypeumque fidei talem, ut possit miracula edere, et portentis impudentium ora obstruere, nihil opus fuerit verbo; imo ne tunc quidem inutilis esset ejus natura, sed etiam admodum necessaria. Etenim B. Paulus ipsam adhibuit,

μετεχείρισε, καίτοι γε ἀπὸ τῶν σημείων πανταχοῦ θαυμαζόμενος. Καὶ ἕτερός τις τῶν ἀπ' ἐκείνου τοῦ χοροῦ παραινεῖ ταύτης ἐπιμελεῖσθαι τῆς δυνάμεως, λέγων, « Ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος. » Καὶ πάντες δὲ ὁμοῦ τότε δι' οὐδὲν ἕτερον τοῖς περὶ Στέφανον τὴν τῶν χηρῶν ἐπέτρεψαν οἰκονομίαν, ἀλλ' ἢ ἵνα αὐτοὶ τῇ τοῦ λόγου σχολάσωσι διακονίᾳ. Πλὴν ἀλλ' οὐδὲ παραπλησίως αὐτὸν ἐπιζητήσομεν, τὴν ἀπὸ τῶν σημείων ἔχοντες ἰσχύν. Εἰ δὲ τῆς μὲν δυνάμεως ἐκείνης οὐδὲ ἴχνος ὑπολέλειπται, πολλοὶ δὲ πανταχόθεν ἐφεστήκασιν οἱ πολέμιοι καὶ συνεχεῖς, τούτῳ λοιπὸν ἡμᾶς ἀνάγκη φράττεσθαι, καὶ ἵνα μὴ βαλλώμεθα τοῖς τῶν ἐχθρῶν βέλεσι, καὶ ἵνα μᾶλλον βάλλωμεν ἐκείνους. Διὸ πολλὴν χρὴ ποιεῖσθαι τὴν σπουδήν, ὥστε τὸν λόγον τοῦ Χριστοῦ ἐν ἡμῖν ἐνοικεῖν πλουσίως. Οὐ γὰρ πρὸς ἓν εἶδος ἡμῖν μάχης ἡ παρασκευή, ἀλλὰ ποικίλος οὗτος ὁ πόλεμος, καὶ ἐκ διαφόρων συγκροτούμενος τῶν ἐχθρῶν. Οὔτε γὰρ ὅπλοις ἅπαντες χρῶνται τοῖς αὐτοῖς, οὔτε ἑνὶ προσβάλλειν ἡμῖν μεμελετήκασι τρόπῳ. Καὶ δεῖ τὸν μέλλοντα τὴν πρὸς πάντας ἀναδέχεσθαι μάχην τὰς ἁπάντων εἰδέναι τέχνας, καὶ τὸν αὐτὸν τοξότην τε εἶναι καὶ σφενδονήτην, καὶ ταξίαρχον καὶ λοχαγὸν, καὶ στρατιώτην καὶ στρατηγὸν, καὶ πεζὸν καὶ ἱππέα, καὶ ναυμάχην καὶ τειχομάχην. Ἐπὶ μὲν γὰρ τῶν στρατιωτικῶν πολέμων, ἓν ἕκαστος ἔργον ἀπολαβὼν, τούτῳ τοὺς ἐπιόντας ἀμύνεται· ἐνταῦθα δὲ τοῦτο οὐκ ἔστιν· ἀλλὰ ἂν μὴ πάσας ἐπιστάμενος ᾖ τῆς τέχνης τὰς ἰδέας ὁ μέλλων νικᾶν, οἶδεν ὁ διάβολος καὶ δι' ἑνὸς μέρους, ὅταν ἠμελημένον τύχῃ, τοὺς πειρατὰς εἰσαγαγὼν τοὺς αὐτοῦ, διαρπάσαι τὰ πρόβατα· ἀλλ' οὐχ, ὅταν διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης τὸν ποιμένα αἴσθηται καὶ τὰς ἐπιβουλὰς αὐτοῦ καλῶς ἐπιστάμενον ἁπάσας. Διὸ χρὴ καλῶς ἐξ ὅλων φράττεσθαι τῶν μερῶν. Καὶ γὰρ πόλις, ἕως μὲν ἂν πανταχόθεν περιβεβλημένη τυγχάνῃ, καταγελᾷ τῶν πολιορκούντων αὐτὴν, ἐν ἀσφαλείᾳ μένουσα πολλῇ· ἐὰν δέ τις πυλίδος μόνον μέτρον διακόψῃ τὸ τεῖχος, οὐδὲν αὐτῇ λοιπὸν ὄφελος τοῦ περιβόλου γίνεται, καίτοι γε τοῦ λοιποῦ παντὸς ἀσφαλῶς ἑστηκότος. Οὕτως οὖν καὶ ἡ τοῦ Θεοῦ πόλις, ὅταν μὲν αὐτὴν πανταχόθεν ἀντὶ τείχους ἡ τοῦ ποιμένος ἀγχίνοιά τε καὶ σύνεσις περιβάλλῃ, πάντα εἰς αἰσχύνην καὶ γέλωτα τοῖς ἐχθροῖς τὰ μηχανήματα τελευτᾷ, καὶ μένουσιν οἱ κατοικοῦντες ἔνδον ἀσινεῖς· ὅταν δέ τις αὐτὴν ἐκ μέρους καταλῦσαι δυνηθῇ, κἂν μὴ πᾶσαν καταβάλῃ, διὰ τοῦ μέρους ἅπαν, ὡς εἰπεῖν, λυμαίνεται τὸ λοιπόν. Τί γὰρ ὅταν πρὸς Ἕλληνας μὲν ἀγωνίζηται καλῶς, συλῶσι δὲ αὐτὴν Ἰουδαῖοι; ἢ τούτων μὲν ἀμφοτέρων κρατῇ, ἁρπάζωσι δὲ Μανιχαῖοι; ἢ μετὰ τὸ περιγενέσθαι καὶ τούτων οἱ τὴν εἱμαρμένην εἰσάγοντες ἔνδον ἑστῶτα τὰ πρόβατα κατασφάττωσι; Καὶ τί δεῖ πάσας καταλέγειν τοῦ διαβόλου τὰς αἱρέσεις; ἃς ἂν μὴ πάσας ἀποκρούεσθαι καλῶς ὁ ποιμὴν εἰδῇ, δύναιτ' ἂν καὶ διὰ μιᾶς τὰ πλείονα

etiamsi signorum gratia ubique admirationi esset. Et alius quidam ex eodem choro, ut verbi virtutis curam habeamus, monet his verbis (1 *Petr.* 3. 15): *Parati estote ad satisfactionem omni poscenti vos rationem de ea, quæ in vobis est, spe.* Et quidem nulla alia de causa tunc omnes Stephano viduarum œconomiam commiserunt (*Act.* 6. 2), quam ut ipsi verbi ministerio vacarent. Verumtamen non perinde verbum requireremus, si virtutem signorum haberemus. Sin virtutis illius ne vestigium quidem relinquitur, multi vero undique instant inimici, sermone muniamur necesse est, ne inimicorum telis confodiamur, imo potius ut ipsos feriamus. Quapropter ingens adhibere studium oportet, ut Christi verbum affatim in nobis habitet. [IV.] Neque enim ad unum pugnæ genus apparatus noster esse debet, sed multiplex hoc bellum est, ex variisque constans inimicis. Neque ipsi iisdem omnes utuntur armis, neque uno tantum modo nobiscum congredi meditantur: opusque est eum qui cum omnibus pugnam commissurus est, omnium technas notas habere, ac eumdem esse sagittarium et funditorem, tribunum et manipuli ductorem, militem et ducem, peditem et equitem, navalis et muralis pugnæ peritum. Etenim in militaribus prœliis, unum quisque opus peragendum accipit, et hoc irruentes propulsat: hic vero non ita se res habet; nisi enim qui victoriam reportare vult, omnes dimicandi artes noverit, scit diabolus vel per unam partem, si ea negligatur, prædonibus suis immissis oves diripere. At non item cum pastorem seserit omni scientia præditum esse, omnesque ipsius insidias probe callere. Quamobrem oportet nos omnibus ex partibus munitos esse. Etenim urbs donec undique circummunita est, obsidentes se irridet, ac secure admodum agit; si quis vero murum diruerit ad januæ solum mensuram, tunc nihil illi prodest septum, licet reliquum omne munitum sit. Eodem modo et Dei civitas, dum eam undique pro muro ambit pastoris solertia atque prudentia, adversariis suæ omnes machinæ in opprobrium risumque redunt, eamque incolentes illæsi evadunt; ubi autem quispiam eam ex parte demoliri possit, etiamsi non totam destruxerit, a parte totum, ut ita dicam, deinceps labefactatur. Quid enim cuipiam profuerit adversus gentiles fortiter pugnare, si illum populentur Judæi? quid si, utrisque devictis, a Manichæis diripiatur? vel si his etiam prostratis, qui fatum inducunt, intus positas oves jugulent? Et quid opus est omnes diaboli hæreses recensere? quas omnes nisi pastor sciat probe refellere, vel per unam possit

τῶν προβάτων καταφαγεῖν ὁ λύκος. Καὶ ἐπὶ μὲν τῶν στρατιωτῶν ἀπὸ τῶν ἑστώτων καὶ μαχομένων καὶ τὴν νίκην ἔσεσθαι καὶ τὴν ἧτταν προσδοκᾶν ἀεὶ χρή· ἐνταῦθα δὲ πολὺ τοὐναντίον. Πολλάκις γὰρ ἡ πρὸς ἑτέρους μάχη τοὺς οὐδὲ τὴν ἀρχὴν συμβαλόντας, οὐδὲ πονέσαντας ὅλως, ἡσυχάζοντας δὲ καὶ καθημένους, νικῆσαι πεποίηκε· καὶ τῷ οἰκείῳ ξίφει περιπαρεὶς ὁ μὴ πολλὴν περὶ ταῦτα τὴν ἐμπειρίαν ἔχων, καὶ τοῖς φίλοις καὶ τοῖς πολεμίοις καταγέλαστος γίνεται. Οἷον (πειράσομαι γάρ σοι καὶ ἐπὶ παραδείγματος ὃ λέγω ποιῆσαι φανερόν) τὸν ὑπὸ τοῦ Θεοῦ δοθέντα τῷ Μωϋσῇ νόμον οἱ τὴν Οὐαλεντίνου καὶ Μαρκίωνος διαδεξάμενοι φρενοβλάβειαν, καὶ ὅσοι τὰ αὐτὰ νοσοῦσιν ἐκείνοις, τοῦ καταλόγου τῶν θείων ἐκβάλλουσι Γραφῶν· Ἰουδαῖοι δὲ αὐτὸν οὕτω τιμῶσιν, ὡς καὶ τοῦ καιροῦ κωλύοντος φιλονεικεῖν ἅπαντα φυλάττειν παρὰ τὸ τῷ Θεῷ δοκοῦν. Ἡ δὲ Ἐκκλησία τοῦ Θεοῦ, τὴν ἀμφοτέρων ἀμετρίαν φεύγουσα, μέσην ἐβάδισε, καὶ οὔτε ὑποκεῖσθαι αὐτοῦ τῷ ζυγῷ πείθεται, οὔτε διαβάλλειν αὐτὸν ἀνέχεται, ἀλλὰ καὶ πεπαυμένον ἐπαινεῖ, διὰ τὸ χρησιμεῦσαί ποτε εἰς καιρόν. Δεῖ δὴ τὸν μέλλοντα πρὸς ἀμφοτέρους μάχεσθαι τὴν συμμετρίαν εἰδέναι ταύτην. Ἂν τε γὰρ Ἰουδαίους διδάξαι βουλόμενος, ὡς οὐκ ἐν καιρῷ τῆς παλαιᾶς ἔχονται νομοθεσίας, ἄρξηται κατηγορεῖν αὐτῆς ἀφειδῶς, ἔδωκε τοῖς διασύρειν βουλομένοις τῶν αἱρετικῶν λαβὴν οὐ μικράν· ἄν τε τούτους ἐπιστομίσαι σπουδάζων, ἀμέτρως αὐτὸν ἐπαίρῃ, καὶ ὡς ἀναγκαῖον ἐν τῷ παρόντι τυγχάνοντα θαυμάζῃ, τὰ τῶν Ἰουδαίων ἀνέῳξε στόματα. Πάλιν οἱ τὴν Σαβελλίου μανόμενοι μανίαν, καὶ οἱ τὰ Ἀρείου λυττῶντες, ἐξ ἀμετρίας ἀμφότεροι τῆς ὑγιοῦς ἐξέπεσον πίστεως· καὶ τὸ μὲν ὄνομα Χριστιανῶν ἀμφοτέροις ἐπίκειται· εἰ δέ τις τὰ δόγματα ἐξετάσειε, τοὺς μὲν οὐδὲν ἧττον Ἰουδαίων διακειμένους εὑρήσει, πλὴν ὅσον ὑπὲρ ὀνομάτων διαφέρονται μόνον, τοὺς δὲ πολλῇ τὴν ἐμφέρειαν πρὸς τὴν αἵρεσιν Παύλου τοῦ Σαμοσατέως ἔχοντας, ἀμφοτέρους δὲ τῆς ἀληθείας ἐκτός. Πολὺς οὖν κἀνταῦθα ὁ κίνδυνος, καὶ στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς, ὑπὸ κρημνῶν ἀμφοτέρωθεν ἀπειλημμένη· καὶ δέος οὐ μικρὸν, μὴ τὸν ἕτερόν τις θέλων βαλεῖν, ὑπὸ θατέρου πληγῇ. Ἂν τε γὰρ μίαν τις εἴπῃ θεότητα, πρὸς τὴν ἑαυτοῦ παροινίαν εὐθέως εἵλκυσε τὴν φωνὴν ὁ Σαβέλλιος· ἄν τε διέλῃ πάλιν, ἕτερον μὲν τὸν Πατέρα, ἕτερον δὲ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἕτερον εἶναι λέγων, ἐφέστηκεν Ἄρειος, εἰς παραλλαγὴν οὐσίας ἥκων τὴν ἐν τοῖς προσώποις διαφοράν. Δεῖ δὲ καὶ τὴν ἀσεβῆ σύγχυσιν ἐκείνου, καὶ τὴν μανιώδη τούτου διαίρεσιν ἀποστρέφεσθαι καὶ φεύγειν, τὴν μὲν θεότητα μίαν ὁμολογοῦντας, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, προστιθέντας δὲ τὰς τρεῖς ὑποστάσεις· οὕτω γὰρ ἀποτειχίσαι δυνησόμεθα τὰς ἀμφοτέρων ἐφόδους. Πολλὰς δὲ καὶ ἑτέρας ἐνῆν σοι λέγειν συμπλοκὰς, πρὸς ἃς ἂν μὴ γενναίως τις καὶ ἀκριβῶς μάχηται, μυρία λαβὼν ἅπεισι τραύματα.

lupus maximam ovium partem devorare. Sane cum de militibus agitur, ab iis qui stant et dimicant, sive victoria sive clades exspectanda est : hic vero longe secus. Sæpe namque aliorum pugna, eos qui ne ab initio quidem congressi sunt, quique nullum susceperè laborum, quiescentes sedentesque victores constituit : tum is qui non magnopere exercitatus est, proprio confossus gladio, et amicis et inimicis se deridendum propinat. Verbi gratia (nam tibi dicta mea exemplo palam facere conabor), legem a Deo Moysi datam tum Valentini et Marcionis insaniæ sequaces, tum alii quotquot eodem morbo contacti sunt, ex divinarum Scripturarum catalogo expungunt : Judæi vero tanto illam in honore habent, ut etiam vetante tempore omnia contentiose, vel præter Dei placitum, observent. At Ecclesia Dei, amborum immoderatam sententiam devitans, media incedit via, ut nec illius jugo se subjiciat, nec eam improbari patiatur; imo illam vel cessantem laudat, quia olim in tempore suo utilis fuit. Oportet igitur eum, qui adversus utroslibet debellaturus sit, hunc modum callere. Nam si Judæos docere velens, quod intempestive legi veteri hæreant, acriter illam incusare aggrediatur, hæreticis ipsam vituperare volentibus non parvam dederit ansam : sin, hæreticorum ora obturare volens, illam immodice extulerit, et quasi in præsenti necessariam commendaverit, Judæorum ora aperiet. Rursus qui cum Sabellio insaniunt, et quos Arii rabies invasit, ambo ultra modum progressi, a sana fide lapsi sunt; ac nomen quidem Christianorum utrique obtinent : si quis vero eorum dogmata expenderit, illos haud melius quam Judæos affectos esse deprehendet, uno tantum excepto nominum discrimine; hos vero magnam affinitatem cum Pauli Samosateni hæresi habere : sed utrosque procul a veritate esse. Magnum igitur hic periculum, arcta et angusta via est, præcipitiis utrimque intercepta : metusque est non modicus, ne quis alium ferire studens ab alio confodiatur. Nam si quis unam dicat deitatem, hanc statim vocem Sabellius ad suam pertrahet insaniam; sin distinxerit, et alium dicat esse Patrem, alium Filium, alium Spiritum sanctum, instat Arius in diversitatem substantiæ personarum distinctionem trahens. Oportet autem et impiam illius confusionem et furiosam hujus divisionem aversari et fugere, divinitatem Patris, Filii et Spiritus sancti unam confitentes, tres autem hypostases adjicientes : hac quippe ratione utrorumque incursus arcere poterimus. Multos item alios congressus enarrare tibi possemus, in quibus, nisi fortiter diligenterque pugnaveris, plurima ex certamine vulnera referes.

Τί ἄν τις εἴποι τὰς τῶν οἰκείων ἐρεσχελίας; οὐ γάρ εἰσιν ἐλάττους αὗται τῶν ἔξωθεν προσβολῶν, ἀλλὰ καὶ πλείονα τῷ διδάσκοντι παρέχουσι τὸν ἱδρῶτα. Οἱ μὲν γὰρ ὑπὸ πολυπραγμοσύνης ἁπλῶς καὶ εἰκῇ περιεργάζεσθαι θέλουσιν, ἃ μήτε μαθόντας ἔστι κερδᾶναι, μήτε μαθεῖν δυνατόν· ἕτεροι πάλιν τῶν τοῦ Θεοῦ κριμάτων εὐθύνας αὐτὸν ἀπαιτοῦσι, καὶ τὴν ἄβυσσον τὴν πολλὴν ἀναμετρεῖν βιάζονται· « Τὰ γὰρ κρίματά σου, φησίν, ἄβυσσος πολλή. » Καὶ περὶ πίστεως μὲν καὶ πολιτείας ὀλίγους ἂν εὕροις σπουδάζοντας, τοὺς δὲ πλείους ταῦτα περιεργαζομένους καὶ ζητοῦντας, ἃ μήτε εὑρεῖν δυνατὸν, καὶ τὸν Θεὸν παροξύνει ζητούμενα. Ὅταν γὰρ, ἅπερ αὐτὸς ἡμᾶς οὐκ ἠθέλησεν εἰδέναι, ταῦτα βιαζώμεθα μανθάνειν, οὔτε εἰσόμεθα (πῶς γὰρ, τοῦ Θεοῦ μὴ βουλομένου;) καὶ τὸ κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περιέσται μόνον. Ἀλλ' ὅμως καὶ τούτων τοιούτων ὄντων, ὅταν τις μετὰ αὐθεντίας ἐπιστομίζῃ τοὺς τὰ ἀπόῤῥητα ταῦτα ἐρευνῶντας, ἀπονοίας τε καὶ ἀμαθίας ἑαυτῷ προσετρίψατο δόξαν. Διὸ χρὴ κἀνταῦθα πολλῇ κεχρῆσθαι τῇ συνέσει, ὡς καὶ ἀπάγειν αὐτοὺς τῶν ἀτόπων ἐρωτήσεων τὸν προεστῶτα, καὶ τὰς εἰρημένας ἐκφεύγειν αἰτίας. Πρὸς ἅπαντα δὲ ταῦτα ἕτερον μὲν οὐδέν, ἡ δὲ τοῦ λόγου βοήθεια δέδοται μόνη· κἄν τις ταύτης ἀπεστερημένος ᾖ τῆς δυνάμεως, οὐδὲν ἄμεινον τῶν χειμαζομένων πλοίων διηνεκῶς αἱ ψυχαὶ τῶν ὑπ' αὐτὸν τεταγμένων ἀνδρῶν διακείσονται, τῶν ἀσθενεστέρων καὶ περιεργοτέρων λέγω. Διὸ χρὴ τὸν ἱερέα πάντα ποιεῖν ὑπὲρ τοῦ ταύτην κτήσασθαι τὴν ἰσχύν.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ, Τί οὖν ὁ Παῦλος, φησὶν, οὐκ ἐσπούδασε ταύτην αὐτῷ κατορθωθῆναι τὴν ἀρετὴν, οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ λόγου πενίᾳ, ἀλλὰ καὶ διαῤῥήδην ὁμολογεῖ ἰδιώτην ἑαυτὸν εἶναι, καὶ ταῦτα Κορινθίοις ἐπιστέλλων, τοῖς ἀπὸ τοῦ λέγειν θαυμαζομένοις καὶ μέγα ἐπὶ τούτῳ φρονοῦσι;

ΧΡΥΣΟΣΤ. Τοῦτο γάρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπολώλεκε, καὶ ῥᾳθυμοτέρους περὶ τὴν ἀληθῆ διδασκαλίαν πεποίηκε. Μὴ δυνηθέντες γὰρ ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν φρενῶν τὸ βάθος, μηδὲ συνιέναι τὴν τῶν ῥημάτων διάνοιαν, διετέλεσαν τὸν ἅπαντα χρόνον νυστάζοντες καὶ χασμώμενοι καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ ἣν ὁ Παῦλός φησιν εἶναι ἀμαθίᾳ, ἀλλ' ἧς τοσοῦτον ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν τοῦτον ἀνθρώπων. Ἀλλ' οὗτος μὲν ἡμᾶς εἰς καιρὸν ὁ λόγος ἀναμενέτω, τέως δὲ ἐκεῖνό φημι· θῶμεν αὐτὸν εἶναι ἰδιώτην τοῦτο τὸ μέρος, ὅπερ οὗτοι βούλονται· τί οὖν τοῦτο πρὸς τοὺς ἄνδρας τοὺς νῦν; Ἐκεῖνος μὲν γὰρ εἶχεν ἰσχὺν πολλῷ τοῦ λόγου μείζονα καὶ πλείονα δυναμένην κατορθοῦν· φαινόμενος γὰρ μόνον καὶ σιγῶν, τοῖς δαίμοσιν ἦν φοβερός· οἱ δὲ νῦν πάντες ὁμοῦ συνελθόντες μετὰ μυρίων εὐχῶν καὶ δακρύων οὐκ ἂν δυνηθεῖεν ὅσα ἴσχυσε τὰ σιμικίνθια Παύλου ποτέ. Καὶ Παῦλος μὲν εὐχόμενος νεκροὺς ἀνίστη, καὶ ἄλλα ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς

[V.] Jam quis recensere possit domesticorum rixas? Non enim illæ minores sunt externis insultibus, imo majores pariunt docenti sudores. Alii namque præ curiositate temere omnia indagare volunt, ex quorum notitia nihil eveniat lucri, imo quæ edisci neutiquam possunt: alii rursus Dei judiciorum rationes ab eo postulant, et abyssum illam multam emetiri conantur: *Judicia* namque *tua*, inquit (*Psal.* 35. 7), *abyssus multa*. De fide autem et de vitæ institutione paucos curare deprehendas, sed multo plures hæc curiose scrutantes perquirentesque, quæ nec inveniri possint, ac quorum exquisitio Deum irritet. Nam ubi ea ediscere conamur, quæ ille nos scire non voluit, nec sciemus unquam (qui enim, nolente Deo?) et id unum reportabimus, ut quærendo periclitemur. Attamen, hæc cum ita se habeant, cum quis auctoritate interposita curiosorum hominum ora obstruxerit, arrogantiæ et imperitiæ notam sibi inurit. Quamobrem hic quoque multa opus est antistiti prudentia, ut possit eos a quæstionibus tam absurdis abducere, et supra memoratas criminationes declinare. Adversus hæc omnia autem nihil aliud quam verbi auxilium datum est; qua facultate si antistes careat, subditorum animi nihilo melius quam naviculæ procellis agitatæ affecti erunt: de iis loquor, qui infirmiores et curiosiores sunt. Quamobrem par est sacerdotem nihil non agere, ut sibi facultatem hanc comparet.

Tum BASILIUS: Cur ergo Paulus, inquit, hanc sibi facultatem comparare non curavit, neque de eloquentiæ inopia erubuit, imo palam fatetur se idiotam esse, idque ad Corinthios scribens (2 *Cor.* 11. 6), qui eloquentiæ laude florebant, de qua summe gloriabantur?

CHYSOST. Hoc est, inquam, hoc est, quod plerosque perdidit, et circa veram doctrinam segniores effecit. [VI.] Cum enim apostolicæ mentis altitudinem exacte scrutari non possent, neque verborum sensum capere, omne tempus somnolentiæ et oscitantiæ dederunt, inscitiam illam amplexati, non qua Paulus se inscium esse dicit, sed a qua tanto ille abfuit intervallo, quanto nullus hominum, qui sub cœlo sunt. Cæterum hoc pertractandum aliud in tempus reservamus; interim illud dicam: Ponamus Paulum esse idiotam etiam in illa, qua ipsi volunt, parte: quid hoc ad nostræ ætatis homines? Ille quippe multo majorem verbo virtutem habuit, quæ longe plura præstare posset; nam ostendens se tantum ac tacens dæmonibus formidabilis erat: hodierni autem homines omnes simul coacti, infinitis tum precibus, tum lacrimis, nunquam tantum possint, quantum olim Pauli semicinctia potuere. Paulus quidem precibus mortuos suscitabat, et alia insuper miracula ejusmodi edebat, ut ab externis deus

νομισθῆναι παρὰ τοῖς ἔξωθεν· καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι τούτου, κατηξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ, καὶ ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἀνθρωπίνην ἀκοῦσαι φύσιν. Οἱ δὲ νῦν ὄντες — ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων πῶς οὐ φρίττουσιν ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς. Εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοιμεν τοῦ μακαρίου, καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ τὴν ἀγγελικὴν, καὶ ἐν ταύτῃ μᾶλλον, ἢ ἐν τοῖς σημείοις, ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ. Τί γὰρ ἂν τις εἴποι τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, τὰς ἐπαλλήλους φροντίδας, τὰς ἀδιαλείπτους ὑπὲρ τῶν Ἐκκλησιῶν ἀθυμίας, τὸ πρὸς τοὺς ἀσθενεῖς συμπαθὲς, τὰς πολλὰς θλίψεις, τοὺς καινοτέρους διωγμοὺς, τοὺς καθημερινοὺς θανάτους; Τίς γὰρ τόπος τῆς οἰκουμένης, ποία ἤπειρος, ποία θάλαττα τοῦ δικαίου τούτου τοὺς ἄθλους ἠγνόησεν; Ἐκεῖνον καὶ ἡ ἀοίκητος ἔγνω, κινδυνεύοντα δεξαμένη πολλάκις. Πᾶν γὰρ εἶδος ὑπέμεινεν ἐπιβουλῆς, καὶ πάντα τρόπον ἐπῆλθε νίκης· καὶ οὔτε ἀγωνιζόμενος, οὔτε στεφανούμενος διέλιπέν ποτε. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς τὸν ἄνδρα προήχθην ὑβρίζειν. Τὰ γὰρ κατορθώματα αὐτοῦ πάντα μὲν ὑπερβαίνει λόγον, τὸν δὲ ἡμέτερον τοσοῦτον, ὅσον καὶ ἡμᾶς οἱ λέγειν εἰδότες. Πλὴν ἀλλὰ καὶ οὕτως (οὐδὲ γὰρ ἀπὸ τῆς ἐκβάσεως, ἀλλὰ ἀπὸ τῆς προαιρέσεως ἡμᾶς ὁ μακάριος κρινεῖ) οὐκ ἀποστήσομαι, ἕως ἂν εἴπω τοῦτο, ὃ τοσούτῳ τῶν εἰρημένων κρεῖττόν ἐστιν, ὅσον ἁπάντων ἀνθρώπων ἐκεῖνος. Τί οὖν τοῦτό ἐστιν; Μετὰ τοσαῦτα κατορθώματα, μετὰ τοὺς μυρίους στεφάνους ηὔξατο εἰς γέενναν ἀπελθεῖν, καὶ αἰωνίῳ παραδοθῆναι κολάσει, ὑπὲρ τοῦ τοὺς πολλάκις αὐτὸν καὶ λιθάσαντας καὶ ἀνελόντας, τό γε αὐτῶν μέρος, Ἰουδαίους σωθῆναι καὶ τῷ Χριστῷ προσελθεῖν. Τίς οὕτως ἐπόθησε τὸν Χριστόν; εἰ γε πόθον αὐτὸ δεῖ καλεῖν, ἀλλ' οὐχ ἕτερόν τι τοῦ πόθου πλέον. Ἔτι οὖν ἑαυτοὺς ἐκείνῳ παραβαλοῦμεν μετὰ τὴν τοσαύτην χάριν, ἣν ἔλαβεν ἄνωθεν, μετὰ τὴν τοσαύτην ἀρετὴν, ἣν οἴκοθεν ἐπεδείξατο; Καὶ τί τούτου γένοιτ' ἂν τολμηρότερον;

Ὅτι δὲ οὐδὲ οὕτως ἦν ἰδιώτης, ὡς οὗτοι νομίζουσι, καὶ τοῦτο λοιπὸν ἀποδείξαι πειράσομαι. Οὗτοι μὲν γὰρ οὐ μόνον τὸν οὐκ ἠσκημένον τὴν τῶν ἔξωθεν λόγων τερθρείαν ἰδιώτην καλοῦσιν, ἀλλὰ καὶ τὸν οὐκ εἰδότα μάχεσθαι ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων· καὶ καλῶς νομίζουσιν. Ὁ δὲ Παῦλος οὐκ ἐν ἀμφοτέροις ἔφησεν ἰδιώτης εἶναι, ἀλλ' ἐν θατέρῳ μόνον· καὶ τοῦτο ἀσφαλιζόμενος, τὸν διορισμὸν ἀκριβῶς πεποίηται, λέγων τῷ λόγῳ ἰδιώτης εἶναι, ἀλλ' οὐ τῇ γνώσει. Ἐγὼ δὲ εἰ μὲν τὴν λειότητα Ἰσοκράτους ἀπῄτουν, καὶ τὸν Δημοσθένους ὄγκον, καὶ τὴν Θουκυδίδου σεμνότητα, καὶ τὸ Πλάτωνος ὕψος, ἔδει φέρειν εἰς μέσον ταύτην τοῦ Παύλου τὴν μαρτυρίαν· νῦν δὲ ἐκεῖνα μὲν πάντα ἀφίημι καὶ τὸν περίεργον τῶν ἔξωθεν καλλωπισμὸν, καὶ οὐδέν μοι φράσεως οὐδὲ ἀπαγγελίας μέλει. Ἀλλ' ἐξέστω

esse putaretur, ac prius, quam ex hac vita transferretur, dignus habitus est qui raperetur usque ad tertium cœlum, verborumque particeps fieret, quæ humanam audire naturam non licet. At qui nunc vivunt — sed nihil ego eloqui volo, quod molestum vel grave esse videatur : hæc quippe non insultans eis dico, sed admirans quomodo non perhorrescant, dum se tali viro comparant. Nam si, miraculis omissis, ad vitam beati illius viri accedamus, ejusque mores angelicos disquiramus, in hac re magis, quam in signis, Christi athletam superantem videbis. Quid enim memores studium, probitatem, frequentia pericula, continuas sollicitudines, indesinentem pro Ecclesiis mœrorem, erga infirmos commiserationem, multas ærumnas, novas persecutiones, quotidianas mortes? Quis enim orbis locus, quæ continens, quod mare justi hujus certamina ignoravit? Illum inculta quoque terra noverat, dum eum sæpe periclitantem excipiebat. Omne quippe genus insidiarum tulit, et omnem victoriæ modum expertus est, ac neque certaminum neque coronarum finem invenit. Verum nescio quo pacto eo animum appuli, ut virum contumelia afficerem. Gesta quippe ejus omnem sermonem superant, meum vero tantum, quantum nos superant dicendi periti. Attamen ne sic quidem (neque enim ab exitu, sed a voluntate beatus ille nos metietur), non cessabo donec hoc addiderim, quod tanto præstantius est supra dictis, quanto ille præstantior omnibus hominibus. Quid illud est? Post tam multa egregia facinora, post innumeras coronas, in gehennam abire et æterno tradi supplicio optavit (*Rom.* 9. 3), ut Judæi, qui ipsum sæpe lapidaverant, imo, quantum in ipsis erat, occiderant, salvi essent et ad Christum accederent. Quis ita Christum amavit? si tamen id amor dicendum est, et non quidpiam amore præstantius. Etiamne igitur nos ipsos cum illo conferemus, post tantam quam cœlitus accepit gratiam, post tantam virtutem, quam ex se ipso exhibuit? Ecquid illa re audacius?

Quod autem non adeo idiota fuerit, ut ipsi arbitrantur, id jam commonstrare aggrediar. Hi enim non modo idiotam vocant eum qui in externarum literarum præstigiis non exercitatus fuerit, sed etiam eum, qui pro veris dogmatibus pugnare nesciat : ac recte quidem. At Paulus non utrobique se idiotam profitetur, sed in horum altero tantum. Et ut id confirmaret, distinctionem accurate posuit, quum diceret (2 *Cor.* 11. 6.) sermone se idiotam esse, sed non cognitione. Sane si Isocratis lene et placidum flumen orationis exigerem, si Demosthenis amplitudinem, si Thucydidis gravitatem, si Platonis sublimitatem, hoc Pauli testimonium in medium afferendum esset. Nunc autem illa omnia missa facio, necnon curiosum illum exterorum ornatum, nihilque curo dictionem enuntiationemque Sed

καὶ τῇ λέξει πτωχεύειν, καὶ τὴν συνθήκην τῶν ὀνομάτων ἁπλῆν τινα εἶναι καὶ ἀφελῆ, μόνον μὴ τῇ γνώσει τις καὶ τῇ τῶν δογμάτων ἀκριβείᾳ ἰδιώτης ἔστω· μηδ', ἵνα τὴν οἰκείαν ἀργίαν ἐπικαλύψῃ, τὸν μακάριον ἐκεῖνον ἀφαιρείσθω τὸ μέγιστον τῶν ἀγαθῶν καὶ τὸ τῶν ἐγκωμίων κεφάλαιον.

Πόθεν γὰρ, εἰπέ μοι, τοὺς Ἰουδαίους συνέχεε τοὺς ἐν Δαμασκῷ κατοικοῦντας, οὐδέπω τῶν σημείων ἀρξάμενος; πόθεν τοὺς Ἑλληνιστὰς κατεπάλαισε; διὰ τί δὲ εἰς Ταρσὸν ἐξεπέμπετο; οὐκ ἐπειδὴ κατὰ κράτος ἐνίκα τῷ λόγῳ, καὶ εἰς τοσοῦτον αὐτοὺς ἤλαυνεν, ὡς καὶ εἰς φόνον παροξυνθῆναι τὴν ἧτταν μὴ φέροντας; Ἐνταῦθα γὰρ οὐδέπω τοῦ θαυματουργεῖν ἤρξατο, οὐδ' ἂν ἔχοι τις εἰπεῖν ὅτι ἀπὸ τῆς περὶ τὰ τεράστια δόξης θαυμαστὸν αὐτὸν ἡγοῦντο οἱ πολλοὶ, καὶ οἱ μαχόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς ὑπολήψεως ἐπηρεάζοντο τἀνδρός· τέως γὰρ ἀπὸ τοῦ λέγειν μόνον ἐκράτει. Πρὸς δὲ τοὺς Ἰουδαΐζειν ἐπιχειροῦντας ἐν Ἀντιοχείᾳ πόθεν ἠγωνίζετο καὶ συνεζήτει; ὁ δὲ Ἀρεοπαγίτης ἐκεῖνος, ὁ τῆς δεισιδαιμονεστάτης πόλεως ἐκείνης, οὐκ ἀπὸ δημηγορίας μόνης ἠκολούθησεν αὐτῷ μετὰ τῆς γυναικός; ὁ δὲ Εὔτυχος πῶς κατέπεσεν ἀπὸ τῆς θυρίδος; οὐκ ἐπειδὴ μέχρι βαθείας νυκτὸς εἰς τὸν τῆς διδασκαλίας αὐτοῦ ἀπησχολεῖτο λόγον; Τί δὲ ἐν Θεσσαλονίκῃ καὶ ἐν Κορίνθῳ; τί δὲ ἐν Ἐφέσῳ καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ; οὐχ ὅλας ἡμέρας καὶ νύκτας ἀνήλισκεν ἐφεξῆς εἰς τὴν ἐξήγησιν τῶν Γραφῶν; Τί ἄν τις λέγοι τὰς πρὸς τοὺς Ἐπικουρείους διαλέξεις καὶ Στωικούς; εἰ γὰρ ἅπαντα θέλοιμεν καταλέγειν, εἰς μακρὸν ἐκπεσεῖται μῆκος ὁ λόγος. Ὅταν οὖν καὶ πρὸ τῶν σημείων καὶ ἐν μέσοις αὐτοῖς φαίνηται πολλῷ κεχρημένος τῷ λόγῳ, πῶς ἔτι τολμήσουσιν ἰδιώτην εἰπεῖν τὸν καὶ ἀπὸ τοῦ διαλέγεσθαι καὶ δημηγορεῖν μάλιστα θαυμασθέντα παρὰ πᾶσι; Διὰ τί γὰρ Λυκάονες ὑπέλαβον αὐτὸν εἶναι Ἑρμῆν; Τὸ μὲν γὰρ θεοὺς αὐτοὺς νομισθῆναι ἀπὸ τῶν σημείων ἐγένετο, τὸ δὲ τοῦτον Ἑρμῆν, οὐκέτι ἀπ' ἐκείνων, ἀλλ' ἀπὸ τοῦ λόγου. Τίνι δὲ καὶ τῶν ἄλλων ἀποστόλων ἐπλεονέκτησεν ὁ μακάριος οὗτος; καὶ πόθεν ἀνὰ τὴν οἰκουμένην ἅπασαν πολὺς ἐν τοῖς ἁπάντων ἐστὶ στόμασιν; πόθεν οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ Ἰουδαίοις καὶ Ἕλλησι μάλιστα πάντων θαυμάζεται; οὐκ ἀπὸ τῆς τῶν ἐπιστολῶν ἀρετῆς, δι' ἧς οὐ τοὺς τότε μόνον πιστοὺς, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι τῆς σήμερον γενομένους, καὶ τοὺς μέλλοντας δὲ ἔσεσθαι μέχρι τῆς [ἐσχάτης] τοῦ Χριστοῦ παρουσίας ὠφέλησέ τε καὶ ὠφελήσει, καὶ οὐ παύσεται τοῦτο ποιῶν ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος; Ὥσπερ γὰρ τεῖχος ἐξ ἀδάμαντος κατασκευασθὲν, οὕτω τὰς πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίας τὰ τούτου τειχίζει γράμματα· καὶ καθάπερ τις ἀριστεὺς γενναιότατος ἕστηκε καὶ νῦν μέσος, αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ καὶ καθαιρῶν λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα ἐργάζεται δι' ὧν ἡμῖν κατέλιπεν ἐπιστολῶν, τῶν θαυ-

esto illum dictione inopem esse, et compositionem nominum simplicem ac remissam, dum ne cognitione et dogmatum accuratione idiota sit; ne ideo, ut ignaviam tegat suam, beato illi quod maximum in bonis est laudenique præcipuam auferat.

[VII.] Undenam, obsecro, Judæos Damascum incolentes confudit, cum nondum miracula edere cœpisset? unde Hellenistas item prostravit? quare Tarsum missus est? nonne quia vi verbi superabat, et in tantum ipsos premebat, ut, se victos esse non ferentes, ad illius necem inflammarentur? Tum enim nondum miracula edere cœperat: nec possit quispiam dicere, multos ipsum ob miraculorum gloriam admirandum habuisse, eosque qui cum eo pugnabant viri existimatione fuisse prostratos: nam ad id usque tempus sermonis tantum vi superabat. Adversus eos autem qui Antiochiæ judaizare aggrediebantur, quomodo dimicabat disputabatque? Areopagita vero ille, superstitiosissimæ urbis illius civis, nonne ex sola ejus concione cum uxore secutus cum est? Eutychus autem quomodo de fenestra delapsus est? nonne quia usque ad multam noctem ejus audiendæ doctrinæ vacabat? Quid vero Thessalonicæ et Corinthi? quid Ephesi, et in ipsâ Roma? nonne dies totos noctesque insumebat exponendis Scripturis? Jam quid dixeris de illius disputationibus cum Epicureis et Stoicis? nam si omnia recensere velimus, longius excurret oratio. Cum itaque et ante signa, et in mediis signis ipsum multa dicendi vi usum esse palam sit, quomodo adhuc audeant idiotam dicere eum, qui disputationibus et concionibus magnam sibi apud omnes admirationem conciliavit? Cur Lycaones ipsum Mercurium esse suspicati sunt? Nam quod dii esse putarentur, id ex signis efficiebatur; quod vero Paulum Mercurium esse putarent, id non signorum, sed eloquentiæ causa evenit. Quare beatus ille vir prærogativam inter cæteros apostolos habuit? unde per totum orbem multus in omnium ore versatur? quare non apud nos modo, sed et apud Judæos et Græcos maxime omnium admirationi habetur? nonne ex Epistolarum virtute, qua non iis solum, qui tunc erant, fidelibus, sed etiam iis qui ab illo tempore in hunc usque diem fuere, et iis qui post futuri sunt usque ad [novissimum] Christi adventum, profuit profuturusque est, nec juvandi finem faciet, donec humanum genus permanserit? Velut enim murus ex adamante constructus, sic scripta ejus universas orbis Ecclesias circummuniunt: ipseque instar fortissimi athletæ stat etiamnum medius (2 *Cor.* 10. 5), captivam ducens omnem cogitationem in obedientiam Christi, et destruens omnem celsitudinem elevantem se contra cognitionem Dei. Hæc porro omnia operatur per admirandas illas Epistolas

μασίων ἐκείνων καὶ τῆς θείας πεπληρωμένων σοφίας. Οὐ πρὸς δογμάτων δὲ μόνον νόθων τε ἀνατροπὴν καὶ γνησίων ἀσφάλειαν ἐπιτήδεια ἡμῖν αὐτοῦ τὰ γράμματα, ἀλλὰ καὶ πρὸς τὸ βιοῦν εὖ οὐκ ἐλάχιστον ἡμῖν συντελεῖ μέρος. Τούτοις γὰρ ἔτι καὶ νῦν οἱ τῶν Ἐκκλησιῶν προεστῶτες χρώμενοι, τὴν ἁγνὴν παρθένον, ἣν ἡρμόσατο τῷ Χριστῷ, ῥυθμίζουσί τε καὶ πλάττουσι, καὶ πρὸς τὸ πνευματικὸν ἄγουσι κάλλος. Τούτοις καὶ τὰ ἐπισκήπτοντα αὐτῇ νοσήματα ἀποκρούονται, καὶ τὴν προσγινομένην διατηροῦσιν ὑγείαν. Τοιαῦτα ἡμῖν ὁ ἰδιώτης κατέλιπε φάρμακα, τοσαύτην ἔχοντα δύναμιν, ὧν ἴσασι τὴν πεῖραν καλῶς οἱ χρώμενοι συνεχῶς. Καὶ ὅτι μὲν πολλὴν αὐτὸς ἐποιεῖτο τοῦ μέρους τούτου σπουδήν, ἐκ τούτου ὅῆλον. Ἄκουε δὲ καὶ τῷ μαθητῇ τί φησιν ἐπιστέλλων· « Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. » Καὶ τὸν ἀπὸ τούτου καρπὸν προστίθησι λέγων, « Τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου. » Καὶ πάλιν, « Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον. » Καὶ προϊὼν δέ φησι, « Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν. » Καὶ πάλιν, « Πᾶσα γραφὴ θεόπνευστος, φησί, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. » Ἄκουε δὲ καὶ τῷ Τίτῳ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως διαλεγόμενος τί προτίθησι· « Δεῖ γάρ, φησίν, εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. » Πῶς οὖν ἰδιώτης τις ὢν, ὡς οὗτοί φασι, τοὺς ἀντιλέγοντας ἐλέγχειν δυνήσεται καὶ ἐπιστομίζειν; Τίς δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς γραφαῖς, εἰ ταύτην ὀκνεῖ τὴν ἰδιωτείαν ἀσπάζεσθαι; Σκήψεις ταῦτα καὶ προφάσεις, καὶ ῥᾳθυμίας καὶ ὄκνου προσχήματα. Ἀλλὰ τοῖς ἱερεῦσι, φησὶ, ταῦτα διατέτακται· καὶ γὰρ περὶ ἱερέων ἡμῖν ὁ λόγος νῦν. Ὅτι δὲ καὶ τοῖς ἀρχομένοις, ἄκουε τί πάλιν ἑτέροις ἐν ἑτέρᾳ ἐπιστολῇ παραινεῖ· « Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ. » Καὶ πάλιν, « Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. » Καὶ τὸ πρὸς ἀπολογίαν ἑτοίμους εἶναι ἅπασιν εἴρηται. Θεσσαλονικεῦσι δὲ ἐπιστέλλων, « Οἰκοδομεῖτε, φησὶν, εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. » Ὅταν δὲ περὶ ἱερέων διαλέγηται, « Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. » Καὶ γὰρ οὗτος ὁ τελεώτατος τῆς διδασκαλίας ὅρος, ὅταν καὶ δι' ὧν πράττουσι, καὶ δι' ὧν λέγουσι, τοὺς μαθητευομένους ἀνάγωσιν εἰς τὸν μακάριον βίον, ὃν ὁ Χριστὸς διετάξατο. Οὐ γὰρ ἀρκεῖ τὸ ποιεῖν πρὸς τὸ διδάσκειν. Καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Σωτῆρος· « Ὃς γὰρ ἂν, φησὶ, ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. » Εἰ δὲ τὸ ποιῆσαι

divina plenas sapientia, quas reliquit nobis. Neque solum ad dogmata spuria confutanda germanaque tutanda idonea sunt ejus scripta, sed etiam ad bonam vitam instituendam non minimæ utilitatis sunt. Horum enim subsidio hodieque Ecclesiarum præfecti utentes virginem castam, quam ille Christo adaptavit, concinnant efformantque, et ad spiritualem pulchritudinem deducunt. His item irruentes in illam morbos depellunt, partamque sanitatem conservant. Talia nobis idiota ille remedia reliquit, tanta virtute prædita, quorum experientiam habent qui illis frequenter utuntur. Quod autem ille hac in parte magnam sollicitudinem posuerit, hinc palam est. [VIII.] Audi vero quid in Epistola sua discipulo dicat (1 *Tim.* 4. 13) : *Attende lectioni, exhortationi, doctrinæ* ; cujus rei fructum adjicit, dicens, *Hoc enim faciens, et te ipsum salvum facies, et eos qui te audiunt.* Ac rursum (2 *Tim.* 2. 24) : *Servum Domini non oportet litigare, sed mansuetum esse ad omnes, docibilem, patientem.* Ac progressus ait (c. 3. 14 *et* 15) : *Tu vero permane in iis, quæ didicisti et credita sunt tibi, sciens a quo didiceris, et quia ab infantia sacras literas nosti, quæ te possint instruere ad salutem.* Ac rursus (v. 16), *Omnis scriptura divinitus inspirata,* inquit, *utilis est ad docendum, ad arguendum, ad corripiendum, ad erudiendum in justitia, ut perfectus sit homo Dei.* Audi item quid Tito de episcoporum constitutione disserens præmittat (*Tit.* 1. 9) : *Oportet* enim, inquit, *episcopum amplecti eum, qui secundum doctrinam est, fidelem sermonem, ut possit eos, qui contradicunt, arguere.* Qui ergo idiota, ut hi dicunt, contradicentes arguere et refrænare poterit? Quorsum attendere lectioni et Scripturis, si ea nobis ignorantia amplectenda est? Hæc obtentus sunt et prætextus, ac segnitiei ignaviæque excusationes. Verum, inquies, hæc episcopis præcipiuntur : nam de episcopis nobis jam est sermo. Quod autem et subditis id ipsum conveniat, audi quid in alia Epistola aliis dicat (*Coloss.* 3. 16) : *Verbum Christi habitet in vobis abundanter in omni sapientia;* ac rursum (*ibid.* 4. 6) : *Sermo vester semper in gratia sale sit conditus, ut scialis quomodo oporteat vos unicuique respondere.* Jam quod velit ad respondendum esse paratos (1 *Petr.* 3. 15), id omnibus dicitur. Ad Thessalonicenses vero, *Ædificate*, inquit (1 *Thess.* 5. 11), *alterutrum, sicut et facitis.* Quum autem de sacerdotibus verba facit, *Qui bene præsunt presbyteri*, inquit (1 *Tim.* 5. 17), *duplici honore digni habeantur, maxime qui laborant in verbo et doctrina.* Etenim hic est perfectissimus doctrinæ terminus, quum et operibus et dictis suis discipulos in beatam a Christo institutam vitam deducunt. Neque enim facta sufficiunt ad docendum. Non meus est sermo, sed ipsius Servatoris : *Qui* enim, ait (*Matth.* 5. 19), *fecerit et docuerit, hic magnus vocabitur.* Nam si facere idem esset

σαι διδάξαι ἦν, περιττῶς τὸ δεύτερον ἔκειτο· καὶ γὰρ ἦρκει εἰπεῖν, Ὃς ἂν ποιήσῃ, μόνον· νῦν δὲ τῷ διελεῖν ἀμφότερα δείκνυσιν ὅτι τὸ μὲν τῶν ἔργων ἐστὶ, τὸ δὲ τοῦ λόγου, καὶ ἀλλήλων δεῖται ἑκάτερα πρὸς τὴν τελείαν οἰκοδομήν. Ἦ οὐκ ἀκούεις τί φησι τοῖς πρεσβυτέροις Ἐφεσίων τὸ τοῦ Χριστοῦ σκεῦος τὸ ἐκλεκτόν; « Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. » Τίς γὰρ χρεία τῶν δακρύων, ἢ τῆς διὰ τῶν λόγων νουθεσίας, τοῦ βίου οὕτως [αὐτῷ] λάμποντος τοῦ ἀποστολικοῦ; Ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐντολῶν ἐργασίαν δύναιτ' ἂν ἡμῖν οὗτος πολὺ συμβαλέσθαι μέρος· οὐδὲ γὰρ ἐκεῖ μόνον αὐτὸν τὸ πᾶν κατορθοῦν φαίην ἄν· ὅταν δὲ ὑπὲρ δογμάτων ἀγὼν κινῆται, καὶ πάντες ἀπὸ τῶν αὐτῶν μάχωνται Γραφῶν, ποίαν ἰσχὺν ὁ βίος ἐνταῦθα ἐπιδείξαι δυνήσεται; Τί τῶν πολλῶν ὄφελος ἱδρώτων, ὅταν μετὰ τοὺς μόχθους ἐκείνους ἀπὸ τῆς πολλῆς τις ἀπειρίας εἰς αἵρεσιν ἐκπεσὼν ἀποσχισθῇ τοῦ σώματος τῆς Ἐκκλησίας; ὅπερ οἶδα πολλοὺς παθόντας ἐγώ. Ποῖον αὐτῷ κέρδος τῆς καρτερίας; Οὐδέν· ὥσπερ οὖν οὐδὲ ὑγιοῦς πίστεως, τῆς πολιτείας διεφθαρμένης. Διὰ δὴ ταῦτα μάλιστα πάντων ἔμπειρον εἶναι δεῖ τῶν τοιούτων ἀγώνων τὸν διδάσκειν τοὺς ἄλλους λαχόντα. Εἰ γὰρ καὶ αὐτὸς ἕστηκεν ἐν ἀσφαλείᾳ, μηδὲν ὑπὸ τῶν ἀντιλεγόντων βλαπτόμενος, ἀλλὰ τὸ τῶν ἀφελεστέρων πλῆθος, τὸ ταττόμενον ὑπ' ἐκείνῳ, ὅταν ἴδῃ τὸν ἡγούμενον ἡττηθέντα καὶ οὐδὲν ἔχοντα πρὸς τοὺς ἀντιλέγοντας εἰπεῖν, οὐ τὴν ἀσθένειαν τὴν ἐκείνου τῆς ἥττης, ἀλλὰ τὴν τοῦ δόγματος αἰτιῶνται σαθρότητα· καὶ διὰ τὴν τοῦ ἑνὸς ἀπειρίαν ὁ πολὺς λεὼς εἰς ἔσχατον ὄλεθρον καταφέρεται. Κἂν γὰρ μὴ πάντη γένωνται τῶν ἐναντίων, ἀλλ' ὅμως ὑπὲρ ὧν θαρρεῖν εἶχον ἀμφιβάλλειν ἀναγκάζονται, καὶ οἷς μετὰ πίστεως προσῆσαν ἀκλινοῦς, οὐκέτι μετὰ τῆς αὐτῆς δύνανται προσέχειν στερρότητος· ἀλλὰ τοσαύτη ζάλη ταῖς ἐκείνων εἰσοικίζεται ψυχαῖς ἀπὸ τῆς ἥττης τοῦ διδασκάλου, ὡς καὶ εἰς ναυάγιον τελευτῆσαι τὸ κακόν. Ὅσος δὲ ὄλεθρος καὶ ὅσον συνάγεται πῦρ εἰς τὴν ἀθλίαν ἐκείνου κεφαλὴν καθ' ἕκαστον τῶν ἀπολλυμένων τούτων, οὐδὲν δεήσῃ παρ' ἐμοῦ μαθεῖν, ἅπαντα αὐτὸς εἰδὼς ἀκριβῶς. Τοῦτο οὖν ἀπονοίας, τοῦτο κενοδοξίας, τὸ μὴ θελῆσαι τοσούτοις ἀπωλείας αἴτιον γενέσθαι, μηδὲ ἑαυτῷ μείζονα προξενῆσαι τιμωρίαν τῆς νῦν ἀποκειμένης ἐκεῖ; Καὶ τίς ἂν ταῦτα φήσειεν; Οὐδείς, πλὴν εἰ μή τις μάτην μέμφεσθαι βούλοιτο, καὶ ἐν ταῖς ἀλλοτρίαις φιλοσοφεῖν συμφοραῖς.

quod docere, superflue secundum illud adderetur; satis enim fuisset dixisse tantum, Qui fecerit. Nunc vero quod inter utrumque distinguat, ostendit, alias esse operum partes, alias sermonis, adque perfectam ædificationem unum altero indigere. Annon audis quid Ephesiorum presbyteris dicat vas illud electum Christi? *Propter quod*, inquit (*Act.* 20. 31), *vigilate, memoria retinentes, quoniam per triennium nunquam cessavi, cum lacrimis monens unumquemque vestrum.* Nam quid opus lacrimis, vel verbis commonitoriis, vita in illo apostolica ita fulgente? Sed ad præceptorum observationem vita apostolica nobis admodum conferre possit; neque enim illic ipsam solam omnia præstare posse dixerim. [IX.] Cum autem de dogmatibus certamen fuerit, omnesque ab iisdem Scripturis dimicaverint, quam vim in ea re vitæ institutum exhibere possit? Quid utilitatis sudores multi afferant, cum post tantos illos labores ex magna sua imperitia quis in hæresim lapsus, ab Ecclesiæ corpore abscissus fuerit? quod quidem scio multis accidisse. Quod lucrum ipsi ex tolerantia? Nullum: sicut nec ex sana fide, si vita corrupta fuerit. His sane de causis harum concertationum maxime omnium peritum esse oportet eum qui aliorum docendorum munus sortitus est. Nam etiamsi tutus ipse perstet, nihil ab adversariis læsus, at subditorum simpliciorum multitudo, cum viderit ducem superatum nihil posse adversariis opponere, non infirmitatem ejus, sed dogmatis imbecillitatem incusabunt et pro causa cladis habebunt: atque ob unius imperitiam multus populus in extremam perniciem dejicitur. Etiamsi enim non totos se adversariorum in partes recipiant, attamen, de quibus confidere poterant, de iisdem dubitare coguntur: et iis, quæ cum inconcussa fide adierant, cum eadem jam firmitate adhærere non possunt: sed tanta tempestas eorum invadit animos, idque ex doctoris sui clade, ut in naufragium tandem pessimum desinant. Quanta vero pernicies, quantusque ignis in miserum caput illius pro singulis pereuntibus coarcervetur, non opus est ut a me discas, cum ipse omnia accurate scias. Hoccine igitur est arrogantiæ, hoccine vanæ gloriæ, quod noluerim tot hominum perniciei causa esse, et mihi majus attrahere supplicium, quam id quod repositum est? Ecquis hæc dixerit? Nemo, nisi frustra criminari et in alienis calamitatibus philosophari velit.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ πέμπτῳ λόγῳ.

α'. Ὅτι πολλοῦ πόνου καὶ σπουδῆς αἱ ἐν τῷ κοινῷ ὁμιλίαι δέονται.
β'. Ὅτι τὸν εἰς τοῦτο τεταγμένον καὶ ἐγκωμίων ὑπεροράν χρὴ, καὶ δύνασθαι λέγειν.
γ'. Ὅτι ἂν μὴ ἀμφότερα ἔχῃ, ἄχρηστος ἔσται τῷ πλήθει.
δ'. Ὅτι μάλιστα βασκανίας τοῦτον δεῖ καταφρονεῖν.
ε'. Ὅτι ὁ λόγους εἰδὼς πλείονος δεῖται σπουδῆς ἢ ὁ ἀμαθής.
ϛ'. Ὅτι τῆς ἀλόγου τῶν πολλῶν ψήφου οὔτε πάντῃ καταφρονεῖν, οὔτε πάντῃ φροντίζειν δεῖ.
ζ. Ὅτι πρὸς τὸ τῷ Θεῷ ἀρέσκον μόνον δεῖ τοὺς λόγους ῥυθμίζειν.
η'. Ὅτι ὁ μὴ καταφρονῶν ἐπαίνων πολλὰ ὑποστήσεται δεινά.

Ὅστις μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται· ἐγὼ δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων εἰπεῖν. Μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμι ἂν αἴτιον ἐγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρήσασθαι καλῶς· ἐπεὶ τό γε πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν γίνεται πρόξενον ἀγαθῶν, ὅταν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. Τί οὖν τοῦτό ἐστιν; Ὁ πολὺς πόνος ὁ περὶ τὰς διαλέξεις τὰς κοινῇ πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. Πρῶτον μὲν γὰρ τὸ πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διακεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες, ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν καθεζομένων ἀγῶσι. Καὶ καθάπερ ἐκεῖ τὸ πλῆθος μερίζεται, καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσνέμουσιν ἑαυτούς· οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου, οἱ δὲ μετ' ἐκείνου γίνονται, πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν τῶν λεγομένων ἀκούοντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ἀλλὰ καὶ ἕτερον οὐδὲν ἔλαττον τούτου. Ἂν γάρ τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων ἐνυφῆναι τοῖς αὐτοῦ λόγοις, πλείονα τῶν τὰ χρήματα κλεπτόντων ὑφίσταται ὀνείδη· πολλάκις δὲ οὐδὲ λαβὼν παρ' οὐδενὸς οὐδὲν, ἀλλ' ὑποπτευθεὶς μόνον, τὰ τῶν ἁλωκότων ἔπαθεν. Καὶ τί λέγω τῶν ἑτέροις πεπονημένων; αὐτὸν τοῖς εὑρήμασι τοῖς ἑαυτοῦ χρήσασθαι συνεχῶς οὐκ ἔνι. Οὐ γὰρ πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολλοί, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί. Καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν νῦν, οὕτως ἐνταῦθα γίνεται πολεμία, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅταν πρὸς ἀλλήλους ἀγωνίζεσθαι ἀναγκάζωνται. Γενναίας οὖν δεῖ κἀνταῦθα ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα, ἵνα τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν, ὡς αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἶκειν, ἀλλὰ

DE SACERDOTIO

Liber quintus.

Hæc insunt libro quinto.

I. Multum laboris ac studii adhibendum esse in homiliis popularibus concinnandis.
II. Huic muneri deputatos laudes spernere, ac dicendi peritos esse debere.
III. Nisi utroque sacerdos sit præditus, inutilem populo fore.
IV. Invidiam maxime contemnat oportere.
V. Erudito plus studii et diligentiæ opus esse, quam imperito.
VI. Judicium multitudinis imperitæ neque omnino contemnendum, neque omni ex parte curandum esse.
VII. Sermones omnes eo, ut Deo tantum placeatur, dirigendos esse.
VIII. Qui non sit laudis contemtor, ei multa gravia esse sustinenda.

Quanta sit doctori experientia opus ad certamina pro veritate suscipienda, sat a nobis demonstratum esse puto. [1.] Aliud præterea dicendum restat, quod est infinitorum causa periculorum; imo vero non illud esse causam dixerim, sed eos qui illo probe uti nesciunt: quandoquidem res ipsa et salutis et multorum bonorum conciliatrix est, dum a viris probis et diligentibus administretur. Quid illud est? Labor multus in disputationibus publice ad populum habendis insumtus. Primum enim magna subditorum pars nolunt eos qui loquuntur, in præceptorum habere loco; sed, discipulorum ordinem supergressi, eorum conditionem usurpant, qui in externorum theatris certamina spectaturi sedent. Ac quemadmodum ibi multitudo in contraria studia scinditur, aliis huic, aliis illi faventibus: ita et hic divisi, alii ad hujus, alii ad illius partes transeunt, vel ad gratiam vel ad odium aures dicentibus accommodantes. Neque id solum molestum est, sed et aliud quiddam non levius. Nam si quem contingat partem aliquam eorum, quæ ab aliis elaborata sunt, concioni suæ intexere, pluribus, quam qui pecunias suffurantur, opprobriis oneratur. Sæpe vero nihil ab aliis mutuatus, sed in ejus rei tantum suspicionem veniens, paria patitur ac si deprehensus fuisset. Ecquid dico eorum, quæ ab aliis elaborata fuerint? certe ne suis quidem illi licet inventis assidue uti: non enim ad utilitatem, sed ad voluptatem plurimi audire solent: quemadmodum qui de tragœdis vel de citharœdis judicaturi sedent. Atque adeo dicendi vis illa, quam nuper explodebamus, ita desiderabilem nunc se præbet, ut ne in sophistis quidem, cum mutuo altercari coguntur, tanta requiratur. [II.] Generoso itaque hic opus est animo, qui nostram exiguitatem longe superet, ut inordinatam illam infructuosamque vulgi voluptatem compescat, et auditum eorum ad utiliora transferat: ita ut populus ipsum sequatur, ipsique morem ge-

μὴ αὐτὸν ταῖς ἐκείνων ἄγεσθαι ἐπιθυμίαις. Τούτου δὲ οὐδαμῶς ἔστιν ἐπιτυχεῖν, ἀλλ' ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπεροψίας, καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως. Κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηστον γίνεται τῇ διαζεύξει θατέρου. Ἂν τε γὰρ ἐπαίνων ὑπεροπτῶν μὴ προσφέρῃ διδασκαλίαν τὴν ἐν χάριτι καὶ ἅλατι ἠρτυμένην, εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ τῆς μεγαλοψυχίας κερδάνας ἐκείνης· ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων δόξης ἥττων ὢν τύχῃ, εἰς ταὐτὸν πάλιν περίσταται τὰ τῆς ζημίας αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν τῶν ἀκουόντων μᾶλλον ἢ πρὸς ὠφέλειαν λέγειν μελετῶντι διὰ τὴν τῶν ἐπαίνων ἐπιθυμίαν. Καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφημίας, μήτε λέγειν εἰδὼς, οὔτε εἶκει ταῖς τοῦ πλήθους ἡδοναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα ὠφέλειαν δύναται τῷ μὴ ἔχειν εἰπεῖν· οὕτω καὶ ὁ τῷ πόθῳ τῶν ἐγκωμίων ἑλκόμενος, ἔχων ἀφ' ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται τοὺς πολλούς, ἀντὶ τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον, τούτων τοὺς ἐν τοῖς κρότοις θορύβους ὠνούμενος. Ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριστον ἄρχοντα δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. Ὅταν γὰρ ἀναστὰς ἐν τῷ μέσῳ, λέγῃ τὰ τοὺς ῥᾳθύμους ζῶντας ἐπιστύψαι δυνάμενα, εἶτα πρσπταίῃ καὶ διακόπτηται, καὶ ὑπὸ τῆς ἐνδείας ἐρυθριᾶν ἀναγκάζηται, διερρύη τὸ κέρδος τῶν λεχθέντων εὐθέως. Οἱ γὰρ ἐπιτιμηθέντες ἀλγοῦντες τοῖς εἰρημένοις, καὶ οὐκ ἔχοντες ἑτέρως αὐτὸν ἀμύνασθαι, τοῖς τῆς ἀμαθίας αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συσκιάζειν ἀνείδη. Διὸ χρὴ, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς ἀκρίβειαν τούτων ἀμφοτέρων ἐλθεῖν τῶν καλῶν, ἵνα ἀμφότερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἐξῇ. Καὶ γὰρ ὅταν αὐτὸς ἀνεπίληπτος ἅπασι γένηται, τότε δυνήσεται μεθ' ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ ταττομένους ἅπαντας· πρὸ δὲ τούτου οὐκ εὐμαρὲς τοῦτο ποιεῖν. Τὴν δὲ μεγαλοψυχίαν οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπεροψίας ἐπιδείκνυσθαι χρὴ μόνον, ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος.

Τίνος οὖν δεῖ καὶ ἑτέρου καταφρονεῖν; Βασκανίας καὶ φθόνου. Τὰς δὲ ἀκαίρους κακηγορίας (καὶ γὰρ ἀνάγκη τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δεδοικέναι καὶ τρέμειν, οὔτε ἁπλῶς παρορᾶν καλόν· ἀλλὰ χρὴ, κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν τυχόντων ἡμῖν ἐπάγωνται, πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. Οὐδὲν γὰρ οὕτως αὔξει φήμην πονηράν τε καὶ ἀγαθὴν, ὡς τὸ πλῆθος τὸ ἄτακτον· ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν εἰωθὸς, ἁπλῶς τὸ ἐπελθὸν ἅπαν φθέγγεται, τῆς ἀληθείας οὐδένα ποιούμενον λόγον. Διὰ ταῦτα οὐ δεῖ τῶν πολλῶν καταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως περικόπτειν τὰς ὑποψίας τὰς πονηράς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάντων εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν ἀφανίσαι δυναμένων δόξαν οὐκ ἀγαθήν·

rat, sed non ille secundum vulgi cupidinem feratur. Id vero nullo modo consequi possis, nisi hoc utrumque adfuerit, laudum contemtus, et vis dicendi. Nam si alterum absit, aliud ab altero disjunctum inutile efficitur. Etenim si laudes aspernans non proferat doctrinam gratia et sale condidam (*Col.* 4. 6), despicabilis apud multos evadit, nihil lucri ex illa animi magnitudine referens; sin hac parte strenue se gerens a populari aura vincatur, tum ipsi, tum populo id ipsum accidit detrimenti, cum ex laudum cupidine eo ducatur, ut ad gratiam magis quam ad utilitatem auditorum concionari studeat. Ac quemadmodum, qui nec laudibus movetur, nec dicendi vi præditus est, is neque vulgi voluptatibus cedit, neque tantillam utilitatem ob imperitiam loquendi afferre potest: ita qui laudum amore capitur, nactus eam facultatem, qua multos ad meliorem frugem reducere possit, mavult tamen delectabilia proferre, dum his populares in plaudendo tumultus lucretur. [III.] Is itaque qui optimus populi ductor futurus sit, utrumque fortiter teneat oportet, ut ne alterum altero evertatur. Cum enim in medio surgens ea dixerit, quæ ignavos perstringere possint, si deinde labatur et decidat, ac præ dicendi inopia erubescere cogatur, jam dictorum lucrum statim effluit. Nam qui corripiuntur, dum de dictis dolent, nec se alio modo ulcisci possunt, ignorantiam ipsi exprobrant, hac putantes se ratione opprobria tegere sua. Quamobrem oportet eum ceu aurigam optimum inter has virtutes accurate procedere, ut utramque rite tractare possit. Etenim cum ille se apud omnes inculpatum præstiterit, tunc quanta potestate voluerit, subditos suos omnes pro lubito vel castigare, vel remissius tractare poterit. Hoc nisi prius agatur, haud facto id facile fuerit. Animi porro magnitudinem non in laudum contemtu tantum exhibere par est, sed ulterius progrediendum, ne rursus imperfectum sit lucrum.

[IV.] Quodnam igitur aliud contemnendum est? Livor et invidia. Intempestivas autem accusationes (necesse quippe est antistitem absurdas etiam reprehensiones sustinere) neque admodum timere formidareque, neque prorsus negligere convenit: sed etiamsi illæ falsæ sint, etiamsi a plebeiis offerantur, statim eas exstinguere conandum est. Nihil enim ita famam seu bonam seu malam auget, ut incompositum vulgus: cum enim sine examine et audire et garrire soleat, temere quidquid occurrit loquitur, nulla prorsus veri ratione habita. Quamobrem non oportet vulgus contemnere, sed pravas suspiciones statim ab initio exscindere, accusatores de contrario persuadendo, etiamsi illi a ratione alienissimi sint: demum nihil retro relinquere convenit, quod pravam opinionem delere possit:

ἂν δὲ, πάντα ποιούντων ἡμῶν, μὴ θέλωσιν οἱ μεμφόμενοι πείθεσθαι, τὸ τηνικαῦτα καταφρονεῖν. Ὡς ἐὰν ῥᾳθύμῃ τις ταπεινοῦσθαι τοῖς συμπτώμασι τούτοις, οὐ δυνήσεταί ποτε γενναῖόν τι καὶ θαυμαστὸν ἀποτελεῖν· ἡ γὰρ ἀθυμία καὶ αἱ συνεχεῖς φροντίδες δειναὶ καταβαλεῖν ψυχῆς δύναμιν, καὶ εἰς ἀσθένειαν καταγαγεῖν τὴν ἰσχάτην. Οὕτως οὖν χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἴ τις πατὴρ πρὸς παῖδας νηπίους ἄγαν διακείοιτο· καὶ καθάπερ ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων ἐπιστρεφόμεθα, ἀλλ' οὐδὲ ἡνίκα ἂν γελῶσι καὶ προσχαίρωσιν ἡμῖν, μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε, οὕτω καὶ τούτων μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψόγοις δεῖ, ὅταν ἀκαίρως γίνωνται παρ' αὐτῶν. Χαλεπὸν δὲ τοῦτο, ὦ μακάριε, τάχα δὲ οἶμαι καὶ ἀδύνατον. Τὸ γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινί ποτε ἀνθρώπων κατώρθωται· τὸν δὲ χαίροντα εἰκὸς καὶ ἐπιθυμεῖν ἀπολαύειν αὐτῶν· τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα πάντως καὶ ἐν ταῖς τούτων ἀποτυχίαις [λυπεῖσθαι καὶ· ἐκκλίνειν καὶ] ἀνιᾶσθαι καὶ ἀλύειν ἀνάγκη. Ὥσπερ γὰρ οἱ γαννύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πενίαν, ἄχθονται, καὶ οἱ τρυφᾶν εἰωθότες οὐκ ἂν ἀνάσχοιντο ζῆν εὐτελῶς· οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅταν ψέγωνται μόνον εἰκῇ, ἀλλὰ καὶ ὅταν μὴ ἐπαινῶνται συνεχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχήν, καὶ μάλιστα ὅταν αὐτοῖς ἐντραφέντες τύχωσιν, ἢ καὶ ἑτέρους ἐπαινουμένους ἀκούωσι. Τὸν δὲ μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς τὸν τῆς διδασκαλίας ἀγῶνα παρελθόντα πόσα πράγματα καὶ πόσας οἴει ἔχειν τὰς ἀλγηδόνας; Οὔτε τὴν θάλατταν ἔστι κυμάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων καὶ λύπης. Καὶ γὰρ ὅταν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔχῃ (τοῦτο δὲ ἐν ὀλίγοις εὕροι τις ἄν), οὐδὲ οὕτω τοῦ πονεῖσθαι διηνεκῶς ἀπήλλακται. Ἐπειδὴ γὰρ οὐ φύσεως, ἀλλὰ μαθήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται, τότε αὐτὸν ἀφήσειν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ ταύτην θεραπεύῃ τὴν δύναμιν. Ὥστε τοῖς σοφωτέροις μᾶλλον ἢ τοῖς ἀμαθεστέροις μείζων ὁ πόνος. Οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ἡ ζημία ἀμελοῦσι τούτοις κἀκείνοις, ἀλλὰ τοσοῦτον αὕτη πλείων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας τὸ μέσον. Κἀκείνοις μὲν οὐδ' ἂν ἐγκαλέσειέ τις μηδὲν ἄξιον λόγου παρέχουσιν· οὗτοι δὲ, εἰ μὴ μείζονα τῆς δόξης, ἧς ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προφέροιεν, πολλὰ παρὰ πάντων ἔπεται τὰ ἐγκλήματα. Πρὸς δὲ τούτοις ἐκεῖνοι μὲν καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν τῶν ἐπαίνων, τὰ δὲ τούτων, ἂν μὴ λίαν ᾖ θαυμαστὰ καὶ ἔκπληκτα, οὐ μόνον ἐγκωμίων ἐστέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολλούς. Οὐ γὰρ τοῖς λεγομένοις, ὡς ταῖς τῶν λεγόντων δόξαις, κάθηνται δικάζοντες οἱ ἀκροαταί. Ὥσθ' ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπουδῆς· οὐδὲ γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπίνης φύσεώς ἐστι, τὸ

sin vero, postquam omnia præstiterimus, nolint accusatores morem gerere, tunc contemtu opus erit. Quandoquidem si quis casibus hujusmodi animo dejiciatur, is numquam poterit quidpiam generosi vel admirandi præstare. Nam mœror animi assiduæque sollicitudines animi vim prosternere possunt, et in extremam imbecillitatem deducere. Sic igitur oportet sacerdotem erga subditos affectum esse, ut pater est erga tenerrimos filios: ac quemadmodum illis nec insolescentibus, nec percutientibus, nec flentibus commovemur, sed neque cum nobis effuse arriserint, adnodum curamus, ita nec horum vel laudibus intumescere, vel vituperiis dejici oportet, cum hæc illi intempestive faciunt. Grave vero illud est, o vir beate, imo tale fortasse puto, quod præstari non possit. Siquidem laudatum hominem non gaudere, nescio an cuipiam vel magna virtute prædito acciderit. Gaudentem vero necesse videtur id desiderare unde gaudio fruitur; desiderantem porro gaudio frui, prorsus necesse est, si id non consequatur, dolere, torqueri, cruciari ac mœrore affici. Quemadmodum enim ii qui in divitiis lætantur, si quando in paupertatem decidant, ægre ferunt; et qui delicatis cibis assueverunt, numquam patiantur tenui uti victus ratione: sic et laudis amatores, non modo cum temere vituperantur, sed etiam cum non assidue laudantur, ceu fame quadam contabescunt; maxime si in ipsis laudibus educati fuerint, aut si alios laudari audierint. Qui vero cum tali cupidine in doctrinæ certamen descenderit, quam multis illum negotiis, quam multis doloribus obnoxium fore putas? Neque mare umquam potest fluctibus carere, neque illius animus sollicitudine et mœstitia. [V.] Nam si is fuerit magna dicendi vi præditus (hoc autem in paucis invenitur), ne sic quidem ab assiduo ille labore vacuus erit. Etenim cum eloquentiam non natura, sed disciplina pariat, licet ad summum ejus apicem quis pervenerit, ab illa certe destituetur, nisi assiduo studio et exercitatione illam excoluerit: ita ut magis peritioribus quam imperitioribus sit laborandum. Neque enim par jactura utrosque, si negligentes fuerint, manet; sed tanto major hæc, quantum est inter periliam et imperitiam intervallum. Atque illos quidem nemo culpaverit, si nihil eximium attulerint; hic vero nisi quidpiam majus existimatione, qua valet apud omnes, semper protulerit, in omnium reprehensionem incurrit. Ad hæc illi pro modicis concionibus magnam consequuntur laudem; hi vero, nisi mirabilia et stupenda proferant, non modo laudibus privantur, sed etiam a multis redarguuntur. Auditores quippe non tam de concione, quam de concionantis existimatione sedent judices. Quapropter ubi quispiam universos vi dicendi superat, tum illi plus, quam cæteris, studio laboreque opus est. Neque enim licet illi id perpeti, quod toti humanæ naturæ commune est, ut scilicet non semper in

μὴ πάντα ἐπιτυγχάνειν, ἔξεστιν ἐκείνῳ παθεῖν· ἀλλ', ἂν μὴ διόλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν ἅπεισι παρὰ τῶν πολλῶν. Καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς ἑαυτὸν, ὅτι καὶ ἀθυμία προσπεσοῦσα, καὶ ἀγωνία, καὶ φροντὶς, πολλάκις δὲ καὶ θυμὸς ἐπεσκότησε τῷ τῆς διανοίας καθαρῷ, καὶ τὰ τικτόμενα οὐκ ἀφῆκε προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως ἄνθρωπον ὄντα οὐκ ἔστι διὰ παντὸς εἶναι τὸν αὐτὸν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν, ἀλλ' εἰκός ποτε καὶ διαμαρτεῖν, καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. Τούτων οὐδὲν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται, ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες ἐπάγουσι τὰς αἰτίας. Καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ πλησίον καὶ πολλὰ ὄντα καὶ μεγάλα παρορᾶν· ἐὰν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ, κἂν διὰ πολλοῦ συμβεβηκὸς, καὶ ἐπαισθάνεται ταχέως, καὶ ἐπιλαμβάνεται προχείρως, καὶ μέμνηται διαπαντός· καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολλάκις.

Ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιστα τῷ λέγειν δυναμένῳ πλείονος δεῖ τῆς σπουδῆς, πρὸς δὲ τῇ σπουδῇ καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, ὅσους πρότερόν σοι διῆλθον, ἐδέοντο. Πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιῤῥόνται μάτην καὶ εἰκῇ, καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν τοῦ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀπεχθάνονται. Καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν τούτων βασκανίαν. Τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῇ συλλέγουσιν, οὐ στέγοντες κρύπτειν, καὶ λοιδοροῦσι καὶ μέμφονται καὶ διαβάλλουσι λάθρα, καὶ πονηρεύονται φανερῶς. Ψυχὴ δὲ ἀρξαμένη καθ' ἕκαστον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, κἂν φθάσειε διαφθαρῆναι τῇ λύπῃ. Καὶ γὰρ οὐ δι' ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι' ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσι· καὶ πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι, τοῖς ἐπαίνοις ἐπαίρουσι, καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν, οἱ μὲν μανίᾳ μόνον, οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες, ἵνα τὴν δόξαν τούτου καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστὸν τὸν οὐκ ὄντα τοιοῦτον. Οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγὼν, ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου δήμου πολλάκις. Ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐξ ἐλλογίμων ἀνδρῶν συλλέγεσθαι τοὺς συνερχομένους ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς Ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συνῆχθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν εἶναι συνετωτέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι πολλῷ πλέον, ἢ ὅσον ἐκείνων οἱ λοιποὶ πάντες, ἵνα δὲ μόλις ἢ δεύτερον καθῆσθαι τὸν ταύτην κεκτημένον τὴν ἀρετὴν, ἀνάγκη τὸν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα ἀπελθεῖν. Καὶ δεῖ πρὸς ταῦτας γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας, καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν, τοὺς δὲ διὰ φθόνον τοῦτο ὑπομένοντας δακρύειν ὡς ἀθλίους ὄντας καὶ

omnibus probe rem gerat : sed si illi, quæ concionando dicit, cum famæ magnitudine non consentiant, scommata dicteriaque a multitudine refert. Nemo secum reputat aut incidentem mœrorem, aut angustiam animi, vel sollicitudinem, vel persæpe iram mentis aciem tenebris offudisse, neque sivisse sensa ejus pura sinceraque prodire ; atque homo cum sit, non posse semper eum ipsum esse, neque in omnibus prospere agere, sed quod fieri solet, accidere ut nonnumquam labatur, ac minora quam pro solita virture exhibeat. Nihil horum, ut dixi, cogitare volunt : sed, ac si de angelo judicium ferrent, ita ipsum redarguunt. Alioquin vero solet homo præclara proximi sui gesta, quantumvis multa et magna, despicere ; si autem vitii quidpiam appareat, quantumvis leve sit, quamvis longo intervallo accidens, statim dignoscitur, confestim corripitur, et numquam e memoria excidit : atque illud perquam tenue exiguumque, multorum magnorumque virorum sæpe famam imminuit.

[VI.] Vides, o vir generose, eum qui vi dicendi præditus sit, majore sollicitudine opus habere ; ac præter studium tanta tolerantia indigere, quanta non omnes, quorum prius memini, opus habuere. Nam multi sæpe illum temere adoriuntur, et cum nihil criminis offerri possit, non aliam odii causam habent, quam quia apud omnes bene audit. Horum invidiam fortiter ferre par est : nam exsecrandum hujusmodi odium, quod temere conceperunt, cum tegere non valeant, clam conviciantur, incusant, calumniantur, palamque malitiam exercent. Animus autem qui ad illa singula dolere atque irritari cœperit, cito etiam dolore contabescit. Etenim non per se tantum se ipsi ulciscuntur, sed etiam aliorum utuntur opera : ac sæpe unum quempiam dicendi imperitum cooptantes, laudibus celebrant ac supra meritum admirantur, alii solo furore ducti, alii imperitia simul et livore impulsi ; non ut mirabilem exhibeant eum qui talis non est, sed ut talis viri gloriam de medio tollant. Neque adversus istos tantum athletæ illi certamen est, sed plerumque adversus totius populi imperitiam. Quia enim fieri nequit, ut totus cœtus ex literatis viris coaluerit, sed magna Ecclesiæ pars ex idiotis constat ; reliqui vero illis sagaciores quidem sunt, sed ab iis, qui de dicendi facultate judicium ferre valent, tantum numero distant, quantum iidem a reliquis omnibus : unus scilicet vel alter sedet hac præditus facultate, necesseque est ut qui eloquentius dixerit, minorem sibi plausum conciliet, et aliquando sine laude discedat. Sane contra hujusmodi inæquabilitatem animum generose præparare decet, iisque parcere qui per ignorantiam illud agunt, eos autem, qui per invidiam, ut miseros infelicesque deplorare, a neutro-

ἐλαινοὺς, μηδετέρῳ δὲ τούτων ἐλάττω τὴν αὐτοῦ νομίζειν γεγενῆσθαι δύναμιν. Οὐδὲ γὰρ εἰ ζωγράφος ὢν ἄριστος, καὶ πάντων κατὰ τὴν τέχνην κρατῶν, τὴν μετὰ πολλῆς τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἄγειν τὴν γραφήν, ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην θαυμαστήν τινα καὶ ἐπέραστον ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως. Ὁ γὰρ ἄριστος δημιουργὸς αὐτὸς ἔστω καὶ κριτὴς τῶν αὐτοῦ τεχνημάτων, καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γινόμενα, ὅταν ὁ τεχνησάμενος αὐτὰ νοῦς ταύτας φέρῃ τὰς ψήφους· τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πεπλανημένην καὶ ἄτεχνον, μηδὲ εἰς νοῦν βαλλέσθω ποτέ. Μὴ τοίνυν μηδὲ ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα, ταῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν· ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν ἀρέσειε τῷ Θεῷ (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔστω μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνου, μὴ κρότοι, μηδὲ εὐφημίαι), εἰ μὲν ἐπαινοῖτο καὶ παρὰ τῶν ἀνθρώπων, μὴ διακρουέσθω τὰ ἐγκώμια, μὴ παρεχόντων δὲ αὐτὰ τῶν ἀκουόντων, μήτε ζητείτω, μήτε ἀλγείτω· ἱκανὴ γὰρ αὐτῷ παραμυθία τῶν πόνων, καὶ πάντων μείζων, ὅταν ἑαυτῷ συνειδέναι δύνηται πρὸς ἀρέσκειαν Θεοῦ συντιθεὶς καὶ ῥυθμίζων τὴν διδασκαλίαν. Καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπιθυμίᾳ ἁλῶναι, οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. Τὰς γὰρ ἀνοήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχὴ ἐκλύεται, καὶ τὴν περὶ τὸ λέγειν ῥίπτει σπουδήν. Διὰ τοῦτο χρὴ μάλιστα πάντων παιδεῦσθαι ἐπαίνων ὑπεροράν· οὐ γὰρ ἀρκεῖ τὸ λέγειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακήν, ἂν μὴ καὶ τοῦτο προσῇ. Εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι καὶ τὸν ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς, εὑρήσει δεόμενον τοῦ τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον ἢ τοῦτον. Καὶ γὰρ πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται, τῆς τῶν πολλῶν δόξης ἧττων γενόμενος. Ἀτονῶν γὰρ ἐξισωθῆναι τοῖς εὐδοκιμοῦσι κατὰ τὴν τοῦ λέγειν ἀρετὴν, ἐπιβουλεύειν τε αὐτοῖς καὶ διαφθονεῖσθαι καὶ μέμφεσθαι μάτην, καὶ πολλὰ τοιαῦτα ἀσχημονεῖν οὐ παραιτήσεται, ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυχὴν ἀπολέσαι δέῃ, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς ἰδίας αὐτελείας καταγαγεῖν ταπεινότητα. Πρὸς δὲ τούτοις καὶ τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ τῆς ψυχῆς. Τὸ γὰρ πολλὰ μοχθοῦντα ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν καὶ τρέψαι πρὸς ὕπνον βαθὺν τὸν οὐ δυνάμενον ἐγκωμίων καταφρονεῖν. Ἐπεὶ καὶ ὁ γεωργὸς, ὅταν εἰς λεπτόγειον κάμνῃ χωρίον, καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίσταται τοῦ πονεῖν, ἢν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ τὴν προθυμίαν, ἢ λιμοῦ δέος ἐπικείμενον ἔχῃ. Εἰ γὰρ οἱ μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν τοσαύτης δέονται

que horum quidpiam putare a sua vi dicendi esse detractum. Neque enim si optimus pictor, qui omnes in hac arte præcellat, perquam diligenter a se depictam imaginem ab imperitis derideri videat ideo debet animo concidere, nec imperitorum judicio picturam parvi ducere; quemadmodum neque picturam quæ nihili sit, ex imperitorum admiratione magni facere. Nam optimus artifex ipse suorum opificiorum judex esto, et pulchra fœdave illa existimet, cum mens eadem, quæ illa edidit, hunc calculum ferat; aliorum autem opinionem erroneam et artis imperitam ne in mente quidem reponat. [VII.] Ne itaque is qui doctrinæ laborem suscepit, aliorum laudes attendat, neque his deficientibus animum despondeat. Verum sermonem suum ad Dei placitum concinnans (hæc enim ejus norma, hic terminus artificii debet esse, non plausus vel laudes), si quidem ab hominibus etiam laudetur, laudes ne rejiciat; sin laudes ab auditoribus non referat, ne quærat illas, nec ideo doleat. Laborum quippe solatium illud satis erit omniumque maximum, si conscius sibi fuerit, se ad Dei placitum doctrinam concinnasse suam. [VIII.] Nam si contingat eum laudis ineptæ cupidine abripi, nihil juvabunt ingentes illi labores, nihil dicendi facultas. Animus enim, qui stultas multorum reprehensiones ferre nequit, dissolvitur, ac dicendi studium abjicit. Quamobrem hac primum disciplina imbui par est, nempe contemnendas esse laudes. Neque enim satis est dicendi vi præditum esse ad eam facultatem conservandam, nisi hoc etiam adsit. Quod si quis eum accurate examinare velit, qui facultate ista caret, comperiet non minus illum, quam hunc, laudum contemtu egere. Nam si a popularis auræ cupidine vinci se patiatur, multis in rebus necessario delinquet. Cum enim eo pervenire nequeat, ut dicendi laude florentibus æqualis sit, ipsis tum insidiari, tum invidere, tum crimen offerre, tum alias turpiter injurias inferre non dubitabit, sed nihil non audebit, etiamsi animam perdere opus sit, ut ejus gloriam in suæ tenuitatis conditionem deducat. Ad hæc a sudoribus laboribusque abstinebit, ceu quadam torpedine ejus animo circumfusa. Nam multum laborantem modicam referre laudem, id sane in altum somnum conjiciat et vertat eum, qui laudes contemnere nequit. Quandoquidem et agricola, cum in sterili agro laborat, et petrosa arare cogitur, cito abeistit ab opere, nisi magna laborandi alacritas et famis timor urgeat. Etenim si ii, quibus magna inest dicendi facultas, tanta exercitatione opus

τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακήν, ὁ μηδὲν ὅλως συναγαγών, ἀλλ' ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελετᾶν, πόσην ὑποστήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχὴν, ἵνα πολλῷ τῷ μόχθῳ μικρόν τι συναγαγεῖν δυνηθῇ; Ἐὰν δέ τις καὶ τῶν μετ' αὐτὸν τεταγμένων, καὶ τὴν ἐλάττω τάξιν λαχόντων, ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκείνου διαφανῆναι δυνηθῇ, θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥστε μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. Τὸ γὰρ ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθιστῶτα μείζονι, καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ τῆς ἡμετέρας, ἀλλά τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. Κἂν μὲν ἐπιεικὴς ᾖ καὶ μέτριος ἅγαν ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσοῦν γίνεται τὸ πάθος· ἂν δὲ καὶ θρασὺς καὶ ἀλαζὼν καὶ φιλόδοξος, θάνατον ἐκείνῳ καθ' ἑκάστην εὐκτέον τὴν ἡμέραν· οὕτως αὐτῷ πικρὰν καταστήσει τὴν ζωὴν ἐπεμβαίνων φανερῶς, καταμωκώμενος λάθρα, τῆς ἐξουσίας πολλὰ παρασπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. Μεγίστην δὲ ἐν ἅπασι τοιούτοις ἀσφάλειαν τὴν ἐν τῷ λέγειν κέκτηται παῤῥησίαν, καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδὴν, καὶ τὸ φιλεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. Ἢ οὐκ οἶδας, ὅσος ταῖς τῶν Χριστιανῶν ψυχαῖς λόγων ἔρως εἰσελήλυθε νῦν, καὶ ὅτι μάλιστα πάντων οἱ τούτους ἀσκοῦντες ἐν τιμῇ οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίστεως οἰκείοις; Πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅταν αὐτοῦ μὲν φθεγγομένου πάντες σιγῶσι, καὶ διοχλεῖσθαι νομίζωσι, καὶ τοῦ λόγου τὸ τέλος ὥσπερ τινὰ πόνων ἀνάπαυσιν περιμένωσι, θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ προθυμίας ἀκούωσιν, καὶ παύεσθαι μέλλοντος δυσχεραίνωσι, καὶ σιγᾶν βουλομένου παροξύνωνται; Ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ νῦν εἶναι καὶ εὐκαταφρόνητα, διὰ τὸ ἀπείρατον, ἀλλ' ἱκανά γέ ἐστι προθυμίαν σβέσαι, καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἂν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀνασπάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ τοιούτῳ θηρῶνται νοσήματι. Εἰ μὲν οὖν τίς ἐστιν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν, καὶ τὰς πολλὰς αὐτῆς ἐκτέμνειν κεφαλὰς, μᾶλλον δὲ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρεῖν, δυνήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ἀποκρούεσθαι προσολὰς, καὶ εὐδιεινοῦ τινὸς ἀπολαύειν λιμένος· ταύτης δὲ οὐκ ἀπηλλαγμένος πολεμόν τινα πολυειδῆ, καὶ θόρυβον συνεχῆ, καὶ ἀθυμίας, καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον κατασκεδάζει τῆς ἑαυτοῦ ψυχῆς. Τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας, ἃς οὔτε εἰπεῖν οὔτε μαθεῖν δυνήσεταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν;

habent ut illam conservent : qui nihil omnino collegit, sed ipso certaminis tempore meditari cogitur, quantam difficultatem, quantum tumultum, quantam perturbationem patietur, ut multo labore tantillum quidpiam congregare possit? Si quis vero inferioris dignitatis et ordinis hac in parte plus, quam ille, clarescere possit, divino quodam hic opus est animo, ut ne livore capiatur, neu in mororem decidat. Nam ab inferioribus superari eum, qui majoris sit dignitatis, illudque fortiter ferre, non exigni, nec nostri, sed adamantini fuerit animi. Ac si quidem is, qui præcellit, probus admodumque modestus fuerit, malum utcumque tolerari potest; sin audax, arrogans et vanæ gloriæ cupidus, mors illi quotidie optanda est : ita nempe ipsi vitam amaram reddet, dum palam insultat, clam irridet, ac quotidie quidpiam ex ejus auctorite divellit, omniaque ipse esse cupit. Maximum in his omnibus præsidium habet libertatem in dicendo, et multitudinis in se studium, subditorumque omnium erga se amorem. An ignoras quantum animos Christianorum invasit concionum desiderium, atque eos qui illam exercent artem, non apud exteros modo, sed etiam apud fideles in honore haberi? Quis igitur tantum dedecus ferat, cum nempe ipso loquente taceant omnes et molestiam sibi inferri putent, orationisque finem quasi a laboribus requiem expectent; altero autem proxilius orante, alacriter auscultent, ac finem dicendi facturo, ægre ferant, tacenteque indignentur? Hæc licet nunc parva tibi videantur ac despicabilia, utpote inexperto : tamen satis sunt ut et animi studium extinguant mentisque vim enervent, nisi quis humanis omnibus se morbis eximens, perinde atque incorporeæ Potestates affectus esse studeat, quæ nec invidia, neque gloriæ amore, neque alio quopiam simili morbo rapiuntur. Si quis igitur hominum talis est, ut possit hanc captu difficilem, inexpugnabilem et indomitam feram, popularem scilicet auram, conculcare, ac multiplicia illius capita præcidere, imo ne nasci quidem sinere, is facile poterit permultos illos insultus depellere, ac tranquillo quodam portu frui. At si ab illa liber non fuerit, sane multiplex bellum, frequentem tumultum, animi mœstitiam, cæterarumque ægritudinum turbam contra animam ipse suam præparabit. Quorsum attinet reliquas enumerare difficultates, quas nec docere neque ediscere quispiam possit, nisi in rebus ipsis fuerit?

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ΕΚΤΟΣ.

Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ λόγῳ.

α'. Ὅτι καὶ ταῖς εὐθύναις τῶν ἑτέροις ἁμαρτανομένων ὑπόκεινται οἱ ἱερεῖς.
β'. Ὅτι τῶν μοναζόντων ἀκριβείας δέονται πλείονος.
γ'. Ὅτι πλείονος εὐκολίας ἀπολαύει ὁ μονάζων παρὰ τὸν Ἐκκλησίας προεστῶτα.
δ'. Ὅτι τῆς οἰκουμένης τὴν προστασίαν ἐμπεπίστευται ὁ ἱερεύς, καὶ ἕτερα πράγματα φρικτά.
ε'. Ὅτι πρὸς πάντα ἐπιτήδειον εἶναι χρὴ τὸν ἱερέα.
ς'. Ὅτι οὐχ οὕτω τὸ μονάζειν, ὡς τὸ πλήθους προεστάναι καλῶς, καρτερίας σημεῖον.
ζ'. Ὅτι οὐχ ὑπὲρ τῶν αὐτῶν τῷ τε καθ' ἑαυτὸν ὄντι καὶ τῷ ἐν μέσῳ στρεφομένῳ ἡ ἄσκησίς ἐστιν.
η'. Ὅτι εὐκολώτερον τὴν ἀρετὴν οἱ καθ' ἑαυτοὺς ὄντες, ἢ οἱ πολλῶν φροντίζοντες, κατορθοῦσιν.
θ'. Ὅτι οὐ χρὴ καταφρονεῖν τῆς τῶν πολλῶν ὑπολήψεως, κἂν ψευδὴς οὖσα τύχῃ.
ι'. Ὅτι οὐδὲν μέγα σῶσαι ἑαυτόν.
ια'. Ὅτι πολλῷ χαλεπώτερα μένει τιμωρία τὰ τῶν ἱερέων ἁμαρτήματα, ἢ τὰ τῶν ἰδιωτῶν.
ιβ'. Ἐκ παραδειγμάτων παράστασις καὶ τῆς ὀδύνης τῆς διὰ τὴν προσδοκίαν τῆς ἱερωσύνης γινομένης, καὶ τοῦ φόβου.
ιγ'. Ὅτι παντὸς πολέμου χαλεπώτερος ὁ τοῦ διαβόλου πρὸς ἡμᾶς.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, οἷάπερ ἤκουσας· τὰ δὲ ἐκεῖ πῶς οἴσομεν, ὅταν καθ' ἕκαστον τῶν πιστευθέντων ἀναγκαζώμεθα τὰς εὐθύνας ὑπέχειν; Οὐ γὰρ μέχρι αἰσχύνης ἡ ζημία, ἀλλὰ καὶ αἰώνιος ἐκδέχεται κόλασις. Τὸ γὰρ « Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, » εἰ καὶ πρότερον εἶπον, ἀλλ' οὐδὲ νῦν σιωπήσομαι· ὁ γὰρ φόβος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει μου τὴν ψυχήν. Εἰ γὰρ τῷ μόνον ἕνα σκανδαλίζοντι καὶ ἐλάχιστον, συμφέρει ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλατταν, καὶ πάντες οἱ τὴν συνείδησιν τῶν ἀδελφῶν τύπτοντες, εἰς αὐτὸν ἁμαρτάνουσι τὸν Χριστόν· οἱ μὴ μόνον ἕνα μηδὲ δύο καὶ τρεῖς, ἀλλὰ πλήθη τοσαῦτα ἀπολλύντες, τί ποτε ἄρα πείσονται, καὶ ποίαν δώσουσι δίκην; Οὐδὲ γὰρ ἀπειρίαν ἔστιν αἰτιάσασθαι, οὐδὲ εἰς ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν· ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων, εἰ γε ἐνῆν, ἐν ταῖς οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς ἑτέρων οἱ προεστῶτες. Τί δήποτε; Ὅτι ὁ ταχθεὶς τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῦν, καὶ τὸν διαβολικὸν πόλεμον προμηνύειν ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν, οὐδὲ εἰπεῖν, Οὐκ ἤκουσα τῆς σάλπιγγος, οὐ προῄδειν τὸν πόλεμον. Ἐπὶ τούτῳ γὰρ ἐκάθισεν, ὡς ὁ Ἰεζεκιήλ φησιν, ἵνα καὶ τοῖς ἄλλοις σαλπίζῃ, καὶ προμηνύῃ τὰ μέλλοντα δυσχερῆ. Καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὢν ὁ ἀπολωλὼς τύχῃ. « Ἐὰν γὰρ, τῆς ῥομφαίας ἐρχομένης, μὴ σαλπίσῃ τῷ λαῷ, μηδὲ

DE SACERDOTIO

LIBER SEXTUS.

Hæc insunt libro sexto.

I. Pœnas dare sacerdotes etiam pro populi delictis.
II. Majore quam ipsos monachos vitæ diligentia opus habere.
III. Faciliore vitæ ratione frui monachum, quam Ecclesiæ præfectum.
IV. Sacerdotem terrarum orbis præfecturæ aliisque rebus tremendis præpositum esse.
V. Sacerdotem ad omnia aptum esse debere.
VI. Vitam monasticam non tantum patientiæ argumentum esse, quantum multitudinis præfecturam solertiæ.
VII. Eum qui seorsim vivat, eumque qui in rerum medio versetur, non super iisdem exercitari.
VIII. Facilius eos qui solitarie vivunt, quam eos qui multorum curam gerunt, virtutem exercere.
IX. Non contemnendas esse vulgi suspiciones, quamvis falsas.
X. Non magni esse negotii seipsum servare.
XI. Longe graviorem pœnam manere sacerdotum peccata, quam idiotarum.
XII. Exemplis probatur et dolorem propter sacerdotii expectationem oriri et timorem.
XIII. Omni bello molestius esse illud quod diabolus in nos gerit.

[I.] Res quidem hujus mundi tales sunt, quales audisti : illius autem vitæ res quomodo feremus, cum de singulis nobis commissis hominibus rationem reddere cogemur? Non enim in pudore sistitur damnum, sed æternam exspectatur supplicium. Illud enim (*Hebr.* 13. 17), *Obedite præpositis vestris, et subjacete eis, quia ipsi vigilant pro animabus vestris, ut rationem reddituri*, etiamsi prius dixeram, tamen ne nunc quidem tacebo : nam tanto comminationis metus frequenter animum concutit meum. Si enim (*Matth.* 18. 6) ei qui vel minimum unum scandalizaverit, expedit ut mola asinaria suspendatur in collo ejus, et demergatur in mare, et omnes qui conscientiam fratrum suorum percutiunt, in ipsum Christum peccant (1 *Cor.* 8. 12) : qui non unum modo, vel duos vel tres, sed tantam multitudinem perdunt, quid passuri sunt, et quas pœnas daturi? Neque enim imperitia in causam afferenda est, neque ad ignorantiam confugiendum, neque necessitas aut vis obtendi potest; sed potius subditus, si quidem liceret, hoc in propriis peccatis effugio uti posset, quam in aliorum delictis antistites. Quare? Quia is qui ad hoc deputatus est, ut aliorum ignorantiam emendet, et diabolicum bellum instans prænuntiet, nequit ignorantiam obtendere, nec dicere, Non audivi tubam, bellum non prævidi. Ad hoc quippe sedebat, ut Ezechiel (33. 3) ait, ut aliis tuba caneret, et futuras ærumnas prænuntiaret. Ideoque supplicium nulla excusatione vitari potest, etiamsi unus tantum periisset. Nam « si accedente framea populo non tuba cecinerit, ait, nec speculator signum dederit,

σημάνῃ, φησὶν, ὁ σκοπὸς, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ψυχὴν, αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα αὐτῆς ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. » Παῦσαι τοίνυν ἡμᾶς ὠθῶν εἰς οὕτως ἄφυκτον δίκην. Οὐ γὰρ ὑπὲρ στρατηγίας, οὐδὲ ὑπὲρ βασιλείας ἡμῖν ὁ λόγος, ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. Καὶ γὰρ τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν τῷ ἱερεῖ τὴν ψυχὴν εἶναι δεῖ, ἵνα μήποτε ἔρημον αὐτὸν ἐγκαταλιμπάνῃ τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα δύνηται λέγειν, « Ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Εἰ γὰρ οἱ τὴν ἔρημον οἰκοῦντες, καὶ πόλεως καὶ ἀγορᾶς καὶ τῶν ἐκεῖθεν ἀπηλλαγμένοι θορύβων, καὶ διαπαντὸς γαλήνης καὶ λιμένος ἀπολαύοντες, οὐκ ἐθέλουσι θαῤῥεῖν τῇ τῆς διαίτης ἐκείνης ἀσφαλείᾳ, ἀλλὰ καὶ μυρίας ἑτέρας προστιθέασι φυλακὰς, πάντοθεν ἑαυτοὺς περιφράττοντες, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ λέγειν ἅπαντα καὶ πράττειν σπουδάζοντες, ἵνα μετὰ παῤῥησίας καὶ καθαρότητος εἰλικρινοῦς, ὅσον εἰς ἀνθρωπείαν ἦκε δύναμιν, προσίωσι τῷ Θεῷ δύνωνται· πόσης οἴει δεῖν τῷ ἱερωμένῳ καὶ δυνάμεως καὶ βίας, ὥστε δυνηθῆναι παντὸς ἁρπάσαι μολυσμοῦ τὴν ψυχὴν, καὶ ἀστινὲς τὸ πνευματικὸν συντηρῆσαι κάλλος; Καὶ γὰρ πολλῷ μείζονος αὐτῷ δεῖ καθαρότητος, ἢ ἐκείνοις· καὶ ᾧ μείζονος δεῖ, οὗτος πλείοσιν ἀνάγκαις ἐκείνων ὑπόκειται ταῖς δυναμέναις αὐτὸν ῥυποῦν, ἢν μὴ τῇ διηνεκεῖ νήψει καὶ τῷ πολλῷ τόνῳ χρησάμενος, ἄβατον αὐταῖς ἐργάσηται τὴν ψυχήν. Καὶ γὰρ καὶ προσώπων εὐμορφία, καὶ κινημάτων διάθρυψις, καὶ βαδίσεως ἐπιτήδευσις, καὶ φωνῆς διάκλασις, καὶ ὀφθαλμῶν ὑπογραφαὶ, καὶ παρειῶν ἐπιτρίμματα, καὶ πλεγμάτων συνθέσεις, καὶ τριχῶν βαφαὶ, καὶ ἱματίων πολυτέλεια, καὶ χρυσίων ποικιλία, καὶ λίθων κάλλος, καὶ μύρων εὐωδία, καὶ τἆλλα πάντα, ἃ τὸ γυναικεῖον ἐπιτηδεύει γένος, ἱκανὰ θορυβῆσαι ψυχὴν, ἢν μὴ πολλῇ τῇ τῆς σωφροσύνης αὐστηρότητι ἀπεσκληκυῖα τύχῃ.

Ἀλλὰ τὸ μὲν ὑπὸ τούτων ταράττεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ διὰ τῶν τούτοις ἐναντίων δύνασθαι βάλλειν τὸν διάβολον καὶ κατατοξεύειν τὰς τῶν ἀνθρώπων ψυχὰς, τοῦτό ἐστι τὸ πολλῆς ἐκπλήξεως καὶ ἀπορίας μεστόν. Ἤδη γάρ τινες ταῦτα ἐκφυγόντες τὰ θήρατρα, τοῖς πολὺ τούτων ἀφεστηκόσιν ἑάλωσαν. Καὶ γὰρ καὶ ἠμελημένη ὄψις, καὶ αὐχμῶσα κόμη, καὶ ῥυπῶσα στολὴ, καὶ σχῆμα ἀνεπίπλαστον, καὶ ἦθος ἁπλοῦν, καὶ ῥῆμα ἀφελὲς, καὶ βάδισις ἀνεπιτήδευτος, καὶ ἀσχημάτιστος φωνὴ, καὶ τὸ πενίᾳ συζῆν, καὶ τὸ καταφρονεῖσθαι, καὶ τὸ ἀπροστάτευτον, καὶ ἡ μόνωσις, πρῶτον μὲν εἰς ἔλεον τὸν ὁρῶντα, ἀπ' ἐκείνου δὲ εἰς τὸν ἔσχατον ἦγαγεν ὄλεθρον. Καὶ πολλοὶ τὰ πρότερα ἐκφυγόντες δίκτυα, τὰ διὰ τῶν χρυσίων καὶ τῶν μύρων καὶ τῶν ἱματίων καὶ τῶν λοιπῶν ὧν εἶπον συγκείμενα, τούτοις τοῖς τοσοῦτον αὐτῶν ἀφεστηκόσιν εὐκόλως ἐνέπεσον καὶ ἀπώλοντο. Ὅταν οὖν καὶ διὰ πενίας καὶ διὰ πλούτου, καὶ διὰ καλλωπισμοῦ καὶ διὰ σχήματος εἰχῇ κειμένου, καὶ διὰ τρόπων τῶν τε ἐπιτηδευτῶν

adveniensque framea animam invaserit, ipsa quidem propter iniquitatem suam capta est, sanguinem vero ejus de manu speculatoris requiram. » Desine ergo nos in tam inevitabile judicium impellere : neque enim de ducendo exercitu, neque de regno sermonem habemus, sed de negotio, quod angelica virtute opus habeat. [II.] Etenim solaribus radiis puriorem esse oportet sacerdotis animam, ne quando Spiritus sanctus illum desertum relinquat; ut possit dicere (*Galat.* 2. 20) : *Vivo autem, jam non ego; vivit vero in me Christus.* Nam si ii, qui eremum incolunt, et urbe et foro et tumultibus procul, semper tranquillo cœlo atque portu fruentes, nolunt tamen tuto ejusmodi vitæ instituto confidere, verum sexcentas alias custodias adhibent, undique se circummunientes, et cum magna accuratione omnia et dicere et facere satagentes, ut cum fiducia et puritate sincera, quantum humanæ vires patiuntur, accedere ad Deum possint : quanta putas oportere sacerdotem uti vi atque violentia, ut possit animam ab omni inquinamento eripere, et spiritualem pulchritudinem illæsam servare? Etenim multo majore, quam illi, eget puritate : ac qui majore indiget, ille pluribus necessitatibus subjacet, quæ possint illum inquinare, nisi assidua vigilantia, multaque animi attentione usus, inaccessam illis animam reddat suam. Nam et oris venustas, et motuum mollities, et incessus affectata ratio, et vocis confractio, oculorum et malarum fucus, cincinnorum compositiones, capillitii tinctura, vestium sumtuositas, auri varius ornatus, gemmarum pulchritudo, unguentorum fragrantia, aliaque omnia, quæ muliebre genus affectare solet, animum turbare possunt, nisi temperantiæ austeritate se munierit.

Sed ab iis turbari mirum non est; at per res iis contrarias posse diabolum humanas animas confodere, id sane stupore et dubitatione plenum. Jam enim nonnulli, qui hæc venabula effugerant, a longe diversis capti sunt. Etenim neglecta facies, squalida coma, sordida vestis, habitus incompositus, morum verborumque simplicitas, incessus non affectatus, vox inconcinna, victus paupertas, contemtus ac præsidii penuria, itemque solitudo, spectatorem primum ad misericordiam, deinde in extremam perniciem pertraxerunt. Multique ex prioribus elapsi retibus, nempe aureis ornatibus, unguentis, vestimentis, cæterisque supra memoratis, in hæc adeo ab illis diversa ceciderunt perieruntque. Cum ergo per paupertatem et divitias, per ornatum et habitus neglectum, per compositos mores et in-

καὶ τῶν ἁπλάστων, καὶ διὰ πάντων ἁπλῶς ὧν ἀπηριθμησάμην, ὁ πόλεμος ἀναῤῥιπίζηται τῇ τοῦ θεωμένου ψυχῇ, καὶ τὰ μηχανήματα αὐτὸν περιστοιχίζῃ πανταχόθεν· πόθεν ἀναπνεῦσαι δυνήσεται, τοσούτων κύκλῳ περικειμένων παγῶν; ποίαν κατάδυσιν εὑρεῖν, οὐ λέγω πρὸς τὸ μὴ κατὰ κράτος ἁλῶναι (τοῦτο μὲν γὰρ οὐ πάνυ χαλεπόν), ἀλλὰ καὶ πρὸς τὸ ἀτάραχον τῶν μιαρῶν λογισμῶν τὴν ἑαυτοῦ φυλάξαι ψυχήν; Καὶ παρίημι τὰς τιμάς, τὰς τῶν μυρίων αἰτίας κακῶν. Αἱ μὲν γὰρ παρὰ τῶν γυναικῶν γινόμεναι τῷ τῆς σωφροσύνης λυμαίνονται τόνῳ, καὶ καταβάλλουσι δὲ πολλάκις, ὅταν τις μὴ διαπαντὸς ἀγρυπνεῖν εἰδῇ πρὸς τὰς τοιαύτας ἐπιβουλάς· τὰς δὲ παρὰ τῶν ἀνδρῶν ἢν μὴ μετὰ πολλῆς τις δέξηται τῆς μεγαλοψυχίας, δύο τοῖς ἐναντίοις ἁλίσκεται πάθεσι, τῇ τε τῆς θωπείας δουλοπρεπείᾳ, καὶ τῇ τῆς ἀλαζονείας ἀνοίᾳ, τοῖς μὲν θεραπεύουσιν αὐτὸν ὑποκύπτειν ἀναγκαζόμενος, διὰ δὲ τὰς παρ' ἐκείνων τιμὰς κατὰ τῶν ἐλαττόνων ἐξογκούμενος, καὶ εἰς τὸ τῆς ἀπονοίας ὠθούμενος βάραθρον.

Ταῦτα εἴρηται μὲν παρ' ἡμῶν· ὅσην δὲ ἔχει τὴν βλάβην οὐκ ἄν τις ἄνευ τῆς πείρας μάθοι καλῶς. Οὐ γὰρ δὴ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ τούτων πολλῷ πλείονα καὶ σφαλερώτερα τοῖς ἐν μέσῳ στρεφομένοις συμπίπτειν ἀνάγκη γένοιτ' ἄν. Ὁ δὲ τὴν ἔρημον στέργων, πάντων μὲν ἔχει τὴν ἀτέλειαν· εἰ δέ ποτε αὐτῷ καὶ λογισμὸς ἄτοπος ὑπογράψειέ τι τοιοῦτον, ἀλλ' ἀσθενὴς ἡ φαντασία, καὶ ταχέως σβεσθῆναι δυναμένη, διὰ τὸ μὴ προσκεῖσθαι ἔξωθεν τὴν ἀπὸ τῆς θεωρίας ὕλην τῇ φλογί. Καὶ ὁ μὲν μοναχὸς ὑπὲρ ἑαυτοῦ μόνου δέδοικεν· εἰ δὲ καὶ ἑτέρων φροντίζειν ἀναγκασθείη, ἀλλ' εὐαριθμήτων λίαν· εἰ δὲ καὶ πλείονες εἶεν, ἀλλὰ τῶν ἐν ταῖς Ἐκκλησίαις ἐλάττους τέ εἰσι, καὶ τὰς ὑπὲρ ἑαυτῶν φροντίδας πολλῷ κουφοτέρας παρέχουσι τῷ προεστῶτι, οὐ διὰ τὴν ὀλιγότητα μόνον, ἀλλ' ὅτι καὶ πάντες τῶν κοσμικῶν εἰσιν ἀπηλλαγμένοι πραγμάτων, καὶ οὔτε παῖδας οὔτε γυναῖκα οὔτε ἄλλο τι μεριμνᾶν ἔχουσι τοιοῦτον. Τοῦτο δὲ αὐτοὺς λίαν τε εἶναι εὐπειθεῖς τοῖς ἡγουμένοις καὶ κοινὴν τὴν οἴκησιν ἔχειν ἐποίησεν, ὡς δύνασθαι αὐτῶν καὶ πταίσματα ἀκριβῶς συνορᾶν τε καὶ ἐπανορθοῦν, ὅπερ οὐ μικρὸν πρὸς ἀρετῆς ἐπίδοσιν * * ἐπιστασία διδασκάλου διηνεκής. Τῶν δὲ ὑπὸ τῷ ἱερεῖ τεταγμένων τὸ πλέον βιωτικαῖς περίδηται φροντίσι, καὶ τοῦτο αὐτοὺς ἀργοτέρους πρὸς τὴν τῶν πνευματικῶν ἐργασίαν καθίστησιν. Ὅθεν ἀνάγκη τῷ διδασκάλῳ σπείρειν καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν, ἵνα τῇ γοῦν συνεχείᾳ δυνηθῇ κρατηθῆναι παρὰ τοῖς ἀκούουσι τῆς διδασκαλίας ὁ λόγος. Καὶ γὰρ πλοῦτος ὑπέρογκος, καὶ δυναστείας μέγεθος, καὶ ῥᾳθυμία ἀπὸ τρυφῆς προσγινομένη, καὶ πολλὰ ἕτερα πρὸς τούτοις, συμπνίγει τὰ καταβαλλόμενα σπέρματα· πολλάκις δὲ ἡ τῶν ἀκανθῶν πυκνότης οὐδὲ μέχρι τῆς ἐπιφανείας ἀφίησι τὸ σπειρόμενον πεσεῖν. Ἤδη δὲ καὶ θλίψεως ὑπερβολή, καὶ πενίας ἀνάγκη, καὶ ἐπήρειαι συνεχεῖς, καὶ ἄλλα τοιαῦτα τοῖς προτέροις

compositos, atque uno verbo per omnia alia supra enumerata, bellum inspectantis animo accendatur, et machinamenta illum undique circumsistant, undenam respirare poterit tot illi circumpositis laqueis? quas inveniat latebras, non dico, ne vi capiatur (id quippe non admodum difficile est), sed ut animum suum a fœdis cogitationibus imperturbatum custodiat? Mitto honores, innumerorum causas malorum. Etenim qui a mulieribus deferuntur, temperantiæ assiduitate enervantur; attamen ii sæpe dejiciunt eum, qui contra tales insidias perpetuo vigilare nescit. Honores autem a viris delatos nisi quis magna cum animi constantia exceperit, a duobus contrariis morbis corripitur, a servitute scilicet quæ ex adulatione nascitur, et ab arrogantiæ insania, dum adulatoribus suis se subjicere cogitur, et ex honoribus per eos delatis adversus tenuiores inflatur, et in amentiæ barathrum dejicitur.

[III.] Hæc quidem a nobis dicta sunt: quam vero damnosa sint, nonnisi expertus probe discere potest. Neque enim hæc tantum, sed longe his plura et periculosiora iis qui in medio versantur accidere necesse fuerit. Qui vero solitudinem colit, horum omnium immunitatem consequitur: si quando absurda cogitatio quid simile ipsi repræsentaverit, imbecilla tamen est phantasia, quæ cito possit exstingui, quia nulla extrinsecus flammæ materia ex oculorum aspectu suppeditatur. Ac monachus quidem sibi soli timet; si vero de aliis quandoque curare cogatur, certe paucissimi illi sunt; sin plures fuerint, at multo minores numero quam ii qui in Ecclesiis versantur, atque ii multo leviorem præfecto suo sollicitudinem exhibent, non ob paucitatem tantum, sed quoniam omnes a sæcularibus rebus vacui degunt, nec liberos, nec uxorem, neque ullam hujuscemodi curam susceperunt. Id porro illos admodum præfectis morigeros efficit, et communi domicilio uti suadet, quo facile possunt eorum delicta et cognosci exacte et emendari: quod non modicum confert ad virtutis incrementum; *utilissima enim* magistri perpetua sollicitudo. [IV.] Eorum vero, qui sacerdoti subsunt, maxima pars sæcularibus curis sunt addicti, quod illos ad spiritualia opera peragenda segniores reddit. Unde et doctorem necesse est singulis, ut ita dicam, diebus sementem jacere, ut assiduitate illa possit doctrinæ verbum ab auditoribus retineri. Etenim divitiæ ingentes, potentiæ magnitudo, segnities ex voluptate nata, multaque alia jactum semen suffocant: sæpe vero spinarum frequentia, ne ad superficiem quidem terræ semen cadere sinit. Hinc vero ærumnarum magnitudo, vis paupertatis, molestiæ assiduæ, aliaque hujusmodi, prioribus contraria, a divinorum studio

ἐναντία, ἀπάγει τῆς περὶ τὰ θεῖα σπουδῆς. Τῶν δὲ ἁμαρτημάτων οὐδὲ τὸ πολλοστὸν αὐτοῖς μέρος δυνατὸν γενέσθαι καταφανές· πῶς γὰρ, ὧν τοὺς πλείονας οὐδὲ ἐκ προσόψεως ἴσασι;

Καὶ τὰ μὲν πρὸς τὸν λαὸν αὐτῷ τοσαύτην ἔχει τὴν ἀμηχανίαν· εἰ δέ τις τὰ πρὸς τὸν Θεὸν ἐξετάσειεν, οὐδὲν ὄντα εὑρήσει ταῦτα· οὕτω μείζονος καὶ ἀκριβεστέρας ἐκεῖνα δεῖται τῆς σπουδῆς. Τὸν γὰρ ὑπὲρ ὅλης τῆς πόλεως, καὶ τί λέγω πόλεως; πάσης μὲν οὖν τῆς οἰκουμένης πρεσβεύοντα, καὶ δεόμενον ταῖς ἁπάντων ἁμαρτίαις ἵλεων γενέσθαι τὸν Θεὸν, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀπελθόντων, ποῖόν τινα εἶναι χρή; Ἐγὼ μὲν γὰρ καὶ τὴν Μωϋσέως καὶ τὴν Ἠλιοῦ παῤῥησίαν οὐδέπω πρὸς τὴν τοσαύτην ἱκετηρίαν ἀρκεῖν ἡγοῦμαι. Καὶ γὰρ ὥσπερ τὸν ἅπαντα κόσμον πεπιστευμένος, καὶ αὐτὸς ὢν ἁπάντων πατὴρ, οὕτω πρόσεισι τῷ Θεῷ, δεόμενος τοὺς ἁπανταχοῦ πολέμους σβεσθῆναι, λυθῆναι τὰς ταραχὰς, εἰρήνην, εὐετηρίαν, πάντων τῶν ἑκάστῳ κακῶν ἐπικειμένων καὶ ἰδίᾳ καὶ δημοσίᾳ ταχεῖαν αἰτῶν ἀπαλλαγήν. Δεῖ δὲ πάντων αὐτὸν, ὑπὲρ ὧν δεῖται, τοσοῦτον διαφέρειν ἐν ἅπασιν, ὅσον τὸν προεστῶτα τῶν προστατευομένων εἰκός. Ὅταν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καλῇ καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν, καὶ τοῦ κοινοῦ πάντων συνεχῶς ἐφάπτηται Δεσπότου, ποῦ τάξομεν αὐτὸν, εἰπέ μοι; πόσην δὲ αὐτὸν ἀπαιτήσομεν καθαρότητα, καὶ πόσην εὐλάβειαν; Ἔννόησον γὰρ ὁποίας τὰς ταῦτα διακονουμένας χεῖρας εἶναι χρὴ, ὁποίαν τὴν γλῶτταν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα, τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτον πνεῦμα ὑποδεξαμένην ψυχήν. Τότε καὶ ἄγγελοι παρεστήκασι τῷ ἱερεῖ, καὶ οὐρανίων δυνάμεων ἅπαν τὸ βῆμα καὶ ὁ περὶ τὸ θυσιαστήριον πληροῦται τόπος εἰς τιμὴν τοῦ κειμένου. Καὶ τοῦτο ἱκανὸν μὲν καὶ ἐξ αὐτῶν πεισθῆναι τῶν ἐπιτελουμένων τότε· ἐγὼ δὲ καί τινος ἤκουσα διηγουμένου ποτὲ, ὅτι αὐτῷ τις πρεσβύτης, θαυμαστὸς ἀνὴρ καὶ ἀποκαλύψεις ὁρᾶν εἰωθὼς, ἔλεγεν ὄψεως ἠξιῶσθαι τοιαύτης ποτὲ, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν, στολὰς ἀναζεβλημένων λαμπρὰς, καὶ τὸ θυσιαστήριον κυκλούντων, καὶ κάτω νευόντων, ὡς ἂν εἰ στρατιώτας τις βασιλέως παρόντος ἑστηκότας ἴδοι· καὶ ἔγωγε πείθομαι. Καὶ ἕτερος δέ τις ἐμοὶ διηγήσατο, οὐ παρ' ἑτέρου μαθὼν, ἀλλ' αὐτὸς ἰδεῖν ἀξιωθεὶς καὶ ἀκοῦσαι, ὅτι τοὺς μέλλοντας ἐνθένδε ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅταν ἀποπνεῖν μέλλωσι, δορυφοροῦντες αὐτοὺς οἱ' ἐκεῖνο τὸ λῃστὲν ἀπάγουσιν ἐνθένδε ἄγγελοι. Σὺ δὲ οὐδέπω φρίττεις εἰς οὕτως ἱερὰν τελετὴν τοιαύτην εἰσάγων ψυχὴν, καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια εἰς τὸ τῶν ἱερέων ἀναφέρων ἀξίωμα, ὃν καὶ τοῦ λοιποῦ χοροῦ τῶν δαιτυμόνων ἐξέωσεν ὁ Χριστός; Φωτὸς γὰρ δίκην τὴν οἰκουμένην καταυγάζοντος λάμπειν δεῖ τοῦ ἱερέως τὴν ψυχήν· ἡ δὲ ἡμετέρα τοσοῦτον ἔχει περιχεόμενον

abducunt. Peccatorum autem ne tantilla quidem pars potest in eorum notitiam venire : quomodo enim, cum maximam eorum partem ne de facie quidem norint?

Ac quæ ad populum quidem spectant, his sunt perplexa difficultatibus. Quodsi quis ea quæ ad Deum pertinent, exploraverit, priora nihil prorsus esse videbuntur : ita majorem hæc diligentioremque curam postulant. Nam qui pro tota civitate, et quid dico civitate? imo pro universa terra oratorem agit, Deoque supplicat ut omnium peccatis sit propitius, non vivorum tantum, sed etiam eorum qui obierunt, qualem, quæso, oportet esse? Equidem neque Moysis, neque Heliæ fiduciam ad hujusmodi supplicationem sufficere posse putaverim. Etenim ac si mundus totus sibi concreditus sit, ac si omnium pater ipse sit, sic ad Deum accedit, rogans omnia mundi bella exstingui, tumultus sedari, pacem, prosperitatem, omnium singulis imminentium, qua privatim, qua publice malorum celerem depulsionem. Oportet autem illum singulos, pro quibus precatur, adeo in omnibus antecellere, ut præfectus subditis præcellere debet. Cum autem Spiritum sanctum invocaverit, et horrendum illud sacrificium obtulerit, et communem omnium Dominum assidue tractaverit, quo illum, quæso, in ordine constituemus? quamnam ab illo puritatem, quam pietatem exigemus? Cogita quales oporteat esse manus illas, qualem eam linguam, quæ illa verba effundat, qua denique non puriorem sanctioremque illam animam, quæ tantum Spiritum suscipiat. Tunc angeli sacerdoti adsunt, tunc cœlestium Virtutum ordo totum altare, ac vicinum altari locum in illius qui ibi jacet honorem replet : idque vel ex iis, quæ tunc peraguntur, credibile est. Ego vero aliquem olim narrantem audivi, quemdam senem, virum admirabilem ac revelationibus assuetum, dixisse, visione hujusmodi se quodam tempore dignum habitum fuisse : scilicet multitudinem angelorum derepente vidisse, quantum ejus facultas ferebat, splendidis vestibus indutorum, et altare circumdantium, inclinato capite, ac si quis milites præsente Imperatore stantes videret : quod et ipse mihi persuadeo. Alius item narravit mihi, non ab alio edoctus, sed cum ipse vidisset et audisset, scilicet eos qui ex hac vita migraturi sunt, si mysteriis pura conscientia participaverint, animam efflaturos, ab angelis satellitum more ipsos, ob illud quod acceperunt, stipantibus illinc abduci. Tu vero nondum exhorrescis, hujusmodi animam in tam sacrum mysterium introducens, et sordidis indutum vestibus (*Matth.* 22. 13) in sacerdotum dignitatem illum promovens, quem a reliquo convivarum choro Christus expulit? Animam quippe sacerdotis instar lucis totum orbem illustrantis splendere oportet. Nostra autem anima ob pravam conscientiam tantas habet circumfusas

αὐτῇ σκότος ἐκ τῆς πονηρᾶς συνειδήσεως, ὡς ἀεὶ καταδύεσθαι καὶ μηδέποτε δύνασθαι μετὰ παῤῥησίας εἰς τὸν αὐτῆς ἀτενίσαι Δεσπότην. Οἱ ἱερεῖς τῆς γῆς εἰσιν ἄλες· τὴν δὲ ἡμετέραν ἄνοιαν καὶ τὴν ἐν ἅπασιν ἀπειρίαν τίς ἂν ἐνέγκοι ῥᾳδίως, πλὴν ὑμῶν τῶν καθ' ὑπερβολὴν ἡμᾶς ἀγαπᾶν εἰθισμένων; Οὐ γὰρ μόνον καθαρὸν οὕτως, ὡς τηλικαύτης ἠξιωμένον διακονίας, ἀλλὰ καὶ λίαν συνετὸν καὶ πολλῶν ἔμπειρον εἶναι δεῖ, καὶ πάντα μὲν εἰδέναι τὰ βιωτικὰ τῶν ἐν μέσῳ στρεφομένων οὐχ ἧττον, πάντων δὲ ἀπηλλάχθαι μᾶλλον τῶν τὰ ὄρη κατειληφότων μοναχῶν. Ἐπειδὴ γὰρ ἀνδράσιν αὐτὸν ὁμιλεῖν ἀνάγκη καὶ γυναῖκας ἔχουσι, καὶ παῖδας τρέφουσι, καὶ θεράποντας κεκτημένοις, καὶ πλοῦτον περιβεβλημένοις πολὺν, καὶ δημόσια πράττουσι, καὶ ἐν δυναστείαις οὖσι, ποικίλον αὐτὸν εἶναι δεῖ· ποικίλον δὲ λέγω, οὐχὶ ὕπουλον, οὐδὲ κόλακα, οὐδὲ ὑποκριτὴν, ἀλλὰ πολλῆς μὲν ἐλευθερίας καὶ παῤῥησίας ἀνάμεστον, εἰδότα δὲ καὶ συγκατιέναι χρησίμως, ὅταν ἡ τῶν πραγμάτων ὑπόθεσις τοῦτο ἀπαιτῇ, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. Οὐ γὰρ ἔστιν ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασιν· ἐπειδὴ μηδὲ ἰατρῶν πᾶσιν ἑνὶ νόμῳ πᾶσι τοῖς κάμνουσι προσφέρεσθαι καλὸν, μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης. Καὶ γὰρ καὶ ταύτην τὴν ναῦν συνεχεῖς περιστοιχίζονται χειμῶνες· οἱ δὲ χειμῶνες οὗτοι οὐκ ἔξωθεν προσβάλλουσι μόνον, ἀλλὰ καὶ ἔνδοθεν τίκτονται· καὶ πολλῆς χρεία καὶ συγκαταβάσεως καὶ ἀκριβείας. Πάντα δὲ ταῦτα τὰ διάφορα εἰς ἓν τέλος ὁρᾷ, τοῦ Θεοῦ τὴν δόξαν, τῆς Ἐκκλησίας τὴν οἰκοδομήν.

Μέγας ὁ τῶν μοναχῶν ἀγὼν, καὶ πολὺς ὁ μόχθος· ἀλλ' εἴ τις τῇ καλῶς διοικουμένῃ ἱερωσύνῃ τοὺς ἐκεῖθεν ἱδρῶτας παραβάλοι, τοσοῦτον εὑρήσει τὸ διάφορον, ὅσον ἰδιώτου καὶ βασιλέως τὸ μέσον. Ἐκεῖ μὲν γὰρ εἰ καὶ πολὺς ὁ πόνος, ἀλλὰ κοινὸν τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ ἀγώνισμα· μᾶλλον δὲ τὸ πλέον τῇ τοῦ σώματος κατορθοῦται κατασκευῇ· κἂν μὴ τοῦτο ἰσχυρὸν ᾖ, μένει καθ' ἑαυτὴν ἡ προθυμία, οὐκ ἔχουσα εἰς ἔργον ἐξελθεῖν. Καὶ γὰρ καὶ νηστεῖαι σύντονοι, καὶ χαμευνίαι, καὶ ἀγρυπνίαι, καὶ ἀλουσίαι, καὶ ὁ πολὺς ἱδρὼς, καὶ τὰ λοιπὰ, ὅσα πρὸς τὴν τοῦ σώματος ἐπιτηδεύουσι ταλαιπωρίαν, πάντα οἴχεται, τοῦ κολάζεσθαι μέλλοντος οὐκ ὄντος ἰσχυροῦ. Ἐνταῦθα δὲ καθαρὰ τῆς ψυχῆς ἡ τέχνη, καὶ οὐδὲν τῆς τοῦ σώματος εὐεξίας προσδεῖται, ὥστε δεῖξαι τὴν αὐτῆς ἀρετήν. Τί γὰρ ἡμῖν ἡ τοῦ σώματος ἰσχὺς συμβάλλεται πρὸς τὸ μήτε ὑβριστὰς εἶναι, μήτε ὀργίλους, μήτε προπετεῖς, ἀλλὰ νηφαλίους καὶ σώφρονας καὶ κοσμίους, καὶ τἆλλα πάντα, δι' ὧν ἡμῖν ὁ μακάριος Παῦλος τὴν τοῦ ἀρίστου ἱερέως ἐνεπλήρωσεν εἰκόνα; Ἀλλ' οὐκ ἐπὶ τῆς τοῦ μονάζοντος ἀρετῆς ἔχοι τις ἂν τοῦτο εἰπεῖν· ἀλλὰ καθάπερ τοῖς μὲν θαυματοποιοῖς ὀργάνων δεῖ πολλῶν καὶ τροχῶν καὶ σχοινίων καὶ μαχαιρῶν, ὁ δὲ φιλόσοφος ἅπασαν ἐν τῇ ψυχῇ κειμένην ἔχει τὴν τέχνην, τῶν ἔξωθεν οὐδὲν

tenebras, ut semper se abdat, nec possit unquam cum fiducia Dominum suum obtueri. Sacerdotes sal sunt mundi : nostram vero insipientiam, et in omnibus imperitiam, quis facile tulerit, nisi vos qui nos ultra modum amare consuevistis? [V.] Neque enim purum dumtaxat esse oportet, utpote qui tanto ministerio dignatus sit, sed etiam prudentem et rerum peritum multarum : multa quoque sæcularia nosse debet, non minus quam ii qui in medio rerum versantur, omnibusque tamen exutum magis quam monachi, qui montes occuparunt. Nam cum necesse sit eum cum viris versari, qui et uxores habent, et liberos alunt, et servos possident, qui divitiis circumfluunt, res publicas agunt, et in magistratibus versantur, multiformem illum esse par est : multiformem dico, non subdolum, non adulatorem, non hypocritam; sed multa libertate ac fiducia plenum, qui sese utiliter attemperare sciat, cum id negotiorum conditio postulat : mansuetum item simul et austerum. Non enim uno uti oportet modo erga subditos omnes, quandoquidem nec medicis una erga ægrotos omnes lege uti convenit, neque gubernatori unam tantum cum ventis pugnandi artem callere : etenim hanc quoque navem assidua tempestates jactant undique. Hujusmodi autem procellæ non extrinsecus tantum adoriuntur, sed etiam intrinsecus nascuntur, multaque opus est tum attemperatione, tum diligentia. Hæc porro omnia, diversa licet, finem respiciunt unum, nempe Dei gloriam, atque Ecclesiæ ædificationem.

[VI.] Magnum est monachorum certamen, eorumque labor multus : sed si quis probe administratum sacerdotium cum illorum laboribus conferat, tantum reperiet discrimen, quantum est inter idiotam et regem intervallum. Illic enim etiamsi multus adsit labor, at communis animæ corporisque concertatio; imo potius ex corporis exercitatione major laboris pars perficitur; ac si illud robustum non fuerit, sola et otiosa manet alacritas animi, cum non possit in opus exire; siquidem assiduum jejunium, humi cubatio, vigiliæ, balnei privatio, sudor ingens, cæteraque omnia ad corpus macerandum idonea, statim de medio tolluntur, cum id quod castigandum erat robore careat : hic vero sola puraque ars animi requiritur, neque corporis habitudine est opus, ut animi virtus exhibeatur. Quid enim nobis confert corporis robur, ut ne arrogantes simus, neque iracundi, neque petulantes; sed vigilantes, temperantes, ornati, cæterisque omnibus præditi quibus beatus Paulus (1 *Tim.* 3. 2) optimi sacerdotis imaginem nobis depinxit? [VII.] Verum id de monachi virtute dici nequit : sed quemadmodum iis qui res stupendas exhibent, instrumentis multis est opus, rotis, funiculis et gladiis, philosophus vero totam in mente artem reconditam habet

δεόμενος· οὕτω δὴ καὶ ἐνταῦθα. Ὁ μὲν γὰρ μοναχὸς καὶ τῆς σωματικῆς εὐπαθείας προσδεῖται καὶ τόπων πρὸς τὴν διαγωγὴν ἐπιτηδείων, ἵνα μήτε ἄγαν ἀπωκισμένοι τῆς τῶν ἀνθρώπων ὦσιν ὁμιλίας, καὶ τὴν ἀπὸ τῆς ἐρημίας ἔχωσιν ἡσυχίαν, ἔτι δὲ καὶ τῆς ἀρίστης μὴ ἀμοιρῶσι κράσεως τῶν ὡρῶν· οὐδὲν γὰρ οὕτως ἀφόρητον τῷ κατατρυχομένῳ νηστείαις, ὡς ἡ τῶν ἀέρων ἀνωμαλία. Ἧς δὲ τῶν ἱματίων κατασκευῆς καὶ διαίτης ἕνεκεν ὅσα πράγματα ἀναγκάζονται ἔχειν, πάντα αὐτουργεῖν αὐτοὶ φιλονεικοῦντες, οὐδὲν δέομαι λέγειν νῦν. Ὁ δὲ ἱερεὺς οὐδενὸς τούτων εἰς τὴν ἑαυτοῦ δεήσεται χρείαν, ἀλλ' ἀπερίεργος καὶ κοινὸς ἐν ἅπασίν ἐστι τοῖς οὐκ ἔχουσι βλάβην, τὴν ἐπιστήμην ἅπασαν ἐν τοῖς τῆς ψυχῆς θησαυροῖς ἀποκειμένην ἔχων. Εἰ δὲ τὸ μένειν ἐφ' ἑαυτῶν καὶ τὰς τῶν πολλῶν ὁμιλίας ἐκτρέπεσθαι θαυμάζοι τις, χαρτερίας μὲν τοῦτο δεῖγμα καὶ αὐτὸς εἶναι φαίην ἄν, οὐ μὴν ἁπάσης τῆς ἀνδρείας τῆς ἐν τῇ ψυχῇ τεκμήριον ἱκανόν. Ὁ μὲν γὰρ εἴσω λιμένων ἐπὶ τῶν οἰάκων καθήμενος, οὔπω τῆς τέχνης ἀκριβῆ δίδωσι βάσανον· τὸν δὲ ἐν μέσῳ τῷ πελάγει καὶ τῷ χειμῶνι δυνηθέντα διασῶσαι τὸ σκάφος, οὐδεὶς ὅστις οὐκ ἂν εἶναι φαίη κυβερνήτην ἄριστον. Οὐ τοίνυν ἡμῖν οὐδὲ τὸν μοναχὸν θαυμαστέον ἂν εἴη λίαν καὶ μεθ' ὑπερβολῆς, ὅτι μένων ἐφ' ἑαυτοῦ οὐ ταράττεται, οὐδὲ διαμαρτάνει πολλὰ καὶ μεγάλα ἁμαρτήματα· οὐδὲ γὰρ ἔχει τὰ παραχνίζοντα καὶ διεγείροντα τὴν ψυχήν. Ἀλλ' εἴ τις πλήθεσιν ὅλοις ἑαυτὸν ἐκδεδωκὼς, καὶ τὰς τῶν πολλῶν φέρειν ἁμαρτίας ἀναγκασθείς, ἔμεινεν ἀκλινὴς καὶ στερρὸς, ὥσπερ ἐν γαλήνῃ τῷ χειμῶνι τὴν ψυχὴν διακυβερνῶν, οὗτος κροτεῖσθαι καὶ θαυμάζεσθαι παρὰ πάντων ἂν εἴη δίκαιος· ἱκανὴν γὰρ τῆς οἰκείας ἀνδρείας τὴν δοκιμασίαν ἐπεδείξατο.

Μὴ τοίνυν μηδὲ αὐτὸς θαυμάσῃς, ὅτι τὴν ἀγορὰν φεύγοντες ἡμεῖς καὶ τὰς τῶν πολλῶν συνουσίας, οὐκ ἔχομεν τοὺς κατηγοροῦντας πολλούς· οὐδὲ γὰρ εἰ καθεύδων οὐχ ἡμάρτανον, οὐδ' εἰ μὴ παλαίων οὐκ ἔπιπτον, οὐδ' εἰ μὴ μαχόμενος οὐκ ἐβαλλόμην, θαυμάζειν ἐχρῆν. Τίς γάρ, εἰπέ, τίς δυνήσεται κατεικεῖν καὶ ἀποκαλύψαι τὴν μοχθηρίαν τὴν ἐμήν; ὁ ὄροφος οὗτος καὶ ὁ οἰκίσκος; Ἀλλ' οὐκ ἂν δύναιντο ῥῆξαι φωνήν. Ἀλλ' ἡ μήτηρ ἡ μάλιστα πάντων εἰδυῖα τὰ ἐμά; Μάλιστα μὲν οὐδὲ πρὸς αὐτήν ἐστι μοί τι κοινὸν, οὐδὲ εἰς φιλονεικίαν ἤλθομεν πώποτε. Εἰ δὲ καὶ τοῦτο ἦν συμβὰν, οὐδεμία οὕτως ἐστὶ μήτηρ ἄστοργος καὶ μισότεκνος, ὡς τοῦτον, ὃν ὠδῖνε καὶ ἔτεκε καὶ ἔθρεψε, μηδεμιᾶς ἀναγκαζούσης προφάσεως, μηδὲ βιαζομένου τινὸς, κακίζειν καὶ διαβάλλειν παρὰ πᾶσιν. Ἐπεὶ ὅτι γε, εἴ τις τὴν ἡμετέραν πρὸς ἀκρίβειαν ἐθέλοι βασανίζειν ψυχὴν, πολλὰ αὐτῆς εὑρήσει τὰ σαθρὰ, οὐδὲ αὐτὸς ἀγνοεῖς ὁ μάλιστα πάντων ἡμᾶς τοῖς ἐγκωμίοις ἐπαίρειν παρὰ πᾶσιν εἰωθώς. Καὶ ὅτι γε οὐ μετριάζων ταῦτα λέγω νῦν, ἀνάμνησον σαυτὸν, ὁσάκις εἶπον πρὸς σὲ, λόγου τοιούτου γενομένου πολλάκις ἡμῖν· ὅτι, εἴ τις αἱρεσίν μοι προτίθει, ποῦ μᾶλλον βουλοίμην εὐδοκιμεῖν, ἐν τῇ τῆς Ἐκκλησίας

externisque rebus non indiget : ita et hoc loco se res habet. Nam monachus quidem corporis incolumitate opus habet, itemque locis ad vitam hanc instituendam idoneis, ut neque nimis ab hominum consortio remotus, tamen solitudinis quietem nanciscatur, insuperque temperatis anni tempestatibus non careat : nihil quippe sic intolerabile ei qui jejuniis maceratur, quam aeris intemperies. Non opus ol loquar hic de vestium et victus apparatu, quem ut sibi monachi suppeditent, magnopere laborant, suis ipsi manibus omnia conferre studentes. Sacerdos autem nullius eorum in usum suum opus habebit, utpote qui non peculiarem sibi, sed communem vitam ducat in iis rebus, quae damnum non afferant; totamque scientiam in animae thesauris reconditam habeat. [VIII.] Quodsi quis vitam illam admiretur, qua quis intra se ipsum manens, hominum consortium aversatur, ego quoque illud sapientiae specimen esse fatear; non tamen idoneum argumentum virtutis animi. Nam qui in portu ad gubernacula sedet, nondum idoneum artis suae periculum fecit : eum vero qui in medio pelago, saeviente tempestate, navem eripere potuit, nemo est quin gubernatorem optimum dicat. Proinde nec monachus admodum laudandus, quod apud se vivens neque turbetur, neque in nulla magnaque peccata labatur; neque enim adsunt quae animum lacessant et incitent. Sed si quis sese in turbas conjecerit, et multorum ferre peccata coactus, immotus firmusque manserit, in tempestate quasi tranquillo tempore animum gubernans suum, hic apud omnes plausu et admiratione dignus : idoneum quippe virtutis suae experimentum dedit.

Ne itaque mireris, quod forum multorumque consortium fugientes, accusatores multos non habeamus : neque enim si dormiens non peccarem, aut non colluctans non caderem, aut non pugnans non ferirer, ideo mirari oporteret. Quis, quaeso, quis improbitatem meam revelare poterit? an tectum, an aedes? At ne vocem quidem emittere possint. An mater potius, cui res omnes meae notae sunt? At ne cum illa quidem mihi consortium est, neque inter nos ulla umquam rixa suborta est : quod etiamsi accidisset, nulla mater sic amoris et affectus erga prolem expers fuerit, ut quem parturivit, peperit, educavit, nulla impellente causa nulloque cogente, accuset atque criminetur apud omnes. Nam si quis alioquin hanc animam nostram diligenter explorare voluerit, mala multa reperiet, ipseque non ignoras, qui maxime omnium nos laudibus apud universos efferre soles. Quod autem non modestiae causa sic loquar, recordare quoties tibi dixerim, cum talis sermo saepe inter nos incideret, si optio mihi daretur, ubinam magis splendescere vellem, in Ecclesiae ne praefectura, an in monastica

προστασίᾳ, ἢ κατὰ τὸν τῶν μοναχῶν βίον, μυρίαις ἂν ψήφοις τὸ πρότερον ἐδεξάμην ἔγωγε. Οὐ γὰρ διέλιπόν ποτε μακαρίζων πρὸς σὲ τοὺς ἐκείνης τῆς διακονίας προστῆναι δυνηθέντας καλῶς. Ὅτι δὲ, ὅπερ ἐμακάριζον, οὐκ ἂν ἔφυγον, ἱκανῶς ἔχων μετελθεῖν, οὐδεὶς ἀντερεῖ. Ἀλλὰ τί πάθω; οὐδὲν γὰρ οὕτως ἄχρηστον εἰς Ἐκκλησίας προστασίαν ὡς αὕτη ἡ ἀργία καὶ ἡ ἀμελητηρία, ἣν ἕτεροι μὲν ἄσκησίν τινα θαυμαστὴν εἶναι νομίζουσιν· ἐγὼ δὲ αὐτὴν ὥσπερεὶ παραπέτασμα τῆς οἰκείας ἔχω ραυλότητος, τὰ πλείονα τῶν ἐλαττωμάτων τῶν ἐμαυτοῦ ταύτῃ συγκαλύπτων, καὶ οὐκ ἐῶν φαίνεσθαι. Ὁ γὰρ ἐνθισθεὶς τοσαύτης ἀπολαύειν ἀπραγμοσύνης, καὶ ἐν ἡσυχίᾳ διάγειν πολλῇ, κἂν μεγάλης ᾖ φύσεως, ὑπὸ τῆς ἀνασκησίας θορυβεῖται καὶ ταράττεται, καὶ τῆς οἰκείας δυνάμεως περικόπτει μέρος οὐ μικρὸν τὸ ἀγύμναστον. Ὅταν δὲ ὁμοῦ καὶ βραδείας ᾖ διανοίας, καὶ τῶν τοιούτων λόγων καὶ ἀγώνων ἄπειρος, τοῦτο δὴ τὸ ἡμέτερον, τῶν λιθίνων οὐδὲν διοίσει, ταύτην δεξάμενος τὴν οἰκονομίαν. Διὰ τοῦτο τῶν ἐξ ἐκείνης ἐρχομένων τῆς παλαίστρας εἰς τοὺς ἀγῶνας τούτους ὀλίγοι διαφαίνονται· οἱ δὲ πλείους ἐλίγχονται καὶ καταπίπτουσι, καὶ πράγματα ὑπομένουσιν ἀηδῆ καὶ χαλεπά. Καὶ οὐδὲν ἄπεικός. Ὅταν γὰρ μὴ περὶ τῶν αὐτῶν οἵ τε ἀγῶνες ὦσι καὶ τὰ γυμνάσια, τῶν ἀγυμνάστων ὁ ἀγωνιζόμενος οὐδὲν διενήνοχε. Δοξῆς δεῖ μάλιστα καταφρονεῖν τὸν εἰς τοῦτο ἐρχόμενον τὸ στάδιον, ὀργῆς ἀνώτερον εἶναι, συνέσεως ἔμπλεων πολλῆς· τούτῳ δὲ τῷ τὸν μονήρη στέργοντι βίον οὐδεμία γυμνασίας ὑπόθεσις πρόκειται. Οὔτε γὰρ τοὺς παροξύνοντας ἔχει πολλοὺς, ἵνα μελετήσῃ κολάζειν τοῦ θυμοῦ τὴν δύναμιν· οὔτε τοὺς μακαρίζοντας καὶ κροτοῦντας, ἵνα παιδευθῇ τοὺς παρὰ τῶν πολλῶν διαπτύειν ἐπαίνους· τῆς τε ἐν ταῖς Ἐκκλησίαις ἀπαιτουμένης συνέσεως οὐ πολὺς αὐτοῖς ὁ λόγος. Ὅταν οὖν ἔλθωσιν εἰς τοὺς ἀγῶνας, οὓς μὴ μεμελετήκασι τὴν πεῖραν, ἀποροῦνται, πλιγγιῶσιν, εἰς ἀμηχανίαν ἐκπίπτουσι, καὶ πρὸς τῷ μηδὲν ἐπιδοῦναι πρὸς ἀρετὴν, καὶ ἅπερ ἔχοντες ἦλθον πολλοὶ πολλάκις ἀπώλεσαν.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ· Τί οὖν; τοὺς ἐν μέσῳ στρεφομένους, καὶ πραγμάτων φροντίζοντας βιωτικῶν, καὶ τετριμμένους πρὸς μάχας καὶ λοιδορίας, καὶ μυρίας ἀνωτητος γέμοντας, καὶ τρυφᾶν εἰδότας, ἐπιστήσομεν τῇ τῆς Ἐκκλησίας οἰκονομίᾳ;

ΧΡΥΣ. Εὐφήμει, ἔφην, ὦ μακάριε σύ· τούτους γὰρ οὐδ' εἰς νοῦν βάλλεσθαι δεῖ, ὅταν ἱερέων ἐξέτασις ᾖ· ἀλλ' εἴ τις μετὰ τοῦ πᾶσιν ὁμιλεῖν καὶ συναναστρέφεσθαι δύναιτο τὴν καθαρότητα καὶ τὴν ἀταραξίαν, τήν τε ἡμερότητα καὶ τὴν καρτερίαν καὶ νῆψιν, καὶ τὰ ἄλλα τὰ τοῖς μοναχοῖς προσόντα ἀγαθὰ, φυλάττειν ἀκέραια καὶ ἀπαρασάλευτα μᾶλλον τῶν μεμονωμένων ἐκείνων· ὡς ὅ γε πολλὰ μὲν ἔχων ἐλαττώματα, δυνάμενος δὲ αὐτὰ τῇ μονώσει καλύπτειν καὶ ποιεῖν ἄπρακτα τῷ μηδενὶ καταμιγνύναι ἑαυτὸν, οὗτος εἰς μέσον ἐλθὼν, οὐδὲν ἕτερον ἢ τὸ καταγέλαστος γενέσθαι κερδανεῖ, καὶ

vita, me prius illud vitæ genus mille calculis antepositurum : neque enim finem faciebam umquam eos apud te suspiciendi, qui illo ministerio probe fungi possent. Quod autem illud quod tanti faciebam non declinaturus fuissem, si modo rite administrando par fuissem, nemo negaverit. Verum quid faciam? Nihil enim minus aptum ad Ecclesiæ præfecturam, quam hæc socordia et incuria, quam alii exercitationem quamdam admirabilem esse putant : ego vero illam ceu velamen ignaviæ meæ habeo, qua defectuum meorum partem maximam obtego, neque sese prodere patior. Nam qui tanto est otio et tantæ quieti assuetus, quantumvis magna sit præditus indole, peritiæ defectu statim perturbatur et angitur, ac non minimam virtutis ejus partem resecat exercitationis inopia. Cum autem simul et tardioris ingenii et verborum certaminumque hujusmodi expers fuerit, quæ sane nostra conditio est, a lapidibus nihil differt, si hanc suscipiat administrationem. Quamobrem pauci admodum splendent, qui ex palæstra illa in hæc certamina descendant : ex iis vero complures sese quales sint produnt, animo concidunt, resque et ingratas et acerbas ferre coguntur. Neque id mirum insolensve est. Cum enim certamina exercitationesque non circa res solitas versantur, tum is qui decertat ab inexercitatis nihil differt. Gloriam in primis contemnat oportet is qui in hoc stadium descendit, ira superior sit, prudentia plenus multa; huic autem qui monasticam amplectitur vitam, nulla exercitationis occasio proponitur : neque enim adsunt multi, qui illum ad iram concitent, ut iræ vim coercere studeat : neque qui illum mirentur, ipsique plaudant, ut popularem auram respicere discat : prudentiæ autem, quæ in Ecclesia administranda requiritur, non magna apud illos cura habetur. Cum igitur ad certamina descenderint, quorum nullum antea periculum fecerunt, hærent, vertigine et consilii inopia laborant : ac præterquam quod ad virtutem nullum progressum faciunt, etiam eorum, quæ prius habebant, plerumque jacturam faciunt.

Tum BASILIUS : Quid igitur? an eos, qui in medio rerum versantur, qui de sæcularibus negotiis curam gerunt, qui in rixis et conviciis ætatem contriverunt, qui ingenti dexteritate pleni sunt, qui deliciis assuevere, Ecclesiæ regimini præficiemus?

CHRYSOST. Bona verba, quæso, o vir beate. Hi quippe ne in mentem quidem venire debent, cum de sacerdotum delectu agitur; sed si quis in omnium consortio et contubernio possit puritatem, tranquillitatem, sanctitatem, patientiam et sobrietatem, necnon alia quæ monachis insunt bona, integerrima et inconcussa magis, quam monachi ipsi servare. Quandoquidem is qui vitiis multis laborat, cum possit illa in solitudine tegere, curareque ne in opus erumpant, si cum nullo consortium habeat; is, inquam, si in medium prodeat, nihil aliud lucrabitur, nisi

κινδυνεύσει μειζόνως· ὃ μικροῦ δεῖν ἐπάθομεν ἂν ἡμεῖς, εἰ μὴ ἡ τοῦ Θεοῦ κηδεμονία τὸ πῦρ ταχέως τῆς ἡμετέρας ἀνέσχε κεφαλῆς. Οὐ γὰρ ἔστι λαθεῖν τὸν οὕτω διακείμενον, ὅταν ἐν τῷ φανερῷ καταστῇ, ἀλλὰ πάντα τότε ἐλέγχεται, καὶ καθάπερ τὰς μεταλλικὰς ὕλας δοκιμάζει τὸ πῦρ, οὕτω καὶ ἡ τοῦ κλήρου βάσανος τὰς τῶν ἀνθρώπων διακρίνει ψυχάς, κἂν ὀργίλος τις ᾖ, κἂν μικρόψυχος, κἂν φιλόδοξος, κἂν ἀλαζών, κἂν ὅ τι δήποτε ἕτερον, ἅπαντα ἐκκαλύπτει καὶ γυμνοῖ ταχέως τὰ ἐλαττώματα· οὐ γυμνοῖ δὲ μόνον, ἀλλὰ καὶ χαλεπώτερα καὶ ἰσχυρότερα αὐτὰ καθίστησι. Καὶ γὰρ τὰ τοῦ σώματος τραύματα προστριβόμενα δυσίατα γίνεται, καὶ τὰ τῆς ψυχῆς πάθη κνιζόμενα καὶ παροξυνόμενα μᾶλλον ἀγριαίνεσθαι πέφυκε, καὶ τοὺς ἔχοντας αὐτὰ πλείονα ἁμαρτάνειν βιάζεται. Καὶ γὰρ εἰς ἔρωτα δόξης ἐπαίρει τὸν μὴ προσέχοντα, καὶ εἰς ἀλαζονείαν, καὶ εἰς χρημάτων ἐπιθυμίαν· ὑποσύρει δὲ καὶ εἰς τρυφὴν καὶ εἰς ἄνεσιν καὶ ῥᾳθυμίαν, καὶ κατὰ μικρὸν εἰς τὰ περαιτέρω τούτων ἐκ τούτων τικτόμενα κακά. Πολλὰ γὰρ ἔστιν ἐν τῷ μέσῳ τὰ δυνάμενα ψυχῆς ἀκρίβειαν ἐκλῦσαι, καὶ τὸν ἐπὶ εὐθείας διακόψαι δρόμον· καὶ πρῶτον ἁπάντων αἱ πρὸς τὰς γυναῖκας ὁμιλίαι. Οὐδὲ γὰρ ἔστι τὸν προεστῶτα καὶ παντὸς τοῦ ποιμνίου κηδόμενον τοῦ μὲν τῶν ἀνδρῶν ἐπιμελεῖσθαι μέρους, τὸ δὲ τῶν γυναικῶν παρορᾶν· ὃ μάλιστα δεῖται προνοίας πλείονος διὰ τὸ πρὸς τὰς ἁμαρτίας εὐόλισθον· ἀλλὰ δεῖ καὶ τῆς τούτων ὑγιείας, εἰ καὶ μὴ ἐκ πλείονος, ἀλλ' οὖν ἐξ ἴσης φροντίζειν τῆς μοίρας τὸν λαχόντα τὴν ἐπισκοπήν διοικεῖν. Καὶ γὰρ ἐπισκοπεῖσθαι αὐτὰς ἡνίκα ἂν κάμνωσι, καὶ παρακαλεῖν ἡνίκα ἂν πενθῶσι, καὶ ἐπιπλήττειν ῥᾳθυμούσαις, καὶ βοηθεῖν καταπονουμέναις ἀνάγκη. Τούτων δὲ γινομένων, πολλὰς ἂν εὕροι τὰς παρεισδύσεις ὁ πονηρὸς, εἰ μὴ ἠκριβωμένῃ τις ἑαυτὸν ταγίσαις φυλακῇ. Καὶ γὰρ ὀφθαλμὸς βάλλει καὶ θορυβεῖ ψυχήν, οὐχ ὁ τῆς ἀκολάστου μόνον, ἀλλὰ καὶ ὁ τῆς σώφρονος, καὶ κολακεῖαι μαλάσσουσι, καὶ τιμαὶ καταδουλοῦνται· καὶ ἀγάπη ζέουσα, τοῦτο δὴ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, μυρίων γέγονεν αἴτιον κακῶν τοῖς οὐκ ὀρθῶς χρησαμένοις αὐτῇ. Ἤδη δὲ καὶ φροντίδες συνεχεῖς ἤμβλυναν τὸ τῆς διανοίας ὀξύ, καὶ μολίβδου βαρύτερον τὸν πτηνὸν ἀπειργάσαντο· καὶ θυμὸς δὲ προσπεσὼν καπνοῦ δίκην τὰ ἔνδον κατέσχεν ἅπαντα. Τί ἂν τις εἴποι τὰς ἐκ τῆς λύπης βλάβας, τὰς ὕβρεις, τὰς ἐπηρείας, τὰς μέμψεις, τὰς παρὰ τῶν μειζόνων, τὰς παρὰ τῶν ἐλαττόνων, τὰς παρὰ τῶν συνετῶν, τὰς παρὰ τῶν ἀσυνέτων; Τοῦτο γὰρ δὴ μάλιστα τὸ γένος τῆς ὀρθῆς ἀπεστερημένον κρίσεως μεμψίμοιρόν τέ ἐστι, καὶ οὐκ ἂν εὐκόλως ἀπολογίας ἀνάσχοιτό ποτε. Τὸν δὲ προεστῶτα καλῶς οὐδὲ τούτων δεῖ καταφρονεῖν, ἀλλὰ πρὸς ἅπαντας, περὶ ὧν ἂν ἐγκαλῶσι, διαλύεσθαι μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ πραότητος, συγγινώσκοντα μᾶλλον αὐτοῖς τῆς ἀλόγου μέμψεως ἢ ἀγανακτοῦντα καὶ ὀργιζόμενον. Εἰ γὰρ ὁ μακάριος Παῦλος, μὴ κλοπῆς ὑπόνοιαν λάβῃ παρὰ τοῖς μαθηταῖς,

ut deridendum se propinet, magisque periclitabitur; quod nobis propemodum accidisset, nisi Dei providentia ignem a capite nostro citius abegisset. Neque enim qui sic affectus est latere potest, palam constitutus, sed qui sit statim deprehenditur. Ac quemadmodum metallicas materias ignis probat, sic cleri probatio humanos discernit animos. Ac si quis iracundus, si avarus, si vanæ gloriæ cupidus, si arrogans, sive alio quopiam morbo sit affectus, omnia retegit, vitiaque sua cito revelat: nec revelat tantum, sed graviora et valentiora efficit. Etenim corporis vulnera, attrita, curatu difficiliora evadunt: itemque animi morbi, si perfrices irritesque, exasperari consueverunt, illisque correptos plura peccare cogunt. Nam ad gloriæ cupidinem efferunt eum, qui sibi non attendit, necnon ad arrogantiam et pecuniarum cupiditatem, in delicias quoque pertrahunt, in ignaviam, in segnitiem, paulatimque ad ulteriora, quæ ab illis gignuntur, mala. Multa quippe in medio sunt, quæ possint animæ diligentiam solvere, et rectum cursum sistere: atque in primis colloquia cum mulieribus. Neque potest antistes, qui totius gregis curam suscipit, viris tantum curandis operam dare, mulieres vero negligere: qua in re majore opus est providentia, quod ad peccandum hic sexus proclivis sit; sed oportet eum qui episcopatum sortitus sit, earum curandæ incolumitati, si non majorem, certe parem sollicitudinem impendere. Necesse quippe est illas invisere ægrotantes, consolari lugentes, increpare socordes, juvare laborantes. Dum hæc vero fiunt, multos adrependi aditus inveniet malignus ille, nisi quis accurata se custodia muniat. Etenim non impudicæ solum, sed pudicæ etiam mulieris oculus animum ferit, adulationes emolliunt, honores in servitutem redigunt: charitasque fervens, bonorum causa omnium, non recte illa utentibus malorum plurimorum causa efficitur. Aliquando etiam sollicitudines frequentes mentis acumen hebetant, volucremque plumbo graviorem reddunt. Denique ira, quæ animum invaserit, fumi instar interiora obtinet omnia. Quis tandem recenseat ex ægritudine animi nata damna, contumelias, molestias, querimonias, tum dignorum, tum vulgarium, tum prudentium, tum imprudentium? Hoc enim maxime genus eorum, qui recto animi judicio carent, querelis deditum est, nec facile excusationem admittit. [IX.] Probum vero antistitem ne hos quidem contemnere par est, sed apud omnes de oblatis criminationibus sese purgare, idque multa cum comitate et mansuetudine, iniquas criminationes potius condonantem, quam indigne et ægre ferentem. Si enim beatus Paulus ne in furti apud discipulos suscipionem veniret timuit, ideoque et alios in

ἔδωσε, καὶ διὰ τοῦτο προσέλαβε καὶ ἑτέρους εἰς τὴν τῶν χρημάτων διακονίαν, « Ἵνα μή τις ἡμᾶς μωμήσηται, φησὶν, ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν· » πῶς ἡμᾶς οὐ πάντα δεῖ ποιεῖν ὥστε τὰς πονηρὰς ἀναιρεῖν ὑποψίας, κἂν ψευδεῖς, κἂν ἀλόγιστοι τυγχάνωσιν οὖσαι, κἂν σφόδρα τῆς ἡμετέρας ἀπέχωσι δόξης; Οὐδενὸς γὰρ ἁμαρτήματος τοσοῦτον ἡμεῖς ἀφεστήκαμεν, ὅσον κλοπῆς ὁ Παῦλος. Ἀλλ' ὅμως καὶ τοσοῦτον ἀφεστηκὼς τῆς πονηρᾶς ταύτης πράξεως, οὐδὲ οὕτως ἠμέλησε τῆς τῶν πολλῶν ὑπονοίας, καίτοι λίαν οὖσης ἀλόγου καὶ μανιώδους· μανίας γὰρ ἦν τοιοῦτον ὑποπτεῦσαί τι περὶ τῆς μακαρίας ἐκείνης καὶ θαυμαστῆς κεφαλῆς. Ἀλλ' ὅμως οὐδὲν ἧττον καὶ ταύτης τῆς ὑποψίας τῆς οὕτως ἀλόγου, καὶ ἣν οὐδεὶς ἂν μὴ παραπαίων ὑπώπτευσε, πόρρωθεν ἀναιρεῖ τὰς αἰτίας· καὶ οὐ διέπτυσε τὴν τῶν πολλῶν ἄνοιαν, οὐδὲ εἶπε, Τίνι γὰρ ἂν ἐπέλθοι ποτὲ τοιαῦτα περὶ ἡμῶν ὑπονοεῖν, καὶ ἀπὸ τῶν σημείων καὶ ἀπὸ τῆς ἐπιτηδείας τῆς ἐν τῷ βίῳ πάντων ἡμᾶς καὶ τιμώντων καὶ θαυμαζόντων; ἀλλ' ἅπαν τοὐναντίον, καὶ προεῖδε καὶ προσεδόκησε ταύτην τὴν πονηρὰν ὑπόνοιαν, καὶ πόρριζον αὐτὴν ἀνέσπασε, μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ἀρχὴν ἀφῆκε. Διὰ τί; « Προνοούμενοι γὰρ, φησὶ, καλὰ, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. » Τοσαύτῃ δεῖ, μᾶλλον δὲ καὶ πλείονι κεχρῆσθαι σπουδῇ, ὥστε μὴ μόνον αἱρομένας κατασπᾶν καὶ κωλύειν τὰς φήμας τὰς οὐκ ἀγαθὰς, ἀλλὰ καὶ πόρρωθεν ὅθεν ἂν γένοιντο προορᾶν, καὶ τὰς προφάσεις ἐξ ὧν τίκτονται προαναιρεῖν, καὶ μὴ περιμένειν αὐτὰς συστῆναι, καὶ ἐν τοῖς τῶν πολλῶν διαθρυληθῆναι στόμασι. Τηνικαῦτα γὰρ οὔτε εὔπορον αὐτὰς ἀφανίσαι λοιπὸν, ἀλλὰ καὶ λίαν δυσχερὲς, τάχα δὲ καὶ ἀδύνατον· οὔτε ἀζήμιον τὸ μετὰ τὴν τῶν πολλῶν βλάβην τοῦτο γενέσθαι. Ἀλλὰ γὰρ μέχρι τίνος οὐ στήσομαι διώκων ἀκίνητα; τὸ γὰρ ἁπάσας τὰς ἐκεῖ δυσχερείας καταλέγειν, οὐδὲν ἕτερόν ἐστιν ἢ πέλαγος ἀναμετρεῖν. Καὶ γὰρ ὅταν αὐτός τις παντὸς καθαρεύσῃ πάθους (ὃ τῶν ἀδυνάτων ἐστίν), ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσῃ πταίσματα, μυρία ὑπομένειν ἀναγκάζεται δεινά· προστεθέντων δὲ καὶ τῶν οἰκείων νοσημάτων, θέα τὴν ἄβυσσον τῶν πόνων καὶ τῶν φροντίδων, καὶ ὅσα πάσχειν ἀνάγκη τῶν τε οἰκείων καὶ τῶν ἀλλοτρίων βουλόμενον περιγενέσθαι κακῶν.

Καὶ ὁ ΒΑΣΙΛΕΙΟΣ, Νῦν δὲ, φησὶν, οὐ δεῖ πόνων, οὐδὲ φροντίδας ἔχεις, κατὰ σαυτὸν ὤν.

ΧΡΥΣΟΣΤ. Ἔχω μὲν, ἔφην, καὶ νῦν· πῶς γὰρ ἔστιν, ἄνθρωπον ὄντα καὶ τὸν πολύμοχθον τοῦτον βιοῦντα βίον, φροντίδων ἀπηλλάχθαι καὶ ἀγωνίας; Ἀλλ' οὐκ ἔστιν ἴσον εἰς πέλαγος ἄπειρον ἐμπεσεῖν, καὶ ποταμὸν παραπλεῖν· τοσοῦτον γὰρ τούτων κἀκείνων τῶν φροντίδων τὸ μέσον. Νῦν μὲν γὰρ εἰ μὲν δυνηθείην καὶ ἑτέροις γενέσθαι χρήσιμος, βουλοίμην ἂν καὶ αὐτὸς, καὶ πολλῆς μοι τοῦτο ἔργον εὐχῆς· εἰ δὲ οὐκ ἔστιν ἕτερον ὀνῆσαι, ἐμαυτὸν γοῦν ἐὰν ἐννέηται ἐξε-

pecuniarum administrationem secum assumsit : *Ne quis*, inquit (2 *Cor.* 8. 20), *nos vituperet in hac plenitudine quæ ministratur a nobis* : quomodo non omnia a nobis agenda sunt, ut pravas suspiciones de medio tollamus, etsi falsæ illæ, etsi absurdæ fuerint, etiamsi ab existimatione nostra longe sint alienæ? A nullo quippe nos peccato tantum absumus, quantum Paulus a furto : attamen cum a pravo hujusmodi facinore adeo remotus esset, ne sic quidem multorum suspicionem neglexit, etiamsi admodum iniquam et insanam. Insania enim fuisset tale quidpiam suspicari de beato illo et admirando capite : nihilominus tamen ille suspicionis tam absurdæ, quæ nonnisi in furiosi cujuspiam mentem venire poterat, occasiones diu ante tollit : neque vero vulgi contemsit insaniam, neque dixit : Cui umquam in mentem veniat talia de nobis suspicari, quando universi nos tum a signis miraculisque, tum a probitate vitæ honori et admirationi habent? sed contra ille et prævidit et exspectavit hanc fore malam suspicionem, et radicitus illam avulsit; imo potius illam ne exoriri quidem passus est. Quare? *Providentes*, inquit (*Rom.* 12. 17), *bona, non tantum coram Domino, sed etiam coram hominibus*. Tantum scilicet, imo majus oportet studium adhibere, ut non modo malam subortam famam arceamus, sed etiam ut procul prospiciamus, unde ea oriri possit : et occasiones præscindere, unde ea nascitur, neque exspectare dum percrebrescat et in vulgi ore versetur. Tunc enim non facile est eam delere, imo admodum difficile, forteque nulla arte fieri possit; neque periculo vacat, si post multorum damnum hoc fiat. Sed quousque tandem immorabor in persequendis iis quæ assequi minime possim? nam omnes, quæ illic occurrunt, difficultates recensere, nihil aliud fuerit, quam pelagus ipsum dimetiri. Nam etiamsi quis ab omni animi ægritudine purus esset, quod minime fieri potest, ut aliorum delicta corrigat, innumera pati cogitur mala. Quibus si addas proprias ægritudines, vide mihi laborum sollicitudinumque abyssum ingentem, et quanta ferenda sint in superandis propriis alienisque vitiis.

Tum BASILIUS, Nunc vero, inquit, nullo tibi opus est certamine, sed curis vacas, dum solitarius vivis.

[X.] CHRYSOST. Adsunt et nunc curæ, inquam. Qui enim fieri potest hominem hanc ærumnosam vitam ducentem curis angustiisque vacare? Verum non idem labor est, immensum in pelagus incidere, et flumen trajicere : par quippe est inter has et illas curas intervallum. Equidem si possem aliorum servire commodis, id vellem ac multis votis exoptarem : sin alios juvare non possim, at mihi certe

λεῖν καὶ διασῶσαι τοῦ κλύδωνος, ἀρκεσθήσομαι τούτῳ.

Εἶτα τοῦτο οἴει μέγα, φησὶν, εἶναι, ὁ ΒΑΣΙΛΕΙΟΣ, ὅλως δὲ σωθήσεσθαι νομίζεις, ἑτέρῳ μηδενὶ γενόμενος χρήσιμος;

ΧΡΥΣΟΣΤ. Εὖ καὶ καλῶς, ἔφην, εἴρηκας· οὐδὲ γὰρ αὐτὸς τοῦτο πιστεύειν ἔχω, ὅτι σώζεσθαι ἔνεστι τὸν οὐδὲν εἰς τὴν τοῦ πλησίον κάμνοντα σωτηρίαν. Οὐδὲ γὰρ ἐκεῖνον τὸν δείλαιον ὤνησέ τι τὸ μὴ μειῶσαι τὸ τάλαντον, ἀλλὰ καὶ ἀπώλεσε τὸ μὴ πλεονάσαι καὶ διπλοῦν προσαγαγεῖν. Πλὴν ἀλλ' ἐπιεικεστέραν μοι τὴν τιμωρίαν οἶμαι ἔσεσθαι ἐγκαλουμένῳ διὰ τί μὴ καὶ ἑτέρους ἔσωσα, ἢ διὰ τί καὶ ἑτέρους καὶ ἐμαυτὸν προσαπώλεσα, πολὺ χείρων γενόμενος μετὰ τὴν τοσαύτην τιμήν. Νῦν μὲν γὰρ τοσαύτην ἔσεσθαί μοι πιστεύω τὴν κόλασιν, ὅσην ἀπαιτεῖ τῶν ἁμαρτημάτων τὸ μέγεθος· μετὰ δὲ τὸ δέξασθαι τὴν ἀρχὴν, οὐ διπλῆν μόνον καὶ τριπλῆν, ἀλλὰ καὶ πολλαπλασίονα, τῷ τε πλείονας σκανδαλίσαι, καὶ τῷ μετὰ μείζονα τιμὴν προσκροῦσαι τῷ τετιμηκότι Θεῷ. Διά τοι τοῦτο καὶ τῶν Ἰσραηλιτῶν σφοδρότερον κατηγορῶν, τούτῳ δείκνυσιν αὐτοὺς μείζονος ὄντας κολάσεως ἀξίους, τῷ μετὰ τὰς παρ' αὐτοῦ γενομένας εἰς αὐτοὺς τιμὰς ἁμαρτεῖν, ποτὲ μὲν λέγων, « Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς τὰς ἀσεβείας ὑμῶν· » ποτὲ δὲ, « Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν. » Καὶ πρὸ τῶν προφητῶν, ἐπὶ τῶν θυσιῶν δεῖξαι βουλόμενος ὅτι τὰ ἁμαρτήματα μείζονα ἐκδέχεται πολλῷ τὴν τιμωρίαν, ὅταν ὑπὸ τῶν ἱερέων γίνηται, ἢ ὅταν ὑπὸ τῶν ἰδιωτῶν, προστάττει τοσαύτην ὑπὲρ τῶν ἱερέων προσάγεσθαι τὴν θυσίαν, ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ. Τοῦτο δὲ οὐδὲν ἕτερον δηλοῦντός ἐστιν ἢ ὅτι μείζονος δεῖται βοηθείας τὰ τοῦ ἱερέως τραύματα, καὶ τοσαύτης, ὅσης ὁμοῦ τὰ παντὸς τοῦ λαοῦ· μείζονος δὲ οὐκ ἂν ἐδεῖτο, εἰ μὴ χαλεπώτερα ἦν· χαλεπώτερα δὲ γίνεται, οὐ τῇ φύσει, ἀλλ' ὑπὸ τῆς ἀξίας τοῦ τολμῶντος αὐτὰ ἱερέως βαρούμενα. Καὶ τί λέγω τοὺς ἄνδρας τοὺς τὴν λειτουργίαν μετιόντας; Αἱ γὰρ θυγατέρες τῶν ἱερέων, αἷς οὐδεὶς πρὸς τὴν ἱερωσύνην λόγος, ὅμως διὰ τὸ πατρικὸν ἀξίωμα τῶν αὐτῶν ἁμαρτημάτων πολὺ πικροτέραν ὑπέχουσι τὴν τιμωρίαν· καὶ τὸ μὲν πλημμέλημα ἴσον αὐτοῖς καὶ ταῖς τῶν ἰδιωτῶν θυγατράσι, πορνεία γὰρ ἀμφότερα, τὸ δὲ ἐπιτίμιον πολλῷ τούτων χαλεπώτερον.

Ὁρᾷς μεθ' ὅσης δείκνυσι τῆς περιουσίας ὁ Θεὸς ὅτι πολλῷ πλείονα τῶν ἀρχομένων ἀπαιτεῖ τὸν ἄρχοντα τιμωρίαν; Οὐ γὰρ δήπου ὁ τὴν ἐκείνου θυγατέρα δι' ἐκεῖνον μείζονας τῶν ἄλλων κολάζων, τὸν καὶ ἐκείνῃ τῆς προσθήκης τῶν βασάνων αἴτιον ἴσην τοῖς πολλοῖς εἰσπράξεται δίκην, ἀλλὰ πολλῷ μείζονα καὶ μάλα γε εἰκότως. Οὐ γὰρ εἰς αὐτὸν περίσταται μόνον ἡ ζημία, ἀλλὰ καὶ τὰς τῶν ἀσθενεστέρων καὶ εἰς αὐτὸν βλέποντων καταβάλλει ψυχάς. Τοῦτο καὶ ὁ Ἰεζεκιὴλ διδάξαι βουλόμενος, διίστησιν ἀπ' ἀλλήλων τὴν τῶν

satis esse putabo, si me servare et ex fluctibus eruere possim.

Putasne, inquit BASILIUS, hoc magnum, atque adeo posse te salutem consequi, qui aliorum neminem ulla in re juveris?

CHRYSOST. Optime, inquam, dixisti: neque enim id credere valeam, posse quempiam salutem consequi, qui ad proximi sui salutem nihil umquam egerit. Non enim miserum illum (*Matth.* 25. 24) juvit, quod talentum non minuisset; imo et perditus est eo quod non auxisset, ac duplum reportasset. Verumtamen mihi levius fore supplicium existimo, cum accusabor, quod non aliorum salutem procurarim, quam si accusabor quod et alios et me ipsum perdidissem, multo deterior effectus post tantum susceptum honorem. [XI.] Nunc enim tantum mihi credo fore supplicium, quantum peccatorum magnitudo postulat; postquam autem præfecturam hanc suscepissem, non duplum modo triplumve, sed multiplex, quod pluribus offendiculo fuissem, quodque majorem adeptus dignitatem Deum me honorantem offendissem. Quapropter Israelitas vehementius accusans, eo illos majore dignos supplicio exhibet, quod post multos ab se susceptos honores peccarent, modo dicens (*Amos* 3. 2), *Verumtamen vos novi ex omnibus tribubus terræ: propterea vindicabo super vos impietates vestras*; modo autem (*Amos* 2. 11), *Accepi ex filiis vestris in prophetas, et ex juvenibus vestris in sanctificationem.* Et ante prophetarum tempora cum de sacrificiis ageretur, ostendere volens, peccata longe majori supplicio expiari, cum a sacerdotibus, quam cum a privatis perpetrantur, præcipit (*Levit.* 4. 3. 14) tantum pro sacerdotibus offerri sacrificium, quantum pro universo populo. Quod nihil significat aliud, quam sacerdotis vulnera majore auxilio indigere, atque tanto, quanto conjuncta simul universi populi vulnera indigent: porro majori nequaquam indigerent, nisi graviora essent: graviora autem sunt non natura sua, sed dignitate sacerdotis illa admittere audentis. Et quid loquor de viris hoc ministerium pertractantibus? Nam et sacerdotum filiæ (*Levit.* 21. 9), quibus nihil cum sacerdotio commune, propter paternam tamen dignitatem peccatorum suorum multo acerbiorem pœnam subeunt. Ac peccatum quidem earum peccatis aliarum ex privatis parentibus prognatarum par et æquale est: nam fornicatio utrimque est (*Deut.* 22): sed supplicium longe gravius.

[XII.] Viden' quam abunde declaret Deus, longe majorem se pœnam a principe, quam a subditis exposcere? Neque enim qui in sacerdotis filiam patris causa gravius quam in alias animadvertit, eum, qui illi additamentum pœnæ procurat, pari cum aliis pœna plectet, sed multo graviore: idque jure ac merito. Non enim damnum in ipso solo consistit, sed etiam infirmiorum, qui in ipsum respiciunt, animos dejicit. Hoc ipsum docere cum vellet Ezechiel (34. 17), arietes ab ovibus discernit in judicio.

χριῶν καὶ τὴν τῶν προβάτων χρίσιν. Ἆρά σοι δοκοῦμεν λόγον ἔχοντα πεφοβῆσθαι φόβον; Πρὸς γὰρ τοῖς εἰρημένοις νῦν μὲν εἰ καὶ πολλοῦ μοι δεῖ πόνου πρὸς τὸ μὴ καταγωνισθῆναι τέλεον ὑπὸ τῶν τῆς ψυχῆς παθῶν, ἀλλ' ὅμως ἀνέχομαι τῶν πόνων, καὶ οὐ φεύγω τὸν ἀγῶνα. Καὶ γὰρ ὑπὸ κενοδοξίας ἁλίσκομαι μὲν καὶ νῦν, ἀναφέρω δὲ πολλάκις, καὶ ὅτι ἑάλων συνορῶ· ἔστι δὲ ὅτε καὶ ἐπιτιμῶ τῇ δουλωθείσῃ ψυχῇ. Ἐπιθυμίαι μοι προσπίπτουσι μὲν ἄτοποι καὶ νῦν, ἀλλ' ἀργοτέραν ἀνάπτουσι τὴν φλόγα, τῶν ὀφθαλμῶν τῶν ἔξωθεν οὐκ ἐχόντων ἐπιλαβέσθαι τῆς τοῦ πυρὸς ὕλης· τοῦ δὲ κακῶς τὸν δεῖνα λέγειν, καὶ λεγόμενον ἀκούειν, ἀπήλλαγμαι παντελῶς, τῶν διαλεγομένων οὐ παρόντων· οὐ γὰρ δὴ οἵδε οἱ τοῖχοι δύναιντ' ἂν ἀφεῖναι φωνήν. Ἀλλ' οὐχὶ καὶ τὴν ὀργὴν ὁμοίως δυνατὸν διαφυγεῖν, καίτοι γε τῶν παροξυνόντων οὐκ ὄντων. Μνήμη γὰρ πολλάκις ἀνδρῶν ἀτόπων προσπεσοῦσα καὶ τῶν ὑπ' αὐτῶν γινομένων, ἐξοιδεῖν μοι τὴν καρδίαν ποιεῖ, πλὴν ἀλλ' οὐκ εἰς τέλος· ταχέως γὰρ αὐτὴν φλεγμαίνουσαν καταστέλλομεν, καὶ πείθομεν ἡσυχάζειν, εἰπόντες ὅτι λίαν ἀσύμφορον καὶ τῆς ἰσχάτης ἀθλιότητος, τὰ οἰκεῖα ἀφέντας κακὰ, τὰ τῶν πλησίον περιεργάζεσθαι. Ἀλλ' οὐκ εἰς τὸ πλῆθος ἐλθὼν, καὶ ταῖς μυρίαις ἀπολῃφθεὶς ταραχαῖς, δυνήσομαι ταύτης ἀπολαύειν τῆς νουθεσίας, οὐδὲ τοὺς ταῦτα παιδαγωγοῦντας λογισμοὺς εὑρεῖν· ἀλλ' ὥσπερ οἱ κατὰ κρημνῶν ὑπό τινος ῥεύματος ἢ καὶ ἑτέρας ἀνάγκης ὠθούμενοι τὴν μὲν ἀπώλειαν, εἰς ἣν τελευτῶσι, προορᾶν δύνανται, βοήθειαν δέ τινα ἐπινοεῖν οὐκ ἔχουσιν· οὕτω καὶ αὐτὸς εἰς τὸν πολὺν τῶν παθῶν θόρυβον ἐμπεσών, τὴν μὲν κόλασιν καθ' ἑκάστην αὐξομένην μοι τὴν ἡμέραν δυνήσομαι συνορᾶν, ἐν ἐμαυτῷ δὲ γενέσθαι καθάπερ καὶ νῦν, καὶ ἐπιτιμῆσαι λυττῶσι πάντοθεν τοῖς νοσήμασι τούτοις, οὐκέθ' ὁμοίως εὔπορον. Ἐμοὶ γὰρ ψυχή τίς ἐστιν ἀσθενὴς καὶ μικρὰ καὶ εὐχείρωτος οὐ τούτοις μόνον τοῖς πάθεσιν, ἀλλὰ καὶ τῷ πάντων πικροτέρῳ φθόνῳ, καὶ οὔτε ὕβρεις οὔτε τιμὰς μετρίως ἐπίσταται φέρειν, ἀλλὰ μεθ' ὑπερβολῆς ἐκείνας τε ἐπαίρουσιν αὐτὴν, καὶ ταπεινοῦσιν αὖται. Ὥσπερ οὖν θηρία χαλεπὰ, ὅταν μὲν εὐσωματῇ καὶ εὐρινῇ, τῶν πρὸς αὐτὰ μαχομένων κρατεῖ, καὶ μάλιστα ὅταν ἀσθενεῖς ὦσι καὶ ἄπειροι, εἰ δέ τις αὐτὰ λιμῷ κατατήξειε, τόν τε θυμὸν αὐτοῖς ἐκοίμισε, καὶ τῆς δυνάμεως τὸ πλέον ἔσβεσεν, ὡς καὶ τὸν μὴ λίαν γενναῖον ἀναδέξασθαι τὸν πρὸς ταῦτα ἀγῶνα καὶ πόλεμον· οὕτω καὶ τὰ πάθη τῆς ψυχῆς, ὁ μὲν ἀσθενῆ ποιῶν, ὑποχείρια τοῖς ὀρθοῖς αὐτὰ τίθησι λογισμοῖς· ὁ δὲ τρέφων ἐπιμελῶς χαλεπωτέραν αὐτῷ τὴν πρὸς αὐτὰ καθίστησι μάχην, καὶ οὕτως ἑαυτῷ φοβερώτερα ταῦτα ἀπεργάζεται, ὡς ἐν δουλείᾳ καὶ δειλίᾳ τὸν πάντα χρόνον βιοῦν. Τίς οὖν τῶν θηρίων τούτων ἡ τροφή; Κενοδοξίας μὲν τιμαὶ καὶ ἔπαινοι, ἀπονοίας δὲ ἐξουσία καὶ δυναστείας μέγεθος, βασκανίας δὲ αἱ τῶν πλησίον εὐδοκιμήσεις, φιλαργυρίας αἱ τῶν παρεχόντων φιλοτιμίαι, ἀκολασίας τρυφὴ καὶ αἱ συνεχεῖς τῶν γυναικῶν

An tibi nunc videmur jure timuisse? Nam præter illa quæ dicta sunt, quamquam multum nunc laborem subire oportet, ne ab animi affectibus omnino prosternar, attamen laborem suscipio, nec certamen subterfugio. Etenim a vana quidem gloria nunc capior; attamen sæpe resipisco, et me captum fuisse video: interdum vero in servitutem redactum animum increpo. Absurdæ cupidines me etiam nunc incessunt, sed quæ remissiorem flammam accendant, quod externis oculis materia nulla igni apta suppetat. A maledictorum probro et auditu prorsus vaco, cum nulli, qui me alloquantur, adsint: neque enim hi parietes emittere vocem queant. Sed ab ira temperare non possum, etiamsi nullus adsit qui exasperet: iniquorum quippe virorum ipsorumque facinorum memoria animum mihi intumescere facit; verum id non usque in finem: statim enim ipsum ardentem compescimus, et ad quiescendum deducimus, in nobis ipsis dicentes, admodum insulsum extremæque miseriæ esse, dum nostra omittimus mala, de alienis tam curiosos esse. Verum si ad turbam me conferam, innumerisque tumultibus occuper, jam non hujusmodi admonitione perfrui potero, neque cogitationes illas me probe instituentes reperire: sed quemadmodum ii qui per præcipitia vel fluentis aliquibus vel alia quadam necessaria causa truduntur, proximam quidem perniciem prævidere possunt, auxilium vero nullum sibi excogitare valent: sic et ego, si in tantum ægritudinum tumultum incidam, supplicium quidem quotidie mihi augeri cernere potero; in me ipso autem cogitare ut nunc cogito, ac furentes animi impetus frænare, non æque tunc facile erit mihi. Mihi quippe anima est infirma, pusilla, captuque facilis, non his solum affectibus, sed et omnium acerbissimo, nempe invidiæ: neque illa contumelias, neque honores moderate ferre novit; sed et illis admodum extollitur, et his valde deprimitur. Quemadmodum ergo feræ immanes, dum corpore bene valent ac gestiunt, se adorientes facile vincunt, maxime si ii infirmi sint et imperiti; si quis vero illas fame macerarit, hinc evenit ut illarum furor sopiatur, viriumque magna pars exstinguatur, adeo ut vel mediocriter audax homo certamen aut pugnam cum iis ineat: sic et animi affectus qui imbecillos reddit, eosdem rectæ rationi subjicit; si quis contra diligenter aluerit, graviorem sibi adversus eos pugnam parat, et terribiliores sibi reddit, ad eum modum ut in servitute ac metu totam vitam ducat. Quænam igitur belluarum harum alimenta? Vanæ gloriæ quidem honores et laudes, arrogantiæ vero potentia et dignitatis magnitudo, livoris aliorum celebritas, avaritiæ largientium liberalitas, luxuriæ deliciæ et fre-

ἐντεύξεις, καὶ ἕτερον ἑτέρου. Πάντα δὲ ταῦτα εἰς μὲν τὸ μέσον ἐλθόντι σφοδρῶς ἐπιθήσεται, καὶ σπαράξει μου τὴν ψυχήν, καὶ φοβερώτερα ἔσται, καὶ χαλεπώτερόν μοι τὸν πρὸς αὐτὰ ποιήσει πόλεμον. Ἐνταῦθα δὲ καθημένῳ μετὰ πολλῆς μὲν καὶ οὕτως ὑποταγήσεται βίας, ὑποταγήσεται δ' οὖν ὅμως τῇ τοῦ Θεοῦ χάριτι, καὶ τῆς ὕλακῆς αὐτοῖς οὐδὲν ἔσται πλέον. Διὰ ταῦτα τὸν οἰκίσκον φυλάττω τοῦτον καὶ ἀπρόῖτος καὶ ἀκοινώνητός εἰμι καὶ ἀσυνουσίαστος, καὶ μυρίας ἑτέρας τοιαύτας μέμψεις ἀκούειν ἀνέχομαι, ἡδέως μὲν ἂν αὐτὰς ἀποτρῖψάμενος, τῷ δὲ μὴ δύνασθαι δακνόμενος καὶ ἀλγῶν. Οὐδὲ γὰρ εὔπορόν μοι, ὁμιλητικόν τε ὁμοῦ γενέσθαι, καὶ ἐπὶ τῆς παρούσης ἀσφαλείας μένειν. Δι' ὃ καὶ αὐτόν σε παρακαλῶ, τὸν ὑπὸ τοσαύτης δυσχερείας ἀπειλημμένον ἐλεεῖν μᾶλλον ἢ διαβάλλειν. Ἀλλ' οὐδέπω σε πείθομεν; Οὐκοῦν ὥρα μοι λοιπὸν, ὃ μόνον εἶχον ἀπόῤῥητον, πρὸς σὲ καὶ τοῦτο ἐκβαλεῖν. Καὶ ἴσως μὲν ἄπιστον εἶναι δόξει πολλοῖς· ἐγὼ δὲ αὐτὸ οὐδὲ οὕτως εἰς μέσον ἐνεγκεῖν αἰσχυνθήσομαι. Εἰ γὰρ καὶ πονηρᾶς συνειδήσεως καὶ μυρίων ἁμαρτημάτων ἔλεγχος τὸ λεγόμενον, τοῦ μέλλοντος ἡμᾶς κρίνειν Θεοῦ πάντα εἰδότος ἀκριβῶς, τί πλέον ἡμῖν ἐκ τῆς τῶν ἀνθρώπων ἀγνοίας ἐγγενέσθαι δυνήσεται; Τί οὖν ἐστι τὸ ἀπόῤῥητον; Ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ ταύτην ἐνέθηκάς μοι τὴν ὑποψίαν, πολλάκις ἐκινδύνευσέ μοι παραλυθῆναι τὸ σῶμα τέλεον· τοσοῦτος μὲν φόβος, τοσαύτη δὲ ἀθυμία κατέσχε μου τὴν ψυχήν. Τῆς γὰρ Χριστοῦ νύμφης τὴν δόξαν ἐννοῶν, τὴν ἁγιωσύνην, τὸ κάλλος τὸ πνευματικὸν, τὴν σύνεσιν, τὴν εὐκοσμίαν, καὶ τὰ ἐμαυτοῦ λογιζόμενος κακὰ, οὐ διελίμπανον ἐκείνην τε πενθῶν, καὶ ἐμαυτὸν ταλανίζων, καὶ στένων συνεχῶς καὶ διαπορῶν πρὸς ἐμαυτὸν ἔλεγον ταῦτα· Τίς ἄρα ταῦτα συνεβούλευσε; τί τοσοῦτον ἥμαρτεν ἡ τοῦ Θεοῦ Ἐκκλησία; τί τηλικοῦτον παρώξυνε τὸν ἑαυτῆς Δεσπότην, ὡς τῷ πάντων ἀτιμοτάτῳ παραδοθῆναι ἐμοὶ, καὶ τοσαύτην ὑπομεῖναι αἰσχύνην; Ταῦτα πολλάκις κατ' ἐμαυτὸν λογιζόμενος, καὶ τοῦ λίαν ἀτόπου μηδὲ τὴν ἐνθύμησιν δυνάμενος ἐνεγκεῖν, ὥσπερ οἱ παραπλῆγες ἐκείμην ἀχανὴς, οὔτε ὁρᾶν οὔτε ἀκούειν τι δυνάμενος. Τῆς δὲ ἀμηχανίας με τῆς τοσαύτης ἀφείσης (καὶ γὰρ ἔστιν ὅτε καὶ ὑπεξίστατο), διεδέχετο δάκρυα καὶ ἀθυμία καὶ μετὰ τὸν τῶν δακρύων κόρον ἀντεισῆει πάλιν ὁ φόβος, ταράττων καὶ θορυβῶν καὶ διασείων μου τὴν διάνοιαν. Τοσαύτῃ ζάλῃ τὸν παρελθόντα συνέζων χρόνον· σὺ δὲ ἠγνόεις, καὶ ἐν γαλήνῃ με διάγειν ἐνόμιζες. Ἀλλὰ νῦν σοι ἀποκαλύψαι πειράσομαι τὸν χειμῶνα τῆς ἐμῆς ψυχῆς· τάχα γάρ μοι καὶ ἀπὸ τούτου συγγνώσῃ, τὰ ἐγκλήματα ἀφείς. Πῶς οὖν σοι, πῶς αὐτὸν ἐκκαλύψωμεν; Εἰ μὲν σαφῶς ἐθέλοις ἰδεῖν, ἑτέρως οὐκ ἂν εἴη, ἀλλ' ἢ τὴν καρδίαν ἀπογυμνώσαντα τὴν ἐμήν· ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, δι' ἀμυδρᾶς τινος εἰκόνος, ὡς ἂν οἷός τε ὦ, πειράσομαί σοι τὸν τῆς ἀθυμίας τέως ὑποδεῖξαι καπνὸν, σοὶ δὲ ἐκ τῆς εἰκόνος ἔνεστι τὴν ἀθυμίαν συλλέγειν ὅση ἦν. Ὑπο-

quens mulierum consuetudo : et sic aliud ab alio fovetur. Illæ porro omnes belluæ me in rerum medium accedentem invadent, animam meam dilaniabunt, terribiliores erunt, et gravius mihi adversus illa bellum parabunt; hic vero sedenti mihi, magna adhibita violentia, vix subjicientur; subjicientur tamen per Dei gratiam, ita ut præter latratum nihil plus habeant. Ideo hanc domunculam incolo, nemini aditum do, cum nemine consortium colloquiumque misceo, similesque alias criminationes innumeras audiens facile fero, quas libenter quidem abstergerem; cum vero non possim, excrucior doleoque. Neque enim mihi facile est simul hominum consuetudine uti, atque in præsenti securitate manere. Quamobrem te rogo mei potius tanta intercepti difficultate miserearis, quam me calumnieris. Sed nondum etiam tibi persuasimus? Tempus itaque est, ut quod unum mihi superest arcanum, id in te tandem effundam; quod fortasse multis incredibile videatur : neque tamen in medium proferre pudebit. Etiamsi enim quod dicturus sum et malæ conscientiæ sit et innumerorum delictorum argumentum, cum is qui nos judicaturus est Deus omnia accurate noverit, quid ultra nobis ex hominum ignorantia conferri poterit? Quod est igitur illud arcanum? Ab eo ipso die, quo mihi hanc suspicionem injecisti, sæpe fuit periculum ut hoc corpus mihi penitus dissolveretur; tantus timor tantusque mœror animum meum occupavit. Mecum enim reputans Christi sponsæ gloriam, sanctitatem, spiritualem pulchritudinem, prudentiam, ornatum, meaque considerans mala, non cessabam illam deflere, neque miserum dicere, ac frequenter gemens, hærensque, talia mecum loquebar : Quis consilii hujus auctor fuit? quid tantum peccavit Ecclesia Dei? quæ tanta res Dominum ejus exacerbavit, ut omnium ignominiosissimo mihi traderetur, et tantam pateretur infamiam? Hæc frequenter mecum revolvens, cum indignitatis tantæ ne cogitationem quidem ferre possem, quasi attonitus et stupore perculsus, nec videre nec audire quidpiam poteram. Cum me hoc animi deliquium deserebat (interdum quippe desistebat), succedebant lacrimæ et mœstitia : tum post lacrimarum satietatem iterum adventabat timor, mentem turbans, tumultu replens ac concutiens. In æstu tanto præteritum transegi tempus; tu vero ignorabas, et in tranquillitate me versari arbitrabare. At nunc tibi animæ meæ procellam revelare tentabo : hinc fortasse mihi, positis criminationibus, veniam concedes. Qui illam tibi, qui detegere possim? Si quidem clare videre velles, non alio modo posses, quam cor detegendo meum : cum autem id fieri nequeat, per obscuram quamdam imaginem pro facultate mea mœstitiæ meæ interim fumum tibi depingere conabor; tu vero ex ipsa imagine mœstitiam solum colligere poteris.

θώμεθα εἶναί τινι μνηστὴν τοῦ πάσης τῆς ὑφ' ἡλίῳ χειμένης γῆς βασιλεύοντος θυγατέρα, ταύτην δὲ τὴν κόρην κάλλος τε ἔχειν ἀμήχανον, οἷον καὶ τὴν ἀνθρωπίνην ὑπερβαίνειν φύσιν, καὶ τούτῳ τὸ τῶν γυναικῶν ἅπασῶν φῦλον ἐν πολλοῦ τοῦ διαστήματος νικᾶν, καὶ ψυχῆς ἀρετὴν τοσαύτην, ὡς καὶ τὸ τῶν ἀνδρῶν γένος, τῶν τε γενομένων, τῶν τε ἐσομένων ποτέ, πολλῷ τῷ μέτρῳ κατόπιν ἀφεῖναι· καὶ πάντας μὲν ὑπερβῆναι φιλοσοφίας ὅρους τῇ τῶν τρόπων εὐκοσμίᾳ, πᾶσαν δὲ κρύψαι σώματος ὥραν τῷ τῆς οἰκείας ὄψεως κάλλει· τὸν δὲ ταύτης μνηστῆρα, μὴ διὰ ταῦτα μόνον περιπαίσθαι τῆς παρθένου, ἀλλὰ καὶ χωρὶς τούτων πάσχειν τι πρὸς αὐτὴν, καὶ τῷ πάθει τούτῳ τοὺς μανικωτάτους τῶν πώποτε γενομένων ἀποκρύψαι ἐρασῶν· εἶτα μεταξὺ τῷ φίλτρῳ καιόμενον ἀκοῦσαί ποθεν, ὅτι τὴν θαυμαστὴν ἐρωμένην ἐκείνην τῶν εὐτελῶν τις καὶ ἀπερρίμμενων ἀνδρῶν, δυσγενὴς καὶ τὸ σῶμα ἀνάπηρος, καὶ πάντων τῶν ὄντων μοχθηρότατος μέλλοι πρὸς γάμον ἀγαγέσθαι. Ἆρά σοι μικρόν τι μέρος τῆς ἡμετέρας ὀδύνης παρεστήσαμεν, καὶ ἀρκεῖ μέχρι τούτου στῆσαι τὴν εἰκόνα; Τῆς μὲν ἀθυμίας ἕνεκεν ἀρκεῖν οἶμαι· καὶ γὰρ διὰ τοῦτο μόνον αὐτὴν παρειλήφαμεν· ἵνα δέ σοι καὶ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως παραστήσω τὸ μέτρον, ἐφ' ἑτέραν πάλιν ἴωμεν ὑπογραφήν. Καὶ ἔστω στρατόπεδον ἐκ πεζῶν καὶ ἱππέων καὶ ναυμάχων συνειλεγμένον ἀνδρῶν· καὶ καλυπτέτω μὲν τὴν θάλατταν ὁ τῶν τριήρων ἀριθμὸς, καλυπτέτω δὲ τὰ τῶν πεδίων πλάτη καὶ τὰς τῶν ὀρῶν κορυφὰς αἱ τῶν πεζῶν καὶ ἱππέων φάλαγγες· καὶ ἀντιλαμπέτω μὲν ἡλίῳ τῶν ὅπλων ὁ χαλκὸς, καὶ ταῖς ἐκεῖθεν πεμπομέναις ἀκτῖσιν ἡ τῶν περικεφαλαίων καὶ τῶν ἀσπίδων ἀνταφιέσθω μαρμαρυγή· ὁ δὲ τῶν δοράτων κτύπος καὶ ὁ τῶν ἵππων χρεμετισμὸς πρὸς αὐτὸν φερέσθω τὸν οὐρανόν· καὶ μήτε θάλασσα φαινέσθω μήτε γῆ, ἀλλὰ χαλκὸς καὶ σίδηρος πανταχοῦ· ἀντιπαρατεττέσθωσαν δὲ αὐτοῖς καὶ πολέμιοι, ἄγριοί τινες ἄνδρες καὶ ἀνήμεροι· ἐνεστηκέτω δὲ ἤδη καὶ ὁ τῆς συμβολῆς καιρός· εἶτα ἁρπάσας τις ἐξαίφνης μειράκιον τῶν ἐν ἀγρῷ τραφέντων καὶ τῆς πηκτίδος καὶ τῆς καλαύροπος πλέον εἰδότων οὐδέν, καθοπλιζέτω μὲν αὐτὸ ὅπλοις χαλκοῖς, περιαγέτω δὲ τὸ στρατόπεδον ἅπαν, καὶ δεικνύτω λόχους καὶ λοχαγοὺς, τοξότας, σφενδονήτας, ταξιάρχους, στρατηγοὺς, ὁπλίτας, ἱππέας, ἀκοντιστὰς, τριήρεις, τριηράρχους, τοὺς ἐκεῖ πεφραγμένους στρατιώτας, τῶν ἐν ταῖς ναυσὶν ἀποκειμένων μηχανημάτων τὸ πλῆθος· δεικνύτω δὲ καὶ τὴν τῶν πολεμίων παράταξιν ἅπασαν, καὶ ὄψεις ἀποτροπαίους τινὰς, καὶ σκευὴν ὅπλων ἐξηλλαγμένην, καὶ πλῆθος ἄπειρον, καὶ φάραγγας καὶ χρημνοὺς βαθεῖς καὶ δυσχωρίας ὀρῶν· δεικνύτω δὲ ἔτι παρὰ τοῖς ἐναντίοις καὶ πετομένους ἵππους διά τινος μαγγανείας, καὶ ὁπλίτας δι' ἀέρος φερομένους, καὶ πάσης γοητείας δύναμίν τε καὶ ἰδέαν· καταλεγέτω δὲ καὶ τὰς τοῦ πολέμου συμφορὰς, τῶν ἀκοντίων τὸ νέφος, τῶν βελῶν τὰς νιφάδας, τὴν πολλὴν ἀχλὺν ἐκείνην, καὶ τὴν ἀορασίαν, τὴν

Supponamus esse puellam cuidam desponsatam, regis qui universo orbi dominetur filiam, inenarrabili pulchritudine, ita ut humanam transcendat naturam, et hac in re totum muliebre genus magno admodum discrimine superet: ad hæc animi virtute tanta, ut virorum genus eorum qui vel ante fuerunt, vel post futuri sunt, longo post se intervallo relinquat; morumque honestate omnes philosophiæ terminos excedat, facieique venustate corporeum omnem decorem obscuret: procumque ejus non ob ea tantum, quæ diximus, virginis amore ardere, sed præterea alio nescio quo erga illam furore affici, ita ut insanissimos, qui umquam fuerint, amatores longe retro relinquat: hinc ponamus illum, sic amore flagrantem, alicunde audivisse, futurum ut puellam illam ab se adamatam, vilissimæ conditionis vir, ignobilis, corpore mutilus, omniumque mortalium nequissimus in uxorem ducat. An tibi exiguam doloris nostri imaginem repræsentavimus? satisne erit imaginem hucusque deduxisse? Meæ declarandæ mœstitiæ satis esse puto, cujus unius causa exemplum hoc adhibuimus. Ut autem metus stuporisque mei magnitudinem tibi oculis subjiciam, ad aliud me confero exemplum. Ponamus exercitum peditibus, equitibus nauticisque viris instructum: ac mare quidem operiat triremium numerus; rursumque camporum planities, montiumque vertices occupent peditum equitumque phalanges: æs armorum solis splendore reluceat, atque hinc emissis radiis galearum clypeorumque coruscatio vibretur; hastarum fragor, equorumque hinnitus ad ipsum cœlum feratur: neque mare, neque terra appareat, sed æs et ferrum undique: ipsisque bellatoribus adversi acie instructa stent hostes, feri quidam trucesque viri. Instet jam conflictus tempus: hinc raptum quispiam adolescentem, in agro educatum, qui præter pastoritiam lyram et pedum nihil prorsus sciat; ipsumque armatura ærea induat, ac per totum exercitum circumducat, ostendat manipulos manipulorumque ductores, sagittarios, funditores, ordinum præfectos, duces, cataphractos, equites, jaculatores, triremes, triremium præfectos, munitos ibidem milites, machinarum navalium copiam: ostendat item hostium aciem universam, formidolosos aspectus, armorum apparatum diversum, immensam multitudinem, valles, alta præcipitia, montium scabrosa: ostendat item apud adversarios equites quibusdam præstigiis volantes, et cataphractos per aerem delatos, omnisque incantationis vim speciemque: recenseat ipsi bellorum calamitates, missilium nubem, telorum imbrem, hinc magnam caliginem et tenebras, obscurissimam noctem, quam sagittarum vis efficiat, ita ut illa tanta

ζοφωδεστάτην νύκτα, ἣν τὸ τῶν τοξευμάτων συνίστησι πλῆθος, ἀποστρέφον τῇ πυκνότητι τὰς ἀκτῖνας, τὴν κόνιν οὐχ ἧττον τοῦ σκότους τοὺς ὀφθαλμοὺς ἀμαυροῦσαν, τοὺς τῶν αἱμάτων χειμάρρους, τῶν πιπτόντων τὰς αἰμωγάς, τῶν ἑστώτων τοὺς ἀλαλαγμούς, τῶν κειμένων τὰς σωρείας, τροχοὺς αἵματι βαπτιζομένους, ἵππους αὐτοῖς ἀναβάταις πρηνεῖς φερομένους ἀπὸ τοῦ πλήθους τῶν κειμένων νεκρῶν, τὴν γῆν ῥύρδην ἅπαντα ἔχουσαν, αἷμα καὶ τόξα καὶ βέλη, ἵππων ὁπλὰς καὶ ἀνθρώπων κεφαλὰς ὁμοῦ κειμένας, καὶ βραχίονα καὶ τροχόν, καὶ κνημῖδα καὶ στῆθος διακοπέν, ἐγκεφάλους ξίφεσι προσπεπλασμένους, ἀκίδα βέλους ἐγκεκλασμένην καὶ ὀφθαλμὸν ἔχουσαν ἐμπεπαρονημένον· καταλεγέτω δὲ καὶ τὰ τοῦ ναυτικοῦ πάθη, τριήρεις τὰς μὲν ἐν μέσοις ἀναπτομένας τοῖς ὕδασι, τὰς δὲ αὐτοῖς ὁπλίταις καταδυομένας, τὸν τῶν ὑδάτων ἦχον, τὸν τῶν ναυτῶν θόρυβον, τὴν τῶν στρατιωτῶν βοήν, τῶν κυμάτων καὶ τῶν αἱμάτων ὁμοῦ μιγνύμενον τὸν ἀφρὸν καὶ ὁμοῦ τοῖς πλοίοις ἐπεισιόντα πᾶσι, τοὺς ἐπὶ τῶν καταστρωμάτων νεκροὺς, τοὺς καταποντιζομένους, τοὺς ἐπιπλέοντας, τοὺς εἰς τοὺς αἰγιαλοὺς ἐκβρασσομένους, τοὺς ἔνδον τοῖς κύμασι περικλυζομένους, καὶ ταῖς ναυσὶν ἀποῤῥάττοντας τὴν δόον· καὶ πάσας ἀκριβῶς διὰξας τὰς τοῦ πολέμου τραγῳδίας, προστιθέτω καὶ τὰ τῆς αἰχμαλωσίας δεινὰ, καὶ τὴν παντὸς θανάτου χαλεπωτέραν δουλείαν· καὶ ταῦτα εἰπὼν, κελευέτω τὸν ἵππον ἀναβαίνειν εὐθέως, καὶ τοῦ στρατοπέδου παντὸς ἐκείνου στρατηγεῖν. Ἆρα οἴει πρὸς τὴν διήγησιν μόνην ἀρκέσειν τὸν μειρακίσκον ἐκεῖνον, ἀλλ' οὐκ ἀπὸ πρώτης ὄψεως εὐθέως ἀφήσειν τὴν ψυχήν;

Καὶ μή με νομίσῃς ἐπαίρειν τὸ πρᾶγμα τῷ λόγῳ· μηδ' ὅτι τῷ σώματι τούτῳ καθάπερ τινὶ δεσμωτηρίῳ κατακλεισθέντες τῶν ἀοράτων οὐδὲν δυνάμεθα ἰδεῖν, μεγάλα τὰ εἰρημένα νόμιζε εἶναι. Πολὺ γὰρ ταύτης τῆς μάχης μείζονα καὶ φρικωδεστέραν εἶδες ἄν, εἰ τοῦ διαβόλου τὴν ζοφωδεστάτην παράταξιν καὶ τὴν μανιώδη συμβολὴν τούτοις τοῖς ὀφθαλμοῖς ἰδεῖν ἠδυνήθης ποτέ. Οὐ γὰρ χαλκὸς ἐκεῖ καὶ σίδηρος, οὐδὲ ἵπποι καὶ ἅρματα καὶ τροχοί, οὐδὲ πῦρ καὶ βέλη, ταῦτα τὰ ὁρατὰ, ἀλλ' ἕτερα πολὺ τούτων φοβερώτερα μηχανήματα. Οὐ δεῖ τούτοις τοῖς πολεμίοις θώρακος καὶ ἀσπίδος, οὐδὲ ξιφῶν καὶ δοράτων· ἀλλ' ἀρκεῖ μόνη ἡ ὄψις τῆς ἐπαράτου στρατιᾶς ἐκείνης παραλῦσαι τὴν ψυχὴν, ἢν μὴ λίαν οὖσα γενναία τύχῃ, καὶ πρὸ τῆς οἰκείας ἀνδρείας πολλῆς ἀπολαύσῃ τῆς παρὰ τοῦ Θεοῦ προνοίας. Καὶ εἴ γε ἦν δυνατὸν, τὸ σῶμα ἀποδύντα τοῦτο, ἢ καὶ μετ' αὐτοῦ τοῦ σώματος δυνηθῆναι καθαρῶς καὶ ἀφόβως ἅπασαν τὴν ἐκείνου παράταξιν καὶ τὸν πρὸς ἡμᾶς πόλεμον ὀφθαλμοφανῶς ἰδεῖν, εἶδες ἂν οὐ χειμάρρους αἱμάτων, οὐδὲ σώματα νεκρὰ, ἀλλὰ ψυχῶν πτώματα τοσαῦτα, καὶ τραύματα οὕτω χαλεπὰ, ὡς ἅπασαν ἐκείνην τοῦ πολέμου τὴν ὑπογραφὴν, ἣν ἄρτι διῆλθον πρός σε, παίδων τινα ἀθύρματα εἶναι νομίσαι, καὶ παιδιὰν μᾶλλον ἢ πόλεμον· τοσοῦτοι οἱ καθ' ἑκάστην

frequentia solares radios avertat : pulverem non minus, quam tenebras, oculos obscurantem, sanguinis rivos, cadentium genitus, stantium clamores, prostratorum acervos, rotas sanguine tinctas, equos cum sessoribus præcipites actos a multitudine cadaverum, terram mixtim hæc omnia tenentem, sanguinem, arcus, tela, equorum ungulas et hominum capita simul jacentia, brachium et rotam, ocreas et pectus dissectum, cerebella gladiis hærentia, teli cuspidem effractam, oculumque ceu infibulatum habentem : enarret item nautici belli mala, triremes alias mediis in fluctibus conflagrantes, alias cum militibus ipsis demersas, fluctuum fragorem, nautarum tumultum, militum clamorem, unda sanguineque mixtam spumam, eamdemque in navibus simul omnibus irrumpentem, ia tabulatis cadavera, alia item demersa, alia supernatantia, alia æstu maris ad littus appulsa, alia in ipsis fluctibus obruta, quæ navibus iter claudant : omnibusque belli tragœdiis accurate exhibitis, addat et captivitatis calamitates, et omni morte duriorem servitutem. His porro dictis, jubeat equum statim conscendere, universique illius exercitus ducem agere. An putas adolescentulum illum vel solam horum narrationem ferre posse, ac non potius vel a primo rei aspectu animo defecturum esse?

Ac ne putes me rem oratione amplificare, neve quia hoc corpore ceu quodam carcere inclusi, invisibilium nihil prorsus cernere possumus, magna esse ducas ea quæ a me dicta sunt. [XIII.] Multo hac majorem et horribiliorem pugnam videres, si caliginosissimam diaboli aciem, furiosumque conflictum oculis istis cernere posses. Non enim illic ferrum aut æs, non equi, currus et rotæ, non ignis et tela, res visibiles; sed alia multo his terribiliora machinamenta. Adversariis istis nihil opus est thorace, non clypeo, non ensibus et hastis; sed vel solus exsecrandæ aciei aspectus animam dissolvere possit, nisi admodum generosa fuerit, et præ virtute propria multa fruatur a Deo providentia. Ac si fieri posset ut hoc exuto corpore, vel cum ipso corpore, conspicue ac sine timore totam ejus aciem et bellum contra nos instructum ipsis oculis cerneres : videres utique non sanguinis torrentes, non cadavera, sed animarum ruinas tantas, adeoque gravia vulnera, ut tota illa belli descriptio, quam modo expressi, puerorum oblectamenta et ludi esse videantur potius, quam bellum : tam multi scilicet ii sunt qui quotidie feriuntur.

πληττόμενοι τὴν ἡμέραν. Τὰ δὲ τραύματα οὐχ ἴσην ἐργάζεται τὴν νέκρωσιν, ἀλλ' ὅσον ψυχῆς καὶ σώματος τὸ μέσον, τοσοῦτον ἐκείνης καὶ ταύτης τὸ διάφορον. Ὅταν γὰρ λάβῃ τὴν πληγὴν ἡ ψυχὴ καὶ πέσῃ, οὐ κεῖται καθάπερ τὸ σῶμα ἀναισθητοῦσα, ἀλλὰ βασανίζεται μὲν ἐντεῦθεν ἤδη τῇ πονηρᾷ συνειδήσει τηκομένη· μετὰ δὲ τὴν ἐνθένδε ἀπαλλαγὴν, κατὰ τὸν τῆς κρίσεως καιρὸν ἀθανάτῳ παραδίδοται τιμωρίᾳ. Εἰ δέ τις ἀναλγήτως ἔχοι πρὸς τὰς τοῦ διαβόλου πληγάς, μεῖζον ὑπὸ τῆς ἀναισθησίας ἐκείνῳ γίνεται τὸ δεινόν· ὁ γὰρ ἐπὶ τῇ προτέρᾳ πληγῇ μὴ δηχθείς, εὐκόλως ἕξεται καὶ δευτέραν, καὶ μετ' ἐκείνην ἑτέραν· οὐ γὰρ διαλιμπάνει μέχρι καὶ τῆς ἐσχάτης ἀναπνοῆς παίων ὁ μιαρὸς, ὅταν εὕρῃ ψυχὴν ὑπτίαν καὶ τῶν προτέρων καταφρονοῦσαν πληγῶν. Εἰ δὲ καὶ τῆς συμβολῆς τὸν τρόπον ἐξετάζειν ἐθέλοις, πολὺ ταύτην σφοδροτέραν καὶ ποικιλωτέραν ἴδοις ἄν. Οὔτε γὰρ κλοπῆς καὶ δόλου τοσαύτας τις οἶδεν ἰδίας, ὅσας ἐκεῖνος ὁ μιαρός· ταύτῃ γοῦν τὴν πλείονα κέκτηται δύναμιν· οὔτε ἔχθραν τις οὕτως ἀκήρυκτον δυνήσεται ἔχειν πρὸς τοὺς ἄγαν πολεμιωτάτους αὐτῷ, ὅσην πρὸς τὴν ἀνθρωπείαν φύσιν ὁ πονηρὸς δαίμων ἐκεῖνος. Καὶ τὴν προθυμίαν δὲ εἴ τις ἐξετάζοι, μεθ' ἧς μάχεται ἐκεῖνος, ἀνθρώπους μὲν ἐντεῦθεν καὶ γελοῖον παραβαλεῖν· εἰ δέ τις τὰ ὀργιλώτατα καὶ ἀπηνέστατα τῶν θηρίων ἐκλεξάμενος ἀντιτιθέναι θέλοι τῇ τούτου μανίᾳ, πραότατα ὄντα καὶ ἡμερώτατα εὑρήσει τῇ παραβολῇ· τοσοῦτον οὗτος πνεῖ θυμὸν, ταῖς ἡμετέραις προσβάλλων ψυχαῖς. Καὶ ὁ τῆς μάχης δὲ χρόνος ἐνταῦθα μὲν βραχὺς, καὶ ἐν τῷ βραχεῖ δὲ αὐτῷ πολλαὶ αἱ ἀναχωχαί· καὶ γὰρ καὶ νὺξ ἐπελθοῦσα, καὶ ὁ τοῦ σφάζειν κάματος, καὶ τροφῆς καιρὸς, καὶ πολλὰ ἕτερα διαναπαύειν τὸν στρατιώτην πέφυκεν, ὡς καὶ ἀποδῦναι τὴν παντευχίαν, καὶ ἀναπνεῦσαι μικρὸν, καὶ σίτῳ καὶ ποτῷ καὶ ἀναψύξει καὶ ἑτέροις πολλοῖς τὴν προτέραν ἀναστήσασθαι δύναμιν. Ἐπὶ δὲ τοῦ πονηροῦ οὐκ ἔστι τὰ ὅπλα καταθέσθαι ποτὲ, οὐκ ἔστιν ὕπνον ἄρασθαι τὸν βουλόμενον ἄτρωτον μένειν διαπαντός. Ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀπολέσθαι γυμνωθέντα, ἢ διαπαντὸς καθωπλισμένον ἑστάναι καὶ ἐγρηγορότα. Καὶ γὰρ ἐκεῖνος διαπαντὸς ἕστηκε μετὰ τῆς αὐτοῦ παρατάξεως, τὰς ἡμετέρας ῥᾳθυμίας παρατηρῶν, πλείονά τε εἰσφέρων σπουδὴν εἰς τὴν ἡμετέραν ἀπώλειαν, ἢ εἰς τὴν σωτηρίαν ἡμεῖς τὴν ἑαυτῶν. Καὶ τὸ μὴ ὁρᾶσθαι δὲ αὐτὸν ὑφ' ἡμῶν καὶ τὸ ἐξαπίνης ἐπιτίθεσθαι (ἃ μάλιστα τῶν μυρίων ἐστὶν αἴτια κακῶν) τοῖς οὐκ ἐγρηγορόσι διαπαντὸς πολὺ τοῦτον ἀπορώτερον ἐκείνου δείκνυσι τὸν πόλεμον. Ἐνταῦθα οὖν ἡμᾶς ἤθελες στρατηγεῖν τοῖς στρατιώταις τοῦ Χριστοῦ; Ἀλλὰ τῷ διαβόλῳ τοῦτο ἦν στρατηγεῖν. Ὅταν γὰρ ὁ διατάττειν καὶ διακοσμεῖν τοὺς λοιποὺς ὀφείλων, πάντων ἀπειρότατος καὶ ἀσθενέστατος ᾖ, προδοὺς ὑπὸ τῆς ἀπειρίας τοὺς πιστευθέντας, τῷ διαβόλῳ μᾶλλον ἐστρατήγησεν ἢ τῷ Χριστῷ. Ἀλλὰ τί στένεις, τί δακρύεις; οὐ γὰρ θρή-

Vulnera autem non eamdem inferunt necem, sed quantum est inter animam et corpus discrimen, tanta est inter hanc et illam differentia. Nam cum anima plagam accipit et cadit, non sine sensu jacet ut corpus; sed jam inde ex mala conscientia contabescit, post obitum vero, judicii tempore, æterno traditur supplicio. Quod si quis de vulneribus a diabolo inflictis nihil doleat, majus ipsi damnum ex indolentia illa infligitur: quem enim prior plaga non mordet, is secundam et subinde aliam facile recipiet. Siquidem nefarius ille usque ad extremum halitum numquam finem feriendi facit, si supinam inveniat animam, prioresque plagas contemnentem; etenim si conflictus modum expendere velis, hunc vehementiorem callidioremque reperias. Neque enim quisquam est, qui fraudis et doli tantas species norit, quantas ille scelestus: neque inimicitias quis tam implacabiles umquam exercere poterit contra sibi infensissimos hostes, quantas malignus ille dæmon contra humanam naturam. Animum autem si quis examinaverit, quo pugnam committit, certe ridiculum putabit homines ipsi hac in parte conferri. Sin iracundissimas truculentissimasque feras quispiam deligens, eas illius insaniæ comparare voluerit, mansuetissimas illas humanissimasque cum illo comparatas esse inveniet: tantum ille furorem spirat, cum animas nostras adoritur. Pugnæ porro hominum breve tempus est; imo in hac brevitate temporis multæ dantur induciæ. Nox quippe superveniens, et occidendi labor, et cibi capiendi tempus, aliaque multa, militi quiescendi potestatem faciunt, ita ut armaturam omnem exuat, paulumque respiret, cibo, potu, perfrictione ac multis aliis rebus pristinas vires recuperet. In bello autem contra malignum illum numquam licet arma ponere nec somnum capere eum qui velit semper invulneratus esse. Ex duobus enim unum necessario eligat oportet, ut aut cadat et pereat armis nudatus, aut armatus stet vigiletque semper. Nam ille stat perpetuo cum acie sua, nostram segnitiem observans, majusque studium ad nostram perniciem adhibens, quam nos ad salutem nostram. Ac quod a nobis non videatur, quodque derepente irrumpat (quæ maxime in causa sunt innumerabilium malorum), id certe iis, qui non semper vigilant, magis dubium hujus quam illius belli eventum facit. Hic igitur nos volebas milites Christi ducere? At hoc fuisset diabolo ducem esse: nam cum is, qui debet alios ad bellum instruere, ipsisque imperare, omnium imperitissimus infirmissimusque est, imperitia sua concreditos sibi milites prodens, diabolo magis, quam Christo ducem agit. Tu vero quid ingemiscis, quid lacrimaris? Non enim quæ ad

νων ἄξια τὰ κατ' ἐμὲ νῦν, ἀλλ' εὐφροσύνης καὶ χαρᾶς.

ΒΑΣΙΛΕΙΟΣ. Ἀλλ' οὐχὶ καὶ τὰ ἐμὰ, φησὶν, ἀλλὰ μυρίων ἄξια ταῦτα κοπετῶν· νῦν γὰρ μόλις ἠδυνήθην συνιδεῖν οἵ τῶν κακῶν με ἤγαγες. Ἐγὼ μὲν γὰρ εἰσῆλθον πρὸς σὲ, ὅ τι ποτὲ ὑπὲρ σοῦ πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογήσομαι, δεόμενος μαθεῖν· σὺ δέ με ἐκπέμπεις ἑτέραν ἀνθ' ἑτέρας φροντίδα ἐνθείς. Οὐ γὰρ ἔτι μοι μέλει, τί πρὸς ἐκείνους ὑπὲρ σοῦ, ἀλλὰ τί πρὸς τὸν Θεὸν ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν ἀπολογήσομαι κακῶν. Ἀλλά σου δέομαι καὶ ἀντιβολῶ, εἴ τί σοι μέλει τῶν ἐμῶν, εἴ τις παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί (καὶ γὰρ οἶδας ὅτι μα μάλιστα πάντων αὐτὸς εἰς τοῦτον τὸν κίνδυνον ἤγαγες), χεῖρα ὄρεξον, καὶ λέγων καὶ πράττων τὰ δυνάμενα ἡμᾶς ἀνορθοῦν, μηδὲ ἀνάσχῃ πρὸς γοῦν τὸ βραχύτατον ἡμᾶς ἀπολιπεῖν, ἀλλὰ νῦν μᾶλλον ἢ πρότερον κοινὰς ποιεῖσθαι τὰς διατριβάς.

Ἐγὼ δὲ μειδιάσας, (ΧΡΥΣΟΣΤ.) Καὶ τί συμβαλέσθαι, ἔφην, τί δέ σε ὀνῆσαι δυνήσομαι πρὸς τοσοῦτον πραγμάτων ὄγκον; Πλὴν ἀλλ' ἐπειδή σοι τοῦτο ἡδὺ, θάρρει, ὦ φίλη κεφαλή· τὸν γὰρ καιρὸν καθ' ὃν ἂν ἐξῇ σοι τῶν ἐκεῖθεν φροντίδων ἀναπνεῖν, καὶ παρίσομαι, καὶ παρακαλέσω, καὶ τῶν εἰς δύναμιν τὴν ἐμὴν ἐλλείψεται οὐδέν.

Ἐπὶ τούτοις πλέον δακρύσας ἐκεῖνος ἀνίσταται· ἐγὼ δὲ αὐτῷ περιχυθείς, καὶ καταφιλήσας τὴν κεφαλὴν, προὔπεμπον, παρακαλῶν γενναίως φέρειν τὸ συμβεβηκός. Πιστεύω γὰρ, ἔφην, τῷ καλέσαντί σε Χριστῷ καὶ τοῖς ἰδίοις ἐπιστήσαντι προβάτοις, ὅτι τοσαύτην ἐκ τῆς διακονίας ταύτης κτήσῃ παῤῥησίαν, ὡς καὶ ἡμᾶς κατὰ τὴν ἡμέραν ἐκείνην κινδυνεύοντας εἰς τὴν αἰωνίου σου δέξασθαι σκηνήν.

me pertinent nunc lacrimis digna sunt, sed gaudio et lætitia.

BASILIUS. At non item mea, inquit, sed potius sexcentis sunt digna planctibus. Vix enim hactenus animadvertere potui, in quantum malorum me conjeceris. Siquidem ideo te adieram, ut quid criminatoribus tuis mihi respondendum esset ediscerem; tu vero me dimittis curam aliam pro alia injiciens. Non enim jam mihi curæ est quid illis pro te respondeam, sed quem ad Deum parabo pro me proque malis meis defensionem. Cæterum te rogo et obsecro, si qua tibi est rerum mearum cura, (*Philipp.* 2. 1) si qua in Christo consolatio, si qua viscera et commiserationes (etenim nosti me tua potissimum opera in hoc periculum conjectum fuisse), manum mihi porrigas, illa dicens faciensque, quæ nos erigere possint: neu animum inducas, ut ad brevissimum nos tempus deseras; sed nunc magis quam prius commune sit nobis contubernium.

Ego autem ad hæc verba subridens, (CHRYSOST.) Et qua in re, inquam, tibi usui esse possim in tanta illa negotiorum mole? Cæterum, quia id tibi in voto est, bono animo esto, o dilectum mihi caput: quo enim tempore a curis hujusmodi tibi respirare licebit, adero tibi teque consolabor, quantum in me erit, nulla tibi in re defuturus.

Ad hæc ille magis illacrimans surgit. Ego vero virum complexus, caputque deosculatus, ipsum deduxi hortatus, ut quod acciderat fortiter ferret, his verbis: Fiduciam in Christo habeo, qui te vocavit suisque præfecit ovibus, te tantam ex hoc ministerio acquisiturum fiduciam, ut nos quoque illa die periclitantes in æterna tabernacula tua recipias.

ΕΙΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ ΟΜΙΛΙΑΙ κα',

ΕΝ ΑΝΤΙΟΧΕΙΑι ΛΕΧΘΕΙΣΑΙ.

ΟΜΙΛΙΑ α'.

Λεχθεῖσα ἐν Ἀντιοχείᾳ, πρεσβυτέρου αὐτοῦ ὑπάρχοντος, ἐν τῇ παλαιᾷ ἐκκλησίᾳ, εἰς τὸ ἀποστολικὸν ῥητόν, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

Ἠκούσατε τῆς ἀποστολικῆς φωνῆς, τῆς σάλπιγγος τῆς ἐκ τῶν οὐρανῶν, τῆς λύρας τῆς πνευματικῆς; καὶ γὰρ ὡς σάλπιγξ φοβερὸν ἠχοῦσα καὶ πολεμικὸν καταπλήττει τοὺς ἐχθροὺς καὶ διανίστησι τῶν οἰκείων τὰ πεπτωκότα φρονήματα, καὶ πολλοῦ θάρσους ἐμπλήσασα ἀκαταγωνίστους ποιεῖ τῷ διαβόλῳ τοὺς προσέχοντας· καὶ ὡς λύρα πάλιν μετὰ πολλῆς τῆς ψυχαγωγίας τέρπουσα κοιμίζει τῶν ἀτόπων λογισμῶν τὰ πάθη, καὶ πολλὴν ἡμῖν μεθ' ἡδονῆς ἐνίησι τὴν ὠφέλειαν. Ἠκούσατε τοίνυν σήμερον περὶ πολλῶν καὶ ἀναγκαίων πραγμάτων διαλεγομένου τῷ Τιμοθέῳ· καὶ γὰρ περὶ χειροτονιῶν ἐπέστειλε πρὸς αὐτὸν εἰπών, « Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· » καὶ τὸν ἀφόρητον τῆς τοιαύτης παρανομίας παρίστησε κίνδυνον, δείξας ὅτι τῶν ἑτέροις πεπλημμεληκόσιν ἕτεροι τὴν τιμωρίαν ὑποστήσονται μετ' αὐτῶν ἐκείνων, ὅτι τὴν ἐξουσίαν διὰ τῆς χειροτονίας τῇ πονηρίᾳ παρέχονται. Εἶτα πάλιν φησίν, « Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας· » καὶ περὶ τῆς τῶν οἰκετῶν ὑποταγῆς, καὶ περὶ τῆς τῶν φιλαργύρων μανίας, καὶ περὶ τῆς τῶν πλουτούντων ἀπονοίας, καὶ περὶ πολλῶν δ' ἑτέρων ἡμῖν διελέχθη τήμερον. Ἐπεὶ οὖν ἅπαντα ἐπελθεῖν οὐ δυνατὸν, τί βούλεσθε τῶν εἰρημένων προχειρισάμενοι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπωμεν; Καθάπερ γὰρ ἐν λειμῶνι, πολλὰ καὶ ποικίλα ὁρῶ τῆς ἀναγνώσεως τὰ ἄνθη, καὶ πολλὴν μὲν τὴν ῥοδωνιὰν, πολλὰ δὲ τὰ ἴα, καὶ οὐκ ἐλάττω τὰ κρίνα, ἀλλὰ ποικίλον πανταχοῦ καὶ δαψιλῆ τοῦ πνεύματος διεσπαρμένον τὸν καρπὸν, καὶ πολλὴν τὴν εὐωδίαν· μᾶλλον δὲ οὐχὶ λειμὼν μόνον, ἀλλὰ καὶ παράδεισός ἐστι τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις· οὐ γὰρ εὐωδίαν ψιλὴν ἔχει [ταῦτα] τὰ ἄνθη μόνον, ἀλλὰ καὶ καρπὸν ψυχὴν τρέφειν δυνάμενον. Τί τοίνυν βούλεσθε τῶν εἰρημένων εἰς μέσον ἀγάγωμεν τήμερον; βούλεσθε ὃ δοκεῖ πάντων εὐτελέστερον εἶναι καὶ τοῖς τυχοῦσιν εὐσύνοπτον, τοῦτο μεταχειρισώμεθα νῦν; Ἐμοί γε δοκεῖ, καὶ ὑμῖν εὖ οἶδ' ὅτι συνδόξει. Τί ποτ' οὖν ἐστι τὸ τῶν ἄλλων εὐκολώτερον; τί δὲ ἕτερον ἀλλ' ἢ ὃ καὶ τῷ τυχόντι δοκεῖ ῥᾴδιον εἶναι καὶ εὐσύνοπτον εἰπεῖν; Ποῖον δὴ τοῦτο; « Οἴνῳ ὀλίγῳ, φησὶ, χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. » Φέρε οὖν πᾶσαν τὴν διάλεξιν εἰς ταύτην τὴν ῥῆσιν καταναλώσωμεν. Ποιοῦ-

HOMILIÆ DE STATUIS XXI,

AD POPULUM ANTIOCHENUM HABITÆ.

HOMILIA I.

Antiochiæ habita in Palæa seu veteri ecclesia, cum adhuc presbyter esset, in illud Apostoli (1. *Tim.* 5. 23): Vino modico utere propter stomachum tuum et frequentes infirmitates tuas.

1. Audistis apostolicam vocem, tubam cœlestem, lyram spiritualem? etenim sicut tuba terribile canens et bellicum hostes quidem consternat, suorum autem erigit lapsos animos et multa implens fiducia eos qui mentem adhibent, diabolo inexpugnabiles reddit; et sicuti lyra rursum multa cum jucunditate delectans, absurdarum morbos cogitationum sopit, ac multam cum voluptate nobis affert utilitatem. Audistis igitur hodie de multis et necessariis rebus Timotheo disserentem: etenim de ordinationibus ad ipsum scripsit, dicens (1. *Tim.* 5. 22), *Manus cito nemini imposueris, neque communicaveris peccatis alienis*; et intolerabile talis prævaricationis periculum exponit, demonstrans quod malorum ab aliis perpetratorum supplicium alii cum illis ipsis sustinebunt, quia per ordinationem improbitati conferunt potestatem. Mox rursus dicit (*ib.* v. 23), *Vino modico utere propter stomachum tuum et frequentes tuas infirmitates*; et de servorum subjectione, et de avarorum insania, et de divitum arrogantia, et de multis aliis nobis hodie disseruit. Quoniam igitur omnia tractare non possumus, quid vultis e commemoratis potissimum deligentes caritati vestræ verba faciamus? Velut enim in prato, multos et varios vides lectionis flores et amplum rosarium, multasque violas, nec pauciora lilia; sed et varium ubique et copiosum spiritus fructum disseminatum, et multam odoris suavitatem: imo vero non pratum tantummodo, verum etiam paradisus est divinarum lectio Scripturarum: non enim fragrantiam solum nudam habent hi flores, sed et fructum, qui animam nutrire possit. Quid igitur de dictis in medium vultis agamus hodie? vultis quod omnium levissimum esse videtur, et quibusque intellectu facillimum, hoc in præsenti tractemus? Mihi quidem placet, sed et vobis, hoc bene novi, pariter placebit. Quid vero tandem est ceteris facilius? quid autem aliud quam quod cuilibet facile et dictu et intellectu esse videtur? Quale est istud? *Modico vino utere propter stomachum tuum et crebras infirmitates tuas.* Eia igitur totam orationem in hoc impendamus dictum. Hoc au-

μεν δὲ τοῦτο οὐ φιλοτιμίας ἕνεκεν, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως ἐπίδειξιν παρασχεῖν σπουδάζοντες (οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλ' ἅπερ ἂν ἡ τοῦ Πνεύματος ἐμπνεύσῃ χάρις), ἀλλ' ἵνα τοὺς ῥᾳθυμοτέρους τῶν ἀκροατῶν διεγείρωμεν καὶ πείσωμεν πόσος τῶν Γραφῶν ὁ θησαυρὸς, καὶ ὡς οὐκ ἀσφαλὲς τὸ παρατρέχειν οὐδὲ ἀκίνδυνον. Εἰ γὰρ ἡ ψιλὴ ῥῆσις αὕτη καὶ εὐσύνοπτος, καὶ μηδὲν ἔχειν ἀναγκαῖον δοκοῦσα τοῖς πολλοῖς, φανείη πολλοῦ πλούτου παρέχουσα προφάσεις ἡμῖν καὶ ἀφορμὰς φιλοσοφίας τῆς ἀνωτάτω, πολλῷ μᾶλλον ἐκεῖνα τὰ αὐτόθεν τὴν οἰκείαν εὐπορίαν ἐπιδεικνύμενα μυρίων ἐμπλήσει θησαυρῶν τοὺς προσέχοντας. Μὴ τοίνυν μηδὲ τὰ νομιζόμενα εἶναι ψιλὰ τῶν Γραφῶν νοήματα παρατρέχωμεν· τῆς γὰρ ἀπὸ τοῦ Πνεύματος χάριτός ἐστι καὶ ταῦτα· Πνεύματος δὲ χάρις οὐδέποτέ ἐστι μικρὰ καὶ εὐτελὴς, ἀλλ' ἀεὶ μεγάλη καὶ θαυμασία καὶ τῆς τοῦ δεδωκότος ἀξία μεγαλοδωρίας. Μὴ τοίνυν παρέργως ἀκούσωμεν, ἐπεὶ καὶ οἱ τὴν μεταλλικὴν ἕψοντες γῆν, ἐπειδὰν εἰς τὸ χωνευτήριον αὐτὴν ἐμβάλωσιν, οὐχὶ τὰς μάζας ἀναιροῦνται τοῦ χρυσοῦ μόνον, ἀλλὰ καὶ τὰ μικρὰ ψήγματα μετὰ πολλῆς συλλέγουσι τῆς ἀκριβείας. Ἐπεὶ οὖν καὶ ἡμεῖς χρυσίον ἕψομεν ἀπὸ τῶν μετάλλων ἀνελόμενοι τῶν ἀποστολικῶν, οὐκ εἰς χωνευτήριον ἐμβάλλοντες, ἀλλ' εἰς τὴν διάνοιαν τῆς ὑμετέρας ψυχῆς καθιέντες, οὐχὶ ξύλα ἀναχαίοντες, ἀλλὰ τὸ πῦρ τοῦ πνεύματος ἀνάπτοντες, μετὰ ἀκριβείας [μεγάλης] καὶ τὰ μικρὰ ψήγματα ἀναλεγώμεθα. Εἰ γὰρ καὶ βραχεῖα ἡ ῥῆσις, ἀλλὰ πολλὴ ἡ δύναμις· ἐπεὶ καὶ οἱ μαργαρῖται οὐκ ἐν τῷ τοῦ σώματος ὄγκῳ, ἀλλ' ἐν τῷ κάλλει τῆς φύσεως τὴν εὐπορίαν ἔχουσιν· οὕτω καὶ τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις. Ἡ μὲν γὰρ ἔξωθεν παίδευσις πολὺν ἀνελίττουσα λῆρον καὶ πολλὴν καταχέουσα τῶν ἀκροατῶν φλυαρίαν, κεναῖς τοὺς ἀκροατὰς ἀποπέμπει χερσὶ, καὶ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν κερδωσαμένους καλόν· ἡ δὲ τοῦ Πνεύματος χάρις οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν διὰ μικρῶν ῥημάτων πᾶσι τοῖς προσέχουσι φιλοσοφίαν ἐντίθησι· καὶ ἀρκεῖ ῥῆμα πολλάκις ἓν λαβόντας ἐντεῦθεν πάσης τῆς ζωῆς ἔχειν ἐφόδιον.

Ἐπεὶ οὖν τοσοῦτος ὁ πλοῦτος, διεγείρωμεν ἑαυτοὺς καὶ νηφούσῃ τῇ διανοίᾳ τὰ λεγόμενα ὑποδεξώμεθα· καὶ γὰρ πρὸς πολὺ βάθος καθεῖναι τὸν λόγον παρασκευάζομαι. Πολλοῖς γὰρ καὶ παρέλκειν ἔδοξεν ἡ παραίνεσις αὕτη καὶ περιττή τις εἶναι, καὶ τοιαῦτα λέγουσι ῥήματα· Οὐκ ἠδύνατο ἀφ' ἑαυτοῦ συνιδεῖν ὁ Τιμόθεος ὅτι οἴνῳ κεχρῆσθαι δεῖ, ἀλλ' ἀνέμεινε παρὰ τοῦ διδασκάλου μαθεῖν; Εἶτα ὁ διδάσκαλος οὐ μόνον ἐπέταξεν, ἀλλὰ καὶ γράμμασιν ἐναπέθετο, καθάπερ ἐν στήλῃ χαλκῇ τῇ πρὸς αὐτὸν ἐγκολάψας ἐπιστολῇ· καὶ οὐκ ἠρυθρίασεν ὑπὲρ τοιούτων ἐπιστεῖλαι δημοσίᾳ γράφων τῷ μαθητῇ; Ἵν' οὖν μάθῃς ὅτι οὐ μόνον οὐ παρέλκει ἡ παραίνεσις, ἀλλ' ἀναγκαία καὶ χρησιμωτάτη γέγονε, καὶ οὐχὶ Παύλου ἐστὶ τοῦτο, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος, οὐ τὸ λεχθῆναι μόνον λέγω,

tem facimus non ambitionis gratia, neque in dicendo facultatis ostentationem exhibere studentes; (non enim quæ dicuntur nostra sunt, sed quæ Spiritus gratia afflaverit:) verum ut auditorum segniores excitemus, et quantus sit Scripturarum thesaurus, et quod tutum non sit nec sine periculo quidquam prætercurrere, persuadeamus. Si enim tenuis hæc et compendiosa dictio, et quæ nihil necessarium multis habere videtur, multarum tamen causam divitiarum et altissimæ philosophiæ occasionesque nobis præbens apparuerit; multo magis illa, quæ primo aspectu suam ostentant copiam, infinitis thesauris attentos implebunt. Igitur nec illas, quæ tenues esse putantur, Scripturarum sententias prætercurramus. Nam et ipsæ de Spiritus gratia sunt; Spiritus autem gratia nunquam parva et vilis est, sed semper magna et mirabilis et dantis munificentia digna. Ne igitur leviter audiamus, quoniam illi quoque qui metallicam terram excoquunt, postquam in caminum ipsam injecerint, non tantum auri massas tollunt, sed et parvas bracteolas multa cum sedulitate colligunt. Quoniam igitur et nos aurum ex apostolicis haustum metallis excoquimus, non in fornacem jacientes, sed in animæ vestræ cogitationem immittentes, non flammam accendentes, sed ignem spiritus excitantes; parvas etiam micas magna diligentia colligamus. Licet enim breve sit verbum, multa tamen est virtus; quoniam et gemmæ non in corporis mole, sed in naturæ pulchritudine suum pretium habent: sic etiam divinarum Scripturarum lectio. Externa quippe doctrina multas jactans nugas, et nullam infundens auditoribus futilitatem, eos vacuis remittit manibus, nullum neque magnum neque parvum lucratos emolumentum: Spiritus vero gratia non ita, sed contra omnino per modica verba omnibus advertentibus philosophiam affert; et sufficit sæpe verbum unum hinc excerpsisse, ut totius vitæ viaticum habeamus.

2. Quoniam igitur tanta adest copia, nos ipsos excitemus, et vigili mente quæ dicuntur suscipiamus: ad magnam enim profunditatem sermonem demittere paro. Nam multis etiam superflua et superabundans quodammodo esse visa est hæc admonitio, iique talia dicunt verba: Non per se ipsum poterat Timotheus intelligere, vino uti oportere, verum exspectabat donec a præceptore disceret? Quid quod præceptor non tantum imperavit, sed et literis inseruit, tamquam æreæ columnæ, datæ ad ipsum epistolæ insculpens; nec erubuit de hujusmodi scribere in epistola publice ad discipulum missa? Ut igitur discas quod non tantum non redundet admonitio, sed necessaria et utilissima sit; et non a Paulo, sed a Spiritus gratia factum sit ut hoc non modo diceretur, sed etiam literis tradere-

ἀλλὰ καὶ τὸ γράμμασιν ἐντεθῆναι καὶ πᾶσι τοῖς γίνεσθαι μέλλουσι διὰ τῆς ἐπιστολῆς παραδοθῆναι ταύτης, ἐπ' αὐτὴν βαδιοῦμαι λοιπὸν τὴν ἀπόδειξιν. Μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον οὐκ ἔλαττον διαποροῦσί τινες, ζητοῦντες πρὸς ἑαυτοὺς τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς ἄνδρα τοσαύτην ἔχοντα παῤῥησίαν, οὗ τὰ ὀστᾶ καὶ τὰ λείψανα δαίμονας ἀπήλαυνεν, ἀῤῥωστίᾳ τοιαύτῃ περιπεσεῖν· οὐ γὰρ ἁπλῶς ἐνόσει, ἀλλ' ἀεὶ καὶ διηνεκῶς, καὶ ἐπάλληλοι καὶ συνεχεῖς αἱ ἀῤῥωστίαι οὐδὲ μικρὸν αὐτῷ παρέχουσαι ἀναπνεῖν. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῶν τῶν τοῦ Παύλου γραμμάτων· οὐ γὰρ εἶπε Διὰ τὴν ἀσθένειαν, ἀλλὰ « Διὰ τὰς ἀσθενείας, » καὶ οὐδὲ ἁπλῶς ἀσθενείας, ἀλλὰ τὸ συνεχὲς αὐτῶν δηλῶν ἔλεγε « Τὰς πυκνάς σου ἀσθενείας. » Ἀκουέτωσαν ὅσοι μακρᾷ παραδοθέντες νόσῳ δυσανασχετοῦσι καὶ ἀπαγορεύουσιν. Οὐ τοῦτο δέ ἐστι τὸ ζητούμενον μόνον, ὅτι ἅγιος ὢν ἐνόσει, καὶ οὕτως ἐνόσει συνεχῶς, ἀλλ' ὅτι καὶ τὰ κοινὰ τῆς οἰκουμένης ἦν ἐμπεπιστευμένος πράγματα. Εἰ μὲν γὰρ εἷς ἐκείνων ἦν τῶν εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀναχεχωρηκότων καὶ τῶν ἐπὶ τῆς ἐρημίας καλύβην πηξαμένων καὶ τὸν ἀπράγμονα τοῦτον ἀνηρημένων βίον, οὐκ ἦν ἄπορον οὕτως τὸ ζητούμενον· τὸ δὲ εἰς μέσον προβεβλημένον καὶ τοσούτων Ἐκκλησιῶν ἐγχειρισμένον φροντίδας, καὶ πόλεις ὁλοκλήρους καὶ ἔθνη καὶ τὴν οἰκουμένην ἅπασαν μετὰ τοσαύτης διέποντα προθυμίας τε καὶ σπουδῆς, τῇ τῆς ἀῤῥωστίας ἀνάγκῃ παραδοθῆναι, τοῦτό ἐστι τὸ μάλιστα πάντων ἱκανὸν θορυβῆσαι τὸν μὴ προσέχοντα. Εἰ γὰρ καὶ μὴ δι' ἑαυτὸν, διὰ γοῦν τοὺς ἄλλους αὐτὸν, φησὶν, ἐῤῥῆν ὑγιαίνειν. Στρατηγὸς ἦν ἄριστος, πόλεμος αὐτῷ συνεκεκρότητο, φησὶν, οὐχὶ πρὸς τοὺς ἀπίστους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς δαίμονας καὶ πρὸς αὐτὸν τὸν διάβολον· μετὰ πολλῆς τῆς σφοδρότητος οἱ πολέμιοι πάντες ἐπέκειντο διασπῶντες τὸ στρατόπεδον καὶ αἰχμαλωτίζοντες· οὗτος ἠδύνατο μυρίους ἐπὶ τὴν ἀλήθειαν ἐπαναγαγεῖν, καὶ ἠσθένει. Εἰ γὰρ καὶ μηδεμία, φησὶν, ἑτέρα βλάβη τοῖς πράγμασιν ἀπὸ τῆς ἀῤῥωστίας ἐγίνετο, τοῦτο μόνον ἱκανὸν ἦν τοὺς πιστοὺς ὀκνηροτέρους καὶ ῥᾳθυμοτέρους ποιῆσαι. Εἰ γὰρ στρατιῶται τὸν στρατηγὸν τὸν ἑαυτῶν ὁρῶντες τῇ κλίνῃ προσδεδεμένον, ὀκνηρότεροι γίνονται καὶ πρὸς τὴν μάχην ῥᾳθυμότεροι· πολλῷ μᾶλλον εἰκὸς ἦν καὶ τοὺς πιστοὺς τότε τὸν διδάσκαλον ὁρῶντας τὸν τοσαῦτα σημεῖα ἐργασάμενον συνεχῶς ἀῤῥωστοῦντα καὶ τὸ σῶμα κάμνοντα, ἀνθρώπινόν τι παθεῖν. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν τι πρὸς τοῖς εἰρημένοις οἱ ταῦτα διαποροῦντες ζητοῦσι· τίνος γὰρ ἕνεκεν πάλιν οὔτε αὐτὸς ἑαυτὸν, οὔτε ὁ διδάσκαλος αὐτὸν οὕτω διακείμενον ἐθεράπευσεν; ἀλλὰ νεκροὺς μὲν ἤγειρον, καὶ δαίμονας ἤλαυνον, καὶ θανάτου μετὰ περιουσίας ἐκράτουν, σῶμα δὲ ἓν ἠσθενηκὸς οὐ διώρθωσαν, ἀλλ' ἐν ἀλλοτρίοις σώμασι καὶ ζῶντες καὶ τετελευτηκότες τοσαύτην ἐπιδεδειγμένοι δύναμιν, στόμαχον καταπεσόντα οὐκ ἀνέστησαν· καὶ τὸ δὴ μεῖζον

tur et ad omnes posteros per hanc epistolam deveniret : ad ipsam jam probationem veniemus. Ad hanc enim de alia quoque re non minus gravi dubitant quidam, intra se quærentes qua de causa permiserit Deus virum tantam habentem potestatem, cujus ossa et reliquiæ dæmones expellerent, in hujusmodi ægritudinem incidere. Non enim leviter ægrotabat, sed semper et continue, sed frequentes et juges erant ejus infirmitates, ne minimum quidem ipsum respirare concedentes. Unde hoc manifestum? Ex ipsis quæ Paulus scripsit. Non enim dixit : Propter infirmitatem, sed *Propter infirmitates;* neque simpliciter, Propter infirmitates, sed ipsarum continuationem significans dicebat, *Frequentes tuas infirmitates.* Audiant qui diuturno traditi languori, ægre ferunt et animis concidunt. Non solum autem hoc est quod quæritur, quod cum esset sanctus, ægrotabat, et sic frequenter ægrotabat, sed etiam quod publica orbis negotia ipsi erant credita. Si enim unus esset illorum qui in montium vertices secesserunt, et qui in solitudine cellulas compegerunt, et vitam illam a negotiis alienam susceperunt, non esset tam difficile quod quæritur : in medium vero provectum, et tot Ecclesiarum curas habentem creditas sibi, et urbes totas et gentes et totum terrarum orbem tanta cum sedulitate et studio administrantem, infirmitatis necessitati traditum esse, hoc est quod maxime omnium in stuporem agere potest non attentos. Etsi enim non propter se, saltem propter alios, inquit, ipsum valere oportebat. Imperator erat optimus : bellum ab eo conflatum erat non contra infideles tantum, sed et contra dæmones et contra ipsum diabolum; multa cum vehementia hostes omnes urgebant, dissipantes exercitum et in captivitatem trahentes; hic infinitos ad veritatem reducere poterat : et ægrotabat. Etsi enim, inquit, nullum præterea damnum ex hac infirmitate rebus inferretur, ea ipsa sola fideles pigriores et torpidiores reddere poterat. Nam si milites ducem suum lecto affixum cernentes, segniores fiunt et ad pugnam tardiores; multo magis par erat fideles præceptorem tot signa operatum intuentes continue ægrotantem et corporis morbo laborantem, humanum quiddam esse perpessos. Nec vero hæc tantum, sed præter jam dicta etiam aliud quiddam hi dubitant et quærunt : quanam de causa rursum neque ipse se, neque ipsius præceptor ita confectum curavit? sed mortuos quidem suscitabant, et dæmones pellebant, et mortem facile vincebant, unum vero corpus ægrotum non instaurabant; sed qui in alienis corporibus et viventes et mortui tantam exhibuere virtutem, stomachum lapsum non relevabant :

ζον, ὅτι οὐκ αἰσχύνεται Παῦλος οὐδὲ ἐρυθριᾷ μετὰ τοσαῦτα καὶ τηλικαῦτα σημεῖα, ἃ καὶ διὰ ψιλοῦ ῥήματος ἐπεδείκνυτο, Τιμοθέῳ γράφων ἐπὶ τὴν [ἀπὸ] τῆς οἰνοποσίας καταφυγεῖν θεραπείαν. Οὐχ ὅτι τὸ πίνειν οἶνον αἰσχρὸν, μὴ γένοιτο· αἱρετικῶν γὰρ ταῦτα παραγγέλματα· ἀλλ' ὅτι οὐκ ἐνόμιζεν αἰσχύνην εἶναι τὸ μὴ δύνασθαι χωρὶς τῆς ἐκείνου βοηθείας διορθώσασθαι νενοσηκὸς ἓν μέλος. Ἀλλ' ὅμως τοσοῦτον ἀπέσχεν αἰσχυνθῆναι ἐπὶ τούτῳ, ὅτι καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον αὐτὸ ἐποίησεν. Εἴδετε πρὸς πόσον βάθος κατηγάγομεν τὸν λόγον; πῶς τὸ δοκοῦν μικρὸν εἶναι, μυρίων γέμει ζητημάτων;

Φέρε οὖν καὶ τὴν λύσιν ἐπαγάγωμεν· [διὰ γὰρ τοῦτο πρὸς πολὺ βάθος κατέβημεν,] ἵνα διεγείραντες ὑμῶν τὴν διάνοιαν, ἐν ἀσφαλεῖ τὰ νοήματα ἀποθώμεθα. Συγχωρήσατε δέ μοι, πρὶν ἢ τὴν λύσιν τοῖς ζητήμασι τούτοις ἐπαγαγεῖν, εἰπεῖν τι περὶ τῆς ἀρετῆς τοῦ Τιμοθέου καὶ τῆς τοῦ Παύλου κηδεμονίας. Τί γὰρ ἐκείνου φιλοστοργότερον γέγονεν, ὃς ἐκ τοσούτου διαστήματος ὢν καὶ τοσούτοις κυκλούμενος πράγμασιν, ὑπὲρ τῆς ὑγείας τοῦ στομάχου τοῦ μαθητοῦ τοσαύτην ἐποιεῖτο πρόνοιαν καὶ μετὰ ἀκριβείας ἐπέστελλε περὶ τῆς τοῦ νοσήματος διορθώσεως; Τί δὲ τῆς ἀρετῆς ἴσον τῆς Τιμοθέου; ὃς οὕτως ὑπερεώρα τρυφῆς καὶ κατεγέλα πολυτελοῦς τραπέζης, ὡς καὶ εἰς ἀσθένειαν ἐμπεσεῖν ἐκ τῆς ἄγαν σκληραγωγίας καὶ τῆς ἐπιτεταμένης νηστείας. Ὅτι γὰρ οὐ φύσει τοιοῦτος ἦν, ἀλλ' ἀπὸ τῆς νηστείας καὶ τῆς ὑδροποσίας τοῦ στομάχου κατέβαλε τὴν ἰσχὺν, αὐτοῦ τοῦ Παύλου μετ' ἀκριβείας τοῦτο δηλοῦντος ἔστιν ἀκοῦσαι. Οὐ γὰρ ἁπλῶς εἶπεν, Οἴνῳ ὀλίγῳ χρῶ· ἀλλὰ πρότερον εἰπὼν « Μηκέτι ὑδροπότει », τότε τὴν τῆς οἰνοποσίας προσέθηκε συμβουλήν. Τὸ δὲ Μηκέτι δηλοῦντος ἦν ὅτι μέχρι τότε ὑδροπότει καὶ διὰ τοῦτο γέγονεν ἀσθενής. Τίς οὖν οὐκ ἂν ἐκπλαγείη τὴν φιλοσοφίαν αὐτοῦ καὶ τὴν ἀκρίβειαν; Αὐτῶν ἐπελάβετο τῶν οὐρανῶν, καὶ πρὸς τὸ τῆς ἀρετῆς ἄκρον ἦλασε· καὶ ταῦτα ὁ διδάσκαλος αὐτῷ μαρτυρεῖ οὕτω λέγων· « Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ. » Ὅταν δὲ Παῦλος αὐτὸν καλῇ τέκνον καὶ τέκνον πιστὸν καὶ ἀγαπητὸν, ἀρκεῖ τὰ ῥήματα ταῦτα ἅπασαν αὐτοῦ δεῖξαι τὴν ἀρετήν. Αἱ γὰρ τῶν ἁγίων κρίσεις οὐ πρὸς χάριν οὐδὲ πρὸς ἀπέχθειαν γίνονται, ἀλλὰ πάσης εἰσὶν ἀπηλλαγμέναι προλήψεως. Οὐκ ἦν οὕτω ζηλωτὸς ὁ Τιμόθεος, εἰ Παύλου τέκνον ἦν φύσει, ὡς ἐστι θαυμαστὸς νῦν, ὅτι κατὰ σάρκα μηδὲν αὐτῷ προσήκων, διὰ τῆς κατὰ τὴν εὐλάβειαν συγγενείας εἰς τὴν υἱοθεσίαν εἰσήγαγεν αὐτὸν τὴν ἐκείνου, μετὰ ἀκριβείας τοὺς χαρακτῆρας τῆς ἐκείνου φιλοσοφίας διασώζων ἐν ἅπασι. Καθάπερ γὰρ μόσχος ταύρῳ συμβεβλημένος, οὕτω τὸν ζυγὸν εἶλκε μετ' αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης, καὶ οὐδὲν ἧττον τοῦτο διὰ τὴν ἡλικίαν, ἀλλ' ἡ προθυμία ἐξισοῦσθαι τοῖς τοῦ διδασκάλου πόνοις αὐτὸν παρεσκεύαζε. Καὶ τούτων πάλιν μάρτυς αὐτὸς ὁ Παῦλος,

et quod majus est, non veretur nec erubescit Paulus post tot et tanta signa, quæ vel nudo præstitit verbo, Timotheo scribere, ut confugiat ad vini medelam. Non quod vinum bibere turpe sit : absit! hæc sunt enim hæreticorum præcepta; sed quod dedecus esse non putaret, non posse absque illius auxilio unum laborans membrum erigere. Verumenimvero tantum abfuit ut de hoc erubesceret, ut et omnibus posteris hoc fecerit manifestum. Vidistis in quantam sermonem egerimus profunditatem? quomodo quod parvum esse videtur, innumeris quæstionibus scaturit?

3. Eia igitur et solutionem afferamus. Idcirco enim ad imum descendimus, ut mentem vestram excitantes, in tuto sensus collocemus. Concedatis autem mihi, quæso, priusquam his quæstionibus solutionem afferam, aliquid de Timothei virtute et cura Pauli dicere. Quid enim illo fuit amantius, qui tanto absens intervallo et tot circumventus negotiis, pro stomachi sanitate discipuli tantam providentiam gerebat, et diligentissime de morbi correctione scribebat? Timothei porro virtuti quid æquale? qui sic delicias aspernabatur et lautam mensam deridebat, ut in morbum ex nimia victus asperitate et longo ceciderit jejunio. Quod enim natura talis non esset, sed jejunio et aquæ potu stomachi vim prostrasset, ipsum Paulum diligenter hoc manifestantem audire licet. Non enim simpliciter dixit, Vino modico utere : sed cum prius dixisset (1. *Tim.* 5. 23), *Noli adhuc aquam bibere*, tunc bibendi vini consilium attulit. Illud autem *adhuc* est significantis quod eousque aquam bibebat, et propterea imbecillis factus sit. Quis non admiretur ipsius philosophiam et diligentem curam? Ipsos attigerat cælos, ad virtutis culmen pervenerat : et hæc ipsi præceptor attestatur sic dicens (1. *Cor.* 4. 17) : *Misi vobis Timotheum, qui est filius meus dilectus et fidelis in Domino.* Quando autem Paulus ipsum vocat filium, et filium dilectum et fidelem, hæc verba ad demonstrandam omnem ipsius virtutem sufficiunt. Sanctorum enim judicia nec ad gratiam nec ad inimicitiam fiunt, sed ab omni sunt præsumpta opinione libera. Non fuisset tam beatus Timotheus, si Pauli filius a natura fuisset, quam nunc est admirabilis, quia secundum carnem nihil ad ipsum attinens, per cognationem quæ est secundum religionem, in ipsius se adoptionem induxit, cum sedulitate illius disciplinæ characteres in omnibus servans. Sicut enim vitulus tauro conjugatus, sic jugum cum illo trahebat ubique terrarum, et nihilo propter ætatem deficiebat, sed studium, ut cum præceptoris laboribus contenderet, præstabat. Et horum testis rursus ipse Paulus sic dicens

οὕτω λέγων· « Μηδεὶς οὖν αὐτὸν ἐξουδενήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς κἀγώ. » Εἶδες πῶς ἀπαράλλακτον αὐτῷ μαρτυρεῖ σπουδήν; Εἶτα ἵνα μὴ νομισθῇ χάριτι ταῦτα λέγειν, αὐτοὺς τοὺς ἀκροατὰς ποιεῖται μάρτυρας τῆς τοῦ παιδὸς ἀρετῆς, οὕτω λέγων· « Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον [οὕτω] σὺν ἐμοὶ ἐδούλευσεν [ἐν τῷ εὐαγγελίῳ]· πεῖραν ὑμεῖς εἰλήφατε τῆς ἀρετῆς αὐτοῦ καὶ τῆς δοκίμου ψυχῆς. » Ἀλλ' ὅμως πρὸς τοσοῦτον ὕψος κατορθωμάτων ἀνελθὼν, οὐδὲ οὕτως ἐθάρρει, ἀλλ' ἐναγώνιος ἦν καὶ περιδεής· διὸ καὶ μετ' ἀκριβείας ἐνήστευε, καὶ οὐκ ἔπαθε τοῦτο τὸ τῶν πολλῶν, οἳ δέκα μόνον ἢ καὶ εἴκοσι μῆνας νηστείᾳ παρεσχηκότες ἑαυτοὺς, εὐθέως ἅπαντα καταλύουσιν. Ἀλλ' ἐκεῖνος οὐδὲν τοιοῦτον ἔπαθεν, οὐδὲ εἶπέ τι τοιοῦτον πρὸς ἑαυτόν· Τί μοι νηστείας χρεία λοιπόν; περιεγενόμην, ἐκράτησα τῶν ἐπιθυμιῶν, ἐνέκρωσά μου τὸ σῶμα, δαίμονας ἐφόβησα, τὸν διάβολον ἀπήλασα, νεκροὺς ἀνέστησα, λεπροὺς ἐκάθηρα, ταῖς ἀντικειμέναις δυνάμεσίν εἰμι φοβερός· τί μοι νηστείας λοιπὸν δεῖ καὶ τῆς ἐντεῦθεν ἀσφαλείας; Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ὅσῳ μυρίων ἔγεμε κατορθωμάτων, τοσούτῳ μᾶλλον ἐδεδίει καὶ ἔτρεμε· καὶ ταύτην παρὰ τοῦ διδασκάλου τὴν φιλοσοφίαν ἐμάνθανε. Καὶ γὰρ ἐκεῖνος εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, καὶ εἰς παράδεισον ἀπενεχθεὶς, καὶ ἀκούσας ῥήματα ἄῤῥητα, καὶ μυστηρίων κοινωνήσας τοιούτων, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπιόδραμὼν καθάπερ τις ὑπόπτερος, Κορινθίοις ἐπιστέλλων ἔλεγε, « Φοβοῦμαι μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. » Εἰ δὲ Παῦλος ἐφοβεῖτο μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα, ὁ δυνηθεὶς εἰπεῖν ὅτι « Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ, » πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρὴ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν ὦμεν πολλὰ συνειληχότες κατορθώματα. Καὶ γὰρ ὁ διάβολος ἀγριώτερος τότε γίνεται, τότε ἐκθηριοῦται πλέον, ὅταν ἴδῃ μετ' ἐπιμελείας ἡμᾶς τὸν ἑαυτῶν οἰκονομοῦντας βίον· ὅταν ἴδῃ τὰ φορτία τῆς ἀρετῆς συγκείμενα καὶ πολὺν ὄντα τὸν ὄγκον, τότε σπουδάζει χαλεπώτερον ἐργάσασθαι τὸ ναυάγιον. Ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερρίμμενος, κἂν ὑποσκελισθῇ καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει τὴν βλάβην· ὁ δὲ ὥσπερ ἐν ὕψει τινὶ τῇ τῆς ἀρετῆς κορυφῇ μετὰ πολλῆς τῆς περιφανείας ἑστὼς καὶ πᾶσι δῆλος καὶ γνώριμος ὢν καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ τὴν ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ' ὅτι καὶ πολλοὺς ῥᾳθυμοτέρους ἐποίησε τῶν πρὸς αὐτὸν βλεπόντων. Καὶ καθάπερ ἐν σώματι, μέλους μὲν ἑτέρου διαφθαρέντος οὐ πολλὴ ἡ βλάβη, τῶν δὲ ὀφθαλμῶν πηρωθέντων ἢ τῆς κεφαλῆς παραβλαβείσης, ὅλον τὸ σῶμα λοιπὸν ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν ἁγίων καὶ μεγάλα κατορθωκότων ἔστιν εἰπεῖν· ὅταν ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδά τινα προστρίψωνται, ὁλόκληρον καὶ ἀφόρητον τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι.

(1. *Cor.* 16. 10. 11) : *Nemo ipsum contemnat; opus enim Domini operatur, sicut et ego.* Vidisti ut omnino æquale studium ipsi attestetur? Deinde, ne hæc ad gratiam dicere putetur, ipsos auditores filii virtutis testes facit, sic inquiens (*Philipp.* 2. 22) : *Probationem autem ipsius nostis, quod tanquam patri filius, sic mecum servivit in evangelio : experientiam vos cepistis virtutis ipsius et probatæ animæ.* Verumtamen cum ad tantam virtutum altitudinem ascendisset, neque sic confidebat, sed in anxietate animi erat et in timore : ideo intente jejunabat, neque illud passus est quod multi, qui postquam decem tantum vel viginti menses jejunio se tradiderunt, repente omnia dissolvunt. Sed ille nihil tale passus est, neque tale quidpiam intra seipsum dixit : Quid mihi deinceps opus est jejunio? victor evasi, cupiditates superavi, corpus meum mortificavi, dæmones terrui, diabolum depuli, mortuos resuscitavi, leprosos mundavi, adversis potestatibus terribilis sum : quid ego amplius jejunio indigeo et hujusmodi munimento? Nihil tale dixit nec cogitavit; sed quanto magis innumeris affluebat meritis, tanto magis timebat et tremebat : atque hanc a præceptore philosophiam discebat. Etenim ille in tertium raptus cælum, et in paradisum delatus, et auditis ineffabilibus verbis, et mysteriorum factus talium particeps, cum orbem totum percurrisset tanquam alis fultus, ad Corinthios scribens dicebat (1. *Cor.* 9. 27), *Vereor ne forte, cum aliis prædicavero, ipse reprobus efficiar.* Si vero Paulus post talia et tot merita timebat, ille, qui dicere potuit (*Gal.* 6. 14), *Mihi mundus crucifixus est, et ego mundo* : multo magis nos timere oportet, et tanto magis quanto plura collegerimus merita. Tunc enim diabolus sævior efficitur, tunc magis efferatur, cum viderit nos cum diligentia vitam nostram disponentes; cum viderit virtutis onera composita et magnam copiam, tunc gravius inferre naufragium studet. Vilis enim et abjectus etiamsi supplantatus fuerit et ceciderit, non tantam communi vitæ cladem infert : in alta vero quadam tanquam virtutis specula cum multa claritate constitutus, et qui omnibus manifestus et cognitus sit, et ab omnibus in admiratione habeatur, quando tentatus ceciderit, magnam ruinam et jacturam facit : non tantum quod ex alto cecidit, sed quod et alios multos in ipsum respicientes segniores reddidit. Et sicut in corpore, alio quidem membro corrupto, non magnum damnum; oculis autem excæcatis, vel capite graviter læso, totum inde corpus inutile redditur : sic et in sanctis et magna emeritis dicendum est : quando illi extincti fuerint, quando maculam quampiam admiserint, totum corpus reliquum intolerabile detrimentum patitur.

Ταῦτα οὖν ἅπαντα ὁ Τιμόθεος εἰδὼς, πανταχόθεν ἑαυτὸν ἠσφαλίζετο. Ἤδει ὅτι χαλεπὸν ἡ νεότης, ὅτι εὐρίπιστον, εὐεξαπάτητον, εὐόλισθον, καὶ σφοδροτέρου δεῖται τοῦ χαλινοῦ· πυρὰ γάρ τίς ἐστι τῶν ἔξωθεν ἐπιλαμβανομένη ἁπάντων, ῥᾳδίως ἐκκαιομένη καὶ ταχέως. Διὰ τοῦτο πανταχόθεν αὐτὴν ἔφραττεν ὥστε συνεστάλθαι, καὶ τὴν φλόγα ταύτην παντὶ τρόπῳ μαραίνειν ἐσπούδαζε, καὶ τὸν ἵππον δυσχάλινον ὄντα καὶ δυσήνιον μετὰ πολλῆς ἤγχε τῆς σφοδρότητος, ἕως ὅτε αὐτοῦ τὰ σκιρτήματα περιέκοψεν, ἕως εὐήνιον ἐποίησε καὶ μετὰ πολλῆς τῆς ἐξουσίας ταῖς χερσὶ τοῦ ἡνιοχοῦντος αὐτὸν παρέδωκε λογισμοῦ. Ἀσθενείτω, φησὶ, τὸ σῶμα, καὶ μὴ ἀσθενείτω ἡ ψυχή· χαλινούσθω ἡ σὰρξ, καὶ μὴ συμποδιζέσθω ὁ πρὸς τὸν οὐρανὸν τῆς ψυχῆς δρόμος. Μετὰ δὲ τούτων κἀκεῖνο μάλιστα ἄν τις αὐτὸν ἀγάσαιτο, ὅτι καὶ ἐξησθενηκὼς οὕτως, καὶ τοσαύτῃ παλαίων ἀῤῥωστίᾳ, τῶν κατὰ Θεὸν οὐκ ἠμέλει πραγμάτων, ἀλλὰ τῶν ὑγιαινόντων καὶ σῴζοντων τὰ σώματα μᾶλλον πανταχοῦ περιίπτατο, νῦν μὲν εἰς Ἔφεσον, νῦν δὲ εἰς Κόρινθον, ἐν Μακεδονίᾳ πολλάκις, ἐν Ἰταλίᾳ, πανταχοῦ τῆς γῆς, πανταχοῦ τῆς θαλάττης μετὰ τοῦ διδασκάλου φαινόμενος, καὶ κοινωνῶν ἐν πᾶσι τῶν ἀγώνων αὐτῷ καὶ τῶν ἐπαλλήλων κινδύνων, καὶ τὴν φιλοσοφίαν τῆς ψυχῆς οὐκ ἤλεγξεν ἡ τοῦ σώματος ἀῤῥωστία· τοσοῦτόν ἐστιν ὁ κατὰ Θεὸν ζῆλος, οὕτω κοῦφον ἐργάζεται τὸ πτερόν. Ὥσπερ γὰρ τοῖς τὰ σώματα ἔχουσιν εὐεκτοῦντα καὶ ὑγιῆ κέρδος οὐδὲν ἔσται τῆς εὐεξίας, ἐὰν ἡ ψυχὴ καταβεβλημένη ᾖ καὶ ῥᾴθυμος καὶ νωθής, οὕτω τοῖς ἐξησθενημένοις οὐδὲν ἔσται βλάβος ἀπὸ τῆς ἀῤῥωστίας, ἐὰν ἡ ψυχὴ γενναία ᾖ καὶ διεγηγερμένη.

Δοκεῖ μὲν οὖν τισιν ἡ παραίνεσις αὕτη καὶ συμβουλὴ ἐξουσίαν διδόναι πρὸς ἀδεεστέραν οἰνοποσίαν· τὸ δὲ οὐ τοιοῦτόν ἐστιν· ἀλλ' εἴ τις μετ' ἀκριβείας ἐξετάσειε τὴν ῥῆσιν αὐτὴν, νηστείας μᾶλλόν ἐστι τὸ πρᾶγμα παραίνεσις. Ἐννόησον γὰρ πῶς οὐκ ἐξ ἀρχῆς οὐδὲ ἐκ προοιμίων τοῦτο συνεβούλευσεν ὁ Παῦλος, ἀλλ' ὅτε εἶδεν καταβεβλημένην τὴν ἰσχὺν ἅπασαν, τότε συνεβούλευσε, καὶ οὐδὲ τότε ἁπλῶς, ἀλλὰ μετὰ προδιορισμοῦ τινος. Οὐ γὰρ εἶπεν ἁπλῶς, Οἴνῳ χρῶ, ἀλλ' « Οἴνῳ ὀλίγῳ· » οὐκ ἐπειδὴ Τιμόθεος ταύτης ἐδεῖτο τῆς παραινέσεως καὶ τῆς συμβουλῆς, ἀλλ' ἐπειδὴ ἡμεῖς δεόμεθα. Διὰ τοῦτο ἐπιστέλλων ἐκείνῳ, μέτρα καὶ ὅρους ἡμῖν τίθησιν οἰνοποσίας, τοσοῦτον κελεύων πίνειν, ὅσον διορθοῦν ἀσθένειαν, ὅσον ὑγίειαν παρέχειν τῷ σώματι, ἀλλὰ μὴ νόσον ἑτέραν. Τῆς γὰρ ὑδροποσίας τῆς ἀφάτου οὐκ ἐλάττονα, ἀλλὰ καὶ πολλῷ πλείονα καὶ χαλεπώτερα ἡ ἄμετρος οἰνοποσία τίκτει νοσήματα τῷ σώματι καὶ τῇ ψυχῇ, τὸν πόλεμον τῶν παθῶν καὶ τὸν χειμῶνα τῶν ἀτόπων λογισμῶν ἐπεισάγουσα τῇ διανοίᾳ, καὶ τοῦ σώματος τὴν ἰσχὺν χαυνοτέραν καὶ πλαδαρωτέραν ἐργαζομένη. Οὐ γὰρ οὕτως ἡ τῆς γῆς φύσις ἐνοχληθεῖσα τῇ τῶν ὑδάτων πλεονεξίᾳ συνεχῶς διαλύεται, ὡς ἡ τοῦ σώματος

6. Hæc igitur omnia nota habens Timotheus, undique se muniebat. Sciebat quod difficilis res juventus, quod jactabilis, deceptu facilis, labilis sit, et vehementiori indigeat fræno : pyra enim est quædam exteriora apprehendens omnia, facileque ac celeriter succendens. Idcirco ipsam undique obstruebat, ut compesceret, et hanc flammam omni modo hebetare studebat; atque equum effrænem et vix habenis parentem multa cum vehementia angebat, donec ipsius lascivias circumcideret, donec obedientem redderet, et traderet magna cum potestate ducentis ipsum rationis imperio. Infirmetur, inquit, corpus, et non infirmetur animus : refrænetur caro, et animæ ad cælum cursus non impediatur. Ad hæc autem et illud maxime quisque in ipso mirabitur, quod tali laborans infirmitate, et tanta cum ægritudine luctans, Dei negotia non negligebat, sed amplius quam valentes et corpora vigentes circumquaque volitabat, jam Ephesum, jam Corinthum, in Macedonia sæpe, in Italia, ubique terrarum, ubique marium cum præceptore apparens; in omnibus certamina et continua pericula cum ipso communicabat; neque animi philosophiam retudit corporis imbecillitas : tantum valet in Deum zelus, tam leves efficit alas. Sicut enim corpora habentibus firma et valida nullum erit valetudinis emolumentum, si animus dejectus fuerit, segnis et tardus : sic et confectis nullum erit ex imbecillitate nocumentum, si animus generosus et expergefactus fuerit.

Videtur autem quibusdam hæc admonitio, hoc consilium liberioris vini potus potestatem indulgere. At non ita est : verum si quis dictionem ipsam diligenter exquirat, de sobrietate magis est admonitio. Cogita enim quomodo non a principio neque ab exordiis hoc consilium Paulus dederit, sed postquam vidit omnem vim corporis dejectam, tunc consuluit : neque hoc simpliciter, sed cum præfinitione quadam : non enim simpliciter dixit, Vino utere, sed, *Vino modico :* non quod hac admonitione et consilio hoc Timotheus egeret, sed quod nos indigemus. Idcirco ad illum scribens, nobis bibendi vini mensuram et terminos statuit; tantum bibere jubens, quantum valetudinem erigat, quantum corpori sanitatem præbeat, non morbum alterum. Haud pauciores enim quam immoderatus aquæ potus, sed multo plures et difficiliores animi et corporis morbos immodica vini parit potatio, passionum bellum, absurdarum cogitationum procellam in mentem inducens, et corporis vim infirmiorem et fluxam magis efficiens. Non enim ita terræ natura vexata aquarum superabundantia continue dissolvitur, ut corporis vis

δύναμις χαυνοῦται καὶ διαῤῥεῖ καὶ ἐξίτηλος γίνεται συνεχῶς οἰνοποσίαις ἐπαντλουμένη. Φεύγωμεν τοίνυν τὰς ἀμετρίας ἑκατέρωθεν, καὶ τῆς ὑγείας ἐπιμελώμεθα τοῦ σώματος, καὶ τὰ σκιρτήματα αὐτοῦ περικόπτωμεν. Οἶνος γὰρ ἐδόθη παρὰ Θεοῦ, οὐχ ἵνα μεθύωμεν, ἀλλ' ἵνα νήφωμεν, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀλγῶμεν. « Οἶνος γάρ, φησὶν, εὐφραίνει καρδίαν ἀνθρώπου· » σὺ δὲ αὐτὸν ἀθυμίας ὑπόθεσιν ποιεῖς· καὶ γὰρ βαρύθυμοι οἱ μεθύοντες μεθ' ὑπερβολῆς, σκότους πολλοῦ κατασκεδαννυμένου τῶν λογισμῶν. Φάρμακόν ἐστιν ἄριστον, ὅταν τὴν συμμετρίαν ἔχῃ ἀρίστην. Τοῦτο καὶ πρὸς αἱρετικοὺς ἡμῖν χρήσιμον τὸ χωρίον, τοὺς διαβάλλοντας τοῦ Θεοῦ τὴν κτίσιν· εἰ γὰρ ἦν τῶν κεκωλυμένων, οὐκ ἂν ἐπέτρεψεν ὁ Παῦλος, οὐκ ἂν εἶπεν οἴνῳ κεχρῆσθαι. Οὐ πρὸς αἱρετικοὺς δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀφελεστέρους τῶν ἡμετέρων ἀδελφῶν, οἳ ἐπειδὰν ἴδωσί τινας ἀπὸ μέθης ἀσχημονοῦντας, ἀφέντες κακίζειν ἐκείνους, τὸν παρὰ τοῦ Θεοῦ δοθέντα καρπὸν διαβάλλουσι, λέγοντες, Μὴ ἔστω οἶνος. Λέγωμεν τοίνυν πρὸς αὐτοὺς, Μὴ ἔστω μέθη· οἶνος μὲν γὰρ ἔργον Θεοῦ, μέθη δὲ ἔργον διαβόλου· οὐχ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ ἀσωτία ποιεῖ τὴν μέθην· μὴ διάβαλλε τοῦ Θεοῦ τὸ δημιούργημα, ἀλλὰ κατηγόρει τῆς τοῦ συνδούλου μανίας· σὺ δὲ ἀφεὶς τὸν ἁμαρτάνοντα κολάζειν καὶ διορθοῦσθαι, τὸν εὐεργετοῦντα ὑβρίζεις.

Ὅταν τοίνυν ἀκούσωμέν τινων ταῦτα λεγόντων, ἐπιστομίζωμεν· οὐ γὰρ ἡ χρῆσις, ἀλλ' ἡ ἀμετρία τὴν μέθην ποιεῖ, μέθην τὴν κακῶν ῥίζαν ἁπάντων. Οἶνος ἐδόθη, ἵνα σώματος ἀσθένειαν διορθώσηται, οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλῃ, ἵνα σαρκὸς ἀῤῥωστίαν ἀνέλῃ, οὐχ ἵνα ψυχῆς ὑγίειαν λυμαίνηται. Μὴ τοίνυν ἀμέτρως κεχρημένος τῇ τοῦ Θεοῦ δωρειᾷ πάρεχε λαβὰς τοῖς ἀνοήτοις καὶ ἀφελεστέροις τῶν ἀνθρώπων. Τί γὰρ ἐλεεινότερον μέθης; [νεκρός ἐστιν ἔμψυχος ὁ μεθύων· δαίμων ἐστὶν αὐθαίρετος, νόσημα συγγνώμην οὐκ ἔχον, πτῶμα ἀπολογίας ἐστερημένον, κοινὴ τοῦ γένους ἡμῶν ἀσχημοσύνη.] Οὐ γὰρ ἐν συνουσίαις μόνον ἄχρηστος ὁ μεθύων, οὐδ' ἐν ἰδιωτικοῖς καὶ δημοσίοις πράγμασιν, ἀλλὰ καὶ ἐν ψιλῇ θεωρίᾳ πάντων ἐστὶν ἀηδέστερος, [ὀσμωδίας πνέων· ἐρυγαὶ καὶ χασμήσεις καὶ αἱ φωναὶ τῶν μεθυόντων ἀτερπεῖς [καὶ] ἀηδεῖς βδελυγμίας ἰσχάτης πληροῦσι τοὺς ὁρῶντας καὶ συγγινομένους·]καὶ τὸ κεφάλαιον τῶν κακῶν, ὅτι τὸν οὐρανὸν ἄβατον ποιεῖ τοῖς μεθύουσι τοῦτο τὸ νόσημα, καὶ τῶν αἰωνίων ἀγαθῶν οὐκ ἀφίησιν ἐπιτυχεῖν, ἀλλὰ μετὰ τῆς ἐνταῦθα ἀσχημοσύνης καὶ ἐκεῖ κόλασις ἀφόρητος τοὺς τὰ τοιαῦτα νοσοῦντας ἀναμένει. Περικόψωμεν τοίνυν τὴν πονηρὰν ταύτην συνήθειαν, καὶ ἀκούσωμεν Παύλου λέγοντος, « Οἴνῳ ὀλίγῳ χρῶ· » καὶ γὰρ αὐτὸν τὸν ὀλίγον διὰ τὴν ἀσθένειαν ἐπέτρεψεν· εἰς εἰ μὴ ἦν ἀσθένεια διενοχλοῦσα, οὐκ ἂν ἠνάγκασε τὸν μαθητὴν οὐδὲ τὸν ὀλίγον προσίεσθαι. Καὶ γὰρ καὶ τὰ ἀναγκαίως ἡμῖν παρὰ τοῦ Θεοῦ δοθέντα σῖτα καὶ

mollescit et diffluit et perit vini potu continuo ingurgitata. Fugiamus igitur utrimque intemperantiam tam valetudinem corporis curando, quam lascivias ipsius recidendo. Vinum enim a Deo datum est, non ut inebriemur, sed ut sobrii simus; ut delectemur, non ut doleamus. *Vinum* enim *lætificat*, inquit David (*Psal.* 103. 15), *cor hominis* : tu vero ipsum tristitiæ materiam facis. Etenim animo gravato sunt supra modum ebrii, tenebris multis menti offusis. Medicina optima est, quando mensuram et modum habet optimum. Hic locus et contra hæreticos utilis est Dei creaturam accusantes : si enim de vetitis esset, non permisisset Paulus, non vino utendum dixisset. Non solum autem contra hæreticos, sed et contra fratrum nostrorum simpliciores, qui postquam aliquos præ ebrietate se deturpantes viderunt, illos vituperare omittentes, fructum a Deo datum calumniantur, dicentes, Ne sit vinum. Nos igitur dicamus ipsis, Ne sit ebrietas. Vinum enim Dei, ebrietas diaboli opus est; non vinum ebrietatem facit, sed intemperantia ebrietatem facit : ne Dei creaturam accuses, sed conservi insaniam argue. Tu vero peccantem punire et corrigere omittens, benefactorem afficis contumelia.

5. Cum igitur quosdam hæc dicentes audimus, obmutescere faciamus : non enim usus, sed immoderatio ebrietatem facit : ebrietatem, inquam, malorum omnium radicem. Vinum datum est, ut languidum corpus erigat, non ut animæ robur opprimat; ut carnis imbecillitatem tollat, non ut animi sanitatem exterminet. Noli igitur, immoderate Dei munere utens, stultis et simplicioribus hominibus offensionem præbere. Quid enim ebrietate miserabilius? [ebrius est mortuus animatus : dæmon est sponte admissus, morbus veniam non habens, ruina excusatione carens, commune generis nostri opprobrium.] Non enim in conventibus tantum inutilis ebrius, aut in privatis et publicis negotiis, sed etiam solo est aspectu omnium ingratissimus,[fœtores exhalans teterrimos : eructationes et oscitationes, et ipsæ voces ebriorum insuaves atque molestæ eos qui spectant et una sunt, extrema fœditate implent;]et quod malorum caput est, cælum ebrius inaccessum hic morbus efficit, nec æterna bona assequi permittit, sed præter hujus vitæ turpitudinem, etiam illic tali morbo laborantes pœna manet intolerabilis. Hanc igitur improbam consuetudinem recidamus, et Paulum audiamus dicentem, *Vino modico utere* : ipsum etiam modicum propter infirmitatem permisit : quod nisi imbecillitas vexasset, ne modicum quidem admittere discipulum cogisset. Oportet enim necessario nobis a Deo datos cibos et potus temporibus et necessitatibus semper metiri

ποτὰ τοῖς καιροῖς καὶ ταῖς χρείαις ἀεὶ μετρεῖν τοὺς κεχρημένους προσήκει, καὶ μηδαμοῦ τὴν χρείαν ὑπερβαίνειν, μηδὲ ἁπλῶς καὶ εἰκῇ τι ποιεῖν.

Ἀλλ' ἐπειδὴ τὴν τοῦ Παύλου κηδεμονίαν καὶ τὴν ἀρετὴν ἐμάθομεν τὴν Τιμοθέου, φέρε λοιπὸν ἐπ' αὐτὴν τὴν λύσιν τῶν ζητημάτων τὸν λόγον ἀγάγωμεν. Τίνα οὖν ἦν τὰ ζητούμενα; ἀναγκαῖον γὰρ πάλιν εἰπεῖν, ἵνα σαφεστέρα ἡ λύσις γένηται. Τίνος οὖν ἕνεκεν ἅγιον τοιοῦτον καὶ τοσαῦτα οἰκονομοῦντα πράγματα εἰς ἀῤῥωστίαν συνεχώρησεν ὁ Θεὸς ἐμπεσεῖν, καὶ οὔτε αὐτὸς οὔτε ὁ διδάσκαλος ἴσχυσαν τὸ νόσημα διορθώσασθαι, ἀλλὰ τῆς κατὰ τὴν οἰνοποσίαν ἐδεήθησαν βοηθείας; Καὶ τὰ μὲν ζητούμενα ταῦτα ἦν· δεῖ δὲ αὐτὴν ἐπαγαγεῖν τὴν λύσιν, ὡς μὴ μόνον εἴ τινες νόσῳ καὶ ἀῤῥωστίᾳ [τοιαύτῃ] περιπέσοιεν, ἀλλὰ καὶ εἴ τινες πενίᾳ καὶ λιμῷ καὶ δεσμοῖς καὶ βασάνοις καὶ ἐπηρείαις καὶ συκοφαντίαις καὶ πᾶσι τοῖς κατὰ τὸν παρόντα βίον δεινοῖς ἅγιοι καὶ μεγάλοι καὶ θαυμαστοὶ, καὶ ἐπ' ἐκείνων ἀπὸ τῶν σήμερον ῥηθησομένων ἀκριβῆ καὶ σαφεστάτην δυνηθῶμεν εὑρέσθαι τὴν ἀπολογίαν πρὸς τοὺς ἐγκαλεῖν βουλομένους. Καὶ γὰρ ἀκούω πολλῶν τοιαῦτα ζητούντων· τί δήποτε ὁ δεῖνα μέτριος ὢν καὶ ἐπιεικὴς ἄνθρωπος ὑφ' ἑτέρου παρανόμου τινὸς καὶ πονηροῦ καθ' ἑκάστην ἡμέραν εἰς δικαστήριον ἕλκεται, καὶ μυρία πάσχει δεινὰ, καὶ ὁ Θεὸς συγχωρεῖ; τίνος ἕνεκεν ἕτερος συκοφαντηθεὶς ἀπέθανεν ἀδίκως; Ὁ δεῖνα κατεπονεῖσθαι, φησὶν, ἄλλος κατεχρημάνισθη· καὶ πολλοὺς ἂν ἔχοιμεν ἁγίους εἰπεῖν καὶ ἐφ' ἡμῶν καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πολλὰς ὑποστάντας θλίψεις καὶ διαφόρους καὶ ποικίλας. Ἵνα οὖν ἁπάντων τούτων τὸν λόγον εἰδῶμεν, καὶ μήτε αὐτοὶ θορυβώμεθα, μήτε ἑτέρους σκανδαλιζομένους περιορῶμεν, μετ' ἀκριβείας ἁπάσης τοῖς λεχθήσεσθαι μέλλουσι νῦν προσέχωμεν.

Τῆς γὰρ τῶν ἁγίων κακώσεως τῆς ποικίλης καὶ παντοδαπῆς ὀκτὼ τὸν ἀριθμὸν αἰτίας ἔχω πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. Διὸ συντείνατε ἑαυτοὺς μετὰ ἀκριβείας ἅπαντες, εἰδότες ὡς οὐδεμία λοιπὸν ἔσται ἡμῖν συγγνώμη καὶ ἀπολογία σκανδαλιζομένοις ἐπὶ τοῖς συμβαίνουσιν, εἴ γε τοσούτων προφάσεων οὐσῶν, ὡς μηδεμιᾶς οὔσης οὕτω μέλλοιμεν θορυβεῖσθαι καὶ ταράττεσθαι. Πρῶτον μὲν οὖν, διὰ τὸ μὴ ταχέως αἴρεσθαι εἰς ἀπόνοιαν τῷ μεγέθει τῶν κατορθωμάτων καὶ τῶν θαυμάτων, ἀφίησιν αὐτοὺς ὁ Θεὸς κακοῦσθαι. Δεύτερον, ἵνα μὴ μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν ὑπόνοιαν ἔχωσιν ἕτεροι, καὶ θεοὺς ἀλλ' οὐκ ἀνθρώπους αὐτοὺς εἶναι νομίσωσιν. Τρίτον, ἵνα ἡ τοῦ Θεοῦ φαίνηται δύναμις διὰ τῶν ἐξασθενούντων, διὰ τῶν δεσμουμένων κρατοῦσα καὶ περιγινομένη, καὶ τὸ κήρυγμα αὔξουσα. Τέταρτον, ἵνα αὐτῶν ἐκείνων ἡ ὑπομονὴ φανερὰ γένηται οὐκ ἐπὶ μισθῷ τῷ Θεῷ δουλευόντων, ἀλλὰ καὶ τοσαύτην ἐπιδεικνυμένων εὐγνωμοσύνην, ὡς καὶ μετὰ τοσαῦτα κακὰ τὴν ἀκεραίαν περὶ αὐτὸν ἐπιδείκνυσθαι εὔνοιαν. Πέμπτον, ἵνα περὶ

sumentes, et nullatenus necessitatem excedere, neque imprudenter et temere quid facere.

Sed postquam Pauli curam et Timothei virtutem didicimus, eia deinceps ad ipsam quæstionum solutionem deducatur oratio. Quænam igitur quærebantur? iterum enim dicere necessarium est, ut solutio manifestior efficiatur. Qua de causa sanctum talem, tanta tractantem negotia, in morbum Deus incidere permisit, et neque ipse, neque præceptor ægritudinem curare potuerunt, sed bibendi vini auxilio opus habuerunt? Et quæsita quidem hæc erant : oportet autem ipsam inferre solutionem, ut non tantum si qui in morbum et ægritudinem inciderint, sed et si qui in paupertatem et famem et vincula et tormenta et vexationes et calumnias cæteraque præsentis vitæ incommoda inciderint sancti et magni et admirabiles viri, pro his quoque ex rebus hodie dicendis idoneam et manifestissimam defensionem contra accusare volentes invenire possitis. Multos enim audio talia quærentes : Quid tandem ille modestus et mansuetus homo ab alio quodam improbo et scelesto homine per singulos dies in judicium trahitur, et innumeras patitur molestias, et Deus permittit? quare alter falso crimine accusatus, injuste mortuus est? Ille submersus est, inquit, alius præcipitatus : et multos possemus referre sanctos et nostris et majorum nostrorum temporibus, qui multas sustinuerunt tribulationes, differentes et varias. Ut igitur horum omnium rationem cognoscamus, et neque ipsi perturbemur, neque alios scandalizatos negligamus, nunc dicendis diligentissimo attendamus.

6. Variæ enim et omnimodæ sanctorum afflictionis causas numero octo caritati vestræ dicere possum. Idcirco omnes cum diligentia animum adhibete, scientes quod nulla deinceps nobis venia et excusatio dabitur, si de contingentibus scandalizemur, quippe qui, cum sint tam multæ rationes, tanquam nulla esset, ita moveamur et perturbemur. Itaque prima quidem est quod ne facile in arrogantiam propter meritorum et miraculorum magnitudinem tollantur, ipsos Deus sinat affligi. Secunda, ne ceteri majorem habeant de ipsis opinionem, quam humana patitur natura, et ipsos deos, non autem homines esse arbitrentur. Tertia, ut Dei virtus appareat per ægrotantes, per compeditos exsuperans et vincens, ac prædicationem augens. Quarta, ut ipsorum illorum patientia manifesta fiat, non propter mercedem Deo servientium, sed tantam exhibentium devotionem, ut et post tot mala sincera in ipsum benevolentia ostendatur. Quinta, ut de resurrectione

ἀναστάσεως φιλοσοφῶμεν· ὅταν γὰρ ἴδῃς ἄνδρα δίκαιον καὶ πολλῆς γέμοντα ἀρετῆς μυρία παθόντα δεινὰ, καὶ οὕτως ἀπελθόντα ἐντεῦθεν, καὶ ἄκων ἀναγκασθήσῃ πάντως ἐννοῆσαί τι περὶ τῆς ἐκεῖ κρίσεως. Εἰ γὰρ ἄνθρωποι τοὺς ὑπὲρ αὐτῶν κάμνοντας οὐκ ἀφιᾶσι χωρὶς μισθῶν καὶ ἀμοιβῆς ἀπελθεῖν, πολλῷ μᾶλλον ὁ Θεὸς τοὺς τοσαῦτα πεπονηκότας οὐκ ἂν ἔλοιτό ποτε ἀστεφανώτους ἀρεῖναι· εἰ δὲ οὐκ ἂν ἔλοιτο τῆς τῶν πόνων (αὐτῶν) ἀμοιβῆς αὐτοὺς ἀποστερῆσαι, πάντως ἀνάγκη τινὰ καιρὸν εἶναι ἕτερον μετὰ τὴν ἐντεῦθεν τελευτὴν, καθ' ὃν ἀπολήψονται τὰς ἀμοιβὰς τῶν ἐνταῦθα πόνων. Ἕκτον, ἵνα πάντες οἱ περιπίπτοντες τοῖς δεινοῖς ἱκανὴν ἔχωσι παράκλησιν καὶ παραμυθίαν εἰς ἐκείνους ἀφορῶντες καὶ τῶν συμβεβηκότων αὐτοῖς μεμνημένοι κακῶν. Ἕβδομον, ἵνα ὅταν παρακαλῶμεν ὑμᾶς πρὸς τὴν ἐκείνων ἀρετὴν, καὶ πρὸς ἕκαστον ὑμῶν λέγωμεν ὅτι Ζήλωσον Παῦλον καὶ ζήλωσον Πέτρον, μὴ νομίζοντες διὰ τὴν τῶν κατορθωμάτων ὑπερβολὴν ἑτέρας αὐτοὺς μετεσχηκέναι φύσεως, ἀποκνήσητε πρὸς τὴν μίμησιν. Ὄγδοον, ἵνα ὅταν δέῃ μακαρίζειν καὶ ταλανίζειν, μάθωμεν τίνας μὲν [χρὴ] μακαρίους ἡγεῖσθαι, τίνας δὲ ἀθλίους καὶ ταλαιπώρους. Καὶ αἱ μὲν αἰτίαι αὗται· δεῖ δὲ αὐτὰς ἀπὸ τῶν Γραφῶν πιστώσασθαι πάσας, καὶ δεῖξαι μετὰ ἀκριβείας, ὡς οὐκ ἀνθρωπίνων λογισμῶν ἐπίνοια, ἀλλὰ τῶν Γραφῶν ἐστιν ἀπόφασις τὰ εἰρημένα ἅπαντα. Οὕτω γὰρ καὶ ὁ λόγος ἡμῖν ἀξιοπιστότερος ἔσται, καὶ μᾶλλον ἐγκαθεδεῖται ταῖς ὑμετέραις ψυχαῖς. Ὅτι μὲν οὖν εἰς τὸ μετριάζειν καὶ ταπεινοφρονεῖν καὶ τὸ μὴ φυσᾶσθαι ἐκ τῶν κατορθωμάτων καὶ τῶν σημείων συμβάλλεται τοῖς ἁγίοις ἡ κάκωσις, καὶ διὰ τοῦτο συνεχώρησεν αὐτὴν ὁ Θεὸς γενέσθαι, καὶ τοῦ προφήτου Δαυὶδ καὶ τοῦ Παύλου τὰ αὐτὰ λεγόντων ἀκούσομεν. Ἐκεῖνος μὲν γάρ φησιν, « Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου »· οὗτος δὲ εἰπὼν ὅτι « Ἡρπάγην εἰς τρίτον οὐρανὸν, καὶ εἰς τὸν παράδεισον ἀπηνέχθην », ἐπήγαγε λέγων, « Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σατᾶν, [ἵνα με κολαφίζῃ]. » Τί τούτου σαφέστερον; Ἵνα μὴ ὑπεραίρωμαι, φησὶ, διὰ τοῦτο συνεχώρησεν ὁ Θεὸς τοὺς ἀγγέλους τοῦ σατανᾶ κολαφίζειν με· ἀγγέλους δὲ τοῦ σατανᾶ οὐχὶ δαίμονας λέγει τινάς, ἀλλὰ ἀνθρώπους τοὺς ὑπηρετουμένους τῷ διαβόλῳ, τοὺς ἀπίστους, τοὺς τυράννους, τοὺς Ἕλληνας, οἳ συνεχῶς αὐτὸν ἔθλιβον καὶ συνεχῶς ἤλαυνον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἠδύνατο, φησὶν, ὁ Θεὸς καταστεῖλαι τοὺς διωγμοὺς καὶ τὰς θλίψεις τὰς ἐπαλλήλους· ἀλλ' ἐπειδὴ ἡρπάγην εἰς τρίτον οὐρανὸν καὶ ἀπηνέχθην εἰς τὸν παράδεισον, ἵνα μὴ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων τούτων ἐπαρθῶ καὶ μέγα φρονήσω, συνεχώρησε τοὺς διωγμοὺς τούτους, καὶ τοὺς ἀγγέλους τοῦ σατανᾶ ἀφῆκε κολαφίζειν με διὰ τῶν διωγμῶν καὶ τῶν θλίψεων, ἵνα μὴ ὑπεραίρωμαι. Εἰ γὰρ καὶ ἅγιοι καὶ θαυμαστοὶ οἱ περὶ Παῦλον καὶ

ratiocinemur : cum enim virum justum et multa plenum virtute, innumera passum mala, et sic hinc digressum videris, vel invitus de futuro ibi judicio cogites oportet. Si enim pro se homo laborantes sine præmiis et retributione abire non permittit : multo magis eos, qui tantum laboraverunt, numquam incoronatos remanere Deus deceret. Si autem ipsos laborum suorum retributione privare nolit, omnino necesse est quoddam aliud tempus esse post præsentium finem, quo præsentis vitæ laborum retributiones recipiant. Sexta, ut omnes in res adversas incidentes, sufficientem consolationem habeant, in illos respicientes, et malorum quæ iis acciderunt memores. Septima, ne quando exhortamur vos ad illorum virtutem, et cuique dicimus, Imitare Paulum, imitare Petrum, propter gestorum illis sublimitatem ipsos non ejusdem cujus vos naturæ participes fuisse cogitantes, ad imitationem torpeatis. Octava, ut, quando beatos vel miseros censere oportet, discamus quos beatos, quos miseros et ærumnosos putare debeamus. Hæ quidem sunt causæ : sed oportet eas omnes ex Scripturis confirmare, et diligenter demonstrare omnia supra dicta non humanarum cogitationum inventa, sed divinarum Scripturarum sententias esse. Sic enim et oratio erit nobis fide dignior, et melius animis vestris insidebit. Quod igitur tribulatio conferat hoc sanctis, ut modesti sint et humiles, nec inflentur ex gestis et signis, et propter hoc ipsam evenire Deus permittat, prophetam David et Paulum eadem dicentes audiamus. Ille quidem dicit (*Psal.* 118. 71), *Bonum mihi, Domine, quia humiliasti me, ut discam justificationes tuas*; hic autem præfatus (2. *Cor.* 12. 2. 4. 7), *Raptus sum in tertium cælum, et in paradisum elatus*; subintulit, *Et ne revelationum magnitudo extollat me, datus est mihi stimulus carnis, angelus satanæ, ut me colaphizet.* Quid hoc apertius? Ne extollar, inquit, propter hoc permisit Deus angelos satanæ colaphizare me. Angelos autem satanæ, non dæmones aliquos dicit, sed homines diabolo ministrantes, infideles, tyrannos, gentiles, qui assidue ipsi molesti erant, ipsumque vexabant. Quod autem dicit hujusmodi est : Poterat, inquit, Deus continere persecutiones et ærumnas assiduas; sed quoniam in tertium raptus fui cælum, et in paradisum elatus, ne harum magnitudine revelationum extollar et altum sapiam, permisit persecutiones has, et angelo satanæ per persecutiones et tribulationes me colaphizare, ne extollar. Etsi enim sancti et admirabiles sint Paulus et Petrus, et omnes

Πέτρον καὶ πάντες ὅσοι τοιοῦτοι, ὥσπερ οὖν καὶ εἰσὶν, ἀλλ' ἄνθρωποί εἰσι, καὶ δέονται πολλῆς γε τῆς ἀσφαλείας εἰς τὸ μὴ ῥᾳδίως ἐπαίρεσθαι, καὶ μάλιστα πάντων οἱ ἅγιοι. Οὐδὲν γὰρ οὕτως εἰς ἀπόνοιαν αἴρειν εἴωθεν ὡς συνειδὸς [γέμον] κατορθωμάτων καὶ ψυχὴ μετὰ παῤῥησίας ζῶσα. Ἵνα οὖν μηδὲν τοιοῦτον πάσχωσιν ἐκεῖνοι, τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις συνεχώρησεν εἶναι, δυναμένας αὐτοὺς καταστέλλειν καὶ πείθειν μετριάζειν ἐν ἅπασιν.

Ὅτι δὲ καὶ εἰς τὸ δειχθῆναι τοῦ Θεοῦ τὴν ἰσχὺν τὰ μεγάλα τοῦτο αὐτὸ συντελεῖ, καὶ τοῦτο ἄκουσον παρὰ τοῦ αὐτοῦ ἀποστόλου τοῦ τὸ πρότερον εἰρηκότος. Ἵνα γὰρ μὴ λέγῃς, ὃ οἱ ἄπιστοι νομίζουσι, τὸν Θεὸν τὸν ταῦτα συγχωροῦντα ἀσθενῆ τινα εἶναι καὶ μὴ δυνάμενον ἐξαρπάσαι τῶν κινδύνων τοὺς ἑαυτοῦ, συγχωρεῖ αὐτοὺς κακοῦσθαι συνεχῶς. Καὶ τοῦτο σκόπει πῶς διὰ τούτων ἐσαφήνισεν ὁ Παῦλος, δεικνὺς ὅτι οὐ μόνον ἀσθένειαν αὐτοῦ οὐ κατηγορεῖ τὰ γινόμενα, ἀλλὰ καὶ μειζόνως αὐτοῦ τὴν δύναμιν ἐπιδείκνυται πᾶσιν· εἰπὼν γὰρ ὅτι « Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, » καὶ τοὺς ἐπαλλήλους διὰ τούτου δηλώσας πειρασμοὺς, ἐπήγαγεν, « Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, [ἵνα ἀποστῇ ἀπ' ἐμοῦ]· καὶ εἶπέ [μοι]· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. » Τότε μου δείκνυται ἡ δύναμις, φησὶν, ὅταν ὑμεῖς ἐν ἀσθενείᾳ ἦτε, καὶ δι' ὑμῶν τῶν δοκούντων ἀσθενεῖν ὁ τοῦ κηρύγματος αὔξηται λόγος καὶ πανταχοῦ κατασπείρηται. Ὅτε γοῦν εἰς τὸ δεσμωτήριον μυρίας λαβὼν πληγὰς εἰσηνέχθη, τὸν δεσμοφύλακα ἔδησεν· ἐν τῷ ξύλῳ ἦσαν οἱ πόδες, ἐν τῇ ἁλύσει αἱ χεῖρες, καὶ τὸ δεσμωτήριον ἐσείετο κατὰ μέσην τὴν νύκτα, ὑμνούντων αὐτῶν. Ὁρᾷς πῶς ἡ δύναμις αὐτοῦ ἐν ἀσθενείᾳ ἐτελειοῦτο; Εἰ ἦν λελυμένος ὁ Παῦλος καὶ ἐσείετο ἐκεῖνο τὸ οἴκημα, οὐκ ἦν οὕτω θαυμαστὸν τὸ γενόμενον. Διὰ τοῦτο, φησὶ, μενέτω δεδεμένος, καὶ σαλευέσθωσαν οἱ τοῖχοι πανταχόθεν, καὶ λυέσθωσαν οἱ δεσμῶται, ἵνα μειζόνως ἡ δύναμίς μου φαίνηται, διὰ σοῦ τοῦ κατεχομένου καὶ συμπεποδισμένου τῶν δεδεμένων λυομένων ἁπάντων. Τοῦτο οὖν αὐτὸ καὶ τὸν δεσμοφύλακα ἐξέπληξε τότε, ὅτι μετὰ τοσαύτης κατεχόμενος ἀνάγκης, δι' εὐχῆς μόνης ἴσχυσε τινάξαι τὰ θεμέλια, ἀναπετάσαι δὲ τὰς θύρας τοῦ δεσμωτηρίου, καὶ λῦσαι τοὺς δεδεμένους ἅπαντας. Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ Πέτρου, καὶ ἐπ' αὐτοῦ τοῦ Παύλου, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἀποστόλων ἴδοι τις ἂν συμβαῖνον τοῦτο συνεχῶς, καὶ τοῖς διωγμοῖς τὴν χάριν τοῦ Θεοῦ ἀεὶ ἐπανθοῦσαν, καὶ ταῖς θλίψεσι παραφαινομένην, καὶ οὕτω τὴν δύναμιν αὐτοῦ κηρύττουσαν. Διόπερ ἔλεγεν, « Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. » Ὅτι δὲ καὶ μείζονα τῆς ἀνθρωπίνης φύσεως πολλοὶ πολλάκις ἤμελλον ὑποπτεύειν περὶ αὐτῶν, εἰ μὴ τοσαῦτα πάσχοντας ἑώρων, ἄκουσον πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος. « Ἐὰν γὰρ καὶ θελήσω, [φησὶ,] καυχήσασθαι, οὐκ ἔσομαι

quicumque tales, tamen homines sunt, et multæ cautionis, ne facile extollantur, indigent, et maxime omnium sancti : nihil enim sic in arrogantiam extollere consuevit, ut meritorum plena conscientia, et anima cum fiducia vivens. Ne igitur tale aliquid illi patiantur, tentationes atque tribulationes esse concessit, quæ possent ipsos corripere, ipsisque persuadere ut in omnibus moderate agerent.

7. Quod autem ad demonstrandam Dei virtutem hoc magnopere conferat, hoc quoque ab eodem apostolo dicere qui prius illud dixerat. Ne enim dicas, quod infideles putant, Deum talia permittentem debilem esse, nec posse suos periculis eripere, continue ipsos affligi sinit. Atque hoc considera quomodo per hæc demonstraverit Paulus, ostendens non tantum quæ fierent ipsius imbecillitatem non arguere, sed amplius potentiam ejus omnibus ostentare. Cum enim dixisset, *Datus est mihi stimulus carnis, angelus satanæ, ut me colaphizet*, et his frequentes tentationes demonstrasset, intulit (2. *Cor.* 12. 8. 9), *Propter quod ter Dominum rogavi, ut a me discederet; et dixit mihi : Sufficit tibi gratia mea; nam virtus mea in infirmitate perficitur.* Tunc mea, inquit, potentia demonstratur, quando vos in infirmitate estis, et per vos qui videmini esse debiles, prædicationis verbum augetur, et ubique dispergitur. Quando igitur in carcerem, innumeris susceptis verberibus, deductus fuit, carceris custodem vinxit (*Act.* 16) : in ligno erant pedes, in catenis manus, et carcer sub mediam noctem quatiebatur, ipsis Deum laudantibus. Cernis quomodo ipsius virtus in infirmitate perficiebatur? Si fuisset solutus Paulus, et illud habitaculum conculteretur, non fuisset tam mirandum quod fiebat. Idcirco, inquit, remaneto vinctus, et commoveantur parietes undique, et solvantur vincti : ut magis virtus mea evidens sit, dum per te constrictum et colligatum omnes vincti solvuntur. Hoc ipsum igitur et carceris custodem tunc perculit, quod cum tanta teneretur necessitate, per orationem solam potuit fundamenta quassare, et fores carceris aperire, et omnes vinctos solvere. Non hic autem solum, sed etiam in Petro, et in ipso Paulo, et aliis quoque apostolis videre quispiam possit hoc jugiter evenire, et in persecutionibus Dei gratiam efflorescere, apparere in tribulationibus, et sic virtutem ipsius prædicare. Idcirco dicebat, *Sufficit tibi gratia mea : virtus enim mea in infirmitate perficitur.* Quod autem majora humanâ naturâ multi sæpius de ipsis suspicari erant, nisi talia patientes vidissent, audi quomodo timuit Paulus. *Nam et si voluero*, inquit (2. *Cor.* 12. 6),

ἔχρων· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ. » Τί δέ ἐστιν ὃ λέγει; Ἠδυνάμην, φησί, πολλῷ μείζονα εἰπεῖν θαύματα, ἀλλ' οὐ βούλομαι, μήποτε τὸ μέγεθος τῶν σημείων μείζονα περὶ ἐμοῦ τοῖς ἀνθρώποις ὑπόνοιαν παραστήσῃ. Διὰ τοῦτο καὶ οἱ περὶ τὸν Πέτρον, ἐπειδὴ τὸν χωλὸν ὤρθωσαν, καὶ πάντες ἦσαν κεχηνότες πρὸς αὐτούς, καταστέλλοντες αὐτοὺς καὶ πείθοντες ὡς οὐδὲν παρ' ἑαυτῶν οὐδὲ οἰκοθεν ἐπιδείξαντο, λέγουσι, « Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; » Καὶ πάλιν ἐν Λύστροις οὐ μόνον ἦσαν ἐκπεπληγμένοι, ἀλλὰ καὶ ταύρους στεφανώσαντες ἤνεγκαν καὶ θῦσαι ἐπεχείρουν τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ. Ὅρα διαβόλου κακουργίαν· δι' ὧν ὁ Κύριος [ἐσπούδαζε] τὴν ἀσέβειαν ἐκκαθᾶραι τῆς οἰκουμένης, διὰ τούτων ἐκεῖνος αὐτὴν εἰσαγαγεῖν ἐσπούδαζε, πάλιν πείθων ἀνθρώπους θεοὺς νομίζειν, ὃ καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐποίησε. Καὶ τοῦτο μάλιστά ἐστιν ὃ τῆς εἰδωλολατρείας τὴν ἀρχὴν καὶ τὴν ῥίζαν εἰσήγαγε· πολλοὶ γὰρ καὶ πολέμους κατορθώσαντες, καὶ τρόπαια στήσαντες, καὶ πόλεις οἰκοδομήσαντες, καὶ ἕτερά τινα τοιαῦτα τοὺς τότε εὐεργετήσαντες, θεοὶ παρὰ τοῖς πολλοῖς ἐνομίσθησαν, καὶ ναοῖς ἐτιμήθησαν καὶ βωμοῖς, καὶ πᾶς ὁ τῶν Ἑλληνικῶν θεῶν κατάλογος ἀπὸ τούτων σύγκειται τῶν ἀνθρώπων. Ἵνα οὖν μὴ καὶ ἐπὶ τῶν ἁγίων τοῦτο γένηται, συνεχώρησεν αὐτοὺς ἐλαύνεσθαι συνεχῶς, μαστίζεσθαι, ἀῤῥωστίαις περιπίπτειν, ἵνα ἡ τῆς σωματικῆς ἀσθενείας ὑπερβολὴ καὶ τῶν πειρασμῶν τὸ πλῆθος πείσῃ τοὺς ὁρῶντας τότε, ὅτι καὶ ἄνθρωποι ἦσαν οἱ τὰ τοιαῦτα θαυματουργοῦντες, καὶ οὐδὲν παρ' ἑαυτῶν εἰσέφερον, ἀλλὰ γυμνὴ ἡ χάρις δι' ἐκείνων πάντα εἰργάζετο. Εἰ γὰρ τοὺς σμικρὰ καὶ εὐτελῆ πεποιηκότας θεοὺς ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπαθον ἀνθρώπινον, τούτους ὑπώπτευσαν ἄν, τοιαῦτα ἐργασαμένους οἷα οὐδεὶς οὐδέποτε οὐκ εἶδεν οὐδὲ ἤκουσεν. Ὅπου γὰρ μαστιζομένων αὐτῶν, κρημνιζομένων, δεσμουμένων, ἐλαυνομένων, καθ' ἑκάστην κινδυνευόντων ἡμέραν, ὅμως κατέπεσόν τινες εἰς τὴν ἐναντίαν ταύτην ὑπόνοιαν, πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπαθον ἀνθρώπινον, τοῦτο ἂν ὑπωπτεύθησαν.

Τρίτη μὲν οὖν ἐστιν αὕτη ἡ τῆς κακώσεως αἰτία, τετάρτη δὲ τὸ μὴ νομίζεσθαι τοὺς ἁγίους ἐπ' ἐλπίδι τῆς παρούσης εὐπραγίας τὸν Θεὸν θεραπεύειν. Καὶ γὰρ πολλοὶ τῶν ἐν ἀσελγείᾳ ζώντων παρὰ πολλῶν ἐγκαλούμενοι πολλάκις, καὶ πρὸς τοὺς τῆς ἀρετῆς καλοῦμενοι πόνους, καὶ τῶν ἁγίων ἐγκωμιαζομένων ἀκούσαντες ἐπὶ τῇ τῶν δεινῶν εὐψυχίᾳ, ἀπὸ τούτων διαβάλλειν αὐτοὺς ἐπιχειροῦσι· καὶ οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος αὐτὸ τοῦτο ὑπώπτευσεν. Ἐπειδὴ γὰρ πολὺν ὁ Ἰὼβ περιεβέβλητο πλοῦτον καὶ πολλῆς ἀπήλαυεν εὐπορίας, ἀνειδιζόμενος ὑπὸ τοῦ Θεοῦ δι' αὐτὸν ὁ πονηρὸς δαίμων ἐκεῖνος, οὐδὲν ἔχων εἰπεῖν οὐδὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι ἐγκλημάτων, οὐδὲ ταῖς ἀρεταῖς ἐπισκῆψαι τοῦ δικαίου,

gloriari, non ero insipiens : parco autem, ne quis me existimet supra id quod videt in me, aut audit aliquid ex me. Quid autem est quod dicit? Poteram, inquit, multo majora dicere miracula, sed nolo, ne forte signorum magnitudo majorem de me hominibus suspicionem inducat. Propterea et Petrus postquam claudum erexit, et omnes in ipsum cum admiratione intenti erant, ut cohiberet eos ipsisque persuaderet se nihil ex virtute propria exhibuisse, dicit (*Act.* 3. 12), *Quid nos intuemini tamquam propria virtute vel pietate fecerimus hunc ambulare?* Et rursus Lystris (*Act.* 14. 12) non solum erant obstupefacti, sed et tauros coronatos duxerunt, et Paulo et Barnabæ immolare aggrediebantur. Vide diaboli malitiam : per quos Dominus ex orbe impietatem expurgare studebat, per hos ille ipsam inducere studebat, rursum persuadens ut deos homines esse putarent : quod et prioribus fecit temporibus. Et hoc maxime est quod idololatriæ principium et radicem introduxit : multi enim qui bella bene gesserant, erexerant tropæa, urbes ædificaverant et aliis hujusmodi demeruerant, sui temporis homines, dii a multitudine existimati sunt et templis et aris honorati, et omnis gentilium deorum numerus ex hominibus istis conflatus est. Ne igitur hoc et in sanctis fieret, permisit ipsos Deus continue pelli, flagellari, in varios incidere morbos : ut nimia corporis imbecillitas, et tentationum turbâ præsentibus persuaderet, homines esse eos, qui talia ederent miracula, nihilque de suo afferre, sed nudam gratiam per illos omnia operari. Si enim parva et vilia operatos, deos putaverunt, multo magis si nihil passi fuissent humanum, hos suspicati fuissent, qui talia fecerint, qualia nemo umquam neque vidit neque audivit. Si enim cum ipsi flagellarentur, præcipitarentur, ligarentur, pellerentur, periclitarentur quotidie, tamen in hanc impiam opinionem quidam ceciderunt : multo magis si nihil humanum passi fuissent, tales esse fuissent existimati.

8. Hæc quidem tertia est afflictionis causa : quarta vero, ne sancti propter præsentis felicitatis spem Deum colere putentur. Etenim multi in lascivia viventium a multis sæpius accusati, et ad virtutis vocati labores, et sanctos de hilari molestiarum tolerantia laudari audientes, ex his ipsos accusare aggrediuntur; et non homines tantum, sed et ipse diabolus hoc ipsum suspicatus est. Quando enim multis erat circumdatus divitiis Job, et multa potiebatur opulentia, exprobratus a Deo propter ipsum malus ille dæmon, cum nihil haberet quod diceret, neque quo de suis se excusaret criminibus, neque quod

πρὸς ταύτην εὐθέως καταφεύγει τὴν ἀπολογίαν, οὕτω λέγων· « Μὴ δωρεὰν Ἰὼβ σέβεταί σε; περιέφραξας αὐτοῦ τὰ ἔσωθεν καὶ τὰ ἔξω »· ἐπὶ μισθῷ, φησίν, ἐστὶν ἐκεῖνος ἐνάρετος, τοσαύτης εὐπορίας ἀπολαύων. Τί οὖν ὁ Θεός; βουλόμενος δεῖξαι ὅτι οὐκ ἐπὶ μισθῷ θεραπεύουσιν αὐτὸν οἱ ἅγιοι, περιεῖλεν αὐτοῦ τὴν εὐπορίαν ἅπασαν, καὶ πενίᾳ παρέδωκε, καὶ νοσήματι χαλεπῷ περιπεσεῖν συνεχώρησεν. Εἶτα ἐλέγχων αὐτὸν ὡς εἰκῇ ταῦτα ὑποπτεύσαντα, φησὶν ὅτι « Ἔτι ἔχεται ἀκακίας· σὺ δὲ εἶπας διὰ κενῆς τὰ ὑπάρχοντα αὐτοῦ ἀπολέσαι. » Τοῖς γὰρ ἁγίοις ἀρκεῖ τοῦτο εἰς ἀμοιβὴν καὶ ἀντίδοσιν, τὸ θεραπεύειν Θεόν· ἐπεὶ καὶ τῷ φιλοῦντι τοῦτο ἀρκεῖ εἰς ἀμοιβήν, τὸ φιλεῖν τὸν ἐρώμενον τὸν ἑαυτοῦ, καὶ πλέον οὐδὲν ἐπιζητεῖ, οὐδὲ ἡγεῖταί τι μεῖζον εἶναι τούτου. Εἰ δὲ ἐπ' ἀνθρώπων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ· ὅπερ οὖν καὶ ὁ Θεὸς δεῖξαι βουλόμενος, πλέον ὧν ἤτησεν ὁ διάβολος ἔδωκεν. Ἐκεῖνος μὲν γάρ φησιν, « Ἐξαπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι αὐτοῦ· » ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ, Σοὶ αὐτὸν παραδίδωμι, φησίν. Καθάπερ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων οἱ σφριγῶντες τὰ σώματα καὶ εὐεκτοῦντες τῶν ἀθλητῶν οὐχ οὕτω φαίνονται, ἐπειδὰν τὸ διάβροχον ἐλαίῳ πάντοθεν ἱμάτιον ὥσι περιβεβλημένοι, ἀλλ' ὅταν αὐτὸ ῥίψαντες γυμνοὶ πρὸς τὰ σκάμματα ἥκωνται, τότε μάλιστα τοὺς θεατὰς τῇ τῶν μελῶν ἀναλογίᾳ πάντοθεν ἐκπλήττουσιν, οὐδενὸς αὐτὴν ἐπισκιάσαι δυναμένου λοιπόν· οὕτω καὶ ὁ Ἰὼβ, ἡνίκα μὲν ἦν τὸν πλοῦτον ἅπαντα περιβεβλημένος ἐκεῖνον, οὐκ ἦν κατάδηλος τοῖς πολλοῖς ὅστις ἦν· ἐπειδὴ δὲ αὐτὸν καθάπερ ἱμάτιον ἀποδυσάμενος ὁ ἀθλητὴς ἔῤῥιψε, καὶ πρὸς τοὺς τῆς εὐσεβείας ἀγῶνας γυμνὸς εἰσῆλθεν, οὕτω γυμνωθεὶς τοὺς θεατὰς ἐξέπληξεν ἅπαντας, ὡς καὶ αὐτὸ τὸ τῶν ἀγγέλων θέατρον ἐπὶ τῇ τῆς ψυχῆς αὐτοῦ καρτερότητι μέγα ἀνακραγεῖν καὶ κροτῆσαι τὸν στεφανίτην ἐκεῖνον. Ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐχ οὕτως ἐφαίνετο τοῖς ἀνθρώποις πάντα τὸν πλοῦτον περιβεβλημένος ἐκεῖνον, ὡς ὅτε καθάπερ ἱμάτιον ῥίψας γυμνὸς ἐδείχθη καθάπερ ἐν θεάτρῳ μέσῃ τῇ οἰκουμένῃ, καὶ πάντες αὐτοῦ τὴν εὐεξίαν τῆς ψυχῆς ἐξεπλάγησαν· οὐκ ἀπὸ τῆς γυμνώσεως δὲ μόνον ἐδείκνυτο, ἀλλὰ καὶ ἀπὸ τῆς πάλης καὶ τῆς κατὰ τὴν ἀῤῥωστίαν ὑπομονῆς. Ὅπερ γὰρ ἔφθην εἰπὼν, οὐκ αὐτὸς αὐτὸν ἐπέταξεν ὁ Θεὸς, ἵνα μὴ πάλιν ὁ διάβολος λέγῃ ὅτι Ἐφείσω καὶ οὐχ ὅσον ἔδει, τοσοῦτον ἐπήγαγες πειρασμόν· ἀλλ' αὐτῷ παρέδωκε τῷ διαβόλῳ καὶ τὴν τῶν θρεμμάτων ἀπώλειαν καὶ τὴν τῆς σαρκὸς ἐξουσίαν. Θα�ῤῥῶ τῷ ἀθλητῇ, φησί· διὰ τοῦτο οὐ κωλύω προσαγαγεῖν ὅσα ἂν θέλῃς αὐτῷ παλαίσματα. Ἀλλὰ καθάπερ οἱ ὄκιμοι τῶν παλαιστῶν καὶ τῇ τέχνῃ καὶ τῇ ῥώμῃ τοῦ σώματος θα�ῤῥεῖν ἔχοντες, οὐκ ὀρθοὶ συμπλέκονται τοῖς ἀνταγωνισταῖς πολλάκις, οὐδὲ ἐξ ἴσης, ἀλλὰ μέσους ἑαυτοὺς παρεχόμενοι κατασχεῖν ἐκείνους, ὥστε λαμπροτέραν ποιῆσαι τὴν νίκην· οὕτω καὶ ὁ Θεὸς μέσον ἔδωκε τῷ διαβόλῳ κατασχεῖν τὸν

justi virtutibus impingeret, ad hanc statim confugit defensionem, dicens (*Job*. 1. 9. 10), *Numquid gratis Job colit te? circumvallasti interiora et exteriora ejus*: propter mercedem, inquit, ille virtutem sequitur, tanta fruens opulentia. Quid igitur fecit Deus? Ut demonstraret sanctos non mercedis causa ipsum colere, omnem ipsius substantiam abstulit, paupertati eum tradidit, et in gravem morbum incidere permisit. Deinde illum redarguens tamquam temere talia suspicatum, inquit (*Job*. 2. 3), *Adhuc innocentiam retinet: tu vero commovisti me ut frustra ipsius substantiam perderem*. Sanctis enim hoc in remunerationem et retributionem sufficit, Deum venerari: quoniam et amanti hoc in retributionem sufficit, ut amet amicum suum, et nihil amplius requirit, nec quidpiam hoc majus esse putat. Si vero hoc in hominibus, multo magis in Deo: quod ut demonstraret Deus, plura quam diabolus petierat, concessit. Ille enim inquit (*Job*. 2. 5. 6), *Mitte manum tuam, et tange ipsum*: Deus autem non ita, sed, Tibi ipsum, inquit, trado. Quemadmodum enim in exterioribus certaminibus corpore vigentes et bonæ habitudinis athletæ non sic apparent, cum vestimentum undique oleo madidum fuerint induti, sed quando illo abjecto nudi in stadium trahuntur, tunc maxime spectatores membrorum proportione penitus obstupefaciunt, cum nihil ipsam amplius obumbrare possit: sic et Job, quando omnibus quidem illis divitiis circumfusus erat, quis esset, non multis manifestum erat; postquam vero ipsas velut vestimentum athleta abjecit, et ad pietatis certamina nudus intravit, sic spoliatus spectatores omnes perculit, ut et ipsum angelorum theatrum super animi ejus tolerantia vehementer acclamaret, et victori illi applauderet. Quod enim superius jam dixi, non ita hominibus apparebat illis omnibus divitiis circumamictus, ut quando illis tamquam pallium projectis nudus exsiliit in medio orbe, tamquam theatro; et omnes bonam ipsius animi habitudinem admirati sunt: non solum autem ex rerum jactura suspiciebator, sed etiam ex luctu et patientia circa ægritudinem. Sicut enim ante dixi, non illum ipse percussit Deus, ne rursum diabolus diceret: Pepercisti, et non tantam, quantam oportebat, intulisti tentationem: sed ipsi tradidit diabolo et gregum perditionem et carnis potestatem. Confido de certatore, inquit; idcirco non prohibeo ipsi quæcumque velis inferre certamina. Sed quemadmodum spectati palæstritæ, et arte et corporis robore fidentes, non recti adversariis ut plurimum congrediuntur, neque de pari, sed se ipsos illis medios apprehendendos præbent, ut illustriorem victoriam referant: sic et Deus medium tradidit sanctum diabolo apprehendendum,

ἅγιον, ἵνα ὅταν αὐτὸν μετὰ τὴν τοσαύτην τῆς συμβολῆς πλεονεξίαν κρατήσῃ καὶ ἐπὶ τῆς γῆς ἐκτείνῃ, λαμπρότερος ὁ στέφανος γένηται. Χρυσίον ἐστὶ δόκιμον· ὡς βούλει δοκίμασον, φησίν, ὡς βούλει βασάνισον, οὐχ εὑρήσεις ἐν αὐτῷ κηλῖδα. Οὐ τὴν ἑτέρων δὲ ἡμῖν ἀνδρείαν δείκνυσι μόνον, ἀλλὰ καὶ ἑτέροις παραμυθίαν πολλὴν φέρει. Ἄκουσον γοῦν τί φησιν ὁ Χριστός· « Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς [ἄνθρωποι] καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι [ἕνεκεν ἐμοῦ]· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐποίουν καὶ τοῖς προφήταις οἱ πατέρες αὐτῶν. » Καὶ πάλιν ὁ Παῦλος βουλόμενος παραμυθήσασθαι τοὺς Μακεδόνας, « Ὑμεῖς γάρ, φησὶ, μιμηταὶ ἐγενήθητε [ἀδελφοὶ] τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. » Καὶ Ἑβραίους πάλιν οὕτω παρακαλεῖ, καταλέγων τοὺς δικαίους ἅπαντας τοὺς ἐν καμίνοις, τοὺς ἐν λάκκοις, τοὺς ἐν ἐρήμοις, τοὺς ἐν ὄρεσι, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν λιμῷ, τοὺς ἐν στενοχωρίᾳ διάγοντας· ἡ γὰρ κοινωνία τῶν παθῶν φέρει τινὰ παραμυθίαν τοῖς ἐμπεπτωκόσιν.

Ὅτι δὲ καὶ τοὺς περὶ ἀναστάσεως πάλιν τοῦτο εἰσάγει λόγους, ἄκουσον τοῦ αὐτοῦ Παύλου λέγοντος, « Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, [εἰ νεκροὶ οὐκ ἐγείρονται]; » Καὶ πάλιν, « Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. » Μυρία πάσχομεν δεινὰ κατὰ τὸν παρόντα βίον, φησίν· εἰ τοίνυν οὐκ ἔστιν ἑτέραν ἐλπίσαι ζωήν, τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον; Ὅθεν δῆλον ὅτι οὐ μέχρι τοῦ παρόντος ἔστηκε τὰ ἡμέτερα. Καὶ τοῦτο δῆλον ἀπὸ τῶν πειρασμῶν γίνεται· οὐ γὰρ ἄν ποτε ἀνάσχοιτο ὁ Θεὸς τοὺς τοσαῦτα καὶ τηλικαῦτα πεπονθότας κακὰ καὶ τὸν παρόντα βίον ἅπαντα ἐν πειρασμοῖς καὶ τοῖς μυρίοις διάγοντας κινδύνοις, μὴ πολλῷ μείζοσιν ἀμείψασθαι δωρεαῖς· εἰ δὲ οὐκ ἂν ἀνάσχοιτο, εὔδηλον ὅτι βελτίω τινὰ καὶ λαμπροτέραν ἡτοίμασεν ἑτέραν ζωήν, καθ' ἣν μέλλει τοὺς τῆς εὐσεβείας ἀθλητὰς στεφανοῦν καὶ ἀνακηρύττειν, τῆς οἰκουμένης ὁρώσης ἁπάσης. Ὥστε ὅταν ἴδῃς δίκαιον στενοχωρούμενον, κακούμενον, ἐν ἀῤῥωστίᾳ καὶ πενίᾳ καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτὸν ὅτι Εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τὸν τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ ἀπελθεῖν ἐντεῦθεν· ὅθεν δῆλον ὅτι ἑτέραν αὐτοῖς ἡτοίμασε ζωὴν ἡδίω τῆς παρούσης καὶ ἀνεκτοτέραν πολλῷ. Οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τῶν μὲν πονηρῶν εἶδες πολλοὺς τρυφᾷν κατὰ τὸν παρόντα βίον, τῶν δὲ δικαίων πολλοὺς ἐν μυρίοις ἤρεσε κακοῖς· ἀλλ' ἐπειδὴ παρεσκεύασται αἰὼν ἕτερος, ἐν ᾧ κατ' ἀξίαν ἑκάστῳ, τῷ μὲν τῆς πονηρίας, τῷ δὲ τῆς ἀρετῆς ἀποδιδόναι μέλλει, διὰ τοῦτο ἀνέχεται τὸν μὲν κακούμενον, τὸν δὲ τρυφῶντα ὁρῶν.

ut cum post tantam conflictus prærogativam comprehensum solo prostraverit, clarior corona reddatur. Aurum est probatum : pro lubito proba, ut placet examina, sordes in ipso non invenies. Non aliorum vero nobis fortitudinem demonstrat tantum, sed aliis quoque magnam affert consolationem. Quid enim ait Christus (*Matth.* 5. 11. 12)? *Beati eritis, cum maledixerint vobis homines, et persequuti vos fuerint, et dixerint omne malum verbum adversum vos mentientes propter me : gaudete et exsultate, quoniam merces vestra magna est in cœlis : sic enim fecerunt prophetis patres eorum.* Et rursum Paulus Macedonas consolaturus, *Vos enim*, inquit (1. *Thess.* 2. 14), *imitatores facti estis fratres Ecclesiarum Dei, quæ sunt in Judæa : quoniam eadem passi estis a contribulibus vestris, quemadmodum et illi a Judæis.* Et Hebræos rursum ita consolatur (*Hebr.* 11. 36—38), recensens justos omnes in fornacibus, in lacubus, in solitudinibus, in montibus, in speluncis, in fame, in angustia degentes : molestiarum enim communicatio quamdam lapsis affert consolationem.

9. Quod autem de resurrectione quoque hoc ipsum sermones inducat, audi eumdem Paulum dicentem (1. *Cor.* 15. 32), *Si secundum hominem cum feris pugnavi Ephesi, quid mihi prodest, si mortui non resurgunt?* Et iterum (*v.* 19) : *Si in hac vita tantum in Christo sperantes sumus, miserabiliores sumus omnibus hominibus.* Innumera patimur mala in præsenti vita, inquit : si igitur non speratur altera vita, quid nobis esse possit miserabilius? Unde manifestum est non esse res nostras hujus ævi limitibus circumscriptas. Et hoc liquet ex tentationibus : numquam enim Deus pateretur tot et talia passos mala, et præsentem vitam omnem in tentationibus et infinitis degentes periculis, multo majoribus non remunerari muneribus. Si vero id pati non potest, certum quod meliorem et illustriorem paravit alteram vitam, in qua pietatis pugiles coronare et laudare toto debet orbe spectante. Itaque cum videris justum angustiari, affligi, in morbis, pauperie, et innumeris aliis ærumnis præsentem vitam claudere, dic intra te ipsum : Nisi resurrectio esset et judicium, numquam Deus tanta propter se mala passum, nullo potitum bono hinc migrare permisisset : unde patet ipsum alteram eis vitam præsenti jucundiorem et multo meliorem paravisse. Nisi enim hoc esset, numquam sivisset improbos quidem multos per hanc vitam gaudere, justorum vero multos in plurimis ærumnis versari ; sed quoniam præparatum est sæculum aliud, in quo secundum meritum, huic quidem improbitatis, illi vero virtutis præmia reddet : ideo sinit hunc quidem affligi, illum vero deliciis diffluere.

Καὶ τὴν ἑτέραν δὲ αἰτίαν ἀπὸ τῶν Γραφῶν παραστῆσαι πειράσομαι. Ποία δὲ ἦν αὕτη; Τὸ μὴ λέγειν ἡμᾶς εἰς τὴν αὐτὴν πολιτείαν παρακαλουμένους, ὅτι ἐκεῖνοι φύσεως ἑτέρας μετεῖχον ἢ οὐκ ἦσαν ἄνθρωποι. Διὰ τοῦτό τις περὶ τοῦ μεγάλου διαλεγόμενος Ἠλία οὕτω πώς φησιν· « Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν. » Ὁρᾷς ὅτι ἀπὸ τῆς τῶν παθῶν κοινωνίας δείκνυσιν αὐτὸν ἄνθρωπον ὄντα καθ' ἡμᾶς; Καὶ πάλιν· « Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὁμοιοπαθὴς ὑμῖν· » καὶ τοῦτο τὴν κοινωνίαν ἐγγυᾶται τῆς φύσεως. Ἵνα δὲ μάθῃς ὅτι καὶ μακαρίζειν ἡμᾶς οὓς χρὴ μακαρίζειν, τοῦτο παιδεύει, δῆλον ἐκεῖθεν. Ὅταν γὰρ ἀκούσῃς Παύλου λέγοντος, « Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις καὶ ταῖς θλίψεσιν » καὶ ὅτι « Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν· » καὶ ὅτι « Ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται », εὔδηλον ὅτι οὐχὶ τοὺς ἀνέσεως ἀπολαύοντας, ἀλλὰ τοὺς στενοχωρουμένους διὰ τὸν Θεὸν, τοὺς θλιβομένους, τούτους ἐπαινεσόμεθα, καὶ ζηλώσομεν τοὺς ἐν ἀρετῇ ζῶντας, τοὺς εὐσεβείας ἐπιμελουμένους. Οὕτω καὶ ὁ προφήτης φησίν· « Ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας, αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξαρευγόμενα ἐκ τούτου εἰς τοῦτο· τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν, οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. Ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστιν. » Σὺ δὲ τί φῂς [ὦ προφῆτα]; « Μακάριος, φησὶν, ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ· » οὐ τὸν ἐν χρήμασι πλουτοῦντα, ἀλλὰ τὸν εὐσεβείᾳ κομῶντα, τοῦτον ἐγὼ μακαρίζω, φησὶ, κἂν μυρία πάσχῃ δεινά.

Εἰ δὲ χρὴ καὶ ἑνάτην αἰτίαν εἰπεῖν, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι δοκιμωτέρους ποιεῖ τοὺς θλιβομένους ἡ θλῖψις· « Ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Ὁρᾷς ὅτι ἡ ἐκ τῆς θλίψεως δοκιμὴ τὴν περὶ τῶν μελλόντων ἡμῖν ἐλπίδα ἐντίθησι, καὶ τὸ μένειν ἐν πειρασμοῖς εὐέλπιδας ποιεῖ περὶ τῶν μελλόντων εἶναι; Ὥστε οὐ μάτην ἔλεγον ὅτι αἱ θλίψεις αὗται τὰς περὶ τῆς ἀναστάσεως ἡμῖν ἐλπίδας ὑπογράφουσι, καὶ βελτίους ἐργάζονται τοὺς βασανιζομένους· ὥσπερ γὰρ, φησὶν, ἐν καμίνῳ δοκιμάζεται χρυσὸς, οὕτω καὶ ἄνθρωπος δεκτὸς ἐν καμίνῳ ταπεινώσεως.

Ἔστι δὲ καὶ δεκάτην αἰτίαν εἰπεῖν. Ποίαν δὴ ταύτην; Ἣν καὶ πολλάκις εἶπον ἤδη πρότερον, ὅτι εἴ τινας κηλῖδας ἔχομεν, καὶ ταύτας ἐνταῦθα ἀποτιθέμεθα. Καὶ τοῦτο πρὸς τὸν πλούσιον ὁ πατριάρχης δηλῶν ἔλεγεν, ὅτι « Λάζαρος ἀπέλαβεν αὐτοῦ τὰ κακὰ, καὶ ἐνταῦθα παρακαλεῖται. » Καὶ πρὸς ταύτῃ πάλιν ἑτέραν εὑρήσομεν. Ποίαν δὴ ταύτην; τὸ τοὺς στεφάνους ἡμῖν καὶ τὰ βραβεῖα πλεονάζειν· ὅσῳ γὰρ αἱ θλίψεις ἐπιτείνονται, τοσούτῳ καὶ αἱ ἀμοιβαὶ αὔξονται, μᾶλλον

Verum et aliam ex Scripturis causam afferre conabor. Qualis vero haec est? Ne dicamus nos ad eamdem virtutem invitati, alios naturæ participes illos fuisse, aut homines non fuisse. Idcirco quidam de magno loquens Helia, *sic* inquit (*Jacob.* 5. 17) : *Helias homo erat in passionibus similis nobis.* Vides quod a passionum communione demonstrat ipsum hominem esse ut nos? Et iterum (*Sapient.* 7. 1) : *Etenim ego homo sum in patiendo vobis similis.* Et hoc naturæ communionem spondet. Ut autem discas eum hic docere quos oporteat putare beatos, id inde clarum est : cum enim audieris Paulum dicentem (2. *Cor.* 12. 9), *Libenter igitur gloriabor in infirmitatibus meis, in angustiis;* et (1. *Cor.* 4. 11), *Usque in hanc horam et esurimus, et sitimus, et nudi sumus, et colaphizamur, et instabiles sumus, et laboramus :* et (*Hebr.* 12. 6), *Quem diligit Dominus, castigat : flagellat autem omnem filium quem suscipit;* certum est nos, non eos qui in quiete degunt, sed eos qui propter Deum affliguntur et vexantur, quique virtutem pietatemque colunt, laudaturos et æmulaturos esse. Sic et propheta dicit (*Psal.* 143. 11—15) : *Dextera ipsorum dextera iniquitatis, filix eorum compositæ, circumornatæ, ut similitudo templi. Promtuaria eorum plena, eructantia ex hoc in illud : oves eorum fetosæ, abundantes in egressibus suis, boves eorum crassæ. Non est ruina maceriæ, neque transitus, neque clamor in plateis eorum. Beatum dixerunt populum cui hæc sunt.* Tu vero, propheta, quid dicis? *Beatus,* inquit (*v.* 15), *populus, cujus Dominus Deus ejus.* Non pecuniis affluentem, sed pietate ornatum, hunc ego beatum puto, inquit, etsi innumera patiatur mala.

Si vero oportet et nonam dicere causam, illud adhuc possumus, quod probatiores tribulatio faciat tribulatos. (*Rom.* 5. 3—5) *Tribulatio enim patientiam operatur, patientia vero probationem, probatio autem spem, spes vero non confundit.* Vides quod ex tribulatione probatio futurorum spem nobis afferat, et in tentationibus manere, de futuris bene sperare faciat? Itaque non temere dicebam, has tribulationes resurrectionis spem nobis designare, et vexatos meliores efficere. « Quemadmodum enim, inquit (*Eccli.* 2. 5), in fornace aurum examinatur, sic et homo acceptus in humiliationis camino. »

Possumus et decimam dicere causam. Qualem vero hanc? Quam saepius dixi jam superius, quod si aliquas habeamus maculas, eas quoque hic deponimus. Et hoc patriarcha declarans ad divitem dicebat (*Luc.* 16. 25) : quoniam *Lazarus recepit sua mala, et hic consolationem accipit.* Et praeter hanc aliam rursus inveniemus. Quam? Ut coronæ et præmia nobis augeantur : quantum enim tribulationes intenduntur, tantum et retributiones

εἰ καὶ πολλῷ πλέον· « Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, φησὶ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. »

Τοσαύτας τοίνυν αἰτίας ἔχοντες εἰπεῖν τῆς τῶν ἁγίων κακώσεως, μὴ δυσχεραίνωμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ ἀπορῶμεν, μηδὲ θορυβώμεθα, ἀλλὰ καὶ αὐτοὶ τὰς ἑαυτῶν παιδαγωγῶμεν ψυχὰς, καὶ ἑτέρους ταῦτα διδάσκωμεν· κἂν ἴδῃς ἄνθρωπον ἐν ἀρετῇ ζῶντα, φιλοσοφίας ἐπειλημμένον, ἀρέσκοντα Θεῷ, εἶτα μυρία πάσχοντα δεινὰ, μὴ σκανδαλισθῇς, ἀγαπητέ· κἂν ἴδῃς τινὰ πνευματικοῖς ἐπιτιθέμενον πράγμασι, καὶ μέλλοντά τι χρήσιμον ἀνύειν, εἶτα ὑποσκελιζόμενον, μὴ θορυβηθῇς. Καὶ γὰρ οἶδα πολλοὺς πολλάκις τοῦτο ζητοῦντας· ὁ δεῖνα, φησὶν, εἰς μαρτύριον ἀπεδήμησε πένησι χρήματα διακομίζων, καὶ ναυαγίῳ περιέπεσε, καὶ πάντα ἀπώλεσεν· ἕτερος πάλιν τὸ αὐτὸ τοῦτο ποιῶν λῃσταῖς περιέπεσε, καὶ μόλις τὴν ἑαυτοῦ ψυχὴν διέσωσε, γυμνὸς ἀναχωρήσας ἐκεῖθεν. Τί οὖν ἂν εἴποιμεν; Ὅτι ἐπ' οὐδενὶ τούτων ἀσχάλλειν χρή. Εἰ γὰρ καὶ ναυαγίῳ περιέπεσεν, ἀλλ' ἔχει τὸν καρπὸν τῆς ἐλεημοσύνης ἀπηρτισμένον· τὰ γὰρ ἑαυτοῦ πάντα ἐπλήρωσε, συνέλεξε τὰ χρήματα, ἀπέθετο, λαβὼν ἀπῆρε, τῆς ἀποδημίας ἦψατο, τὸ δὲ ναυάγιον λοιπὸν οὐ τῆς αὐτοῦ γνώμης γέγονεν. Ἀλλὰ τίνος ἕνεκεν ὁ Θεὸς συνεχώρησεν; Ἵνα τοῦτον ἐργάσηται δοκιμώτερον. Ἀλλ' οἱ πένητες, φησὶν, ἀπεστερήθησαν τῶν χρημάτων. Οὐχ οὕτω σὺ προνοεῖς τῶν πενήτων, ὡς ὁ ποιήσας αὐτοὺς Θεός· εἰ γὰρ καὶ τούτων ἀπεστερήθησαν, ἀλλ' ἑτέρωθεν δύναται [πλείονα] παρασχεῖν αὐτοῖς εὐπορίας ἀφορμήν. Μὴ τοίνυν ἀπαιτῶμεν αὐτὸν εὐθύνας τῶν γινομένων, ἀλλὰ δοξάσωμεν ἐφ' ἅπασιν. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ συγχωρεῖ τὰ τοιαῦτα γίνεσθαι πολλάκις, ἀλλὰ μετὰ τοῦ μὴ περιιδεῖν τοὺς μέλλοντας ἀπολαύειν τῆς ἐκ τῶν χρημάτων τούτων παραμυθίας καὶ ἑτέραν αὐτοῖς ἀντὶ τούτων παρασχεῖν ἀφορμὴν διατροφῆς, καὶ τὸν ὑπομείναντα τὸ ναυάγιον δοκιμώτερον ποιεῖ καὶ πλείονα αὐτῷ προξενεῖ τὸν μισθόν· τοῦ γὰρ ἐλεημοσύνην δοῦναι τὸ τοιούτοις περιπεσόντα πράγμασιν εὐχαριστῆσαι τῷ Θεῷ, πολλῷ μεῖζόν ἐστιν· οὐ γὰρ ἅπερ ἂν δι' ἐλεημοσύνην δῶμεν, ἀλλὰ καὶ ἅπερ ἂν παρ' ἑτέρων ἁρπαζόμενοι ἐνέγκωμεν γενναίως, καὶ ταῦτα πολὺν ἡμῖν φέρει τὸν καρπόν. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐκείνου μεῖζόν ἐστιν, ἀπὸ τῶν συμβεβηκότων τῷ Ἰὼβ τοῦτο ποιήσω φανερόν. Ἐκεῖνος ἡνίκα τὰ χρήματα ἐκέκτητο, τὴν οἰκίαν ἠνέῳξε τοῖς πένησι, τὰ ὄντα πάντα ἐξεδίδου· ἀλλ' οὐκ ἦν οὕτω λαμπρὸς, ἡνίκα τὴν οἰκίαν ἠνέῳξε τοῖς πένησιν, ὡς ὅτε αὐτὴν ἀκούσας καταπεσοῦσαν οὐκ ἀπεδυσπέτησεν· οὐκ ἦν οὕτω λαμπρὸς, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλεν, ὡς ἦν λαμπρὸς καὶ εὐδόκιμος, ὅτε ἀκούσας ὅτι πῦρ κατέπεσε καὶ τὰ θρέμματα πάντα ἀνήλωσεν, ηὐχαρίστησε. Τότε φιλάνθρωπος ἦν, νῦν ἐγένετο φιλόσοφος· τότε ἠλέει τοὺς πένητας, νῦν δὲ εὐχαρίστει τῷ Δεσπότῃ, καὶ οὐκ εἶπε πρὸς ἑαυτὸν, Τί ποτε τοῦτό

augentur, imo vero et multo plus : (*Rom.* 8. 18) *Non enim condignæ sunt passiones hujus temporis ad futuram gloriam, quæ revelabitur in nobis.*

Tot igitur causas habentes de sanctorum afflictione dicendas, nos in tentationibus ne indignemur, ne angustiemur, ne perturbemur, sed et ipsi nostros instruamus animos, et alios hæc doceamus. Et si videris hominem in virtute viventem, philosophicam vitam sectantem, placentem Deo, postea innumera patientem mala, ne scandalizeris, dilecte : et si videris aliquem spiritualibus studentem operibus, et aliquid utile expediturum, postea supplantatum, ne perturberis. Etenim novi multos sæpius talia quærentes : Ille, inquiunt, ad martyris sacellum peregrinatus, pauperibus pecunias perferens, in naufragium incidit, et amisit cuncta : alter rursum idem faciens, in latrones incidit, et vix animam suam servavit, nudus inde discedens. Quid igitur dicemus? Quod horum nullo contristari oporteat. Etsi enim naufragium fecit, habet tamen misericordiæ fructum perfectum : sua enim omnia implevit, collegit pecunias, deposuit, cum recepisset, abibat, peregrinationem attigerat : naufragium vero de reliquo non de ipsius fuit sententia. Sed quare hoc Deus permisit? Ut hunc magis spectatum exhiberet. At pauperes, inquit, privati sunt pecuniis. Non tanta pauperibus cura tu provides, quanta qui fecit eos Deus : etsi enim his privati sunt, tamen aliunde potest majorem opum occasionem ipsis præbere. Ne igitur gestorum rationes ab eo repetamus, sed de omnibus eum glorificemus : non enim imprudenter et temere talia sæpe fieri permittit, sed præterquam ex his pecuniis consolationem habituros non despicit, quod aliam quoque ipsis pro his alimenti occasionem præbet, et naufragium passum probatiorem efficit, majoremque ipsi parat, mercedem : multo enim majus est, quam eleemosynam dare, quod talibus obrutus rebus Deo gratias agat. Non enim tantum quæ per eleemosynam damus, sed et ea, quibus ab aliis spoliari fortiter ferimus, multum nobis fructum afferunt. Et ut discas hoc illo majus esse, ex iis quæ Job contigerunt, hoc faciam manifestum. Ille quando pecunias possedit, aperuit domum pauperibus, et omnia quæ habebat elargiebatur : sed non erat tam illustris, quando pauperibus domum aperuit, quam cum ipsam cecidisse audiens non inique tulit. Non erat tam illustris, quando ex ovium tonsura nudos vestivit, quam fuit clarus et spectatus, cum audiens ignem cecidisse, et greges omnes consumsisse, gratias egit. Tunc humanus fuerat, nunc fuit philosophus : tunc pauperum miserebatur, nunc Domino gratias agebat. Nec intra se dixit, Quid tandem hoc est? greges consumti sunt, quibus in-

ἐστι; τὰ πολίμια ἀνάλωται, ἀφ' ὧν ἐτρέφοντο μυρίοι πένητες· εἰ καὶ ἀνάξιος ἦμην ἐγὼ ἀπολαύειν εὐπορίας, διὰ γοῦν τοὺς μετέχοντας ἔδει φείσασθαι. Ἀλλ' οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἤδει τὸν Θεὸν πρὸς τὸ συμφέρον ἅπαντα οἰκονομοῦντα. Καὶ ἵνα μάθῃς ὅτι μείζονα ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος τὸν πλοῦτον ἤλέει· ὅτε ἐκέκτητο, κἂν ὑποψίαν τινὰ ἔσχεν εἰπεῖν ὁ διάβολος, εἰ καὶ ψευδῆ, ἀλλ' ὅμως ἔσχεν εἰπεῖν, ὅτι Μὴ δωρεὰν σέβεταί σε Ἰώβ; Ἐπειδὴ δὲ πάντα ἔλαβε καὶ πάντων αὐτὸν ἐγύμνωσεν, ὁ δὲ τὴν αὐτὴν εὔνοιαν πρὸς τὸν Θεὸν διετήρησε, τότε λοιπὸν ἐνεφράγη τὸ ἀναίσχυντον στόμα, καὶ οὐδὲν οὐκέτι ἔσχεν εἰπεῖν· λαμπρότερος γὰρ ἦ ἀπὸ τῶν πρότερων ὁ δίκαιος ἦν. Τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην τὸ πάντα ἁρπαγέντα γενναίως ἐνεγκεῖν καὶ μετ' εὐχαριστίας πολλῷ μεῖζόν ἐστι, καθάπερ [οὖν] ἐπὶ τούτου δέδεικται τοῦ δικαίου· τότε πολλὴ ἡ φιλοφροσύνη πρὸς τοὺς συνδούλους ἦν, νῦν μέγα τὸ φίλτρον πρὸς τὸν Δεσπότην ἐδείκνυτο. Τοῦτον δὲ οὐχ ἁπλῶς ἐκτείνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις ἐλεημοσύνας ποιοῦντες καὶ χήρας διατρέφοντες τὴν οὐσίαν διηρπάσθησαν ἅπασαν, ἕτεροι γενομένου τινὸς ἐμπρησμοῦ πάντα ἀπώλεσαν, ἄλλοι ναυαγίοις περιέπεσαν, ἄλλοι συκοφαντίαις καὶ τοιαύταις τισὶν ἐπηρείαις μετὰ πολλὰς ἐλεημοσύνας εἰς πενίαν κατηνέχθησαν ἰσχάτην καὶ ἀῤῥωστίαν καὶ νόσον, καὶ παρ' οὐδενὸς οὐδεμιᾶς ἀπήλαυσαν βοηθείας.

Ἵν' οὖν μὴ λέγωμεν, ὃ οἱ πολλοὶ πολλάκις λέγουσιν, Οὐδεὶς οὐδὲν οἶδεν, ἱκανὰ τὰ εἰρημένα ἅπαντα τὸν τοιοῦτον θόρυβον ἐκβαλεῖν. Ὁ δεῖνα τοσαύτας ποιῶν ἐλεημοσύνας, φησί, πάντα ἀπώλεσε. Καὶ τί τοῦτο, ὅτι πάντα ἀπώλεσεν; Ἂν γὰρ ὑπὲρ τῆς ἀπωλείας εὐχαριστήσῃ ταύτης, πολλῷ μείζονα παρὰ τοῦ Θεοῦ ἐπισπάσεται τὴν εὔνοιαν, καὶ οὐ διπλασίονα, καθάπερ ὁ Ἰώβ, ἀλλ' ἑκατονταπλασίονα ἀπολήψεται κατὰ τὴν μέλλουσαν ζωήν. Εἰ δὲ ἐνταῦθα πάσχει κακῶς, αὐτὸ δὴ τοῦτο μείζονα αὐτῷ προξενεῖ τὸν ἐκεῖ θησαυρὸν τὸ φέρειν γενναίως ἅπαντα· ἐπὶ γὰρ πλείονα αὐτὸν καλῶν σκάμματα καὶ παλαίσματα μείζονα, ἀπὸ τῆς εὐπορίας εἰς πενίαν ἀφῆκεν ἐμπεσεῖν ὁ Θεός. Πῦρ ἐπελθὸν πολλάκις κατανήλωσέ σου τὴν οἰκίαν, καὶ τὴν οὐσίαν ἐδαπάνησεν ἅπασαν; Ἀναμνήσθητι τῶν τῷ Ἰώβ συμβεβηκότων, εὐχαρίστησον τῷ Δεσπότῃ τῷ δυναμένῳ κωλῦσαι καὶ μὴ κωλύσαντι, καὶ τοσοῦτον λήψῃ μισθὸν, ὅσον εἰ πάντα ἐκεῖνα εἰς τὰς τῶν πενήτων ἀπέθου χεῖρας. Ἀλλ' ἐν πενίᾳ διάγεις καὶ λιμῷ καὶ μυρίοις κινδύνοις. Ἀναμνήσθητι τοῦ Λαζάρου τοῦ καὶ νόσῳ καὶ πενίᾳ καὶ ἐρημίᾳ καὶ μυρίοις τοιούτοις ἑτέροις πυκτεύοντος, καὶ ταῦτα μετὰ ἀρετὴν τοσαύτην· ἀναμνήσθητι τῶν ἀποστόλων, οἳ ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι διῆγον, τῶν προφητῶν, [τῶν πατριαρχῶν,] τῶν δικαίων, καὶ πάντας (αὐτοὺς) εὑρήσεις ἐκείνους οὐ τῶν πλουτούντων οὐδὲ τῶν τρυφώντων, ἀλλὰ τῶν

numeri pauperes alebantur : et si ego indignus eram hac rerum frui copia, saltem propter earum participes parcendum erat. Sed nihil horum vel dixit vel cogitavit : norat enim Deum omnia utiliter dispensantem. Et ut scias eum gravius postea vulnus intulisse diabolo, cum spoliatus gratias egit, quam cum possidens miserebatur, adverte quod quando possidebat, suspicionem quamdam habuit diabolus, etsi falsam, habuit tamen unde diceret, Num gratis te colit Job? Postquam vero omnia abstulit, et ipsum omnibus spoliavit, et tamen eamdem is erga Deum benevolentiam servavit, tunc demum obstructum est os impudens, et nihil amplius quod diceret habebat : nam splendidior quam ex prioribus erat justus ille vir. Omnibus enim privatum, generose et cum gratiarum actione ferre multo majus est, quam in divitiis degentem facere eleemosynam, sicut et in hoc justo demonstratum est. Tunc multa in conservos fuit benignitas, nunc magnus in Dominum amor exhibebatur. Hunc vero non temere sermonem extendo ; sed quoniam multi sæpius qui eleemosynas erogarent et viduas alerent, omni substantia dispoliati sunt : alii incendio omnia amiserunt, alii in naufragia inciderunt, alii calumniis et talibus quibusvis injuriis post multas eleemosynas in extremam redacti sunt pauperiem et infirmitatem et ægritudinem, et a nemine ullum adepti sunt auxilium.

Ne igitur dicamus, quod sæpe multi dicunt, *Nemo quidquam scit*, sufficiunt omnia supra dicta ad talem expellendam trepidationem. Ille, inquit, tot faciens eleemosynas omnia perdidit. Et quid illud est, omnia perdidit? Si pro hac gratias egerit jactura, multo majorem a Deo benevolentiam conciliabit sibi, nec duplum sicut Job, sed centuplum in futura vita recipiet. Si vero hic mala patitur, hoc ipsum majorem illic thesaurum ipsi præbebit, quod generose omnia ferat : ad majores enim ipsum inde vocans exercitationes et luctas, de copia in penuriam incidere Deus permisit. Ignis ingruens sæpius domum tuam absumsit, et totam substantiam populatus est? Reminiscere eorum quæ Job acciderunt : age gratias Domino, qui prohibere poterat, et non prohibuit : et tantam recipies mercedem, quantam si omnia illa in pauperum manus reposuisses. Sed in paupertate degis et fame et infinitis periculis? Recordare Lazari, cum inopia et orbitate et innumeris aliis pugnantis molestiis, et hæc post virtutem tantam : recordare apostolorum, qui et in fame et in siti et in nuditate degebant, prophetarum, patriarcharum, justorum : et omnes ipsos invenies non de divitibus, non

πενομένων, τῶν θλιβομένων, τῶν στενοχωρουμένων ὄντας.

Ταῦτα παρὰ σεαυτῷ συλλέγων, εὐχαρίστησον τῷ Δεσπότῃ, ὅτι σε τῆς μοίρας ταύτης ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν, ἐπεὶ κἀκείνους οὐχὶ μισῶν ἐᾷ τοσαῦτα πάσχειν δεινὰ, ἀλλ' ἐπειδὴ σφόδρα ἐφίλει, λαμπροτέρους αὐτοὺς διὰ τῶν κακῶν τούτων εἰργάζετο. Οὐδὲν εὐχαριστίας ἴσον ἀγαθὸν, ὥσπερ οὖν βλασφημίας χεῖρον οὐδέν. Μὴ θαυμάσωμεν ὅτι πνευματικοῖς ἐπιτιθέμενοι πράγμασι πολλὰ πάσχομεν δεινά· ὥσπερ γὰρ οἱ λῃσταὶ οὐχ ἕνθα χόρτος καὶ ἄχυρα καὶ καλάμη, ἀλλ' ἕνθα χρυσίον καὶ ἀργύριον, ἐκεῖ διορύττουσι καὶ συνεχῶς ἀγρυπνοῦσιν· οὕτω καὶ ὁ διάβολος τούτοις μάλιστα ἐπιτίθεται τοῖς πνευματικῶν ἐπιθυμοῦσι πραγμάτων. Ἐκεῖ πολλαὶ αἱ ἐπιβουλαὶ, ἔνθα ἀρετή· ἐκεῖ φθόνος, ἔνθα ἐλεημοσύνη. Ἀλλ' ἔστιν ἡμῖν ἓν ὅπλον μέγιστον, ὃ πάσας ἱκανὸν τὰς τοιαύτας μηχανὰς ἀποκρούσασθαι, τὸ διὰ πάντων τούτων εὐχαριστεῖν τῷ Θεῷ. Ὁ Ἄβελ, εἰπέ μοι, οὐχὶ τῶν πρωτείων τῷ Θεῷ ἀπαρξάμενος, ὑπὸ τῆς ἀδελφικῆς ἔπεσε χειρός; ἀλλ' ὅμως ὁ Θεὸς συνεχώρησεν, οὐχὶ μισῶν τὸν τιμήσαντα, ἀλλὰ καὶ σφόδρα φιλῶν, καὶ πρὸς τῷ τῆς καλλίστης ἐκείνης θυσίας στεφάνῳ καὶ ἕτερον αὐτῷ τὸν ἀπὸ τοῦ μαρτυρίου παρέχων στέφανον. Ὁ Μωϋσῆς ἠθέλησεν ἀδικουμένῳ βοηθῆσαί τινι καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε καὶ τῆς πατρίδος ἐξέπεσε· καὶ ὁ Θεὸς συνεχώρησεν, ἵνα μάθῃς τῶν ἁγίων τὴν ὑπομονήν. Εἰ γὰρ προειδότες ὡς οὐδὲν πείσόμεθα δεινὸν, οὕτως ἠπτόμεθα τῶν πνευματικῶν πραγμάτων, οὐδὲν μέγα ἂν ἐδόξαμεν ποιεῖν, ἐνίσχυρον τῆς ἀσφαλείας ἔχοντες τοιοῦτον· νυνὶ δὲ ἐντεῦθεν μάλιστα ἂν εἶεν θαυμασταὶ οἱ τὰ τοιαῦτα πράττοντες, ὅτι καὶ κινδύνους καὶ ζημίας καὶ θανάτους καὶ μυρία κακὰ προορώμενοι, ὅμως τῶν τοιούτων οὐκ ἀφίσταντο κατορθωμάτων, οὐδὲ ἀνηρότεροι ἐγίνοντο ταῖς τῶν φόβων προσδοκίαις. Καθάπερ οὖν οἱ τρεῖς παῖδες ἔλεγον, « Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησας οὐ προσκυνοῦμεν »· καὶ σὺ τοίνυν, ὅταν μέλλῃς τί ποτε ἐργάζεσθαι τῶν κατὰ Θεὸν, πολλοὺς πρόβαλε κινδύνους, πολλὰς ζημίας, πολλοὺς θανάτους, καὶ μὴ ξενίζου μηδὲ θορυβοῦ συμβαινόντων τούτων. « Τέκνον γὰρ, φησὶν, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. » Οὐδεὶς πυκτεύειν αἱρούμενος χωρὶς τραυμάτων προσδοκᾷ στέφανον ἀναδήσασθαι. Καὶ σὺ τοίνυν, [ἀγαπητὲ,] πρὸς τὸν διάβολον παγκρατιάζειν καταδεξάμενος, μὴ τὸν ἀκίνδυνον καὶ τρυφῆς γέμοντα δίωκε βίον· οὐ γὰρ ἐνταῦθά σοι τὰς ἀμοιβὰς καὶ τὰς ὑποσχέσεις, ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα ἅπαντα ὑπέσχετο ὁ Θεὸς τὰ λαμπρά. Ὅταν οὖν ἢ αὐτός τι ποιήσας ἀγαθὸν τὰ ἐναντία ἀπολάβῃς, ἢ ἕτερον τοῦτο πάσχοντα ἴδῃς, εὐφραίνου καὶ χαῖρε· μείζονος γὰρ ἀμοιβῆς [ὑπόθεσις] de gaudentibus, sed de egentibus, tribulatis, angustiatis [illis].

11. Hæc apud teipsum colligens, Domino gratias age, quod te hujus fecit sortis, non exosus, sed et valde amans: nam et illos non exosus tot gravia pati permisit, sed quia vehementer amabat, clariores ipsos per hæc mala reddebat. Nullum gratiarum actioni par bonum; quemadmodum blasphemia pejus nihil. Ne admiremur, quod spiritalibus instantes multa patiamur adversa. Ut enim latrones, non ubi fœnum et palea et calamus, sed ubi aurum et argentum, ibi fodiunt et assidue vigilant: sic et diabolus iis maxime instat, qui spiritualia attingunt negotia. Ibi multæ insidiæ, ubi virtus: illic invidia, ubi eleemosyna. Sed est nobis telum maximum, quod omnes tales machinas repellere valeat, ut per hæc omnia Deo gratias agamus. Abel, dic mihi, nonne de primitiis Deo sacrificans, fraterna cecidit manu? sed tamen Deus permisit, non eum perosus qui se honoravit, sed valde diligens, et præter speciosissimi illius sacrificii coronam, alteram etiam ipsi de martyrio præbens. Moses cuidam injuria affecto opitulari voluit, et mori periclitatus est, et patria excidit, Deusque permisit, ut sanctorum patientiam discas. Si enim præscii nihil nos passuros mali, sic spiritualia attingeremus negotia, nihil magnum facere visi essemus, tale securitatis pignus habentes: nunc vero hinc maxime admirabiles sunt qui talia faciunt, quod et pericula et damna et mortes et infinita prævidentes mala, tamen hujusmodi officiis non absistant, neque timorum expectationibus fiant segniores. Sicut igitur tres pueri dicebant (*Dan.* 3. 17. 18), *Est Deus in cælo potens eripere nos: et si non, notum sit tibi, rex, quod diis tuis non servimus, et auream imaginem, quam erexisti, non adoramus:* et tu igitur quando quid boni secundum Deum operaturus es, multa prospice pericula, multa damna, multas mortes; et ne mireris, neu perturberis, si hæc accidant. *Fili*, inquit (*Eccli* 2. 1), *accedens ad servitutem Dei, præpara animam tuam ad tentationem.* Nemo nempe pugnare decernens, absque vulneribus coronam reportare expectat. Et tu igitur, carissime, cum diabolo totis viribus pugnare aggressus, ne vitam securam et deliciis plenam secteris. Non enim hic tibi retributiones et promissiones, sed in futurum sæculum omnia præclara Deus promisit. Cum igitur vel ipse bonum feceris, et contraria receperis, vel alium hoc videris patientem, gaude et lætare: majoris enim tibi retributionis materia est. Quare

τὸ πρᾶγμά σοι γίνεται. Μὴ δὴ καταπίσῃς, μηδὲ καταλύσῃς τὴν προθυμίαν, μηδὲ ὀκνηρότερος γένῃ, ἀλλὰ μᾶλλον ἐπιτίθεσο μετὰ πλείονος τῆς προθυμίας· ἐπεὶ καὶ οἱ ἀπόστολοι ἡνίκα ἐκήρυττον, μαστιζόμενοι, λιθαζόμενοι, δεσμωτήρια συνεχῶς οἰκοῦντες, οὐ μόνον μετὰ τὴν τῶν κινδύνων ἀπαλλαγὴν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις μετὰ μείζονος τῆς προθυμίας τὸ τῆς ἀληθείας κατήγγελλον κήρυγμα. Καὶ ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁλύσεσι κατηχοῦντα, μυσταγωγοῦντα, καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα, καὶ ἐν ναυαγίῳ καὶ ἐν χειμῶνι, καὶ ἐν μυρίοις κινδύνοις. Καὶ σὺ τούτους ζήλωσον τοὺς ἁγίους, καὶ τῶν ἀγαθῶν ἔργων ἀντέχου ἕως ἂν ἐμπνέῃς· κἂν μυριάκις ἴδῃς διακόπτοντά σε τὸν διάβολον, μηδέποτε ἀποστῇς. Σὺ μὲν γὰρ χρήματα διακομίζων, ἴσως ναυαγίῳ περιέπεσας· ὁ δὲ Παῦλος, ὁ πάντων χρημάτων τιμιώτερον ἦν, τὸν λόγον βαστάζων εἰς τὴν Ῥώμην ἀπῄει, καὶ ναυαγίῳ περιέπεσε, καὶ μυρία ὑπέστη δεινά· καὶ τοῦτο αὐτὸς ἐδήλωσεν εἰπὼν ὅτι « Πολλάκις ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς », καὶ ὁ Θεὸς συνεχώρησεν, ἐκ περιουσίας τὴν αὐτοῦ δύναμιν δηλῶν, καὶ δεικνὺς ὅτι καὶ μυρία ποιοῦντος τοῦ διαβόλου καὶ κωλύοντος, οὐδὲν ταύτῃ τὰ τοῦ κηρύγματος ἧλαττοῦτο καὶ διεκόπτετο. Διὰ τοῦτο ἐν πᾶσιν ὁ Παῦλος εὐχαρίστει τῷ Θεῷ, εἰδὼς ὅτι δοκιμώτερον αὐτὸν διὰ τούτων εἰργάζετο, καὶ τῆς προθυμίας αὐτοῦ τὸ σφοδρὸν ἐν πᾶσιν ἐδείκνυτο οὐδενὶ τούτων τῶν κωλυμάτων ἐγκοπτόμενος. Ὅσάκις τοίνυν ἂν ἀποτύχωμεν, τοσαυτάκις ἁπτώμεθα τῶν πνευματικῶν ἔργων, καὶ μὴ λέγωμεν, Τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς τὰ κωλύματα; διὰ γὰρ τοῦτο συνεχώρησεν, ἵνα σοῦ τὴν προθυμίαν τοῖς πολλοῖς δείξῃ μᾶλλον καὶ τὸ πολὺ φίλτρον τὸ περὶ αὐτόν· φιλοῦντος γὰρ μάλιστα τοῦτό ἐστι, τὸ μηδέποτε ἀφίστασθαι τῶν τῷ φιλουμένῳ δοκούντων. Ὁ μὲν γὰρ χαῦνος καὶ ῥᾴθυμος ἐκ πρώτης εὐθέως ἀναπεσεῖται τῆς προσβολῆς· ὁ δὲ σφοδρὸς καὶ διεγηγερμένος, κἂν μυριάκις ἐγκόπτηται, τοσούτῳ μειζόνως ἐπιθήσεται τοῖς κατὰ Θεὸν πράγμασι, τὰ παρ' ἑαυτοῦ πάντα πληρῶν καὶ ἐν πᾶσιν εὐχαριστῶν. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. Μέγας θησαυρὸς ἡ εὐχαριστία, μέγας πλοῦτος, ἀνάλωτον ἀγαθὸν, ὅπλον ἰσχυρόν· ὥσπερ οὖν ἡ βλασφημία τὴν οὖσαν ἐπιτείνει ζημίαν, καὶ ὧν ἀπωλέσαμεν πλείονα προσαπολέσαι ποιεῖ. Ἀπώλεσας χρήματα; ἂν μὲν εὐχαριστήσῃς, ἐκέρδανας τὴν ψυχὴν καὶ μείζονα ἐκτήσω τὸν πλοῦτον, τοῦ Θεοῦ πλείω τὴν εὔνοιαν ἐπισπασάμενος· ἂν δὲ βλασφημήσῃς, προσαπώλεσας καὶ τὴν σωτηρίαν τὴν σεαυτοῦ, καὶ οὐδὲ ἐκεῖνα ἀνακτήσω, καὶ [ἣν εἶχες ψυχὴν, καὶ] ταύτην κατέθυσας.

Ἀλλ' ἐπειδὴ περὶ βλασφημίας ἡμῖν ὁ λόγος ἐγένετο νῦν, μίαν ὑμᾶς ἅπαντας αἰτῆσαι βούλομαι χάριν ἀντὶ τῆς δημηγορίας ταύτης καὶ τῆς διαλέξεως, ἵνα μοι τοὺς ἐν τῇ πόλει βλασφημοῦντας σωφρονίσητε. Κἂν

ne concidas, neu solvas animi studium, neu segnior fias, sed potius insta cum majori alacritate : quoniam et apostoli cum prædicabant, etsi flagellarentur, lapidarentur, carceres continue habitarent, non solum post periculorum liberationem, sed et in ipsis periculis cum majore alacritate veritatis præconium enuntiabant. Et videre est Paulum in ipso carcere, in ipsis catenis instruentem, initiantem, et in foro judiciali rursum idem facientem, et in naufragio et in tempestate, et in periculis innumeris. Tu quoque sanctos istos æmulare, et bonis operibus sis intentus, dum vivis et spiras; et licet millies interpellantem te diabolum videris, numquam absistas. Tu quidem pecunias perferens, forte naufragium fecisti; Paulus autem omnibus pecuniis pretiosius Verbum ferens, Romam abibat, et in naufragium incidit, et infinita subiit incommoda. Et hoc ipse declaravit dicens (*1. Thess.* 2. 18), *Sæpius voluimus venire ad vos, sed impedivit nos satanas :* et Deus permisit, ex superabundanti suam demonstrans virtutem, et ostendens quod infinita faciente diabolo et prohibente, nihil ex hoc prædicatio minuebatur aut interrumpebatur. Idcirco in omnibus Paulus Deo gratias agebat, sciens quod probatiorem per hæc se Deus reddebat; et studii sui vehementiam in omnibus exhibebat, tali impedimento nullo cohibitus. Quoties igitur frustrati fuerimus, toties spiritualia opera aggrediamur : neque dicamus, Quare Deus hæc impedimenta permisit, ut studium tuum multo magis demonstres et multum erga eum amorem. Amantis enim maxime est, numquam ab iis, quæ amato placent, abesistere. Mollis enim et ignavus ex primo statim impetu concidet; vehemens autem et excitatus, etsi interpelletur, tanto magis divinis rebus instabit, quantum in se est omnia implens, et in omnibus gratias agens. Hoc et nos faciamus. Magnus thesaurus gratiarum actio, magnæ divitiæ, inconsumtum bonum, armatura fortis : sicut et blasphemia præsentem jacturam intendit, et plura quam quæ perdidimus, insuper perire facit. Perdidisti pecunias? si gratias egeris, animam lucratus es, et majores nactus es divitias, quia Dei benevolentiam tibi ampliorem conciliasti; si vero blasphemaveris, insuper et salutem tuam amisisti, neque illas recuperasti, et animam quoque occidisti.

12. Sed quando de blasphemia nobis verba nunc facta sunt, unam a vobis omnibus petere volo retributionem pro concione hac atque sermone : ut in civitate blasphemantes castigetis mihi. Si quempiam in bivio et foro

ἀκούσῃς τινὸς ἐν ἀμφόδῳ ἢ ἐν ἀγορᾷ μέσῃ βλασφημοῦντος τὸν Θεὸν, πρόσελθε, ἐπιτίμησον, κἂν πληγὰς ἐπιθεῖναι δέῃ, μὴ παραιτήσῃ· ῥάπισον αὐτοῦ τὴν ὄψιν, σύντριψον τὸ στόμα, ἁγίασόν σου τὴν χεῖρα διὰ τῆς πληγῆς· κἂν ἐγκαλῶσί τινες, κἂν εἰς δικαστήριον ἕλκωσιν, ἀκολούθησον· κἂν ἐπὶ τοῦ βήματος εὐθύνας ὁ δικαστὴς ἀπαιτήσῃ, εἰπὲ μετὰ παῤῥησίας ὅτι Τὸν βασιλέα τῶν ἀγγέλων ἐβλασφήμησεν. Εἰ γὰρ τὸν ἐπὶ γῆς βασιλέα τοὺς βλασφημοῦντας κολάζεσθαι χρὴ, πολλῷ μᾶλλον τοὺς ἐκεῖνον ὑβρίζοντας. Κοινόν ἐστι τὸ ἔγκλημα, δημόσιόν ἐστι τὸ ἀδίκημα, ἔξεστιν ἑκάστῳ τῶν βουλομένων κατηγορεῖν· μανθανέτωσαν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, ὅτι σωτῆρες τῆς πολεώς εἰσιν οἱ Χριστιανοὶ, καὶ κηδεμόνες καὶ προστάται καὶ διδάσκαλοι, καὶ μανθανέτωσαν τοῦτο αὐτὸ οἱ ἀκόλαστοι καὶ διεστραμμένοι, ὅτι καὶ τοὺς τοῦ Θεοῦ δούλους αὐτοὺς φοβεῖσθαι χρὴ, ἵνα κἂν βλωνταί ποτε φθέγξασθαί τι τοιοῦτον, ἀλλήλους πανταχοῦ περιβλέπωνται, καὶ τὰς σκιὰς τρέμωσιν, ἀγωνιῶντες μήπου Χριστιανὸς ἀκούσας ἐπιπηδήσῃ καὶ κολάσῃ σφοδρότερον. Οὐκ ἤκουσας τί Ἰωάννης ἐποίησε; Τύραννον εἶδεν ἄνθρωπον γάμων ἀνατρέποντα νόμους, καὶ μετὰ παῤῥησίας ἐν μέσῳ τῆς ἀγορᾶς φησιν, « Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. » Ἐγὼ δέ σε οὐκ ἐπὶ τύραννον ἦγαγον οὐδ' ἐπὶ δικαστὴν, οὐδὲ ὑπὲρ γάμων παρανομουμένων οὐδὲ ὑπὲρ συνδούλων ὑβριζομένων, ἀλλ' ὑπὲρ τῆς εἰς τὸν Δεσπότην παροινίας τὸν ὁμότιμον ἀξιῶ σωφρονίζειν. Ἆρά γε εἰ ἔλεγον, Τοὺς βασιλέας ἢ τοὺς δικαστὰς παρανομοῦντας κόλαζε καὶ διόρθου, οὐκ ἄν με μαίνεσθαι ἔφης; Καίτοι γε Ἰωάννης τοῦτο ἐποίησεν· οὕτως οὐδὲ τοῦτο μεῖζον ἡμῶν. Νῦν δὲ κἂν τὸν ὁμόδουλον, κἂν τὸν ὁμότιμον διόρθωσον· κἂν ἀποθανεῖν δέῃ, σωφρονίζειν τὸν ἀδελφὸν μὴ ἀποκνήσῃς· μαρτύριόν σοι τοῦτό ἐστιν, ἐπεὶ καὶ Ἰωάννης μάρτυς ἦν. Καίτοι γε οὐ θῦσαι ἐκελεύσθη οὐδὲ προσκυνῆσαι εἰδώλου, ἀλλ' ὑπὲρ τῶν ἱερῶν νόμων ὑβριζομένων τὴν κεφαλὴν ἀπέθετο· καὶ σὺ τοίνυν ἀγώνισαι μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ. Καὶ μή μοι λέγε τὸ ψυχρὸν τοῦτο ῥῆμα, Τί ἐμοὶ μέλει; οὐδὲν ἔχω κοινὸν πρὸς αὐτόν. Πρὸς τὸν διάβολον οὐδὲν ἔχομεν κοινὸν μόνον, πρὸς δὲ τοὺς ἀνθρώπους ἅπαντας πολλὰ ἔχομεν κοινά· τῆς φύσεως ἡμῖν τῆς αὐτῆς μετέχουσι, τὴν αὐτὴν γῆν οἰκοῦσι, καὶ ταῖς αὐταῖς τρέφονται τροφαῖς, τὸν αὐτὸν ἔχουσι Δεσπότην, τοὺς αὐτοὺς ἐδέξαντο νόμους, ἐπὶ τὰ αὐτὰ ἡμῖν παρακαλοῦνται ἀγαθά. Μὴ τοίνυν λέγωμεν ὡς οὐδὲν ἡμῖν κοινὸν πρὸς αὐτούς· σατανικὴ γὰρ αὕτη ἡ φωνὴ, διαβολικὴ ἡ ἀπανθρωπία. Μὴ τοίνυν ταῦτα λέγωμεν, ἀλλὰ τὴν πρέπουσαν ἀδελφοῖς κηδεμονίαν ἐπιδειξώμεθα. Ἐγὼ δὲ τοῦτο μετὰ πάσης ὑπισχνοῦμαι τῆς ἀκριβείας καὶ ἐγγυῶμαι πᾶσιν ὑμῖν, ὅτι εἰ ὑμεῖς βουληθείητε πάντες οἱ παρόντες ἐνταῦθα διανείμασθαι τὴν σωτηρίαν τῶν τὴν πόλιν οἰκούντων, ταχέως ἡμῖν ἅπασα διορθοῦται.

Deo blasphemantem audieris, accede, increpa: et si verbera infligere oporteat, ne recuses: ipsius faciem alapa percute, contere os ipsius, percussione hac manum tuam sanctifica. Et si qui accusaverint, si in judicium traxerint, sequere: et si pœnas judex pro tribunali repoposcerit, dic cum libertate, quod angelorum Regem blasphemaverit. Si enim regem terræ blasphemantes puniri oportet, multo magis illum contumelia afficientes. Commune crimen est, publica injuria, cuique accusare volenti licet. Discant et Judæi et gentiles, Christianos esse civitatis conservatores, et curatores, et præsides, et magistros: et idem discant dissoluti et perversi, timendos sibi esse Dei servos, ut, si quid tale loqui umquam aggrediantur, sese undique circumspiciant et umbras timeant, anxii ne forte Christianus audiens insiliat et puniat vehementius. Non audisti quid Joannes fecerit? Tyrannum vidit hominem nuptiarum leges subvertentem, et cum fiducia in medio foro dicit (*Marc.* 6. 18), *Non licet tibi habere uxorem Philippi fratris tui.* Ego autem non ad tyrannum te duxi, neque ad judicem, neque pro nuptiis illegitimis, neque pro conservis contumelia affectis, sed pro furore in Dominum æqualem ut castiges deposco. Si tibi dixissem, Reges vel judices prævaricantes puni et corrige, nonne me insanire dixisses? Et tamen Joannes hoc fecit: adeo non est id supra nos. Nunc vero saltem conservum, vel æqualem corrige, et si mori opus sit, castigare fratrem ne torpeas: martyrium tibi hoc est, quoniam et Joannes martyr fuit. Non sacrificare jussus fuit, neque idolum adorare, sed pro sacris legibus temeratis caput deposuit: et tu igitur pro veritate usque ad mortem contende, et Deus pugnabit pro te. Nec mihi illud dicas frigidum verbum, Quid ad me? cum ipso commune habeo nihil. Cum diabolo solo commune nihil habemus, cum omnibus autem hominibus multa habemus communia. Ejusdem enim nobiscum naturæ participes sunt, eamdem habitant terram, eisdemque aluntur nutrimentis, eumdem habent Dominum, easdem acceperunt leges, ad eadem nobiscum bona invitantur. Ne igitur dicamus nos nihil commune cum ipsis habere: satanica est ista vox, diabolica inhumanitas. Ne igitur hæc dicamus, sed congruam fratribus curam exhibeamus. Ego autem hoc cum omni polliceor accuratione, et vobis omnibus spondeo: si vos omnes hic præsentes civium urbis salutem curare volueritis, brevi tota nobis civitas corrigetur: tametsi minima ejus pars

Καίτοι γε τὸ Πλάχιστον μέρος τῆς πόλεως ἐνταῦθά ἐστιν, ἐλάχιστον κατὰ τὸ πλῆθος, τὸ δὲ κεφάλαιον κατὰ τὴν εὐσέβειαν. Διανειμώμεθα τοίνυν τὴν τῶν ἀδελφῶν ἡμῶν σωτηρίαν· ἀρκεῖ γὰρ εἷς ἄνθρωπος ζήλῳ πεπυρωμένος ὁλόκληρον διορθώσασθαι δῆμον. Ὅταν δὲ μὴ εἷς μηδὲ δύο καὶ τρεῖς, ἀλλὰ τοσοῦτον ᾖ πλῆθος τὸ δυνάμενον τῆς τῶν ἠμεληκότων ἐπιμελείας ἅψασθαι, οὐδαμόθεν ἑτέρωθεν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν, οὐ παρὰ τὴν ἀσθένειαν οἱ πλείους ἀπόλλυνται καὶ καταπίπτουσι. Πῶς γὰρ οὐκ ἄτοπον, ἐπειδὰν μάχην ἴδωμεν ἐπὶ τῆς ἀγορᾶς, προσιέναι καὶ καταλλάττειν τοὺς μαχομένους· (καὶ τί λέγω μάχην; εἰ καταπεσόντα ἴδωμεν ὄνον, πάντες χεῖρα ὀρέγειν καὶ συνδιανιστᾶν σπεύδομεν·) τῶν δὲ ἀδελφῶν ἀπολλυμένων ἀμελεῖν; Ὄνος ἐστὶν ὁ βλάσφημος, καὶ θυμοῦ φορτίον οὐκ ἐνεγκών, κατέπεσε· πρόσελθε καὶ διανάστησον καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων, καὶ δι' ἐπιεικείας καὶ διὰ σφοδρότητος, ποικίλον ἔστω τὸ φάρμακον. Ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν καὶ τῆς τῶν πλησίον ἀντιλαμβανώμεθα σωτηρίας, ταχέως κἀκείνοις αὐτοῖς τοῖς τῆς διορθώσεως ἀπολαύουσι ποθεινοὶ ἐσόμεθα καὶ ἐπέραστοι· καὶ ὃ πάντων ἐστὶ μεῖζον, τῶν ἀποκειμένων ἀπολαυσόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

hic est, multitudine illa minima, sed pietate summa. Dispensemus igitur salutem fratrum nostrorum; sufficit unus homo fidei zelo succensus ad totum corrigendum populum. Cum vero non unus tantum, neque duo vel tres, sed tanta sit multitudo, quæ negligentium curam possit attingere, non aliunde, quam per torporem vestrum, non per infirmitatem plures pereunt et labuntur. Annon absurdum, si pugnam quidem in foro videamus, eo accedere et pugnantes conciliare: (quid dico pugnam? si asinum cecidisse viderimus, omnes manum porrigere et pariter erigere festinamus:) fratrum vero pereuntium curam habere nullam? Asinus est blasphemus; iracundiæ pondus non ferens, cecidit: accede, erige verbis, factis, lenitate, vehementia, varia sit medicina. Quod si nostra sic disponamus, et proximorum salutem suscipiamus, cito et illis ipsis correctionem admittentibus desiderabiles erimus et amabiles, et quod omnibus majus est, repositis fruemur bonis, quæ nos omnes adipisci contingat, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri et sancto Spiritui gloria, potestas, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ β'.

Λεχθεῖσα ἐν Ἀντιοχείᾳ ἐν τῇ παλαιᾷ λεγομένῃ ἐκκλησίᾳ, ὄντος αὐτοῦ πρεσβυτέρου, περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει, ἐπὶ τῇ ἀταξίᾳ τῆς καταστροφῆς τῶν ἀνδριάντων τοῦ Θεοδοσίου τοῦ βασιλέως· καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, « Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν· » καὶ κατὰ πλεονεξίας.

Τί εἴπω καὶ τί λαλήσω; δακρύων ὁ παρὼν καιρός, οὐχὶ ῥημάτων· θρήνων, οὐ λόγων· εὐχῆς, οὐ δημηγορίας· τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος, οὕτως ἀνίατον τὸ ἕλκος, οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας. Ὅτε μὲν οὖν ὁ Ἰὼβ πάντα ἀποβαλὼν ἐπὶ τῆς κοπρίας ἐκάθητο, ἀκούσαντες οἱ φίλοι παρεγένοντο, καὶ ἰδόντες αὐτὸν πόρρωθεν, τὰ ἱμάτια διέῤῥηξαν, καὶ σποδὸν κατεπάσαντο, καὶ μέγα ἀνώμωξαν· νῦν δὲ τοῦτο τὰς πόλεις ἁπάσας τὰς κύκλῳ ποιῆσαι ἐχρῆν, καὶ πρὸς τὴν πόλιν τὴν ἡμετέραν ἐλθεῖν, καὶ θρηνῆσαι τὰ γεγενημένα μετὰ συμπαθείας ἁπάσης. Ἐκεῖνος ἐπὶ τῆς κοπρίας ἐκάθητο τότε· αὕτη ἐν μεγάλῃ παγίδι κάθηται νῦν. Καθάπερ γὰρ τότε ὁ διάβολος εἰς τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαν ὠρχήσατο τοῦ δικαίου τὴν οἰκίαν, οὕτω νῦν εἰς τὴν πόλιν ἅπασαν ἐβάκχευσεν. Ἀλλ' ὁ Θεὸς καὶ τότε καὶ νῦν συνεχώρησε· τότε μέν, ἵνα τὸν δίκαιον λαμπρότερον ποιήσῃ τῷ μεγέθει τῶν

HOMILIA II.

Antiochiæ habita in ecclesia dicta veteri, cum ipse presbyter esset, de calamitate quæ urbi accidit pro tumultu subversionis imaginum Theodosii imperatoris, et in dictum Apostoli (1. *Tim.* 6. 17), *Divitibus hujus sæculi præcipe non sublime sapere*: et contra avaritiam.

1. Quid dicam, aut quid loquar? lacrymarum præsens tempus, non verborum: luctuum, non sermonum: precationis, non concionis. Tanta patratorum est magnitudo, tam immedicabile vulnus, tam vasta plaga, et omni medicamine major, et superno indigens auxilio. Quando Job omnibus amissis in fimo sedebat, certiores facti amici accesserunt, ipsumque procul conspicati dissiderunt vestimenta, et sibi cinerem insperserunt, et vehementer ingemuere: nunc vero civitates circumcirca omnes idem facere oportebat, ad urbem nostram venire, et quæ acciderunt cum omni commiseratione deflere. Ille in stercore tunc sedebat, hæc in magno laqueo nunc considet. Sicut enim tunc diabolus in greges et armenta et totam justi illius domum insiluit: sic nunc in omnem civitatem debacchatus est. Sed Deus et tunc et nunc permisit: tunc quidem, ut justum clariorem redderet

πειρασμῶν, νῦν δὲ, ἡμᾶς ἵνα σωφρονεστέρους ἐργάσηται τῇ τῆς θλίψεως ταύτης ὑπερβολῇ. [Δότε μοι θρηνῆσαι τὰ παρόντα. Ἐσιγήσαμεν ἡμέρας ἑπτὰ, καθάπερ οἱ φίλοι τοῦ Ἰώβ· δότε μοι διᾶραι στόμα σήμερον, καὶ τὴν κοινὴν ταύτην ὀδύρασθαι συμφοράν. Τίς ἡμᾶς ἐβάσκηνεν, ἀγαπητοί; τίς ἡμῖν ἐφθόνησε; πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας σεμνότερον ἦν· οὐδὲν γέγονεν ἐλεεινότερον νῦν.] Δῆμος εὔτακτος οὕτω καὶ ἥμερος, καὶ καθάπερ ἵππος χειραγώγητος καὶ τιθασὸς, ἀεὶ ταῖς τῶν ἀρχόντων εἶκων χερσὶν, ἐξαίφνης τοσοῦτον ἡμῖν ἀπεσκίρτησε νῦν, ὡς τοσαῦτα ἐργάσασθαι κακὰ, ἃ μηδὲ εἰπεῖν θέμις. Ὀδύρομαι καὶ θρηνῶ νῦν, οὐ διὰ τὸ μέγεθος τῆς προσδοκωμένης ἀπειλῆς, ἀλλὰ διὰ τὴν ὑπερβολὴν τῆς γεγενημένης μανίας. Εἰ γὰρ μὴ παροξυνθείη βασιλεὺς μηδὲ ὀργισθείη μηδὲ κολάσειε καὶ τιμωρήσαιτο, πῶς οἴσομεν, εἰπέ μοι, τὴν αἰσχύνην τὴν ἀπὸ τῶν γεγενημένων; Διακόπτεταί μοι τῆς διδασκαλίας ὁ λόγος τῷ θρήνῳ· μόλις ἰσχύω διᾶραι στόμα, καὶ ἀνοῖξαι χεῖλη, καὶ κινῆσαι γλῶτταν, καὶ ῥήματα προέσθαι· οὕτω καθάπερ χαλινὸς ὁ τῆς ἀθυμίας ὄγκος ἀποστρέφει μοι τὴν γλῶτταν καὶ τῶν ῥημάτων ἐπιλαμβάνεται. Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας πρότερον μακαριώτερον ἦν· οὐδὲν ἀτερπέστερον γέγονε νῦν. Καθάπερ μέλιττται κηρίον βομβοῦσαι, οὕτω τὴν ἀγορὰν περιέπταντο καθ' ἑκάστην ἡμέραν οἱ τὴν πόλιν οἰκοῦντες, καὶ πάντες ἡμᾶς ἐπὶ τῷ πλήθει τούτῳ πρότερον ἐμακάριζον. Ἀλλ' ἰδοὺ νῦν τὸ κηρίον τοῦτο γέγονεν ἔρημον· καθάπερ γὰρ τὰς μελίττας ἐκείνας καπνὸς, οὕτω τὰς μελίττας ταύτας φόβος ἀπήλασε· [μᾶλλον δὲ] καὶ ὃ περὶ τῆς Ἱερουσαλὴμ θρηνῶν ὁ προφήτης ἔλεγε, τοῦτο καὶ ἡμεῖς εἰς καιρὸν ἐροῦμεν νῦν· « Ἐγενήθη ἡ πόλις ἡμῖν ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. » Καθάπερ γὰρ παράδεισος, τῆς ἀρδείας ἐπιλειπούσης, ἔρημα τῶν φύλλων, γυμνὰ τῶν καρπῶν τὰ δένδρα δείκνυσιν, οὕτω δὴ καὶ ἡμῖν ἡ πόλις γέγονε νῦν· τῆς γὰρ ἄνωθεν βοηθείας ἐγκαταλιπούσης αὐτὴν, ἔστηκεν ἔρημος, γυμνὴ τῶν οἰκητόρων γενομένη σχεδὸν ἁπάντων. Οὐδὲν πατρίδος γλυκύτερον, ἀλλ' οὐδὲν πικρότερον γέγονε νῦν· πάντες τὴν ἐνεγκοῦσαν ὥσπερ παγίδα φεύγουσιν, ὥσπερ βάραθρον ἀπολιμπάνουσιν, ὥσπερ πυρᾶς ἀποπηδῶσι· καὶ καθάπερ οἰκίας ἀναπτομένης οὐχ οἱ τὴν οἰκίαν οἰκοῦντες μόνον, ἀλλὰ καὶ πάντες οἱ πλησίον μετὰ πολλῆς ἀποπηδῶσι τῆς σπουδῆς, γυμνὸν τὸ σῶμα διασῶσαι σπουδάζοντες· οὕτω δὴ καὶ νῦν, τῆς βασιλικῆς ὀργῆς καθάπερ πυρός τινος ἄνωθεν ἥξειν προσδοκωμένης, πρὶν ἐπ' αὐτοὺς δεῦρο βαδίζον ἐλθεῖν τὸ πῦρ, ἕκαστος ἐπείγεται προεξελθεῖν καὶ γυμνὸν διασῶσαι τὸ σῶμα. Καὶ γέγονεν ἡμῶν αἴνιγμα νῦν ἡ συμφορά· χωρὶς πολεμίων φυγὴ, χωρὶς μάχης μετανάστασις, χωρὶς ἁλώσεως αἰχμαλωσία· οὐκ εἴδομεν βαρβαρικὸν πῦρ, οὐδὲ πολεμίων ὄψιν ἐθεασάμεθα, καὶ τὰ τῶν ἁλωκότων πάσχομεν. Πάντες νῦν τὰς ἡμετέρας συμφορὰς μανθάνουσι· τοὺς γὰρ

tentationum magnitudine; nunc vero, nos ut modestiores æromnæ hujus magnitudine reddat. [Date mihi ut præsentia lugeam. Tacuimus dies septem, sicut et amici Job: concedite hodie ut os aperiam, et hanc communem lugeam calamitatem. Quis nobis invidit, carissimi? quis in nos livore commotus est? unde tanta facta est mutatio? Nihil fuerat nostra civitate venerabilius: nihil nunc est miserabilius.] Populus tam compositus et mansuetus, velut equus tractabilis et placidus, semper ducentium manibus cedens, repente nobis tantum nunc lasciviit, ut tot mala fecerit, quot neque dicere fas. Lamentor et ingeo nunc, non propter exspectatæ comminationis magnitudinem, sed propter nimiam patratorum ipsaniam. Licet enim non irritaretur Imperator, non irasceretur neque puniret et castigaret, quomodo, dic mihi, facinorum ignominiam feremus? Luctu interciditur mihi doctrinæ sermo, vix os reserare valeo et labia aperire, linguam movere et emittere verba: sic tamquam frenum magnitudo doloris impedit linguam meam et verba intercipit. Nihil civitate nostra prius erat beatius; nihil nunc injucundius. Quemadmodum apes bombizantes alveare, sic forum per singulos dies cives urbis circumvolabant, et omnes de hac nos multitudine beatos vocabant prius. Sed ecce nunc hoc alveare solitarium redditum est: quemadmodum enim apes illas fumus, sic has apes timor fugavit: imo potius quod de Jerusalem propheta lugens dixit, hoc et nos ad præsens tempus dicemus (*Isai.* 1. 30), *Facta est nobis civitas ut terebinthus abjectis foliis, et tamquam hortus aquam non habens.* Quemadmodum enim hortus deficiente irrigatione foliis privatas, fructibus nudas arbores ostendit: talis et nobis est civitas facta. Superno enim destituta auxilio, solitaria stat, omnibus fere habitatoribus nudata. Nihil patria dulcius, sed nunc nihil amarius factum est. Omnes terram quæ se tulit tamquam laqueum fugiunt, deserunt tamquam barathrum, tamquam ab rogo resiliunt. Et sicut domo igne correpta non tantum habitantes domum, sed et omnes proximi cum multa se recipiunt festinatione, nudum corpus servare studentes: sic et nunc dum regia ira tamquam ignis quidam superne deventurus exspectatur, antequam sensim progrediens ad ipsos perveniat ignis, quilibet prius exire et nudum corpus servare festinat. Et ænigma nunc facta est calamitas nostra: sine hostibus fuga, sine pugna transmigratio, sine urbis excidio captivitas: non vidimus barbaricum ignem, neque hostium vultus spectavimus, et ea quæ capti patimur. Nunc

ἡμετέρους φυγάδας ὑποδεχόμενοι, παρ' ἐκείνων τὴν τῆς πόλεως μανθάνουσι πληγήν.

Ἀλλ' οὐκ αἰσχύνομαι ἐπὶ τούτῳ οὐδὲ ἐρυθριῶ. Μανθανέτωσαν ἅπαντες τὰ τῆς πόλεως πάθη, ἵνα συναλγήσαντες τῇ μητρὶ κοινὴν ἀπὸ τῆς γῆς ἁπάσης ἀνενέγκωσι τῷ Θεῷ φωνὴν, καὶ ὁμοθυμαδὸν τὴν κοινὴν ἁπάντων μητέρα καὶ τροφὸν παρὰ τοῦ τῶν οὐρανῶν ἐξαιτήσωνται βασιλέως. Ἐσείσθη πρώην ἡμῖν ἡ πόλις, ἀλλὰ νῦν αὐταὶ σαλεύονται τῶν οἰκούντων αἱ ψυχαί· τότε ἐσείετο τὰ θεμέλια τῶν οἰκημάτων, νῦν αὐτὰ δονεῖται τὰ θεμέλια τῆς ἑκάστου καρδίας, καὶ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν τὸν θάνατον ἅπαντες βλέπομεν, καὶ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ τὴν τοῦ Κάϊν ὑπομένομεν τιμωρίαν, ἐλεεινότερον τῶν ποτὲ τὸ δεσμωτήριον οἰκούντων διακείμενοι, καὶ πολιορκίαν πολιορκούμενοι ξένην τινὰ καὶ καινὴν καὶ πολλῷ τῆς νενομισμένης δεινοτέραν. Οἱ μὲν γὰρ ὑπὸ τῶν πολεμίων τοῦτο πάσχοντες, εἴσω τειχῶν ἀποκλείονται μόνον, ἡμῖν δὲ καὶ ἡ ἀγορὰ ἄβατος γέγονε, καὶ τοῖς τοίχοις ἕκαστος τῆς οἰκίας ἐναποκέκλεισται τῆς ἑαυτοῦ. Καὶ καθάπερ τοὺς πολιορκουμένους οὐκ ἀσφαλὲς ὑπερβῆναι τὸ τεῖχος, τῶν πολεμίων ἔξω περικαθημένων· οὕτως οὐδὲ πολλοῖς τῶν τὴν πόλιν οἰκούντων ἀσφαλὲς ἐξελθεῖν, οὐδὲ ἐν τῷ μέσῳ φανῆναι, διὰ τοὺς πάντοθεν θηρεύοντας ἀναιτίους καὶ αἰτίους, καὶ ἐκ μέσης ἁρπάζοντας τῆς ἀγορᾶς, καὶ πρὸς τὸ δικαστήριον ἁπλῶς καὶ ὡς ἔτυχεν ἔλκοντας. Διὰ τοῦτο ἐλεύθεροι μετὰ τῶν οἰκετῶν τῶν ἑαυτῶν ἔνδον συμπεποδισμένοι κάθηνται, τίς συνελήφθη, τίς ἁπήχθη, τίς ἐκολάσθη σήμερον; πῶς καὶ τίνι τρόπῳ; μεριμνῶντες καὶ περιεργαζόμενοι παρ' ὧν τὰ τοιαῦτα δυνατὸν μανθάνειν ἀσφαλῶς, καὶ θανάτου παντὸς ἐλεεινότερον ζῶσι βίον, τάς τε ἀλλοτρίας ὀδύρεσθαι συμφορὰς ἀναγκαζόμενοι καθ' ἡμέραν, καὶ ὑπὲρ τῆς ἑαυτῶν τρέμοντες σωτηρίας, καὶ νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι τῷ πάλαι τεθνάναι τῷ δέει. Εἰ δέ τις καὶ τοῦ φόβου τούτου καὶ τῆς ἀγωνίας ἐκτὸς ὢν ἐθελήσειεν εἰς ἀγορὰν ἐμβαλεῖν, ὑπὸ τῆς ὄψεως τῆς ἀτερποῦς εὐθέως εἰς τὴν οἰκίαν εἰσελαύνει τὴν ἑαυτοῦ, ἵνα που καὶ δύο μόλις ὁρῶν συγκεκυφότας καὶ μετὰ πολλῆς βαδίζοντας τῆς κατηφείας, ἔνθα πρὸ ὀλίγων ἡμερῶν ποταμῶν ῥεύματα τὸ πλῆθος ἀπέκρυπτεν, ἀλλὰ νῦν ἀπηλάθησαν [ἡμῖν] πάντες ἐκεῖνοι. Καὶ καθάπερ δρυμοῦ συμφύτου πολλῶν πανταχόθεν ἐκκοπέντων δένδρων ἀτερπὴς ἡ ὄψις γίνεται, ἢ καθάπερ κεφαλῆς φαλακρώματα ἔχούσης πολλὰ, οὕτω δὴ καὶ τὸ τῆς πόλεως ἔδαφος τῶν ἀνθρώπων ἐλαττωθέντων καὶ ὀλίγων σποράδην φαινομένων ἀτερπὲς γέγονε νῦν, καὶ πολλὴν τῶν ὁρώντων καταχέει τὴν τῆς ἀθυμίας ἀχλύν. Οὐ τὸ ἔδαφος δὲ μόνον, ἀλλὰ καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις, καὶ αὐτὸς τῶν ἡλιακῶν ἀκτίνων ὁ κύκλος στυγνάζειν μοι δοκεῖ νῦν, καὶ ἀμαυρότερον φαίνεσθαι, οὐ τῶν στοιχείων τὴν φύσιν μεταβαλόντων, ἀλλὰ τῶν ἡμετέρων ὀφθαλμῶν τῷ τεθολῶσθαι τῆς ἀθυμίας τῷ νέφει

omnes discunt calamitates nostras : nostros enim exsules suscipientes, ab illis civitatis cladem audiunt.

2. Sed non super hoc confundor, nec erubesco. Omnes intelligant civitatis pericula, ut matri condolentes, communem ab omni terra ad Deum vocem tollant, et unanimiter communem omnium matrem et altricem a cælorum Rege precibus deposcant. Nuper concussa est urbs nostra, nunc ipsæ habitantium animæ quatiuntur : tunc domorum fundamenta quatiebantur, nunc ipsa cujusque cordis ima commoventur, et quotidie ante oculos nostros positam mortem aspicimus omnes; in continuo vivimus timore, et Cain pœnam sustinemus, olim carcerem habitantibus miserabilius affecti, et obsidione inusitata quadam et nova obsessi, et multo quam usitata graviore. Etenim illi quidem qui ab hostibus hoc patiuntur intra muros tantum concluduntur; nobis vero forum quoque inaccessum, et in domus quisque suæ parietibus inclusus est; ac sicut obsessis tutum non est muros transgredi, hostibus exterius circumsidentibus, sic neque multis urbem habitantium tutum domo exire, nec in medio apparere, propter eos qui undique tum sontes tum insontes venantur, et ex medio rapiunt foro, et in judicium quoquo modo et ut fors fert trahunt. Propterea liberi cum servis suis compediti intus sedent, Quis comprehensus fuit? quis abductus? quis punitus hodie? quomodo et qua ratione? sollicite quærentes et curiose sciscitantes, a quibus talia secure discere possunt : et omni morte miserabiliorem degunt vitam, alienasque lamentari miserias quotidie coacti, et pro sua salute trementes, et mortuis nihil melius habentes, quod dudum timore mortui sint. Si quis vero qui extra timorem et angustiam hanc sit, in forum procedere voluerit, præ tam tristi aspectu statim in domum suam redire festinat, vix unum forte vel duos cernens demisso capite et cum multa incedentes tristitia, ubi ante paucos dies fluviorum cursus multitudo superabat, sed nunc nobis omnes illi expulsi sunt. Et sicut cum ex sylva multis passim excisis arboribus, ingratus redditur aspectus, aut qualis capitis multa calvitia habentis : sic et urbis solum, hominibus ablatis, et paucis passim apparentibus, ingratum nunc factum est, et multam cernentibus tristitiæ caliginem offundit. Non tantum vero terra, sed et ipsa aeris natura, et solarium radiorum circulus nunc mihi mœrere et obtusior lucere videtur : non elementis naturam mutantibus, sed nostris oculis, qui tristitiæ nube turbati sunt, non valentibus pure ne-

μὴ δυναμένων καθαρῶς μηδὲ μετὰ τῆς αὐτῆς διαθέσεως τὸ παρὰ τῶν ἀκτίνων δέχεσθαι φῶς. Τοῦτό ἐστιν ὃ πάλαι ὁ προφήτης ἐθρήνει λέγων, « Δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἡ ἡμέρα. » Τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς τοῦ ἄστρου κρυπτομένου, οὐδὲ ὡς τῆς ἡμέρας ἀφανιζομένης, ἀλλ' ὡς τῶν ἀθυμούντων μηδὲ ἐν μεσημβρίᾳ δυναμένων ὁρᾷν τὸ φῶς διὰ τὸν ἀπὸ τῆς ὀδύνης ζόφον· ὃ δὴ καὶ νῦν γέγονε· καὶ ὁπουπερ ἂν ἴδῃ τις, κἂν εἰς τὸ ἔδαφος, κἂν εἰς τοὺς τοίχους, κἂν εἰς τοὺς κίονας τῆς πόλεως, κἂν εἰς τοὺς πλησίον, νύκτα ὁρᾷν δοκεῖ καὶ ζόφον βαθύν· οὕτω πάντα πολλῆς γέμει τῆς κατηφείας. Σιγὴ πανταχοῦ φρίκης γέμουσα καὶ ἐρημία, καὶ ὁ ποθεινὸς ἐκεῖνος τοῦ πλήθους ἔσβεσται θόρυβος, καὶ καθάπερ ἁπάντων εἰς τὴν γῆν καταδύντων, οὕτως ἀφωνία τὴν πόλιν κατέχει νῦν, καὶ τοῖς λίθοις ἐοίκασιν ἅπαντες, καὶ ὥσπερ τινὶ γλωττοπέδῃ τῇ συμφορᾷ κατεχόμενοι βαθυτάτην παρέχουσιν ἡσυχίαν καὶ τοσαύτην, ὅσηπερ ἂν εἰ πολεμίων ἐπελθόντων καὶ πάντας ὁμοῦ πυρὶ καὶ σιδήρῳ δαπανησάντων ἐγένετο. Εὔκαιρον νῦν εἰπεῖν, « Ἀποστείλατε πρὸς τὰς θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς, καὶ φθεγξάσθωσαν. Ῥεέτωσαν οἱ ὀφθαλμοὶ ἡμῶν ὕδωρ, καὶ τὰ βλέφαρα ἡμῶν καταγαγέτω δάκρυα· οἱ βουνοὶ λάβετε κοπετὸν, καὶ τὰ ὄρη θρῆνον. » Καλέσωμεν τὴν κτίσιν ἅπασαν εἰς συμπάθειαν τῶν ἡμετέρων κακῶν. Πόλις οὕτω μεγάλη καὶ τῶν ὑπὸ τὴν ἕω κειμένων ἡ κεφαλὴ ἐκ μέσης ἀναρπασθῆναι κινδυνεύει τῆς οἰκουμένης· νῦν ἡ πολύπαις ἅπαις ἐξαίφνης γεγένηται, καὶ ὁ βοηθήσων οὐδείς. Οὐ γάρ ἐστιν ὁ ὑβρισθεὶς ὁμότιμόν τινα ἔχων ἐπὶ τῆς γῆς· βασιλεὺς γὰρ κορυφὴ καὶ κεφαλὴ τῶν ἐπὶ τῆς γῆς ἐστιν ἁπάντων. Διὰ τοῦτο δὴ πρὸς τὸν ἄνω καταφύγωμεν βασιλέα· ἐκεῖνον καλέσωμεν εἰς βοήθειαν· ἂν μὴ τῆς ἄνωθεν ἀπολαύσωμεν εὐνοίας, οὐδεμία λείπεται τοῖς γεγενημένοις παραμυθία.

Ἠβουλόμην ἐνταῦθα καταλῦσαι τὸν λόγον· οὐ γὰρ ἐθέλουσι τῶν ὀδυνωμένων αἱ ψυχαὶ μακροὺς ἀποτείνειν λόγους· ἀλλ' ὥσπερ νεφέλη τις πυκνὴ γενομένη καὶ τὴν ἡλιακὴν ἀκτῖνα ὑποδραμοῦσα ἀποστρέφει τὴν αὐγὴν πᾶσαν εἰς τοὐπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέφος, ἐπειδὰν στῇ πρὸ τῆς ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν εὔκολον γενέσθαι τὴν τοῦ λόγου διάβασιν, ἀλλ' ἀποπνίγει καὶ συνέχει μετὰ πολλῆς ἀνάγκης ἔνδον αὐτόν. Καὶ τοῦτο οὐκ ἐπὶ τῶν λεγόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται. Ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυχῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ' εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόντων διάνοιαν ἐμπεσεῖν συγχωρεῖ μετὰ τῆς οἰκείας δυνάμεως. Διὰ τοῦτο καὶ Ἰουδαῖοί ποτε τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρούμενοι, τοῦ Μωυσέως πολλάκις μεγάλα περὶ τῆς αὐτῶν λέγοντος σωτηρίας ἀκούειν οὐκ ἠνείχοντο, τῆς ἀθυμίας ἄβατον ποιούσης τῷ λόγῳ τὴν διάνοιαν καὶ τὴν ἀκοὴν ἐμφραττούσης. Ἠβουλόμην μὲν οὖν καὶ αὐτὸς ἐνταῦθα καταλῦσαι τὰ εἰρημένα· ἀλλ' ἐννοήσας ὅτι οὐκ

que cum eodem affectu radiorum lumen suscipere. Hoc est quod olim propheta lugebat dicens (*Amos*. 8. 9), *Occidet ipsis sol in meridie, et obtenebrabitur dies.* Hoc autem dicebat, non quod astrum occultaretur, nec quod dies evaneseeret, sed quod mœrentes ne in meridie quidem propter doloris caliginem lucem cernere possent : quod et nunc factum est : et quocumque quis respexerit, sive in terram, sive in parietes, sive in urbis columnas, sive in proximos, noctem et obscuritatem profundam cernere videtur : sic omnia multæ plena sunt tristitiæ. Silentium ubique horrore plenum et solitudo, et desiderabilis ille multitudinis tumultus exstinctus est : tamquam si omnes terram sublissent, ita nunc civitatem taciturnitas continet ; saxis omnes similes sunt, et tamquam quodam linguæ vinculo calamitate cohibiti profundissimum præbent silentium, quantum si hostes ingruissent, et omnes simul igne et ferro absumsissent. Nunc dicendi tempus est (*Jerem*. 9. 17. 18), *Mittite ad lamentatrices, et veniant : et ad eas, quæ sapientes sunt, et vociferentur. Deducant oculi nostri lacrymas, et palpebræ nostræ defluant aquis.* « Colles, sumite planctum, et montes, luctum. » Creaturam omnem in malorum nostrorum miserationem vocemus. Civitas tam magna, et orientalium caput, e medio tolli terrarum orbe periclitatur : nunc quæ multos habebat filios, repente sine filiis facta est, et qui auxilietur est nemo. Læsus est enim ille qui non habet parem ullum super terram : Imperator enim est, fastigium et caput omnium in terra hominum. Propterea ad supernum Regem confugiamus, illum in auxilium vocemus ; nisi superuam assequamur gratiam, nulla de commissis consolatio relinquitur.

3. Voluissem hic concionem solvere : nolunt enim gementium animi longos extendere sermones ; sed sicut nubes quædam densa, et sub solarem radium currens, omnem splendorem avertit retrorsus : sic et tristitiæ nebula, cum ante animum nostrum steterit, non sinit facilem esse orationis cursum, sed suffocat et cum multa vi intus reprimit. Et hoc non dicentibus tantum, sed et audientibus accidit ; sicut enim ab animo dicentis non concedit ipsam cum facilitate exsilire, sic nec in audientium mentem permittit illabi cum propria virtute. Idcirco et Judæi quondam luto et lateritio operi faciendo depressi, Mosem magna de ipsorum salute sæpe dicentem audire non poterant, tristitia verbis inaccessam mentem reddente et auditum obstruente. Igitur volebam quidem et ipse finem hic

ἀντιφράττει μόνον νεφέλης φύσις τὴν εἰς τὸ πρόσω φορὰν τῆς ἀκτῖνος, ἀλλὰ καὶ τοὐναντίον αὐτὴ πάσχει πολλάκις· ἐπειδὰν γὰρ ὁ ἥλιος θερμότερος προσπεσὼν διηνεκῶς τρίβῃ τὸ νέφος, μέσον τε αὐτὸ διέρρηξε πολλάκις, καὶ ἀθρόον ἐκλάμψας φαιδρὸς ταῖς τῶν ὁρώντων προσέπεσεν ὄψεσι· τοῦτο καὶ αὐτὸς προσδοκῶ ποιήσειν τήμερον, καὶ τοῦ λόγου συνεχῶς ὁμιλοῦντος ὑμῶν ταῖς ψυχαῖς καὶ ἐπὶ πλεῖον ἐνδιατρίβοντος, ῥαγήσεσθαι τῆς ἀθυμίας ἔλπίζω τὸ νέφος, καὶ καταλάμψειν ὑμῶν τὴν διάνοιαν τῇ εἰωθυίᾳ πάλιν διδασκαλίᾳ. Ἀλλ' ἐπίδοτέ μοι τὴν ψυχὴν τὴν ὑμετέραν, ἐπίδοτέ μοι τὴν ἀκοήν· μικρὸν ἀποτινάξασθε τὴν ἀθυμίαν· ἐπὶ τὸ πρότερον ἦθος ἐπανέλθωμεν, καὶ ὥσπερ εἰώθαμεν ἀεὶ μετ' εὐθυμίας ἐνταῦθα παραγίνεσθαι, οὕτω καὶ νῦν ποιῶμεν, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντες. Τοῦτο καὶ πρὸς αὐτὴν ἡμῖν τῆς συμφορᾶς συμβαλεῖται τὴν λύσιν. Ἂν γὰρ ἴδῃ μετὰ ἀκριβείας ἀκροωμένους τῶν αὐτοῦ λόγων, καὶ τὴν φιλοσοφίαν ἡμῖν οὐκ ἐλεγχομένην τῇ τοῦ καιροῦ δυσκολίᾳ, ταχέως ἀντιλήψεται, καὶ ποιήσει τινὰ γαλήνην καὶ μεταβολὴν ἀγαθὴν ἀπὸ τοῦ παρόντος χειμῶνος. Τὸν γὰρ Χριστιανὸν καὶ ἐν τούτῳ τῶν ἀπίστων διαφέρειν χρὴ, ἐν τῷ φέρειν γενναίως ἅπαντα, καὶ τῇ τῶν μελλόντων ἐλπίδι πτερούμενον ἀνώτερον εἶναι τῆς τῶν ἀνθρωπίνων κακῶν προσβολῆς. Ἐπὶ τῆς πέτρας ἕστηκεν ὁ πιστὸς, διὰ τοῦτο ταῖς τῶν κυμάτων ἀχείρωτός ἐστιν ἐμβολαῖς. Οὗ γὰρ ἂν ἐπαρθῇ τὰ κύματα τῶν πειρασμῶν, οὐκ ἐφικνεῖται τῶν ἐκείνου ποδῶν· οὕτως ὑψηλότερος ἁπάσης τοιαύτης ἕστηκεν ἐπιβουλῆς. Μὴ τοίνυν καταπέσωμεν, ἀγαπητοί. Οὐχ οὕτως ἡμεῖς φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός· οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινὸν, ὡς τῷ ψυχὴν ἡμῖν χαρισαμένῳ καὶ τοσαῦτα δόντι μετὰ τοῦτο ἀγαθά. Ταύταις ἑαυτοὺς πτερώσωμεν ταῖς ἐλπίσι, καὶ τῶν μελλόντων ῥηθήσεσθαι μετὰ τῆς εἰωθυίας ἀκούσωμεν προθυμίας. Μακρὰν πρώην ἀπέτεινα πρὸς τὴν ὑμετέραν ἀγάπην δημηγορίαν, καὶ πάντας εἶδον παρακολουθοῦντας, οὐδένα ἐκ μέσης ὑποστρέψαντα τῆς ὁδοῦ. Χάριν ὑμῖν (ἀντὶ) τῆς προθυμίας ἐκείνης ἔχω, καὶ τὸν μισθὸν ἀπείληφα τῶν πόνων· ἀλλὰ καὶ ἕτερον μετ' ἐκείνου μισθὸν ὑμᾶς ἤτησα τότε· τάχα ἴστε καὶ μέμνησθε. Τίς δὲ ἦν ὁ μισθός; Τοὺς βλασφήμους τοὺς κατὰ πόλιν κολάζειν καὶ σωφρονίζειν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας καὶ παροινοῦντας κατέχειν. Οὐκ οἶμαι ταῦτα ἀφ' ἑαυτοῦ τότε εἰρηκέναι, ἀλλὰ τὸν Θεὸν τὰ μέλλοντα προειδότα εἰς τὴν διάνοιαν τὴν ἡμετέραν ἐμβεβληκέναι τὰ ῥήματα· εἰ γὰρ τοὺς τὰ τοιαῦτα τολμῶντας ἐκολάζομεν, οὐκ ἂν ταῦτα ἐξέβη νῦν ἅπερ ἐξέβη. Πόσῳ βέλτιον ἦν, εἰ καὶ κινδυνεύειν ἔδει, σωφρονίζοντας αὐτοὺς καὶ παιδεύοντας παθεῖν τι, ὃ καὶ μαρτυρίου στέφανον ἡμῖν ἐκόμιζεν, ἢ νῦν δεδοικέναι καὶ τρέμειν, καὶ θάνατον ἐκ τῆς ἐκείνων προσδοκᾶν ἀταξίας; Ἰδοὺ τὸ ἁμάρτημα γέγονεν ὀλίγων, καὶ τὸ ἔγκλημα γίνεται κοινόν· ἰδοὺ δι' ἐκείνους ἅπαντες δεδοίκαμεν νῦν, καὶ

dicendi facere; sed cogitans quod nebulæ natura non solum radii in anteriora processum impedit, sed et contrarium ipsa sæpe patitur: cum enim sol calidior continuo illapsus nubem contriverit, mediam ipsam sæpe dissipavit, et totus simul elucens, splendidus cernentium obtutibus incidit: hoc et ipse hodie me facturum spero, ac sermone in animis vestris assidue versante et diutius immorante, solutum iri spero tristitiæ nebulam, et mentem vestram solita rursum doctrina illustratum iri. Sed præbete mihi animam vestram, præbete mihi aures; aliquantulum tristitiam excutite; ad priorem mentem redeamus, et sicut consuevimus semper cum lætitia huc advenire, sic et nunc faciamus, omnia in Deum rejicientes. Hoc et ad ipsam calamitatis solutionem nobis conferet. Si enim Dominus nos viderit sermones suos cum sedulitate audientes, et disciplinam a nobis temporis difficultate non respui, celeriter nos suscipiet, et tranquillitatem faciet et ex præsenti procella bonam mutationem. Christianum enim et in hoc ab infidelibus differre oportet, ut omnia generose ferat, et spe futurorum erectus humanorum malorum impetu se superiorem exhibeat. Supra petram statutus est fidelis: propterea et undarum ictibus inexpugnabilis est. Ubicumque enim tentationum undæ elevatæ fuerint, ad illius pedes non perveniunt: adeo omni tali incursu stat sublimior. Ne igitur animo concidamus, dilecti: non sic salutem nostram curamus, sicut qui fecit nos Deus: non tantæ nobis curæ est, nihil grave pati, quantæ illi qui nobis animam donavit, et tot post hoc bona contulit. His spei rationibus nostros animos erigamus, et dicenda cum alacritate solita audiamus. Longam nuper apud caritatem vestram extendi concionem, et omnes dicta sequentes cernebam, nullumque ex media reversum via. Gratiam vobis de illo animi studio habeo, et laborum mercedem accepi; sed et aliam a vobis tunc mercedem exegi. Forte nostis et meministis. Quam vero merces erat? Civitatis blasphematores punire et castigare, Deum contumelia afficientes et hac insania furentes cohibere. Non ex me ipso talia me dixisse arbitror, sed Deum futura providentem in mentem nostram illa verba misisse. Si enim ausos puniremus, non talia nunc accidissent quæ acciderunt. Quanto melius erat, si periclitari oportebat, ipsos castigantes et corrigentes aliquid pertulisse, quod et martyrii coronam nobis attulisset, quam nunc formidare et tremere, et ex illorum petulantia mortem exspectare? Ecce crimen a paucis commissum est, et culpa fit omnium communis: ecce propter illos nunc cuncti pavescimus, et

τῶν ἐκείνοις τετολμημένων αὐτοὶ τὰς τιμωρίας ἀναμένομεν. Εἰ δὲ προλαβόντες αὐτοὺς ἐξεβάλομεν τῆς πόλεως, καὶ ἐσωφρονήσαμεν καὶ τὸ νενοσηκὸς διωρθώσαμεν μέλος, οὐκ ἂν τὸν παρόντα ἐφοβούμεθα φόβον. Οἶδα ὅτι τῆς πόλεως τὸ ἦθος ἐλευθέριον ἄνωθεν· ξένοι δέ τινες καὶ μιγάδες ἄνθρωποι, μιαροὶ καὶ ὄλεθροι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας, ἐτόλμησαν ἅπερ ἐτόλμησαν. Διὰ ταῦτα βοῶν ἀεὶ καὶ διαμαρτυρόμενος οὐ διέλειπον· Κολάσωμεν τῶν βλασφημούντων τὴν μανίαν, σωφρονίσωμεν αὐτῶν τὴν διάνοιαν, προνοήσωμεν αὐτῶν τῆς σωτηρίας· κἂν ἀποθανεῖν δέῃ τοῦτο ποιοῦντας, μέγα ἡμῖν οἴσει τὸ πρᾶγμα κέρδος· μὴ παρίδωμεν τὸν κοινὸν ὑβριζόμενον Δεσπότην· μέγα τι τίξεται τῇ πόλει κακὸν τὸ τὰ τοιαῦτα περιορᾶν.

Ταῦτα προύλεγον, ταῦτα ἐξέβη νῦν, καὶ τῆς ῥᾳθυμίας ἐκείνης τίνομεν δίκας. Τὸν Θεὸν ὑβριζόμενον περιεῖδες· ἰδοὺ συνεχώρησεν ὑβρισθῆναι βασιλέα, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμασθῆναι πᾶσι κίνδυνον, ἵνα ἐν τῷ φόβῳ τούτῳ τῆς ῥᾳθυμίας ἐκείνης δώσωμεν δίκην. Ἆρα μὴ μάτην μηδὲ εἰκῇ ταῦτα προύλεγον, καὶ συνεχῶς ἠνώχλουν τῇ ὑμετέρᾳ ἀγάπῃ; Ἀλλ' ὅμως οὐδὲν γέγονε πλέον· ἀλλὰ γενέσθω νῦν, καὶ ἀπὸ τῆς παρούσης σωφρονισθέντες συμφορᾶς, ἐπίσχωμεν τὴν ἄτακτον ἐκείνων μανίαν. Ἐμφράξωμεν αὐτῶν τὰ στόματα, καθάπερ πηγὰς θανατηφόρους ἀποκλείσωμεν, καὶ πρὸς τοὐναντίον μεταβάλωμεν, καὶ πάντως στήσεται τὰ κατειληφότα τὴν πόλιν κακά. Οὐκ ἔστι θέατρον ἡ ἐκκλησία, ἵνα πρὸς τέρψιν ἀκούωμεν· ὠφεληθέντας ἐντεῦθεν ἀπιέναι χρὴ, κερδάναντάς τι πλέον καὶ μέγα, οὕτως ἀναχωρεῖν δεῖ· ἐπεὶ μάτην καὶ εἰκῇ παραγινόμεθα, εἰ πρὸς καιρὸν ψυχαγωγηθέντες οὕτως ἀναχωροῖμεν ἔρημοι καὶ κενοὶ τῆς ἀπὸ τῶν λεγομένων ὠφελείας γενόμενοι. Τί μοι τῶν κρότων ὄφελος τούτων; τί δὲ τῶν ἐπαίνων καὶ τῶν θορύβων; Ἔπαινος ἐμὸς τὸ διὰ τῶν ἔργων ὑμᾶς ἐπιδείξαι τὰ λεγόμενα πάντας· τότε ἐγὼ ζηλωτὸς καὶ μακάριος, οὐχ ὅταν ἀποδέχησθε, ἀλλ' ὅταν ποιῆτε μετὰ προθυμίας ἁπάσης ἅπερ ἂν ἀκούσητε παρ' ἡμῶν. Ἕκαστος τὸν πλησίον διορθούσθω· « Οἰκοδομεῖτε γὰρ εἷς τὸν ἕνα », φησίν· ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, ἡ παρ' ἑκάστου γινομένη πλημμέλεια κοινήν τινα καὶ ἀφόρητον οἴσει τῇ πόλει βλάβην. Ἰδοὺ μηδὲν συνειδότες τοῖς γεγενημένοις τῶν τετολμηκότων οὐκ ἔλαττον δεδοίκαμεν καὶ φρίττομεν, μὴ πάντας ὁ τοῦ βασιλέως καταλάβῃ θυμός· καὶ οὐκ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ λέγειν, Οὐ παρήμην, οὐ συνήδειν, οὐκ ἐκοινώνησα τῶν γεγενημένων. Δι' αὐτὸ μὲν οὖν τοῦτο κολάζου, φησὶ, καὶ δίδου δίκην τὴν ἐσχάτην, ὅτι μὴ παρῆς, μηδὲ ἐκώλυες, μηδὲ τοὺς ἀκοσμοῦντας κατεῖχες, μηδὲ ἐκινδύνευες ὑπὲρ τῆς εἰς τὸν βασιλέα τιμῆς. Οὐ μετέσχες τῶν τετολμημένων; ἐπαινῶ τοῦτο καὶ ἀποδέχομαι· ἀλλ' ὡδὶ ἐπέσχες τὰ γενόμενα· τοῦτο κατηγορίας ἄξιον. Ταῦτα καὶ παρὰ τοῦ Θεοῦ τὰ ῥήματα ἀκουσόμεθα, ὅταν σιγῇ φέρωμεν τὰς εἰς αὐτὸν ὕβρεις καὶ

ab illis patratorum pœnas ipsi exspectamus. Si autem prævenientes ipsos ex urbe expulissemus et sani nos ægrotum curassemus membrum, non præsenti teneremur pavore. Novi civitatis mores liberales a majoribus, sed peregrini quidam et promiscui homines, scelesti et perditi, et de sua desperantes salute, ausi sunt ea quæ patrata sunt. Propterea clamare semper et obtestari non desiti : Blasphemantium furorem puniamus, mentem ipsorum castigemus, saluti ipsorum provideamus; et si hoc facientes mori oporteat, magnum nobis hoc afferet lucrum : ne communem Dominum contumeliis affici negligamus; magnum civitati malum pariet talia despicere.

4. Hæc prædicebam, hæc nunc acciderunt, levitatis et negligentiæ illius pœnas pendimus. Deum contumelia affectum despexisti : ecce permisit Imperatorem contumelia affici, et de extremis periculum impendere omnibus, ut in hoc timore illius negligentiæ pœnas demus. Num igitur frustra, num temere hæc prædicebam, et assidue vestram caritatem interpellabam? Sed tamen nihil amplius factum est; sed fiat nunc, et e præsenti calamitate ad rectam mentem redacti, inordinatum illorum furorem cohibeamus. Obstruamus ipsorum ora, tamquam fontes mortiferos occludamus, et in contrarium mutemus, et omnino desinent mala quæ civitatem comprehenderunt. Non est theatrum ecclesia, ut ad delectationem audiamus : cum fructu hinc recedere oportet, lucratos quiddam amplius et magnum, sic recedere expedit : siquidem temere et frustra accedimus, si ad tempus instituti dictorum postea utilitate vacui et inanes recedamus. Quæ mihi horum plausuum utilitas? quæ laudum et tumultuum? Laus mea est, ut vos quæ dicuntur, operibus exhibeatis omnes : tunc ego felix habendus et beatus, non quando cum applausu exceperitis, sed quando omni cum alacritate feceritis quæcumque a nobis audieritis. Quisque proximum corrigat : *Ædificate* enim *alter alterum*, inquit (1. *Thess.* 5. 11). Nisi enim hoc faciamus, a quocumque admissum scelus commune quoddam et intolerabile damnum civitati afferet. Ecce nullius conscii non minus iis qui peccaverunt territi sumus et contremiscimus, ne omnes Imperatoris ira corripiat. Neque enim in excusationem nobis dicere sufficit : Non aderam, non eram conscius, non fui facinorum consors. Ob hoc igitur ipsum, inquit, punieris, et ultimam pendes pœnam, quia non adfuisti, nec prohibuisti, non continuisti tumultuantes, nec pro Imperatoris honore periclitatus es. Non participasti patratis? laudo hoc et accipio; sed facta non prohibuisti; hoc accusatione dignum. Hæc et a Deo verba audiemus, quando cum silentio contumelias et injurias in

παροινίας γινομένας· ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο καταγώσας οὐχ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἐνεκαλεῖτο τότε (ὁλόκληρον γὰρ τὴν παρακαταθήκην ἀπέδωκεν), ἀλλ' ὅτι αὐτὴν οὐκ ἐπλεόνασεν, ὅτι ἑτέρους οὐκ ἐπαίδευσεν, ὅτι τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας οὐ κατέβαλε, τουτέστιν, οὐ παρήνεσεν, οὐ συνεβούλευσεν, οὐκ ἐπετίμησεν, οὐ διώρθωσε τοὺς πλησίον ἀκοσμοῦντας τῶν πονηρῶν· διὰ τοῦτο χωρὶς συγγνώμης ἁπάσης εἰς τὰς ἀφορήτους ἐπέμπετο κολάσεις ἐκείνας. Ἀλλ' ὅτι μὲν, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ἐργάσεσθε τὴν διόρθωσιν, καὶ τὸν Θεὸν ὑβριζόμενον οὐ περιόψεσθε, σφόδρα πεπίστευκα. Ἱκανὰ γὰρ τὰ συμβεβηκότα, εἰ καὶ μηδεὶς ὁ παραινῶν ἦν, καὶ τοὺς σφόδρα ἀναισθήτους διακειμένους πεῖσαι λοιπὸν τῆς οἰκείας ἀντιλαβέσθαι σωτηρίας.

Ἡμῖν δὲ ὥρα λοιπὸν τὴν εἰωθυῖαν ὑμῖν ἀπὸ τοῦ Παύλου παραθεῖναι τράπεζαν, τὴν σήμερον ἀναγνωσθεῖσαν ῥῆσιν προχειρισαμένους καὶ εἰς μέσον καταθεμένους ἅπασι. Τί ποτ' οὖν ἐστι τὸ σήμερον ἀναγνωσθέν; « Τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν. » Εἰπὼν « τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι » ἔδειξε καὶ ἑτέρους ὄντας πλουσίους, τοὺς τοῦ μέλλοντος αἰῶνος· οἷος ἐκεῖνος ὁ Λάζαρος ἦν, κατὰ μὲν τὸν παρόντα βίον πένης, κατὰ δὲ τὸν μέλλοντα πλούσιος, οὐ χρυσοῦ καὶ ἀργύρου καὶ τοιαύτῃ τινὶ φθαρτῇ καὶ ἐπικήρῳ πλουτῶν ὕλῃ, ἀλλὰ τοῖς ἀποῤῥήτοις ἐκείνοις ἀγαθοῖς, ἃ « μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. » Τοῦτο γὰρ ἀληθῶς πλοῦτος καὶ εὐπορία, ὅταν καὶ ἀκήρατα ᾖ τὰ καλὰ, καὶ μηδεμίαν δέχηται μεταβολήν. Ἀλλ' οὐχ ὁ παρὼν αὐτὸν πλούσιος τοιοῦτος, ἀλλὰ πάντων πενέστερος ἐγένετο μετὰ ταῦτα· σταγόνος γοῦν ἀξιώσας ἐπιτυχεῖν, οὐδὲ ταύτης ἐγένετο κύριος· οὕτω πρὸς ἐσχάτην ἐληλάκει πενίαν. Διὰ τοῦτο πλουσίους τοῦ παρόντος αἰῶνος ἐκάλεσεν, ἵνα μάθῃς ὅτι μετὰ τῆς παρούσης ζωῆς καὶ ἡ εὐπορία συγκαταλύεται· οὐ πρόεισι περαιτέρω, οὐδὲ συμμεθίσταται ἀποδημοῦσι τοῖς ἔχουσιν, ἀλλὰ πολλάκις αὐτοὺς καὶ πρὸ τῆς τελευτῆς ἐγκατέλιπεν· ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, « Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. » Οὐδὲν γὰρ οὕτως ἄπιστον ὡς ὁ πλοῦτος, ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, ὅτι ὀραπέτης ἐστὶν ἀγνώμων, οἰκέτης πίστιν οὐκ ἔχων, κἂν μυρίας αὐτῷ περιβάλῃς πέδας, οὗτος καὶ τὰς πέδας αὐτὰς ἐπισυρόμενος ἄπεισι. Πολλάκις γοῦν μοχλοῖς καὶ θύραις ἀπέκλεισαν αὐτὸν οἱ κεκτημένοι, οἰκέτας περιστήσαντες φύλακας· ὁ δὲ τοὺς οἰκέτας αὐτοὺς ἀναπείσας μετ' αὐτῶν ἀπέδρα τῶν φυλαττόντων, καθάπερ ἅλυσιν τοὺς τηροῦντας ἐπισυρόμενος, καὶ πλέον οὐδὲν ἀπὸ τῆς φυλακῆς ἐγένετο ταύτης. Τί τούτου γένοιτ' ἂν ἀπιστότερον; τί δὲ τῶν περὶ αὐτὸν ἐσπουδακότων ἐλεεινότερον; ὅταν πρᾶγμα οὕτω σαθρὸν καὶ ἐμμετάπτωτον πάσῃ σπουδῇ συλλέγειν ἐπιχειρῶσι, καὶ μὴ ἀκούωσι τοῦ προφήτου λέγοντος, « Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ

ipsum commissas patimur : quoniam et is qui talentum defodit (*Matth.* 25. 25 — 30), non pro reatibus suis tunc accusabatur ; integrum enim depositum reddidit ; sed quoniam ipsum non multiplicavit, quoniam non castigavit cæteros, quoniam argentum ad numularios non detulit, hoc est, non admonuit, non dedit consilium, non increpuit, non correxit proximos peccatores et a malis facinoribus abstraxit : idcirco absque misericordia in illas intolerabiles pœnas mittebatur. Sed si non antea, nunc saltem spero et confido vos huic emendationi advigilaturos, et Deum contumelia affectum non neglecturos. Possunt enim quæ acciderunt, licet monente nemine, vel insensatis, ut deinceps propriam asserant salutem, persuadere.

Nobis vero jam hora est, solitam vobis ut a Paulo mensam apponamus, lectionemque hodiernam promamus, et in medio omnibus proponamus. Quid igitur est hodie lectum? (1. *Tim.* 6. 17) *Divitibus hujus sæculi præcipe non sublime sapere.* Qui dixit, *Divitibus hujus sæculi*, demonstravit alios quoque divites esse futuri quidem sæculi : qualis ille Lazarus erat, in præsenti quidem vita pauper, in futura vero dives, non auro et argento et ulla tali corruptibili et marcescibili materia affluens, sed arcanis illis bonis, quæ (1. *Cor.* 2. 9) *nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt.* Hæ namque vere divitiæ et opulentia, quando et immarcescibilia sunt bona, et nullam capiunt mutationem. At non talis erat ille contemtor dives, sed omnium pauperrimus post hanc factus est : siquidem stillam obtinere quærens, ne hujus quidem factus est compos : in tam extremam devenerat paupertatem. Idcirco præsentis sæculi divites appellavit, ut discas quod cum vita præsenti opulentia etiam dissolvitur : non procedit ulterius, non simul migrat cum possessoribus migrantibus, imo sæpius ipsos vel ante finem deserit : quod et ipsum demonstrat dicens (1. *Tim.* 6. 17), *Neque sperare in incerto divitiarum.* Nihil enim tam infidum, quam divitiæ : quod cum sæpe dixerim, dicere non cessabo, quod fugitivus est et ingratus, servus fidem non habens ; vel si innumera ipsi vincula injicias, hic cum ipsis vinculis aufugit. Sæpius enim pessulis et foribus ipsum possessores concluserunt, servorum adhibita custodia : ille vero servis illectis cum ipsis fugit custodibus, tamquam catenam eos trahens qui se servabant, et nihil profuit ea custodia. Quid hoc infidelius? quid vero iis, qui circa hunc studium collocant, miserabilius? quando rem tam fluxam et labilem omni studio colligere aggrediuntur, nec prophetam audiunt dicentem (*Psal.* 48. 7), *Væ iis qui confidunt in virtute sua, et in multitudine*

πλούτου αὐτῶν καυχώμενοι. » Εἰπὲ, Τίνος ἕνεκεν οὐαί; Θησαυρίζει, φησὶ, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά· ὅτι μὲν πόνος δῆλος, ἡ δὲ ἀπόλαυσις ἄδηλος. Πολλάκις ἐχθροῖς κάμνεις καὶ ταλαιπωρεῖς· πολλάκις μετὰ τὴν σὴν τελευτὴν εἰς τοὺς ἠδικηκότας καὶ μυρία ἐπιβουλεύσαντας ὁ κλῆρος ἐλθὼν σοὶ μὲν τὰ ἁμαρτήματα, τὴν δὲ ἀπόλαυσιν παρέσχεν ἑτέροις.

Ἀλλ' ἄξιον ἐκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν οὐκ εἶπε, Τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ πλουτεῖν, παράγγελλε πένεσθαι, παράγγελλε τὰ ὄντα κενοῦν, ἀλλὰ « παράγγελλε μὴ ὑψηλοφρονεῖν; » Οἶδεν ὅτι τοῦ πλούτου ῥίζα καὶ ὑπόθεσίς ἐστιν ἡ ἀπόνοια, κἂν εἰδῇ τις μετριάζειν, οὐ πολλὴν περὶ τὸ πρᾶγμα ποιήσεται σπουδήν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοὺς πολλοὺς οἰκέτας περιάγεις, τοὺς παρασίτους, τοὺς κόλακας, τὴν ἄλλην ἅπασαν φαντασίαν; Οὐ χρείας ἕνεκεν, ἀλλ' ἀπονοίας μόνης, ἵν' ἀπὸ τούτων σεμνότερος τῶν ἄλλων ἀνθρώπων εἶναι δοκῇς. Ἄλλως δὲ οἶδεν οὐ κεκωλυμένον τὸν πλοῦτον, ἐάν τις αὐτῷ εἰς δέον κεχρημένος ᾖ. Ὥσπερ γὰρ [εἶπον,] οὐ κακὸν ὁ οἶνος, ἀλλὰ κακὸν ἡ μέθη· οὕτως οὐ κακὸν ὁ πλοῦτος, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. Ἕτερον φιλάργυρος, καὶ ἕτερον πλούσιος· ὁ φιλάργυρος οὐκ ἔστι πλούσιος, ὁ φιλάργυρος πολλῶν δεῖται, ὁ δὲ πολλῶν δεόμενος οὐκ ἂν εὔπορος εἴη ποτέ. Ὁ φιλάργυρος φύλαξ, οὐ δεσπότης ἐστὶ τῶν χρημάτων, δοῦλος, οὐ κύριος· εὐκολώτερον γὰρ τῶν αὐτοῦ σαρκῶν μεταδοίη τινὶ ἢ τοῦ κατορωρυγμένου χρυσίου. Καὶ καθάπερ τινὸς ἐπιτάττοντος καὶ κελεύοντος μηδενὸς ἅψασθαι τῶν ἀποκειμένων, οὕτω μετὰ πάσης ἀκριβείας αὐτὰ τηρεῖ καὶ κατέχει, καθάπερ ἀλλοτρίων ἀπεχόμενος τῶν ἰδίων· καὶ γάρ ἐστιν ὄντως ἀλλότρια· ἃ γὰρ εἰς ἑτέρους ἐκβαλεῖν οὐκ ἂν ἕλοιτο, οὐδὲ τοῖς δεομένοις διανεῖμαι, κἂν μυρίας ὑποστῇ τιμωρίας, πῶς ἂν δύναιτο ταῦτα ἴδια νομίζειν εἶναι; πῶς δὲ ἔχει τὴν κτῆσιν, ὧν τὴν χρῆσιν οὐκ ἔχει μετὰ ἀδείας οὐδὲ τὴν ἀπόλαυσιν; Πρὸς δὲ τούτοις οὐ πᾶσι πάντα ἐπιτάττειν ὁ Παῦλος εἴωθεν, ἀλλὰ καὶ τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνει, καθάπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησε. Καὶ γὰρ ἐκείνῳ τῷ πλουσίῳ προσελθόντι καὶ περὶ τῆς ζωῆς αὐτῷ διαλεγομένῳ οὐκ εἶπεν, Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ' ἀφεὶς τοῦτο περὶ ἑτέρων αὐτῷ ἐντολῶν διελέγετο· εἶτα ἐπειδὴ ἐκεῖνος αὐτὸν προεκαλέσατο, καί φησιν, « Τί ἔτι μοι λείπει; » οὐδὲ τότε ἁπλῶς εἶπεν, Πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ' « Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα· » ἐπὶ τῇ σῇ τίθημι γνώμῃ, σὲ κύριον ποιῶν τῆς αἱρέσεως, οὐκ εἰς ἀνάγκην ἄγω. Διὰ τοῦτο καὶ Παῦλος οὐδὲν περὶ πενίας τοῖς πλουτοῦσι διελέχθη, ἀλλὰ περὶ ταπεινοφροσύνης, διά τε τὴν ἀσθένειαν τῶν ἀκουόντων καὶ τὸ σφόδρα εἰδέναι ὅτι τὸ μετριάζειν καὶ ἀπονοίας ἀπηλλάχθαι ποιήσει ταχέως αὐτοὺς καὶ τῆς περὶ τὸ πλουτεῖν ἀπαλλαγῆναι σπουδῆς. Εἶτα παραινέσας μὴ ὑψηλοφρονεῖν, ἐδίδαξε καὶ τὸν τρόπον, καθ' ὃν δυνή-

divitiarum suarum gloriantur. Dic, quare *Væ? Thesaurizat*, inquit (*Psal.* 38. 7), *et ignorat, cui congregabit ea :* quoniam labor quidem certus, fructus vero incertus. Sæpius pro inimicis laboras et ærumnis conficeris : sæpius post mortem tuam ad eos qui te affecerunt injuria, et innumeris circumvenerunt insidiis, hereditas veniens, tibi quidem peccata, possessionem vero aliis præbuit.

5. Jam illud inquirere dignum est, quare non dixit, Divitibus præsentis sæculi præcipe non ditescere, præcipe in paupertate vivere, præcipe quæ habent exhaurire : sed dixit, *Præcipe non sublime sapere?* Novit quod divitiarum radix et materia sit superbia; et si quis modice vivere scierit, non multam earum curam aget. Qua enim, dic mihi, de causa multos circumducis servos, parasitos, adulatores, et reliquam omnem pompam? Non utilitatis causa, sed arrogantiæ solius, ut ex his venerabilior aliis hominibus esse videaris. Præterea novit non prohibitas esse divitias, si quis in necessitatem ipsis usus fuerit. Sicut enim vinum non mala res, sed mala res ebrietas : ita non mala res divitiæ, sed mala avaritia, mala cupiditas. Aliud avarus, et aliud dives : avarus non est dives, avarus multis indiget, indigens autem multis numquam dives esse possit. Avarus custos est, non possessor pecuniarum; servus, non dominus : facilius enim alicui ex propriis carnibus, quam ex defosso auro communicaret. Velut enim jussus ab aliquo nihil de repositis tangere, sic cum omni diligentia ea servat et detinet, a suis tamquam alienis abstinens : et revera sunt aliena. Quæ enim aliis erogare numquam pateretur, neque in egenos distribuere, etiamsi infinitas sustineret pœnas : quomodo hæc esse sua putare possit? Quomodo vero eorum habet possessionem, quorum nec usum nec fructum cum libertate habet? Ad hæc vero non omnibus omnia Paulus imperare consuevit, sed et audientium imbecillitati se attemperat, sicut et Christus fecit. Etenim illi diviti ad se accedenti, et de vita cum ipso loquenti, non dixit, Vade, vende omnia quæ habes; sed hoc prætermittens, de aliis ipsum mandatis instruit; deinde postquam ille ipsum invitavit inquiens (*Matth.* 19. 20. 21), *Quid adhuc mihi deest?* neque tum simpliciter dixit, Vende omnia quæ habes; sed, *Si vis perfectus esse, vade, vende quæ habes :* hoc in tuo pono arbitrio, te electionis dominum constituo, non in necessitatem traho. Propterea et Paulus nihil de paupertate divitibus locutus est, sed de humilitate, tum propter audientium imbecillitatem, tum quia optime sciebat, si modeste agerent et a superbia alieni essent, brevi futuros a studio divitiarum liberos. Præterea non altum sapere admonens, etiam modum, quo non altum sapere possint, demonstra-

σονται μὴ ὀψιλοφρονεῖν. Τίς δὲ οὗτός ἐστιν; Εἰ τοῦ πλούτου τὴν φύσιν καταμάθοιεν, ὡς ἄδηλός τίς ἐστι καὶ ἄπιστος· διὰ τοῦτο ἐπήγαγε, « Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. » Πλούσιός ἐστιν οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ πολλὰ διδούς· πλούσιος ἦν ὁ Ἀβραάμ, ἀλλ' οὐ φιλάργυρος· οὐ γὰρ περιεσκόπει τὴν τοῦ δεῖνος οἰκίαν, οὐδὲ περιειργάζετο τὴν τοῦ δεῖνος οὐσίαν· ἀλλ' ἐξιὼν περιεσκόπει μή που ξένος, μή που πένης, ὥστε διορθώσασθαι τὴν πενίαν, ὥστε ὑποδέξασθαι τὸν ὁδίτην. Οὐ χρυσῷ τὸν ὄροφον ἤλειψεν, ἀλλὰ παρὰ τὴν δρῦν ἐκείνην τὴν καλύβην πηξάμενος, τῇ τῶν φύλλων ἠρκεῖτο σκιᾷ· καὶ οὕτω λαμπρὸν ἦν αὐτῷ τὸ καταγώγιον, ὡς μηδὲ ἀγγέλους ἐπαισχυνθῆναι τὴν παρ' ἐκείνῳ μονήν· οὐ γὰρ λαμπρότητα οἰκίας ἐπεζήτουν, ἀλλὰ ψυχῆς ἀρετήν. Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, ἀγαπητοί, καὶ τὰ ὄντα εἰς τοὺς δεομένους ἀναλίσκωμεν. Ἐσχεδιασμένον ἦν ἐκεῖνο τὸ καταγώγιον, ἀλλὰ τῶν βασιλικῶν αὐλῶν λαμπρότερον ἦν. Βασιλεὺς οὐδεὶς οὐδέποτε ἀγγέλους ὑπεδέξατο, ὁ δὲ ὑπὸ τὴν δρῦν καθήμενος ἐκείνην καὶ καλύβην πηξάμενος ἠξιώθη τῆς τιμῆς ταύτης, οὐ διὰ τὴν εὐτέλειαν τῆς οἰκίας τιμηθείς, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς καὶ τὸν ἐναποκείμενον πλοῦτον αὐτῇ ταύτης ἀπολαύσας τῆς δωρεᾶς.

Καὶ ἡμεῖς τοίνυν μὴ τὰς οἰκίας καλλωπίζωμεν, ἀλλὰ πρὸ τῆς οἰκίας τὴν ψυχὴν τὴν ἡμετέραν. Πῶς γὰρ οὐκ αἰσχρὸν μαρμάροις μὲν περιβάλλειν τοὺς τοίχους εἰκῇ καὶ μάτην, τὸν δὲ Χριστὸν γυμνὸν περιερχόμενον περιορᾶν; τί σοι τῆς οἰκίας ὄφελος, ἄνθρωπε; μὴ γὰρ λαβὼν αὐτὴν ἀπελεύσῃ; Οὐ ταύτην λαβὼν ἀπελεύσῃ, τὴν δὲ ψυχὴν ἀπελεύσῃ πάντως λαβών. Ἰδοὺ τοιοῦτος κίνδυνος κατέλαβε νῦν· παραστήτωσαν ὑμῖν αἱ οἰκίαι, λυσάτωσαν τὸν ἐπηρτημένον κίνδυνον· ἀλλ' οὐ δυνήσονται. Καὶ μάρτυρες ὑμεῖς οἱ καταλιμπάνοντες ταύτας ἐρήμους καὶ πρὸς τὴν ἐρημίαν ἀποδημοῦντες, καθάπερ παγίδας καὶ δίκτυα δεδοικότες. Βοηθείτω τὰ χρήματα νῦν· ἀλλ' οὐκ ἔχει καιρόν. Εἰ δὲ ἔνθα ἀνθρώπου ὀργὴ, χρημάτων ἐλέγχεται δύναμις, πολλῷ μᾶλλον ἐπὶ τοῦ θείου καὶ ἀδεκάστου δικαστηρίου τοῦτο γενήσεται. Εἰ ἄνθρωπός ἐστιν ὁ παροξυνόμενος καὶ ἀγανακτῶν, καὶ οὐδὲν ἡμᾶς τὸ χρυσίον ὠφελεῖ νῦν, πολλῷ μᾶλλον ὀργιζομένου τοῦ Θεοῦ τοῦ μὴ δεομένου χρημάτων, ἀσθενήσει πάντως τοῦ χρυσίου ἡ δύναμις. Οἰκίας οἰκοδομούμεθα, ἵνα οἰκῶμεν, οὐχ ἵνα φιλοτιμώμεθα. Τὸ μεῖζον τῆς χρείας, περιττὸν τῆς χρείας ἐστὶ καὶ ἄχρηστον. Ὑπόδησαι ὑπόδημα τοῦ ποδὸς μεῖζον· ἀλλ' οὐκ ἀνέξῃ· ἐμποδίζει γάρ σοι πρὸς τὴν βάδισιν· οὕτω καὶ οἰκία μεῖζων τῆς χρείας ἐμποδίζει πρὸς τὴν εἰς οὐρανοὺς ἀποδημίαν. Βούλει λαμπρὰς καὶ μεγάλας οἰκοδομεῖν οἰκίας; οὐ κωλύω, ἀλλὰ μὴ ἐπὶ γῆς· οἰκοδόμησον σκηνὰς ἐν οὐρανοῖς, ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς, σκηνὰς οὐδέποτε καταλυομένας. Τί μέμηνας περὶ τὰ φεύγοντα καὶ τὰ ἐνθάδε μένοντα; Οὐδὲν σφαλερώτερον πλούτου, σήμερον

vit. Quis vero hic est? Si divitiarum naturam animadverterent, quam incertæ sint et infidæ: quapropter intulit, *Neque sperare in divitiarum incerto.* Dives est, non qui multa possidet, sed qui multa largitur: dives erat Abraham, sed non avarus: non enim hujus domum considerabat, nec illius substantiam curiose scrutabatur; sed egrediens explorabat, num alicubi hospes, num alicubi pauper, ut paupertatem resarciret, ut peregrinum excipere: non auro tectum linivit, sed apud quercum illam casam habens, foliorum umbra contentus erat; et tam splendidum ipsi erat deversorium, ut nec angelos apud ipsum manere puderet; non enim quærebant domus splendorem, sed animi virtutem. Hunc et nos imitemur, carissimi, et quæ habemus, in pauperes impendamus. Rudi modo paratum erat illud tabernaculum, sed regiis aulis splendidius fuit. Nullus unquam rex angelos suscepit: hic vero sub quercu sedens illa et casam ibi constituens, hoc honore dignus habitus est, non propter domus vilitatem honoratus, sed propter animi ornatum et divitias in ipso reposi tas hoc munere politus.

Et nos igitur ne domos ornemus, sed potius quam domum animam nostram. Quomodo enim non turpe, marmoribus parietes temere et incassum contegere, Christum vero nudum circumeuntem negligere? quæ tibi domus utilitas, homo? numquid enim ipsa tecum sumta abibis? Non hanc tecum ferens abibis, animam vero omnino ferens migrabis. Ecce nunc tale nos excepit periculum: jam assistant vobis domus, solvant periculum imminens; sed non poterunt. Vos ipsi mihi testes estis, desertas eas derelinquentes, et ad solitudinem emigrantes, illas tamquam laqueos et retia timentes. Opitulentur nunc divitiæ; sed jam non sunt opportunæ. Quodsi ubi hominis ira, pecuniarum vis superatur, multo magis in divino et implacabili judicio hoc fiet. Si homo est qui exacerbatur et indigne fert, et nihil nobis nunc aurum prodest: multo magis irascente Deo, qui pecuniis non indiget, auri potentia penitus evanescet. Domos ædificamus, ut habitemus, non ut superbiamus. Quod necessitatem excedit, superfluum est et inutile. Calceare calceum pede majorem, sed non tolerabis; impedit enim te ad gressum: sic et domus necessitate major impedit in cælos transitum. Vis magnas et splendidas domos ædificare? non prohibeo, sed non super terram: ædifica tabernacula in cælis, ubi et alios excipere possis, tabernacula numquam deficientia. Quid insanis circa fugientia et hic manentia? Nihil divitiis fallacius:

μετὰ σοῦ καὶ αὔριον κατὰ σοῦ, τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ὁπλίζει πάντοθεν· πολέμιός ἐστιν οἰκέτης, ἐχθρὸς σύνοικος· καὶ μάρτυρες ὑμεῖς οἱ κεκτημένοι, οἱ παντὶ τρόπῳ κατορύττοντες αὐτὸν καὶ ἀποκρύπτοντες· ἐπεὶ καὶ νῦν τὸν κίνδυνον ἡμῖν ἀφορητότερον ὁ πλοῦτος ποιεῖ. Ὁρᾷς γοῦν τοὺς μὲν πένητας εὐζώνους καὶ ἀπολελυμένους καὶ πρὸς ἅπαντα παρεσκευασμένους, τοὺς δὲ πλουσίους πολλὴν ἔχοντας δυσκολίαν, περιιόντας καὶ ζητοῦντας ποῦ τὸ χρυσίον κατορύξωσι, ζητοῦντας τίνι παρακατάθοιντο. Τί ζητεῖς, ἄνθρωπε, τοὺς ὁμοδούλους; ἕστηκεν ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι καὶ τηρῆσαί σοι τὰς παρακαταθήκας, οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι καὶ μετὰ πολλῆς ἀποδοῦναι τῆς προσθήκης· ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. Οὐ τηρεῖ δὲ μόνον τὰς παρακαταθήκας, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει σοι τοὺς κινδύνους. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον· οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ' εἰληφέναι χάριν, ὅταν δέξηταί σου τὰς παρακαταθήκας, φησὶν, καὶ ὑπὲρ τῆς φυλακῆς αὐτῆς, ἣν περὶ τὰ χρήματα ἐπιδείκνυται τὰ σά, οὐκ ἀπαιτεῖ σε μισθὸν, ἀλλὰ δίδωσί σοι μισθόν. Ἆρα τίνος ἂν εἴημεν ἀπολογίας ἄξιοι, τίνος δὲ συγγνώμης, ὅταν παρατρέχοντες τὸν καὶ φυλάξαι δυνάμενον καὶ χάριν ὑπὲρ τῆς φυλακῆς εἰδότα καὶ μισθοὺς ἀποῤῥήτους καὶ μεγάλους ἀποδιδόντα ἀντὶ τῆς φυλακῆς ταύτης, τοῖς κατὰ τὴν φυλακὴν ταύτην ἀσθενοῦσιν ἀνθρώποις καὶ χάριν ἡμῖν διδόναι νομίζουσι καὶ μόνα αὐτὰ τὰ διδόμενα ἀποδιδοῦσιν ὕστερον, ἐκείνοις τὰ ἡμέτερα ἐγχειρίζωμεν; Ξένος εἶ καὶ παρεπίδημος τῶν ἐνταῦθα, πατρίδα ἔχεις ἐν οὐρανοῖς· πάντα ἐκεῖ μετάθες, ἵνα καὶ πρὸ τῆς ἀπολαύσεως καὶ ἐνταῦθα ἀπολαύσῃς τῆς ἀμοιβῆς. Ὁ γὰρ χρηστὰῖς συντρεφόμενος ἐλπίσι καὶ περὶ τῶν μελλόντων θαῤῥῶν, ἐντεῦθεν ἤδη τῆς βασιλείας ἐγεύσατο. Οὐδὲν γὰρ οὕτω ψυχὴν εἴωθεν ἀναπτᾶσθαι καὶ ἀμείνω ποιεῖν, ὡς ἡ χρηστὴ τῶν μελλόντων ἐλπὶς, ἐὰν ἐκεῖ μεταθῇς τὸν πλοῦτον καὶ τῆς ψυχῆς ἐπιμελήσῃ τῆς σεαυτοῦ μετὰ σχολῆς τῆς προσηκούσης. Οἱ μὲν γὰρ ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κενοῦντες τῆς ἑαυτῶν οἰκίας, ἐν τοῖς ἔξω πλουτοῦντες, ἀμελοῦσι τῶν ἔνδον, καὶ ἔρημον καὶ αὐχμῶσαν καὶ ἀραχνίων γέμουσαν περιορῶσι τὴν ἑαυτῶν ψυχήν· ἂν δὲ τῶν ἔξωθεν ἀμελήσαντες εἰς τὴν ἑαυτῶν διάνοιαν τὴν προθυμίαν καταναλώσωσιν ἅπασαν, πανταχόθεν αὐτὴν καλλωπίζοντες, καταγώγιον ἔσται τῷ Χριστῷ τῶν τοιούτων ἀνθρώπων ἡ ψυχή· τοῦ δὲ τὸν Χριστὸν ἔχοντος ἔνοικον τί γένοιτ' ἂν μακαριώτερον πώποτε; Βούλει πλουτεῖν; ἔχε φίλον τὸν Θεὸν, καὶ πάντων εὐπορώτερος ἔσῃ. Βούλει πλουτεῖν; μὴ μέγα φρόνει· τοῦτο οὐ πρὸς τὰ μέλλοντα, ἀλλὰ καὶ πρὸς τὰ παρόντα ἐπιτήδειον· οὐδὲν γὰρ οὕτως ἐπίφθονον, ὡς ἄνθρωπος πλουτῶν· ὅταν δὲ καὶ ἀπόνοια προσῇ, διπλοῦς ὁ χρημνὸς γίνεται, χαλεπώτερος παρὰ πάντων ὁ πόλεμος. Ἂν δὲ μετριάζειν εἰδῇς, ὑποτέμνῃ τῇ ταπεινοφροσύνῃ τῆς

hodie tecum, et cras contra te, invidorum oculos armant undique : hostes sunt contubernales, inimici domestici : et vos possidentes testes, qui omni modo ipsas defoditis et absconditis : quoniam et nunc nobis periculum intolerabilius divitiæ faciunt. Nam cernis pauperes quidem alte cinctos et expeditos et ad omnia paratos; divites autem multam habentes difficultatem, circumeuntes et quærentes ubi aurum defodiant, quærentes apud quem deponant. Quid quæris, homo, conservos? Christus stat ad suscipiendum paratus, et ad deposita tibi servanda, nec tantum servanda, sed etiam multiplicanda et cum multo fœnore reddenda : ex illius manu nemo eripit. Non servat autem tantum deposita, sed etiam super iis securum depositorem facit. In hominibus enim, qui deposita suscipiunt, ii gratiam se nobis præstare putant, si custodiant quæ susceperunt; in Christo autem contrarium : non enim gratiam præstitisse, sed accepisse se dicit, cum deposita susceperit tua : et pro ipsa custodia, quam circa pecunias tuas exhibet, non mercedem a te repetit, sed ipse tibi dat mercedem. Qua igitur simus excusatione digni, qua venia, quando et custodire valentem, et pro custodia gratias habentem, et arcana et magna præmia pro hac custodia reddentem prætermittentes, hominibus circa hujusmodi custodiam debilibus, et gratiam nobis conferre se putantibus, et sola ipsa quæ dantur postea reddentibus, hisce nostra tradamus? Hospes es hic et peregrinus, patriam habes in cœlis : illuc omnia transmitte, ut et antequam fruaris, hic quoque retributionem capias. Qui enim bona spe altor et de futuris confidit, jam hic regnum gustavit. Nihil enim tantum animam reparare consuevit et meliorem facere, quam bona futurorum spes, si eo transmittens divitias animæ tuæ curam cum otio congruenti egeris. Nam qui studium omne in domus suæ ornatum impendunt, in exterioribus divites, interiora negligunt, ac desertam, squalentem et aranea plenam animam suam despiciunt : si vero exteriora negligentes circa mentem suam omne studium impenderint, undique ipsam ornantes, deversorium Christo erit talium hominum anima : Christum autem habente inhabitatorem quid unquam felicius esse possit? Vis ditari? amicum habeas Deum, et omnium ditissimus eris. Vis ditari? ne altum sapias. Hoc non ad futura tantum, sed etiam ad præsentia utile. Nihil enim tam invidiosum, quam homo dives : cum vero superbia accesserit, duplex paratur præcipitium, difficilius ab omnibus bellum. Si vero modeste

βασιλείας τὴν τυραννίδα, καὶ μετὰ ἀσφαλείας ἔχεις ἅπερ ἂν ἔχῃς. Τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις, οὐ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη δίδωσι τὰς ἀμοιβάς.

Μὴ τοίνυν μέγα φρονῶμεν ἐπὶ τῷ πλούτῳ, ἀλλὰ μηδὲ ἐφ' ἑτέρῳ μηδενί. Εἰ γὰρ ἐπὶ τοῖς πνευματικοῖς ὁ μέγα φρονῶν οἴχεται καὶ ἀπόλωλε, πολλῷ μᾶλλον ἐπὶ τοῖς σαρκικοῖς. Ἐννοήσωμεν ἡμῶν τὴν φύσιν, ἀναλογισώμεθα τὰ ἁμαρτήματα· μάθωμεν τίνες ἐσμὲν, καὶ ἀρκεῖ τοῦτο εἰς πάσης ταπεινοφροσύνης ἡμῖν ὑπόθεσιν. Μή μοι λέγε ὅτι Τόσων καὶ τόσων ἐτῶν προσόδους ἀποκειμένας ἔχω, χρυσίου τάλαντα μυρία, κέρδη καθ' ἑκάστην προσγινόμενα τὴν ἡμέραν· ὅσα ἂν εἴπῃς, πάντα εἰκῇ καὶ μάτην ἐρεῖς· πολλάκις ἐν ὥρᾳ μιᾷ καὶ βραχείᾳ καιροῦ ῥοπῇ, καθάπερ ἀνέμου προσπεσόντος ἄνωθεν κόνις εὐρίπιστος, οὕτω ταῦτα πάντα ἐκφυσᾶται τῆς οἰκίας. Καὶ τούτων πλήρης μὲν ὁ βίος ἡμῖν τῶν παραδειγμάτων, πλήρεις δὲ αἱ Γραφαὶ τῶν διδαγμάτων· ὁ σήμερον πλούσιος αὔριον πένης. Διὸ καὶ πολλάκις ἐγέλασα διαθήκας ἀναγινώσκων λεγούσας, Ὁ δεῖνα μὲν ἐχέτω τὴν δεσποτείαν τῶν ἀγρῶν ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· πάντες γὰρ τὴν χρῆσιν ἔχομεν, τὴν δεσποτείαν δὲ οὐδείς. Κἂν γὰρ παρὰ πᾶσαν ἡμῖν τὴν ζωὴν παραμένῃ μηδεμίαν δεχόμενος μεταβολὴν ὁ πλοῦτος, καὶ ἑκόντας καὶ ἄκοντας ἐν τῇ τελευτῇ παραχωρήσομεν ἑτέροις [τὴν κτῆσιν], τὴν χρῆσιν αὐτοῦ καρπωσάμενοι μόνον, τῆς δεσποτείας δὲ γυμνοὶ καὶ ἔρημοι πρὸς ἐκείνην ἀποδημοῦντες τὴν ζωήν. Ὅθεν δῆλον ὅτι ἐκεῖνοι μόνοι τὴν δεσποτείαν ἔχουσιν οἱ καὶ τῆς χρήσεως αὐτοῦ καταφρονήσαντες καὶ τῆς ἀπολαύσεως καταγελάσαντες. Ὁ γὰρ τὰ ὄντα ῥίψας καὶ τοῖς πένησιν αὐτὰ διαδοὺς, ἐχρήσατό τ' εἰς δέον τοῖς οὖσι, καὶ τὴν δεσποτείαν αὐτῶν ἔχων ἀπῆλθεν, οὐδ' ἐν αὐτῷ τῷ θανάτῳ τῆς κτήσεως ἐκπίπτων ἐκείνης, ἀλλ' ἐν ἐκείνῳ πάντα ἀπολαμβάνων τῷ καιρῷ, καὶ πολλῷ πλείονα ἐκείνων, ὅταν αὐτῶν μάλιστα δέηται τῆς προστασίας ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, καὶ ὅταν τῶν πεπραγμένων τὰς εὐθύνας ἀπαιτώμεθα πάντες. Ὥστε εἴ τις θέλοι καὶ τὴν κτῆσιν αὐτῶν καὶ τὴν χρῆσιν ἔχειν καὶ τὴν δεσποτείαν, ἀπαλλαττέσθω τῶν ὄντων ἁπάντων· ὡς ὅ γε μὴ τοῦτο ποιῶν, τῇ τελευτῇ μὲν αὐτῶν ἀποστήσεται πάντως, πολλάκις δὲ καὶ πρὸ τῆς τελευτῆς μετὰ κινδύνων καὶ μυρίων αὐτὰ ἀποβαλεῖται κακῶν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι μεταβολὴ γίνεται ἀθρόως, ἀλλ' ὅτι καὶ ἀμελέτητος πρὸς τὴν τῆς πενίας ὑπομονὴν ὁ πλούσιος ἔρχεται. Ἀλλ' οὐχ ὁ πένης τοιοῦτος· οὐ γὰρ χρυσίῳ καὶ ἀργυρίῳ τεθάρρηκεν, ἀψύχοις ὕλαις, ἀλλὰ τῷ Θεῷ τῷ παρέχοντι πάντα πλουσίως· ὥστε ὁ πλούσιος ἐν ἀδήλῳ μᾶλλον ἕστηκεν ἢ ὁ πένης, πυκνὰς καὶ ἐπαλλήλους δεχόμενος τὰς μεταβολάς. Τί δέ ἐστι, « Τῷ παρέχοντι ἡμῖν τὰ πάντα πλουσίως »; Πάντα μετὰ δαψιλείας δίδωσιν ὁ Θεὸς τὰ πολλῷ τῶν χρημάτων ἀναγκαιότερα, οἷον τὸν ἀέρα, τὸ ὕδωρ, τὸ πῦρ, τὸν ἥλιον, ἅπαντα τὰ τοιαῦτα. Οὐκ

vivere scieris, succidis humilitate invidiæ tyrannidem, et cum securitate habes quæcumque habes. Talis enim est virtutis natura, non ad futura nos tantum adjuvat, sed et hic jam retributiones præbet.

Ne igitur in divitiis altum sapiamus, sed nec ulla in alia re. Si enim in spiritualibus altum sapiens labitur et perit, multo magis in carnalibus. Cogitemus naturam nostram, peccata recenseamus; discamus qui simus, et hoc nobis ad omnis humilitatis materiam sufficit. Ne dicas mihi : Tot et tot annorum proventus repositos habeo, auri talenta innumera, lucra per singulos adducta dies. Quantacumque dixeris, omnia temere dices et incassum : sæpe una hora et brevi temporis momento, velut vento superne irruente jactabilis pulvis, sic hæc omnia ex domo exsufflantur. Et horum nobis exemplorum vita plena, plenæ vero Scripturæ documentorum : hodie dives, cras pauper. Idcirco sæpius risi testamenta legens dicentia, ille quidem habeat agrorum vel domus dominium, usum vero alius : omnes enim usum habemus, dominium autem nemo. Etsi enim nobis per omnem permaneant vitam divitiæ nullam accipientes mutationem, velimus nolimus, in fine aliis cedemus possessionem, usu solo earum recepto, dominio autem nudi et orbati ad illam vitam migrantes. Unde manifestum est, illos solos dominium habere, qui ipsarum et usum contemserunt et fructum deriserunt. Qui enim facultatibus abjectis, et inter pauperes distributis, prout oportebat facultatibus usus est, et ipsorum dominium habens obiit, neque in ipsa morte illa excidens possessione, sed omnia illo recipiens tempore, et illis multo plura, quando in die judicii illorum præsidio maxime egebit, et quando a nobis omnibus factorum rationes repetentur. Itaque si quis velit divitiarum et possessionem et usum et dominium habere, omnibus facultatibus suis se expediat : quoniam hoc si non faciat, in morte ab ipsis omnino separabitur; multoties vero et ante finem cum periculis et infinitis malis ipsas amittet. Nec hoc solum malum est, quod mutatio fit repente universa, sed quod impræmeditatus ad paupertatis tolerantiam dives deducitur. Sed non talis pauper : non enim auro confidit et argento, inanimatis materiis, sed Deo omnia copiose præbenti. Itaque dives magis in incerto quam pauper constitutus est, cum frequentes et continuas mutationes recipiat. Quid vero illud est (1. *Tim.* 6. 17), *Qui præstat nobis abunde omnia?* Omnia cum largitate dat Deus, quæ sunt multo magis quam pecuniæ necessaria, ut aerem, aquam, ignem, solem, omnia talia. Non

ἔστιν εἰπεῖν ὅτι πλείονος ἀπολαύει τῆς ἀκτῖνος ὁ πλούσιος, ἐλάττονος δὲ ὁ πένης· οὐκ ἔστιν εἰπεῖν ὅτι ἀφιλέστερον ἀέρα ἀναπνεῖ τοῦ πένητος ὁ πλουτῶν· ἀλλὰ πάντα ἴσα καὶ κοινὰ πρόκειται. Τίνος οὖν ἕνεκεν τὰ μὲν μείζονα καὶ ἀναγκαιότερα καὶ τὴν ζωὴν ἡμῶν συνέχοντα κοινὰ πεποίηκεν ὁ Θεὸς, τὰ δὲ ἐλάττονα καὶ εὐτελέστερα οὐκ ἔστι κοινά, τὰ χρήματα λέγω; τίνος ἕνεκεν; Ἵνα συγκροτῆται ἡμῶν ἡ ζωὴ, καὶ ἀρετῆς ἔχωμεν σκάμματα. Εἰ μὲν γὰρ μὴ ἦν τὰ ἀναγκαῖα ταῦτα κοινὰ, ἴσως ἂν οἱ πλουτοῦντες τῇ εἰωθυίᾳ κεχρημένοι πλεονεξίᾳ τοὺς πενομένους ἀπέπνιξαν ἄν· εἰ γὰρ ἐπὶ τῶν χρημάτων τοῦτο ποιοῦσι, πολλῷ μᾶλλον ἐπ' ἐκείνων τοῦτο ἂν ἐποίησαν· πάλιν εἰ καὶ τὰ χρήματα ἦν κοινὰ καὶ πᾶσιν ὁμοίως προύκειτο, ἐλεημοσύνης ἀνῄρητο πρόφασις καὶ φιλοφροσύνης ἀφορμή. Ἵν' οὖν ἀδεῶς ζῶμεν, κοινὰ γέγονεν ἡμῖν τὰ τῆς ζωῆς αἴτια· πάλιν, ἵνα ἔχωμεν στεφάνων καὶ εὐδοκιμήσεων ἀφορμὴν, οὐ κοινὰ γέγονε τὰ χρήματα, ἵνα πλεονεξίαν μισοῦντες, δικαιοσύνην διώκοντες, τὰ ὄντα τοῖς δεομένοις προλέμενοι, παραμυθίαν τινὰ διὰ τῆς μεθόδου ταύτης τῶν οἰκείων λαμβάνωμεν ἁμαρτημάτων. Πλούσιόν σε ἐποίησεν ὁ Θεὸς, τί σαυτὸν ποιεῖς πένητα; Πλούσιόν σε ἐποίησεν, ἵνα τοῖς δεομένοις βοηθῇς, ἵνα τὰ ἁμαρτήματα λύσῃς τὰ σαυτοῦ διὰ τῆς εἰς ἑτέρους δαψιλείας· ἔδωκέ σοι χρήματα, οὐχ ἵνα καταλείσῃς ἐπ' ὀλέθρῳ τῷ σῷ, ἀλλ' ἵνα ἐκχέῃ ἐπὶ σωτηρίᾳ τῇ σῇ. Διὰ τοῦτο καὶ τὴν κτῆσιν αὐτῶν ἄδηλον ἐποίησε καὶ οὐ μόνιμον, ἵνα καὶ ἐν τούτῳ τῆς περὶ αὐτὰ μανίας καταλύσῃ τὸν τόνον. Εἰ γὰρ νῦν οὐκ ἔχοντες θαρρεῖν οἱ κεκτημένοι περὶ αὐτῶν, ἀλλὰ καὶ πολλὰς ὁρῶντες ἐκ τοῦ πράγματος τικτομένας ἐπιβουλὰς, οὕτως ἐκκαίονται περὶ τὸν ἐκείνων πόθον, εἰ καὶ τοῦτο τῷ πλούτῳ προσῆν τὸ βέβαιον καὶ ἀδιάπτωτον, τίνος ἂν ἐφείσαντο; τίνος ἂν ἀπέσχοντο; ποίας χήρας, ποίων ὀρφανῶν, ποίων πενήτων;

Μὴ τοίνυν μέγα νομίζωμεν ἀγαθὸν εἶναι πλοῦτον· μέγα γὰρ ἀγαθὸν, οὐ τὸ κεκτῆσθαι χρήματα, ἀλλὰ τὸ κεκτῆσθαι Θεοῦ φόβον καὶ πᾶσαν εὐλάβειαν. Ἰδοὺ νῦν εἴ τις δίκαιος ἦν καὶ παῤῥησίαν πολλὴν ἔχων πρὸς τὸν Θεὸν, κἂν εἰ πάντων ἀνθρώπων πενέστερος ἦν, ἤρκει λῦσαι τὰ παρόντα δεινά· ἤρκει γὰρ μόνον τὰς χεῖρας ἐκτεῖναι εἰς τὸν οὐρανὸν καὶ καλέσαι τὸν Θεὸν, καὶ τὸ νέφος τοῦτο παρῆλθεν ἄν. Χρυσίον τοσοῦτον ἀπόκειται, καὶ πηλοῦ παντός ἐστιν ἀχρηστότερον πρὸς τὴν λύσιν τῶν ἐπικειμένων κακῶν. Οὐκ ἐν τούτῳ δὲ τῷ κινδύνῳ μόνον, ἀλλὰ κἂν νόσος καταλάβῃ, κἂν θάνατος, κἂν ἄλλο τι τῶν τοιούτων, ἐλέγχεται τῶν χρημάτων ἡ δύναμις ἀπορουμένη καὶ μηδεμίαν ἔχουσα παραμυθίαν τοῖς συμβαίνουσιν οἴκοθεν ἐπιδείξασθαι. Ἔν ἐστιν ᾧ δοκεῖ τῆς πενίας πλεονεκτεῖν ὁ πλοῦτος, τὸ τρυφᾷν καθ' ἡμέραν καὶ πολλῆς ἐμφορεῖσθαι ἐν τοῖς συμποσίοις τῆς ἡδονῆς. Τοῦτο μὲν οὖν καὶ ἐπὶ τῆς τῶν πενήτων τραπέζης συμβαῖνόν ἐστιν ἰδεῖν, καὶ μείζονος τούτους ἀπολαύοντας ἡδονῆς τῶν πλουτούν-

licet dicere quod solis radiis amplioribus dives, tenuioribus vero pauper fruatur; non licet dicere quod copiosiorem aerem quam pauper respiret dives, sed omnia paria et communia proposita sunt. Quare igitur majora quidem et magis necessaria, et vitam nostram continentia, communia Deus fecit; minora vero et viliora non sunt communia, pecuniæ nimirum? qua de causa? Ut vita nostra conservetur, et virtutis stadia habeamus. Si enim non essent necessaria hæc communia, forte divites solita usi avaritia pauperes suffocassent: si enim in divitiis hoc faciunt, multo magis in illis fecissent. Rursus si et pecuniæ communes essent, et similiter omnibus in medio positæ, eleemosynæ occasio sublata esset et caritatis opportunitas. 7. Ut igitur secure vivamus, communes factæ sunt nobis vitæ causæ; rursum, ut habeamus coronarum et laudum occasionem, non communes factæ sunt pecuniæ, ut avaritiam exosi, justitiam sectantes, nostra indigentibus erogantes, aliquod peccatorum nostrorum solatium et remedium per viam hanc capiamus. Divitem te fecit Deus, quid te ipsum pauperem facis? Divitem te fecit, ut egenis auxilieris, ut peccata tua solvas per liberalitatem aliis exhibitam: dedit tibi pecunias, non ut in mortem tuam claudas, sed ut in salutem tuam effundas. Propterea et ipsarum possessionem incertam et non stabilem fecit, ut per hoc quoque insaniæ circa ipsas intentionem dissolveret. Si enim qui nunc possident et de ipsis confidere non valent, quinimo multas ex hac re nascentes insidias cernunt, sic circa illarum desiderium succenduntur: si et hoc additum esset, ut stabiles et minime caducæ forent, cui pepercissent? a quo abstinuissent? a qua vidua? a quibus pupillis? a quibus pauperibus?

Ne igitur magnum putemus bonum esse divitias: magnum enim bonum, non possidere pecunias, sed Dei timorem et reverentiam possidere. Ecce nunc si quis esset justus et apud Deum fiduciæ habens multum, etsi omnium hominum pauperrimus esset, præsentia mala solvere posset: satis enim esset tantum in cælum manus extendere, et Deum invocare, et hæc nebula præteriret. Aurum tantum repositum luto omni ad impendentium malorum solutionem inutilius est. Nec in hoc tantum periculo, sed et si morbus comprehenderit, sive mors, sive aliud quid ejusmodi, redarguitur pecuniarum vis impotens et nullam valens de proprio consolationem in adversis afferre. Unum est quo paupertatem divitiæ superare videntur, quotidianis diffluere deliciis, et multa in conviviis repleri voluptate. Hoc tamen et in pauperum mensa contingere cernitur, et hos majori quam omnes divites voluptate frui. Et ne mire-

των ἁπάντων. Καὶ μὴ θαυμάσητε μηδὲ παράδοξον εἶναι νομίσητε τὸ λεγόμενον· ἐγὼ γὰρ ἐξ αὐτῆς ὑμῖν τοῦτο τῆς τῶν πραγμάτων ἀποδείξεως ποιήσω δῆλον. Ἴστε γὰρ δήπου τοῦτο καὶ συνομολογεῖτε πάντες, ὅτι ἡδονὴν ἐν ταῖς ἑστιάσεσιν οὐχ ἡ φύσις τῶν ἐδεσμάτων, ἀλλ' ἡ διάθεσις τῶν ἑστιωμένων ποιεῖν εἴωθεν· οἷόν τι λέγω· μετὰ τοῦ πεινῆν τις ἁπτόμενος τραπέζης, παντὸς ὄψου καὶ ἡδύσματος καὶ μυρίων καρυκευμάτων ἡδίον ἅψεται τῆς τροφῆς, κἂν ἁπάντων εὐτελεστέρα ᾖ· ὁ δὲ μὴ τὴν χρείαν ἀναμένων, μηδὲ ὑπομένων πεινῆσαι πρῶτον, ὅπερ οἱ πλουτοῦντες ποιοῦσι, καὶ τότε ἐπὶ τὴν τράπεζαν ἐλθεῖν, κἂν πλακοῦντας εὕρῃ κειμένους, οὐκ αἰσθήσεται τῆς ἡδονῆς, τῆς ὀρέξεως αὐτῷ μὴ διεγηγερμένης. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, μάρτυρες μὲν καὶ ὑμεῖς ἅπαντες· ἀκούσωμεν δὲ καὶ τῆς Γραφῆς αὐτὸ τοῦτο λεγούσης· « Ψυχὴ γὰρ ἐμπεπλησμένη, φησὶ, κηρίοις ἐμπαίζει, ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται. » Καίτοι τί κηρίων καὶ μέλιτος γλυκύτερον γένοιτ' ἄν; ἀλλ' οὐκ ἔστιν ἡδὺ τῷ μὴ πεινῶντι, φησί. Τί δὲ τῶν πικρῶν ἀηδέστερον; ἀλλ' ἔστι γλυκέα τοῖς ἐν ἐνδείᾳ καθεστηκόσιν. Ὅτι δὲ οἱ πένητες μετὰ τῆς χρείας καὶ τοῦ πεινῆν ἐπὶ τὸ πρᾶγμα ἔρχονται, οἱ δὲ πλουτοῦντες οὐκ ἀναμένουσι τοῦτο, παντί που δῆλόν ἐστιν· ὅθεν οὐδὲ γνησίαν καὶ εἰλικρινῆ καρποῦνται τὴν ἡδονήν. Οὐκ ἐπὶ τῶν ἐδεσμάτων δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ποτῶν τὸ αὐτὸ τοῦτο συμβαῖνον ἴδοι τις ἄν· καὶ ὥσπερ ἐκεῖ τὸ πεινῆν πρὸ τῆς τῶν ἐδεσμάτων φύσεως ἡδονὴν εἰργάζετο, οὕτω καὶ ἐνταῦθα τὸ διψῆν ἥδιστον ποιεῖν εἴωθε τὸ ποτὸν, κἂν ὕδωρ ᾖ τὸ πινόμενον μόνον. Καὶ τοῦτο αὐτὸ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, « Ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. » Καίτοι τοῦτο οὐδαμοῦ τῆς Γραφῆς ἀνέγνωμεν, ὅτι μέλι ἐκ πέτρας ἐξήγαγεν ὁ Μωϋσῆς, ἀλλὰ πανταχοῦ ποταμοὺς καὶ ὕδατα καὶ ψυχρὰ νάματα. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; οὐδὲ γὰρ ψεύδεται ἡ Γραφή. Ἐπειδὴ γὰρ διψῶντες καὶ κατατεινόμενοι τῇ ἐνδείᾳ ψυχροτέροις προσέπιπτον τοῖς νάμασι, τὴν ἡδονὴν τὴν ἐκ τοῦ ποτοῦ παραστῆσαι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν, οὐχ ὡς τῆς φύσεως μεταβληθείσης εἰς μέλι, ἀλλ' ὡς τῆς διαθέσεως μέλιτος ἡδίω ποιούσης ἐκεῖνα τὰ νάματα. Ἔμαθες πῶς καὶ ποτὸν ἡδὺ ποιεῖν εἴωθεν ἡ τῶν διψώντων διάθεσις; Πολλοὶ γοῦν πολλάκις πένητες κάμνοντες καὶ ταλαιπωρηθέντες καὶ τῷ δίψει καταψυχθέντες μετὰ τῆς εἰρημένης ἡδονῆς τῶν τοιούτων μετέσχον ναμάτων· οἱ δὲ πλουτοῦντες οἶνον ἡδὺν καὶ ἀνθοσμίαν καὶ πᾶσαν ἀρετὴν ἔχοντα τὴν ἐν οἴνοις λαβόντες, οὐχ ἥσθοντο τῆς αὐτῆς εὐφροσύνης.

Τοῦτο καὶ ἐπὶ τοῦ ὕπνου γινόμενον ἴδοι τις ἄν. Οὐ γὰρ ἁπαλὴ στρωμνὴ, οὐδὲ ἀργυρένδετος κλίνη, οὐδὲ ἡσυχία κατὰ τὸ δωμάτιον γινομένη, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν τὸν ὕπνον γλυκὺν καὶ προσηνῆ ποιεῖν εἴωθεν, ὡς τὸ πονεῖσθαι καὶ κάμνειν καὶ διομένους ὕπνου σφόδρα καὶ νυστάζοντας κατακλίνεσθαι· καὶ

mini, neve incredibile putetis, quod dictum est : ex ipsa enim rerum demonstratione hoc vobis faciam manifestum. Nostis quippe omnes, et hoc confitemini, quod voluptatem in conviviis non ferculorum natura, sed convivantium dispositio facere consuerit : ut puta, cum fame quis mensam attingens, omni obsonio et condimento et innumeris ciborum illecebris jucundiorem escam gustabit, etsi omnium vilissima sit : necessitatem vero et esuriem præveniens, quod divites faciunt, si etiam placentas invenerit appositas, non sentiet voluptatem, ipsius appetitu non excitato. Et ut discas hoc ita se habere, testes quidem et vos omnes; audiamus tamen et Scripturam hoc ipsum dicentem (*Prov.* 27. 7) : *Anima saturata favis illudit, animæ autem egenti etiam amara dulcia videntur.* Atqui favis quid dulcius et melle? Sed non jucundum, inquit, non esurienti. Quid vero amaris injucundius? sed dulcia sunt in indigentia constitutis. Quod autem pauperes cum necessitate et esurie ad cibum veniant, divites vero eam non exspectent, hoc cuique manifestum est : unde legitimam et sinceram voluptatem hi non capiunt. Neque in cibis tantum, sed in potu idem accidere videre licet : et sicut illic esuries supra escarum naturam voluptatem inducebat, sic et hic sitis jucundissimum potum facere consuevit, etsi pura sit aqua quæ bibatur. Et hoc ipsum propheta demonstrans dicebat (*Psal.* 80. 17), *Et de petra melle saturavit eos.* Atqui hoc nusquam in Scriptura lectum est quod mel de petra Moses eduxerit, sed ubique fluvios et aquas et frigida fluenta. Quid igitur tandem est quod dicitur? neque enim mentitur Scriptura. Postquam enim sitientes et indigentia cruciati in frigidiores aquas inciderunt, ex potu voluptatem illorum asserere volens, mel aquam appellavit, non tamquam mutata in mel natura, sed bibentium dispositione fluenta melle jucundiora faciente. Didicisti quomodo et potum suavem sitientium affectio reddere consuevit? Multi igitur pauperes sæpe laborantes et defatigati, et siti ardentes, cum dicta voluptate talia libavere fluenta : divites vero vinum suave et florum odorem et omnem virtutem habens, quæ in vinis optari possit, haurientes, non eamdem sensere delectationem.

8. Hoc et in somno fieri videas. Non enim molle stratum, neque deargentatus lectus, neque quies in conclavi facta, neque aliud hujusmodi quidpiam somnum dulcem et placidum facere solet, sicut laborare et lassari, et vehementer somno indigentes et dormitantes reclinari : et hoc

τοῦτο αὐτο μαρτυρεῖ μὲν ἡ τῶν πραγμάτων πεῖρα, μαρτυρεῖ δὲ καὶ πρὸ τῆς τῶν πραγμάτων πείρας καὶ ἡ τῶν Γραφῶν ἀπόφασις. Ὁ γὰρ τῇ τρυφῇ συναναστραφεὶς Σολομὼν αὐτὸ τοῦτο δηλῶσαι βουλόμενος ἔλεγεν, « Ἡδὺ ὕπνος τῷ δούλῳ, ἄν τε ὀλίγον, ἄν τε πολὺ φάγῃ. » Τίνος ἕνεκεν προσέθηκεν, « Ἄν τε ὀλίγον, ἄν τε πολὺ φάγῃ; » Ἀμφότερα ταῦτα ἀγρυπνίαν ἐμποιεῖν εἴωθεν, ἔνδεια καὶ ἀδηφαγία· ἡ μὲν τὸ σῶμα ξηραίνουσα, καὶ κερατοποιοῦσα τὰ βλέφαρα καὶ οὐκ ἀφιεῖσα καταστέλλεσθαι· ἡ δὲ τὸ πνεῦμα στενοχωροῦσα καὶ ἀποθλίβουσα καὶ πολλὰς παρέχουσα τὰς ὀδύνας. Ἀλλ' ὅμως τοσαύτη ἐστὶν ἡ τῶν πόνων παραμυθία, ὡς εἰ καὶ ταῦτα ἀμφότερα προσγένοιτο, δύνασθαι τὸν οἰκέτην καθεύδειν. Ἐπειδὴ γὰρ κατὰ τὴν ἡμέραν ἅπασαν πανταχοῦ περιτρέχουσι διακονούμενοι τοῖς αὐτῶν δεσπόταις, κοπτόμενοι, ταλαιπωρούμενοι καὶ οὐδὲ μικρὸν ἀναπνέοντες, τῶν καμάτων ἐκείνων καὶ τῶν πόνων ἱκανὴν ἀπολαμβάνουσιν ἀμοιβὴν τὴν ἐν τῷ καθεύδειν ἡδονήν. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τὸ μὴ χρυσῷ καὶ ἀργύρῳ ὠνητὰς εἶναι τὰς ἡδονάς, ἀλλὰ πόνῳ καὶ μόχθῳ καὶ χρείᾳ καὶ φιλοσοφίᾳ πάσῃ. Ἀλλ' οὐχ οἱ πλουτοῦντες οὕτως· ἀλλ' ἐπὶ τῶν στρωμάτων κείμενοι πολλάκις δι' ὅλης νυκτὸς ἀγρυπνοῦσι καὶ πολλὰ μηχανώμενοι τῆς αὐτῆς οὐκ ἀπολαύουσιν ἡδονῆς. Ὁ δὲ πένης ἐκ τῶν καθημερινῶν ἀναστὰς πόνων κεκμηκότα ἔχων τὰ μέλη, πρὶν ἢ καταπεσεῖν, ἁθρόον καὶ ἡδὺν καὶ γνήσιον τὸν ὕπνον ἐδέξατο, οὐ μικρὸν καὶ τοῦτον τῶν δικαίων πόνων λαμβάνων μισθόν.

Ὅταν οὖν μετὰ πλείονος ἡδονῆς ὁ πένης καὶ καθεύδῃ καὶ ἐσθίῃ καὶ πίνῃ, τίνος ἔσται λοιπὸν ὁ πλοῦτος ἄξιος, ὃ δοκεῖ κατὰ τῆς πενίας προτέρημα ἔχειν, καὶ τοῦτο ἀφῃρημένος; Διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ὁ Θεὸς πόνον τῷ ἀνθρώπῳ συνέζευξεν, οὐχὶ τιμωρούμενος αὐτὸν οὐδὲ κολάζων, ἀλλὰ σωφρονίζων καὶ παιδεύων. Ὅτε ἄπονον βίον ἔζη ὁ Ἀδάμ, ἐξέπεσε τοῦ παραδείσου· ὅτε ἐπίπονον καὶ ἐπίμοχθον ὁ ἀπόστολος καὶ ἔλεγεν, « Ἐν κόπῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενος, » τότε ἁρπάθην εἰς τὸν παράδεισον καὶ εἰς τρίτον ἀνῆλθεν οὐρανόν. Μὴ τοίνυν κακίζωμεν πόνον, μηδὲ διαπτύωμεν ἐργασίαν· καὶ γὰρ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν ἐντεῦθεν μεγίστην λαμβάνομεν ἀμοιβὴν, τὴν ἐκ τοῦ πράγματος ἡδονὴν καρπούμενοι· οὐχ ἡδονὴν δὲ μόνον, ἀλλ' ὃ καὶ πολλῷ μεῖζόν ἐστιν ἡδονῆς, ὑγείαν καθαρωτάτην. Τοῖς μὲν γὰρ πλουτοῦσι μετὰ τῆς ἁβρότητος πολλὰ καὶ τὰ νοσήματα ἐπιῤῥεῖ· οἱ δὲ πένητες τῶν ἰατρικῶν εἰσιν ἀπηλλαγμένοι χειρῶν· εἰ δέ που καὶ περιπέσοιεν ἀῤῥωστήματι, ταχέως ἑαυτοὺς ἀνεκτήσαντο, βλακείας ἁπάσης ἀπηλλαγμένοι καὶ τὰ σώματα εὔρωστα ἔχοντες. Μέγα κτῆμα πενία τοῖς φιλοσόφως αὐτὴν φέρουσι, θησαυρὸς ἄσυλος, βακτηρία ἰσχυροτάτη, κτῆσις ἀνεπηρέαστος, καταγώγιον ἀνεπιβούλευτον. Ἀλλὰ πλεονεκτεῖται, φησὶν, ὁ πένης· ἀλλ' ἐπιβουλεύεται μειζόνως ὁ πλούσιος· καταφρονεῖται

quidem testatur etiam rerum experientia; testatur autem et ante rerum experientiam Scripturarum sententia. Deliciis enim inutritus Salomon idem demonstrare volens, dicebat (*Eccl.* 5. 11), *Jucundus somnus servo, sive parum, sive multum comederit.* Cur addit, *Sive parum, sive multum comederit?* Ambo haec vigiliam inducere solent, indigentia et crapula : illa quidem corpus arefaciens, et palpebras corneas reddens, nec claudi permittens; haec vero anhelitum angens et elidens, et multos inferens dolores. Attamen tanta est laborum medicina, ut etiamsi haec ambo adsint, servus dormire possit. Quia enim servi tota die ubique circumcursitant, dominis suis ministrantes, fatigati, laborantes, et ne minimum quidem respirantes, lassitudinum et laborum illorum retributionem capiunt sufficientem, in dormiendo voluptatem. Et hoc Dei benignitate factum est, ut non auro et argento, sed labore et aerumna et necessitate et omni disciplina voluptates emantur. At non ita divites : sed in stratis mollibus jacentes, multoties totam noctem ducunt insomnem, et multa machinantes eadem (qua illi) non fruuntur voluptate. Pauper autem ex diurnis laboribus surgens, defatigata habens membra, priusquam recubuerit, promptum et suavem et verum somnum suscipit, non exiguam et hanc justorum laborum capiens mercedem.

Cum igitur cum majori voluptate pauper et dormiat et edat et bibat, qua denique existimatione dignae erunt divitiae, quam videbantur super paupertatem praerogativam habere, hac etiam privatae? Propterea et ab initio Deus homini laborem illigavit, non puniens ipsum neque castigans, sed corrigens ac docens. Quando illaboriosam vitam degebat Adam, paradiso excidit : quando laboriosam et aerumnosam Paulus agebat vitam, ac dicebat (2. *Cor.* 11. 27), *In labore et aerumna nocte et die operans*, tunc in paradisum raptus est, et tertium in caelum ascendit. Ne igitur laborem vituperemus, nec operationem respuamus. Etenim ante caelorum regnum hinc maximum capimus praemium, ex ipsa re voluptatem sumentes; non autem voluptatem tantum, sed et, quod multo voluptate majus est, purissimam sanitatem. Divites enim praeter insuavitatem multae aegritudines invadunt, pauperes autem a medicorum manibus immunes sunt. Si vero nonnumquam et in aegritudinem incidant, brevi se ipsos instaurant, ignavia omni liberi et corpora robusta habentes. Magna possessio paupertas sapienter ipsam ferentibus, thesaurus qui nequeat auferri, baculus firmissimus, damni expers possessio, deversorium ab insidiis tutum. At opprimitur, inquit, pauper; sed majores insidias dives patitur. Con-

ὁ πένης καὶ ὑβρίζεται· ἀλλὰ φθονεῖται ὁ εὔπορος. Οὐχ οὕτως ἐστὶν εὐκαταγώνιστος ὁ πένης, ὡς ἔστιν εὐκαταγώνιστος ὁ πλούσιος, μυρίας πάντοθεν καὶ τῷ διαβόλῳ καὶ τοῖς ἐπιβούλοις παρέχων λαβάς, καὶ πάντων ὢν δοῦλος διὰ τὴν πολλὴν τῶν πραγμάτων περιβολήν· ὁ πολλῶν ἐν χρείᾳ καθεστηκὼς πολλοὺς ἀναγκάζεται κολακεύειν καὶ μετὰ πολλῆς θεραπεύειν δουλοπρεπείας· ὁ δὲ πένης ἂν εἰδῇ φιλοσοφεῖν, οὐδὲ ὑπ' αὐτοῦ τοῦ διαβόλου καταγωνισθῆναι δύναται. Ὁ οὖν Ἰὼβ ἰσχυρὸς ὢν καὶ πρὸ τούτου, ἡνίκα τὰ πάντα ἀπέβαλε, τότε γέγονεν ἰσχυρότερος, καὶ λαμπρὰν ἤρατο κατὰ τοῦ διαβόλου τὴν νίκην. Ἄλλως δὲ οὐδὲ ὑβρίζεσθαι δύναται ὁ πένης, ἂν εἰδῇ φιλοσοφεῖν. Ὅπερ γὰρ ἔφην περὶ τῆς ἡδονῆς, ὅτι ἡ ἡδονὴ οὐκ ἐν τῇ πολυτελείᾳ τῶν σιτίων, ἀλλ' ἐν τῇ διαθέσει κεῖται τῶν ἐσθιομένων, τοῦτο καὶ περὶ τῆς ὕβρεως λέγω· ὅτι ἡ ὕβρις οὐκ ἀπὸ τῆς γνώμης τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων ἢ συνίσταται ἢ ἀπόλλυται· οἷόν τι λέγω· ὕβρισέ τις πολλὰ ῥητὰ καὶ ἄῤῥητα; ἂν καταγελάσῃς τῶν ὕβρεων, ἂν μὴ παραδέξῃ τὰ ῥήματα καὶ ἀνώτερος γένῃ τῆς πληγῆς, οὐχ ὑβρίσθης. Καὶ καθάπερ εἰ σῶμα ἀδαμάντινον εἴχομεν, εἰ καὶ μυρίοις παντα χόθεν ἐβαλλόμεθα βέλεσιν, οὐκ ἂν ἐδεξάμεθα τὰς πληγάς· (οὐ γὰρ ἀπὸ τῆς ἀφιείσης τὰ βέλη χειρὸς, ἀλλ' ἀπὸ τῶν πασχόντων σωμάτων τὰ τραύματα γίνεται·) οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἀπὸ τῆς μανίας τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑβριζομένων αἱ ὕβρεις καὶ αἱ τῶν ὕβρεων ἀτιμίαι συνίστανται. Ἂν γὰρ εἰδῶμεν φιλοσοφεῖν, οὐδὲ ὑβρίζεσθαι δυνάμεθα, οὐδὲ πάσχειν τι τῶν δεινῶν. Ὕβρισεν ὁ δεῖνα, οὐκ ἠσθάνθης, οὐκ ἤλγησας; οὐχ ὑβρίσθης, ἀλλὰ καὶ μᾶλλον ἔπληξας ἢ ἐπλήγης. Ὅταν γὰρ ὁ ὑβρίσας ἴδῃ μὴ καθικομένην αὐτοῦ τὴν πληγὴν τῆς τῶν λοιδορηθέντων ψυχῆς, αὐτὸς δάκνεται μειζόνως, καὶ τῶν ὑβριζομένων σιγώντων, αὐτόματος ἡ πληγὴ τῶν ὕβρεων κατὰ τοῦ πέμψαντος ὑποστρέψασα φέρεται.

Φιλοσοφῶμεν τοίνυν ἐν ἅπασιν, ἀγαπητοὶ, καὶ οὐδὲν ἡμᾶς πενία παραβλάψει δυνήσεται, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα, καὶ λαμπροτέρους ἐργάσεται καὶ πάντων τῶν πλουτούντων εὐπορωτέρους. Τί γάρ, εἰπέ μοι, τοῦ Ἠλία πενέστερον ἦν; ἀλλὰ διὰ τοῦτο πάντας ἐνίκα τοὺς πλουτοῦντας, ἐπειδὴ οὕτω πένης ἦν, καὶ αὐτὴν δὲ τὴν πενίαν ἀπὸ πλουτούσης εἵλετο διανοίας. Ἐπειδὴ γὰρ ἅπαντα τῶν χρημάτων τὸν πλοῦτον ἐλάττονα τῆς ἑαυτοῦ μεγαλοψυχίας ἐνόμιζεν εἶναι καὶ οὐκ ἄξιον αὐτοῦ τῆς φιλοσοφίας, διὰ τοῦτο πενίαν τοσαύτην ἠσπάσατο· ὡς εἰ μεγάλα τὰ παρόντα ἐνόμιζεν εἶναι, οὐκ ἂν μηλωτὴν ἐκτήσατο μόνον· ἀλλ' οὕτω κατέγνω τῆς παρούσης ματαιότητος ἅπασης, καὶ ὡς πηλὸν ἐῤῥιμμένον τὸ χρυσίον ἅπαν ἑώρα, ὡς τῆς περιβολῆς ἐκείνης μηδὲν κτήσασθαι πλέον. Διὰ τοῦτο ὁ βασιλεὺς τοῦ πένητος ἐδεῖτο, καὶ πρὸς τὸ στόμα ἐκεχήνει τοῦ μηδὲν πλέον μηλωτῆς ἔχοντος ὁ τοσοῦτον χρυσίον ἔχων· οὕτω λαμπροτέρα τῆς

temnitur pauper et contumeliis afficitur; sed diviti invidetur. Non tam expugnabilis est pauper quam dives, infinitas undique et diabolo et insidiatoribus ansas præbens, omnium servus propter multam rerum abundantiam: in multorum indigentia constitutus, multis adulari cogitur, et cum multa illiberalitate servire; pauper autem si philosophari sciat, ne ab ipso quidem diabolo expugnari potest. Job igitur et ante hoc cum fortis esset, postquam omnia amisit, tunc factus est fortior, et egregiam contra diabolum victoriam reportavit. Præterea vero nec injuriam pati pauper potest, si philosophari scierit. Quod enim dixi de voluptate, quod ea non in ciborum magnifico apparatu, sed in comedentium sit affectu posita: hoc et de contumelia dico, quod contumelia non ab inferentium sententia, sed a patientium affectu constituatur aut destruatur. Verbi gratia, multa quispiam in te fanda atque nefanda convicia jecit? si contumelias deriseris, si verba non acceperis et vulnere superior sis, contumeliam non es passus. Et quemadmodum si corpus adamantinum haberemus, etsi innumeris undique telis peteremur, non tamen vulnera reciperemus: (non enim a manu tela torquente, sed a patientibus corporibus vulnera fiunt:) sic et hic, non a petulantium insania, sed a patientium imbecillitate injuriæ et contumeliæ constituuntur. Si enim philosophari sciamus, nec contumelia affici possumus, nec quidquam grave pati. Aliquis injuriam intulit, non sensisti nec doluisti? non es injuriam passus, sed et magis percussisti quam es percussus. Cum enim qui contumeliam intulit, plagam suam ad patientium animam non pervenire viderit, ipse majorem in modum roditur: et tacentibus iis qui contumeliam patiuntur, sponte contumeliarum plaga contra mittentem conversa infertur.

9. In omnibus igitur philosophemur, dilectissimi, et nihil nos inopia lædere poterit: quin et maxime adjuvabit et clariores reddet, et omnibus divitibus copiosiores. Quid enim, dic mihi, Helia pauperius? sed propterea omnes divites vincebat, quia sic pauper cum esset, ipsam paupertatem ex mentis opulentia elegit. Quoniam enim omnem pecuniarum copiam animi sui magnitudine esse putavit inferiorem, nec philosophia sua dignam: ideo tantam paupertatem amplexatus est. Quodsi magna præsentia putasset, non solam meloten possedisset; sed ita vitæ vanitatem condemnavit, et tamquam lutum projectum aurum omne despexit, ut præter amictum illum nihil amplius possideret. Idcirco rex paupere indigebat, et verbis nihil plus quam meloten habentis inhiabat is qui tantum habebat auri: adeo splendidior purpurâ erat melote, et regalibus

πορφυρίδος ἡ μηλωτὴ ἦν, καὶ τῶν βασιλικῶν αὐλαίων τὸ σπήλαιον τοῦ δικαίου. Διὰ τοῦτο καὶ εἰς τὸν οὐρανὸν ἀνιὼν, οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν μηλωτὴν τῷ μαθητῇ κατέλιπε. Μετὰ ταύτης, φησὶ, τῷ διαβόλῳ ἐπάλαισα, ταύτην λαβὼν ὁπλίζου καὶ σὺ κατ' ἐκείνου· ἰσχυρὸν γὰρ ὅπλον ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον καταγώγιον, καὶ πύργος ἀσάλευτος. Ἐδέξατο καθάπερ μεγίστην κληρονομίαν τὴν μηλωτὴν ὁ Ἐλισσαῖος· καὶ γὰρ ἦν ἀληθῶς μεγίστη κληρονομία, παντὸς χρυσίου τιμιωτέρα. Καὶ ἦν [ἐκτότε] διπλοῦς Ἠλίας ἐκεῖνος, καὶ ἦν ἄνω Ἠλίας, καὶ κάτω Ἠλίας. Οἶδα ὅτι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον, καὶ ἐβούλεσθε αὐτὸς ἕκαστος ἐκεῖνος εἶναι. Τί οὖν, ἂν ὑμῖν ἐπιδείξω ὅτι ἕτερόν τι πολλῷ μεῖζον ἐκείνου πάντες ἐλάβομεν οἱ μεμυσταγωγημένοι; Ὁ μὲν γὰρ Ἠλίας μηλωτὴν ἀφῆκε τῷ μαθητῇ· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἀναβαίνων τὴν σάρκα ἡμῖν κατέλιπε τὴν ἑαυτοῦ· ἀλλ' ὁ μὲν Ἠλίας ἀποδυσάμενος, ὁ δὲ Χριστὸς καὶ ἡμῖν κατέλιπε καὶ ἔχων αὐτὴν ἀνῆλθε. Μὴ τοίνυν καταπίπτωμεν, μηδὲ ὀδυρώμεθα, μηδὲ δυσκολίαν φοβώμεθα καιρῶν· ὁ γὰρ τὸ αἷμα αὐτοῦ μὴ παραιτησάμενος ὑπὲρ ἁπάντων ἐκχέαι, καὶ τῆς σαρκὸς ἡμῖν μεταδοὺς καὶ αὐτοῦ τοῦ αἵματος πάλιν, τί παραιτήσεται τῆς ἡμετέρας ποιῆσαι ἕνεκεν σωτηρίας; Ταύταις τοίνυν θαῤῥοῦντες ταῖς ἐλπίσι παρακαλῶμεν αὐτὸν διηνεκῶς, καὶ εὐχαῖς καὶ ἱκετηρίαις προσανέχωμεν, καὶ τῆς λοιπῆς ἐπιμελώμεθα μετὰ ἀκριβείας ἁπάσης, ἵνα καὶ τὸν ἐπικείμενον διαφύγωμεν κίνδυνον καὶ τῶν μελλόντων ἀξιωθῶμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

aulis justi spelunca. Propterea et in cælum ascendens, nihil aliud quam meloten discipulo reliquit. Cum hac, inquit, cum diabolo pugnavi, et tu contra illum hac armatura capta insurge. Validum enim telum inopia, inexpugnabile habitaculum, et turris inconcussa. Tamquam maximam hereditatem Elisæus meloten suscepit : etenim vere maxima fuit hereditas, omni auro pretiosior. Et erat posthac duplex Helias ille, ita ut sursum Helias, et deorsum Helias esset. Novi vos justum illum beatum putare, singulosque cupere eum ipsum esse. Quid igitur, si vobis demonstravero quod aliud illo multo majus omnes sacris mysteriis imbuti receperimus? Helias nempe meloten discipulo reliquit; Filius autem Dei ascendens, suam nobis carnem reliquit; sed Helias quidem exutus, Christus autem et nobis reliquit et ipsam habens ascendit. Ne igitur animo concidamus, neque lamentemur, neque temporum difficultatem timeamus. Qui enim sanguinem suum pro omnibus effundere non recusavit, et carnem suam et rursus ipsum sanguinem nobis communicavit, quid pro salute nostra facere recusabit? Hac igitur spe fidentes ipsum continue invocemus, et precibus supplicationibusque vacemus, et reliquæ virtutis cum omni diligentia curam habeamus, ut et instans fugiamus periculum, et futuris digni habeamur bonis : quæ nobis omnibus assequi contingat, gratia etc.

ΟΜΙΛΙΑ γ'.

Εἰς τὴν ἀποδημίαν τοῦ ἐπισκόπου Φλαβιανοῦ, ὑπὲρ τῆς πόλεως πρεσβευομένου πρὸς τὸν βασιλέα· καὶ τίς ἐστιν ἡ ἀληθὴς νηστεία, καὶ ὅτι τοῦ φαγεῖν ἀνθρώπινον σῶμα τὸ κατηγορῆσαι χεῖρον, καὶ περὶ τῶν διὰ τὴν στάσιν σφαγέντων καὶ πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι πολλοὶ τῶν ἀναιτίων ἑάλωσαν.

Ὅταν εἰς τὸν θρόνον ἀπίδω τοῦτον ἔρημον ὄντα καὶ κενὸν τοῦ διδασκάλου, χαίρω τε ὁμοῦ καὶ δακρύω· δακρύω μέν, ὅτι παρόντα οὐχ ὁρῶ πατέρα· χαίρω δὲ, ὅτι ὑπὲρ τῆς ὑμετέρας ἀπεδήμησε σωτηρίας, καὶ ὅσον τοσοῦτον ἀπῆλθεν ὀργῆς ἐξαρπάσαι βασιλικῆς. Τοῦτο καὶ ὑμῖν κόσμος, κἀκείνῳ στέφανος· ὑμῖν κόσμος, ὅτι τοιοῦτον ἐκληρώθητε πατέρα· στέφανος δ' ἐκείνῳ, ὅτι περὶ τὰ ἔγγονα οὕτως ἐστὶ φιλόστοργος, καὶ τὸ παρὰ τοῦ Χριστοῦ λεχθὲν δι' αὐτῶν ἐβεβαίωσε τῶν πραγμάτων. Ἀκούσας γὰρ ὅτι « ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, » ἀπῆλθε τὴν ψυχὴν αὐτοῦ θήσων ὑπὲρ ἡμῶν ἁπάντων, καίτοι πολλὰ ἦν αὐτὸν τὰ κωλύοντα ἀπελθεῖν καὶ καταναγκάζοντα μένειν· καὶ πρῶτον ἡ ἡλικία πρὸς ἔσχατον ἐλάσασα

HOMILIA III.

In profectionem episcopi Flaviani, pro civitate ad Imperatorem legationem obeuntis; et quodnam verum sit jejunium; et quod detrahere quam humanum corpus comedere pejus sit; et de jugulatis propter seditionem; et adversus eos qui querebantur, multos innoxios captos esse.

1. Quando ad sedem hanc derelictam et doctore vacuam respicio, gaudeo simul et lacrymo : lacrymo quidem, quod præsentem non video patrem; gaudeo autem quod pro salute vestra profectus abiit, tantum populum a furore Imperatoris erepturus. Hoc et vobis ornamentum est, et illi corona : ornamentum vobis, quod talem sitis sortiti patrem; et illi corona, quod circa filios tam benignus sit, et a Christo dictum ipso opere confirmaverit. Audito enim illo (*Joan.* 10. 11), *Pastor bonus animam suam ponit pro ovibus*, abiit pro nobis omnibus animam suam positurus, etsi multa erant quæ ipsum abire prohiberent, et manere cogerent : primo ætas ad ultimam provecta sene-

γῆρας, εἶτα ἡ τοῦ σώματος ἀσθένεια, καὶ τοῦ ἔτους ἡ ὥρα, καὶ τῆς ἁγίας ἑορτῆς ἡ ἀνάγκη· πρὸς τούτοις ἡ ἀδελφὴ, μόνη οὖσα αὐτῷ καὶ πρὸς ἐσχάτας ἑστῶσα ἀναπνοάς. Ἀλλ' ὅμως καὶ συγγένειαν παρεῖδε, καὶ γῆρας, καὶ ἀσθένειαν, καὶ καιροῦ δυσκολίαν, καὶ ὁδοιπορίας ταλαιπωρίαν, καὶ πάντων ὑμᾶς καὶ τὴν ὑμετέραν σωτηρίαν προθεὶς, ἅπαντα ταῦτα διέρρηξε τὰ δεσμά· καὶ καθάπερ νέος ὁ γέρων ἐλαύνει νῦν, ὑπόπτερος τῇ προθυμίᾳ γενόμενος. Εἰ γὰρ ὁ Χριστὸς, φησὶν, ὑπὲρ ἡμῶν ἑαυτὸν ἐπέδωκε, τίνος ἂν ἡμεῖς εἴημεν ἀπολογίας καὶ συγγνώμης ἄξιοι, τοσούτου λαοῦ προστασίαν ἐγχειρισμένοι, καὶ μὴ πάντα αἱρούμενοι καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τῆς τῶν ἐγχειρισθέντων ἡμῖν ἀσφαλείας; Εἰ γὰρ ὁ πατριάρχης, φησὶν, Ἰακὼβ θρεμμάτων προεστὼς καὶ πρόβατα ἄλογα βόσκων, καὶ ἀνθρώπῳ μέλλων εὐθύνας διδόναι, καὶ νύκτας ἀύπνους διῆγε, καὶ καῦμα καὶ κρύος καὶ πᾶσαν ἀέρων ἀνωμαλίαν ἔφερεν, ὥστε μηδὲν παραπολέσθαι τῶν θρεμμάτων ἐκείνων· πολλῷ μᾶλλον ἡμᾶς, τοὺς οὐκ ἀλόγοις ἐφεστῶτας, ἀλλὰ πνευματικοῖς προβάτοις, καὶ οὐκ ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ τῆς ἐπιστασίας ταύτης διδόναι μέλλοντας τὰς εὐθύνας, πρὸς οὐδὲν ὀκνεῖν καὶ ἀναδύεσθαι χρὴ τῶν δυναμένων ὠφελῆσαι τὸ ποίμνιον. Ἀλλ' ὅσῳ βελτίων ἡ ποίμνη αὕτη τῆς ποίμνης ἐκείνης, καὶ ἀλόγων μὲν ἄνθρωποι, ἀνθρώπων δὲ ὁ Θεός· τοσούτῳ καὶ ἡμᾶς πλείω καὶ σφοδροτέραν τὴν σπουδὴν καὶ τὴν προθυμίαν ἐπιδείκνυσθαι χρή. Ἐγνωκὼς γὰρ ἐκεῖνος, ὅτι οὐχ ὑπὲρ μιᾶς πόλεως αὐτῷ νῦν ὁ λόγος, ἀλλ' ὑπὲρ τῆς ἀνατολῆς ἁπάσης· τῶν γὰρ πόλεων τῶν ὑπὸ τὴν ἕω κειμένων κεφαλὴ καὶ μήτηρ ἐστὶν ἡ πόλις ἡ ἡμετέρα· διὰ τοῦτο πάντα ὑπέμεινε κίνδυνον, καὶ οὐδὲν αὐτὸν ἐνταῦθα κατασχεῖν ἴσχυσε. Διὰ τοῦτο ἐλπίζω χρηστὰς ἔσεσθαι τὰς ἐλπίδας· οὐ γὰρ παρόψεται τοσαύτην προθυμίαν καὶ σπουδὴν ὁ Θεὸς, οὐδὲ ἐάσει τὸν ἑαυτοῦ θεράποντα ἄπρακτον ἐπανελθεῖν. Οἶδα ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος, καὶ τὸν εὐσεβῆ βασιλέα θεασάμενος, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως καταστείλαι δυνήσεται τὸν θυμόν. Τῶν γὰρ ἁγίων οὐχὶ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ πρόσωπα πνευματικῆς γέμει χάριτος. Οὗτος δὲ καὶ πολλῆς σοφίας ἐμπέπλησται, καὶ τῶν θείων νόμων ἔμπειρος ὤν, ἐρεῖ πρὸς αὐτὸν ὅπερ καὶ πρὸς τὸν Θεὸν ὁ Μωϋσῆς· « Εἰ μὲν ἀφιεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἀπόκτεινον μετ' αὐτῶν. » Τοιαῦτα γὰρ τῶν ἁγίων τὰ σπλάγχνα, τὸν μετὰ τῶν τέκνων θάνατον τῆς χωρὶς αὐτῶν ζωῆς γλυκύτερον εἶναι νομίζουσι. Προσθήσει καὶ τὴν ἀπὸ τοῦ καιροῦ συνηγορίαν, καὶ τὸ πάσχα τὸ ἱερὸν προβαλεῖται, καὶ ἀναμνήσει τοῦ καιροῦ καθ' ὃν τῇ οἰκουμένῃ πάσῃ τὰ ἁμαρτήματα ἀφῆκεν ὁ Χριστός· παρακαλέσει μιμήσασθαι τὸν Δεσπότην· ἀναμνήσει καὶ τῆς παραβολῆς αὐτὸν ἐκείνης τῆς τῶν μυρίων ταλάντων καὶ τῶν ἑκατὸν δηναρίων. Οἶδα τοῦ πατρὸς ἡμῶν τὴν παῤῥησίαν· οὐ παραιτήσεται αὐτὸν ἀπὸ τῆς παραβολῆς ταύτης φοβῆσαι, καὶ εἰπεῖν, Ὅρα μήποτε καὶ σὺ κατ'

ciulem, postea corporis imbecillitas, et anni tempus, et sanctæ celebritatis necessitas, ad hæc unica soror in extremo constituta spiritu. Sed tamen et consanguinitatem despexit, et senectutem, et imbecillitatem, et temporis difficultatem, et itineris asperitatem, et omnibus vos vestramque salutem præponens, hæc omnia vincula disrupit, et ceu juvenis nunc fertur senex, alatus animi promptitudine factus. Si enim Christus, inquit, se ipsum pro nobis dedit, qua essemus nos excusatione et venia digni, tanti custodiam populi creditam habentes, et non suscipientes omnia et facere et pati pro creditorum nobis securitate? Si enim patriarcha, inquit, Jacob pecudibus præpositus, oves irrationales pascens, et homini rationem redditurus, noctes ducebat insomnes, et æstum, gelu, omnemque aeris intemperiem ferebat, ut nulla illarum pecudum periret : multo magis nos, non irrationalibus, sed spiritualibus ovibus præpositos, et non homini, sed Deo præfecturæ hujus rationem reddituros, ad nihil torpere et tergiversari oportet eorum, quæ gregem juvare possint. Sed quanto melior hic grex grege illo, et brutis quidem homines, hominibus vero Deus : tanto majus et nos vehementiusque studium et diligentiam exhibere oportet. Novit ille plane, non pro una sibi nunc civitate negotium esse, sed pro Oriente toto. Civitatum enim sub Oriente positarum caput et mater est civitas nostra : propterea omne periculum subiit, et nihil illum hic retinere valuit. Ideoque bonas fore spei opportunitates credo : non enim tantam sedulitatem et curam Deus despiciet, neque servum suum infectis rebus redire permittet. Novi quod tantum coram positus ille et religiosum Imperatorem conspicatus, ex aspectu solo statim iram comprimere poterit. Sanctorum enim non tantum verba, sed et ipsi vultus spirituali gratia pleni sunt. Hic vero et multa sapientia plenus est, et cum divinarum legum sit peritus, ad ipsum dicet, quod et Moses ad Deum (*Exod.* 32. 31. 32) : *Si dimittis quidem ipsis peccatum, dimitte; si non autem, et me occide cum ipsis.* Talia enim sanctorum viscera; cum filiis mortem quam sine ipsis vitam dulciorem esse putant. Adjiciet a tempore patrocinium, et sacrum pascha prætendet, illiusque eum admonebit temporis, quo orbi terrarum toti Christus peccata remisit; Dominum imitari exhortabitur, et parabolæ illius decem millium talentorum et centum denariorum ipsum commonebit. Novi patris nostri fiduciam; non dubitabit ipsum per hanc similitudinem terrere et dicere : Vide ne forte et

ἐκείνην ἐκούσῃς τὴν ἡμέραν· « Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· ἔδει καὶ σὲ ἀφεῖναι τοῖς συνδούλοις σου. » Σαυτὸν ὠφελεῖς μειζόνως ἢ ἐκείνους, ἐν τῇ τῶν ὀλίγων ἁμαρτημάτων συγχωρήσει τῶν μειζόνων τὴν ἀμνηστίαν λαμβάνων. Προσθήσει τοῖς εἰρημένοις καὶ τὴν εὐχὴν ἐκείνην, ἣν οἱ μυσταγωγήσαντες αὐτὸν τὴν ἱερὰν μυσταγωγίαν ἐπαίδευσαν εὔχεσθαι καὶ λέγειν, « Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Διδάξει μετὰ τούτων, ὅτι οὐ κοινὸν τῆς πόλεως γέγονε τὸ ἁμάρτημα, ἀλλ' ἀνθρώπων τινῶν ξένων καὶ ἐπηλύδων, οὐδὲν λογισμῷ ποιούντων, τόλμῃ [δὲ] καὶ παρανομίᾳ πάσῃ· καὶ οὐκ ἂν εἴη δίκαιον ὑπὲρ τῆς ὀλίγων ἀπαιδευσίας πόλιν τοσαύτην ἀναρπάζεσθαι, καὶ τοὺς οὐδὲν ἠδικηκότας διδόναι δίκην. Καίτοι εἰ καὶ πάντες ἡμαρτηκότες ἦσαν, ἱκανὴν ἔδωκαν δίκην ἐπὶ τοσαύταις ἡμέραις φόβῳ ἀπανθούμενοι, καὶ καθ' ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες τὴν ἡμέραν, ἐλαυνόμενοι, φυγαδευόμενοι, τῶν καταδίκων ἐλεεινότερον ζῶντες, τὸ αἷμα ἐν ταῖς χερσὶ βαστάζοντες, καὶ οὐ θαῤῥοῦντες αὐτῶν τῇ ζωῇ. Ἀρκέσθητι τῇ τιμωρίᾳ ταύτῃ, μὴ προέλθῃς περαιτέρω τῆς ὀργῆς, ἥμερον σεαυτῷ ποίησον τὸν ἄνω ἕκαστον διὰ τῆς εἰς τοὺς συνδούλους φιλανθρωπίας· ἐννόησον τὸ τῆς πόλεως μέγεθος, καὶ ὅτι οὐ περὶ μιᾶς καὶ δύο καὶ τριῶν καὶ δέκα ψυχῶν ἐστιν ἡμῖν ἡ σκέψις νῦν, ἀλλὰ περὶ μυριάδων ἀπείρων, περὶ τοῦ κεφαλαίου τῆς οἰκουμένης ἁπάσης. [Αὕτη ἡ πόλις ἐστὶν, ἐν ᾗ πρῶτον ἐῤῥημάτισαν Χριστιανοί· τίμησον τὸν Χριστὸν, αἰδέσθητι τὴν πρώτην ἀνακηρύξασαν τὸ ποθεινὸν τοῦτο καὶ γλυκὺ πᾶσιν ὄνομα· ἀποστόλων ἐκείνη γέγονε καταγώγιον, δικαίων ἐνδιαίτημα.] Νῦν τοῦτο πρῶτον καὶ μόνον τὸ τόλμημα γέγονεν εἰς τοὺς κρατοῦντας, καὶ μαρτυρεῖ τῷ τῆς πόλεως ἤθει πᾶς ὁ παρελθὼν χρόνος. Εἰ μὲν γὰρ συνεχῶς ἐστασίαζον, ἔδει κατηγωνίσκειν τῆς πονηρίας· εἰ δὲ ἅπαξ τοῦ παντὸς τοῦτο συνέβη χρόνου, εὔδηλον ὅτι οὐ τοῦ τῆς πόλεως ἤθους τὸ ἁμάρτημα, ἀλλὰ τῶν ἁπλῶς καὶ εἰκῇ προσφθαρέντων αὐτῇ τὸ παρανόμημα γέγονε τοῦτο.

Ταῦτα ὁ ἱερεὺς ἐρεῖ καὶ πλείονα τούτων μετὰ μείζονος τῆς παῤῥησίας· ταῦτα ὁ βασιλεὺς ἀκούσεται, κἀκεῖνος φιλάνθρωπος, καὶ οὗτος πιστὸς, ὥστε ἀμφοτέρωθεν χρηστὰς ἔχομεν τὰς ἐλπίδας. Μᾶλλον δὲ καὶ πρὸ τῆς πίστεως τοῦ διδασκάλου, καὶ πρὸ τῆς φιλανθρωπίας τοῦ βασιλέως, τῷ ἐλέει θαῤῥοῦμεν τοῦ Θεοῦ· καὶ γὰρ ἱκετευομένου τοῦ βασιλέως, καὶ ἱκετεύοντος τοῦ ἱερέως, αὐτὸς παραστήσεται μέσος, τοῦ βασιλέως μαλάσσων τὴν καρδίαν, τοῦ ἱερέως διεγείρων τὴν γλῶτταν, εὐοδῶν τούτου τὰ ῥήματα, παρασκευάζων ἐκείνου τὴν διάνοιαν ὑποδέξασθαι τὰ λεγόμενα, καὶ μετὰ πολλῆς τῆς συγγνώμης ἐπινεῦσαι ταῖς δεήσεσι. Καὶ γὰρ τῷ Χριστῷ ποθεινοτέρα πασῶν πόλεων ἡ πόλις ἡ ἡμετέρα, καὶ διὰ τὴν τῶν προγόνων καὶ διὰ τὴν ὑμῶν αὐτῶν ἀρετήν. Καὶ καθάπερ ὁ Πέτρος ἐν τοῖς

in illo die audias (*Matth.* 18. 32. 33) : *Serve nequam, omne debitum illud dimisi tibi, quoniam rogasti me; oportebat et te dimittere conservis tuis.* Tibi ipsi magis quam illi prodes, in paucorum dimissione peccatorum majorum oblivionem recipiens. Addet prædictis et orationem illam, quam qui sacris ipsum initiavere mysteriis, orantem dicere docuerunt (*Matth.* 6. 12) : *Dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris.* Ad hæc docebit, non commune civitatis fuisse peccatum, sed hominum quorumdam externorum et advenarum, nihil cum ratione facientium, sed cum audacia et omni scelere : nec justum esse pro paucorum temeritate tantam diripi civitatem, et eos, qui nihil injuste fecerunt, pœnas luere. Alioquin etsi omnes peccassent, satis dederunt pœnas, tot diebus timore consumti, et per singulos mori dies exspectantes, pulsi, exsulantes, reis miserabilius viventes, sanguinem suum in manibus gestantes, et de vita sua non confidentes. Hæc tibi pœna sufficiat : ne ulterius ira procedas : mitem tibi supernum Judicem per humanitatem in conservos redde : cogita urbis magnitudinem, et quod non de una, vel de duabus, vel tribus, vel decem animabus nunc nobis est consideratio, sed de millibus infinitis, de totius orbis capite. [Hæc est civitas, in qua primum appellati sunt Christiani : honora Christum, reverere eam, quæ prima nomen hoc omnibus desiderabile et dulce prædicavit : apostolorum illa fuit deversorium, habitaculum justorum.] Nunc hoc primum et solum in principes facinus patratum est, et civitatis mores omne præteritum tempus testatur. Si enim continue seditiones moveret, improbitatem condemnare oporteret; si vero semel hoc omni tempore accidit, certum est quod non civitatis morum est peccatum, sed eorum qui impudenter et temere in civitatem irruperunt, ista insania fuit.

2. Hæc sacerdos et plura his cum majori dicet fiducia; hæc Imperator audiet : et ille humanus, et hic fidelis, unde utrimque bonam habemus spem. Plus autem quam magistri fidei atque Imperatoris humanitati, Dei misericordiæ fidimus : nam et rogato Imperatori, et roganti sacerdoti ipse medius assistet, Imperatoris cor emolliens, sacerdotis linguam excitans, hujus verba secundans, illius mentem præparans, ut dicta suscipiat et multa cum indulgentia petitionibus annuat. Etenim civitatum omnium nostra Christo carissima, tum propter progenitorum, tum propter vestram virtutem : et sicut Pe-

ἀποστόλοις πρῶτος ἐκήρυξε τὸν Χριστόν· οὕτως ἐν ταῖς πόλεσι, καθάπερ ἔφθην εἰπών, αὕτη πρώτη, ὥσπερ στέφανόν τινα θαυμαστὸν, τὴν τῶν Χριστιανῶν ἀνεδήσατο προσηγορίαν. Εἰ δὲ ἔνθα δίκαιοι δέκα μόνον ἦσαν, ὑπέσχετο ὁ Θεὸς σώζειν τοὺς ἐνοικοῦντας ἅπαντας· ἔνθα οὐ δέκα, οὐκ εἴκοσιν, οὐδὲ δὶς τοσοῦτοι μόνον, ἀλλὰ πολλῷ πλείους οἱ τὸν Θεόν εἰσι θεραπεύοντες μετ' ἀκριβείας ἁπάσης, πῶς οὐ χρηστὰ χρὴ προσδοκᾶν καὶ θαρρεῖν ὑπὲρ τῆς κοινῆς ἡμῶν ἁπάντων ζωῆς; Πολλῶν ἤκουσα λεγόντων ὅτι ἀπειλὴ βασιλέως δμοία θυμῷ λέοντος, καὶ καταπιπτόντων καὶ ὀδυνωμένων. Τί οὖν ἂν εἴποιμεν πρὸς ἐκείνους; Ὅτι ὁ εἰπὼν « Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, » δυνήσεται καὶ τὸν λέοντα τοῦτον ποιῆσαι πρόβατον ἥμερον. Παρακαλῶμεν τοίνυν αὐτὸν, καὶ διαπρεσβεύωμεθα πρὸς αὐτὸν, καὶ καταστελεῖ πάντως τὸν θυμὸν τοῦ βασιλέως, καὶ τῆς ἐπικειμένης ἡμᾶς ἀγωνίας ἀπαλλάξει πάσης. Ὁ πατὴρ ἐκεῖ πρεσβεύεται, ἡμεῖς ἐντεῦθεν πρεσβευσώμεθα πρὸς τὸν τῶν οὐρανῶν βασιλέα, βοηθήσωμεν αὐτῷ ταῖς εὐχαῖς. Μέγα τὸ κοινὸν τῆς Ἐκκλησίας δύναται, ἂν μετ' ὀδυνωμένης ψυχῆς, ἂν μετὰ συντετριμμένης καρδίας τὰς εὐχὰς ἀνενέγκωμεν. Οὐκ ἔστι διαβῆναι πέλαγος, οὐκ ἔστι μακρὰν ἀποδημίαν στείλασθαι· ἕκαστος καὶ ἑκάστη, καὶ εἰς ἐκκλησίαν ἁπαντῶντες καὶ οἶκοι μένοντες, καλῶμεν μετὰ πολλῆς σπουδῆς τὸν Θεὸν, καὶ πάντως ἐπινεύσει ταῖς δεήσεσι. Πόθεν τοῦτο δῆλον; Ὅτι σφόδρα βούλεται ἡμᾶς ἀεὶ πρὸς αὐτὸν καταφεύγειν, καὶ ἐν ἅπασιν αὐτοῦ δεῖσθαι, καὶ μηδὲν αὐτοῦ χωρὶς ποιεῖν ἢ λέγειν. Ἄνθρωποι μὲν γὰρ, ὅταν συνεχῶς αὐτοὺς ἐνοχλῶμεν ὑπὲρ τῶν ἡμετέρων πραγμάτων, ναρκῶσι καὶ ἀναδύονται καὶ ἀηδῶς πρὸς ἡμᾶς ἔχουσιν· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν, οὐχ ὅταν αὐτῷ συνεχῶς ἐντυγχάνωμεν περὶ τῶν ἡμετέρων πραγμάτων, ἀλλ' ὅταν μὴ τοῦτο ποιῶμεν, τότε μάλιστα ἀγανακτεῖ. Ἄκουσον γοῦν τί τοῖς Ἰουδαίοις ἐγκαλεῖ, λέγων, « Ἐποιήσατε βουλὴν, καὶ οὐ δι' ἐμοῦ, καὶ συνθήκας, καὶ οὐ διὰ τοῦ πνεύματος μου. » Τοιοῦτον γὰρ τῶν φιλούντων τὸ ἔθος· πάντα τὰ τῶν φιλουμένων πράγματα δι' αὐτῶν ἀνύεσθαι βούλονται, καὶ μηδὲν χωρὶς αὐτῶν ἐκείνους μήτε ποιεῖν μήτε λέγειν. Διὰ τοῦτο καὶ ὁ Θεὸς οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο πάλιν ἐγκαλῶν ἔλεγεν, « Ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ· ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι. » Μὴ τοίνυν ὀκνῶμεν συνεχῶς πρὸς αὐτὸν καταφεύγειν, καὶ ὅπερ ἂν ᾖ δεινὸν, πάντως λήψεται τὴν προσήκουσαν λύσιν. Ἐφόβησεν ἄνθρωπος; δράμε πρὸς τὸν ἄνω Δεσπότην, [καὶ οὐδὲν πείσῃ δεινόν]. Οὕτως οἱ παλαιοὶ τὰς συμφορὰς ἔλυον, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες. Ἐγένετό τις Ἑβραίᾳ γυνὴ, Ἐσθὴρ ὄνομα αὐτῇ· αὕτη ἡ Ἐσθὴρ ὅλον τῶν Ἰουδαίων τὸν δῆμον πανωλεθρίᾳ παραδίδοσθαι μέλλοντα, τοῦτον τὸν τρόπον ἐξήρπασεν. Ἐπειδὴ γὰρ ὁ τῶν Περσῶν βασιλεὺς πάντας ἄρδην ἀναιρεῖσθαι

trus inter apostolos primus Christum prædicavit; sic inter civitates, sicut jam dixi, hæc prima tamquam coronam admirabilem Christianorum sibi imposuit appellationem. Si vero ubi decem modo justi essent (*Gen.* 18. 32), omnes habitantes Deus salvos se facturum promisit: ubi non decem, non viginti, neque bis totidem solum, sed multo plures sunt Deum cum omni diligentia colentes, quomodo non oportet bona sperare, et de communi nostra omnium salute confidere? Audivi multos dicentes (*Prov.* 19. 12), *Minæ regis leonis iræ similes*, et animo concidentes et lamentantes. Quid igitur adversus illos dicemus? Qui dixit (*Isai.* 11: 6. 7), *Lupi et agni simul pascentur, et pardus cum hædo quiescet, et leo tamquam bos paleas comedet*, et hunc leonem reddere ovem poterit mansuetam. Supplicemus igitur ipsi, et ad ipsum legationes mittamus, et Imperatoris animum penitus mitigabit, et ab omni nos instanti liberabit angustia. Pater illic legationem obit, nos hinc ad cælorum Regem mittamus legationem, illum precibus adjuvemus. Multum Ecclesiæ communio potest, si dolente anima, si contrito corde preces emittamus. Non opus est mare transire, non opus est longam subire peregrinationem: singuli ac singulæ, et ad Ecclesiam occurrentes et domi manentes, multo Deum studio invocemus, et omnino supplicationibus annuet. Unde hoc manifestum? Quod vehementer cupit nos ad ipsum semper confugere, in omnibus ipsum deprecari, et nihil absque ipso vel facere vel dicere. Homines enim, quando ipsis assidue negotium facessimus pro rebus nostris, torpent et tergiversantur, et ægre nos ferunt; Deus autem prorsus in contrarium agit; non cum ipsi continue occurrimus pro rebus nostris, sed cum non hoc facimus, tunc maxime indignatur. Audi enim quid Judæis objiciat, dicens (*Isai.* 30. 1), *Fecistis consilium et non per me: et pacta, et non per spiritum meum.* Talis enim amantium consuetudo: omnia adamatorum negotia per se fieri volunt, et sine se illos neque facere quidquam neque dicere. Propterea et Deus non hic tantum, sed et alibi idem rursus exprobrans dicebat (*Osee.* 8. 4), *Regnaverunt, et non per me: imperaverunt, et non significaverunt mihi.* Ne igitur torpeamus continue ad ipsum confugere, et quod grave fuerit, omnino solutionem convenientem accipiet. Terruit homo? curre ad supernum Dominum, et nil grave patieris: sic antiqui calamitates avertebant, non tantum viri, sed et mulieres. Fuit quondam mulier Hebræa, Esther nomine: hæc Esther universum Judæorum populum internecione delendum sic eripuit. Postquam Persarum rex omnes passim Judæos interimi jusserat, cum

τοὺς Ἰουδαίους ἐκέλευσε, καὶ οὐδεὶς ἦν ὁ πρὸς τὴν ὀργὴν ἐκείνην στῆναι δυνάμενος, ἀποδυσαμένη τὴν φαιδροτέραν στολὴν ἡ γυνὴ, καὶ σάκκον περιβαλομένη, καὶ σποδὸν ὑποστρωσαμένη, παρεκάλει τὸν φιλάνθρωπον Θεὸν συνεισελθεῖν αὐτῇ πρὸς τὸν βασιλέα, καὶ τοιαῦτα προσευχομένη πρὸς αὐτὸν ῥήματα ἔλεγε· « Χαρίτωσον, Κύριε, τὰ ῥήματά μου, δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ». Ταῦτα καὶ περὶ τοῦ διδασκάλου παρακαλῶμεν νῦν ἡμεῖς τὸν Θεόν. Εἰ γὰρ γυνὴ ὑπὲρ Ἰουδαίων παρακαλοῦσα βαρβαρικὸν ἴσχυσε καταστεῖλαι θυμὸν, πολλῷ μᾶλλον ὁ διδάσκαλος ὁ ἡμέτερος ὑπὲρ τοιαύτης πόλεως καὶ μετὰ τοσαύτης Ἐκκλησίας δεόμενος, τὸν πραότατον καὶ ἡμερώτατον βασιλέα τοῦτον πεῖσαι δυνήσεται. Εἰ γὰρ τὰς εἰς τὸν Θεὸν ἁμαρτίας λύειν ἔλαβεν ἐξουσίαν, πολλῷ μᾶλλον τὰς εἰς ἄνθρωπον γενομένας ἀνελεῖν καὶ ἀφανίσαι δυνήσεται. Ἄρχων ἐστὶ καὶ οὗτος, καὶ ἄρχων ἐκείνου σεμνότερος. Καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ νόμοι ταῖς τούτου φέροντες χερσὶν ὑπέταξαν· καὶ ὅταν τι δέοι γενέσθαι χρηστὸν ἄνωθεν, ὁ βασιλεὺς πρὸς τὸν ἱερέα, οὐχ ὁ ἱερεὺς πρὸς τὸν βασιλέα καταφεύγειν εἴωθεν. Ἔχει καὶ οὗτος θώρακα, τὸν τῆς δικαιοσύνης, ἔχει καὶ ζώνην, τὴν ἀπὸ τῆς ἀληθείας, ἔχει καὶ ὑποδήματα πολλῷ σεμνότερα, τὰ ἀπὸ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἔχει καὶ μάχαιραν, οὐ τὴν ἀπὸ σιδήρου, ἀλλὰ τὴν ἀπὸ τοῦ πνεύματος· ἔχει καὶ στέφανον ἐπὶ τῆς κεφαλῆς κείμενον. Λαμπροτέρα αὕτη ἡ παντευχία, σεμνότερα τὰ ὅπλα, μείζων ἡ παῤῥησία, πλείων ἡ ἰσχύς. Ὥστε καὶ ἀπὸ τοῦ τῆς ἀρχῆς ὄγκου, καὶ ἀπὸ τῆς οἰκείας μεγαλοψυχίας, καὶ πρὸ τῶν ἄλλων ἁπάντων ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος, μετὰ πολλῆς τῆς παῤῥησίας, μετὰ πολλῆς τῆς συνέσεως διαλέξεται τῷ βασιλεῖ.

Μὴ τοίνυν ἀπογινώσκωμεν ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας, ἀλλὰ δεώμεθα, παρακαλῶμεν, ἱκετεύωμεν, πρεσβεύωμεθα πρὸς τὸν ἄνω βασιλέα μετὰ δακρύων πολλῶν· ἔχομεν καὶ τὴν νηστείαν ταύτην σύμμαχον καὶ τῆς καλῆς ταύτης συνεφαπτομένην ἡμῖν πρεσβείας. Καθάπερ οὖν χειμῶνος παρελθόντος, καὶ θέρους φαίνοντος, ἕλκει μὲν πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης, ἀποσμήχει δὲ στρατιώτης τὰ ὅπλα καὶ παρασκευάζει τὸν ἵππον εἰς πόλεμον, καὶ γεωργὸς ἀκονᾷ δρεπάνην, καὶ ὁδοιπόρος θαῤῥῶν ἀποδημίας ἅπτεται μακρᾶς, καὶ πρὸς τοὺς ἀγῶνας ἀθλητὴς ἀποδύεται καὶ γυμνοῦται· οὕτω δὴ καὶ ἡμεῖς, καθάπερ θέρους πνευματικοῦ τινος τῆς νηστείας φαινείσης, καὶ ὡς στρατιῶται τὰ ὅπλα ἀποσμήξωμεν, καὶ ὡς γεωργοὶ τὴν δρεπάνην ἀκονήσωμεν, καὶ ὡς κυβερνῆται πρὸς τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν τοὺς λογισμοὺς ἀντιτάξωμεν, καὶ ὡς ὁδῖται τῆς εἰς τὸν οὐρανὸν ἀποδημίας ἅψώμεθα, καὶ ὡς ἀθληταὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσώμεθα. Ὁ γὰρ πιστὸς καὶ γεωργὸς καὶ κυβερνήτης καὶ στρατιώτης καὶ ἀθλητὴς καὶ ὁδοιπόρος ἐστίν. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν, « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα

nullus esset qui contra iram illius obsistere posset, splendidiorem vestitum exuta mulier, et sacco amicta, et cinere subtrato, divinæ clementiæ supplicabat, ut secum ad regem ingrederetur, et his verbis precabatur (*Esth.* 14. 13): *Grata, Domine, fac verba mea, et da sermonem ornatum in os meum.* Hæc etiam pro magistro nos nunc Deum oremus. Si enim mulier pro Judæis supplicans barbaricum cohibere furorem potuit: multo magis doctor noster pro tali civitate et cum tanta Ecclesia supplicans, benignissimum et mitissimum hunc Imperatorem flectere poterit. Si enim peccata in Deum solvendi potestatem accepit, multo magis in hominem patrata destruere et delere poterit. Princeps est hic quoque, et quidem illo venerabilior: etenim ipsum regium caput sacræ leges ferentes hujus manibus subjecerunt: et quando aliquid boni cælitus requiritur, rex ad sacerdotem, non sacerdos ad regem confugere solet. Habet hic quoque loricam, loricam justitiæ; habet et cingulum, cingulum veritatis; habet et calceamenta multo honestiora ab evangelio pacis; habet et gladium, non ex ferro, sed spiritus; habet et coronam capiti impositam. Splendidior hæc armatura, pretiosiora hæc arma, major fiducia, major vis. Itaque et pro principatus magnitudine, et propria magnanimitate, et ante reliqua omnia, pro firma in Deum spe, cum multa fiducia, cum multa prudentia Imperatorem alloquetur.

3. Ne igitur de salute nostra desperemus, sed supplicemus, precemur, petamus, oremus, ad supernum Regem multis cum lacrymis legationem mittamus: habemus et jejunium hoc cooperans, in hac pulchra legatione nobis adhærens. Sicut itaque hyeme præterita, et apparente æstate, nauta navim in mare deducit, miles arma detergit, equumque ad bellum parat, agricola acuit falcem, viator fiduciæ plenus longum iter aggreditur, et ad certamina pugil vestes deponit seque denudat: sic et nos jejunio tamquam æstate quodam spirituali apparente, et arma tamquam milites abstergamus, falcem acuamus tamquam agricolæ, et tamquam gubernatores contra absurdarum cupiditatum fluctus cogitationes opponamus, et ceu viatores ad cælum iter instituamus, et quasi pugiles ad certamina exuemur: fidelis enim et agricola, et gubernator, et miles, et athleta, et viator est. Idcirco Paulus quoque dicit (*Ephes.* 6. 12), *Non est nobis lucta adversus san-*

καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας· ἐνδύσασθε οὖν τὴν πανοπλίαν τοῦ Θεοῦ. » Εἶδες τὸν ἀθλητήν; εἶδες τὸν στρατιώτην; Εἰ ἀθλητὴς εἶ, γυμνόν σε εἰς τὸν ἀγῶνα εἰσελθεῖν δεῖ· εἰ στρατιώτης εἶ, καθοπλισμένον σε ἐπὶ τῆς παρατάξεως ἑστάναι χρή. Πῶς οὖν ἀμφότερα ταῦτα εἶναι δυνατὸν, καὶ γυμνὸν εἶναι καὶ οὐ γυμνὸν, καὶ ἐνδεδυμένον καὶ οὐκ ἐνδεδυμένον; Πῶς; ἐγὼ λέγω. Ἀπόδυσαι τὰ βιωτικὰ πράγματα, καὶ γέγονας ἀθλητής· ἔνδυσαι τὰ ὅπλα τὰ πνευματικὰ, καὶ γέγονας στρατιώτης· γύμνωσον σαυτὸν τῶν κοσμικῶν φροντίδων· πάλης γάρ ἐστιν ὁ καιρός· ἔνδυσαι τὰ πνευματικὰ ὅπλα· πόλεμος γὰρ ἡμῖν πρὸς δαίμονας συγκεκρότηται χαλεπός. Διὰ τοῦτο καὶ γυμνὸν εἶναι χρὴ, ὥστε μηδεμίαν λαβὴν τῷ διαβόλῳ παρασχεῖν παλαίοντι πρὸς ἡμᾶς, καὶ καθωπλίσθαι πάντοθεν, ὥστε μηδαμόθεν καιρίαν δέξασθαι πληγήν. Γεώργησόν σου τὴν ψυχὴν, καὶ τὰς ἀκάνθας ἔκτεμε, σπεῖρον τὸν λόγον τῆς εὐσεβείας, τὰ καλὰ τῆς φιλοσοφίας φύτευσον φυτὰ καὶ μετὰ πολλῆς θεράπευε τῆς ἐπιμελείας, καὶ γέγονας γεωργὸς, καὶ ἐρεῖ πρὸς σὲ ὁ Παῦλος, « Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν » Ταύτην καὶ αὐτὸς μετῄει τὴν τέχνην· διὰ τοῦτο Κορινθίοις ἐπιστέλλων ἔλεγεν, « Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξησεν. » Ἀκόνησόν σου τὴν δρεπάνην, ἣν ἤμβλυνας διὰ τῆς ἀδηφαγίας, ἀκόνησον διὰ τῆς νηστείας· ἄψαι τῆς ὁδοιπορίας τῆς εἰς τὸν οὐρανὸν φερούσης, τῆς τεθλιμμένης καὶ στενῆς ἄψαι, καὶ βάδευσον. Πῶς δὲ δυνήσῃ ἅψασθαι καὶ διοδεῦσαι; Ὑποπιάζων σου τὸ σῶμα καὶ δουλαγωγῶν· ἔνθα γὰρ ὁδοῦ στενοχωρία, μέγα κώλυμα ἡ ἐκ τῆς ἀδηφαγίας πολυσαρκία. Κατάστειλον τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν, ἀπόχρουσαι τὸν χειμῶνα τῶν πονηρῶν λογισμῶν, διάσωσον τὸ σκάφος, πολλὴν ἐπίδειξαι τὴν ἐμπειρίαν, καὶ γέγονας κυβερνήτης. Πάντων τούτων ὑπόθεσις ἡμῖν ἡ νηστεία καὶ διδάσκαλος ἔσται· νηστείαν δὲ οὐ ταύτην λέγω τὴν τῶν πολλῶν, ἀλλὰ τὴν ἀκριβῆ νηστείαν, οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτημάτων· οὐ γὰρ ἀρκεῖ τῆς νηστείας ἡ φύσις ἐξελέσθαι τοὺς μετιόντας, ἐὰν μὴ μετὰ τοῦ προσήκοντος γένηται νόμου. Καὶ γὰρ ἀθλητὴς, φησὶν, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ἵνα οὖν μὴ πόνον ὑπομείναντες νηστείας ἐκπέσωμεν τοῦ στεφάνου τῆς νηστείας, μάθωμεν πῶς καὶ τίνα τρόπον τὸ πρᾶγμα μετιέναι χρή· ἐπεὶ καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἐνήστευσεν, ἀλλὰ μετὰ τὴν νηστείαν ἐκείνην κατῆλθεν ἔρημος καὶ κενὸς τῶν ἀπὸ τῆς νηστείας καρπῶν· ὁ τελώνης οὐκ ἐνήστευσε, καὶ ἔμπροσθεν γέγονεν ἐκείνου τοῦ νηστεύσαντος ὁ μὴ νηστεύσας, ἵνα μάθῃς ὅτι νηστείας ὄφελος οὐδὲν, ἐὰν μὴ καὶ τὰ λοιπὰ ἅπηται πάντα. Ἐνήστευσαν οἱ Νινευῖται καὶ ἐπεσπάσαντο τὴν τοῦ Θεοῦ εὔνοιαν· ἐνήστευσαν καὶ οἱ Ἰουδαῖοι, καὶ πλέον οὐδὲν ἔπραξαν, ἀλλὰ καὶ κατηγορηθέντες ἀπῆλθον.

Ἐπεὶ οὖν τοσοῦτος ὁ κίνδυνος τῆς νηστείας τοῖς οὐκ

guinem et carnem, sed adversus principatus et potestates : induite igitur armaturam Dei. Vidisti athletam? vidisti militem? Si athleta es, nudum in certamen te descendere oportet; si miles, armatum ad pugnam consistere necesse est. Quomodo igitur hæc utraque simul esse possint, et nudum esse et non nudum, et indutum et non indutum? Quo tandem modo? ego dicam. Exue vitæ negotia, et athleta factus es : indue arma spiritualia, et factus es miles. Te ipsum vitæ curis denuda; luctæ enim tempus est : arma spiritus indue; bellum enim nobis contra dæmones conflatum est grave. Propterea et nudum esse oportet, ut nullam diabolo nobiscum luctanti ansam præbeamus, et undique armatum esse, ut nusquam letalem plagam accipiamus. Excole animam tuam, et spinas excide; semina verbum pietatis, pulchras philosophiæ plantas insere et cum multa diligentia repastina, et agricola factus es, tibique dicet Paulus (2. *Tim.* 2. 6), *Laborantem agricolam oportet primum fructus percipere.* Hanc et ipse artem tractabat : idcirco Corinthiis scribens dicebat (1. *Cor.* 3. 6), *Ego plantavi, Apollo rigavit, Deus autem incrementum dedit.* Acue falcem tuam, quam per crapulam hebetasti, acue per jejunium; aggredere iter in cælum ferens, asperam et angustam viam attinge et ambula. Quomodo autem poteris attingere et perambulare? Castigans corpus tuum et in servitutem redigens : ubi enim via angusta, magnum impedimentum est carnis ex crapula obesitas. Absurdarum undas concupiscentiarum reprime, repelle improbarum hyemem cogitationum, serva navigium, multam ostende peritiam, et factus es gubernator. Horum omnium materia nobis jejunium et magister est, jejunium autem dico non hoc vulgare, sed accuratum jejunium : non tantum ciborum abstinentiam, sed et peccatorum; non enim valet jejunii vis jejunantes eruere, nisi congrua cum lege fiat. Etenim *athleta*, inquit (2. *Tim.* 2. 5), *non coronatur, nisi legitime certaverit.* Ne igitur inter jejunii laborem a jejunii corona excidamus, discamus qualiter et quomodo hoc negotium tractare debeamus : quoniam et Pharisæus ille jejunavit, sed post jejunium illud descendit inanis et vacuus jejunii fructibus : publicanus non jejunavit, et Pharisæo jejunanti prælatus est non jejunans, ut discas quod jejunii utilitas nulla, nisi et reliqua omnia consequantur. Jejunaverunt Ninivitæ, et Dei misericordiam elicuerunt : jejunaverunt et Judæi, et nihil profecerunt, sed culpati abierunt.

Quia igitur tantum jejunii periculum est nescientibus

εἰδόσιν ὅπως χρὴ νηστεύειν, μάθωμεν τῆς νηστείας τοὺς νόμους, ἵνα μὴ τρέχωμεν ἀδήλως, μηδὲ ἀέρα δέρωμεν, μηδὲ σκιομαχῶμεν πυκτεύοντες. Φάρμακόν ἐστιν ἡ νηστεία, ἀλλὰ τὸ φάρμακον, κἂν μυριάκις ὠφέλιμον ᾖ, πολλάκις ἄχρηστον γίνεται διὰ τὴν ἀπειρίαν τοῦ χρωμένου. Καὶ γὰρ καὶ καιρὸν εἰδέναι χρὴ καθ' ὃν δεῖ τοῦτο ἐπιτιθέναι, καὶ ποσότητα αὐτοῦ τοῦ φαρμάκου, καὶ σώματος κρᾶσιν τὴν δεχομένην, καὶ χώρας φύσιν, καὶ ὥραν ἔτους, καὶ δίαιταν κατάλληλον, καὶ πολλὰ ἕτερα· ἓν ὅπερ ἂν παροφθείῃ, τοῖς ἄλλοις λυμανεῖται πᾶσι τοῖς εἰρημένοις. Εἰ δὲ ἔνθα σῶμα θεραπεύειν δεῖ, τοσαύτης ἡμῖν ἀκριβείας χρεία, πολλῷ μᾶλλον ὅταν ψυχῆς ἐπιμελώμεθα καὶ λογισμοὺς θεραπεύωμεν, πάντα διερευνᾶσθαι καὶ σκοπεῖν ἀναγκαῖον μετ' ἀκριβείας ἁπάσης. Ἴδωμεν τοίνυν πῶς ἐνήστευσαν οἱ Νινευῖται, καὶ πῶς τῆς ὀργῆς ἀπηλλάγησαν ἐκείνης. « Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν », φησί. Τί λέγεις; εἰπέ μοι· καὶ τὰ ἄλογα νηστεύει, καὶ ἵπποι καὶ ἡμίονοι σάκκῳ περιβάλλονται; Ναί, φησί. Καθάπερ γὰρ εὐπόρου τινὸς τελευτήσαντος οὐκ οἰκέτας μόνον οὐδὲ θεραπαινίδας, ἀλλὰ καὶ ἵππους οἱ προσήκοντες σάκκῳ περιβάλλοντες, καὶ τοῖς ἱπποκόμοις αὐτοὺς ἐγχειρίσαντες, ἀκολουθεῖν ἐπὶ τὸ μνῆμα κελεύουσι, τὸ μέγεθος τῆς συμφορᾶς ἐπιδεικνύμενοι, καὶ πρὸς ἔλεον ἅπαντας ἐπισπώμενοι· οὕτω δὴ καὶ τῆς πόλεως ἐκείνης ἀπόλλυσθαι μελλούσης, καὶ τὴν ἄλογον φύσιν σάκκῳ περιέβαλον καὶ ζυγῷ νηστείας ὑπέβαλον. Οὐκ ἔστι τὰ ἄλογα λόγῳ μαθεῖν, φησὶ, τοῦ Θεοῦ τὴν ὀργήν· μανθανέτωσαν διὰ τοῦ λιμοῦ, ὅτι θετήλατος ἡ πληγή· καὶ γὰρ εἰ κατενεχθείη, φησὶν, ἡ πόλις, οὐχ ἡμῶν μόνον τῶν ἐνοικούντων, ἀλλὰ καὶ τούτων εἷς ἔσται τάφος κοινός. Τὰ τοίνυν μέλλοντα κοινωνεῖν τῆς κολάσεως, κοινωνείτω καὶ τῆς νηστείας. Καὶ ἕτερον δέ τι κατεσκεύαζον ἐντεῦθεν, ὃ καὶ οἱ προφῆται ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι ἐπειδὰν ἴδωσι πληγήν τινα ἀφόρητον ἐκ τῶν οὐρανῶν φερομένην, εἶτα τοὺς κολάζεσθαι μέλλοντας ἀπαρρησιάστους ὄντας, αἰσχύνης γέμοντας, οὐδεμιᾶς συγγνώμης οὐδὲ ἀπολογίας ὄντας ἀξίους, οὐκ ἔχοντες ὅ τι πράξουσιν οὐδὲ ὅθεν πορίσονται τοῖς κατακριθεῖσιν ἀπολογίαν, ἐπὶ τὰ ἄλογα καταφεύγουσι, καὶ τὸν ἐκείνων ἐκτραγῳδοῦντες θάνατον, ἀπὸ τούτων ποιοῦνται τὴν ἱκετηρίαν, τὴν ἐλεεινὴν αὐτῶν καὶ πολυθρήνητον ἀπώλειαν προβαλλόμενοι. Λιμοῦ γοῦν καταλαβόντος ποτὲ τοὺς Ἰουδαίους, καὶ πολλοῦ τὴν χώραν αὐχμοῦ κατέχοντος, καὶ πάντων δαπανωμένων, ὁ μὲν τῶν προφητῶν ἔλεγεν, « Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομή· πάντα τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σέ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων »· ὁ δὲ τὰ ἐκ τῆς ἀβροχίας θρηνῶν κακὰ, πάλιν οὕτωσί πως ἔλεγεν, « Ἔλαφοι ἐν ἀγρῷ ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη· ὄναγροι ἔστησαν ἐπὶ νάπαις, εἵλκυσαν ἄνεμον ὡς δράκων· ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι

quomodo jejunare oporteat, leges jejunii discamus, ne in incertum curramus, neu aerem verberemus, neu pugnantes cum umbra dimicemus. Medicina est jejunium, sed medicina licet millies utilis sit, per utentis imperitiam inutilis saepe fit : nam nosse oportet et tempus quo ipsam adhibere opus sit, et ipsius medicamenti quantitatem, et corporis id recipientis temperiem, et regionis naturam, et anni tempus, et congruum victum, et multa alia : quorum quidquid praetermissum fuerit, reliquis omnibus, quae dicta sunt, nocebit. Si autem ubi corpori mederi oportet, tanta nobis opus est diligentia : multo magis cum animam curamus et cogitationibus medemur, omnia scrutari, et cum omni sedulitate considerare necesse est. 4. Videamus igitur quomodo Ninivitae jejunaverunt, et quomodo ab illa liberati sunt ira. *Homines, et jumenta, et oves, et boves, ne pascantur*, inquit (*Jon.* 3. 7). Quid dicis? dic mihi; et bruta jejunant et equi, et muli sacco vestiuntur? Etiam, inquit : sicut enim, divite aliquo mortuo, non servos solum et ancillas, sed et equos necessarii sacco amicientes et agasonibus tradentes ad sepulcrum sequi jubent, calamitatis magnitudinem ostentantes, et omnes ad misericordiam allicientes : sic et civitate illa de extremis periclitante, brutam quoque naturam sacco circumtexerunt et jejunii jugo subjecerunt. Non licet, inquit, brutis sermone discere Dei iram : discant fame, quod a Deo infligatur plaga; etenim si diueretur, inquit, civitas, non tantum nostri inhabitantium, sed et horum una esset communis sepultura. Quae igitur paene partem habitura sunt, ea jejunii quoque partem capiant. Et aliud quiddam tunc instituebant, quod et prophetae faciunt : etenim illi cum plagam aliquam intolerabilem de caelis ferri viderint, atque puniendos sine fiducia esse, confusione plenos, neque venia neque excusatione ulla dignos, nec habentes quid faciant, nec unde condemnatis praebeant patrocinium, ad bruta confugiunt, et illorum mortem eloquenter deplorantes, ex his supplicationem faciunt, miserabilem et luctuosam eorum perniciem proponentes. Cum igitur fames olim Judaeos comprehendisset, et multa regionem siccitas premeret, et omnia consumerentur : unus prophetarum dicebat (*Joel.* 1. 17), *Resilierunt juvencae apud praesepia sua, fleverunt armenta boum, quonium non erant pascua : omnia jumenta terrae respexerunt ad te, quoniam exsiccatae sunt emissiones aquarum;* alter ex siccitate nata mala ingens, rursum sic fere dicit (*Jerem.* 14. 5) : *Cervae in agro pepererunt, et dereliquerunt, quoniam non erat herba : onagri in saltibus substiterunt, attraxerunt ventum sicut draco : defecerunt ipsorum oculi, quo-*

οὐκ ἦν χόρτος. » Διὰ τοῦτο καὶ σήμερον ἠκούσατε τοῦ Ἰωὴλ λέγοντος, « Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς, νήπια θηλάζοντα μαστούς. » Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν ἄωρον ἡλικίαν καλεῖς πρὸς ἱκετηρίαν; Διὰ τὴν αὐτὴν ταύτην αἰτίαν. Ἐπειδὴ γὰρ οἱ εἰς ἄνδρας τελοῦντες ἅπαντες παρώξυναν καὶ παρώργισαν τὸν Θεόν, ἡ τῶν ἁμαρτημάτων ἄπειρος ἡλικία, φησὶ, παρακαλείτω τὸν ὠργισμένον. Ἀλλ' ὅπερ ἔλεγον, ἴδωμεν τί ποτέ ἐστι τὸ λῦσαν τὴν ἀπαραίτητον ἐκείνην ὀργήν. Ἆρα ἡ νηστεία μόνη καὶ ὁ σάκκος; Οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἡ παντὸς τοῦ βίου μεταβολή. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν προφητικῶν ῥημάτων. Ὁ γὰρ περὶ τῆς ὀργῆς τοῦ Θεοῦ διαλεχθεὶς καὶ τῆς ἐκείνων νηστείας, αὐτὸς οὗτος τήν τε καταλλαγὴν λέγων καὶ τῆς καταλλαγῆς τὴν αἰτίαν διδάσκων οὕτωσί πως φησι· « Καὶ εἶδε τὰ ἔργα αὐτῶν ὁ Θεός. » Ἔργα ποῖα; ὅτι ἐνήστευσαν; ὅτι σάκκον περιεβάλοντο; Οὐδὲν τούτων, ἀλλὰ πάντα ταῦτα σιγήσας ἐπήγαγεν, « Ὅτι ἀπέστρεψεν ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτοῦ τῶν πονηρῶν, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς ὁ Κύριος. » Ὁρᾷς ὅτι οὐχ ἡ νηστεία ἐξήρπασε τοῦ κινδύνου, ἀλλ' ἡ μεταβολὴ τοῦ βίου τὸν Θεὸν κατέστησεν ἵλεω τοῖς βαρβάροις καὶ εὐμενῆ;

Ταῦτα εἶπον, οὐχ ἵνα νηστείαν ἀτιμάζωμεν, ἀλλ' ἵνα νηστείαν τιμῶμεν· τιμὴ γὰρ νηστείας, οὐχὶ σιτίων ἀποχή, ἀλλ' ἁμαρτημάτων ἀναχώρησις· ὡς ὅ γε τῇ τῶν βρωμάτων ἀποχῇ μόνον ὁρίζων τὴν νηστείαν, οὗτός ἐστιν ὁ μάλιστα ἀτιμάζων αὐτήν. Νηστεύεις; δεῖξόν μοι διὰ τῶν ἔργων αὐτῶν. Ποίων ἔργων, φησίν; Ἐὰν ἴδῃς πένητα, ἐλέησον· ἐὰν ἴδῃς ἐχθρὸν, καταλλάγηθι· ἐὰν ἴδῃς φίλον εὐδοκιμοῦντα, μὴ βασκήνῃς· ἐὰν ἴδῃς γυναῖκα εὔμορφον, ὑπέρβηθι. Μὴ γὰρ δὴ στόμα νηστευέτω μόνον, ἀλλὰ καὶ ὀφθαλμὸς, καὶ ἀκοὴ, καὶ πόδες, καὶ χεῖρες, καὶ πάντα τὰ τοῦ σώματος ἡμῶν μέλη· νηστευέτωσαν χεῖρες, ἁρπαγῆς καὶ πλεονεξίας καθαρεύουσαι· νηστευέτωσαν πόδες, ὁρόμων τῶν ἐπὶ τὰ παράνομα θέατρα ἀφιστάμενοι· νηστευέτωσαν ὀφθαλμοὶ, [παιδευόμενοι] μηδέποτε ὄψεσιν εὐμόρφοις ἐπιπηδᾶν μηδὲ ἀλλότρια περιεργάζεσθαι κάλλη. Τροφὴ γὰρ ὀφθαλμῶν θεωρία· ἀλλὰ ἂν μὲν παράνομος ᾖ καὶ κεκωλυμένη, λυμαίνεται τῇ νηστείᾳ· καὶ πᾶσαν ἀνατρέπει τῆς ψυχῆς τὴν σωτηρίαν· ἂν δὲ ἔννομος καὶ ἀσφαλὴς, κοσμεῖ τὴν νηστείαν. Καὶ γὰρ τῶν ἀτοπωτάτων ἂν εἴη ἐπὶ μὲν βρωμάτων καὶ τῆς συγκεχωρημένης ἀφίστασθαι τροφῆς διὰ τὴν νηστείαν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν καὶ τῆς κεκωλυμένης ἅπτεσθαι. Οὐκ ἐσθίεις κρέα; μὴ φάγῃς ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν. Νηστευέτω καὶ ἀκοή· νηστεία δὲ ἀκοῆς μὴ δέχεσθαι κακηγορίας καὶ διαβολάς· « Ἀκοὴν γὰρ ματαίαν μὴ παραδέξῃ », φησί.

Νηστευέτω καὶ στόμα ἀπὸ ῥημάτων αἰσχρῶν καὶ λοιδορίας. Τί γὰρ ὄφελος ὅταν μὲν ὀρνίθων καὶ ἰχθύων

niam non erat fænum. Propterea et hodie Joel dicentem (2. 16) audistis : *Egrediatur sponsus e cubiculo suo, et sponsa e thalamo suo, infantes sugentes ubera.* Qua de causa, dic mihi, immaturam ætatem ad supplicationem vocas? Propter eamdem ipsam causam. Quoniam enim omnes viri ætate perfecti exacerbaverunt Deum et ad iracundiam concitaverunt, Ætas, inquit, peccatorum expers irato supplicet. Sed ut dicebam, videamus quid tandem sit, quod inevitabilem illam iram solverit. Num jejunium solum et saccus? Nequaquam, sed totius vitæ mutatio. Unde hoc manifestum? Ab ipsis propheticis verbis. De Dei enim ira loquutus et illorum jejunio, idem conciliationem et conciliationis causam dicens, sic inquit (*Jonæ* 3. 10) : *Et vidit Deus opera ipsorum.* Qualia opera? quod jejunaverunt? quod saccum induerunt? Nihil horum, sed hæc omnia tacens intulit : *Quoniam conversus est quisque a viis suis malis, et pœnituit Dominum mali, quod ipsis se facturum dixerat.* Cernis quod non jejunium periculo eripuit, sed vitæ mutatio Deum barbaris placatum et benevolum reddidit?

Hæc dixi, non ut jejunium contemnamus, sed ut jejunium honoremus : honor enim jejunii non ciborum abstinentia, sed peccatorum fuga. Ita ut qui ciborum abstinentia tantum jejunium definiat, is maxime ipsum vituperet. Jejunas? demonstra mihi per ipsa opera. Qualia, inquis, opera? Si pauperem videris, miserere : si inimicum videris, conciliare : si amicum laudabiliter agentem videris, ne invideas : si mulierem videris speciosam, praetereas. Non enim os tantum jejunet, sed etiam oculus, et auditus, et pedes, et manus, et omnia corporis nostri membra jejunent. Jejunent manus, a rapina et avaritia mundæ : jejunent pedes, ad illicita spectacula cursum reprimentes : jejunent oculi, discentes nunquam formosis obtutibus insilire, nec alienas curiose pulchritudines spectare. Cibus enim oculorum spectatio : sed si illegitima sit et prohibita, jejunio nocet, et omnem animæ salutem subvertit : si vero legitima et concessa, ornat jejunium. Etenim absurdissimum fuerit, cibum sumentem etiam a concessa abstinere esca per jejunium, oculis autem utentem etiam prohibitam attingere. Non comedis carnes? neque lasciviam per oculos haurias. Jejunet et auris : aurium autem jejunium est detractiones et calumnias non suscipere. *Auditum enim vanum non suscipies*, inquit (*Exod.* 23, 1).

5. Jejunet os quoque a verbis turpibus et convicio. Quæ enim utilitas cum avibus quidem et piscibus abstinen-

ἁπαχώμεθα, τοὺς δὲ ἀδελφοὺς δάκνωμεν καὶ κατεσθίωμεν; Ὁ κακηγορῶν ἀδελφικὰ κρέα ἔφαγεν, τὴν σάρκα τοῦ πλησίον ἔδακε. Διὰ τοῦτο καὶ Παῦλος ἐφόβησεν εἰπών, « Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. » Οὐκ ἐνέπηξας τῇ σαρκὶ τοὺς ὀδόντας, ἀλλ' ἐνέπηξας τῇ ψυχῇ τὴν κακηγορίαν, ὑπόληψιν ἔτρωσας, μυρία εἰργάσω κακὰ καὶ σαυτὸν καὶ ἐκεῖνον καὶ ἑτέρους πλείονας· καὶ γὰρ τὸν ἀκούσαντα χείρονα εἰργάσω, διαβαλὼν τὸν πλησίον. Ἄν τε γὰρ ἁμαρτωλὸς ᾖ, ῥᾳθυμότερος γίνεται κοινωνὸν εὑρὼν τῆς ἁμαρτίας· ἄν τε δίκαιος ᾖ, εἰς ἀπόνοιαν αἴρεται καὶ φυσᾶται ἐκ τῆς ἑτέρων ἁμαρτίας, μεγάλα περὶ ἑαυτοῦ φαντάζεσθαι προαγόμενος. Μετὰ τούτων τὸ κοινὸν τῆς Ἐκκλησίας ἔβλαψας· οὐ γὰρ δὴ τὸν ἡμαρτηκότα διαβάλλουσιν οἱ ἀκούοντες ἅπαντες, ἀλλὰ τὰ ὀνείδη τὸ Χριστιανῶν ἔθνος προστρίβεται· οὐδὲ ἔστιν ἀκοῦσαι ἀπίστων λεγόντων ὅτι ὁ δεῖνα πόρνος ἐστὶ καὶ ἀκόλαστος, ἀλλ' ἀντὶ τοῦ πεπλημμεληκότος, τοὺς Χριστιανοὺς ἅπαντας διαβάλλουσι. Πρὸς τούτοις τοῦ Θεοῦ τὴν δόξαν βλασφημεῖσθαι παρεσκεύασας· ὥσπερ γὰρ εὐδοκιμούντων ἡμῶν τὸ ὄνομα τοῦ Θεοῦ δοξάζεται, οὕτως ἁμαρτανόντων βλασφημεῖται καὶ ὑβρίζεται. Τέταρτον, τὸν κακῶς ἀκούσαντα κατῄσχυνας, καὶ ἀναισχυντότερον ταύτῃ πεποίηκας, ἐχθρὸν καὶ πολέμιον καταστήσας. Πέμπτον, ἑαυτὸν ὑπεύθυνον κολάσει καὶ τιμωρίᾳ πεποίηκας, πράγματα τὰ μηδὲν σαυτῷ προσήκοντα πλέξας. Μὴ γάρ μοι τοῦτο λεγέτω τις, ὅτι Τότε κακηγορῶ, ἐπειδὰν ψευδῆ εἴπω· ἂν δὲ ἀληθεύω, οὐκέτι. Κἂν ἀληθεύων εἴπῃς κακῶς, καὶ τοῦτο ἔγκλημα· καὶ γὰρ ὁ Φαρισαῖος ἐκεῖνος τὸν τελώνην ἀληθεύων εἶπε κακῶς, ἀλλ' ὅμως οὐδὲν αὐτοῦ τοῦτο προέστη. Εἰπέ γάρ μοι, τελώνης ἦν ὁ τελώνης καὶ ἁμαρτωλός; Παντί που δῆλον ὅτι τελώνης· ἀλλ' ὅμως ἐπειδὴ αὐτὸν ἐκάκισεν ὁ Φαρισαῖος, ἀπῆλθεν ἅπαντα ἀπολέσας. Βούλει διορθῶσαι τὸν ἀδελφόν; Δάκρυσον, εὖξαι τῷ Θεῷ, κατ' ἰδίαν λαβὼν παραίνεσον, συμβούλευσον, παρακάλεσον. Οὕτω καὶ Παῦλος ἐποίει· « Μήπως ἐλθόντα με, φησὶ, ταπεινώσῃ ὁ Θεὸς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν. » Δεῖξον ἀγάπην περὶ τὸν ἡμαρτηκότα· πεῖσον αὐτὸν ὅτι κηδόμενος καὶ φροντίζων, οὐκ ἐκπομπεῦσαι βουλόμενος, τῆς ἁμαρτίας αὐτὸν ὑπομιμνήσκεις· κάτασχε πόδας, καταφίλησον, μὴ ἐπαισχυνθῇς, εἴ γε ἀληθῶς ἰατρεῦσαι βούλει. Ταῦτα καὶ ἰατροὶ ποιοῦσι πολλάκις· ὀυσαρέστως ἔχοντας τοὺς κάμνοντας καταφιλοῦντες, παρακαλοῦντες ἀναπείθουσι σωτήριον δέξασθαι φάρμακον· οὕτω καὶ σὺ ποίησον· τῷ ἱερεῖ δεῖξον τὸ ἕλκος· τοῦτό ἐστι κηδεμονικοῦ, τοῦτο προνοοῦντος, τοῦτο φροντίζοντος. Οὐ τοῖς κακῶς δὲ μόνον λέγουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσι κακῶς λεγομένους ἑτέρους παραινῶ τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προφήτην μιμεῖσθαι τὸν λέγοντα, « Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ τοῦτον ἐδίωκον. »

mus, fratres vero mordeamus et devoremus? Detrahens fraternas carnes comedit, proximi carnem momordit : propterea et Paulus terruit, dicens (*Gal.* 5. 15), *Si autem vos invicem mordetis ac comeditis, videte ne ab invicem consumamini.* Non infixisti dentes carni, sed animæ maledictum infixisti, existimationem vulnerasti, innumeris affecisti malis et te ipsum et illum et alios plures : etenim audientem pejorem fecisti, proximum calumniatus : sive enim peccator sit, tum segnior fit, peccati communicatorem nactus : sive justus sit, in arrogantiam tollitur et inflatur ex aliorum peccato, magna de se ipso sentire inductus. Insuper communem Ecclesiæ statum læsisti : non enim sane peccatorem accusant audientes omnes, sed Christianorum genti opprobria infliguntur : nec audias infideles dicere, illum fornicatorem esse et dissolutum, sed pro eo qui peccavit, Christianos omnes calumniis insectari. Ad hæc Dei gloriam blasphemari fecisti : sicut enim nobis laudabiliter viventibus Dei nomen glorificatur, sic peccantibus blasphematur et contumelia injicitur. Quartum, male audientem pudore affecisti, et sic impudentiorem reddidisti, inimicum et hostem faciens. Quintum, te ipsum pœnæ et castigationis reum fecisti, negotia ad te nihil attinentia texens. Ne quis enim hoc mihi dicat, Tunc detraho, cum falsa dico; si autem vera dico, minime. Nam licet vera loquens male dixeris, et hoc est crimen : etenim Pharisæus ille publicano veridicus maledixit (*Luc.* 18. 11), sed tamen hoc ipsi nihil profuit. Nonne, quæso, publicanus erat publicanus et peccator? Cuique certum est quod publicanus erat; sed quoniam ipsum depressit Pharisæus, abiit omnibus amissis. Vis fratrem corrigere? Lacryma, ora Deum, seorsum apprehensum admone, consule, exhortare : sic et Paulus faciebat : *Ne iterum cum venero*, inquit (2. *Cor.* 12. 21), *humiliet me Deus apud vos, et lugeam multos ex iis, qui ante peccaverunt, et non egerunt pœnitentiam super immunditia et impudicitia quam gesserunt.* Ostende caritatem erga peccatorem : persuade ipsi, quod consulens et curans, non traducere volens, peccati ipsum commonefacis : comprehende pedes, osculare, ne erubescas, si modo vere mederi vis. Hæc et medici faciunt sæpius, qui difficiles ægrotos habent : deosculantes, rogantes persuadent salutarem sumere medicinam : ita tu quoque fac, sacerdoti vulnus manifesta; hoc est curantis, hoc providentis, hoc consulentis. Non solos autem maledicos, sed et aliis detrahi audientes admoneo ut aures obstruant, et prophetam imitentur dicentem (*Psal.* 100. 5), *Detrahentem secreto proximo suo, hunc persequebar.* Die

τοῦ, τοῦτον ἐξεδίωκον. » Εἰπὲ πρὸς τὸν πλησίον, Ἔχεις ἐπαινέσαι τινὰ καὶ ἐγκωμιάσαι; ἀνοίγω τὰς ἀκοάς, ἵνα δέξωμαι τὰ μύρα· ἂν δὲ κακῶς ἐθέλῃς εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέχεσθαι. Τί μοι [τὸ] κέρδος [ἐκ τοῦ] μαθεῖν ὅτι πονηρὸς ὁ δεῖνα; μέγιστον μὲν οὖν ἀπὸ τούτου βλάβος καὶ ἰσχάτη ζημία. Εἰπὲ πρὸς αὐτόν· Μεριμνήσωμεν τὰ ἡμέτερα, πῶς τῶν πεπλημμεληκότων ἡμῖν εὐθύνας δῶμεν, καὶ τὴν περιεργίαν ταύτην καὶ τὴν πολυπραγμοσύνην εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδειξώμεθα. Ποίαν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, ὅταν τὰ ἡμέτερα [μὲν] μηδὲ εἰς νοῦν λαμβάνωμεν, τὰ δὲ ἀλλότρια οὕτω πολυπραγμονῶμεν; Καὶ ὥσπερ εἰς οἰκίαν παρακύψαι καὶ τὰ ἔνδον κατασκοπῆσαι παριόντα αἰσχρὸν καὶ πολλῆς αἰσχύνης γέμον, οὕτω καὶ βίον ἀλλότριον περιεργάζεσθαι, ἀνελευθερίας ἐσχάτης. Τὸ δὲ τούτου καταγελαστότερον, ὅτι τοιοῦτον ἔχοντες βίον καὶ τῶν οἰκείων ἀμελοῦντες, ἐπειδὰν εἴπωσί τι τῶν ἀποῤῥήτων, παρακαλοῦσι τὸν ἀκούσαντα καὶ ὁρκοῦσι μηδενὶ λοιπὸν εἰπεῖν ἑτέρῳ, αὐτόθεν δηλοῦντες ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. Εἰ γὰρ ἐκεῖνον μηδενὶ εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλον σὲ πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν. Κατεῖχες ἐν ἀσφαλεῖ τὸν λόγον· ὅτε αὐτὸν προέδωκας, τότε τῆς σωτηρίας αὐτοῦ φροντίζεις· εἰ βούλει μὴ ἐξενεχθῆναι εἰς ἕτερον, μηδὲ αὐτὸς εἶπες· ὅτε δὲ ἑτέρῳ προδῷς τοῦ λόγου τὴν φυλακήν, περιττὰ ποιεῖς καὶ ἀνόνητα παραγγέλλων καὶ ὁρκῶν ὑπὲρ τῆς τῶν εἰρημένων φυλακῆς. Ἀλλ' ἡδὺ τὸ κακηγορεῖν; Ἥδὺ μὲν οὖν τὸ μὴ λέγειν κακῶς. Ὁ μὲν γὰρ εἰπὼν κακῶς, ἐναγώνιος λοιπόν ἐστιν, ὑποπτεύει τε καὶ δέδοικε καὶ μετανοεῖ καὶ κατεσθίει τὴν ἑαυτοῦ γλῶτταν, δεδοικὼς καὶ τρέμων μήποτε εἰς ἑτέρους ἐξενεχθὲν τὸ ῥῆμα μέγαν ἐπαγάγῃ τὸν κίνδυνον καὶ περιττὴν ἔχθραν καὶ ἀνόνητον ἐργάσηται τῷ εἰρηκότι· ὁ δὲ παρ' ἑαυτῷ κατέχων, ἐν ἀσφαλείᾳ πολλῇ μετὰ πολλῆς βιώσεται τῆς ἡδονῆς. « Ἤκουσας λόγον; φησὶν, ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξει. » Τί ἐστιν, Ἐναποθανέτω σοι; Σβέσον αὐτὸν, κατάχωσον, μὴ συγχωρήσῃς ἐξελθεῖν μηδὲ κινηθῆναι τὸ παράπαν· ἀλλὰ μάλιστα μὲν σπούδαζε μηδὲ ἀνέχεσθαι τῶν λεγόντων ἑτέρους κακῶς· ἂν δ' ἄρα ποτὲ καὶ δέξῃ, κατάχωσον, ἀπόκτεινον τὸ λεχθὲν, λήθῃ παράδος, ἵνα τοῖς μὴ ἀκηκοόσιν ὅμοιος γένῃ, καὶ μετὰ πολλῆς τῆς εἰρήνης καὶ τῆς ἀσφαλείας τὸν παρόντα διάγῃς βίον. Ἂν μάθωσιν οἱ κατήγοροι, ὅτι διαβαλλομένων μᾶλλον ἡμεῖς αὐτοὺς ἀποστρεφόμεθα, παύσονται καὶ αὐτοί ποτε τῆς πονηρᾶς συνηθείας ταύτης, καὶ διορθώσονται τὸ ἁμάρτημα, καὶ ἐπαινέσονται μετὰ ταῦτα, καὶ ἡμᾶς αὐτοὺς ὡς σωτῆρας αὐτῶν γενομένους καὶ εὐεργέτας ἀναχηρύξουσιν. Ὥσπερ γὰρ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας ἐστὶν, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν ἔχθρας καὶ ἀπεχθείας καὶ τῶν μυρίων πολέμων ἀρχὴ καὶ ὑπόθεσις γέγονεν. Οὐδαμόθεν γὰρ

proximo, Habes aliquem quem laudes et commendes? aures aperio, ut unguenta suscipiam; si vero male velis dicere, verbis ingressum obturo: non enim stercus et cœnum accipere sustineo. Quod mihi lucrum, si didicero illum esse improbum? imo maximum nocumentum ex hoc et extrema jactura. Sic loquere ad ipsum: Curemus nostra, quomodo nostrorum peccatorum rationem reddamus, et curiositatem hanc et operosam indagationem circa nostram vitam exhibeamus. Quam enim habebimus excusationem, quam veniam, cum nostrorum ne in mentem quidem venit, aliena vero curiose scrutemur? Sicut in domum hinis inspicere et interiora explorare prætereunti turpe est et multa ignominia plenum: sic et circa alienam vitam satagere illiberalitatis extremæ est. Hoc vero ridiculum magis est, quod talem habentes vitam, et suas res negligentes, cum aliquid arcanum dixerint, rogant audientem et adjurant, ne cuiquam alteri dicat, hinc declarantes, se rem reprehensione dignam commisisse. Si enim illum, ut nemini dicat, rogas, multo magis te priorem huic dicere non oportebat. In tuto sermonem habebas: postquam ipsum prodidisti, tunc servare eum studes; si non vis oferri ad alterum, neque ipse dicas; postquam vero alteri prodidisti sermonis custodiam, superflua facis et inutilia, admonens et obtestans pro dictorum custodia. Sed jucundum est detrahere? Imo jucundum est non detrahere. Qui detrahit enim, deinceps anxius est, suspicatur et timet, et pœnitentiam agit, et linguam suam mordet, timens et tremiscens, ne forte aliis enuntiatum verbum magnum sibi periculum afferat et superfluam et inutilem inimicitiam ei qui dixit operetur: qui se ipsum vero continet, in securitate plurima cum multa vivet voluptate. *Audisti sermonem?* inquit (*Eccli.* 19. 10), *moriatur in te: confide, non te disrumpet.* Quid est, *Moriatur in te*? Extingue ipsum, defodito, nec exire neque omnino moveri permittas; sed maxime stude ne alios quidem male dicentes tolerare. Quodsi quando et susceperis, infodito, interime dictum, oblivioni trade, ut iis qui non audierint similis fias, et cum multa pace et securitate præsentem transigas vitam. Si delatores didicerint nos ipsos magis quam accusatos aversari, et ipsi tandem ab hac mala consuetudine desistent, et vitium suum corrigent, et laudabunt posthac, et nos ipsos quasi suos servatores et benefactores prædicabunt. Sicut enim benedicere et laudare amicitiæ, sic et maledicere et calumniari inimicitiæ et odii principium est atque infinitarum discordiarum materia. Non aliunde

ἑτέρωθεν ἡμέληται τὰ ἡμέτερα, ἀλλ' ἢ ἐκ τοῦ τὰ ἀλλότρια πολυπραγμονεῖν καὶ περιεργάζεσθαι· οὐ γὰρ ἔστιν ἄνθρωπον κακηγοροῦντα καὶ τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους τῆς ἰδίας ἐπιμεληθῆναί ποτε ζωῆς. Τῆς γὰρ σπουδῆς ἁπάσης αὐτῷ εἰς τὴν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τὰ αὐτοῦ πάντα ἁπλῶς κεῖσθαι καὶ ἡμελημένως. Καὶ γὰρ ἀγαπητὸν τὴν πᾶσαν σχολὴν εἰς τὴν ἐπιμέλειαν τῶν οἰκείων ἁμαρτημάτων καὶ τὴν κρίσιν ἀναλίσκοντα δυνηθῆναί τι ποιῆσαι πλέον· ὅταν δὲ διαπαντὸς τὰ ἀλλότρια φροντίζῃς, πότε τῶν σῶν ἐπιμελήσῃ κακῶν;

Φεύγωμεν τοίνυν, ἀγαπητοί, φεύγωμεν τὰς κακηγορίας, μαθόντες ὡς σατανικόν ἐστιν ὅλον τὸ βάραθρον καὶ τῆς ἐπιβουλῆς τῆς ἐκείνου αὕτη ἡ ἐνέδρα. Ἵνα γὰρ καὶ τῶν ἡμετέρων ἀμελήσωμεν, καὶ χαλεπωτέρας ἑαυτοῖς καταστήσωμεν τὰς εὐθύνας, εἰς ταύτην ἡμᾶς τὴν συνήθειαν ὁ διάβολος ἤγαγε· μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ὅτι λόγον δώσομεν ὧν εἰρήκαμεν τότε, ἀλλ' ὅτι καὶ τὰ ἡμέτερα ἁμαρτήματα χαλεπώτερα ταύτῃ ποιήσομεν, πάσης ἑαυτοὺς ἀποστεροῦντες ἀπολογίας. Ὁ γὰρ πικρῶς τὰ ἀλλότρια ἐξετάζων, ἐν τοῖς καθ' ἑαυτὸν πλημμελήμασιν οὐδεμιᾶς ἀπολαύσεται συγγνώμης ποτέ. Οὐδὲ γὰρ ἀπὸ τῆς φύσεως τῶν πεπλημμεληκότων ἡμῖν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κρίσεως τῆς σῆς περὶ ἑτέρων οἴσει τὴν ψῆφον ὁ Θεός. Διὰ τοῦτο παρήνεσε λέγων, « Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· » οὐ γὰρ οἷον γέγονε τὸ ἁμάρτημα, τοιοῦτον ἐκεῖ φανεῖται λοιπὸν, ἀλλὰ πολλήν τινα καὶ ἀπαραίτητον προσθήκην λήψεται ἀπὸ τῆς εἰς τὸν σύνδουλόν σου παρὰ σοῦ γεγενημένης κρίσεως. Ὥσπερ γὰρ ὁ φιλάνθρωπος καὶ ἥμερος καὶ συγγνωμονικὸς ὑποτέμνεται τὸν πλείονα τῶν ἁμαρτημάτων ὄγκον, οὕτως ὁ πικρὸς καὶ ὠμὸς καὶ ἀπαραίτητος πολὺ τοῖς οἰκείοις ἁμαρτήμασι προστίθησι μέγεθος. Ἐξορίσωμεν τοίνυν ἀπὸ τοῦ στόματος ἡμῶν κακηγορίαν ἅπασαν, εἰδότες ὅτι κἂν τέφραν ἐσθίωμεν, οὐδὲν ὄφελος ἡμῖν τῆς σκληραγωγίας ταύτης, ἂν κακηγορίας μὴ ἀποσχώμεθα. Οὐ γὰρ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα ἀπὸ τοῦ στόματος. Εἴ τις ἀναχινήσειε βόρβορον σοῦ παριόντος, εἰπέ μοι, οὐ λοιδορεῖς καὶ ὑβρίζεις τὸν τοῦτο ποιοῦντα; Τοῦτο καὶ ἐπὶ τῶν κακηγόρων ποίησον. Οὐ γὰρ οὕτως ἀναχινούμενος βόρβορος πλήττει τὴν μήνιγγα τῶν τὴν ὀσμὴν δεχομένων ἐκείνην, ὡς ἁμαρτήματα ἀλλότρια ἀναχινούμενα καὶ βίος ἀκάθαρτος ἐκκαλυπτόμενος λυπεῖ τῶν ἀκουόντων τὴν ψυχὴν καὶ ἐξίστησιν. Ἀπεχώμεθα τοίνυν κακηγορίας, αἰσχρολογίας, βλασφημίας, καὶ μήτε τὸν πλησίον μήτε τὸν Θεὸν λέγωμεν κακῶς. Πολλοὶ γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν τῶν κακηγόρων, ὡς ἀπὸ τῶν συνδούλων ἐπὶ τὸν δεσπότην ἀναστῆσαι τὴν γλῶτταν τὴν ἑαυτῶν. Ὅσον δέ ἐστι τοῦτο τὸ κακὸν, τῶν κατεχόντων νῦν ἡμᾶς μάνθανε πραγμάτων. Ἰδοὺ γοῦν ἄνθρωπος ὑβρίσθη, καὶ πάντες ἐδείσαμεν καὶ τρέμομεν εἴ τε ὑβριστὰς εἴ τε μηδὲν

nostra negligantur, quam quod aliena satagimus curioseque scrutamur : non enim vacat homini maledico et alienos exquirenti mores, propriam quandoque vitam curare. Nam omni ejus studio in alienorum curiositatem impenso, necesse est omnia ipsius temere et negligenter jacere. Etenim bene nobiscum agi putandum est, si omne otium in propriorum curam peccatorum et judicium impendentes proficere possimus : cum vero semper aliena cures, quando tandem de tuis sollicitus eris malis ?

6. Fugiamus igitur, dilecti, fugiamus detractiones, docti id esse plane diaboli barathrum et ipsa perfidiæ ejus subsessa. Ut enim nostra negligamus, et graviores nobis reatus constituamus, in hanc nos consuetudinem diabolus duxit; imo vero non id ibi solum inest mali, quod tunc rationem dabimus eorum quæ diximus, sed etiam quod peccata nostra sic graviora faciemus, omni nos excusatione privantes : qui enim acerbe aliena exquirit, in suis delictis nullam unquam veniam nanciscetur. Non enim tantum a peccatorum nostrorum natura solum, sed et ex judicio de aliis nostro sententiam Deus proferet : idcirco admonuit dicens (*Matth.* 7. 1), *Nolite judicare, ne judicemini :* non enim quale fuit peccatum, tale illic in futurum apparebit; sed magnam quamdam et inevitabilem additionem a judicio in conservum facto accipiet. Sicut enim humanus et mitis et clemens majus peccatorum onus succidit : ita acerbus et crudelis et implacabilis magnum propriis pondus peccatis apponit. Eliminemus igitur omnem ex ore nostro detractionem, scientes quod, etsi cinerem comedamus, nulla nobis asperæ vitæ hujus utilitas erit, nisi a detractione abstineamus : non enim quæ intrant coinquinant hominem, sed quæ exeunt ex ore (*Matth.* 15. 17. 18). Si quis te prætereunte stercus commoveat, nonne, quæso, illum convicio et contumelia afficias? Hoc fac et erga detractores. Non enim sic commotum stercus fœtorem illum suscipientium cerebri membranam percellit, sicut aliena peccata excussa, et vita impura patefacta, audientium animos contristare et perturbare solent. Abstineamus igitur a detractione, turpiloquio, blasphemia, et neque proximo neque Deo maledicamus : multi enim obtrectatorum eo furoris progressi sunt, ut a conservis in ipsum Dominum linguam suam extulerint. Quantum vero sit hoc malum, ex rebus nunc nos urgentibus disce. Ecce enim homo injuriam passus est, et omnes timemus et tremimus, et qui intulerunt injuriam, et qui de nulla hujus-

ἑαυτοῖς συνειδότες τοιοῦτον· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἡμέραν ὑβρίζεται· τί λέγω καθ' ἑκάστην ἡμέραν; καθ' ἑκάστην μὲν οὖν ὥραν, παρὰ πλουτούντων, παρὰ πενήτων, παρὰ τῶν ἐν ἀνέσει, παρὰ τῶν ἐν θλίψει, παρὰ τῶν ἐπηρεαζόντων, παρὰ τῶν ἐπηρεαζομένων, καὶ οὐδεὶς οὐδαμοῦ λόγος. Διὰ τοῦτο συνεχώρησεν ὑβρισθῆναι τὸν δμόδουλον, ἵνα ἀπὸ τοῦ κινδύνου τοῦ διὰ τὴν ὕβριν γενομένου ταύτην τοῦ Δεσπότου τὴν φιλανθρωπίαν μάθῃς. Καίτοι τοῦτο νῦν πρῶτον καὶ μόνον γέγονεν, ἀλλ' ὅμως οὐδὲ διὰ τοῦτο προσδοκῶμεν ἀπολαύσεσθαι συγγνώμης τινὸς οὐδὲ ἀπολογίας· τὸν δὲ Θεὸν καθ' ἑκάστην παροργίζομεν τὴν ἡμέραν, καὶ οὐδεμίαν ποιούμεθα τὴν ἐπιστροφὴν, καὶ ἔτι φέρει μετὰ μακροθυμίας ἁπάσης. Εἶδες πόση ἡ φιλανθρωπία τοῦ Δεσπότου; Καίτοι γε ἐπὶ τῇς παρανομίας ταύτης οἱ πεπλημμεληκότες ἑάλωσαν, καὶ εἰς δεσμωτήριον ἐνέπεσον, καὶ δίκην ἔδοσαν, ἀλλ' ὅμως ἔτι δεδοίκαμεν· καὶ γὰρ οὔπω ἤκουσε τὰ γεγενημένα ὁ ὑβρισθεὶς, οὐδὲ ψῆφον ἐξήνεγκε, καὶ πάντες τρέμομεν· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἀκούει τὴν ἡμέραν τὰς εἰς αὐτὸν γινομένας ὕβρεις, καὶ οὐδεὶς ἐπιστρέφεται, καὶ ταῦτα οὕτως ὄντος ἡμέρου καὶ φιλανθρώπου τοῦ Θεοῦ. Ἔκεῖ μὲν γὰρ ἀρκεῖ τὸ ἁμάρτημα μόνον εἰπεῖν καὶ λῦσαι τὸ ἔγκλημα· ἐπὶ δὲ τῶν ἀνθρώπων τοὐναντίον ἅπαν· ὅταν ὁμολογήσωσιν οἱ ἡμαρτηκότες, τότε μειζόνως κολάζονται· ὃ δὴ καὶ νῦν γέγονε, καὶ οἱ μὲν σιδήρῳ, οἱ δὲ πυρὶ, οἱ δὲ θηρίοις παραδοθέντες ἀπώλοντο, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ παῖδες, καὶ οὐ τὸ τῆς ἡλικίας ἄωρον, οὐχ ἡ τοῦ δήμου ῥώμη, οὐ τὸ μανίᾳ δαιμόνων ἐμπρησθέντας ταῦτα ποιῆσαι, οὐχ ἡ δοκοῦσα ἀπαίτησις ἀφόρητος εἶναι, οὐ πενία, οὐ τὸ κοινῇ μετὰ πάντων ἁμαρτεῖν, οὐ τὸ ὑποσχέσθαι μηδέποτε τοιαῦτα τολμήσειν λοιπὸν, οὐκ ἄλλο οὐδὲν αὐτοὺς ὅλως ἐξείλετο, ἀλλὰ συγγνώμης χωρὶς ἁπάσης ἐπὶ τὸ βάραθρον ἀπήγοντο, στρατιωτῶν ἐνόπλων ἑκατέρωθεν αὐτοὺς προαγόντων καὶ παρατηρούντων μή τις ἐξαρπάσῃ τοὺς καταδίκους· καὶ παρηκολούθουν μητέρες πόρρωθεν μὲν ὁρῶσαι τοὺς παῖδας ἀποτεμνομένους, δδύρεσθαι δὲ τὴν συμφορὰν οὐ τολμῶσαι· ἐνίκα γὰρ τὸ πάθος ὁ φόβος, καὶ τῆς φύσεως ἐκράτει τὸ δέος. Καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ τῆς γῆς ὁρῶντες ἄνθρωποι ὀδυνῶνται μὲν, προσελθεῖν δὲ καὶ ἐξελέσθαι τοὺς καταποντιζομένους οὐκ ἔχουσιν· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ ὑπὸ κυμάτων τινῶν τῷ φόβῳ τῶν στρατιωτῶν ἀνειργόμεναι αἱ μητέρες οὐ μόνον προσελθεῖν καὶ ἐξελέσθαι τῆς καταδίκης αὐτοὺς οὐκ ἐτόλμησαν, ἀλλὰ καὶ ὀκρῶσαι ἔδεισαν.

Ἆρα στοχάζεσθε ἐντεῦθεν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, πῶς ἄφατος, πῶς ἄπειρος, πῶς πάντα ὑπερβαίνει λόγον; Ἐνταῦθα μὲν γὰρ καὶ τῆς αὐτῆς οὐσίας ὁ ὑβρισθεὶς, καὶ ἅπαξ τοῦ παντὸς χρόνου τοῦτο πέπονθε, καὶ οὐ κατ' ὄψιν οὐδὲ παρὼν καὶ ὁρῶν καὶ ἀκούων, καὶ ὅμως οὐδεὶς ἔτυχε συγγνώμης τῶν τετολμηκότων· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων ἔστιν εἰπεῖν. Καὶ γὰρ

modi re sibi sunt conscii : Deus autem per singulos dies injuria afficitur; quid dico per singulos dies? imo vero per singulas horas, a divitibus, a pauperibus, a quietis, ab afflictis, a calumniantibus, a calumniam ferentibus, neque ullus usquam id curat. Ideo conservum violari permisit, ut ex periculo per contumeliam exorto discas Domini benignitatem. Atqui hoc nunc primum factum est et solum; nihilominus ne sic quidem nos ullam assequuturos esse veniam vel excusationem exspectamus; Deum vero quotidie irritamus, et nullam facimus conversionem, et adhuc cum omni longanimitate sustinet. Vidisti quanta Domini sit clementia? Et in hac quidem prævaricatione qui peccaverunt, capti sunt, et in carcerem detrusi, pœnasque dederunt; sed tamen adhuc timemus : necdum enim facta læsus audivit, neque sententiam enuntiavit, et omnes tremimus; Deus vero quotidie contumelias in se factas audit, et nemo convertitur, licet ille sit tam clemens et mitis. Illi peccatum dicere sufficit, et crimen solvitur; in hominibus vero contrarium penitus : cum peccatores confessi fuerint, tunc magis puniuntur : quod quidem et nunc factum est. Nam hi quidem ferro, illi vero igni, quidam autem bestiis traditi perierunt, non viri tantum, sed et pueri : nec ætatis immaturitas, nec populi tumultus, nec quod furore diabolico incensi quidam hæc fecerint, nec quod exactio intolerabilis esset, non paupertas, non quod commune omnibus peccatum fuerit, non quod promiserint numquam se amplius talia ausuros, non aliud quidquam omnino ipsos eripuit; sed absque omni venia ad barathrum abducebantur, militibus armatis utrimque ipsos agentibus, et observantibus ne quis reos eriperet : et sequebantur matres, procul quidem filios conspicientes occidi, calamitatem autem conqueri non audentes; affectum enim vincebat formido, et naturam imperabat metus. Et sicut naufragos a terra contentos homines dolent quidem, accedere autem et submersos eripere non valent : ita quidem et hic, tanquam fluctibus quibusdam, militum timore prohibitæ matres, non tantum accedere et ipsos a damnatione eruere non audebant, sed et deplorare timebant.

An hinc Dei misericordiam conjicitis quam ineffabilis sit? quam infinita? quomodo omnem transcendat orationem? Hic quidem is qui læsus est, et ejusdem est naturæ, et semel ex omni tempore hoc passus est, et non coram, neque præsens et cernens et audiens, et tamen nemo reorum veniam assecutus est : de Deo autem nihil horum di-

τοσοῦτόν ἐστι τὸ μέσον ἀνθρώπου καὶ Θεοῦ, ὅσον οὐδὲ λόγος παραστῆσαι δυνήσεται, καὶ καθ' ἑκάστην ὑβρίζεται τὴν ἡμέραν, παρὼν καὶ ὁρῶν καὶ ἀκούων, καὶ οὔτε σκῆπτὸν ἀφῆκεν, οὔτε τὴν θάλατταν τῇ γῇ ἐπιβραμεῖν ἐκέλευσε καὶ καταποντίσαι πάντας, οὔτε τῇ γῇ διαστῆναι καὶ δέξασθαι πάντας τοὺς ὑβριστὰς προσέταξεν, ἀλλ' ἀνέχεται καὶ μακροθυμεῖ, καὶ συγγνώσεσθαι ἐπαγγέλλεται [τοῖς ὑβριστοῖν], ἂν μετανοήσωσι μόνον καὶ ὑπόσχωνται μηκέτι ταῦτα ποιεῖν. Ἀληθῶς καιρὸν νῦν ἀνακραγεῖν, « Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; » Πόσοι τοῦ Θεοῦ τὰς εἰκόνας οὐχὶ κατήνεγκαν μόνον, ἀλλὰ καὶ κατεπάτησαν; ὅταν γὰρ ἄγχῃς τὸν ὑπεύθυνον, ὅταν ἀποδύῃς, ὅταν ἕλκῃς, ὅταν καταβάλλῃς, τοῦ Θεοῦ τὴν εἰκόνα καταπατεῖς. Ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος ὅτι Ἄνθρωπος οὐκ ὀφείλει καταχαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· καὶ πάλιν αὐτοῦ τοῦ Θεοῦ λέγοντος, « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. » Ἂν δὲ λέγῃς ὅτι οὐχὶ τῆς αὐτῆς οὐσίας ὁ ἄνθρωπός ἐστι τῷ Θεῷ, τί τοῦτο; Οὐδὲ γὰρ ὁ χαλκὸς τοῦ ἀνδριάντος τῆς αὐτῆς οὐσίας ἦν τῷ βασιλεῖ, ἀλλ' ὅμως δίκην ἔδοσαν οἱ τολμήσαντες· ὥστε καὶ ἐπὶ τῶν ἀνθρώπων, εἰ καὶ μὴ τῆς αὐτῆς οὐσίας εἰσὶ τῷ Θεῷ οἱ ἄνθρωποι, ὥσπερ οὖν οὐδέ εἰσιν, ἀλλ' ὅμως εἰκὼν ἐκλήθησαν, καὶ διὰ τὴν προσηγορίαν ἔδει τιμῆς ἀπολαύειν αὐτούς· σὺ δὲ ὑπὲρ ὀλίγου χρυσίου καταπατεῖς, ἄγχεις, σύρεις, καὶ οὐδεμίαν οὐδέπω δίκην ἔδωκας τήμερον.

Γένοιτο μὲν οὖν τινα χρηστὴν καὶ δεξιὰν γενέσθαι μεταβολήν. Ἐκεῖνο μέντοι προλέγω καὶ διαμαρτύρομαι, ὅτι κἂν τοῦτο παρέλθῃ τὸ νέφος, ἡμεῖς δὲ ἐπὶ τῆς αὐτῆς μένωμεν ῥᾳθυμίας, πάλιν πολλῷ χαλεπώτερα πεισόμεθα τῶν νῦν προσδοκωμένων· ἐπεὶ καὶ νῦν οὐχ οὕτω δέδοικα τοῦ βασιλέως τὴν ὀργήν, ὡς τὴν ὑμετέραν δέδοικα ῥᾳθυμίαν. Οὐ γὰρ δὴ τὸ λιτανεῦσαι δύο καὶ τρεῖς ἡμέρας ἀρκεῖ πρὸς ἀπολογίαν ἡμῖν, ἀλλ' ἐλεύθερον δεῖ τοῦ βίου ποιήσασθαι τὴν μεταβολήν, καὶ τῆς πονηρίας ἀποστάντας μένειν ἐπὶ τῆς ἀρετῆς διηνεκῶς. Καθάπερ γὰρ οἱ νοσοῦντες, ἂν μὴ διαπαντὸς εὐτακτῶσιν, οὐδὲν αὐτοῖς ὄφελος τῆς μέχρι τριῶν ἢ τεσσάρων ἡμερῶν φιλοσοφίας· οὕτω καὶ οἱ ἁμαρτάνοντες, ἂν μὴ διαπαντὸς σωφρονῶσιν, οὐδὲν αὐτοῖς ἔσται πλέον ἀπὸ τῆς διορθώσεως τῶν δύο καὶ τριῶν ἡμερῶν. Ὥσπερ γάρ, φησὶν, ὁ βαπτιζόμενος, εἶτα ἐν τῷ βορβόρῳ μολυνόμενος πάλιν, οὐδὲν ὠφέλησεν· οὕτως ὁ τρεῖς ἡμέρας μετανοήσας, καὶ πάλιν ἐπὶ τὰ πρότερα ἐπανελθών, οὐδὲν εἰργάσατο πλέον. Μὴ τοίνυν, ὅπερ ἀεὶ ποιοῦμεν, τοῦτο καὶ νῦν ποιήσωμεν· καὶ γὰρ σεισμῶν καταλαβόντων πολλάκις καὶ λιμοῦ καὶ αὐχμοῦ, τρεῖς καὶ τέσσαρας ἡμέρας σωφρονισθέντες καὶ ἐπιεικέστεροι γενόμενοι, πάλιν ἐπὶ τὰ πρότερα ἐπανήλθομεν· διὰ τοῦτο καὶ ταῦτα γεγένηται. Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ἐπὶ τῆς αὐτῆς

cere licet; etenim tantum est Dei et hominis discrimen, quantum nemo verbis poterit exprimere: ac quotidie ille contumelia afficitur præsens et videns et audiens, et neque fulmen immisit, neque mare jussit terram inundare et omnes submergere, neque terram hiare et temeratores absorbere mandavit, sed tolerat, et longanimiter agit, et veniam se daturum promittit contumeliæ auctoribus, si tantum pœnitentiam agant, et se non amplius hæc facturos polliceantur. Vere nunc tempus exclamandi (*Psal.* 105. 2), *Quis loquetur potentias Domini? auditas faciet omnes laudes ejus?* Quot homines Dei imagines non tantum dejecerunt, sed etiam conculcaverunt? cum enim reum angas, cum dispolies, cum trahas, cum dejicias, Dei imaginem conculcas. Audi certe Paulum dicentem (1. *Cor.* 11. 7) quod homo non debet operire caput, imago enim et gloria Dei est: et rursus ipsum Deum dicentem (*Gen.* 1. 26), *Faciamus hominem secundum imaginem et similitudinem nostram.* Si vero dicas, non esse ejusdem substantiæ hominem atque Deum, quid tum? Neque enim æs statuæ ejusdem est atque Imperator substantiæ, sed tamen hanc ausi lædere pœnas dederunt: sic et in hominibus, etsi non ejusdem cum Deo substantiæ sunt homines, sicut nec sunt, tamen imago ejus vocati sunt, et propter appellationem ipsos honorem recipere oportebat. Tu vero propter paululum auri conculcas, angis, trahis, et nullam adhuc pœnam dedisti!

7. Contingat igitur hodie quamdam bonam et dexteram fieri mutationem. Illud certe vobis prædico, et contestor, quod etsi hæc præterierit nubes, si nos in eodem manserimus torpore, rursum multo his, quæ in præsentiarum exspectantur, patiemur pejora: quippe nunc etiam non tantum Imperatoris iram, quantum segnitiem vestram timeo. Non enim duobus aut tribus diebus supplicasse nobis ad defensionem sufficit, sed plenam vitæ mutationem fieri oportet, ut a malitia desistentes in virtute permaneamus continue. Sicut enim ægrotantes, nisi semper ordinate vixerint, nulla ipsis disciplinæ per tres aut quatuor dies servatæ utilitas: sic et peccantes, nisi semper sobrii sint, nihil proderit ipsis duorum vel trium dierum correctio. Ut enim, dicitur, lotus et postea in luto rursum inquinatus nihil profecit: sic per tres dies agens pœnitentiam, et rursum ad priora revertens, nihil lucratus est. Ne igitur, quod semper facimus, hoc et nunc faciamus. Etenim terræ motibus sæpius comprehendentibus, et fame et siccitate, tribus vel quatuor diebus moderati et mansuetiores facti, rursus ad priora rediimus, propterea que hæc acciderunt. Sed si non prius, nunc saltem in eadem

μείνωμεν εὐλαβείας, καὶ τὴν αὐτὴν ἐπιείκειαν διατηρήσωμεν, ἵνα μὴ πάλιν ἑτέρας δεηθῶμεν πληγῆς. Μὴ γὰρ οὐκ ἠδύνατο κωλῦσαι τὰ γεγενημένα ὁ Θεός; Ἀλλ' ἀφῆκεν, ἵνα τοὺς καταφρονοῦντας αὐτοῦ ἐν τῷ τοῦ συνδούλου φόβῳ σωφρονεστέρους ἐργάσηται. Καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ τῶν αἰτίων διέφυγον, πολλοὶ δὲ τῶν ἀναιτίων ἐνέπεσαν· καὶ γὰρ τοῦτο πολλῶν πολλάκις ἀκούω λεγόντων, οὐκ ἐπὶ τῆς παρούσης στάσεως μόνον, ἀλλὰ καὶ ἐν ἑτέραις πολλαῖς τοιαύταις περιστάσεσι. Τί οὖν ἂν εἴποιμι πρὸς τοὺς τὰ τοιαῦτα λέγοντας; Ὅτι εἰ καὶ τῆς παρούσης στάσεως ἀναίτιος ἦν ὁ ἁλούς, ἀλλ' ἑτέραν ἁμαρτίαν εἰργάσατό ποτε χαλεπωτέραν, εἶτα μὴ μεταβαλόμενος, ἐν τῇ παρούσῃ δίκην ἔδωκε. Καὶ γὰρ ἔθος τῷ Θεῷ τοῦτο ποιεῖν· ὅταν ἁμάρτωμεν, οὐκ εὐθέως ἐπεξέρχεται τοῖς πλημμελήμασιν, ἀλλ' ἀνίησι, διδοὺς ἡμῖν προθεσμίαν μετανοίας, ὥστε διορθώσασθαι καὶ μεταβαλέσθαι· ἂν δὲ διὰ τὸ μὴ δοῦναι δίκην, νομίσαντες καὶ τὸ ἁμάρτημα ἐξηλεῖφθαι, καταφρονήσωμεν, ἔνθα οὐχ ὑπονοοῦμεν, ἐκεῖ μετὰ ταῦτα ἁλωσόμεθα πάντως. Τοῦτο δὲ γίνεται, ἵνα ὅταν ἁμάρτωμεν καὶ μὴ κολασθῶμεν, μὴ θαρσήσωμεν, ἂν μὴ μεταβαλώμεθα, εἰδότες ὅτι ἔνθα οὐ προσδοκῶμεν, ἐμπεσούμεθα πάντως. Ὥστε, ἂν ἁμάρτῃς καὶ μὴ κολασθῇς, μὴ καταφρονήσῃς, ἀγαπητέ· ἀλλὰ δι' αὐτὸ τοῦτο μειζόνως φοβήθητι, εἰδὼς ὅτι κοῦφον τῷ Θεῷ, ὅταν ἐθέλῃ, ἀνταποδοῦναι πάλιν. Διὰ γὰρ τοῦτό σε τότε οὐκ ἐκόλασεν, ἵνα λάβῃς προθεσμίαν μετανοίας. Μὴ τοίνυν λέγωμεν ὅτι ἀναίτιος ὢν ἐνέπεσεν ὁ δεῖνα, ἕτερος δὲ αἴτιος ὢν διέφυγεν· ὅ τε γὰρ ἀναίτιος ἐμπεσὼν, ὥσπερ ἔφην, ἑτέρων ἁμαρτημάτων ἔδωκε δίκην, ὅ τε νῦν διαφυγών, ἐὰν μὴ μεταβάληται, εἰς ἑτέραν ἁλώσεται παγίδα. Ἂν οὕτω διακεώμεθα, οὐδέποτε τῶν οἰκείων ἁμαρτημάτων ἐπιλησόμεθα, ἀλλ' ἀεὶ δεδοικότες, τρέμοντες, μήποτε ὑπόσχωμεν δίκην, ἀναμνησθησόμεθα ταχέως αὐτῶν. Οὐδὲν γὰρ οὕτως ἁμαρτίας ἀναμιμνήσκειν εἴωθεν, ὡς τιμωρία καὶ κόλασις· καὶ τοῦτο δῆλον ἀπὸ τῶν τοῦ Ἰωσὴφ ἀδελφῶν. Ἐπειδὴ γὰρ ἀπέδοντο ἐκεῖνοι τὸν δίκαιον καὶ ἔτη τρία καὶ δέκα παρῆλθεν, ὑποπτεύοντες κολάζεσθαι καὶ περὶ τῶν ἐσχάτων δεδοικότες, ἀνεμνήσθησαν τῆς ἁμαρτίας, καὶ πρὸς ἀλλήλους ἔλεγον, « Ναὶ, ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ Ἰωσήφ. » Ὁρᾷς πῶς ὁ φόβος ἀνέμνησεν αὐτοὺς τῆς πλημμελείας ἐκείνης; Καὶ ὅτε μὲν ἡμάρτανον, οὐκ ἠσθάνοντο· ὅτε δὲ κολάζεσθαι προσεδόκησαν, τότε ἀνεμνήσθησαν.

Ταῦτ' οὖν εἰδότες ἅπαντα, ποιησώμεθα τοῦ βίου μεταβολὴν καὶ διόρθωσιν, καὶ πρὸ τῆς ἀπαλλαγῆς τῆς ἐπικειμένης ἀγωνίας ὑπὲρ εὐλαβείας καὶ ἀρετῆς φροντίσωμεν. Καὶ τέως τρεῖς ἐντολὰς ὑμῖν παρακαταθέσθαι βούλομαι, ἵνα μοι ταύτας ἐπὶ τῆς νηστείας κατορθώσητε· τὸ μηδένα κακῶς λέγειν, τὸ μηδένα ἐχθρὸν ἔχειν, τὸ καθόλου πᾶσαν ἐκ τοῦ στόματος ἀπελάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Καὶ κα-

permaneamus pietate, et eamdem mansuetudinem servemus, ne rursum altero indigeamus flagello. Annon poterat Deus ea, quæ acciderunt, prohibere? Sed permisit, ut se contemnentes per conservi metum modestiores efficeret. Ne mihi quis dicat, quod multi sontium effugerunt, multi vero insontium in pœnam inciderunt: etenim hoc dicentes sæpe multos audio, non in præsenti tantum seditione, sed et in aliis multis hujusmodi negotiis. Quid igitur talia dicentibus objiciendum? Quod etsi in præsenti seditione insons erat is qui captus est, tamen aliud peccatum aliquando gravius commisit, deinde non mutatus, nunc dedit pœnas. Etenim hoc facere Deus consuevit: cum peccaverimus, non statim peccata ulciscitur, sed remittit, dans nobis pœnitentiæ tempus, ut corrigamur et mulcemur; si vero quod non dederimus pœnas, peccatum deletum esse existimantes, contemserimus, ubi non putamus, ibi post hæc omnino capiemur. Hoc autem fit, ut cum peccaverimus nec fuerimus puniti, non confidamus, nisi fuerimus mutati, scientes quod ubi non exspectamus, omnino cademus. Itaque si peccaveris et punitus non fueris, ne contemnas, dilecte; sed propter hoc ipsum magis time, sciens quod facile Deo est, quando velit, iterum retribuere. Ideo enim tum te non punivit, ut habeas pœnitentiæ tempus. Ne igitur dicamus, quod crimine carens ille ceciderit, alter vero facinoris auctor effugerit. Innocens etenim punitus, ut ante dixi, aliorum peccatorum pœnas luit: et qui nunc effugit, nisi mutatus fuerit, in alio capietur laqueo. Si ea mente simus, numquam propriorum obliviscemur peccatorum, sed semper timentes, trementes, ne quando subeamus judicium, cito ipsorum recordabimur. Nihil enim sic peccata in memoriam revocare consuevit, ut pœna et castigatio: et hoc manifestum ex fratribus Josephi. Cum enim illi justum vendidissent, et tredecim anni præteriissent, puniri metuentes et de vita timentes, peccati recordati sunt, et inter se dicebant (*Gen.* 42. 21), *Certe: in peccatis enim sumus propter fratrem nostrum Joseph.* Vides quomodo timor ille ipsos peccati sui commonefecit? Et quando peccabant quidem, non sentiebant; quando vero puniri metuebant, tunc recordati sunt.

Hæc igitur omnia scientes, vitam mutemus et corrigamus, et ante liberationem ab angustia nunc obtinente de religione et virtute cogitemus. Et interim tria vobis mandata commendare volo, ut hæc mihi in jejunio præstetis: nemini detrahatis, inimicum habeatis neminem, et omnem prorsus ex ore malam juramentorum consuetudinem expel-

θάπερ ἐπειδὰν χρυσίον ἐπιβληθὲν ἀκούσωμεν, ἁπιὼν οἰκαδε ἕκαστος καὶ τὴν γυναῖκα καλέσας καὶ τὰ παιδία καὶ τοὺς οἰκέτας, σκοπεῖ μετ' ἐκείνων καὶ βουλεύεται πόθεν τὴν εἰσφορὰν καταβάλῃ ταύτην· οὕτω καὶ ἐπὶ τῶν ἐντολῶν ποιήσωμεν τούτων τῶν πνευματικῶν. Ἀναχωρήσας οἰκαδε ἕκαστος, καλείτω τὴν γυναῖκα καὶ τὰ παιδία, καὶ λεγέτω ὅτι εἰσφορὰ ἐπεβλήθη πνευματικὴ τήμερον, εἰσφορὰ δι' ἧς ἔσται τις λύσις καὶ τῶν δεινῶν τούτων ἀπαλλαγὴ, εἰσφορὰ οὐχὶ πένητας τοὺς καταβάλλοντας, ἀλλὰ πλουσιωτέρους ποιοῦσα, ὥστε μηδένα ἐχθρὸν ἔχειν, μηδένα κακῶς λέγειν μηδὲ ὀμνύναι καθόλου. Σκοπήσωμεν, φροντίσωμεν, βουλευσώμεθα, ὅπως ἐκπληρώσωμεν τὰς ἐντολὰς ταύτας· πᾶσαν εἰσενεγκώμεθα σπουδὴν, ἀλλήλους ὑπομνήσωμεν, ἀλλήλους διορθώσωμεν, ἵνα μὴ ὀφείλοντες ἀπέλθωμεν ἐκεῖ, εἶτα δεόμενοι δανείσασθαι παρ' ἑτέρων, μὴ τὸ τῶν παρθένων πάθωμεν τῶν μωρῶν καὶ τῆς ἀθανάτου σωτηρίας ἐκπέσωμεν. Ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἐντεῦθεν ὑμῖν ἐγγυῶμαι καὶ ὑπισχνοῦμαι, ὡς καὶ τῆς παρούσης συμφορᾶς ἔσται τις λύσις καὶ τῶν δεινῶν τούτων ἀπαλλαγὴ, καὶ τὸ δὴ πάντων μεῖζον, τῶν μελλόντων ἀγαθῶν ἡ ἀπόλαυσις. Ἔδει μὲν γὰρ ὁλόκληρον ὑμῖν ἐγχειρίζειν τὴν ἀρετὴν, ἀλλὰ τοῦτον ἄριστον ἡγοῦμαι εἶναι τρόπον διορθώσεως, τὸ κατὰ μέρος λαμβάνοντας τοὺς νόμους κατορθοῦν καὶ τότε ἐπὶ τοὺς ἄλλους ἰέναι. Καθάπερ γὰρ ἀρούρας προκειμένης, ὁ γηπόνος κατὰ μέρος διασκάπτων ἅπασαν, οὕτως ἐπὶ τὸ τέλος ἔρχεται· οὕτω καὶ ἡμεῖς ἐὰν νόμον ἑαυτοῖς τοῦτον θῶμεν, ὥστε κατὰ τὴν παροῦσαν τεσσαρακοστὴν ταύτας μετὰ ἀκριβείας κατορθῶσαι τὰς τρεῖς ἐντολὰς, πάντως τῇ τῆς καλῆς ταύτης συνηθείας ἀσφαλείᾳ παραδόντες τὴν φυλακὴν, μετὰ πλείονος τῆς εὐκολίας καὶ ἐπὶ τὰς λοιπὰς ἥξομεν, καὶ πρὸς αὐτὴν ἐλθόντες τῆς φιλοσοφίας τὴν κορυφὴν, καὶ τὸν παρόντα βίον μετὰ χρηστῆς βιωσόμεθα τῆς ἐλπίδος, καὶ ἐν τῷ μέλλοντι μετὰ πολλῆς παραστησόμεθα παῤῥησίας τῷ Χριστῷ, καὶ τῶν ἀπορῥήτων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἐπιτυχεῖν ἡμᾶς, χάριτι κτλ.

latis. Et sicut cum aurum imperatum audierimus, abiens quisque domum et uxorem vocans et filios et servos, considerat cum illis et consultat unde tributum illud eroget : sic et in mandatis his spiritualibus faciamus. Domum quisque regressus, uxorem et filios vocet et dicat : Tributum spirituale hodie impositum est, tributum, inquam, per quod erit quædam horum malorum solutio et liberatio, tributum, quod conferentes non pauperes, sed ditiores facit : ut neminem inimicum habeamus, detrahamus nemini nec omnino juremus. Consideremus, curam agamus, consultemus, quomodo hæc impleamus mandata; omne impendamus studium, nos alter alterum commoneamus, alter alterum corrigamus, ut non debitores abeamus illuc, deinde mutuari ab aliis coacti, illud quod virgines fatuæ patiamur, et immortali salute excidamus. Si sic nostræ instituamus vitæ rationem, hinc vobis spondeo et polliceor, quod et præsentis calamitatis aliqua solutio dabitur et horum malorum liberatio, et, quod omnibus majus est, futurorum fructus bonorum. Oportebat quidem omnem vobis mandare virtutem, sed hunc esse correctionis optimum modum puto, ut singulas leges sumamus et implemus, et tum ad alias pergamus. Sicut enim agro proposito, agricola singulas partes fodiens, hoc modo ad finem venit : sic et nos si legem hanc nobis ponamus, ut per Quadragesimam præsentem hæc tria mandata diligenter exerceamus, procul dubio ubi bonæ hujus consuetudinis præsidio custodiam mandaverimus, cum majore facilitate et ad reliqua veniemus, et ad ipsum disciplinæ verticem pervenientes, tum præsentem vitam bona cum spe transigemus, tum et in futura cum multa Christo fiducia assistemus et arcanis fruemur bonis : quæ nos assequi detur, gratia etc.

ΟΜΙΛΙΑ δ'.

Παράκλησις πρὸς τὸν λαὸν περὶ καρτερίας καὶ ὑπομονῆς ἐκ παραδειγμάτων τοῦ τε Ἰὼβ καὶ τῶν τριῶν παίδων· καὶ περὶ τῆς ὧν ὅρκων ἀποχῆς.

Εὐλογητὸς ὁ Θεὸς ὁ παρακαλέσας τὰς ὀδυνωμένας ὑμῶν ψυχὰς, ὁ στηρίξας δονουμένας ὑμῶν τὰς διανοίας· ὅτι γὰρ ἱκανὴν ἐδέξασθε παράκλησιν, διὰ τῆς σπουδῆς ταύτης ἐδείξατε καὶ διὰ τῆς περὶ τὴν ἀκρόασιν προθυμίας. Οὐ γὰρ ἔστι ψυχὴν ὀδυνωμένην καὶ νέφει κατεχομένην ἀθυμίας δυνηθῆναι μετὰ προθυμίας ἀκοῦσαί τι τῶν λεγομένων· ὑμᾶς δὲ ὁρῶ μετὰ πολλῆς τῆς εὐνοίας καὶ σφοδρᾶς τῆς σπουδῆς ἡμῖν προσέχοντας, πάντα ἀποτιναξαμένους τὰ λυπηρὰ καὶ τῷ τῆς ἀκροά-

HOMILIA IV.

Exhortatio ad populum de patientia et tolerantia, ab exemplis Job et trium puerorum : et de abstinentia a juramentis.

1. Benedictus Deus, qui dolentes animas vestras consolatus est, et vacillantes mentes confirmavit : quod enim congruam ceperitis consolationem, per studium hoc et audiendi promtitudinem demonstratis. Non enim datur animam dolentem et tristitiæ nube pressam posse quæ dicuntur cum promtitudine audire; vos autem video cum multa benevolentia et acri studio nobis attendentes, omnibus tristibus excussis, et audiendi desiderio instantem

σεως ἕρωτι παρωσαμένους τὴν ἐπικειμένην ὀδύνην. Διὰ τοῦτο εὐχαριστῶ μεθ' ὑμῶν τῷ Θεῷ, ὅτι οὐκ ἤλεγξεν ὑμῶν τὴν φιλοσοφίαν ἡ συμφορὰ, οὐδὲ ἐξέλυσεν ὑμῶν τὸν τόνον ὁ φόβος, οὐδὲ ἔσβεσεν ὑμῶν τὴν προθυμίαν ἡ θλῖψις, οὐδὲ ἐμάρανεν ὑμῶν τὸν ζῆλον ὁ κίνδυνος, οὐδὲ ἐνίκησε τὸν περὶ Θεὸν πόθον ὁ τῶν ἀνθρώπων φόβος, οὐδὲ κατέβαλεν ὑμῶν τὴν σπουδὴν ἡ τοῦ καιροῦ δυσκολία· καὶ οὐ μόνον οὐ κατέβαλεν, ἀλλὰ καὶ ἐπέῤῥωσεν· οὐ μόνον οὐκ ἐξέλυσεν, ἀλλὰ καὶ ἐπέτεινεν· οὐ μόνον οὐκ ἔσβεσεν, ἀλλὰ καὶ ἀνῆψε πλέον. Κενέωται μὲν ἡ ἀγορὰ, ἡ δὲ ἐκκλησία πεπλήρωται· ἐκείνη τραγῳδίας ὑπόθεσις, αὕτη χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς ἀφορμή. Ὅταν οὖν ἐμβάλῃς εἰς τὴν ἀγορὰν, ἀγαπητὲ, καὶ τὴν ἐρημίαν θεασάμενος στενάξῃς, κατάφυγε πρὸς τὴν μητέρα, καὶ παραμυθήσεταί σε εὐθέως τῷ πλήθει τῶν οἰκείων τέκνων, καὶ δείξει σοι τῶν ἀδελφῶν ἁπηρτισμένον τὸν χορὸν, καὶ πᾶσαν ἀποκρούσεταί σου τὴν ἀθυμίαν. Ἐπὶ μὲν γὰρ τῆς πόλεως ἐπιθυμοῦμεν ἄνδρας ἰδεῖν, καθάπερ οἱ τὰς ἐρήμους οἰκοῦντες· εἰς δὲ τὴν ἐκκλησίαν καταφεύγοντες, ὑπὸ τοῦ πλήθους στενοχωρούμεθα· καὶ καθάπερ τῆς θαλάττης σταδιαζούσης καὶ πολλῷ τῷ χειμῶνι μαινομένης, εἰς τὸν λιμένα καταφεύγειν ἀναγκάζει ὁ φόβος ἔξωθεν ἅπαντας· οὕτω καὶ νῦν τὰ τῆς ἀγορᾶς κύματα καὶ ὁ τῆς πόλεως χειμὼν πάντας εἰς τὴν ἐκκλησίαν συνελαύνει πάντοθεν, καὶ τῷ συνδέσμῳ τῆς ἀγάπης σφίγγει μετ' ἀλλήλων τὰ μέλη. Εὐχαριστῶμεν τοίνυν καὶ διὰ ταῦτα τῷ Θεῷ, ὅτι τοσοῦτον ἀπὸ τῆς θλίψεως ἐκαρπωσάμεθα κέρδος, ὅτι τοσαύτην ἀπὸ τοῦ πειρασμοῦ τὴν ὠφέλειαν ἐλάβομεν. Ἐὰν μὴ πειρασμὸς, οὐδὲ στέφανος· ἐὰν μὴ παλαίσματα, οὐδὲ βραβεῖα· ἐὰν μὴ σκάμματα, οὐδὲ τιμαί· ἐὰν μὴ θλῖψις, οὐδὲ ἄνεσις· ἐὰν μὴ χειμὼν, οὐδὲ θέρος· καὶ τοῦτο οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν σπερμάτων ἔστιν ἰδεῖν. Καὶ γὰρ ἐκεῖ πολὺν μὲν τὸν ὑετὸν, πολλὴν δὲ τῶν νεφῶν τὴν συνδρομὴν, πολὺν δὲ γενέσθαι δεῖ τὸν κρυμὸν, εἰ μέλλοι κομῶν ὁ στάχυς ἀνίστασθαι· ὅπου δὲ σπόρου καιρὸς, καὶ ὑετοῦ καιρός. Ἐπεὶ οὖν καὶ νῦν ἐφέστηκε χειμὼν, χειμὼν ψυχῶν, οὐκ ἀέρος, σπείρωμεν καὶ ἡμεῖς ἐν τῷ χειμῶνι τούτῳ, ἵνα ἐν τῷ θέρει θερίσωμεν· σπείρωμεν δάκρυα, ἵνα θερίσωμεν ἀγαλλίασιν. Οὐκ ἐμὸς οὗτος ὁ λόγος· προφητικόν ἐστι τὸ παράγγελμα, « Οἱ σπείροντες ἐν δάκρυσι, φησὶν, ἐν ἀγαλλιάσει θεριοῦσιν. » Οὐχ οὕτω τὰ σπέρματα καταφερόμενος ὁ ὑετὸς θάλλειν ποιεῖ καὶ αὔξεσθαι, ὡς τὸν τῆς εὐσεβείας σπόρον ἀνίστησι καὶ παρασκευάζει κομᾷν ὁ ἐκ τῶν δακρύων καταφερόμενος ὑετός· οὗτος ἀποσμήχει ψυχὴν, ἄρδει διάνοιαν, προκύψαι ταχέως ποιεῖ τῆς διδασκαλίας τὴν βλάστην· διὰ τοῦτο καὶ αὔλακα βαθεῖαν ἀνατεμεῖν ἀναγκαῖον· καὶ γὰρ καὶ τοῦτο ὁ προφήτης παρήνεσεν, οὕτως εἰπών· « Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. » Καθάπερ οὖν ὁ τὸ ἄροτρον ἐμβαλὼν κάτωθεν τὴν γῆν ἀναῤῥήγνυσιν, ἀσφαλῆ τοῖς σπέρμασι

angustiam repulisse. Propterea Deo vobiscum gratias ago, quod philosophiam vestram calamitas non vicerit, nec vigorem vestrum timor remiserit, nec alacritatem vestram exstinxerit tribulatio, nec labefecerit zelum vestrum periculi magnitudo, nec superaverit amorem in Deum hominum timor, nec studium vestrum temporis iniquitas dejecerit : imo non tantum non dejecit, sed et confirmavit ; non tantum non remisit, sed etiam intendit; non tantum non exstinxit, sed et accendit amplius. Evacuatum quidem est forum, sed ecclesia repleta : illud luctus materia, hæc gaudii et lætitiæ spiritualis occasio. Cum igitur in forum te contuleris, dilecte, et solitudinem conspicatus ingemueris, confuge ad matrem, et statim te propriorum filiorum multitudine consolabitur, et perfectum ostendet tibi fratrum chorum, et omnem tristitiam abs te removebit. In urbe quidem viros cernere cupimus, tamquam qui deserta habitant ; in ecclesiam vero confugientes multitudine comprimimur. Et quemadmodum mari æstuante et multis procellis furente, ad portum confugere timor omnes cogit : sic et nunc fori procellæ et civitatis hyems omnes in ecclesiam undique compellunt, et caritatis vinculo membra inter se constringunt. Gratias agamus igitur et propter hæc Deo, quod tantum ex tribulatione collegimus emolumentum, quod tantam ex tentatione utilitatem cepimus. Nisi tentatio, nec corona : nisi certamina, nec præmia : nisi stadia, nec honores : nisi tribulatio, nec remissio : nisi hyems, nec æstas. Et hoc non in hominibus tantum, sed in seminibus quoque ipsis intueri licet. Et in his enim multam quidem pluviam, multam vero nubium collisionem, multam denique glaciem fieri oportet, si vernans spica exsurgere debet ; ubi vero sementis tempus, tempus et pluviæ. Postquam igitur et nunc ingruit hyems, hyems animarum, non aeris : seramus et nos in hac hyeme, ut ut in æstate metamus : seminemus lacrymas, ut metamus exsultationem. Non meus hic sermo, prophetica denuntiatio est : *Qui seminant in lacrymis*, inquit (*Psal.* 125. 5), *in exsultatione metent.* Non sic semina demissus imber germinare et crescere facit, ut pietatis semen excitat et vernare facit ex lacrymis ruens imber : hic animam detergit, irrigat mentem, doctrinæ germen brevi promicare facit : propterea et profundum sulcum proscindere necessarium : etenim et hoc propheta admonuit ita dicens (*Jerem.* 4. 3) : *Novate vobis novalia, et nolite seminare in spinis.* Quemadmodum igitur qui aratrum immittit, inferius terram proscindit, tutam seminibus custodiam

προπαρασκευάζων τὴν φυλακήν, ὥστε μὴ κατενεχθέντα ἄνω κεῖσθαι ἐπὶ τῆς ἐπιφανείας, ἀλλ' εἰς αὐτὰς τῆς γῆς παραπεμφθῆναι τὰς λαγόνας, καὶ ἐν ἀσφαλεῖ καταθέσθαι τὰς ῥίζας· οὕτω καὶ ἡμᾶς ἀναγκαῖον ποιεῖν, καὶ καθάπερ ἀρότρῳ τῇ θλίψει κατακρησαμένους ἀναρρῆξαι τῆς καρδίας τὸ βάθος· τοῦτο γὰρ καὶ ἕτερος προφήτης παραινεῖ λέγων, « Διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. » Διαρρήξωμεν τοίνυν τὰς καρδίας, ἵν' εἴ τις πονηρὰ βοτάνη καὶ λοιμὸς δολερός ἐστιν ἐν ἡμῖν, πρόῤῥιζον αὐτὸν ἀνασπάσωμεν, καὶ καθαρὰς τοῖς τῆς εὐσεβείας σπέρμασι παράσχωμεν τὰς ἀρούρας. Ἐὰν γὰρ μὴ νῦν νεώσωμεν, ἐὰν μὴ νῦν σπείρωμεν, ἐὰν μὴ νῦν δακρύσωμεν, ὅτε θλῖψις καὶ νηστεία, πότε ἄλλοτε ἥξομεν εἰς κατάνυξιν; ὅταν ἄνεσις [ἡ] καὶ τρυφή; Ἀλλὰ τοῦτο ἀδύνατον· ἡ γὰρ ἄνεσις καὶ ἡ τρυφὴ εἰς ῥᾳθυμίαν ἐνάγειν εἴωθεν, ὥσπερ ἡ θλῖψις πρὸς σπουδὴν ἐπανάγει, καὶ πεπλανημένην ἔξω καὶ περὶ πολλὰ τὴν διάνοιαν κεχηνυῖαν πρὸς ἑαυτὴν ἐπιστρέφει.

Μὴ τοίνυν ἀλγῶμεν ὑπὲρ τῆς ἀθυμίας ταύτης, ἀλλὰ καὶ εὐχαριστῶμεν τῷ Θεῷ· πολὺ γὰρ ἀπὸ τῆς θλίψεως τὸ κέρδος. Καὶ γὰρ ὁ γεωργὸς ἐπειδὰν σπείρῃ τὰ μετὰ πολλοῦ τοῦ πόνου συλλεγέντα σπέρματα, χειμῶνα γενέσθαι εὔχεται· καὶ ὁ μὲν ἰδιώτης ὁρῶν τὰ γινόμενα πάντα θαυμάσεται καὶ πρὸς ἑαυτὸν ἴσως ἐρεῖ· Τί ποτε ὁ ἄνθρωπος οὗτος ποιεῖ; τὰ συλλεγέντα σκορπίζει, καὶ οὐχὶ σκορπίζει μόνον, ἀλλὰ καὶ ἀναμίγνυσι μετὰ πολλῆς τῆς ἀκριβείας τῇ γῇ, ὥστε αὐτὰ μηδὲ συλλέξαι δυνηθῆναι ῥᾳδίως· καὶ οὐκ ἀναμίγνυσι μόνον τῇ γῇ, ἀλλὰ καὶ εὔχεται γενέσθαι σφοδρὸν τὸν ὑετὸν, ὥστε κατασαπῆναι τὰ καταβληθέντα ἅπαντα καὶ γενέσθαι πηλόν. Καὶ θορυβεῖται βλέπων βροντὰς καταῤῥηγνυμένας καὶ ἀστραπὰς καταφερομένας· ὁ δὲ γηπόνος οὐχ οὕτως, ἀλλὰ χαίρει καὶ ἀγάλλεται χειμῶνα ὁρῶν· οὐ γὰρ τὰ παρόντα βλέπει, ἀλλὰ τὰ μέλλοντα ἀναμένει· οὐ πρὸς τὰς βροντὰς ὁρᾷ, ἀλλὰ τὰ δράγματα ἀναλογίζεται, οὐ τὰ σηπόμενα σπέρματα, ἀλλὰ τοὺς κομῶντας στάχυας, οὐ τὸν φορτικὸν ὑετὸν, ἀλλὰ τὸν ἥδιστον τῆς ἅλω κονιορτόν. Οὕτω δὴ καὶ ἡμεῖς μὴ τὴν θλῖψιν ὁρῶμεν τὴν παροῦσαν, μηδὲ τὴν ὀδύνην, ἀλλὰ τὴν ἐξ αὐτῆς γινομένην ὠφέλειαν, τὸν ἐξ αὐτῆς τικτόμενον καρπόν· ἀναμείνωμεν τῆς ἅλω τὰ δράγματα· καὶ γὰρ ἐὰν νήφωμεν, πολὺν ἀπὸ τοῦ καιροῦ τούτου δυνησόμεθα συναγαγεῖν τὸν καρπὸν, καὶ πληρῶσαι τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας· ἂν νήφωμεν, οὐ μόνον οὐδὲν πεισόμεθα ἀπὸ τῆς θλίψεως ταύτης δεινὸν, ἀλλὰ καὶ μυρία καρπωσόμεθα ἀγαθά· ἂν δὲ ῥᾳθυμῶμεν, καὶ ἡ ἄνεσις ἡμᾶς ἀπολεῖ· τὸν μὲν γὰρ μὴ προσέχοντα ἑκάτερα βλάπτει, τὸν δὲ μετὰ ἀκριβείας ζῶντα ἀμφότερα ὠφελεῖ. Καὶ καθάπερ τὸ χρυσίον κἂν ὕδασιν ὁμιλήσῃ, τὴν οἰκείαν εὐπρέπειαν ἐπιδείκνυται, κἂν εἰς χωνευτήριον ἐμπέσῃ, φαιδρότερον γίνεται πάλιν· ὁ δὲ πηλὸς καὶ ὁ χόρτος κἂν ὕδασιν ἀναμιχθεὶς τύχῃ, ὁ μὲν διαλύεται, ὁ δὲ σήπεται· κἂν

parans, ne jacta in superficie remaneant, sed in ipso terræ sinus condantur, et in tuto radices figant : sic et nos facere necessarium, et tamquam aratro tribulatione utentes, cordis profundum scindere : hoc enim et alius Propheta admonet, dicens (*Joel.* 2. 13), *Scindite corda vestra, et non vestimenta vestra.* Corda igitur scindamus, ut si qua mala herba et dolosa cogitatio nobis inest, radicitus eam vellamus, et puros pietatis seminibus agros exhibeamus. Nisi enim nunc renovemus, nisi nunc seminemus, nisi nunc fundamus lacrymas, cum adest tribulatio et jejunium, quando umquam in compunctionem veniemus? num quando remissio et deliciæ erunt? Sed hoc fieri non potest : remissio enim et deliciæ in segnitiem inducere consueverunt, sicut tribulatio ad studium revocat, et mentem exterius circa multa vagantem et occupatam ad sese convertit.

Ne igitur de hac tristitia doleamus, sed Deo gratias agamus : multum enim ex tribulatione lucrum. Nam et cum agricola semina cum multo labore collecta seminaverit, ut adveniat hyems, exoptat : et ignarus quispiam, omnia quæ fiunt cernens, admirabitur, forteque apud se ipsum dicet : Quid hic homo tandem facit? collecta dissipat, nec dissipat tantum, sed et terræ cum multa cura commiscet, ut ne colligi quidem facile possint; nec commiscet tantum terræ, sed et optat vehementem pluviam, ut projecta omnia putrescant et lutum fiant. Et turbatur ille cernens erumpere fulmina et fulgura deferri; agricola vero non ita, sed lætatur et gaudet tempestatem cernens : non enim præsentia respicit, sed futura exspectat : non respicit ad fulmina, sed manipulos computat; non putrescentia semina, sed vernantes spicas; non gravem imbrem, sed jucundissimum areæ pulverem. Itidem et nos non præsentem spectemus tribulationem, aut dolorem, sed orientem ex ipsa utilitatem, ex ipsa nascentem fructum : exspectemus areæ manipulos; si etenim vigilemus, multum ex hac tempestate fructum congregare, et mentis nostræ penum implere poterimus : si vigilemus, non tantum nihil grave ex hac patiemur tribulatione, sed et innumera bona capiemus; sin vero torpeamus, remissio nos perdet. Non advertentem enim utraque lædunt, cum sedulitate vero viventi utraque prosunt. Et sicut aurum etsi aquis immoretur, propriam præfert speciem; sive in conflatorium ceciderit, splendidius rursum apparet; lutum autem et fœnum, sive aquis immisceri accidat, hoc quidem marcescit, illud vero dissolvitur : sive

εἰς πῦρ ἐμπέσῃ, ὁ μὲν φρύγεται, ὁ δὲ καταχαίεται· οὕτω δὴ καὶ ὁ δίκαιος, καὶ ὁ ἁμαρτωλός· ὁ μὲν γὰρ κἂν ἀνέσεως ἀπολαύῃ, μένει λαμπρὸς, καθάπερ τὸ χρυσίον περικλυζόμενον ὕδατι· κἂν εἰς πειρασμὸν ἐμπέσῃ, φαιδρότερος γίνεται, καθάπερ τὸ χρυσίον βασανιζόμενον ὑπὸ τοῦ πυρός· ὁ δὲ ἁμαρτωλὸς κἂν ἀνέσεως τύχῃ, διαλύεται καὶ κατασήπεται, καθάπερ ὁ χόρτος καὶ ὁ πηλὸς ὁμιλῶν ὕδατι· κἂν πειρασμὸν ὑπομείνῃ, καταχαίεται καὶ ἀπόλλυται, καθάπερ ὁ πηλὸς καὶ ὁ χόρτος ὑπὸ τοῦ πυρός.

Μὴ τοίνυν ἀλύωμεν ἐπὶ τοῖς παροῦσι δεινοῖς· ἐὰν γὰρ ἁμαρτίας ἔχῃς, ἀφανίζονται καὶ καταχαίονται ῥᾳδίως ὑπὸ τῆς θλίψεως· ἐὰν δὲ ἀρετὴν ἔχῃς, λαμπρύνῃ καὶ φαιδρύνῃ ὑπ' αὐτῆς· ἐὰν γὰρ ἀγρυπνῇς διηνεκῶς καὶ νήφῃς, ἀνώτερος ἔσῃ βλάβης ἁπάσης. Οὐ γὰρ ἡ τῶν πειρασμῶν φύσις, ἀλλ' ἡ τῶν πειραζομένων ῥᾳθυμία τὰ πτώματα ἐργάζεσθαι πέφυκεν. Ὥστε εἰ βούλει τρυφᾶν καὶ ἀνέσεως ἀπολαύειν καὶ ἡδονῆς, μὴ ζήτει ἡδονὴν μηδὲ ἄνεσιν, ἀλλὰ ζήτει ψυχὴν ὑπομονῆς γέμουσαν καὶ καρτερίαν ἐπιδείξασθαι δυναμένην· ὡς ἐὰν μὴ τοῦτο ἔχῃς, οὐχὶ πειρασμός σε ἐλέγξει μόνον, ἀλλὰ καὶ ἄνεσίς σε ἀπολεῖ καὶ καταβαλεῖ μειζόνως. Ὅτι γὰρ οὐχ ἡ τῶν δεινῶν προσβολὴ, ἀλλ' ἡ τῆς ἡμετέρας διανοίας ῥᾳθυμία ἀνατρέπει τὴν σωτηρίαν ἡμῶν, ἄκουσον τί φησιν ὁ Χριστός· « Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν· » καὶ πάλιν· « Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ οὐ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. » Ὁρᾷς ὅτι οὐχ αἱ τῶν πειρασμῶν προσβολαὶ, ἀλλ' ἡ τῶν οἰκοδομούντων ἄνοια τὴν πτῶσιν ἐποίησεν; Καὶ γὰρ ἐκεῖ βροχὴ, καὶ ὧδε βροχή· κἀκεῖ ποταμοὶ, καὶ ἐνταῦθα ποταμοί· κἀκεῖ πνευμάτων προσβολαὶ, καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο· κἀκεῖνος ᾠκοδόμησε, καὶ οὗτος ᾠκοδόμησε· καὶ ἡ αὐτὴ οἰκοδομὴ, καὶ οἱ αὐτοὶ πειρασμοί· ἀλλ' οὐ τὸ αὐτὸ τέλος, ἐπειδὴ οὐχ ὁ αὐτὸς θεμέλιος. Οὐ γὰρ τῶν πειρασμῶν ἡ φύσις, ἀλλὰ τοῦ οἰκοδομήσαντος ἡ ἄνοια τὴν πτῶσιν ἐποίησεν· ἐπεὶ ἔδει καὶ τὴν ἐπὶ τῆς πέτρας οἰκοδομηθεῖσαν καταπεσεῖν οἰκίαν, νῦν δὲ οὐδὲν τοιοῦτον ἔπαθεν. Ἀλλὰ μὴ περὶ οἰκίας εἰρῆσθαι ταῦτα νομίζετε· περὶ γὰρ ψυχῆς ἐστιν ὁ λόγος τὴν τῶν θείων λόγων ἀκρόασιν διὰ τῶν ἔργων ἐπιδεικνυμένης ἢ διακρουομένης. Οὕτως ᾠκοδόμησεν αὐτοῦ τὴν ψυχὴν ὁ Ἰώβ· κατέβη ἡ βροχὴ, πῦρ γὰρ ἔπεσε, φησὶν, ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε πάντα τὰ ποίμνια· ἦλθον οἱ ποταμοὶ, οἱ πυκνοὶ καὶ συνεχεῖς καὶ ἐπάλληλοι τῶν συμφορῶν ἄγγελοι, ὁ μὲν

in ignem ceciderit, hoc quidem frigitur, illud autem comburitur : sic sane et justus et peccator : ille quidem sive remissione fruatur, manet splendidius, sicut aurum aquæ immersum; sive in tentationem ceciderit, splendidior fit, sicut aurum igne examinatum : peccator vero sive remissionem nanciscatur, dissolvitur et marcescit, sicut fœnum et lutum aquæ immorans; sive tentationem sustineat, comburitur et perditur, sicut lutum et fœnum ab igne.

2. Non igitur conficiamur præsentibus malis : si enim in peccatis sis, ea destruuntur et comburuntur facile per tribulationem : si vero virtute sis præditus, illustraris et splendescis per ipsam : nam si continue vigiles et sobrius sis, eris omni damno superior. Non enim tentationum natura, sed tentatorum segnities ruinas efficere solet. Itaque si vis gaudere, et remissione et voluptate potiri, neque voluptatem neque remissionem quæras; sed animam patientia plenam quære et tolerantiam exhibere valentem : nam si hoc non habeas, non tantum tentatio te superabit, sed et remissio perdet magisque dejiciet. Quod enim non gravium incursus casuum, sed nostræ mentis torpor salutem nostram subvertat, audi quid dicat Christus (*Matth.* 7. 24—27) : *Quicumque audit verba mea hæc, et facit ea, assimilabitur viro prudenti, qui ædificavit domum suam super petram, et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et irruerunt in domum illam, et non cecidit : fundata enim erat super petram :* et rursum : *Omnis qui audit verba mea hæc, et non facit ea, similis erit viro stulto, qui ædificavit domum suam super arenam, et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et irruerunt in domum illam, et cecidit, et fuit ruina ejus magna.* Vides quod non tentationum infictus, sed ædificantium stultitia ruinam fecerit? Etenim illic pluvia, et hic pluvia; et illic flumina, et hic flumina; illic ventorum incursus, et hic idem : ille ædificavit, et hic ædificavit; eadem ædificatio, et eædem tentationes : sed non idem finis, quoniam non idem fundamentum; non enim tentationum natura, sed ædificantis imprudentia ruinam fecit : alioqui oportuisset et domum supra petram ædificatam cadere; nunc vero nihil tale passa est. Sed ne de domo hæc dicta esse putetis : de anima enim sermo est divinorum verborum auditum per opera demonstrante, vel repellente. Sic animam suam Job ædificavit (*Job.* 1. 16—19) : descendit pluvia, ignis enim de cælo cecidit, et omnes greges absumsit : venerunt flumina, frequentes nempe, continui et sibi succedentes calamitatum nuntii : hic quidem gregum, ille vero

τῶν αἰπολίων, ὁ δὲ τῶν καμήλων, ὁ δὲ τῶν παίδων λέγων τὴν ἀπώλειαν· ἔπνευσαν οἱ ἄνεμοι, τὰ πικρὰ τῆς γυναικὸς ῥήματα· « Εἶπον γάρ τι, φησὶ, ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα » · καὶ οὐκ ἔπεσεν ἡ οἰκία, οὐχ ὑπεσκελίσθη ἡ ψυχὴ, οὐκ ἐβλασφήμησεν ὁ δίκαιος, ἀλλὰ καὶ ηὐχαρίστησεν οὕτως εἰπών· « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. » Ὁρᾷς ὅτι οὐχὶ τῶν πειρασμῶν ἡ φύσις, ἀλλ' ἡ τῶν ῥᾳθυμούντων ὀλιγωρία τὴν πτῶσιν ποιεῖν εἴωθεν; ὡς τόν γε ἰσχυρὸν καὶ ἰσχυρότερον ἡ θλῖψις ἐργάζεται. Τίς ταῦτά φησιν; Ὁ ἐν τῇ θλίψει τραφείς, ὁ μακάριος Παῦλος, οὕτω λέγων· « Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, [ἡ δὲ δοκιμὴ ἐλπίδα]. » Καὶ καθάπερ τὰ ἰσχυρὰ τῶν δένδρων ἡ τῶν ἀνέμων ῥύμη προσπίπτουσα καὶ πάντοθεν βιπίζουσα οὐκ ἀνασπᾷ, ἀλλὰ στερρότερα καὶ ἰσχυρότερα ταῖς προσβολαῖς ταύταις κατασκευάζει· οὕτω καὶ ψυχὴν ἁγίαν καὶ εὐλαβείᾳ συζῶσαν αἱ τῶν πειρασμῶν ἐπαγωγαὶ καὶ τῶν θλίψεων οὐχ ὑποσκελίζουσιν, ἀλλὰ πρὸς πλείονα ὑπομονὴν ἀλείφουσι, καθάπερ καὶ τὸν μακάριον Ἰὼβ λαμπρότερον ἐποίησαν καὶ σεμνότερον. Νῦν μὲν οὖν ἄνθρωπος ἡμῖν ὀργίζεται, ἄνθρωπος ὁμοιοπαθὴς καὶ ὁμόψυχος, καὶ ὀεδοίκαμεν· τότε δὲ ἐκείνῳ δαίμων πονηρὸς καὶ ἄγριος ἦν ὁ ὀργιζόμενος, καὶ οὐχ ἁπλῶς ὠργίζετο, ἀλλὰ πάντα ἐκίνει τὰ μηχανήματα, καὶ πᾶσαν προσῆγεν μαγγανείαν, καὶ οὐδὲ οὕτως ἤλεγξε τοῦ δικαίου τὴν ἀνδρείαν. Καὶ οὗτος μὲν ἄνθρωπος ὢν, νῦν μὲν ὀργίζεται, νῦν δὲ καταλλάττεται, καὶ ὅμως ἀποτεθνήκαμεν τῷ ὄφει· τότε δὲ διάβολος ἦν ὁ πολεμῶν, ὁ μηδέποτε καταλλατόμενος τῇ τῶν ἀνθρώπων φύσει, ἀλλὰ πόλεμον ἄσπονδον καὶ μάχην ἀκήρυκτον πρὸς τὸ γένος ἡμῶν ἀράμενος· ἀλλ' ὅμως κατεγέλασεν αὐτοῦ τῶν βελῶν ὁ δίκαιος. Τίνα οὖν ἂν ἔχοιμεν ἀπολογίαν, ἢ ποίαν συγγνώμην, οὕτως ἀνθρώπινον πειρασμὸν οὐ φέροντες οἱ τοσαῦτα φιλοσοφοῦντες ἐν τῇ χάριτι, τοῦ πρὸ τῆς χάριτος καὶ τῆς παλαιᾶς διαθήκης οὕτω τὸν ἀφόρητον ἐκεῖνον ἐνεγκόντος πόλεμον γενναίως;

Ταῦτ' οὖν ἀεὶ διαλεγώμεθα, ἀγαπητοὶ, πρὸς ἀλλήλους, καὶ διὰ τούτων ἑαυτοὺς παρακαλῶμεν τῶν λόγων. Καὶ γὰρ ὑμεῖς μάρτυρες καὶ τὸ συνειδὸς τὸ ὑμέτερον, ὅσον ἀπὸ τοῦ πειρασμοῦ τούτου τὸ κέρδος ἐσχήκαμεν· ὁ ἀκόλαστος σώφρων ἐγένετο νῦν, ὁ θρασὺς ἐπιεικέστερος, ὁ ῥᾳθυμος σπουδαῖος, οἱ μηδέποτε ἐκκλησίαν ἰδόντες, ἀλλ' ἐν θεάτροις προσεδρεύοντες, ἐν ἐκκλησίᾳ διημερεύουσι νῦν. Διὰ ταῦτα οὖν ἀλγεῖς, εἰπέ μοι, ὅτι σε σπουδαῖον τῷ φόβῳ ἐποίησεν ὁ Θεός; ὅτι σε τῇ θλίψει πρὸς αἴσθησιν τῆς ἑαυτοῦ σωτηρίας ἤγαγεν; Ἀλλ' ὀδυνᾶταί σου τὸ συνειδός; ἀλλὰ τιτρώσκεταί σου καθ' ἑκάστην ἡμέραν ἡ διάνοια θάνατον προσδοκῶσα καὶ ἀπώλειαν μεγίστην; Ἀλλὰ καὶ ἐντεῦθεν ἡμῖν πολλὴ πρὸς ἀρετὴν ἐπίδοσις ἔσται, ἐπιτεινομένης ἡμῖν τῆς εὐλαβείας διὰ τῆς ἀγωνίας. Δυνατὸς μὲν γὰρ ὁ Θεὸς ἅπαντα λῦσαι σήμερον τὰ δεινά· ἀλλ'

camelorum, ille rursus filiorum interitum dicens : flaverunt venti, amara uxoris verba : *Dic*, inquit (*Job.* 2. 9), *verbum contra Dominum, et morere* : et non cecidit domus, non est supplantata anima, non blasphemavit justus; sed et gratias egit, sic dicens (*Job.* 1, 21) : *Dominus dedit, Dominus abstulit, sicut Domino placuit, ita factum est.* Vides quod non tentationum natura, sed torpentium ignavia ruinam facere soleat? nam fortem virum tribulatio fortiorem reddit. Quis hoc ait? In tribulatione nutritus beatus Paulus, ita dicens (*Rom.* 5. 3. 4) : *Tribulatio patientiam operatur, patientia vero probationem, probatio vero spem.* Et sicut firmas arbores ventorum impetus irruens et undique jactans non evellit, sed solidiores et firmiores his incursibus reddit : sic et animam sanctam et pie viventem tentationum incursus et tribulationum non supplantant, atque etiam ad majorem patientiam incitant; sicut et beatum Job splendidiorem et venerabiliorem reddiderunt. Nunc igitur nobis quidem homo irascitur, et homo iisdem passionibus obnoxius, similique anima præditus, et timemus; tunc autem illi dæmon malignus et ferus erat iratus, nec simpliciter irascebatur, sed omnes movebat artes, omnemque adhibebat versutiam, et ne ita quidem justi fortitudinem superavit. Et hic quidem cum homo sit, nunc irascitur, nunc conciliatur, et tamen timore mortui sumus : tunc vero diabolus erat impugnans, qui numquam hominum naturæ conciliatur, sed bellum sine fœdere et prœlia sine induciis generi nostro indixit, et tamen ipsius sagittas justus derisit. Quam igitur nos excusationem, vel qualem veniam habere possumus, humanam tentationem non ferentes, qui tantopere in gratia philosophamur, cum ille ante gratiam et in veteri Testamento illud tam intolerabile bellum generose tuleril?

Hæc igitur, dilecti, semper inter nos disseramus, et per hos sermones nos ipsos exhortemur. Etenim vos testes, conscientiaque vestra, quantum ex hac tentatione utilitatis habuerimus. Dissolutus enim modestus factus est nunc, ferox humanior, segnis studiosus : qui numquam ecclesiam viderant, sed in theatris assidui, nunc in ecclesia tota die morantur. Propterea ne igitur doles, quod te probum timore Deus reddidit? quod te per tribulationem ad tuæ salutis sensum perduxit? Sed torquetur conscientia tua? sed quotidie percellitur mens tua mortem exspectans et perniciem maximam? At hinc quoque nobis magna ad virtutem accessio erit, crescente nobis per angustiam pietate. Potest enim Deus omnia gravia hæc

ἕως ἂν ἴδῃ καθαρθέντας ἡμᾶς, ἕως ἂν ἴδῃ γενομένην ἐπιστροφὴν καὶ μετάνοιαν παγίαν καὶ ἄσειστον, οὐ καταλύει τὴν θλῖψιν. Καὶ γὰρ ὁ χρυσοχόος, ἕως ἂν ἴδῃ τὸ χρυσίον καλῶς ἐκκαθαρθὲν, οὐκ ἀνασπᾷ τοῦ χωνευτηρίου· οὕτω καὶ ὁ Θεὸς οὐ παράγει τοῦτο τὸ νέφος, ἕως ἂν ἡμᾶς σωφρονίσῃ καλῶς. Ὁ γὰρ συγχωρήσας τὸν πειρασμὸν, αὐτὸς οἶδε καὶ τὸν καιρὸν τῆς λύσεως τοῦ πειρασμοῦ. Οὕτω καὶ ὁ κιθαρῳδὸς οὔτε ἐπιτείνει τὴν νευρὰν, ἵνα μὴ διαῤῥήξῃ, οὔτε χαλᾷ πέρα τοῦ μέτρου, ἵνα μὴ λυμήνηται τὴν συμφωνίαν τῆς ἁρμονίας. Οὕτω καὶ ὁ Θεὸς ποιεῖ, οὔτε ἐν ἀνέσει διηνεκεῖ οὔτε ἐν θλίψει μακρᾷ τὴν ἡμετέραν καθίστησι ψυχὴν, κατὰ τὴν αὐτοῦ σύνεσιν ἀμφότερα ταῦτα ποιῶν· οὐκ ἀφίησι μὲν γὰρ διηνεκοῦς ἀνέσεως ἀπολαύειν, ἵνα μὴ γενώμεθα ῥᾳθυμότεροι· οὐκ ἀφίησι δὲ ἐν θλίψει συνεχεῖ εἶναι πάλιν, ἵνα μὴ καταπέσωμεν μηδὲ ἀπαγορεύσωμεν. Αὐτῷ τοίνυν παραχωρῶμεν τοῦ καιροῦ τῆς ἀπαλλαγῆς τῶν δεινῶν, ἡμεῖς δὲ εὐχώμεθα μόνον, ἡμεῖς ἐν εὐλαβείᾳ ζῶμεν. Ἡμῶν μὲν γὰρ ἔργον τὸ μεταβαλέσθαι πρὸς ἀρετὴν, τοῦ Θεοῦ δὲ ἔργον τὸ λῦσαι τὰ δεινά· καὶ γὰρ σοῦ τοῦ πειραζομένου μᾶλλον αὐτὸς βούλεται σβέσαι τὴν πυρὰν ταύτην, ἀλλ' ἀναμένει σου τὴν σωτηρίαν. Ὥσπερ οὖν ἐξ ἀνέσεως ἐγένετο θλῖψις, οὕτω καὶ ἀπὸ θλίψεως ἄνεσιν χρὴ προσδοκᾷν. Οὐδὲ γὰρ ἀεὶ χειμὼν, οὐδὲ ἀεὶ θέρος· οὐκ ἀεὶ κύματα, οὐδὲ ἀεὶ γαλήνη· οὐκ ἀεὶ νὺξ, οὐδὲ ἀεὶ ἡμέρα· οὕτως οὐδὲ ἀεὶ θλῖψις, ἀλλ' ἔσται καὶ ἄνεσις, μόνον ἐὰν ἐν τῇ θλίψει διαπαντὸς εὐχαριστῶμεν τῷ Θεῷ. Καὶ γὰρ οἱ τρεῖς παῖδες εἰς κάμινον ἐνεβλήθησαν, καὶ οὐδὲ οὕτως ἐπελάθοντο τῆς εὐλαβείας, οὐδὲ ἐφόβησεν αὐτοὺς ἡ φλὸξ, ἀλλὰ τῶν ἐν θαλάμῳ καθημένων καὶ μηδὲν πασχόντων δεινὸν σπουδαιότερον τῷ πυρὶ κυκλούμενοι τὰς ἱερὰς ἐκείνας ἀνέπεμπον εὐχάς. Διὰ τοῦτο τεῖχος αὐτοῖς ἐγένετο τὸ πῦρ, καὶ στολὴ ἡ φλὸξ, καὶ πηγὴ ἡ κάμινος, καὶ δεδεμένους λαβοῦσα λελυμένους ἀπέδωκεν· [ἔλαβε θνητὰ σώματα, καὶ ὡς ἀθανάτων ἀπέσχετο· οὐκ ἐπέγνω τὴν φύσιν, ἀλλ' ᾐδέσθη τὴν εὐλάβειαν· ἔδησε τοὺς παῖδας ὁ τύραννος, καὶ ἔδησαν οἱ παῖδες τοῦ πυρὸς τὴν ἐνέργειαν. Ὦ παραδόξου πράγματος· τοὺς δεδεμένους ἔλυσεν ἡ φλὸξ, καὶ αὐτὴ λοιπὸν ὑπὸ τῶν δεδεμένων ἐδέδετο·] μετέβαλε γὰρ τῶν πραγμάτων τὴν φύσιν ἡ τῶν νεανίσκων εὐλάβεια, μᾶλλον δὲ οὐ τὴν φύσιν μετέβαλεν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, μενούσης τῆς φύσεως τὴν ἐνέργειαν ἔστησεν. Οὐ γὰρ ἔσβεσε τὸ πῦρ, ἀλλὰ καιόμενον ἀργὸν ἐποίησε· [καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, οὐκ ἐπὶ τῶν σωμάτων τοῦτο τῶν ἁγίων ἐγένετο [μόνον], ἀλλὰ καὶ ἐπὶ τῶν ἱματίων αὐτῶν καὶ ἐπὶ τῶν ὑποδημάτων· καὶ καθάπερ ἐπὶ τῶν ἀποστόλων, τὰ ἱμάτια Παύλου νοσήματα καὶ δαίμονας ἤλαυνε, καὶ ἡ σκιὰ Πέτρου θάνατον ἐφυγάδευεν· οὕτω δὴ καὶ ἐνταῦθα τῶν παίδων τούτων τὰ ὑποδήματα τὴν τοῦ πυρὸς δύναμιν ἔσβεσαν. Οὐκ οἶδα πῶς εἴπω· τὸ γὰρ θαῦμα πᾶσαν ὑπερβαίνει λόγου διήγησιν. Καὶ

ipsa die solvere; sed donec nos purgatos videat, donec videat factam conversionem, et poenitentiam firmam et inconcussam, non dissolvit tribulationem. Etenim aurifex donec aurum bene purgatum viderit, de conflatorio non extrahit: sic et Deus non reducit hanc nubem, donec nos penitus emendaverit. Qui enim tentationem permisit, ipse novit et solvendæ tentationis tempus. Et sicut citharœdus neque nervum intendit ultra modum ut non abrumpat, neque remittit, ne harmoniæ concentum lædat: sic et Deus agit, neque in remissione continua, nec in longa tribulatione nostram constituit animam, secundum suam prudentiam utrumque faciens: non sinit enim nos continua potiri remissione, ne segniores fiamus; non sinit autem rursum in continua esse tribulatione, ne concidamus neve desperemus. 3. Ipsi igiter adversitatis finiendæ tempus relinquamus, nos vero precemur tantum, nos in sanctitate vivamus. Opus enim nostrum est ad virtutem mutari, Dei vero opus, malis urgentibus finem imponere. Etenim ipse magis, quam te qui tentaris, hoc incendium exstinguere vult sed salutem tuam exspectat. Sicut igitur ex remissione tribulatio facta est: sic ex tribulatione remissionem exspectare convenit. Neque enim semper hyems, neque semper æstas; non semper procella, neque semper tranquillitas; non semper nox, neque semper dies: sic neque semper tribulatio, sed erit et remissio, si modo in tribulatione Deo gratias semper agamus. Nam tres pueri in fornacem conjecti sunt: neque ita religionis illi obliti sunt, nec ipsos terruit flamma, sed iis qui in cubiculo sederent, et nihil grave paterentur, studiosius, igne licet circumdati, sacras illas preces emittebant. Ideo murus ipsis factus est ignis, et vestis flamma, et fons fornax: et ligatos acceptos reddidit solutos; [mortalia suscepit corpora, et tamquam immortalibus abstinuit; non agnovit naturam, sed pietati reverentiam exhibuit: vinxit pueros tyrannus, et ignis vim pueri vinxerunt. O rem admirabilem! vinctos solvit flamma, et ipsa de reliquo a vinctis vincta est:] mutavit enim rerum naturam adolescentulorum pietas; imo vero non naturam mutavit, sed quod multo erat mirabilius, permanentis naturæ vim repressit: [non enim ignem exstinxit, sed ardentem inefficacem reddidit: et quod est mirabile ac stupendum, non in sanctis tantum corporibus hoc factum est, sed et in vestimentis ipsorum et calceamentis: et sicut in apostolis, vestimenta Pauli ægritudines et dæmones pellebant, et Petri umbra mortem fugabat: sic etiam hic puerorum calceamenta ignis virtutem exstinxerunt. Nescio quomodo dicam: miraculum omnem verborum narrationem transcendit. Nam vis

γὰρ ἔσβεστο ἡ ἐνέργεια, καὶ οὐκ ἔσβεστο· ὅτε μὲν γὰρ τοῖς σώμασιν ὡμίλει τῶν ἁγίων ἐκείνων, ἔσβεστο· ὅτε δὲ τὰ δεσμὰ διαῤῥῆξαι ἔδει, οὐκ ἔσβεστο· τὰ γοῦν δεσμὰ διέῤῥηξε, καὶ τῶν ἀστραγάλων οὐχ ἥψατο. Εἶδες πόση ἡ ἐγγύτης; καὶ οὐκ ἠπατήθη τὸ πῦρ, οὐδὲ ἐνδοτέρω τῶν δεσμῶν προελθεῖν ἐτόλμησεν. Ἔδησεν ὁ τύραννος, καὶ ἔλυσεν ἡ φλόξ, ἵνα μάθῃς καὶ τοῦ βαρβάρου τὴν ὠμότητα καὶ τοῦ στοιχείου τὴν ὑπακοήν. Τίνος δὲ ἕνεκεν ἔδησεν εἰς πῦρ ἐμβαλεῖν μέλλων; Ἵνα μεῖζον τὸ θαῦμα γένηται, ἵνα παραδοξότερον τὸ σημεῖον δειχθῇ, ἵνα μὴ νομίσῃς ὀφθαλμῶν ἀπάτην εἶναι τὰ ὁρώμενα. Εἰ γὰρ μὴ πῦρ ἦν ἐκεῖνο τὸ πῦρ, οὐκ ἂν τὰ δεσμὰ κατέφαγεν· καὶ ὁ πολλῷ μεῖζον ἦν, οὐκ ἂν τοὺς ἔξω [στρατιώτας] καθημένους ἥρπασεν· νῦν δὲ, ἐν μὲν τοῖς ἔξω τὴν δύναμιν ἐπεδείξατο, ἐν δὲ τοῖς ἔνδον τὴν ὑπακοὴν ἔδειξε.] Σὺ δέ μοι σκόπει πανταχοῦ, πῶς ὁ διάβολος δι' ὧν πολεμεῖ τοῖς τοῦ Θεοῦ δούλοις, διὰ τούτων τὴν οἰκείαν καθαιρεῖ δύναμιν, οὐχ ἑκών, ἀλλὰ τοῦ Θεοῦ τοῦ σοφοῦ καὶ εὐμηχάνου τοῖς ὅπλοις τοῖς ἐκείνου καὶ ταῖς μεθοδείαις κατὰ τῆς ἐκείνου κεχρημένου κεφαλῆς. Ὅ δὴ καὶ ἐνταῦθα γέγονεν. Ὁ μὲν γὰρ διάβολος ἐμπνεύσας τῷ τυράννῳ τότε ἐκείνῳ, οὔτε σιδήρῳ τῶν ἁγίων ἀποτμηθῆναι τὰς κεφαλὰς ἀφῆκεν, οὔτε θηρίοις παραδοθῆναι, οὔτε ἄλλῳ τινὶ τοιούτῳ τρόπῳ κολασθῆναι· ἀλλ' εἰς τὸ πῦρ ἐμβαλεῖν, ἵνα μηδὲ τὰ λείψανα μείνῃ τῶν ἁγίων ἐκείνων, τῶν σωμάτων αὐτοῖς ἀφανισθέντων, καὶ τῇ τέφρᾳ αὐτῶν τῇ τέφρᾳ τῶν κληματίδων ἀναμιγείσης. Ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ πρὸς ἀναίρεσιν τῆς ἀσεβείας ἐχρήσατο, καὶ πῶς, ἐγὼ λέγω. Θεὸς παρὰ τοῖς Πέρσαις εἶναι νομίζεται τὸ πῦρ, καὶ τιμῶσιν αὐτὸ μετὰ πολλῆς τῆς θεραπείας οἱ βάρβαροι οἱ τὴν χώραν ἐκείνην οἰκοῦντες ἔτι καὶ νῦν. Βουλόμενος τοίνυν ὁ Θεὸς πρόῤῥιζον ἀνελεῖν τῆς ἀσεβείας τὴν ὑπόθεσιν, συνεχώρησε τῷ τρόπῳ τῆς κολάσεως ταύτης, ἵνα κατ' ὀφθαλμοὺς τῶν θεραπευόντων αὐτὸ πάντων τοῖς αὐτοῦ δούλοις τὰ νικητήρια δῷ, διὰ τῶν ἔργων αὐτῶν πείσας αὐτοὺς, ὅτι οἱ τῶν Ἑλλήνων θεοὶ οὐχὶ τὸν Θεὸν μόνον, ἀλλὰ καὶ τοὺς τοῦ Θεοῦ δούλους δεδοίκασι.

Καὶ σκόπει διὰ τῶν ἐναντίων πλεκόμενον τῆς νίκης τὸν στέφανον, καὶ μάρτυρας τοῦ τροπαίου γινομένους αὐτοὺς τοὺς ἐχθρούς. « Ἀπέστειλε γάρ, φησὶ, Ναβουχοδονόσορ ὁ βασιλεὺς συναγαγεῖν πάντας τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος· καὶ συνήχθησαν πάντες. » Ὁ ἐχθρὸς συνάγει τὸ θέατρον, καὶ αὐτὸς συγκροτεῖ τοὺς θεατάς· αὐτὸς τὰ σκάμματα τίθησι, καὶ θέατρον οὐ τῶν τυχόντων ἀνθρώπων, οὐκ ἰδιωτῶν τινων, ἀλλὰ τῶν ἐντίμων καὶ πάντων τῶν ἐν ἀρχαῖς, ἵνα καὶ ἡ μαρτυρία ἀξιόπιστος γένηται παρὰ τοῖς πολλοῖς. [Ἦλθον ἐφ' ἑτέρᾳ κληθέντες ὑποθέσει, καὶ ἕτερα θεασάμενοι πάντες ἀπῆλθον· ἦλθον προσκυνήσοντες τὴν εἰκόνα, καὶ τῆς μὲν

erat exstincta, et non exstincta : cum enim circa sanctorum illorum corpora versabatur, erat exstincta; cum vero vincula dirumpere oportuit, non erat exstincta : compedes igitur dirupit, et talos non tetigit. Vidisti quanta propinquitas? Neque deceptus est ignis, neque ultra vincula procedere ausus est. Vinxit tyrannus, et resolvit flamma, ut et barbari crudelitatem discas, et elementi obedientiam. Qua vero causa in ignem missurus eos ligavit? Ut miraculum fieret majus, ut mirabilius signum ostenderetur, ne putares esse oculorum errorem ea quæ videbantur : nisi enim ignis ille ignis fuisset, vincula non absumsisset, nec (quod multo majus fuit), rapuisset exterius sedentes [milites] : nunc autem exterioribus quidem vim, interioribus vero obedientiam exhibuit.] Tu vero mihi considera ubique, quomodo diabolus, per quæ Dei servos impugnat, per hæc eadem propriam vim destruat, non volens quidem, sed Dei sapientia et providentia illius armis et artibus in ipsius caput utente : quod quidem et hic factum est. Diabolus enim illic tunc tyranno se insinuans, neque ferro sanctorum capita abscindi permisit, neque bestiis tradi, neque ullo alio tali modo puniri : sed in ignem injici suasit, ut neque reliquiæ illorum sanctorum remanerent, ipsis corporibus consumtis, et ipsorum cinere cum sarmentorum cinere commixto. Deus autem hoc ipso ad impietatis destructionem usus est, eo quidem modo quem ego mox dicam. Deus apud Persas ignis esse putatur, ipsumque multo cultu venerantur etiam nunc barbari regionem illam habitantes. Volens igitur Deus radicitus impietatis materiam auferre, concessit hujusmodi pœnæ modum, ut præ oculis omnium ipsum colentium, suis servis victoriam conferret : per ipsa opera ipsis persuadere volens, quod gentilium dii non Deum tantum, sed et Dei servos timeant.

4. Et considera victoriæ coronam per contraria textam, et factos tropæi testes ipsos inimicos. *Misit enim*, inquit (*Dan.* 3. 2), *Nabuchodonosor rex ad congregandum omnes magistratus, et duces, et præsides, principes et tyrannos, et in potestatibus constitutos, et omnes regionum præfectos, ut venirent ad novæ dedicationem statuæ, et congregati sunt omnes.* Inimicus theatrum parat, ac spectatores cogit, stadium proponit, ipse spectaculum convocat, et theatrum non vulgarium hominum, non privatorum, sed omnium honoratorum et omnium magistratuum, ut et testimonium apud multos fide dignum fiat. [Venerant ad aliud vocati spectaculum, et alia conspicati, omnes abierunt : venerunt statuam adoraturi,

εἰκόνος καταγελάσαντες, ἐκπλαγέντες δὲ τοῦ Θεοῦ τὴν δύναμιν διὰ τῶν εἰς τοὺς παῖδας τούτους γενομένων σημείων ἀπῆλθον.] Καὶ ὅρα ποῦ τὸ στάδιον ἀνεώγει τοῦτο· οὐκ ἐν πόλει, οὐδὲ ἐν χώρᾳ τινί, ἀλλ' ὕπτια καὶ ψιλὰ πεδία δέχεται τοῦτο τῆς οἰκουμένης τὸ θέατρον. Ἐν γὰρ πεδίῳ Δειρᾷ, τῆς πόλεως ἔξω, τὴν εἰκόνα ἔστησε, καὶ ὁ κήρυξ παρελθὼν ἐβόα· « Ὑμῖν λέγεται, ἔθνη, φυλαί, λαοί, γλῶσσαι, ἐν ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ (ὄντως γὰρ πεσεῖν ἦν τὸ προσκυνῆσαι τὸ εἴδωλον)· καὶ ὃς ἐὰν μὴ προσκυνήσῃ πεσών, ἐν αὐτῇ τῇ ὥρᾳ ἐμπεσεῖται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. » Εἶδες πῶς χαλεπὰ τὰ παλαίσματα γίνεται, καὶ ὅσαι τῆς ἐπιβουλῆς αἱ ἀνάγκαι, καὶ πῶς βαθὺ τὸ βάραθρον, καὶ κρημνὸς ἑκατέρωθεν; Ἀλλὰ μὴ δείσῃς· ὅσῳπερ ἂν αὐξήσῃ τὰ μηχανήματα ὁ ἐχθρὸς, τοσούτῳ μᾶλλον δείκνυσι τῶν παίδων τὴν ἀνδρείαν. Διὰ γὰρ τοῦτο συμφωνία μουσικῶν τοσούτων, διὰ τοῦτο ἡ κάμινος ἡ καιομένη, ἵνα καὶ ἡδονὴ καὶ φόβος πολιορκῇ τὰς τῶν παρόντων ψυχάς. Σκληρός τίς ἐστι τῶν παρόντων καὶ δυσένδοτος; μαλαττέτω, φησὶν, αὐτὸν γοητεύουσα τῆς παναρμονίου μουσικῆς ἡ μελῳδία. Ἀλλ' ἀνώτερος ταύτης γίνεται τῆς ἐπιβουλῆς; φοβείτω καὶ καταπληττέτω τῆς φλογὸς ἡ ὄψις. Καὶ ἦν φόβος καὶ ἡδονὴ, ἡ μὲν διὰ τῶν ὤτων, ὁ δὲ διὰ τῶν ὀφθαλμῶν ἐπεισιὼν τῇ ψυχῇ· ἀλλὰ τὸ γενναῖον τῶν νεανίσκων ἐκείνων οὐδὲν τούτων ἥλεγξεν, ἀλλ' ὥσπερ εἰς τὸ πῦρ ἐμπεσόντες ἐκράτησαν τῆς φλογὸς, οὕτω πάσης ἐπιθυμίας καὶ ἀγωνίας κατεγέλασαν. Ταῦτα γὰρ πάντα δι' ἐκείνους ὁ διάβολος προπαρεσκεύασεν· οὐ γὰρ περὶ τῶν ὑπηκόων ἠμφισβήτει, ἀλλὰ καὶ σφόδρα ἐθάρρει, ὅτι οὐδεὶς ἀντιπεσεῖται τῷ νόμῳ τοῦ βασιλέως· ἐπειδὴ δὲ ἅπαντες ἔπεσον καὶ ἡττήθησαν, τότε εἰς μέσον οἱ παῖδες ἄγονται, ἵνα καὶ ταύτῃ λαμπροτέρα ἡ νίκη γένηται, μόνων ἐν τοσούτῳ πλήθει νικώντων καὶ ἀναχηρυττομένων αὐτῶν· οὐδὲ γὰρ ἦν οὕτω θαυμαστὸν, εἰ μηδενὸς ὑποσκελισθέντος οὗτοι παρελθόντες ἠνδρίσαντο πρῶτοι. Τὸ δὲ μέγιστον καὶ παράδοξον, ὅτι τῶν πεπτωκότων τὸ πλῆθος οὐκ ἐφόβησεν αὐτοὺς, οὐδὲ ἐξέλυσεν, οὐδὲ εἶπον πρὸς ἑαυτούς τι τοιοῦτον, ὃ πολλοὶ πολλάκις λέγειν εἰώθασιν· Εἰ μὲν γὰρ πρῶτοι καὶ μόνοι προσκυνεῖν ἡμεῖς ἐμέλλομεν τὴν εἰκόνα, ἔγκλημα τὸ γινόμενον ἦν· εἰ δὲ μετὰ τοσούτων μυριάδων τοῦτο ποιοῦμεν, τίς οὐ δώσει συγγνώμην; τίς ἀπολογίας οὐκ ἀξιώσει; Ἀλλ' οὐδὲν οὔτε εἶπον οὔτε ἐνενόησάν (τι) τοιοῦτον ἐκεῖνοι, τὰ πτώματα τῶν τοσούτων ἰδόντες τυράννων. Σὺ δέ μοι σκόπει καὶ τῶν διαβαλλόντων αὐτοὺς τὴν κακουργίαν, πῶς κακοήθως καὶ πικρῶς αὐτῶν κατηγόρησαν ἐκεῖνοι. « Εἰσὶ γὰρ, φησὶν, ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος· » οὐ γὰρ ἁπλῶς ἐμνημόνευσαν τοῦ ἔθνους, ἀλλὰ καὶ τῆς τιμῆς

et statuam quidem deriserunt, abierunt vero Dei potentiam admirati per signa in his pueris exhibita.] Ac vide ubi stadium hoc statuerit : non in urbe, nec in ulla vico, sed plani et nudi campi hoc orbis theatrum suscipiunt : in campo enim Deira extra civitatem effigiem erexit, et præco pertransiens clamabat (*Dan.* 3. 4—6): *Vobis dicitur, gentes, tribus populi, linguæ, quacumque hora audieritis vocem tubæ, fistulæ, et citharæ, sambucæque, et psalterii, et symphoniæ et omnis generis musicorum, cadentes adorate statuam auream* (vere enim cadere erat simulacrum adorare); *et quicumque non cadens adoraverit, in eadem hora incidet in caminum ignis ardentem.* Vidisti quam difficilia certamina parata sint, et quot insidiarum necessitates, quam profunda vorago, et præcipitium utrimque? Sed ne timueris : quanto magis machinamenta inimicus auxerit, tanto magis puerorum fortitudinem demonstrat. Ideo enim tot musicorum concentus, ideo caminus ardens, ut et voluptas et timor assistentium animas obsideret. Asper adstantium quispiam est et rigidus? Molliat ipsum, inquit, delectans omnisonæ musicæ melodia. Sed his insidiis superior est? terreat et percellat flammæ aspectus. Et erat timor et voluptas, hæc per aures, ille per oculos animæ subrepens. Verumtamen adolescentulorum illorum generositatem horum nihil superavit; sed sicut in ignem projecti flammam vicerunt, sic omnem concupiscentiam et anxietatem deriserunt. Hæc enim omnia propter ipsos diabolus præparaverat : non enim de subditis dubitabat, sed potius multum confidebat, nullum regis legi repugnaturum esse : postquam vero ceciderunt omnes et victi sunt, tunc in medium pueri soli aguntur, ut sic quoque victoria fiat clarior, soli cum in tanta multitudine ipsi vincant et victores renuntientur : neque enim tam mirabile fuisset, si nullo supplantato, primi illi viriliter egissent. Hoc autem maximum et mirabile est, quod cadentium multitudo ipsos non terruit, non solvit. Non intra se tale quid dixerunt, quod multi sæpe dicere consueverunt : Si primi nos imaginem adoraremus, id peccatum esset; si vero cum tot millibus hoc facimus, quis veniam non dabit? quis excusatione dignos non censebit? Sed nihil illi tale aut dixerunt, aut cogitaverunt, tot tyrannorum lapsus intuiti. Tu vero mihi et calumniantium ipsos malignitatem considera, et quam improbe et acerbe ipsos accusaverint. *Sunt*, inquit (*Dan.* 3. 12), *viri Judæi, quos constituisti super opera regionis Babylonis.* Non enim solum gentem commemorarunt, sed et honorem

ἀνέμνησαν, ἵνα ἐκκαύσωσι τὴν τοῦ βασιλέως ὀργήν, μονονουχὶ λέγοντες, ὅτι Τοὺς δούλους, τοὺς αἰχμαλώτους, τοὺς ἀπόλιδας ἄρχοντας ἡμῶν ἐποίησας· οἱ δὲ καὶ τὴν τοσαύτην τιμὴν ὑβρίζουσι, καὶ παροινοῦσιν εἰς τὸν τετιμηκότα. Διὰ τοῦτο λέγουσιν, « Οἱ Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, οὐχ ὑπήκουσαν τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι. » Μέγιστος ἔπαινος ἡ κατηγορία, καὶ τὰ ἐγκλήματα ἐγκώμια γίνεται, καὶ ἡ μαρτυρία ἀνύποπτος τῶν ἐχθρῶν αὐτὴν παρεχομένων. Τί οὖν ὁ βασιλεύς; Ἐκέλευσεν αὐτοὺς εἰς μέσον ἀχθῆναι ὥστε πάντοθεν αὐτοὺς φοβῆσαι. Ἀλλ' οὐδὲν ἐκείνους ἐξέπληξεν, οὐχ ὁ θυμὸς τοῦ βασιλέως, οὐ τὸ μόνους ἐν μέσῳ τοσούτων ἀπειλῆφθαι, οὐ τὸ πῦρ ὁρώμενον, οὐχ αἱ σάλπιγγες ἠχοῦσαι, οὐ πάντες εἰς αὐτοὺς πῦρ βλέποντες, ἀλλὰ πάντων τούτων καταγελάσαντες, ὡς εἰς ψυχρὰν πηγὴν ὑδάτων ἐμπίπτειν μέλλοντες, ἐπὶ τὴν κάμινον εἰσῆσαν, τὴν μακαρίαν ἐκείνην ἀφιέντες φωνήν, ὅτι « Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. »

Καὶ ταύτην οὐχ ἁπλῶς ἐκίνησα τὴν ἱστορίαν, ἀλλ' ἵνα μάθητε ὅτι κἂν θυμὸς ᾖ βασιλικὸς, κἂν ἐπιβουλὴ στρατιωτῶν, κἂν φθόνος ἐχθρῶν, κἂν αἰχμαλωσία, κἂν ἐρημία, κἂν πῦρ, κἂν κάμινος, κἂν μυρία δεινὰ, τὸν δίκαιον οὐδὲν ἐλέγξαι οὐδὲ φοβῆσαι δυνήσεται. Εἰ γὰρ, ἔνθα ἀσεβὴς ἦν ὁ βασιλεὺς, οὐκ ἐξεπλάγησαν οἱ νεανίσκοι τὸν τοῦ τυράννου θυμὸν, πολλῷ μᾶλλον ἡμᾶς θαρρεῖν χρὴ φιλάνθρωπον καὶ ἥμερον ἔχοντας βασιλέα, καὶ χάριν εἰδέναι τῷ Θεῷ τῆς θλίψεως ταύτης, ἀπὸ τῶν εἰρημένων μαθόντας ὅτι αἱ θλίψεις λαμπροτέρους ποιοῦσι καὶ παρὰ Θεῷ καὶ παρ' ἀνθρώποις τοὺς εἰδότας αὐτὰς φέρειν γενναίως. Καὶ γὰρ, εἰ μὴ ἐγένοντο οὗτοι δοῦλοι, οὐκ ἂν ἔγνωμεν αὐτῶν τὴν ἐλευθερίαν· εἰ μὴ αἰχμάλωτοι ἐγένοντο, οὐκ ἂν αὐτῶν ἐμάθομεν τὴν εὐγένειαν τῆς ψυχῆς· εἰ μὴ τῆς κάτω πατρίδος ἐξέπεσαν, οὐκ ἂν ἔγνωμεν τῆς ἄνω πολιτείας αὐτῶν τὴν ἀρετήν· εἰ μὴ ὠργίσθη αὐτοῖς ὁ ἐν τῇ γῇ βασιλεὺς, οὐκ ἂν ἐμάθομεν τὴν εὔνοιαν, ἣν εἶχε περὶ αὐτοὺς ὁ ἐπουράνιος βασιλεύς. Καὶ σὺ τοίνυν ἂν ἔχῃς ἐκεῖνον εὐμενῆ, κἂν εἰς κάμινον ἐμπέσῃς, μὴ ἀπογνῷς· ὥσπερ ἂν ὀργίζηται, κἂν ἐν παραδείσῳ ᾖς, μὴ θαρρήσῃς. Καὶ γὰρ ἐν παραδείσῳ ἦν ὁ Ἀδὰμ, καὶ ἐπειδὴ [Θεὸν] παρώργισεν, οὐδὲν ὠφέλησεν ὁ παράδεισος· ἐν καμίνῳ ἦσαν οὗτοι, καὶ ἐπειδὴ εὐδοκίμησαν, οὐδὲν ἔβλαψεν ἡ κάμινος· ἐν παραδείσῳ ἦν ὁ Ἀδὰμ, καὶ ἐπειδὴ ῥᾳθυμος ἦν, ὑπεσκελίσθη· ἐν κοπρίᾳ ἐκάθητο ὁ Ἰὼβ, καὶ ἐπειδὴ ἔνηφεν, ἐκράτει. Καίτοι πόσῳ βελτίων παράδεισος κοπρίας; ἀλλ' οὐδὲν ὠφέλησεν ἡ ἀρετὴ τοῦ χωρίου τὸν ἐνοικοῦντα, ἐπειδὴ προύδωκεν ἑαυτὸν ἐκεῖνος· ὥσπερ οὖν οὐδὲν ἔβλαψεν ἡ εὐτέλεια τοῦ τόπου τὸν ἀρετῇ πάντοθεν τετειχισμένον. Καὶ ἡμεῖς τοίνυν τὴν ψυχὴν ἀσφαλιζώμεθα τὴν ἡμετέραν· κἂν γὰρ ζημία χρημάτων ἐπίῃ, κἂν θάνατος,

in memoriam revocaverunt, ut regis iram accenderent, tantum non dicentes : Servos, civitate carentes, captivos feciati principes nostros; hi vero et tantum honorem contumelia afficiunt, et in eum qui se honoravit, insolenter agunt. Ideo dicunt, *Judæi quos constituisti super opera regionis Babylonis, non paruerunt decreto tuo, et diis tuis non serviunt.* Maxima laus accusatio, et crimina laudes fiunt, et testimonium indubitatum, inimicis ipsum perhibentibus. Quid igitur rex? Jussit ipsos in medium agi, ut ipsos undique terreret. Sed nihil illos consternavit, non regis furor, non quod soli in tantæ turbæ medio derelicti essent, non ignis spectatus, non canentes tubæ, non omnes ipsos ardentibus oculis intuentes, sed hæc illi omnia deridentes, tamquam in frigidum aquarum fontem mittendi, in fornacem ingressi sunt, beatam illam emittentes vocem (*Dan.* 3. 18) : *Diis tuis non servimus, et statuam auream, quam erexisti, non adoramus.*

Hanc non temere excitavi historiam, sed ut discatis quod, etsi furor instet regius, etsi militum insidiæ, etsi inimicorum invidia, etsi captivitas, etsi orbitas, etsi ignis, etsi fornax, etsi innumera pericula, justum nihil superare aut terrere poterit. Si enim ubi impius erat rex, non formidaverunt adolescentuli tyranni furorem, multo magis nos confidere oportet, humanum et mitem habentes Imperatorem, et de hac tribulatione Deo gratias agere, ex prædictis doctos, ærumnis nos clariores effici et apud Deum et apud homines, si ipsas generose ferre sciamus. Etenim illi nisi servi facti essent, ipsorum libertatem non cognovissemus : nisi captivi fuissent, non eorum animi nobilitatem didicissemus : nisi terrena patria excidissent, non cognovissemus eorum in superna conversatione virtutem : nisi terrenus rex ipsis fuisset iratus, non audivissemus benevolentiam, quam cælestis Rex erga ipsos gerebat. 5. Et tu igitur, si illum benevolum habeas, licet in fornacem cadas, ne desperes : sicut si succenseat, licet in paradiso sis, ne confidas. Siquidem in paradiso erat Adam, et postquam Deum irritavit, nihil profuit paradisus : in fornace erant isti, et postquam se bene gesserunt, nihil obfuit fornax. In paradiso erat Adam, et quia segnis erat, supplantatus fuit : in fimo sedebat Job, et quia vigilabat, superavit. Atqui quanto paradisus est fimo melior? sed nihil loci virtus inhabitanti profuit, postquam se ipsum ille prodidit : sicut nec loci vilitas virtute undique munitum læsit. Et nos igitur animam nostram muniamus : sive enim pecuniarum mulcta immineat, sive mors,

τὴν δὲ εὐσέβειαν μηδεὶς ἡμᾶς ἀφέληται, μακαριώτεροι πάντων ἐσμέν. Τοῦτο καὶ ὁ Χριστὸς ἐπέταξεν εἰπών, « Γίνεσθε φρόνιμοι ὡς ὁ ὄφις. » Καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν ἅπαν προΐεται σῶμα, ὥστε διασῶσαι τὴν κεφαλήν· οὕτω καὶ σὺ, κἂν χρήματα, κἂν σῶμα, κἂν τὴν παροῦσαν ζωὴν, κἂν πάντα προέσθαι δέῃ, ὥστε διατηρῆσαι τὴν εὐσέβειαν, μὴ ἀθύμει. Ἂν γὰρ ἐκείνην ἔχων ἀπέλθῃς, πάντα σοι μετὰ πλείονος ἀποδώσει τῆς λαμπρότητος ὁ Θεὸς, καὶ τὸ σῶμα μετὰ μείζονος δόξης ἀναστήσει πάλιν, καὶ ἀντὶ χρημάτων τὰ ἀγαθὰ τὰ πᾶσαν ὑπερβαίνοντα λόγου δύναμιν. Οὐχὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ὁ Ἰὼβ ἐκάθητο, μυρίων θανάτων χαλεπωτέραν ὑπομένων ζωήν; Ἀλλ' ἐπειδὴ τὴν εὐσέβειαν οὐκ ἀπέβαλε, πάντα μετὰ πλείονος ἐπανῆλθεν αὐτῷ τῆς περιουσίας τὰ πρότερα, σώματος ὑγίεια καὶ κάλλος, τῶν παίδων ὁ χορὸς ἅπας, τὰ κτήματα ἅπαντα, καὶ τὸ δὴ μεῖζον ἁπάντων, ὁ λαμπρὸς τῆς ὑπομονῆς στέφανος. Καθάπερ γὰρ ἐπὶ τῶν δένδρων γίνεται, κἂν τὸν καρπόν τις ἀφέληται μετὰ τῶν φύλλων, κἂν τοὺς κλάδους πάντας ἐκκόψῃ, τῆς ῥίζης μενούσης, θλόκληρον καὶ μετὰ πλείονος ἀνίσταται τῆς εὐπρεπείας τὸ δένδρον· οὕτω δὴ καὶ ἐφ' ἡμῶν, ἐὰν ἡ ῥίζα μένῃ τῆς εὐσεβείας, κἂν ὁ πλοῦτος ἀφαιρεθῇ, κἂν τὸ σῶμα διαφθαρῇ, πάντα πάλιν μετὰ μείζονος ἡμῖν ἐπάνεισι τῆς δόξης.

Πᾶσαν τοίνυν μέριμναν τῆς ψυχῆς ἐκβαλόντας καὶ φροντίδα περιττὴν, πρὸς ἑαυτοὺς ἐπανέλθωμεν, καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν καλλωπίσωμεν τῷ κόσμῳ τῆς ἀρετῆς, ὅπλα δικαιοσύνης, ἀλλὰ μὴ ὅπλα ἁμαρτίας τὰ μέλη τοῦ σώματος ἡμῶν κατασκευάζοντες· καὶ πρῶτον ἁπάντων τὴν γλῶτταν παιδεύσωμεν εἶναι διάκονον τῆς τοῦ πνεύματος χάριτος, πάντα ἰὸν καὶ πονηρίαν ἐκ τοῦ στόματος ἐκβάλλοντες καὶ ῥημάτων αἰσχρῶν μελέτην. Καὶ γὰρ ἡμεῖς ἐσμεν κύριοι καὶ πονηρίας καὶ δικαιοσύνης ὄργανον ἕκαστον τῶν ἡμετέρων ποιῆσαι μελῶν. Ἄκουσον γοῦν πῶς τὴν γλῶτταν οἱ μὲν ἁμαρτίας, οἱ δὲ δικαιοσύνης ἐποίησαν ὅπλον. « Ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. » Ἕτερος δέ τις φησι περὶ τῆς ἑαυτοῦ γλώσσης, « Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. » Ἐκείνη φόνον εἰργάσατο, αὕτη νόμον ἔγραφε θεῖον· διὰ τοῦτο μάχαιρα μὲν ἐκείνη, κάλαμος δὲ ἦν αὕτη, οὐ παρὰ τὴν φύσιν τὴν οἰκείαν, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων. Ἡ μὲν γὰρ φύσις τῆς γλώττης καὶ ταύτης κἀκείνης ἦν μία, ἡ δὲ ἐργασία οὐ μία. Καὶ περὶ τοῦ στόματος δὲ πάλιν ὁμοίως τὸ αὐτὸ τοῦτο ἔστιν ἰδεῖν· οἱ μὲν γὰρ εἶχον τὸ στόμα σηπεδόνος γέμον καὶ πονηρίας, διὰ τοῦτο κατηγορῶν ἔλεγε, « Τὸ στόμα αὐτῶν ἀρᾶς καὶ πικρίας γέμει· » τὸ δὲ αὐτοῦ οὐ τοιοῦτον, ἀλλὰ « Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. » Ἕτεροι δὲ πάλιν χεῖρας εἶχον ἀνομίας ἐμπεπλησμένας· καὶ τούτων κατηγορῶν ἔλεγεν, « Ἐν ταῖς χερσὶν αὐτῶν αἱ ἀνομίαι, καὶ ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· » αὐτὸς [δὲ] χεῖρας εἶχεν οὐδὲν

pietatem vero nobis auferat nemo, sumus omnibus beatiores. Hoc et Christus mandavit dicens (*Matth.* 10. 16), *Estote prudentes sicut serpens.* Sicut enim ille reliquum omne objicit corpus, ut caput servet, sic et tu : sive pecunias, sive corpus, sive præsentem vitam, sive omnia amittere oporteat, ut pietatem conserves, noli tristari. Si enim illam habens migraveris, omnia tibi cum majori Deus claritate retribuet, et corpus cum majori rursum gloria restituet, et pro pecuniis bona quæ nulla verborum vi possunt exprimi. Nonne nudus in fimo sedebat Job, innumeris mortibus graviorem sustinens vitam? Sed quia pietatem non abjecit, omnia cum majori copia rediere priora, corporis sanitas et species, totus filiorum cœtus, possessiones omnes, et quod omnium maximum, splendida patientiæ corona. Sicut enim in arboribus accidit ut, etsi quis fructum cum foliis auferat, et ramos omnes amputet, radice manente, tota cum majori etiam ornatu arbor resurgat : sic quidem et in nobis, si pietatis radix permaneat, etsi divitiæ auferantur, etsi corpus corrumpatur, omnia rursus nobis cum majori gloria redeunt.

Omnem igitur animæ sollicitudinem et superfluam curam abjicientes, ad nos ipsos redeamus, corpus et animam ornemus virtutis ornamento, justitiæ arma, sed non arma peccati, corporis nostri membra exhibentes; et ante omnia linguam ut sit spiritualis gratiæ ministra instituamus, omne virus et malignitatem ex ore projicientes et turpium verborum meditationem. Etenim in nostra potestate est, unumquodque membrorum nostrorum sive malitiæ sive justitiæ facere instrumentum. Audi igitur quo modo linguam, hi quidem peccati, illi vero justitiæ arma fecerunt. (*Psal.* 56. 5) *Lingua ipsorum gladius acutus.* Alter vero quidam de sua dicit lingua (*Psal.* 44. 2), *Lingua mea calamus scribæ velociter scribentis.* Illa eædem operata est, hæc divinam legem scribebat : propterea illa quidem gladius, calamus autem hæc erat, non secundum propriam naturam, sed secundum utentium electionem. Linguæ enim natura et hujus et illius una erat, operatio autem non una. Et de ore rursus idem cernere licet : etenim hi quidem habebant os sanie et improbitate plenum; propterea incusando dicebat (*Psal.* 13. 3), *Os ipsorum maledictione et amaritudine plenum est :* ipsius vero non tale, sed *Os meum*, inquit (*Psal.* 48. 4), *loquetur sapientiam, et meditatio cordis mei prudentiam.* Alii vero rursus manus habebant iniquitatis plenas, et hos accusans rursus dicebat (*Psal.* 25. 10), *In manibus ipsorum iniquitates, et dextra eorum repleta est muneribus.* Ipse vero manus nihil

ἕτερον ἢ πρὸς τὸν οὐρανὸν ἀνατείνεσθαι μεμελετηκυίας· διὸ καὶ περὶ τούτων ἔλεγεν, « Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. » Καὶ ἐπὶ τῆς καρδίας τὸ αὐτὸ τοῦτο πάλιν ἔστιν ἰδεῖν· τῶν μὲν γὰρ ἡ καρδία ματαία ἦν, τούτου δὲ ἀληθής· διὸ καὶ περὶ ἐκείνων φησίν, « Ἡ καρδία αὐτῶν ματαία· » περὶ δὲ τῆς ἑαυτοῦ, « Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. » Καὶ ἐπὶ ἀκοῆς δὲ τὸ αὐτὸ τοῦτο ἴδοι τις ἄν· οἱ μὲν γὰρ εἶχον θηρίων ἀκοὴν ἀμείλικτον καὶ ἀσύγγνωστον, καὶ κακίζων αὐτοὺς οὕτως ἔλεγεν, « Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς· » ἡ δὲ αὐτοῦ ἀκοὴ δοχεῖον τῶν θείων ῥημάτων ἦν· καὶ τοῦτο αὐτὸ πάλιν ἐδήλωσεν εἰπών, « Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. »

Ταῦτ' οὖν εἰδότες πάντοθεν ἑαυτοὺς ἀρετῇ τειχίσωμεν, καὶ οὕτως ἀποκρουσόμεθα τοῦ Θεοῦ τὴν ὀργήν· καὶ τὰ μέλη τοῦ σώματος [ἡμῶν] ὅπλα δικαιοσύνης ποιήσωμεν, καὶ ὀφθαλμοὺς, καὶ στόμα, καὶ χεῖρας, καὶ πόδας, καὶ καρδίαν, καὶ γλῶτταν, καὶ πᾶν τὸ σῶμα παιδεύσωμεν ἀρετῇ χρήσιμον εἶναι μόνῃ. Καὶ τῶν τριῶν δὲ νόμων μνημονεύσωμεν ἐκείνων, περὶ ὧν πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, παραιτούμενος μηδένα ἔχειν ἐχθρὸν, μηδὲ κακῶς λέγειν τινὰ τῶν λελυπηκότων ὑμᾶς, καὶ τὴν πονηρὰν τῶν ὅρκων ἐκβαλεῖν ἀπὸ τοῦ στόματος ὑμῶν συνήθειαν. Καὶ περὶ μὲν τῶν δυοῖν ἐντολῶν ἐν ἑτέρῳ καιρῷ διαλεξόμεθα, τὴν δὲ παροῦσαν ἑβδομάδα ἅπασαν περὶ τῶν ὅρκων ὑμῖν ἐροῦμεν, ἀπὸ τῆς εὐκολωτέρας ἐντολῆς ποιούμενοι τὴν ἀρχήν. Οὐδὲ γὰρ πόνος τις περιγενέσθαι τῆς τῶν ὅρκων συνηθείας, ἐὰν θελήσωμεν μικρὰν γοῦν εἰσενεγκεῖν σπουδὴν, ἀλλήλους ὑπομιμνήσκοντες, νουθετοῦντες, τηροῦντες, δίκην ἀπαιτοῦντες καὶ εὐθύνας τοὺς ἐπιλανθανομένους. Τί γὰρ ὄφελος ἡμῖν τῆς τῶν βρωμάτων ἀποχῆς, ἐὰν μὴ τὰς πονηρὰς τῆς ψυχῆς συνηθείας ἐξελάσωμεν; Ἰδοὺ, τὴν ἡμέραν ἄσιτοι διετελέσαμεν σήμερον ἅπασαν, καὶ τράπεζαν ἐν ἑσπέρᾳ παραθησόμεθα οὐχ ὁμοίαν τῇ χθεσινῇ τραπέζῃ, ἀλλ' ἠλλαγμένην καὶ σεμνοτέραν. Ἆρ' οὖν ἔχοι τις ἂν εἰπεῖν ἡμῶν, ὅτι καὶ τὸν βίον αὐτοῦ τὸν σήμερον ἠλλαξε, καθάπερ καὶ τὴν τράπεζαν; ὅτι καὶ τὴν πονηρὰν μετέβαλε συνήθειαν, καθάπερ καὶ τὴν τροφήν; Οὐκ ἔγωγε οἶμαι. Τί οὖν ὄφελός τινι τῆς νηστείας; Διὰ τοῦτο παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ὥστε ἑκάστην ἐντολὴν ἀπολαβόντας καθ' ἑαυτὴν, δύο καὶ τρεῖς ἡμέρας εἰς τὴν κατόρθωσιν αὐτῆς ἀναλίσκειν, καὶ καθάπερ εἰσί τινες οἱ πρὸς ἀλλήλους φιλοτιμούμενοι τῇ τῶν σιτίων ἀποχῇ καὶ θαυμαστὴν ἅμιλλαν ποιούμενοι, καὶ οἱ μὲν ὁλοκλήρους ἡμέρας δύο διατελοῦσιν ἄσιτοι, οἱ δὲ οὐκ οἴνου μόνον οὐδὲ ἐλαίου, ἀλλὰ παντὸς ἐδέσματος χρῆσιν τῆς ἑαυτῶν ἐκβάλλοντες τραπέζης, ἄρτῳ καὶ ὕδατι χρώμενοι μόνον τὴν τεσσαρακοστὴν διανύουσιν ἅπασαν· οὕτω δὴ καὶ ἡμεῖς ἁμιλλώμεθα πρὸς ἀλλήλους, ὥστε τῶν ὅρκων τὰς νιφάδας ἀνελεῖν. Τοῦτο γὰρ πάσης νηστείας χρησιμώτερον, τοῦτο πάσης

aliud facere quam in cælum erigi assuetas habebat : idcirco et de his dicebat (*Psal.* 140. 2), *Elevatio manuum mearum sacrificium vespertinum.* In corde quoque licet idem videre; quorundam enim cor vanum est, hujus autem verum; propterea de illis dicit (*Psal.* 5. 10), *Cor eorum vanum est;* de suo autem (*Psal.* 44. 2), *Eructavit cor meum verbum bonum.* Et de auditu rursum idem videre licet. Alii namque bestiarum auditum habebant immitem et implacabilem, et ipsos vituperans sic dicebat (*Psal.* 57. 5) : *Sicut aspidis surdæ et obturantis aures suas;* ipsius autem auditus divinorum erat verborum receptaculum, et hoc ipsum manifestavit, dicens (*Psal.* 48. 5), *Inclinabo in parabolam aurem meam, aperiam in psalterio propositionem meam.*

6. Hæc igitur scientes, nos undique virtute muniamus, et sic Dei iram repellemus : et corporis nostri membra justitiæ arma faciamus, et oculos, os, manus, pedes, cor, linguam et omne corpus nostrum ut soli virtuti utile sit instituamus. Et illorum trium præceptorum recordemur, de quibus ad vestram caritatem verba feci, rogans ut inimicum haberetis neminem, neque cuiquam eorum qui vos tristitia affecerint, maledicatis, et improbam juramentorum consuetudinem ex ore vestro ejiciatis. Et de duobus quidem mandatis in alio tempore disseremus : per hanc vero hebdomadem totam de juramentis vobis verba faciemus, a faciliori mandato initium capientes : nec enim labor ullus est juramentorum consuetudinem vincere, si velimus vel parum impendere studii, nos invicem commonefacientes, admonentes, observantes, rationem et pœnas ab iis qui obliti fuerint repetentes. Quæ enim, quæso, ciborum abstinentiæ utilitas, nisi improbas animi consuetudines expellamus? Ecce hodie totam jejuni diem exegimus, et mensam in vespera apponemus, non hesternæ similem, sed immutatam et severiorem. Numquid igitur quis nostrûm dicere valet, se vitam quoque suam hodie sicut mensam mutasse? se improbam consuetudinem sicut et escam convertisse? Equidem non puto. Quæ igitur cuiquam jejunii utilitas? Ideo exhortor, et exhortari non desinam, ut unumquodque mandatum sigillatim assumentes, duos vel tres dies ad ipsum implendum impendatis, et sicut quidam sunt inter se ciborum abstinentia æmulantes et mirabilem contentionem facientes, et hi quidem integros duos dies transigunt jejuni, hi vero non vini tantum et olei, sed et omnis ferculi usum a sua mensa rejicientes, pane et aqua utentes dumtaxat, Quadragesimam omnem expediunt : sic et nos mutuo contendamus, ut juramentorum frequentiam tollamus. Hoc enim omni jejunio utilius, hoc omni

σκληραγωγίας καρδαλεώτερον, καὶ τὴν σπουδὴν, ἣν περὶ τὴν ἀποχὴν τῶν σιτίων ποιούμεθα, ταύτην περὶ τὴν ἀποχὴν τῶν ὅρκων ἐπιδειξώμεθα, ἐπεὶ τῆς ἰσχάτης ἀνοίας ὑποστησόμεθα ἔγκλημα, τῶν μὲν κεκωλυμένων καταφρονοῦντες, περὶ δὲ τὰ ἀδιάφορα πᾶσαν κινοῦντες σπουδήν. Τὸ μὲν γὰρ φαγεῖν οὐ κεκώλυται, τὸ δὲ ὀμόσαι κεκώλυται· ἡμεῖς δὲ τῶν συγκεχωρημένων ἀποστάντες, τῶν κεκωλυμένων κατατολμῶμεν. Διὰ τοῦτο παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ποιήσασθαί τινα μεταβολὴν, καὶ τὴν ἀρχὴν ἐντεῦθεν ἡμῖν ἐπιδείξασθαι. Ἂν γὰρ μετὰ τοσαύτης σπουδῆς τὴν παροῦσαν ἐξανύσωμεν νηστείαν, τῇ μὲν ἑβδομάδι ταύτῃ τὸ μηδ' ὅλως ὀμνύναι κατορθώσαντες, τῇ δὲ ἐπιούσῃ τὴν ὀργὴν σβέσαντες, τῇ δὲ μετ' ἐκείνην τὴν κακηγορίαν πρόρριζον ἀνελόντες, καὶ τῇ μετὰ ταύτην ἑτέρα πάλιν πλείονα διορθώσαντες, οὕτως ὁδῷ προβαίνοντες κατὰ μικρὸν ἐπ' αὐτὴν ἥξομεν τῆς ἀρετῆς τὴν κορυφήν, καὶ τὸν παρόντα διαφευξόμεθα κίνδυνον, καὶ τὸν Θεὸν ἵλεων καταστήσομεν, καὶ τὸ πλῆθος ἐπὶ τὴν πόλιν ἡμῖν ἐπανήξει πάλιν, καὶ τοὺς δραπετεύσαντας νῦν παιδεύσομεν, μὴ τόπων ἀσφαλείᾳ μηδὲ ἀποφυγῇ καὶ ἀναχωρήσει, ἀλλ' εὐλαβείᾳ ψυχῆς καὶ τρόπων ἀρετῇ τὰς ἐλπίδας τῆς σωτηρίας ἐγχειρίζειν τῆς ἡμετέρας· καὶ οὕτω καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

vitæ asperitate fructuosius : et studium quod circa ciborum abstinentiam habemus, hoc circa juramentorum abstinentiam exhibeamus : quippe extremæ dementiæ crimen subibimus, prohibita quidem contemnentes, circa indifferentia vero omne studium adhibentes : comedere enim non est inhibitum, jurare vero prohibitum est; nos autem a concessis abstinentes, prohibita audemus. Propterea caritatem vestram exhorior, ut aliquam faciatis mutationem, et hinc principium nobis ostendatis. Si enim cum tanto præsens jejunium studio transegerimus, hac quidem hebdomade, ut ne omnino juremus, efficientes, sequenti vero iram exstinguentes, ulteriori autem detractionem radicitus destruentes, et post hanc alia rursus plura corrigentes : ita sensim progredientes, paulatim ad ipsum virtutis culmen veniemus, præsens fugiemus periculum et Deum placatum reddemus : et multitudo rursus ad urbem nostram redibit, et qui nunc fugerunt, eos docebimus, non locorum munimini, nec refugio et recessui, sed animi pietati et morum virtuti salutis nostræ spem committere. Atque ita fiet, ut et hujus vitæ et illius futuræ bona assequamur, quibus nos omnes frui detur, gratia etc.

ΟΜΙΛΙΑ Ε'.

Ἔτι παράκλησις πρὸς τὸν λαὸν περὶ τοῦ φέρειν γενναίως τὴν ἐπικειμένην ἀπειλὴν, ἔχοντας ἱκανὰ παραδείγματα ἐκ τῶν συμβάντων τῷ τε Ἰὼβ καὶ τοῖς Νινευίταις· καὶ ὅτι οὐ χρὴ δεδιέναι τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν· καὶ τί τὸ κακῶς ἀποθανεῖν· καὶ περὶ τοῦ μετὰ πάσης σπουδῆς φεύγειν τοὺς ὅρκους· καὶ εἰς τὸν σεισμόν.

HOMILIA V.

Itidem exhortatio ad populum de generose ferendis imminentibus minis, cum habeat satis multa exempla ex iis quæ evenere et Job et Ninivitis : quod non oporteat timere mortem, sed peccatum : quid sit male moveri : et de juramentis omni studio fugiendis : et in terræ motum.

Τῶν τριῶν παίδων καὶ τῆς καμίνου τῆς Βαβυλωνίας ἡ διήγησις οὐ μετρίως ὡς ἔοικε παρεκάλεσεν ὑμῶν τὴν ἀγάπην χθές, ἔτι δὲ καὶ τὸ παράδειγμα τὸ κατὰ τὸν Ἰὼβ καὶ τὰ τραύματα τοῦ δικαίου, καὶ ἡ κοπρία ἡ παντὸς θρόνου βασιλικοῦ σεμνοτέρα. Ἀπὸ μὲν γὰρ τοῦ θρόνον ἰδεῖν βασιλικὸν οὐδὲν ἔσται τοῖς θεωμένοις τὸ κέρδος, ἀλλὰ πρόσκαιρος μόνον τέρψις, ὄνησιν οὐδεμίαν ἔχουσα· ἀπὸ δὲ τοῦ τὴν κοπρίαν ἰδεῖν τοῦ Ἰὼβ πᾶσάν τις δέξεται ὠφέλειαν καὶ φιλοσοφίαν πολλὴν καὶ παράκλησιν εἰς ὑπομονῆς λόγον. Διὰ τοῦτο πολλοὶ νῦν μακράν τινα καὶ διαπόντιον ἀποδημίαν στέλλονται ἀπὸ τῶν περάτων τῆς γῆς εἰς Ἀραβίαν τρέχοντες, ἵνα τὴν κοπρίαν ἐκείνην ἴδωσι, καὶ θεασάμενοι καταφιλήσωσι τὴν γῆν τὴν τὰ σκάμματα τοῦ στεφανίτου δεξαμένην ἐκείνου καὶ τὸ χρυσίου παντὸς τιμιώτερον αἷμα. Οὐδὲ γὰρ οὕτως ἐστὶν ἁλουργὶς λαμπρὰ, ὡς τὸ σῶμα ἐκεῖνο τότε ἀπέστιλβεν, οὐκ ἀλλοτρίῳ, ἀλλ' οἰκείῳ βαπτιζόμενον αἵματι· καὶ τὰ τραύματα δὲ ἐκεῖνα ἁπάντων λίθων ἦν τιμιώτερα. Μαργαριτῶν

1. Trium puerorum et Babylonicæ fornacis enarratio non mediocriter, ut videtur, heri caritatem vestram consolata est, insuper etiam de Job exemplum, et justi ulcera, et fimus omni throno regio venerabilior. Ex throni namque regii aspectu nullum erit spectantibus lucrum, sed temporalis dumtaxat delectatio, nullam habens utilitatem : ex fimo Job autem viso, omnem quis capiet utilitatem, et disciplinam multam, et exhortationem ad patientiæ rationem. Itaque multi nunc longam et transmarinam peregrinationem a terræ finibus suscipiunt in Arabiam accurrentes, ut fimum illum cernant, et conspicati terram deosculentur, quæ illius victoris certamina et cruorem omni auro pretiosiorem suscepit. Neque enim tantum radiat ulla purpura, quantum illud corpus tunc resplendebat, non alieno, sed proprio tinctum sanguine. Ulcera vero illa gemmis omnibus erant cariora. Margaritarum enim natura

μὲν γὰρ φύσις οὐδὲν τὸν βίον ὠφελεῖ τὸν ἡμέτερον, οὐδὲ χρείαν τινὰ πληροῖ τοῖς ἔχουσιν ἀναγκαίαν· τὰ δὲ τραύματα ἐκεῖνα πάσης ἀθυμίας ἐστὶ παράκλησις. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἐὰν ἀποβάλῃ τις υἱὸν γνήσιον καὶ μονογενῆ, δεῖξον αὐτῷ μυρίους μαργαρίτας, καὶ οὐ παραμυθήσῃ τὸ πάθος, οὐδὲ θεραπεύσεις τὴν ὀδύνην· ἀναμνήσας δὲ αὐτὸν τῶν τραυμάτων τοῦ Ἰὼβ, ῥᾳδίως δυνήσῃ θεραπεῦσαι, οὕτω λέγων· Τί θρηνεῖς, ἄνθρωπε; σὺ μὲν τέκνον ἀπέβαλες ἕν, ὁ δὲ μακάριος ἐκεῖνος μετὰ τὸ τῶν παίδων ὁλόκληρον ἁρπαγῆναι τὸν χορὸν καὶ αὐτῇ τῇ σαρκὶ τὴν πληγὴν ἐδέξατο, καὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ἰχῶρι πάντοθεν καταῤῥεόμενος, κατὰ μικρὸν αὐτῷ τῆς σαρκὸς δαπανωμένης, ὁ δίκαιος, ὁ ἀληθινὸς, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, ὁ Θεὸν μάρτυρα τῆς ἀρετῆς ἔχων. Ἂν γὰρ ταῦτα εἴπῃς τὰ ῥήματα, πᾶσαν ἔσβεσας τοῦ πενθοῦντος τὴν ἀθυμίαν, καὶ πᾶσαν ἀνεῖλες τὴν ὀδύνην, καὶ γίνεται οὕτω χρησιμώτερα μαργαριτῶν τὰ τραύματα τοῦ δικαίου. Ὑπογράψατε τοίνυν ἑαυτοῖς τὸν ἀθλητὴν καὶ ὑμεῖς, καὶ νομίζετε βλέπειν τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῃ τῇ κοπρίᾳ καθήμενον, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν πῶς εἴπω οὐκ οἶδα· οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι παραβαλεῖν τὸ ἡμαγμένον ἐκεῖνο σῶμα· οὕτω πάσης ὕλης τιμαλφεστάτης ἐκ πολλοῦ τοῦ περιόντος τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἦν τιμιωτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα· αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις, ἐκεῖνα δὲ τῆς διανοίας ἡμῶν φωτίζει τὰ ὄμματα· ἐκεῖνα καθάπαξ τὸν διάβολον ἐπετύφλωσε· διὰ γοῦν τοῦτο μετὰ τὴν πληγὴν ἐκείνην ἐπεπήδησε, καὶ οὐκ ἐφάνη λοιπόν. Σὺ δέ μοι κἀντεῦθεν, ἀγαπητὲ, μάνθανε τὸ τῆς θλίψεως κέρδος πόσον ἐστίν. Ἡνίκα μὲν γὰρ ἐπλούτει καὶ ἀνέσεως ἐπῆλαυεν ὁ δίκαιος, διαβάλλειν ἴσχεν αὐτὸν, ψευδῶς μὲν, ἶσχε δ' οὖν ὅμως εἰπεῖν, « Οὐ δωρεὰν σέβεταί σε ὁ Ἰώβ· » ἐπειδὴ δὲ αὐτὸν ἐγύμνωσε καὶ ἐποίησε πένητα, οὐδὲ γρῦξαι λοιπὸν ἐτόλμησε· καὶ ὅτε μὲν πλούσιος ἦν, ὑπισχνεῖτο παλαίειν αὐτῷ, καὶ ὑποσκελίζειν ἐπεῖλει· ἐπειδὴ δὲ πένητα εἰργάσατο καὶ πάντων ἀπεστέρησε καὶ εἰς ἰσχάτην ὀδύνην ἐνέβαλε, τότε ἀπεπήδησε· καὶ ὅτε μὲν ὑγιὲς αὐτοῦ τὸ σῶμα ἦν, τὰς χεῖρας ἀντῆρεν, ὅτε δὲ αὐτοῦ κατέκοψε τὴν σάρκα, τότε ἔφυγεν ἡττηθείς. Εἶδες πόσον πενία πλούτου, καὶ ἀῤῥωστία καὶ νόσος ὑγείας, καὶ πειρασμὸς ἀνέσεως βέλτιον τοῖς νήφουσίν ἐστι καὶ χρησιμώτερον, καὶ λαμπροτέρους καὶ εὐτονωτέρους τοὺς ἀθλοῦντας ποιεῖ; Τίς εἶδε, τίς ἤκουσεν οὕτω θαυμαστὰ παλαίσματα; Οἱ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· οὗτος δὲ, ὅτε κατέκοψε τὸ σῶμα τοῦ δικαίου, παντοδαποῖς ἕλκεσιν αὐτὸ διατρήσας, τότε ἐνικήθη καὶ ἀνεχώρησε· καὶ ἐπειδὴ διώρυξεν αὐτοῦ πάντοθεν τὰς πλευρὰς, αὐτῷ μὲν πλέον οὐδὲν ἐγένετο, τὸν γὰρ ἐναποκείμενον θησαυρὸν οὐκ

nihil vitæ nostræ prodest, nec ullum usum possidentibus necessarium explet : ulcera vero illa sunt omnis tristitiæ consolatio. Et ut discas hoc verum esse, si quis filium carissimum et unigenitum amittat, ostende infinitas ipsi gemmas, et non consolaberis dolorem, neque angorem lenies : si autem Jobi vulnera ei in memoriam revoces, facile mederi poteris, sic dicens : Quid inges, homo? tu quidem filium unum amisisti; beatus autem ille, cum totus filiorum cœtus ablatus ei fuisset, in ipsa quoque carne plagam accepit, et nudus in fimo consedit, undique sanie diffluens, dum paulatim ipsius caro consumeretur, justus ille, verax, in Deum pius, omni mala re abstinens, Deum virtutis testem habens. Si enim hæc verba dixeris, omnem lugentis tristitiam exstinxisti, et omnem dolorem sustulisti : et sic justi vulnera margaritis utiliora fiunt. Imaginamini igitur et vos athletam illum, et existimate vos cernere fimum illum, et ipsum in medio stercoris sedentem : statuam auream, gemmatam, illam qualem dicam nescio : neque enim tam pretiosam valeo materiam invenire, ut illi cruentato corpori possit comparari : sic omni materia pretiosissima carnis illius natura erat multo venerabilior, et ulcera solaribus radiis splendidiora : hi enim corporis oculos illuminant; illa vero mentis nostræ oculos illustrant, illa diabolum penitus excæcaverunt : propterea malus post illam plagam resilivit, nec deinceps apparuit. Tu vero, dilecte, et hinc disce tribulationis lucrum quantum sit. Etenim quando dives erat et otio fruebatur justus, ille unde accusaret ipsum habuit, mendaciter quidem, verum habuit unde diceret (*Job.* 1. 9), *Non gratis te colit Job.* Postquam vero ipsum spoliavit et fecit pauperem, ne hiscere quidem amplius ausus est : et cum dives quidem esset, cum ipso pugnare parabat, et supplantare minabatur; postquam vero pauperem fecit omniaque abstulit et in extremum dolorem conjecit, tunc resiliit : et quando sanum quidem ipsius erat corpus, manus opponebat; ubi vero ipsius carnem vulneribus implevit, tunc aufugit victus. Vidisti quanto paupertas divitiis, imbecillitas et ægritudo sanitate, tentatio quiete melior vigilantibus et utilior sit et clariores fortioresque luctantes faciat? Quis vidit, quis audivit tam mirabiles pugnas? Profanorum certaminum pugiles, cum adversariorum capita vulnerarint, tunc victores sunt, et coronantur : hic vero cum justi corpus vulnerasset, omnimodis perfundens ulceribus, tunc victus est et retrocessit : et postquam ipsius latera undique perfodit, ipse quidem nihil profecit : repositum enim thesaurum non abstulit; nobis autem ipsum clariorem

ἀπεσύλησεν, ἡμῖν δὲ φανερώτερον αὐτὸν ἐποίησε, καὶ διὰ διωρυγῆς ἐκείνης ἔδωκεν ἅπασιν εἰς τὸ ἔνδον βλέπειν καὶ καταμανθάνειν αὐτοῦ τὸν πλοῦτον ἅπαντα· καὶ ὅτε κρατεῖν προσεδόκησε, τότε μετ' αἰσχύνης πολλῆς ἀνεχώρησε, καὶ οὐδεμίαν οὐκέτι φωνὴν ἀφῆκε. Τί γέγονεν, ὦ διάβολε; τίνος ἕνεκεν ἀναχωρεῖς; οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; οὐκ ἀνεῖλες αὐτοῦ τὰ ποίμνια, τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα κατέκοψας ἅπασαν; τίνος ἕνεκεν ἀνεχώρησας; Ὅτι ἐγένετο μὲν πάντα, ὅσα ἠθέλησα, φησίν· ὃ δὲ γενέσθαι μάλιστα ἐβουλόμην, καὶ δι' ὃ πάντα ἐποίησα, τοῦτο οὐκ ἐγένετο· οὐδὲ γὰρ ἐβλασφήμησε· διὰ γὰρ τοῦτο πάντα ἐκεῖνα ἐποίουν, φησὶν, ἵνα τοῦτο ἐξέλθῃ· τούτου δὲ μὴ γενομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων ἐγένετο καὶ τῆς τῶν παίδων ἀπωλείας καὶ τῆς τοῦ σώματος πληγῆς, ἀλλὰ τοὐναντίον ἥπερ ἐβουλόμην ἐξέβη, λαμπρότερον ἐποίησα τὸν ἐχθρὸν, φιλοτέρους εἰργασάμην τοὺς ἀντιδίκους. Ἔγνως ὅσον τῆς θλίψεως τὸ κέρδος, ἀγαπητέ; Καλὸν μὲν γὰρ τὸ σῶμα καὶ ὑγιαῖνον ἦν, πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ τῶν τραυμάτων ἐκείνων· ἐπεὶ καὶ ἔρια καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς, ἐπειδὰν δὲ ἁλουργὰ γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος καὶ πολλὴν τὴν εὐπρέπειαν. Εἰ δὲ μὴ ἀπέδυσεν αὐτὸν, οὐκ ἂν ἔγνωμεν τοῦ στεφανίτου τὴν εὐεξίαν· εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀντέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες· εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. Οὐδὲ γὰρ οὕτω λαμπρὸς βασιλεὺς ἐπὶ θρόνου καθήμενος, ὡς ἐκεῖνος ἐπὶ τῆς κοπρίας τότε καθήμενος ἐπίσημος ἦν καὶ περιφανής· μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον θάνατος, μετὰ δὲ τὴν κοπρίαν ἐκείνην οὐρανῶν βασιλεία.

Ταῦτ' οὖν ἅπαντα ἀναλογιζόμενοι ἀνενέγκωμεν ἐκ τῆς κατεχούσης ἀθυμίας ἡμᾶς. Καὶ γὰρ ταύτας ὑμῖν παρατίθημι τὰς ἱστορίας, οὐχ ἵνα ἐπαινῆτε τὰ λεγόμενα, ἀλλ' ἵνα μιμῆσθε τὴν ἀρετὴν καὶ τὴν ὑπομονὴν τῶν γενναίων ἐκείνων ἀνδρῶν, ἵνα διὰ τῶν ἔργων αὐτῶν μάθητε ὅτι οὐδὲν δεινὸν τῶν ἀνθρωπίνων δεινῶν, ἀλλ' ἡ ἁμαρτία μόνον, οὐ πενία, οὐ νόσος, οὐχ ὕβρις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία, οὐ τὸ πάντων δοκοῦν ἔσχατον εἶναι τῶν κακῶν, ὁ θάνατος. Ὀνόματα γὰρ ταῦτα μόνον ἐστὶ τοῖς φιλοσοφοῦσι, συμφορῶν ὀνόματα πραγμάτων ἔρημα· ἡ δ' ἀληθὴς συμφορὰ τὸ προσκροῦσαι Θεῷ καὶ ποιῆσαί τι τῶν μὴ δοκούντων αὐτῷ. Τί γὰρ ἔχει δεινὸν ὁ θάνατος, εἰπέ μοι; ὅτι σε ταχύτερον ἐπὶ τὸν εὔδιον λιμένα παραπέμπει καὶ τὴν ἀτάραχον ἐκείνην ζωήν; ἂν γὰρ ἄνθρωπος μὴ ἀποκτείνῃ, αὐτὸς τῆς φύσεως ὁ νόμος ἐπελθὼν οὐ διαλύσει τὸ σῶμα ἀπὸ τῆς ψυχῆς; κἂν γὰρ μὴ νῦν γένηται τοῦτο, ἔσται μικρὸν ὕστερον, ὃ νῦν δεδοίκαμεν. Καὶ ταῦτα λέγω οὐ προσδοκῶν τι δεινὸν οὐδὲ λυπηρόν· μὴ γένοιτο· ἀλλὰ ὑπὲρ τῶν δεδοικότων τὸν θάνατον αἰσχυνόμενος. Τοσαῦτα προσδοκῶν, εἰπέ μοι, ἀγαθὰ, « ἃ μήτε ὀφθαλμὸς εἶδεν,

reddidit, et per illam confessionem, ut omnes hominem interiorem aspicerent, fecit, et omnes ipsius divitias discerent : et cum vincere speravit, tunc multa cum ignominia recessit, et nullam amplius vocem emisit. Quid actum est, diabole? quare refugis? nonne facta sunt quæcumque volebas? non interemisti ipsius ovilia, armenta, equorum greges et mulorum? non filiorum cœtum perdidisti, et carnem omnem vulnerasti? quare recessisti? Quoniam facta quidem sunt omnia quæ volui, inquit, sed quod fieri maxime volebam, et propter quod omnia feci, hoc factum non est : neque enim blasphemavit : propter hoc enim omnia illa faciebam, inquit, ut hoc eveniret. Hoc non facto, nihil lucrifeci ex pecuniarum jactura, et filiorum interitu, et corporis plaga, sed contrarium, quam volebam, evenit, splendidiorem reddidi inimicum, et clariorem effeci adversarium. Cognovisti quantum sit tribulationis lucrum, carissime? Pulchrum quidem et integrum corpus fuerat, multo vero venerabilius factum est, illis vulneribus perfossum : quoniam et lanæ pulchræ quidem, et antequam tingantur; postquam vero purpureæ factæ fuerint, ineffabilem sumunt pulchritudinem multumque decorem. Nisi vero ipsum exuisset, bonam victoris habitudinem non cognovissemus : nisi ipsius corpus plagis perforasset, radii ab intus non reluxissent : nisi ipsum in fimo constituisset, ipsius divitias non cognovissemus. Neque enim tam splendidus in solio rex sedens, quam insignis erat ille et illustris in fimo : etenim post regium quidem solium mors, post fimum autem illum cælorum regnum.

2. Hæc igitur omnia ratiocinantes, ex opprimente tristitia nos relevemus. Has etenim vobis historias appono, non ut dicta laudetis, sed ut virtutem imitemini et patientiam generosorum hujusmodi virorum : ut per ipsa discatis opera, quod humanorum nullum sit grave malorum, nisi peccatum; non paupertas, non ægritudo, non contumelia, non calumnia, non ignominia, non ipsa mors, quæ omnium malorum extremum esse videtur. Hæc enim nomina tantum sunt philosophantibus, calamitatum nomina rebus carentia; vera autem calamitas est Deum offendere, et eorum quæ ipsi non placent aliquid facere. Quid enim, queso, grave mors habet? num quod te celerius ad tranquillum portum et pacatam illam transmittit vitam? si enim homo non occidat, ipsa naturæ lex superveniens nonne corpus ab anima resolvet? licet enim hoc nunc non fiat, erit paulo post, quod nunc timemus. Et hæc dico, non grave quid expectans aut triste, absit! sed erubescens mortem timentium causa. Tot expectans bona, quæ nec oculus vidit,

μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, » ἀναδύῃ πρὸς τὴν ἀπόλυσιν καὶ μέλλεις καὶ ὀκνεῖς; καὶ οὐχ ὀκνεῖς μόνον, ἀλλὰ καὶ δέδοικας καὶ φρίττεις; Καὶ πῶς οὐκ αἰσχρόν; σὺ διὰ θάνατον ὀδύνᾶσαι, Παῦλος δὲ διὰ τὴν παροῦσαν ἔστενε ζωήν, καὶ Ῥωμαίοις γράφων ἔλεγεν ὅτι « Καὶ κτίσις συστενάζει, καὶ ἡμεῖς αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες στενάζομεν. » Καὶ ταῦτα ἔλεγεν οὐχὶ τῶν παρόντων κατηγορῶν, ἀλλὰ τὰ μέλλοντα ποθῶν. Ἐγευσάμην, φησὶ, τῆς χάριτος, καὶ οὐ στέγω τὴν ἀναβολήν· τὴν ἀπαρχὴν ἔχω τοῦ πνεύματος, καὶ πρὸς τὸ πᾶν ἐπείγομαι· ἀνέβην εἰς τρίτον οὐρανὸν, εἶδον τὴν δόξαν ἐκείνην τὴν ἄῤῥητον, εἶδον τὰ βασίλεια τὰ λαμπρὰ, ἔμαθον τίνων ἀπεστέρημαι διατρίβων ἐνταῦθα, καὶ διὰ ταῦτα στενάζω. Εἰπέ γάρ μοι, εἴ τίς σε εἰς βασιλικὰς εἰσήγαγεν αὐλὰς, καὶ χρυσὸν ἔδειξε πάντοθεν ἀπὸ τῶν τοίχων ἀστράπτοντα, καὶ τὴν ἄλλην εὐπρέπειαν ἅπασαν, εἶτά σε ἐκεῖθεν εἰς καλύβην πένητος εἰσήγαγε, καὶ μετὰ χρόνον βραχὺν ὑπέσχετο εἰς τὰ βασίλεια ἐπανάξειν ἐκεῖνα καὶ δίαιταν ἐκεῖ μονὴν, ἆρα οὐκ ἔμελλες ἀλύειν καὶ δυσανασχετεῖν καὶ πρὸς αὐτὰς τὰς ὀλίγας ἡμέρας; Τοῦτο δὴ καὶ ἐπὶ τῶν οὐρανῶν λογίζου καὶ ἐπὶ τῆς γῆς, καὶ στένε μετὰ Παύλου, μὴ διὰ τὸν θάνατον, ἀλλὰ διὰ τὴν παροῦσαν ζωήν. Καὶ δός μοι κατὰ Παῦλον γενέσθαι, φησὶ, καὶ οὐδέποτε φοβηθήσομαι θάνατον. Καὶ τί τὸ κωλύον γενέσθαι κατὰ Παῦλον, ἄνθρωπε; οὐχὶ πένης ἦν ἐκεῖνος; οὐχὶ σκηνοποιός; οὐκ ἰδιώτης; Εἰ μὲν γὰρ πλούσιος ἦν καὶ εὐγενὴς, εἶχον ἴσως οἱ πένητες πρὸς τὸν αὐτὸν καλούμενοι ζῆλον τὴν ἑαυτῶν προβάλλεσθαι πενίαν· νῦν δὲ οὐδὲν τούτων ἔχεις εἰπεῖν· καὶ γὰρ χειροτέχνης ὁ ἄνθρωπος ἦν, καὶ ἐκ τῶν καθημερινῶν ἀπετρέφετο πόνων· καὶ σὺ μὲν ἐξ ἀρχῆς τὴν εὐσέβειαν διδάξαι παρὰ πατέρων καὶ ἐκ πρώτης ἡλικίας τοῖς ἱεροῖς γράμμασιν ἐνετράφης, ἐκεῖνος δὲ καὶ βλάσφημος γέγονε καὶ διώκτης καὶ ὑβριστὴς, καὶ τὴν Ἐκκλησίαν ἐπόρθησεν, ἀλλ' ὅμως οὕτως ἀθρόον μετεβάλετο, ὡς ἅπαντας ὑπερβαλέσθαι τῇ τῆς προθυμίας σφοδρότητι, καὶ βοᾷ λέγων, « Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. » Ἐκεῖνος τὸν Δεσπότην ἐμιμήσατο, σὺ [δὲ] τὸν σύνδουλον οὐ μιμῇ, ὁ ἐξ ἀρχῆς εὐσεβείᾳ ἐνταφεὶς τὸν ὕστερον ἐκ μεταβολῆς προσελθόντα τῇ πίστει; Οὐκ οἶσθα ὅτι οἱ ἐν ἁμαρτίαις ὄντες, κἂν ζῶσιν, ἀπέθανον; οἱ δὲ ἐν δικαιοσύνῃ ζῶντες, κἂν ἀποθάνωσι, ζῶσι; Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος· ἀπόφασίς ἐστι τοῦ Χριστοῦ πρὸς τὴν Μάρθαν λέγοντος, « Πᾶς ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. » Μὴ γὰρ μῦθός ἐστι τὰ ἡμέτερα; Εἰ Χριστιανὸς εἶ, πίστευε τῷ Χριστῷ· εἰ πιστεύεις τῷ Χριστῷ, διὰ τῶν ἔργων ἐπίδειξόν μοι τὴν πίστιν. Πῶς δὲ ἐπιδείξῃ διὰ τῶν ἔργων τὴν πίστιν; Ἐὰν καταφρονῇς θανάτου. Καὶ γὰρ καὶ ταύτῃ διεστήκαμεν τῶν ἀπίστων· ἐκεῖνοι μὲν γὰρ καλῶς φοβοῦνται θάνατον, ἀναστάσεως γὰρ ἐλπίδα οὐκ ἔχουσι· σὺ δὲ ὁ πρὸς βελτίονα ὁδεύων ὁδὸν, καὶ περὶ τῆς ἑλ-

nec auris audivit, nec in cor hominis ascenderunt (1. *Cor.* 2. 9), dic mihi, ad discessum moras nectis et recedis et torpes? nec tantum torpes, sed et times et horres? Et quomodo hoc non turpe? tu propter mortem doles, cum Paulus propter præsentem gemuerit vitam, et Romanis scribens dixerit (*Rom.* 8. 22. 23), *Creatura congemiscit, et nos ipsi spiritus primitias habentes gemimus?* Et hæc dicebat non condemnans præsentia, sed futura desiderans. Gustavi, ait, gratiam, et moram non fero : primitias spiritus habeo et ad integrum festino : ascendi in tertium cælum, vidi gloriam illam ineffabilem, vidi regiam splendentem, didici quibus hic immorans bonis caream : propterea gemo. Dic etenim mihi, si quis te in regias duxisset aulas, et de parietibus aurum undique fulgens et omnem alium ornatum tibi demonstrasset; postea te inde in pauperis casam induxisset, et post breve tempus in regias reducturum illas, et perennem ibi mansionem se tibi daturum esse promisisset : numquid non deberes affici desiderio, et vel ipsos paucos dies ægre ferre? Hoc quoque de cælis et de terra cogites, et ingemisce cum Paulo, non propter mortem, sed propter præsentem vitam. At da mihi, inquis, ut Paulo similis fiam, et numquam mortem timebo. Et quid te Paulo similem fieri prohibet, mi homo? nonne pauper erat ille? nonne tentoriorum sutor? nonne idiota? Si enim dives fuisset ac nobilis, habuissent fortasse pauperes ad ipsius imitationem vocati paupertatem suam obtendendi causam; nunc autem horum nihil dicere potes : etenim operarius homo erat, et quotidianis pascebatur laboribus. Et tu quidem ab initio pietatem a parentibus suscepisti, a prima ætate sacris es literis innutritus; ille vero et blasphemus fuit, et persequutor, et contumeliosus, et Ecclesiam vastavit; sed tamen ita subito mutatus est, ut omnes studio et fervore superaverit, et clamat dicens (1. *Cor.* 11. 1), *Imitatores mei estote, sicut et ego Christi.* Ille Dominum imitatus est, tu conservum non imitaris, tu, qui a principio in pietate educatus es, eum, qui postea ex mutatione ad fidem accessit? Non nosti quod, qui in peccatis sunt, etsi vivunt, mortui sunt? qui vero in justitia sunt, etsi mortui sunt, vivunt? Nec meus hic sermo; sententia est Christi Marthæ dicentis (*Joann.* 11. 25), *Omnis qui credit in me, etiam si mortuus fuerit, vivet.* Num enim fabulæ sunt dogmata nostra? Si Christianus es, Christo crede : si Christo credis, per opera mihi fidem demonstra. Quomodo vero per opera fidem demonstrabis? Si mortem contemnas. Etenim in hoc quoque ab infidelibus differimus. Illi quippe merito timent mortem, resurrectionis enim spem non habent; tu vero meliori pergens via, et de futurorum

πίδος τῆς ἐκεῖ φιλοσοφεῖν ἔχων, ποίαν ἂν ἔχοις συγγνώμην, περὶ ἀναστάσεως μὲν θαῤῥῶν, ὁμοίως δὲ τοῖς ἀπιστοῦσι τῇ ἀναστάσει τὸν θάνατον δεδοικώς; Ἀλλ' οὐ τὸν θάνατον δέδοικα, φησὶν, οὐδὲ τὸ ἀποθανεῖν, ἀλλὰ τὸ κακῶς ἀποθανεῖν, τὸ ἀποτμηθῆναι, φησὶ, τὴν κεφαλήν. Οὐκοῦν Ἰωάννης κακῶς ἀπέθανεν; ἀπετμήθη γάρ· οὐκοῦν Στέφανος κακῶς ἀπέθανε; κατελεύσθη γάρ· καὶ οἱ μάρτυρες δὲ πάντες ἀθλίως τὸ καθ' ὑμᾶς ἐτελεύτησαν, ἐπειδὴ οἱ μὲν πυρὶ, οἱ δὲ σιδήρῳ τὸν βίον κατέλυσαν, καὶ οἱ μὲν εἰς πέλαγος, οἱ δὲ εἰς κρημνοὺς, οἱ δὲ εἰς ὀδόντας ἐμπεσόντες θηρίων, οὕτως ἀπέθανον. Οὐ τοῦτό ἐστι τὸ κακῶς ἀποθανεῖν, ἄνθρωπε, τὸ βιαίῳ τελευτῆσαι θανάτῳ, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν. Ἄκουσον γοῦν τοῦ προφήτου περὶ αὐτῶν τούτων φιλοσοφοῦντος καὶ λέγοντος, « Θάνατος ἁμαρτωλῶν πονηρός· » οὐκ εἶπε, θάνατος ὁ βίαιος· ἀλλὰ τί; « Θάνατος ἁμαρτωλῶν πονηρός. » Δικαίως· μετὰ γὰρ τὴν ἐντεῦθεν ἀποδημίαν κολάσεις ἀφόρητοι, τιμωρίαι ἀθάνατοι, ὁ σκώληξ ὁ ἰοβόλος, τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ τῶν ὀδόντων βρυγμὸς, ἡ θλῖψις, ἡ στενοχωρία, καὶ ἡ αἰώνιος δίκη.

Ὅταν οὖν τὰ τοιαῦτα τοὺς ἁμαρτωλοὺς ἀναμένῃ κακὰ, τί γένοιτ' ἂν αὐτοῖς ὄφελος, κἂν οἶκοι, κἂν ἐπὶ τῆς ἑαυτῶν κλίνης καταλύσωσι τὴν ζωήν; ὥσπερ οὖν τοῖς δικαίοις οὐδὲν ἂν γένοιτο βλάβος ἐκ τοῦ ξίφει καὶ σιδήρῳ καὶ πυρὶ τὴν παροῦσαν ἀποθέσθαι ζωὴν, ὅταν πρὸς τὰ ἀθάνατα μέλλωσιν ἀποδημεῖν ἀγαθά. Ἀληθῶς « θάνατος ἁμαρτωλῶν πονηρός ». Τοιοῦτος ἦν ὁ τοῦ πλουσίου θάνατος ἐκείνου τοῦ τὸν Λάζαρον ὑπεριδόντος, ὃς οἶκοι καὶ ἐπὶ τῆς κλίνης καὶ τῶν ἐπιτηδείων παρόντων οἰκείᾳ τελευτῇ καταλύσας τὸν βίον, ἀπελθὼν ἐκεῖ ἀπετηγανίζετο, οὐδὲ μικρὰν παραμυθίαν ἐκ τῆς κατὰ τὸν παρόντα βίον εὐημερίας εὑρεῖν ἐκεῖ δυνηθείς. Ἀλλ' οὐχ ὁ Λάζαρος οὕτως· ἀλλ' ἐπ' αὐτοῦ τοῦ ἐδάφους τῶν κυνῶν παρόντων καὶ λιχμωμένων τὰ τραύματα, βίαιον θάνατον ὑποστάς (τί γὰρ λιμοῦ γένοιτ' ἂν ὀδυνηρότερον;) ἀπελθὼν ἐκεῖ τῶν αἰωνίων ἀπήλαυσεν ἀγαθῶν, ἐντρυφῶν τοῖς κόλποις τοῦ Ἀβραάμ. Τί τοίνυν παρέβλαψεν αὐτὸν τὸ βιαίως ἀποθανεῖν; τί δὲ τὸν πλούσιον ὤνησε τὸ μὴ βιαίως ἀποθανεῖν; Ἀλλ' οὐ τὸ βιαίως, φησὶν, ἀλλὰ τὸ ἀδίκως ἀποθανεῖν δεδοίκαμεν, καὶ τὸ μηδὲν τετολμηκότες ὧν ὑποπτευόμεθα, τοῖς ἐπὶ τοῖς κολασθῆναι παραπλησίως. Τί λέγεις, εἰπέ μοι; τὸ ἀδίκως ἀποθανεῖν δέδοικας; ἀλλὰ δικαίως ἐβούλου; Καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος ὡς, παρὸν ἀδίκως ἀποθανεῖν, δικαίως ἕλέσθαι μᾶλλον; Εἰ γὰρ δεδοικέναι χρὴ θάνατον, τὸν δικαίως ἡμῖν ἐπιόντα δεδοικέναι χρὴ, ὡς ὅ γε ἀδίκως ἀποθανὼν κατ' αὐτὸ τοῦτο κοινωνεῖ τοῖς ἁγίοις ἅπασιν. Οἱ γὰρ πλείους τῶν εὐδοκιμηκότων παρὰ τῷ Θεῷ καὶ λαμψάντων ἄδικον ὑπέστησαν τελευτὴν, καὶ πρῶτος ὁ Ἄβελ· οὐ γὰρ δὴ πλημμελήσας εἰς τὸν ἀδελφὸν, οὐδὲ λυπήσας τι τὸν Κάϊν, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐτίμησε, διὰ τοῦτο ἐσφάγη· ὁ δὲ Θεὸς συνεχώρησεν, ἆρα

spe philosophari valens, qua dignus es venia, de resurrectione quidem confidens, ita vero mortem timens ut ii qui non credunt resurrectioni? Sed mortem, inquit, non timeo, neque mori; verum male mori, et capite truncari. Igitur Joannes male mortuus est? fuit enim obtruncatus. Igitur Stephanus male mortuus est? fuit enim lapidatus; et martyres cuncti misere secundum vos obiere, quoniam igne aut ferro vitam finierunt; et hi quidem in mare, hi vero in præcipitia, hi denique in dentes bestiarum incidentes, sic mortui sunt. Non hoc est male mori, mi homo, violenta morte obire, verum in peccatis mori. Audi namque prophetam de hoc ipso philosophantem et dicentem (*Psal.* 33. 22), *Mors peccatorum pessima.* Non dixit, Mors violenta pessima, sed quid? *Mors peccatorum pessima.* Juste sane; postquam enim hinc migraverint, pœnæ intolerabiles, tormenta sempiterna, vermis virulentus, ignis inexstinguibilis, tenebræ exteriores, vincula insolubilia, dentium stridor, tribulatio, angustia, et æterna damnatio.

3. Cum igitur talia maneant peccatores mala, quæ possit esse utilitas, etsi domi, etsi in lecto suo vitam finiant? sicut contra justis nullum damnum esse possit, quod ense vel igne præsentem vitam claudant, cum ad immortalia migraturi sint bona. Vere *Mors peccatorum pessima.* Talis erat divitis illius mors, qui Lazarum despexerat, qui domi et in lecto et necessariis assistentibus vita per propriam soluta mortem defuncta torrebatur, ne parvam quidem consolationem ex præsentis vitæ prosperitate nanciscì illic valens. At non ita Lazarus; verum in ipso pavimento canibus adstantibus et ulcera lingentibus violentam mortem passus (quid enim fame majores cruciatus afferat?) digressus illinc æternis potitus est bonis, in Abrahæ sinu gaudens. Quid igitur ipsum læsit violenter mori? quid vero diviti profuit morte non violenta mori? At non violenter, inquit, sed injuste mori timemus: et quod ausi nihil eorum de quibus in suspicionem vocamur, cum sontibus pariter puniamur. Quid ais, quæso? injuste mori times? an juste velles? Et quis tam miser et ærumnosus, ut cum injuste mori immineat, malit juste mori? Si enim mortem metuere oportet, juste nobis ingruentem timere convenit: quoniam injuste quidem mortuus, per hoc ipsum cum sanctis omnibus communicat. Apud Deum enim probatorum et illustrium plures injustam sustinuere mortem, et ante omnes Abel: non enim in fratrem peccans, nec Cain quicquam læso, sed quoniam Deum honorabat, ideo jugulatus est. Deus

φιλῶν αὐτὸν ἢ μισῶν; εὔδηλον ὅτι φιλῶν, καὶ λαμπρότερον αὐτῷ τὸν στέφανον ποιῆσαι βουλόμενος ἀπὸ τῆς ἀδικωτάτης ταύτης σφαγῆς. Ὁρᾷς ὅτι οὔτε τὸ βιαίως ἀποθανεῖν οὔτε τὸ ἀδίκως ἀποθανεῖν χρὴ δεδοικέναι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν; Ὁ Ἄβελ ἀπέθανεν ἀδίκως, ὁ Κάϊν ἔζη στένων καὶ τρέμων· τίς οὖν, εἰπέ μοι, μακαριώτερος ἦν, ὁ μετὰ δικαιοσύνης ἀναπαυσάμενος, ἢ ὁ ἐν ἁμαρτίαις ζῶν; ὁ ἀδίκως ἀποθανών, ἢ ὁ δικαίως κολαζόμενος; Βούλεσθε εἶπω πρὸς τὴν ὑμετέραν ἀγάπην, πόθεν δεδοίκαμεν θάνατον; Οὐκ ἔτρωσεν ἡμᾶς ὁ τῆς βασιλείας ἔρως, οὐδὲ ἀνῆψεν ἡμᾶς ὁ τῶν μελλόντων πόθος, ἐπεὶ πάντων ἂν ὑπερείδομεν τῶν παρόντων, καθάπερ ὁ μακάριος Παῦλος. Καὶ πρὸς τούτοις πάλιν οὐ φοβούμεθα γέενναν, διὰ τοῦτο φοβούμεθα θάνατον· οὐκ ἴσμεν τῆς ἐκεῖ κολάσεως τὸ ἀφόρητον, διὰ τοῦτο τελευτὴν ἀντὶ ἁμαρτίας δεδοίκαμεν· ὡς εἰ ἐκεῖνος κατεῖχε τὴν ψυχὴν ἡμῶν ὁ φόβος, οὐδὲ ἐπεισελθεῖν οὗτος ἠδύνατο. Καὶ τοῦτο οὐ πόρρωθέν πωθεν, ἀλλ' οἰκοθεν καὶ ἐξ αὐτῶν τῶν συμβεβηκότων ἡμῖν ἐν ταῖς ἡμέραις ταύταις πειράσομαι ποιῆσαι φανερόν. Ἐπειδὴ γὰρ ἦλθε παρὰ βασιλέως γράμματα τὴν εἰσφορὰν ταύτην τὴν ἀφόρητον εἶναι δοκοῦσαν κελεύοντα καταθεῖναι, πάντες ἐστασίαζον, πάντες ἐφιλονείκουν, ἐδυσχέραινον, ἠγανάκτουν, πρὸς ἀλλήλους ἅπαντῶντες ἔλεγον, Ἄβίωτος ἡμῖν ὁ βίος, ἀνετράπη ἡ πόλις, οὐδεὶς ὑποστῆναι δυνήσεται τῆς εἰσφορᾶς ταύτης τὸ μέγεθος· καὶ ἦσχαλλον πάντες ὡς περὶ τῶν ἐσχάτων (αὐτῶν) κινδυνεύοντες. Μετὰ ταῦτα, ἐπειδὴ συνέβη τὰ τολμηθέντα, καί τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους καταπατήσαντες, τοὺς ἀνδριάντας καθεῖλον, καὶ τὸν περὶ τῶν ἐσχάτων πᾶσιν ἐπεκρέμασαν κίνδυνον, καὶ νῦν περὶ τῆς ζωῆς αὐτῆς δεδοίκαμεν παροξύνοντες βασιλέα· οὐκέτι λοιπὸν ἡμᾶς ἡ τῶν χρημάτων δάκνει ζημία, ἀλλ' ἕτερα ἀντ' ἐκείνων πάντων ἀκούω λεγόντων· Λαβέτω τὴν οὐσίαν ὁ βασιλεὺς, ἀποστησόμεθα καὶ τῶν ἀγρῶν καὶ τῶν οἰκιῶν ἀγαπητῶς· μόνον τὸ σῶμα γυμνόν τις ἡμῖν ὑπόσχηται διασώζειν. Ὥσπερ οὖν ἐνταῦθα πρὶν ἡ τὸν περὶ τοῦ θανάτου φόβον ἡμῖν ἐπιστῆναι, ἔδακνεν ἡμᾶς ἡ ζημία τῶν χρημάτων, ἐπειδὴ δὲ ἐτολμήθη τὰ παράνομα ταῦτα τολμήματα, ὁ τοῦ θανάτου φόβος ἐπεισελθὼν τὴν ὀδύνην τῆς ζημίας ἀπώθησεν· οὕτως εἰ ὁ τῆς γεέννης φόβος κατεῖχεν ἡμῶν τὰς ψυχὰς, οὐκ ἂν ὁ τοῦ θανάτου φόβος κατέσχεν· ἀλλ' ὥσπερ ἐπὶ τῶν σωμάτων, ὅταν δύο κατάσχωσιν ἡμᾶς ὀδύναι, ἡ δυνατωτέρα τὴν ὑποδεεστέραν ἀποκρύπτειν εἴωθεν, οὕτω καὶ νῦν ἐγένετο ἄν· εἰ τὸ τῆς μελλούσης κολάσεως δέος ἔμενεν ἐπὶ τῆς ψυχῆς, πάντα ἂν ἀνθρώπινον ἀπέκρυψε φόβον. Ὥστε εἴ τις σπουδάζοι διὰ παντὸς μεμνῆσθαι γεέννης, πάσης καταγελάσεται τελευτῆς· καὶ τοῦτο οὐ τῆς παρούσης αὐτὸν ἀπαλλάξει μόνον ἀγωνίας, ἀλλὰ κἀκείνης ἐξαιρήσεται τῆς φλογός. Ὁ γὰρ διαπαντὸς γέενναν δεδοικὼς, οὐδέποτ' εἰς τὸ τῆς γεέννης ἐμπεσεῖται πῦρ, τῷ διηνεκεῖ τούτῳ σωφρονιζόμενος φόβῳ.

autem permisit, numquid ipsum amans, an odio habens? certum est quod amans, ut clariorem ipsi coronam faceret ex injustissima hac cæde. Vides nec violentam neque injustam mortem esse metuendam, sed mortem in peccatis? Abel injuste mortuus est, Cain vixit gemens et tremens: uter igitur, dic mihi, beatior fuit, qui cum justitia requieverat, an qui in peccatis vivebat? qui mortuus est injuste, an qui juste puniebatur? Vultis caritati vestræ dicam unde timemus mortem? Non percussit nos regni amor, non futurorum amor nos accendit: alioquin præsentia despiceremus omnia, sicut beatus Paulus. Ad hæc non timemus gehennam, ideo mortem timemus: supplicii illius intolerabilem gravitatem non novimus, propterea pro peccato mortem timemus: quodsi ille animam nostram timor occuparet, iste subrepere non potuisset. Et hoc non aliunde procul, sed ex domesticis et ex iis quæ nobis acciderunt his diebus, manifestum facere conabor. Postquam enim ab Imperatore datæ sunt literæ tributum hoc, quod intolerabile esse videbatur, conferre jubentes, omnes tumultuabantur, omnes contendebant, ægre ferebant, indignabantur, inter se occurrentes dicebant: Haud vitalis nobis vita, subversa civitas est, hujus tributi magnitudinem sustinere poterit nemo: et omnes angebantur, tamquam de extremis ipsis periclitantes. Mox vero postquam perpetrata acciderunt, et quidam nefarii et scelératissimi, legibus conculcatis, statuas dejecerunt, et mortis periculum omnibus imposuerunt, et jam de ipsa vita timemus, exacerbato Imperatore: non nos amplius pecuniarum jactura mordet, sed alia pro illis omnes audio dicentes: Capiat substantiam Imperator, et agris et domibus libenter carebimus, dumtaxat corpus salvum fore quis spondeat. Sicut itaque priusquam nobis mortis timor immineret, nos pecuniarum jactura cruciabat; postquam vero nefanda perpetrata sunt, mortis timor succedens, jacturæ dolorem expulit: sic et si gehennæ timor comprehendisset animas nostras, non mortis timor occupasset; sed quemadmodum in corporibus, quando nos duo dolores oppresserint, inferiorem potentior abscondere consuevit, sic et nunc factum esset: si futuri supplicii timor in anima remansisset, omnem timorem humanum obscurasset. Itaque si quis gehennæ semper meminisse laboret, mortem deridebit, et non præsenti tantum angustia liberabitur, sed et ab illa flamma eripietur. Qui enim gehennam continue timet, numquam in gehennæ ignem incidet, hoc assiduo correctus metu.

Δότε μοι πρὸς ὑμᾶς εὐκαίρως εἰπεῖν νῦν, « Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. » Καὶ γὰρ παιδικὸν φοβούμεθα φόβον θάνατον δεδοικότες, ἁμαρτίαν δὲ μὴ δεδοικότες. Καὶ γὰρ τὰ παιδία τὰ μικρὰ προσωπεῖα μὲν δέδοικε, πῦρ δ' οὐ δέδοικεν· ἀλλ' ἐὰν βασταζόμενα τύχῃ παρὰ λυχνίαν λύχνον ἔχουσαν, ἀπερισκέπτως τὴν χεῖρα ἐπαφήσι τῇ λυχνίᾳ καὶ τῇ φλογί· καὶ τὸ μὲν εὐκαταφρόνητον φρίττει προσωπεῖον, τὸ δ' ἀληθῶς φοβερὸν οὐ δέδοικε πῦρ· οὕτω δὴ καὶ ἡμεῖς θάνατον μὲν δεδοίκαμεν, ὅπερ ἐστὶν εὐκαταφρόνητον προσωπεῖον, ἁμαρτίαν δ' οὐ δεδοίκαμεν, ὅπερ ἐστὶν ἀληθῶς φοβερὸν καὶ πυρὸς δίκην κατεσθίει τὸ συνειδός. Καὶ ταῦτα οὐκ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως, ἀλλ' ἐξ ἀνοίας ἡμῖν συμβαίνειν εἴωθεν· ὡς ἐὰν λογισώμεθα, τί ποτ' οὖν ἐστὶ θάνατος; Ὅπερ ἐστὶν ἱμάτιον ἀποδύσασθαι· καθάπερ γὰρ ἱμάτιον τὸ σῶμα τῇ ψυχῇ περίκειται, καὶ τοῦτο πρὸς βραχὺ διὰ τῆς τελευτῆς ἀποθέμενοι λαμπρότερον ἀπολήψόμεθα πάλιν. Τί ποτέ ἐστι θάνατος; Ἀποδημία πρόσκαιρος, ὕπνος μακρότερος τοῦ συνήθους· ὥστε εἰ δέδοικας θάνατον, φοβοῦ καὶ ὕπνον· εἰ διὰ τοὺς τελευτῶντας ἀλγεῖς, ἄλγησον καὶ διὰ τοὺς ἐσθίοντας καὶ διὰ τοὺς πίνοντας· ὥσπερ γὰρ τοῦτο φυσικὸν, οὕτω κἀκεῖνο. Μὴ λυπείτω σε τὰ τῆς φύσεως, λυπείτω δέ σε τὰ τῆς πονηρᾶς προαιρέσεως, μηδὲ τὸν τελευτῶντα πενθήσῃς, ἀλλὰ πένθησον τὸν ἐν ἁμαρτίαις ζῶντα.

Βούλει εἶπω καὶ ἑτέραν αἰτίαν, δι' ἣν τὸν θάνατον δεδοίκαμεν; Οὐ ζῶμεν μετ' ἀκριβείας, οὐκ ἔχομεν συνειδὸς ἀγαθόν· ὡς εἰ τοῦτο ἦν, οὐδὲν ἡμᾶς ἂν ἐφόβησεν, οὐ θάνατος, οὐ λιμὸς, οὐ ζημία χρημάτων, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Τὸν γὰρ ἐν ἀρετῇ ζῶντα οὐδὲν τούτων παραβλάψαι δυνήσεται, οὐδ' ἀφελέσθαι τὴν ἔνδον ἡδονήν· τὸν γὰρ χρησταῖς συντρεφόμενον ἐλπίσι οὐδὲν εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται. Τί γὰρ ἐργάσεταί τις τοιοῦτον, δι' οὗ τὸν γενναῖον ἄνδρα παρασκευάσει λυπεῖσθαι; Χρήματ' ἀφαιρήσεται; ἀλλ' ἔχει πλοῦτον τὸν ἐν οὐρανοῖς. Ἀλλὰ τῆς πατρίδος ἐκβαλεῖ; ἀλλ' εἰς τὴν ἄνω πόλιν στελεῖ. Ἀλλὰ δεσμὰ περιθήσει; ἀλλ' ἔχει τὸ συνειδὸς λελυμένον καὶ τῆς ἔξωθεν ἀλύσεως οὐκ αἰσθάνεται. Ἀλλ' ἀναιρήσει τὸ σῶμα; ἀλλ' ἀναστήσεται πάλιν· καὶ καθάπερ ὁ σκιᾷ πυκτεύων καὶ τὸν ἀέρα δέρων οὐδένα πλῆξαι δυνήσεται, οὕτως ὁ τῷ δικαίῳ πολεμῶν σκιομαχεῖ μόνον, καὶ τὴν ἑαυτοῦ καταλύει δύναμιν, εἰς ἐκεῖνον δὲ οὐδεμίαν πληγὴν ἐναπερεῖσαι δυνήσεται. Δός μοι τοίνυν θαῤῥῆσαι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ εἰ βούλει, σήμερόν με κατάσφαξον, καὶ χάριν εἴσομαί σοι τῆς σφαγῆς, ὅτι με ταχέως πρὸς ἐκεῖνα πέμπεις τὰ ἀγαθά. Τοῦτο γάρ ἐστι μάλιστα, τοῦτό ἐστιν ὃ καὶ ἡμεῖς θρηνοῦμεν, φησὶν, ὅτι τῷ πλήθει τῶν ἁμαρτιῶν κωλυόμενοι, τῆς ἐκεῖ βασιλείας οὐκ ἐπιτευξόμεθα. Οὐκοῦν ἀφεὶς τὸ θρηνεῖν τὸν θάνατον, θρήνει τὰς ἁμαρτίας σου, ἵνα αὐτὰς καταλύσῃς. Καὶ

Concedite nunc mihi ut opportune vobis dicam (1. *Cor.* 14. 20), *Fratres, ne pueri efficiamini sensibus, sed malitia infantes sitis.* Etenim puerilem timemus patorem, mortem timentes, peccatum autem non timentes. Pueri enim parvi larvas timent, ignem non timent; sed si ad lucernam lumen habentem portari contingat, incosiderate manum immittunt lucernæ et flammæ: dum contemnendam larvam horrescunt, vere timendum ignem non timent: sic quidem et nos timemus mortem, quæ est larva contemtu digna, peccatum vero non timemus, quod est vere timendum, et ignis more conscientiam devorat. Et hæc non ex rerum natura, sed ex ignorantia nobis accidere consueverunt: quodsi cogitemus, quid tandem sit mors, numquam ipsam timebimus. Quid igitur tandem mors est? Id ipsum quod vestimentum exuere. Tamquam vestimentum enim corpus animæ circumdatum est, et hoc ad breve tempus per mortem depositum, clarius iterum resumemus. Quid tandem mors est? Peregrinatio ad tempus, somnus consueto longior. Itaque si mortem times, time et somnum: si propter morientes angeris, etiam propter comedentes et propter bibentes angere: sicut enim hoc naturale, sic et illud. Ne te naturalia contristent; contristent te potius quæ sunt ex mala voluntate: neque morientem luge, sed luge in peccatis viventem.

4. Vis commemorem et aliam causam, propter quam mortem timemus? Non vivimus cum diligentia, non habemus conscientiam puram: quodsi hoc esset, nihil nos mors terruisset, non fames, non pecuniarum jactura, non aliud quid ejusmodi. In virtute enim viventem horum nihil lædere poterit, nec interna privare voluptate: bonæ enim innutritum spei nihil in tristitiam dejicere poterit. Quid enim quispiam facere possit, quo fortem virum in tristitiam conjiciat? Auferet pecunias? sed habet ille in cælis divitias. Patria ejiciet? sed in supernam civitatem mittet. Vincula injiciet? sed habet conscientiam solutam, et exteriorem non sentit catenam. At interficiet corpus? sed iterum resurget; et sicut qui cum umbra pugnat, et aerem verberat, percutere poterit neminem: sic et qui cum justo pugnat, cum umbra tantum pugnat, et suas vires dissolvit, nullam illi plagam valens infligere. Itaque da mihi de cælorum regno confidere, et si vis hodie me jugula: cædis gratiam tibi habebo, quod me celeriter ad illa bona transmittas. Hoc est maxime, hoc ipsum quod et nos lugemus, inquit, quod peccatorum multitudine prohibiti, regnum illud non assequemur. Igitur mortem lugere omittens, luge peccata tua, ut ipsa deleas. Propter hoc enim tri-

γὰρ διὰ τοῦτο ἡ λύπη γεγένηται, οὐχ ἵνα ἐπὶ ζημίᾳ χρημάτων, οὐδ' ἵνα ἐπὶ θανάτῳ, οὐδ' ἵνα ἐπ' ἄλλῳ τινὶ τῶν τοιούτων ἀλγῶμεν, ἀλλ' ἵνα εἰς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν αὐτῇ καταχρώμεθα. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἐκ παραδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν. Τὰ φάρμακα τὰ ἰατρικὰ δι' ἐκεῖνα γεγένηται τὰ πάθη μόνον ἅπαρ ἀνελεῖν δύναται, οὐ δι' ἐκεῖνα τὰ μηδὲν ὠφελούμενα παρ' αὐτῶν. Οἷόν τι λέγω· ἔτι γὰρ σαφέστερον ποιῆσαι βούλομαι τὸν λόγον· τὸ φάρμακον τὸ δυνάμενον ὀφθαλμοὺς νοσοῦντας ὠφελεῖν μόνον, ἕτερον δὲ πάθος μηδὲν, διὰ τὴν τῶν ὀφθαλμῶν νόσον δικαίως ἄν τις εἴποι γεγενῆσθαι μόνον, οὐ διὰ στόμαχον, οὐδὲ διὰ χεῖρας, οὐδὲ δι' ἕτερόν τι μέλος. Μεταγάγωμεν τοίνυν τὸν λόγον ἐπὶ τὴν λύπην, κἂν εὑρῶμεν ὅτι τῶν ἄλλων μὲν οὐδὲν τῶν συμβαινόντων ἡμῖν ὠφελεῖ, ἁμαρτίαν δὲ διορθοῦται μόνην, εὔδηλον ὅτι διὰ τὴν ταύτης ἀναίρεσιν γεγένηται μόνον. Ἐπέλθωμεν τοίνυν ἕκαστον τῶν συμπιπτόντων ἡμῖν ξενῶν, καὶ ἐπαγάγωμεν τὴν ἀθυμίαν, καὶ ἴδωμεν τί κέρδος ἀπὸ ταύτης γίνεται. Ἐζημιώθη τις χρήματα; ἐλυπήθη, οὐ διώρθωσε τὴν ζημίαν. Ἀπέβαλέ τις υἱόν; ἤλγησεν, οὐκ ἀνέστησε τὸν νεκρὸν, οὐδὲ τὸν ἀπελθόντα ὠφέλησεν. Ἐμαστιγώθη τις, ἐῤῥαπίσθη, ὑβρίσθη; ἐλυπήθη, τὴν ὕβριν οὐκ ἀνεκαλέσατο. Ἀῤῥωστίᾳ τις περιέπεσε καὶ νόσῳ χαλεπωτάτῃ; ἠθύμησε, τὴν νόσον οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ χαλεπωτέραν ἐποίησεν. Ὁρᾷς ἐπ' οὐδενὶ τούτων ὠφελοῦσάν τι τὴν λύπην; Ἥμαρτέ τις; ἐλυπήθη, τὴν ἁμαρτίαν ἐξηφάνισεν, ἔλυσε τὸ πλημμέλημα. Πόθεν τοῦτο δῆλον; Ἀπὸ τῆς ἀποφάσεως τοῦ Κυρίου· περὶ γάρ τινος ἡμαρτηκότος διαλεγόμενος ἔλεγε, « Δι' ἁμαρτίαν βραχύ τι ἔλυπησα αὐτὸν, καὶ εἶδον ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. » Διὰ τοῦτο καὶ ὁ Παῦλος φησὶν, « Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. » Οὐκοῦν ἐπειδὴ σαφῶς ὁ λόγος ἀπέδειξεν ὅτι οὔτε ζημίαν χρημάτων, οὔθ' ὕβριν, οὔτ' ἐπήρειαν, οὔτε μάστιγας, οὔτ' ἀῤῥωστίαν, οὔτε θάνατον, οὔτ' ἄλλο τι τῶν τοιούτων ἐπενεχθεῖσα λύπη διορθῶσαι δύναιτ' ἄν, ἀλλ' ἁμαρτίαν ἀφανίζει μόνην καὶ ταύτης ἐστὶν ἀναιρετικὴ, εὔδηλον ὅτι διὰ ταύτην ἐγένετο μόνην. Μηκέτι οὖν ἐπὶ ζημίᾳ χρημάτων ἀλγῶμεν, ἀλλ' ὅταν ἁμαρτάνωμεν, ἀλγῶμεν μόνον· πολὺ γὰρ ἐνταῦθα τὸ κέρδος ἀπὸ τῆς λύπης. Ἐζημιώθης; μὴ ἀθυμήσῃς· οὐδὲ γὰρ ὠφελήσεις. Ἥμαρτες; λυπήθητι, ὄφελος γάρ· καὶ σκόπει σύνεσιν Θεοῦ καὶ σοφίαν. Δύο ταῦτα ἔτεκεν ἡμῖν ἡ ἁμαρτία, λύπην καὶ θάνατον· « Ἧ γὰρ ἂν ἡμέρᾳ φάγῃς, φησὶ, θανάτῳ ἀποθανῇ· » καὶ πρὸς τὴν γυναῖκα, « Ἐν λύπαις τέξῃ τέκνα· » καὶ δι' ἀμφοτέρων τούτων τὴν ἁμαρτίαν ἀνεῖλε, καὶ ὑπὸ τῶν τέκνων τὴν μητέρα ἀπολέσθαι παρεσκεύασεν. Ὅτι γὰρ μετὰ τῆς λύπης καὶ θάνατος ἁμαρτίαν ἀναιρεῖ, δῆλον μὲν καὶ ἀπὸ τῶν μαρτύρων, δῆλον δὲ καὶ ἐξ ὧν ὁ Παῦλος εἶπε πρὸς τοὺς ἁμαρτάνοντας, οὕτω λέγων· « Διὰ τοῦτο ἐν

stitia facta est, non ut ob jacturam pecuniarum, non ob mortem, nec ob ullam aliam rem talem doleamus, sed ut ipsa ad delenda utamur peccata; et quod hoc verum sit, exemplo vobis faciam manifestum. Remedia medicinalia propter illos tantum morbos facta sunt, quos tollere queunt, non propter illos, quos nihil adjuvare possunt. Utputa (adhuc enim manifestiorem volo sermonem reddere): medicamentum oculos affectos tantum juvare valens, nullum vero alium morbum, propter oculorum ægritudinem tantum factum esse dicere quis possit, non propter stomachum, neque propter manus, neque propter ullum aliud membrum. Transferamus igitur orationem ad tristitiam, et quando inveniemus quod in nullo eorum, quæ nobis accidunt, nos adjuvet, peccatum vero solum corrigat; manifestum erit eam ad illud tantum auferendum concessam esse. Percurramus ingruentium nobis malorum quodlibet, et tristitiam superadducamus, et videamus quid ex hac fiat utilitatis. Mulctatus est quispiam pecuniis? tristatus est, mulctam non emendavit. Filium amisit? doluit, mortuum non resuscitavit, nec defuncto profuit. Flagellatus est quis, alapis cæsus, contumeliis affectus? doluit, non resarcivit contumeliam. In morbum quis incidit et ægritudinem gravissimam? doluit, ægritudinem non sustulit, sed et difficiliorem reddidit. Vides horum nulli prodesse tristitiam? Peccavit quis? tristatus est, peccatum delevit, dissolvit debitum. Unde hoc manifestum? Ex Domini sententia: de quodam enim prævaricato loquens, dicebat (*Isai.* 57. 17. 18), *Propter peccatum paulisper ipsum contristavi, et vidi quod tristatus est, et incessit mœstus, et ipsius vias correxi.* Propterea et Paulus dicit (2. *Cor.* 7. 10), *Quæ enim secundum Deum tristitia est, pœnitentiam in salutem stabilem operatur.* Igitur postquam manifeste oratio demonstravit, neque pecuniarum jacturam, neque contumeliam, neque calumniam, neque flagella, neque morbum, neque mortem, neque aliud hujusmodi resarcire tristitiam posse, sed solum delere peccatum, et ad hoc destruendum valere: certum est quod propter hanc solam causam facta sit. Ne amplius igitur pecuniarum jacturam doleamus, sed cum peccamus tantum doleamus; multa enim hic ex tristitia utilitas. Mulctatus es? ne doleas; neque enim proderit. Peccasti? dole, utile namque est; et Dei prudentiam et sapientiam considera. Duo hæc nobis peperit peccatum, tristitiam et mortem: *Quacumque enim die comedes*, inquit (*Gen.* 2. 17), *morte morieris*: et ad mulierem (*Gen.* 3. 16), *In doloribus paries filios*: et per hæc utraque peccatum sustulit, et a filiis matrem deleri curavit. Quod enim cum tristitia mors peccatum destruat, manifestum quidem est ex martyribus; manifestum item ex iis quæ dixit Paulus ad peccatores, sic inquiens (1. *Cor.* 11. 30): *Ideo multi in*

ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· » ἐπειδὴ ἁμαρτάνετε, φησὶ, τελευτᾶτε, ὥστε τῇ τελευτῇ τὰ ἁμαρτήματα διαλύσασθαι. Ἐπήγαγε γοῦν λέγων, « Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα, κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ καταχριθῶμεν. » Καὶ καθάπερ ὁ σκώληξ ὑπὸ τοῦ ξύλου τίκτεται, καὶ κατεσθίει τὸ ξύλον, καὶ σὴς κατεσθίει τὸ ἔριον παρ' αὐτοῦ τὴν ἀρχὴν ἔχων· οὕτω λύπη καὶ θάνατος ἐτέχθησαν ἀπὸ τῆς ἁμαρτίας, καὶ κατέφαγον τὴν ἁμαρτίαν.

Μὴ τοίνυν φοβώμεθα θάνατον, ἀλλὰ φοβώμεθα ἁμαρτίαν μόνον, καὶ δι' ἐκείνην ἀλγῶμεν. Καὶ ταῦτα λέγω οὐ δεινόν τι προσδοκῶν, μὴ γένοιτο, ἀλλὰ φοβουμένους ὑμᾶς οὕτως ἀεὶ διακεῖσθαι θέλων καὶ τὸν τοῦ Χριστοῦ νόμον ἐπὶ τῶν ἔργων πληροῦν· « Ἐάν γάρ τις μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ μοι, φησὶν, οὐκ ἔστι μου ἄξιος. » Τοῦτο δ' ἔλεγεν οὐχ ἵνα ξύλον βαστάζωμεν ἐπὶ τῶν ὤμων, ἀλλ' ἵνα τὸν θάνατον ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν, καθάπερ οὖν καὶ ὁ Παῦλος καθ' ἡμέραν ἀπέθνησκε καὶ κατεγέλα τῆς τελευτῆς καὶ τοῦ παρόντος ὑπεριώρα βίου. Καὶ γὰρ στρατιώτης εἶ, καὶ διηνεκῶς ἐπὶ τῆς παρατάξεως ἕστηκας· στρατιώτης δὲ θάνατον δεδοικὼς, οὐδὲν οὐδέποτ' ἐργάσεται γενναῖον· ὥσπερ οὖν οὐδὲ Χριστιανὸς ἄνθρωπος κινδύνους φοβούμενος ἐπιδείξεταί τι μέγα καὶ θαυμαστὸν, ἀλλὰ πρὸς τούτοις καὶ εὐχείρωτος ἔσται· ἀλλ' οὐχ ὁ τολμητὴς καὶ μεγαλόφρων, ἀλλ' ἀνάλωτος μένει καὶ ἀκαταγώνιστος. Καθάπερ οὖν οἱ παῖδες οἱ τρεῖς μὴ φοβηθέντες τὸ πῦρ, ἔφυγον τὸ πῦρ· οὕτω καὶ ἡμεῖς, ἂν μὴ φοβηθῶμεν θάνατον, διαφευξόμεθα θάνατον. Οὐκ ἐφοβήθησαν ἐκεῖνοι τὸ πῦρ, οὐ γὰρ ἔγκλημα τὸ καῆναι· ἀλλὰ ἐφοβήθησαν τὴν ἁμαρτίαν, ἔγκλημα γὰρ τὸ ἀσεβῆσαι. Τούτους καὶ ἡμεῖς ζηλώσωμεν καὶ τοὺς κατ' ἐκείνους ἅπαντας, καὶ μὴ φοβηθῶμεν κινδύνους, καὶ διαφευξόμεθα κινδύνους.

« Οὐκ εἰμὶ μὲν γὰρ προφήτης, οὐδὲ υἱὸς προφήτου ἐγὼ, » τὸ μέντοι μέλλον μετ' ἀκριβείας ἐπίσταμαι, καὶ μεγάλῃ καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, ὅτι εἰ μεταβαλοίμεθα καί τινα ἐπιμέλειαν τῆς ἡμετέρας ψυχῆς ποιησώμεθα καὶ τῆς πονηρίας ἀποστῶμεν, οὐδὲν ἀηδὲς ἔσται καὶ λυπρόν. Καὶ τοῦτο οἶδα σαφῶς ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ ἀφ' ὧν καὶ εἰς ἄνδρας καὶ πόλεις καὶ ἔθνη καὶ δήμους ὁλοκλήρους ἐποίησε. Καὶ γὰρ καὶ τὴν Νινευιτῶν ἠπείλησε πόλιν καταστρέφειν, καὶ εἶπεν, « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. » Τί οὖν, εἰπέ μοι; κατεστράφη ἡ Νινευὶ, καὶ ἀνετράπη ἡ πόλις; Τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἀνέστη, καὶ λαμπροτέρα γέγονε, καὶ χρόνος τοσοῦτος διελθὼν τὴν δόξαν αὐτῆς οὐκ ἠφάνισεν, ἀλλὰ πάντες αὐτὴν ᾄδομεν ἔτι καὶ νῦν καὶ θαυμάζομεν, ὅτι λιμήν τις ἄριστος ἐξ ἐκείνου τοῦ χρόνου τοῖς ἁμαρτάνουσιν ἅπασι γέγονεν, οὐκ ἀφεῖσα εἰς ἀπόγνωσιν ἐμπεσεῖν, ἀλλὰ καλοῦσα πάντας εἰς μετάνοιαν, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν ἀπήλαυσε τῆς τοῦ Θεοῦ προνοίας πείθουσα

vobis infirmi et imbecilles, et dormiunt multi : quia vos peccatis, inquit, morimini, ut morte peccata solvantur. Intulit igitur dicens (v. 31. 32), *Si enim nos ipsos judicaremus, non utique judicaremur : dum judicamur autem a Domino, corripimur, ut non cum mundo damnemur.* Et sicut vermis ex ligno nascitur, et illud rodit, et tinea lanam comedit, suam ab ipsa originem habens : sic et tristitia et mors de peccato natæ sunt, et peccatum absumunt.

Igitur ne timeamus mortem, sed peccatum timeamus dumtaxat, et propter illud doleamus. Et hæc dico, non grave quidquam exspectans, absit! sed timentes vos sic semper affici volens, et Christi legem per opera implere (*Matth.* 10. 38) : *Si quis enim non tollit crucem suam, et sequitur me, non est me dignus*, inquit. Hoc autem dicebat, non ut lignum humeris feramus, sed ut mortem semper ante oculos habeamus, sicut et Paulus quotidie moriebatur (1. *Cor.* 15. 31), et mortem deridebat, præsentemque vitam contemnebat. Es enim miles, semper in acie constitutus; miles vero mortem timens, numquam strenue se geret : sic igitur neque Christianus homo pericula timens magnum quid et admirabile exhibebit, imo facile expugnabilis erit; intrepidus contra et magnanimus, inexpugnatus manet et invictus. Sicut igitur pueri tres, ignem non timentes, ignem effugerunt : sic et nos, si mortem non timeamus, mortem effugiemus. Ignem illi minime timuerunt; non enim est crimen incendi; sed peccatum timuerunt : crimen enim est impietatem sequi. Illos et nos imitemur et omnes illis similes; et ne pericula timeamus, et effugiemus pericula.

5. *Non sum equidem propheta, neque filius prophetæ* (*Amos.* 7. 14); futurum tamen manifeste scio, et magna et clara voce proclamo, quod si mutemur et aliquam animæ nostræ curam agamus, et ab improbitate absistamus, nihil molestum ingruet et triste : atque hoc manifeste nobis cognitum ex Dei clementia, et ex his quæ in viros et civitates et gentes et populos integros fecit. Etenim Ninivitarum civitati minatus est, et dixit (*Jonæ* 3. 4), *Adhuc tres dies, et Ninive subvertetur.* Quid igitur, dic mihi? Ninive subversa est, et urbs destructa fuit? Contra prorsus accidit, et surrexit, et clarior facta est, et tantum tempus præteritum ipsius gloriam non destruxit, sed omnes eam celebramus etiam nunc et admiramur : quoniam portus quidam optimus ex illo tempore peccantibus omnibus exstitit, in desperationem cadere non permittens, sed omnes ad pœnitentiam vocans, et per ea quæ fecit, et per quæ Dei providentiam in se convertit, per-

μηδέποτε τῆς οἰκείας ἀπογινώσκειν σωτηρίας, ἀλλὰ βίον ἄριστον ἐπιδεικνυμένους καὶ τὴν ἀγαθὴν ἐλπίδα προβαλλομένους θαρρεῖν περὶ τοῦ τέλους ὡς ἐσομένου πάντως χρηστοῦ. Τίς γὰρ οὐκ ἂν ἀνασταίη τὸ κατ' ἐκείνους παράδειγμα ἀκούων, κἂν πάντων νωθρότατος εἴη; Εἵλετο οὖν τὴν ἑαυτοῦ πρόρρησιν διαπεσεῖν ὁ Θεὸς, καὶ μὴ διαπεσεῖν τὴν πόλιν· μᾶλλον δὲ οὐδὲ ἡ προφητεία διέπεσεν. Εἰ μὲν γὰρ ἐπὶ τῆς αὐτῆς πονηρίας τῶν ἀνθρώπων μενόντων οὐκ ἐξέβη εἰς ἔργον τὰ τῆς ἀποφάσεως, εἶχεν ἴσως ἄν τις ἐγκαλεῖν τοῖς εἰρημένοις· εἰ δὲ μεταβαλομένων αὐτῶν καὶ τῆς κακίας ἀποστάντων ἀπέστη καὶ τῆς ὀργῆς ὁ Θεὸς, τίς δυνήσεται λοιπὸν ἐπιλαβέσθαι τῆς προφητείας καὶ κατηγορῆσαι ψεῦδος τῶν εἰρημένων; Καὶ γὰρ τὸν νόμον, ὃν ἐξ ἀρχῆς ἔθηκεν ὁ Θεὸς διὰ τοῦ προφήτου πᾶσιν ἀνθρώποις διαλεγόμενος, τοῦτον καὶ τότε διετήρησε. Τίς οὖν ἐστιν ὁ νόμος; « Πέρας λαλήσω, φησὶν, ἐπὶ ἔθνος καὶ ἐπὶ βασιλείαν τοῦ ἐκριζοῦν [αὐτοὺς] καὶ κατασκάπτειν καὶ ἀπολλύειν· καὶ ἔσται ἐὰν μετανοήσωσιν ἀπὸ τῆς κακίας, μετανοήσω κἀγὼ ἀπὸ τῆς ὀργῆς ἧς ἐλάλησα ποιῆσαι αὐτοῖς. » Τοῦτον τοίνυν φυλάττων τὸν νόμον, μεταβαλομένους ἔσωσε, καὶ ἀποστάντας τῆς κακίας ἀπήλλαξε τῆς ὀργῆς. Ἤδει τῶν βαρβάρων τὴν ἀρετὴν, διὰ τοῦτο τὸν προφήτην κατήπειγεν· οὕτω καὶ τότε ἐδονεῖτο ἡ πόλις, τῆς προφητικῆς ἀκούουσα φωνῆς, ἀλλ' οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ ὠφελήθη παρὰ τοῦ φόβου. Ὁ γὰρ φόβος ἐκεῖνος τὴν σωτηρίαν ἔτεκεν, ἡ ἀπειλὴ τὸν κίνδυνον ἔλυσεν, ἡ τῆς καταστροφῆς ἀπόφασις τὴν καταστροφὴν ἔστησεν. Ὦ καινοῦ καὶ παραδόξου πράγματος· ἀπόφασις θάνατον ἀπειλοῦσα ζωὴν ἔτεκεν, ἀπόφασις μετὰ τὸ ἐξενεχθῆναι τότε ἄκυρος γέγονεν, ἀπεναντίας τοῖς ἔξωθεν δικάζουσιν· ἐπὶ μὲν γὰρ τούτων τὸ προενεχθῆναι τὴν ψῆφον εἰς μέσον κυρίαν γενέσθαι ποιεῖ τὴν ψῆφον, ἐπὶ δὲ τοῦ Θεοῦ τοὐναντίον τὸ προενεχθῆναι τὴν ψῆφον, τοῦτό ἐστι τὸ ποιῆσαν αὐτὴν ἄκυρον. Εἰ γὰρ μὴ προηνέχθη, οὐκ ἂν ἤκουσαν οἱ ἡμαρτηκότες· εἰ δὲ μὴ ἤκουσαν, οὐκ ἂν μετενόησαν· εἰ δὲ μὴ μετενόησαν, οὐκ ἂν ἀπεκρούσαντο τὴν τιμωρίαν, οὐκ ἂν ἀπήλαυσαν τῆς παραδόξου σωτηρίας ἐκείνης. Πῶς γὰρ οὐ παράδοξος, ὅταν ὁ μὲν δικαστὴς ἀποφήνηται, οἱ δὲ κατάδικοι τὴν ἀπόφασιν λύωσι διὰ τῆς μετανοίας; οὐ γὰρ ἔφυγον τὴν πόλιν καθάπερ ἡμεῖς νῦν, ἀλλὰ μένοντες αὐτὴν ἔστησαν. Παγὶς ἦν, καὶ τεῖχος αὐτὴν ἐποίησαν· βάραθρον ἦν καὶ χρημνὸς, καὶ πύργον αὐτὴν ἀσφαλείας κατεσκεύασαν. Ἤκουσαν ὅτι πεσεῖται τὰ οἰκοδομήματα, καὶ οὐκ ἔφυγον τὰ οἰκοδομήματα, ἀλλ' ἔφυγον τὰ ἁμαρτήματα· οὐκ ἀπέστη ἕκαστος ἐκ τῆς οἰκίας αὐτοῦ καθάπερ ἡμεῖς νῦν, ἀλλ' ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. Μὴ γὰρ οἱ τοῖχοι, φησὶ, τὴν ὀργὴν ἔτεκον; ἡμεῖς αἴτιοι τοῦ τραύματος, ἡμεῖς τὸ φάρμακον κατασκευάσωμεν. Διὰ τοῦτο οὐ τόπων ἐναλλαγαῖς, ἀλλὰ τρόπων μεταβολῇ τὴν σωτηρίαν ἐπίστευσαν.

suadens numquam de propria salute desperare, sed vitam gerentes bonam, et optimam spem proponentes, de fine tamquam penitus bono futuro confidere. Quis enim non excitetur illorum exemplum audiens, licet omnium sit ignavissimus? Elegit itaque Deus prophetiam potius suam irritam cadere, quam civitatem corruere: imo vero neque prophetia cecidit. Si enim hominibus in eadem malitia permanentibus non in opus sententia exiisset, posset quis forte dicta criminari: quod vero mutatis ipsis, et a malitia desistentibus, etiam Deus ab ira destitit, quis amplius prophetiam carpere poterit et dicta mendacii condemnare? Etenim legem, quam ab initio Deus cunctis hominibus posuit per prophetam loquens, hanc et tum conservavit. Quam autem legem? *Ad summum loquar*, inquit (*Jer.* 18. 7. 8), *ad gentem et regnum, ut eradicem, et suffodiam, et perdam: et erit, si pœnitentiam egerint malitiæ, me quoque pœnitebit iræ, quam loquutus fueram facere illis.* Hanc igitur legem custodiens pœnitentes salvavit, et a vitio discedentes ab ira liberavit. Noverat barbarorum virtutem, et ideo prophetam urgebat: sic et tunc agitabatur civitas audita voce prophetica, sed in nullo læsa est, quin et a timore adjuta. Timor enim ille salutem peperit, comminatio periculo liberavit, subversionis sententia subversionem cohibuit. O novam rem et admirabilem! denuntiatio mortem minans, vitam peperit; sententia postquam lata fuit, tunc invalida facta est, contra quam apud sæculares judices: apud hos enim in medium prolata, rata fit sententia; apud Deum contra, proferri sententiam eam invalidam facit: nisi enim prolata fuisset, non utique peccatores audissent; si vero non audissent, non egissent pœnitentiam; si non egissent pœnitentiam, non repulissent pœnam, nec fuissent illa mirabili salute potiti. Quomodo enim non mirabilis, cum judex sententiam tulerit, rei vero per pœnitentiam sententiam solverint? non enim urbem fugerunt, sicuti nos nunc, sed manentes, ipsam nutantem firmarunt. Laqueus erat, et munimen ipsam reddiderunt: vorago erat et præcipitium, et tutelæ turrim fecerunt. Audierunt quod ædificia corruent, neque fugerunt ædificia, sed peccata fugerunt: non discesserunt quisque de domo sua, sicut nunc nos, sed discessit quisque a via sua mala. Num enim, inquit, muri iram pepererunt? nos vulneris auctores, nos medicamentum præparemus. Propterea non locorum permutationibus, sed morum conversioni salutem crediderunt.

Ταῦτα οἱ βάρβαροι, καὶ οὐκ αἰσχυνόμεθα οὐδὲ ἐγκαλυπτόμεθα, ἐκείνων τρόπους μεταβαλόντων, ἡμεῖς τόπους ἀμείβοντες καὶ τὰς οὐσίας ὑπεκτιθέντες καὶ μεθυόντων ἀνθρώπων ἔργα ποιοῦντες; Ὁ Δεσπότης ἡμῖν ὀργίζεται καὶ ἡμεῖς ἀφέντες καταλῦσαι τὴν ὀργὴν, τὰ ἐπὶ τῆς οἰκίας περιστρέφομεν καὶ περιερχόμεθα, ζητοῦντες ποῦ καταθώμεθα τὴν οὐσίαν, δέον ζητεῖν ποῦ τὴν ψυχὴν παρακαταθώμεθα· μᾶλλον δὲ οὐδὲ χρὴ ζητεῖν, ἀλλ' ἀρετῇ καὶ ὀρθότητι βίου τὴν ἀσφάλειαν αὐτῆς ἐγχειρίζειν. Οὐδὲ γὰρ εἰ πρὸς οἰκέτην ὀργιζομένων καὶ ἀγανακτούντων ἡμῶν, τὸ πρὸς τὴν ὀργὴν ἀπολογήσασθαι ἀφεὶς ἐκεῖνος εἰς τὸν οἰκίσκον τὸν ἑαυτοῦ κατιλθὼν, τὰ ἱμάτια καὶ τὰ ἔπιπλα πάντα συναγαγὼν, καὶ καταδήσας περὶ φυγῆς ἐβουλεύετο, πρᾴως ἂν ἠνέγκαμεν τὴν καταφρόνησιν ταύτην. Παυσώμεθα τοίνυν τῆς ἀκαίρου ταύτης σπουδῆς, καὶ εἴπωμεν ἕκαστος πρὸς τὸν Θεὸν, « Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; » Μιμησώμεθα τὴν τῶν βαρβάρων φιλοσοφίαν· ἐκεῖνοι ἐπ' ἀδήλοις μετενόησαν· οὐ γὰρ εἶχεν ἡ ἀπόφασις τοῦτο, ὅτι ἐὰν ἐπιστρέψητε καὶ μετανοήσητε, στήσω τὴν πόλιν, ἀλλ' ἁπλῶς, « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. » Τί οὖν ἐκεῖνοι; « Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς ἀπὸ τῆς κακίας ἧς ἐλάλησε ποιῆσαι ἡμῖν »; Τίς οἶδεν; Οὐκ ἴσασι τὸ τέλος τοῦ πράγματος, καὶ οὐκ ἀμελοῦσι τῆς μετανοίας· οὐκ ἐπίστανται τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸν τρόπον, καὶ ἐπ' ἀδήλοις μεταβάλλονται· οὐδὲ γὰρ εἶχον πρὸς ἑτέρους Νινευίτας ἰδεῖν μετανοήσαντας καὶ σωθέντας, οὐδὲ ἀνέγνωσαν προφήτας, οὐδὲ ἤκουσαν πατριαρχῶν, οὐκ ἀπήλαυσαν συμβουλῆς, οὐ μετέσχον παραινέσεως, οὐδὲ ἦσαν πεπεικότες ἑαυτοὺς ὅτι πάντως ἐξιλεώσονται τὸν Θεὸν τῇ μετανοίᾳ· οὐδὲ γὰρ εἶχε τοῦτο ἡ ἀπειλή· ἀλλ' ἀμφέβαλλον καὶ ἠμφισβήτουν περὶ τούτου, καὶ ὅμως μετενόησαν μετ' ἀκριβείας ἁπάσης. Τίς οὖν ἔσται λόγος ἡμῖν, ὅταν οἱ μὲν περὶ τοῦ τέλους θαρρεῖν οὐκ ἔχοντες, τοσαύτην ἐπιδεδειγμένοι φαίνωνται τὴν μεταβολὴν, σὺ δὲ ὁ θαρρεῖν ἔχων περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ πολλὰ πολλάκις ἐνέχυρα λαβὼν αὐτοῦ τῆς κηδεμονίας, καὶ προφητῶν καὶ ἀποστόλων ἀκούσας, καὶ δι' αὐτῶν παιδευθεὶς τῶν πραγμάτων, μηδὲ πρὸς τὸ αὐτὸ τῆς ἀρετῆς ἐκείνοις μέτρον φθάσαι φιλονεικήσῃς; Μεγάλη μὲν οὖν καὶ ἡ τῶν ἀνθρώπων τούτων ἀρετὴ, πολλῷ δὲ μείζων ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ ταύτην ἀπ' αὐτοῦ τοῦ μεγέθους τῆς ἀπειλῆς ἔστιν ἰδεῖν. Διὰ γὰρ τοῦτο οὐ προσέθηκε τῇ ἀποφάσει, ὅτι Ἐὰν δὲ μετανοήσητε, φείσομαι, ἵνα ἀδιόριστον ἐμβαλὼν τὴν ψῆφον, αὐξήσῃ τὸν φόβον, καὶ τὸν φόβον αὐξήσας, ταχύτερον πρὸς τὴν μετάνοιαν συνωθήσῃ. Καὶ ὁ μὲν προφήτης αἰσχύνεται τὸ μέλλον προειδὼς, καὶ στοχαζόμενος ὡς ἀτέλεστα μενεῖ τὰ εἰρημένα· ὁ δὲ Θεὸς οὐκ αἰσχύνεται, ἀλλ' ἓν μόνον ζητεῖ, τὴν σωτηρίαν τῶν ἀνθρώπων, καὶ τὸν οἰκέτην τὸν ἑαυτοῦ διορθοῦται. Ἐπειδὴ γὰρ εἰς τὸ πλοῖον εἰσῆλθεν ἐκεῖ-

6. Hæc barbari : et nos non confundimur neque obvelamus nos, quando, illis mores convertentibus, nos loca permutamus, et substantiam nostram clam deponimus et ebriorum hominum opera facimus? Dominus nobis irascitur, et nos iram solvere omittentes, quæ in domo sunt circumferimus, et circuimus quærentes, ubi substantiam deponamus, cum esset opus quærere, ubi animam deponeremus : imo vero nec oportet quærere, sed virtute et vitæ rectitudine ipsi securitatem præbere. Neque enim si servo irascentibus nobis et indignantibus, ille adversus iram se excusare omittens, in cellulam suam descendens, vestimenta et omnes colligens sarcinulas et colligans, de fuga meditaretur, hunc ipsius contemtum facile ferremus. Desistamus igitur ab hoc importuno studio, et dicamus quisque ad Deum (*Psal.* 138. 7) : *Quo ibo a spiritu tuo, et a facie tua quo fugiam?* Barbarorum philosophiam imitemur : illi in incertis pœnitentiam egerunt; non enim hoc habebat sententia : Si convertamini et pœnitentiam agatis, civitatem firmabo; sed simpliciter, *Adhuc tres dies, et Ninive subvertetur*. Quid igitur illi (*Jon.* 3. 4)? *Quis novit an pœnitebit Deum mali, quod loquutus est facere nobis?* Quis novit? Nesciunt rei finem, nec pœnitentiam negligunt : nesciunt Dei benignitatis consuetudinem, et in incertis mutantur : nec enim habebant alios Ninivitas ad quos respicerent pœnitentia acta servatos, nec prophetas legerant, nec patriarchas audierant, nec usi sunt consilio, non admonitionem nacti sunt, neque sibi persuaserant, omnino Deum pœnitentia placatum iri : neque enim hoc habebat comminatio : sed dubitabant hærebantque de ea re, et tamen cum omni diligentia pœnitentiam egerunt. Quæ igitur ratio nobis erit, cum illi quidem, non habentes unde de fine confiderent, tantam exhibuisse cernantur mutationem : tu vero qui de divina benignitate confidere potes, et qui multa sæpius pignora cepisti ejus circa te curæ, et prophetas et apostolos audisti, et per ipsas res instructus es, ne ad eam quidem, ad quam illi, mensuram virtutis pervenire contendas? Magna igitur horum hominum virtus, multo autem major Dei clementia, et hanc ex ipsa minarum magnitudine conspicere licet. Ob hoc enim sententiæ non addidit : Si vero pœnitentiam egeritis, parcam, ut indefinitam inferens sententiam, metum augeret, ac metu aucto celerius ad pœnitentiam compelleret. Et propheta quidem erubescit futurum sciens, et conjectans quod infecta manebunt dicta; Deus autem non erubescit, sed unum duntaxat, hominum scilicet salutem, quærit, et servum suum emendat. Postquam enim navigium ille ingressus est, statim excitavit mare, ut discas quod ubi

νος, διήγειρεν εὐθέως τὴν θάλασσαν, ἵνα μάθῃς ὅτι ὅπου ἁμαρτία, ἐκεῖ χειμών, ὅπου παρακοή, ἐκεῖ κλυδώνιον· καὶ ἐσαλεύετο μὲν ἡ πόλις διὰ τὰ ἁμαρτήματα τῶν Νινευιτῶν, ἐσαλεύετο δὲ τὸ πλοῖον διὰ τὴν παρακοὴν τοῦ προφήτου. Ἐκεῖνοι μὲν οὖν τὸν Ἰωνᾶν εἰς τὸ πέλαγος ἔρριψαν, καὶ ἔστη τὸ πλοῖον· ἡμεῖς δὲ τὴν ἁμαρτίαν καταποντίσωμεν, καὶ στήσεται πάντως ἡ πόλις. Ὥστε τῆς φυγῆς οὐδὲν ὄφελος ἡμῖν· οὐδὲ γὰρ ἐκεῖνον ὠφέλησεν ἡ φυγή· τοὐναντίον μὲν οὖν καὶ κατέβλαψεν. Ἔφυγε γοῦν τὴν γῆν, καὶ οὐκ ἔφυγε τὴν ὀργὴν τοῦ Θεοῦ· ἔφυγε τὴν γῆν, καὶ τὸν χειμῶνα εἰσήγαγεν εἰς τὴν θάλασσαν· καὶ οὐ μόνον αὐτὸς οὐδὲν ἀπώνατο τῆς φυγῆς ἀγαθὸν, ἀλλὰ καὶ τοὺς ὑποδεξαμένους αὐτὸν εἰς ἔσχατον ἐνέβαλε κίνδυνον, καὶ ὅτε μὲν ἐπὶ τοῦ πλοίου καθήμενος ἔπλει, καὶ ναῦται καὶ κυβερνῆται παρῆσαν καὶ πᾶσα τῆς νηὸς ἡ κατασκευὴ περὶ τῶν ἐσχάτων ἐκινδύνευεν· ἐπειδὴ δὲ εἰς τὸ πέλαγος καταποντισθεὶς, καὶ τὴν ἁμαρτίαν διὰ τῆς τιμωρίας ἀποθέμενος, εἰς τὸ ἀνερμάτιστον κατηνέχθη πλοῖον, τὴν γαστέρα τοῦ κήτους, πολλῆς ἀπήλαυσε τῆς ἀδείας, ἵνα μάθῃς ὅτι ὥσπερ τὸν ἐν ἁμαρτίᾳ ζῶντα οὐδὲ πλοῖον ὠφελεῖ, οὕτω τὸν τὴν ἁμαρτίαν ἀποθέμενον οὐδὲ θάλαττα ἀπόλλυσιν, οὐδὲ θηρία διαφθείρει. Ἔλαβε γοῦν αὐτὸν τὰ κύματα, καὶ οὐκ ἀπέπνιξεν· ἔλαβε τὸ κῆτος, καὶ οὐκ ἀνεῖλεν· ἀλλὰ καὶ τὸ ζῶον καὶ τὸ στοιχεῖον σῶον τῷ Θεῷ τὴν παρακαταθήκην ἀπέδωκαν, καὶ διὰ πάντων ἐμάνθανε φιλάνθρωπος καὶ ἥμερος εἶναι ὁ προφήτης, καὶ μήτε ναυτῶν ἀνοήτων μήτε κυμάτων ἀγρίων μήτε θηρίων ὠμότερος εἶναι. Καὶ γὰρ οἱ ναῦται οὐκ ἐκ πρώτης εὐθέως, ἀλλὰ μετὰ πολλὴν αὐτὸν ἀνάγκην προὔδωκαν· καὶ ἡ θάλαττα δὲ καὶ τὸ θηρίον μετὰ πολλῆς τῆς εὐνοίας ἐφύλαξαν, τοῦ Θεοῦ ταῦτα πάντα οἰκονομοῦντος. Ἐπανῆλθε τοίνυν, ἐκήρυξεν, ἠπείλησεν, ἔπεισεν, ἔσωσεν, ἐφόβησε, διώρθωσεν, ἔστησεν ἐξ ἑνὸς καὶ πρώτου κηρύγματος· οὐ γὰρ ἐδεήθη πολλῶν ἡμερῶν οὐδὲ συνεχοῦς συμβουλῆς, ἀλλὰ τὰ ψιλὰ ἐκεῖνα εἰπὼν ῥήματα πάντας εἰς μετάνοιαν ἤγαγε. Διὰ τοῦτο αὐτὸν οὐκ εὐθέως ἀπὸ τοῦ πλοίου εἰς τὴν πόλιν ἐχειραγώγησεν ὁ Θεὸς, ἀλλὰ παρέδωκαν οἱ ναῦται τῇ θαλάττῃ, ἡ θάλαττα τῷ κήτει, τὸ κῆτος τῷ Θεῷ, ὁ Θεὸς τοῖς Νινευίταις, καὶ διὰ μακρᾶς τῆς περιόδου τὸν φυγάδα ἐπανάγει, ἵνα πάντας παιδεύσῃ ὅτι Θεοῦ χεῖρας φυγεῖν ἀμήχανον, ὅτι ὅπουπερ ἄν τις ἀφίκηται τὴν ἁμαρτίαν ἐπισυρόμενος, μυρία ὑποστήσεται δεινά· κἂν τῶν ἀνθρώπων μηδεὶς παρῇ, αὐτὴ πανταχόθεν ἡ κτίσις ἀντιστήσεται μετὰ πολλῆς αὐτῷ τῆς σφοδρότητος. Μὴ τοίνυν τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίσωμεν, ἀλλὰ τῇ τοῦ τρόπου μεταβολῇ. Μὴ γὰρ, ἐπειδὴ μένεις ἐν τῇ πόλει, διὰ τοῦτο παροξύνεται ὁ Θεὸς, ἵνα φύγῃς; Ἐπειδὴ ἥμαρτες, διὰ τοῦτο ἀγανακτεῖ. Οὐκοῦν τὴν ἁμαρτίαν ἀπόθου, καὶ ὅθεν ἡ αἰτία τῷ τραύματι, ἐκεῖθεν ἀνάστειλον τοῦ κακοῦ τὴν πηγήν· τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις θεραπεύειν καὶ ἰατρῶν παῖδες κελεύουσιν.

peccatum, ibi procella, ubi inobedientia, ibi fluctuatio: et quatiebatur quidem civitas propter peccata Ninivitarum, quatiebatur autem et navigium propter prophetæ inobedientiam. Illi igitur Jonam in mare dejecerunt, et stetit navigium: nos vero peccata submergamus, et civitas omnino stabit. Itaque fugæ nulla nobis utilitas, sicut nec illum fuga quidquam adjuvit, quinimo et læsit. Fugiebat enim terram, et Dei iram non effugiebat; fugiebat terram, et in mare tempestatem induxit: nec tantum nullum ex fuga bonum nactus est, sed etiam eos qui se susceperunt, in extremum periculum adduxit, et quando navigans in navigio sedebat, et nautæ et gubernatores aderant omnisque nauticus apparatus, de extremis periclitabatur: postquam autem in mare projectus, et peccato per supplicium deposito, deductus est in navigium sine saburra, ceti dico ventrem, multa potiebatur libertate, ut discas, sicut in peccatis viventi neque navigium prodest, sic peccato exutum neque mare perdere, neque bestias devorare. Ipsum enim undæ susceperunt, nec suffocaverunt: cetus suscepit, et non interemit; verum et animal et elementum incolume depositum Deo reddiderunt; et per omnia instituebatur propheta, ut esset mansuetus et humanus, et neque stultis nautis, neque feris undis, neque bestiis crudelior esset. Etenim nautæ non in principio statim, sed post multam necessitatem ipsum prodiderunt; mare vero et bestia cum multa benevolentia custodierunt, Deo hæc omnia dispensante. Rediit igitur, prædicavit, minatus est, persuasit, salvavit, terruit, correxit: urbem una primaque prædicatione firmavit: neque enim multorum dierum indiguit, neque continui consilii, sed nuda illa loquutus verba, omnes in pœnitentiam deduxit. Ideo ipsum non statim de navigio Deus ad urbem duxit, sed nautæ mari tradiderunt, mare ceto, cetus Deo, Deus Ninivitis, et per longum circuitum profugum restituit, ut omnes doceat, Dei manus effugere impossibile esse. Nam quocumque quis proficiscatur, peccatum secum trahens, infinita sustinebit detrimenta: et si hominum nemo adsit, ipsa undecumque creatura cum multa illi resistet vehementia. Ne igitur fugæ salutem nostram credamus, sed morum mutationi. Num enim quia in civitate manes, propterea Deus irritatur, ut fugias? Quoniam peccasti, propterea indignatur. Igitur peccatum depone, et unde vulneri causa, inde mali fontem reprime: contraria enim contrariis curare etiam medici jubent. Ex crapula nata est febris;

Ἐξ ἀδηφαγίας γοῦν ἐτέχθη πυρετός; ἀσιτίᾳ μεθοδεύουσι τὸ νόσημα. Ἐξ ἀθυμίας ἡῤῥώστησέ τις; εὐθυμίαν τούτῳ φάρμακον ἐπιτήδειον εἶναί φασιν. Οὕτω καὶ ἐπὶ τῶν τῆς ψυχῆς νοσημάτων ποιεῖν χρή. Ῥαθυμία τὴν ὀργὴν ἤγειρε; σπουδῇ ταύτην ἀποχρουσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα τὴν μεταβολήν. Ἔχομεν βοηθὸν μεγίστην καὶ σύμμαχον τὴν νηστείαν, καὶ μετὰ τῆς νηστείας τὴν ἐπικειμένην ἀγωνίαν καὶ τὸν τοῦ κινδύνου φόβον. Ἐπιθώμεθα τοίνυν τῇ ψυχῇ νῦν εἰς καιρόν· καὶ γὰρ εὐκόλως αὐτὴν δυνησόμεθα πεῖσαι πάντα ὅσα ἂν θέλωμεν. Ὁ γὰρ περιδεὴς καὶ τρέμων καὶ τρυφῆς ἁπάσης ἀπηλλαγμένος, καὶ φόβῳ συζῶν, εὐκόλως δύναται φιλοσοφεῖν καὶ μετὰ πολλῆς τῆς προθυμίας τὰ τῆς ἀρετῆς ὑποδέχεσθαι σπέρματα.

Πείσωμεν τοίνυν αὐτὴν ἀπὸ τῆς τῶν ὅρκων φυγῆς πρῶτον τὴν ἐπὶ τὸ βέλτιον ποιήσασθαι μεταβολήν· εἰ γὰρ καὶ χθὲς καὶ πρὸ ἐκείνης περὶ ταύτης ὑμῖν διελέχθην τῆς ὑποθέσεως, ἀλλ' οὐδὲ σήμερον ἀποστήσομαι, οὐδὲ τὴν ἐπιοῦσαν, οὐδὲ τὴν μετ' ἐκείνην ταὐτὰ συμβουλεύων. Καὶ τί λέγω τὴν αὔριον καὶ τὴν μετ' ἐκείνην; Ἕως ἂν ὑμᾶς ἴδω κατορθώσαντας, οὐκ ἀφέξομαι. Εἰ γὰρ οἱ παραβαίνοντες τὸν νόμον οὐκ αἰσχύνονται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς κελεύοντας μὴ παραβαίνειν, οὐκ ἄξιον αἰσχύνεσθαι τῇ συνεχείᾳ τῆς παραινέσεως. Τὸ γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ὑπομιμνήσκειν, οὐ τοῦ λέγοντος, ἀλλὰ τῶν ἀκουόντων ἐστὶν ἔγκλημα διηνεκοῦς δεομένων διδασκαλίας ὑπὲρ ψιλῶν καὶ εὐκατορθώτων πραγμάτων. Τί γὰρ εὐκολώτερον τοῦ μὴ ὀμνύναι; Συνηθείας ἐστὶ τὸ κατόρθωμα μόνον· οὐκ ἔστι πόνος σώματος, οὐκ ἔστι δαπάνη, χρημάτων. Βούλει μαθεῖν πῶς δυνατὸν περιγενέσθαι τοῦ νοσήματος; πῶς δυνατὸν ἀπαλλαγῆναι τῆς πονηρᾶς συνηθείας; Ἐγώ σε διδάξω τρόπον τινὰ, ὃν ἂν ποιήσῃς, περιέσῃ πάντως. Ὅταν [γὰρ] ἴδῃς σαυτὸν ἢ καὶ ἕτερόν τινα ἢ τῶν οἰκετῶν ἢ τῶν παίδων ἢ τὴν γυναῖκα ἁλόντας τῷ κακῷ τούτῳ, καὶ συνεχῶς ὑπομνησθέντας καὶ οὐ διορθώσαντας, κέλευσον μὴ δειπνήσαντας καθευδῆσαι, καὶ ταύτην καὶ σαυτῷ κἀκείνοις τὴν καταδίκην ἐπίθες, καταδίκην οὐχὶ ζημίαν, ἀλλὰ κέρδος φέρουσαν. Τοιαῦτα γὰρ τὰ πνευματικά· καὶ κέρδος φέρει, καὶ ταχίστην τὴν διόρθωσιν. Ἡ γὰρ γλῶσσα βασανιζομένη διηνεκῶς καὶ μηδενὸς ὑπομιμνήσκοντος ἱκανὴν λαμβάνει παράκλησιν, ὑπὸ τοῦ δίψους κατατεινομένη, ὑπὸ τῆς πείνης ἀγχομένη· κἂν ἁπάντων ὦμεν ἀναισθητότεροι, διὰ πάσης ἡμέρας τῷ μεγέθει τῆς βασάνου ταύτης ὑπομιμνησκόμενοι, οὐ δεησόμεθα συμβουλῆς ἑτέρας καὶ παραινέσεως. Ἐπῃνέσατε τὸ εἰρημένον, ἀλλ' ὅμως καὶ ἐπὶ τῶν ἔργων ἐπιδείξασθε τὸν ἔπαινον· ἐπεὶ τί τὸ κέρδος τῆς ἐνταῦθα συλλογῆς; Εἰ καθ' ἑκάστην ἡμέραν τὸ παιδίον εἰς διδασκαλεῖον βαδίζοι, εἶτα μηδὲν μανθάνοι πλέον, ἆρα ἀρκέσει εἰς ἀπολογίαν ἡμῖν τὸ καθ' ἑκάστην ἡμέραν ἐκεῖ βαδίζειν αὐτό; οὐκ αὐτὸ μὲν οὖν τοῦτο μέγιστον ποιησόμεθα ἔγκλημα, ὅτι καθ' ἑκάστην ἡμέραν ἐκεῖ

inedia morbum corrigunt. Ex tristitia quis infirmatus est? lætitiam huic aptam medicinam esse dicunt. Sic et in animæ ægritudinibus facere oportet. Iram torpor excitavit? industria hanc repellamus, multamque præ nobis feramus mutationem. Jejunium habemus auxiliatorem et commilitonem maximum, et præter jejunium prementem angustiam et periculi timorem. Instemus igitur animæ hoc tempore: etenim ipsi omnia quæcumque voluerimus, facile persuadere poterimus. Pavidus enim et tremens, et a deliciis omnibus expeditus, atque in timore vivens, facile philosophari potest, et cum multa alacritate virtutis semina suscipere.

7. Primum igitur ei persuadeamus, ut a juramentorum fuga mutationem incipiat: etsi enim heri et nudiustertius de hac vobis loquutus sum materia, neque tamen hodie desistam, neque cras, neque perendie eadem monere. Et quid dico crastinam aut tertiam diem? Donec vos correctos videam, non abstistam: si enim legem prævaricantes non erubescunt, multo magis nos jubentes ne prævaricemini, de frequenti admonitione non erubescere par est. De iisdem enim continue commonefacere, non dicentis, sed audientium est crimen, diuturna super simplicibus et facilibus præceptis indigentium disciplina. Quid enim facilius quam non jurare? Consuetudinis tantum opus est: non est corporis labor, non est pecuniarum impendium. Vis discere quomodo vitium superari possit? quomodo ab improba consuetudine liberari liceat? Ego te quemdam docebo modum, quem si tenueris, superabis omnino. Cum videris teipsum, vel alium quemque vel servorum vel filiorum, vel uxorem hoc malo captos, et continue commonefactos, non tamen recte agentes, jube non cœnatos cubare, et hanc tibique et illis damnationem impone, damnationem non damnum, sed lucrum ferentem. Talia enim sunt spiritualia: et lucrum ferunt, et celerrimam correctionem. Lingua enim assidue cruciata, vel nemine commonente sufficientem capit admonitionem dum siti torquetur, fame comprimitur; et licet omnium simus stolidissimi, tota die hujus tormenti magnitudine commoniti, alio consilio et admonitione non indigebimus. Laudastis dicta, verum et factis laudem demonstrate. Quod enim alioqui hujus convenius emolumentum? Si quotidie puerulus ad scholam pergat, inde nil discat, num ad excusationem sufficiat nobis, ipsum illuc quotidie pergere? nonne hoc ipsum maximum ducemus crimen, quod per singulos dies illuc pergens, hoc

βαδίζον, μάτην τοῦτο ποιεῖ; Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα, καὶ πρὸς ἑαυτοὺς λέγωμεν· χρόνον τοσοῦτον εἰς ἐκκλησίαν ἀπαντῶντες, συνάξεως ἀπολαύοντες φρικωδεστάτης καὶ πολὺ κέρδος ἐχούσης, ἂν τοιοῦτοι πάλιν ἀπέλθωμεν οἷοι παρεγενόμεθα, μηδὲν τῶν ἡμετέρων κατορθώσαντες ἑλαττωμάτων, τί τὸ ὄφελος ἔσται ἡμῖν τῆς ἐνταῦθα ἀφίξεως; Καὶ γὰρ τὰ πολλὰ τῶν πραγμάτων οὐ δι' αὐτὰ γίνεται, ἀλλὰ διὰ τὰ συμβαίνοντα ἐξ αὐτῶν. Οἷόν τι λέγω· ὁ σπείρων οὐ διὰ τοῦτο σπείρει, ἵνα σπείρῃ μόνον, ἀλλ' ἵνα καὶ θερίσῃ, ὡς εἰ μὴ τοῦτο γένοιτο, καὶ ζημίαν ὁ σπόρος οἴσει, τῶν σπερμάτων κατασαπέντων εἰκῇ καὶ μάτην. Ὁ ἔμπορος οὐ διὰ τοῦτο πλεῖ, ἵνα πλέῃ μόνον, ἀλλ' ἵνα διὰ τῆς ἀποδημίας πλείω ποιήσῃ τὴν οὐσίαν, ὡς εἰ μὴ τοῦτο προσγένοιτο, καὶ ζημία συμβήσεται ἰσχάτη, καὶ ἐπιβλαβὴς ἡ τῶν ἐμπόρων ἀποδημία. Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα· καὶ γὰρ ἡμεῖς εἰς ἐκκλησίαν ἀπαντῶμεν, οὐ δι' αὐτὸ τοῦτο μόνον ἵνα ἐνταῦθα διατρίβωμεν, ἀλλ' ἵνα τι κερδάναντες μέγα καὶ πνευματικὸν κέρδος ἀπέλθωμεν. Ἂν τοίνυν κενοὶ καὶ μηδὲν λαβόντες ἀπίωμεν, καὶ κατάκρισις ἡ σπουδὴ γίνεται. Ὅπως ἂν οὖν τοῦτο μὴ γένηται (καὶ ζημία γένοιτ' ἂν ἐσχάτη), ἀπιόντες ἐντεῦθεν μετ' ἀλλήλων, οἱ φίλοι μετὰ τῶν φίλων, μετὰ τῶν τέκνων οἱ πατέρες, μετὰ τῶν οἰκετῶν οἱ δεσπόται, μελετᾶτε καὶ γυμνάζεσθε ὅπως τὸ ἐπιταχθὲν ἀνύσητε· ἵν' ἐπειδὰν ἐπανέλθητε πάλιν καὶ περὶ τῶν αὐτῶν ἀκούσητε συμβουλευόντων ἡμῶν, μὴ καταισχύνησθε τοῦ συνειδότος ὑμῶν ἐπιλαμβανομένου, ἀλλὰ χαίρητε καὶ εὐφραίνησθε συνορῶντες τὸ πλέον τῆς παραινέσεως ὑμῖν κατορθωθέν. Ταῦτα μὴ μόνον ἐνταῦθα φιλοσοφῶμεν· οὐ γὰρ ἀρκεῖ τὸ πᾶν ἡ πρόσκαιρος αὕτη παραίνεσις ἐξελεῖν· ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας ἀνὴρ παρὰ γυναικὸς ταῦτα ἀκουέτω, καὶ γυνὴ παρ' ἀνδρὸς, καὶ ἅμιλλά τις γινέσθω σπουδαζόντων ἁπάντων προλαβεῖν εἰς τὴν τοῦ νόμου τούτου συμπλήρωσιν, καὶ ὁ προλαβὼν καὶ κατορθώσας ὀνειδιζέτω τῷ λειπομένῳ, ἵνα αὐτὸν τοῖς σκώμμασι διεγείρῃ πλέον· ὁ ὑστερήσας καὶ μηδέπω κατορθωκὼς βλεπέτω τὸν προλαβόντα, καὶ φιλονεικείτω φθάσαι πρὸς ἐκεῖνον ταχέως. Ἐὰν ταῦτα βουλευώμεθα, ἐὰν ταῦτα μεριμνῶμεν, ταχέως ἂν ἡμῖν καὶ τὰ ἄλλα κατευοδωθήσεται πράγματα. Σὺ μεριμνησον τὰ τοῦ Θεοῦ, καὶ αὐτὸς προνοήσει τῶν σῶν. Καὶ μή μοι λέγε, Τί δ' ἐὰν ἀνάγκην ὅρκων τις ἡμῖν ἐπιθῇ; τί δ' ἐὰν μὴ πιστεύῃ; Μάλιστα μὲν οὖν, ὅπου παραβαίνεται νόμος, ἀνάγκης μεμνῆσθαι οὐ χρή· μία γάρ ἐστιν ἀνάγκη ἀπαραίτητος, τὸ μὴ προσκροῦσαι Θεῷ· πλὴν ἀλλὰ ἐκεῖνο λέγω, τέως τοὺς περιττοὺς περίκοψον ὅρκους, τοὺς ἁπλῶς καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκετῶν· κἂν τούτους ἀνέλῃς, ἐν ἐκείνοις οὐδὲν ἐμοῦ δεήσῃ λοιπόν· αὐτὸ γὰρ τὸ στόμα μελετῆσαν δεδοικέναι καὶ φεύγειν τὰς πολυορκίας, οὐδ' ἂν μυριάκις τις ἀναγκάσῃ, καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν τὴν

frustra faciat? Hoc et super nobis ipsis cogitemus, et intra nos dicamus: Tantum temporis ad ecclesiam occurrentes, terribilissima fruentes synaxi, ipsaque multum lucrum habente, si tales rursum discedamus quales advenimus, nullum defectuum nostrorum corrigentes, quæ nobis erit hinc veniendi utilitas? Etenim multa non propter se fiunt, sed propter ea quæ ex ipsis eveniunt. Quale illud est: seminans non ideo seminat, ut tantum seminet, sed ut et metat: quod nisi hoc fieret, etiam sementis damnum pateretur, seminibus incassum putrefactis. Mercator non propter hoc navigat, ut tantum naviget, sed ut peregrinando auctiorem faciat rem: quod nisi hoc adsit, et damnum accidet extremum, et damnosa mercatorum peregrinatio. Hoc idem et in nobis ipsis ratiocinemur: etenim et nos in ecclesiam convenimus, non propter hoc ipsum solum, ut hic immoremur, sed ut aliquid magnum et spirituale lucrati discedamus. Si igitur inanes et nihil adepti abeamus, condemnationem nobis hoc studium accerset. Quod ne fiat (et damnum nobis esset supremum), abeuntes hinc inter vos, amici cum amicis, cum filiis patres, cum servis domini, meditamini et laborate quomodo imperatum expediatis, ut quando iterum reversi fueritis et de iisdem nos suadentes audieritis, pudore non afficiamini, mordente vos conscientia, sed gaudeatis et lætemini, admonitionis majorem vobis partem expletam conspicientes. Hæc non tantum hic philosophemur: non enim hæc momentanea admonitio totum eradicare valet; verum et domi vir ab uxore hæc audiat, et uxor a conjuge: et æmulatio quædam fiat omnibus ad hujus legis impletionem pervenire studentibus, et qui prius implevit deficienti exprobret, ut dicteriis ipsum magis excitet: qui deficit, et nondum implevit, prægressum spectet, et ad ipsum celeriter pervenire contendat. Si hæc meditemur, si hæc curemus, brevi nobis et alia prospere negotia dirigentur. Tu quæ Dei sunt meditare, et ipse tuis providebit. Neu mihi dicas: Quid vero, si quis jurandi necessitatem nobis imponat? quid si non credat? Imo vero, ubi lex violatur, necessitatis meminisse non oportet. Una est enim inevitabilis necessitas, Deum non offendere. Verumtamen illud dico: interim tu superflua recide juramenta, temere et sine necessitate, domi, cum amicis, cum servis prolata: si hæc sustuleris, in illis mei nihil amplius indigebis: ipsum enim os in hoc exercitatum, ut jurandi frequentiam timeat et fugiat, neque si quis millies coegerit, in illam amplius cadere consuetudinem sustine-

συνήθειαν. Ἀλλ' ὥσπερ νῦν μετὰ πολλοῦ τοῦ πόνου καὶ μυρίας τῆς ἐνοχλήσεως φοβοῦντες, ἀπειλοῦντες, παραινοῦντες, συμβουλεύοντες, μόλις ἰσχύσαμεν εἰς ἑτέραν αὐτὸ μεταθεῖναι συνήθειαν· οὕτω δὴ καὶ τότε, κἂν μυρίαν ἀνάγκην ἐπιθῇ τις, οὐ δυνήσεται πεῖσαι τοῦτον παρασαλεῦσαι τὸν νόμον· ἀλλ' ὥσπερ δηλητηρίου τινὸς οὐκ ἂν ἔλοιτό ποτε οὐδὲ ἀνάγκης ἐπικειμένης ἀπογεύσασθαί τις, οὕτως οὐδὲ ὅρκον προέσθαι. Τοῦτο δὲ ὑμῖν κατορθωθὲν παράκλησις ἔσται καὶ προτροπὴ πρὸς τὸ καὶ τῶν λοιπῶν τῆς ἀρετῆς ἐφάψασθαι μερῶν. Ὁ μὲν γὰρ μηδὲν κατωρθωκὼς ὅλως, βαθυμεῖ καὶ ἀναπίπτει ταχέως· ὁ δὲ συνειδὼς ἑαυτῷ ὅτι μίαν γοῦν τινα ἐντολὴν ἐπλήρωσεν, εὐέλπις ἀπὸ ταύτης γενόμενος, μετὰ πλείονος σπουδῆς ἐπὶ τὰς λοιπὰς βαδιεῖται πάλιν, εἶτα ἑτέραν προσλαβών, ἐφ' ἑτέραν ἥξει ταχέως, καὶ οὐ πρότερον ἀποστήσεται, ἕως ἂν ἐπ' αὐτὴν ἔλθῃ τὴν κορυφήν. Εἰ γὰρ ἐπὶ τῶν χρημάτων, ὅσῳπερ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐφίεται, πολλῷ μᾶλλον ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Διὰ τοῦτο σπεύδω καὶ ἐπείγομαι ἀρχὴν τὸ πρᾶγμα λαβεῖν, καὶ προοίμιον τῆς ἀρετῆς καταβαλεῖν ἐν ταῖς ὑμετέραις ψυχαῖς· καὶ δεόμεθα καὶ ἀντιβολοῦμεν τούτων τῶν ῥημάτων μὴ κατὰ τὴν παροῦσαν ὥραν μεμνῆσθαι μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας, καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ὅπουπερ ἂν διατρίβητε. Εἴθε μοι δυνατὸν ἦν ὑμῖν συγγίνεσθαι, καὶ οὐκ ἂν μοι τῆς μακρᾶς ταύτης ἐδέησε μακρηγορίας· νῦν δ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, ἀντ' ἐμοῦ τῶν ἐμῶν μέμνησθε ῥημάτων, καὶ ἐπὶ τραπέζης καθήμενοι ἐπεισιέναι με νομίζετε καὶ παρεστάναι, καὶ ταῦτα ἐνηχεῖν ὑμῖν ἅπερ ἐνταῦθα λέγω νῦν· καὶ ὅπουπερ ἂν περὶ ἐμοῦ λόγος ὑμῖν γίνηται, ἀντὶ πάντων ταύτης μέμνησθε τῆς ἐντολῆς, καὶ ταύτην μοι τῆς περὶ ὑμᾶς ἀγάπης ἀπόδοτε τὴν ἀμοιβήν. Ἐὰν ἴδω κατορθώσαντας ὑμᾶς, τὸ πᾶν ἀπείληφα, ἱκανὴν τῶν πόνων ἐδεξάμην τὴν ἀντίδοσιν. Ἵνα οὖν καὶ ἡμᾶς προθυμοτέρους ποιῆτε, καὶ ὑμεῖς εὐέλπιδες γίνησθε, καὶ πλείονα ταῖς λοιπαῖς ἐντολαῖς πρὸς τὸ κατορθοῦσθαι παρασκευάσητε τὴν αὐκολίαν, μετὰ πολλῆς τοῦτον τὸν νόμον τῆς σπουδῆς ἐν ταῖς ὑμετέραις ἐναπόθεσθε ψυχαῖς, καὶ τότε εἴσεσθε τῆς παραινέσεως τὴν ὠφέλειαν. Ἐπεὶ καὶ ἱμάτιον χρυσοῦν καλὸν μέν ἐστι καὶ ὁρώμενον, πολλῷ δὲ πλέον ἡμῖν φανεῖται περικείμενον ἡμῶν τῷ σώματι· οὕτω καὶ αἱ τοῦ Θεοῦ ἐντολαὶ καλαὶ μέν εἰσι καὶ ἐπαινούμεναι, πολλῷ δὲ καλλίους φαίνονται κατορθούμεναι. Νῦν μὲν γὰρ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ λεγόμενα ἐπαινεῖτε, ἐὰν δὲ κατορθώσητε, διὰ πάσης τῆς ἡμέρας, καὶ διὰ παντὸς τοῦ χρόνου, καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε· καὶ οὐ τοῦτό ἐστι τὸ μέγα, ὅτι ἀλλήλους ἐπαινεσόμεθα, ἀλλ' ὅτι καὶ ὁ Θεὸς ἡμᾶς ἀποδέξεται, καὶ οὐκ ἀποδέξεται μόνον, ἀλλὰ καὶ ἀμείψεται ταῖς μεγάλαις καὶ ἀπορρήτοις ἐκείναις δωρεαῖς, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

bit. Sed ut nunc multo labore et infinita interpellatione, terrentes, minantes, admonentes, consulentes, vix potuimus in aliam ipsum consuetudinem transmutare : sic et tunc quidem, licet infinitam quis inferat necessitatem, hanc transgredi legem non poterit persuadere; sed sicut venenum quodpiam numquam gustare quis vellet, etiam instante necessitate, sic neque juramenta proferre. Hoc autem si recte fiat, vobis solamen erit et hortamentum ad reliquas virtutis partes attingendas. Qui enim nihil præstitit, torpescit et cito concidit animo; qui vero sibi conscius est quod vel unum expleverit mandatum, ex hoc bene sperare doctus, majori cum studio ad reliqua procedet : postea aliud capiens, ad aliud celeriter veniet, nec prius desistet, quam ad ipsum culmen perveniat. Si enim in pecuniis quanto quis plures comparaverit, tanto plures cupit : multo magis in officiis spiritualibus hoc contingere videas. Propterea festino et urgeo, ut res principium capiat, et in animis vestris virtutis fundamentum jaciatur, et precamur et supplicamus, ut non tantum hora præsenti horum sitis verborum memores, verum et domi, et in foro, et ubicumque commoremini. Utinam mihi dari posset, ut vobiscum una essem! non hoc longo mihi sermone fuisset opus : nunc vero cum hoc non liceat, vos me absente verborum memores estote meorum, et ad mensam sedentes ingredi me putate, et adstare, et omnia quæ nunc vobis hic dico, insonare : et ubicumque vobis de me habebitur sermo, præ omnibus hujus mementote mandati, et hanc mihi amoris in vos mei retributionem reddite. Si vos hoc implesse videro, totum recepi, dignam laborum cepi mercedem. Ut igitur et nos reddatis promtiores, et vos bonæ spei pleni efficiamini, et majorem ad reliqua mandata facilitatem paretis, multo hanc legem studio in animis vestris reponite, et tunc admonitionis utilitatem scietis. Quoniam et aureum vestimentum ex se pulchrum videtur, multo pulchrius autem nobis videbitur nostro circumpositum corpori : sic et Dei mandata pulchra quidem sunt, etiam cum laudantur; multo autem pulchriora, cum et explentur, apparent. Etenim nunc brevi temporis momento dicta nostra laudatis; si vero res impleatis, per omnem diem, et per omne tempus, et nos et vos ipsos laudabitis. Neque hoc est magnum, quod invicem nos laudabimus, sed quod et Deus nos suscipiet : nec tantum suscipiet, sed et magnis illis remunerabitur et ineffabilibus donis : quæ nos omnes assequi contingat, gratia etc.

ΟΜΙΛΙΑ ς'.

ΟΤΙ χρήσιμος ὁ τῶν ἀρχόντων φόβος, καὶ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς τὴν ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ ἀναφέρουσι, καὶ ὅτι ὁ ἀδίκως τι πάσχων καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, ἴσος ἐστὶ τοῦ διὰ τὸν Θεὸν τὰ αὐτὰ πάσχοντος· καὶ τὰ παραδείγματα πάλιν ἐκ τῶν τριῶν παίδων καὶ τῆς Βαβυλωνίας καμίνου, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.

Πολλὰς μὲν ἀνηλώσαμεν ἡμέρας παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην· οὐ μὴν διὰ τοῦτο ἀποστησόμεθα τῆς ὑποθέσεως ταύτης, ἀλλ' ἕως ἂν μένῃ τὸ ἕλκος τῆς ἀθυμίας, καὶ τὸ φάρμακον τῆς παραμυθίας ἐπιθήσομεν. Εἰ γὰρ ἐπὶ τῶν τοῦ σώματος τραυμάτων οὐ παύονται ἐπαντλοῦντες ἰατρῶν παῖδες, ἕως ἂν ἴδωσι λῆξαν τὸ πάθος, πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς τοῦτο ποιεῖν χρή. Καὶ γὰρ ἕλκος ψυχῆς ἡ ἀθυμία, καὶ δεῖ συνεχῶς αὐτὴν ἐπαντλεῖν προσηνέσι ῥήμασιν. Οὐδὲ γὰρ οὕτως οἰδήματα σαρκὸς χαλᾷν εἴωθε θερμῶν ὑδάτων φύσις, ὡς ψυχῆς πάθος καταστέλλειν πέφυκε παρακλητικῶν λόγων δύναμις· οὐ χρεία σπογγιᾶς ἐνταῦθα, καθάπερ ἐπὶ τῶν ἰατρῶν, ἀλλ' ἀντὶ σπόγγου τὴν γλῶτταν μεταχειρισώμεθα· οὐ χρεία πυρὸς ἐνταῦθα, ἵνα θερμάνωμεν ὕδατα, ἀλλ' ἀντὶ πυρὸς τῇ τοῦ Πνεύματος χρησόμεθα χάριτι. Φέρε οὖν καὶ τήμερον τὸ αὐτὸ τοῦτο πράξωμεν. Εἰ γὰρ μὴ ἡμεῖς ὑμᾶς παρακαλέσομεν, πόθεν ἑτέρωθεν παράκλησιν δέξεσθε; Διὰ τοῦτο καὶ φοβοῦσιν· οὐκοῦν ἱερεῖς παρακαλείτωσαν· ἄρχοντες ἀπειλοῦσιν· οὐκοῦν ἡ Ἐκκλησία παραμυθείσθω. Καὶ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν οὕτω γίνεται· διδάσκαλοι τὰ παιδία φοβοῦσι καὶ τύπτουσι, καὶ δεδακρυμένα πρὸς τὰς μητέρας παραπέμπουσιν· αἱ δὲ μητέρες ὑποδεξάμεναι τοῖς κόλποις τοῖς ἑαυτῶν κατέχουσι καὶ περισφίγγουσι, καὶ τὰ δάκρυα καταψήσασαι καταφιλοῦσι, καὶ τὴν ὀδυνωμένην αὐτῶν ἀνακτῶνται ψυχήν, πείθουσαι δι' ὧν λέγουσιν, ὅτι χρήσιμος ὁ τῶν διδασκάλων αὐτοῖς φόβος ἐστίν. Ἐπεὶ οὖν καὶ ὑμᾶς ἐφόβησαν ἄρχοντες, καὶ ἐναγωνίους ἐποίησαν, ἡ Ἐκκλησία, ἡ κοινὴ πάντων ἡμῶν μήτηρ, τοὺς κόλπους ἁπλώσασα, καὶ ὀπτίαις ὑποδεξαμένη χερσὶ, καθ' ἑκάστην παρακαλεῖ τὴν ἡμέραν, λέγουσα ὅτι χρήσιμος καὶ ὁ τῶν ἀρχόντων φόβος ἐστὶ, χρησίμη καὶ ἡ ἐντεῦθεν παράκλησις. Ἐκείνων μὲν γὰρ ὁ φόβος οὐκ ἀφίησιν ὑπὸ τῆς ῥᾳθυμίας ἐκλύεσθαι· ταύτης δὲ ἡ παράκλησις οὐκ ἀφίησιν ὑπὸ τῆς ἀθυμίας καταπίπτειν· καὶ δι' ἀμφοτέρων ὁ Θεὸς τὴν ἡμετέραν οἰκονομεῖ σωτηρίαν. Καὶ γὰρ τοὺς ἄρχοντας αὐτὸς ὥπλισεν, ἵνα φοβῶσι τοὺς ἀσελγαίνοντας· καὶ τοὺς ἱερέας αὐτὸς ἐχειροτόνησεν, ἵνα παρακαλῶσι τοὺς ὀδυνωμένους· καὶ ταῦτα ἀμφότερα, μετὰ τῶν Γραφῶν καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα βοᾷ. Εἰ γὰρ ἀρχόντων ὄντων, καὶ στρατιωτῶν ζώντων ἐν ὅπλοις, μανία ἀνθρώπων ὀλιγαρίθμων, μιγάδων καὶ ἐπηλύδων, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτην ἡμῖν ἀνῆψε πυρὰν καὶ χειμῶνα τοσοῦτον ἤγειρε, καὶ περὶ ναυαγίας δεδοικέναι ἐποίησεν

HOMILIA VI.

Quod utilis est magistratuum timor, et narratio eorum, quæ per viam acciderunt iis qui nuntium seditionis Imperatori afferebant : et quod qui indigna patitur et gratias agit permittenti Deo, par sit ei qui talia propter Deum patitur. Exempla rursum a tribus pueris et fornace Babylonica : et de abstinentia a juramentis.

1. Multos quidem impendimus dies caritatem vestram consolantes : non propterea tamen ab hoc desistemus instituto; sed donec tristitiæ vulnus remanserit, consolationis medicamentum imponemus. Si enim corporis vulnera fovere non desinunt medici, donec desivisse dolorem viderint : multo magis hoc in anima fieri convenit. Etenim animæ vulnus est tristitia, et ipsam continue lenibus fovere verbis oportet : nec enim ita carnis tumorem calidarum solet aquarum natura remittere, ut animæ æstum consolantium copia sermonum sedare consuevit. Non hic opus spongia, sicut medicis, sed pro spongia linguam tractabimus : non hic opus igne, quo aquas calefaciamus, sed pro igne Spiritus gratia utemur. Age igitur et hodie hoc ipsum faciamus. Nisi enim nos consolationem vobis attulerimus, unde solamen aliunde capietis? Judices terrent, ergo sacerdotes consolentur : magistratus minantur, ergo Ecclesia confirmet. Etenim hoc in parvulis evenit; præceptores terrent, et verberant, et lacrymantes ad matres remittunt : matres vero sinu suscipientes continent et circumamplexantur, et lacrymas detergentes osculantur, et dolentem ipsorum animam relevant, verbis suis persuadentes, ipsis utilem esse præceptorum metum. Quoniam igitur et vos terruerunt magistratus, et anxios reddiderunt, Ecclesia communis omnium mater nostra, sinus aperiens et supinis suscipiens manibus, quotidie consolatur, dicens utilem esse magistratuum metum, utilem etiam ab ipsa profectam consolationem. Illorum enim metus non sinit nos torpore dissolvi; ipsius autem consolatio sub tristitia succumbere non permittit : et per utraque Deus salutem nostram disponit. Nam et magistratus ipse armavit, ut lascivientes terreant : et sacerdotes ipse elegit, ut dolentes consolentur : et hæc utraque tam Scripturæ quam ipsa rerum experientia clamat. Si enim cum non deessent magistratus, et milites in armis præsto essent, furor paucorum hominum promiscuorum et advenarum brevi temporis momento tantum nobis incendium fecit et tantam excitavit procellam, et de naufragio cunctos metuere compulit : si magistratuum metus omnino sublatus

ἅπαντας· εἰ καθόλου τῶν ἀρχόντων ὁ φόβος ἀνῄρητο, ποῦ οὐκ ἂν ἦλθον οὗτοι μανίας; ἆρ' οὐκ ἂν ἐκ βάθρων ἡμῖν τὴν πόλιν ἀνέτρεψαν, καὶ πάντα ἄνω καὶ κάτω ποιήσαντες, αὐτὰς ἂν ἡμῶν ἀφείλαντο τὰς ψυχάς; Ἂν γὰρ τὰ δικαστήρια ἀνέλῃς, πᾶσαν τῆς ζωῆς ἡμῶν ἀνεῖλες τὴν εὐταξίαν· καὶ ὥσπερ νηὸς τὸν κυβερνήτην ἂν ἀποστήσῃς, κατεπόντισας τὸ σκάφος, καὶ τὸν στρατηγὸν ἂν ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω τῶν πόλεων τοὺς ἄρχοντας ἂν ἀνέλῃς, θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον, δάκνοντες ἀλλήλους καὶ κατεσθίοντες, τὸν πενέστερον ὁ πλούσιος, τὸν ἀσθενέστερον ὁ δυνατώτερος, τὸν ἐπιεικῆ ὁ θρασύτερος. Ἀλλὰ νῦν οὐδὲν τούτων ἐστὶ διὰ τὴν τοῦ Θεοῦ χάριν· οἱ μὲν γὰρ εὐλαβείᾳ συζῶντες οὐδὲν δέονται τῆς τούτων παιδαγωγίας· « Δικαίῳ γὰρ νόμος οὐ κεῖται », φησίν. Οἱ δὲ πολλοὶ καὶ πρὸς κακίαν βλέποντες, εἰ μὴ τὸν ἀπὸ τούτων φόβον εἶχον αὐτοῖς ἐπικείμενον, μυρίων ἂν κακῶν τὰς πόλεις ἐνέπλησαν· ἅπερ οὖν καὶ ὁ Παῦλος συνιδὼν ἔλεγεν, « Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ, καὶ αἱ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. » Ὅπερ γάρ εἰσιν ἐν ταῖς οἰκίαις τῶν ξύλων αἱ ἰμαντώσεις, τοῦτο οἱ ἄρχοντες ἐν ταῖς πόλεσιν· καὶ καθάπερ ἂν ἐκείνας ἀνέλῃς, διαλυθέντες οἱ τοῖχοι συμπίπτουσιν ἀλλήλοις αὐτόματοι· οὕτω τῆς οἰκουμένης ἂν ἀφέλῃς τοὺς ἄρχοντας καὶ τὸν ἐκ τούτων φόβον, καὶ οἰκίαι καὶ πόλεις καὶ ἔθνη μετὰ πολλῆς ἀλλήλοις συμπεσοῦνται τῆς ἀδείας, οὐδενὸς ὄντος τοῦ κατέχοντος καὶ ἀναχρουομένου καὶ τῷ φόβῳ τῆς κολάσεως ἀναπείθοντος ἡσυχάζειν.

Μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοί, διὰ τὸν ἀπὸ τῶν ἀρχόντων φόβον, ἀλλὰ καὶ εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι τὴν ῥᾳθυμίαν ἡμῶν ἀνέστειλε καὶ σπουδαιοτέρους εἰργάσατο. Τί γάρ, εἰπέ μοι, γέγονε βλάβος ἀπὸ τῆς φροντίδος ταύτης καὶ τῆς μερίμνης; ὅτι σεμνότεροι γεγόναμεν καὶ ἐπιεικέστεροι; ὅτι σπουδαιότεροι καὶ προσεκτικώτεροι; ὅτι μεθύοντα καὶ ᾄδοντα πορνικὰ ᾄσματα οὐδένα βλέπομεν; ἀλλ' ὅτι λιταὶ διηνεκεῖς καὶ δάκρυα καὶ εὐχαί; ὅτι γέλως ἄκαιρος καὶ αἰσχρὰ ῥήματα καὶ διάχυσις ἅπασα ἀπελήλαται, καὶ γυναῖκα εὐσχήμονα καὶ ἐλευθέραν ἡ πόλις ἡμῶν ἅπασα μιμεῖται νῦν; διὰ ταῦτα ἀλγεῖς, εἰπέ μοι; Διὰ ταῦτα μὲν οὖν χαίρειν δίκαιον καὶ εὐχαριστεῖν τῷ Θεῷ, ὅτι τοσαύτην βλακείαν ὀλίγων ἡμερῶν φόβος κατέλυσε. Ναί, φησίν, ἀλλ' εἰ μὲν μέχρι φόβου μόνον ἐκινδυνεύομεν, ἱκανὴν ἂν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν· νυνὶ δὲ δεδοίκαμεν μὴ περαιτέρω προέλθῃ τὸ δεινόν, καὶ περὶ τῶν ἐσχάτων κινδυνεύσωμεν ἅπαντες. Ἀλλὰ μὴ δείσητε, Παῦλος ὑμᾶς παραμυθεῖται λέγων ὅτι « Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. Αὐτὸς γὰρ εἶπεν, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. » Εἰ γὰρ δι' ἔργων ἐβούλετο κολάσαι καὶ διὰ τῆς πείρας αὐτῆς, οὐκ ἂν

fuisset, ad quid furoris isti non venissent? nonne a fundamentis hanc nobis urbem evertissent, et omnia confundentes, ipsas demum animas nostras abstulissent? Si enim judicialia sustuleris tribunalia, omnem vitæ nostræ ordinem sustuleris: et sicut si gubernatorem a navi separaveris, scapham subnerseris; et si ducem ab exercitu abduxeris, vinctos hostibus tradideris milites: ita si magistratus de civitatibus abstuleris, feris irrationabilibus magis irrationabilem degemus vitam, inter nos mordentes et nos devorantes, pauperiorem dives, infirmiorem potentior, mansuetum audacior. Sed horum nihil nunc est per Dei gratiam: in religione enim viventes nihil opus horum habent correctione: *Justo enim lex non est posita*, inquit (1. *Tim.* 1. 9). Multi vero ad vitium spectantes, nisi hunc imminentem timorem haberent, infinitis utique malis civitates implessent: quæ Paulus quoque cognoscens dicebat (*Rom.* 13. 1), *Non enim est potestas, nisi a Deo: et quæ sunt potestates, a Deo ordinatæ sunt.* Quod enim in domibus faciunt lignorum contignationes, hoc magistratus in civitatibus: et sicut si illas sustuleris, dissoluti parietes per sese corruunt: ita si ex mundo magistratus tollas et horum metum, et domus et civitates et gentes cum multa inter se licentia corruent, nemine existente qui contineat et repellat, et pœnæ timore iis quiescere persuadeat.

Ne igitur doleamus, dilecti, propter magistratuum metum; verum et Deo gratias agamus quod torporem nostrum corripuerit, et nos diligentiores effecerit. Quod enim, quæso, damnum factum est ex cura et solicitudine ista? quod graviores facti simus et mansuetiores? quod diligentiores et attentiores? quod ebrium et meretricia cantica videamus neminem? quod supplicationes continuæ, et lacrymæ et preces? quod risus importunus, et turpia verba, et omnis lascivia expulsa sit, et feminam modestam et liberam civitas nostra tota nunc imitetur? propter hæc, quæso, tu doles? Quin gaudere propter hæc et Deo gratias agere magis oportet, quod tantam mollitiem paucorum dierum formido resolverit. Non nego, inquit; sed si ad metum usque tantum periclitaremur, satis essemus utilitatis lucrati: nunc vero timemus ne ulterius malum procedat, et de ultimis periclitemur omnes. Sed ne timeatis, Paulus vos consolatur dicens (1. *Cor.* 10. 13), *Fidelis est Deus, qui non sinet vos tentari plus quam potestis, sed faciet et cum tentatione proventum, ut possitis sufferre. Ipse enim dixit* (*Deut.* 31. 6. *Jos.* 1. 5. *Hebr.* 13. 5), *Non te dimittam, neque te derelinquam.* Si enim rebus ipsis castigare vellet et malorum experientia,

τοσούτων ἡμερῶν παρέδωκεν ἡμᾶς φόβῳ· ὅταν γὰρ μὴ βούληται κολάζειν, φοβεῖ· ἐπεὶ εἰ μέλλοι κολάζειν, περιττὸς ὁ φόβος, περιττὴ ἡ ἀπειλή· νῦν δὲ μυρίων χαλεπωτέραν θανάτων ὑπέστημεν ζωήν, ἐν τοσαύταις ἡμέραις δεδοικότες καὶ τρέμοντες, καὶ τὰς σκιὰς αὐτὰς ὑποπτεύοντες, καὶ τὴν τοῦ Κάϊν τίνοντες δίκην, καὶ ἐκ μέσων τῶν ὕπνων ἀναπηδῶντες ἀπὸ τῆς διηνεκοῦς ἀγωνίας· ὥστε εἰ καὶ παρωργίσαμεν τὸν Θεὸν, ἐξιλεωσάμεθα νῦν τοσαύτην ὑπομείναντες τιμωρίαν. Καὶ γὰρ εἰ καὶ μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐδώκαμεν δίκην, ἀλλ' ἀρκοῦσαν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ.

Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν πολλαχόθεν θαρρεῖν χρή· οὐδὲ γὰρ ὀλίγα ἡμῖν ἐνέχυρα τῶν χρηστῶν ἐλπίδων δέδωκεν ὁ Θεὸς ἤδη. Καὶ πρῶτον μὲν ἁπάντων οἱ τὴν πονηρὰν κομίζοντες ἀγγελίαν, ἐξελθόντες ἐντεῦθεν καθάπερ τινὲς ὑπόπτεροι καὶ πάλαι καταλήψεσθαι τὸ στρατόπεδον προσδοκήσαντες, κατὰ μέσην ἔτι διατρίβουσι τὴν ὁδόν· τοσαῦτα αὐτοῖς κωλύματα καὶ ἐμπόδια γέγονε, καὶ τοὺς ἵππους ἀφέντες ὀχήματα ἐλαύνουσι νῦν, ὅθεν ἀνάγκη πᾶσα βραδυτέραν αὐτοῖς γενέσθαι τὴν ἐκεῖσε ἄφιξιν. Ἐπειδὴ γὰρ τὸν ἱερέα τὸν ἡμέτερον καὶ τὸν κοινὸν πατέρα ἀνέστησεν ὁ Θεὸς ἐντεῦθεν, καὶ ἔπεισεν ἀπελθεῖν καὶ τῆς πρεσβείας συνεφάψασθαι ταύτης, κατέσχε λοιπὸν ἐκείνους κατὰ μέσην τὴν ὁδὸν, ἵνα μὴ φθάσαντες τὸ πῦρ ἀνάψωσι, καὶ τῷ διδασκάλῳ λοιπὸν ἀνόνητον ποιήσωσι τὴν διόρθωσιν, τὰς βασιλικὰς ἐμπρήσαντες ἀκοάς. Ὅτι γὰρ οὐκ ἄνευ Θεοῦ τὸ κώλυμα γέγονε, δῆλον ἐκεῖθεν· ἄνθρωποι τὸν ἅπαντα χρόνον τοιαύταις συντραφέντες ἀποδημίαις, καὶ τοῦτο ἔργον ἔχοντες ἵππους ἐλαύνειν διηνεκῶς, νῦν ὑπ' αὐτῆς τῆς ἱππασίας συντριβέντες ὑστέρησαν, καὶ γέγονεν ἀπ' ἐναντίας τοῖς τοῦ Ἰωνᾶ πράγμασι τὰ συμβάντα νῦν. Ἐκεῖνον μὲν γὰρ μὴ βουλόμενον ἀπελθεῖν ἤπειγε· τούτους δ' ἐπειγομένους ἀπελθεῖν ἐκώλυσεν. [Ὦ καινοῦ καὶ παραδόξου πράγματος· ἐκεῖνος οὐκ ἐβούλετο κηρῦξαι καταστροφὴν, καὶ ἄκοντα αὐτὸν ἀνέστησεν· οὗτοι μετὰ πολλοῦ τοῦ τάχους σπεύδουσιν ἀπαγγεῖλαι καταστροφὴν, καὶ ἄκοντας αὐτοὺς πάλιν ἐκώλυσε.] Τί δήποτε; Ὅτι ἐνταῦθα μὲν τὸ τάχος βλάβος, ἐκεῖ δὲ τὸ τάχος κέρδος ἔφερε· διὰ τοῦτο κἀκεῖνον ἤπειξε διὰ τοῦ κήτους, καὶ τούτους συνεπόδισε διὰ τῶν ἵππων. Ὁρᾷς Θεοῦ σοφίαν; διὰ τῶν πραγμάτων αὐτῶν, ὧν ἕκαστος ἤλπισεν ἀνύειν τὸ προκείμενον, διὰ τούτων συνεποδίσθησαν ἕκαστος. Ἐκεῖνος διὰ τοῦ πλοίου προσδόκησε πτήσεσθαι, καὶ τὸ πλοῖον αὐτῷ δεσμὸς ἐγένετο· διὰ τῶν ἵππων οὗτοι προσδόκησαν ταχύτερον ὄψεσθαι βασιλέα, καὶ οἱ ἵπποι γεγόνασι κώλυμα· μᾶλλον δὲ οὐχ οἱ ἵπποι, ὅσπερ οὖν οὐδ' ἐκείνῳ τὸ πλοῖον, ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ πανταχοῦ πάντα μετὰ τῆς οἰκείας οἰκονομοῦσα σοφίας. Καὶ σκόπει κηδεμονίαν, πῶς καὶ ἐφόβησε καὶ παρεκάλεσε. Παρὰ μὲν γὰρ αὐτὴν τὴν ἡμέραν, ὅτε τὰ παράνομα ἐτολμήθη πάντα ἐκεῖνα, ἀφεὶς αὐ-

non tot diebus nos timori tradidisset : cum enim punire non vult, terret; quoniam si puniturus esset, timor esset superfluus, superfluæ minæ. Nunc vero innumeris mortibus graviorem vitam sustinuimus, tot diebus trepidantes et trementes, et ipsas umbras reformidantes, atque Cain illius pœnam luentes, et e medio somno præ continua anxietate exsilientes, ita ut, si irritassemus Deum, nunc tantam passi pœnam, reddidissemus propitium. Etsi enim non dignum peccato supplicium dedimus, Dei tamen clementiæ sufficit.

2. Non tantum autem ex hoc, sed etiam ex aliis multis confidere oportet : non enim modica nobis bonæ spei pignora jam dedit Deus. Et quod est omnium primum, qui malum tulere nuntium, hinc velut alati digressi, et dudum ad castra Imperatoris se perventuros esse putantes, circa medium adhuc iter morantur; tot obstacula et impedimenta ipsis acciderunt, et equos dimittentes, nunc vehicula agunt : unde necesse est eos illuc tardius perventuros esse. Postquam enim antistitem nostrum et communem patrem Deus hinc suscitavit, et persuasit abire et obire legationem hanc, mox illos circa medium itineris detinuit, ne prævenientes ignem succenderent, et in reliquum correctionem doctori inutilem redderent, Imperatoris auribus inflammatis. Quod enim non sine Deo factum sit hoc impedimentum, inde manifestum : homines qui totum vitæ tempus in talibus peregrinationibus faciendis egerant, et hoc officium habentes equos continue agendi, nunc ab ipsa equitatione contriti defecerunt, et quæ nunc accidere, Jonæ rebus contraria facta sunt. Illum enim urgebat Deus abire nolentem, hos abire properantes vetuit. [O novam rem et admirabilem ! ille subversionem prædicare nolebat, et invitum eum excitavit : hi eum celeritate subversionem annuntiare festinant, et invitos ipsos rursum prohibuit.] Qua tandem de causa? Quoniam hic quidem celeritas damnum, illic vero celeritas lucrum ferebat : ideo et illum per cetum festinare fecit, et hos per equos impedivit. Vides Dei sapientiam? per quæ quisque quod exspectabat se expediturum speravit, per hæc quisque impeditus est. Per navigium ille se evasurum putavit, et navigium illi vinculum factum est : isti per equos ocyus se Imperatorem visuros speraverunt, et equi facti sunt impedimentum : imo vero non equi, sicut nec illi navigium, sed Dei providentia ubique omnia propria dispensans sapientia. Et considera providentiæ modum, quomodo et terruit et consolatus est. Ipso enim die quo omnia illa patrata sunt facinora, ipsos quidem exire tamquam omnia quæ acci-

τοὺς ἐξελθεῖν ὡς ἀπαγγελοῦντας τῷ βασιλεῖ τὰ συμβεβηκότα ἅπαντα, τῷ τάχει τῆς ἐξόδου πάντας ἐφόβησεν· ἐπειδὴ δὲ ἀπῆλθον καὶ δύο καὶ τρεῖς ἀνήλωσαν ἡμέρας, καὶ λοιπὸν ματαίαν εἶναι ἐνομίζομεν τοῦ ἱερέως τοῦ ἡμετέρου τὴν ἀποδημίαν, ὡς ὑστερίζειν μέλλοντος, τότε τὸν φόβον ἐξέλυσε καὶ παρεμυθήσατο, ἐκείνους τε, ὥσπερ ἔφην, κατὰ μέσην κατασχὼν τὴν ὁδὸν, καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους πρὸς ἡμᾶς διὰ τῆς αὐτῆς ὁδοῦ τὰ ἐκείνων πάθη πᾶσιν ἡμῖν ἀναγγεῖλαι παρασκευάσας, ἵνα μικρὸν ἀναπνεύσωμεν· ὅπερ οὖν καὶ ἐγένετο, καὶ πολὺ τῆς ἀγωνίας ἀπεθέμεθα μέρος. Ταῦτα ἀκούσαντες, τὸν ταῦτα ποιήσαντα προσεκυνήσαμεν Θεὸν ὡς πατέρων πάντων φιλοστοργότερον· καὶ νῦν τὰ καθ' ἡμᾶς διέθηκεν ἅπαντα, ἀοράτῳ τινὶ δυνάμει τοὺς πονηροὺς τούτους κατασχὼν ἀγγέλους, καὶ μονονουχὶ λέγων, Τί σπεύδετε, τί δὲ ἐπείγεσθε πόλιν τοιαύτην καταποντίζειν μέλλοντες; μὴ γὰρ εὐαγγέλια κομίζετε τῷ βασιλεῖ; μένετε αὐτοῦ, ἕως ἂν τὸν θεράποντα τὸν ἐμὸν, καθάπερ ἰατρὸν ἄριστον, παρασκευάσω φθάσαι καὶ τὸν ὑμέτερον προκαταλαβεῖν δρόμον. Εἰ δὲ ἐν ἀρχῇ τοῦ τῆς παρανομίας ἕλκους τοσαύτη πρόνοια γέγονε, πολλῷ μᾶλλον μετὰ τὴν ἐπιστροφὴν, μετὰ τὴν μετάνοιαν, μετὰ τὸν τοσοῦτον φόβον, μετὰ τὰ δάκρυα καὶ τὰς εὐχὰς πλείονος ἀπολαυσόμεθα τῆς ἀδείας. Ὁ μὲν γὰρ Ἰωνᾶς εἰκότως συνηλαύνετο, ἵνα ἐμβάλῃ εἰς μετάνοιαν, ὑμεῖς δὲ ἤδη τὴν μετάνοιαν ἐπεδείξασθε καὶ πολλὴν τὴν ἐπιστροφήν· διὸ καὶ παρακλήσεως δεῖ λοιπὸν, οὐκ ἀγγελίας ἀπειλὴν ἐχούσης. Διὰ τοῦτο καὶ τὸν κοινὸν ἐντεῦθεν ἀνέστησε πατέρα, καίτοι πολλῶν ὄντων τῶν κωλυόντων· εἰ δὲ μὴ ἐφείδετο τῆς σωτηρίας τῆς ἡμετέρας, οὐκ ἂν ἐκεῖνον ἔπεισεν, ἀλλὰ καὶ βουλόμενον ἐξελθεῖν ἐκώλυσεν ἄν.

Ἔχω τι καὶ τρίτον εἰπεῖν δυνάμενον ὑμᾶς πεῖσαι θαῤῥεῖν, τὴν παροῦσαν ἑορτὴν, ἣν καὶ ἄπιστοι σχεδὸν αἰδοῦνται πάντες, ἣν καὶ αὐτὸς ὁ θεοφιλὴς βασιλεὺς οὗτος ἠδέσθη καὶ ἐτίμησεν, ὡς ἅπαντας τοὺς πρὸ αὐτοῦ μετ' εὐσεβείας κρατήσαντας ὑπερβαλέσθαι βασιλέας. Ἐν ταύταις γοῦν ταῖς ἡμέραις πέμψας ἐπιστολὴν εἰς τιμὴν τῆς ἑορτῆς, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας σχεδὸν ἀφῆκεν ἅπαντας· καὶ ταύτην ὁ ἱερεὺς ὁ ἡμέτερος εἰσελθὼν ἀναγνώσεται τὴν ἐπιστολὴν πρὸς τὸν βασιλέα, καὶ τῶν οἰκείων αὐτὸν ἀναμνήσει νόμων, καὶ ἐρεῖ πρὸς αὐτὸν, ὅτι Σὺ σαυτὸν παρακάλεσον, καὶ τὰ σαυτοῦ μίμησαι· οἴκοθεν ἔχεις τὸ παράδειγμα τῆς φιλανθρωπίας· δίκαιον οὐχ εἷλου ποιῆσαι φόνον, καὶ ἄδικον ὑπομενεῖς ἐργάσασθαι; τοὺς ἐληλεγμένους καὶ καταδικασθέντας τὴν ἑορτὴν αἰδεσθεὶς ἀφῆκας, καὶ τοὺς ἀνευθύνους καὶ μηδὲν τετολμηκότας καταχρινεῖς, εἰπέ μοι, καὶ ταῦτα τῆς ἑορτῆς παρούσης; Μηδαμῶς, βασιλεῦ. Σὺ διὰ τῆς ἐπιστολῆς ταύτης ταῖς πόλεσι πάσαις διαλεγόμενος ἔλεγες· Εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς ἀπελθόντας ἀναστῆσαι. Ταύτης δεόμεθα τῆς φιλανθρωπίας, τούτων καιρὸς τῶν ῥημάτων νῦν. Οὐχ οὕτω τὸ κρατῆσαι πολεμίων λαμπροὺς ποιεῖ τοὺς βα-

derant Imperatori nuntiaturos permittens, exeundi celeritate omnes perterruit; postquam vero abierunt, et duos tresve dies contriverunt, cum jam inanem esse antistitis nostri profectionem putabamus, utpote qui tardius esset adventurus: tunc metum dissolvit, et nos consolatus est, illos, sicut dixi, in media detinens via, efficiensque ut ii qui illinc ad nos proficiscebantur, illorum per viam ærumnas nobis annuntiarent, ut parumper respiraremus: quod et factum est, et magnam anxietatum partem deposuimus. His auditis, horum auctorem adoravimus Deum, qui patre quovis diligentius omnes res nostras nunc disposuit, invisibili quadam vi improbos istos cohibens nuntios, et tantum non dicens, Quid festinatis, quidve properatis civitatem talem subvertere volentes? num bona Imperatori nuntia affertis? manete istic, donec servum meum, tamquam medicum optimum, prævenire et vestrum prævertere cursum faciam. Si vero nascente prævaricationis ulcere, tanta providentia exhibita est: multo magis post conversionem, post pœnitentiam, post tantum timorem, post lacrymas et preces, majorem securitatem consequemur. Jonas enim congrue impellebatur, ut ad pœnitentiam induceret; vos vero jam exhibuistis pœnitentiam et magnam conversionem, ideoque consolatione deinceps est opus, non nuntio minas ferente. Propterea etiam communem hinc patrem suscitavit, et quidem cum multa essent quæ prohiberent; si vero non pepercisset saluti nostræ, non illi persuasisset, sed et volentem exire prohibuisset.

3. Tertium quidpiam suppetit dicendum, quod fiduciam vobis pariat, præsens nempe solemnitas, quam et infideles fere omnes reverentur, et hic ipse religiosus Imperator sic suspexit et honoravit, ut omnes ante se cum pietate imperantes superaverit. Talibus namque diebus cum epistolam ad solemnitatis honorem misisset, omnes fere carcerem habitantes dimisit. Et hanc epistolam admissus antistes noster coram Imperatore recitabit, et propriarum legum commonefaciet, et dicet ad ipsum: Tu te ipsum exhortare, te ipsum imitare: domesticum habes humanitatis exemplum: justam voluisti eadem committere, et injustam patrare sustinebis? convictos et condemnatos festi reverentia dimisisti, et insontes nihilque ausos condemnabis, præsertim solemnitate præsente? Nequaquam, Imperator. Tu hanc epistolam civitatibus omnibus mittens, aiebas: Utinam et defunctos resuscitare possem! Hac opus habemus humanitate, hæc verba opportuna nunc. Non tam claros facit reges hostes vicisse, quam animum et iram superare:

σιλεύοντας, ὡς τὸ κρατῆσαι θυμοῦ καὶ ὀργῆς· ἐκεῖ μὲν γὰρ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν τὸ κατόρθωμα γίνεται, ἐνταῦθα δὲ γυμνὸν σόν ἐστι τὸ τρόπαιον, καὶ οὐδένα ἔχεις τὸν μεριζόμενον μετὰ σοῦ τὴν τῆς φιλοσοφίας δόξαν. Ἐκράτησας πολέμου βαρβαρικοῦ, κράτησον καὶ θυμοῦ βασιλικοῦ· μαθέτωσαν οἱ ἄπιστοι πάντες ὅτι ὁ τοῦ Χριστοῦ φόβος πᾶσαν ἐξουσίαν δύναται χαλινοῦν· δόξασόν σου τὸν Δεσπότην τοῖς συνδούλοις ἀφεὶς τὰ ἁμαρτήματα, ἵνα καὶ αὐτός σε δοξάσῃ μειζόνως, ἵνα ἥμερόν σοι κατὰ τὴν τῆς κρίσεως ἡμέραν δείξῃ τὸ ὄμμα καὶ γαληνόν, ταύτης μεμνημένος σου τῆς φιλανθρωπίας.

Ταῦτα καὶ πλείονα τούτων ἐρεῖ, καὶ πάντως ὑμᾶς ἐξαιρήσεται τῆς ὀργῆς. Οὐκ εἰς τὸ πεῖσαι δὲ μόνον τὸν βασιλέα μεγίστη παρὰ τῆς νηστείας ταύτης ἡμῖν ἡ συμμαχία, ἀλλὰ καὶ εἰς τὸ γενναίως ἐνεγκεῖν τὰ συμβάντα· καὶ γὰρ παράκλησιν οὐ τὴν τυχοῦσαν ἀπὸ τοῦ καιροῦ τούτου καρπούμεθα. Αὐτὸ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν συλλέγεσθαι, καὶ τῆς τῶν θείων Γραφῶν ἀκροάσεως ἀπολαύειν, καὶ ἀλλήλους βλέπειν, καὶ πρὸς ἀλλήλους ὀδύρεσθαι, καὶ εὐχομένους καὶ εὐλογίας δεχομένους, οὕτως οἴκαδε ἀπιέναι, τὸ πλέον ἡμῖν ὑποτέμνεται τῆς ὀδύνης.

Μὴ τοίνυν καταπέσωμεν μηδὲ προδῶμεν ἑαυτοὺς ὑπὸ τῆς ἀγωνίας, ἀλλὰ μένωμεν τὰ χρηστὰ προσδοκῶντες, καὶ προσέχωμεν τοῖς ῥηθήσεσθαι μέλλουσι. Καὶ γὰρ βούλομαι σήμερον περὶ ὑπεροψίας θανάτου διαλεχθῆναι πάλιν. Εἶπον χθὲς ὑμῖν ὅτι τὸν θάνατον δεδοίκαμεν, οὐκ ἐπειδὴ φοβερός ἐστιν ἐκεῖνος, ἀλλ' ἐπειδὴ οὔθ' ὁ τῆς βασιλείας ἡμᾶς ἔρως ἀνῆψεν, οὔτε ὁ τῆς γεέννης φόβος κατέσχεν, καὶ πρὸς τούτοις, ὅτι τὸ συνειδὸς οὐκ ἔχομεν ἀγαθόν. Βούλεσθε καὶ τετάρτην εἰπω αἰτίαν τῆς ἀκαίρου ταύτης ἀγωνίας οὐκ ἐλάττονα, τῶν προτέρων ἀληθεστέραν; Οὐ ζῶμεν μετὰ τῆς προσηκούσης Χριστιανοῖς σκληραγωγίας, ἀλλὰ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον καὶ χαῦνον ἐζηλώσαμεν βίον· διὸ καὶ εἰκότως τοῖς παροῦσιν ἐμφιλοχωροῦμεν πράγμασιν. Ὡς εἴ γε ἐν νηστείαις καὶ παννυχίσι καὶ αὐτιλείᾳ διαίτης τὴν ζωὴν διηνύομεν ταύτην, τὰς ἐπιθυμίας ἡμῶν ἐκκόπτοντες τὰς ἀτόπους, τὰς ἡδονὰς κωλύοντες, τοὺς ἱδρῶτας τῆς ἀρετῆς ὑπομένοντες, κατὰ τὸν Παῦλον ὑποπιάζοντες τὸ σῶμα καὶ δουλαγωγοῦντες, τῆς σαρκὸς πρόνοιαν μὴ ποιούμενοι εἰς ἐπιθυμίας, τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύοντες ὁδὸν, ταχέως ἂν τῶν μελλόντων ἐπεθυμήσαμεν, τῶν παρόντων πόνων ἀπαλλαγῆναι σπεύδοντες. Καὶ ὅτι οὐ ψευδὴς ὁ λόγος ὁ ἡμέτερος, ἀνάβηθι πρὸς τὰς κορυφὰς τῶν ὀρέων, καὶ κατάμαθε τοὺς ἐκεῖ μοναχοὺς, τοὺς ἐν σάκκῳ, τοὺς ἐν δεσμοῖς, τοὺς ἐν νηστείαις, τοὺς ἐν σκότῳ κατακεκλεισμένους, καὶ ὄψει πάντας αὐτοὺς τῆς τελευτῆς ἐπιθυμοῦντας, (καὶ) ἀνάπαυσιν τὸ πρᾶγμα καλοῦντας. Καθάπερ γὰρ ὁ πυκτεύων ἐπείγεται τὸ στάδιον ἐξελθεῖν, ἵνα ἀπαλλαγῇ τῶν τραυμάτων· καὶ ὁ ἀθλητὴς ἀναστῆναι τὸ θέατρον ἐπιθυμεῖ, ἵνα ἐλευ-

illic enim armorum et militum est opus gestum, hic vero tuum solius simpliciter tropæum, et habes neminem, qui tecum sapientiæ gloriam partiatur. Superasti tumultum barbaricum, supera et iram regiam: discant infideles omnes quod Christi timor omnem potentiam refrenare possit. Glorifica Dominum tuum, conservis peccata dimittens, ut ipse quoque te magis glorificet, ut benignum tibi et tranquillum oculum in judicii die clementiæ tuæ recordatus exhibeat.

Hæc et his plura dicet, et vos ab ira penitus eripiet. Non tantum autem ad Imperatori persuadendum maximum ex hoc jejunio nobis est auxilium, sed etiam ad calamitates generose ferendas: etenim consolationem non minimam ex hoc tempore capimus. Per singulos enim dies congregari, et divinarum auditu Scripturarum frui, et invicem nos conspicere, et inter nos lamentari, et orantes ac benedictionem accipientes, sic domum abire, id doloris plurimum nobis aufert.

Ne igitur corruamus, neque nos ipsos præ anxietate prodamus, sed maneamus exspectantes bona, et dicendis mentem adhibeamus: etenim volo et hodie de mortis contemtu iterum disserere. Dixi vobis heri, nos mortem timere, non quidem quia terribilis est, sed quoniam neque cælestis regni amor nos succendit, neque gehennæ timor nos occupavit: et ad hæc, quoniam conscientiam non habemus bonam. Vultis et quartam hujus importunæ anxietatis causam commemorem, superioribus non minorem, imo veriorem? Non vivimus in asperitate Christianis congrua, sed facilem hanc et solutam et mollem sectamur vitam: idcirco, ut par est, præsentibus oblectamur rebus. Quodsi utique in jejuniis et pernoctationibus et victus tenuitate hanc vitam transigeremus, cupiditates nostras præcidentes absurdas, voluptates arcentes, sudores virtutis sustinentes, secundum Paulum (1. *Cor.* 9. 27) corpus castigantes et in servitutem redigentes, carnis providentem curam non agentes ad concupiscentias, angustam et confragosam tenentes viam, cito futura concupisceremus, præsentibus liberari laboribus festinantes. Et ut intelligas quod non falsus sit sermo noster, ad montium vertices adscende, considera illic morantes monachos in sacco, in vinculis, in jejuniis, in tenebris conclusos, et omnes videbis mortem exoptantes, rem illam requiem appellantes. Sicut enim castibus pugnans stadio exire festinat, ut vulneribus liberetur, et athleta spectatores exsurgere concupiscit, ut

θερμοῦ τῶν πόνων· οὕτω καὶ ὁ ἐν σκληρῷ καὶ τραχυτάτῳ βίῳ ζῶν μετ' ἀρετῆς, ἐπιθυμεῖ τῆς τελευτῆς, ἵνα καὶ τῶν πόνων ἀπαλλαγῇ τῶν παρόντων, καὶ ὑπὲρ τῶν ἀποκειμένων ἔχῃ στεφάνων θαρρεῖν πρὸς τὸν εὔδιον καταπλεύσας λιμένα, καὶ ἐκεῖ μεταστάς, ἔνθα οὐκ ἔστι λοιπὸν ὑποπτεῦσαι ναυάγιον. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐπίπονον φύσει καὶ μοχθηρὸν ἡμῶν τὸν βίον κατεσκεύασεν, ἵνα ὑπὸ τῆς ἐνταῦθα συνωθούμενοι θλίψεως, ἐπιθυμίαν τῶν μελλόντων λάβωμεν. Εἰ γὰρ νῦν τοσούτων ὄντων τῶν λυπηρῶν, καὶ κινδύνων καὶ φόβων καὶ φροντίδων πάντοθεν ἡμᾶς περιστοιχιζομένων, οὕτως ἐμφιλοχωροῦμεν τῇ παρούσῃ ζωῇ, εἰ μηδὲν τούτων ἦν, ἀλλ' ἄλυπός τις καὶ ἀταλαίπωρος ὁ βίος ἡμῖν ἅπας ἐγένετο, πότε ἂν ἐπεθυμήσαμεν τῶν μελλόντων;

Οὕτω καὶ Ἰουδαίοις ἐποίησεν ὁ Θεός· καὶ γὰρ ἐκείνους βουλόμενος εἰς ἐπιθυμίαν ἐμβαλεῖν τῆς ἐπανόδου, καὶ πεῖσαι μισῆσαι τὴν Αἴγυπτον, συνεχώρησε τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρεῖσθαι, ἵνα τῷ μεγέθει τῶν πόνων καὶ τῆς ταλαιπωρίας ἐκείνης ἀγχόμενοι βοήσωσι πρὸς τὸν Θεὸν περὶ τῆς ἐπανόδου. Εἰ γὰρ δὴ τούτων γενομένων ἐξελθόντες πάλιν ἐμέμνηντο τῆς Αἰγύπτου καὶ τῆς χαλεπῆς δουλείας καὶ πρὸς τὴν τυραννίδα τὴν προτέραν ὑποστρέφειν ἠπείγοντο, εἰ μὴ τοιούτων ἐπειράθησαν τῶν βαρβάρων, πότε ἂν ἀφεῖναι τὴν ἀλλοτρίαν ἠθέλησαν; Ἵν' οὖν καὶ ἡμεῖς μὴ τῇ γῇ προσηλώμενοι καὶ πρὸς τὰ παρόντα κεχηνότες ἀλγῶμεν, καὶ τῶν μελλόντων ἐπιλανθανώμεθα, μοχθηρὸν ἡμῖν τὸν βίον ἐποίησεν ὁ Θεός. Μὴ τοίνυν περιεχώμεθα πέρα τοῦ δέοντος τῆς παρούσης ζωῆς. Τί γὰρ ὄφελος ἡμῖν, ποῖον δὲ κέρδος ἐκ τοῦ προσηλῶσθαι μεθ' ὑπερβολῆς τῇ τοῦ παρόντος ἐπιθυμίᾳ βίου; Βούλει μαθεῖν διὰ τί καλὸν ἡ παροῦσα ζωή; Ὅτι τῆς μελλούσης ζωῆς ὑπόθεσις ἡμῖν γίνεται καὶ ἁφορμή, καὶ σκάμμα καὶ στάδιον τῶν ἐκεῖ στεφάνων ἐστίν· ὡς εἰ μὴ τοῦτο παράσχοι ἡμῖν, μυρίων θανάτων ἐστὶν ἐλεεινοτέρα. Εἰ γὰρ μὴ μέλλοιμεν ζῶντες ἀρέσκειν Θεῷ, βέλτιον ἀποθανεῖν. Τί γὰρ τὸ πλέον; τί τὸ περιττόν; οὐχὶ τὸν αὐτὸν ἥλιον καὶ τὴν αὐτὴν σελήνην καθ' ἑκάστην ὀψόμεθα τὴν ἡμέραν; οὐχὶ τὸ αὐτὸ θέρος; οὐχὶ τὸν αὐτὸν χειμῶνα; οὐχὶ τὰ αὐτὰ πράγματα; « Τί τὸ γεγονός; αὐτὸ τὸ γεννησόμενον. Τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον. » Μὴ τοίνυν μήτε τοὺς ζῶντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς ἀποθνήσκοντας θρηνῶμεν, ἀλλὰ τοὺς μὲν ἐν ἁμαρτίαις ὄντας, κἂν ζῶντες, κἂν τετελευτηκότες ὦσιν, ὀδυρώμεθα· τοὺς δὲ ἐν δικαιοσύνῃ μακαρίζωμεν πάλιν, ὅπουπερ ἂν τύχωσιν ὄντες. Σὺ μὲν οὖν ἕνα δέδοικας θάνατον καὶ θρηνεῖς, ὁ Παῦλος δὲ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων οὐ μόνον οὐκ ἐδάκρυε διὰ τοῦτο, ἀλλὰ καὶ ἔχαιρε καὶ ἠγάλλετο. Εἴθε κἀγὼ διὰ Θεὸν ἐκινδύνευον, φησὶ, καὶ οὐκ ἂν ἐφρόντισα. Ἀλλὰ μηδὲ νῦν καταπέσῃς· οὐδὲ γὰρ ὁ διὰ Θεόν τι πάσχων μόνον εὐδοκιμεῖ, ἀλλὰ καὶ ὁ ἀδίκως τι πάσχων καὶ φέρων

laboribus absolvator : sic et qui in rigida et aspera vita cum virtute vivit, finem desiderat, ut præsentibus eripiatur laboribus, et de repositis valeat coronis confidere, ad tranquillum navigans portum, et illo transmigrans, ubi non est amplius timendum naufragium. Propterea Deus natura laboriosam et gravem nobis vitam paravit, ut præsenti tribulatione compulsi, futurorum desiderium capiamus. Si enim sint tot tristia et pericula et timores, et curæ nos undique cingentes, tam libenter præsenti immoramur vitæ ; si nihil horum esset, et absque tristitia et ærumnis tota foret vita nostra, quando umquam futura desideraremus ?

4. Sic et Judæis Deus fecit. Volens enim illos in reditus cupiditatem inducere, et ut Ægyptum odisset persuadere, permisit eos lateritio opere et luto laborare, ut laborum et ærumnæ illius magnitudine cruciati, ad Deum reversionis causa clamarent. Si enim egressi, quamvis hæc accidissent, Ægypti iterum meminerunt (*Exod.* 16. 3) et pristinæ servitutis, et ad gravem tyrannidem redire festinabant : nisi tales fuissent experti barbaros, quando umquam alienam dimittere terram voluissent? Ne igitur et nos terræ affixi et præsentibus inhiantes torpeamus, et futurorum obliviscamur, vitam nobis fecit Deus laboriosam. Ne igitur ultra quam est opus præsentem vitam amplectamur. Quæ nobis utilitas, quod emolumentum ex nimia præsentis vitæ cupiditate? Vis discere quare bonum sit præsens vita? Quia futuræ nobis vitæ materia efficitur et occasio, et stadium est pro coronis illic adipiscendis : quod nisi hoc nobis præberet, innumeris mortibus esset miserabilior. Nisi enim viventes Deo simus placituri, melius est mori. Quid enim est amplius? quid reliquum? non eumdem solem et eamdem lunam quotidie cernemus? non eamdem æstatem? non eamdem hyemem? non eadem negotia? (*Eccles.* 1. 9) *Quid est quod fuit? id quod erit. Quid est quod est factum? ipsum quod futurum est.* Ne igitur beatos putemus viventes, neque morientes lugeamus ; sed in peccatis constitutos, sive viventes sive mortuos, deploremus; in justitia vero qui vivunt, ubicumque sint, beatos existimemus. Tu quidem unam mortem formidas et luges; at Paulus per singulos dies moriens, non tantum non lacrymabat ob hoc, sed et lætabatur et exsultabat. Utinam et ego propter Deum periclitarer, inquit, et nihil curarem. Sed neque nunc consternaris : non enim tantum qui propter Deum patitur, laudem meretur; sed et qui injuste quidquam patitur et generose fert, et Deo permittenti gratias agit,

γενναίως, καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, οὐκ ἐλάττων τοῦ διὰ τὸν Θεὸν ταῦτα πάσχοντός ἐστιν. Ἐκεῖ καὶ ὁ μακάριος Ἰὼβ τὰς πολλὰς ἐκείνας καὶ ἀφορήτους πληγὰς ἐδέξατο, τοῦ διαβόλου μάτην καὶ εἰκῇ καὶ ἁπλῶς ἐπιβουλεύοντος, ἀλλ' ὅμως ἐπειδὴ γενναίως ἤνεγκε καὶ ηὐχαρίστησε τῷ ταῦτα συγχωροῦντι Θεῷ, ὁλόκληρον τὸν στέφανον ἀνεδήσατο. Μὴ τοίνυν λυποῦ διὰ θάνατον· φύσεως γάρ· λυποῦ δι' ἁμαρτίαν· προαιρέσεως γὰρ τὸ ἔγκλημα. Εἰ δὲ λυπῇ διὰ τοὺς ἀποθανόντας, ἀλγήσεις καὶ διὰ τοὺς γεννωμένους· ὥσπερ γὰρ ἐκεῖνο φύσεως, οὕτω καὶ τοῦτο φύσεως. Ἂν τοίνυν ἀπειλήσῃ τις θάνατον, εἰπὲ πρὸς αὐτόν, « Ἐπαιδεύθην παρὰ τοῦ Χριστοῦ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. » Ἂν ἀπειλήσῃ δήμευσιν οὐσίας, εἰπὲ πρὸς αὐτόν, « Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι· Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα· » κἂν μὴ σὺ λάβῃς, θάνατος ἐπελθὼν λήψεται· κἂν μὴ σὺ σφάξῃς, ὁ τῆς φύσεως νόμος οἴσει τὴν τελευτήν.

Μηδὲν τοίνυν φοβώμεθα τῶν ἀπὸ φύσεως ἡμῖν ἐπαγομένων, ἀλλ' ἐκεῖνα τὰ ἐκ πονηρᾶς ἡμῖν ἐγγινόμενα τῆς προαιρέσεως· ἐκεῖνα γὰρ ἡμῖν τίκτει τὴν κόλασιν. Καὶ τοῦτο λογιζώμεθα διηνεκῶς ἐπὶ τῶν συμβαινόντων ἡμῖν ἀδοκήτως, ὅτι οὐ διορθώσομεν αὐτὰ ἀλγοῦντες, καὶ παυσόμεθα ἀλγοῦντες· κἀκεῖνο μετὰ τούτου πάλιν, ὅτι ἐὰν πάθωμέν τι δεινὸν κατὰ τὸν παρόντα βίον ἑκόντες, διαλύομεν πολλὰ τῶν ἁμαρτημάτων. Διὸ μέγα ἀγαθὸν ἐνταῦθα ἀπολαβεῖν ἁμαρτήματα καὶ μὴ ἰδεῖ· καὶ γὰρ ὁ πλούσιος οὐδὲν ἐνταῦθα δεινὸν ἀπέλαβε, καὶ διὰ τοῦτο ἐκεῖ ἀπατηγανίζετο. Καὶ ὅτι τοῦτο ἦν αἴτιον τοῦ μηδεμιᾶς αὐτὸν ἀπολαῦσαι παραμυθίας, ἄκουσον τί φησιν ὁ Ἀβραάμ· « Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, διὰ τοῦτο ὀδυνᾶσαι· » ὅτι δὲ καὶ τῷ Λαζάρῳ τὰ ἀγαθὰ μετὰ τῆς ἀρετῆς καὶ τὸ μυρία ἐνταῦθα παθεῖν δεινὰ προεξένησε, τοῦ πατριάρχου καὶ τοῦτο λέγοντος ἄκουσον. Εἰπὼν γὰρ τῷ πλουσίῳ, « Ἀπέλαβες τὰ ἀγαθά σου », ἐπήγαγεν ὅτι « Καὶ Λάζαρος τὰ κακά· καὶ διὰ τοῦτο παρακαλεῖται. » Ὥσπερ γὰρ οἱ ἐν ἀρετῇ ζῶντες καὶ θλιβόμενοι διπλοῦν ἔχουσι τὸ κέρδος, οὕτως ὁ ἐν κακίᾳ ζῶν καὶ τρυφῶν διπλῆν ἕξει τὴν κόλασιν. Πάλιν λέγω οὐχὶ τῶν φευγόντων κατηγορῶν (« Ψυχὴν γὰρ τεταπεινωμένην μὴ προστάρῃς », φησίν), οὐδὲ ἐπιτιμῆσαι βουλόμενος (ὁ γὰρ νοσῶν παρακλήσεως δεῖται), ἀλλὰ διορθῶσαι σπουδάζων, μὴ τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίζωμεν, ἀλλὰ φύγωμεν ἁμαρτίας, ἀποστῶμεν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς. Ἂν ταύτας φύγωμεν, κἂν μεταξὺ μυρίων ὦμεν στρατιωτῶν, οὐδείς ἡμᾶς πλῆξαι δυνήσεται· ἂν ταύτας μὴ φύγωμεν, κἂν εἰς αὐτὴν τῶν ὀρέων τὴν κορυφὴν ἀναβῶμεν, πολεμίους ἐκεῖ εὑρήσομεν μυρίους. Ἀναμνήσθητι γοῦν τῶν τριῶν παίδων ἐκείνων πάλιν, οἳ ἔνδον ἦσαν ἐν τῇ καμίνῳ καὶ οὐδὲν ἔπαθον δεινόν·

alio hæc propter Deum patiente non est inferior. Quoniam et beatus Job multas et intolerabiles illas plagas a diabolo frustra et temere et sine causa insidiante excepit; sed tamen quoniam generose tulit, et Deo hæc permittenti gratias egit, integram reportavit coronam. Ne igitur propter mortem tristeris, naturæ enim est: tristare propter peccatum, voluntatis enim est culpa. Si vero propter defunctos tristaris, et propter nascentes dolebis: sicut enim illum est naturæ, ita hoc etiam. Si quis igitur mortem minetur, dic ipsi: Institutus sum a Christo (*Matth.* 10. 28) non illos timere qui corpus interimunt, animam vero occidere nequeunt. Si rei familiaris publicationem minetur, responde (*Job.* 1. 21), *Nudus exivi de utero matris mex, et nudus revertar illuc.* (1. *Tim.* 6. 7) *Nihil in hunc mundum intulimus; palam est quod nec exportare quidquam poterimus*: et si tu non abstuleris, mors superveniens auferet; et si tu non jugulaveris, naturæ lex finem afferet.

Nihil igitur eorum timeamus, quæ nobis natura afferuntur, sed illa quæ ex mala nobis proveniunt voluntate: illa enim nobis pœnam pariunt. Hoc cogitemus continue in iis quæ nobis inexspectata accidunt, quod non corrigemus illa dolentes, et dolere desinemus: et præter hoc illud quoque, nos si quid injuste in præsenti patimur vita, multa peccata dissolvere. Idcirco magnum bonum est hic luere peccata, et non illic: etenim dives ille hic grave nihil recepit, et propterea illic torquebatur. Et quod hoc esset in causa ne ulla illic frueretur consolatione, audi quid dicat Abraham (*Luc.* 16. 25): *Fili, recepisti bona tua: propterea cruciaris.* Quod autem ideo Lazaro bona data sint, quia cum virtute hic infinitas passus erat molestias, patriarcham et hoc dicentem audi. Cum enim dixisset diviti, *Recepisti bona tua*: intulit, *Et Lazarus mala, et propterea consolationem capit.* Sicut enim in virtute viventes et tribulati duplex habent emolumentum: sic et in vitio vivens et deliciis fruens duplicem habebit pœnam. Rursum dico, non fugientes accusans (*Animam* enim *humiliatam ne perturbes*, inquit [*Eccli.* 4. 3]), non increpare volens (ægrotans enim consolationis indiget), sed corrigere studens: ne fuga salutem nostram petamus; sed fugiamus peccata, et a via mala recedamus. Si hæc fugerimus, etiamsi inter innumeros fuerimus milites, nemo nos lædere poterit; si hæc non fugerimus, etsi ad ipsum montium verticem ascenderimus, hostes et illic reperiemus innumerabiles. Recorderis igitur iterum illorum trium puerorum, qui erant intra fornacem, et nihil grave patiebantur: et eorum qui ipsos

καὶ τῶν ἐμβαλόντων αὐτοὺς, οἳ ἔξωθεν τῆς καμίνου περιεκάθηντο, [καὶ] πάντες ἐδαπανήθησαν. [Τί τούτου παραδοξότερον; Οὓς κατεῖχεν ἔλυσε τὸ πῦρ, καὶ οὓς οὐ κατεῖχεν ἥρπασεν· ἵνα μάθῃς ὅτι οὐχὶ τόπος, ἀλλὰ τρόπος σωτηρίαν φέρει καὶ κόλασιν, οἱ ἔνδον διέφυγον, οἱ ἔξω διεφθάρησαν.] Τὰ αὐτὰ σώματα καὶ τούτοις κἀκείνοις, ἀλλ' οὐ τὰ αὐτὰ φρονήματα· διὰ τοῦτο οὐδὲ τὰ αὐτὰ πάθη. Καὶ γὰρ ὁ χόρτος κἂν ἔξω περιέχηται, ταχέως ἀνάπτεται· ὥσπερ οὖν τὸ χρυσίον κἂν ἔνδον μένῃ μειζόνως φαιδρύνεται. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, Πάντα λαβέτω ὁ βασιλεὺς, καὶ τὸ σῶμα ἡμῖν ἐλεύθερον δότω; Τί ποτέ ἐστι, σῶμα ἐλεύθερον εἶναι, μαθέτωσαν. Οὐ γὰρ τὸ μὴ κολάζεσθαι τοῦτο ἐλεύθερον ποιεῖ σῶμα, ἀλλὰ τὸ ζῆν ἐν δικαιοσύνῃ διηνεκῶς. Τούτων γοῦν τῶν παίδων τὰ σώματα ἐλεύθερα ἦν καὶ καμίνῳ παραδοθέντα· τὴν γὰρ τῆς ἁμαρτίας δουλείαν ἀπέθεντο πάλαι· καὶ γὰρ τοῦτό ἐστιν ἐλευθερία μόνον, οὐ τὸ μὴ κολάζεσθαι μηδὲ πάσχειν τι τῶν δεινῶν. Σὺ δὲ εἰδὼς τὴν κάμινον, ἀναμνήσθητι τῶν ποταμῶν τοῦ πυρὸς τῶν κατὰ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην. Καθάπερ γὰρ ἐνταῦθα τοὺς μὲν ἥρπασε, τοὺς δὲ ἠδέσθη τὸ πῦρ, οὕτω καὶ ἐπὶ τῶν ποταμῶν ἐκείνων ἔσται· κἂν μέν τις ἔχῃ χόρτον, ξύλα, καλάμην, ἀνάπτει τὸ πῦρ· ἂν δέ τις ἔχῃ χρυσὸν, ἄργυρον, φαιδρότερος γίνεται. Ταύτην τοίνυν τὴν ὕλην συναγάγωμεν, καὶ τὰ παρόντα φέρωμεν γενναίως, εἰδότες ὅτι καὶ ἐκείνης ἡμᾶς τῆς κολάσεως ἡ παροῦσα ἀπαλλάξει θλῖψις, ἐὰν εἰδῶμεν φιλοσοφεῖν, καὶ ἐνταῦθα βελτίους ἐργάσεται, οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐμβαλόντας ἡμᾶς πολλάκις, ἐὰν νήφωμεν· τοσαύτη τῆς φιλοσοφίας ἡ περιουσία· ὃ δὴ καὶ ἐπὶ τοῦ τυράννου τότε γέγονεν. Ἐπειδὴ γὰρ εἶδε μηδὲν παθόντας δεινὸν, ἄκουσον πῶς μετεβάλετο· « Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου ἐξέλθετε, φησὶ, καὶ δεῦτε. » [Οὐ πρὸ βραχέος ἔλεγες, « Καὶ τίς ἐστι θεὸς, ὃς δυνήσεται ἐξελέσθαι ὑμᾶς ἐκ τῶν χειρῶν μου »; Τί γέγονε; πόθεν ἡ μεταβολή; τοὺς ἔξω διαφθαρέντας εἶδες, καὶ τοὺς ἔνδον καλεῖς; πόθεν ἐπῆλθέ σοι τοιαῦτα φιλοσοφεῖν;] Εἶδες πόση μεταβολὴ τῷ βασιλεῖ γέγονεν; ὅτε οὔπω αὐτῶν ἐκράτησεν, ἐβλασφήμει· ἐπειδὴ δὲ αὐτοὺς ἐνέβαλεν εἰς τὸ πῦρ, ἐφιλοσόφει. Διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησε πάντα γενέσθαι, ὅσα ὁ τύραννος ἠθέλησεν, ἵνα δείξῃ ὅτι τοὺς ὑπ' αὐτοῦ φυλαττομένους οὐδεὶς παραβλάψαι δυνήσεται· καὶ ὅπερ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα εἰργάσατο. Καὶ γὰρ ἐκεῖ ἀφῆκε τὸν διάβολον πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι, καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα καὶ οὐδεὶς ἐπιβουλῆς ὑπελείφθη τρόπος, τότε ἀνεβίβασεν ἐκ τοῦ σκάμματος τὸν ἀθλητὴν, ἵνα λαμπρὰ καὶ ἀναμφισβήτητος ἡ νίκη γένηται· καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο ἐποίησεν. Ἐβουλήθη τὴν πόλιν αὐτῶν κατασκάψαι, καὶ οὐκ ἐκώλυσεν· ἐβουλήθη λαβεῖν αἰχμαλώτους, καὶ οὐκ ἐνεπόδισεν· ἐβουλήθη δῆσαι, συνεχώρησεν· εἰς τὴν κάμινον ἐμβαλεῖν, ἐπέτρεψεν· ἀνάψαι τὴν φλόγα πέρα τοῦ μέτρου, καὶ

injecerant et extra fornacem manebant, quotquot circumstabant, omnes consumti sunt. [Quid hoc mirabilius? Quos continebat ignis, exsolvit; quos non continebat, rapuit: ut discas non locum, sed morum qualitatem salutem et pœnam afferre, interiores effugerunt, exteriores absumti sunt.] Eadem corpora et his quæ illis, sed non iidem sensus: propterea nec eædem passiones. Fœnum enim etsi circumjacet extra, celeriter accenditur: sicut contra aurum licet intus maneat, magis splendescit. Ubi nunc sunt qui dicunt, Capiat omnia Imperator, et corpus nostrum det liberum? Quid tandem sit, esse corpore liberum, discant. Non enim immunitas a supplicio corpus facit liberum, sed in justitia continue vivere. Horum igitur puerorum corpora libera erant, etiam fornaci tradita: peccati enim servitutem jam pridem deposuerant. Etenim hæc sola est libertas, non supplicium effugere, nec grave nihil pati. Tu vero fornacem audiens, recordare fluviorum ignis in die illo tremendo. Sicut enim hic hos quidem rapuit ignis, illos autem reveritus est: sic et in illis erit fluviis, et si quis habeat ligna, fœnum et stipulam, is ignem accendit: si vero quis habet aurum et argentum, fit splendidior. Hanc igitur materiam congregemus, et præsentia generose feramus, scientes quod ab illa pœna præsens nos tribulatio liberabit, si philosophari sciamus, et hic meliores efficiet, nec nos tantum, sed et eos sæpe, qui nos cruciant, si vigilemus: tanta vis est hujus philosophiæ: quod et in tyranno tunc factum est. Postquam enim vidit nihil grave passos, audi quomodo mutatus est: *Servi Dei altissimi, exite*, inquit (*Dan.* 3. 93), *et venite huc.* [Annon paulo ante dicebas (v. 15), *Et quis est deus qui vos ex manibus meis eripere possit?* Quid factum est? unde ea mutatio? exterius positos absumtos vidisti, et interius stantes vocas? unde tibi evenit talia philosophari?] Vidisti quanta regi mutatio facta est? quando nondum ipsos tenuerat, blasphemabat; postquam vero in ignem ipsos conjecit, philosophabatur. Propterea et Deus permisit omnia fieri, quæcumque tyrannus voluit, ut demonstraret a se custoditos offendere posse neminem: et quod in Job fecit, hoc et hic operatus est. Etenim illic permisit diabolum omnem suam potentiam ostendere; et postquam hic omnes exhausit sagittas, et nullus insidiarum modus reliquus factus est, tunc e stadio pugilem eduxit, ut clara et indubitata fieret victoria; et hic hoc ipsum fecit. Voluit ipsorum urbem evertere, et non prohibuit: voluit captivos ducere, et non impedivit: voluit ligare, concessit: in fornacem injicere, permisit: flammam ultra modum succendere, et hoc permisit: et quando nihil reliquum fuerat,

τοῦτο ἀφῆκε· καὶ ὅτε οὐδὲν ὑπελέλειπτο λοιπὸν, ἀλλὰ πᾶσαν ἐκένωσεν αὐτοῦ τὴν ἰσχὺν ὁ τύραννος, τότε ἔδειξε τὴν αὐτοῦ δύναμιν ὁ Θεὸς καὶ τὴν τῶν παίδων ὑπομονήν· διὰ γὰρ τοῦτο συγχωρεῖ μέχρι τέλους τὰς θλίψεις, ἵνα δείξῃ τοῖς ἐπιβουλεύουσι καὶ τὴν τῶν ἐπιβουλευομένων φιλοσοφίαν καὶ τὴν αὐτοῦ πρόνοιαν. Ἅπερ ἀμφότερα κἀκεῖνος τότε μαθὼν ἐβόα, « Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε ». [Σὺ δέ μοι σκόπει [τὴν] τῶν παίδων μεγαλοψυχίαν· οὔτε γὰρ πρὸ τῆς φωνῆς ἐξεπήδησαν, ἵνα μὴ νομίσῃ τις αὐτοὺς φοβεῖσθαι τὸ πῦρ, οὔτε κληθέντες ἔνδον ἔμειναν, ἵνα μὴ φιλότιμοί τινες εἶναι καὶ φιλόνεικοι δόξωσιν. Ὅτε ἔμαθες, φασὶ, τίνος ἐσμὲν δοῦλοι, ὅτε τὸν Δεσπότην ἡμῶν ἐπέγνως, τότε ἐξερχόμεθα, κήρυκες ἐσόμενοι τοῖς παροῦσιν ἅπασι τῆς τοῦ Θεοῦ δυνάμεως. Μᾶλλον δὲ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὁ πολέμιος οἰκείᾳ φωνῇ καὶ διὰ γλώττης καὶ δι' ἐπιστολῆς πᾶσιν ἀνεκήρυττε καὶ τὴν τῶν ἀθλητῶν ἔνστασιν, καὶ τοῦ ἀγωνοθέτου τὴν ἰσχύν.] Καὶ καθάπερ οἱ κήρυκες τοὺς ἀθλητὰς νικῶντας ἀναγορεύοντες ἐν μέσῳ τῷ θεάτρῳ καὶ τὰς πόλεις αὐτῶν λέγουσιν, Ὁ δεῖνα τῆσδε τῆς πόλεως· οὕτω καὶ οὗτος ἀντὶ τῆς πόλεως τὸν Δεσπότην αὐτῶν ἀνεκήρυξε· [« Σεδράχ, Μισάχ καὶ Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. » Τί γέγονεν, ὅτι δούλους αὐτοὺς καλεῖς τοῦ Θεοῦ; οὐχὶ σοὶ ἦσαν δοῦλοι; Ἀλλὰ κατέλυσάν μου τὴν βασιλείαν, φησὶ, κατεπάτησάν μου τὸν τῦφον, ἔδειξαν διὰ τῶν ἔργων τὸν ἀληθῆ Δεσπότην αὐτῶν. Εἰ ἀνθρώπων ἦσαν δοῦλοι, οὐκ ἂν αὐτοὺς ἐφοβήθη τὸ πῦρ, οὐκ ἂν παρεχώρησεν ἡ φλόξ· ἀνθρώπων γὰρ δούλους ἡ κτίσις οὐκ οἶδεν αἰδεῖσθαι καὶ τιμᾷν. Διὰ τοῦτο πάλιν φησὶν, « Εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ. » Σὺ δέ μοι σκόπει πῶς πρῶτον ἀνακηρύττει τὸν ἀγωνοθέτην· « Εὐλογητὸς ὁ Θεὸς ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλατο τοὺς παῖδας αὐτοῦ. » Τοῦτο τῆς δυνάμεως τοῦ Θεοῦ· εἶπε καὶ τὴν ἀρετὴν τῶν ἀθλητῶν· « Ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ, καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν, ὅπως μὴ λατρεύσωσι θεοῖς ἑτέροις. » Ἀρά τι γένοιτ' ἂν ἀρετῆς ἴσον; Πρὸ τούτου, ὅτε εἶπον, « Τοῖς θεοῖς σου οὐ λατρεύομεν », τῆς καμίνου χαλεπώτερον ἐξεκάη· νῦν ἐπειδὴ διὰ τῶν ἔργων αὐτὸν τοῦτο ἐπαίδευσαν, οὐ μόνον οὐκ ἠγανάκτησεν, ἀλλὰ καὶ ἐπῄνεσε καὶ ἐθαύμασεν, ὅτι αὐτοῦ παρήκουσαν. Τοσοῦτον ἀρετὴ καλὸν, ὅτι καὶ αὐτοὺς τοὺς πολεμοῦντας ἔχει θαυμαστὰς καὶ ἐπαινέτας. Ἐκεῖνοι ἠγωνίσαντο καὶ ἐνίκησαν, καὶ ὁ ἡττηθεὶς ηὐχαρίστει ὅτι οὐκ ἐφόβησεν αὐτοὺς ἡ τῆς φλογὸς ὄψις, ἀλλὰ παρεκάλεσεν ἡ εἰς τὸν Δεσπότην ἐλπὶς, καὶ τὸν τῆς οἰκουμένης Δεσπότην ἀπὸ τῶν τριῶν παίδων καλεῖ, οὐχὶ περικλείων αὐτοῦ τὴν δεσποτείαν, ἀλλ' ἐπειδὴ τῆς οἰκουμένης ἀντάξιοι ἦσαν οἱ παῖδες οἱ τρεῖς, διὰ τοῦτο καὶ ἐπαινεῖ τοὺς καταφρονήσαντας αὐτοῦ, καὶ τυράννους τοσούτους καὶ βασιλεῖς καὶ ὑπάρχους παραδραμὼν τοὺς πεισθέν-

sed omnem vim suam tyrannus exhauserat, tunc suam Deus virtutem demonstravit et puerorum patientiam. Idcirco enim Deus usque in finem tribulationes permittit, ut insidiantibus et circumventorum philosophiam et suam demonstret providentiam. Quæ utraque et ille tunc discens clamabat, *Servi Dei altissimi, exite, et venite huc.* [Tu vero mihi considera puerorum magnanimitatem: neque enim ante vocem exsilierunt, ne quis putaret ipsos ignem timere: neque vocati intus manserunt, ne ambitiosi esse et contentiosi viderentur. Postquam didicisti, inquiunt, cujus sumus servi, postquam Dominum nostrum agnovisti, tunc eximus, præsentibus omnibus futuri divinæ potentiæ præcones. Imo vero non ipsi tantum, sed et hostis propria voce et lingua et per literas omnibus tum pugilum constantiam, tum agonothetæ virtutem prædicabat.] Et sicut præcones athletas victores in medio theatro pronuntiantes, ipsorum quoque civitates dicunt, Ille de tali civitate: ita et hic, civitatis loco, ipsorum Dominum prædicavit: [*Sedrach, Misach, et Abdenago, servi Dei altissimi, exite, et venite huc.* Quid actum est, quod ipsos Dei servos vocas? nonne tui erant servi? Sed regnum, inquit, meum dissolverunt, superbiam meam conculcaverunt, per opera verum demonstravere Dominum suum. Si hominum fuissent servi, non ipsos expavisset ignis, non cessisset flamma: hominum enim servos creatura revereri et honorare non novit. Propterea rursus inquit (*Dan.* 3. 95): *Benedictus Deus Sedrach, Misach, et Abdenago.* Tu autem mihi contempiare quomodo primum remuneratorem prædicat: *Benedictus Deus qui misit angelum suum, et eruit pueros suos.* Hoc potentiæ Dei: dic et athletarum virtutem: *Quoniam confiderunt in eo, et verbum regis immutaverunt, et tradiderunt corpora sua, ne servirent diis alienis.* Numquid virtuti par esse posset? Antea quando dixerunt (ib. v. 18); *Diis tuis non servimus*, fornace sævius accensus est: postquam vero per ipsa opera regem hoc docuerunt, non tantum non indignatus est, sed laudavit et admiratus est, quod sibi non obedissent. Tantum virtus bonum, ut et ipsos hostes habeat admiratores et laudatores. Illi pugnaverunt et superaverunt, et ipse victus gratias agebat, quod non ipsos terruisset flammæ aspectus, sed spes in Dominum consolata esset, et Dominum orbis terrarum ex tribus pueris vocat, non ipsius imperium fine ullo concludens, sed quod instar orbis terrarum pueri tres essent: propterea tot tyrannos, reges et principes prætermittens qui sibi paruerant, tres captivos et servos, qui tyrannidem

τας αὐτῷ, τρεῖς αἰχμαλώτους καὶ δούλους τοὺς καταγελάσαντας αὐτοῦ τῆς τυραννίδος ἐθαύμασεν. Οὐ γὰρ φιλονεικοῦντες, ἀλλὰ φιλοσοφοῦντες ταῦτα ἔπραττον· οὐδὲ δι' ἀπόνοιαν, ἀλλὰ δι' εὐσέβειαν· οὐκ ἀλαζονείᾳ φυσηθέντες, ἀλλὰ ζήλῳ πυρωθέντες. Καὶ γὰρ μέγα ἀγαθὸν ἐλπὶς εἰς Θεόν· ὅπερ οὖν καὶ ὁ βάρβαρος ἔγνω, καὶ δηλῶν ὅτι ἐντεῦθεν διέφυγον τὸν ἐπικείμενον κίνδυνον, ἀνεβόησεν, « Ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ. »]

Ταῦτα δὲ λέγω νῦν, [καὶ τὰς ἱστορίας ἐκλέγω πάσας, ἐν αἷς πειρασμοὶ καὶ θλίψεις καὶ βασιλέων ὀργαὶ καὶ ἐπιβουλαί], ἵνα μηδὲν φοβώμεθα, ἀλλ' ἢ τὸ προσκροῦσαι Θεῷ μόνον. Καὶ γὰρ καὶ τότε κάμινος ἐκαίετο, ἐκεῖνοι δὲ ταύτης μὲν κατεγέλασαν, τὴν δὲ ἁμαρτίαν ἔδεισαν· ἤδεισαν γὰρ ὅτι καέντες μὲν οὐδὲν πείσονται δεινόν, ἀσεβήσαντες δὲ τὰ ἔσχατα ὑποστήσονται. Ἡ γὰρ μεγάλη κόλασις τὸ ἁμαρτεῖν, κἂν μὴ κολαζώμεθα· ὥσπερ οὖν ἡ μεγίστη τιμὴ καὶ ἄνεσις τὸ μετὰ ἀρετῆς ζῆν, κἂν κολαζώμεθα· αἱ μὲν γὰρ ἁμαρτίαι διιστῶσιν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καθὼς καὶ αὐτός φησιν, « Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ »; αἱ κολάσεις δὲ συνάγουσιν ἡμᾶς πρὸς τὸν Θεόν· « Δὸς γάρ, φησίν, ἡμῖν εἰρήνην, πάντα γὰρ ἀπέδωκας ἡμῖν. » Ἂν τραῦμά τις ἔχῃ, τί δεδοικέναι ἄξιον; τὴν σηπεδόνα, ἢ τὴν τομὴν τοῦ ἰατροῦ; τὸ σιδήριον, ἢ τὴν νομὴν τοῦ ἕλκους; Ἡ ἁμαρτία σηπεδών ἐστιν, ἡ κόλασις σιδήριόν ἐστιν ἰατρικόν· ὥσπερ οὖν ὁ σηπεδόνα ἔχων, κἂν μὴ τέμνηται, ἀρρώστει, καὶ τότε μᾶλλόν ἐστιν ἐν κακοῖς, ὅταν μὴ τέμνηται· οὕτως ὁ ἁμαρτάνων, κἂν μὴ κολάζηται, πάντων ἐστὶν ἀθλιώτερος, καὶ τότε μάλιστα ἄθλιος, ὅταν μὴ κολάζηται, μηδὲ πάσχῃ μηδὲν δεινόν. Καὶ καθάπερ οἱ σπλῆνα καὶ ὕδερον ἔχοντες, ὅταν τραπέζης ἀπολαύσωσι δαψιλοῦς καὶ ψυχροποσίας καὶ πολυτελῶν ἐδεσμάτων καὶ καρυκευμάτων, τότε μάλιστα πάντων εἰσὶν ἐλεεινότεροι, τῇ τρυφῇ τὸ νόσημα αὔξοντες· ἂν δ' ἄγχωνται λιμῷ καὶ δίψει κατὰ τοὺς ἰατρικοὺς νόμους, ἐλπίδα τινὰ σωτηρίας ἔχουσιν· οὕτω καὶ οἱ ζῶντες ἐν πονηρίᾳ, ἂν μὲν κολάζωνται, χρηστὰς ἔχουσιν ἐλπίδας, ἂν δὲ μετὰ τῆς πονηρίας, ἀδείας καὶ τρυφῆς ἀπολαύσωσι, τῶν ἐν ὑδέρῳ γαστριζομένων σφόδρα ἐλεεινότεροι ἂν εἶεν, καὶ τοσούτῳ πλεῖον, ὅσῳ ψυχὴ σώματός ἐστι βελτίων. Ἂν τοίνυν ἴδῃς τινὰς ἐν τοιαύταις ὄντας ἁμαρτίαις, καὶ τοὺς μὲν λιμῷ παλαίοντας διηνεκεῖ καὶ μυρίοις κακοῖς, τοὺς δὲ μεθύοντας καὶ τρυφῶντας καὶ γαστριζομένους, τοὺς τὰ δεινὰ πάσχοντας μακάριζε μᾶλλον. Καὶ γὰρ τῆς ἁμαρτίας ἡ φλὸξ ταῖς συμφοραῖς ὑποτέμνεται ταύταις, καὶ πρὸς τὴν μέλλουσαν ψῆφον καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον οὐ μικρὰν λαβόντες ἀπέρχονται παραμυθίαν, τὰ πολλὰ τῶν ἁμαρτημάτων δι' ὧν ἔπαθον δεινῶν ἐνταῦθα διαλύσαντες.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἅλις· ὥρα δὲ λοιπὸν ἡμῖν διαβῆναι ἐπὶ τὴν παραίνεσιν τῆς τῶν ὅρκων φυ-

suam contemserant, admiratus est. Non enim contendentes, sed philosophantes haec agebant, neque per arrogantiam, sed per religionem; non superbia inflati, sed zelo igniti. Magnum etenim bonum est spes in Deum: quod quidem et barbarus animadvertit, et demonstrans eos inde imminens effugisse periculum, proclamavit, *Quoniam confiderunt in eo.*]

6. Haec autem nunc dico, [et omnes excerpo historias, in quibus tentationes et aerumnae, et regum irae et insidiae sunt,] ut nihil timeamus, nisi tantummodo Deum offendere. Etenim et tunc fornax accensa erat; illi vero hanc quidem contemserunt, peccatum autem timuerunt: noverant enim se natos quidem nihil grave passuros esse, impie vero agentes, extrema subituros. Magnum enim supplicium est peccare, etiam si non puniamur: sicut et maximus honor, maxima tranquillitas cum virtute vivere, etiamsi puniamur. Peccata enim nos a Deo separant, sicut et ipse dicit (*Isai* 59. 2), *Nonne peccata vestra separant inter vos et me?* poenae vero nos ad Deum perducunt: inquit enim (*Isai* 26. 12), *Da nobis pacem, omnia enim retribuisti nobis.* Si quis vulnus habeat, quid timere oportet? saniem, an medici sectionem? ferrum, an ulceris depastionem? Peccatum sanies est: poena ferrum medicinale. Sicut igitur qui saniem habet, etsi non secetur, male habet; et cum non secatur, tunc est in majoribus malis: ita qui peccat, etsi non puniatur, omnium est miserrimus; et tunc maxime miser cum non punitur et grave nihil patitur. Et sicut aplene et intercute laborantes, cum larga fruantur mensa, et frigida potione, et delicatis sapidisque ferculis, tunc praecipue omnium sunt miserrimi, deliciis morbum augentes: si vero siti et fame secundum medicorum leges crucientur, aliquam salutis spem habent: sic et in iniquitate viventes, si puniantur quidem, bonam spem habent; si vero cum iniquitate licentia et deliciis fruantur, hydrope laborantibus simul et crapulantibus sunt multo miseriores, et tanto magis, quanto corpore melior est anima. Si aliquos igitur in ejusmodi esse peccatis videris, et hos quidem fame continua et innumeris malis laborantes, hos vero ebriosos, luxuriantes et crapulantes, eos qui gravia patiuntur beatiores puta. Etenim peccati flamma his aerumnis interciditur, et ad futurum judicium et terribile tribunal illud non parum consolationis capientes migrant, quia multa peccata vitae hujus aerumnis expiarunt.

Sed consolationis satis: jam nobis deinceps tempus est ad fugiendorum monitionem juramentorum transeundi, et

γῆς, καὶ τὴν δοκοῦσαν εἶναι παραμυθίαν τοῖς ὀμνύουσιν ἀναιρεῖν τὴν ψυχρὰν καὶ ἀνόητον. Καὶ γὰρ ἐπειδὰν αὐτοῖς ἐγκαλῶμεν, ἑτέρους ἡμῖν προβάλλονται αὐτὸ τοῦτο ποιοῦντας, καὶ λέγουσιν, Ὁ δεῖνα καὶ ὁ δεῖνα ὀμνυσιν. Εἴπωμεν τοίνυν πρὸς αὐτούς, Ἀλλ' ὁ δεῖνα οὐκ ὀμνυσιν· ὁ δὲ Θεὸς ἀπὸ τῶν κατωρθωκότων σοι φέρει τὴν ψῆφον. Οἱ μὲν γὰρ ἁμαρτόντας τοὺς ἁμαρτάνοντας οὐκ ὠφελοῦσι τῇ κοινωνίᾳ τῶν παραπτωμάτων· οἱ δὲ κατορθοῦντες τοὺς ἁμαρτάνοντας καταδικάζουσι. Καὶ γὰρ οἱ μὴ θρέψαντες τὸν Χριστὸν μηδὲ ποτίσαντες ἦσαν πολλοί, ἀλλ' οὐδὲν ἀλλήλους ὠφέλησαν· ὥσπερ οὖν οὐδὲ αἱ παρθένοι αἱ πέντε οὐκ ἔσχον τινὰ συγγνώμην παρ' ἀλλήλων, ἀλλ' ὑπὸ τῶν κατωρθωκότων καὶ αὗται κἀκεῖνοι καταδικασθέντες ἐκολάζοντο. Ἀπαλλαγέντες τοίνυν ταύτης τῆς ψυχρᾶς ψυχαγωγίας, μὴ τοὺς πίπτοντας βλέπωμεν, ἀλλὰ τοὺς κατορθοῦντας, καὶ σπουδάσωμεν μνημόσυνον τῆς παρούσης νηστείας λαβόντες ἀπελθεῖν. Καὶ καθάπερ ἱμάτιον πολλάκις κτησάμενοι ἢ οἰκέτην ἢ σκεῦος τίμιον, ἀναμιμνησκόμεθα τῶν καιρῶν καὶ πρὸς ἀλλήλους λέγομεν· Τὸν οἰκέτην τὸν δεῖνα τῇδε ἐκτησάμην τῇ ἑορτῇ, τὸ ἱμάτιον τόδε τῇδε ἐκριάμην τῷ καιρῷ· οὕτω δὴ καὶ τὸν νόμον τοῦτον ἂν κατορθώσωμεν, ἐροῦμεν ὅτι Τὸν ὅρκον τῇδε κατώρθωσα τῇ τεσσαρακοστῇ· ἕως γὰρ τότε ὤμνυον, καὶ φιλῆς ἀκούσας παρκινέσεως ἀπεσχόμην τῆς ἁμαρτίας. Ἀλλὰ δυσκατόρθωτον ἡ συνήθεια. Οἶδα κἀγώ, καὶ διὰ τοῦτο ἐπείγομαι εἰς ἑτέραν ὑμᾶς συνήθειαν ἐμβαλεῖν χρηστὴν καὶ κέρδος ἔχουσαν. Ὅταν γὰρ εἴπῃς ὅτι Δυσκόλως ἀφίσταμαι τῆς συνηθείας, διὰ τοῦτο σπούδασον ἀποστῆναι, σαφῶς εἰδὼς ὅτι, ἂν ἑτέραν ποιήσῃς σαυτῷ συνήθειαν τὴν τοῦ μὴ ὀμνύναι, οὐδενὸς δεήσῃ πόνου λοιπόν. Τί δυσκολώτερον, μὴ ὀμνύναι, ἢ δι' ὅλης τῆς ἡμέρας ἄσιτον εἶναι, καὶ ὑδροποσίᾳ καὶ εὐτελεῖ ταριχεύεσθαι διαίτῃ; Εὔδηλον ὅτι τοῦτο ἐκείνου· ἀλλ' ὅμως οὕτως ἐστὶν ἡ συνήθεια δυνατὸν πρᾶγμα καὶ εὔκολον, ὥστε παραγενομένης τῆς νηστείας, κἂν μυρία τις παρακαλῇ, κἂν μυρία τις ἔγχῃ καὶ βιάζηται, ὥστε μετασχεῖν οἰνοποσίας ἢ ἑτέρου τινὸς τῶν μὴ νενομισμένων ἐν νηστείᾳ ἀπογεύσασθαι, πάντα ἂν ἕλοιτο παθεῖν τις ἢ τῆς κεκωλυμένης ἅψασθαι τροφῆς· καὶ ταῦτα οὐκ ἀηδῶς πρὸς τὴν τράπεζαν ἔχοντες, ὅμως διὰ τὴν ἀπὸ τοῦ συνειδότος συνήθειαν φέρομεν πάντα γενναίως ταλαιπωρούμενοι. Τοῦτο δὴ καὶ ἐπὶ τῶν ὅρκων ἔσται· καὶ καθάπερ νῦν, κἂν μυρίαν τις ἀνάγκην ἐπιθῇ, μένεις κατέχων τὴν συνήθειαν· οὕτω καὶ τότε, κἂν μυρία τις παρακαλῇ, οὐκ ἀποστήσῃ τῆς συνηθείας.

Ἀπιὼν τοίνυν (οἶκοι, διαλέγου ταῦτα τοῖς εἰς τὴν οἰκίαν ἅπασι· καὶ) καθάπερ πολλοὶ πολλάκις ἐκ λειμώνος ἀναχωροῦντες, ῥόδον ἢ ἴον ἤ τι τῶν τοιούτων ἀνθῶν λαβόντες καὶ τοῖς δακτύλοις περιστρέφοντες ἀναχωροῦσιν· ἕτεροι δὲ πάλιν ἐκ παραδείσων οἴκαδε ἀπιόντες, κλάδους ἐνδρων καρποὺς ἔχοντας ἐπικομίζονται· ἄλλοι πάλιν ἀπὸ δείπνων πολυτελῶν λείψανα τῆς τραπέζης

tollendi excusationem quæ jurantibus esse videtur, frigidam et inutilem. Etenim cum ipsos accusamus, alios nobis idem facientes objiciunt, et dicunt : Ille, et ille jurat. Dicamus igitur ipsis : Sed ille non jurat; Deus autem secundum eos qui recte egerunt, fert sententiam. Nam peccatores eos qui peccant communicatione delictorum non juvant; qui vero recte vivunt, peccatores condemnant. Etenim qui Christum non cibaverant, neque potaverant (*Matth.* 25. 35), multi erant; sed nihil sibi invicem profuerunt : sicut neque virgines quinque altera ab altera ullam invenerunt veniam, sed per eos qui recte se gesserunt, et hæ et illi condemnati et puniti sunt. Ab hac igitur frigida et fallente excusatione liberati, ne lapsos respiciamus, sed recte se gerentes, et studeamus præsentis jejunii monumentum referre. Et sicut sæpenumero vestimento nobis comparato, vel servo, vel vase pretioso, temporis reminiscimur, et mutuo dicimus, Servum illum tali solemnitate emi, vestimentum hoc tali comparavi tempore : ita legem quoque hanc si impleverimus, dicemus : Juramentum hac correxi Quadragesima; hactenus enim jurabam, et simplici admonitione audita, peccato abstinui. Sed res est correctu difficilis consuetudo. Novi et ego, et propterea studeo vos in aliam consuetudinem bonam et lucrum habentem inducere. Cum enim dixeris, Difficile a consuetudine desisto, propterea desistere labora, certo sciens quod, si tibi contrariam non jurandi consuetudinem indixeris, nullius laboris amplius indigebis. Quid difficilius, non jurare, an per totum diem inediam pati et aquæ potu et tenui victu siccari? Certum est hoc illo gravius esse; sed tamen consuetudo res est tam potens et molestiæ vacua, ut adveniente jejunio, etsi millies quis exhortetur, millies vim afferat et cogat vinum delibare vel aliud quid jejunii lege non concessum gustare, omnia quis mallet pati, quam prohibitum sumere nutrimentum : et hoc cum non illibenter erga mensam affecti simus, tamen propter consuetudinem ex conscientia omnia generose ferimus laborando. Hoc nimirum et in juramentis erit : et sicut nunc, si quis etiam maximam necessitatem imponat, permanes consuetudinem servans : sic et tunc, si quis etiam millies exhortetur, a consuetudine non abesistes.

7. Domum igitur profectus, omnibus hæc domesticis loquere : et sicut sæpe multi ex prato recedentes, rosam vel violam vel quempiam talium florum capiunt, et digitis versantes recedunt : alii vero ex viridariis domum abeuntes, arborum ramos fructus habentes reportant; alii rursum a lautis cœnis, mensæ reliquias necessariis suis refe-

τοῖς ἑαυτῶν ἐπιτηδείοις φέρουσιν· οὕτω δὴ καὶ σὺ ἐντεῦθεν ἀπιὼν, ἀπένεγκε παραίνεσιν τῇ γυναικὶ, τοῖς παιδίοις, τοῖς ἐπιτηδείοις ἅπασιν. Αὕτη γὰρ καὶ λειμῶνος καὶ παραδείσου καὶ τραπέζης ἐστὶ χρησιμωτέρα ἡ συμβουλή· ταῦτα οὐδέποτε τὰ ῥόδα μαραίνεται, οὗτοι οὐδέποτε καταῤῥέουσιν οἱ καρποὶ, ταῦτα οὐδέποτε τὰ ἐδέσματα σήπεται· ἀπ' ἐκείνων πρόσκαιρος ἡ τέρψις, ἀπὸ δὲ τούτων διηνεκὴς ἡ ὠφέλεια, οὐ μετὰ τὸ κατορθωθῆναι μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κατορθοῦσθαι. Ἐννόησον γὰρ οἷόν ἐστι πάντα τὰ ἄλλα ἀφέντας, τὰ δημόσια, τὰ ἰδιωτικὰ, περὶ τῶν θείων διαλέγεσθαι νόμων διαπαντὸς, καὶ ἐπὶ τραπέζης, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ταῖς ἄλλαις συνουσίαις. Ἂν ἐν τούτοις σχολάζωμεν, οὐδὲν ἐροῦμεν ἐπικίνδυνον οὐδὲ σφαλερὸν, οὐδ' ἄκοντες ἁμαρτησόμεθα· ἀλλὰ καὶ τῆς ἐπικαιμένης ἀθυμίας, ἐν τῇ περὶ τούτων διαλέξει σχολάζοντες, τὴν ψυχὴν ὑπεξαγαγεῖν δυνησόμεθα, ἀντὶ τῆς φροντίδος ἧς φροντίζομεν πρὸς ἀλλήλους ἀεὶ λέγοντες· Ἆρα ἤκουσεν ὁ βασιλεὺς τὰ γεγενημένα; ἆρα παρωξύνθη; τί δὲ ἐψηφίσατο; ἆρα παρεκάλεσέ τις αὐτόν; τί δὲ, αὐτὸς ἀνέξεται πόλιν οὕτω μεγάλην καὶ πολυάνθρωπον ἀφανίσαι τέλεον; Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πάντα ἐπὶ τὸν Θεὸν ῥίψαντες, τὰ παρ' αὐτοῦ προστεταγμένα μεριμνῶμεν μόνον· οὕτω γὰρ κἀκεῖνα διαλυσόμεθα πάντα, κἂν δέκα ἐν ἡμῖν κατορθώσωσι μόνον, ταχέως εἴκοσιν οἱ δέκα γενήσονται, οἱ εἴκοσι πεντήκοντα, οἱ πεντήκοντα ἑκατὸν, οἱ ἑκατὸν χίλιοι, οἱ χίλιοι πᾶσα ἡ πόλις. Καὶ καθάπερ δέκα ἀφθέντων λύχνων ῥᾳδίως τὴν οἰκίαν ἅπασαν ἐμπλῆσαι δυνήσεταί τις τοῦ φωτός· οὕτω δὴ καὶ ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν, ἂν δέκα κατορθώσωσι μόνοι, πυρὰν ὁλόκληρον εἰς τὴν πόλιν ἀνάψομεν φῶς ἔχουσαν καὶ ἀσφάλειαν ἡμῖν κομίζουσαν. Οὐ γὰρ οὕτω τῆς φλογὸς ἡ φύσις εἰς ὕλην ἐμπεσοῦσα τῶν ἐγγιζόντων ἀεὶ ξύλων ἅπτεται, ὡς ἀρετῆς ζῆλος εἰς ψυχὰς ὀλίγας ἐμπεσὼν, ὁδῷ προβαίνων πᾶσαν ἐμπλῆσαι τὴν πόλιν δυνήσεται. Δότε τοίνυν μοι καυχήσασθαι ἐφ' ὑμῖν καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν, ὅταν οἱ τὰ τάλαντα ἐμπιστευθέντες εἰσάγωνται· ἀρκῶν ἐμοὶ μισθὸς τῶν πόνων ἡ ὑμετέρα εὐδοκίμησις, κἂν ἴδω ὑμᾶς μετ' εὐλαβείας ζῶντας, τὸ πᾶν ἀπείληφα. Ποιήσατε τοίνυν ὃ καὶ χθὲς παρῄνεσα καὶ σήμερον ἐρῶ καὶ λέγων οὐ παύσομαι· καταδίκην κατὰ τῶν ὀμνυόντων ὁρίσαντες, καταδίκην κέρδος, οὐ ζημίαν ἔχουσαν, παρασκευάσασθε λοιπὸν ὡς δοκιμὴν ἡμῖν δώσοντες τοῦ κατορθώματος. Καὶ γὰρ πειράσομαι πρὸς ἕκαστον ὑμῶν μακρὸν ἀποτεῖναι λόγον τοῦ συλλόγου τούτου διαλυθέντος, ἵνα ἐν τῷ μήκει τῶν λεγομένων εὕρω τοὺς κατωρθωκότας καὶ τοὺς μὴ κατορθωκότας· κἂν ἴδω τινὰ ὀμνύοντα, ἅπασιν αὐτὸν τοῖς κατωρθωκόσι καταστήσω φανερὸν, ἵνα ἐπιτιμῶντες, ἐλέγχοντες, διορθοῦντες, ταχέως αὐτὸν τῆς πονηρᾶς ἀπαλλάξωσι συνηθείας. Καὶ γὰρ βέλτιον ἐνταῦθα ὀνειδισθέντα διορθώσασθαι, ἢ κατὰ τὴν ἡμέραν ἐκείνην

runt : sic utique et tu hinc recedens, admonitionem reporta uxori, filiis, necessariis omnibus. Hæc enim admonitio et prato et viridario et mensa utilior est : hæc numquam rosæ marcescunt, hi numquam desiuunt fructus, hæc numquam fercula corrumpuntur : ex illis quidem temporaria delectatio, ex his vero continua utilitas, non tantum postquam adimpleta fuerint, sed etiam dum adimplentur. Cogita enim quale sit, reliquis omnibus omissis, publicis, privatis, de divinis semper legibus disserere, et ad mensam, et in foro, et in ceteris conventiculis. Si his vacemus, nihil dicemus periculosum, nihil noxium, nec inviti peccabimus ; sed et imminente tristitia, sermocinationi de his vacantes, animam liberare poterimus, missa cura illa, qua solliciti mutuo sciscitabamur : Numquid gesta imperator audivit? an irritatus est? quid vero sententiæ pronuntiavit? numquid ipsum quispiam exoravit? numquid vero sustinebit ipse tam magnam et populosam funditus civitatem perdere? Hæc quidem et omnia talia in Deum conjicientes, ipsius tantum mandata curemus : sic enim et illa omnia dissolvemus, et, si vel decem tantum in nobis recte egerint, brevi illi decem fient viginti, viginti quinquaginta, quinquaginta centum, centum mille, mille tota civitas. Et sicut decem accensis lucernis omnem domum lumine facile quis implere poterit : sic et in officiis spiritualibus, si decem soli recte egerint, pyram per totam civitatem incendemus habentem lumen et securitatem nobis afferentem. Non enim sic flammæ natura in materiam delapsa vicina semper ligna incendit, sicut virtutis zelus in paucas lapsus animas, sensim procedendo omnem implere civitatem poterit. Date itaque mihi ut de vobis glorier, et in præsenti vita, et in futuro die, quo talenta habentes credita introducentur : sufficiens mihi laborum merces vestra claritas, et si vos cum pietate viventes videro, totum recepi. Facite igitur quod et heri admonui, et hodie dicam, nec dicens quiescam : contra jurantes mulctam definientes, mulctam lucrum, non damnum habentem, præparamini jam tamquam nobis profectus probationem daturi. Conabor etenim apud quemque vestrum longum protrahere sermonem dimissa hac concione, ut in verborum longitudine et emendatos cognoscam et non emendatos ; et si quem jurantem videro, omnibus emendatis ipsum declarabo, ut increpantes, arguentes, corrigentes, brevi ipsum a mala liberent consuetudine. Melius est etenim hic exprobratum corrigi, quam die illa palam,

κοινῇ τῆς οἰκουμένης ἁπάσης παρούσης ἀσχημονεῖν καὶ καλάζεσθαι, τῶν ἁμαρτημάτων ἡμῖν ὑπὸ τοῖς ἁπάντων ἐκκαλυπτομένων ὀφθαλμοῖς. Ἀλλὰ μὴ γένοιτο τοῦ καλοῦ τούτου συλλόγου φανῆναί τινα ταῦτα ἐκεῖ πάσχοντα, ἀλλ' εὐχαῖς τῶν ἁγίων πατέρων ἅπαντα τὰ ἁμαρτήματα διορθωσάμενοι, καὶ τὸν τῆς ἀρετῆς καρπὸν ἐπιδειξάμενοι, μετὰ πολλῆς ἐντεῦθεν ἀπέλθωμεν τῆς παῤῥησίας, χάριτι κτλ.

ΟΜΙΛΙΑ ζ'.

Ὅτι τὸ τῆς λύπης πάθος εἰς ἁμαρτίας ἀναίρεσιν μόνον χρήσιμον, καὶ εἰς τὸ « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, » καὶ ὅτι μεγίστης παρακλήσεως ὑπόθεσις ἡ τῆς δημιουργίας κατασκευή· ἐν ᾧ καὶ περὶ τοῦ « Ἀδάμ, ποῦ εἶ; » καὶ περὶ τοῦ μὴ ὀμνύειν.

Πολλὰ μὲν καὶ περὶ πολλῶν χθὲς πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, ἀπὸ δὲ τῶν πολλῶν τούτων εἰ μὴ πάντα κατέχειν ὑμῖν δυνατὸν, ἐκεῖνο μάλιστα πάντων ὑμᾶς διαμνημονεῦσαι δέομαι, ὅτι τὴν λύπην ἡμῖν ὁ Θεὸς δι' οὐδὲν ἕτερον ἐνέθηκεν, ἀλλ' ἢ δι' ἁμαρτίαν μόνην, καὶ τοῦτο ἐδήλωσε δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. Ἐπὶ μὲν γὰρ ζημίᾳ χρημάτων καὶ θανάτῳ καὶ ἀῤῥωστίᾳ καὶ τοῖς λοιποῖς τοῖς συμπίπτουσιν ἡμῖν δεινοῖς ἀλγοῦντες καὶ ἀθυμοῦντες, οὐ μόνον οὐδεμίαν ἀπὸ ταύτης καρπούμεθα παραμυθίαν, ἀλλὰ καὶ ἐπιτείνομεν τὰ δεινά· ἐπὶ δὲ τῶν ἁμαρτημάτων ἂν ἀλγήσωμεν καὶ λυπηθῶμεν, ὑποτεμνόμεθα τῆς ἁμαρτίας τὸν ὄγκον, καὶ μικρὰν τὴν μεγάλην ποιοῦμεν, πολλάκις δὲ καὶ τέλεον αὐτὴν ἐξαλείφομεν ἅπασαν. Τοῦτό μοι μέμνησθε διηνεκῶς, ἵνα ἐφ' ἁμαρτίᾳ μόνον ἀλγῆτε, ἐφ' ἑτέρῳ δὲ μηδενί· καὶ μετὰ τοῦτο κἀκεῖνο πάλιν, ὅτι θάνατον [καὶ λύπην] ἡ ἁμαρτία εἰς τὸν βίον ἡμῶν εἰσενεγκοῦσα, ὑπ' ἀμφοτέρων τούτων ἀναιρεῖται πάλιν, ὅπερ οὖν καὶ αὐτὸ σαφέστερον πρώην ἀπεδείξαμεν. Μηδὲν οὖν οὕτω φοβώμεθα ὡς τὸ ἁμαρτεῖν καὶ πλημμελεῖν· μὴ φοβώμεθα κόλασιν, καὶ διαφευξόμεθα κόλασιν· καθάπερ οὖν καὶ οἱ τρεῖς παῖδες οὐκ ἐφοβήθησαν τὴν κάμινον, καὶ διέφυγον τὴν κάμινον· τοιούτους εἶναι χρὴ τοὺς τοῦ Θεοῦ δούλους. Εἰ γὰρ οἱ ἐν τῇ Παλαιᾷ τραφέντες, ὅτε οὔπω ἐνενέκρωτο θάνατος, οὔτε αἱ χαλκαῖ πύλαι συνεκλάσθησαν, οὔτε οἱ μοχλοὶ οἱ σιδηροῖ συνεθλάσθησαν, οὕτω γενναίως κατετόλμησαν τῆς τελευτῆς, τίνα ἕξομεν ἀπολογίαν ἡμεῖς ἢ ποίαν συγγνώμην, τοσαύτης ἀπολαύσαντες χάριτος, καὶ μηδὲ πρὸς τὰ αὐτὰ φθάνοντες ἐκείνοις μέτρα τῆς ἀρετῆς νῦν, ὅτε ὄνομα μόνον ἐστὶν ὁ θάνατος πράγματος ἔρημον; Οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ θάνατος, ἀλλ' ἢ ὕπνος, καὶ ἀποδημία, καὶ μετάστασις, καὶ ἀνάπαυσις, καὶ λιμὴν εὔδιος, καὶ ταραχῆς ἀπαλλαγὴ, καὶ βιωτικῶν ἐλευθερία φροντίδων.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἐνταῦθα καταλύσωμεν τὸν λόγον· καὶ γὰρ πέμπτην ἡμέραν ἔχομεν παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην, καὶ λοιπὸν καὶ ἐνοχλεῖν δοκοῦμεν. Τοῖς μὲν γὰρ προσέχουσιν ἀρκεῖ καὶ τὰ

praesente toto mundo, confundi atque puniri, peccatis nostris sub omnium aspectu revelatis. Sed absit ut quisquam ex hac pulchra concione talia patiens illic appareat, verum sanctorum patrum precibus peccata corrigentes omnia, multumque virtutis fructum exhibentes, cum multa hinc fiducia migremus, gratia etc.

HOMILIA VII.

Quod tristitiæ affectus tantum ad peccati destructionem sit utilis : et super illud, *In principio fecit Deus cælum et terram* ; et quod maxima consolationis materia sit creationis apparatus : et super illud, *Adam, ubi es ?* et de non jurando.

1. Multa quidem et de multis heri apud vestram disserui caritatem : ex multis vero his si omnia vobis retinere haud est facile, illud omnium maxime vos meminisse rogo, quod tristitiam nobis Deus non ob aliud indiderit, nisi propter solum peccatum, et hoc per ipsam rerum experientiam manifestaverit. In pecuniarum enim jactura, et morte, et ægritudine, et aliis nobis ingruentibus molestiis dolentes et mœrentes, non tantum nullam ex ægrimonia consolationem capimus, verum et molestias augemus ; in peccatis vero si doleamus et contristemur, peccati magnitudinem minuimus, et quod erat magnum, reddimus parvum ; sæpe vero et funditus ipsum totum delemus. Hoc mihi assidue recordamini, ut ob peccatum tantum doleatis, nullam autem ob rem præterea : et post hoc illud quoque, quod mortem et tristitiam in vitam nostram peccatum inferens, ab his ambobus vicissim destruitur : quod quidem ipsum manifestius nuper demonstravimus. Nihil igitur sic timeamus, ut peccatum et prævaricationem. Ne timeamus pœnam, et pœnam effugiemus : sicut et tres illi pueri non timuerunt fornacem, et fornacem effugerunt : tales esse decet Dei servos. Si enim in veteri Testamento educati, quando nondum mors erat mortificata, nec æreæ portæ confractæ, nec vectes ferrei contriti, tam generosam contra mortem audaciam præ se tulere : quam nos habebimus excusationem, aut quam veniam, tantam nacti gratiam, et neque illis pares virtutis gradus nunc assequuti, cum mors nomen solum sit rei inane? Nihil enim aliud mors est, quam somnus, et migratio, et translatio, et requies, et tranquillus portus, et perturbationis liberatio, et a vitæ curis absolutio.

Sed hic consolationis sermonem solvamus : etenim quintam diem agimus vestram consolantes caritatem, et jam molesti videmur. Attentis enim dicta sufficiunt, pusilla-

εἰρημένα, τοῖς δὲ μικροψύχοις, κἂν πλείονα τῶν εἰρημένων προσθῶμεν, οὐδὲν ἔσται πλέον. Ὥρα δὲ λοιπὸν ἡμῖν ἐπὶ τὴν τῶν Γραφῶν ἐξήγησιν τρέψαι τὴν διδασκαλίαν. Ὥσπερ γὰρ εἰ μηδὲν περὶ τῆς συμφορᾶς ταύτης διελέχθημεν, ὠμότητα ἄν τις ἡμῶν κατέγνω καὶ ἀπανθρωπίαν· οὕτως ἂν διαπαντὸς περὶ αὐτῆς διαλεγώμεθα, μικροψυχίαν ἄν τις ἡμῶν καταγνοίη δικαίως. Παραθέμενοι τοίνυν ὑμῶν τὰς καρδίας τῷ Θεῷ τῷ δυναμένῳ λαλῆσαι εἰς τὴν διάνοιαν ὑμῶν καὶ πᾶσαν ἔνδοθεν ἀπελάσαι λύπην, τῆς εἰωθυίας αὐτοῖς διδασκαλίας ἁψώμεθα νῦν, καὶ μάλιστ' ὁπότε πᾶσα Γραφῆς ἐξήγησις παράκλησίς ἐστι καὶ παραμυθία. Ὥστε κἂν δοκῶμεν ἀφίστασθαι τοῦ παρακαλεῖν, πάλιν εἰς τὴν αὐτὴν ἐμπίπτομεν ὑπόθεσιν διὰ τῆς τῶν Γραφῶν ἐξηγήσεως· ὅτι γὰρ πᾶσα Γραφὴ παράκλησίς ἐστι τοῖς προσέχουσιν, αὐτόθεν ὑμῖν τοῦτο ποιήσω φανερόν. Οὐ γὰρ δὴ περιελθὼν τῶν Γραφῶν τὰς ἱστορίας πειράσομαι ζητῆσαι παραμυθητικούς τινας λόγους· ἀλλ' ὥστε σαφεστέραν τῆς ὑποσχέσεως ἀπόδειξιν παρασχεῖν, τὸ σήμερον [ἡμῖν] ἀναγνωσθὲν μεταχειριούμεθα βιβλίον, καὶ εἰ δοκεῖ τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ προοίμιον, ὃ δοκεῖ μάλιστα μηδὲ ἴχνος ἐμφαίνειν παραμυθίας, ἀλλὰ καθόλου παρακλητικῶν ἠλλοτριῶσθαι λόγων, εἰς μέσον προθεὶς, ὃ λέγω ποιήσω φανερόν. Τί ποτ' οὖν ἐστι τὸ προοίμιον; « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. » Ἆρα μὴ δοκεῖ τισιν ὑμῶν παράκλησιν ἔχειν ἀθυμίας τὰ εἰρημένα; οὐχ ἱστορίας διήγησίς ἐστι καὶ δημιουργίας διδασκαλία; Βούλεσθε οὖν δείξω τὴν ἐγκεκρυμμένην τῇ ῥήσει ταύτῃ παράκλησιν; Διανάστητε τοίνυν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς ῥηθήσεσθαι μέλλουσιν. Ὅταν γὰρ ἀκούσῃς ὅτι τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ ὕδατα, τοὺς ἀστέρας τοὺς πολλοὺς, τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὰ φυτὰ, τὰ τετράποδα, τὰ νηκτὰ, τὰ πετόμενα ζῶα, πάντα ἁπλῶς τὰ ὁρώμενα διὰ σὲ καὶ τὴν σὴν ἐποίησε σωτηρίαν τε καὶ τιμὴν ὁ Θεὸς, οὐχ ἱκανὴν εὐθέως λαμβάνεις παράκλησιν, καὶ τῆς ἀγάπης τοῦ Θεοῦ μείζονα δέχῃ ταύτην ἀπόδειξιν, ὅταν ἐννοήσῃς ὅτι τοσοῦτον καὶ τηλικοῦτον κόσμον, οὕτω καλὸν καὶ μέγαν καὶ θαυμαστὸν, διὰ σὲ τὸν βραχὺν εἰς μέσον παρήγαγεν; Ὅταν οὖν ἀκούσῃς ὅτι « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν », μὴ ἁπλῶς παραδράμῃς τὸ εἰρημένον, ἀλλ' ἐπελθὲ τῇ διανοίᾳ τὸ εὖρος τῆς γῆς, καὶ ἀναλόγισαι πῶς ἡμῖν πολυτελῆ καὶ δαψιλῆ τράπεζαν ἀνῆκε, καὶ πολλὴν πολλαχόθεν παρέσχεν ἡμῖν εὐφροσύνην· καὶ τὸ δὴ μέγιστον, ὅτι οὐ πόνων ἀμοιβὴν ἔδωκεν οὐδὲ κατορθωμάτων ἀντίδοσιν τὸν τοσοῦτον καὶ τηλικοῦτον κόσμον, ἀλλ' ὁμοῦ τε ἡμᾶς ἔπλασε, καὶ τῇ βασιλείᾳ ταύτῃ τὸ γένος ἡμῶν ἐτίμησε. « Ποιήσωμεν γὰρ ἄνθρωπον, φησὶ, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. » Τί ἐστι Κατ' εἰκόνα ἡμετέραν; Τῆς ἀρχῆς εἰκόνα φησὶ, καὶ ὥσπερ οὐδεὶς ἀνώτερος Θεοῦ ἐν

nimis autem, etiamsi dictis plura addamus, nihil proferit. Tempus vero nobis jam ad Scripturarum expositionem convertere doctrinam : quemadmodum enim si nihil de hac ærumna loquuti essemus, crudelitatis et inhumanitatis nos aliquis condemnasset : sic si semper de ipsa disseramus, pusillanimitatis jure nos condemnaret. Corda igitur vestra Deo commendantes, qui in mente vestra loqui potest et omnem ex pectore tristitiam expellere, consuetam ipsi doctrinam nunc attingamus, maxime quando omnis Scripturæ expositio exhortatio est et consolatio. Itaque etsi a consolando absistere videmur, rursum per Scripturarum expositionem in eamdem materiam incidimus. Quod enim mentem adhibentibus tota Scriptura consolatio sit, jam nunc vobis palam faciam. Non enim Scripturarum historias percensens quosdam consolatorios sermones quærere conabor; sed ut aperliorem promissionis demonstrationem præbeam, hodie lectum tractabo librum : et si libet, ipsius principium et proœmium, quod maxime videtur neque vestigium consolationis demonstrare, sed penitus a consolatoriis verbis alienum esse, in medium proponens, quod dico manifestum faciam. Quod tandem est hoc proœmium? *In principio fecit Deus cælum et terram : terra autem erat invisibilis et incomposita, et tenebræ erant super faciem abyssi.* Numquid hæc aliquibus e vobis videntur tristitiæ consolationem habere? nonne historiæ narratio est, et de creatione doctrina? 2. Vultis igitur monstrem consolationem in hac dictione absconditam? Exsurgite igitur, et cum diligentia advertite quæ dicentur. Cum enim audieris quod cælum, terram, mare, aerem, aquas, stellas multas, duo luminaria magna, plantas, quadrupedes, natatilia et volatilia animalia, omniaque generaliter quæ cernuntur, propter te tuamque salutem et honorem Deus creaverit, nonne magnam capis consolationem, et maximam dilectionis Dei demonstrationem hanc suscipis, cum cogitaveris quod tantum et talem mundum, tam pulchrum et magnum et admirabilem, propter te pusillum in medium protulerit? Cum igitur audieris, *In principio fecit Deus cælum et terram*, ne simpliciter dictum prætercurras, sed terræ magnitudinem mente percurre, et repota quam lautam nobis et opimam produxit mensam, et multam pacem nobis delectationem præbuit : et quod quidem est maximum, in nullorum laborum retributionem dedit, nec in meritorum præmium tantum et talem mundum; sed pariter nos finxit, et hoc regno genus nostrum honoravit : inquit enim, *Faciamus hominem ad imaginem et similitudinem nostram*. Quid est, *Ad imaginem nostram?* Principatus imaginem dicit, ut sicut nullus in cælo est Deo superior, sic in terra nullus sit homine superior. Una

οὐρανῷ, οὕτω μηδεὶς ἔστω ἀνώτερος ἀνθρώπου ἐπὶ τῆς γῆς. Ἑνὶ μὲν οὖν τούτῳ καὶ πρώτῳ τετίμηκε, τῷ κατ' εἰκόνα αὐτοῦ ποιῆσαι· δευτέρῳ δὲ τῷ μὴ πόνων ἀμοιβὴν ἡμῖν παρασχεῖν τὴν ἀρχήν, ἀλλὰ γυμνὴν τῆς αὐτοῦ φιλανθρωπίας ποιῆσαι τὴν χάριν· τρίτῳ τῷ φυσικὴν ἡμῖν αὐτὴν χαρίσασθαι. Τῶν γὰρ ἀρχῶν αἱ μέν εἰσι φυσικαὶ, αἱ δὲ χειροτονηταί· καὶ φυσικαὶ μὲν, ὡς ἡ τοῦ λέοντος ἐπὶ τῶν τετραπόδων, ὡς ἐπὶ τῶν ὀρνίθων ἡ τοῦ ἀετοῦ· χειροτονηταὶ δὲ ὡς ἡ τοῦ βασιλέως τοῦ καθ' ἡμᾶς· οὗτος γὰρ οὐχὶ φύσει κρατεῖ τῶν ὁμοδούλων· διὸ καὶ ἀποβάλλει πολλάκις τὴν ἀρχήν. Τοιαῦτα γὰρ τὰ μὴ φύσει προσόντα· ῥᾳδίαν δέχεται τὴν ἀποβολὴν καὶ τὴν μετάπτωσιν· ὁ δὲ λέων οὐχ οὕτως, ἀλλὰ φύσει κρατεῖ τῶν τετραπόδων, ὥσπερ οὖν καὶ τῶν ὀρνίθων ὁ ἀετός. Ἀεὶ γοῦν τῷ γένει συγκεχλήρωται τὸ τῆς βασιλείας εἶδος, καὶ οὐδένα ἂν τις ἴδοι λέοντά ποτε τὴν ἀρχὴν ἀποβαλόντα ταύτην. Τοιαύτην καὶ ἡμῖν τὴν βασιλείαν ἐξ ἀρχῆς ὁ Θεὸς ἐχαρίσατο, καὶ πᾶσιν ἡμᾶς ἐπέστησε· καὶ οὐ τούτῳ μόνον ἐτίμησεν ἡμῶν τὴν φύσιν, ἀλλὰ καὶ αὐτῇ τοῦ χωρίου τῇ προεδρίᾳ, ἐξαίρετον οἰκητήριον ἀποτάξας ἡμῖν τὸν παράδεισον, καὶ λόγον δοὺς καὶ ψυχὴν ἀθάνατον χαρισάμενος.

Ἀλλὰ μὴ εἴπω ταῦτα· ἐγὼ γὰρ τοσαύτην περιουσίαν εἶναί φημι τῆς τοῦ Θεοῦ κηδεμονίας, ὡς μὴ μόνον ἀφ' ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ' ὧν ἐκόλασεν, ὁμοίως ἡμᾶς δύνασθαι τὴν ἀγαθότητα αὐτοῦ δεικνύναι καὶ τὴν φιλανθρωπίαν. Καὶ τοῦτο μάλιστα πάντων ὑμᾶς παρακαλῶ μετὰ ἀκριβείας εἰδέναι, ὅτι ὁ Θεὸς οὐχὶ τιμῶν μόνον οὐδὲ εὐεργετῶν, ἀλλὰ καὶ κολάζων καὶ τιμωρούμενος ὁμοίως ἐστὶν ἀγαθός· κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρετικοὺς ἀγῶνες ἡμῖν κινῶνται καὶ μάχαι περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, μὴ μόνον ἀφ' ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ' ὧν ἐτιμωρήσατο, ἐπιδείκνυμεν αὐτοῦ τὴν ἀγαθότητα. Εἰ γὰρ δὴ τιμῶν μόνον ἐστὶν ἀγαθὸς, κολάζων δὲ οὐκέτι, ἐξ ἡμισείας ἀγαθὸς ἂν εἴη· ἀλλ' οὐκ ἔστι τοῦτο· μὴ γένοιτο. Ἐπὶ ἀνθρώπων μὲν γὰρ εἰκὸς τοῦτο συμβαίνειν, ἐπειδὴ θυμῷ καὶ πάθει τὰς τιμωρίας ἐπάγουσιν· ὁ δὲ Θεὸς ἀπαθὴς ὤν, κἂν εὐεργετῇ, κἂν κολάζῃ, ὁμοίως ἐστὶν ἀγαθὸς, καὶ τῆς βασιλείας οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ δείκνυσιν αὐτοῦ τὴν ἀγαθότητα· καὶ πῶς, ἐγὼ λέγω. Εἰ μὴ γέενναν ἠπείλησεν, εἰ μὴ κόλασιν ἡτοίμασεν, οὐκ ἂν πολλοὶ τῆς βασιλείας ἐπέτυχον. Οὐ γὰρ οὕτως ἡ τῶν ἀγαθῶν ὑπόσχεσις πρὸς ἀρετὴν ἐκκαλεῖται τοὺς πολλοὺς, ὡς ἡ τῶν κακῶν ἀπειλὴ συνεσθεῖ τῷ φόβῳ καὶ διανίστησι πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν. Ὥστε εἰ καὶ ἐναντίον γέεννα τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ πρὸς ἓν ἑκάστη βλέπει τέλος, τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἐκείνη μὲν ἐπισπωμένη πρὸς ἑαυτὴν, αὕτη δὲ συνιοῦσα πρὸς ἐκείνην καὶ τῷ φόβῳ διορθουμένη τοὺς ἀμελέστερον διακειμένους.

Τοῦτον δὲ οὐχ ἁπλῶς μηχύνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλάκις λιμῶν καὶ αὐχμῶν γινομένων καὶ πο-

enim hoc et primo honoravit, quod ad imaginem suam nos fecerit: secundo, quod non laborum præmium nobis imperium præbuerit, sed meram exhibuerit benignitatis suæ gratiam: tertio autem, quod naturale nobis illud elargitus sit. Imperia enim aut naturalia sunt, aut electione fiunt; naturalia sunt, ut leonis in quadrupedes, et in aves aquilæ; electione fiunt, sicut nostri Imperatoris. Hic enim non natura conservis imperat; ideo sæpe imperium amittit. Talia enim sunt, quæ non natura adsunt, ut facile admittant amissionem aut mutationem. At non ita leo, sed naturâ quadrupedibus dominatur, sicut ilidem alitibus aquila. Semper enim cum genere conjuncta est regni species, nec ullum quis videat leonem umquam hunc amittentem principatum. Tale nobis imperium Deus a principio largitus est, et nos omnibus præposuit: nec hoc solo naturam nostram decoravit, sed et ipsa loci præstantia, egregium nobis habitaculum designans paradisum, et rationem dans, et animam largiens immortalem.

Sed non dicam hæc: ego enim tantam Dei dilectionis superabundantiam esse dico, ut non tantum ex iis quibus nos honoravit, sed ex ipsis quibus castigavit, similiter possimus demonstrare ipsius bonitatem et benignitatem. Et hoc maxime omnium vos cum diligentia considerare cohortor, Deum non tantum cum honorat et benefacit, sed et cum castigat et punit, similiter esse bonum: et sive contra gentiles, sive contra hæreticos nobis certamina moveantur et pugnæ de Dei benignitate, non tantum ex quibus nos honoravit, sed et ex quibus nos punivit, ipsius bonitatem demonstramus. Si enim honorans tantum bonus esset, puniens vero non esset, ex dimidio bonus esset; sed non ita est, absit! In hominibus quidem hoc evenire verisimile est, quoniam ex ira et ex affectu pœnas inferunt; Deus autem cum nullis sit affectibus obnoxius, sive benefaciat, sive puniat, similiter est bonus; nec regno promisso minas gehennæ comminatio ipsius bonitatem demonstrat: et quo pacto id fiat, ego dicam. Nisi gehennam minatus fuisset, nisi pœnam præparasset, non multi regnum assequi potuissent. Non enim ita bonorum promissio ad virtutem multos evocat, ut malorum intentatio timore compellit et ad animæ curam excitat. Itaque etsi cælorum regno gehenna contraria est, ad unum tamen ambo finem respiciunt, hominum salutem: illud quidem ad se alliciens, hæc autem ad illud compellens, et negligentiores timore sui corrigens.

3. Hunc autem non incassum sermonem protraho; sed quoniam sæpe fame et siccitatibus ingruentibus, et bellis,

λέμων, καὶ ὀργῆς βασιλικῆς ἐμπιπτούσης, καὶ ἑτέρων τινῶν τοιούτων ἀδοκήτων πραγμάτων, πολλοὶ τοὺς ἀφιλεστέρους ἀπατῶντες λέγουσιν, ὅτι οὐκ ἄξια ταῦτα τῆς τοῦ Θεοῦ προνοίας. Ἵν' οὖν μὴ παραλογιζώμεθα, ἀλλ' εἰδῶμεν ἀκριβῶς, ὅτι κἂν λιμὸν, κἂν πόλεμον, κἂν ἄλλ' ὁτιοῦν ἐπάγῃ δεινὸν, ἀπὸ φιλανθρωπίας τοῦτο ποιεῖ καὶ πολλῆς τῆς κηδεμονίας, ἠναγκάσθην ἐνδιατρῖψαι τούτῳ τῷ λόγῳ. Ἐπεὶ καὶ οἱ πατέρες οἱ πάντων μάλιστα τὰ ἔκγονα φιλοῦντες καὶ τραπέζης εἴργουσι, καὶ πληγὰς ἐπάγουσι, καὶ ἀτιμίᾳ κολάζουσι, καὶ ἑτέροις μυρίοις τοιούτοις ἀσελγαίνοντας διορθοῦνται τοὺς παῖδας· ἀλλ' ὅμως πατέρες εἰσὶν, οὐχὶ τιμῶντες μόνον, ἀλλὰ καὶ ταῦτα ποιοῦντες, καὶ τότε μάλιστα πατέρες, ὅταν ταῦτα ποιῶσιν. Εἰ δὲ ἄνθρωποι θυμῷ καὶ ὀργῇ πολλάκις τοῦ συμφέροντος ἐκφερόμενοι, οὐκ ὠμότητι καὶ ἀπανθρωπίᾳ, ἀλλὰ κηδεμονίᾳ καὶ φιλοστοργίᾳ νομίζονται κολάζειν οὓς φιλοῦσι, πολλῷ μᾶλλον περὶ τοῦ Θεοῦ οὕτω διακεῖσθαι χρὴ, τοῦ πᾶσαν πατρικὴν φιλοστοργίαν ὑπερβαίνοντος τῇ τῆς οἰκείας ἀγαθότητος ὑπερβολῇ.

Καὶ ἵνα μὴ νομίσῃς ὅτι στοχασμός ἐστι τὰ εἰρημένα, φέρε ἐπ' αὐτὴν τὴν Γραφὴν τὸν λόγον ἀγάγωμεν. Ἐπειδὴ γὰρ ἠπατήθη καὶ παρελογίσθη παρὰ τοῦ πονηροῦ δαίμονος ὁ ἄνθρωπος, ἴδωμεν πῶς ἁμαρτίαν αὐτῷ τοιαύτην ἁμαρτόντι τότε ἐχρήσατο ὁ Θεός. Ἆρα ἠφάνισεν αὐτὸν παντελῶς; καίτοι γε ὁ τοῦ δικαίου λόγος τοῦτο ἀπαιτεῖ, τὸν οὐδὲν μὲν ἀγαθὸν ἐπιδειξάμενον, τοσαύτης δὲ ἀπολαύσαντα τῆς εὐνοίας, εἶτα ἐκ προοιμίων ἀποσκιρτήσαντα, ἀρθῆναι ἐκ τοῦ μέσου καὶ ἀφανισθῆναι τέλεον. Ἀλλ' οὐκ ἐποίησε τοῦτο ὁ Θεὸς, οὐδὲ ἐβδελύξατο καὶ ἀπεστράφη τὸν οὕτως ἀγνώμονα περὶ τὸν εὐεργέτην γενόμενον, ἀλλ' ἔρχεται πρὸς αὐτὸν, καθάπερ πρὸς ἄῤῥωστον ἰατρός. Καὶ μὴ παραδράμῃς ἁπλῶς τὸ εἰρημένον, ἀγαπητὲ, ἀλλ' ἐννόησον ἡλίκον τὸ μήτε ἄγγελον πέμψαι μήτε ἀρχάγγελον, μήτε ἄλλον τινὰ τῶν συνδούλων τῶν ἐκείνου, ἀλλ' αὐτὸν τὸν Δεσπότην καταβῆναι πρὸς τὸν πεπτωκότα, καὶ κείμενον ἀναστῆσαι, καὶ μόνον πρὸς μόνον, καθάπερ φίλον πρὸς φίλον κακῶς πράττοντα καὶ ἐν πολλῇ κατάστάντα δυσημερίᾳ, παραγενέσθαι. Ὅτι γὰρ ἐκ πολλῆς τοῦτο κηδεμονίας ἐποίησε, καὶ αὐτὰ τὰ ῥήματα, ἃ πρὸς αὐτὸν εἶπε, δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλοστοργίαν. Καὶ τί λέγω τὰ ῥήματα ἅπαντα; ἡ πρώτη μὲν οὖν ῥῆσις εὐθέως αὐτοῦ τὸ φίλτρον ἐνέφηνεν. Οὐ γὰρ εἶπε, καθάπερ εἰκὸς ἦν ὑβρισμένον εἰπεῖν, Ὦ μιαρὲ καὶ παμμίαρε, τοιαύτης ἀπολαύσας εὐνοίας παρ' ἐμοῦ, τοσαύτῃ τιμηθεὶς βασιλείᾳ, καὶ τῶν ἐπὶ τῆς γῆς προτιμηθεὶς ἁπάντων ἀντ' οὐδενὸς κατορθώματος, καὶ διὰ τῶν ἔργων αὐτῶν ἐνίσχυρα λαβὼν τῆς ἐμῆς κηδεμονίας, καὶ τῆς προνοίας ἀπόδειξιν ἀληθῆ, πονηρὸν δαίμονα καὶ λυμεῶνα καὶ τῆς σῆς ἐχθρὸν σωτηρίας ἀξιοπιστότερον ἐποιήσω τοῦ Δεσπότου καὶ κηδεμόνος; τί σοι τοιοῦτον ἐκεῖνος ἔδειξεν οἷον ἐγώ; οὐχὶ τὸν οὐρανὸν ἐποίησα διὰ σέ; τὴν γῆν, τὴν θάλατταν, τὸν

et ira regia irruente, et aliis istiusmodi inexspectatis rebus, multi simpliciores decipiunt dicendo, non digna hæc esse Dei providentia. Ne igitur decipiamur, sed certo sciamus quod, sive famem, sive bellum, sive aliud quodcumque molestum inducat, ex benignitate et multa nostri cura hoc faciat, huic sermoni coactus sum immorari. Nam et patres omnium maxime filios amantes et mensa prohibent, et flagella infligunt, et afficiunt ignominia, et aliis infinitis talibus lascivientes pueros corrigunt: sed tamen patres sunt, non tantum dum honorant, sed et dum hæc faciunt, et tunc maxime patres, cum hæc faciunt. Si autem homines, qui furore et ira sæpe ab utili declinant, non crudelitate et inhumanitate, sed cura et caritate, quos amant, punire putantur: multo magis de Deo sic sentire oportet, qui bonitatis suæ cumulo omnem excedit paternam caritatem.

Ac ne credas hæc per conjecturam esse dicta, age ad ipsam Scripturam sermone revertamur. Postquam enim homo ab improbo dæmone deceptus et illectus est, videamus quomodo ipsum tale operatum crimen Deus tractaverit. Numquid ipsum omnino perdidit? et quidem justitiæ ratio hoc plane exigit, nihil quidem boni operatum, tantam vero benevolentiam assequutum, deinde ab ipsis primordiis lascivientem, de medio tolli et funditus deleri. Sed hoc non fecit Deus, nec abominatus est, nec eum aversatus, qui se tam ingratum in benefactorem exhibuit, sed ad ipsum venit, sicut ad ægrotum medicus. Et noli oscitanter dictum prætercurrere, carissime, sed cogita quale sit, nec angelum nec archangelum nec ullum alium illius conservorum misisse, sed ipsummet Dominum ad lapsum descendisse, jacentem relevasse, et solum ad solum tamquam ad amicum infortunatum et in magna constitutum adversitate accessisse. Quod enim ex multa hoc caritate fecerit, et ipsa verba, quæ ad ipsum dixit, ipsius ineffabilem amorem demonstrant. Et quid opus est ut omnia verba dicam? imo prima dictio statim ipsius amorem demonstravit. Non enim dixit, sicut par erat injuriam passum dicere: O scelerate et scelestissime, tali mea benevolentia potitus, tanto decoratus regno, omnibus terrestribus nullo tuo merito præhabitus, et meæ curæ pignora per opera et veram providentiæ probationem assequutus, improbum dæmonem et pestiferum tuæ salutis inimicum, Domino et tutore, cui crederes, digniorem duxisti? quid ille tale tua causa præstitit, quale ego? nonne cælum propter te creavi? terram, mare, solem,

ἥλιον, τὴν σελήνην, τὰ ἄστρα πάντα; οὐ γὰρ δήπου τῶν ἀγγέλων τινὸς ταύτης ἐδέοντο τῆς δημιουργίας, ἀλλὰ διὰ σὲ καὶ τὴν ἀνάπαυσιν τὴν σὴν τὸν τοσοῦτον καὶ τηλικοῦτον ἐποίησα κόσμον· καὶ ψιλὰ ῥήματα, καὶ ὑπόσχεσιν ψευδῆ, καὶ ἐπαγγελίαν ἀπάτης γέμουσαν, τῆς διὰ τῶν ἔργων εὐεργεσίας τε καὶ προνοίας ἀξιοπιστοτέραν νομίσας εἶναι, ἐκείνῳ σαυτὸν ἐξέδωκας, καὶ τοὺς ἐμοὺς κατεπάτησας νόμους; Ταῦτα γὰρ καὶ τὰ πλείονα τούτων τὸν ὑβρισμένον εἰκὸς ἦν εἰπεῖν· ἀλλ' οὐχ ὁ Θεὸς οὗτος, ἀλλὰ τοὐναντίον ἅπαν. Ἀπὸ γὰρ τῆς πρώτης φωνῆς εὐθέως αὐτὸν ἀνέστησε κείμενον, καὶ δεδοικότα καὶ τρέμοντα θαῤῥεῖν παρεσκεύασε, πρῶτος αὐτὸν καλέσας αὐτός· μᾶλλον δὲ οὐ τῷ καλέσαι πρῶτος, ἀλλὰ καὶ τῷ προσειπεῖν αὐτὸν ἀπὸ τῆς αὐτοῦ προσηγορίας καὶ εἰπεῖν, « Ἀδάμ, ποῦ εἶ »; ἔδειξεν αὐτοῦ τὸ φίλτρον καὶ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν. Ἴστε γὰρ δήπου πάντες, ὅτι φιλίας γνησίας ἐστὶ τοῦτο τεκμήριον· οὕτω καὶ οἱ ἀναλοῦντες τοὺς τετελευτηκότας εἰώθασι ποιεῖν, συνεχῶς τὰ ὀνόματα αὐτῶν περιστρέφοντες, ὡς οἵ γε μισοῦντες καὶ ἀπεχθῶς πρός τινας ἔχοντες οὐδὲ τὰ ὀνόματα ἀναμνησθῆναι τῶν λελυπηκότων ἀνέχονται. Ὁ γοῦν Σαοὺλ ἀδικηθεὶς μὲν οὐδέν, πολλὰ δὲ καὶ μεγάλα τὸν Δαυὶδ ἀδικήσας, ἐπειδὴ αὐτὸν ἀπεστρέφετο καὶ ἐμίσει, οὐδὲ τῆς προσηγορίας ἀναμνησθῆναι ἠνέσχετο τῆς ἐκείνου, ἀλλὰ συγκαθημένων ἁπάντων, ἐπειδὴ παραγενόμενον οὐκ εἶδεν, τί φησίν; Οὐκ εἶπε; Ποῦ ἐστι Δαυίδ; ἀλλὰ, « Ποῦ ἐστιν ὁ υἱὸς Ἰεσσαί »; ἀπὸ τοῦ πατρὸς αὐτὸν καλέσας. Καὶ πάλιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ τοῦτο ποιοῦσιν· ἐπειδὴ γὰρ αὐτὸν ἀπεστρέφοντο καὶ ἐμίσουν, οὐκ εἶπον, Ποῦ ἐστιν ὁ Χριστός; ἀλλὰ, « Ποῦ ἐστιν ἐκεῖνος »; Ἀλλ' ὁ Θεὸς κἀν τούτῳ βουλόμενος δεῖξαι ὅτι τὸ φίλτρον οὐκ ἔσβεσεν ἡ ἁμαρτία, οὐδὲ τὴν πρὸς αὐτὸν εὔνοιαν ἀνεῖλεν ἡ παρακοὴ, ἀλλὰ μένει προνοῶν καὶ κηδόμενος τοῦ πεπτωκότος, φησὶν, « Ἀδάμ, ποῦ εἶ »; οὐκ ἀγνοῶν ὅπου διέτριβεν· ἀλλ' ἐπειδὴ τοῖς ἡμαρτηκόσιν ἔῤῥαπται τὸ στόμα, τῆς ἁμαρτίας ἀποστρεφούσης τὴν γλῶτταν καὶ τοῦ συνειδότος αὐτῆς ἐπιλαμβανομένου, καὶ μένουσιν ἀχανεῖς ὥσπερ τινὶ δεσμῷ τῇ σιγῇ κατεχόμενοι, βουλόμενος ὁ Θεὸς εἰς παῤῥησίαν αὐτὸν ἐκκαλέσασθαι διαλέξεως καὶ δοῦναι θαῤῥεῖν, καὶ εἰς ἀπολογίαν ὧν ἥμαρτεν ἐμβαλεῖν, ἵνα τινὸς ἀπολαύσῃ συγγνώμης, πρότερος αὐτὸς αὐτὸν ἐκάλεσε, τὸ πολὺ τῆς ἀγωνίας ὑποτεμνόμενος τῇ προσηγορίᾳ, καὶ τὸν φόβον ἀπελαύνων, καὶ τὸ στόμα διὰ ταύτης ἀνοίγων τῆς κλήσεως. Διὸ καὶ ἔλεγεν, « Ἀδάμ, ποῦ εἶ »; Ἑτέρωθι κατέλιπόν σε, φησὶ, καὶ ἑτέρωθι νῦν εὑρίσκω· κατέλιπόν σε ἐν παῤῥησίᾳ [καὶ δόξῃ] καὶ εὑρίσκω νῦν ἐν ἀτιμίᾳ καὶ σιγῇ. Καὶ σκόπει κηδεμονίαν· οὐκ ἐκάλεσε τὴν Εὔαν, οὐκ ἐκάλεσε τὸν ὄφιν, ἀλλὰ τὸν ἁπάντων κουφότερον ἡμαρτηκότα, τοῦτον εἰς τὸ δικαστήριον εἰσάγει πρότερον, ἵν' ἀπὸ τοῦ δυναμένου συγγνώμης ἀπολαῦσαί τινος ἀρξάμενος, ἡμερωτέραν ἐνέγκῃ τὴν ψῆφον. Δι-

lunam, et stellas omnes? non enim ulli angeli hujus creaturæ indigebant, sed propter te et requiem tuam, talem et tantum feci mundum: et tu nuda verba, et promissionem falsam, et pollicitationem fraude plenam, collata operibus ipsis beneficentia et providentia fide digniorem esse ratus, te ipsum illi tradidisti, measque leges conculcasti? Hæc enim et his plura læsum par erat dicere: sed non ita Deus, verum omnino contra. A prima enim voce ipsum statim erexit jacentem, timentem et trementem confidere fecit, prior eum vocans ipse: quinimo non tantum prior vocans, sed etiam ex suo ipsum nomine appellans, et dicens (*Gen.* 3. 9), *Adam, ubi es?* amorem suum et multam circa ipsum curam ostendit. Jam enim omnes nostis hoc esse sinceræ amicitiæ indicium. Sic facere consueverunt qui mortuos revocant, frequenter ipsorum nomina versantes: sicut vicissim qui odio habent, et inimice erga quospiam affecti sunt, ne nomina quidem eorum qui se læsere, commemorare sustinent. Ideo Saûl nullam quidem injuriam passus, multas vero et magnas injurias in David machinatus, postquam ipsum aversabatur et oderat, nec illius appellationem commemorare sustinuit, sed considentibus omnibus postquam non venisse vidit, quid inquit? Non dixit, Ubi est David? sed (1. *Reg.* 20. 27) *Ubi est filius Jesse?* a patre ipsum vocans. Rursus Judæi de Christo idem faciunt: quoniam enim ipsum aversabantur et oderant, non dixerunt, Ubi est Christus, sed (*Joan.* 7. 11), *Ubi est ille?* 4. Verum Deus et in hoc demonstrare volens quod nec peccatum amorem extinxerit, nec inobedientia suam in ipsum benevolentiam sustulerit, sed quod maneat providens et curam agens lapsi, inquit, *Adam, ubi es?* non ignorans ubi degeret; sed quoniam iis qui peccaverunt os consutum est, peccato linguam avertente, et conscientia ipsam opprimente, mutique illi remanent, silentio tamquam quodam vinculo coerciti, volens Deus ipsum ad fiduciam et libertatem loquendi provocare, et in eorum quæ admiserat purgationem inducere, ut aliqua frueretur venia, eum prior ipse vocavit, anxietatis multum appellatione recidens, et expellens timorem, osque vocando aperiens. Ideo etiam dicebat, *Adam, ubi es?* Alibi te reliqui, inquit, et alibi nunc invenio: reliqui te in fiducia et gloria, nunc autem invenio in confusione et silentio. Et considera curam Dei: non Evam vocavit, non vocavit serpentem, sed qui omnium levissime peccaverat, hunc ad judicium primum accersit, ut ab eo incipiens, qui aliqua poterat venia potiri, mitiorem ferat sententiam. Et judices qui-

χασταὶ μὲν οὖν τοὺς συνδούλους τοὺς ἑαυτῶν καὶ τῆς αὐτῆς αὐτοῖς κοινωνοῦντας φύσεως οὐκ ἀνέχονται δι' ἑαυτῶν ἐξετάζειν, ἀλλὰ μέσον τινὰ τῶν διακονουμένων αὐτοῖς προβαλλόμενοι, τὰς ἑαυτῶν ἐρωτήσεις ἐκεῖνον παρασκευάζουσι διαβιβάζειν πρὸς τὸν κατάδικον, καὶ δι' αὐτοῦ καὶ λέγουσι καὶ ἀκούουσιν ἅπερ ἂν ἐθέλωσιν, ἐπειδὰν τοὺς ἡμαρτηκότας ἐξετάζωσιν· ὁ δὲ Θεὸς οὐκ ἐδεήθη μεσίτου τινὸς πρὸς τὸν ἄνθρωπον, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ δικάζει καὶ παραμυθεῖται. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ διορθοῦται τὰ πλημμελήματα. Δικασταὶ μὲν γὰρ ἐπειδὰν λάβωσι λῃστὰς καὶ τυμβωρύχους, οὐχ ὅπως αὐτοὺς ἐργάσωνται βελτίους σκοποῦσιν, ἀλλ' ὅπως αὐτοὺς ἀπαιτήσωσι τῶν ἡμαρτημένων δίκην· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν· ἐπειδὰν λάβῃ τινὰ ἡμαρτηκότα, οὐχ ὅπως ἀπαιτήσῃ δίκην σκοπεῖ, ἀλλ' ὅπως αὐτὸν διορθώσηται καὶ βελτίω ποιήσῃ καὶ πρὸς τὸ μέλλον ἀχείρωτον. Ὥσθ' ὁμοῦ καὶ δικαστὴς καὶ ἰατρὸς καὶ διδάσκαλός ἐστιν ὁ Θεός· καὶ γὰρ ὡς δικαστὴς ἐξετάζει, καὶ ὡς ἰατρὸς διορθοῦται, καὶ ὡς διδάσκαλος παιδεύει, τοὺς ἡμαρτηκότας εἰς πᾶσαν ἐνάγων φιλοσοφίαν. Εἰ δὲ ἓν ῥῆμα ψιλὸν καὶ βραχὺ τοσαύτην ἐνεδείξατο τοῦ Θεοῦ τὴν κηδεμονίαν, τί εἰ πᾶσαν ταύτην ἀναγοίημεν ὑμῖν τὴν δίκην, καὶ ὁλόκληρα ἀνακτύξαιμεν τὰ ὑπομνήματα; Ὁρᾷς πῶς πᾶσα Γραφὴ παράκλησίς ἐστι καὶ παραμυθία;

Ἀλλὰ ταῦτα μὲν κατὰ τὸν προσήκοντα καιρὸν ἐροῦμεν· πρὸ δὲ τούτων ἀναγκαῖον εἰπεῖν, πότε τὸ βιβλίον ἐδόθη τοῦτο· οὐδὲ γὰρ ἐν ἀρχῇ οὐδὲ εὐθέως τοῦ Ἀδὰμ γενομένου ταῦτα ἐγράφετο, ἀλλὰ μετὰ πολλὰς ὕστερον γενεάς· καὶ ἄξιον ζητῆσαι τίνος ἕνεκεν μετὰ πολλὰς ὕστερον γενεὰς, καὶ τί δήποτε Ἰουδαίοις μόνον, καὶ οὐχὶ πᾶσιν ἀνθρώποις, καὶ τί δήποτε τῇ Ἑβραΐδι γλώττῃ, καὶ τίνος ἕνεκεν ἐπὶ τῆς ἐρήμου Σινᾶ; οὐδὲ γὰρ τὸν τόπον ἁπλῶς ὁ ἀπόστολος παρατρέχει· ἀλλὰ κἀντεῦθεν μεγάλην ἡμῖν παρανοίγνυσι θεωρίαν, οὕτω λέγων· « Αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα. » Καὶ ἕτερα δὲ πλείω τούτων ἀναγκαῖον ζητῆσαι· ἀλλ' ὁρῶ τὸν καιρὸν ἡμῖν οὐκ ἐπιτρέποντα πρὸς τοιοῦτον ἀφεῖναι τὸν λόγον πέλαγος· διόπερ ταῦτα τῷ προσήκοντι καιρῷ ταμιευσάμενοι, πάλιν περὶ τῆς τῶν ὅρκων ἀπαλλαγῆς ὑμῖν διαλεξόμεθα, καὶ παρακαλέσομεν ὑμῶν τὴν ἀγάπην πολλῇ περὶ τὸ πρᾶγμα τοῦτο χρήσασθαι τῇ σπουδῇ. Πῶς γὰρ οὐκ ἄτοπον, οἰκέτην μὲν μὴ τολμᾶν ἐξ ὀνόματος τὸν δεσπότην τὸν ἑαυτοῦ καλεῖν, μηδὲ ἁπλῶς καὶ ὡς ἔτυχε· τὸν δὲ τῶν ἀγγέλων Δεσπότην ἁπλῶς καὶ μετὰ πολλῆς τῆς καταφρονήσεως πανταχοῦ περιφέρειν; κἂν μὲν Εὐαγγέλιον κατασχεῖν δέῃ, τὰς χεῖρας ἀπονιψάμενος, μετὰ πολλῆς τῆς αἰδοῦς καὶ τῆς εὐλαβείας φρίττων καὶ δεδοικὼς κατέχεις· τὸν δὲ τοῦ Εὐαγγελίου Δεσπότην ἁπλῶς ἐπὶ τῆς γλώττης πανταχοῦ περιφέρεις; Βούλει μαθεῖν πῶς αὐτὸν καλοῦσιν αἱ ἄνω δυνάμεις, μεθ' ὅσης φρίκης, μεθ' ὅσης ἐκπλήξεως,

dem conservos suos, et ejusdem secum naturæ participes, per se ipsos examinare non sustinent, sed ministrorum quempiam sibi medium proponentes, interrogationes illum suas ad reum perferre jubent, et per ipsum quæcunque velint, et dicunt et audiunt, dum reos examinant; Deus autem mediatore nullo ad hominem opus habuit, sed ipse per se ipsum judicat et consolatur. Nec hoc tantum est admirabile, sed etiam quod commissa sanet. Judices enim cum latrones ceperint et sacrilegos, non quomodo ipsos reddant meliores considerant, sed quomodo ab ipsis peccatorum pœnas exigant; Deus autem contra, cum aliquem ceperit peccatorem, non considerat quomodo sumat supplicium, sed quomodo ipsum corrigat et meliorem faciat et in futurum inexpugnabilem. Itaque pariter et judex et medicus et magister est Deus: etenim tamquam judex examinat, et tamquam medicus sanat, et tamquam magister docet, prævaricatos in omnem disciplinam reducens. Si vero unum et breve verbum tantam Dei curam demonstravit, quid si totum vobis judicium legeremus et integra explicaremus monumenta? Cernis quomodo tota Scriptura consolatio est et exhortatio?

Et hæc quidem congruo tempore dicemus: ante hæc autem necessarium est dicere, quando liber hic editus fuit: non enim in principio, non statim post Adam creatum hæc scripta sunt, sed post multas generationes: et operæ pretium est quærere, cur post multas generationes, et cur Judæis dumtaxat, et non omnibus hominibus? cur Hebraica lingua, cur in deserto Sina? neque enim simpliciter locum apostolus prætercurrit, sed et in hoc magnam nobis contemplationem demonstrat, sic dicens (*Gal.* 4. 24): *Hæc enim duo testamenta sunt, unum a monte Sina in servitutem generans.* 5. Quia et alia plura quærere necessarium esset; sed video tempus non permittere ut sermonem in tantum pelagus mittamus: ideo his in congruum tempus dilatis, iterum de juramentorum abstinentia vobis disseremus, et rogabimus caritatem vestram, ut multo circa hanc rem studio utatur. Quomodo enim non absurdum est, servum quidem non audere dominum nominatim et simpliciter et sine honoris præfatione appellare, angelorum vero Dominum temere et contemtim ubique jactare? et si Evangelium quidem capere oporteat, manibus lotis et cum multa reverentia et religione tremens et timens sumis, Evangelii vero Dominum temere lingua passim versas? Vis discere quomodo ipsum appellent supernæ Virtutes, cum quanto tremore, quanta

μεθ' ὅσου θαύματος; « Εἶδον τὸν Κύριον καθήμενον, φησὶν, ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ παρειστήκεισαν κύκλῳ αὐτοῦ, καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. » Εἶδες μεθ' ὅσου φόβου, μεθ' ὅσης φρίκης καλοῦσι δοξολογοῦσαι καὶ ὑμνοῦσαι; Σὺ δὲ ἐν εὐχαῖς μὲν καὶ ἱκετηρίαις μετὰ πολλῆς αὐτὸν καλεῖς τῆς ῥᾳθυμίας, ὅτε φρίττειν ἔδει καὶ ἐγρηγορέναι καὶ νήφειν· ἐν ὅρκοις δὲ ὅτε οὐδ' ὅλως παράγειν τὸ θαυμαστὸν τοῦτο ὄνομα ἐχρῆν, [**] ποικίλους τινὰς καὶ ἐπαλλήλους ὅρκους συνείρεις. Καὶ ποία συγγνώμη, τίς δὲ ἡμῖν ἔσται ἀπολογία, κἂν μυριάκις συνήθειαν προβαλλώμεθα; Λέγεταί τις τῶν ἔξωθεν ῥητόρων ὑπό τινος συνηθείας ἀλόγου τὸν δεξιὸν συνεχῶς ὦμον κινεῖν βαδίζων, ἀλλ' ὅμως περιεγένετο τῆς συνηθείας, καὶ μαχαίρας ἀκονήσας ἑκατέρωθεν ἐπέθηκε τοῖς ὤμοις, ὥστε τῷ φόβῳ τῆς τομῆς σωφρονίσαι τὸ μέλος ἀκαίρως κινούμενον· τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῆς γλώττης, καὶ ἀντὶ μαχαίρας ἐπίθες αὐτῇ τὸν φόβον τῆς τοῦ Θεοῦ κολάσεως, καὶ περιέσῃ πάντως. Ἀμήχανον γάρ, ἀμήχανον μεριμνῶντας καὶ σπουδάζοντας καὶ ἔργον τοῦτο ποιουμένους ἡττηθῆναί ποτε. Ἐπαινεῖτε νῦν τὰ εἰρημένα, ἀλλ' ὅταν κατορθώσητε, μειζόνως ἐπαινέσεσθε, οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ ὑμᾶς αὐτούς, καὶ μετὰ πλείονος ἡδονῆς ἀκούσεσθε τῶν λεγομένων, καὶ μετὰ καθαροῦ τοῦ συνειδότος καλέσετε τὸν Θεὸν, ὃς οὕτω σου φείδεται, ὡς εἰπεῖν ὅτι « Μηδὲ κατὰ τῆς κεφαλῆς σου ὀμόσῃς »· σὺ δὲ οὕτως αὐτοῦ καταφρονεῖς, ὡς καὶ κατὰ τῆς αὐτοῦ δόξης ὀμνύναι. [Καὶ] τί πάθω, φησὶ, πρὸς τοὺς ἀνάγκην ἐπάγοντας; Ποίαν ἀνάγκην, ἄνθρωπε; Μαθέτωσαν ἅπαντες ὅτι πάντα αἱρήσῃ παθεῖν ἢ τὸν τοῦ Θεοῦ παραβῆναι νόμον, καὶ ἀποστήσονται τῆς ἀνάγκης. Ὅτι γὰρ οὐχ ὅρκος ἀξιόπιστον ποιεῖ, ἀλλὰ βίου μαρτυρία καὶ πολιτείας ἀκρίβεια καὶ ὑπόληψις ἀγαθὴ, πολλοὶ πολλάκις διεῤῥάγησαν ὀμνύντες, καὶ οὐδένα ἔπεισαν, ἕτεροι δὲ ἐπινεύσαντες μόνον, ἀξιοπιστότεροι τῶν τοσαῦτα ὁμωμοκότων ἐφάνησαν. Ταῦτ' οὖν εἰδότες ἅπαντα, καὶ τὴν χειμένην τοῖς τε ὀμνύουσι τοῖς τε ἐπιορκοῦσι κόλασιν πρὸ τῶν ὀφθαλμῶν βλέποντες, ἀποστῶμεν τῆς πονηρᾶς συνηθείας, ἵν' ἐντεῦθεν καὶ πρὸς τὰ λοιπὰ βαδίζοντες κατορθώματα, τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

admiratione? (*Isai.* 6. 1.—3) *Vidi Dominum sedentem*, inquit, *in throno alto et elevato, et Seraphim stabant circa ipsum, et clamabant alter ad alterum, et dicebant : Sanctus, sanctus, sanctus Dominus Deus sabaoth : plena omnis terra gloria ejus.* Vidisti cum quanto timore, quanto horrore nominant eum glorificantes et laudantes? Tu vero in precibus quidem et supplicationibus cum multo invocas ipsum torpore, quando horrescere oportebat, et vigilare, et sobrium esse : in jurando vero, cum nec omnino adducere admirabile nomen oportebat, *** varia quædam et alia super alia connectis juramenta. Et qualis venia, quæ nobis erit excusatio, licet millies consuetudinem objiciamus? Dicitur quod quidam externorum oratorum præ quadam stulta consuetudine dexterum humerum assidue movebat ambulans, sed tamen consuetudinem vicit, et gladios acutos utrimque humeris imposuit, ut vulneris timore membrum inepte se movens corrigeret : hoc et tu in lingua facias, et ipsi pro gladio divinæ pœnæ timorem impone, et omnino superabis. Impossibile enim, impossibile, inquam, est meditantes et studentes et opus hoc facientes unquam superari. Dicta nunc laudatis, sed cum correcti fueritis, magis laudabitis, non tantum nos, sed et vos ipsos, et cum majore voluptate audietis quæ dicentur, et cum pura conscientia Deum invocabitis, qui tantum tibi parcit, ut dicat (*Matth.* 5. 36), *Neque per caput tuum jurabis;* tu vero sic ipsum contemnis, ut et per ipsius gloriam jures. Et quid faciam, inquiet aliquis, adversus eos qui necessitatem inducunt? Qualem necessitatem, o homo? Discant omnes te omnia malle pati quam Dei legem transgredi, et ab inferenda necessitate desistent. Quod enim non juramentum fide dignum hominem faciat, sed vitæ testimonium, et conversationis integritas, et mens bona, inde patet quod sæpe multi jurantes disrupti sunt, et non persuaserunt; alii vero annuentes tantum, multo juratis fide digniores apparuerunt. Hæc igitur omnia scientes, et pœnam jurantibus et pejerantibus statutam ante oculos ponentes, improba consuetudine absistamus, ut hinc et ad reliqua gradientes virtutis opera, consequamur bona futura : quæ nos omnes assequi detur, gratia etc.

ΟΜΙΛΙΑ η'.

Προτροπὴ εἰς ἀρετὴν, καὶ εἰς τὸ « Περιπάτει ὁ Θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ »· καὶ περὶ τοῦ φεύγειν τοὺς ὅρκους.

Ἴστε πρώην πῶς πᾶσα Γραφὴ παράκλησιν φέρει καὶ παραμυθίαν, κἂν ἱστορίας διήγησις ᾖ· καὶ γὰρ τὸ « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν » ἱστορίας ἐξήγησις ἦν, ἀλλ' ἔδειξεν ὁ λόγος πολλῆς γέ-

HOMILIA VIII.

Ad virtutem exhortatio, et in illud Genesis, *Deambulabat Deus meridie in paradiso;* et de fugiendis juramentis.

1. Audistis nuper, quomodo omnis Scriptura consolationem afferat et refrigerium, licet historica sit narratio. Etenim illud, *In principio fecit Deus cælum et terram*, historiæ expositio erat : sed demonstravit oratio multa

μουσαν παραμυθίας τὴν ῥῆσιν· οἷον, ὅτι διπλῆν ἐποίησε τράπεζαν ὁ Θεὸς, γῆν καὶ θάλασσαν ὁμοῦ προθείς, καὶ φωστῆρας διπλοῦς, ἥλιον καὶ σελήνην, ἀνάψας ἄνωθεν, καὶ διπλοῦν δρόμου καιρὸν ἡμέραν καὶ νύκτα ἐργασάμενος, καὶ τὴν μὲν εἰς ἐργασίαν, τὴν δὲ εἰς ἀνάπαυσιν· οὐ γὰρ ἐλάττονα τῆς ἡμέρας ἡμῖν εἰσφέρει λειτουργίαν ἡ νύξ· ἀλλ' ὥσπερ ἐπὶ τῶν δένδρων εἶπον, ὅτι τῶν ἐγκάρπων τὰ ἄκαρπα ἐφάμιλλον παρέχεται χρείαν, οὐκ ἀναγκάζοντα ἡμᾶς τῶν ἡμέρων ἅπτεσθαι δένδρων εἰς τὰς οἰκοδομάς· καὶ τῶν ἡμέρων ζώων οὐκ ἐλάττονα παρέχεται χρείαν ἡμῖν τὰ ἄγρια καὶ ἀνήμερα, καὶ τῷ φόβῳ πρὸς τὰς πόλεις ἡμᾶς συνελαύνοντα, καὶ προσεκτικωτέρους ποιοῦντα, καὶ συσφίγγοντα πρὸς ἀλλήλους ἡμᾶς, καὶ τῶν μὲν τὴν δύναμιν ἐγγυμνάζοντα, τῶν δὲ τὰ νοσήματα λύοντα (πολλὰ γὰρ ἐξ ἐκείνων τὰ φάρμακα κατασκευάζουσιν ἰατρῶν παῖδες), [καὶ] τῆς παλαιᾶς ἡμᾶς ἁμαρτίας ἀναμιμνήσκοντα. Ὅταν γὰρ ἀκούσω ὅτι « Ἔσται ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος ὑμῶν ἐπὶ πάντα τὰ θηρία τῆς γῆς », εἶτα τὴν τιμὴν ἀκρωτηριασθεῖσαν ἴδω ταύτην, ἀναμιμνήσκομαι τῆς ἁμαρτίας, ἣ καὶ τὸν φόβον ἡμῶν ἐξέλυσε, καὶ τὴν ἀρχὴν ὑπετέμετο, καὶ γίνομαι βελτίων καὶ σωφρονέστερος, μαθὼν τὴν ἐκ τῆς ἁμαρτίας ἡμῖν ἐγγινομένην ζημίαν. Ὥσπερ οὖν, ὅπερ ἔφην, οὐ τὰ τυχόντα εἰς τὸν βίον ἡμῖν συντελεῖ ταῦτά τε τὰ εἰρημένα καὶ ἕτερα πλείω τούτων, ἅπερ ὁ ποιήσας οἶδε Θεός· οὕτω δὴ καὶ ἡ νὺξ οὐκ ἐλάττονα τῆς ἡμέρας εἰσφέρει χρῆσιν, ἀνάπαυσις οὖσα πόνων, καὶ φάρμακον οὖσα νοσημάτων. Πολλάκις γοῦν ἰατροὶ πολλὰ πραγματευσάμενοι, καὶ μυρία κατασκευάσαντες φάρμακα, οὐκ ἴσχυσαν ἀπαλλάξαι τῆς ἀῤῥωστίας τὸν κάμνοντα· ὕπνος δὲ αὐτόματος ἐπελθὼν τὸ πᾶν ἔλυσε νόσημα, καὶ τῶν μυρίων ἐκείνους ἀπήλλαξε πόνων. Οὐ παθῶν δὲ σωματικῶν μόνον, ἀλλὰ καὶ ψυχικῶν ἐστὶ φάρμακον ἡ νὺξ ἀναπαύουσα τὰς ὀδυνωμένας ψυχάς. Πολλάκις γοῦν τις ἀπέβαλεν υἱὸν, καὶ μυρίων μυρία παρακαλούντων οὐκ ἠνέσχετο τῶν θρήνων ἀποστῆναι καὶ τῆς οἰμωγῆς· νυκτὸς δ' ἐπελθούσης εἶξε τῇ τυραννίδι τοῦ ὕπνου ἡττηθείς, καὶ τὰ βλέφαρα κατεκοίμισε, καὶ μικράν τινα τῶν μεθημερινῶν κακῶν παραμυθίαν ἔλαβε.

Φέρε δὴ λοιπὸν πρὸς τὴν ὑπόθεσιν ἴωμεν, ἀφ' ἧς καὶ ταῦτα εἰρήκαμεν. Καὶ γὰρ εὖ οἶδ' ὅτι πρὸς ταύτην κεχήνατε πάντες, καὶ ἕκαστος ὑμῶν ὠδίνει μαθεῖν τίνος ἕνεκεν οὐκ ἐξ ἀρχῆς ἐδόθη τὸ βιβλίον τοῦτο· ἀλλ' οὐδὲ νῦν ὁρῶ τὸν καιρὸν ὄντα τῆς ἐξηγήσεως ταύτης. Τί δήποτε; Πρὸς τὸ τέλος ἡμῖν ἡ ἑβδομὰς ἀπήντησε, καὶ δέδοικα τῆς ὑποθέσεως ἅψασθαι, εἶτα εὐθέως ἐγκόψαι τὴν διδασκαλίαν. Πολλῶν γὰρ ἐρεῖ ἡμερῶν ἡμῖν ἡ ὑπόθεσις δεῖται καὶ συνεχοῦς τῆς μνήμης· διὸ πάλιν αὐτὴν ἀναβαλλόμεθα. Ἀλλὰ μὴ δυσχεράνητε, μετὰ τόκου πάντως ὑμῖν ἀποδώσομεν τὸ χρέος· οὕτω γὰρ καὶ ὑμῖν καὶ ἡμῖν τοῖς καταβάλλουσι συμφέρει· τέως δὲ τὸ χθὲς παραλειφθὲν ἐροῦμεν νῦν. Τί δὲ τὸ

plenam consolatione dictionem esse : quale est, quod duplicem Deus mensam fecerit, terram et mare simul proponens; et luminaria gemina, solem et lunam, superne accendens; et duplicis cursus tempus, diem et noctem operatus, illum quidem in operationem, hanc in requiem : non enim minus ministerium, quam dies, nobis nox affert; sed sicut in arboribus dixi, quod fructuosis infructuosæ æmulam præbeant utilitatem, facientes ne cogamur ad ædificia domesticas arbores attingere : et mansuefactis animalibus non minorem nobis utilitatem sylvestria et immitia afferunt, quæ timore sui nos in urbes compellant, reddunt cautiores, et nos mutuo constringunt, atque horum quidem exercent virtutem, illorum vero morbos solvunt (multa enim ex iis medicamenta medici conficiunt), et antiqui nos peccati commonent. Cum enim audiero (*Gen.* 9. 2), *Terror vester et tremor erit super omnes bestias terræ*, et postea honorem hunc sublatum videro, peccati reminiscor, quod et timorem nostri dissolvit, et principatum imminuit, et efficior melior et prudentior, damnum ex peccato nobis illatum contemplatus. Sicut igitur, quod et antea dixi, ad vitam nobis omnia conferunt hæc quæ dicta sunt, et alia his plura, quæ qui fecit Deus, ipse novit : ita quidem et nox non minorem, quam dies, usum affert, cum laborum sit requies, et morborum medicina. Sæpe enim medici multa operati, et infinita medicamina moliti, a morbo ægrum liberare non potuerunt; somnus autem sponte adveniens omnem solvit ægritudinem, et infinitis illos laboribus liberavit. Nec morbis tantum corporis, sed et animæ nox est medicina, dolentes animas sedans. Sæpe quispiam postquam filium amisit, innumeris illi consolationes afferentibus, a fletibus et gemitu desistere non valuit; nocte vero superveniente, somni cessit imperio superatus, palpebras ad somnum composuit, et exiguam quampiam diurnorum cepit malorum consolationem.

Age vero jam ad materiam eamus unde processit oratio. Nam probe novi vos huic omnes inhiare, et quemque discere exoptare qua de causa non ab initio editus sit hic liber : sed neque nunc expositionis hujus esse tempus video. Quid ita tandem? Ad finem nobis hæc devenit hebdomas, et materiam attingere metuo, deinde statim expositionem intercepturus. Multis enim diebus opus habet hoc argumentum, ejusque mentio frequenter habenda : ideo rursum ipsum differimus. Sed ne ægre feratis, cum fœnore vobis omnino debitum reddemus : sic enim et vobis et nobis qui persolvimus expedit : nunc autem interim dicemus quod heri relictum fuit. Quid

χθὲς παρελειφθὲν ἦν; « Περιεπάτει, φησὶν, ὁ Θεὸς ἐν τῷ παραδείσῳ τὸ δειλινόν. » Τί λέγεις, εἰπέ μοι, Περιεπάτει ὁ Θεός; Οὐ περιεπάτει ὁ Θεός· πῶς γὰρ ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; ἀλλὰ τοιαύτην ἐνέθηκεν αἴσθησιν τῷ Ἀδὰμ, ἵν' ἑαυτὸν συστείλῃ, ἵνα μὴ διακεχυμένος ᾖ, ἵνα τὸ φυγεῖν καὶ κρυβῆναι μέρος τι τῆς ἀπολογίας προκαταβάληται καὶ πρὸ τῶν ῥημάτων αὐτῶν. Καθάπερ γὰρ οἱ μέλλοντες εἰς δικαστήριον εἰσάγεσθαι καὶ εὐθύνας τῶν πεπλημμεληκότων ὑπέχειν, αὐχμῶντες, ῥυπῶντες, στυγνοὶ, κατεσταλμένοι τοῖς δικάζουσι φαίνονται, ὥστε ἀπὸ τοῦ σχήματος αὐτοὺς εἰς φιλανθρωπίαν ἐπισπάσασθαι καὶ συγγνώμην καὶ ἔλεον· οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονε. Καὶ γὰρ ἔδει κατεσταλμένον εἰς τὸ δικαστήριον εἰσαχθῆναι τοῦτο· διὰ τοῦτο προλαβὼν αὐτὸν ὁ Θεὸς συνέστειλεν. Ἀλλ' ὅτι μέν τις περιεπάτει ᾔσθετο· πόθεν δὲ ἐνόμισεν ὅτι ὁ Θεὸς περιεπάτει; Τοιοῦτον τῶν ἁμαρτανόντων τὸ ἔθος ἐστί· πάντα ὑποπτεύουσι, τὰς σκιὰς τρέμουσι, πάντα ψόφον διδοίκασι, καὶ ἕκαστον ἐπ' αὐτοὺς βαδίζειν νομίζουσι. Πολλοὺς γοῦν πολλάκις ἰδόντες ἐφ' ἑτέραν τρέχοντας διακονίαν, ἐνόμισαν ἐπ' αὐτοὺς ἥκειν οἱ ἁμαρτόντες, καὶ ἄλλων ἄλλα πρὸς ἀλλήλους διαλεγομένων, οἱ συνειδότες ἑαυτοῖς ἁμαρτίαν περὶ αὐτῶν ἐκείνους διαλέγεσθαι νομίζουσι. Τοιοῦτον γὰρ ἡ ἁμαρτία· οὐδενὸς ἐλέγχοντος προδίδωσιν, οὐδενὸς κατηγοροῦντος καταδικάζει καὶ ψοφοδεῆ ποιεῖ καὶ δειλὸν τὸν ἡμαρτηκότα· ὥσπερ οὖν ἡ δικαιοσύνη τοὐναντίον. Ἄκουσον γοῦν πῶς καὶ τούτου τὴν δειλίαν, κἀκείνου τὴν παῤῥησίαν ὑπέγραψεν ἡ Γραφή· « Φεύγει ὁ ἀσεβὴς, φησὶν, μηδενὸς διώκοντος. » Πῶς οὐδενὸς διώκοντος φεύγει; Ἔνδον ἔχει τὸν ἐλαύνοντα, τὸν τοῦ συνειδότος κατήγορον, καὶ τοῦτον πανταχοῦ περιφέρει· καὶ καθάπερ ἑαυτὸν οὐκ ἂν δυνηθείη φυγεῖν, οὕτως οὐδὲ τὸν ἔνδοθεν αὐτὸν ἐλαύνοντα, ἀλλ' ὅπουπερ ἂν ἀπίῃ, μαστίζεται καὶ τραῦμα ἀνίατον ἔχει· ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος. Ἀλλὰ ποῖος; « Δίκαιος ὡς λέων πέποιθε. » Τοιοῦτος ἦν ὁ Ἠλίας· εἶδε γοῦν τὸν βασιλέα πρὸς αὐτὸν ἐρχόμενον, καὶ εἰπόντος ἐκείνου, « Ἵνα τί διαστρέφεις τὸν Ἰσραήλ »; « Οὐκ ἐγὼ διαστρέφω, φησὶν, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. » Ἀληθῶς δίκαιος ὡς λέων πέποιθε· καθάπερ γὰρ λέων κυνιδίου τινὸς εὐτελοῦς, οὕτω κατεξανέστη τοῦ βασιλέως· καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ' εἶχε μηλωτὴν οὗτος, ἱμάτιον τῆς πορφυρίδος ἐκείνης σεμνότερον. Ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπὸν, ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσεν, [αὕτη τὸν Ἰορδάνην ἔσχισεν, αὕτη τὸν Ἐλισσαῖον διπλοῦν Ἠλίαν ἐποίησεν. Ὢ πόση τῶν ἁγίων ἡ ἀρετή· οὐχὶ τὰ ῥήματα αὐτῶν μόνα, οὐδὲ τὰ σώματα, ἀλλὰ καὶ αὐτὰ τὰ ἱμάτια τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα. Ἡ μηλωτὴ τούτου τὸν Ἰορδάνην ἔσχισε, τὰ ὑποδήματα τῶν τριῶν παίδων τὸ πῦρ κατεπάτησαν, τὸ ξύλον τοῦ Ἐλισσαίου τὰ ὕδατα μετέβαλε καὶ σιδήριον ὑπὲρ τῆς ἐπιφανείας βαστάζειν ἐποίησεν·

autem heri relictum fuit? *Deambulabat*, inquit (*Gen.* 3. 8), *Deus in paradiso in meridie.* Quid ais, quæso, *Deambulabat Deus?* Non deambulabat Deus : quomodo enim ubique præsens et omnia implens? sed in Adam talem sensum posuit, ut se ipsum demitteret, ne dissolutus esset, ut fugiendo et latendo aliquam excusationis partem in antecessum deponeret, vel ante ipsa verba. Sicut enim qui in judicium adducendi sunt commissorum pœnas subituri, squalidi, sordentes, tristes, demissi judicantibus apparent, ut ex habitu ipsos ad humanitatem et veniam et misericordiam trahant : sic et in Adam factum est. Oportebat enim demissum in judicium hoc trahi; propter hoc prævenit ipsum Deus et depressit. Sed quod aliquis deambularet, sensit quidem ille : unde vero cogitavit quod Deus deambularet? Talis est peccantium mos : omnia suspecta habent, umbras tremunt, omnem strepitum timent, quemque putant contra se venire. Multos igitur sæpe conspicati ad aliud ministerium currentes, ad se venire cogitaverunt peccatores; et aliis alia omnia inter se disserentibus, peccati sibi ipsis conscii putant illos de se sermocinari. 2. Talis enim res peccatum est, nullo prodit arguente, nullo condemnat accusante, pavidum facit et timidum peccatorem, sicut justitia contrarium. Audi enim quomodo et hujus pavorem et illius libertatem Scriptura designavit : *Fugit impius nemine persequente*, inquit (*Prov.* 28. 1). Quomodo persequente nemine fugit? Intus habet agentem conscientiæ accusatorem, et hunc ubique circumfert : et sicut se ipsum non potest fugere, sic nec eum qui intus ipsum agitat; sed quocumque abeat, flagellatur, et vulnus habet immedicabile. At non talis est justus. Sed qualis? Audi : *Justus tamquam leo*, inquit (*ibid.*), *confidit.* Talis erat Helias : vidit enim regem ad se venientem, et dicente illo (3. *Reg.* 18. 17. 18), *Ut quid pervertis Israel? Non ego perverto Israel*, inquit, *sed tu et domus patris tui.* Vere justus ut leo confidit : sicut enim leo in vilem catellum, sic ille in regem insurrexit; tametsi purpuram habebat ille, sed hic meloten habebat, indumentum purpura ista venerabilius. Purpura enim illa famem peperit gravem; melote autem hæc calamitates discussit, [hæc Jordanem divisit, hæc Elisæum duplicem Eliam fecit. O quanta sanctorum virtus! non sola ipsorum verba, nec corpora, sed et ipsa indumenta creaturæ omni perpetuo sunt venerabilia. Hujus melote Jordanem divisit; calceamenta trium puerorum ignem conculcaverunt; Elisæi lignum aquas mutavit, et ut ferrum in superficie portarent effecit : Moisi virga

ἡ ῥάβδος Μωϋσέως τὴν ἐρυθρὰν ἔσχισε θάλασσαν, τὴν πέτραν ἔρρηξε, τὰ ἱμάτια Παύλου νοσήματα ἤλασεν, αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευσαν, ἡ τέφρα τῶν ἁγίων μαρτύρων πονηροὺς ἀπελαύνει δαίμονας. Διὰ τοῦτο μετ' ἐξουσίας ἅπαντα πράττουσι, καθάπερ καὶ ὁ Ἠλίας·] οὐ γὰρ δὴ ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως, ἀλλ' ἑώρα τὴν ψυχὴν ῥάκια περιβεβλημένην, αὐχμῶσαν, ῥυπῶσαν, καὶ καταδίκου παντὸς ἀθλιώτερον διακειμένην· καὶ ἰδὼν αὐτὸν αἰχμάλωτον καὶ δοῦλον ὄντα τῶν παθῶν, κατεφρόνησεν αὐτοῦ τῆς ἀρχῆς. Καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς, ἀλλ' οὐκ ἐπὶ τῆς ἀληθείας ἐδόκει βασιλέα βλέπειν. Τί γὰρ ὄφελος τῆς ἔξωθεν εὐπορίας, ὅταν ἔνδον πενία τοσαύτη ᾖ; τί δὲ βλάβος τῆς ἔξωθεν πενίας, ὅταν ἔνδον τοσοῦτος ἀποκέηται πλοῦτος; Τοιοῦτος λέων ἦν καὶ ὁ μακάριος Παῦλος· εἰσελθὼν εἰς τὸ δεσμωτήριον καὶ βοήσας μόνον, τὰ θεμέλια πάντα ἔσεισε, τὰ δεσμὰ κατέφαγεν, οὐκ ὀδοῦσι χρησάμενος, ἀλλὰ ῥήμασι· διόπερ οὐχὶ λέοντας αὐτοὺς μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον λεόντων χρὴ καλεῖν. Ὁ μὲν γὰρ λέων εἰς δίκτυα πολλάκις ἐμπεσὼν ἁλίσκεται· οἱ δὲ ἅγιοι δεθέντες, τότε ἰσχυρότεροι γίνονται· καθάπερ οὖν καὶ ὁ μακάριος οὗτος ἐπὶ τοῦ δεσμωτηρίου τότε ἐποίησε, τοὺς δεσμώτας λύσας, τοὺς τοίχους σαλεύσας, τὸν δεσμοφύλακα δήσας καὶ τῷ τῆς εὐσεβείας χειρωσάμενος λόγῳ. Ὁ λέων φθέγγεται, καὶ τὰ θηρία φυγαδεύει πάντα· ὁ ἅγιος φθέγγεται, καὶ τοὺς δαίμονας ἀπελαύνει πάντοθεν· ὅπλα τοῦ λέοντος κόμη τριχῶν, ὀνύχων ἀκμὴ καὶ ὀδόντες ἠκονημένοι· ὅπλα δικαίου φιλοσοφία, καρτερία, ὑπομονή, ὑπεροψία τῶν παρόντων ἁπάντων. Ταῦτα τὰ ὅπλα τις ἔχων, οὐκ ἀνθρώπων πονηρῶν μόνων, ἀλλὰ καὶ αὐτῶν καταγελάσεται τῶν ἀντικειμένων δυνάμεων.

Φρόντισον τοίνυν τῆς ζωῆς τῆς κατὰ Θεὸν, ἄνθρωπε, καὶ οὐδεὶς περιέσται σου ποτέ, ἀλλὰ κἂν ἁπάντων εὐτελέστερος εἶναι δοκῇς, πάντων δυνατώτερος ἔσῃ· ὥσπερ ἐὰν ἀμελήσῃς τῆς κατὰ ψυχὴν ἀρετῆς, κἂν ἁπάντων δυνατώτερος ᾖς, εὐχείρωτος ἔσῃ τοῖς ἐπιβουλεύουσιν ἅπασι. Καὶ τοῦτο εἶδειξε μὲν τὰ εἰρημένα παραδείγματα· εἰ δὲ βούλει, καὶ δι' ἔργων σε διδάξαι πειράσομαι τῶν δικαίων τὸ ἀκαταγώνιστον καὶ τῶν ἁμαρτωλῶν τὸ εὐχείρωτον. Ἄκουσον γοῦν πῶς ἀμφότερα ταῦτα ὁ προφήτης ἡνίξατο· « Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. » Καθάπερ γὰρ ἐκεῖνος ταῖς τῶν ἀνέμων ἐμβολαῖς πρόκειται ῥᾳδίως ἀναῤῥιπιζόμενος, οὕτω δὴ καὶ ὁ ἁμαρτωλὸς ὑπὸ παντὸς πειρασμοῦ περιτρέπεται. Ὅταν γὰρ αὐτὸς ἑαυτῷ πολεμῇ, καὶ τὴν μάχην πανταχοῦ περιφέρῃ, ποίαν αὐτῷ σωτηρίας ἐλπὶς οἴκοθεν προδεδομένῳ καὶ διηνεκῆ πολέμιον περιάγοντι τὸ συνειδός; Ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος. Ἀλλὰ ποταπός; Ἄκουσον τοῦ αὐτοῦ προφήτου λέγοντος, « Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών. » Τί ποτ' οὖν ἐστιν, Ὡς ὄρος Σιών; « Οὐ σαλευθήσεται

mare Rubrum divisit, petram scidit : Pauli vestimenta languores expulerunt : umbræ Petri mortem fugaverunt : sanctorum martyrum favilla malignos expellit dæmonas. Propterea cum fiducia omnia faciunt, sicut et Elias :] non enim spectabat diadema et exteriorem regis splendorem, sed animam pannosam, squalentem, sordidam, et omni reo miserius affectam respiciens, et ipsum videns intus captivum esse ac vitiorum servum, ipsius principatum contemsit : etenim tamquam in scena, sed non in veritate regem sibi cernere videbatur. Quæ enim exterioris opulentiæ utilitas, cum intus est tanta paupertas? quæ vero paupertatis noxa, cum intus tantæ repositæ sunt divitiæ? Talis erat leo et beatus Paulus : carcerem enim ingressus, solo clamore omnia fundamenta concussit, vincula rosit, non dentibus, sed verbis : propterea non leones ipsos tantum, sed et aliud quid leonibus majus oportet appellare. Leo enim in retia sæpe lapsus capitur, sancti vero cum ligantur, hinc fortiores fiunt : sicut et hic beatus in carcere tunc fecit, solvens compeditos, parietes concutiens, carceris custodem alligans et pietatis verbo capiens. Leo clamat, et omnes bestias fugat; sanctus clamat, et dæmones undique expellit. Leonis arma, jubarum horror, unguium mucro, et dentes acuti : arma justi, philosophia, temperantia, patientia, præsentium contemtus omnium. Hæc arma quisquis habet, non homines tantum improbos, sed et ipsas adversarias potestates deridebit.

Stude igitur, o homo, secundum Deum vivere, et nemo te umquam superabit; sed etiam si omnium vilissimus esse videaris, omnium eris potentissimus; sicut si animi virtutem neglexeris, etiam si omnium sis potentissimus, omnibus insidiantibus eris facile expugnabilis. Et hoc quidem dicta demonstraverunt exempla; si vis autem, et per opera te docere conabor vim justorum inexpugnabilem, et facilem peccatorum captivitatem. Audi igitur quomodo hæc ambo propheta insinuavit (*Psal.* 1. 4) : *Non sic impii, non sic, sed tamquam pulvis, quem projicit ventus a facie terræ.* Sicut enim ille ventorum incursibus expositus facile disjicitur : sic et peccator ab omni tentatione subvertitur. Cum enim ipse sibi repugnet, et hanc pugnam ubique circumferat; quæ ipsi spes salutis domi prodito, et continuum hostem conscientiam secum trahenti? Sed non talis est justus. Qualis ergo? Audi eundem prophetam dicentem (*Psal.* 124. 1), *Qui confidunt in Domino, sicut mons Sion.* Quid tandem est, *sicut mons Sion? Non commorebitur in æternum*, in-

εἰς τὸν αἰῶνα », φησί. Καὶ γὰρ ὅσα ἂν προσαγάγῃς μηχανήματα, ὅσα ἂν ἀκοντίσῃς βέλη, ὄρος κατασκάψαι βουλόμενος, ἐκείνου μὲν οὐδέποτε περιέσῃ· πῶς γάρ; τὰ δὲ μηχανήματα διαλύσεις ἅπαντα, καὶ τὴν σεαυτοῦ καταλύσεις ἰσχύν. Τοιοῦτός ἐστι καὶ ὁ δίκαιος· ὅσας ἂν δέξηται πληγάς, αὐτὸς μὲν οὐδὲν ἔπαθε δεινόν, τῶν δὲ ἐπιβουλευόντων καταλύει τὴν δύναμιν, οὐκ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ δαιμόνων αὐτῶν. Ἤκουσας γοῦν πολλάκις πόσα προσήγαγε μηχανήματα τῷ Ἰὼβ ὁ διάβολος, καὶ οὐ μόνον οὐ κατέσεισεν ἐκεῖνο τὸ ὄρος, ἀλλὰ καὶ ἐκλυθεὶς ἀνεχώρησε, τῶν βελῶν αὐτοῦ κατακλασθέντων, καὶ τῶν μηχανημάτων γενομένων ἀχρήστων ἀπὸ τῆς προσβολῆς ἐκείνης.

Ταῦτ' οὖν ἐπιστάμενοι, τῆς ζωῆς ἐπιμελώμεθα τῆς ἡμετέρας, καὶ μήτε περὶ χρήματα σπουδάζωμεν τὰ ἀπολλύμενα, μήτε περὶ δόξαν τὴν σβεννυμένην, μήτε περὶ τὸ σῶμα τὸ γηράσκον, μήτε περὶ κάλλος τὸ μαρανόμενον, μήτε περὶ τρυφὴν τὴν διαῤῥέουσαν, ἀλλὰ περὶ ψυχὴν ἅπασαν ἀναλίσκωμεν τὴν ἐπιμέλειαν, καὶ ταύτην παντὶ θεραπεύωμεν τρόπῳ. Σώματα μὲν γὰρ θεραπεῦσαι νενοσηκότα οὐ παντὶ ῥᾴδιον, ψυχὴν δὲ ἀῤῥωστοῦσαν ἰάσασθαι ῥᾴδιον ἅπασι· καὶ ἡ μὲν τοῦ σώματος καὶ φαρμάκων δεῖται καὶ ἀργυρίου θεραπεία· ἡ δὲ τῆς ψυχῆς εὐώνου καὶ ἀδάπανος· καὶ τῆς μὲν σαρκὸς ἡ φύσις μετὰ πολλοῦ τοῦ πόνου τῶν ἐνοχλούντων ἀπαλλάττεται τραυμάτων, καὶ σιδήριον ἐπαγαγεῖν ἀναγκαῖον πολλάκις καὶ πικρὰ φάρμακα· ἐπὶ δὲ τῆς ψυχῆς οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλ' ἀρκεῖ θελῆσαι καὶ βουληθῆναι μόνον, καὶ πάντα κατώρθωται. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ προνοίας γέγονεν ἔργον· ἐπειδὴ γὰρ ἀπὸ μὲν τῆς τοῦ σώματος ἀῤῥωστίας οὐ πολλὴ γένοιτ' ἂν ἡ βλάβη (κἂν γὰρ μὴ νοσήσωμεν, ἐπελθὼν ὁ θάνατος αὐτὸ φθερεῖ καὶ καταλύσει πάντως), τὸ δὲ πᾶν ἐν τῇ τῆς ψυχῆς ἡμῖν ὑγιείᾳ κεῖται, τοῦ πολλῷ χρησιμωτέρου καὶ ἀναγκαιοτέρου ῥᾳδίαν ἐποίησε καὶ ἀδάπανον καὶ ἀνώδυνον τὴν θεραπείαν. Τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν δὲ συγγνώμην, ὅταν σώματος μὲν [νοσοῦντος], ἔνθα καὶ ἀργύριον ἔστι καταβαλεῖν καὶ ἰατροὺς παρακαλέσαι καὶ ὀδύνην ὑπομεῖναι πολλὴν, τοσαύτην ποιώμεθα πρόνοιαν, καὶ ταῦτα οὐ μεγάλης ἡμῖν τῆς βλάβης ἀπὸ τῆς ἀῤῥωστίας γινομένης ἐκείνης· ψυχῆς δὲ καταῤῥονῶμεν, καὶ ταῦτα μήτε ἀργύριον καταβαλλειν μέλλοντες, μήτε ἑτέρους διενοχλεῖν, μήτε ὀδύνας ὑφίστασθαι, ἀλλὰ χωρὶς τούτων ἁπάντων διὰ τοῦ προελέσθαι καὶ βουληθῆναι μόνον, ἅπασαν αὐτῆς δυνάμενοι ποιήσασθαι τὴν διόρθωσιν, καὶ ἀκριβῶς εἰδότες ὡς, εἰ μὴ τοῦτο ποιήσαιμεν, τὴν ἐσχάτην ὑποστησόμεθα δίκην καὶ τὰς ἀπαραιτήτους κολάσεις καὶ τιμωρίας; Εἰπέ γάρ μοι, εἴ τις ὑπέσχετο παιδεύειν σε τέχνην ἰατρικὴν ἐν βραχείᾳ καιροῦ ῥοπῇ χωρὶς ἀργυρίου καὶ πόνου, οὐκ ἂν εὐεργέτην ἐνόμισας; οὐκ ἂν καταθέξω ποιῆσαι καὶ παθεῖν ἅπαντα ἅπερ ἐκέλευσεν ὁ ταῦτα ἐπαγγειλάμενος; Ἰδοὺ νῦν ἔξεστι χωρὶς πόνων οὐχὶ σωμάτων, ἀλλὰ τῶν τῆς ψυχῆς τραυμάτων

quit. Quæcumque enim admoveris machinamenta, quæcumque jaculaveris tela montem demoliri volens, illum quidem numquam superabis : qui enim poteris? machinamenta vero solves omnia, etiam tuam destrues fortitudinem. Talis est et justus : quæcumque vulnera exceperit, ipse quidem grave patitur nihil, sed insidiantium vim dissolvit, nec vero mortalium modo, sed ipsorum quoque dæmonum. Audisti namque sæpius, quot diabolus machinamenta Job admoverit, nec solum tamen montem illum non conquassavit, sed ipse enervatus recessit, sagittis suis confractis, et machinamentis ex illo inflictu redditis inutilibus.

3. Hæc itaque scientes, vitam curemus nostram : neque circa pecunias studeamus, quæ pereunt; neque circa gloriam, quæ exstinguitur; non circa corpus, quod senescit; non circa pulchritudinem, quæ marcescit; non circa delicias, quæ defluunt; sed circa animam omnem curam impendamus, et hanc omni modo curemus. Corpora quippe languentia non cuivis curare facile est, animam vero laborantem medicari cunctis est facillimum : et corporis quidem curatio et medicaminum et argenti indiget, animæ vero facile parabilis et impendio carens : carnis natura multo cum labore ab infestantibus liberatur vulneribus, et ferrum sæpe et amara medicamina adhibere necessarium est; in anima vero nihil est tale, sed velle tantum et cupere sufficit, et omnia correcta sunt. Et hoc fuit opus Dei providentiæ : quoniam enim ex corporis infirmitate non multum fieri nocumentum potest (nam etiamsi non ægroteamus, mors superveniens ipsum corrumpet et omnino dissolvet), totum vero nobis in animi sanitate situm est : multo utilioris et magis necessariæ partis curationem fecit facilem et impendio et dolore carentem. Quam igitur excusationem habebimus, quam veniam, cum corporis quidem, ubi argentum erogatur, et medici accersuntur, et multus dolor sustinetur, tantam geramus curam, præcipue cum non magnum sit nobis damnum ex illius ægritudine; animam vero contemnamus, et hoc cum nec argentum erogare, nec alios perturbare, neque dolores sustinere debeamus; sed absque his omnibus proposito solum et voluntate omnem ipsius correctionem facere possimus : et optime sciamus nos, nisi hoc fecerimus, extremam subituros pœnam et inevitabilia tormenta atque supplicia? Dic namque mihi, si quis artem medicinæ brevi temporis momento absque argento et labore se docturum te polliceretur, non ipsum putares benefactorem? nonne subires omnia facere et pati, quæcumque hæc pollicens jussisset? Ecce nunc sine laboribus licet, non corporis, sed animæ vulnerum inve-

τὰ φάρμακα εὑρεῖν, καὶ χωρὶς ὀδύνης τινὸς εἰς ὑγίειαν αὐτὴν ἐπαναγαγεῖν. Μὴ τοίνυν ἀμελῶμεν. Ποία γὰρ ὀδύνη, εἰπέ μοι, ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; Ὀδύνη μὲν οὖν ἐστι τὸ μνησικακεῖν καὶ μὴ καταλλάττεσθαι. Ποίος πόνος εὔξασθαι καὶ αἰτῆσαι μυρία ἀγαθὰ παρὰ τοῦ προθύμως διδόντος Θεοῦ; ποῖος πόνος μὴ κακῶς εἰπεῖν μηδένα; ποία δυσκολία ἀπαλλαγῆναι φθόνου καὶ βασκανίας; ποῖος μόχθος ἀγαπᾷν τὸν πλησίον; ποία ταλαιπωρία μὴ φθέγγεσθαι αἰσχρὰ ῥήματα, μηδὲ ὑβρίζειν; ποῖος κάματος μὴ ὀμνύναι; πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ἥξω παραίνεσιν. Πόνος μὲν οὖν μέγιστος τὸ ὀμόσαι· πολλάκις γοῦν ὑπὸ θυμοῦ καὶ ὀργῆς κατεχόμενοι διωμοσάμεθα μηδενὶ διαλέξεσθαι τῶν λελυπηκότων, εἶτα τῆς ὀργῆς σβεσθείσης καὶ τοῦ θυμοῦ χαλασθέντος, βουληθέντες καταλλαγῆναι, καὶ ὑπὸ τῆς ἀνάγκης κατεχόμενοι τῶν ὅρκων, ἠλγήσαμεν ὥσπερ τινὶ παγίδι κατεχόμενοι καὶ δεσμοῖς ἀλύτοις συνδεδεμένοι. Ὅπερ καὶ ὁ διάβολος εἰδὼς, καὶ ἀκριβῶς ἐπιστάμενος ὅτι πῦρ ἐστιν ὁ θυμὸς καὶ ῥᾳδίως σβέννυται, καὶ τοῦ θυμοῦ σβεσθέντος, καταλλαγὴ γίνεται καὶ φιλία, βουλόμενος τὸ πῦρ τοῦτο μένειν ἄσβεστον, ὅρκῳ πολλάκις ἡμᾶς κατέδησεν, ἵνα, κἂν ἡ ὀργὴ λήξῃ, ἡ ἀνάγκη τοῦ ὅρκου μένουσα διατηρῇ τὴν πυρὰν ἐν ἡμῖν, καὶ δυοῖν θάτερον γένηται, ἢ καταλλαγέντες ἐπιορκήσωμεν, ἢ μὴ καταλλαγέντες τοῖς τῆς μνησικακίας ἐπιτιμίοις ὑπευθύνους καταστήσωμεν ἑαυτούς.

Ταῦτ' οὖν εἰδότες φεύγωμεν τοὺς ὅρκους, καὶ μελετάτω τὸ στόμα ἡμῶν λέγειν « Πίστευσον » συνεχῶς· καὶ ἔσται τοῦτο πάσης εὐλαβείας ἡμῖν ὑπόθεσις. Ἰλῶττα γὰρ παιδευθεῖσα τοῦτο λέγειν τὸ [ἓν] ῥῆμα, αἰσχύνεται καὶ ἐρυθριᾷ ῥήματα ἐξενεγκεῖν αἰσχρὰ καὶ ἄτοπα· κἂν ὑπὸ συνηθείας προαχθῇ πάλιν, πολλοὺς ἔχουσα τοὺς κατηγόρους ἀνασταλήσεται. Ὅταν γάρ τις ἴδῃ τὸν μὴ ὀμνύντα αἰσχρὰ φθεγγόμενον, ἐπεμβήσεται ῥᾳδίως αὐτῷ καὶ καταγελάσεται, καὶ κωμῳδῶν ἐρεῖ· Σὺ ὁ τὸ « Πίστευσον » [ἐπὶ πᾶσι λέγων], ὅρκον οὐκ ἀνέχῃ προέσθαι, καὶ ῥήμασιν αἰσχροῖς καταισχύνεις σου τὴν γλῶτταν; Ὥστε καὶ ἄκοντες, ὑπὸ τῶν παρόντων συνελαυνόμενοι, πρὸς εὐλάβειαν ἐπανήξομεν. Τί οὖν ἐὰν ἀνάγκη, φησὶν, ὀμόσαι; Ὅπου νόμου παράβασίς ἐστιν, οὐκ ἔστιν ἀνάγκη. Καὶ δυνατὸν, φησὶ, καθόλου μὴ ὀμνύναι; Τί λέγεις; ὁ Θεὸς ἐκέλευσε, καὶ τολμᾷς ἐρωτῆσαι εἰ δυνατὸν φυλάξαι τὸν νόμον; Ἀδύνατον μὲν οὖν τὸ μὴ φυλάξαι· καὶ τοῦτο ἀπὸ τῶν παρόντων ὑμᾶς πεῖσαι βούλομαι, ὅτι οὐ τὸ μὴ ὀμνύναι, ἀλλὰ τὸ ὀμνύναι ἀδύνατον. Ἰδοὺ γοῦν χρυσίον ἐκελεύσθησαν εἰσενεγκεῖν οἱ τὴν πόλιν οἰκοῦντες δοκοῦν τὴν τῶν πολλῶν ὑπερβαίνειν δύναμιν, καὶ τὸ πλέον εἰσενήνεκται, καὶ τῶν ἀπαιτούντων ἔστιν ἀκοῦσαι λεγόντων, Τί μέλλεις, ἄνθρωπε; τί δὲ ἡμέραν ἐξ ἡμέρας ἀναβάλλῃ ἡμᾶς; μὴ γὰρ δυνατὸν ἐκφυγεῖν· βασιλέως νόμος ἐστὶ μελλήσεως οὐκ ἀνεχόμενος. Τί λέγεις, εἰπέ μοι; βασιλεὺς ἐκέλευσε χρήματα εἰσενεγκεῖν,

nire remedia, et eam absque dolore ullo ad sanitatem reducere : ne igitur negligamus. Quis enim, dic mihi, dolor, iram contristanti remittere? Dolor quidem est injuriarum meum inisse, et non conciliari. Quis labor orare, et a Deo promte præbente innumera bona petere? quis labor detrahere nemini? quæ difficultas ab invidia et livore liberari? quæ molestia proximum diligere? quæ ærumna non turpia verba loqui, non convicium, non injuriam inferre? quæ fatigatio non jurare? rursum enim ad eamdem deveniam admonitionem. Imo labor maximus est jurare; sæpius enim ira et furore detenti, nos dejeravimus nulli umquam infestantium esse collocuturos; postea ira exstincta et furore sedato, reconciliari volentes, et juramentorum necessitate coerciti, doluimus tamquam laqueo quodam detenti et vinculis insolubilibus irretiti. Quod et diabolus novit, et quia plane novit iram esse ignem et facile exstingui, et exstincta ira reconciliationem et amicitiam sequi, cupiens ignem hunc inexstinguibilem manere, juramento nos sæpius irretivit, ut et si ira desiverit, juramenti necessitas manens, incendium in nobis conservet, et duorum fiat alterum, vel reconciliati pejeremus, vel non reconciliati, odii culpæ nosmet reos constituamus.

4. Hæc igitur scientes, juramenta fugiamus et assidue meditetur os nostrum dicere, *Crede* : et hoc erit nobis totius pietatis argumentum. Lingua enim verbum hoc unum dicere docta, confunditur et erubescit turpia et absurda verba proferre : et si rursum a consuetudine retrahatur, multos habens accusatores corripietur. Cum enim quis non jurantem turpia viderit verba proferentem, insultabit facile, deridebit, et carpens dicet : Tu qui in omnibus dicis, *Crede*, juramentum proferre non audes, et turpibus sermonibus linguam tuam polluis? itaque et invili, a præsentibus compulsi, ad pietatem redibimus. Quid igitur si jurandi necessitas sit? inquit aliquis. Ubi est legis prævaricatio, non est necessitas. An possibile est penitus, inquit, non jurare? Quid ais? Deus jussit, et audes interrogare, an legem custodire sit possibile? Imo impossibile est non custodire, et hoc per præsentia vobis persuadere volo quod non impossibile sit non jurare, sed jurare. Ecce enim jussi sunt urbem habitantes illud, quod multorum vires excedere videbatur, aurum erogare, et major pars jam collata est, atque exactores audire licet, dicentes : Quid tardas, homo? quid vero nos de die in diem differs? non enim effugere potes : lex imperatoris est, quæ moram non patitur. Quid quæso dicis? Imperator jussit pecunias pendi, et ut non pendas,

καὶ ἀδύνατον μὴ εἰσενεγκεῖν· ὁ Θεὸς ἐκέλευσε φεύγειν ὅρκους, καὶ λέγεις, Ἀδύνατον φεύγειν ὅρκους;

Ἕκτην ἔχω ταύτην ἡμέραν περὶ ταύτης ὑμῖν παραινῶν τῆς ἐντολῆς· λοιπὸν ὑμῖν συντάξασθαι βούλομαι ὡς ἀφιστάμενος, ἵνα ἀσφαλίζησθε. Οὐκέτι ἀπολογία τις ὑμῖν ἔσται οὐδὲ συγγνώμη· μάλιστα μὲν γὰρ εἰ καὶ μηδὲν εἴρητο, παρ' ὑμῶν αὐτῶν ἔδει διορθωθῆναι τοῦτο· (οὐδὲ γὰρ ποικίλον ἐστὶν, οὐδὲ πολλῆς δεόμενον κατασκευῆς·) ὅταν δὲ καὶ τοσαύτης ἦτε παραινέσεως καὶ συμβουλῆς ἀπολελαυκότες, τίνα ἀπολογίαν [εἰπεῖν] ἕξετε ἐγκαλούμενοι, καὶ ἐπὶ τοῦ βήματος ἑστῶτες τοῦ φοβεροῦ, καὶ εὐθύνας ἀπαιτούμενοι τῆς παρανομίας ταύτης; Οὐκ ἔστιν οὐδεμίαν εἰπεῖν ἀπολογίαν, ἀλλ' ἀνάγκη ἢ κατορθώσαντας ἀπελθεῖν, ἢ μὴ κατορθώσαντας κολάζεσθαι καὶ τὴν ἐσχάτην ὑπομένειν δίκην. Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντες, καὶ μετὰ πολλῆς ἐντεῦθεν ἀναχωρήσαντες τῆς φροντίδος ἀλλήλους παρακελεύεσθε τὰ [ἐν] τοσαύταις ἡμέραις εἰρημένα μετὰ πάσης τηρῆσαι τῆς φυλακῆς ἐπὶ τῆς διανοίας τῆς ὑμετέρας, ἵνα καὶ ἡμῶν σιγώντων ἀλλήλους παιδεύοντες, οἰκοδομοῦντες, παρακαλοῦντες, πολλὴν ἐπιδείξησθε τὴν ἐπίδοσιν, καὶ τοὺς λοιποὺς ἅπαντας ἐκπληρώσαντες νόμους, ἀπολαύσητε τῶν αἰωνίων στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

ΟΜΙΛΙΑ Θ'.

Ἔπαινος τῶν κατωρθωκότων τὸ μὴ ὀμνύειν· καὶ ὅτι οὐκ ἀρκεῖ τις διακρίνεσθαι μετὰ ἑστίασιν ἀκροᾶσθαι θείων λογίων ἐν ἐκκλησίᾳ· καὶ διὰ τί μετὰ χρόνον πολὺν ἐδόθησαν αἱ ἁγίαι Γραφαί· καὶ εἰς τὸ « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ »· καὶ φυσιολογία κόσμου, καὶ πρὸς τῷ τέλει, περὶ τοῦ μὴ ὀμνύειν.

Καὶ πρώην πρὸς ὑμᾶς, καὶ νῦν πρὸς ὑμᾶς [λέγω]· εἴθε (δὲ καὶ) ἀεὶ [εἴην] μεθ' ὑμῶν· μᾶλλον δὲ καὶ ἀεὶ μεθ' ὑμῶν [εἰμὶ], εἰ καὶ μὴ σώματος παρουσίᾳ, ἀλλ' ἀγάπης δυνάμει· οὐδὲ γὰρ ἕτερός μοι βίος ἐστὶν, ἀλλ' ἢ ὑμεῖς καὶ τῆς ὑμετέρας σωτηρίας ἡ φροντίς. Ὥσπερ γὰρ ὁ γεωργὸς οὐδὲν ἄλλο μεριμνᾷ, ἀλλ' ἢ τὰ σπέρματα καὶ τὰ λήϊα, καὶ ὁ κυβερνήτης τὰ κύματα καὶ τοὺς λιμένας· οὕτω καὶ ὁ λέγων τοὺς ἀκούοντας καὶ τὴν ἐκείνων προκοπήν, καθάπερ οὖν καὶ ἐγὼ νῦν. Διὸ καὶ πάντας ὑμᾶς ἐπὶ τῆς διανοίας περιφέρω τῆς ἐμαυτοῦ, οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ οἴκοι. Εἰ γὰρ καὶ πολὺς ὁ ὄχλος καὶ βραχὺ τῆς ἐμῆς καρδίας τὸ μέτρον, ἀλλ' εὐρεῖα ἡ ἀγάπη, καὶ « Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν »· τὰ δὲ ἑξῆς οὐκέτι λοιπὸν ἐρῶ· οὐδὲ γὰρ ἡμεῖς στενοχωρούμεθα παρ' ὑμῖν. Πόθεν τοῦτο δῆλον; Ἔγνων πολλῶν ἀπαγγειλάντων ὅτι Τὸ ἐπιταχθὲν ἐποιήσαμεν, νόμους ἑαυτοῖς θέντες καὶ καταδίκας ὁρίσαντες τοῖς ὀμνύουσι, καὶ τιμωρίας ἐπαγαγόντες τοῖς τὸν νόμον παραβαίνουσι, τιμωρίαν τὴν ὑμῖν πρέπουσαν· ὅπερ μεγίστης ἀγάπης τεκμήριον. Οὐδὲ γὰρ αἰσχύνομαι πολυπραγμονῶν ταῦτα, ἐπειδὴ μὴ περιεργίας ἐστὶν, ἀλλὰ κηδεμονίας αὕτη ἡ

fieri non potest; Deus juramenta fugere jussit, et dicis, Impossibile est fugere juramenta?

Sextus hic dies est quod de hoc vos præcepto admoneo: nunc valedicere vobis volo, tamquam discedens, ut tutos vos præstetis. Non amplius vobis erit excusatio neque venia, maxime cum etiamsi a nobis dictum fuisset nihil, a vobis ipsis hoc corrigi debuerit (nec enim varium est, et multa præparatione indigens). Cum vero tantum sitis nacti admonitionis et consilii, quam habebitis excusationem accusati, pro tribunali constituti tremendo, cum pœnæ prævaricationis hujus a vobis exigentur? Nullam afferre licebit excusationem, sed necesse erit vel emendatos abire, vel non emendatos puniri, et extremum subire supplicium. Hæc igitur omnia cogitantes, cum multa cura hinc digressi, quæ tot diebus dicta sunt, omni custodia in mente vestra conservare inter vos exhortamini: quo vel nobis tacentibus alter alterum docentes, ædificantes, exhortantes, multum demonstretis profectum, et omnes reliquas leges implentes, æternis fruamini coronis: quas contingat nos omnes assequi, gratia etc.

HOMILIA IX.

Laudatio eorum qui jurandi consuetudinem deposuerant: et quod nemo superstitione teneri debet, ne post refectionem divinos in ecclesia sermones audiat: quare post multum tempus divinæ sunt traditæ Scripturæ: et in illud, *Cœli enarrant gloriam Dei:* mundi naturalis descriptio; et in fine, de non jurando.

1. Et nuper ad vos, et nunc ad vos dico: Utinam semper vobiscum essem! Imo potius semper sum vobiscum, etsi non corporis præsentia, saltem caritatis vi: nec enim est mihi alia vita, nisi vos et salutis vestræ cura. Sicut enim colonus nihil aliud curat præter semina et segetes, et nauta undas et portus: sic et qui loquitur, auditores curat et illorum profectum, sicut et ego nunc. Ideo et omnes vos in mente mea circumfero, nec vero hic tantum, sed et domi. Etsi enim multus est populus, et brevis cordis mei mensura, sed lata est caritas, et (2. *Cor.* 6. 12) *Non in nobis angustiamini:* sequentia vero non addam; neque enim nos apud vos angustiamur. Unde hoc manifestum? Novi multos referentes, Mandatum fecimus leges nobismet ponentes, et jurantibus pœnas definientes, et legem transgredientibus pœnam inferentes, pœnam vobis congruam, id quod est maximæ caritatis indicium. Non enim me pudet talia satagere: quoniam in hoc curiositatis nihil est, sed providentiæ hæc est soli-

φιλοπραγμοσύνη. Εἰ γὰρ οὐκ ἔστιν ὄνειδος τῷ ἰατρῷ πυνθάνεσθαι περὶ τοῦ κάμνοντος, οὐδὲ ἡμῖν ἔγκλημα περὶ τῆς ὑμετέρας ἐξετάζειν ἀεὶ σωτηρίας· οὕτω γὰρ μαθόντες τί μὲν ὑμῖν ἀπήρτισται, τί δὲ ἐλλέλειπται, μετὰ τῆς προσηκούσης ἐπιστήμης τὰ λοιπὰ ἐπιθήσομεν φάρμακα. Ἔγνωμεν τοίνυν ταῦτα περιεργασάμενοι, καὶ ηὐχαριστήσαμεν τῷ Θεῷ, ὅτι οὐκ εἰς πέτρας ἐσπείραμεν, οὐδὲ εἰς ἀκάνθας κατεβάλομεν τὰ σπέρματα, οὐδὲ πολλοῦ χρόνου καὶ πολλῆς ἐδεήθημεν ἀναβολῆς, ὥστε θερίσαι τὰ λήϊα. Διὰ ταῦτα ὑμᾶς ἐπὶ τῆς καρδίας ἔχω συνεχῶς τῆς ἐμαυτοῦ, διὰ ταῦτα οὐκ αἰσθάνομαι τοῦ πόνου τῆς διδασκαλίας, τῷ τῆς ἀκροάσεως κουφιζόμενος κέρδει. Ἱκανὸς γὰρ ἡμᾶς οὗτος ὁ μισθὸς ἀναπτήσασθαι καὶ πτερῶσαι καὶ μεταρσίους ποιῆσαι, [καὶ πεῖσαι] πάντα ὑπὲρ ὑμῶν ὑπομένειν πόνον.

Ἐπεὶ οὖν πολλὴν τὴν εὐγνωμοσύνην ὑμεῖς ἐπεδείξασθε, φέρε δὴ λοιπὸν καὶ ἡμεῖς τὸ χρέος καταβάλωμεν, ὅπερ ὑπεσχόμεθα πρώην· καίτοι γε οὐχ ὁρῶ παρόντας ἅπαντας τοὺς ἡνίκα ἐποιούμην τὴν ὑπόσχεσιν παραγενομένους ἐνταῦθα. Τί ποτε ἄρα τὸ αἴτιον; τί τῆς ἡμετέρας τραπέζης αὐτοὺς ἀπεσόβησεν; Ὁ τραπέζης, ὡς ἔοικε, μετασχὼν αἰσθητῆς ἐνόμισεν ἀνάξιον εἶναι μετὰ τροφὴν αἰσθητὴν ἐπὶ θείων λογίων ἀκρόασιν ἐλθεῖν· ἀλλ' οὐ δικαίως τοῦτο νομίζουσιν· οὐδὲ γὰρ ἂν, εἰ τοῦτο ἦν ἄτοπον, τοὺς πολλοὺς καὶ μακροὺς ἀνήλωσε λόγους ὁ Χριστὸς μετὰ τὸ δεῖπνον ἐκεῖνο τὸ μυστικόν· οὐκ ἄν, εἰ τοῦτο ἀπρεπὲς ἦν, ἑστιάσας πολλάκις τὸ πλῆθος ἐπὶ τῆς ἐρήμου, καὶ λόγων αὐτοῖς μετέδωκεν ἂν μετὰ τὴν τράπεζαν. Εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τότε μὲν οὖν χρησιμωτάτη ἡ τῶν θείων λογίων ἀκρόασις. Ὅταν γὰρ ᾖς σαυτὸν πεπεικὼς ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν ἀνάγκη καὶ πρὸς σύναξιν ἀπαντῆσαι, πάντως καὶ ἄκων πολλῆς ἐπιμελήσῃ τῆς σωφροσύνης, καὶ οὔτε εἰς μέθην οὔτε εἰς ἀδηφαγίαν κατενεχθήσῃ ποτέ· ἡ γὰρ φροντὶς καὶ ἡ προσδοκία τῆς εἰς τὴν ἐκκλησίαν ἀφίξεως παιδεύει μετὰ τῆς προσηκούσης εὐκοσμίας καὶ τροφῆς καὶ ποτοῦ μεταλαμβάνειν, ἵνα μὴ εἰσελθὼν καὶ τοῖς ἀδελφοῖς ἀναμιχθεὶς, εἶτα ἀποπνέων οἴνου καὶ ἐρευγόμενος ἀτάκτως, καταγελασθῇς παρὰ τῶν παρόντων ἁπάντων. Ταῦτα οὐ πρὸς ὑμᾶς λέγω νῦν, ἀλλὰ πρὸς τοὺς ἀπολειφθέντας ὑμῶν, ἵνα δι' ὑμῶν ταῦτα μανθάνωσιν. Οὐ γὰρ τὸ φαγεῖν κώλυμα ἀκροάσεως, ἀλλὰ τὸ ῥᾳθυμεῖν· σὺ δὲ κατάγνωσιν εἶναι νομίζων τὸ μὴ νηστεῦσαι, καὶ ἕτερον προστίθης ἔγκλημα πολλῷ μεῖζον καὶ χαλεπώτερον, τὸ μὴ τῆς ἱερᾶς ταύτης μετασχεῖν τραπέζης, καὶ θρέψας σου τὸ σῶμα κατατήκεις λιμῷ τὴν ψυχήν· καὶ ποίαν ἕξεις ἀπολογίαν; Ἐπὶ μὲν γὰρ τῆς νηστείας ἴσως ἔχεις σώματος ἀσθένειαν προβαλέσθαι, ἐπὶ δὲ ἀκροάσεως τί ἂν ἔχοις εἰπεῖν; οὐ γὰρ δὴ σώματος ἀσθένεια κωλύει τῶν θείων λογίων μετέχειν. Εἰ μὲν γὰρ ἔλεγον, Μηδεὶς ἠριστηκὼς συμμισγέσθω, μηδεὶς φαγὼν ἀκροάσθω, εἶχες τινὰ συγγνώμην· νυνὶ δὲ ὅταν

licitudo. Si enim medico non est opprobrium de ægroto sciscitari, neque nobis crimen de vestra semper inquirere salute. Sic enim edocti quid vobis expeditum sit, quid vero relictum, congrua cum scientia reliqua afferemus remedia. Hæc igitur curiose scrutati cognovimus, et Deo gratias egimus, quod non in petris seminavimus, nec in spinas misimus semina, neque multo tempore multaque dilatione indiguimus, ut segetes meteremus. Propterea vos in corde meo assidue gero, propterea non sentio docendi laborem, auditorum lucro relevatus. Hæc enim merces nos reparare potest et relevare et alacres promptosque facere ad omnem pro vobis laborem sustinendum.

Quoniam igitur multa vos grati animi signa dedistis, age jam et nos debitum erogemus, quod nuper promiseramus : licet non videam præsentes esse illos omnes, qui, cum promissionem feci, huc venerant. Quæ tandem itaque causa? quid ipsos a nostra repulit mensa? Qui corporalem attigit mensam, ut videtur, indignum esse putavit, post corporis nutrimentum ad divinorum auditionem eloquiorum venire. Sed non recte ita sentiunt : neque enim, si hoc esset absurdum, multos et longos impendisset sermones Christus post illam mysticam cœnam : non utique, si hoc incongruum esset, refecta sæpius in deserto multitudine etiam sermones ipsis post mensam communicasset. Si enim fas est aliquid etiam singulare dicere, tunc profecto utilissimum est divinis eloquiis aures accommodare. Cum enim tibi persuaseris, post cibum et potum necesse esse etiam ad synaxim convenire, omnino vel invitus multam geres sobrietatis curam, et neque in ebrietatem neque in crapulam umquam deducesis : cura enim et exspectatio in ecclesia conveniendi cum honesta mensura cibum et potum sumere docet, ne ingressus et fratribus commixtus, postea vinum redolens, et immodeste eructans, ab omnibus præsentibus deridearis. Hæc non vobis nunc præsentibus, sed iis qui absunt dico, ut per vos hæc discant. Non enim comedere audienti obstaculum præbet, sed torpere; tu vero crimen esse putans non jejunare, in aliud incurris crimen, multo majus et gravius, quod sacræ hujus mensæ non particeps efficiaris, et quod corpus tuum alens, animam fame consumas : et quam excusationem habebis? In jejunio quippe corporis imbecillitatem prætendere fortasse poteris, in audiendo autem quid tandem dicere poesis? non enim corporis infirmitas divinorum prohibet eloquiorum participem fieri. Si enim dixissem, Nemo prandio aliis misceatur, post cibum audiat nemo, aliquam habuisses veniam;

ἡμεῖς ἕλκωμεν καὶ ἐπισπώμεθα καὶ πρὸς ἑαυτοὺς καλῶμεν, ποίαν ἕξετε ἀπολογίαν ἀποπηδῶντες; Καὶ γὰρ ἀνεπιτήδειος ἀκροατὴς ἐκεῖνος ἂν γένοιτο, οὐχ ὁ φαγὼν καὶ πιών, ἀλλ' ὁ μὴ προσέχων τοῖς λεγομένοις, ὁ χασμώμενος καὶ ἐκλυόμενος, καὶ τὸ μὲν σῶμα ἐνταῦθα ἔχων, τὴν δὲ διάνοιαν ἀλλαχοῦ πλανωμένην· οὗτος κἂν νηστεύῃ, πρὸς ἀκρόασίν ἐστιν ἄχρηστος· ὁ μέντοι διεγηγερμένος καὶ νήφων καὶ συντείνων ἑαυτοῦ τὴν διάνοιαν, κἂν ἐδηδοκὼς, κἂν πεπωκὼς ᾖ, πάντων ἐπιτηδειότερος ἀκροατὴς ἂν ἡμῖν γένοιτο. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων καὶ βουλευτηρίων εἰκότως οὗτος ὁ νόμος ἐκράτησεν· οὐ γὰρ ἴσασι φιλοσοφεῖν· διὸ οὐδὲ ἐσθίουσιν ὥστε τραφῆναι, ἀλλ' ὥστε διαῤῥαγῆναι· πίνουσι δὲ ὑπὲρ κόρον πολλάκις· διὰ τοῦτο ἑαυτοὺς ἀχρήστους πρὸς τὴν τῶν πραγμάτων οἰκονομίαν καθιστῶντες, καὶ τὰ δικαστήρια καὶ τὰ βουλευτήρια ἀποκλείουσι δείλης καὶ μεσημβρίας. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· μὴ γένοιτο· ἀλλ' ὁ φαγὼν τῷ νηστεύοντι κατὰ τὴν τῆς ψυχῆς σωφροσύνην ἐφάμιλλος ἔσται· οὐ γὰρ ὥστε διαῤῥαγῆναι τὴν γαστέρα οὐδὲ σκοτῶσαι τὸν λογισμὸν ἐσθίει καὶ πίνει, ἀλλ' ὥστε τὸ σῶμα ἠσθενηκὸς ἀνακτήσασθαι.

Ἀλλὰ τῆς μὲν παραινέσεως ταύτης ἅλις, ὥρα δὲ λοιπὸν καὶ τῆς ὑποθέσεως ἅψασθαι· καίτοι γε ἀναδύεται καὶ ὀκνεῖ πρὸς τὴν διδασκαλίαν ταύτην ἡμῖν ὁ λογισμὸς διὰ τοὺς μὴ παραγενομένους. Καὶ καθάπερ μήτηρ φιλόστοργος τράπεζαν ἔχουσα παραθεῖναι, τῶν παίδων μὴ παρόντων ἅπάντων ἀλγεῖ καὶ ὀδυνᾶται· τοῦτο δὴ κἀγὼ πάσχω νῦν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων ἐνόντων τὴν ἀπουσίαν, ἀναδύομαι πρὸς τὴν ἔκτισιν· ἀλλ' ὑμεῖς κύριοι τὸν ὄκνον τοῦτον ἐκβαλεῖν. Εἰ γὰρ ὑπόσχησθέ μοι μετ' ἀκριβείας ἅπαντα πρὸς ἐκείνους διαπορθμεύσειν, μετὰ προθυμίας ἡμεῖς ἅπαντα καταβαλοῦμεν ὑμῖν· οὕτω γὰρ ἐκείνοις τε ἔσται τῆς ἀπουσίας παραμυθία τῆς ὑμετέρας ἀγάπης ἡ διδασκαλία, ὑμεῖς τε προσεκτικώτερον ἡμῶν ἀκούσεσθε, εἰδότες ὅτι καὶ πρὸς ἑτέρους ὑμῖν ἀπαγγεῖλαι ταῦτα ἀνάγκη. Ἵν' οὖν σαφέστερος ἡμῖν ὁ λόγος γένηται, ἄνωθεν ἀναλαβόντες αὐτὸν εἴπωμεν.

Ἐζητοῦμεν τοίνυν πρώην τίνος ἕνεκεν μετὰ ἔτη τοσαῦτα ἐδόθησαν αἱ Γραφαί· οὐ γὰρ ἐπὶ τοῦ Ἀδὰμ, οὐδὲ ἐπὶ τοῦ Νῶε, καὶ τοῦ Ἀβραὰμ, ἀλλὰ ἐπὶ τοῦ Μωϋσέως ἐδόθη τοῦτο τὸ βιβλίον· καὶ πολλῶν ἀκούω λεγόντων ὅτι, εἰ χρήσιμον ἦν, ἐξ ἀρχῆς ἔδει δοθῆναι· εἰ δὲ ἄχρηστον ἦν, οὐδὲ μετὰ ταῦτα δοθῆναι ἐχρῆν. Ἀλλ' ἕωλος οὗτος ὁ λογισμός· οὐ γὰρ δὴ πάντως, εἴ τι χρήσιμον μετὰ ταῦτα, ἐξ ἀρχῆς ὀφείλει δίδοσθαι· οὐδὲ εἴ τι παρὰ τὴν ἀρχὴν ἐδόθη, τοῦτο πάντως ὀφείλει καὶ μετὰ ταῦτα μένειν. Ἐπεὶ καὶ τὸ γάλα χρήσιμον, ἀλλ' οὐ διηνεκῶς δίδοται, ἀλλὰ παισὶν οὖσιν ἡμῖν δίδοται μόνον· καὶ ἡ στερεὰ τροφὴ χρήσιμος, ἀλλ' οὐδεὶς ἡμῖν αὐτῆς ἐν ἀρχῇ μεταδίδωσιν, ἀλλ' ἐπειδὰν τὴν παιδικὴν ἐξέλθωμεν ἡλικίαν· πάλιν τὸ θέρος χρήσιμον, ἀλλ' οὐ διαπαντὸς φαίνεται· καὶ ὁ χειμὼν ἐπιτήδειος, ἀλλὰ καὶ

nunc vero cum vos trahamus et alliciamus et ad nos vocemus, quamnam resilientes excusationem habebitis? Etenim non idoneus auditor ille esset, non qui comedisset et bibisset, sed qui verbis non attenderet, oscitans et dissolutus, qui corpus hic habens, mente alio vagaretur; hic etiamsi jejunet, ad audiendum inutilis est: excitatus contra et vigilans, menteque attendens, etiamsi comederit, etiamsi biberit, nobis erit omnium aptissimus auditor. In exterorum enim judiciis et consiliis congrue lex ista praevaluit: neque enim norunt philosophari; ideo non comedunt ut nutriantur, sed ut disrumpantur, et sæpe supra satietatem bibunt: propterea se ipsos rerum administrationi ineptos reddentes, vespere et meridie tribunalia et curias claudunt. Hic autem nihil est hujusmodi, absit! sed qui comedit, jejuno animi modestia erit æqualis: non enim ut ventrem disrumpat aut rationem obtenebret, comedit et bibit, sed ut corpus debilitatum reparet.

2. Sed hæc pro admonitione satis; jam vero tempus est ad argumentum transeundi, licet refugiat et torpeat circa doctrinam hanc cogitatio nostra propter eos qui non venerunt. Et sicut pia mater mensam apponens, filiis non præsentibus omnibus, dolet atque gemit: hoc ego quoque nunc patior, et fratrum nostrorum absentiam cogitans, a solutione retrahor promissorum; sed vos potestis hunc ejicere torporem. Si enim policeamini mihi vos omnia ad illos cum diligentia relaturos, nos vobis omnia promte erogabimus: sic enim illis erit absentiæ consolatio, vestræ caritatis doctrina, vosque nos attentius audietis, scientes ad alios quoque vobis hæc referre necessarium esse. Ut igitur manifestior nobis oratio fiat, a superioribus ipsam repetentes verba faciamus.

Nuper itaque quærebamus, qua de causa post tot annos editæ sunt Scripturæ: non enim Adam neque Noe et Abraham tempore, sed Mosis, liber hic editus est; et multos audio dicentes, si utilis erat, ab initio dari eum oportuisse: si vero inutilis erat, neque postea datum oportebat. Sed vana hæc ratiocinatio: non enim omnino, si quid postea utile est futurum, ab initio dari debet: neque si quid a principio datum est, hoc omnino debet et postea manere. Quoniam et lac utile, nec tamen semper, sed pueris tantum nobis datur: et solidum nutrimentum utile, sed nemo nobis ipsum in principio impertit, sed postquam puerilem fuerimus ætatem egressi. Rursum ætas utilis, sed non semper apparet: et hyems commoda, sed et hæc

οὗτος ὑπεξίσταται. Τί οὖν; αἱ Γραφαὶ, φησὶν, οὐκ εἰσὶ χρήσιμοι; Χρησιμώταται μὲν οὖν καὶ ἀναγκαιόταται. Τίνος οὖν ἕνεκεν, φησὶν, οὐκ ἐξ ἀρχῆς ἡμῖν ἐδόθησαν; Ὅτι οὐ διὰ γραμμάτων, ἀλλὰ διὰ πραγμάτων ἐβούλετο παιδεύειν τῶν ἀνθρώπων τὴν φύσιν ὁ Θεός. Τί ποτέ ἐστι διὰ πραγμάτων; Διὰ τῆς κτίσεως αὐτῆς. Εἰς τοῦτο γοῦν τὸ κεφάλαιον ἐμπεσὼν ὁ ἀπόστολος, καὶ πρὸς Ἕλληνας ἀποτεινόμενος τοὺς λέγοντας ὅτι Οὐκ ἐμάθομεν ἐξ ἀρχῆς παρὰ τῶν Γραφῶν θεογνωσίαν, ὅρα πῶς ἀπελογήσατο. Εἰπὼν γὰρ, « Ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων », ἐπειδὴ εἶδεν ἀντίθεσιν ἀντιπίπτουσαν αὐτῷ, καὶ πολλοὺς ἀντεροῦντας ὅτι Καὶ πόθεν ἤδεσαν Ἕλληνες τὴν ἀλήθειαν τοῦ Θεοῦ; ἐπήγαγε λέγων, « Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. » Καὶ πῶς φανερόν ἐστιν ἐν αὐτοῖς; πῶς δὲ ἠδύναντο εἰδέναι Θεόν; καὶ τίς ἔδειξεν; εἰπέ. « Ὁ γὰρ Θεὸς ἔδειξεν αὐτοῖς, » φησί. Ποίῳ τρόπῳ; ποῖον προφήτην πέμψας, ποῖον εὐαγγελιστὴν, ποῖαν διδάσκαλον, εἰ αἱ Γραφαὶ μηδέπω ἦσαν; « Τὰ γὰρ ἀόρατα αὐτοῦ, φησὶν, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ ἡ θειότης. » Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὴν κτίσιν εἰς μέσον προέθηκε πρὸ τῶν ὀφθαλμῶν πάντων, ἵν' ἀπὸ τῶν ἔργων τὸν δημιουργὸν στοχάζωνται· ὅπερ οὖν καὶ ἕτερος ἔλεγεν· « Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν καθορᾶται. » Εἶδες τὸ μέγεθος; θαύμασον τὴν δύναμιν τοῦ ποιήσαντος. Εἶδες τὸ κάλλος; ἐκπλάγηθι τὴν σοφίαν τοῦ κοσμήσαντος· ὅπερ οὖν καὶ ὁ προφήτης ἐμφαίνων ἔλεγεν, « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. » Πῶς οὖν διηγοῦνται; εἰπέ μοι· φωνὴν οὐκ ἔχουσι, στόμα οὐ κέκτηνται, γλῶττα παρ' αὐτοῖς οὐκ ἔστι, πῶς οὖν διηγοῦνται; Διὰ τῆς ὄψεως αὐτῆς· ὅταν γὰρ ἴδῃς τὸ κάλλος, τὸ μέγεθος, τὸ ὕψος, τὴν θέσιν, τὸ σχῆμα τὸ πρὸς τοσοῦτον χρόνον διαρκὲς, ὥσπερ φωνῆς ἀκούων καὶ διδασκόμενος διὰ τῆς ὄψεως, προσκυνεῖς τὸν ποιήσαντα σῶμα οὕτω καλὸν καὶ παράδοξον. Σιγᾷ ὁ οὐρανὸς, ἀλλ' ἡ ὄψις αὐτοῦ φωνὴν σάλπιγγος λαμπροτέραν ἀφίησι, δι' ὀφθαλμῶν ἡμᾶς, οὐ δι' ἀκοῆς παιδεύουσα· καὶ γὰρ πέφυκεν αὕτη ἐκείνης ἡ αἴσθησις καὶ πιστοτέρα εἶναι καὶ σαφεστέρα. Εἰ μὲν γὰρ διὰ βιβλίων ἐπαίδευε καὶ διὰ γραμμάτων, ὁ μὲν εἰδὼς γράμματα ἔμαθεν ἂν τὰ ἐγγεγραμμένα, ὁ δὲ οὐκ εἰδὼς ἀπῆλθεν ἂν μηδὲν ἐκεῖθεν ὠφεληθείς, εἰ μή τις ἐνήγαγεν ἕτερος· καὶ ὁ μὲν εὔπορος ἐπρίατο ἂν τὸ βιβλίον, ὁ δὲ πένης οὐκ ἂν ἴσχυσε κτήσασθαι· πάλιν ὁ μὲν τὴν φωνὴν ἐκείνην εἰδὼς τὴν διὰ τῶν γραμμάτων σημαινομένην ἔγνω ἂν τὰ ἐγκείμενα, ὁ δὲ Σκύθης καὶ ὁ βάρβαρος καὶ ὁ Ἰνδὸς καὶ ὁ Αἰγύπτιος καὶ πάντες οἱ τῆς γλώττης ἐκείνης ἀποστερηθέντες ἀπῆλθον ἂν μηδὲν μαθόντες· ἐπὶ δὲ τοῦ οὐρανοῦ οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλὰ καὶ Σκύθης καὶ βάρβαρος καὶ Ἰνδὸς καὶ Αἰγύπτιος καὶ πᾶς ἄνθρωπος ἐπὶ τῆς γῆς βαδίζων ταύτης ἀκούσεται τῆς φωνῆς· οὐ

transit. Quid igitur? dicet aliquis, Scripturæ non sunt utiles? Utilissimæ sane, et admodum necessariæ. Et si utiles, inquit, qua de causa non sunt traditæ nobis ab initio? Quia non per literas, sed per res Deus naturam humanam docere volebat. Quid tandem est, per res? Per ipsam creaturam. In hoc enim argumentum incidens apostolus, et in gentiles intendens, dicentes, Non ab initio Dei cognitionem ex Scripturis didicimus, vide quomodo respondeat. Cum enim dixisset (*Rom* 1. 18), *Revelatur ira Dei de cælo super omnem impietatem et injustitiam hominum eorum, qui veritatem Dei in injustitia detinent*, et vidisset objectionem sibi occurrentem, et multos contra quæsituros, unde gentiles Dei veritatem cognovissent, intulit dicens (*ib.* v. 19), *Quia quod notum est Dei manifestum est in illis.* Et quomodo manifestum est in illis? quomodo vero Deum nosse poterant? quis ostendit? dic. *Deus enim illis manifestavit*, inquit. Quo pacto? quem prophetam mittens, quem evangelistam, quem doctorem, si Scripturæ nondum erant? *Invisibilia enim ipsius*, inquit (*ib.* v. 20), *a creatura mundi per ea quæ facta sunt, intellecta conspiciuntur, sempiternaque virtus ejus et divinitas.* Quod autem dicit, tale est: Ante omnium oculos creaturam in medio proposuit, ut ex operibus creatorem conjiciant: quod quidem et alius dicebat (*Sap.* 13. 5): *Ex magnitudine enim et pulchritudine creaturarum proportionabiliter ipsarum auctor consideratur.* Vidisti magnitudinem? considera potentiam Conditoris cum admiratione. Vidisti pulchritudinem? sapientiam exornatoris obstupesce; quod et propheta demonstrans dicebat (*Psal.* 18. 1), *Cæli enarrant gloriam Dei.* Quomodo igitur, quæso, narrant? vocem non habent, os non possident, non est in ipsis lingua; quomodo igitur narrant? Per ipsum aspectum. Cum enim videris pulchritudinem, magnitudinem, celsitudinem, situm, formam per tantum temporis permanere, tamquam vocem audiens, et per aspectum discens, adoras eum qui tam pulchrum et admirabile corpus creavit. Tacet cælum, sed ipsius aspectus vocem tuba clariorem emittit, per oculos, non per aures nos docens: hic enim sensus a natura est illo certior et manifestior. Si enim per libros docuisset et literas, literarum quidem peritus scripta didicisset, illiteratus vero nihil inde adjutus abiisset, si quis alius non induxisset: dives porro librum emisset, pauper emere non potuisset: rursum qui sciret vocem illam per literas significatam, intus posita nosset; Scytha vero et Barbarus, et Indus et Ægyptius, et omnes lingua carentes illa, nihil edocti abiissent. Hoc autem de cælo dicere non licet, sed et Scytha et Barbarus, et Indus et Ægyptius, et omnis homo super terram incedens hanc vocem audiet: non enim per aures, sed per oculos in mentem

γὰρ δι' ὤτων, ἀλλὰ δι' ὄψεως εἰς τὴν διάνοιαν ἐμπίπτει τὴν ἡμετέραν· ἡ δὲ τῶν ὁρωμένων ἀντίληψις μία τίς ἐστι καὶ οὐ διάφορος, καθάπερ ἡ τῶν γλωσσῶν· εἰς τοῦτο καὶ ἰδιώτης καὶ σοφὸς δυνήσεται τὸ βιβλίον ὁμοίως ἰδεῖν, καὶ πένης καὶ πλούσιος, καὶ ὅπουπερ ἂν τις ἀφίκηται, ἀναβλέψας εἰς τὸν οὐρανὸν ἀρχοῦσαν λήψεται διδασκαλίαν ἀπὸ τῆς θεωρίας· ὅπερ καὶ αὐτὸς ὁ προφήτης αἰνιττόμενος, καὶ δεικνὺς ὅτι φωνὴν ἡ κτίσις ἀφίησι καὶ βαρβάροις καὶ Ἕλλησι καὶ πᾶσιν ἁπλῶς ἀνθρώποις εὐσύνοπτον, οὕτως ἔλεγεν· « Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. » Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστιν ἔθνος οὐδὲ γλῶττα, φησὶν, ἡ μὴ δυναμένη συνιέναι ταύτης τῆς φωνῆς· ἀλλὰ τοιοῦτος αὐτῶν ἐστιν ὁ φθόγγος, ὥστε δύνασθαι ὑπὸ πάντων ἀνθρώπων ἀκούεσθαι, καὶ οὐχὶ τοῦ οὐρανοῦ μόνον, ἀλλὰ καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός. Καὶ πῶς τῆς ἡμέρας καὶ τῆς νυκτός; οὗτος μὲν γὰρ καὶ διὰ τοῦ κάλλους καὶ διὰ τοῦ μεγέθους καὶ διὰ τῶν ἄλλων ἁπάντων ἐκπλήττει τοὺς θεατὰς, καὶ πρὸς τὸ θαῦμα τοῦ δημιουργήσαντος αὐτὸν παραπέμπει, ἡ δὲ ἡμέρα καὶ ἡ νὺξ τί τοιοῦτον ἂν ἔχοιεν ἡμῖν ἐπιδείξασθαι; Τοιοῦτον μὲν οὐδὲν, ἕτερα δὲ οὐκ ἐλάττονα τούτων, τὸν ῥυθμὸν, τὴν τάξιν τὴν μετ' ἀκριβείας ἁπάσης. Ὅταν γὰρ ἐννοήσῃς πῶς τὸν ἐνιαυτὸν πάντα διενείμαντο καὶ καθάπερ ἐν ζυγῷ καὶ πλάστιγγι τοῦ παντὸς διαστήματος τὸ μῆκος διείλαντο, ἐκπλαγήσῃ τὸν τάξαντα. Καθάπερ γάρ τινες ἀδελφαὶ τὸν πατρῷον διανειμάμεναι κλῆρον μετὰ πολλῆς τῆς ἀγάπης οὐδὲ τὸ τυχὸν ἀλλήλαις ἐπηρεάζουσαι, οὕτω δὴ καὶ ἡ ἡμέρα καὶ ἡ νὺξ μετὰ ἀκριβείας πάσης τὸν ἐνιαυτὸν ἐν ἰσομοιρίᾳ τοσαύτῃ διενείμαντο, καὶ τοὺς οἰκείους διατηροῦσιν ὅρους, καὶ οὐδέποτε ἑτέρα τὴν ἑτέραν ἐξώθησεν· οὐδέποτε οὖν ἐν χειμῶνι μακρὰ γέγονεν ἡ ἡμέρα, ὥσπερ οὐδέποτε τοῦ θέρους μακρὰ γέγονεν ἡ νύξ, τοσούτων παρελθουσῶν γενεῶν· ἀλλ' ἐν τοσούτῳ διαστήματι καὶ μήκει οὐδὲ ἀκαριαῖον, οὐχ ἡμιώριον, οὐ ῥιπὴν ὀφθαλμοῦ ἡ ἑτέρα τὴν ἑτέραν ἐπλεονέκτησε. Διὰ ταῦτα καὶ ὁ ψαλμῳδὸς ἐκπλαγεὶς αὐτῶν τὴν ἰσότητα, ἐβόα λέγων, « Νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. » Ἂν ταῦτα εἰδῇς φιλοσοφεῖν, θαυμάσει τὸν οὕτω παρὰ τὴν ἀρχὴν τάξαντα τοὺς ἀκινήτους τούτους ὅρους. Ἀκουέτωσαν ταῦτα οἱ πλεονέκται καὶ τῶν ἀλλοτρίων ἐρῶμενοι χρημάτων, καὶ μιμείσθωσαν ἡμέρας καὶ νυκτὸς τὴν ἰσότητα· ἀκουέτωσαν οἱ πεφυσημένοι καὶ μεγάλα φρονοῦντες καὶ μὴ βουλόμενοι τῶν πρωτείων ἑτέροις παραχωρεῖν. Ἡ ἡμέρα τῇ νυκτὶ παραχωρεῖ, καὶ οὐκ ἐπιβαίνει τοῖς ἀλλοτρίοις ὅροις· σὺ δὲ ἀεὶ τιμῆς ἀπολαύων οὐκ ἀνέχῃ τοῖς ἀδελφοῖς μεταδοῦναι ταύτης.

Καὶ σκόπει μοι νομοθέτου σοφίαν. Ἐν χειμῶνι μακρὰν ἔταξεν εἶναι τὴν νύκτα, ὅτε ἁπαλώτερα τὰ σπέρματα καὶ καταψύχεσθαι δεόμενα μᾶλλον, καὶ θερμοτέρας οὐκ ἀνέχεται τῆς ἀκτῖνος· ἐπειδὰν δὲ αὐξηθῇ, συναύξεται πάλιν αὐτοῖς ἡ ἡμέρα, καὶ τότε γίνεται μακροτέρα, ὅταν ὁ καρπὸς ἀκμάζῃ λοιπόν. Οὐ τοῖς

incidit nostram. Visibilium autem participatio una atque eadem est, neque differens sicut linguarum : in hunc librum pariter et idiota et sapiens intueri poterunt, et pauper et dives, et quocumque quis venerit, in cælum suspiciens, sufficientem capiet doctrinam ex aspectu : quod quidem et ipse propheta innuens, et demonstrans quod vocem creatura et barbaris emittat et Græcis et omnibus in universum hominibus intellectu facilem, sic dicebat (*Psal.* 18. 4) : *Non sunt loquelæ neque sermones quorum non audiantur voces eorum.* Quod autem dicit, tale est : Non est gens neque lingua quæ hanc vocem intelligere non possit ; sed talis est ipsorum vox, ut ab omnibus hominibus audiri possit, nec cæli tantum, sed et diei et noctis. Et quomodo diei et noctis? Illud enim et per pulchritudinem, et per magnitudinem, et per alia omnia spectatores percellit, et in ipsius Creatoris admirationem traducit ; dies vero et nox quid nobis tale ostentare possent? Hujusmodi quidem nihil, sed alia his non inferiora : convenientiam, ordinem cum omni diligentia servatum. Cum enim cogitaveris, quomodo totum annum inter se distribuerint, et tamquam in libra et bilance totius spatii longitudinem diviserint, eum qui ordinavit admiraberis. Velut enim sorores quædam paternam hereditatem partitæ cum caritate multa, nullo modo inter se calumniantes, sic et dies et nox cum omni diligentia annum æqualitate tanta distribuunt, et proprios conservant fines, nec umquam alteram altera pepulit. Numquam igitur hyeme dies fuit longa, sicut nec umquam æstate longa fuit nox, tot præteritis generationibus, sed in tanto intervallo et longitudine temporis neque modicum nec dimidiam horam nec oculi nictum altera quam altera plus habuit. Propterea et psalmista ipsorum æqualitatem admiratus, clamabat dicens (*Psal.* 18. 3), *Nox nocti indicat scientiam.* Si hæc philosophari scias, admiraberis eum, qui sic ab initio hos immobiles terminos statuit. Audiant hæc avari et aliena concupiscentes, et diei noctisque æqualitatem imitentur. Audiant inflati et alta sapientes, et nolentes primas partes aliis concedere. Dies nocti cedit, nec alienos fines invadit ; tu vero semper honore fruens fratribus hunc communicare non sustines.

3. Et considera mihi legislatoris sapientiam. In hyeme longam noctem esse jussit, quando molliora semina et frigore indigentia magis, nec calidiorem radium tolerant : postquam vero aucta fuerint, una cum ipsis crescit rursum dies, et tunc fit longior, quando jam viget fructus. Hoc

σπέρμασι δὲ τοῦτο, ἀλλὰ καὶ τοῖς σώμασιν ἐπιτήδειον. Ἐπειδὰν γὰρ τοῦ χειμῶνος καὶ ναύτης καὶ κυβερνήτης καὶ ὁδοιπόρος καὶ στρατιώτης καὶ γεωργὸς τὰ πολλὰ οἶκοι κάθηνται τῷ κρυμῷ συνδεδεμένοι, καὶ ἀργίας καιρὸς ὁ τοῦ χειμῶνός ἐστι, τὸ πλέον τοῦ χρόνου εἰς νύκτας ἐναλίσκεσθαι ἐποίησεν ὁ Θεὸς, ἵνα μὴ περιττὸν ᾖ τῆς ἡμέρας τὸ μῆκος, οὐδὲν δυναμένων ποιεῖν τῶν ἀνθρώπων. Τί ἂν τις εἴποι τῶν ὡρῶν τὴν εὐταξίαν, πῶς καὶ αὗται, καθάπερ τινὲς χορεύουσαι ἐν κύκλῳ, μετὰ πολλῆς τῆς εὐταξίας ἀλλήλας διαδέχονται, καὶ κατὰ μικρὸν ἀψοφητὶ πρὸς τὰς ἐναντίας αἱ μέσαι διαβιβάζουσαι οὐ παύονται; Διὰ τοῦτο οὔτε ἀπὸ χειμῶνος ἡμᾶς διαδέχεται θέρος, οὔτε ἐκεῖθεν χειμὼν εὐθέως, ἀλλὰ μέσον παρεμβέβληται τὸ ἔαρ, ὥστε ῥᾳδίως καὶ κατὰ μικρὸν διαδεχόμενον ἡμῶν πεπυκνωμένα τὰ σώματα ἀλύπως προσάγειν τῷ θέρει. Ἐπειδὴ γὰρ αἱ ἀθρόαι πρὸς τὸ ἐναντίον μεταβολαὶ νόσον καὶ βλάβην τίκτουσι τὴν ἐσχάτην, ᾠκονόμησεν ὁ Θεὸς ἀπὸ μὲν τοῦ χειμῶνος τὸ ἔαρ ἡμᾶς διαδέχεσθαι, ἀπὸ δὲ τοῦ ἔαρος τὸ θέρος, ἀπὸ δὲ τοῦ θέρους τὸ μετόπωρον, καὶ οὕτω τῷ χειμῶνι παραπέμπειν, ὥστε ἀβλαβεῖς καὶ κατὰ μικρὸν τὰς μεταβολὰς τὰς ἐκ τῶν ἐναντίων ὡρῶν διὰ τῶν μέσων ἡμῖν ἐγγίνεσθαι. Τίς οὖν οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὃς ὁρῶν μὲν οὐρανὸν, ὁρῶν δὲ θάλατταν καὶ γῆν, ὁρῶν δὲ τοσαύτην ὡρῶν εὐκρασίαν οὕτως ἀκριβῆ, καὶ ἡμέρας καὶ νυκτὸς ἀδιάπτωτον τάξιν, νομίζειν αὐτομάτως ταῦτα γίνεσθαι, ἀλλὰ μὴ προσκυνεῖν τὸν ἅπαντα ταῦτα μετὰ σοφίας τῆς προσηκούσης διατάξάμενον;

Ἔχω τι καὶ πλεῖον τούτων εἰπεῖν· οὐ γὰρ δὴ μόνον τὸ μέγεθος καὶ τὸ κάλλος, ἀλλὰ καὶ αὐτὸς ὁ τρόπος τῆς δημιουργίας ἐμφαίνει τὸν συγκρατοῦντα τὰ πάντα Θεόν. Ἐπειδὴ γὰρ κτίζοντι καὶ δημιουργοῦντι ἅπαντα παρὰ τὴν ἀρχὴν οὐ παρῆμεν, οὐδὲ, εἰ καὶ παρῆμεν, εἴδομεν ἂν πῶς ἐγίνετο, τῆς ἀοράτου δυνάμεως αὐτὰ κατασκευαζούσης, αὐτὸν τὸν τρόπον τῆς δημιουργίας ἄριστον ἡμῖν ἐποίησεν ἐγγενέσθαι διδάσκαλον, ὑπὲρ φύσεως ἀκολουθίαν συνθεὶς ἅπαντα τὰ γενόμενα. Τάχα ἀσαφέστερόν ἐστιν ὅπερ εἶπον· οὐκοῦν ἀνάγκη σαφέστερον τοῦτο πάλιν εἰπεῖν. Πάντες ἂν ὁμολογήσαιεν ὅτι φύσεως ἦν ἀκολουθία τὸ ὕδωρ ὑπὲρ τὴν γῆν φέρεσθαι, ἀλλ' οὐχὶ τὴν γῆν ἐπὶ τῶν ὑδάτων· ἡ μὲν γὰρ γῆ πυκνή τις οὖσα καὶ σκληρὰ καὶ ἀντίτυπος καὶ συνεχὴς, ῥᾳδίως δύναται στέγειν τῶν ὑδάτων τὴν φύσιν· τὸ δὲ ὕδωρ ῥυτὸν ὂν καὶ χαῦνον, μαλακόν τε καὶ διαῤῥέον, καὶ τοῖς ἐμπίπτουσιν εἶκον ἅπασιν, οὐδὲν ἂν σῶμα δυνηθείη στέγειν κἂν σφόδρα κουφότατον ᾖ· πολλάκις γοῦν ψηφῖδος μικρᾶς ἐμπεσούσης εἶξε καὶ παρεχώρησε, καὶ πρὸς τὸ βάθος αὐτὴν παρέπεμψεν. Ὅταν οὖν ἴδῃς οὐχὶ ψηφῖδα μικρὰν, ἀλλὰ τὴν γῆν ἅπασαν ὑπεράνω τῶν ὑδάτων φερομένην καὶ μὴ καταποντιζομένην, θαύμασον τὴν δύναμιν τὴν ὑπὲρ φύσιν ταῦτα θαυματουργοῦσαν. Καὶ πόθεν τοῦτο δῆλον, ὅτι ἡ γῆ ὑπεράνω τῶν ὑδάτων φέρεται; Ὁ προφήτης φησὶν οὕτω

vero non seminibus tantum, sed etiam corporibus opportunum. Quoniam hyeme nauta, gubernator et viator, miles et agricola plerumque domi sedent, gelu constricti, et otii locus est in hyeme, plus temporis in noctes impendi Deus constituit, ne diei longitudo nimia sit, nihil hominibus facere valentibus. Quid dicere quis possit de anni partium ordine? quomodo et hæ tamquam virgines quædam in gyro saltantes, cum multa ratione sibi mutuo succedunt, et paulatim sine strepitu ad contrarias medias nos perducere non cessant? Propterea non ab hyeme nos excipit æstas, nec ab ipsa statim hyems, sed medium ver interpositum est, ita ut sensim et paulatim excipiens densata corpora nostra æstati sine tristitia adducat: quoniam enim subitaneæ in contrarium mutationes pernicium et morbum pariunt extremum, dispensavit Deus ab hyeme quidem ver nos excipere, a vere porro æstatem, ab æstate autumnum, et sic hyemi transmittere: itaque innocuæ et procedentes paulatim mutationes ex contrariis anni tempestatibus per medias nobis adveniunt. Quis igitur tam miser et ærumnosus, qui cælum quidem cernens, cernens vero mare et terram, tempestatum anni temperiem tam diligenter moderatam, et inconcussum diei et noctis ordinem, hæc sponte fieri putet, nec adoret eum qui hæc omnia cum sapientia congrua disposuit?

Habeo quod dicam hisce etiam majus: non enim magnitudo tantum et pulchritudo, sed et ipse creationis modus Deum monstrat qui cuncta ordinat et continet. Quoniam enim condenti et creanti omnia ab initio non aderamus, neque, etsi adfuissemus, quomodo fierent scire poteramus, invisibili virtute cuncta componente, ipsum creationis modum optimum nobis magistrum esse fecit, supernaturali consequentia componens omnia quæ fiebant. Forte quod dixi obscurius est: igitur necesse hoc rursum manifestius dicere. Omnes utique fateantur naturæ consequentiam esse, ut aqua super terram, sed non terra ab aquis feratur. Terra quippe cum sit densa, dura et non cedens, atque solida, facile potest aquarum naturam sustinere; aqua vero cum liquida sit et mollis, tenuisque et diffluens, et omnibus cedens occurrentibus, nullum corpus umquam sustinere valeret, etiamsi levissimum sit: nam sæpe lapillo incidenti parvo cedit et refugit, ipsumque ad profundum transmittit. Cum videris igitur non lapillum parvum, sed terram omnem super aquas ferri, neque submergi, admirare potentiam supra naturam hæc mirabiliter operantem. Et unde hoc manifestum, quod terra super aquas feratur? Propheta hoc dicit (*Psal.* 23. 2):

λέγων· « Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. » Καὶ πάλιν, « Τῷ θεμελιώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. » Τί λέγεις; ψηφίδα μικρὰν ὕδωρ ἐπὶ τῶν νώτων οὐκ ἂν δυνηθείη βαστάσαι, καὶ γῆν τοσαύτην φέρει καὶ ὄρη καὶ βουνοὺς καὶ πόλεις καὶ φυτὰ καὶ ἄνδρας καὶ ἄλογα, καὶ οὐ καταποντίζεται; τί λέγω, οὐ καταποντίζεται; πῶς κάτωθεν ὁμιλοῦντος αὐτῇ τοῦ ὕδατος τοσοῦτον χρόνον, οὐ διελύθη καὶ πηλὸς γέγονε τὸ πᾶν; Εἰ γὰρ ξύλων φύσις ὕδασι βραχὺν ἐνδιατρίψασα χρόνον σήπεται καὶ διαλύεται· καὶ τί λέγω ξύλων φύσις; τί σιδήρου γένοιτ' ἂν εὐτονώτερον; ἀλλὰ καὶ οὗτος χαυνοῦται πολλάκις, ὅταν διαπαντὸς ἐν ὕδατι μένῃ· καὶ μάλα εἰκότως· καὶ γὰρ καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν ὕπαρξιν. Διὰ τοῦτο πολλοὶ τῶν ὀραπετευόντων οἰκετῶν, ἐπειδὰν τὰς πέδας καὶ τὰς ἁλύσεις ἐπισυρόμενοι φύγωσι, παρὰ ῥύακας ὑδάτων ἐλθόντες καὶ δεδεμένους ἐναποθέμενοι τοὺς πόδας τοῖς ὕδασι, καὶ χαυνότερον ταύτῃ ποιήσαντες τὸν σίδηρον, ῥᾳδίως λίθῳ παίοντες διαχλῶσιν. Εἶτα σίδηρος μὲν χαυνοῦται, καὶ ξύλα σήπεται, καὶ λίθοι φθείρονται ἀπὸ τῆς τῶν ὑδάτων φύσεως, γῆς δὲ ὄγκος τοσοῦτος ἐπὶ τοσοῦτον χρόνον ἐπικείμενος τοῖς ὕδασιν, οὐ κατεποντίσθη οὔτε διελύθη καὶ ἀπώλετο. Καὶ τίς οὐκ ἂν ἐκπλαγείη ταῦτα καὶ ὑπερθαυμάσειε, καὶ θαῤῥῶν ἂν εἴποι, οὐχὶ φύσεως εἶναι ἔργα, ἀλλὰ τῆς ὑπὲρ φύσιν προνοίας; Διὰ ταῦτά τις φησὶν, « Ὁ κρεμάσας τὴν γῆν ἐπ' οὐδενός· » ἄλλος δέ τις, « Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς », καὶ ὅτι « Ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν. » Καὶ δοκεῖ μὲν ἐναντία ταῦτα εἶναι, πολλὴν δὲ ἔχει τὴν συμφωνίαν. Ὁ γὰρ εἰπὼν ὅτι « Ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν αὐτήν », ταὐτὸν εἶπε τῷ εἰρηκότι ὅτι « Ἐπ' οὐδενὸς αὐτὴν ἐκρέμασε »· τὸ γὰρ ἐπὶ τῶν ὑδάτων ἑστάναι ἴσον ἐστὶ τῷ κρέμασθαι ἐπ' οὐδενός. Ποῦ οὖν κρέμαται καὶ ἕστηκεν; Ἄκουσον τοῦ αὐτοῦ λέγοντος, « Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς »· οὐχ ὅτι χεῖρας ἔχει ὁ Θεὸς, ἀλλ' ἵνα μάθῃς ὅτι ἡ δύναμις αὐτοῦ ἡ προνοοῦσα πάντων, αὕτη ἐστὶν ἡ συγκρατοῦσα καὶ διαβαστάζουσα τὸ σῶμα τῆς γῆς. Ἀλλ' οὐ πείθῃ τοῖς εἰρημένοις; πείσθητι τοῖς ὁρωμένοις· καὶ γὰρ καὶ ἐφ' ἑτέρου στοιχείου θαυματουργίαν ταύτην ἔστιν εὑρεῖν. Τοῦ γὰρ πυρὸς ἡ φύσις ἀναφερής τις ἐστὶ καὶ πρὸς τὸ ὕψος ἀεὶ πηδᾷν καὶ ἅλλεσθαι πέφυκε, κἂν μυρία βιάσῃ καὶ καταναγκάσῃς, οὐκ ἂν ἀνάσχοιτο τῆς κάτω φορᾶς. Πολλάκις γοῦν δᾷδα ἡμμένην λαβόντες καὶ κατὰ κεφαλῆς κλίναντες, τοῦ πυρὸς τὴν ὁρμὴν οὐκ ἠναγκάσαμεν κάτω νεῦσαι, ἀλλὰ καὶ οὕτως ἄνω τρέχει καὶ πρὸς τὸ ὕψος ἐπείγεται κάτωθεν· ἐπὶ δὲ τοῦ ἡλίου τοὐναντίον ἅπαν ἐποίησεν ὁ Θεός· τὰς γὰρ ἀκτῖνας αὐτοῦ πρὸς τὴν γῆν ἔτρεψε, καὶ τὸ φῶς κάτω νεύειν ἐποίησε, μονονουχὶ λέγων αὐτῷ διὰ τοῦ σχήματος, Κάτω βλέπε, φησὶ, καὶ τοῖς ἀνθρώποις φαῖνε· διὰ γὰρ ἐκείνους ἐγένου. Καὶ λύχνου μὲν φλὸξ οὐκ ἂν ἀνάσχοιτο τοῦτο παθεῖν, ἄστρον δὲ οὕτω μέγα καὶ θαυμαστὸν κάτω νεύει καὶ πρὸς τὴν

Ipse super maria fundavit eam, et super flumina præparavit eam : et rursum (*Psal.* 135. 6), *Qui fundavit terram super aquas.* Quid dicis? lapillum exiguum aqua in superficie ferre non potest, et terram tantam gerit, et montes, et colles, et urbes, et plantas, et homines, et bruta, et non submergitur? Et quid dico, non submergitur? quomodo inferius circumstante sibi aqua tanto tempore non est dissoluta, nec lutum omnia facta sunt? Si enim lignorum natura parum temporis aquis immorata corrumpitur et dissolvitur; quid dico, lignorum natura? quid ferro validius esse possit? sed et hoc sæpe mollescit, cum semper in aquis manet, et merito : quippe et ipsum a terra substantiam habet. Propterea multi fugitivorum servorum postquam compedes et catenas pertrahentes fugerunt, ad rivos aquarum venientes et vinctos aquis pedes immittentes, et sic mollius ferrum facientes, facile lapide percutientes diffringunt. Igitur ferrum quidem mollescit, ligna putrefiunt, et lapides corrumpuntur ab aquarum natura; terræ vero moles tanta tanto tempore aquis imposita, non est submersa, nec dissoluta, nec perdita. 4. Et quis hæc non obstupescat et effuse admiretur, nec cum fiducia dicat, non esse naturæ opera, sed providentiæ naturam excedentis? Ideo quidam (*Job.* 26. 7) dicit, *Qui suspendit terram super nihilo* : alius vero quidam (*Psal.* 94. 4), *In manu ipsius fines terræ.* Item (*Psal.* 23. 2), *Super maria fundavit eam.* Et hæc quidem contraria esse videntur, multam tamen habent consonantiam. Qui enim dixit, *Super maria fundavit eam*, idem dixit atque is qui ait quod super nihilo terram suspenderit : super aquas enim consistere æquale est ac super nihilo suspendi. Ubi igitur suspensa et statuta est? Audi eumdem dicentem, *In manu ipsius fines terræ* : non quod manus habeat Deus, sed ut discas, ipsius potentiam omnibus providentem esse, quæ terræ corpus continet et portat. Sed non credis dictis? iis quæ vides crede : et in alio quippe elemento hanc mirabilem operationem invenire licet. Ignis enim natura alta petit, et in sublime semper salit, et a natura hoc ut exsiliat habet : et licet infinita cogant et urgeant, ad inferiora deferri non patitur. Nonnumquam enim facem accensam capientes, et in caput inclinantes, ignis impetum inferius ferri non coegimus; sed et sic in superiora recurrit et ex inferiore loco in sublime festinat; in sole vero totum contrarium Deus fecit : ipsius enim radios ad terram convertit, et lucem fecit inferius vergere, tantum non dicens ipsi per figuram, Inferius prospice, et hominibus luce : propter illos enim factus es. Et lucernæ quidem flamma hoc pati non potest; sidus vero tam ma-

γῆν βλέπει ἀπεναντίας τῷ πυρὶ, διὰ τὴν τοῦ κελεύσαντος δύναμιν.

Βούλει καὶ ἕτερον εἴπω τοιοῦτον; Τὰ νῶτα τοῦ οὐρανοῦ τοῦ φαινομένου ὕδατα περιλαμβάνει πάντοθεν, καὶ οὐ καταῤῥεῖ οὐδὲ ἐξίσταται, καίτοι γε οὐκ ἔστι τοιαύτη τῶν ὑδάτων ἡ φύσις· ἀλλ' εἰς μὲν τὰ κοῖλα συντρέχει ῥᾳδίως· ἐπειδὰν δὲ κεκυρτωμένον ᾖ σῶμα, διολισθαίνει πάντοθεν, καὶ οὐκ ἂν οὐδὲ μικρὸν αὐτοῦ σταίη μέρος ἐπὶ τοῦ τοιούτου σχήματος. Ἀλλ' ἰδοὺ τὸ παράδοξον τοῦτο γέγονεν ἐπὶ τῶν οὐρανῶν· καὶ τοῦτο αὐτὸ πάλιν ὁ προφήτης αἰνιττόμενος ἔλεγεν, « Αἰνεῖτε τὸν Κύριον τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν. » Καὶ οὔτε τὸ ὕδωρ τὸν ἥλιον ἔσβεσεν, οὔτε ὁ ἥλιος ἐπὶ τοσούτῳ χρόνῳ βαδίζων κάτωθεν τὸ ἐπικείμενον ἀνεξήρανεν ὕδωρ. Βούλει σε πάλιν εἰς τὴν γῆν καταγάγωμεν, καὶ τὸ θαῦμα ἐπιδείξωμεν; Οὐχ ὁρᾷς ταυτηνὶ τὴν θάλατταν, τὴν κυμάτων γέμουσαν καὶ πνευμάτων βιαίων; ἀλλ' αὕτη ἡ θάλαττα ἡ εὐρύχωρος καὶ μεγάλη καὶ μαινομένη ἀσθενεῖ ψάμμῳ τειχίζεται. Καὶ σκόπει Θεοῦ σοφίαν· οὐκ ἀφῆκεν αὐτὴν ἡσυχάζειν οὐδὲ ἠρεμεῖν, ἵνα μὴ τῆς φύσεως αὐτῆς εἶναι νομίσῃς τὴν εὐταξίαν, ἀλλ' ἔνδον μένουσα βοᾷ καὶ ταράττεται καὶ μεγάλα ἠχεῖ, καὶ τὰ κύματα πρὸς ὕψος διανίστησιν ἄφατον· ἐπειδὰν δ' ἔλθῃ πρὸς τοὺς αἰγιαλοὺς καὶ τὴν ψάμμον ἴδῃ, διαλυθεῖσα πρὸς ἑαυτὴν πάλιν ἐπάνεισι, δι' ἀμφοτέρων σε τούτων διδάσκουσα ὅτι οὐχὶ φύσεως ἔργον ἐστὶ τὸ μένειν αὐτὴν εἴσω τῶν οἰκείων ὅρων, ἀλλὰ τῆς τοῦ κατέχοντος αὐτὴν δυνάμεως. Διὰ τοῦτο γοῦν καὶ ἀσθενὲς τὸ τειχίον ἐποίησε, καὶ οὐ ξύλα καὶ λίθους οὐδὲ ὄρη τοῖς αἰγιαλοῖς περιέβαλε τούτοις, ἵνα μὴ τούτοις λογίσῃ τοῦ στοιχείου τὴν εὐταξίαν. Τοῦτο γοῦν καὶ αὐτός ποτε τοῖς Ἰουδαίοις ὀνειδίζων ἔλεγεν· « Ἐμὲ οὐ φοβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ οὐχ ὑπερβήσεται; » Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι μέγαν καὶ θαυμαστὸν τὸν κόσμον ἐποίησεν, καὶ ὅτι ὑπὲρ φύσεως ἀκολουθίαν αὐτὸν συνέπηξεν, ἀλλ' ὅτι καὶ ἐξ ἐναντίων αὐτὸν συνέστησε, θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, πυρὸς καὶ ὕδατος, γῆς καὶ ἀέρος· καὶ τὰ ἐναντία ταῦτα στοιχεῖα, ἐφ' ὧν τόδε τὸ πᾶν συνέστηκεν, ἀλλήλοις μαχόμενα ὑπ' ἀλλήλων οὐκ ἀνηλώθη· οὐ τὸ πῦρ ἐπέδραμε καὶ ἀνῆψεν ἅπαντα, οὐ τὸ ὕδωρ ἐπελθὸν ἐπέκλυσε τὴν οἰκουμένην. Ἀλλ' ἐπὶ μὲν τῶν σωμάτων τῶν ἡμετέρων ταῦτα γίνεται, καὶ χολῆς αὐξανομένης τίκτεται πυρετὸς καὶ τῷ παντὶ ζώῳ λυμαίνεται, καὶ φλέγματος πλεονάζοντος πολλὰ νοσήματα φύεται καὶ διαφθείρει τὸ ζῶον· ἐπὶ δὲ τοῦδε τοῦ παντὸς οὐδὲν τούτων συνέβη, ἀλλ' ἕκαστον μένει καθάπερ τινὶ χαλινῷ καὶ δεσμῷ τῷ βουλήματι τοῦ ποιήσαντος τοὺς οἰκείους διαφυλάττον ὅρους, καὶ ἡ μάχη τούτων εἰρήνης αἰτία γίνεται τῷ παντί. Ταῦτα οὐχὶ καὶ τυφλῷ δῆλα καὶ τοῖς σφόδρα ἀνοήτοις εὐσύνοπτα ὅτι ἐκ προνοίας τινὸς γέγονε καὶ συγκρατεῖται; Τίς γὰρ οὕτως ἄφρων καὶ ἀναίσθητος, ὡς ὁρῶν τοσοῦτον σωμάτων ὄγκον, τοσοῦτον κάλλος,

gnum et admirabile ad inferiora vergit et ad terram respicit, contra quam ignis, propter ejus qui jussit potentiam.

Vis et aliud tale commemorem? Dorsa cæli hujus nobis conspicui aquæ undique comprehendunt, et neque defluunt neque abscedunt : licet non talis sit aquarum natura, sed in concava quidem facile concurrant; cum autem sit corpus convexum, undique defluunt, et neque modica earum pars in tali posset loco subsistere. Sed ecce hoc miraculum in cælis factum est, et ipsum rursus insinuans propheta dicebat (*Psal.* 148. 4), *Laudate Dominum, aquæ quæ super cælos estis.* Et neque aqua solem exstinxit, neque sol tanto subtus vadens tempore superpositam aquam exsiccavit. Vis te in terram iterum reducamus, et quod mireris ostendamus? Non cernis hoc mare undis et violentis flatibus plenum? sed hoc mare spatiosum et magnum, et furens, infirma continetur arena. Et considera Dei sapientiam : non permisit ipsum quiescere neque manere sedatum, ne id esse naturæ ipsius ordinem existimes, sed intra terminos manens clamat, turbatur, vehementer resonat, et inenarrabilem in altitudinem fluctus excitat; cum autem ad litus et arenam pervenerit, dissolutum rursum in se ipsum revertitur, per hæc utraque te docens non naturæ opus esse ut ipsum intra proprios fines maneat, sed virtutis ejus qui ipsum cohibet. Propterea enim infirmam illam maceriam fecit, non ligna, non lapides, non montes his litoribus circumposuit, ne hisce te elementum in ordinem cogi putes. Hoc igitur et ipse aliquando Judæis improperans dicebat (*Jerem.* 5. 22) : *Me non timebitis, qui arenam mari terminum constitui, et non transcendet?* non autem hoc solum est admirabile, quod magnum et mirabilem fecerit hunc mundum, et quod supra naturæ consequentiam ipsum compegerit, sed quod etiam ex contrariis ipsum constituerit, calido et frigido, sicco et humido, igne et aqua, terra et aere : et contraria hæc elementa, ex quibus hoc totum consistit, inter se pugnantia a sese non sunt consumta : non ignis supervenit et incendit omnia, non aqua superveniens orbem submersit. Sed in corporibus quidem nostris hæc fiunt, et bile increscente nascitur febris, et totum animal ladit; et pituita superabundante plurimi nascuntur morbi, et animal corrumpunt : in hoc autem universo nihil horum accidit, sed unumquodque manet, tamquam quodam freno et vinculo, Conditoris voluntate proprios custodiens terminos, et horum pugna mundo toti pacis fit causa. Annon hæc et cæco manifestum est, et valde imprudentibus intelligibile, providentia quapiam facta esse atque contineri? Quis enim tam stultus est et stupidus, qui tantam corporum molem cernens, tantam pulchritudinem,

τοσαύτην σύνθεσιν, τοιαύτην μάχην διηνεκῆ καὶ ἐναντίωσιν καὶ διαμονήν, μὴ λογίσασθαι πρὸς ἑαυτὸν καὶ εἰπεῖν ὅτι εἰ μὴ πρόνοιά τις ἦν ἡ τὸν ὄγκον τῶν σωμάτων διακρατοῦσα καὶ μὴ συγχωροῦσα τὸ πᾶν διαπεσεῖν, οὐκ ἂν ἔμεινεν, οὐκ ἂν διήρκεσε; Τοσαύτη μὲν ὡρῶν εὐταξία, τοσαύτη δὲ ἡμέρας καὶ νυκτὸς συμφωνία, τοσούτων δὲ ἀλόγων ζώων γένη καὶ φυτῶν καὶ σπερμάτων καὶ βοτανῶν ὁδῷ βαδίζει, καὶ οὐδὲν εἰς τὴν παροῦσαν ἡμέραν οὔτε διέπεσεν οὔτε ἀνηλώθη καθάπαξ.

Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ πολλὰ ἕτερα τούτων πλείονα καὶ βαθύτερα ἦν εἰπεῖν, καὶ περὶ αὐτῆς φιλοσοφῆσαι τῆς κτίσεως· ἀλλ' εἰς τὴν ἐπιοῦσαν ἐκεῖνα ταμιευσάμενοι, σπουδάσωμεν τὰ εἰρημένα μετὰ ἀκριβείας κατασχεῖν καὶ εἰς ἑτέρους ἐξενεγκεῖν. Καὶ οἶδα μὲν ὅτι τὴν ἀκοὴν ὑμῶν ἐξένισε τῶν νοημάτων τὸ βάθος, ἀλλ' ἐὰν ὀλίγον νήψωμεν καὶ ἐν τούτοις ἐθίσωμεν ἑαυτοὺς, καὶ ἑτέροις ῥᾳδίως ἐσόμεθα διδάσκαλοι. Τέως δὲ ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην ἀναγκαῖον εἰπεῖν· ὥσπερ ἐδόξασεν ἡμᾶς ὁ Θεὸς διὰ τῆς τοσαύτης δημιουργίας, οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς διὰ τῆς πολιτείας τῆς καθαρᾶς. « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ » φαινόμενοι μόνον καὶ ἡμεῖς τοίνυν διηγησώμεθα δόξαν Θεοῦ μὴ λέγοντες μόνον, ἀλλὰ καὶ σιγῶντες καὶ τῇ τοῦ βίου λαμπρότητι πάντας ἐκπλήττοντες· « Λαμψάτω γάρ, φησὶν, ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Ὅταν γὰρ ὁ ἄπιστος ἴδῃ σὲ τὸν πιστὸν κατεσταλμένον, σωφρονοῦντα, κόσμιον ὄντα, ἐκπλαγήσεται καὶ ἐρεῖ, Ἀληθῶς μέγας ὁ τῶν Χριστιανῶν Θεὸς, οἵους κατέστησεν ἀνθρώπους, οἵους ἐξ οἵων ἐποίησεν, ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων εἰργάσατο. Ἂν ὑβρίσῃ τις, οὐ λοιδοροῦνται· ἂν τυπτήσῃ τις, οὐκ ἀγανακτοῦσιν· ἂν ἀδικήσῃ τις, ὑπερεύχονται τοῦ λελυπηκότος· ἔχθρὸν οὐκ ἔχουσι, μνησικακεῖν οὐκ ἐπίστανται, φλυαρεῖν οὐκ ἴσασιν, οὐκ ἔμαθον ψεύδεσθαι, ἐπιορκεῖν οὐκ ἀνέχονται, μᾶλλον δὲ οὐδὲ ὀμνύειν· ἀλλὰ τὴν γλῶτταν ἐκτμηθῆναι ἂν ἕλοιντο πρότερον ἢ ὅρκον τινὰ ἀπὸ τοῦ στόματος προέσθαι. Ταῦτα δῶμεν αὐτοῖς περὶ ἡμῶν λέγειν, καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν ἀπελάσωμεν, καὶ τοσαύτην [γε] δῶμεν τῷ Θεῷ τιμὴν, ὅσην τοῖς ἱματίοις ἡμῶν τοῖς πολυτελεστέροις. Πῶς γὰρ οὐκ ἄτοπον, ἱμάτιον μὲν ἔχοντας τῶν λοιπῶν βέλτιον μὴ ἀνέχεσθαι συνεχῶς αὐτῷ καταχρᾶσθαι, τὸ δὲ τοῦ Θεοῦ ὄνομα πανταχοῦ περισύρειν ἁπλῶς καὶ ὡς ἔτυχε; Μὴ, δέομαι καὶ ἀντιβολῶ, μὴ οὕτω καταφρονῶμεν τῆς σωτηρίας· ἀλλὰ τὴν σπουδὴν, ἣν ἐξ ἀρχῆς ἐποιούμεθα περὶ τὴν ἐντολὴν ταύτην, εἰς τέλος ἀγάγωμεν. Καὶ γὰρ ἐγὼ διὰ τοῦτο συνεχῆ ποιοῦμαι τὴν παράκλησιν τὴν περὶ τῶν ὅρκων, οὐχ ἐπειδὴ κατέγνων ὑμῶν ῥᾳθυμίαν, ἀλλ' ἐπειδὴ τὸ πλέον κατορθοῦν ὑμῖν εἶδον, καὶ σπεύδω καὶ ἐπείγομαι τὸ πᾶν ἐπαρτισθῆναι καὶ τέλος λαβεῖν. Οὕτω καὶ οἱ θεαταὶ

talem elementorum pugnam continuam et contrarietatem et perseverantiam, non intra se ipsum ratiocinetur et dicat : Nisi providentia quædam esset corporum magnitudinem cohibens, nec permittens totum dissilire, nec permanere nec durare potuisset? Tantus anni tempestatum ordo, tanta noctis et diei convenientia, tot irrationalium geneta animalium, plantarum, seminum et herbarum tenorem suum servant, et nihil in præsentem diem neque intercidit, neque penitus consumtum est.

5. Non hæc vero tantum, sed et alia multo his plura et profundiora dici poterant, et de ipsa diseri creatura; sed in crastinum illa differentes, dicta diligenter retinere et ad alios efferre studeamus. Et scio quidem sententiarum profunditatem auribus vestris insuetatam esse, sed si parumper vigilemus et his nos ipsos assuefaciamus, etiam aliis erimus facile doctores. Interim vero illud caritati vestræ necessarium est dicere : sicut nos glorificavit Deus per tantam creaturam, ita nos quoque per puram ipsum conversationem glorificemus. *Cæli enarrant gloriam Dei* (*Psal.* 18. 2), dum apparent solum : et nos igitur Dei gloriam enarremus, non dicentes tantum, sed et tacentes, et vitæ claritate omnes in admirationem adducentes : *Luceat* enim, ait (*Matth.* 5. 16), *lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui est in cœlis.* Cum enim viderit infidelis te fidelem compositum, modestum, decentem esse, mirabitur et dicet : Vere magnus Christianorum Deus : quales constituit homines, quales e qualibus fecit! angelos ex hominibus ipsos reddidit. Si quis contumeliam fecerit, non conviciantur : si quis percusserit, non ægre ferunt : si quis injuriam intulerit, pro iis qui se læserunt, orant : inimicum non habent, iram servare non norunt, nugari nesciunt, mentiri non didicerunt, pejerare non sustinent, imo nec jurare, sed linguam excidi sibi mallent quam ullum ex ore juramentum emittere. Hæc illis præbeamus de nobis dicenda, et improbam juramentorum consuetudinem expellamus; et tantum certe Deo tribuamus honoris, quantum vestimentis pretiosioribus. Quomodo enim non absurdum est, vestimentum quidem habentes reliquis melius, ipso frequenter abuti non sustinere, Dei vero nomen ubique temere, et ut occurrit, distrahere? Igitur precor et supplico, ne sic salutem contemnamus nostram, sed studium, quod ab initio circa mandatum istud adhibebamus, deducamus ad finem. Propterea continuam de juramentis exhortationem facio, non quod torporem vestrum condemnem, sed quod majorem partem a vobis correctam videam : et studeo festinoque totum perfectum esse, et finem accipere. Sic et spectatores faciunt, qui braviis proximos magis excitant. Nec

ποιοῦσι, τοὺς ἐγγὺς ὄντας τῶν βραβείων διεγείρουσι μᾶλλον. Μὴ τοίνυν ἀποκάμωμεν μηδὲ ἡμεῖς· καὶ γὰρ ἐγγὺς ἐστήκαμεν τοῦ παντὸς κατορθώματος, καὶ ἡ δυσκολία παρὰ τὴν ἀρχὴν ἦν. Ὅτε δὲ τὸ πλέον τῆς συνηθείας ὑπετμήθη νῦν, καὶ μικρὸν ὑπολέλειπται, λοιπὸν οὐδὲ πόνου χρεία τινός, ἀλλὰ μικρᾶς παρατηρήσεως καὶ βραχείας τινὸς ἀκριβείας δεόμεθα, ἵνα αὐτοὶ κατορθώσαντες καὶ ἑτέροις γενώμεθα διδάσκαλοι, καὶ μετὰ παῤῥησίας τὸ ἱερὸν ἴδωμεν πάσχα, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς διπλασίονα καὶ τριπλασίονα τῆς εἰωθυίας καρπωσώμεθα τὴν εὐφροσύνην. Οὐ γὰρ οὕτω τὸ τῶν πόνων ἡμᾶς ἀπαλλαγῆναι καὶ τῶν ἱδρώτων τῆς νηστείας εὐφραίνει, ὡς τὸ μετὰ κατορθώματος καὶ στεφάνου λαμπροῦ εἰς τὴν ἱερὰν ἐκείνην ἑορτὴν ἀπαντῆσαι, στεφάνου μηδέποτε μαραινομένου. Ὥστε δὲ ταχυτέραν γενέσθαι τὴν διόρθωσιν, τοῦτο ποίησον ὃ λέγω· γράψον ἐπὶ τὸν τοῖχον τῆς οἰκίας σου, καὶ ἐπὶ τὸν τοῖχον τῆς καρδίας σου τὴν δρεπάνην τὴν πετομένην ἐκείνην, καὶ ταύτην ἐπὶ τῆς ἀρᾶς πέτεσθαι νόμιζε, καὶ συνεχῶς αὐτὴν ἀναλογίζου· κἂν ἕτερον ὀμνύντα ἴδῃς, ἐπίσχες, κώλυσον, καὶ τῶν οἰκετῶν ἐπιμελήθητι τῶν σῶν. Ἂν γὰρ τοῦτο σκοπῶμεν ὅπως μὴ μόνον αὐτοὶ κατορθώσαιμεν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο ἀναγάγοιμεν, ταχέως αὐτοὶ πρὸς τὸ πέρας ἥξομεν. Οἱ γὰρ ἑτέρους παιδεύειν καταδεξάμενοι, ἐρυθριάσομεν καὶ αἰσχυνούμεθα, ἃ τοῖς ἄλλοις ἐπιτάττομεν, ταῦτα ἐλλιμπάνοντες αὐτοὶ φανῆναι. Οὐδὲ χρεία πλειόνων λόγων· πολλὰ γὰρ καὶ τὰ πρώην εἰρημένα, καὶ ταῦτα δὲ ὑπομνήσεως μόνης [ἕνεκεν] εἴρηται. Ὁ δὲ Θεὸς, ὁ μᾶλλον ἡμῶν τῶν ἡμετέρων φειδόμενος ψυχῶν, καὶ ἐν τούτῳ καὶ ἐν παντὶ καταρτίσειεν ἡμᾶς ἀγαθῷ, ἵνα πληρώσαντες πάντα καρπὸν δικαιοσύνης, καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι κτλ.

nos igitur lassemur : summus enim prope totius correctionis finem, et circa principium erat difficultas. Quando vero consuetudinis plurimum nunc est recisum, et modicum superest, jam nec ullo labore opus est, sed modica observatione et brevi diligentia egemus, ut ipsi correcti aliis doctores simus, et cum fiducia sacrum pascha videamus, et cum multa voluptate duplam et triplam ejus quam consuevimus lætitiam capiamus. Non enim tantum nos jejunii laboribus et sudoribus liberatos esse delectat, quantum cum meritis et splendida corona sacræ illi solemnitati occurrere, corona numquam marcescente. Ut autem celerior fiat emendatio, hoc fac quod dico : pinge in pariete domus tuæ, et in cordis tui pariete securim illam volantem (*Zach.* 5. 1 — 3), et hanc ad maledictionem volare puta : et assidue ipsam recogita, sive alium juranlem videas, cohibe, veta, et curam tuorum gere servorum. Si enim hoc consideramus, quomodo non tantum ipsi recte nos geramus, sed et alios in hoc inducamus, celeriter ipsi ad finem veniemus. Alios enim corrigere aggredientes, erubescemus et confundemur, quæ aliis mandamus, hæc ipsos omittentes cerni. Nec pluribus est opus sermonibus : multa enim prius sunt commemorata, et hæc renovandæ memoriæ tantum causa dicta sunt. Deus vero qui magis animis nostris parcit quam nos, et in hoc et in omni nos bono perfectos faciat, ut omnem justitiæ fructum assequuti, cælorum regno digni censeamur, gratia etc.

ΟΜΙΛΙΑ ι'.

Ἔπαινος τῶν μετὰ τὴν ἑστίασιν ἀπηντηκότων εἰς τὴν ἀκρόασιν· καὶ φυσιολογία κόσμου· καὶ κατὰ τῶν θεοποιούντων τὴν κτίσιν· καὶ περὶ τοῦ μὴ ὀμνύειν.

Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν, ὅτι τὴν παραίνεσιν ἡμῶν, ἣν ὑπὲρ τῶν μὴ νηστευόντων καὶ διὰ τοῦτο ἀπολιμπανομένων ἐποιησάμεθα πρώην, εἰς ἔργον ὑμεῖς ἐξηνέγκατε. Καὶ γὰρ πολλοὺς οἶμαι τῶν ἡριστηκότων παρεῖναι τήμερον καὶ τὸν καλὸν ἡμῖν τοῦτον σύλλογον πληροῦν· καὶ τοῦτο στοχάζομαι ἐκ τοῦ λαμπρότερον ἡμῖν τὸ θέατρον γενέσθαι καὶ πλείω τῶν ἀκροωμένων τὴν σύνοδον. Οὐ μάτην, ὡς ἔοικε, τοὺς πολλοὺς περὶ αὐτῶν πρώην ἀνηλώσαμεν λόγους, τὴν ὑμετέραν ἀγάπην παρακαλοῦντες ἕλκειν πρὸς τὴν μητέρα αὐτούς, καὶ πείθειν ὡς ἔξεστι καὶ μετὰ τροφὴν σωματικὴν καὶ τροφῆς μετασχεῖν πνευματικῆς. Πότε δὲ, εἰπέ μοι, βέλτιον πεποιήκατε, ἀγαπητοί; τῇ παρελθούσῃ συνά-

HOMILIA X.

Laus eorum qui post cibum ad audiendum venerant, et naturalis mundi enarratio; item contra gentiles creaturam ut Deum colentes, et de vitando juramento.

1. Gaudeo et gratulor omnibus vobis, quod admonitionem nostram, quam pro non jejunantibus et propterea absentibus nuper feci, re præstitistis. Arbitror enim multos jam pransos hodie adesse et pulchram hanc nobis implere concionem : et hoc conjicio eo, quod splendidius nobis theatrum factum sit et major audientium conventus. Non frustra, ut videtur, multos de ipsis sermones nuper impendimus, vestram exhortantes caritatem, ipsos ad matrem trahere, et persuadere iis quod liceat et post corporis nutrimentum spiritualis escæ participem fieri. Quando vero, quæso, vos, dilecti, melius fecistis? an præterita synaxi,

ξει, ὅτε μετὰ τὴν τράπεζαν ἐπὶ ὕπνον ἐτρέπεσθε, ἢ νῦν, ὅτε μετὰ τὴν τράπεζαν εἰς τὴν ἀκρόασιν τῶν θείων ἀπηντήκατε νόμων; ὅτε ἐπὶ τῆς ἀγορᾶς διετρίβετε, καὶ συνεδρίων μετείχετε οὐδὲν ἐχόντων χρηστὸν, ἢ νῦν, ὅτε μετὰ τῶν ἀδελφῶν ἑστήκατε τῶν ὑμετέρων καὶ προφητικῶν ἀκούετε λόγων; Οὐκ ἔστιν αἰσχύνη τὸ φαγεῖν, ἀγαπητοὶ, ἀλλὰ τί; τὸ φαγόντα μένειν οἴκοι καὶ ὑστερεῖν τῆς ἱερᾶς ταύτης ἑορτῆς. Οἴκοι μὲν γὰρ μένων ἀργότερος ἔσῃ καὶ νωθέστερος, ἐνταῦθα δὲ ἐλθὼν πάντα ὕπνον καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτινάξῃ· οὐ ῥᾳθυμίαν δὲ μόνον, ἀλλὰ καὶ ἀθυμίαν ἅπασαν ἀποθέμενος, ῥᾴων καὶ εὐθυμότερος ἐν ἅπασιν ἔσῃ τοῖς συμπίπτουσι πράγμασι. Καὶ τί χρὴ τὰ ἄλλα λέγειν; Στῆθι μόνον ἐγγὺς τοῦ νηστεύοντος, καὶ μετέλαβες αὐτοῦ εὐθέως τῆς εὐωδίας· μύρον γάρ ἐστιν ὁ νηστεύων πνευματικὸν, καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς γλώττης καὶ διὰ πάντων ἐμφαίνων τὴν τῆς ψυχῆς εὐταξίαν. Ταῦτα οὐχὶ κατηγορῶν τῶν ἡριστηκότων εἶπον, ἀλλ' ἵνα δείξω τῆς νηστείας τὸ κέρδος· νηστείαν δὲ οὐχὶ τὴν ἀποχὴν τῶν βρωμάτων λέγω μόνον, ἀλλὰ καὶ πρὸ ταύτης τὴν τῶν ἁμαρτημάτων ἀποχήν· ἐπεὶ καὶ ὁ ἑστιαθεὶς, καὶ ἐνταῦθα μετὰ τῆς προσηκούσης παραγενόμενος σωφροσύνης, οὐ πολὺ τοῦ νηστεύοντος ἀπολιμπάνεται, ὥσπερ οὖν ὁ νηστεύσας καὶ μὴ μετὰ σπουδῆς καὶ ἀκριβείας τοῖς λεγομένοις προσέχων, οὐδὲν ἀπὸ τῆς νηστείας κερδαίνει μέγα. Ὁ γὰρ ἐσθίων καὶ συνάξεως ἁγίας κοινωνῶν μετὰ τῆς προσηκούσης σπουδῆς τοῦ μηδὲν ἐσθίοντος καὶ ἀπολιμπανομένου πολὺ βελτίων ἐστίν· οὐδὲν γὰρ τοιοῦτον τὸ μὴ φαγεῖν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ὅσα ὠφελεῖ καὶ εἰδέναι ἀγαθὰ τὸ πνευματικῆς μετέχειν διδασκαλίας. Ποῦ γὰρ ἑτέρωθι ταῦτα ἀκούσῃ ἅπερ ἐνταῦθα φιλοσοφεῖς; Ἂν εἰς δικαστήριον ἀπέλθῃς, ἀμφισβητήσεις ἐκεῖ καὶ μάχαι· ἂν εἰς βουλευτήριον, ἡ τῶν πολιτικῶν πραγμάτων φροντίς· ἂν εἰς οἰκίαν, τῶν ἰδιωτικῶν ἡ μέριμνα κατατρύχει πάντοθεν· ἂν εἰς συλλόγους καὶ συνέδρια τῆς ἀγορᾶς, πάντα κἀκεῖ γήϊνα καὶ φθαρτά· ἢ γὰρ περὶ τῶν ὠνίων, ἢ περὶ τῶν εἰσφορῶν, ἢ περὶ τραπέζης πολυτελοῦς, ἢ περὶ χωρίων πράσεως, ἢ περὶ συμβολαίων ἑτέρων, ἢ περὶ διαθηκῶν, ἢ περὶ κληρονομιῶν, ἢ περὶ ἑτέρων [τινῶν] τοιούτων ἅπαντες τοῖς ἐκεῖ συλλεγομένοις οἱ λόγοι γίνονται. Κἂν εἰς αὐτὰς ἔλθῃς τὰς βασιλικὰς αὐλὰς, καὶ ἐκεῖ πάλιν τὰ αὐτὰ ἀκούσῃ διαλεγομένων ἁπάντων, περὶ χρημάτων, περὶ δυναστείας, περὶ δόξης τῆς ἐνταῦθα τιμωμένης, πνευματικῶν δὲ οὐδέν· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν, περὶ οὐρανοῦ καὶ τῶν ἐν οὐρανῷ πραγμάτων, περὶ ψυχῆς, περὶ ζωῆς τῆς ἡμετέρας, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ διὰ τί τοσοῦτον ἐνταῦθα διατρίβομεν χρόνον, καὶ ἐπὶ τίσιν ἀποδημοῦμεν ἐντεῦθεν, καὶ τί μετὰ ταῦτα ἡμᾶς διαδέξεται, καὶ τίνος ἕνεκεν τὸ σῶμα ἡμῖν πήλινον, καὶ τίς ἡ τοῦ θανάτου φύσις, καὶ τί ποτ' ἐστὶν ἡ παροῦσα ζωὴ, καὶ τίς ἡ μέλλουσα, καὶ οὐδὲν ἁπλῶς γήϊνον, ἀλλὰ πάντες περὶ πνευματικῶν ἡμῖν

quando post mensam ad somnum convertebamini, an nunc, cum post mensam ad divinas leges audiendas convenistis? quando in foro commorabamini, et consessuum nihil boni habentium participes eratis, an nunc, quando cum fratribus vestris statis et propheticos sermones auditis? Non est ignominia comedere, dilecti, sed sumto cibo domi remanere et hac sacra solemnitate privari. Domi enim manens otiosior eris et segnior : huc autem veniens, omnem somnum et torporem excuties, nec torporem vero tantum, sed et tristitiam omnem deponens, facilior et lætior in omnibus eris casibus. Et quid opus est plura dicere? Sta tantum prope jejunantem, et ipsius statim odoris suavitatem senties. Nam qui jejunat, unguentum est spirituale, et per oculos et per linguam et per omnia bonam animæ dispositionem exhibens. Hæc non ut pransos accusem dixi, sed ut jejunii lucrum demonstrem : jejunium vero non ciborum abstinentiam tantum dico, sed peccatorum abstinentiam magis etiam quam illam; quoniam et convivatus, et hic cum modestia præsens congrua, non multo a jejunante vincitur : sicut vicissim jejunans nec cum studio et diligentia iis quæ dicuntur attendens, nihil ex hoc jejunio magnum lucrabitur. Comedens enim et concionis sanctæ congruo studio participem se faciens, nihil comedente et absente multo melior est : non enim tantum nos inedia adjuvare poterit, quantum prodest et bonum affert spirituali disciplinæ interesse. Quonam alio in loco hæc audies, quæ hic philosopharis? Si in forum iveris, rixæ ibi et pugnæ : si in curiam, civilium rerum cura : si domum, privatarum sollicitudo undique affligit : si in fori conventicula et consessus, omnia illic terrena et corruptibilia : vel enim de venalibus, vel de tributis, vel de lauta mensa, vel de agrorum venditione, vel de aliis contractibus, vel de testamentis, vel de hereditatibus, vel de aliis talibus a cunctis eo convenientibus sermones habentur. Et si in ipsam veneris regiam, et illic rursum omnes eadem illa disserentes audies, de pecuniis, de potentia, de gloria quæ hic honoratur; spirituale vero nihil : hic vero contrarium totum, de cælo et iis quæ in cælo sunt rebus, de anima, de vita nostra, et quare facti simus, et quare hic tantum temporis commoremur, et ad quæ hinc migremus, et quid post hæc nos suscipiat, et quam ob causam nobis corpus sit luteum, et quæ mortis natura, quid tandem sit præsens vita et quæ futura : nihil prorsus terrenum, sed

οἱ λόγοι γίνονται· καὶ μεγάλα τῆς σωτηρίας ἡμῶν λαβόντες ἐφόδια, οὕτως ἐντεῦθεν ἀπελευσόμεθα μετὰ χρηστῆς τῆς ἐλπίδος.

Ἐπεὶ οὖν οὐκ εἰκῇ τὰ σπέρματα κατεβάλομεν, ἀλλ' ὥσπερ ὑμᾶς παρεκάλεσα πάντας ἐθηρεύσατε τοὺς ἀπολειφθέντας ὑμῶν, φέρε καὶ ἡμεῖς ὑμᾶς ἀμείψώμεθα, καὶ μικρὰ τῶν πρότερον εἰρημένων ὑμᾶς ἀναμνήσαντες, τὰ λειπόμενα ἀποδώσομεν πάλιν. Τίνα οὖν ἦν τὰ πρώην εἰρημένα; Ἐζητοῦμεν πῶς καὶ τίνι τρόπῳ πρὸ τῆς τῶν Γραφῶν δόσεως τὰ καθ' ἡμᾶς ᾠκονόμησεν ὁ Θεὸς, καὶ ἐλέγομεν ὅτι διὰ τῆς κτίσεως ἐπαίδευσεν ἡμῶν τὸ γένος, οὐρανὸν ἐκτείνας καὶ εἰς τὸ μέσον προθεὶς βιβλίον μέγιστον, καὶ ἰδιώταις καὶ σοφοῖς καὶ πένησι καὶ πλουσίοις καὶ Σκύθαις καὶ βαρβάροις καὶ πᾶσιν ἁπλῶς τοῖς τὴν γῆν οἰκοῦσι χρήσιμον βιβλίον, πολὺ μεῖζον τοῦ πλήθους τῶν διδασκομένων ὄν. Πολλὰ καὶ περὶ νυκτὸς καὶ ἡμέρας καὶ τῆς τούτων εὐταξίας, καὶ τοῦ ῥυθμοῦ τοῦ μετὰ ἀκριβείας [ὑπ'] αὐτῶν φυλαττομένου διελέχθημεν· πολλὰ καὶ περὶ τοῦ χοροῦ τῶν ὡρῶν τοῦ ἔτους, καὶ τῆς τούτων ἰσότητος· καθάπερ γὰρ ἡ ἡμέρα τῆς νυκτὸς οὐδὲ ἡμιώριον πλεονεκτεῖ κατὰ πάντα τὸν ἐνιαυτὸν, οὕτω καὶ αὗται πρὸς ἀλλήλας ἐξ ἴσης τὰς ἡμέρας διενείμαντο πάσας. Ἀλλ' ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, ὅτι οὐ τὸ μέγεθος καὶ τὸ κάλλος τῆς κτίσεως δείκνυσι τὸν δημιουργήσαντα μόνον, ἀλλὰ καὶ ὁ τρόπος αὐτὸς τῆς συμπήξεως καὶ τὸ ὑπὲρ φύσεως ἀκολουθίαν εἶναι τῆς δημιουργίας τὸν τρόπον. Φύσεως μὲν γὰρ ἀκολουθία ἦν τὸ ὕδωρ ὑπὲρ τὴν γῆν φέρεσθαι· νῦν δὲ τοὐναντίον ὁρῶμεν, τὴν γῆν ὑπὸ τῶν ὑδάτων βασταζομένην. Φύσεως ἦν ἀκολουθία τὸ πῦρ ἄνω τρέχειν· νῦν δὲ τὸ ἐναντίον ὁρῶμεν κάτω πρὸς τὴν γῆν τετραμμένας τοῦ ἡλίου τὰς ἀκτῖνας, καὶ τὰ ὕδατα ὑπεράνω τῶν οὐρανῶν ὄντα καὶ οὐ διολισθαίνοντα, καὶ τὸν ἥλιον κάτωθεν τρέχοντα καὶ οὔτε σβεννύμενον ὑπὸ τῶν ὑδάτων οὔτε ἀφανίζοντα τὴν νοτίδα ἐκείνην. Πρὸς τούτοις εἰρήκαμεν ὅτι ἐκ τεττάρων στοιχείων τόδε τὸ πᾶν συνέστηκεν ἐναντίων ἀλλήλοις καὶ μαχομένων, καὶ θάτερον τὸ ἕτερον οὐκ ἀνήλωσε, καίτοι γε ἀλλήλων ὄντα ἀναλωτικά. Ὅθεν δῆλον ὅτι δύναμίς τις ἀόρατος αὐτὰ χαλινοῖ, καὶ δεσμὸς γίνεται ἡ τοῦ Θεοῦ βούλησις.

Τούτῳ τοίνυν πλεῖον ἐνδιατρῖψαι βούλομαι τῷ λόγῳ σήμερον· ἀλλὰ διανάστητε, καὶ προσέχετε μετ' ἀκριβείας ἡμῖν· ὥστε δὲ σαφέστερον γενέσθαι τὸ θαῦμα, ἀπὸ τοῦ σώματος τοῦ ἡμετέρου τὴν διδασκαλίαν τὴν περὶ τούτων ποιήσομαι. Καὶ γὰρ τὸ σῶμα τὸ ἡμέτερον τὸ βραχὺ τοῦτο καὶ μικρὸν ἐκ τεττάρων σύγκειται στοιχείων, θερμοῦ μὲν τοῦ αἵματος, ξηροῦ δὲ τῆς χολῆς τῆς ξανθῆς, καὶ ὑγροῦ μὲν τοῦ φλέγματος, ψυχροῦ δὲ τῆς μελαίνης χολῆς. Καὶ μή τις ἀλλότριον ἡμῶν εἶναι νομιζέτω τοῦτον τὸν λόγον· « Ὁ γὰρ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. » Οὕτω καὶ Παῦλος γεωργικῶν ἥψατο θεωρημάτων περὶ ἀναστάσεως ἡμῖν διαλεγόμενος, καί φη-

omnes de spiritualibus sermones nobis habentur; et magna salutis nostrae viatica ubi accepimus, ita hinc cum bona spe migrabimus.

2. Quoniam igitur non temere semina jecimus, sed sicut vos exhortatus fueram, omnes qui ex vobis abfuerant, venati estis : age et nos vobis gratiam rependamus, et pauca vobis prius dictorum in memoriam revocantes, reliqua quoque reddemus. Quæ igitur erant prius dicta? Quærebamus qualiter et quomodo ante Scripturarum editionem res nostras Deus disposuit; et dicebamus quod per creaturam docuerit genus nostrum, cælum extendens et in medium proponens, maximum librum, idiotis et sapientibus, pauperibus et divitibus, Scythis et barbaris, et omnibus generaliter terram habitantibus utilem librum, multo illum majorem eorum qui docentur multitudine. Multa etiam de nocte et die, et horum convenienti ordine, et de mensura ab ipsis cum diligentia servata disseruimus; multa et de tempestatum anni choro, earumque æqualitate. Sicut enim dies nocte ne dimidia quidem hora plus habet per totum annum, sic et hæ inter se ex æquo dies omnes distribuerunt : et quod prius dicebam, non magnitudo creaturæ et pulchritudo tantum creatorem demonstrat, sed et ipse coagmentationis modus, et quod super naturalem consequentiam sit modus creationis. Naturæ nempe consequentia erat, aquam super terram ferri : nunc vero contrarium videmus, terram ab aquis ferri. Naturæ erat consequentia, ignem ad superiora currere : nunc vero contrarium videmus, inferius terram versus conversos solis radios, et aquas super cælos esse, et non effluere; solem subtus currentem neque exstingui ab aquis, nec humiditatem illam absumere. Ad hæc diximus, ex quatuor elementis hoc totum consistere inter se contrariis et pugnantibus, et alterum alterum non consumere, licet alterum ab altero natura sua consumi debeat. Unde manifestum, quod virtus quædam invisibilis hæc quasi freno cohibeat, et vinculum sit Dei voluntas.

Huic igitur hodie sermoni amplius immorari volo, sed expergiscimini, et diligenter nobis attendite. Ut autem miraculum fiat manifestius, a corpore nostro demonstrationem horum faciam. Etenim corpus nostrum breve hoc et parvum e quatuor compositum est elementis, calido quidem, sanguine; sicco vero, bile flava; humido, pituita; frigido, atra bile. Et nemo incongruum hunc putet esse sermonem : (1. *Cor.* 2. 15) *Spiritualis* nempe *homo omnia dijudicat, ipse vero a nemine dijudicatur.* Sic et Paulus agriculturæ rationes tetigit, de resurrectione nobis disserens : *Stulte*, inquit (1. *Cor.* 15. 36), *tu quod*

σιν « Ἄφρον, οὐ δ σπείρεις οὐ ζωογονεῖται, ἐὰν μὴ ἀποθάνῃ. » Εἰ δὲ ὁ μάκαριος ἐκεῖνος τοὺς τῆς γεωργίας ἐκίνει λόγους, οὐδὲ ἡμῖν μέμψεταί τις ἰατρικῶν ἁπτομένοις νοημάτων· περὶ γὰρ δημιουργίας Θεοῦ νῦν ἡμῖν ὁ λόγος, καὶ ἀναγκαία γένοιτ' ἂν ἡμῖν αὕτη τῶν νοημάτων ἡ ὑπόθεσις. Ὅπερ οὖν ἔφθην εἰπών, ἐκ τεττάρων ἡμῖν στοιχείων τοῦτο συνέστηκε τὸ σῶμα· κἂν τὸ ἕτερον [πρὸς τὸ ἕτερον] στασιάσῃ μέχρι παντὸς, θάνατος ἀπὸ τῆς στάσεως γίνεται ταύτης· οἷον τῆς χολῆς πλεοναζούσης τίκτεται πυρετὸς, κἂν ἐπικρατήσῃ πέρα τοῦ μέτρου, ταχίστην ἐπάγει τὴν τελευτήν· πάλιν τοῦ ψυχροῦ πλεονάζοντος παρέσεις καὶ τρόμοι καὶ ἀποπληξίαι καὶ μυρία ἕτερα νοσήματα τίκτεται· καὶ ὅλως ἑκάστη νοσημάτων ἰδέα ἀπὸ τῆς πλεονεξίας τῶν στοιχείων τούτων γίνεται, ὅταν τὸ ἕτερον τοὺς ὅρους τοὺς οἰκείους ὑπερβὰν κατὰ τῶν λοιπῶν τυραννῇ καὶ τὴν συμμετρίαν λυμαίνηται πᾶσαν. Ἐρώτησον οὖν τὸν λέγοντα αὐτόματα εἶναι τὰ πάντα καὶ ἀφ' ἑαυτῶν συνεστάναι. Εἰ τὸ βραχὺ τοῦτο σῶμα καὶ μικρὸν, καὶ φαρμάκων ἀπολαῦον καὶ ἰατρικῆς ἐπιστήμης καὶ τῆς διοικούσης αὐτὸ ψυχῆς ἔνδον καὶ φιλοσοφίας πολλῆς καὶ μυρίων ἑτέρων βοηθημάτων, οὐκ ἰσχύει διαπαντὸς ἐν εὐταξίᾳ μένειν, ἀλλ' ἀπόλλυται καὶ διαφθείρεται πολλάκις ταραχῆς ἐν αὐτῷ γινομένης· πῶς ἂν ὁ τοσοῦτος κόσμος τοσούτους ὄγκους σωμάτων ἔχων, καὶ ἐκ τῶν αὐτῶν συγκείμενος στοιχείων, εἰ μὴ πολλῆς ἀπήλαυε προνοίας, ἔμεινεν ἂν ἐπὶ τοσοῦτον χρόνον ἀτάραχος; Οὐδὲ γὰρ ἂν ἔχοι λόγον τὸ μὲν προνοίας ἀπολαῦον ἡμῶν σῶμα καὶ τῆς ἔξωθεν καὶ τῆς ἔνδοθεν, μόλις διαρκεῖν πρὸς τὴν ἑαυτοῦ σύστασιν· τὸν δὲ τοσοῦτον κόσμον, μηδεμιᾶς ἀπολαύοντα προνοίας, ἐπὶ τοσαῦτα ἔτη μηδὲν τοιοῦτον παθεῖν οἷον τὸ σῶμα τὸ ἡμέτερον. Πῶς γὰρ οὐδὲ ἓν τῶν στοιχείων τούτων, εἰπέ μοι, τοὺς οἰκείους παρέβη ὅρους καὶ τὰ λοιπὰ κατηνάλωσεν ἅπαντα; τίς δὲ αὐτὰ συνήγαγεν ἀπ' ἀρχῆς; τίς ἔδησε, τίς ἐχαλίνωσε, τίς ἐπὶ τοσοῦτον διακρατεῖ χρόνον; Καὶ γὰρ εἰ μὲν ἁπλοῦν καὶ μονοειδὲς ἦν τοῦ κόσμου τὸ σῶμα, οὐχ οὕτως ἀδύνατον ἦν τὸ λεγόμενον· ὅταν δὲ μάχη τοσαύτη τῶν στοιχείων ἐξ ἀρχῆς ἦ, τίς οὕτως ἀνόητος ὡς ἐννοῆσαι ὅτι χωρὶς τοῦ συνάγοντος συνῆλθεν ἂν ταῦτα αὐτόματα, καὶ συνελθόντα ἔμεινεν; Εἰ γὰρ ἡμεῖς οὐχὶ φύσει, ἀλλὰ προαιρέσει πρὸς ἀλλήλους ἐχθροδοῦς ἔχοντες οὐκ ἂν αὐτόματοι συμβαίημεν, ἕως ἂν ἐχθροὶ μένωμεν καὶ πρὸς ἀλλήλους ἔχωμεν ἀηδῶς, ἀλλ' ἑτέρου δεόμεθα τοῦ συνάγοντος ἡμᾶς καὶ μετὰ τὸ συναγαγεῖν ἐπισφίγγοντος, καὶ πείθοντος μένειν ἐπὶ τῆς καταλλαγῆς καὶ μὴ πάλιν ἀποπηδᾷν· πῶς ἂν τὰ μήτε λογισμοῦ μήτε αἰσθήσεώς τινος μετέχοντα στοιχεῖα, καὶ φύσει πολέμια ἀλλήλοις ὄντα καὶ ἐχθρὰ συνῆλθε καὶ συνέδη καὶ μετ' ἀλλήλων ἔμεινεν, εἰ μὴ δύναμίς τις ἦν ἄῤῥητος, ἡ καὶ συναγαγοῦσα, καὶ μετὰ τὸ συναγαγεῖν διαπαντὸς μετὰ τοῦ δεσμοῦ τούτου κατέχουσα; Οὐχ ὁρᾷς πῶς τοῦτο τὸ σῶμα τῆς ψυχῆς ἀποπτάσης διαῤῥεῖ καὶ μαραίνεται καὶ ἀπόλλυται καὶ

seminas non vivificatur, nisi moriatur. Si vero beatus ille de agricultura sermonem habebat, neque nos quispiam accusabit si medicinalem disciplinam attingamus : de Dei enim creatione nunc est nobis oratio, et necessarium nobis fuerit hoc disciplinæ argumentum. Quod igitur ante dixi, ex quatuor his elementis corpus nobis compositum est, et si alterum cum altero penitus dissideat, ex hoc dissidio mors efficitur : ut puta, bile superabundante producitur febris, et si ultra mensuram prævaleat, finem affert celerrimum : rursum frigido superabundante, paralysis et tremores et apoplexiæ et innumeri morbi pariuntur, et omnino quæque ægritudinum forma ab horum elementorum superabundantia nascitur, quando unum ex ipsis proprios excedens terminos, contra alia insurgit et omnem pessumdat symmetriam. Interroga igitur dicentem esse per se nata omnia et per se subsistere. Si breve hoc et modicum corpus, medicaminibus et medicinali scientia utens, anima interius ipsum disponente, ac multa philosophia et innumerabilibus aliis auxiliis, non semper in bono statu permanere valet, sed perit et corrumpitur sæpe turbatione in ipso facta : quomodo tantus mundus, tantas habens corporum moles, et ex iisdem compositus elementis, nisi multa providentia frueretur, tanto tempore imperturbatus manere potuisset? Nec enim cum ratione fieri posset ut providentia quidem fruens et interius et exterius nostrum corpus vix ad sui conservationem sufficeret, tantus vero mundus nulla fruens providentia per tot annos nil tale pateretur quale corpus nostrum. Quomodo enim nullum horum elementorum, quæso, proprios transcendit terminos, nec reliqua omnia consumsit? quis vero ipsa ab initio conjunxit? quis devinxit? quis frenavit? quis usque in tantum tempus continet? Si enim simplex et uniforme fuisset mundi corpus, non tam impossibile fuisset quod dicitur; quando autem tanta elementorum pugna fuit ab initio, quis tam demens, ut putet sine cogente hæc per se convenisse, et conjuncta mansisse? Si enim nos non natura, sed voluntate male mutuo affecti sponte non convenimus, donec manemus inimici et offenso invicem animo dissidemus; sed altero indigemus qui nos conjungat, et postquam conjunxerit, constringat et in pace manere persuadeat, neque rursum resilire : quomodo elementa neque ratione neque sensu ullo prædita, ac sibi per naturam inimica et adversantia, convenissent et congressa fuissent, et alterum cum altero potuissent permanere, nisi potentia quædam esset ineffabilis, quæ congregaret, et congregata semper hoc vinculo coliberet? 3. Non cernis quomodo corpus hoc anima avolante defluit et tabescit et perditur et in suam

πρὸς τὴν οἰκείαν ἕκαστον τῶν στοιχείων ἐπανέρχεται λῆξιν; Τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τοῦδε ἐγένετο ἂν τοῦ κόσμου, εἰ κατέλιπεν αὐτὸν ἔρημον τῆς οἰκείας προνοίας ἡ διαπαντὸς αὐτὸν κυβερνῶσα δύναμις. Εἰ γὰρ πλοῖον ἄνευ κυβερνήτου οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως, ὁ κόσμος πῶς ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον μηδενὸς αὐτὸν κυβερνῶντος; Καὶ ἵνα μηδὲν εἴπω πλέον, νόμισον εἶναι πλοῖον τὸν κόσμον, τρόπιν ὑποκειμένην τὴν γῆν, ἱστίον τὸν οὐρανὸν, ἐπιβάτας τοὺς ἀνθρώπους, πέλαγος τὴν ὑποκειμένην ἄβυσσον· πῶς οὖν ἐπὶ τοσούτου χρόνου ναυάγιον οὐκ ἐγένετο; Ἔασον γοῦν πλοῖον μίαν ἡμέραν χωρὶς κυβερνήτου καὶ ναυτῶν, καὶ ὄψει καταποντιζόμενον εὐθέως· ἀλλ' ὁ κόσμος οὐδὲν τοιοῦτον ἔπαθε πανταχισχίλια καὶ πολλῷ πλείονα λοιπὸν ἔχων ἔτη. Καὶ τί λέγω πλοῖον; καλύβην μικρὰν ἐπήξατό τις ἐν ταῖς ἀμπέλοις, καὶ τοῦ καρποῦ συναρθέντος ἀφῆκεν ἔρημον, καὶ οὐδὲ δύο πολλάκις διαμένει ἡμέρας, ἀλλὰ διαλύεται καὶ καταπίπτει ταχέως. Εἶτα καλύβη μὲν οὐκ ἂν σταίη χωρὶς τοῦ προνοοῦντος, δημιούργημα δὲ τοσοῦτον οὕτω καλὸν καὶ θαυμαστὸν, καὶ νόμοι νυκτὸς καὶ ἡμέρας, καὶ ὡρῶν ἐναλλαγμέναι χορεῖαι, καὶ φύσεως δρόμος ποικίλος τις καὶ παντοδαπὸς ἐν γῇ καὶ θαλάττῃ καὶ ἀέρι καὶ οὐρανῷ καὶ φυτοῖς καὶ ζώοις πετομένοις, νηχομένοις, βαδίζουσιν, ἕρπουσι, καὶ ἐν τῷ πάντων ἐκείνων κυριωτέρῳ τῶν ἀνθρώπων γένει, πῶς ἂν διέμεινεν ἐπὶ τοσοῦτον ἀδιάπτωτος χρόνον χωρὶς προνοίας τινός; Μετὰ γὰρ τῶν εἰρημένων ἔπελθέ μοι τοὺς λειμῶνας τῷ λόγῳ, τοὺς παραδείσους, τὰ γένη τῶν ἀνθῶν, τὰς βοτάνας ἁπάσας, τὰς χροιὰς, τὴν εὐωδίαν αὐτῶν, τὰ σχήματα, τὴν θέσιν, τὰ ὀνόματα μόνον, τὰ δένδρα τὰ ἔγκαρπα, τὰ ἄκαρπα, τῶν μετάλλων τὴν φύσιν, τῶν ζώων τῶν ἐν θαλάττῃ, τῶν ἐν τῇ γῇ, τῶν νηκτῶν, τῶν ἀεροπόρων, τὰ ὄρη, τὰς νάπας, τοὺς δρυμοὺς, τὸν κάτω λειμῶνα, τὸν ἄνω λειμῶνα· καὶ γὰρ ἐν τῇ γῇ λειμὼν καὶ ἐν τῷ οὐρανῷ λειμών, τὰ ποικίλα τῶν ἄστρων ἄνθη [κάτω ῥόδα, ἄνω Ἶρις]. Βούλει καὶ ἐπὶ τῶν ὀρνίθων σοι δείξω λειμῶνα; κατάμαθε τοῦ ταὼνος τὸ σῶμα τὸ ποικίλον καὶ ἅπασαν ὑπερβαῖνον βαφὴν, τοὺς πορφυρίζοντας στρουθούς. Ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ πόσον ἔχει χρόνον καὶ οὐχ ἡμαυρώθη, ἀλλ' ὥσπερ σήμερον κατασκευασθεὶς, οὕτως ἐστὶν ἀποστίλβων καὶ λαμπρός· τῆς γῆς τὴν δύναμιν, πῶς οὐχ ἠτόνησεν αὐτῆς ἡ γαστὴρ τοσοῦτον τίκτουσα χρόνον. Ἐννόησόν μοι τὰς πηγὰς πῶς ἀναβλύζουσι καὶ οὐκ ἐπέλιπον ἐξ οὗ γεγόνασι διηνεκῶς βρύουσαι καὶ ἡμέραν καὶ νύκτα ἅπασαν· ἐννόησόν μοι τὴν θάλατταν, πόσους δεχομένη ποταμοὺς οὐχ ὑπερίδη τὸ μέτρον. Ἀλλὰ μέχρι τίνος διώκομεν ἀκίχητα; ἄξιον ἐφ' ἑκάστῳ τῶν εἰρημένων λέγειν· « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. »

Ἀλλὰ τίς τῶν ἀπίστων ὁ σοφὸς λόγος, ὅταν ἅπαντα ταῦτα διέλθωμεν πρὸς αὐτοὺς, τὸ μέγεθος, τὸ κάλλος τῆς κτίσεως, τὴν δαψίλειαν, τὴν ἀφθονίαν ἐν ἅπασιν;

quodque elementorum revertitur sortem? Hoc ipsum profecto et in hoc fieret mundo, si virtus perpetuo gubernans ipsum reliquisset propria destitutum providentia. Si enim navigium sine gubernatore non persistit, sed facile submergitur · quomodo tantum temporis substiterit mundus gubernante nemine? Et ne quid amplius dicam, navigium mundum esse puta, carinam suppositam terram, velum cælum, vectores homines, mare subjectam abyssum: quomodo igitur tanto naufragium tempore non est factum? Dimitte enim navigium per diem unum absque gubernatore et nautis, et statim submersum videbis; sed mundus tale nihil passus est, quinque millia et multo plus jam habens annorum. Et quid dico navigium? casulam aliquis parvam in vineis compegit, et fructu ablato desertam reliquit, et neque duos sæpe dies permanet, sed solvitur et brevi concidit. Igitur tugurium quidem absque providente non staret; creatura vero tanta, tam pulchra, tam mirabilis, et leges noctis et diei, alternarumque anni tempestatum choreæ, et naturæ cursus varius et omnimodus in terra, in mari, aere, cælo, in plantis, et animalibus volantibus, natatilibus, gradientibus, serpentibus, et in hominum genere omnibus illis superiore, tantum temporis absque aliqua providentia stabilis permansisset? Præterea mente mihi prata percurre, hortos, florum genera, herbas omnes, colores et suaveolentiam earum, figuras, situm, nomina tantum, arbores fructuosas et infructuosas, metallorum naturam, animalium terrestrium, marinorum, natatilium, per aerem meantium, montes, saltus, locos, inferius pratum, superius pratum: est enim in terra pratum, et in cælo pratum, siderum varii flores [inferius rosæ, superius iris]. Vis et in avibus tibi pratum demonstrem? considera pavonis corpus varium, et omnem excedens tincturam, purpurantesque aviculas. Cogita mihi cæli pulchritudinem, quantum temporis agit, nec offuscatum est, sed velut hodie fabricatum, ita est nitens et splendidum: terræ uterus tantum tempus pariens, quomodo non hebetavit virtutem suam. Cogita mihi fontes, quomodo scaturiunt et non defecerunt ex quo facti sunt, jugiter manantes diebus et noctibus: cogita mare, quot flumina suscipiens mensuram non excessit. Sed quousque incomprehensibilia sectamur? In memoratorum singulis dicere par est (*Psal.* 103. 24), *Quam magnificata sunt opera tua, Domine: omnia in sapientia fecisti.*

Sed quis est infidelium sapiens scilicet sermo, quoties ipsis commemoramus hæc omnia, magnitudinem mundi, ornatum, abundantiam, copiam in omnibus? Hoc ipsum,

Αὐτὸ μὲν οὖν τοῦτο μάλιστά ἐστιν ἔγκλημα, φησίν, ὅτι οὕτω καλὸν καὶ μέγαν τὸν κόσμον ἐποίησεν ὁ Θεός· εἰ γὰρ μὴ καλὸν καὶ μέγαν ἐποίησεν αὐτὸν ὁ Θεὸς, οὐκ ἂν αὐτὸν ἐθεοποιοῦμεν· νῦν δὲ ἐκπλαγέντες τὸ μέγεθος καὶ θαυμάσαντες αὐτοῦ τὸ κάλλος, ἐνομίσαμεν αὐτὸν εἶναι θεόν. Ἀλλ' ἕωλος οὗτος ὁ λόγος ἐστίν. Ὅτι γὰρ οὔτε τὸ μέγεθος οὔτε τὸ κάλλος τῆς ἀσεβείας αἴτιον, ἀλλ' ἡ ἐκείνων ἄνοια, δείκνυμεν ἡμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες ποτέ. Τίνος γὰρ ἕνεκεν αὐτὸν οὐκ ἐθεοποιήσαμεν; οὐ τοῖς αὐτοῖς ὀφθαλμοῖς αὐτὸν βλέπομεν; οὐ τὰ αὐτὰ τῆς κτίσεως ἀπολαύομεν ἅπερ κἀκεῖνοι; οὐ τὴν αὐτὴν ψυχὴν κεκτήμεθα; οὐ τὸ αὐτὸ σῶμα ἔχομεν; οὐ τὴν αὐτὴν πατοῦμεν γῆν; πῶς ἡμᾶς οὐκ ἔπεισε τὸ κάλλος καὶ τὸ μέγεθος τὰ αὐτὰ νοῆσαι ἐκείνοις; Οὐκ ἐντεῦθεν δὲ τοῦτο ἔσται δῆλον μόνον, ἀλλὰ καὶ ἑτέρωθεν. Ὅτι γὰρ οὐ διὰ τὸ κάλλος αὐτὸν ἐθεοποίησαν, ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν, τὸν πίθηκον τίνος ἕνεκεν προσεκύνησαν, τὸν κροκόδειλον, τὸν κύνα, τὰ εὐτελέστατα τῶν ζῴων; Ὄντως « Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν. »

Πλὴν ἀλλ' οὐκ ἀπὸ τούτων ἀπολογησόμεθα μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐροῦμεν. Ταῦτα γὰρ ἄνωθεν ὁ Θεὸς προειδὼς, καὶ ταύτην αὐτῶν ἀνεῖλε τὴν πρόφασιν κατὰ τὴν αὐτοῦ σοφίαν· διὰ τοῦτο οὐ μόνον θαυμαστὸν καὶ μέγαν ἐποίησε τὸν κόσμον, ἀλλὰ καὶ φθαρτὸν καὶ ἀσθενῆ, καὶ τῆς ἀσθενείας αὐτοῦ πολλὰ δείγματα ἐγκατέθετο, καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ κόσμου παντός. Τί δὲ ἐπὶ τῶν ἀποστόλων ἐποίησεν; Ἐπειδὴ πολλὰ σημεῖα καὶ θαύματα ἐποίουν μεγάλα καὶ παράδοξα, εἴασεν αὐτοὺς συνεχῶς μαστίζεσθαι, ἐλαύνεσθαι, δεσμωτήριον οἰκεῖν, ἀσθενείαις περιπίπτειν σωματικαῖς, ἐν διηνεκέσιν εἶναι θλίψεσιν, ἵνα μὴ τῶν σημείων τὸ μέγεθος θεοὺς αὐτοὺς παρὰ τοῖς ἀνθρώποις νομίζεσθαι ποιήσειεν· διὰ τοῦτο, τοσαύτην δοὺς χάριν, τὸ σῶμα ἀφῆκεν εἶναι θνητὸν, πολλοῖς δὲ καὶ ἐπίνοσον, καὶ οὐ μετέβαλεν αὐτῶν τὴν ἀσθένειαν, ἵνα ἐγγυήσηται τὴν φύσιν. Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Παύλου οὕτω λέγοντος· « Ἐὰν γὰρ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· φείσομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει ἢ ἀκούει τι ἐξ ἐμοῦ »· καὶ πάλιν· « Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι ». Τί δέ ἐστιν, Ἐν ὀστρακίνοις σκεύεσιν; Ἐν τῷ σώματι τούτῳ, φησὶ, τῷ θνητῷ καὶ ἐπικήρῳ. Καθάπερ γὰρ τὸ ὄστρακον ἐκ πηλοῦ καὶ πυρὸς γίνεται, οὕτω δὴ καὶ τὸ σῶμα τῶν ἁγίων ἐκείνων, πήλινον ὂν καὶ τοῦ πνευματικοῦ πυρὸς δεξάμενον τὴν ἐνέργειαν, γέγονεν ὄστρακον. Καὶ τίνος ἕνεκεν τοῦτο γεγένηται, καὶ θησαυρὸν τοσοῦτον καὶ χαρισμάτων ἅψυλλειαν θνητῷ καὶ φθαρτῷ σώματι ἐναπέθετο; « Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν. » Ὅταν γὰρ ἴδῃς τοὺς ἀποστόλους νεκροὺς μὲν ἀνιστῶντας, αὐτοὺς δὲ ἀσθε-

inquiunt, maxima criminis est causa, quod tam pulchrum et magnum fecit Deus mundum : nisi enim magnum et pulchrum fecisset, non ipsum deum faceremus; nunc vero magnitudine ejus perculsi et pulchritudinem admirati, ipsum deum esse putavimus. Sed jejunus et vanus est hic sermo : quod enim neque magnitudo nec ornatus impietatis sit causa, sed illorum ignorantia, nos nil tale unquam passi declaramus. Qua enim de causa nos ipsi divinos honores non decrevimus? nonne iisdem oculis ipsum aspicimus? nonne iisdem in mundo fruimur, quibus illi? nonne eamdem animam habemus? nonne idem corpus possidemus? nonne eamdem calcamus tellurem? quomodo pulchritudo ea et magnitudo nobis eadem cum illis sentire non persuasit? Nec hinc vero tantum hoc palam erit, sed et aliunde. Quod enim non propter pulchritudinem ipsum consecraverint, sed per propriam stultitiam, dicant simiam qua de causa adoraverunt, crocodilum, canem, animalium vilissima? Vere (*Rom.* 1. 21. 22) *Evanuerunt in cogitationibus suis, et obtenebratum est insipiens cor eorum : dicentes enim se esse sapientes, stulti facti sunt.*

4. Verumtamen non ex his tantum respondebimus ipsis, sed et aliud quid amplius dicemus. Hæc enim Deus olim prævidens, etiam hanc ipsis ansam secundum sapientiam suam sustulit : propterea non tantum mirabilem et magnum fecit hunc mundum, sed et corruptibilem et marcescibilem, et ipsius infirmitatis multa inseruit documenta; et quod in apostolis fecit, hoc et in toto mundo. Quid autem in apostolis fecit? Quoniam signa multa faciebant et miracula magna et mirabilia, ipsos tamen sæpe flagellari permisit, pelli, carcerem habitare, corporis morbos subire, in continuis esse tribulationibus, ne signorum magnitudo deos ipsos apud homines putari faceret; propterea, tantam largitus gratiam, corpus esse mortale permisit, multis etiam valetudinarium; nec ipsorum infirmitatem mutavit, ut naturam planissime præstaret. Nec meus hic sermo, sed ipsius Pauli sic dicentis (2. *Cor.* 12. 6) : *Si enim gloriari voluero, non ero insipiens : parco autem, ne quis in me putet supra quod videt vel audit aliquid ex me :* et rursum (*ib.* 4. 7) : *Habemus autem thesaurum hunc in vasis fictilibus.* Quid autem est, *In vasis fictilibus?* In corpore hoc, inquit, mortali et corruptibili. Sicut enim testa ex luto et igne fit, sic profecto et corpus sanctorum illorum, cum sit luteum et spiritualis ignis efficaciam susceperit, testa factum est. Et qua de causa hoc factum est, et thesaurum talem et gratiarum copiam mortali et corruptibili intulit corpori? (*Ibid.*) *Ut superabundantia virtutis sit a Deo, et non a nobis.* Cum enim videris apostolos mortuos quidem suscitantes, ipsos vero

νοῦντας καὶ μὴ δυναμένους ἀπαλλαγῆναι τῆς ἀῤῥωστίας, εἴση σαφῶς ὅτι ἡ τοῦ νεκροῦ ἀνάστασις οὐ τῆς δυνάμεως τοῦ ἀναστήσαντος, ἀλλὰ τῆς ἐνεργείας τῆς τοῦ Πνεύματος γέγονεν. Ὅτι γὰρ ἠῤῥώστουν συνεχῶς, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ Τιμοθέου· « Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας »· καὶ πάλιν περὶ ἑτέρου, « Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα »· καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν ὅτι « Ἐπαφρᾶς ἠσθένησε παραπλήσιον θανάτου. » Εἰ γὰρ καὶ τούτων ὄντων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν, καὶ θύειν ἐπεχείρουν, λέγοντες, « Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς », εἰ μὴ ταῦτα ἐγένετο, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας, τὰ θαύματα τότε ὁρῶντες; Ὥσπερ οὖν ἐνταῦθα διὰ τὸ μέγεθος τῶν σημείων καὶ τὴν φύσιν ἀφῆκεν ἐν ἀσθενείᾳ μένειν, καὶ τοὺς ἐπαλλήλους συνεχώρησε πειρασμούς, ἵνα μὴ νομισθῶσιν εἶναι θεοί, οὕτω καὶ ἐπὶ τῆς κτίσεως παραπλήσιόν τι τοῦτοις ἐποίησε· καὶ γὰρ καλὴν αὐτὴν καὶ μεγάλην, καὶ φθαρτὴν πάλιν κατεσκεύασε. Καὶ ἀμφότερα ταῦτα αἱ Γραφαὶ φιλοσοφοῦσιν· ὁ μὲν γὰρ τὸ κάλλος τῶν οὐρανῶν διηγούμενος οὕτω φησίν· « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ »· καὶ πάλιν, « Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς »· καὶ πάλιν, « Ὁ κατέχων τὸν γῦρον τοῦ οὐρανοῦ ». Ἕτερος δὲ δεικνὺς ὅτι εἰ καὶ καλὸς καὶ μέγας, ἀλλὰ φθαρτός ἐστιν, οὕτω φησί· « Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται ». Καὶ πάλιν περὶ τοῦ ἡλίου φησὶν ὁ Δαυὶδ, ὅτι « Ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ· ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. » Εἶδες τὸ κάλλος τοῦ ἄστρου καὶ τὸ μέγεθος πῶς σοι παρέστησε; Καθάπερ γὰρ ἐκ παστάδος τινὸς νυμφίος φανείς, οὕτως ὁ ἥλιος ὑπὸ τὴν ἑῳ τὰς ἀκτῖνας ἀφίησι, καὶ ὥσπερ τινὶ κροκωτῷ παραπετάσματι τὸν οὐρανὸν καλλωπίζων, καὶ ῥοδοειδεῖς ποιῶν τὰς νεφέλας, καὶ ἀνεμποδίστως τρέχων ἅπασαν τὴν ἡμέραν, οὐδενὶ διακόπτεται πρὸς τὸν δρόμον κωλύματι. Εἶδες τοίνυν αὐτοῦ τὸ κάλλος; εἶδες τὸ μέγεθος; βλέπε καὶ τῆς ἀσθενείας αὐτοῦ τὸ δεῖγμα. Καὶ γὰρ καὶ τοῦτο δηλῶν σοφός τις ἔλεγε, « Τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει. » Οὐκ ἀπὸ τούτου δὲ μόνον αὐτοῦ τὴν ἀσθένειαν ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν ταῖς τῶν νεφῶν συνδρομαῖς. Νέφους γοῦν ὑποδραμόντος πολλάκις ἀφεὶς τὰς ἀκτῖνας καὶ φιλονεικήσας διαῤῥῆξαι τὸ νέφος οὐκ ἴσχυσε, παχυτέρας τῆς νεφέλης οὔσης καὶ οὐκ ἀνασχομένης αὐτῷ διασχεῖν. Ἀλλὰ τὰ σπέρματα, φησὶ, τρέφει. Καὶ μὴν οὐκ αὐτὸς τρέφει μόνος, ἀλλὰ καὶ γῆς δεῖται, καὶ δρόσου, καὶ ὑετῶν, καὶ ἀνέμων, καὶ τῆς τῶν ὡρῶν εὐμοιρίας· κἂν μὴ ταῦτα ἅπαντα συνδράμῃ, περιττὴ ἡ τοῦ ἡλίου γίνεται χρεία. Τοῦτο δὲ οὐκ ἂν εἴη Θεοῦ, τὸ δεῖσθαι ἑτέρων πρὸς ἅπερ ἂν

aegrotantes, nec infirmitate se liberare valentes, manifeste scies, mortui resurrectionem non ex virtute suscitantis, sed Spiritus operatione factam esse. Quod enim frequenter aegrotarent, audi quid de Timotheo dicat apostolus (1. *Tim.* 5. 23) : *Vino modico utere propter stomachum et frequentes infirmitates tuas;* et rursum de alio (2. *Tim.* 4. 20) : *Trophimum autem reliqui Mileti infirmum.* Et Philippensibus scribens dicebat (2. 27), *Epaphroditus aegrotavit prope mortem.* Si enim et cum haec essent, ipsos deos esse putabant, et sacrificare parabant, dicentes (*Act.* 14. 10), *Dii similes facti hominibus descenderunt ad nos :* si haec non accidissent, ad quid impietatis, miraculis conspectis, tunc non processissent? Sicut igitur hic propter signorum magnitudinem et naturam eorum in infirmitate esse permisit, et frequentes concessit tentationes, ne putarentur esse dii : sic et in creatura mundi quiddam his simile fecit : etenim pulchram ipsam et magnam fecit, et rursum corruptibilem constituit. Et haec utraque Scripturae docent : hic quidem caelorum pulchritudinem narrans, sic inquit (*Psal.* 18. 11) : *Caeli enarrant gloriam Dei;* et rursum (*Isai.* 40. 22) : *Qui constituit caelum velut cameram, et extendit ipsum quasi tabernaculum in terra;* et rursum (*Eccli.* 43. 13) : *Qui continet circuitum caeli.* Alter vero demonstrans, etsi pulchrum et magnum, tamen corruptibile esse, inquit (*Psal.* 101. 26. 27) : *Initio tu, Domine, terram fundasti, et opera manuum tuarum sunt caeli : ipsi peribunt, tu autem permanes, et omnes sicut vestimentum veterascent; et sicut operiorium mutabis eos, et mutabuntur.* Et iterum de sole dicit idem David (*Psal.* 18. 6), *Tamquam sponsus procedens de thalamo suo : exsultabit ut gigas ad currendam viam.* Vidisti quomodo sideris pulchritudinem simul et magnitudinem tibi ante oculos posuit? Sicut enim ex thalamo quodam sponsus apparens, sic et sol sub auroram radios dimittit, et tamquam quodam croceo velo caelum ornans, et roseas faciens nubes, et sine offensa curreus totum diem, nullo cursum obstaculo interrumpit. Vidisti igitur ipsius pulchritudinem? vidisti magnitudinem? vide et infirmitatis ejus demonstrationem. Etenim et hoc demonstrans sapiens quidam (*Eccli.* 17. 30) dicebat, *Quid lucidius sole? et hic deficit.* Nec ex hoc tantum ipsius imbecillitatem videre datur, sed etiam in nubium concursibus. Nube enim subtus currente saepe radios immittens, et nubem discindere conatus, non praevaluit, cum esset nubes crassior, nec ipsi cedere sustineret. Sed semina, inquit, nutrit. Atqui non ipse nutrit solus, sed et terrae indiget ac roris, et pluviarum atque ventorum, et bonae tempestatum anni temperiei; nisi haec omnia concurrerint, superfluus fit solis usus. Hoc vero Dei non

βούληται ποιεῖν· Θεοῦ γὰρ ἴδιον μάλιστα τὸ ἀνενδεές. Αὐτὸς γοῦν οὐχ οὕτω τὰ σπέρματα ἐξήγαγεν ἀπὸ τῆς γῆς, ἀλλ' ἐκέλευσε μόνον, καὶ πάντα ἐβλάστησε. Καὶ πάλιν, ἵνα μάθῃς ὅτι οὐχὶ τῶν στοιχείων ἡ φύσις, ἀλλὰ τὸ πρόσταγμα αὐτοῦ πάντα ποιεῖ, αὐτά τε τὰ στοιχεῖα οὐκ ὄντα παρήγαγε, καὶ ἐπὶ τῶν Ἰουδαίων, οὐδενὸς δεηθείς, τὸ μάννα κατήγαγεν· « Ἄρτον γάρ, φησίν, οὐρανοῦ ἔδωκεν αὐτοῖς. » Καὶ τί λέγω, πρὸς τὴν τῶν καρπῶν ἀκμὴν ὅτι ἑτέρων δεῖται στοιχείων; πρὸς τὴν ἑαυτοῦ σύστασιν οὐκ ἂν αὐτὸς ἀρκέσειεν ἑαυτῷ· καὶ γὰρ ἵνα βαδίζῃ, τοῦ οὐρανοῦ δεῖται καθάπερ ἰδάφους τινὸς ὑποκειμένου, καὶ ἵνα φαίνηται, τῆς τοῦ ἀέρος καθαρότητος καὶ λεπτότητος, ὡς ἐὰν πυκνωθῇ πέρα τοῦ μέτρου καὶ οὗτος, οὐκ ἰσχύει δεῖξαι τὸ ἑαυτοῦ φῶς ἐκεῖνος· καὶ ἵνα μὴ πᾶσιν ἀφόρητος ᾖ μηδὲ καταχαύσῃ πάντα, ψυχρότητος δεῖται πάλιν καὶ δρόσου. Ὅταν οὖν καὶ περιγίνηται αὐτοῦ στοιχεῖα ἕτερα, καὶ τὴν ἀσθένειαν αὐτοῦ διορθῶται (περιγίνεται μέν, ὡς νεφέλη καὶ τοῖχοι καὶ ἄλλα τινὰ σώματα ἀποκρύπτοντα αὐτοῦ τὸ φῶς· διορθοῦται δὲ αὐτοῦ τὴν ἀμετρίαν, ὡς δρόσοι καὶ πηγαὶ καὶ ψυχρότης ἀέρος), πῶς ἂν εἴη οὗτος Θεός; Τὸν γὰρ Θεὸν ἀνενδεῆ εἶναι χρὴ καὶ μηδενὸς δεῖσθαι, καὶ πᾶσιν ἁπάντων αἴτιον εἶναι τῶν καλῶν, καὶ παρὰ μηδενὸς κωλύεσθαι· καθάπερ οὖν καὶ περὶ τοῦ Θεοῦ φησιν ὁ Παῦλος καὶ ὁ προφήτης Ἡσαΐας, ὁ μὲν οὕτω λέγων ἐκ προσώπου αὐτοῦ, « Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος· Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν· » καὶ πάλιν ὁ Δαυὶδ, « Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. » Ὁ δὲ Παῦλος τὸ ἀνενδεὲς αὐτοῦ δηλῶν, καὶ δεικνὺς ὅτι ἀμφότερα ταῦτα μάλιστά ἐστι Θεοῦ, τὸ μηδενὸς δεῖσθαι καὶ πᾶσιν αὐτὸν ἅπαντα χορηγεῖν, οὕτω πώς φησιν· « Ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, οὐ προσδεόμενός τινος αὐτὸς, διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. »

Ἐνῆν μὲν οὖν καὶ τὰ λοιπὰ ἐπελθεῖν στοιχεῖα, τὸν οὐρανὸν, τὸν ἀέρα, τὴν γῆν, τὴν θάλατταν, καὶ δεῖξαι αὐτῶν τὴν ἀσθένειαν, καὶ πῶς ἕκαστον τοῦ πλησίον δεῖται, καὶ τούτου χωρὶς ἀπόλλυται καὶ διαφθείρεται. Καὶ γὰρ ἡ γῆ, ἂν ἀπολίπωσιν αὐτὴν αἱ πηγαὶ καὶ ἡ παρὰ τῆς θαλάττης καὶ ἡ παρὰ τῶν ποταμῶν ἐνσπειρομένη νοτὶς, καταφρυγεῖσα ταχέως ἀπόλλυται· καὶ τὰ λοιπὰ δὲ στοιχεῖα ἀλλήλων δεῖται, καὶ ἀὴρ ἡλίου, ὥσπερ ἥλιος ἀέρος· ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐκ τῶν εἰρημένων ἱκανὰς τοῖς βουλομένοις ἀφορμὰς ὄντες [ἀρκεσθησόμεθα]. Εἰ γὰρ ὁ πάσης τῆς κτίσεως θαυμασιώτερος ἥλιος οὕτως ἀσθενὴς ὢν καὶ ἐνδεὴς ὤφθη, πολλῷ μᾶλλον τὰ λοιπὰ τοῦ κόσμου μέρη· ὅπερ οὖν εἶπον, τοῖς φιλοπόνοις ἐκεῖνα δοὺς ἀναλέγεσθαι, αὐτὸς ἀπὸ τῶν Γραφῶν ὑμῖν διαλέξομαι πάλιν, δεικνὺς ὅτι οὐχ ὁ ἥλιος μόνος, ἀλλὰ καὶ ἅπας φθαρτός ἐστιν οὗτος ὁ κόσμος. Ὅταν γὰρ ἀλλήλων ἀναλωτικὰ τὰ στοιχεῖα ᾖ, καὶ κολάζῃ μὲν τοῦ ἡλίου

est, ad ea facienda quæ vult, aliis indigere : Dei enim maxime proprium, non indigere. Ipse enim non sic e terra semina protulit, sed tantum jussit, et omnia germinaverunt. Et rursum, ut discas non elementorum naturam, sed ipsius mandatum omnia facere, ipsaque elementa, quæ non erant, produxisse, Judæis nullius ope manna demisit : *Panem*, inquit (*Psal.* 77. 24), *cæli dedit eis.* Et quid dico solem ad fructuum vegetationem aliis indigere elementis? ad sui ille constitutionem ipse sibi non potest sufficere : quippe ut vadat, cælo indiget, tamquam pavimento quodam supposito; et ut luceat, aeris puritate et tenuitate. Quodsi hic præter modum densetur, ille lucem suam ostendere non valet; et ne omnibus sit intolerabilis, neque cuncta comburat, frigiditate rursus eget ac rore. Cum ipsum igitur etiam vincant elementa cetera, et ipsius impotentiam emendent (vincunt quidem, sicut nubes, et muri et alia quædam corpora ipsius lucem abscondentia; corrigunt autem ipsius intemperantiam, sicut rores, et fontes, et aeris frigiditas), quomodo hic Deus esse potest? Deum enim non indigere necessarium est, et nulla re opus habere, et omnium omnibus bonorum esse auctorem, et a nemine cohiberi, sicut scilicet de Deo ait Paulus et propheta Isaias [Jeremias], hic quidem ex ipsius persona, dicens (23. 24 *et* 23), *Cælum et terram ego impleo, ait Dominus; Deus appropinquans ego sum, et non Deus a longe :* et rursus David (*Psal.* 15. 2) : *Dixi Domino, Deus meus es tu, quoniam bonorum meorum non eges.* Paulus autem ipsius copiam nullius indigentem demonstrans, et ostendens hæc ambo maxime Dei esse, nullo indigere, et omnibus omnia subministrare, sic inquit (*Act.* 17. 24. 25) : *Deus qui fecit cælum et terram et mare, nullius indigens, ipse vitam omnibus præbens, et spiritum, et omnia.*

5. Licebat quidem et alia percurrere elementa, cælum, aerem, terram, mare, et ipsorum imbecillitatem demonstrare, et quomodo proximo quodque indiget, et sine hoc perit et corrumpitur. Etenim terra, si deficiant eam fontes et humiditas tum a mari tum a fluviis infusa, tosta brevi disperdetur; reliqua etiam elementa altero alterum indigent, et aer sole, sicut sol aere : sed ne prolixiorem faciamus sermonem, ex dictis multas inquirere volentibus occasiones dedisse satis fuerit. Si enim omni creatura sol admirabilior tam imbecillis et inops esse jam apparet, multo magis reliquæ mundi partes : quod igitur dixi, laboriosis illa præbeo colligenda : ipse de Scripturis iterum vobis disseram, demonstrans, non solem tantum, sed et totum hunc mundum corruptibilem esse. Cum enim elementa sese mutuo consumant, et solis quidem potentiam

τὴν δύναμιν ψυχρότης ἐπιγινομένη πλέον, ἀναλίσκῃ δὲ ταύτην πάλιν τὸ θερμὸν ἐπικρατῆσαν, καὶ τὰς ἐναντίας ποιότητάς τε καὶ διαθέσεις ἐν ἀλλήλοις ποιῇ καὶ πάσχῃ τὰ στοιχεῖα, εὔδηλον ὅτι μεγάλης φθορᾶς ταῦτα ἀπόδειξις, καὶ τοῦ σῶμα εἶναι πάντα τὰ ὁρώμενα. Ἀλλ' ἐπειδὴ τῆς ἀφελείας τῆς ἡμετέρας ὑψηλότερος ὁ λόγος οὗτος, φέρε ἐπὶ τὴν γλυκεῖαν ὑμᾶς ἀγαγόντες πηγὴν τῶν Γραφῶν, τὴν ἀκοὴν ὑμῶν ἀναπαύσωμεν. Οὐ γὰρ δὴ περὶ οὐρανοῦ καὶ γῆς κατὰ μέρος ὑμῖν ἐροῦμεν, ἀλλὰ περὶ πάσης ὁμοῦ τῆς κτίσεως τοῦτο αὐτὸ τὸν ἀπόστολον ἡμῖν ἀποφαινόμενον δείξομεν, λέγοντα σαφῶς οὕτως, ὅτι πᾶσα ἡ κτίσις φθορᾷ δουλεύει νῦν, καὶ διά τί δουλεύει, καὶ πότε αὐτῆς ἀπαλλαγήσεται, καὶ εἰς ποίαν μεταβήσεται λῆξιν. Εἰπὼν γὰρ « Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς », ἐπήγαγεν ὅτι « Ἡ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀποδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι ». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· φθαρτή, φησίν, ἡ κτίσις γέγονε· τοῦτο γάρ ἐστι Τῇ ματαιότητι ὑπετάγη· φθαρτὴ δὲ ἐγένετο τοῦ Θεοῦ κελεύσαντος οὕτως. Ἐκέλευσε δὲ ὁ Θεὸς οὕτω διὰ τὸ γένος τὸ ἡμέτερον· ἐπειδὴ γὰρ φθαρτὸν ἤμελλε τρέφειν ἄνθρωπον, καὶ αὐτὴν τοιαύτην εἶναι ἐχρῆν· οὐ γὰρ δὴ φθαρτὰ σώματα ἤμελλεν ἀφθάρτῳ ἐνδιαιτᾶσθαι κτίσει. Ἀλλ' ὅμως οὐ μένει τοιαύτη, φησίν, ἀλλὰ « Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς »· εἶτα δηλῶν πότε τοῦτο ἔσται καὶ διὰ τίνας, ἐπήγαγεν, « Εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ ». Ὅταν γὰρ ἀναστῶμεν, φησί, καὶ ἄφθαρτα λάβωμεν σώματα, τότε καὶ τοῦ οὐρανοῦ τὸ σῶμα καὶ τῆς γῆς καὶ τῆς κτίσεως ἁπάσης ἄφθαρτον ἔσται καὶ ἀκήρατον. Ὅταν οὖν ἴδῃς ἥλιον ἀνίσχοντα, θαύμασον τὸν δημιουργόν· ὅταν ἴδῃς αὐτὸν κρυπτόμενον καὶ ἀφανιζόμενον, κατάμαθε τῆς φύσεως τὴν ἀσθένειαν, καὶ μὴ προσκυνήσῃς αὐτὸν ὡς θεόν. Διὰ γὰρ τοῦτο οὐ μόνον τῇ φύσει τῶν στοιχείων δεῖγμα τῆς ἀσθενείας αὐτῶν ἐγκατέθετο ὁ Θεὸς, ἀλλὰ καὶ τοῖς αὐτοῦ δούλοις ἀνθρώποις οὖσιν ἐπιτάξαι [αὐτοῖς] ἐκέλευσεν, ἵνα κἂν ἀπὸ τῆς ὄψεως μὴ γνωρίσῃς αὐτῶν τὴν δουλείαν, ἀπὸ τῶν ἐπιταττόντων μάθῃς, ὅτι σύνδουλά σοι ταῦτά ἐστιν ἅπαντα. Ὁ γοῦν Ἰησοῦς [ὁ τοῦ Ναυή] φησι, « Στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών. » Καὶ πάλιν ὁ προφήτης Ἡσαΐας ἀναποδίσαι αὐτὸν ἐπὶ τοῦ βασιλέως Ἐζεκίου ἐποίησε, καὶ Μωϋσῆς ἀέρι καὶ θαλάττῃ καὶ γῇ καὶ πέτραις ἐπέταξεν· Ἐλισσαῖος ὑδάτων φύσιν μετέβαλεν, οἱ τρεῖς παῖδες πυρὸς περιεγένοντο. Ὁρᾷς πῶς ἑκατέρωθεν ἡμῶν προενόησεν ὁ Θεὸς διὰ μὲν τοῦ κάλλους τῶν στοιχείων εἰς τὴν αὐτοῦ θεογνωσίαν ἡμᾶς ἄγων, διὰ δὲ τῆς ἀσθενείας οὐκ ἀφιεὶς εἰς τὴν ἐκείνων καταπεσεῖν λατρείαν;

Ὑπὲρ δὴ τούτων ἁπάντων δοξάσωμεν αὐτὸν ἡμῶν

superveniens major frigiditas castiget, hanc autem vicissim calor invalescens consumat, et contrarias qualitates et dispositiones alterum in altero faciant et patiantur elementa : evidens est hæc magnæ corruptionis argumentum præbere, et corpus esse quæcumque videntur. Sed quoniam tenuitate nostra altior hic est sermo, age ad dulcem vos Scripturarum fontem agentes, aures vestras mulceamus. Non enim de cælo et terra singillatim vobis dicemus, sed de omni pariter creatura hoc ipsum vobis demonstrantem apostolum ostendemus, manifeste adeo dicentem quod omnis creatura corruptioni nunc serviat, et quare serviat, et quando mutabitur, et in qualem transibit conditionem. Postquam enim dixit (*Rom.* 8. 18), *Non sunt condignæ passiones præsentis temporis ad futuram gloriam quæ revelabitur in nobis*, intulit (v. 19. 20), *Nam exspectatio creaturæ revelationem filiorum Dei exspectat. Vanitati enim creatura subjecta est, non sponte, sed propter eum qui subjecit eam in spe.* Quod autem dicit, hujusmodi est : corruptibilis creatura facta est : hoc enim est, *Vanitati subjecta est :* corruptibilis autem facta est, Deo sic jubente ; jussit autem sic Deus propter genus nostrum : quia enim hominem nutrire volebat corruptibilem, et ipsa talis esse debebat : non enim corruptibilia corpora decebat in incorruptibili degere creatura. Sed, inquit, non tamen talis remanet, sed (*Rom.* 8. 21) *Et ipsa creatura liberabitur a servitute corruptionis :* deinde demonstrans quando hoc erit, et per quos, intulit, *In libertatem gloriæ filiorum Dei.* Cum enim resurrexerimus, inquit, et incorrupta sumserimus corpora, tunc et cæli corpus et terræ et mundi totius incorruptum erit et immarcescibile. Quando igitur solem videris exorientem, creatorem admirare ; quando ipsum celantem se et evanescentem videris, naturæ imbecillitatem disce, nec ipsum tamquam Deum adores. Idcirco enim non ex hoc solo elementorum naturæ imbecillitatis demonstrationem Deus intulit, sed et hominibus servis suis, ut eis imperarent, mandavit, ut, etiamsi ex aspectu ipsorum servitutem non cognoscas, ab imperantibus discas, omnia conserva tua esse. Quippe Jesus Nave dicit (*Jos.* 10. 12) : *Stet sol contra Gabaon, et luna contra vallem Ælon.* Et iterum propheta Isaias (38. 8) ipsum in contrarium retrogredi fecit sub Ezechia rege, et Moses quoque aeri et mari et terræ et petris imperavit : Elisæus aquarum naturam mutavit, tres pueri ignem vicerunt. Vides quomodo utrimque nobis Deus providit, per elementorum quidem pulchritudinem nos in divinitatis suæ cognitionem inducens, per infirmitatem vero non permittens in illorum cadere adorationem?

6. Super iis ergo omnibus ipsum nostri gubernatorem

τὸν κηδεμόνα, μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων, καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, τήν τ' ἄλλην καὶ τὴν περὶ τοὺς ὅρκους ἐγκράτειαν λέγω. Οὐ γὰρ δὴ πᾶν ἁμάρτημα τὴν αὐτὴν φέρει κόλασιν, ἀλλὰ τὰ εὐκατόρθωτα μείζονα ἡμῖν ἐπάγει τὴν τιμωρίαν· ὅπερ οὖν καὶ ὁ Σολομὼν αἰνιττόμενος ἔλεγεν, « Οὐ θαυμαστὸν ἐάν τις ἁλῷ κλέπτων· κλέπτει γὰρ ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶσαν· ὁ δὲ μοιχὸς δι' ἐνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. » Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δεινὸν μὲν καὶ ὁ κλέπτης, ἀλλ' οὐχ οὕτω δεινὸν ὡς ὁ μοιχός· ἐκεῖνος μὲν γὰρ εἰ καὶ ψυχρὰν αἰτίαν, ἀλλ' ὅμως ἔχει προβαλέσθαι τὴν ἀπὸ τῆς πενίας ἀνάγκην, οὗτος δὲ, οὐδεμιᾶς ἀνάγκης αὐτὸν βιαζομένης, ὑπὸ ἀνοίας μόνον εἰς τὸ βάραθρον καταπίπτει τῆς ἁμαρτίας. Τοῦτο καὶ ἐπὶ τῶν ὀμνυόντων ἐστὶν εἰπεῖν· οὐδὲ γὰρ οὗτοί τινα πρόφασιν ἔχουσι προβαλέσθαι, ἀλλὰ καταφρόνησιν μόνον. Καὶ οἶδα μὲν ὅτι ἐπαχθὴς εἶναι δοκῶ λοιπὸν καὶ φορτικὸς, τῇ συνεχείᾳ τῆς παραινέσεως δοκῶν ἐνοχλεῖν, ἀλλ' ὅμως οὐκ ἀφίσταμαι, ἵνα κἂν τὴν ἀναισχυντίαν αἰδεσθέντες τὴν ἐμὴν, ἀποστῆτε τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. Εἰ γὰρ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀπηνὴς καὶ ὠμὸς, χήρας ἐνόχλησιν αἰδεσθεὶς τὸν τρόπον μετέβαλε, πολλῷ μᾶλλον ὑμεῖς τοῦτο ἐργάσασθε, καὶ μάλιστα ὅταν ὁ παρακαλῶν ὑμᾶς μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας τοῦτο ποιῇ σωτηρίας· μᾶλλον δὲ καὶ ὑπὲρ ἐμαυτοῦ οὐκ ἂν ἀρνησαίμην τοῦτο ποιεῖν· τὰ γὰρ ὑμέτερα ἀγαθὰ ἐμαυτοῦ νομίζω εἶναι κατορθώματα. Ἐβουλόμην δὲ ὑμᾶς, ὥσπερ ἐγὼ νῦν πονῶ καὶ κόπτομαι ὑπὲρ τῆς ὑμετέρας σωτηρίας, οὕτω καὶ ὑμᾶς φροντίζειν ὑπὲρ τῆς ὑμετέρας ψυχῆς, καὶ πάντως ἂν τέλος ἔλαβε τοῦτο τὸ κατόρθωμα. Καὶ τί χρὴ τὰ πολλὰ λέγειν; εἰ γὰρ μηδὲ γέεννα ἦν μηδὲ κόλασις παρακούουσι, μηδὲ μισθὸς ὑπακούουσιν, ἐγὼ δὲ προσελθὼν ὑμῖν τοῦτο ἐν χάριτος ἤτησα μέρει, ἆρα οὐκ ἂν ἐπενεύσατε; οὐκ ἂν ἐδώκατε τὴν αἴτησιν, κούφην οὕτως αἰτοῦντι χάριν; Ὅταν δὲ ὁ Θεὸς αὐτὴν αἰτῶν ᾖ δι' ὑμᾶς τοὺς διδόντας, οὐ δι' ἑαυτὸν τὸν λαμβάνοντα, τίς οὕτως ἀγνώμων, τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὃς Θεῷ χάριν αἰτοῦντι μὴ δοῦναι, καὶ μάλιστα ὅταν αὐτὸς ἀπολαύειν μέλλῃ τῆς χάριτος ὁ διδούς; Ταῦτ' οὖν ἐννοήσαντες, καὶ πρὸς ἑαυτοὺς ἀναχωρήσαντες ἐντεῦθεν λέγετε τὰ εἰρημένα ἅπαντα, καὶ τοὺς μὴ προσέχοντας παντὶ διορθοῦσθε τρόπῳ, ἵνα καὶ τῶν οἰκείων καὶ τῶν ἀλλοτρίων κατορθωμάτων τὴν ἀμοιβὴν ἀπολάβωμεν, χάριτι κτλ.

glorificemus, nec per verba tantum, sed etiam per opera, et conversationem optimam exhibeamus, tam circa alia quam circa abstinentiam a juramentis. Non enim omne peccatum eamdem exigit pœnam, sed correctu facilia majorem afferunt ultionem; id quod et Salomon innuens dicebat (*Prov.* 6. 30. 32), *Non mirum, si quis deprehensus fuerit furans : furatur enim, ut animam suam impleat esurientem; adulter vero propter inopiam mentis, perditionem animæ suæ acquirit.* Quod autem dicit, tale est : gravis quidem res etiam fur, sed non tam gravis, quam adulter : ille enim etsi frivolam causam habet, tamen ex pauperie necessitatem prætendere potest : hic vero nulla ipsum cogente necessitate præ demenlia sola in peccati voraginem corruit. Hoc et de jurantibus dicere licet : nec enim isti ullum habent quem præferant prætextum, sed contemtum solum. Et novi quidem me jam gravem esse videri et onerosum, atque admonitionis jugitate molestum esse; verumtamen non desino, ut vel impudentiam reveriti meam improba juramentorum consuetudine absistatis. Si enim judex ille immitis et sævus (*Luc.* 18. 2. sqq.), viduæ vexationem veritus, mores mutavit : multo magis hoc vos faciatis, et maxime cum supplicans vobis non pro me ipso, sed pro salute vestra hoc faciam : imo vero et pro mei ipsius me salute hoc facere non negaverim : vestra enim bona puto mea esse merita. Vellem autem, sicut ego nunc laboro et fatigor pro salute vestra, sic et vos animæ vestræ curam gerere : sic plane hoc tantum negotium finem acciperet. Et quid opus est multa dicere? si enim gehenna non esset, nec pœna contumacibus, neque merces obedientibus, ego autem ad vos accedens, in gratiæ parte petiissem, nonne annuissetis? nonne petitionem concederetis, levem adeo petenti gratiam? Cum vero Deus ipsam petens, propter vos dantes, non propter se ipsum percipientem hoc faciat : quis tam ingratus, quis tam miser et ærumnosus, ut beneficium petenti Deo non impendat, et maxime cum ipse qui impendit, sit beneficio potiturus? Hæc igitur cogitantes, et domum hinc recedentes, omnia repetite dicta, et eos qui id non observant omnibus modis corrigite, ut propriorum et alienorum retributionem meritorum recipiamus, gratia etc.

ΟΜΙΛΙΑ ια'.

Εὐχαριστία πρὸς Θεὸν περὶ τῆς ἀπαλλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν, καὶ ἀνάμνησις τῶν τότε συμβάντων· ἔτι δὲ καὶ κατὰ τῶν τὸ σῶμα ἡμῶν διαβαλλόντων, καὶ διόλου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς· καὶ πρὸς τῷ τέλει περὶ τοῦ κατορθῶσαι τὸ μὴ ὀμνύειν.

Ἐπειδὰν ἐννοήσω τὸν παρελθόντα χειμῶνα καὶ τὴν παροῦσαν γαλήνην, οὐ παύομαι λέγων, Εὐλογητὸς ὁ Θεὸς « ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτὰ, ὁ ποιήσας φῶς ἐκ σκότους, ὁ κατάγων εἰς πύλας ᾅδου καὶ ἀνάγων, ὁ παιδεύων καὶ μὴ θανατῶν »· καὶ τοῦτο καὶ ὑμᾶς λέγειν βούλομαι διηνεκῶς, καὶ μὴ διαλιμπάνειν· εἰ γὰρ αὐτὸς τοῖς ἔργοις ἡμᾶς εὐηργέτησε, τίνος ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς μηδὲ λόγοις αὐτὸν ἀμειβόμενοι; Διὸ παρακαλῶ μηδέποτε διαλιμπάνειν εὐχαριστοῦντας αὐτῷ· ἂν γὰρ περὶ τὰ πρῶτα γενώμεθα εὐγνώμονες, εὔδηλον ὅτι καὶ ἑτέρων μειζόνων ἀπολαύσομεν. Λέγωμεν τοίνυν διηνεκῶς, Εὐλογητὸς ὁ Θεὸς, ὁ καὶ ἡμῖν δοὺς μετὰ ἀδείας τὴν εἰωθυῖαν ὑμῖν παραθεῖναι τράπεζαν, καὶ ὑμῖν παρασχὼν μετὰ τοῦ θαῤῥεῖν τῶν ἡμετέρων ἀκροᾶσθαι λόγων· εὐλογητὸς ὁ Θεὸς, ὅτι οὐκέτι τὸν ἔξωθεν φεύγοντες κίνδυνον, ἀλλ' ἀκροάσεως ἐπιθυμοῦντες ἐνταῦθα συντρέχομεν, οὐκέτι μετὰ ἀγωνίας καὶ τρόμου καὶ φροντίδων ἀλλήλοις συγγινόμεθα, ἀλλὰ μετὰ ἀδείας πολλῆς [ἅπαν] ἀποτινάξαμενοι τὸ δέος· ὡς τάς γ' ἔμπροσθεν ἡμέρας τῶν κλυδωνιζομένων ἐν μέσῳ πελάγει καὶ ναυάγιον καθ' ἑκάστην προσδοκώντων τὴν ὥραν οὐδὲν ἄμεινον διεκείμεθα, μυρίαις δι' ὅλης ἡμέρας σοβούμενοι φήμαις, ταραττόμενοι καὶ δονούμενοι πάντοθεν, καὶ καθ' ἑκάστην περιεργαζόμενοι ἡμέραν καὶ πολυπραγμονοῦντες, Τίς ἀφῖκται ἐκ τοῦ στρατοπέδου; τί δὲ ἐλθὼν ἀπήγγειλε, καὶ πότερον ἀληθὲς ἢ ψευδὲς τὸ λεγόμενον; καὶ νύκτας ἀύπνους διατελοῦντες, καὶ τὴν πόλιν ὁρῶντες καὶ δακρύοντες ὡς αὐτίκα ἀπολουμένην. Διὰ τοῦτο καὶ ἡμεῖς τὰς ἔμπροσθεν ταύτας ἐσιγήσαμεν ἡμέρας, διά τε τὸ κεκενῶσθαι τὴν πόλιν ἡμῶν ἅπασαν καὶ πρὸς τὰς ἐρημίας μετοικισθῆναι πάντας, καὶ διὰ τὸ τοὺς ἀπολειφθέντας ἐσκοτῶσθαι τῷ νέφει τῆς ἀθυμίας. Ψυχὴ γὰρ ἅπαξ ἀθυμίας πλησθεῖσα πρὸς πᾶσαν ἀκρόασίν ἐστιν ἀνεπιτήδειος. Διὰ τοῦτο καὶ οἱ τοῦ Ἰὼβ φίλοι παραγενόμενοι καὶ τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας καθήμενον καὶ ἑλκωμένον, διέῤῥηξάν τε τὰ ἱμάτια αὐτῶν, καὶ ἀνώμωξαν, καὶ σιγῇ παρεκάθηντο, δηλοῦντες ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις ὡς ἡσυχία καὶ σιγή· καὶ γὰρ ἦν μεῖζον παραμυθίας τὸ πάθος. Διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσδεδεμένοι, Μωϋσέα παραγενόμενον ἰδόντες, οὐκ ἠδύναντο τοῖς λεγομένοις προσέχειν ἀπὸ τῆς ὀλιγοψυχίας καὶ τῆς θλίψεως αὐτῶν. Καὶ τί θαυμαστὸν εἰ μικρόψυχοί τινες ἄνθρωποι τοῦτο ἔπαθον, ὅπου καὶ τοὺς μαθητὰς

HOMILIA XI.

Gratiarum actio ad Deum ob liberationem a malis ex seditione exspectatis, et eorum quæ tunc acciderunt commemoratio: insuper vero et contra eos qui corpus nostrum calumniantur, et in universum de hominis creatione, et sub finem de vitando juramento.

1. Cum præteritam tempestatem et præsentem cogito tranquillitatem, non desino dicere: Benedictus Deus qui facit omnia, et ipsa transmutat (*Amos.* 5. 8); qui fecit lucem de tenebris (*Job.* 37. 15), qui deducit ad portas inferi et reducit (1. *Reg.* 2. 6.), qui castigat et non occidit (2. *Cor.* 6. 9): et hoc vos assidue dicere volo, nec desistere. Si enim ipse nobis operibus benefecit, qua nos venia digni esse possemus, ne verbis quidem ipsum remuneraules? Propterea exhortor vos numquam cessare ipsi gratias agere. Si enim pro primis grati fuerimus, certum quod aliis quoque majoribus potiemur. Dicamus igitur continue: Benedictus Deus, qui et nobis dedit solitam cum fiducia vobis mensam apponere, et vobis præbuit secure nostros audire sermones: benedictus Deus, quoniam non amplius exteriora fugientes pericula, sed audire cupientes huc concurrimus, non amplius cum anxietate et tremore et sollicitudinibus inter nos convenimus, sed cum fiducia multa omnem excutientes timorem, quo per superiores dies fluctuantibus in medio mari et naufragium per singulas horas exspectantibus nihilo melius nos habebamus, infinitis tota die rumoribus pulsati, perturbati et undique circumacti, et singulis satagentes diebus, et curiose sciscitantes, Quis venit e castris? quid vero veniens nuntiavit? numquid verum an falsum quod dicitur? et noctes sine somno transigentes, et civitatem respicientes cum lacrymis tamquam mox perituram. Propterea et nos superiores hos dies tacuimus, quoniam civitas nostra omnis erat exhausta, omnes in solitudines transmigraverant, et residui tristitiæ nube caligabant. Anima enim semel tristitia repleta, nihil audire est idonea. Propterea et amici Job accedentes, domus illius tragœdiam cernentes, et justum in stercore sedentem et ulceribus plenum, vestimenta sua dissiderunt, ingemueruntque, et cum silentio illi assederunt, significantes nihil a principio dolentibus tam opportunum esse quam requiem et silentium: erat enim consolatione major tristitia. Propterea et Judæi luto et operi lateritio alligati, Mosem ad se venisse cernentes, iis quæ dicebantur attendere non poterant præ pusillanimitate et tribulatione, quam patiebantur. Et quid mirum, si homines quidam pusillanimes hoc passi sunt, cum et Christi discipulos in

εὑρίσκομεν τούτῳ περιπεσόντας τῷ πάθει; Μετὰ γὰρ τὸ μυστικὸν ἐκεῖνο δεῖπνον, ἐπειδὴ λαβὼν αὐτοὺς ὁ Χριστὸς κατ' ἰδίαν διελέγετο, παρὰ μὲν τὴν ἀρχὴν συνεχῶς αὐτὸν ἠρώτων οἱ μαθηταί, Ποῦ ὑπάγεις; ἐπειδὴ δὲ εἶπεν αὐτοῖς τὰ μικρὸν ὕστερον αὐτοὺς διαδεξόμενα κακά, τοὺς πολέμους, τὰς ἐπαναστάσεις, τὰς ἀπεχθείας τὰς παρὰ πάντων, τὰς μάστιγας, τὰ δεσμωτήρια, τὰ δικαστήρια, τὰς ἀπαγωγάς, ὥσπερ τινὶ φορτίῳ βαρυτάτῳ τῷ φόβῳ τῶν εἰρημένων καὶ τῇ τῶν μελλόντων ἀθυμίᾳ πιεζομένη τότε αὐτῶν ἡ ψυχὴ, ἀγχανὴς λοιπὸν ἔμεινε. Διὸ συγχυθέντας αὐτοὺς ἰδὼν ὁ Χριστὸς, αὐτὸ τοῦτο ὀνειδίζων ἔλεγε, « Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, Ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. » Διὰ τοῦτο καὶ ἡμεῖς ἐσιγήσαμεν [τὸν παρελθόντα χρόνον,] τὸν παρόντα καιρὸν ἀναμένοντες. Εἰ γὰρ ὁ μέλλων δεῖσθαί τινος, κἂν εὔλογα μέλλῃ προτείνειν, ἐπιτηδειότητα ἀναμένει καιροῦ, ὅπως ἡμέρῳ καὶ εὖ διακειμένῳ τῷ μέλλοντι διδόναι τὴν αἴτησιν προσέλθοι, καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὼν συμμαχίαν ἐπιτύχοι τῆς χάριτος, πολλῷ μᾶλλον τὸν λέγοντα καιρὸν ἐπιτήδειον ζητεῖν χρὴ, ὅπως εὖ διακειμένῳ τῇ ἀκροατῇ καὶ πάσης ἀπηλλαγμένῳ φροντίδος καὶ ἀθυμίας προσαγάγῃ τοὺς λόγους· ὃ δὴ καὶ ἡμεῖς πεποιήκαμεν.

Νῦν γοῦν ἐπειδὴ τὴν ἀθυμίαν ἀπετινάξασθε, καὶ τῶν προτέρων ὑμᾶς ἀναμνῆσαι βουλόμεθα, ὥστε σαφέστερον ὑμῖν γενέσθαι τὸν λόγον· ὅπερ γὰρ περὶ τῆς κτίσεως εἰρήκαμεν, ὅτι οὐχὶ καλὴν μόνον καὶ θαυμαστὴν καὶ μεγάλην αὐτὴν ἐποίησεν ὁ Θεὸς, ἀλλὰ καὶ ἀσθενῆ καὶ φθαρτὴν, καὶ τούτων αὐτῶν πάλιν πολλὰ ἐγκατέθηκε δείγματα, ἀμφότερα πρὸς τὸ χρήσιμον ἡμῖν οἰκονομῶν, καὶ διὰ μὲν τοῦ κάλλους εἰς τὸ θαῦμα τοῦ πεποιηκότος ἐνάγων, διὰ δὲ τῆς ἀσθενείας τοῦ σίδεσθαι τὴν κτίσιν ἡμᾶς ἀπάγων· τοῦτο καὶ ἐπὶ τοῦ σώματος τοῦ ἡμετέρου ἔστιν ἰδεῖν γεγενημένον. Καὶ γὰρ καὶ περὶ τούτου πολλοὶ ζητοῦσι τῶν τε τῆς ἀληθείας ἐχθρῶν τῶν τε σὺν ἡμῖν τεταγμένων, τίνος ἕνεκεν φθαρτὸν καὶ ἐπίκηρον γέγονεν. Ἑλλήνων δὲ πολλοὶ καὶ αἱρετικῶν οὐδὲ γεγενῆσθαι αὐτὸ παρὰ τοῦ Θεοῦ φασιν· ἀνάξιον γὰρ αὐτὸ τῆς τοῦ Θεοῦ δημιουργίας εἶναι λέγουσι, ῥύπους καὶ ἱδρῶτας καὶ δάκρυα καὶ πόνους καὶ ταλαιπωρίας καὶ τἄλλα τοῦ σώματος ἐπιόντες ἅπαντα. Ἐγὼ δ' ἐπειδὰν περὶ τούτων γένηται λόγος, πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμι· Μή μοι τὸν ἄνθρωπον λέγε τοῦτον τὸν προσκεκρουκότα, τὸν ἠτιμωμένον, τὸν κατεδικασθέντα· ἀλλ' εἰ βούλει μαθεῖν οἷον ἐξ ἀρχῆς τὸ σῶμα ἡμῶν ἔπλασεν ὁ Θεὸς, ἐπὶ τὸν παράδεισον ἔλθωμεν καὶ τὸν ἐξ ἀρχῆς γενόμενον ἄνθρωπον ἴδωμεν. Οὐ γὰρ οὕτω τὸ σῶμα ἐκεῖνο φθαρτὸν καὶ ἐπίκηρον ἦν, ἀλλ' ὥσπερ τις χρυσοῦς ἀνδριὰς ἀπὸ χωνευτηρίου προελθὼν ἄρτι καὶ λαμπρὸν ἀποστίλβων, οὕτω πάσης τοιαύτης φθορᾶς ἐκεῖνο τὸ σῶμα ἀπῆλλακτο, καὶ οὔτε πόνος ἠνώχλει, οὔτε ἱδρὼς

hunc morbum cecidisse inveniamus? Post illam namque mysticam cœnam, quando ipsos assumtos Christus seorsum alloquebatur, ab initio identidem ipsum interrogabant discipuli, Quo vadis? Ut vero dixit illis mala ipsos paulo post exceptura, bella, persequutiones, inimicitias ab omnibus, flagella, carceres, judicia, abductiones, velut onere ponderosissimo, dictorum formidine et futurorum tristitia pressus tunc ipsorum animus, postea stupidus remansit: ideo consternatos cernens ipsos Christus, hoc ipsum exprobrans dicebat (*Joan.* 16. 5. 6), *Vado ad Patrem meum, et nemo e vobis me interrogat, Quo vadis? sed quoniam hæc loquutus sum vobis, tristitia implevit cor vestrum.* Propterea nos quoque tacuimus præterito tempore, præsentem opportunitatem exspectantes. Si enim is qui aliquem rogaturus est, etsi rationi consentanea propositurus, temporis tamen occasionem exspectat, ut sedatum et bene affectum eum inveniat qui petitionem daturus est, et opportunitatis auxilium nactus beneficium obtineat: multo magis orantem tempus quærere commodum oportet, ut apud bene affectum auditorem et omni cura liberatum ac tristitia, verba faciat: quod profecto et nos nunc fecimus.

2. Nunc igitur postquam tristitiam excussistis, priora dictorum memoriam renovare volumus, ut sermo vobis fiat manifestior: quod enim et de mundi creatione diximus, quod non pulchrum tantum et mirabilem et magnum Deus fecerit ipsum, sed etiam infirmum et corruptibilem, et horum rursus multas tulerit demonstrationes, utraque ad utilitatem nostram dispensans: et per pulchritudinem quidem in conditoris admirationem nos ducens, per infirmitatem vero a colenda nos abducens creatura: hoc et in corpore nostro videre est evenisse: etenim de hoc quoque quærunt et veritatis inimicorum et nostrorum multi, qua de causa hoc corruptibile et mortale factum sit. Gentilium vero et hæreticorum multi ne factum quidem a Deo dicunt: indignum enim Dei creatione esse putant, sordes, et sudores, et lacrymas, et labores, et ærumnas, et alia corporis omnia percurrentes. Ego autem, postquam de his cœptus est sermo, primum quidem illud dicere possem: Ne mihi propones hominem hunc prævaricatum, honore privatum, damnatum; sed si vis discere, quale nostrum ab initio Deus finxerit corpus, in paradisum eamus, et ab initio factum hominem videamus. Non enim sic erat corpus illud corruptibile et mortale, sed tamquam aurea statua de fornace progressa recenter et splendide fulgens, sic omni tali corruptione illud corpus absolutum erat; et neque labor vexabat, neque sudor nocebat, neque

ἐλυμαίνετο, οὐ φροντίδες ἐπεβούλευον, οὐκ ἀθυμίαι ἐπολιόρκουν, οὐκ ἄλλο τι τῶν τοιούτων ἐλύπει παθῶν· ἐπειδὴ δὲ σωφρόνως τὴν εὐημερίαν οὐκ ἤνεγκεν, ἀλλ' ἐξύβρισεν εἰς τὸν εὐεργέτην, καὶ τὸν ἀπατεῶνα δαίμονα τοῦ κηδεμόνος καὶ τιμήσαντος αὐτὸν Θεοῦ ἐνόμισεν ἀξιοπιστότερον εἶναι, καὶ θεὸς γενέσθαι προσεδόκησε, καὶ μείζω τῆς οἰκείας ἀξίας ἔλαβεν ἔννοιαν, τότε δὴ, τότε διὰ τῶν πραγμάτων αὐτῶν σωφρονίζων αὐτὸν ὁ Θεὸς, φθαρτόν τε αὐτὸν καὶ θνητὸν ἐποίησε καὶ ταῖς πολλαῖς ταύταις κατέδησεν ἀνάγκαις, οὐχὶ μισῶν οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ κηδόμενος, καὶ τὴν πονηρὰν καὶ ὀλέθριον ἐκείνην ἀπόνοιαν ἐκ προοιμίων κωλύων, καὶ περαιτέρω προελθεῖν οὐκ ἐῶν, ἀλλὰ δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας διδάσκων αὐτὸν, ὅτι θνητός ἐστι καὶ ἐπίκηρος, καὶ ταύτῃ πείθων μηδέποτε τοιαῦτα φαντάζεσθαι καὶ ὀνειροπολεῖν· καὶ γὰρ εἶπεν ὁ διάβολος, « Ἔσεσθε ὡς θεοί. » Προῤῥιζον οὖν ταύτην ἀνασπάσαι βουλόμενος τὴν ἔννοιαν, πολυπαθὲς αὐτοῦ καὶ ταλαίπωρον τὸ σῶμα πεποίηκε, δι' αὐτῆς τῆς φύσεως παιδεύων αὐτὸν, μηδέποτε τοιαύτην λαβεῖν ἔννοιαν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, μάλιστα μὲν καὶ ἐκ τῶν ἐπ' ἐκείνου γεγενημένων δῆλον· μετὰ γὰρ τὴν προσδοκίαν ἐκείνην ταύτῃ κατεδικάσθη τῇ τιμωρίᾳ. Καὶ σκόπει μοι Θεοῦ σύνεσιν· οὐκ ἀφῆκεν αὐτὸν πρῶτον ἀποθανεῖν, ἀλλὰ τὸν υἱὸν τὸν ἐκείνου συνεχώρησε τοῦτο παθεῖν, ἵνα πρὸ τῶν ὀφθαλμῶν ἰδὼν τὸ σῶμα σηπόμενον καὶ φθειρόμενον, μεγάλην ἀπὸ τῆς ὄψεως ταύτης δέξηται φιλοσοφίας διδασκαλίαν, καὶ μάθῃ τί γέγονε, καὶ σωφρονισθεὶς καλῶς, οὕτως ἐντεῦθεν ἀπέλθῃ. Μάλιστα μὲν οὖν, ὅπερ ἔφην, καὶ ἐκ τῶν ἤδη γεγενημένων τοῦτο δῆλον, οὐκ ἔλαττον δὲ καὶ ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων ἔσται φανερόν. Εἰ γὰρ ἀνάγκη τοιαύτῃ τοῦ σώματος ἐνδεδεμένου, καὶ πάντων ἀποθνησκόντων καὶ φθειρομένων καὶ σηπομένων ἐν ταῖς ἁπάντων ὄψεσι καὶ διαλυομένων εἰς κόνιν, καὶ τῶν ἔξωθεν φιλοσόφων ἕνα καὶ τούτων ποιησαμένων συμπληρωτικὸν ὅρον τοῦ τῶν ἀνθρώπων γένους· ἐρωτηθέντες γὰρ τί ποτε ἄνθρωπός ἐστι, ζῷον λογικὸν θνητὸν εἶπον· εἰ τοίνυν πάντων ταῦτα ὁμολογούντων ἐτόλμησαν ἑαυτοὺς ἀπαθανατίσαι τινὲς ἐν ταῖς τῶν πολλῶν ὑπολήψεσι, καὶ τῆς ὄψεως μαρτυρούσης τὸν θάνατον, ἐφιλονείκησαν ἀναῤῥηθῆναι θεοὶ, καὶ ἐτιμήθησαν οὕτως· εἰ μὴ προυχώρησεν ὁ θάνατος διδάσκων ἅπαντας τὸ τῆς φύσεως ἐπίκηρον καὶ φθαρτὸν, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας πολλοὶ τῶν ἀνθρώπων; Ἄκουσον γοῦν τί φησιν ὁ προφήτης περί τινος βαρβάρου βασιλέως τοιαύτην μανέντος μανίαν· « Ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω, φησὶ, τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. » Εἶτα καταγελῶν αὐτοῦ καὶ τὴν τελευτὴν αὐτοῦ δηλῶν φησιν, « Ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατάλυμά σου σκώληξ. » Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἄνθρωπος τοιαύτην ἀναμένων τελευτὴν, τοιαῦτα φαντάζεσθαι ἐτόλμησας; Καὶ περὶ ἑτέρου πάλιν του βασιλέως, λέγω τῶν Τυρίων, τὰ αὐτὰ κατασκευάζοντος

cum insidiabantur, non obsidebant tristitiæ, neque aliud quidquam quod læderet, patiebatur; postquam vero non moderate felicitatem tulit, sed benefactorem homo contumelia affecit, et fallacem dæmonem Deo, qui ipsum cara prosequebatur et in honore constituerat, digniorem fide esse putavit, et deus ipse fieri speravit, et majorem propria dignitate concepit opinionem : tunc profecto, tunc et per ipsa Deus opera erudiens eum corruptibilem et mortalem reddidit, et his multis obvinxit necessitatibus, non perosus neque aversatus, sed consulens ei et improbam pestilentemque illam ab initio nascentem superbiam prohibens, nec ulterius procedere permittens, sed per ipsam rerum experientiam monens eum, quod mortalis et corruptibilis esset, et ita persuadens ut numquam talia cogitaret aut somniaret : etenim diabolus dixerat (*Gen.* 3. 5), *Eritis velut dii.* Hanc igitur volens cogitationem radicitus evellere, morbosum ipsius et æruminosum corpus effecit, per ipsam docens naturam, ne unquam talem conciperet cogitationem. Et quod hoc sit verum, maxime quidem et ex gestis circa ipsum est manifestum : post illam enim exspectationem hac damnatus est pœna. Et considera mihi Dei prudentiam : non ipsum mori primum permisit, sed hoc ejus filium pati, ut ante oculos labescens corpus intuitus et marcescens, magnam ex hoc aspectu philosophiæ disciplinam caperet, et disceret quid actum esset, atque ita bene correctus hinc discederet. Maxime igitur, quod dixi, et ex jam gestis hoc manifestum erat; nec minus vero et ex aliis post hæc dicendis apertum erit. Si enim tali corporis necessitate nos vinciente, et omnibus morientibus corruptionemque patientibus et marcescentibus ante omnium oculos, et in pulverem abeuntibus, et exteris philosophis ipsis unam hanc hominum generis completivam definitionem facientibus : interrogati namque quid tandem sit homo, Animal rationale, mortale, dicunt : si igitur omnibus hæc confitentibus, ausi tamen sunt quidam se immortales facere in mente multitudinis, etiam oculis mortem testificantibus, ut dii prædicari contenderunt, et ut dii culti sunt : nisi prodisset mors, naturæ mortalitatem omnes docens et corruptibilitatem, ad quid impietatis non prorupissent hominum plurimi? Audi enim quid dicat propheta (*Isaias* 14. 13 *et* 14) de quodam barbaro rege tali furore capto : *Super astra Dei exaltabo solium meum, et ero similis altissimo.* Deinde vero deridens ipsum (v. 11), et mortem ejus declarans, inquit, *Subter te sternent putredinem, et operimentum tuum erit vermis.* Quod autem dicit, tale est : Homo talem exspectans finem, talia mente cogitare ausus es? Et de alio iterum, regem dico Tyriorum, similia parantem, et deum se haberi co-

καὶ βουλομένου νομίζεσθαι θεοῦ, φησὶ, « Σὺ δὲ οὐκ εἶ θεὸς, ἀλλ' ἄνθρωπος, καὶ οἱ κατασκευοῦντές σε τοῦτο ἐροῦσιν. » Ὥστε ἄνωθεν καὶ μεθ' ὑπερβολῆς ἀναιρῶν τῆς εἰδωλολατρείας τὴν ὑπόθεσιν, τοιοῦτον ἡμῖν τὸ σῶμα ἐποίησεν ὁ Θεός. Καὶ τί θαυμάζεις εἰ ἐπὶ τοῦ σώματος τοῦτο γέγονεν, ὅπου γε καὶ ἐπὶ τῆς ψυχῆς ἔστιν ἰδεῖν τοιοῦτόν τι γεγενημένον; Θνητὴν μὲν γὰρ οὐκ ἐποίησεν, ἀλλ' ἀφῆκεν ἀθάνατον εἶναι· λήθῃ δὲ καὶ ἀγνοίᾳ καὶ ἀθυμίᾳ καὶ φροντίσιν ὑπεύθυνον αὐτὴν κατεσκεύασε, καὶ τοῦτο ἐποίησεν ἵνα μὴ πρὸς τὴν οἰκείαν εὐγένειαν ἰδοῦσα μείζονα τῆς οἰκείας ἀξίας ἔννοιαν λάβῃ. Εἰ γὰρ καὶ τούτων ὄντων ἐτόλμησάν τινες εἰπεῖν ὅτι τῆς οὐσίας τοῦ Θεοῦ ἐστι· εἰ καὶ τούτων ἀπήλλακτο τῶν παθῶν, ποῦ οὐκ ἂν ἦλθον οὗτοι μανίας; Πλὴν ἀλλ' ὅπερ ἐπὶ τῆς κτίσεως ἔλεγον, τοῦτο καὶ ἐπὶ τοῦ σώματος λέγω, ὅτι ὁμοίως δι' ἀμφότερα ταῦτα θαυμάζω τὸν Θεὸν, καὶ ὅτι φθαρτὸν αὐτὸ ἐποίησε, καὶ ὅτι ἐν τῇ φθορᾷ τὴν οἰκείαν ἰσχὺν ἐπεδείξατο καὶ σοφίαν. Ὅτι μὲν γὰρ βελτίονος αὐτὸ ἴσχυε ποιῆσαι ὕλης, ἔδειξεν ἐκ τοῦ οὐρανίου τε σώματος καὶ τοῦ ἡλιακοῦ. Ὁ γὰρ ἐκεῖνα τοιαῦτα ποιήσας, καὶ τοῦτο τοιοῦτον ἐργάσασθαι, εἴπερ ἠθέλησεν, ἴσχυσεν ἄν· ἀλλ' ἡ αἰτία τῆς ἀσθενείας ἐστὶν ἡ προειρημένη πρόφασις. Οὐ μὴν τοῦτο ὑποτέμνεται τοῦ δημιουργοῦ τὸ θαῦμα, ἀλλὰ καὶ ἐπιτείνει πλέον. Τὸ γὰρ εὐτελὲς τῆς οὐσίας τοῦτο δείκνυσι μᾶλλον τῆς τέχνης τὸ εὔπορον καὶ εὐμήχανον, ὅτι ἐν πηλῷ καὶ τέφρᾳ τοσαύτην ἐνέθηκεν ἁρμονίαν, καὶ τοιαύτας αἰσθήσεις οὕτω ποικίλας καὶ παντοδαπὰς καὶ τοιαῦτα δυναμένας φιλοσοφεῖν. Ὥστε ὅσῳπερ ἂν κατηγορῇς τοῦ τῆς οὐσίας εὐτελοῦς, τοσούτῳ μᾶλλον θαυμάσῃ τὸ μεγαλεῖον τῆς τέχνης. Ἐπεὶ καὶ ἀνδριαντοποιὸν οὐχ οὕτω θαυμάζω τὸν ἀπὸ χρυσοῦ καλὸν ἀνδριάντα ποιοῦντα, ὡς τὸν ἀπὸ πηλοῦ τοῦ διαπίπτοντος τῇ τῆς τέχνης εὐπορίᾳ δυνάμενον καλλος ἐπιδεῖξαι πλάσεως θαυμαστὸν καὶ ἀμήχανον. Ἐκεῖ μὲν γάρ τι καὶ συντελεῖ ἡ ὕλη τῷ πλάττοντι, ἐνταῦθα δὲ γυμνὴ τῆς τέχνης ἐστὶν ἡ ἐπίδειξις. Σὺ δὲ εἰ βούλει μαθεῖν πόση τοῦ δημιουργήσαντος ἡμᾶς ἐστὶν ἡ σοφία, ἐννόησον τί γίνεται ἀπὸ πηλοῦ· τί δὲ ἕτερον ἀλλ' ἢ πλίνθος καὶ κέραμος; Ἀλλ' ὅμως ἴσχυσεν ὁ ἀριστοτέχνης Θεὸς ἀπὸ τῆς ὕλης ἐξ ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ὀφθαλμὸν οὕτω ποιῆσαι καλὸν, ὡς ἅπαντας ἐκπλήττειν τοὺς ὁρῶντας, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς ἀέρος τοσοῦτον ὕψος καθορᾷν, καὶ μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα περιλαμβάνειν σώματα, καὶ ὄρη, καὶ νάπας, καὶ βουνοὺς, καὶ πελάγη, καὶ οὐρανὸν δι' ἐκείνης τῆς μικρᾶς. Μὴ τοίνυν εἴπῃς μοι τὰ δάκρυα καὶ τὰς λήμας· τοῦτο γὰρ διὰ τὴν σὴν ἁμαρτίαν γέγονεν· ἀλλ' ἐννόησον αὐτοῦ τὸ κάλλος καὶ τὴν δύναμιν τὴν ὀπτικὴν, καὶ πῶς τοσοῦτον ἰὸν ἀέρος μῆκος οὐ κάμνει καὶ ταλαιπωρεῖ, ἀλλὰ πόδες μὲν ὀλίγον προελθόντες πονοῦσι καὶ ἐκλύονται, ὀφθαλμὸς δὲ ὁδεύων τοσοῦτον μὲν ὕψος, τοσοῦτον δὲ εὖρος, οὐδεμιᾶς αἰσθάνεται ἀῤῥωστίας. Ἐπειδὴ

lentem : *Tu vero*, inquit (*Ezech.* 28. 9), *non es deus, sed homo, et te pungentes hoc dicent.* Itaque a primordiis superbiæ et idololatriæ materiam penitus auferens, Deus tale nobis corpus paravit. Et quid miraris, si in corpore hoc factum est, cum et in anima videre liceat tale quid gestum? Mortalem nempe Deus non fecit, sed immortalem esse permisit; oblivioni autem et ignorantiæ et tristitiæ et curis obnoxiam ipsam reddidit : et hoc fecit, ne ad propriam generositatem respiciens, majorem propria dignitate opinionem concipiat. Si enim, cum hæc ita sint, quidam dicere sunt ausi, eam substantiæ Dei esse; si ab iis esset absoluta passionibus, ad quid furoris isti non processissent? Verumtamen quod de creatione mundi dicebam, hoc et de corpore dico, me similiter propter hæc utraque Deum admirari, et quod corruptibile ipsum fecerit, et quod in corruptione propriam virtutem et sapientiam demonstraverit. Quod enim melioris ipsum materiæ facere posset, ostendit ex cælesti corpore et solari. Qui enim illa fecit talia, et hoc tale facere, si voluisset, potuisset; sed infirmitatis causa est ea, quam supra diximus. Non tamen hoc mirabilem vim creatoris deterit, sed etiam amplius intendit : materiæ enim vilitas magis demonstrat artis copiam et facultatem, quoniam in luto et favilla tantam posuit harmoniam, et tales sensus tam varios et omnimodos et tantum philosophari valentes. Itaque quanto magis substantiæ tenuitatem accusas, tanto magis Dei artis magnitudinem admiraberis. Quoniam et statuarium admiror non tam ex auro pulchram facientem statuam, quam ex luto dilabente mirabilem et inexcogitabilem figmenti pulchritudinem artis facultate exhibere valentem. Illic enim fingenti materia quoque confert, hic nuda est artis exhibitio. Tu vero si discere vis quanta sit ejus, qui nos creavit, sapientia, cogita quid ex luto fiat : quid autem aliud quam later et testa? Verumtamen optimus artifex Deus ex materia unde fit testa et later dumtaxat, oculum tam pulchrum effingere potuit, ut omnes, qui cernunt, stupeant, et tantam huic vim inserere, ut aeris immanem altitudinem spectet, et exiguæ pupillæ adjutorio tot corpora comprehendat, et montes, et saltus, et colles, et maria, et cælum. Ne mihi dicas igitur lacrymas et lippitudines : hoc enim propter peccatum tuum factum est; sed cogita ipsius pulchritudinem et videndi virtutem, et quo modo tantam aeris longitudinem percurrens, non laborat neque fatigatur; sed pedes quidem paululum progressi fatiscunt et lassantur, oculus vero tantam altitudinem permeans, tantamque latitudinem, nullam sentit infirmitatem. Quoniam enim omnium membrorum

γὰρ τῶν μελῶν ἁπάντων [ἡμῖν] ἀναγκαιότερόν ἐστι τοῦτο, οὐκ ἀφῆκεν αὐτὸ πιέζεσθαι καμάτῳ, ὥστε ἀνεμπόδιστον αὐτοῦ τὴν διακονίαν ἡμῖν εἶναι καὶ ἀκώλυτον. Μᾶλλον δὲ ποῖος λόγος παραστῆσαι δυνήσεται τοῦ μέλους τούτου τὴν ἀρετὴν ἅπασαν; καὶ τί λέγω περὶ κόρης καὶ τῆς ὀπτικῆς δυνάμεως; ἐὰν γὰρ, ὃ πάντων εὐτελέστερον εἶναι δοκεῖ τῶν μελῶν, τοῦ ὀφθαλμοῦ τὰς βλεφαρίδας ἐξετάσῃς μόνον, καὶ ἐν ταύταις πολλὴν ὄψει τοῦ δημιουργοῦ Θεοῦ τὴν σοφίαν. Καθάπερ γὰρ ἐπὶ τῶν ἀσταχύων οἱ ἀνθέρικες ὥσπερ τινὰ δόρατα προβεβλημένοι τοὺς ὄρνιθας ἀποσοβοῦσιν, οὐκ ἐπιτρέποντες ἐγκαθέζεσθαι τῷ καρπῷ καὶ διακλᾶν τὴν καλάμην ἀσθενεστέραν οὖσαν· οὕτω δὴ καὶ ἐπὶ τῶν ὀφθαλμῶν ὥσπερ τινὲς ἀνθέρικες καὶ δόρατα προβέβληνται αἱ τῶν βλεφάρων τρίχες, κόνιν καὶ κάρφος καὶ πάντα τὰ ἐνοχλοῦντα ἔξωθεν ἀποκρουόμεναι τῶν ὀφθαλμῶν, καὶ οὐκ ἐῶσαι ἐνοχλεῖσθαι τὰ βλέφαρα. Ἴδοις ἂν καὶ ἐπὶ τῶν ὀρρύων ἑτέραν σοφίαν οὐκ ἐλάττονα ταύτης. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη τὴν θέσιν αὐτῶν; ὅτι οὔτε πέρα τοῦ μέτρου προβέβληνται, ὥστε ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, οὔτε ἐνδοτέρω τοῦ δέοντος ὑφιζάνουσιν· ἀλλ' ὥσπερ οἰκίας γεῖσος, οὕτως ἐξέχουσιν ἄνωθεν, τὸν ἐκ τῆς κεφαλῆς κατιόντα ἱδρῶτα δεχόμεναι καὶ τοὺς ὀφθαλμοὺς λυπεῖν οὐκ ἐῶσαι. Διὰ δὴ τοῦτο καὶ τρίχες αὐταῖς εἰσιν ἐμπεφυκυῖαι τῇ δασύτητι τὸ καταῤῥέον ἐπέχουσαι, καὶ μετὰ πολλῆς στέγουσαι τῆς ἀκριβείας, καὶ πολλὴν ταῖς ὄψεσι τὴν εὐμορφίαν παρέχουσαι. Οὐ τοῦτο δὲ μόνον ἄν τις θαυμάσειεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, αἱ μὲν τῆς κεφαλῆς αὔξονται τρίχες καὶ ἀποκείρονται, αἱ δὲ τῶν ὀρρύων οὐκέτι; οὐδὲ γὰρ τοῦτο ἁπλῶς καὶ ὡς ἔτυχεν ἡμῖν γέγονεν, ἀλλ' ὥστε μὴ χαλωμένας ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, ὅπερ οἱ πρὸς βαθὺ γῆρας ἐλθόντες πάσχουσι.

Τίς ἂν δυνηθείη τὴν διὰ τοῦ ἐγκεφάλου δεικνυμένην σοφίαν ἅπασαν ἐπελθεῖν; Πρῶτον μὲν γὰρ αὐτὸν ἁπαλὸν ἐποίησεν, ἐπειδὴ ταῖς αἰσθήσεσιν ἁπάσαις αὐτὸς χορηγεῖ τὰς πηγάς· εἶτα ἵνα μὴ παρὰ τὴν οἰκείαν παραβλάπτηται φύσιν, ὀστέοις αὐτὸν πάντοθεν ἐπετείχισε· πάλιν ἵνα μὴ τῇ σκληρότητι τῶν ὀστῶν παρατριβόμενος ἐνοχλῆται, ὑμένα μέσον ὑπέτεινεν, οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δεύτερον, τὸν μὲν ὑποτείνας τῷ βρέγματι κάτωθεν, τὸν δὲ ἄνωθεν περιβαλὼν τῇ τοῦ ἐγκεφάλου σαρκί· καὶ ἔστιν ἐκεῖνος τούτου σκληρότερος. Τοῦτο δὲ ἐποίησε διά τε τὴν εἰρημένην αἰτίαν, καὶ ἵνα τὰς φερομένας κατὰ τῆς κεφαλῆς πληγὰς μὴ πρῶτος ὁ ἐγκέφαλος δέχηται, ἀλλὰ προαπαντῶσαι αἱ μήνιγγες αὗται ταῖς βολαῖς τὴν βλάβην διαλύωσιν ἅπασαν, καὶ ἀνεπηρέαστον αὐτὸν διατηρῶσι. Καὶ τὸ μὴ συνεχές τε καὶ ἓν εἶναι τὸ καλύπτον αὐτὸν ὀστοῦν, ἀλλὰ πολλὰς πανταχόθεν ἔχειν ῥαφὰς, πολλῆς ἀσφαλείας αὐτῷ πάλιν ὑπόθεσις γίνεται. Τῶν τε γὰρ συνεχόντων αὐτὸν ἀτμῶν εἰς τὸ ἔξω ῥᾴδιά γένοιτ' ἂν ἀναπνοὴ διὰ τῶν ῥαφῶν ἐκείνων, ὥστε αὐτὸν μὴ συμπνίγεσθαι· πληγὴ

hoc est nobis maxime necessarium, ipsum labore premi non permisit, ita ut expeditum ipsius ministerium et liberum nobis esset. Imo quis omnem membri hujus virtutem sermone disserere poterit? et quid de pupilla videndique facultate dico? Si enim, quod omnium vilissimum esse videtur membrorum, oculi palpebras exquisieris tantummodo, et in his multam Dei creatoris sapientiam videbis. Sicut enim in spicis aristæ tamquam quædam prætenta spicula aves repellunt, non sinentes fructui insidere et stipulam infirmiorem diffringere: sic profecto et in oculis velut quædam aristæ et spicula prætenti sunt palpebrarum pili, pulverem et festucas et omnia vexantia extrinsecus repellentes ab oculis, nec palpebras infestari sinentes. Videas autem et alteram sapientiam in superciliis hac non inferiorem. Quis enim ipsum eorum situm non obstupescat? quoniam neque ultra mensuram promissæ sunt, ita ut oculos obtenebrent, neque quam opus est interius residant; sed velut domûs suggrunda, sic superne eminent, sudorem capite defluentem suscipientes, nec oculos lædere permittentes. Propterea quidem et pili ipsis innati sunt, densitate defluentia coercentes, et multa cum diligentia protegentes, afferentesque multam oculis formositatem. Nec hoc tantum quis admirari posset, sed et aliud non minus quam hoc. Qua enim de causa, quæso, capilli quidem capilli crescunt et detondentur, superciliorum vero minime? neque enim hoc nobis temere et casu factum est, sed ne se demittentes oculos obtenebrarent, quod decrepiti senes patiuntur.

Quis posset sapientiam omnem per cerebrum demonstratam commemorare? Primo quidem ipsum molle fecit, quoniam sensibus fontes omnibus ministrat: postea ne propter propriam lædatur naturam, ipsum ossibus undique munivit: rursum ne ossium asperitate attritum vexetur, membranam mediam subtendit, nec unam solum, sed et alteram, unam quidem calvariæ inferius subtendens, alteram vero superne cerebri carni circumvolvens, et ea illa hac durior. Hoc autem fecit tum propter commemoratam causam, tum ut illatas capiti plagas non primum excipiat cerebrum, sed præoccurrentes hujusmodi membranæ ictibus nocumentum omne dissolvant, et illæsum ipsum conservent. Quin et quod non continuum atque unum sit os ipsum obtegens, sed multas ex multis partibus habeat suturas, multæ rursum securitatis ipsi causa est. Et vaporum enim ipsum continentium facilis per suturas illas exterius fieri potest exspiratio, ita ut non suffocetur:

τε εἴ τις ἐπενεχθείη ποθὲν, οὐχ ὁλοσχερὴς γίνεται ἡ βλάβη. Εἰ μὲν γὰρ ἓν καὶ συνεχὲς ἦν τὸ ὀστοῦν, καὶ εἰς ἓν μέρος κατενεχθεῖσα ἡ πληγὴ τὸ πᾶν ἐλυμήνατο ἄν· τῷ δὲ εἰς πολλὰ διαιρεῖσθαι νῦν, οὐκ ἂν γένοιτο τοῦτο. Εἰ γὰρ καὶ συμβαίη τρωθῆναι μέρος ἕν, τὸ κατ' ἐκεῖνο τὸ μέρος ὀστοῦν κείμενον παραβλάπτεται μόνον, τὰ δὲ λοιπὰ ἀσινῆ μένει πάντα, τοῦ συνεχοῦς τῆς πληγῆς διακοπτομένου τῇ τῶν ὀστῶν διαιρέσει, καὶ οὐκ ἰσχύοντος εἰς τὰ παρακείμενα ἐκταθῆναι. Διὰ τοῦτο ἐκ πολλῶν αὐτοῦ τὴν σκέπην ὀστῶν συνέθηκεν ὁ Θεὸς, καὶ καθάπερ οἰκίαν τις οἰκοδομῶν στέγην καὶ κεραμίδας ἄνωθεν ἐπιτίθησιν, οὕτω καὶ τὰ ὀστᾶ [ταῦτα] ἐπέθηκεν ἄνωθεν [ἐπὶ] τῆς κεφαλῆς ὁ Θεὸς, καὶ τὰς τρίχας βλαστάνειν παρεσκεύασεν, ὥστε ἀντὶ πιλημάτων τινῶν εἶναι τῇ κεφαλῇ. Τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τῆς καρδίας ἐποίησεν. Ἐπειδὴ γὰρ τὸ κυριώτατόν ἐστι τῶν ἐν ἡμῖν μελῶν ἡ καρδία, καὶ τῆς ζωῆς ἡμῶν ἁπάσης αὕτη τὸ κῦρος ἐγκεχείρισται, καὶ τὸ τυχὸν πληγείσης αὐτῆς θάνατος γίνεται, στεγανοῖς καὶ σκληροῖς ὀστοῖς καὶ ταύτην πανταχόθεν περιέφραξε, ταῖς τῶν ὤμων προβολαῖς καὶ ταῖς ὠμοπλάταις ὄπισθεν τειχίσας αὐτήν· καὶ ὅπερ ἐπὶ τῶν μηνίγγων ἐποίησε, τοῦτο καὶ ἐπὶ ταύτης εἰργάσατο. Ὥστε [γὰρ] μὴ συνεχῶς ἁλλομένην αὐτὴν καὶ πηδῶσαν ἐν τοῖς θυμοῖς καὶ ταῖς τοιαύταις ὁρμαῖς καὶ τῇ σκληρότητι τῶν ὀστῶν ἐγκρούουσαν τῶν περιφραττόντων αὐτὴν παρατρίβεσθαι καὶ ὀδυνᾶσθαι, ὑμένας τε ὑπέτεινεν ἐκεῖ πολλοὺς, καὶ τὸν πνεύμονα ὑπέθηκεν ὥσπερ ἁπαλὸν στρῶμα τοῖς ἅλμασιν αὐτῆς παραθείς, ἵνα ἀλύπως ἐνηγνυμένη τούτῳ, μηδὲν ἀηδὲς πάσχῃ. Καὶ τί λέγω περὶ ἐγκεφάλου καὶ καρδίας; ὅπου γε εἴ τις καὶ περὶ τῶν ὀνύχων αὐτῶν ζητήσειε, πολλὴν καὶ ἐν τούτοις ὄψεται τὴν σοφίαν τοῦ Θεοῦ διαδεικνυμένην καὶ ἀπὸ τοῦ σχήματος αὐτῶν, καὶ ἀπὸ τῆς οὐσίας, καὶ ἀπὸ τῆς θέσεως. Ἐνῆν δὲ εἰπεῖν καὶ τίνος ἕνεκεν οὐκ ἰσόμετροι πάντες ἡμῖν εἰσιν οἱ δάκτυλοι, καὶ πολλὰ ἕτερα τούτων πλείονα· ἀλλ' ἀρκούντως καὶ ἐκ τῶν εἰρημένων τοῖς ἐθέλουσι προσέχειν ἡ σοφία τοῦ δημιουργήσαντος ἡμᾶς διαλάμπει Θεοῦ· διόπερ ἀφεὶς τοῦτο τὸ μέρος τοῖς φιλοπόνοις ἐξεργάσασθαι μετὰ ἀκριβείας, ἐφ' ἑτέραν ἀντίθεσιν τρέψομαι.

Καὶ γὰρ πολλοὶ μετὰ τῶν εἰρημένων κἀκεῖνο ἀντιλέγουσι· τί δήποτε, εἰ βασιλεὺς τῶν ἀλόγων ἐστὶν ὁ ἄνθρωπος, καὶ ῥώμῃ καὶ ὀξύτητι καὶ τάχει πολλὰ τῶν ζώων αὐτοῦ πλεονεκτεῖ; καὶ γὰρ ταχύτερον ἵππος ἀνθρώπου, καὶ τλητικώτερον βοῦς, καὶ κουφότερον ἀετὸς, καὶ ἰσχυρότερον λέων. Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; Ὅτι καὶ ἐντεῦθεν μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν σοφίαν, καὶ τὴν τιμὴν ἣν ἡμᾶς ἐτίμησε. Ταχύτερον μὲν γὰρ ἵππος ἀνθρώπου, ἀλλ' εἰς ἀποδημίας τάχος ἐπιτηδειότερον ἄνθρωπος ἵππου· ἵππος μὲν γὰρ, κἂν ἁπάντων ὀξύτατος καὶ ἀλκιμώτατος ᾖ, μόλις διακοσίους τῆς ἡμέρας δραμεῖται σταδίους· ἄνθρωπος δὲ ὑποζεύξας ἵππους ἐκ διαδοχῆς πολλοὺς, καὶ

et si plaga alicunde inferatur, non ad totum cerebrum pertendit nocumentum. Si enim unum et continuum os esset, etiam in unam partem solam delata plaga totum lasisset; nunc autem cum in multa divisum sit, hoc fieri non possit. Etsi enim unam partem vulnerari accidat, os secus illam partem situm laeditur solum, reliqua vero cuncta remanent illæsa, plagæ continuitate ex ossium divisione sublata, nec in proximam extendi valente. Propterea ex multis ipsius tegumen ossibus Deus composuit; et sicut domum aliquis ædificans, tectum et tegulas superponit: sic supra caput Deus hæc ossa locavit, et capillos fecit germinare, ut pro quibusdam galeris capiti essent. Idem hoc etiam in corde fecit. Quoniam enim cor membrorum in nobis principalissimum est, et totius vitæ nostræ dominium est ipsi traditum, et ipso quomodocumque percusso mors accidit, solidis et duris ossibus hoc quoque undique circummunivit, et pectoris prominentiis et tergi scapulis ipsum posterius muniens: et quod in cerebri membranis fecit, et in hoc idem paravit. Ad hoc enim ne frequenter saliens, et in ira hujusmodique motibus palpitans, ossium asperitati circumstantium infligens conteratur et doleat, multas et ibi membranas subtendit, et pulmonem supposuit, velut molle quoddam stratum ipsius saltibus apponens, ut impune illi impingens ex hoc nihil noxium patiatur. Et quid dico de cerebro et corde? cum utique si quis vel de ipsis unguibus investiget, multam et in his Dei sapientiam videat apparentem, tum ex ipsorum forma, tum ex substantia, tum ex situ. Licebat etiam dicere, quare magnitudine impares nobis digiti sint, et multa alia his plura; sed sufficienter ex dictis attendere volentibus creatoris nostri sapientia Dei refulget: propterea partem hanc laboriosis relinquens exquirendam cum diligentia, ad aliam convertar oppositionem.

4. Multi namque præter dicta et illud opponunt: quid tandem, si brutorum rex est homo, et robore et agilitate et celeritate multa ipsum superant animalia? etenim homine velocior equus, et tolerantior bos, et levior aquila, et fortior leo. Quid igitur ad hæc dicere possumus? Quod et hinc maxime Dei sapientiam cognoscemus, et honorem quo nos decoravit. Velocior quippe equus est homine, sed ad peregrinationis velocitatem equo commodior homo. Equus nempe, quamvis omnium velocissimus et fortissimus sit, vix ducenta stadia uno die percurret; homo autem multos ex successione equos ad currum jungens, etiam duo

[δισ]χιλίους δυνήσεται σταδίους διανῦσαι. Ὥστε ὅπερ ἐκείνῳ τὸ τάχος, τούτῳ ὁ λογισμὸς καὶ ἡ τέχνη παρέσχε μετὰ πλείονος τῆς ὑπερβολῆς· οὐκ ἔχει μὲν γὰρ πόδας ἰσχυροτέρους ὁ ἄνθρωπος, ὥσπερ ἐκεῖνος, ἔχει δὲ τοὺς ἐκείνου τῶν ἑαυτοῦ οὐκ ἔλαττον αὐτῷ διακονουμένους. Τῶν μὲν γὰρ ἀλόγων οὐδὲ ἓν ζῶον ἕτερον πρὸς τὴν ἑαυτοῦ χρείαν ὑποζεῦξαι δύναται, ὁ δὲ ἄνθρωπος πάντα ἕπεισι, καὶ διὰ τῆς ποικίλης τέχνης τῆς παρὰ τοῦ Θεοῦ δοθείσης αὐτῷ πρὸς τὴν μάλιστα προσήκουσαν αὐτῷ οἰκονομίαν ἕκαστον ὑπάγει τῶν ζώων. Εἰ δὲ οὕτως ἰσχυροὶ οἱ πόδες τῶν ἀνθρώπων ὡς οἱ τῶν ἵππων ἦσαν, πρὸς ἕτερα ἂν ἐγένοντο ἄχρηστοι, πρὸς δυσχωρίας, πρὸς ἀκροωρείας, πρὸς ἀναβάσεις δένδρων· ἡ γὰρ ὁπλὴ ταῖς πρὸς τὰ τοιαῦτα βαδίσεσιν ἐμποδίζειν εἰωθεν. Ὥστε εἰ καὶ ἁπαλώτεροι οἱ πόδες αὐτῶν, ἀλλὰ πρὸς πλείους ἐπιτηδειότεροι χρείας, καὶ οὔτε διὰ τὴν ἀσθένειάν τι βλάπτονται, τῆς τοῦ ἵππου δυνάμεως διακονουμένης, καὶ παρὰ τὴν ποικιλίαν τῆς βαδίσεως πλεονεκτοῦσι. Πάλιν ἐστὶ πτερὸν τῷ ἀετῷ κοῦφον, ἀλλ' ἔστιν ἐμοὶ λογισμὸς καὶ τέχνη δι' ἧς δύναμαι πάντα τὰ ἱπτάμενα ζῶα κατενεγκεῖν καὶ χειρώσασθαι. Εἰ δὲ βούλει καὶ τὸ ἐμὸν πτερὸν ἰδεῖν, ἔχω πολλῷ κουφότερον ἐκείνου, οὐ μέχρι δέκα σταδίων καὶ εἴκοσι, οὐδὲ μέχρι οὐρανοῦ, ἀλλὰ καὶ ὑπὲρ αὐτὸν ἀνιπτάμενον τὸν οὐρανόν, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ἄνω, οὗ ἐστιν ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Τὰ ἄλογα πάλιν ἐν τῷ σώματι τὰ ὅπλα ἔχει, οἷον ὁ βοῦς τὰ κέρατα, τοὺς ὀδόντας ὁ σῦς ὁ ἄγριος, τοὺς ὄνυχας ὁ λέων· ἐμοὶ δὲ οὐκ ἐν τῇ φύσει τοῦ σώματος τὰ ὅπλα κατέθετο ὁ Θεὸς, ἀλλ' ἔξω τοῦ σώματος, δεικνὺς ὅτι ἥμερον ζῶον ὁ ἄνθρωπος, καὶ ὅτι οὐκ ἀεί μοι τούτων τῶν ὅπλων καιρός· καὶ γὰρ πολλάκις μὲν αὐτὰ ἀποτίθημι, πολλάκις δὲ μεταχειρίζομαι. Ἵν' οὖν ἐλεύθερος ὦ καὶ ἀπολελυμένος, καὶ μὴ διηνεκῶς ἀναγκάζωμαι βαστάζειν τὰ ὅπλα, ἐποίησεν αὐτὰ κεχωρισμένα τῆς φύσεως εἶναι τῆς ἐμῆς. Οὐ γὰρ μόνον τῷ ψυχὴν ἔχειν λογικὴν κρατοῦμεν τῶν ἀλόγων, ἀλλὰ καὶ τῷ σώματι πλεονεκτοῦμεν αὐτῶν· καὶ γὰρ καὶ τοῦτο τῇ τῆς ψυχῆς εὐγενείᾳ συμβαῖνον κατεσκεύασεν ὁ Θεὸς, καὶ τοῖς ἐπιτάγμασιν [αὐτῆς] ἐπιτήδειον· καὶ γὰρ τὸ σῶμα τοιοῦτον οὐχ ἁπλῶς ἐποίησεν, ἀλλ' οἷον εἰκὸς λογικῇ ψυχῇ διακονούμενον· ὡς εἰ μὴ τοιοῦτον ἦν, σφόδρα ἂν ἐνεποδίσθησαν αἱ τῆς ψυχῆς ἐνέργειαι· καὶ τοῦτο δῆλον ἐκ τῶν νοσημάτων. Εἰ γάρ τι μικρὸν παρατραπείη τῆς οἰκείας καταστάσεως αὕτη τῆς σαρκὸς ἡ διακόσμησις, πολλαὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἐμποδίζονται· οἷόν τι λέγω, εἰ θερμότερος ἢ ψυχρότερος ὁ ἐγκέφαλος γένοιτο. Ὥστε πολλὴν καὶ ἀπὸ τοῦ σώματος ἔστιν ἰδεῖν τὴν κηδεμονίαν τοῦ Θεοῦ, οὐχ ὅτι μόνον ἐξ ἀρχῆς αὐτὸ βέλτιον ἐποίησε τοῦ νῦν ὄντος, οὐδ' ὅτι καὶ νῦν πρὸς τὸ χρήσιμον αὐτὸ μετεσκεύασεν, ἀλλ' ὅτι καὶ πρὸς πολλῷ μείζονα ἀναστήσει δόξαν πάλιν.

Εἰ δὲ καὶ ἑτέρωθεν θέλεις μαθεῖν ὅσην περὶ τὸ σῶμα

stadiorum millia expedire poterit. Itaque quod illi velocitas, huic ratio et ars cum majori tribuit superabundantia : et tam veloces quidem pedes homo non habet quam ille, habet vero pedes illius non minus quam suos sibi ministrantes. Brutorum enim nullum animal aliud ad usum suum subjugare potest; homo autem omnia aggreditur, et per variam artem a Deo sibi traditam, ad usum sibi maxime convenientem animalium quodque subigit. Si vero tam fortes hominum pedes quam equorum fuissent, ad alia fuissent inutiles, ad locorum difficultates et montium vertices et arborum ascensiones : ungula enim ad talia gressus impedire solet. Itaque etsi molliores ipsorum pedes, tamen pluribus opportuni sunt utilitatibus, et nihil ex infirmitate iarduntur, equi virtute ipsis serviente, et per gressus varietatem præcellunt. Rursum est aquilæ levior ala, sed est mihi ratio et ars, per quam possum omnia volantia detrahere animalia et capere. Si vero vis et meam alam videre, habeo illa multo leviorem, non usque ad stadia decem, vel viginti, nec usque ad cælum, sed super ipsum cælum evolantem et super cælum cæli superius, ubi est Christus in dextra Dei sedens. Bruta rursum in corpore gerunt arma : puta bos cornua, denies aper, ungues leo; mihi vero non in corporis natura Deus arma reposuit, sed extra corpus, demonstrans quod animal mite sit homo, et quod mihi non semper horum tempus armorum : etenim frequenter quidem ipsa depono, nonnunquam autem in manus sumo. Ut igitur liber et absolutus sim, neu semper gestare cogar arma, a natura mea separata fecit ipsa Deus. Non enim tantum, quia naturam habemus rationalem, bruta superamus, sed et corpore ipsis præstamus : nam hoc etiam animæ generositati convenions et mandatis ejus idoneum Deus præparavit : etenim corpus tale non temere fecit, sed quale decet esse rationali naturæ ministrans : quod nisi tale esset, vehementer impeditæ fuissent animæ operationes; et hoc ex ægritudinibus manifestum. Si enim modicum quid a propria constitutione avertatur ipse carnis status, multæ ex animæ operationibus impediuntur, puta si calidius vel frigidius cerebrum fiat. Itaque et ex corpore multam Dei providentiam cernere licet, non tantum quod ab initio ipsum melius, quam nunc est, Deus fecit, neque tantum quod nunc quoque ad omnem utilitatem comparavit, sed quoniam et ad gloriam multo majorem rursum resuscitabit.

Si vero aliunde quoque discere vis, quantam Deus ar-

ὁ Θεὸς ἐπεδείξατο σοφίαν, ἐρῶ τοῦτο ὃ μάλιστα πάντων ὁ Παῦλος ἐκπληττόμενος φαίνεται συνεχῶς. Τί δὲ τοῦτό ἐστιν; Τὰ μέλη πλεονεκτεῖν ἀλλήλων πεποίηκεν, οὐκ ἐν τοῖς αὐτοῖς, ἀλλὰ τὰ μὲν (ἐν) κάλλει, τὰ δὲ ἰσχύϊ κρατεῖν παρεσκεύασεν· οἷον καλὸς ὁ ὀφθαλμὸς, ἀλλ' ἰσχυρότεροι οἱ πόδες· τιμία ἡ κεφαλὴ, ἀλλ' οὐ δύναται εἰπεῖν τοῖς ποσὶν, Χρείαν ὑμῶν οὐκ ἔχω. Καὶ τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ἔστιν ἰδεῖν, τοῦτο καὶ ἐπὶ τοῦ βίου παντός. Ὁ γοῦν βασιλεὺς τῶν ὑπηκόων δεῖται, οἱ ὑπήκοοι τοῦ βασιλέως, ὥσπερ ἡ κεφαλὴ τῶν ποδῶν. Καὶ πάλιν ἐπὶ τῶν ἀλόγων τὰ μέν ἐστιν ἰσχυρότερα, τὰ δὲ εὐπρεπέστερα, τὰ μὲν ἡμᾶς τέρπει, τὰ δὲ τρέφει, τὰ δὲ περιβάλλει· οἷον τέρπει μὲν ὁ ταὼς, τρέφουσι δὲ ὄρνιθες καὶ ὗες, περιβάλλουσι δὲ πρόβατα καὶ αἶγες, συμπονεῖ δὲ βοῦς καὶ ὄνος. Ἔστι δὲ καὶ ἄλλα ἃ τούτων μὲν οὐδὲν παρέχει, γυμνάζει δὲ ἡμῶν τὴν δύναμιν, ὡς τὰ ἄγρια θηρία τῶν κυνηγετῶν αὔξει τὴν ἰσχύν, καὶ τῷ φόβῳ παιδεύει τὸ γένος ἡμῶν καὶ προσεκτικώτερον ποιεῖ, καὶ πρὸς θεραπείαν δὲ ἡμῖν οὐκ ὀλίγην φορὰν ἀπὸ τῶν οἰκείων εἰσάγει σωμάτων. Ὥστε ὅταν εἴπῃ σοί τις, Πῶς ἄρχων εἶ τῶν ἀλόγων φοβούμενος λέοντα; εἰπὲ πρὸς αὐτὸν, ὅτι Παρὰ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ὅτε εὐδοκίμουν παρὰ τῷ Θεῷ, ὅτε ἐν παραδείσῳ διέτριβον· ἀλλ' ἐπειδὴ προσέκρουσα τῷ Δεσπότῃ, ὑπεύθυνος ἐγενόμην τοῖς δούλοις· καὶ οὐδὲ νῦν ὀλοσχερῶς, ἀλλ' ἔχω τινὰ τέχνην δι' ἧς κρατῶ τῶν θηρίων. Οὕτω καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν μεγάλων, ὅτε οἱ υἱοὶ, κἂν εὐγενεῖς ὦσιν, ὦσι δὲ ἀτελεῖς, πολλοὺς τῶν δούλων δεδοίκασιν· ὅταν δὲ καὶ προσκεκρουκότες ὦσιν, ἐπτοίνεται μᾶλλον ἡ ἀγωνία. Ταῦτα καὶ ἐπὶ ὄφεων καὶ σκορπίων καὶ ἰχιδνῶν ἔστιν εἰπεῖν, ὅτι διὰ τὴν ἁμαρτίαν ἡμῖν ἐστι φοβερά.

Οὐκ ἐπὶ σώματος δὲ τοῦ ἡμετέρου μόνον, οὐδὲ ἐπὶ βίων τῶν διαφόρων, οὐδὲ ἐπὶ τῶν ἀλόγων, ἀλλὰ καὶ ἐπὶ δένδρων ἔστιν ἰδεῖν τὴν ποικιλίαν ταύτην· καὶ τὸ πάντων εὐτελέστερον ἴδοι τις ἂν κατὰ τοῦ μείζονος ἔχον ὑπεροχὴν, καὶ οὐ πάντα ἐν πᾶσιν ὄντα, ἵνα πάντα ᾖ ἡμῖν ἀναγκαῖα, καὶ τοῦ Δεσπότου τὴν ποικίλην σοφίαν ἴδωμεν. Μὴ τοίνυν κατηγόρει τοῦ Θεοῦ διὰ τὴν φθορὰν τοῦ σώματος, ἀλλὰ διὰ τοῦτο μᾶλλον αὐτὸν προσκύνει, καὶ τῆς σοφίας καὶ τῆς κηδεμονίας αὐτὸν θαύμαζε· τῆς σοφίας μὲν, ὅτι ἴσχυσεν ἐν οὕτω φθαρτῷ σώματι τοσαύτην ἐπιδείξασθαι ἁρμονίαν· τῆς κηδεμονίας δὲ, ὅτι φθαρτὸν αὐτὸ διὰ τὴν τῆς ψυχῆς ἐποίησεν ὠφέλειαν, ἵνα αὐτῆς καταστέλλῃ τὸ φύσημα καὶ τὴν ἀπόνοιαν καθέλῃ. Τί οὖν οὐκ ἐξ ἀρχῆς αὐτὸ τοιοῦτον ἐποίησεν ὁ Θεὸς, φησίν; Ἀπολογούμενός σοι διὰ τῶν πραγμάτων αὐτῶν, καὶ μονονουχὶ λέγων, διὰ τῆς ἐκβάσεως αὐτῆς, ὅτι Ἐγὼ μέν σε ἐπὶ μείζονα ἐκάλουν τιμὴν, σὺ δὲ ἑαυτὸν ἀνάξιον κατεσκεύασας τῆς δωρεᾶς, ἐκπεσὼν τοῦ παραδείσου· πλὴν ἀλλ' οὐδὲ οὕτω περιόψομαί σε, ἀλλὰ διορθούμενος τὸ ἁμάρτημα καὶ εἰς τὸν οὐρανόν σε ἀνάξω. Καὶ γὰρ διὰ τοῦτό σε

pientiam circa corpus demonstraverit, dicam hoc, quod omnium maxime Paulus admirari assidue videtur. Quid autem hoc est? Membra alterum alteri præstare fecit, non in iisdem, sed hæc quidem ut pulchritudine prævaleant instituit, illa vero ut robore: puta, pulcher oculus, sed fortiores pedes: preliosum caput, sed dicere non potest pedibus, Vobis opus non habeo (1. *Cor.* 12. 21). Hoc et in brutis cernere licet, hoc et in tota pariter vita. Rex enim subditis opus habet, subditi rege, sicut caput pedibus. Et rursum in brutis hæc quidem sunt fortiora, hæc autem speciosiora: hæc nos delectant, hæc autem nutriunt, alia amiciunt: puta, delectat pavo, nutriunt gallinæ ac sues; oves autem vestiunt et capræ, collaborant bos et asinus. Sunt autem et alia quæ horum quidem nihil præbent, exercent autem virtutem nostram, ut feræ venatorum augent fortitudinem et timore genus nostrum erudiunt et cautius reddunt, nec modicum ad medicinam tributum nobis de propriis conferunt corporibus. Itaque cum tibi quis dixerit, Quomodo brutorum es dominus, qui times leonem? responde ab initio non ita se res habuisse, quando apud Deum in existimatione erant homines, quando in paradiso morabantur; sed postquam Dominum offendi, servis meis factus sum obnoxius, non tamen omnino, sed habeo aliquam artem, per quam feras superem. Sic et in domibus magnis usu venit, ut filii, quamvis nobiles sint, dum parum valent auctoritate, servorum multos formident; cum autem et peccaverint, multo magis anxietas intendatur. Hæc et de serpentibus et scorpiis et viperis licet dicere, quod propter peccatum nobis sint terribiles.

5. Nec vero tantum in corpore nostro et vitæ conditionibus variis, neque in brutis, verum et in arboribus varietatem hanc spectare licet; et omnium vilissimam sæpe videas aliqua re superare majorem, nec omnia in singulis esse, ut omnia nobis sint necessaria, et variam Domini noverimus sapientiam. Noli igitur Deum propter corporis corruptionem accusare, sed propter hoc magis ipsum adora, et sapientiam et providentiam ipsius admirare: sapientiam quidem, quoniam in tam corruptibili corpore tantam potuit harmoniam exhibere; providentiam vero, quoniam id ipsum corruptibile ad animæ fecit utilitatem, ut ipsius tumorem comprimat, et superbiam castiget. Quare igitur non ab initio ipsum tale fecit Deus? inquit aliquis. Excusans se tibi per ipsa opera, et tantum non dicens per eventum: Ego quidem te ad majorem vocabam honorem, tu vero te ipsum eo munere indignum reddidisti, paradiso excidens; verumtamen neque sic te despiciam, sed peccatum tuum corrigens vel in cælum adducam. Etenim propterea te tabescere et cor-

ἐπὶ τοσοῦτον χρόνον σήπεσθαι καὶ διαφθείρεσθαι εἶασα, ἵνα ἐν τῷ πλήθει τοῦ χρόνου μόνιμός σοι γένηται τῆς ταπεινοφροσύνης ἡ διδασκαλία, καὶ μηδέποτε τὴν προτέραν ἔννοιαν λάβῃς.

Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ τῆς κηδεμονίας αὐτὸν ἀμειψώμεθα ἀμοιβὴν ἡμᾶς ὠφελοῦσαν πάλιν, καὶ τῆς ἐντολῆς, ὑπὲρ ἧς συνεχῶς ὑμῖν διαλέγομαι, πολλὴν ποιησώμεθα τὴν σπουδήν· οὐδὲ γὰρ ἀποστήσομαι ἕως ἂν κατορθώσητε, ἐπειδὴ ἡμῖν τὸ ζητούμενον οὐ τοῦτό ἐστιν, ἢ ὀλιγάκις εἰπεῖν, ἢ πολλάκις, ἀλλὰ μέχρι τότε λέγειν, ἕως ἂν ὑμᾶς πείσωμεν. Πρὸς μὲν οὖν Ἰουδαίους ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου, « Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, ἵνα τί μοι νηστεύετε; » πρὸς ὑμᾶς δὲ ἐρεῖ δι' ἡμῶν, Εἰ εἰς ὅρκους καὶ ἐπιορκίας νηστεύετε, ἵνα τί νηστεύετε; Πῶς γὰρ τὸ πάσχα ὀψόμεθα τὸ ἱερόν; πῶς τὴν θυσίαν δεξόμεθα τὴν ἁγίαν; πῶς τῶν θαυμαστῶν κοινωνήσομεν μυστηρίων διὰ τῆς γλώττης δι' ἧς τὸν νόμον τοῦ Θεοῦ κατεπατήσαμεν, διὰ τῆς γλώττης δι' ἧς τὴν ψυχὴν ἐμολύναμεν; Εἰ γὰρ πορφυρίδα τις βασιλικὴν οὐκ ἂν ἀνάσχοιτο χερσὶ δέξασθαι μεμιασμέναις, πῶς σῶμα δεσποτικὸν δεξόμεθα ἀκαθάρτῳ γενομένῃ γλώττῃ; Ὁ μὲν γὰρ ὅρκος τοῦ πονηροῦ, ἡ δὲ θυσία τοῦ Δεσπότου. « Τίς οὖν κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ »; Ὅτι μὲν οὖν ἐσπουδάκατε ταύτης ἀπαλλαγῆναι τῆς παρανομίας, οἶδα σαφῶς, ἀλλ' ἐπειδὴ καθ' ἑαυτὸν ἕκαστος οὐκ ἂν εὐκόλως αὐτὸ κατορθώσειε, ποιησώμεθα φατρὰς καὶ συμμορίας, καὶ ὅπερ ἐπὶ τῶν συμποσίων οἱ πένητες ποιοῦσιν, ἐπειδὰν αὐτὸς ἕκαστος ἑστιάτωρ ὁλόκληρος γενέσθαι μὴ δύνηται, συνελθόντες ἅπαντες ἐξ ἐράνου τὴν εὐωχίαν εἰσφέρουσι, ταῦτο καὶ ἡμεῖς ποιήσωμεν· ἐπειδὴ καθ' ἑαυτούς ἐσμεν ῥᾴθυμοι, συμμορίας ποιήσαντες ἀλλήλοις παρεγγυῶμεν εἰσφέρειν συμβουλὴν καὶ παραγγελίαν καὶ παράκλησιν καὶ ἐπιτίμησιν καὶ ὑπόμνησιν καὶ ἀπειλήν, ἵνα ἐκ τῆς ἑκάστου σπουδῆς ἅπαντες κατορθώσωμεν. Ἐπειδὴ γὰρ τὰ τῶν πλησίον ὀξύτερον βλέπομεν ἢ τὰ ἡμέτερα, ἡμεῖς ἑτέρους φυλάττωμεν, καὶ τὴν ἡμετέραν φυλακὴν ἐπιτρέψωμεν ἐκείνοις, καὶ τὴν καλὴν ταύτην ἅμιλλαν ποιησώμεθα, ἵν' οὕτω περιγενόμενοι τῆς πονηρᾶς ταύτης συνηθείας, μετὰ παῤῥησίας εἰς τὴν ἁγίαν ταύτην ἔλθωμεν ἑορτήν, καὶ τῆς ἁγίας μετάσχωμεν θυσίας μετὰ χρηστῆς ἐλπίδος καὶ συνειδότος ἀγαθοῦ, χάριτι κτλ.

rumpi tantum temporis permisi, ut in temporis prolixitate stabilis tibi fiat humilitatis disciplina, et numquam priorem resumas mentem.

Pro his omnibus igitur grates agamus benigno Deo, et pro tali cura gratiam ei rependamus, quæ nobis etiam sit utilis; et mandati, de quo vobis constanter disserui, studium habeamus maximum. Neque enim desistam, donec illud expedieritis: quoniam non hoc quæritur a nobis, paucisne an multis utamur admonitionibus, sed ut eo usque moneamus, donec vobis persuaserimus. Judæis quidem Deus per prophetam dicebat (*Isai.* 58. 4. 5), *Si ad judicia et contentiones jejunatis, ut quid jejunatis?* per nos vero vobis dicet, Si ad juramenta et perjuria jejunatis, ut quid jejunatis? Quomodo enim sacram videbimus pascha? quomodo sanctum suscipiemus sacrificium? quomodo mirabilibus communicabimus mysteriis lingua illa qua Dei legem conculcaverimus, lingua illa qua animam contaminaverimus? Si nemo namque purpuram regalem manibus accipere inquinatis audeat, quomodo Dominicum corpus lingua polluta suscipiemus? Juramentum enim est maligni, sacrificium vero Domini. (2. *Cor.* 6. 14. 15) *Quæ igitur communicatio luci ad tenebras, vel quæ convenientia Christo ad Belial?* Quod igitur hac liberari impietate studueritis, manifeste scio; sed quoniam per se ipsum non facile quisque illud expedire potest, faciamus sodalitia et classes; et quod in conviviis pauperes faciunt, quoniam non potest quisque solus convivium exhibere perfectum, convenientes omnes ex symbolo convivium conferunt: hoc et nos faciamus; quando per nos ipsos torpidi sumus, divisis inter nos curis ex pacto statuamus conferre consilium, monitionem, exhortationem, increpationem, commonita, minas, ut ex singulorum studio omnes recte agamus: Quoniam enim proximorum res acutius videmus quam nostras, nos alios custodiamus, et nostri illis custodiam mandemus, et hoc pulchrum faciamus certamen, ut ita turpem hanc consuetudinem superantes, cum fiducia ad hanc sanctam veniamus solemnitatem, et sancti participes simus sacrificii cum beata spe et conscientia bona, gratia etc.

ΟΜΙΛΙΑ ιϚ'.

Ἔτι εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς συγγωρήσεως τῶν ἡμαρτηκότων εἰς τὸν βασιλέα· καὶ φυσιολογία περὶ τῆς κτίσεως· καὶ ὅτι ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον νόμον φυσικὸν ἐγκατέθηκεν αὐτῷ· καὶ περὶ τοῦ πάσῃ σπουδῇ ἀπέχεσθαι τῶν ὅρκων.

Καὶ χθὲς εἶπον, Εὐλογητὸς ὁ Θεὸς, καὶ σήμερον τὸ αὐτὸ τοῦτο πάλιν ἐρῶ. Εἰ γὰρ καὶ τὰ δεινὰ παρῆλθεν, ἀλλ' ἡ μνήμη τῶν δεινῶν μὴ παρερχέσθω, οὐχ ἵνα ἀλγῶμεν, ἀλλ' ἵνα εὐχαριστῶμεν. Ἐὰν γὰρ ἡ μνήμη μένῃ τῶν δεινῶν, ἡ πεῖρα τῶν δεινῶν οὐδέποτ' ἐπιστήσεται. Τί γὰρ δεῖ τῆς πείρας, τῆς μνήμης ἡμᾶς σωφρονιζούσης; Ὥσπερ οὖν οὐκ ἀφῆκεν ἡμᾶς ὁ Θεὸς καταποντισθῆναι παρόντων τῶν λυπηρῶν, οὕτω μὴ ἀφῶμεν ἑαυτοὺς ἐκλυθῆναι παρελθόντων ἐκείνων. Παρεκάλεσεν ἡμᾶς ἀθυμοῦντας τότε, εὐχαριστήσωμεν αὐτῷ χαίροντας νῦν· παρεμυθήσατο ὀδυνωμένους καὶ οὐ προέδωκε, μὴ τοίνυν μηδὲ ἡμεῖς ἑαυτοὺς εὐθηνουμένους προδῶμεν εἰς ῥᾳθυμίαν ἐκκλίνοντες· « Μνήσθητι γὰρ καιρὸν λιμοῦ, φησὶν, ἐν ἡμέρᾳ πλησμονῆς. » Μνησθῶμεν οὖν καιρὸν πειρασμοῦ καὶ ἡμεῖς ἐν ἡμέρᾳ ἀνέσεως. Καὶ ἐπὶ τῶν ἁμαρτημάτων δὲ τὸ αὐτὸ τοῦτο ποιῶμεν· κἂν ἁμάρτῃς καὶ συγχωρήσῃ σοι τὴν ἁμαρτίαν ὁ Θεὸς, τὴν μὲν συγχώρησιν δέξαι, καὶ εὐχαρίστησον, τῆς δὲ ἁμαρτίας μὴ ἐπιλάθῃ, οὐχ ἵνα σαυτὸν κατατρύχῃς τῷ λογισμῷ, ἀλλ' ἵνα τὴν ψυχὴν παιδεύσῃς μὴ σκιρτᾶν μηδὲ περιπίπτειν πάλιν τοῖς αὐτοῖς. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· εἰπὼν γὰρ ὅτι « Πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν », ἐπήγαγε, « τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν ». Ἐκπομπεύσθω, φησὶν, ὁ βίος τοῦ οἰκέτου, ἵνα φανῇ ἡ φιλανθρωπία τοῦ δεσπότου· εἰ γὰρ καὶ συγχώρησιν ἔλαβον ἁμαρτημάτων, ἀλλὰ τὴν μνήμην οὐκ ἐκβάλλω τῶν ἁμαρτημάτων. Οὐ τοῦ Δεσπότου δὲ τὴν φιλανθρωπίαν ἐδείκνυ τοῦτο μόνον, ἀλλὰ κἀκεῖνον λαμπρότερον ἐποίει. Ὅταν γὰρ μάθῃς τίς ἦν ἔμπροσθεν, τότε αὐτὸν θαυμάσῃ πλέον· καὶ ὅταν ἴδῃς ἐκ τίνος τίς ἐγένετο, τότε αὐτὸν ἀποδέξῃ μειζόνως· κἂν μεγάλα ᾖς ἡμαρτηκὼς, χρηστὰς ἕξεις ἐντεῦθεν ἐλπίδας μεταβαλλόμενος· πρὸς γὰρ τοῖς εἰρημένοις, καὶ τοὺς ἐν ἀπογνώσει τὸ ὑπόδειγμα τοῦτο παρακαλεῖ καὶ ἀνίστασθαι ποιεῖ. Ὅπερ οὖν καὶ ἐπὶ τῆς πόλεως ἔσται τῆς ἡμετέρας· τὰ γὰρ συμβάντα ἅπαντα τήν τε ἀρετὴν ὑμῶν δείκνυσι, δυνηθέντων διὰ τῆς μετανοίας τοσαύτην ὀργὴν ἀποκρούσασθαι, τήν τε τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττει, ἐξ ὀλίγης τῆς ἐπιστροφῆς τοσοῦτον παρενεγκόντος νέφος, τούς τε ἐν ἀπογνώσει πάντας ἀνίστησι μαθόντας ἐκ τῶν ἡμετέρων, ὅτι τὸν ἄνω καὶ πρὸς τὴν τοῦ Θεοῦ βλέποντα ῥοπὴν, κἂν μυρία περιστῇ πανταχόθεν κύματα, καταποντισθῆναι οὐκ ἔνι. Τίς γὰρ εἶδε, τίς ἤκουσέ ποτε τὰ ἡμέτερα πάθη; ἐκ βάθρων αὐτῶν καθ' ἑκάστην προσδοκῶμεν ἡμέραν ἀνασπασθή-

HOMILIA XII.

Adhuc ad Deum gratiarum actio pro accepta venia commissorum contra Imperatorem; et naturalis de mundo sermocinatio; et quod hominem crean Deus legem ipsi naturalem indiderit; et de juramento omni diligentia vitando.

1. Et heri dixi, Benedictus Deus, et hodie hoc ipsum rursus dicam. Etsi enim gravia præterierunt, tamen gravium memoria ne prætereat, non ut doleamus, sed ut gratias agamus. Si enim malorum memoria manserit, experientia malorum numquam urgebit. Quid enim experientia opus est, quando memoria nos corrigit? Sicut igitur submergi nos Deus non permisit præsentibus procellis, sic neque nos ipsos illis sublatis resolvi sinamus. Consolatus est nos tunc mœrentes, gratias ipsi nunc lætantes agamus : consolatus est suspirantes, neque deseruit; igitur neque nos ipsos prospere agentes prodamus, in torporem declinantes : nam scriptum est (*Eccli.* 18. 25) : *Recordare temporis famis in die satietatis.* Recordemur itaque temporum tentationis nos quoque in die remissionis. Atque etiam in peccatis hoc ipsum faciamus; si peccaveris et tibi peccata Deus remiserit, veniam quidem suscipe, et gratias age; peccati vero ne obliviscere, non ut te ipsum cogitatione consumas, sed ut animam doceas non lascivire, neque rursum in eadem relabi. Sic et Paulus fecit : cum enim dixisset (1. *Tim.* 1. 12. 13), *Fidelem me existimavit, ponens in ministerio*, subjecit, *Qui prius blasphemus fui et persecutor et contumeliosus.* Traducatur, inquit, vita servi, ut appareat humanitas domini. Etsi enim peccatorum veniam accepi, non tamen ejicio peccatorum memoriam. Nec solum Domini hoc benignitatem demonstrabat, sed illum etiam clariorem faciebat. Cum enim didiceris, quis prius fuerit, tunc ipsum magis admiraberis : et cum videris ex quonam quis fuerit factus, tunc ipsum magis probabis; et si multum peccaveris, mutatus inde bonam spem habebis : nam præter dicta, in desperatione positos etiam exemplum hoc allicit et exsurgere facit. Quod quidem et in civitate nostra erit : omnia enim quæ contigerunt, et virtutem vestram demonstrant, qui per pœnitentiam tantum iræ depellere potueritis; et Dei clementiam prædicant, qui ob modicam conversionem, tantam nubem imminentem abstulit; in desperatione quoque positos omnes excitant, ubi didicerunt ex rebus nostris, eum qui ad sublimia et ad Dei auxilium respiciat, quamvis infiniti undique fluctus obstrepant, submergi non posse. Quis enim vidit, quis audivit umquam nostris casibus similia? quotidie civitatem nostram cum suis habitatoribus funditus

σεσθαι τὴν πόλιν ἡμῖν μετὰ τῶν ἐνοικούντων· ἀλλ' ὅτε ἤλπιζε καταποντίζειν τὸ σκάφος ὁ διάβολος, τότε καθαρὰν γαλήνην ἐποίησεν ὁ Θεός. Μὴ τοίνυν ἐπιλανθανώμεθα τοῦ μεγέθους τῶν δεινῶν, ἵνα μνημονεύωμεν τοῦ μεγέθους τῶν εὐεργεσιῶν τῶν παρὰ τοῦ Θεοῦ γενομένων· καὶ γὰρ ὁ μὴ εἰδὼς τοῦ νοσήματος τὴν φύσιν, οὐκ εἴσεται τοῦ ἰατροῦ τὴν τέχνην. Ταῦτα καὶ πρὸς τοὺς παῖδας λέγωμεν τοὺς ἡμετέρους, καὶ εἰς μυρίας παραπέμπωμεν γενεὰς, ἵνα μάθωσιν ἅπαντες, πῶς ἐσπούδασεν ὁ διάβολος καὶ τὸ ἔδαφος ἀφανίσαι τῆς πόλεως, καὶ πῶς ἴσχυσεν ὁ Θεὸς πεπτωκυῖαν αὐτὴν καὶ κειμένην ἐπ' ὄψεσι στῆσαι πάλιν, καὶ μηδὲ τὴν τυχοῦσαν συγχωρῆσαι γενέσθαι βλάβην, ἀλλὰ καὶ τὸν φόβον ἀνεῖλε, καὶ τὸν κίνδυνον ἀπεκρούσατο μετὰ πολλοῦ τοῦ τάχους. Καὶ γὰρ τῇ παρελθούσῃ ἑβδομάδι τὰς οὐσίας δημεύεσθαι προσεδοκῶμεν ἅπαντες, καὶ στρατιώτας ἡμῖν ἐπαφίεσθαι, καὶ μυρία ἕτερα ὠνειροπολοῦμεν δεινά· ἀλλ' ἰδοὺ πάντα ἐκεῖνα παρῆλθεν, ὥσπερ νέφος καὶ ὥσπερ σκιὰ παρατρέχουσα, καὶ τῇ προσδοκίᾳ τῶν δεινῶν ἐκολάσθημεν μόνον· μᾶλλον δὲ οὐκ ἐκολάσθημεν, ἀλλὰ καὶ ἐπαιδεύθημεν καὶ βελτίους γεγόναμεν, τοῦ Θεοῦ τὴν καρδίαν τοῦ βασιλέως μαλάξαντος. Λέγωμεν τοίνυν διαπαντὸς καὶ καθ' ἡμέραν, Εὐλογητὸς ὁ Θεὸς, καὶ μετὰ πλείονος σπουδῆς τῇ συνάξει προσέχωμεν, καὶ πρὸς τὴν ἐκκλησίαν τρέχωμεν, ὅθεν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν. Ἴστε γὰρ ἐν ἀρχῇ ποῦ κατεφύγετε, ποῦ συνεδράμετε, πόθεν ἡμῖν ἡ σωτηρία γέγονεν. Ἐχώμεθα τοίνυν τῆς ἱερᾶς ἀγκύρας, καὶ καθάπερ ἐν τῷ καιρῷ τῶν κινδύνων ἡμᾶς οὐ προέδωκεν, οὕτω μηδὲ ἡμεῖς αὐτὴν ἐν τῷ καιρῷ τῆς ἀνέσεως καταλίπωμεν, ἀλλὰ μένωμεν μετ' ἀκριβείας καὶ τὰς συνάξεις καὶ τὰς εὐχὰς καὶ τὴν τῶν θείων λογίων ἀκρόασιν ποιώμεθα καθ' ἡμέραν, καὶ τὴν σχολὴν ἣν ἀνηλίσκομεν περιεργαζόμενοι, πολυπραγμονοῦντες τοὺς ἀπὸ τοῦ στρατοπέδου, περιτρέχοντες, σπουδάζοντες ὑπὲρ τῶν ἐπικειμένων κακῶν, ταύτην ἀναλώσωμεν ἅπασαν εἰς τὴν τῶν θείων νόμων ἀκρόασιν, ἀλλὰ μὴ εἰς ἀκαίρους καὶ ἀνωφελεῖς διατριβὰς, ἵνα μὴ πάλιν εἰς τὴν ἀνάγκην τῆς ἀσχολίας ἐκείνης ἑαυτοὺς καταστήσωμεν.

Ἐν μὲν οὖν ταῖς παρελθούσαις τρισὶν ἡμέραις ἕνα θεογνωσίας ἐξητάσαμεν τρόπον, καὶ πρὸς τὸ τέλος αὐτὸν ἠγάγομεν, ἑρμηνεύοντες πῶς « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ », καὶ τί ποτέ ἐστι τὸ παρὰ τοῦ Παύλου λεγόμενον, ὅτι « Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται », καὶ ἐδείκνυμεν πῶς ἀπὸ κτίσεως κόσμου, καὶ πῶς δι' οὐρανοῦ καὶ γῆς καὶ θαλάττης ὁ δημιουργὸς δοξάζεται· τήμερον δὲ ὀλίγα πάλιν εἰς αὐτὴν ταύτην φιλοσοφήσαντες τὴν ὑπόθεσιν ἐφ' ἕτερον βαδιούμεθα λόγον. Οὐδὲ γὰρ μόνον ἐποίησεν αὐτὴν, ἀλλὰ καὶ γενομένην ἐργάζεσθαι παρεσκεύασεν, οὔτε πᾶσαν ἀκίνητον ἀφεὶς, οὔτε πᾶσιν κινεῖσθαι κελεύσας· ἀλλ' οὐρανὸς μὲν ἀκίνητος ἔστηκε, καθάπερ ὁ προφήτης φησὶν, « Ὁ στήσας τὸν

sublatum iri suspicabamur : sed cum diabolus navigium submergere sperabat, tunc puram Deus fecit tranquillitatem. Ne igitur obliviscamur magnitudinis malorum, ut beneficiorum a Deo collatorum magnitudinem recordemur : etenim qui morborum naturam nescit, medici artem numquam sciet. Hæc et pueris nostris dicamus, et in mille mittamus generationes, ut omnes discant, quomodo diabolus vel solum civitatis delere studuerit, et quomodo ipsam Deus lapsam et jacentem rursus erigere valuerit, neque ullum pati damnum concesserit, ad hoc et timorem sustulerit, et repulerit cum multa celeritate periculum. Etenim hebdomada præterita facultates diripi omnes exspectabamus, et milites nobis immitti, et infinita alia mala somniabamur ; sed ecce illa omnia præterierunt, tamquam nubes, et velut umbra prætervolans, et sola calamitatum exspectatione puniti sumus ; imo vero non puniti sumus, sed correcti et meliores facti, quia Deus Imperatoris cor emollivit. Dicamus igitur semper et quotidie : Benedictus Deus, et cum majori studio synaxi vacemus, et curramus ad ecclesiam, unde utilitatem tantam accepimus. Scitis enim ab initio quo confugeritis, quo concurreritis, unde facta sit nobis salus. Teneamus igitur sacram ancoram, et sicut in tempore periculorum nos non prodidit, sic neque nos ipsam in tempore remissionis relinquamus ; sed cum cura maneamus, et quotidie faciamus conventus precesque, divinaque audiamus eloquia : et quod impendebamus otium satagentes et curiose sciscitantes e castris profectos, circumcurrentes, pro instantibus malis curam gerentes, hoc totum divinas leges audiendo impendamus, non autem in importunas et inutiles exercitationes, ne rursus in illius negotii necessitatem nos ipsos rediganus.

2. Tribus igitur præteritis diebus unum cognitionis Dei modum quærebamus, ipsumque in finem deduximus, interpretantes, quomodo *Cæli enarrant gloriam Dei* (*Psal.* 18. 2); et quale tandem sit Pauli dictum (*Rom.* 1. 20), *Invisibilia ipsius a creatura mundi per ea, quæ facta sunt, intellecta conspiciuntur :* et demonstravimus quomodo per cœlum et terram et mare creator glorificatur. Hodie vero paulisper in hanc rursum philosophati materiam, ad alium transibimus sermonem : non enim tantum fecit mundum, sed etiam ut factus operaretur, effecit, neque totum immobilem dimittens, neque totum jubens moveri ; sed cœlum quidem immotum permansit, sicut propheta dicit (*Isai.* 40. 22), *Qui statuit*

οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡσεὶ σκηνὴν ἐπὶ τῆς γῆς· ὁ δὲ ἥλιος μετὰ τῶν ἄστρων τῶν λοιπῶν καθ' ἑκάστην τρέχει τὴν ἡμέραν· καὶ γῆ πάλιν πέπηγε, τὰ δὲ ὕδατα βαδίζει διαπαντός· οὐχ ὕδατα δὲ μόνον, ἀλλὰ καὶ νεφέλαι καὶ ὄμβροι συνεχεῖς καὶ ἐπαλλήλοι κατὰ τὸν οἰκεῖον ἀποδιδόμενοι καιρόν· καὶ μία μὲν ἡ τῶν ὄμβρων φύσις, διάφορα δὲ τὰ ἐξ αὐτῶν γινόμενα· καὶ γὰρ ἐν ἀμπέλῳ γίνεται οἶνος ὁ ὑετὸς, καὶ ἔλαιον ἐν ἐλαίᾳ, καὶ ἐν τοῖς ἄλλοις δὲ φυτοῖς πρὸς τοὺς ἰκείνων μεθίσταται χυμούς. Καὶ μία δὲ τῆς γῆς ἡ γαστὴρ καὶ διαφόρους φέρει τοὺς καρπούς· καὶ μία μὲν τῆς ἡλιακῆς ἀκτῖνος ἡ θέρμη, καὶ διαφόρως ἅπαντα πεπαίνει, τὰ μὲν βραδύτερον, τὰ δὲ ταχύτερον πρὸς ἀκμὴν ἄγουσα. Τίς οὐκ ἂν ταῦτα ἐκπλαγείη καὶ θαυμάσειε; μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι ποικίλην αὐτὴν καὶ διάφορον κατεσκεύασεν, ἀλλ' ὅτι καὶ κοινὴν αὐτὴν προέθηκεν ἅπασι, καὶ πλουσίοις καὶ πένησι, καὶ ἁμαρτωλοῖς καὶ δικαίοις. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι « Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· » καὶ μυρίων αὐτὴν ζώων ἐμπλήσας, καὶ φυσικὰ τοῖς ζώοις ἐνθεὶς ἤθη, τὰ μὲν μιμεῖσθαι, τὰ δὲ φεύγειν ἐκέλευσεν. Οἷόν τι λέγω· φιλόπονόν ἐστιν ὁ μύρμηξ, (καὶ) ἐπίπονον ποιεῖται τὴν ἐργασίαν· ἂν τοίνυν προσέχῃς, μεγίστην παρὰ τοῦ ζώου δέξῃ παραίνεσιν, ὥστε μὴ καταμαλακίζεσθαι μηδὲ φεύγειν ἱδρῶτας καὶ πόνους. Διὰ τοῦτο καὶ ἡ Γραφὴ τὸν ὀκνηρὸν πρὸς ἐκεῖνον ἔπεμψε λέγουσα, « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον εἰθὺς τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. » Οὐ βούλει, φησὶν, ἐκ τῶν Γραφῶν μαθεῖν ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ ὅτι ὁ μὴ ἐργαζόμενος οὐδὲ ἐσθίειν ὀφείλει; οὐ βούλει παρὰ τῶν διδασκάλων ἀκοῦσαι τοῦτο; παιδεύθητι παρὰ τῶν ἀλόγων. Οὕτω καὶ ἐν ταῖς οἰκίαις ποιοῦμεν πολλάκις· τοὺς μείζονας καὶ δοκοῦντας εἶναι ἐντιμοτέρους, ἐπειδὰν ἁμάρτωσι, παιδίοις νήφουσι προσέχειν παρακελευόμεθα, λέγοντες, Ὅρα τὸν μικρότερόν σου πῶς ἐστι σπουδαῖος καὶ διεγηγερμένος. Καὶ σὺ τοίνυν παρὰ τοῦ ζώου τούτου μεγίστην λάβε φιλοπονίας παραίνεσιν, καὶ θαύμασόν σου τὸν Δεσπότην, μὴ ἐπειδὴ ἥλιον ἐποίησε μόνον καὶ οὐρανὸν, ἀλλ' ἐπειδὴ καὶ μύρμηκα ἐποίησεν· εἰ γὰρ καὶ βραχὺ τὸ ζῶον, ἀλλὰ τοῦ μεγέθους τῆς σοφίας τοῦ Θεοῦ πολλὴν ἔχει τὴν ἀπόδειξιν. Ἔννόησον τοίνυν πῶς ἐστι συνετὸν, καὶ θαύμασον πῶς ἴσχυσεν ὁ Θεὸς ἐν οὕτω βραχεῖ σώματι τοσαύτην ἐγκαταθεῖναι ἐργασίας ἐπιθυμίαν ἀδιάπτωτον. Καὶ ἀπὸ τούτου μὲν τὸ φιλόπονον, ἀπὸ δὲ τῆς μελίττης καὶ τὸ φιλόκαλον καὶ τὸ φιλόπονον μάνθανε καὶ τὸ φιλάλληλον. Καὶ γὰρ ἐκείνη οὐχ ἑαυτῇ μᾶλλον ἢ ἡμῖν πονεῖ καὶ ταλαιπωρεῖται καθ' ἑκάστην ἡμέραν· ὃ μάλιστα ἴδιον Χριστιανῷ, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὰ τῶν ἑτέρων. Ὥσπερ οὖν ἐκείνη πάντας περίπταται τοὺς λειμῶνας, ἵνα ἑτοίμην ἑτέρῳ παρασκευάσῃ τράπεζαν·

cœlum tamquam testudinem, et extendit ipsum tamquam tentorium super terram; sol vero cum reliquis sideribus quotidie currit : et rursum terra fixa est, aquæ vero semper moventur : nec aquæ tantum, sed et nubes, et imbres frequentes et succedentes sibi tempore proprio demissi : et una quidem imbrium est natura, diversa vero quæ ex ipsis fiunt : etenim in vite vinum fit pluvia, oleum in olea, et in aliis plantis in illarum humores mutatur. Et unus quidem est terræ venter, sed differentes profert fructus : unus solaris splendoris est calor, sed differenter omnia maturat, hæc quidem tardius, hæc vero citius ad consummationem deducens. Quis hæc non obstupescat et admiretur? imo vero non hoc solum est admirabile, quod varium ipsum et differentem fabricaverit, sed etiam quod ipsum omnibus communem proposuerit, et divitibus et pauperibus, et peccatoribus et justis. Quod utique et Christus dicebat (*Matth.* 5. 45) : *Solem suum oriri facit super bonos et super malos, et pluit super justos et injustos :* et infinitis ipsum animalibus implens, et naturales brutis inserens mores, hos quidem imitari, hos vero fugere nos jussit. Verbi gratia : industria est formica, et laboriosum facit opus. Si igitur attendas, maximam ab hoc animali capies admonitionem, ut non emolliaris, neve fugias labores et sudores : propterea et Scriptura torpentem ad illam misit dicens (*Prov.* 6. 6), *Vade ad formicam, o piger, et imitare quas vides vias ejus, et esto illa sapientior.* Non vis, inquit, ex Scripturis discere quod bonum sit operari, et quod qui non operatur neque manducare debeat? non vis a doctoribus hoc audire? disce a brutis. Sic et in domibus sæpe facimus : majores, et qui videntur esse præstantiores, cum peccaverint, puerulis solertibus attendere exhortamur, dicentes, Respice minorem te, quam est industrius et solers. Et tu igitur ab hoc animali maximam cape sedulitatis exhortationem : et Dominum tuum admirare, non quod solem fecerit tantum et cælum, sed quod etiam formicam fecit. Etsi enim exiguum animal, habet tamen sapientiæ Dei magnitudinis multam demonstrationem. Considera igitur quam sit prudens, et admirare quomodo potuerit Deus in tam brevi corpore tantam jugis inserere operationis cupiditatem. Ab hac quidem laboris studium, ab ape vero munditiam et solertiam disce et mutuam caritatem. Etenim illa non magis sibi ipsi quam nobis laborat, et quotidie fatigatur : quod maxime Christiano proprium est, non sua quærere, sed quæ sunt aliorum. Sicut igitur illa circumvolat omnia prata, ut promtam alteri præparet mensam : sic et tu fac, homo, sive pecu-

οὕτω καὶ σὺ ποίησον, ἄνθρωπε, κἂν χρήματα συλλέγῃς, εἰς ἑτέρους δαπάνησον· κἂν λόγους διδασκαλίας ἔχῃς, μὴ κατορύξῃς, ἀλλὰ πρόθες εἰς μέσον τοῖς δεομένοις· κἂν ἕτερον ἔχῃς πλεονέκτημα, γενοῦ χρήσιμος τοῖς δεομένοις τῶν σῶν ἀπολαύειν πόνων. Οὐχ ὁρᾷς ὅτι διὰ τοῦτο μάλιστα τῶν ἄλλων ἐστὶν ἐντιμοτέρα ζώων ἡ μέλιττα, οὐκ ἐπειδὴ πονεῖ, ἀλλ' ἐπειδὴ ἑτέροις πονεῖ; ἐπεὶ καὶ ὁ ἀράχνης πονεῖ καὶ ταλαιπωρεῖται καὶ λεπτὰ διατείνει κατὰ τοὺς τοίχους ὑφάσματα πᾶσαν γυναικὸς σοφίαν ὑπερβάλλοντα, ἀλλ' ἔστιν ἄτιμον τὸ ζῶον, ἐπειδὴ τὸ ἔργον ἡμῖν οὐδαμοῦ χρήσιμον. Τοιοῦτοί εἰσιν οἱ ἑαυτοῖς κάμνοντες καὶ ταλαιπωρούμενοι.

Μίμησαι τῆς περιστερᾶς τὸ ἀκέραιον, μίμησαι τοῦ ὄνου τὸ φιλοδέσποτον καὶ τοῦ βοὸς, μίμησαι τῶν ὀρνίθων τὸ ἀμέριμνον· ἔστι γὰρ, ἔστι μεγάλα ἀπὸ τῶν ἀλόγων καρπώσασθαι εἰς ἠθῶν διόρθωσιν. Ἀπὸ τούτων καὶ ὁ Χριστὸς ἡμῖν διαλέγεται τῶν ζώων· « Γίνεσθε γὰρ φρόνιμοι, φησὶν, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. » Καὶ πάλιν· « Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρει οὐδὲ θερίζει, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. » Καὶ ὁ προφήτης δὲ ἐντρέπων τοὺς ἀγνώμονας Ἰουδαίους, οὕτω πώς φησιν· « Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω. » Καὶ πάλιν· « Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα Κυρίου τοῦ Θεοῦ αὐτοῦ. »

Ἀπὸ μὲν τούτων καὶ τῶν τοιούτων ζώων μάνθανε κατορθοῦν ἀρετὴν, ἀπὸ δὲ τῶν ἐναντίων παιδεύου φεύγειν κακίαν. Ὥσπερ γὰρ φιλόκαλον ἡ μέλιττα, οὕτως ὀλέθριον ἡ ἀσπίς· ἀποστράφηθι τοίνυν τὴν κακίαν, ἵνα μὴ ἀκούσῃς, « Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. » Ἀναίσχυντον πάλιν ὁ κύων· μίσησον καὶ ταύτην τὴν πενηρίαν· δόλιον καὶ πανοῦργον ἡ ἀλώπηξ· μὴ ζηλώσῃς τὸ νόσημα· ἀλλὰ καθάπερ ἡ μέλιττα τοῖς λειμῶσιν ἐφιπταμένη οὐ πάντα ἐκλέγει, ἀλλὰ τὰ χρήσιμα λαβοῦσα, τὰ λοιπὰ ἀφίησιν, οὕτω καὶ σὺ ποίησον τῶν ἀλόγων ἐπελθὼν τὸ γένος· εἴ τι χρήσιμον παρ' ἐκείνων λάμβανε, καὶ ἅπερ ἔχουσιν ἐν τῇ φύσει πλεονεκτήματα, ταῦτα σὺ διὰ τῆς προαιρέσεως κατόρθωσον· καὶ γὰρ καὶ ταύτῃ παρὰ τοῦ Θεοῦ τετίμησαι, ὅτι τὰ φυσικὰ αὐτῶν πλεονεκτήματα ἐκ προαιρέσεώς σοι κατορθοῦν παρέσχεν, ἵνα καὶ βραβεῖα λάβῃς. Ἐκείνοις γὰρ οὐκ ἐκ προαιρέσεως καὶ λόγου τὰ κατορθώματα, ἀλλ' ἀπὸ φύσεως μόνης. Οἷόν τι λέγω· ἡ μέλιττα μελιτουργεῖ οὐ λόγῳ μαθοῦσα τοῦτο καὶ λογισμῷ, ἀλλ' ἀπὸ τῆς φύσεως παιδευθεῖσα· ἐπεὶ εἰ μὴ φυσικὸν ἦν τὸ ἔργον μηδὲ τῷ γένει συνεκεκλήρωτο, ἔδει πάντως τινὰς ἐξ αὐτῶν ἀπείρους εἶναι τῆς τέχνης· νῦν δὲ ἐξ οὗ γέγονεν ὁ κόσμος μέχρι τῆς παρούσης ἡμέρας, οὐδεὶς εἶδε μελίττας ἡσυχαζούσας καὶ μὴ μελιτουργούσας. Τοιαῦτα γὰρ τὰ φυσικά· κοινὰ τοῦ παντὸς γένους ἐστί· τὰ δὲ ἐκ προαιρέσεως οὐκ ἔστι κοινά· πόνου γὰρ δεῖται πρὸς τὸ κατορθωθῆναι.

nias congreges, in alios expende; sive doctrinæ verba habeas, ne defodias, sed apponas indigentibus in medium: sive aliud peculiare habeas, utilis esto iis qui laborum tuorum fructu egent. Non cernis, propterea maxime inter animalia gloriosissimum esse apem, non quia laborat, sed quia aliis laborat? nam et aranea laborat, et fatigatur, et tenues per parietes extendit texturas, omnem mulieris sapientiam excedentes, sed est ignobile animal, quoniam opus ejus nobis nullatenus est utile: tales sunt sibi laborantes et se defatigantes.

Imitare columbæ simplicitatem, sectare asini et bovis in dominum amorem, imitare avium securitatem: multum enim lucrari licet a brutis ad morum correctionem. Ex his Christus quoque nos animalibus instruit: nam ait (*Matth.* 10. 16), *Estote prudentes sicut serpentes, et simplices sicut columbæ.* Et rursum (*Matth.* 6. 26): *Respicite volatilia cæli, quæ non serunt neque metunt, et pater vester cælestis pascit ea.* Et propheta, pudefaciens ingratos Judæos, sic ait (*Isai.* 1. 3): *Agnovit bos possessorem suum et asinus præsepe domini sui: Israel autem me non agnovit.* Et rursum (*Jerem.* 8. 7): *Turtur et hirundo agri, aviculæ, cognoverunt tempora ingressus sui; populus vero meus non cognovit judicia Domini Dei sui.* Ab his et a similibus animalibus disce virtutem exercere, a contrariis vero instituitor vitium fugere. Sicut enim benefica apis, sic perniciosa aspis: malitiam igitur ejus averseris, ne audias (*Psal.* 139. 4), *Venenum aspidum sub labiis eorum.* Impudens rursum canis; odio habeas hanc quoque improbitatem: dolosa et fraudulenta vulpes; ne imiteris hoc vitium: sed sicut apis pratis supervolans non omnia legit, sed utilibus sumtis reliqua sinit: ita tu quoque facias brutorum genus percurrens: si quid inest utile, ab illis sume, et quas habent a natura prærogativas, has tu per liberum exprime arbitrium: nam per hoc quoque a Deo honoratus es, quod naturales brutorum prærogativas per liberum arbitrium tibi exsequi concessit, ut præmia consequaris. Illis enim non ex electione et ratione bona opera, sed a sola natura. Verbi gratia: apis mellificat, non ratione ad hoc faciendum inducta, sed a natura instituta: quoniam si opus non esset naturale, neque toti generi attributum, oporteret omnino ex ipsis aliquas artis inexpertas esse; nunc vero ex quo factus est mundus, neque in præsentem diem, nemo vidit apes cessantes et non mellificantes. Talia enim naturalia: toti generi communia sunt; quæ vero ex libero arbitrio, non sunt communia: labore enim indigent ut bene succedant.

Πάντα τοίνυν τὰ κάλλιστα λαβὼν περιβαλοῦ· καὶ γὰρ βασιλεὺς εἶ τῶν ἀλόγων· οἱ δὲ βασιλεῖς, εἴ τι κάλλιστόν ἐστιν ἐν τοῖς ὑπηκόοις, εἴτε χρυσὸς, εἴτε ἄργυρος, εἴτε λίθοι τίμιοι, εἴτε ἱμάτια πολυτελῆ, ταῦτα μεθ' ὑπερβολῆς αὐτοὶ κέκτηνται· καὶ θαύμαζέ σου τὸν Δεσπότην ἀπὸ τῆς κτίσεως. Εἰ δέ τι σε ὑπερβαίνει τῶν ὁρωμένων καὶ τὸν λόγον οὐ δύνασαι εὑρεῖν, καὶ διὰ τοῦτο δόξασον τὸν ποιήσαντα, ὅτι ὑπερβαίνει σου τὴν κατάληψιν ἡ σοφία τῶν γινομένων. Μὴ λέγε, διὰ τί τοῦτο; εἰς τί τοῦτο; ἕκαστον γὰρ χρήσιμόν ἐστιν, εἰ καὶ τὸν λόγον ἀγνοοῦμεν ἡμεῖς. Ὥσπερ οὖν ἐὰν εἰς ἰατρεῖον εἰσέλθῃς καὶ ἴδῃς ἐργαλεῖα πολλὰ προκείμενα, θαυμάζεις τὴν ποικιλίαν τῶν ὀργάνων, καίτοι γε τὰς χρείας αὐτῶν οὐκ εἰδώς· οὕτω καὶ ἐπὶ τῆς κτίσεως ποίησον, κἂν ἴδῃς πολλὰ τῶν ζώων καὶ τῶν βοτανῶν καὶ τῶν φυτῶν καὶ τῶν ἄλλων πραγμάτων ὧν τὰς χρείας οὐκ οἶδας, θαύμασον αὐτῶν τὴν ποικιλίαν, καὶ ἐκπλάγηθι καὶ διὰ τοῦτο τὸν ἀριστοτέχνην Θεὸν, ὅτι οὔτε πάντα σοι ὅῆλα ἐποίησεν, οὔτε πάντα ἀφῆκεν ἄδηλα. Οὐκ ἀφῆκε μὲν γὰρ πάντα ἄδηλα, ἵνα μὴ ἀπρονόητα λέγῃς εἶναι τὰ ὄντα· οὐκ ἀφῆκε δέ σοι πάντα γνώριμα εἶναι, ἵνα μὴ τὸ μέγεθος τῆς γνώσεως εἰς ἀπόνοιάν σε ἐπάρῃ Οὕτω γοῦν καὶ τὸν πρῶτον ἄνθρωπον ὁ πονηρὸς δαίμων ἐκεῖνος ἐξετραχηλίασεν, ἐλπίδι μείζονος γνώσεως καὶ τῆς οὔσης ἀποστερήσας. Διὰ τοῦτο καὶ σοφός τις παραινεῖ λέγων, « Ἰσχυρότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις »· καὶ πάλιν, « Πλείονα συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι. » Τοῦτο δὲ εἶπε παραμυθούμενος τὸν ἀσχάλλοντα καὶ ἀλύοντα, ἐπειδὴ μὴ πάντα οἶδεν. Καὶ γὰρ αὐτὰ, φησὶν, ἅπερ ἐπετράπης εἰδέναι, σφόδρα ὑπερβαίνει σου τὴν σύνεσιν· οὐδὲ γὰρ οἰκοθεν εὗρες, ἀλλὰ παρὰ τοῦ Θεοῦ διδαχθείς. Ἀρκοῦ τοίνυν τῷ δοθέντι πλούτῳ, καὶ μὴ τὸ πλεῖον ἐπιζήτει, ἀλλ' ὑπὲρ ὧν ἔλαβες εὐχαρίστει, μὴ ἀγανάκτει ὑπὲρ ὧν οὐκ ἔλαβες· καὶ ὑπὲρ ὧν οἶδας δόξαζε, μὴ σκανδαλίζου δι' ἃ οὐκ οἶδας· ἀμφότερα γὰρ χρησίμως ὁ Θεὸς ἐποίησε, καὶ τὰ μὲν ἐξεκάλυψε, τὰ δὲ ἀπέκλεισε τῆς σῆς προνοῶν σωτηρίας.

Εἷς μὲν οὖν, ὅπερ ἔφην, τρόπος θεογνωσίας ὁ διὰ τῆς κτίσεως, πολλὰς δυνάμενος ἡμέρας ἀναλῶσαι. Ἵνα γὰρ μόνου τοῦ ἀνθρώπου κατ' ἀκρίβειαν τὴν διατύπωσιν ἐπέλθωμεν· (κατ') ἀκρίβειαν δὲ λέγω τὴν ἡμῖν δυνατὴν, οὐ τὴν ὄντως ἀκρίβειαν· εἰ γὰρ καὶ πολλοὺς εἰρήκαμεν τῶν γενομένων λόγους, ἀλλ' εἰσὶ καὶ ἕτεροι πλείους ἀπόῤῥητοι, οὓς ὁ ποιήσας οἶδε Θεός· οὐ γὰρ ὃν πάντας ἴσμεν αὐτοί· ἵν' οὖν ἅπασαν τοῦ ἀνθρώπου κατ' ἀκρίβειαν τὴν διάπλασιν ἐπέλθωμεν καὶ τὴν ἐν ἑκάστῳ μέλει σοφίαν εὕρωμεν, τῶν νεύρων, τῶν φλεβῶν, τῶν ἀρτηριῶν τὴν διανομὴν, τὴν θέσιν, τὴν διάπλασιν τῶν ἄλλων ἁπάντων, οὐδὲ ἐνιαυτὸς ὁλόκληρος ἂν ἡμῖν ἀρκέσειε πρὸς τὴν ἐξήγησιν ταύτην. Διόπερ τοῦτον ἐνταῦθα καταλύσαντες

3. Omnia igitur optima capiens tibi indue atque adde: etenim irrationalium rex es; reges autem, si quid est in subditis optimum, sive aurum, sive argentum, sive lapides pretiosi, sive sumtuosa vestimenta, hæc cum superabundantia ipsi possident: et venerare Dominum tuum ex creatura. Si quid vero te excedit visibilium, et rationem invenire non potes, etiam ideo creatorem glorifica, quia mentem tuam ipsius opificiorum sapientia excedit. Ne dicas, Quare hoc? ad quid hoc? nam unumquodque utile est, etsi nos rationem ignoramus. Sicut enim si in medici officinam ingrediaris et multa palam posita videas instrumenta, varietatem instrumentorum admiraris, licet ipsorum nescias usus: sic et in creatura facias, et si videris multa animalium et herbarum et plantarum et aliarum rerum, quarum utilitates nescias, admirare ipsarum varietatem, obstupesce etiam ob ipsas creatorem optimumque opificem Deum: quoniam nec omnia tibi nota fecit, nec omnia incognita. Non sivit quippe omnia incognita, ne dicas esse mundum sine providentia: neque permisit tibi cognita esse omnia, ne cognitionis magnitudo te in superbiam extollat. Sic quippe et primum hominem improbus dæmon ille præcipitavit, per majoris scientiæ spem, eam quam habebat auferens. Propterea et sapiens quidam admonet, dicens (*Eccli.* 3. 21. 22), *Fortiora te ne quæras, et profundiora te ne scruteris: quæ mandata sunt tibi, hæc cogita: ipsius enim operum plura in secretis sunt;* et rursum (v. 23), *Majora hominum prudentiâ demonstrata sunt tibi.* Hoc autem dixit consolans mœrentem et dolentem, quod non omnia norit: etenim et ea, inquit, quæ nosse tibi datum est, multum prudentiam tuam transgrediuntur: neque enim ex te invenisti, sed a Deo doctus. Contentus igitur esto datis divitiis, et ne amplius inquiras, sed pro iis quæ accepisti gratias age; noli indignari de iis quæ non accepisti, et pro iis quæ nosti glorifica; ne scandalizeris propter ea quæ non nosti: ambo enim Deus utiliter fecit, et hæc quidem revelavit, illa vero abscondit tuæ consulens saluti.

Unus igitur, quod dixi, Dei cognoscendi modus est per creationem, multos ille valens dies absumere. Ut enim solius hominis cum diligentia formationem percurramus, cum diligentia dico nobis possibili, non illa vera diligentia: nam etsi multas factorum rationes diximus, sunt tamen et aliæ plures arcanæ, quas, qui fecit, novit Deus; non enim omnes ipsi scimus: ut igitur omnem hominis formationem cum diligentia percurramus, et in unoquoque membro sapientiam inveniamus, et nervorum, venarum, arteriarum distributionem, situm, aliorumque omnium formationem consideremus, nec annus integer nobis ad hanc expositionem sufficerit. Ideo istum hic

τὸν λόγον, καὶ τοῖς φιλοπόνοις καὶ φιλομαθέσι παρασχόντες ἐκ τῶν εἰρημένων καὶ τὰ λοιπὰ τῆς κτίσεως ἐπελθεῖν μέρη, ἐφ' ἑτέραν ὑπόθεσιν τὸν λόγον τρέψωμεν, ἐνδεικτικὴν καὶ αὐτὴν οὖσαν τῆς τοῦ Θεοῦ προνοίας.

Τίς οὖν ἐστιν ἡ δευτέρα ὑπόθεσις; Ἐξ ἀρχῆς πλάττων ὁ Θεὸς τὸν ἄνθρωπον, νόμον αὐτῷ φυσικὸν ἐγκατέθετο. Καὶ τί ποτ' ἐστὶ νόμος φυσικός; Τὸ συνειδὸς ἡμῖν διήρθρωσε, καὶ αὐτοδίδακτον ἐποίησε τὴν γνῶσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· οὐ γὰρ δεόμεθα μαθεῖν ὅτι κακὸν πορνεία, καὶ καλὸν σωφροσύνη, ἀλλ' ἴσμεν ἐξ ἀρχῆς τοῦτο. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἴσμεν ἐξ ἀρχῆς, ὁ νομοθέτης νόμους ὀπίσω ὕστερον, καὶ εἰπών, « Οὐ φονεύσεις », οὐκ ἐπήγαγε, κακὸν γὰρ ὁ φόνος, ἀλλ' ἁπλῶς, Οὐ φονεύσεις, εἶπεν· ἀπηγόρευσε γὰρ τὴν ἁμαρτίαν μόνον, οὐκ ἐδίδαξε. Τίνος οὖν ἕνεκεν εἰπών, Οὐ φονεύσεις, οὐ προσέθηκεν ὅτι κακὸν ὁ φόνος; Ἐπειδὴ προλαβὸν τὸ συνειδὸς ἡμᾶς ἐπαίδευσε τοῦτο, καὶ ὡς εἰδόσι καὶ ἐπισταμένοις οὕτω διαλέγεται. Ὅταν γοῦν περὶ ἑτέρας ἐντολῆς λέγῃ τῆς οὐ γνωρίμης ἡμῖν ἀπὸ τοῦ συνειδότος γενομένης, οὐκ ἀπαγορεύει μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν προστίθησι. Περὶ σαββάτου γοῦν νομοθετῶν καὶ λέγων, « Τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ οὐ ποιήσεις ἔργον », καὶ τὴν αἰτίαν ἐπήγαγε τῆς ἀργίας· ποίαν δὴ ταύτην; « Ὅτι ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι »· καὶ πάλιν, « Ὅτι οἰκέτης ἦσθε ἐν γῇ Αἰγύπτῳ. » Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τοῦ σαββάτου τὴν αἰτίαν προσέθηκεν, ἐπὶ δὲ τοῦ φόνου οὐδὲν τοιοῦτον ἐποίησεν; Ἐπειδὴ αὕτη μὲν ἡ ἐντολὴ οὐ τῶν προηγουμένων ἦν, οὐδὲ τῶν ἐκ τοῦ συνειδότος ἡμῖν ἠκριβωμένων, ἀλλὰ μερική τις καὶ πρόσκαιρος· διὰ τοῦτο καὶ κατελύθη μετὰ ταῦτα· αἱ δὲ ἀναγκαῖαι καὶ συνέχουσαι τὴν ζωὴν τὴν ἡμετέραν, ἐκεῖναί εἰσιν· « Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις. » Διόπερ οὐδαμοῦ αἰτίαν ἐνταῦθα τίθησιν οὐδὲ διδασκαλίαν εἰσάγει, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ ἀπαγορεύσει.

Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν δείξαι πειράσομαι πῶς αὐτοδίδακτος ἦν ὁ ἄνθρωπος πρὸς τὴν τῆς ἀρετῆς γνῶσιν. Ἥμαρτεν ὁ Ἀδὰμ τὴν ἁμαρτίαν τὴν πρώτην, καὶ μετὰ τὴν ἁμαρτίαν εὐθέως ἐκρύπτετο· εἰ δὲ μὴ ᾔδει κακὸν εἰργασμένος, τίνος ἕνεκεν ἐκρύπτετο; Οὐδὲ γὰρ γράμματα ἦν, οὐ νόμος, οὐ Μωϋσῆς· πόθεν οὖν ἔγνω τὴν ἁμαρτίαν καὶ κρύπτεται; Καὶ οὐ κρύπτεται μόνον, ἀλλὰ καὶ ἐγκαλούμενος ἐφ' ἕτερον πειρᾶται μετατιθέναι τὴν αἰτίαν, λέγων, « Ἡ γυνὴ ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκεν ἐκ τοῦ ξύλου, καὶ ἔφαγον »· κἀκείνη πάλιν ἐφ' ἕτερον μετάγει τὸ ἔγκλημα, τὸν ὄφιν. Καὶ ὅρα Θεοῦ σοφίαν· εἰπόντος γὰρ τοῦ Ἀδὰμ, ὅτι « Ἤκουσα τῆς φωνῆς σου καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι καὶ ἐκρύβην », οὐκ ἤλεγξεν εὐθέως [ὁ Θεὸς] τὸ γεγονὸς, οὐδὲ εἶπε, Διὰ τί γὰρ ἔφαγες ἀπὸ τοῦ ξύλου; ἀλλὰ πῶς; « Τίς σοι ἀνήγγειλε,

sermonem finientes, et laboriosis studiosisque ex dictis præbentes et alias creationis partes percurrendi modum, ad aliam sermonem hypothesim vertamus, ipsam quoque Dei providentiæ demonstrativam.

Quæ est igitur secunda hypothesis? Ab initio Deus hominem formans, legem ipsi naturalem indidit. Et quid tandem est lex naturalis? Conscientiam nobis informavit, et a natura inditam esse voluit bonorum et contrariorum scientiam. Non enim opus habemus discere, quod malum sit fornicatio, et bonum continentia, sed ab initio hoc scimus. Et ut discas nos ab initio hoc scire, legislator leges postea ferens, et dicens (*Exod.* 20. 13), *Non occides*: non intulit, Malum enim cædes: sed simpliciter, *Non occides*, inquit: prohibuit enim peccatum dumtaxat, non docuit. Quare igitur qui dixit, *Non occides*, non addidit, Quia malum cædes? Quoniam prius conscientia nos hoc docuit, et tamquam scientibus et intelligentibus ita loquitur. Cum igitur de alio loquitur mandato non noto nobis per conscientiam, non tantum prohibet, sed et causam apponit. De sabbato enim legem ferens, et dicens (*Exod.* 20. 10), *Septima die non facies opus*: subjunxit causam quoque cessationis: qualem illam? *Quia in die septima requievit Deus ab omnibus operibus suis quæ cœperat facere*; et rursum (*Deut.* 24. 18): *Quoniam servus fuisti in terra Ægypti*. Quare igitur, dic mihi, in sabbato quidem causam adjecit, in cæde vero nihil tale fecit? Quoniam hoc quidem mandatum non de primariis erat, nec per conscientiam nobis plane declaratis, sed particulare quoddam et temporaneum: propterea post hæc solutum est: necessaria vero, et vitam nostram continentia, illa sunt: *Non occides*, *non fureberis*, *non mœchaberis*: et ideo nullatenus hic causam ponit, nec doctrinam adducit, sed sola opus esse putat prohibitione.

4. Nec inde tantum, sed et aliunde vobis demonstrare conabor, quomodo a natura institutus fuerit homo ad virtutis cognitionem. Primum Adam admisit peccatum, et post peccatum statim se occultavit: si aliquid mali se perpetrasse non novisset, qua de causa se occultasset? Neque enim erant literæ, non lex, non Moses: unde igitur novit peccatum, ut se absconderet? Nec tantum se celat, sed et accusatus in alium conatur transferre causam, dicens (*Gen.* 3. 12), *Mulier quam dedisti mihi, ipsa dedit mihi de ligno, et comedi.* Et illa rursus in alium crimen transfert, serpentem scilicet. Ac vide sapientiam Dei: cum enim Adam dixisset (*ib.* v. 10), *Vocem tuam audivi, et timui, eo quod nudus essem, et abscondi me*: Deus non statim factum redarguit, neque dixit: Quare enim de ligno comedisti? sed quomodo? *Quis enim*

φησὶν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες »; Οὔτε ἐσίγησεν, οὔτε φανερῶς αὐτὸν ἤλεγξεν· οὐκ ἐσίγησε μὲν, ἵνα αὐτὸν ἐκκαλέσηται πρὸς ὁμολογίαν τῆς ἁμαρτίας· οὐκ ἤλεγξε δὲ φανερῶς, ἵνα μὴ αὐτοῦ τὸ πᾶν γένηται, κἀκεῖνος ἔρημος εἴη τῆς ἀπὸ τῆς ἐξομολογήσεως γινομένης συγγνώμης ἡμῖν. Διὰ τοῦτο οὐκ εἶπε φανερῶς τὴν αἰτίαν ἀφ' ἧς ἡ γύμνωσις γέγονεν, ἀλλ' ἐν ἐρωτήσεως τάξει προσάγει τὸν λόγον, ἐκείνῳ καταλιμπάνων εἰς ἐξομολόγησιν ἐλθεῖν. Πάλιν ἐπὶ τοῦ Κάϊν καὶ τοῦ Ἄβελ τὸ αὐτὸ τοῦτό ἐστιν ἰδεῖν. Πρῶτον μὲν γὰρ ἀπήρξαντο τῷ Θεῷ τῶν οἰκείων πόνων· μὴ γὰρ δὴ ἀπὸ τῆς ἁμαρτίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀρετῆς δείξωμεν, ὅτι ἀμφοτέρων ἦν ἐπιστήμονικὸς ὁ ἄνθρωπος. Ὅτι μὲν οὖν ἤδει κακὸν ὂν τὴν ἁμαρτίαν ὁ ἄνθρωπος, ἔδειξεν ὁ Ἀδάμ· ὅτι δὲ καὶ τὴν ἀρετὴν ἠπίστατο καλὸν ὄν, ἐδήλωσε πάλιν ὁ Ἄβελ. Οὐ γὰρ παρά τινος μαθὼν, οὐδὲ νόμου περὶ ἀπαρχῶν διαλεγομένου ταῦτα ἀκούσας, ἀλλ' οἰκοθεν καὶ παρὰ τοῦ συνειδότος διδαχθεὶς τὴν θυσίαν ἐκείνην ἀνήνεγκε. Διὰ τοῦτο οὐ καταφέρω κάτω τὸν λόγον, ἀλλ' ἐπὶ τῶν πρωτέρων ἀνθρώπων αὐτὸν γυμνάζω, ὅτε οὔπω γράμματα, ὅτε οὔπω νόμος, οὔπω προφῆται καὶ δικασταὶ, ἀλλὰ μόνος ὁ Ἀδὰμ μετὰ τῶν παίδων ἦν, ἵνα μάθῃς ὅτι ἐν τῇ φύσει προαπέκειτο τῶν καλῶν καὶ τῶν οὐ τοιούτων ἡ γνῶσις. Πόθεν γὰρ ἔμαθεν ὅτι καλὸν τὸ προσφέρειν [ὁ Ἄβελ], ὅτι καλὸν τὸ τιμᾷν τὸν Θεὸν καὶ εὐχαριστεῖν ἐν ἅπασι; Τί οὖν ὁ Κάϊν, φησὶν, οὐ προσήνεγκε; Προσήνεγκε μὲν καὶ οὗτος, ἀλλ' οὐχ ὁμοίως. Κἀντεῦθεν δὲ πάλιν ἡ τοῦ συνειδότος φαίνεται γνῶσις· ἐπειδὴ γὰρ τῷ τιμηθέντι βασκήνας περὶ σφαγῆς ἐβουλεύετο, κρύπτει τὴν δολερὰν γνώμην. Καὶ τί φησι; « Δεῦρο ἐξέλθωμεν εἰς τὸ πεδίον ». Ἕτερον τὸ σχῆμα, φιλοφροσύνης γὰρ ἡ ὑπόκρισις· καὶ τὸ φρόνημα ἕτερον, ἀδελφοκτονίας ἡ γνώμη. Καίτοι εἰ μὴ κακὸν [ὂν] ἤδει τὸ βούλημα, τίνος ἕνεκεν αὐτὸ συνεσκίαζε; Καὶ μετὰ τὸ γενέσθαι τὸν φόνον, πάλιν ἐρωτώμενος ὑπὸ τοῦ Θεοῦ, « Ποῦ Ἄβελ ὁ ἀδελφός σου »; φησὶν, « Οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ »; Τίνος γὰρ ἕνεκεν ἀρνεῖται; οὐκ εὔδηλον ὅτι καταγινώσκων σφόδρα ἑαυτοῦ; Ὥσπερ γὰρ ὁ πατὴρ αὐτοῦ ἐκρύβη, οὕτω καὶ οὗτος ἀρνεῖται· καὶ μετὰ τὸν ἔλεγχον πάλιν φησὶ, « Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. »

Ἀλλ' ὁ Ἕλλην οὐκ ἀνέχεται τούτων. Φέρε οὖν καὶ πρὸς ἐκεῖνον διαλεχθῶμεν, καὶ ὅπερ ἐπὶ τῆς κτίσεως ἐποιήσαμεν, οὐκ ἀπὸ τῶν Γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν τοὺς πρὸς ἐκείνους κινήσαντες ἀγῶνας, τοῦτο καὶ ἐπὶ τοῦ συνειδότος ποιοῦντες νῦν· καὶ γὰρ καὶ τοῦτο τὸ κεφάλαιον ὁ Παῦλος ἐκίνησε πρὸς ἐκείνους ἀγωνιζόμενος. Τί ποτ' οὖν ἐστιν ὃ λέγουσιν; Οὐκ ἔστιν ἡμῖν αὐτοδίδακτος νόμος ἐν τῷ συνειδότι, φησὶ, κείμενος, οὐδὲ τῇ φύσει τοῦτο ἐγκατέθηκεν ὁ Θεός. Πόθεν οὖν, εἰπέ μοι, πόθεν περὶ γάμων, περὶ φόνων,

indicavit tibi quod nudus esses, nisi quod ex ligno, de quo præceperam tibi ne comederes, comedisti? Neque tacuit, nec aperte ipsum redarguit : non enim tacuit, ut ipsum ad peccati confessionem evocaret; nec vero manifeste redarguit, ne totum Dei esset, et ille privatus remaneret venia, quæ nobis ex confessione nascitur. Propterea non dixit manifeste causam, unde nuditatio illa esset, sed sub interrogationis forma sermonem profert, ut illi aditum ad confessionem relinqueret. Rursum in Cain et Abel idem videre licet. Primum quidem primitias Deo offerebant laborum suorum. Non enim a peccato tantum, sed etiam a virtute demonstremus, hominem utriusque scientia præditum fuisse. Quod igitur homo peccatum esse malum jam sciret, demonstravit Adam; quod autem virtutem esse bonum sciret itidem, rursum Abel manifestavit. Non enim ab ullo doctus, neque lege de primitiis hæc disserente audita, sed a sua conscientia doctus, sacrificium illud obtulit. Propterea non descendo ad posteros, sed circa priores homines versor, quando nondum literæ, quando nondum lex, nondum prophetæ et judices, sed solus Adam cum filiis erat, ut discas in natura bonorum et contrariorum scientiam prius fuisse repositam. Unde enim didicit Abel quod bonum esset offerre, quod bonum Deum venerari et in omnibus gratias agere? Quid igitur, inquit, an Cain non obtulit? Obtulit quidem et ipse, sed non similiter. Et hinc vero rursum conscientiæ cognitio apparet : quoniam enim ei qui honoratus fuerat, invidens, de cæde deliberabat, dolosam celabat sententiam : et quid inquit? (*Gen.* 4. 8) *Age egrediamur in campum.* Alia figura, caritatis enim simulatio : sententia alia, fratricidii enim deliberatio. Et nisi malum consilium putabat, quare ipsum occultabat? et post commissam necem rursum a Deo interrogatus (v. 9), *Ubi est Abel frater tuus?* inquit, *Nescio : numquid custos fratris mei sum ego?* Quare enim negat? nonne patet quod condemnaret se ipsum vehementer? Sicut enim ipsius pater se absconderat, ita et hic negat : et post interrogationem iterum inquit (v. 13), *Major est causa mea, quam ut dimittatur mihi.*

Sed gentilis hæc non fert. Age igitur et ad illum loquamur, et quod in creatione fecimus, non Scripturis tantum, sed etiam rationibus certamina contra illos moventes, hoc et circa conscientiam nunc faciamus. Etenim et Paulus hoc movit argumentum adversus illos pugnans. Quid tandem est quod dicunt? Non est nobis per se lex in conscientia posita, nec eam naturæ Deus inseruit. Unde igitur, unde, dic mihi, de nuptiis, de cædi-

περὶ διαθηκῶν, περὶ παραχαταθηκῶν, περὶ τοῦ μὴ πλεονεκτεῖν ἀλλήλους, περὶ μυρίων ἑτέρων νόμους ἔγραψαν οἱ παρ' αὐτοῖς νομοθέται; Οὗτοι μὲν γὰρ οἱ νῦν ἴσως παρὰ τῶν πρώτων ἔμαθον, καὶ ἐκεῖνοι παρὰ τῶν προτέρων, καὶ παρὰ τῶν ἄνω πάλιν οὗτοι· οἱ δὲ ἐξ ἀρχῆς καὶ πρῶτοι παρ' αὐτοῖς νόμους θέντες, παρὰ τίνος ἔμαθον; οὐκ εὔδηλον ὅτι παρὰ τοῦ συνειδότος; οὐ γὰρ ἂν ἔχοιεν εἰπεῖν ὅτι Μωϋσεῖ συνεγένοντο, ὅτι προφητῶν ἤκουσαν· πῶς γὰρ Ἕλληνες ὄντες; Ἀλλ' εὔδηλον ὅτι ἀπὸ τοῦ νόμου ὃν ἔθηκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ ἐξ ἀρχῆς αὐτὸν πλάττων, ἀπὸ τούτου καὶ νόμους ἔθηκαν, καὶ τέχνας εὗραντο, καὶ τὰ ἄλλα πάντα. Καὶ γὰρ καὶ αἱ τέχναι οὕτω συνέστησαν, τῶν ἐξ ἀρχῆς αὐτοδιδάκτως ἐπ' αὐτὰς ἐλθόντων· οὕτω καὶ διαστήρια γέγονεν, οὕτω καὶ κολάσεις ὡρίσθησαν, ὅπερ οὖν καὶ Παῦλος φησίν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν Ἑλλήνων ἀντιλέγειν ἔμελλον, καὶ λέγειν ὅτι Πῶς κρινεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους τοὺς πρὸ Μωϋσέως; οὐ νομοθέτην ἔπεμψεν, οὐ νόμον εἰσήνεγκεν, οὐ προφήτην ἀπέστειλεν, οὐκ ἀπόστολον, οὐκ εὐαγγελιστήν· πῶς οὖν αὐτοὺς εὐθύνας ἀπαιτεῖ; βουλόμενος ὁ Παῦλος δεῖξαι, ὅτι τὸν αὐτοδίδακτον εἶχον νόμον, καὶ τὰ πρακτέα σαφῶς ἤδεσαν, ἄκουσον πῶς φησιν· « Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν. » Πῶς χωρὶς γραμμάτων; « Συμμαρτυρούσης αὐτοῖς τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. » καὶ πάλιν· « Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. » Τί ἐστιν, Ἀνόμως ἀπολοῦνται; Οὐχὶ τοῦ νόμου κατηγοροῦντος, ἀλλὰ τῶν λογισμῶν καὶ τοῦ συνειδότος. Εἰ δὲ μὴ εἶχον νόμον τὸν τοῦ συνειδότος, οὐδὲ ἀπολέσθαι αὐτοὺς ἁμαρτάνοντας ἔδει· πῶς γὰρ, εἰ ἀνόμως ἥμαρτον; Ἀλλ' ἀνόμως ὅταν εἴπῃ, οὐ τοῦτο λέγει, ὅτι οὐκ εἶχον νόμον, ἀλλ' ὅτι οὐκ εἶχον νόμον γραπτὸν, τὸν δὲ τῆς φύσεως νόμον εἶχον. Καὶ πάλιν· « Δόξα δὲ, καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. » Ταῦτα δὲ ἔλεγε περὶ τῶν ἄνω χρόνων διαλεγόμενος τῶν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, καὶ Ἕλληνα ἐνταῦθα καλῶν οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν προσκυνοῦντα μὲν τὸν Θεὸν μόνον, οὐκ ἐνδεδεμένον δὲ τῇ τῶν Ἰουδαϊκῶν παρατηρήσεων ἀνάγκῃ, σαββατισμοῖς λέγω καὶ περιτομῇ καὶ καθαρισμοῖς διαφόροις, ἀλλὰ φιλοσοφίαν ἅπασαν καὶ εὐσέβειαν ἐπιδεικνύμενον. Καὶ πάλιν περὶ τοῦ αὐτοῦ διαλεγόμενός φησι, « Θυμὸς καὶ ὀργὴ, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος. » Πάλιν ἐνταῦθα Ἕλληνα καλεῖ τὸν ἀπηλλαγμένον τῆς

bus, de testamentis, de depositis, de proximis non opprimendis, de infinitis aliis leges apud eos scripserunt legislatores? Hi quippe præsentes forte a majoribus nata didicerunt, et illi a prioribus, et rursum a superioribus isti : qui vero ab initio et primi apud eos leges tulerunt, a quo didicerunt? annon utique a conscientia? neque enim dicere possent, quod cum Mose fuerint, quod prophetas audierint : quomodo enim qui gentiles erant? Sed patet eos a lege, quam hominem fingens Deus ab initio ipsi posuit, ab hac et leges posuisse suas, et artes invenisse, aliaque omnia : etenim et artes sic constitutæ sunt, cum prisci illi suopte ingenio ad illas accesserc. Sic et judicia instituta, sic et pœnæ definitæ sunt : quod nempe et Paulus dicit. Quia enim ei gentilium multi contradicturi erant, et dicturi, Quomodo Deus homines qui fuerunt ante Mosem judicabit? non misit legislatorem, non legem tulit, non prophetam legavit, non apostolum, non evangelistam : quomodo ab ipsis pœnas exiget? volens Paulus demonstrare quod a natura docti legem haberent, et agenda manifeste scirent, audi quid dicat (*Rom.* 2. 14.—16) : *Cum enim gentes, quæ legem non habent, naturaliter ea quæ legis sunt, faciunt : ejusmodi legem non habentes, ipsi sibi sunt lex, qui ostendunt opus legis scriptum in cordibus suis.* Quomodo sine literis? *Testimonium reddente illis conscientia ipsorum, et inter se invicem cogitationibus accusantibus, aut etiam defendentibus, in die qua judicabit Deus occulta hominum, secundum evangelium meum per Jesum Christum* : et iterum (v. 12) : *Quicumque enim sine lege peccaverunt, sine lege peribunt : et quicumque in lege peccaverunt, per legem judicabuntur.* Quid est, *Sine lege peribunt?* Non lege accusante, sed conscientia et cogitationibus. Si vero legem non habuissent conscientiæ, nec ipsos perire peccantes oportebat : quomodo enim, si sine lege peccaverunt? Sed cum *sine lege* dicit, non dicit non habuisse legem, sed non habuisse legem scriptam, naturæ vero legem habuisse. Et rursum (*ib.* v. 10) : *Gloria autem et honor, et pax omni operanti bonum, Judæo primum, et Græco.* 5. Hæc autem dicebat de superioribus loquens temporibus, quæ ante Christi adventum fuerunt; et Græcum hic vocat non idololatram, sed Deum quidem solum adorantem, Judaicarum vero observationum necessitati non deditum, sabbatismis dico, et circumcisioni, et variis purificationibus; sed sapientiam omnem et pietatem exhibentem. Et rursum de eodem disserens ait (*ib.* v. 9), *Ira et indignatio, tribulatio et angustia super omnem animam hominis operantis malum, Judæi primum et Græci.* Rursum hic Græcum vocat hominem ab observatione Judaica libera-

παρατηρήσεως τῆς Ἰουδαϊκῆς. Εἰ τοίνυν μήτε νόμου ἤκουσε, μήτε μετὰ Ἰουδαίων ἀνεστράφη, πῶς ἔσται αὐτῷ θυμὸς καὶ ὀργὴ καὶ θλῖψις ἐργαζομένῳ τὸ κακόν; Ἐπειδὴ συνειδὸς ἔνδον εἶχεν ἐνηχοῦν αὐτῷ καὶ διδάσκον καὶ παιδεῦον ἅπαντα. Πόθεν δῆλον τοῦτο; Ἀφ' ὧν ἑτέρους ἁμαρτάνοντας ἐκόλασεν, ἀφ' ὧν νόμους ἔθηκεν, ἀφ' ὧν τὰ δικαστήρια ἐκάθισε. Τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγε περὶ τῶν ἐν κακίᾳ ζώντων, « Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. » Καὶ πόθεν ἤδεισαν, φησίν, ὅτι θέλημα Θεοῦ ἐστι τοὺς ἐν πονηρίᾳ ζῶντας κολάζεσθαι; πόθεν; Ἐξ ὧν ἑτέρους ἐδίκαζον ἁμαρτάνοντας. Εἰ γὰρ μὴ νομίζεις κακὸν εἶναι τὸν φόνον, ἐπειδὰν λάβῃς ἀνδροφόνον ὑπὸ τῇ σῇ ψήφῳ, μὴ κολάσῃς· εἰ μὴ νομίζεις κακὸν εἶναι τὸ μοιχεύειν, ἐπειδὰν ἐμπέσῃ μοιχός, ἄφες αὐτὸν τῆς τιμωρίας. Εἰ δὲ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι καὶ νόμους γράφεις καὶ τιμωρίας ὁρίζεις καὶ ἀκριβὴς εἶ δικαστής, ποίαν ἂν σχοίης ἀπολογίαν ἐν οἷς αὐτὸς ἁμαρτάνεις, λέγων ἀγνοεῖν τὰ πραχτέα; Ἐμοίχευσας καὶ σὺ κἀκεῖνος. Τίνος οὖν ἕνεκεν ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ συγγνώμης ἀξιοῖς; Εἰ γὰρ μὴ ἤδεις κακὸν ὂν τὴν μοιχείαν, οὐδὲ ἕτερον τιμωρεῖσθαι ἔδει· εἰ δὲ ἕτερον μὲν κολάζεις, σὺ δὲ νομίζεις διαφεύγειν τὴν κόλασιν, πῶς ἂν ἔχοι λόγον τῶν αὐτῶν ἁμαρτημάτων μὴ τὰς αὐτὰς διδόναι δίκας; Τοῦτο γοῦν αὐτὸ ἐγκαλῶν ὁ Παῦλος ἔλεγε, « Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ »; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀπὸ γὰρ τῆς ψήφου, φησὶν, ἧς ἤνεγκας καθ' ἑτέρου, ἀπὸ ταύτης σε κρινεῖ ὁ Θεὸς τότε· οὐ γὰρ δήπου σὺ μὲν δίκαιος, ὁ δὲ Θεὸς ἄδικος. Εἰ γὰρ σὺ οὐ περιορᾷς ἕτερον ἀδικούμενον, πῶς ὁ Θεὸς περιόψεται; εἰ σὺ διορθοῖς τὰ ἑτέρων ἁμαρτήματα, πῶς ὁ Θεὸς οὐ διορθώσεταί σε; Εἰ δὲ οὐ παρὰ πόδας ἐπάγει σοι τὴν τιμωρίαν, μὴ θάρρει διὰ τοῦτο, ἀλλὰ φοβοῦ μειζόνως. Οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων, « Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει »; Διὰ γὰρ τοῦτο ἀνέχεται, φησὶν, οὐχ ἵνα χείρων γένῃ, ἀλλ' ἵνα μετανοήσῃς· εἰ δὲ μὴ βούλει, κολάσεως ἐφόδιον μείζονος ἡ μακροθυμία σοι γίνεται ἀμετανοήτῳ μένοντι. Καὶ τοῦτο γοῦν αὐτὸ δηλῶν ἔλεγε, « Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ». Ἐπεὶ οὖν ἑκάστῳ κατὰ τὰ ἔργα ἀποδίδωσι, καὶ νόμον διὰ τοῦτο καὶ φυσικὸν ἡμῖν ἐνέθηκε, καὶ γραπτὸν ὕστερον ἔδωκεν, ἵνα εὐθύνας ἀπαιτήσῃ τῶν ἁμαρτημάτων, καὶ ἵνα κατορθοῦντας στεφανώσῃ· μετὰ πολλῆς τῆς σπουδῆς, καὶ ὥσπερ εἰς δικαστήριον ἁπαντήσεσθαι μέλ-

tum. Si itaque neque legem audivit, neque cum Judæis conversatus est, quomodo erit ipsi ira et indignatio et tribulatio malum operanti? Quoniam intus conscientiam habebat increpantem et docentem et erudientem in omnibus. Unde hoc manifestum? Ex iis in quibus alios castigavit peccantes, leges tulit, judicia constituit. Hoc igitur declarans Paulus, de viventibus in vitio dicebat (*Rom.* 1. 32), *Qui cum justitiam Dei cognovissent, quoniam qui talia agunt, digni sunt morte, non solum qui ea faciunt, sed etiam qui consentiunt facientibus.* Et unde scierunt, inquit, voluntatem Dei esse, ut qui in improbitate vivunt puniantur? unde? Ex iis in quibus alios judicabant peccantes. Si enim malum esse non putas cædem, cum homicidam ceperis et sententia tua conviceris, ne punias: nisi malum esse putas adulterare, cum inciderit adulter, libera ipsum a pœna. Si vero super aliorum peccatis leges scribis et pœnas definis, et severus es judex: quam habere possis excusationem, in quibus ipse peccas, dicens te agenda ignorare? Mœchati estis et tu et ille. Quare igitur illum punis, te vero venia dignum censes? Si enim malum nesciebas esse adulterium, neutrum puniri oportebat; si vero alterum quidem punias, te vero pœnam effugere existimes, quomodo rationi consentaneum videri poterit eorumdem criminum reos non easdem pendere pœnas? Hoc igitur ipsum accusans Paulus dicebat (*Rom.* 2. 3), *Existimas autem hoc, o homo, qui judicas eos qui talia agunt, et facis ea, quia tu effugies judicium Dei?* Non est ita, non est; ex judicio enim quod in alium protulisti, ex hoc te Deus tunc judicabit: non enim profecto tu quidem justus, Deus autem injustus. Si tu enim non despicis alium injuria affectum, quomodo Deus despiciet? si tu corrigis aliorum peccata, quomodo te Deus non corriget? Si vero tibi non statim pœnam infert, ne ob hoc confidas, sed time magis. Sic et Paulus jussit dicens (*ib.* v. 4), *An divitias bonitatis ejus et patientiæ et longanimitatis contemnis, ignorans quoniam benignitas Dei ad pœnitentiam te adducit?* Propterea enim tolerat, non ut pejor fias, sed ut pœnitentiam agas; si vero non vis, majoris materia ultionis tibi est Dei longanimitas sine pœnitentia permanenti. Et hoc quippe declarans dicebat (*ib.* v. 5. 6), *Secundum autem duritiam tuam et impœnitens cor, thesaurizas tibi iram in die iræ et revelationis justi judicii Dei, qui reddet unicuique secundum opera ejus.* Quoniam igitur cuique secundum opera reddit, et legem propterea nobis et naturalem indidit et scriptam postmodum dedit, ut pœnas exigat peccatorum, et recte agentes coronet: multo studio et tamquam ad tremendum conventuri judi-

λοντες φοβερὸν, τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, εἰδότες ὡς οὐδεμιᾶς ἀπολαύσομεν συγγνώμης, εἰ μετὰ φυσικὸν καὶ γραπτὸν νόμον, καὶ διδασκαλίαν τοσαύτην καὶ συνεχῆ παραίνεσιν, τῆς ἡμετέρας ἀμελήσαιμεν σωτηρίας.

Βούλομαι οὖν πάλιν περὶ τῶν ὅρκων ὑμῖν διαλεχθῆναι, αἰσχύνομαι δέ. Ἐμοὶ μὲν γὰρ οὐκ ἔστιν ἐπαχθὲς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ τὰ αὐτὰ πρὸς ὑμᾶς λέγειν, δέδοικα δὲ μὴ τὰς πολλὰς ταύτας ἡμέρας ὑμῖν παρακολουθήσας, πολλὴν ὑμῶν καταγνῶ βραθυμίαν, περὶ πράγματος οὕτως εὐκόλου διηνεκοῦς δεομένων ὑπομνήσεως. Οὐκ αἰσχύνομαι δὲ μόνον, ἀλλὰ καὶ δέδοικα περὶ ὑμῶν· ἡ γὰρ συνεχὴς διδασκαλία τοῖς μὲν προσέχουσι σωτήριον καὶ χρήσιμον, τοῖς δὲ βραθυμοῦσι βλαβερὸν καὶ ἐπικίνδυνον. Καὶ γὰρ ὅσῳπερ ἄν τις πλεονάκις ἀκούσῃ, τοσούτῳ μᾶλλον ἐπισπᾶται τὴν κόλασιν μὴ ποιῶν τὰ λεγόμενα. Τοῦτο γοῦν καὶ Ἰουδαίοις ὀνειδίζων ἔλεγεν ὁ Θεός· « Ἀπέστειλα τοὺς προφήτας μου ὀρθρίζων καὶ ἀποστέλλων, καὶ οὐδὲ οὕτως εἰσηκούσατε. » Ἡμεῖς μὲν οὖν ἀπὸ πολλῆς κηδεμονίας τοῦτο ποιοῦμεν, δεδοίκαμεν δὲ μὴ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἀντικαταστῇ πᾶσιν ὑμῖν ἡ παραίνεσις αὕτη καὶ ἡ συμβουλή. Ὅταν γὰρ καὶ τὸ κατόρθωμα εὔκολον ᾖ καὶ ὁ συνεχῶς ὑπομιμνήσκων μὴ διαλιμπάνῃ, ποίαν ἕξομεν ἀπολογίαν εἰπεῖν; ἢ τίς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως λόγος; Εἰπέ γάρ μοι, ἂν ἀργύριόν σοι χρεωστούμενον τύχῃ, οὐχ ἁεὶ συντυγχάνων τῷ ὀφείλοντι ἀναμιμνήσκεις αὐτὸν τοῦ δανείσματος; Τοῦτο καὶ σὺ ποίησον, καὶ ἕκαστος νομιζέτω τὸν πλησίον ἀργύριον ὀφείλειν αὐτῷ, τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς ταύτης, καὶ ἁπάντων ὑπὲρ τῆς ἐκτίσεως αὐτὸν ἀναμιμνησκέτω, εἰδὼς ὡς οὐ μικρὸς ἡμῖν ἀπόκειται κίνδυνος τῶν ἀδελφῶν οὐκ ἐπιμελουμένοις. Διὰ τοῦτο καὶ ἐγὼ τὰ αὐτὰ λέγων οὐ παύομαι· δέδοικα γὰρ μήποτε κατ' ἐκείνην ἀκούσω τὴν ἡμέραν, « Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας ». Ἰδοὺ γοῦν κατέβαλον οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πολλάκις· ὑμῶν ἐστι λοιπὸν τὸν τόκον ἐπιδείξασθαι· τόκος δὲ ἀκροάσεως ἡ διὰ τῶν ἔργων ἐπίδειξις· καὶ γὰρ δεσποτικὰ τὰ καταβαλλόμενα. Μὴ τοίνυν παέργως ὑποδεξώμεθα, ἀλλὰ μετ' ἀκριβείας κατέχωμεν τὴν παρακαταθήκην, ἵνα μετὰ πολλῆς τῆς ἐργασίας αὐτὴν ἀποδῶμεν κατὰ τὴν ἡμέραν ἐκείνην. Ἂν γὰρ μὴ καὶ ἕτερους εἰς τὸ αὐτὸ ἐναγάγῃς κατόρθωμα, ἀκούσῃ τῆς φωνῆς ἐκείνης ἧς ἤκουσεν ὁ τὸ τάλαντον κατορύξας. Ἀλλὰ μὴ γένοιτο ταύτης, ἀλλὰ τῆς ἄλλης ὑμᾶς ἀκοῦσαι φωνῆς, ἣν πρὸς τὸν ἐργασάμενον ἀφῆκε λέγων ὁ Χριστός· « Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. » Ταύτης δὲ ἀκουσόμεθα τῆς φωνῆς, ἂν τὴν αὐτὴν ἐκείνῳ σπουδὴν ἐπιδειξώμεθα· τὴν αὐτὴν δὲ ἐπιδειξόμεθα σπουδὴν, ἐὰν τοῦτο ὃ λέγω ποιήσωμεν. Ἔτι θερμῆς οὔσης τῆς ἀκροάσεως ἐν ὑμῖν, ἐξελθόντες παρακελεύσασθε ἀλλήλοις φοβερὸν, τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, εἰδότες ὡς οὐδεμιᾶς ἀπολαύσομεν συγγνώμης, εἰ μετὰ φυσικὸν καὶ γραπτὸν νόμον, καὶ διδασκαλίαν τοσαύτην καὶ συνεχῆ παραίνεσιν, τῆς ἡμετέρας ἀμελήσαιμεν σωτηρίας.

cium, actiones nostras dispensemus, scientes quod nullam assequemur veniam, si post naturalem et scriptam legem et doctrinam tantam et admonitionem assiduam salutem nostram negligamus.

6. Volo itaque rursum de juramentis vobis loqui, erubesco autem. Mihi quidem grave non est die noctuque eadem vobis dicere; sed timeo ne postquam vos his multis diebus admonuero, multum torporem vestrum damnabilem ostendam, qui in negotio tam facili continua egestis admonitione. Nec tantum erubesco, sed et timeo vobis. Assidua namque doctrina advertentibus salutaris quidem et utilis, torpentibus vero damnosa et periculosa. Etenim quanto quis saepius audierit, tanto majorem ultionem attrahet, non faciens quae dicuntur. Hoc igitur et Judaeis improperans dicebat Deus (*Jerem.* 19 9): *Misi prophetas meos, exsurgens diluculo et emittens, neque sic exaudistis.* Nos nempe ex multa sollicitudine hoc facimus, sed timemus ne die illa tremenda obsit vobis omnibus haec admonitio et hoc consilium. Cum enim et bonum opus sit facile, et qui assidue commonefacial non desit, quid poterimus in excusationem dicere? vel quae nos ratio ab ultione eripiet? Dic nempe mihi, si argentum abs te mutuum dari contingat, annon semper debitori occurrens ipsum mutui commonefacis? Hoc et nunc fac, et quisque putet argentum sibi proximum deferre, hujus scilicet mandati expletionem, et occurrens solutionis ipsum commoneat, sciens non parvum nobis repositum esse periculum, fratrum curam non agentibus. Propterea et ego eadem dicere non desisto: timeo enim, ne illa die audiam (*Matth.* 25. 26. 27), *Improbe serve et segne, oportebat te erogare argentum meum numulariis.* Ecce erogavi, non semel, neque bis, sed saepius; vestrum vero reliquum est fenus reddere: usura vero est auditae monitionis per opera exhibitio: etenim dominica sunt quae erogantur. Ne igitur negligenter suscipiamus, sed cum diligentia depositum contineamus, ut cum multa negotiatione ipsum illo die reddamus. Nisi enim et alios in idem officium induxeris, audies vocem illam, quam audivit qui talentum defodit. At vobis ne eveniat hanc audire, sed aliam illam vocem, quam ei qui negotiatus erat reddidit Christus, dicens (*Matth.* 25. 21), *Euge, serve bone et fidelis, quoniam super pauca fuisti fidelis, supra multa te constituam.* Hanc autem audiemus vocem, si idem quod ille studium exhibuerimus; idem vero studium praestabimus, si hoc quod dico fecerimus. Cum adhuc calidus est auditus in vobis, egressi exhortamini inter vos;

λοις, καὶ ὥσπερ ἕκαστος μετὰ προσηγορίας διαλύεσθε, οὕτω μετὰ παραγγελίας ἕκαστος οἰκαδε ἀναχωρείτω, καὶ τῷ πλησίον λεγέτω, Σκόπει καὶ μέμνησο ὅπως φυλάξῃς τὴν ἐντολήν, καὶ πάντως περιεσόμεθα. Ὅταν γὰρ καὶ φίλοι παραπέμπωσι μετὰ τοιαύτης συμβουλῆς, καὶ οἶκοι γενόμενον ἡ γυνὴ πάλιν τὰ αὐτὰ ἀναμιμνήσκῃ, καὶ μόνους ὄντας ὁ λόγος ὁ ἡμέτερος κατέχῃ, ταχέως ἀποκρουσόμεθα τὴν πονηρὰν ταύτην συνήθειαν. Οἶδα μὲν ὅτι θαυμάζετε τίνος ἕνεκεν τοσαύτην ὑπὲρ τῆς ἐντολῆς ταύτης ποιοῦμαι σπουδήν· κατορθώσατε δὲ τὸ ἐπιταχθὲν, καὶ τότε ἐρῶ. Τέως μὲν γὰρ ἐκεῖνο λέγω, ὅτι νόμος ἐστὶ θεῖος τὸ ἐπίταγμα τοῦτο, καὶ παραβῆναι αὐτὸ οὐκ ἀσφαλές· ἐὰν δὲ ἴδω κατορθωθὲν, καὶ ἑτέραν ὑμῖν αἰτίαν ἐρῶ οὐκ ἐλάττονα ταύτης, ἵνα μάθητε ὅτι δικαίως τοσαύτην ὑπὲρ τοῦ νόμου τούτου πεποίημαι σπουδήν· ὥρα δὲ λοιπὸν εἰς εὐχὴν καταλῦσαι τὸν λόγον. Κοινῇ τοίνυν πάντες εἴπωμεν· ὁ Θεὸς ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν, καὶ τοῦτον καὶ τοὺς λοιποὺς νόμους ἅπαντας καταξίωσον ἡμᾶς ἐξανύσαντας, οὕτω παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ σου, ἵνα παῤῥησίας ἀπολαύσαντες πολλῆς, τῆς βασιλείας ἐπιτύχωμεν εἰς δόξαν σὴν, ὅτι σοι πρέπει δόξα, τιμὴ καὶ κράτος, ἅμα τῷ μονογενεῖ σου Παιδὶ καὶ τῷ ἁγίῳ Πνεύματι κτλ.

et sicut disjungimini quisque cum salutatione, sic cum admonitione quisque domum recedat, et dicat proximo : Considera et recordare quomodo mandatum custodias : et omnino superabimus. Cum enim et amici te dimiserint cum tali consilio, et domum profectum rursum eadem uxor admoneat, et, cum soli estis, oratio nostra vos contineat, celeriter hanc consuetudinem improbam expellemus. Novi quidem vos admirari quare tantum de hoc mandato studium faciam; verum adimplete mandatum, et tunc dicam. Interim quidem illud dico, legem esse divinam hoc mandatum, et ipsum transgredi non esse tutum; si autem impletum videro, et aliam vobis causam commemorabo hac non minorem, ut discatis me jure pro hac lege studium exhibere. Restat vero jam per supplicationem sermonem absolvere. Unanimiter igitur omnes dicamus : Deus non tam cupiens mortem peccatoris quam ut convertatur et vivat, et hanc et alias leges omnes nos exsequutos dignare sic assistere tribunali Christi tui, ut fiduciam multam assequuti, in regnum perveniamus ad gloriam tuam : quoniam te decet gloria, honor et potentia, una cum unigenito Filio tuo et sancto Spiritu, etc.

ΟΜΙΛΙΑ ιγ'.

Εὐχαριστία ἔτι πρὸς τὸν Θεὸν περὶ τῆς μεταβολῆς τῶν σκυθρωπῶν· καὶ ἀνάμνησις τῶν διὰ τὴν στάσιν κατασυρέντων καὶ τιμωρηθέντων· ὁμοίως δὲ πάλιν ἔξήγησις περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας, καὶ ὅτι φυσικὸν νόμον ἐδέξατο διὰ τῆς γνώσεως τῶν πρακτέων καὶ τῶν οὐ πρακτέων· καὶ περὶ τοῦ τελείως κατορθῶσαι τὸ μὴ ὀμνύειν.

HOMILIA XIII.

Gratiarum actio adhuc ad Deum de mutatione tristium : et commemoratio eorum, qui propter seditionem abstracti, pœnas luerant. Similiter rursus expositio de hominis creatione, et quod legem acceperit naturalem ad cognitionem eorum quæ facere oportet aut non oportet; et de jurandi consuetudine radicitus tollenda.

Ἀπὸ τῆς αὐτῆς ἀρχῆς καὶ τῶν αὐτῶν προοιμίων ὧν χθὲς καὶ πρὸ ἐκείνης ἠρξάμην, καὶ σήμερον ἄρξομαι· ἐρῶ καὶ νῦν, Εὐλογητὸς ὁ Θεός. Οἵαν τὴν παρελθοῦσαν εἴδομεν τετράδα, καὶ οἵαν τὴν παροῦσαν ὁρῶμεν νῦν; πόσος ἐν ἐκείνῃ ζόφος ἦν τότε; πόση κατὰ τὴν παροῦσαν γαλήνη νῦν; Κατὰ τὴν ἡμέραν ταύτην τὸ φοβερὸν ἐκεῖνο γέγονεν ἐν τῇ πόλει δικαστήριον, καὶ τὰς καρδίας ἁπάντων διέσεισε, καὶ νυκτὸς οὐδὲν ἄμεινον διακεῖσθαι τὴν ἡμέραν ἐποίησε, οὐ τῆς ἀκτῖνος σβεσθείσης, ἀλλὰ τῆς ἀθυμίας καὶ τοῦ φόβου πηρώσαντων ὑμῶν τοὺς ὀφθαλμούς. Ἵν' οὖν καὶ ἡμεῖς πλείονα καρπωσώμεθα τὴν ἡδονὴν, μικρὰ τῶν τότε συμβάντων διηγήσασθαι βούλομαι. Καὶ γὰρ καὶ ἡμῖν καὶ τοῖς γενησομένοις ἅπασι χρησίμην ὁρῶ τὴν τούτων διήγησιν οὖσαν· ἐπεὶ καὶ τοῖς ἐκ ναυαγίου διασωθεῖσιν ἡδὺ τῶν κυμάτων μεμνῆσθαι καὶ τῆς ζάλης καὶ τῶν ἀνέμων, ἐπειδὰν εἰς λιμένα καταπλεύσωσι· καὶ τοῖς ἀῤῥωστίᾳ περιπεσοῦσι ποθεινὸν μετὰ τὴν ἀῤῥωστίαν τοὺς πυρετοὺς, δι' οὓς παρὰ μικρὸν ἦλθον ἀπο-

1. Ab eodem principio et iisdem proœmiis, quibus heri et nudius tertius cœpi, et hodie incipiam : dicam et nunc, Benedictus Deus. Qualem præteritam vidimus feriam quartam, et qualem nunc videmus præsentem! quanta in illa obscuritas tunc erat! quanta nunc in præsenti tranquillitas! Eodem die tremendum in civitate positum est tribunal illud et omnium corda concussit, et nocte fecit diem nihilo esse meliorem, non radiis exstinctis, sed tristitia et timore oculos offuscantibus vestros. Ut igitur et nos majorem capiamus voluptatem, pauca eorum quæ tunc acciderunt, commemorare volo. Et nobis enim et posteris omnibus utilem horum esse video narrationem : quoniam et ex naufragio servatis jucundum est fluctuum meminisse et tempestatis et ventorum, postquam in portum devenerint; et morbo detentis pergratum est post ægritudinem febres, per quas pæne ad mortem venerunt,

θανεῖν, διηγεῖσθαι πρὸς ἑτέρους. Ὅταν γὰρ παρέλθῃ τὰ δεινά, ἡδονὴν ἔχει τῶν δεινῶν ἡ διήγησις, τῆς ψυχῆς οὐκέτι δεδοικυίας, ἀλλὰ καὶ μείζονα καρπουμένης τὴν εὐφροσύνην. Ἡ γὰρ τῶν παρελθόντων ἀεὶ μνήμη κακῶν τὴν ἐνεστῶσαν εὐημερίαν ἀκριβέστερον ὁρᾶσθαι ποιεῖ. Ἐπειδὴ γὰρ τὸ μὲν πλέον τῆς πόλεως ἀπὸ τοῦ φόβου καὶ τῆς ἀπειλῆς ἐκείνης πρὸς τὰς ἐρήμους καὶ τὰς φάραγγας καὶ τοὺς λανθάνοντας μετῴκιστο τόπους, τοῦ φόβου πάντοθεν αὐτοὺς συνελαύνοντος, καὶ κεναὶ μὲν ἦσαν γυναικῶν αἱ οἰκίαι, κενὴ δὲ ἀνδρῶν ἡ ἀγορὰ, μόλις δὲ δύο καὶ τρεῖς βαδίζοντες ἐν τῷ μέσῳ μετ' ἀλλήλων ἐφαίνοντο, καὶ αὐτοὶ οὗτοι καθάπερ ἔμψυχοι νεκροὶ περιιόντες· ἀπήειμεν εἰς τὸ δικαστήριον τὸ τέλος ὀψόμενοι τῶν γινομένων, καὶ ἰδόντες ἐκεῖ τῆς πόλεως τὰ λείψανα συνειλεγμένα, μάλιστα πάντων ἐθαυμάσαμεν ἐκεῖνο, ὅτι πλήθους ὄντος περὶ τὰς θύρας, ὡς οὐδενὸς παρόντος, βαθυτάτη ἦν ἡ σιγὴ, πάντων εἰς ἀλλήλους βλεπόντων, καὶ μήτε ἐρέσθαι τὸν παρεστῶτα, μήτε ἀκοῦσαί τι παρ' ἐκείνου τολμῶντός τινος. Τὸν γὰρ πλησίον ὑπώπτευεν ἕκαστος, διὰ τὸ πολλοὺς ἤδη παρ' ἐλπίδα πᾶσαν ἐκ μέσης ἁνασπασθέντας τῆς ἀγορᾶς ἔνδον κατέχεσθαι· καὶ πάντες κοινῇ πρὸς τὸν οὐρανὸν ἐβλέπομεν, καὶ τὰς χεῖρας ἀνετείνομεν σιγῇ τὴν ἄνωθεν ἐκδεχόμενοι ῥοπὴν, καὶ τὸν Θεὸν παρακαλοῦντες παραστῆναί τε τοῖς δικαζομένοις καὶ μαλάξαι τὰς τῶν δικαζόντων καρδίας, καὶ ἥμερον ποιῆσαι γενέσθαι τὴν ψῆφον. Καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ τῆς γῆς βλέποντες, προσελθεῖν μὲν καὶ χεῖρα ὀρέξαι καὶ διορθῶσαι τὴν συμφορὰν οὐκ ἔχουσι, τοῖς κύμασι διειργόμενοι, ἔξωθεν δὲ ἀπὸ τῶν αἰγιαλῶν τὰς χεῖρας ἀνατείνοντες καὶ δακρύοντες, τὸν Θεὸν παρακαλοῦσι παραστῆναι τοῖς κλυδωνιζομένοις· οὕτω καὶ ἐνταῦθα πάντες σιγῇ καὶ κατὰ διάνοιαν ἐκάλουν τὸν Θεὸν, ἀξιοῦντες τοῖς ἐν τῷ δικαστηρίῳ, καθάπερ ἐν κύμασιν ἀπειλημμένοις, χεῖρα ὀρέξαι, καὶ μὴ συγχωρῆσαι καταποντισθῆναι τὸ σκάφος, μηδὲ εἰς ναυάγιον παντελὲς καταλῦσαι τῶν δικαζόντων τὴν κρίσιν. Καὶ ταῦτα μὲν ἦν πρὸ τῶν θυρῶν· ἐπειδὴ δὲ ἐνδοτέρω τῆς αὐλῆς εἰσέβημεν, πάλιν εἴδομεν ἕτερα φοβερώτερα τούτων, στρατιώτας καθωπλισμένους ξίφεσι καὶ ῥοπάλοις, καὶ πολλὴν τοῖς ἔνδοθεν δικάζουσι τὴν ἡσυχίαν παρέχοντας. Ἐπειδὴ γὰρ οἱ προσήκοντες ἅπαντες ἐκείνοις, καὶ γυναῖκες καὶ μητέρες καὶ θυγατέρες καὶ πατέρες, εἱστήκεισαν πρὸ τῶν τοῦ δικαστηρίου θυρῶν, ὥστε, εἴ τινα συμβαίη τὴν ἐπὶ θάνατον ἀπενεχθῆναι (ὁδὸν), μηδένα τῇ θέᾳ τῆς συμφορᾶς ἐμπρησθέντα θόρυβόν τινα ποιῆσαι καὶ ταραχὴν, πόρρωθεν ἐφόβουν οἱ στρατιῶται πάντας, προκαταλαμβάνοντες αὐτῶν τῷ δέει τὴν διάνοιαν. Τὸ δὲ πάντων ἐλεεινότερον, μήτηρ μία καὶ ἀδελφὴ τῶν ἔνδον κρινομένων τινὸς, πρὸς αὐτὰ τῶν δικαζόντων ἐκάθηντο τὰ πρόθυρα, καλινδούμεναι περὶ τὸ ἔδαφος καὶ κοινὸν οὖσαι θέατρον τοῖς περιεστῶσιν ἅπασι, συγκαλυπτόμεναι τὰς ὄψεις, καὶ τοσοῦτον αἰσχυνόμεναι μόνον,

aliis narrare. Cum enim gravia præterierunt, voluptatem habet eorum commemoratio, anima non amplius formidante, sed majorem capiente delectationem. Præteritorum enim memoria malorum præsentem tranquillitatem accuratius gustandam exhibet. Postquam enim civitatis major pars præ timore et comminatione illa ad deserta et fauces montium et occulta locorum transmigravit, metu ipsos undique cogente; et vacuæ mulieribus erant domus, vacuum viris forum, vix autem duo vel tres versantes in medio simul videbantur, et ipsi tamquam animati mortui circumeuntes; abibamus in forum judiciale gestorum finem visuri: et collectas civitatis reliquias cernentes, illud omnium maxime admirati sumus, quod multitudine circa fores morante, tamquam præsente nemine, silentium erat profundissimum, omnibus inter sese respicientibus, et nemine assistentem interrogare, aut quidquam audire ab illo audente. Proximum enim quisque suspectum habebat: quoniam multi jam præter omnem spem ex medio rapti foro intus coercebantur: et omnes pariter in cælum aspiciebamus, et manus extendebamus, cum silentio superne auxilium exspectantes, et Deo supplicantes, ut judicandis adesset, et judicantium corda mulceret, et mitem faceret exire sententiam. Et sicut qui naufragantes a terra vident, accedere quidem et manum porrigere et relevare ærumnam non possunt, quippe undis arcentur; extrinsecus autem ab ipsis litoribus manus extendentes, et lacrymantes, Deum orant ut assistat fluctuantibus: ita et hic tacite omnes mente Deum invocabant, petentes ut ad tribunal velut intra fluctus cohibitis manum porrigeret, nec sineret navigium submergi, nec in extremum naufragium judicantium desineret judicium. Et hæc quidem erant pro foribus: postquam vero interiorem aulam introivimus, rursus alia his terribiliora vidimus, milites armatos ensibus et clavis, et multam interius judicantibus quietem præstantes. Quoniam enim necessarii illorum omnes, et uxores, et matres, et filiæ, et patres, ante fori januam constiterant, ut si eveniret quempiam ad mortem duci, nemo ærumnæ spectaculo accensus, tumultum et turbationem ullam faceret, omnes procul arcebant milites, ipsorum mentem pavore præoccupantes. Quod autem omnium maxime miserabile, mater et soror cujusdam eorum qui intus judicabantur, ad ipsa judicantium vestibula jacebant, humi provolutæ, et commune omnibus factæ circumstantibus spectaculum, oculos velatæ, et tantum dumtaxat erubescentes, quantum calamitatis

ὅσον ἐπέτρεπεν ἡ τῆς συμφορᾶς ἀνάγκη· καὶ οὔτε θεραπαινὶς αὐταῖς παρῆν οὔτε γείτων, οὐ φίλη, οὐκ ἄλλη τις τῶν ἐπιτηδείων, ἀλλὰ μόναι μετὰ εὐτελῶν ἱματίων ἐν μέσῳ τοσούτων ἀπειλημμέναι στρατιωτῶν, χαμαὶ συρόμεναι περὶ τὰς θύρας αὐτὰς, τῶν ἔνδον δικαζομένων ἐλεεινότερα ἔπασχον, τῆς τῶν δημίων ἀκούουσαι φωνῆς, τοῦ κτύπου τῶν μαστίγων, τοῦ θρήνου τῶν μαστιζομένων, τῆς φοβερᾶς τῶν δικαζόντων ἀπειλῆς, καὶ καθ' ἕκαστον τῶν παιομένων χαλεπωτέρας τῶν παιομένων ὑπέμενον ὀδύνας αὗται. Ἐπειδὴ γὰρ ἐν ταῖς ἑτέρων μαρτυρίαις ἐκινδυνεύετο ἡ τῶν ἐγκλημάτων ἀπόδειξις, εἴ ποτέ τινος ἤσθοντο μαστιζομένου, ὥστε εἰπεῖν τοὺς ὑπευθύνους, καὶ ὀλολύζοντος, εἰς τὸν οὐρανὸν βλέπουσαι τὸν Θεὸν παρεκάλουν δοῦναί τινα ἰσχὺν καὶ ὑπομονὴν ἐκείνῳ, ὥστε μὴ τῶν αὐταῖς προσηκόντων τὴν σωτηρίαν ἐν ταῖς ἑτέρων ἀσθενείαις προδοθῆναι, τὴν ὀριμεῖαν ἀπὸ τῶν πληγῶν ὀδύνην μὴ δυναμένων ἐνεγκεῖν· καὶ ταὐτὸν πάλιν οἷον ἐπὶ τῶν χειμαζομένων συνέβαινε. Καθάπερ γὰρ ἐκεῖνοι, εἴ ποτε κύματος ἴδοιεν ἐμβολὴν πόρρωθεν κορυφουμένην καὶ κατὰ μικρὸν αὐξομένην καὶ μέλλουσαν βαπτίζειν τὸ σκάφος, καὶ πρὶν ἢ πλησίον γενέσθαι τοῦ πλοίου προαποτεθνήκασι τῷ δέει· οὕτω δὴ κἀκεῖναι, εἴ ποτε φωνῶν καὶ ὀλολυγμῶν ἤσθοντο φερομένων, δεδοικυῖαι μὴ πρὸς τὰς βασάνους ἀπαγορεύσαντες οἱ καταμαρτυρεῖν ἀναγκαζόμενοι κατείπωσί τινος τῶν αὐταῖς ἐπιτηδείων, μυρίους πρὸ τῶν ὀφθαλμῶν ἑώρων θανάτους. Καὶ ἦν ἰδεῖν ἔνδον βασάνους, ἔξω βασάνους· ἐκείνους μὲν γὰρ οἱ δήμιοι, ταύτας δ' ἐβασάνιζεν ἡ τῆς φύσεως τυραννὶς καὶ ἡ τῶν σπλάγχνων συμπάθεια· καὶ ἦν ἔνδον θρῆνος, ἔξω θρῆνος· ἔνδον τῶν ὑπευθύνων, ἔξω τῶν αὐτοῖς προσηκόντων. Μᾶλλον δὲ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ δικάζοντες κατὰ διάνοιαν ἐθρήνουν, καὶ χαλεπώτερα πάντων ἔπασχον, οὕτω πικρᾷ τραγῳδίᾳ ἀναγκαζόμενοι τότε ὑπηρετεῖν. Ἐγὼ δὲ παρακαθήμενος καὶ ταῦτα βλέπων, ὅτι γυναῖκες καὶ παρθένοι θαλαμευόμεναι νῦν κοινὸν ἐγένοντο θέατρον ἅπασι, καὶ αἱ ἐπὶ στρωμνῆς ἁπαλῆς κατακλινόμεναι τὸ ἔδαφος ἀντὶ στρωμνῆς ἔχουσι, καὶ αἱ τοσαύτης ἀπολαύουσαι θεραπείας θεραπαινίδων, εὐνούχων, τῆς ἄλλης ἁπάσης φαντασίας, νῦν ἁπάντων ἐκείνων ἔρημοι πρὸς τοὺς ἁπάντων σύρονται πόδας, ἕκαστον παρακαλοῦσαι συνεισενεγκεῖν τι τῶν εἰς αὐτὸν ἡκόντων τοῖς κρινομένοις, καὶ κοινὸν παρὰ πάντων γενέσθαι ἔλεός τινα ἔρανον, ἐφθεγξάμην ἐκεῖνο τὸ τοῦ Σολομῶντος, « Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. » Εἶδον γὰρ τοῦτό τε αὐτὸ καὶ ἕτερον λόγιον δι' αὐτῶν τῶν ἔργων ἐκβαῖνον, τὸ λέγον ὅτι « Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. » Καὶ γὰρ καὶ πλοῦτος τότε, καὶ εὐγένεια, καὶ περιφάνεια, καὶ φίλων προστασία, καὶ συγγένεια, καὶ πάντα ἠλέγχετο τὰ βιωτικὰ, τῆς ἁμαρτίας καὶ παρανομίας τῆς γεγενημένης τὴν συμμαχίαν ἅπασαν τρεψαμένης ταύτην. Καὶ

necessitas permittebat: neque aderat ipsis ancillula, non vicina, non amica, non ulla necessariarum alia, sed solæ vili amictu in medio tot militum positæ, per humum se trahentes circa ipsas fores, iis qui intus judicabantur, graviora patiebantur, carnificum vocem audientes, verberum sonitum, vapulantium ejulatum, tremendas judicantium minas, et dum singuli flagellarentur, gravioribus quam illi doloribus hæ conficiebantur. Quoniam enim in aliorum testimoniis criminum declaratio periclitabatur, sicubi quempiam flagellari, ut reos diceret, sentiebant, et ululare, in cælum respicientes Deum orabant ut illi fortitudinem et tolerantiam daret, ne necessariorum suorum salus proderetur per aliorum, acrem verberum dolorem ferre non valentium, infirmitatem: et tale quid rursum, quale fluctuantibus solet, accidebat. Sicut enim illi, si quando undæ impetum videant eminus insurgentem, paulatim crescentem et navem submergere minantem, etiam priusquam ipsi propior fiat, præ timore tamquam emortui sunt: sic et illæ si quando voces et ululatus audiebant emitti, veritæ ne in tormentis fatiscentes qui testimonium dicere cogebantur, contra necessariorum aliquem dicerent, infinitas ante oculos mortes videbant. Et erat cernere intus tormenta, extra tormenta: illos nempe carnifices, has vero naturæ torquebat imperium et viscerum compassio: intus luctus, foris luctus: intus reorum, foris necessariorum. Imo vero non ipsi tantum, sed et ipsi judices corde lugebant, et omnibus graviora patiebantur, tam acerbæ calamitati ministrare coacti. 2. Ego autem assidens et hæc cernens, quod mulieres et virgines, thalamis assuetæ, nunc commune cunctis spectaculum factæ essent, et molli assuetæ strato, terram pro strato nunc haberent, et nuper tantum nactæ obsequium ancillularum, eunuchorum et reliquæ omnis pompæ, nunc omnibus illis privatæ ad omnium pedes prosternerentur, singulos orantes ut aliquid judicandis pro facultate sua in auxilium conferrent, et simul omnes aliquid misericordiæ reis tribuerent, illud dixi Salomonis (*Eccli.* 1. 2. 7), *Vanitas vanitatum, et omnia vanitas.* Videbam enim et hoc ipsum, et aliud oraculum ipsis rebus completum, nempe (*Isai.* 40. 6. 7), *Omnis gloria hominis tamquam flos fœni: siccatum est fœnum, et cecidit flos.* Etenim divitiæ tunc et nobilitas, et claritas, et amicorum patrocinium, et cognatio, et omnia vitæ adjumenta nihili erant, peccato et iniquitate commissa omnem hanc opem subver-

καθάπερ μήτηρ στρουθῶν, τῶν νεοττῶν ἀφαιρεθέντων, ἐλθοῦσα καὶ τὴν καλιὰν εὑροῦσα κενὴν, ἐξελέσθαι μὲν οὐ δύναται τοὺς ἁλόντας αὐτῆς νεοττοὺς, περιπταμένη δὲ τοῦ θηρατοῦ τὰς χεῖρας, αὐτῷ τούτῳ τὴν ὀδύνην ἐνδείκνυται· οὕτω δὴ καὶ αἱ γυναῖκες ἐποίουν τότε ἐκεῖναι, ἀναρπασθέντων αὐταῖς ἐκ τῆς οἰκίας τῶν παίδων, καὶ ἔνδον ἀπειλημμένων, ὥσπερ ἐν δικτύῳ τινὶ καὶ παγίδι, προσελθεῖν μὲν καὶ ἐξελέσθαι τοὺς ἁλόντας οὐκ ἴσχυον, τῷ δὲ περὶ τὰς θύρας αὐτὰς καλινδεῖσθαι καὶ θρηνεῖν καὶ ὀλοφύρεσθαι, καὶ τῶν θηρευσάντων πειρᾶσθαι γενέσθαι ἐγγὺς, τὴν ὀδύνην ἐδείκνυον.

Ταῦτα δὴ τότε ὁρῶν εἰς νοῦν ἐβαλόμην τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ πρὸς ἐμαυτὸν εἶπον, Εἰ νῦν ἀνθρώπων δικαζόντων, οὐ μήτηρ, οὐκ ἀδελφὴ, οὐ πατὴρ, οὐκ ἄλλος οὐδεὶς, καίτοι γε ἀνεύθυνοι τῶν τολμηθέντων ὄντες, οὐκ ἰσχύουσιν ἐξελέσθαι τοὺς κρινομένους, τίς ἐν τῷ φοβερῷ τοῦ Χριστοῦ δικαστηρίῳ παραστήσεται κρινομένοις ἡμῖν; τίς τολμήσει ῥῆξαι φωνήν; τίς ἐξελέσθαι τοὺς ἀπαγομένους ἐπὶ τὰς ἀφορήτους [ἐκείνας] κολάσεις; Καίτοι πρῶτοι τῆς πόλεως ἦσαν οἱ τότε δικαζόμενοι καὶ αὐτὸ τῆς εὐγενείας τὸ κεφάλαιον· ἀλλ' ὅμως ἠγάπων, εἴ τις δώῃ πάντα ἀποβαλοῦσιν, εἰ δέοι, καὶ τὴν ἐλευθερίαν αὐτὴν, τῆς παρούσης ἀπολαύειν ζωῆς.

Τῆς ἡμέρας δὲ λοιπὸν πρὸς τὸ τέλος ἐπειγομένης καὶ βαθυτάτης γενομένης ἑσπέρας, καὶ τοῦ τέλους τῆς ψήφου προσδοκωμένου, ἐν μείζονι πάντες ἦσαν ἀγωνίᾳ, καὶ τὸν Θεὸν ᾐξίουν μέλλησίν τινα καὶ ἀναβολὴν γενέσθαι, καὶ τῇ ψυχῇ τῶν δικαζόντων ἐμβαλεῖν εἰς τὴν βασιλέως γνώμην ἀνενεγκεῖν τῶν ἐξητασμένων τὴν γνῶσιν· ἔσεσθαι γάρ τι ἴσως χρηστὸν ἀπὸ τῆς ὑπερθέσεως ταύτης. Καὶ κοιναὶ παρὰ τοῦ δήμου λιταὶ πρὸς τὸν φιλάνθρωπον Θεὸν ἀνεπέμποντο, τὰ λείψανα σῶσαι τῆς πόλεως, καὶ μὴ περιιδεῖν τέλεον ἐκ βάθρων ἀνασπωμένην αὐτήν. Καὶ οὐκ ἦν ἰδεῖν οὐδένα ἀδακρυτὶ ταῦτα βοῶντα· ἀλλ' ὅμως οὐδὲν τούτων τοὺς δικάζοντας ἔνδον ἀκούοντας ἐπέκαμπτε τότε, ἀλλ' ἓν μόνον ἐσκόπουν, ὅπως ἀκριβὴς γένοιτο ἡ τῶν τολμηθέντων ἐξέτασις· καὶ τέλος ἀλύσεις αὐτοῖς ἐπιθέντες, καὶ σιδήρῳ δήσαντες, ἐπὶ τὸ δεσμωτήριον ἔπεμπον διὰ μέσης τῆς ἀγορᾶς ἀνθρώπους ἱπποτρόφους, ἀγωνοθέτας, ἑτέρας μυρίας λαμπροτέρας ἔχοντας ἀριθμεῖν λειτουργίας, καὶ τὰς οὐσίας ἐδήμευον, καὶ σήμαντρα ἐν ταῖς θύραις ἁπάντων ἦν ἰδεῖν. Καὶ αἱ γυναῖκες αἱ τούτων τῆς πατρῴας ἐκβαλλόμεναι οἰκίας, ἑκάστη ἐκεῖνο τὸ τῆς γυναικὸς τοῦ Ἰὼβ διὰ τῶν ἔργων ἐπλήρουν· οἰκίαν γὰρ ἐξ οἰκίας καὶ τόπον ἐκ τόπου περιήρχοντο καταγωγίου δεόμεναι. Καὶ γὰρ οὐδὲ τοῦτο αὐτὸ αὐταῖς εὔκολον ἦν, ἑκάστου δεδοικότος καὶ τρέμοντος τῶν προσηκόντων τινὰ τῶν ὑπευθύνων ὑποδέξασθαι καὶ θεραπεῦσαι. Ἀλλ' ὅμως τοσούτων γενομένων, ἔστεργον πᾶσι τούτοις οἱ παθόντες, ἐπειδὴ τῆς παρούσης οὐκ ἐξέπεσαν ζωῆς· καὶ οὔτε ζημία χρημάτων, οὔτε ἀτιμία,

lente : et sicut avicularum mater pullis sublatis adveniens, et nidum inanem reperiens, suos quidem pullos captos eripere non potest, venatoris autem manus circumvolans, per hoc ipsum dolorem suum demonstrat : sic et illæ mulieres tunc faciebant, raptis sibi domo filiis, et interius tamquam reti quodam vel laqueo constrictis, accedere quidem et eripere captos non poterant : sed circa fores ipsas se volutando, lugendo, ejulando, et speculatoribus propinquare tentando dolorem demonstrabant.

Hæc equidem tunc aspiciens, in illius tremendi judicii cogitationem veni, et intra me dicebam : Si nunc ab hominibus judicantibus non mater, non soror, non pater, non alius quispiam, licet a perpetratis immunis, reos eripere potest, quis in tremendo Christi judicio nobis adstabit judicandis? quis vocem rumpere audebit? quis abductos ad intolerabiles illas pœnas eripere valebit? Atqui civitatis primates, qui tunc judicabantur, erant, et ipsum nobilitatis caput. Attamen læti fuissent, si quis eis concessisset, ut amissis omnibus, et, si oporteret, ipsa libertate, præsenti vita potirentur.

Die vero jam exacto, profundissimoque facto vespere, cum judicii finis exspectaretur, in majori erant omnes anxietate, et a Deo petebant dilationem aliquam et prorogationem fieri et judicantium animo immitti, ut ad Imperatoris sententiam referrent exquisitorum cognitionem : fore enim fortassis aliquod bonum ex hac dilatione. Et communes a populo supplicationes ad benignas Dei aures emittebantur, ut servaret reliquias civitatis, nec ipsam a fundamentis penitus everti sineret. Nec videre licebat quemquam non hæc cum lacrymis clamantem : verumtamen nihil eorum judices interius causas audientes hæc inflexit : sed unum solum respiciebant, ut diligens de commissis quæstio fieret; et postremo catenis ipsis injectis in carcerem per medium forum agebant homines equos domi alentes, bravia proponere solitos, aliaque innumera valentes clariora numerare officia publica : bona publicabant, et in omnium foribus signacula cernere licebat. Et horum uxores paterna domo ejectæ, singulæ illud uxoris Job per opera implebant : domum ex domo et locum ex loco circumibant, diversorii indigentes : nec enim hoc ipsum erat ipsis facile reperire, unoquoque timente et tremente quempiam reorum necessariorum suscipere et curæ habere. Verumtamen tanta illa passi, omnibus his contenti erant, quoniam vita non exciderant præsenti : et neque pecuniarum mulcta, neque ignominia, neque tanta traductio,

οὔτε ἡ τοσαύτη πομπή, οὔτε ἄλλο τι τῶν τοιούτων οὐδὲν αὐτοὺς ἔδακνε. Τὸ γὰρ τῆς συμφορᾶς μέγεθος καὶ τὸ μείζονα προσδοκήσαντας τούτων ὑπομεῖναι ταῦτα φιλοσοφεῖν παρεσκεύαζε τὴν ψυχήν. Καὶ τότε ἐμάνθανον πῶς εὔκολον ἡμῖν ἀρετή, ῥᾴδιόν τε καὶ εὐκατόρθωτον, καὶ [ὅτι] παρὰ τὴν ἡμετέραν ὀλιγωρίαν μόνον ἐπίπονος εἶναι δοκεῖ. Οὗτοι γὰρ οἱ πρὸ τούτου χρημάτων ὀλίγων ζημίαν οὐκ ἐνεγκόντες πράως, ἐπειδὴ φόβῳ κατεσχέθησαν μείζονι, πάντα τὰ ὄντα ἀποβαλόντες, ὥσπερ θησαυρὸν εὑρηκότες διέκειντο, ἐπειδὴ τὴν ψυχὴν οὐκ ἀπέβαλον. Ὥστε εἰ καὶ τῆς μελλούσης γεέννης εἶχεν ἡμᾶς αἴσθησις καὶ τὰς ἀφορήτους ἐκείνας ἐνενοοῦμεν κολάσεις, εἰ καὶ τὴν οὐσίαν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπεδώκαμεν ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων, οὐκ ἂν ἠλγήσαμεν, εἰδότες ὅτι μείζονα κερδανοῦμεν, τὴν τῶν μελλόντων δεινῶν ἀπαλλαγήν.

Τάχα ἱκανῶς ὑμῶν κατεμάλαξε τὴν καρδίαν ἡ τραγῳδία τῶν εἰρημένων, ἀλλὰ μὴ δυσχεράνητε. Καὶ γὰρ ἐπειδὴ μέλλω λεπτοτέρων κατατολμᾶν νοημάτων, καὶ ἁπαλωτέρας δέομαι διανοίας, ἐπίτηδες τοῦτο ἐποίησα, ὥστε τῷ φόβῳ τοῦ διηγήματος τὴν διάνοιαν ὑμῶν πᾶσαν ῥαθυμίαν ἀποτιναξαμένην, καὶ τῶν βιωτικῶν ἀπαναστᾶσαν ἁπάντων, μετὰ πολλῆς τῆς εὐκολίας πρὸς τὸ βάθος τῆς ψυχῆς παραπέμψαι τῶν λεγομένων τὴν δύναμιν. Ἱκανῶς μὲν οὖν καὶ πρώην ὑμῖν ὁ λόγος ἀπέδειξεν, ὅτι φυσικὸς ἡμῖν ἔγκειται νόμος τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· ἵνα δὲ ἐκ περιουσίας ἡμῖν ἡ ἀπόδειξις γένηται, τῇ αὐτῇ καὶ σήμερον ἐπαγωνιούμεθα πάλιν ὑποθέσει τῶν λόγων. Ὅτι ἐξ ἀρχῆς τὸν ἄνθρωπον πλάττων ὁ Θεὸς ἀμφοτέρων αὐτὸν ἐποίησεν ἐπιστημονικόν, δηλοῦσι πάντες ἄνθρωποι· τοὺς γοῦν ὑπευθύνους ἡμῖν αἰσχυνόμεθα ἁμαρτάνοντες ἅπαντες, καὶ πολλάκις δεσπότης πρὸς πόρνην γυναῖκα βαδίζων, εἶτα τῶν ἐπιεικεστέρων τινὰ οἰκέτην ἰδών, ἐρυθριάσας ἀνεχώρησε τῆς ἀτόπου ταύτης ὁδοῦ. Πάλιν λοιδορούμενοι παρ' ἑτέρων τὰ τῆς πονηρίας ὀνόματα, ὕβριν τὸ πρᾶγμα εἶναί φαμεν· κἂν κακῶς πάσχωμεν, εἰς δικαστήριον ἕλκομεν τοὺς ποιήσαντας. Οὕτως ἴσμεν τί μὲν κακία, τί δὲ ἀρετή. Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Χριστὸς ἡμφίεσμαι, καὶ δεικνὺς ὅτι οὐδὲν ξένον οὐδὲ ὑπερβαῖνον ἡμῶν τὴν φύσιν νομοθετεῖ, ἀλλ' ὃ πάλαι προλαβὼν ἐγκατέθηκεν ἡμῶν τῷ συνειδότι, μετὰ τοὺς πολλοὺς ἐκείνους μακαρισμοὺς οὕτως ἔλεγεν· « Ἃ θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. » Οὐ χρεία πολλῶν λόγων, φησίν, οὐδὲ μακροτέρων νόμων, οὐδὲ διδασκαλίας ποικίλης· τὸ θέλημά σου γενέσθω νόμος. Θέλεις εὐεργετεῖσθαι; εὐεργέτησον ἕτερον. Θέλεις ἐλεεῖσθαι; ἐλέησον τὸν πλησίον. Θέλεις ἐπαινεῖσθαι; ἐπαίνεσον ἕτερον. Θέλεις ἀγαπᾶσθαι; φίλησον. Θέλεις τῶν πρωτείων ἀπολαύειν; παραχώρησον ἑτέρῳ πρότερον τούτων. Σὺ γενοῦ δικαστής, σὺ γενοῦ νομοθέτης τῆς σαυτοῦ ζωῆς. Καὶ πάλιν· « Ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς. » Διὰ μὲν τούτου τῆς κακίας εἰσάγει τὴν ἀπαλλαγήν, διὰ δὲ

neque quodcumque aliud hujusmodi ipsos mordebat. Calamitatis enim magnitudo, et majora his patiendi expectatio, haec philosophari eorum animos effecerunt : et tunc discebant quam facilis sit nobis virtus, proclivis et expedita, et quod per nostrum duntaxat neglectum laboriosa res esse videatur. Hi enim qui paulo ante modicarum mulctam pecuniarum non aeque tulerunt, majore pressi formidine, cum omnia sua amisissent, ac si thesaurum invenissent, sic se habebant, quoniam animam non perdiderant. Itaque si futurae sensus gehennae nos teneret, et intolerabiles illas cogitaremus poenas, etiamsi rem familiarem et animam et corpus pro Dei legibus tradidissemus, non doleremus, scientes quod majora lucrabimur, a futuris malis liberationem.

3. Forte cor vestrum non parum eorum quae narravi tragoedia mollivit; sed ne feratis aegre : etenim quoniam subtiliores sum aggressurus sententias, et mollioris indigeo mentis, hoc feci de industria : ut narrationis timore mens vestra omni torpore excusso, ab omnibus segregata vitae curis, multa cum facilitate in animae profundum dicendorum virtutem demittat. Satis igitur et nuper vobis sermo demonstravit quod naturalis nobis sit insita lex bonorum et contrariorum : ut autem manifestior nobis fiat demonstratio, in eadem et hodie sermonum materia iterum desudabimus. Nam quod ab initio Deus hominem fingens utraque dignoscentem fecerit ipsum, demonstrant omnes homines : cum peccamus enim, etiam subditos veremur cuncti; et saepe dominus scortum adiens, deinde servorum quempiam modestiorum intuitus erubuit, et ab hac improba via recessit. Rursum cum alii nos nominibus vitia nostra indicantibus compellant, contumeliam id esse dicimus : et si aegre feramus, in judicium eos qui id fecerunt trahimus. Ita scimus, quid vitium, quid virtus sit. Hoc quippe ipsum et Christus declarans, et demonstrans se nihil novum aut nostram transcendens naturam sancire, sed id quod a principio conscientiae indiderat nostrae, post multas illas beatitudines ita dicebat (*Matth.* 7. 12) : *Quae vultis ut faciant vobis homines, haec et vos facite ipsis.* Non opus est multis sermonibus, inquit, neque prolixis legibus, nec varia doctrina : voluntas tua sit lex. Vis beneficia capere? confer beneficium alteri. Vis misericordiam consequi? miserere proximi. Vis laudari? lauda alium. Vis amari? ama. Vis primas habere? concede illas prius alteri. Tu sis judex, tu sis vitae tuae legislator. Et rursum (*Tob.* 4. 16) : *Quod odisti, alii ne facias.* Per hoc quidem a malo fugam inducit, per prius illud

τοῦ προτέρου τῆς ἀρετῆς τὴν ἐργασίαν. « Ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς. » Μισεῖς ὑβρίζεσθαι; μὴ ὑβρίσῃς ἕτερον. Μισεῖς βασκαίνεσθαι; μηδὲ σὺ φθονήσῃς ἑτέρῳ. Μισεῖς ἀπατᾶσθαι; μηδὲ σὺ ἀπατήσῃς ἄλλον. Καὶ ἐπὶ πάντων δὲ ἁπλῶς, ἂν τὰ δύο ῥήματα ταῦτα κατέχωμεν, οὐ δεησόμεθα διδασκαλίας ἑτέρας. Τῆς γὰρ ἀρετῆς τὴν μὲν γνῶσιν ἐνέθηκεν ἡμῖν τῇ φύσει, τὴν δὲ πρᾶξιν καὶ τὴν διόρθωσιν ἐπέτρεψεν τῇ προαιρέσει.

Τάχα ἀσαφὲς τὸ λεγόμενον· οὐκοῦν πειράσομαι σαφέστερον αὐτὸ ποιῆσαι πάλιν. Ὥστε εἰδέναι ὅτι καλὸν τὸ σωφρονεῖν, οὐ δεόμεθα λόγων οὐδὲ διδασκαλίας· ἔχομεν γὰρ ἐν τῇ φύσει τὴν γνῶσιν αὐτοί, καὶ οὐ χρεία πόνων οὐδὲ καμάτων, ὥστε περιελθεῖν καὶ ζητῆσαι εἰ καλὸν ἡ σωφροσύνη καὶ χρήσιμον, ἀλλὰ κοινῇ γνώμῃ πάντες ὁμολογοῦμεν τοῦτο, καὶ οὐδεὶς ἀμφιβάλλει περὶ τῆς ἀρετῆς. Οὕτω καὶ τὴν μοιχείαν κακὸν εἶναι νομίζομεν, καὶ οὐδὲ ἐνταῦθα πόνων ἡμῖν δεῖ καὶ μαθήσεως, ὥστε γνῶναι τὴν τῆς ἁμαρτίας ταύτης κακίαν· ἀλλὰ πάντες ἐν ταῖς τοιαύταις ψήφοις ἐσμὲν αὐτοδίδακτοι, καὶ τὴν ἀρετὴν, κἂν μὴ μετίωμεν αὐτὴν, ἐπαινοῦμεν, ὥσπερ οὖν τὴν κακίαν, κἂν ἐργαζώμεθα, μισοῦμεν. Καὶ τοῦτο Θεοῦ κατόρθωμα γέγονε μέγιστον, ὥστε τὸ συνειδὸς ἡμῶν καὶ τὴν προαίρεσιν τέως καὶ πρὸ τῆς πράξεως οἰκειώσασθαι μὲν τῇ ἀρετῇ, ἐχπολεμῶσαι δὲ τῇ πονηρίᾳ. Ὅπερ οὖν ἔφην, ἡ μὲν γνῶσις ἑκατέρων τούτων ἔγκειται τῷ συνειδότι πάντων ἀνθρώπων, καὶ οὐ δεόμεθα διδασκάλου τινὸς πρὸς τὸ ταῦτα μαθεῖν· ἡ δὲ διόρθωσις λοιπὸν προαιρέσει καὶ σπουδῇ καὶ πόνοις ἐγχειρίσται. Τί δήποτε; Ὅτι εἰ τὸ πᾶν τῆς φύσεως ἐποίησεν, ἀστεφάνωτοι καὶ χωρὶς βραβείων ἀπήλθομεν ἄν· καὶ ὥσπερ τὰ ἄλογα τῶν πλεονεκτημάτων ὧν ἔχει κατὰ φύσιν, οὐκ ἂν λάβοι μισθὸν οὐδὲ ἔπαινον, οὕτως οὐδὲ ἡμεῖς ἀπηλαύσαμεν ἄν τινος τούτων. Τὰ γὰρ τῆς φύσεως πλεονεκτήματα οὐ τῶν ἐχόντων, ἀλλὰ τοῦ δεδωκότος ἐστὶν ἔπαινος καὶ ἐγκώμιον. Τῇ μὲν οὖν φύσει τὸ πᾶν οὐκ ἐπέτρεψε διὰ τοῦτο· πάλιν τὴν προαίρεσιν ὁλόκληρον ἀναδέξασθαι τὸ φορτίον οὐκ εἴασε, καὶ τὸ τῆς γνώσεως καὶ τὸ τῆς διορθώσεως, ἵνα μὴ πρὸς τὸν πόνον ἀπαγορεύσῃ τῆς ἀρετῆς· ἀλλ' ὑπαγορεύει μὲν αὐτῇ τὸ συνειδὸς τὰ πρακτέα, πρὸς δὲ τὴν ἐργασίαν αὐτὴ τοὺς παρ' ἑαυτῆς εἰσφέρει πόνους. Καὶ ὅτι μὲν καλὸν τὸ σωφρονεῖν μηδὲν καμόντες ἐπιστάμεθα· τῆς φύσεως γὰρ ἡ γνῶσις· σωφροσύνην δὲ οὐκ ἂν δυνηθείημεν κατορθῶσαι μὴ καμόντες μηδὲ τὴν ἐπιθυμίαν χαλινώσαντες καὶ πολὺν ὑποστάντες τὸν πόνον. Τοῦτο γὰρ οὐκ ἔτι ἐκ φύσεως ἡμῖν πρόσεστι, καθάπερ ἡ γνῶσις, ἀλλὰ δεῖται προθυμίας καὶ σπουδῆς. Οὐ ταύτῃ δὲ μόνον ἐπεκούφισεν ἡμῖν τὸ βάρος, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ πάλιν, καὶ αὐτῶν τῶν κατορθωμάτων ἔνια φυσικὰ ἀφεὶς εἶναι ἐν ἡμῖν. Καὶ γὰρ τὸ συναγωνιστεῖν τοῖς ὑβριζομένοις φυσικὸν ἅπαντες ἔχομεν (εὐθέως γοῦν τοῖς ἐπηρεάζουσιν ἐχθροὶ γινόμεθα, κἂν μηδὲν ὦμεν

autem virtutis operationem. *Quod odisti, alii ne facias.* Odisti contumeliam pati? ne alium afficias contumelia. Odisti invidiam pati? ne tu alteri invideas. Odio habes falli? ne tu fallas alium. Et vero in omnibus generatim si haec duo verba retineamus, alia disciplina non indigebimus. Virtutis enim cognitionem indidit animæ nostræ, actionem vero et emendationem voluntati nostræ concessit.

Fortassis obscurum est quod dicitur: igitur id ipsum manifestius reddere conabor. Ut sciamus quod bonum sit temperantia, non opus habemus verbis neque doctrina: nam in natura cognitionem hanc habemus, nec opus est cum laboribus aut fatigationibus circumire et quærere an bonum sit temperantia et utile: sed communi sententia omnes hoc confitemur, et nemo dubitat de virtute. Sic et adulterium malum esse deputamus, et neque hic laboribus et disciplina nobis est opus, ut peccati hujus malitia noscatur, sed omnes in hujusmodi sententiis sumus per nos ipsos docti, et virtutem, licet ipsam non sectemur, laudamus; sicut vicissim vitium, licet operemur, odimus. Et hoc fuit maximum Dei beneficium, ut conscientiam quidem nostram et voluntatem jam ante actionem virtuti applicaret, infestam autem redderet improbitati. Quod igitur dixi, horum quidem amborum cognitio omnium hominum conscientiæ insita est, nec ullo indigemus præceptore ad hæc discenda; ceterum emendatio laboribus, voluntati et studio data est. Quare tandem? Quoniam si totum naturæ tribuisset, sine coronis et præmiis fuissemus, et sicut bruta virtutum quas habent a natura mercedem aut laudem capere non possunt, sic neque nos harum esse possemus participes. Naturæ enim munera non habentium, sed datoris sunt laus et commendatio. Ideo igitur non totum naturæ permisit: ac rursum voluntatem totum pondus suscipere non concessit, et cognitionis et emendationis, ne a virtutis laboribus refugeret; sed dictat quidem ipsi conscientia quæ sunt agenda, ad operationem vero ipsa de suo laborem affert. Et quod bonum quidem sit moderate vivere, sine labore novimus: naturalis enim est cognitio; temperantiam vero non possumus exercere, nisi laborantes, et cupiditatem refrænantes, multumque subeuntes laboris. Non enim hoc quoque nobis adest a natura, sicut cognitio, sed opus habet sedulitate et studio. Nec solum ita nobis pondus levavit, sed et alio modo rursus, ipsorum meritorum quædam naturalia nobis esse sinens. Etenim una cum iis qui contumeliam patiuntur simul indignari, naturale omnes habemus (statim quippe infestantibus efficimur inimici, licet ipsi nihil simus passi), et congratu-

αὐτοὶ πεπονθότες), καὶ τὸ συνήδεσθαι τοῖς ἀντιλήψεως καὶ βοηθείας ἀπολαύουσι, καὶ τὸ καταχλᾶσθαι ἐπὶ ταῖς ἑτέρων συμφοραῖς (καὶ) τῇ φιλοστοργίᾳ τῇ πρὸς ἀλλήλους. Κἂν γὰρ πραγμάτων περιστάσεις δοκῶσι μικροψυχίαν τινὰ εἰσάγειν, ἀλλ' ὅμως ἔχομεν κοινὸν πρὸς ἀλλήλους φίλτρον. Καὶ τοῦτό τις σοφὸς αἰνιττόμενος ἔλεγε, « Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. » Πολλοὺς δὲ καὶ ἑτέρους μετὰ τοῦ συνειδότος ἐπίστησεν ἡμῖν διδασκάλους ὁ Θεός· καὶ γὰρ πατέρας τοῖς υἱοῖς, καὶ δεσπότας τοῖς δούλοις, καὶ ἄνδρας ταῖς γυναιξὶ, καὶ διδασκάλους τοῖς μαθηταῖς, καὶ νομοθέτας καὶ δικαστὰς τοῖς ἀρχομένοις, καὶ φίλους τοῖς φίλοις. Πολλάκις δὲ καὶ παρ' ἐχθρῶν ἐκερδάναμεν οὐκ ἔλαττον ἢ παρὰ φίλων· ὅταν γὰρ ἡμῖν ἀνειδίζωσι τὰ ἁμαρτήματα, καὶ ἄκοντας εἰς διόρθωσιν αὐτῶν διεγείρουσι. Τοσούτους δὲ ἡμῖν διδασκάλους ἐπέστησεν, ἵν' εὔκολος ἡμῖν τοῦ λυσιτελοῦντος εὕρεσίς τε καὶ διόρθωσις γένηται, τοῦ πλήθους τῶν πρὸς αὐτὸ συνελαυνόντων ἡμᾶς οὐκ ἀφιέντος ἐκπεσεῖν τῶν συμφερόντων ἡμῖν. Κἂν γὰρ τῶν γεγεννηκότων καταφρονήσωμεν, τοὺς ἄρχοντας δεδοικότες ἐπιεικέστεροι πάντως ἐσόμεθα· κἂν ἐκείνους διαπτύσωμεν ἁμαρτάνοντες, τὴν τοῦ συνειδότος οὐδέποτε δυνησόμεθα διαφυγεῖν ἐπιτίμησιν· κἂν ταύτην ἀτιμάσωμεν καὶ διακρουσώμεθα, τὴν παρὰ τῶν πολλῶν ὑπόληψιν δεδοικότες ἀμείνους ἐσόμεθα· κἂν πρὸς ταύτην ἀναισχυντήσωμεν, ὁ τῶν νόμων ἐπικείμενος φόβος καὶ ἄκοντας ἡμᾶς σωφρονίσαι δυνήσεται· καὶ νέους μὲν ὄντας διδάσκαλοι καὶ πατέρες, αὐξηθέντας δὲ οἱ νομοθέται καὶ ἄρχοντες παραλαβόντες ῥυθμίζουσιν· οἵ τε οἰκέται, ἅτε ῥᾳθυμότερον διακείμενοι, μετὰ τῶν εἰρημένων καὶ τὴν παρὰ τῶν δεσποτῶν ἀνάγκην εἰς σωφροσύνην ἔχουσι, καὶ αἱ γυναῖκες τοὺς ἄνδρας· καὶ πολλὰ πανταχόθεν ἡμῶν τῷ γένει τὰ τείχια πρὸς τὸ μὴ ῥᾳδίως εἰς κακίαν ἐξολισθῆναι καὶ καταπεσεῖν.

Πρὸς δὲ τούτοις ἅπασι, καὶ νόσοι καὶ περιστάσεις πραγμάτων ἡμᾶς παιδεύουσι· καὶ γὰρ καὶ πενία κατέχει, καὶ ζημία σωφρονίζει, καὶ κίνδυνος καταστέλλει, καὶ πολλὰ ἕτερα τοιαῦτα. Οὐ φοβεῖ σε πατήρ, οὐδὲ διδάσκαλος, οὐκ ἄρχων, οὐ νομοθέτης, οὐ δικαστής; οὐκ ἐντρέπει σε φίλος; οὐ δάκνει σε ἐχθρός; οὐ σωφρονίζει δεσπότης; οὐ διδάσκει ἀνήρ; οὐ διορθοῦταί σε τὸ συνειδός; ἀλλ' ἀῤῥωστία πολλάκις ἐπελθοῦσα σωματικὴ τὸ πᾶν κατώρθωσε, καὶ ζημία δὲ τὸν θρασύτερον ἐποίησεν ἐπιεικέστερον· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ ἑτέροις συμπίπτοντα τὰ δεινὰ μεγάλα ἡμᾶς ὠφελεῖν εἴωθε· καὶ αὐτοὶ μὲν μηδέν τι παθόντες, ἑτέρους δὲ κολαζομένους ἰδόντες οὐκ ἔλαττον ἐκείνων ἐσωφρονίσθημεν. Καὶ τοῦτο καὶ ἐπὶ τῶν κατορθωμάτων συμβαῖνον ἴδοι τις ἄν· ὥσπερ γὰρ κολαζομένων τῶν πονηρῶν ἕτεροι βελτίους γίνονται, οὕτω τῶν ἀγαθῶν τι κατορθούντων, πολλοὶ πρὸς τὸν ἴσον ἐνάγονται ζῆλον· ὃ δὴ καὶ ἐπὶ τῆς τῶν ὅρκων διορθώσεως γέγονε. Πολλοὶ γὰρ ἑτέρους ἰδόντες τὴν πονηρὰν

lari defensione et auxilio potientibus, et in alienis calamitatibus affligi, (et) caritate mutua [delectari]. Etsi enim rerum casus simultatem quamdam inducere videantur, habemus tamen communem inter nos amorem. Et hoc quidam sapiens innuens dicebat (*Eccli.* 13. 19), *Omne animal amat sibi simile, et homo proximum suum.* 4. Multos autem et alios præter conscientiam præceptores nobis Deus præposuit : etenim patres filiis, et dominos servis, et viros uxoribus, et doctores discipulis, et legislatores et judices subditis, et amicos amicis. Sæpe vero et ab inimicis non minus lucramur quam ab amicis : cum enim nobis peccata exprobrant, etiam invitos in ipsorum correctionem excitant. Tot autem doctores nobis præposuit, ut facilis nobis utilitatis inventio et reparatio fieret, multitudine ad id compellentium non permittente nos ab iis quæ nobis expediunt excidere. Etenim si parentes contemnamus, magistratus timentes, erimus omnino mitiores : et si illos in peccatis despiciamus, numquam conscientiæ increpationem effugere poterimus : et si hanc aspernemur et repellamus, populi opinionem timentes, meliores erimus; si ad hanc non erubescamus, impositus legum timor vel invitos nos castigare poterit : et eos qui juvenes sunt, magistri et patres, adultos vero legislatores et principes quasi in manus sumentes componunt : servique segnius se habentes et a supradictis et a dominis necessitatem modestiæ servandæ habent, et mulieres a viris; et multæ undique generi nostro cohibitiones sunt, ne facile in vitium delabamur et cadamus.

Præter hæc omnia ægritudines etiam et negotiorum pressuræ nos docent : etenim et paupertas cohibet, et mulcta castigat, et periculum corripit, et multa alia hujusmodi. Non terret te pater, nec magister? non princeps? non legislator? non judex? non te confundit amicus? non te mordet inimicus? non castigat dominus? non docet maritus? non corrigit conscientia? sed corporalis ægritudo superveniens sæpe omnia correxit, et mulcta audacem fecit humaniorem : quodque profecto majus est, non tantum nobis, sed et aliis accidentia mala magnopere nos adjuvare consueverunt : et ipsi quidem grave nil passi, alios vero puniri conspicati, non minus illis castigati sumus. Hoc et in benefactis quis videat evenire : sicut enim dum puniuntur mali, alii meliores efficiuntur : sic bonis bene se gerentibus, multi ad similem zelum inducuntur : quod et in juramentorum correctione contigit. Multi enim alios

ἀποθεμένους τῶν ὅρκων συνήθειαν, ἐμιμήσαντο τὴν σπουδήν, καὶ περιεγένοντο τῆς ἁμαρτίας· διὸ καὶ ἡμεῖς προθυμότερον τῆς αὐτῆς ἁπτόμεθα πάλιν παραινέσεως. Μὴ γάρ μοι λεγέτω τις ὅτι πολλοὶ κατώρθωσαν· οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ' ἵνα πάντες· ἕως δ' ἂν μὴ τοῦτο ἴδω, οὐ δύναμαι ἀνακνεῦσαι. Ὁ ποιμὴν ἐκεῖνος ἑκατὸν πρόβατα εἶχε, καὶ ἑνὸς πλανηθέντος, οὐκ ἐλάμβανεν αἴσθησιν τῆς σωτηρίας τῶν ἐνενήκοντα ἐννέα, ἕως ἂν τὸ ἀπολωλὸς ηὗρε καὶ τῇ ποίμνῃ πάλιν ἀπέδωκεν. Οὐχ ὁρᾷς καὶ ἐπὶ τοῦ σώματος τοῦτο γινόμενον; ἐὰν γὰρ τὸν ὄνυχα μόνον προσπταίσαντες ἀνατρέψωμεν, ὅλον τῷ μέλει συναλγεῖ τὸ σῶμα. Μὴ τοίνυν τοῦτο εἴπῃς, ὡς Ὀλίγοι τινὲς ὑπελείφθησαν οἱ μὴ κατωρθωκότες, ἀλλ' ἐκεῖνο σκόπει ὅτι οὗτοι οἱ ὀλίγοι οἱ μὴ διορθωθέντες πολλοὺς διαφθεροῦσιν ἑτέρους. Καὶ γὰρ εἷς ἦν ὁ πεπορνευκὼς παρὰ Κορινθίοις, καὶ ὅμως οὕτως ἔστενεν ὁ Παῦλος ὡς ὅλης τῆς πόλεως ἀπολωλυίας. Καὶ μάλα εἰκότως· ᾔδει γὰρ ὅτι μὴ σωφρονισθέντος ἐκείνου ταχέως τὸ νόσημα ὁδῷ βαδίζον καὶ τοὺς ἄλλους ἐπιδραμεῖται πάντας. Εἶδον πρώην ἐν τῷ δικαστηρίῳ δεδεμένους καὶ ἀπαγομένους διὰ μέσης τῆς ἀγορᾶς τοὺς περιφανεῖς ἐκείνους ἄνδρας, καί τινων θαυμαζόντων διὰ τὴν ὑπερβολὴν τῆς ὕβρεως, Οὐδὲν χρὴ θαυμάζειν, ἕτεροι ἔλεγον· ἔνθα γὰρ ἂν ᾖ καθοσίωσις, ἀξίωμα οὐδὲν ὠφελεῖ. Οὐκοῦν πολλῷ μᾶλλον ἔνθα ἂν ἀσέβεια ᾖ, ἀξίωμα οὐδὲν ὠφελεῖ.

Ταῦτα οὖν ἐννοοῦντες διαναστήσωμεν ἑαυτούς· ἐὰν γὰρ μὴ τὴν παρ' ὑμῶν σπουδὴν ὑμεῖς εἰσενέγκητε, περιττὰ τὰ παρ' ἡμῶν ἅπαντα. Τί δήποτε; Ὅτι οὐχ ὥσπερ αἱ λοιπαὶ τέχναι, οὕτω καὶ ἡ διδασκαλικὴ ἐστι δύναμις. Ὁ μὲν γὰρ ἀργυροκόπος οἷον ἂν χαλκεύσῃ τὸ σκεῦος καὶ ἀπόθηται, τοιοῦτον ἐλθὼν τῇ ἐπιούσῃ πάλιν εὑρήσει· καὶ ὁ χαλκοτύπος, καὶ ὁ λιθοξόος, καὶ τῶν δημιουργῶν ἕκαστος οἷον ἂν ἀφῇ τὸ οἰκεῖον ἔργον, τοιοῦτον ἀπολήψεται πάλιν· ἐπὶ δὲ ἡμῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· οὐ γὰρ ἄψυχα σκεύη, ἀλλὰ ψυχὰς χαλκεύομεν λογικάς. Διὰ τοῦτο οὐ τοιούτους ὑμᾶς εὑρίσκομεν οἵους καταλιμπάνομεν, ἀλλ' ἐπειδὰν λαβόντες μετὰ πολλοῦ καμάτου διαπλάσωμεν, διορθώσωμεν, θερμοτέρους ἐργασώμεθα, ἐξελθόντας ὑμᾶς ἡ τῶν πραγμάτων περίστασις πανταχόθεν περιστοιχιζομένη διαστρέφει πάλιν, καὶ πλείονα παρέχει τὴν δυσκολίαν ἡμῖν. Διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ χεῖρα ὀρέξαι, καὶ ὅσην ἐνταῦθα ποιοῦμαι τὴν σπουδὴν πρὸς τὴν διόρθωσιν τὴν ὑμετέραν, τοσαύτην ἀπελθόντες ἐντεῦθεν ἐπιδείκνυσθε περὶ τὴν σωτηρίαν τὴν ὑμετέραν φροντίδα. Εἴθε μὲν γὰρ δυνατὸν ἦν ὑπὲρ ὑμῶν ἐμὲ κατορθοῦν, καὶ [τὰ] ἔπαθλα ὑμᾶς λαμβάνειν τῶν κατορθωμάτων, καὶ οὐκ ἂν τοσοῦτον ἠνώχλησα. Ἀλλὰ τί πάθω; τοῦτο ἀμήχανον· ἑκάστῳ γὰρ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδώσει. Ὥσπερ οὖν μήτηρ ὁρῶσα παιδίον πυρέττον, παρεστῶσα ἀγχομένῳ καὶ καιομένῳ, ὀρηνοῦσα πολλάκις εἶπε πρὸς τὸ νοσοῦν παιδίον, Εἴθε μοι δυνατὸν ἦν, τέκνον, τὸν πυρετὸν ἀναδέξασθαι τὸν σόν,

intuiti malam deposuisse jurandi consuetudinem, hoc studium imitati sunt, peccatumque vicerunt : propterea et nos promtius iterum eamdem tangimus admonitionem. Nemo enim mihi dicat, Multi correcti sunt : hoc non est quod quæritur, sed ut omnes. Donec hoc videro, respirare non possum. Pastor ille (*Matth.* 18. 12. 13) centum oves habebat, et una amissa, non sensit de nonaginta novem salute delectationem, donec perditam invenit et gregi restituit. Non cernis et in corpore hoc fieri? si enim ad unguem solum offendentes subvertimus, totum corpus ei membro condolet. Ne igitur dicas, Pauci quidam relicti sunt, qui non sunt correcti; sed illud considera, quod isti pauci non correcti multos corrumpent alios. Etenim et apud Corinthios unus erat fornicatus, et tamen ita gemebat Paulus, tamquam tota perdita civitate : et merito; sciebat enim, illo non correcto, vitium serpens et alios omnes invasurum esse. Vidi nuper in judicio vinctos et per medium forum abductos illos illustres viros : et quibusdam contumeliæ excessum admirantibus, Nihil admirari oportet, dicebant alii : ubi enim damnatio, dignitas nihil prodest. Nonne igitur multo magis, ubi sit impietas, nihil dignitas adjuvat?

5. Hæc igitur cogitantes, nos ipsos excitemus : nisi enim studium adhibueritis vos, a nobis omnia agentur superflua. Quid ita tandem? Quoniam non sicut reliquæ artes, ita est doctrinæ magisterium. Argentarius enim faber qualecumque vas exuderit et reposuerit, tale postridie reversus iterum inveniet; et ærarius et marmorarius et artificum quisque quale proprium opus dimiserit, tale rursum recipiet. Circa nos vero non ita, sed contrarium omnino : non enim inanimata vasa, sed animas cudimus rationales. Ideo non tales vos invenimus, quales relinquimus, sed postquam susceptos multo labore reformaverimus, correxerimus, effecerimus ferventiores, egressos negotiorum circumstantia vos undique cingens rursum pervertit, et majorem nobis præbet difficultatem. Idcirco supplico et oro, manum porrigatis, et quantum ego hic ad correctionem vestram studium facio, tantum vos hinc digressi circa salutem vestram curæ demonstretis. Utinam posset fieri, ut ego pro vobis bene mererer, et meritorum bravia vos caperetis; nec tantum vos vexassem. Sed quid faciam? hoc impossibile est : cuique enim secundum opera sua retribuet. Sicut igitur mater filium febricitantem cernens, dolenti et ardenti assistens, lugens ægrotanti dicit filio : Utinam, fili, febrem ego suspicere possem, et in me flam-

καὶ ἐπ' ἐμαυτὴν ἕλκύσαι τὴν φλόγα· οὕτω δὴ καὶ ἐγὼ λέγω νῦν, Εἴθε δυνατὸν ἦν ἐμὲ πονήσαντα ὑπὲρ ὑμῶν κατορθῶσαι πάντων· ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ἀλλὰ τῶν αὐτῷ πραττομένων ἕκαστον ἀνάγκη δοῦναι τὰς εὐθύνας, καὶ οὐκ ἂν ἴδοι τις ἕτερον ὑπὲρ ἑτέρου κολαζόμενον. Διὰ τοῦτο ὀδυνῶμαι καὶ θρηνῶ, ὅτι κατὰ τὴν ἡμέραν ὑμῖν ἐκείνην ἐγκαλουμένοις οὐ δυνήσομαι παραστῆναι· μάλιστα μὲν γὰρ οὐδὲ παῤῥησία μοι πρὸς τὸν Θεόν ἐστι τοσαύτη. Εἰ δὲ καὶ παῤῥησίαν εἶχον, οὐκ εἰμὶ Μωϋσέως ἁγιώτερος, οὐδὲ Σαμουὴλ δικαιότερος, οὓς ἐπὶ τοσοῦτον ἀρετῆς ἥκοντας οὐκ ἔφη δύνασθαί τι τοὺς Ἰουδαίους ὠφελῆσειν, διὰ τὸ πολλῇ ῥᾳθυμίᾳ αὐτοὺς ἐκείνους ἐκδοθῆναι. Ἐπεὶ οὖν ἀπὸ τῶν οἰκείων ἔργων κολαζόμεθα καὶ σωζόμεθα, σπουδάσωμεν, παρακαλῶ, μετὰ πῶν ἄλλων ἁπάντων καὶ ταύτην ἐκπληρῶσαι τὴν ἐντολήν, ἵνα μετὰ χρηστῆς ἐλπίδος ἐντεῦθεν ἀπελθόντες, [ἐπι]τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι κτλ.

ΟΜΙΛΙΑ ΙΔ'.

Τοῦ δήμου παντὸς ἀφεθέντος τῆς ἀγωνίας καὶ θαρσήσαντος, τινὲς πάλιν τὴν πόλιν ἐτάραξαν φοβερὰς πλάττοντες φήμας, καὶ ἠλέγχθησαν· εἰς τοῦτό τε οὖν ἡ ὁμιλία εἴρηται, καὶ εἰς τὴν περὶ τῶν ὅρκων παραίνεσιν· διὸ καὶ ἡ κατὰ τὸν Ἰωνάθαν καὶ τὸν Σαοὺλ ἱστορία καὶ τὸν Ἰεφθάε παρήχθη, καὶ ἐδείχθη πόσαι ἐξ ἑνὸς ὅρκου γίνονται ἐπιορκίαι.

Οὐχ ὡς ἔτυχε τὴν πόλιν ἡμῖν ὁ διάβολος χθὲς ἐθορύβησεν, ἀλλὰ καὶ ὁ Θεὸς ἡμᾶς οὐχ ὡς ἔτυχε παρεκάλεσε πάλιν, ὥστε καὶ ἡμῶν ἕκαστον εὐκαίρως εἰπεῖν ἐκεῖνο τὸ προφητικόν, « Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ἠῦφραναν τὴν ψυχήν μου. » Οὐ τῷ παρακαλέσαι δὲ μόνον, ἀλλὰ καὶ τῷ συγχωρῆσαι θορυβηθῆναι, τὴν κηδεμονίαν ὁ Θεὸς ἡμῖν ἐπεδείξατο τὴν ἑαυτοῦ. Ὅπερ γὰρ λέγων οὐδέποτε ἐπαυσάμην, τοῦτο καὶ τήμερον ἐρῶ, ὅτι οὐχ ἡ ἀπαλλαγὴ τῶν δεινῶν, ἀλλὰ καὶ ἡ συγχώρησις τούτων ἀπὸ τῆς εὐνοίας γίνεται τοῦ Θεοῦ. Ὅταν γὰρ ἴδῃ πρὸς ῥᾳθυμίαν ἡμᾶς ἐκκλίνοντας, καὶ τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀποπηδῶντας, καὶ τῶν πνευματικῶν οὐδένα ποιουμένους λόγον, ἐγκαταλιμπάνει μικρὸν, ἵνα ταύτῃ σωφρονισθέντες σπουδαιότερον πρὸς αὐτὸν ἐπανέλθωμεν. Καὶ τί θαυμάζεις, εἰ ἐφ' ἡμῶν τῶν ῥᾳθύμων τοῦτο ποιεῖ, ὅπου γε καὶ Παῦλος καὶ ἐπ' αὐτοῦ καὶ τῶν αὐτοῦ μαθητῶν ταύτην ἔλεγεν αἰτίαν εἶναι τῶν πειρασμῶν. Κορινθίοις γὰρ ἐπιστέλλων τὴν δευτέραν ἐπιστολὴν οὕτω πώς φησιν· « Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν· » ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὕτω μεγάλοι, φησὶν, ἡμῖν ἐπεμορήθησαν κίνδυνοι, ὡς ἀπαγορεῦσαι τοῦ ζῆν, καὶ

nam attrahere : sic profecto et ego nunc dico : Utinam possibile esset me pro vobis laborantem omnibus recte agere; sed non licet hoc, non licet, sed quemque necesse est a se commissorum rationem reddere; neque videre est alium pro alio puniri. Propterea doleo et lugeo, quia vobis die illo accusatis assistere non potero, maxime cum neque mihi fiducia apud Deum sit tanta; si vero et fiduciam haberem, non sum Mose sanctior, neque Samuele justior, quos virtutem tantam assequutos dixit (*Jerem.* 15. 1) non posse quid Judæos adjuvare, quod nimio torpori se ipsos illi dedissent. Quoniam igitur ex propriis operibus punimur et salvamur, studeamus, quæso, cum aliis omnibus et hoc explere mandatum, ut cum bona spe hinc abeuntes promissa bona assequamur, gratia etc.

HOMILIA XIV.

Populo omni ab angustia liberato et constituto in fiducia, quidam rursum civitatem conflictis rumoribus tremendis turbaverunt, et convicti sunt; de hoc igitur habita est homilia, et de juramentorum abstinentia admonitio addita, ideoque de Jonatha et Saule et Jephthe historia producta est, et demonstratum quot ex uno juramento nascantur perjuria.

1. Non parum civitatem nobis heri diabolus perturbavit, sed et Deus nos iterum non parum consolatus est, ita ut quisque nostrûm opportune dicere possit illud propheticum (*Psal.* 93. 19), *Secundum multitudinem dolorum meorum in corde meo consolationes tuæ lætificaverunt animam meam.* Nec tantum consolando, sed et perturbari permittendo, providentiam nobis suam Deus exhibuit. Quod enim numquam dicere destiti, hoc et hodie dicam: non modo æruminarum solutionem, sed et harum permissionem ex Dei benevolentia esse. Cum enim nos ad torporem declinantes videt, et ab ipsius familiaritate resilientes, ac spiritualium nullam rationem habentes, paulum nos derelinquit, ut ita castigati, ad ipsum studiosius redeamus. Et quid admiraris, si circa nos torpentes hoc facit, quippe cum Paulus et in se et in discipulis suis hanc tentationum causam esse dixerit? Etenim ad Corinthios secundam mittens epistolam, sic dicebat (1. 8 *et* 9) : *Nolo vos ignorare, fratres, de tribulatione facta nobis in Asia, quod supra modum gravati sumus supra virtutem, ita ut taderet nos etiam vivere; sed ipsi in nobis ipsis responsum mortis habuimus* : quasi diceret, Tam magna nobis, inquit, incubuere pericula, ut vivere de-

μηκέτι λοιπὸν ἐλπίσαι χρηστήν τινα ἔσεσθαι μεταβολήν, ἀλλ' ἢ θάνατον ἀναμένειν πάντως· τοῦτο γάρ ἐστιν, Αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν· ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ἀπόγνωσιν ἔλυσεν ὁ Θεὸς τὸν χειμῶνα, καὶ τὸ νέφος παρήνεγκε, καὶ ἐξ αὐτῶν τοῦ θανάτου τῶν πυλῶν ἡμᾶς ἥρπασεν. Εἶτα δεικνὺς ὅτι καὶ τὸ συγχωρῆσαι μέχρι τοσούτου κατενεχθῆναι κηδεμονίας ἦν πολλῆς, τὸ γινόμενον ἀπὸ τῶν πειρασμῶν διηγεῖται κέρδος· τοῦτο δὲ ἦν τὸ συνεχῶς πρὸς αὐτὸν βλέπειν, ἀλλὰ μὴ μέγα φρονεῖν μηδὲ ἐπαίρεσθαι. Διὰ τοῦτο εἰπὼν ὅτι « Αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν », καὶ τὴν αἰτίαν ἐπήγαγε. Τίς δέ ἐστιν αὕτη; « Ἵνα μὴ πεποιθότες ὦμεν, φησὶν, ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ζωοποιοῦντι τοὺς νεκρούς. » Νυστάζοντας γὰρ ἡμᾶς καὶ καταπίπτοντας ἀφυπνίζειν εἰωθε τῶν πειρασμῶν ἡ φύσις καὶ διεγείρειν καὶ εὐλαβεστέρους ποιεῖν. Ὅταν οὖν ἴδῃς, ἀγαπητὲ, πειρασμὸν νῦν μὲν σβεσθέντα, νῦν δὲ ἐγερθέντα πάλιν, μὴ καταπέσῃς μηδὲ ἀπαγορεύσῃς, ἀλλὰ χρηστὰς ἔχε τὰς ἐλπίδας, ἐκεῖνο πρὸς ἑαυτὸν λογιζόμενος, ὅτι οὐχὶ μισῶν οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ὁ Θεὸς παραδίδωσι ταῖς χερσὶ τῶν ἐχθρῶν, ἀλλὰ σπουδαιοτέρους καὶ οἰκειοτέρους αὐτῷ κατασκευάσαι βουλόμενος.

Μὴ τοίνυν ἀπαγορεύσωμεν μηδὲ τὴν ἐπὶ τὸ βέλτιον ἀπογνῶμεν μεταβολήν, ἀλλὰ ταχίστην προσδοκῶμεν ἔσεσθαι γαλήνην, καὶ τὸ τέλος ἁπάντων τῶν κατεχόντων ἡμᾶς θορύβων ῥίψαντες ἐπὶ τὸν Θεὸν, αὐτοὶ τῶν συνήθων ἁπτώμεθα πάλιν, καὶ τὴν εἰωθυῖαν διδασκαλίαν εἰς μέσον ἄγωμεν. Πάλιν γὰρ ὑμῖν περὶ τῆς αὐτῆς ὑποθέσεως διαλεχθῆναι βούλομαι, ὥστε πρόῤῥιζον ἀπὸ τῆς διανοίας ὑμῶν ἀνασπάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Διόπερ ἀνάγκη πάλιν ἐπὶ τὴν αὐτὴν καταφυγεῖν ἱκετηρίαν. Καὶ γὰρ παρεκάλεσα πρώην ὑμᾶς τὴν κεφαλὴν Ἰωάννου λαβόντας ἀποτετμημένην καὶ θερμοῦ τοῦ αἵματος ἔτι ἀποστάζουσαν, οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾶν αὐτὴν φωνὴν ἀφιεῖσαν καὶ λέγουσαν, Μισήσατέ μου τὸν σφαγέα τὸν ὅρκον. Ὅπερ ἔλεγχος οὐκ ἐποίησε, τοῦτο ὅρκος ἐποίησεν· ὅπερ θυμὸς τυραννικὸς οὐκ ἴσχυσε, τοῦτο εὐορκίας ἀνάγκη παρεσκεύασε. Καὶ ὅτε μὲν ἠλέγχετο δημοσίᾳ πάντων ἀκουόντων, ἤνεγκε γενναίως τὴν ἐπιτίμησιν ὁ τύραννος· ὅτε δὲ εἰς ὅρκων ἀνάγκην ἑαυτὸν ἐνέβαλε, τότε τὴν μακαρίαν ἐκείνην ἀπέτεμε κεφαλήν. Τὸ αὐτὸ δὴ τοῦτο καὶ νῦν παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ὥστε ὅπουπερ ἂν ἀπίωμεν, ταύτην βαστάζοντας τὴν κεφαλὴν ἀπιέναι, καὶ πᾶσιν αὐτὴν ἐπιδεικνύναι βοῶσαν καὶ τῶν ὅρκων κατηγοροῦσαν. Κἂν γὰρ σφόδρα ὦμεν ῥᾴθυμοι καὶ ὀλίγωροι, τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς ἐκείνης ἰδόντες φοβερὸν εἰς ἡμᾶς βλέποντας καὶ ἀπειλοῦντας ὀμνύουσι, χαλινοῦ παντὸς εὐτονώτερον τῷ φόβῳ τούτῳ σωφρονισθέντες, ἄγχειν καὶ ἀποστρέφειν δυνησόμεθα ῥᾳδίως τὴν γλῶτταν ἀπὸ τῆς

speraremus, nec amplius speraremus ullam fore bonam mutationem, nec nisi mortem exspectandam esse omnino: hoc enim illud est, *Ipsi in nobis ipsis responsum mortis habuimus;* sed tamen post tantam desperationem depulit Deus procellam, et nubem abegit, nosque ex ipsis mortis faucibus eripuit. Mox demonstrans quod concedere ut in tantum incideremus periculum, multæ fuerit providentiæ opus, etiam lucrum ex tentationibus partum memorat; hoc autem erat assidue ad ipsum respicere, sed nil magnum sapere neque extolli. Propterea cum dixisset, *Ipsi in nobis ipsis responsum mortis habuimus*, et causam inlulit. Quæ vero hæc est causa? *Ut non simus fidentes in nobis*, inquit (*ib.* v. 9), *sed in Deo, qui suscitat mortuos.* Dormitantes enim nos et delapsos expergefacere solet et excitare et religiosiores facere tentationum natura. Cum igitur videris, dilecte, tentationem nunc quidem exstinctam, rursum autem accensam, ne animo concidas neu despondeas; sed bonam spem teneas, illud intra te ipsum ratiocinans, quod non perosus nec aversatus nos Deus inimicorum manibus tradat, sed studiosiores et sibi magis familiares facere volens.

Ne igitur animum despondeamus, nec mutationem in melius desperemus, sed celerrimam speremus fore tranquillitatem, et omnium quibus agitamur tumultuum finem in Deum projicientes, rursum consueta attingamus, solitamque in medium doctrinam producamus: rursus enim vobis de eadem materia dicere volo, ut de mente vestra improba jurandi consuetudo radicitus evellatur. Idcirco necesse rursum ad eamdem confugere supplicationem. Etenim antea vos rogavi, ut Joannis caput abscissum adhuc calido cruore destillans sumentes, sic domum quisque suam redeatis, et putetis ante oculos habere ipsum vocem emittentem et dicentem: Odio habete jugulatorem meum juramentum. Quod increpatio non fecit, hoc fecit juramentum: quod ira non poluit tyrannica, hoc perjurii necessitas effecit. Sane quando omnibus publice audientibus arguebatur, increpationem generose tulit tyrannus; cum vero se in juramentorum necessitatem adegit, tunc illud beatum caput abscidit. Hoc ipsum igitur et nunc pelo, et petere non desistam, ut quocumque abierimus, hoc gestantes caput abeamus, et omnibus ostendamus clamans et juramenta accusans. Quamvis namque valde simus ignavi et negligentes, capitis illius oculos intuiti, terribiliter nos respicientes et minantes jurantibus, freno omni vehementius per hunc timorem repressi, cohibere et avertere facile poterimus linguam a jurandi impetu. Nec

ἐπὶ τοὺς ὅρκους ὁρμῆς. Οὐδὲ γὰρ τοῦτο μόνον τὸ δεινὸν ἔχει ὁ ὅρκος, ὅτι καὶ παραβαινόμενος καὶ φυλαττόμενος κολάζει τοὺς ἁλισκομένους, ὅπερ οὐδενὶ τῶν ἄλλων ἁμαρτημάτων συμβαῖνον ἴδοι τις ἄν· ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου κακόν. Τί δὲ τοῦτό ἐστι; Τὸ μηδὲ βουλομένοις μηδὲ σπουδάζουσι δυνατὸν εἶναι εὐορκῆσαι πολλάκις. Πρῶτον μὲν γὰρ ὁ διηνεκῶς ὀμνὺς, καὶ ἑκὼν καὶ ἄκων, καὶ ἀγνοῶν καὶ εἰδὼς, καὶ σπουδάζων καὶ παίζων, καὶ ὑπὸ θυμοῦ πολλάκις ἐξερόμενος καὶ ὑπὸ ἑτέρων πολλῶν, ἐπιορκήσει πάντως. Καὶ πρὸς ταῦτα οὐδεὶς ἀντερεῖ· οὕτως ἐστὶν ὁμολογημένον καὶ δῆλον ὅτι τὸν πολύορκον ἀνάγκη καὶ ἐπίορκον εἶναι. Δεύτερον δὲ, ὅτι κἂν μὴ συναρπασθεὶς μηδὲ ἄκων μηδὲ ἀγνοῶν τοῦτο πάθῃ, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως, καὶ ἑκὼν καὶ εἰδὼς, ἀναγκασθήσεται ἐπιορκῆσαι πάντως. Πολλάκις γοῦν ἐπὶ τῆς οἰκίας ἀριστοποιουμένων ἡμῶν, καὶ τῶν οἰκετῶν τινος διαμαρτόντος, ὤμοσε μαστιγώσειν ἡ γυνή· εἶτα ἀντώμοσεν ὁ ἀνὴρ τἀναντία, καὶ ἀντέστη φιλονεικῶν καὶ οὐκ ἐπιτρέπων. Ἐνταῦθα κἂν ὁτιοῦν ποιήσωσιν, ἀνάγκη πάντως ἐπιορκίαν συστῆναι· οὐδὲ γὰρ βουλομένοις αὐτοῖς οὐδὲ σπουδάζουσι φυλάξαι δυνατὸν τὸν ὅρκον λοιπόν· ἀλλ' ὅπερ ἂν γένηται, θάτερος αὐτῶν ἐπιορκίᾳ ἁλώσεται· μᾶλλον δὲ ἀμφότεροι πάντως· καὶ πῶς, ἐγὼ λέγω· τοῦτο γάρ ἐστι τὸ παράδοξον. Ὁ ὀμόσας μαστιγώσειν τὸν οἰκέτην ἢ τὴν θεραπαινίδα, εἶτα κωλυθείς, αὐτός τε ἐπιώρκησε μὴ ποιήσας ὅπερ ὤμοσε, καὶ τῷ κωλύσαντι πάλιν καὶ διακόψαντι τὴν εὐορκίαν τὸ ἔγκλημα τῆς ἐπιορκίας περιέστησεν. Οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ ἑτέροις τὴν ἀνάγκην ταύτην ἐφιστῶντες, καὶ ὁρκίζοντες, ὑπεύθυνοι τῶν αὐτῶν ἐγκλημάτων εἰσίν. Οὐκ ἐν οἰκίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς ἀγοραῖς ἴδοι τις ἂν τοῦτο γινόμενον, καὶ ἐν ταῖς μάχαις μάλιστα, ὅταν πρὸς ἀλλήλους πυκτεύοντες ἀντομνύωσιν, ὁ μὲν τυπτήσειν, ὁ δὲ μὴ τυπτήσεσθαι· ὁ μὲν ἀφαιρήσειν τὸ ἱμάτιον, ὁ δὲ οὐκ ἐπιτρέψειν· ὁ μὲν ἀπαιτήσειν τὸ ἀργύριον, ὁ δὲ οὐκ ἀποδώσειν· καὶ πολλὰ δὲ ἕτερα ἐναντία τοιαῦτα φιλονεικοῦντες ὀμνύουσι. Καὶ ἐν ἐργαστηρίοις δὲ καὶ διδασκαλείοις ἴδοι τις ἂν τοῦτο συμβαῖνον. Πολλάκις γοῦν τεχνίτης ὠμόσατο τῷ μαθητῇ μὴ πρότερον αὐτὸν ἀφήσειν φαγεῖν καὶ πιεῖν, ἕως ἂν τὸ δοθὲν ἔργον ἅπαν ἀνύσῃ. Τοῦτο δὲ καὶ παιδαγωγὸς πολλάκις πρὸς νέον, καὶ πρὸς θεράπαιναν ἐποίησε δέσποινα, καὶ ἀνάγκη τῆς ἑσπέρας καταλαβούσης, καὶ τοῦ ἔργου μὴ πληρωθέντος, ἢ λιμῷ διαφθαρῆναι τοὺς οὐκ ἀνύσαντας, ἢ ἐπιορκῆσαι τοὺς ὀμόσαντας πάντως. Ὁ γὰρ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τοῖς ἀγαθοῖς ἐφεδρεύων ἀεὶ τοῖς ἡμετέροις, παρεστὼς καὶ ἀκούων τῆς ἀνάγκης τῶν ὅρκων, εἰς ῥᾳθυμίαν τοὺς ὑπευθύνους ἐμβάλλει, ἢ ἑτέραν δυσκολίαν ἐργάζεται, ὥστε μὴ πληρωθέντος τοῦ ἔργου, καὶ πληγὰς καὶ ὕβρεις καὶ ἐπιορκίας καὶ μυρία ἕτερα γενέσθαι δεινά. Καθάπερ γὰρ παῖδες σχοινίον μακρὸν καὶ διεφθαρμένον ἕλκοντες ἀπεναντίας ἀλλήλων

enim hoc solum habet mali juramentum, quod et temeratum et servatum juratos pœnæ faciat obnoxios, id quod in nullo peccatorum alio accidere quis viderit; sed et aliud non minus isto malum. Quod autem hoc est? Quod neque volentibus, neque studentibus sæpius possibile sit bene jurare. Primo quia frequenter jurans, et volens et invitus, et nesciens et sciens, et serio et joco, et ab ira sæpe elatus et a multis aliis, omnino pejerabit. Et his contradicet nemo: usque adeo planum et manifestum est quod multum jurantem perjurum esse necessarium sit. Secundo, etsi non raptus aut invitus aut ignorans hoc patiatur, ab ipsa rei natura, et volens et sciens omnino pejerare cogetur. Sæpius enim domi nobis prandentibus, et servorum aliquo peccante, se illum flagellaturam uxor juravit; mox vir contrarium juravit, et ambitiose restitit, nec permisit. Hic quidquid fecerint, necesse est omnino perjurium constitui: nec enim volentibus ipsis et studentibus jam est possibile custodire juramentum; sed quicquid accidat, ipsorum alter perjurii reus fiet, vel potius ambo, hoc scilicet modo, quem dicam: hoc enim est admirabile. Juratus se flagellaturum servum vel ancillulam, postea prohibitus, et ipse pejeravit, quoniam non fecit quod juravit; et prohibentem ac juramenti veritatem impedientem perjurii crimine alligavit. Non enim pejerantes tantum, sed aliis quoque necessitatem hanc jurandi afferentes, eorumdem rei sunt criminum. Nec domi tantum, sed et in publico hoc quispiam fieri videat, et in pugnis maxime, quando inter se decertantes contraria juraut: hic quidem verberaturum, ille vero non verberatum iri; hic pallium se ablaturum, ille non permissurum; hic argentum se repetiturum, ille vero se non redditurum: et multa alia hujusmodi repugnantia inter se contendentes jurant. Hoc vero et in officinis et scholis quispiam evenire videat. Sæpius quippe artifex discipulum comedere et bibere non prius se permissurum esse juravit, quam totum opus injunctum expedierit. Hoc autem et pædagogus sæpe in puerum et in ancillam domina fecit: et necesse est superveniente vespere, et opere non impleto, vel fame absumi qui non expedierunt, vel juratos omnino pejerare. Malignus enim dæmon ille bonis semper nostris insidians adstat, et juramentorum necessitatem audiens, in relaxationem obnoxios impellit, vel aliam molitur difficultatem, ut non impleto opere et plagæ et contumeliæ et perjuria et infinita alia mala fiant. Sicut enim pueri funiculum longum et putri-

μετὰ πολλῆς τῆς ῥύμης, ὕπτιοι πάντες πίπτουσι τοῦ σχοινίου μέσου διαῤῥαγέντος, καὶ οἱ μὲν τὰς κεφαλὰς, οἱ δὲ ἕτερόν τι τοῦ σώματος τιτρώσκονται μέρος· οὕτω δὴ καὶ οἱ ἀντομνύοντες ἀλλήλοις ἀπεναντίας, τοῦ ὅρκου διαῤῥαγέντος ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης, εἰς τὸ τῆς ἐπιορκίας ἀμφότεροι καταπίπτουσι βάραθρον, οἱ μὲν αὐτῷ τῷ ἐπιορκεῖν, οἱ δὲ τῷ τὴν αἰτίαν τῆς ἐπιορκίας παρασχεῖν ἑτέροις.

Καὶ ἵνα τοῦτο μὴ μόνον ἀπὸ τῶν ἐν ταῖς οἰκίαις καὶ τῶν ἐν ταῖς ἀγοραῖς καθ' ἑκάστην ἡμέραν γινομένων, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν Γραφῶν γένηται δῆλον, ἱστορίαν ὑμῖν τινα παλαιὰν διηγήσομαι τοῖς εἰρημένοις συμβαίνουσαν. Ἐπελθόντων ποτὲ πολεμίων τοῖς Ἰουδαίοις, καὶ τοῦ Ἰωνάθαν (υἱὸς δὲ οὗτος ἦν τοῦ Σαούλ) τοὺς μὲν κατακόψαντος, τοὺς δὲ εἰς φυγὴν ἐμβαλόντος, βουλόμενος ὁ Σαοὺλ ὁ τούτου πατὴρ μειζόνως κατὰ τῶν ὑπολειφθέντων τὸ στρατόπεδον διεγεῖραι, καὶ ποιῆσαι μὴ πρότερον ἀποστῆναι, ἕως ἂν πάντας χειρώσωνται, τοὐναντίον ἢπερ ἠθέλησεν ἔπραξεν, ὁμόσας ἕως ἑσπέρας μηδένα φαγεῖν ἄρτον, ἕως ἐκδικήσεως τῶν ἐχθρῶν αὐτοῦ. Ἆρα τί τούτου γένοιτ' ἂν ἀνοητότερον; Πεπονηκότας γὰρ καὶ κατακοπέντας στρατιώτας ὀφείλων διαναπαῦσαι, καὶ νεαρωτέρους ἐπαφεῖναι τοῖς πολεμίοις, τῶν πολεμίων αὐτῶν χαλεπώτερον κατειργάσατο διὰ τῆς ἀνάγκης τοῦ ὅρκου λιμῷ παραδοὺς αὐτοὺς χαλεπωτάτῳ. Σφαλερὸν μὲν οὖν τὸ καὶ περὶ ἑαυτοῦ τινα ὀμνύναι· πολλὰ γὰρ ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως βιαζόμεθα· τὸ δὲ καὶ τὴν ἑτέρων γνώμην τῇ τῶν οἰκείων ὅρκων ἀνάγκῃ καταδῆσαι πολλῷ σφαλερώτερον, καὶ μάλιστα ὅταν μὴ περὶ ἑνὸς καὶ δύο καὶ τριῶν, ἀλλὰ περὶ πλήθους ἀπείρου τις ὀμνύῃ· ὅπερ ὁ Σαοὺλ τότε ἐποίησεν ἀπερισκέπτως, καὶ οὔτε ὅτι εἰκὸς ἦν ἐν οὕτως ἀπείρῳ ὄχλῳ ἕνα γοῦν τινα παραβῆναι τὸν ὅρκον ἐνενόησεν, οὔτε ὅτι στρατιῶται, καὶ στρατιῶται πολεμοῦντες, πολὺ φιλοσοφίας ἀφεστηκότες, γαστρὸς κρατεῖν οὐκ ἐπίστανται, καὶ μάλιστα ὅταν πολὺς ὁ κάματος ᾖ. Ἀλλὰ ταῦτα πάντα παριδὼν ἐκεῖνος, ὡς περὶ ἑνὸς οἰκέτου μόνον ὀμνὺς, ὃν εὐκόλως ἠδύνατο κατασχεῖν, οὕτω περὶ παντὸς ἐλογίσατο τοῦ στρατοπέδου. Διά τοι τοῦτο τοσαύτην ἤνοιξε τῷ διαβόλῳ θύραν, ὡς μὴ μόνον δύο καὶ τρεῖς καὶ τέτταρας, ἀλλὰ πολλῷ πλείους ἀπὸ τοῦ ὅρκου τούτου ἐν βραχεῖ καιρῷ πλέξαι ἐπιορκίας. Ὥσπερ γὰρ ὅταν μηδ' ὅλως ὀμόσωμεν, ἅπασαν αὐτῷ τὴν εἴσοδον ἀποφράττομεν· οὕτως ἂν ἕνα ὅρκον προώμεθα μόνον, πολλὴν αὐτῷ παρέχομεν ἐξουσίαν συνθεῖναι μυρίας ἐπιορκίας. Καὶ καθάπερ οἱ τὰς σειρὰς πλέκοντες, ἂν μὲν ἔχωσι τὸν κατέχοντα αὐτοῖς τὴν ἀρχὴν, μετὰ ἀκριβείας ἅπασαν ἐργάζονται τὴν πλοκήν· ἂν δὲ μηδεὶς ὁ τοῦτο ποιῶν ᾖ, οὐδ' ἐπιχειρῆσαι δύναιντ' ἂν τὴν ἀρχήν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ διάβολος τὰς σειρὰς τῶν ἁμαρτημάτων ἡμῶν πλέκων, ἂν μὴ λάβῃ τὴν ἀρχὴν ἀπὸ τῆς γλώττης τῆς ἡμετέρας, οὐδὲ ἐπιχειρῆσαι δύναιτ' ἄν· ἂν δὲ ἀρχὴν ποιησώμεθα μόνον, ὥσπερ

dum ex contrario inter se trahentes cum multo impetu, supini omnes cadunt funiculo per medium disrupto, et hi quidem capite, illi vero alia corporis parte feriuntur: sic et inter se contraria jurantes, juramento pro rerum necessitate disrupto, in perjurii barathrum utrique cadunt, hi quidem pejerando, illi vero perjurii causam aliis præbendo.

2. Et ut hoc non tantum ex iis quæ quotidie in domibus et plateis fiunt, sed etiam ex ipsis Scripturis sit manifestum, antiquam vobis quamdam narrabo historiam dictis convenientem. (1. *Reg.* 14. 24. *et sqq.*) Hostes aliquando Judæos cum invasissent, eosque Jonathas aggressus esset (hic autem erat Saülis filius), et hos quidem trucidasset, illos vero in fugam convertisset: volens Saül hujus pater amplius contra reliquos exercitum excitare, et facere ut non absisteret priusquam omnes oppressisset, contrarium quam voluit fecit, juratos neminem usque ad vesperam panem comesturum usque ad hostium ultionem suorum. Quid nempe hac re stultius fieri posset? Fatigatos enim et prostratos milites cum refocillare debuisset et fortiores hostibus immittere, hostibus ipsis gravius eos habuit, per juramenti necessitatem fami gravissimæ ipsos tradens. Periculosum quippe etiam de re ipso quempiam jurare; sæpius enim a rerum circumstantiis cogimur; aliorum vero sententiam juramentorum suorum necessitate comprehendere, multo periculosius, et maxime cum non de uno, aut duobus vel tribus, sed de multitudine quis infinita juret: sicut tunc Saül inconsiderate fecit, neque cogitavit verisimile esse ut ex tanto numero unus saltem juramentum tranagrederetur, neque consideravit milites, et milites pugnantes, et multum a philosophia alienos ventrem vincere non posse, maxime cum labor sit plurimus. Sed hæc omnia ille despiciens, tamquam de uno tantum servo jurans, quem facile cohibere posset, sic de omni ratiocinatus est exercitu. Et ideo tantum diabolo aditum aperuit, ut non modo duo et tria et quatuor, sed et multo plura hoc ex juramento brevi tempore perjuria texeret. Sicut enim cum nihil omnino juramus, omnes ipsi aditus obstruimus: ita si unum dumtaxat juramentum emi erimus, ipsi magnam infinita componendi perjuria potestatem præbemus. Et sicut ii qui catenas complicant, si enim qui caput tenet habeant, facile et diligenter totam expediunt nodorum seriem; si vero qui faciat hoc adsit nemo, nec initium aggredi possunt: eodem modo diabolus quoque peccatorum nostrorum catenas nectens, nisi a lingua nostra principium ducat, ne aggredi quidem potest; si vero nos principium dumtaxat fecerimus, lingua quasi manu juramentum nobis retinentibus, cum multa jam fi-

χειρὶ τῇ γλώττῃ τὸν ὅρκον ἡμῶν κατεχόντων, μετὰ πολλῆς λοιπὸν τῆς ἀδείας τὴν πονηρὰν αὐτοῦ τέχνην ἐπιδείκνυται, ἐξ ἑνὸς ὅρκου μυρίας συντιθεὶς καὶ πλέκων ἐπιορκίας· ὃ δὴ καὶ νῦν ἐπὶ τοῦ Σαοὺλ ἐποίησεν οὗτος. Ὅρα γοῦν εὐθέως οἷα γίνεται τῷ ὅρκῳ τούτῳ παγίς.

Δρυμὸν παρῄει τὸ στρατόπεδον μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον τοῦ ἀγροῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. Εἶδες οἷον τὸ βάραθρον; τράπεζα ἐσχεδιασμένη, ἵνα καὶ τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λήσεσθαι ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς προκαλέσηται τῶν ὅρκων. Ὅ τε γὰρ λιμὸς ὅ τε κάματος καὶ ὁ καιρός (« Πᾶσα γὰρ ἡ γῆ, φησὶν, ἠρίστα ») τότε ὤθουν ἐπὶ τὴν παρανομίαν. Καὶ ἡ τῶν κηρίων δὲ ὄψις ἔξωθεν αὐτοὺς προεκαλεῖτο ἐκλύουσα τὴν εὐτονίαν· τό τε γὰρ ἡδὺ καὶ ἐμπαράσκευον τῆς τραπέζης, καὶ τὸ δυσφώρατον τῆς κλοπῆς, ἱκανὰ πᾶσαν ἦν δελεάσαι φιλοσοφίαν. Εἰ μὲν γὰρ κρέα ἦν, ἅπερ ἕψειν καὶ ὀπτᾶν ἔδει, οὐκ ἂν οὕτως αὐτῶν ἐγοήτευσε τὴν ψυχήν, ἐν τῷ μαγειρεύειν αὐτὰ καὶ πρὸς τροφὴν παρασκευάζειν μελλόντων καὶ βραδυνόντων καὶ προσδοκώντων ἁλώσεσθαι· νυνὶ δὲ οὐδὲν τοιοῦτον ἦν, ἀλλὰ μέλι μόνον, ἔνθα πραγματείας μὲν οὐδεμιᾶς ἔδει τοιαύτης, ἦρκει δὲ ἄκρῳ τῷ δακτύλῳ βάψαντα μετασχεῖν τῆς τραπέζης καὶ λαθεῖν. Ἀλλ' ὅμως ἐκεῖνοι κατεῖχον τῆς ἐπιθυμίας, καὶ οὐκ εἶπον πρὸς ἑαυτούς, Τί δὲ ἡμῖν μέλει; μὴ γὰρ δὴ ἡμῶν τις διωμόσατο τοῦτο; ἐκεῖνος δώσει δίκην τῶν ἀπερισκέπτων ὅρκων· τίνος γὰρ ἕνεκεν ὤμνυ; Ἀλλ' οὐδὲν τούτων ἐνενόησαν, ἀλλὰ μετὰ πολλῆς τῆς εὐλαβείας παρῄεσαν, καὶ τοσούτων ὄντων τῶν δελεαζόντων αὐτοὺς, ἐφιλοσόφουν, « καὶ διεπορεύετο ὁ λαὸς λαλῶν. » Τί ἐστι, Διεπορεύετο λαλῶν; Τὴν ὀδύνην διὰ τῶν ῥημάτων παραμυθούμενοι διελέγοντο πρὸς ἀλλήλους. Τί οὖν, ἐπειδὴ ὁ λαὸς ἐφιλοσόφησεν ἅπας, ἆρα οὐδὲν ἐγένετο πλέον, ἀλλὰ ἐφυλάχθη ὁ ὅρκος; Οὐδὲ οὕτω μὲν οὖν ἐφυλάχθη, ἀλλὰ παρεβάθη. Πῶς καὶ τίνι τρόπῳ; Αὐτίκα ἀκούσεσθε, ἵνα καὶ τὴν τοῦ διαβόλου τέχνην καταμάθητε πᾶσαν. « Ὁ γὰρ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐβάπτισεν εἰς τὸ κήριον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. » Ὅρα τίνα πρὸς τὴν ἐπιορκίαν ὤθησεν, οὐχ ἕνα τῶν στρατιωτῶν, ἀλλ' αὐτὸν τὸν υἱὸν τοῦ ὀμωμοκότος· οὐδὲ γὰρ ἐπιορκίαν ἐργάσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν συνετίθει καὶ κατεσκεύαζε πόρρωθεν, καὶ τὴν φύσιν αὐτὴν καθ' ἑαυτῆς σχίσαι ἠπείγετο, καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθάε ποτὲ ἐποίησε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπισε. Καὶ γὰρ ἐκεῖνος ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν ἀπὸ τοῦ πολέμου νίκην κατασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε· τὸ γὰρ θυγάτριον πρῶτον ἀπαντῆσαν αὐτῷ

centia malignam artem suam exercet, ex uno juramento innumera componens et texens perjuria : quod profecto et eo quod nunc narramus in Saule hic effecit. Aspice enim qualis statim hoc juramento laqueus exoriatur.

Sylvam præteribat exercitus apiarium habentem, quod ante faciem agri erat, et ingressus est populus in apiarium, et transibat loquens. Vidisti quantum barathrum? mensa extemporanea, ut et accedendi facilitas, et nutrimenti suavitas, et latendi spes in juramentorum transgressionem ipsos alliceret. Nam fames et labor et tempus (*Omnis* enim, inquit [1. *Reg.* 14. 24], *terra prandebat*) tunc ad prævaricationem impellebant. Favorum aspectus quoque animi vigorem solvens, extrinsecus ipsos invitabat : mensæ enim tum jucunditas, tum facilis apparatus, et deprehendendi furti difficultas omnem fallere philosophiam facile poterant. Nam si carnes fuissent, quas elixare vel torrere oporteret, non tantum ipsorum animos allexissent, cum in ipsis coquendis et ad escam parandis cunctari et tardare oporteret, se in re deprehensum iri exspectantes : nunc vero nil erat tale, sed mel solum, ubi ejusmodi labore nullo opus erat; sufficiebat autem summum digitum intingentem ex mensa capere et latere. Verumtamen illi cupiditatem continuerunt, nec intra se dixerunt, Quid nobis hoc curandum est? numquid nostrûm quisquam hoc juravit? ille inconsiderati pœnas dabit juramenti : quare namque juravit? At nihil ejusmodi cogitarunt, sed cum multa transibant reverentia; et cum tot essent, quæ ipsos allicerent, disciplinam servabant, *Et transibat populus loquens* (1. *Reg.* 14 26). Quid est, *transibat loquens?* Dolorem verbis consolantes inter sese loquebantur. 3. Quid igitur, postquam omnis populus disciplinam servavit, nihilne amplius actum est, sed servatum est juramentum? Ne ita quidem servatum est, sed temeratum. Qualiter autem, et quomodo, statim audietis, ut omnem diaboli artem addiscatis. *Jonathas* enim (*ib.* v. 27), *qui non audierat patrem suum jurantem, extendit summitatem sceptri, quod habebat in manu sua, et intinxit in favum mellis, et convertit manum suam in os suum, et respexerunt oculi ejus.* Vide quem ad perjurium impulit, non unum militum, sed ipsum jurati filium : nec enim perjurium patrare tantum volebat, verum et filii cædem componebat et ex longinquo molichatur, et naturam ipsam contra se ipsam dividere festinabat; et quod olim in Jephthae fecerat (*Judic.* 11. 39), hoc et postea se facturum sperabat. Etenim ille Deo pollicitus se primum sibi occursurum post belli victoriam jugulaturum, in filiæ necem cecidit; filiolam enim primam sibi occurrentem immolavit,

κατέθυσε, καὶ ὁ Θεὸς οὐκ ἐκώλυσε. Καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν ἀπίστων ὠμότητα ἐγκαλοῦσιν ἡμῖν καὶ ἀπανθρωπίαν διὰ τὴν θυσίαν ταύτην· ἐγὼ δὲ πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας εἶναι σύμβολον τὴν συγχώρησιν τὴν ἐπὶ τῇ θυσίᾳ ταύτῃ γεγενημένην εἴποιμι ἂν εἶναι, καὶ ὅτι τοῦ γένους ἡμῶν κηδόμενος οὐκ ἐκώλυσεν ἐκείνην τὴν σφαγήν. Εἰ γὰρ μετὰ τὴν εὐχὴν ἐκείνην καὶ τὴν ὑπόσχεσιν τὴν θυσίαν ἐκώλυσε, πολλοὶ καὶ μετὰ τὸν Ἰεφθάε προσδοκῶντες μὴ δέξεσθαι τὸν Θεὸν, πολλὰς ἂν τοιαύτας ηὔξαντο εὐχὰς, καὶ ὁδῷ προβαίνοντες εἰς παιδοκτονίαν ἐξέβησαν ἂν· νυνὶ δὲ ἀφεὶς αὐτὴν πληρωθῆναι ἔργῳ, τοὺς μετὰ ταῦτα πάντας ἐκώλυσε. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, μετὰ τὸ σφαγῆναι τὸ θυγάτριον τοῦ Ἰεφθάε, ὥστε ἀείμνηστον εἶναι τὴν συμφοράν, καὶ μὴ λήθῃ παραδοθῆναι τὸ πάθος, ἐγένετο νόμος παρὰ τοῖς Ἰουδαίοις συνερχομένας τὰς παρθένους κατὰ τὸν καιρὸν ἐκεῖνον ἡμέρας τεσσαράκοντα πενθεῖν τὴν γεγενημένην σφαγήν, ἵνα τῷ θρήνῳ τῆς θυσίας τὴν μνήμην ἀνανεοῦντες τοὺς μετὰ ταῦτα σωφρονεστέρους ποιῶσιν ἅπαντας, καὶ μάθωσιν ὡς οὐ κατὰ γνώμην ἦν τῷ Θεῷ γενέσθαι τοῦτο· οὐδὲ γὰρ ἂν θρηνεῖν καὶ ὀδύρεσθαι τὰς παρθένους ἀφῆκε. Καὶ ὅτι οὐ στοχασμὸς τὸ λεγόμενον, τὸ τέλος ἔδειξε. Μετὰ γὰρ τὴν θυσίαν ἐκείνην οὐδεὶς τοιαύτην εὐχὴν ηὔξατο τῷ Θεῷ· διὰ τοῦτο ταύτην μὲν οὐκ ἐκώλυσεν, ἣν δὲ αὐτὸς ἐπέταξε διεκώλυσε, τὴν ἐπὶ τοῦ Ἰσαὰκ, δι' ἀμφοτέρων δεικνὺς ὡς οὐ χαίρει ταῖς τοιαύταις θυσίαις. Ἀλλ' ὁ πονηρὸς δαίμων ἐφιλονείκει καὶ νῦν τοιαύτην τραγῳδίαν ἐργάσασθαι· διὰ τοῦτο τὸν Ἰωνάθαν ἐπὶ τὴν παράβασιν ὥθησεν. Εἰ μὲν γάρ τις τῶν στρατιωτῶν παρέβη τὸν νόμον, οὐδὲν αὐτῷ μέγα ἐδόκει εἶναι κακὸν τὸ γινόμενον· νυνὶ δὲ ἀκόρεστος ὢν τῶν ἀνθρωπίνων κακῶν, καὶ οὐδέποτε ἐκ τῶν ἡμετέρων ἐμπιπλάμενος συμφορῶν, οὐδὲν νεανικὸν ἡγεῖτο ποιεῖν, εἰ φόνον ἐργάσαιτο ψιλόν· ἀλλ' εἰ μὴ καὶ παιδοκτονίᾳ τὴν δεξιὰν τοῦ βασιλέως μολύνειεν, οὐδὲν μέγα πεποιηκέναι ἐνόμιζε. Καὶ τί λέγω παιδοκτονίαν; ἐπενόησε γὰρ ὁ μιαρὸς ἐκεῖνος καὶ τούτου πάλιν ἐναγέστερον φόνον εὑρεῖν. Εἰ μὲν γὰρ εἰδὼς ἥμαρτε καὶ ἐσφάγη, παιδοκτονία μόνον τὸ γινόμενον ἦν· νυνὶ δὲ ἐξ ἀγνοίας ἁμαρτὼν (οὐδὲ γὰρ ἤκουσε τῶν ὅρκων), εἶτα ἀναιρεθεὶς, διπλοῦν ἂν ἐποίησε τῷ πατρὶ τὸ ἄλγος· καὶ γὰρ παῖδα καὶ παῖδα οὐδὲν ἁμαρτόντα καταθύειν ἔμελλεν.

Ἀλλ' ἐπὶ τὰ ἑχόμενα τῆς ἱστορίας πορευτέον λοιπόν. Ἐπειδὴ γὰρ ἔφαγεν, « ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ », φησί. Πολλὴν καὶ ἐνταῦθα τοῦ βασιλέως κατηγορεῖ τὴν ἄνοιαν, δεικνὺς ὅτι σχεδὸν ὁ λιμὸς ἐπήρωσε τοὺς στρατιώτας ἅπαντας, καὶ πολλὴν τῶν ὀφθαλμῶν αὐτῶν κατέχεε τὴν ἀχλύν. Εἶτα ἰδών τις, φησὶ, τῶν στρατιωτῶν λέγει, « Ὥρκισας ὤρκισεν ὁ πατήρ σου τὸν λαὸν ὃς φάγεται ἄρτον σήμερον· καὶ ἐξελύθη ὁ λαός. Καὶ εἶπεν Ἰωνάθαν, Ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν. » Τί ἐστιν « ἀπήλλαχεν »; Ἀπώλεσε, διέφθειρεν ἅπαντας. Παραβαθέντος τοίνυν

et Deus non prohibuit. Et novi quidem infidelium multos crudelitatem et inhumanitatem nobis improperare propter hoc sacrificium; ego vero multæ providentiæ et clementiæ signum permissionem in hoc sacrificio datam esse dixerim, et quod generis nostri curam gerens, eadem illam non prohibuerit. Si enim post votum et promissionem illam sacrificium prohibuisset, multi etiam post Jephthae Deum sperantes non susceptarum, multa vovissent hujusmodi vota, et tensim progredientes in filiorum cædem incidissent: nunc vero illud opere permittens impleri, posteros omnes prohibuit. Et hoc esse verum, inde patet quod, postquam Jephthae filiola fuit jugulata, ut sempiternæ memoriæ calamitas esset, neu malum oblivioni traderetur, apud Judæos lex est lata, ut virgines illo tempore convenientes quadraginta diebus commissam cædem deplorarent, ut luctu cædis memoriam renovantes, posteros omnes prudentiores faciant, et discant illi secundum mentem Dei non fuisse, ut hoc fieret: neque enim lugere et plorare virgines permisisset. Et quod non conjectura sit quod dicitur, finis demonstravit. Post illud enim sacrificium nemo tale Deo votum vovit; propterea hoc non prohibuit: quod autem ipse de Isaac mandaverat, ipse vetuit, per ambo demonstrans se non gaudere hujusmodi sacrificiis. Sed malignus dæmon et nunc talem tragœdiam patrare contendebat, ideoque Jonathan ad prævaricationem impulit. Si quis enim militum prævaricatus legem fuisset, non magnum id malum ipsi esse videbatur; nunc autem malorum insaturabilis humanorum, nec unquam nostris expletus miseriis, nihil strenuum se facere putabat, si cædem moliretur simplicem: sed nisi filii morte regis dexteram pollueret, fecisse nihil se magnum arbitrabatur. Et quid dico filii cædem? excogitavit enim sceleratus ille et hac rursum exsecrabiliorem moliri cædem. Si enim sciens peccasset, et jugulatus fuisset, filii cædes tantum id erat: nunc autem ex ignorantia prævaricatus (nec enim audiverat juramenta), deinde interfectus, duplicem patri dolorem effecisset: filium enim, et filium qui nihil peccaverat, immolaturus erat.

Sed jam ad historiæ reliqua eundum est. Postquam enim comedit, *Respexerunt oculi ipsius*, inquit. Magnam et hinc regis accusat stultitiam, declarans milites cunctos fere obcæcasse famem, et multam ipsorum oculis infudisse caliginem. Postea conspicatus quidam militum, ait (1. *Reg.* 14. 28. 29), *Adjurans adjuravit pater tuus populum, qui comederit panem hodie: et defecit populus. Et dixit Jonathas: Dissolvit pater meus terram.* Quid est, *Dissolvit?* Perdidit, corrupit omnes. Temerato igitur jurejurando omnes tacebant, et reum

τοῦ ὄρους πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον εἰς μέσον ἀγαγεῖν ἐτόλμα· οὐ μικρὸν δὲ καὶ τοῦτο ἔγκλημα λοιπὸν ἐγίνετο· οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ συνειδότες μὲν, περιστέλλοντες δὲ, κοινωνοῦσι τῶν ἐγκλημάτων.

Πλὴν ἀλλ' ἴδωμεν τὰ ἑξῆς. « Καὶ εἶπε Σαοὺλ· Καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων καὶ διαρπάσωμεν αὐτούς. Καὶ εἶπεν ὁ ἱερεύς· Προσέλθωμεν ἐνταῦθα πρὸς τὸν Θεόν. » Τὸ γὰρ παλαιὸν ὁ Θεὸς ἐστρατήγει τῶν πολέμων, καὶ χωρὶς τῆς ἐκείνου γνώμης οὐδέποτε ἐτόλμων ἅπτεσθαι μάχης, καὶ ὁ πόλεμος αὐτοῖς εὐσεβείας ὑπόθεσις ἐγίνετο. Οὔτε γὰρ ἐξ ἀσθενείας σώματος, ἀλλ' ἀπὸ ἁμαρτιῶν ἡττῶντο, εἴ ποτε καὶ ἡττήθησαν, οὔτε ἀπὸ δυνάμεως καὶ ἀνδρείας, ἀλλ' ἀπὸ εὐνοίας τῆς ἄνωθεν ἐκράτουν, ὁπότε καὶ ἐκράτουν. Καὶ ἡ νίκη καὶ ἡ ἧττα γυμνάσιον αὐτοῖς καὶ διδασκαλεῖον ἀρετῆς ἦν, οὐκ αὐτοῖς δὲ μόνον, ἀλλὰ καὶ τοῖς πολεμοῦσιν αὐτοῖς· καὶ γὰρ καὶ ἐκείνοις τοῦτο κατάδηλον ἦν, ὅτι οὐ τῇ φύσει τῶν ὅπλων ὁ πρὸς Ἰουδαίους ἐκρίνετο πόλεμος, ἀλλὰ τῷ βίῳ τῶν πολεμούντων καὶ τοῖς κατορθώμασι. Τοῦτο γοῦν ποτε συνιδόντες οἱ Μαδιηναῖοι, καὶ γνόντες ὡς ἀκαταμάχητόν ἐστι τὸ ἔθνος ἐκεῖνο, καὶ μηχανήμασι μὲν καὶ ὅπλοις ἀμήχανον αὐτὸ καταγωνίσασθαι, ἁμαρτίᾳ δὲ μόνον ὑπατὸν αὐτοὺς ἑλεῖν, παρθένους καλλωπίσαντες εὐμόρφους καὶ στήσαντες ἐπὶ τῆς παρατάξεως, εἰς ἀσέλγειαν ἐξεκαλοῦντο τοὺς στρατιώτας, διὰ τῆς πορνείας ἀποστῆσαι τοῦ Θεοῦ τὴν συμμαχίαν σπουδάζοντες· ὃ δὴ καὶ συνέβη. Ἐπειδὴ γὰρ εἰς τὴν ἁμαρτίαν κατέπεσον, εὐχείρωτοι πᾶσιν ἐγένοντο, καὶ οὓς ὅπλα καὶ ἵπποι καὶ στρατιῶται καὶ τοσαῦτα μηχανήματα ἑλεῖν οὐκ ἴσχυσαν, τούτους ἁμαρτίας φύσις δεδεμένους τοῖς πολεμίοις παρέδωκε· καὶ ἀσπίδες μὲν καὶ ὀϊστοὶ καὶ βέλη πάντα ἠλέγχετο, ὄψεως δὲ εὐμορφία καὶ ψυχῆς ἀκολασία τοὺς γενναίους ἐχειρώσατο τούτους. Διὰ τοῦτο παραινεῖ τις λέγων, « Μὴ καταμάνθανε κάλλος ἀλλότριον, καὶ μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ. Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ὃ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. » Πόρνη γὰρ φιλεῖν οὐκ ἐπίσταται, ἀλλ' ἐπιβουλεύει μόνον· ἰὸν αὐτῆς ἔχει τὸ φίλημα, καὶ φάρμακον θηλητήριον τὸ στόμα. Εἰ δὲ οὐ φαίνεται εὐθέως, διὰ τοῦτο μᾶλλον ἀποφεύγειν αὐτὴν δεῖ, ὅτι περιέστειλε τὸν ὄλεθρον καὶ τὸν θάνατον ἐγκεκρυμμένον ἔχει, (καὶ) οὐδὲ ἀφίησιν ἐκ προοιμίων γενέσθαι κατάδηλον. Ὥστε εἴ τις ἡδονὴν διώκει καὶ εὐθυμίας γέμοντα βίον, τὰς τῶν πορνευομένων γυναικῶν φευγέτω συνουσίας· πολέμων γὰρ μυρίων καὶ θορύβων τὰς τῶν ἐραστῶν πληροῦσι ψυχὰς, μάχας αὐτοῖς καὶ φιλονεικίας κινοῦσαι διηνεκεῖς διὰ ῥημάτων, διὰ πραγμάτων ἁπάντων· καὶ καθάπερ οἱ τῶν ἐχθρῶν πολεμιώτατοι, οὕτω δὴ καὶ αὗται πάντα ποιοῦσι καὶ πραγματεύονται, ὥστε καὶ αἰσχύνῃ καὶ πενίᾳ καὶ τοῖς

nemo in medium agere audebat. Non modicum autem hoc quoque tum crimen factum est; non enim solum pejerantes, sed et conscii, obtegentes autem, criminibus communicant.

4. Verum reliqua videamus. (*Ibid.* v. 36) *Et inquit Saül: Descendamus post alienigenas, et diripiamus eos. Et dixit sacerdos, Accedamus huc ad Deum.* Antiquitus enim Deus dux erat bellorum, et absque illius sententia numquam attingere pugnam ausi fuissent, et bellum ipsis pietatis materia liebat. Nec enim ex corporis infirmitate, sed propter peccata vincebantur, si quando victi sunt; nec potentia et fortitudine, sed superna benevolentia vincebant, quandocumque vincebant. Et victoria et clades exercitatio ipsis et virtutis instructio erat; nec ipsis tantum, sed etiam oppugnantibus ipsos. Etenim hoc ipsis manifestum erat, quod non armorum natura, sed bellantium vita et meritis cum Judæis bellum decernebatur. Hoc itaque animadvertentes aliquando Madianæi, et cognoscentes gentem illam inexpugnabilem esse, et machinis quidem et armis expugnari non posse, peccato vero tantum ipsos capi posse, virgines speciosas ornantes et ante castra statuentes, ad lasciviam milites provocabant, per fornicationem Dei auxilium ab iis auferre studentes: quod quidem et evenit. Postquam enim in peccatum inciderunt, omnibus facti sunt expugnabiles: et quos arma et equi et milites et tot machinamenta capere non potuerunt, hos peccati natura vinctos hostibus tradidit: clypei quidem et hastæ et sagittæ omnes frustra erant; vultus autem forma et animi lascivia hos expugnavit, alioqui strenuos. Propterea admonet quidam dicens (*Eccli.* 9. 8. 3), *Ne discas pulchritudinem alienam, et ne occurras mulieri fornicanti.* (*Prov.* 5. 3. 4.) *Mel enim distillat a labiis mulieris fornicantis, quod ad tempus impinguat guttur tuum, postmodum autem amarius felle ipsum invenies, et acutius gladio ancipiti.* Meretrix enim amare nescit, sed insidiatur tantum; venenum habet ipsius osculum, et toxicum perniciosum os. Si vero non statim apparet, ideo magis ipsam fugere oportet, quoniam obtegit perniciem et mortem habet celatam, nec a primordiis manifestam apparere permittit. Itaque si quis voluptatem sectatur et vitam lætitiæ plenam, fornicantium consortia mulierum fugiat: bellis enim innumeris et tumultibus amatorum animos implent, continuas ipsis pugnas contentionesque concitantes per verba, per opera omnia: et sicut hostium inimicissimi, sic profecto et hæ omnia faciunt et negotiantur ad hoc, ut illos in ignominiam et paupertatem extremaque mala conjiciant. Et quemadmo-

ἰσχάτοις αὐτοὺς περιβαλεῖν κακοῖς. Καὶ ὃν τρόπον οἱ θῆραται τὰ δίκτυα ἀναπετάσαντες, τὰ ἄγρια τῶν ζώων ἐμβαλεῖν ἐπιχειροῦσιν, ὥστε αὐτὰ κατασφάξαι· οὕτω δὴ καὶ αὗται, ἐπειδὰν τὰ πτερὰ τῆς ἀσελγείας πάντοθεν ἀναπετάσωσι δι' ὀφθαλμῶν καὶ σχημάτων καὶ ῥημάτων, εἶτα τοὺς ἑαυτῶν ἐραστὰς ἐμβάλωσι καὶ καταδήσωσιν, οὐ πρότερον ἀφίστανται, ἕως ἂν αὐτῶν καὶ αὐτὸ τὸ αἷμα ἐκπίωσιν, ἐπεμβαίνουσαι μετὰ ταῦτα καὶ κωμῳδοῦσαι αὐτῶν τὴν ἄνοιαν, καὶ πολὺν αὐτῶν καταχέουσαι τὸν γέλωτα. Οὐδὲ γὰρ ἐλεεῖσθαι λοιπὸν ὁ τοιοῦτος ἄξιος, ἀλλὰ γελᾶσθαι καὶ σκώπτεσθαι, ὅταν γυναικὸς καὶ γυναικὸς πόρνης ἀλογώτερος φαίνηται. Διὰ τοῦτο παραινεῖ πάλιν ὁ σοφὸς ἐκεῖνος λέγων, « Πῖνε ὕδατα ἀπὸ σῶν [ἀγγείων καὶ ἀπὸ σῶν] φρεάτων πηγῆς »· καὶ [πάλιν]· « Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι »· περὶ γυναικὸς τῆς νόμῳ γάμου συνοικούσης τοιαῦτα λέγων· Τί καταλιμπάνεις τὴν βοηθὸν, καὶ πρὸς τὴν ἐπίβουλον τρέχεις; τί τὴν κοινωνὸν ἀποστρέφῃ τοῦ βίου, καὶ τὴν ἀνατρέπουσάν σου τὴν ζωὴν θεραπεύεις; Αὕτη σου μέλος ἐστὶ καὶ σῶμα, ἐκείνη ξίφος ἐστὶν ἠκονημένον. Διόπερ, ἀγαπητοὶ, φεύγετε τὴν πορνείαν, καὶ διὰ τὰ παρόντα κακὰ καὶ διὰ τὴν μέλλουσαν κόλασιν.

Τάχα δοκοῦμεν τῆς ὑποθέσεως ἐκπεπτωκέναι, ἀλλ' οὐκ ἔστι τοῦτο ἐκπεσεῖν· οὐ γὰρ ἁπλῶς ἱστορίας ὑμῖν ἀναγνῶναι βουλόμεθα, ἀλλ' ἕκαστον τῶν ἐνοχλούντων ὑμῖν διορθῶσαι παθῶν· διὰ τοῦτο καὶ συνεχεῖς ποιούμεθα τὰς ἐκτροπὰς, παντοδαπὸν κατασκευάζοντες ὑμῖν τὸν λόγον, ἐπειδὴ καὶ παντοδαπὰ νοσήματα ἐν δήμῳ τοσούτῳ εἶναι εἰκὸς, καὶ οὐχ ἓν ἕλκος θεραπεύειν πρόκειται μόνον, ἀλλὰ πολλὰ καὶ διάφορα· διὰ τοῦτο καὶ ποικίλον εἶναι χρὴ τῆς διδασκαλίας τὸ φάρμακον. Ἐπανίωμεν τοίνυν ὅθεν ἐξέβημεν ταῦτα εἰπεῖν. « Καὶ εἶπεν ὁ ἱερεύς· Προσέλθωμεν πρὸς τὸν Θεόν. Καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν· Εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, καὶ εἰ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ Κύριος. » Ὅρα πραότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ· οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὃ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ Δεσπότης ἐποίησε· παρεσιώπησε μόνον, διὰ τῆς σιγῆς φθεγγόμενος καὶ πᾶσαν ἐνδεικνύμενος αὐτῷ τὴν ὀργήν. Συνεῖδε τοῦτο ὁ Σαοὺλ, « Καὶ εἶπε, φησί· Προσαγάγετε τὰς φυλὰς τοῦ λαοῦ, καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον, ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραὴλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. » Εἶδες προπέτειαν; ἰδὼν τὸν πρότερον ὅρκον παραβαθέντα, οὐδὲ οὕτω σωφρονίζεται, ἀλλὰ καὶ δεύτερον προστίθησι πάλιν. Καὶ σκόπει διαβόλου κακουργίαν. Ἐπειδὴ γὰρ συνεῖδεν ὅτι πολλάκις ὁ παὶς φωραθεὶς καὶ εἰς μέσον ἐνεχθεὶς, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως τὸν πατέρα πραῦναι δύναται καὶ μαλάξαι τὸν τοῦ βασιλέως θυμὸν, δευτέρων πάλιν ὅρκων

dum venatores retibus extensis sylvestria animalia immittere aggrediuntur, ut ipsa jugulent : ita et hæ postquam lasciviæ penuas undique extenderint per oculos et habitus et verba, postea suos injiciunt amatores et colligant, non prius absistentes, quam et ipsum eorum cruorem ebiberint, insultantes postmodum, et ipsorum stultitiam sugillantes, et multum de ipsis risum fundentes. Neque enim ut misericordiam inveniat dignus est ejusmodi homo, sed ut derideatur et mordeatur, cum muliere, et muliere meretrice stolidior appareat. Propterea rursus nos admonet sapiens ille cum dicit (*Prov.* 5. 15), *Bibe aquas de rasis tuis et de tuorum puteorum fonte;* et rursum (5. 19), *Cervus amicitiæ et pullus tuarum gratiarum conversetur tecum :* de uxore per nuptiarum legem cohabitante talia dicens : Quid derelinquis adjutricem, et ad insidiatricem curris? quid vitæ sociam aversaris, et eam quæ vitam tuam subvertit sectaris? Hæc membrum tuum et corpus est; illa gladius aculeus. Propterea, dilecti, fugite fornicationem, et propter præsentia mala et propter pœnam futuram.

Forsitan argumento excidisse videmur, sed hoc non est excidere; non enim historias vobis simpliciter legere volumus, sed nequitiarum vos infestantium quamque corrigere : ideo frequentes immittimus diversiones, variam vobis sermonem construentes, quia varias ægritudines in tanto populo esse verisimile est : nec unum solum curare vulnus nobis propositum est, sed multa et varia : ideireo varium etiam esse doctrinæ medicamentum oportet. Redeamus igitur eo, unde digressi sumus, ut hæc dicerem. (1. *Reg.* 14. 36. 37 :) *Et dixit sacerdos, Accedamus ad Deum. Et Deum Saül interrogavit : An descendam post alienigenas, et trades ipsos in manus meas? Et non respondit ei in die illa Dominus.* Respice benignitatem et mansuetudinem clementissimi Dei : non enim fulmen immisit, neque terram concussit; sed quod in amicos amici faciunt, quando contumeliis affecti fuerint, hoc et in servum Dominus fecit : tacuit tantum, per silentium loquens et omnem ipsi demonstrans indignationem. Cognovit hoc Saül, (1. *Reg.* 14. 38) *Et dixit : Adducite omnes tribus populi, et cognoscite : et videte in quo factum est hodie peccatum hoc, quoniam vivit Dominus, qui salvum fecit Israel : quod si responderit contra Jonathan filium meum, morte morietur.* Vidisti temeritatem? intuitus temeratum prius juramentum, neque sic castigatur, sed et secundum adjicit rursum. Et considera diaboli malignitatem. Quoniam enim cognoscebat quod sæpius puer deprehensus et in medium productus, ex ipso aspectu statim patrem mitigare et regis iram mollire poterat, secundorum rursus juramentorum

ἀνάγκη προκατέλαβεν αὐτοῦ τὴν γνώμην, διπλῷ τινι δεσμῷ κατέχων αὐτὸν, καὶ οὐκ ἀφιεὶς τῆς οἰκείας γενέσθαι γνώμης κύριον, ἀλλὰ πανταχόθεν αὐτὸν ὠθῶν εἰς τὴν παράνομον ἐκείνην ὀργήν. Καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος τὴν κρίσιν πεποίηται, καὶ τὸν ἀλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. Τί τούτου γένοιτ' ἂν ἀλογώτερον; Ταῦτα τοίνυν εἰπόντος [τοῦ Σαοὺλ] μᾶλλον ἔδεισεν ὁ ὄχλος, καὶ πάντες ἦσαν ἐν τρόμῳ καὶ φόβῳ πολλῷ· ὁ δὲ διάβολος ἔχαιρε πάντας ἐν ἀγωνίᾳ καταστήσας. « Οὐ γὰρ ἦν ὁ ἀποκρινόμενος, φησὶν, ἐκ παντὸς τοῦ λαοῦ. Καὶ εἶπε Σαοὺλ, Ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰωνάθαν ὁ υἱός μου εἰς δουλείαν. » Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐδὲν ἕτερον σπουδάζετε, φησὶν, ἀλλ' ἢ τοῖς πολεμίοις ἡμᾶς παραδοῦναι καὶ δούλους ἀντ' ἐλευθέρων ποιῆσαι, τὸν Θεὸν καθ' ἡμῶν παροξύνοντες τῷ μὴ διδόναι τὸν ὑπεύθυνον. Ὅρα δὲ καὶ ἄλλην ἀπὸ τοῦ ὅρκου γινομένην ἐναντίωσιν. Δέον γὰρ, εἴπερ ἐβούλετο τὸν αἴτιον εὑρεῖν, μηδὲν ἀπειλῆσαι τοιοῦτο, μηδὲ ὅρκῳ καταδῆσαι τὴν τιμωρίαν, ἵν' ἀδεέστεροι γενόμενοι προχειρότερον εἰς μέσον ἀγάγωσι τὸν ὑπεύθυνον· ὁ δὲ ὑπὸ θυμοῦ καὶ μανίας πολλῆς καὶ τῆς προτέρας ἀλογίας, πάλιν τοὐναντίον ἅπερ βούλεται ποιεῖ. Τί δεῖ τὰ πολλὰ λέγειν; Κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψε, καὶ κατακληροῦνται Σαοὺλ καὶ Ἰωνάθαν. « Καὶ εἶπε Σαούλ· Βάλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον Ἰωνάθαν. Καὶ βάλλουσι κλῆρον, καὶ κατακληροῦται Ἰωνάθαν. Καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν· Ἀπάγγειλόν μοι τί ἐποίησας. Καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν λέγων, Γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου μικρὸν ἐκ τοῦ μέλιτος· καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. » Τίνα οὐκ ἂν ἐπέκαμψε, τίνα οὐκ ἂν εἰς οἶκτον ἤνεγκε ταῦτα τὰ ῥήματα; Ἐννόησον ὅσον χειμῶνα λοιπὸν ὁ Σαοὺλ ὑπέμεινε, τῶν σπλάγχνων αὐτῷ διακοπτομένων καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φαινομένου· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐσωφρονίζετο, ἀλλὰ τί φησι; « Τάδε ποιήσαι μοι ὁ Θεὸς, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. » Ἰδοὺ τρίτος ὅρκος πάλιν, καὶ οὐχὶ ἁπλῶς τρίτος, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς τοῦ καιροῦ στενοχωρίας· οὐ γὰρ εἶπεν ἁπλῶς ὅτι Ἀποθανῇ, ἀλλὰ Σήμερον. Ἤπειγε γάρ, ἤπειγεν ὁ διάβολος συνωθῶν καὶ συνελαύνων αὐτὸν εἰς τὴν παράνομον ταύτην ὀργήν. Διόπερ οὐκ ἀφίησιν οὐδὲ προθεσμίαν δοῦναι τῇ ψήφῳ, ἵνα μηδεμίᾳ ἀπὸ τῆς μελλήσεως διόρθωσις γένηται τοῦ κακοῦ. Καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· « Τάδε ποιήσαι ἡμῖν ὁ Θεὸς, καὶ τάδε προσθείη, εἰ θανάτῳ θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην τῷ Ἰσραήλ. Ζῇ Κύριος, εἰ πεσεῖται τῆς τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεον Θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. » Ἰδοὺ καὶ ὁ ὄχλος δεύτερον ὤμοσε, καὶ ἀντώμοσε τῷ βασιλεῖ. Νῦν ἀναμνήσθητέ μοι τοῦ καλωδίου τοῦ παρὰ τῶν

necessitate ipsius mentem præoccupavit, duplici quodam vinculo cohibens ipsum, nec permittens propriæ fieri sententiæ dominum, sed undique in illam eadem iniquam impellens. Et nondum comperto qui peccasset, judicium fecit, et reum nesciens, lata damnavit sententia : et pater factus est filii carnifex, et ante examen damnationis protulit sententiam. Quid hoc irrationabilius fieri posset? 5. Hæc igitur illo dicente magis timuit populus, et omnes erant in tremore et timore multo : diabolus autem lætabatur, cum omnes anxios reddidisset. *Non enim erat qui responderet*, inquit (*ib.* v. 39. 40), *ex toto populo : et dixit Saül, Vos eritis in servitutem, et ego et filius meus Jonathas in servitutem.* Quod autem dicit, tale est : Nihil aliud, inquit, stultis, quam hostibus nos tradere et pro liberis servos facere, Deum contra nos irritantes reum non tradendo. Respice autem et aliam ex juramento conflatam contrarietatem. Cum enim opus esset, si auctorem invenire volebat, nihil tale minari, nec juramento ultionem obligare, ut audaciores facti reum promtius in medium agerent; ille rursum ex ira et furore multo, et ante hæc stultitia sua, contra quam vult iterum facit. Quid opus est multa dicere? Sorti negotium concessit, et sorte examinantur Saül et Jonathas. (1. *Reg.* 14. 42. 43 :) *Et dixit Saül : Jacite sortem inter me et Jonathan. Et jaciunt sortem, et capitur Jonathas. Et dixit Saül ad Jonathan : Annuntia mihi, quid fecisti? Et annuntiavit ipsi Jonathas, dicens, Gustans gustavi in summitate scepiri, quod habebam in manu mea, parum mellis, et en ego morior.* Quem non flexissent, quem non in misericordiam egissent hæc verba? Considera quantum procellæ deinde Saül sustinuit, cum ipsius viscera dirumperentur, et utrimque profundissimum appareret præcipitium, sed tamen nec ita correctus est : sed quid ait? (*Ib.* v. 44) *Hæc faciat mihi Deus, et hæc adjiciat, quoniam morte morieris hodie.* Ecce tertium rursus juramentum, nec simpliciter tertium, sed etiam cum multa temporis angustia : non enim simpliciter dixit *Morieris*, sed *Hodie*. Festinabat enim, festinabat diabolus ipsum in hanc impiam agere cædem et impellere. Propterea nec sententiæ statum diem adhibere permittit, ne qua ex mora mali fiat correctio. Et dixit populus ad Saül (*ib.* v. 45) : *Hæc faciat nobis Deus, et hæc adjiciat, si morte morietur, qui fecit salutem magnam Israel. Vivit Dominus, si cadet capillus de capite ejus in terram, qui misericordiam Dei fecit in die hac.* Ecce et populus secundum juravit, et regi contrarium juravit. Nunc mihi re-

παιδίων ἑλκομένου καὶ διαῤῥηγνυμένου καὶ τοὺς ἥκοντας ῥίπτοντος ὑπτίους. Ὤμοσεν ὁ Σαοὺλ, οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις· ἀντώμοσεν ὁ λαὸς καὶ ἀντέτειναν. Ἀνάγκη λοιπὸν διαῤῥαγῆναι πάντως τὸν ὅρκον· πάντας γὰρ εὐορκῆσαι τούτους ἀδύνατον. Καὶ μή μοι τὴν ἔκβασιν τοῦ πράγματος εἴπῃς, ἀλλ' ἐννόησον ὅσα ἐτίκτετο κακὰ, καὶ πῶς τὴν τοῦ Ἀβεσσαλὼμ τραγῳδίαν καὶ τυραννίδα ἐντεῦθεν κατεσκεύαζεν ὁ διάβολος. Εἰ γὰρ ἠθέλησεν ὁ βασιλεὺς ἀντιτεῖναι καὶ ἐπεξελθεῖν τῷ ὅρκῳ, πᾶς ὁ δῆμος ἂν ἀντέστη, καὶ τυραννὶς ἂν ἐγένετο χαλεπωτάτη· καὶ πάλιν εἰ ἠθέλησεν ὁ παῖς τῆς οἰκείας φειδόμενος σωτηρίας δοῦναι ἑαυτὸν τῷ στρατοπέδῳ, πατροκτόνος ἂν εὐθέως ἐγένετο. Ὁρᾷς καὶ τυραννίδα, καὶ παιδοκτονίαν, καὶ πατροκτονίαν, καὶ πόλεμον ἐμφύλιον, καὶ μάχην, καὶ σφαγὰς, καὶ αἵματα, καὶ μυρίους νεκροὺς ἀφ' ἑνὸς ὅρκου κινουμένους; Εἰ γὰρ συνέβη γενέσθαι πόλεμον, καὶ ὁ Σαοὺλ ἂν ἐσφάγη καὶ Ἰωνάθαν, ἴσως καὶ πολλοὶ τῶν στρατιωτῶν κατεκόπησαν ἄν, καὶ οὐδ' ἂν οὕτω τὰ τῆς εὐορκίας προεχώρησεν. Ὥστε μὴ τοῦτο ἴδῃς, ὅτι οὐ γέγονεν, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἡ τοῦ πράγματος φύσις ταῦτα ἠνάγκαζε γενέσθαι· ὁ δὲ λαὸς ἐκράτησε. Φέρε τοίνυν ἀριθμήσωμεν τὰς γεγενημένας ἐπιορκίας· παρεβάθη πρότερον ὁ ὅρκος τοῦ Σαοὺλ ὑπὸ τοῦ παιδὸς, δεύτερος καὶ τρίτος πάλιν ὁ αὐτοῦ τοῦ Σαοὺλ ὁ περὶ τῆς σφαγῆς τοῦ παιδὸς [ὑπὸ τοῦ δήμου διελύθη]· καὶ ἔδοξεν ὁ λαὸς εὐορκεῖν· ἀλλ' ἐάν τις ἐκριβῶς ἐξετάσῃ [τὸ πρᾶγμα], καὶ οὗτοι πάλιν τοῖς τῆς ἐπιορκίας ἐγκλήμασιν ὑπεύθυνοι πάντες ἐγένοντο· τὸν γὰρ πατέρα [αὐτοῦ] τοῦ Ἰωνάθαν ἐπιορκῆσαι ἠνάγκασαν, οὐκ ἐκδόντες τῷ πατρὶ τὸν υἱόν. Ὁρᾷς εἷς ὅρκος ὅσους ἀνθρώπους ὑπέβαλεν ἐπιορκίᾳ, καὶ ἑκόντας καὶ ἄκοντας; ὅσα κακὰ εἰργάσατο; ὅσας σφαγὰς ἐποίησεν;

Ἐγὼ μὲν οὖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου δείξειν ἐν ταῖς ἀντωμοσίαις πάντως ἐπιορκίαν γινομένην, ἡ δὲ ἱστορία προϊοῦσα πολλῷ πλέον ἧπερ παρεσκευαζόμην ἀπέδειξεν· οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλὰ δῆμον, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς ὅρκους, ἀλλὰ πολλῷ πλείους παραβάντας ἀπέφηνεν. Ἐνῆν καὶ ἑτέραν ἱστορίαν εἰπεῖν καὶ δεῖξαι καὶ ἐξ ἐκείνης χαλεπωτέραν ταύτης καὶ μείζονα συμφορὰν ἐργασάμενον ὅρκον ἕνα. Καὶ γὰρ πόλεων καὶ γυναικῶν καὶ παιδίων αἰχμαλωσίαν, καὶ πυρπόλησιν, καὶ βαρβάρων ἔφοδον, καὶ ἁγίων μολυσμὸν, καὶ μυρία ἕτερα χαλεπώτερα τοὺς Ἰουδαίους ἅπαντας εἰς ὅρκος διέθηκεν. Ἀλλ' ὁρῶ πρὸς μῆκος τὸν λόγον ἐκτεινόμενον· διὰ τοῦτο ἐνταῦθα τῆς ἱστορίας ταύτης τὴν διήγησιν καταλύσας, μετὰ τῆς Ἰωάννου κεφαλῆς καὶ τὴν τοῦ Ἰωνάθαν σφαγὴν, καὶ τὴν πανωλεθρίαν τοῦ δήμου παντὸς τὴν οὐ γενομένην μὲν, συμβᾶσαν δὲ δμως ἀπὸ τῆς ἀνάγκης τῶν ὅρκων, πρὸς ἀλλήλους λέγειν παρακαλῶ καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ, καὶ πρὸς γυναῖκας, καὶ πρὸς φίλους, καὶ πρὸς γείτονας, καὶ πρὸς πάντας

miniscimini funiculum a puerulis tractum, et disruptum, et trahentes supinos projicientem. Juravit Saül, non semel, neque bis, sed et saepius : contraria juravit populus et contendebat. Necesse jam omnino erat juramentum scindi : nam hos omnes vere jurasse est impossibile. Nec mihi rei eventum dicas, sed cogita, quot mala nascebantur, et quomodo aliam per Absalom [*vult* Jonathan] calamitatem et tyrannidem indidem hinc diabolus struebat. Si enim voluisset rex resistere et ad juramentum procedere, totus restitisset populus, et tyrannis crudelissima facta fuisset : et rursum si voluisset filius propriæ consulens saluti se ipsum exercitui dedere, parricida statim exstitisset. Vides et tyrannidem, et filii cædem, et parricidium, et bellum civile, et pugnam, et jugulationes, et cruores, et infinita cadavera ex uno patrata juramento prodire? Si namque bellum fieri accidisset, et Saül et Jonathas jugulatus fuisset, forsitan et multi militum fuissent trucidati : ac ne sic quidem juramentum bene cessisset. Itaque ne consideres hoc, quod non ita factum sit; sed illud considera, quod rei natura hæc fieri cogebat : populus autem vicit. Age igitur numeremus commissa perjuria : temerarium est primum Saülis juramentum a filio : secundum rursus, et tertium ipsius Saülis de filii cæde a populo ruptum est; et visus est populus vere jurasse; sed si quis diligenter rem examinet, et hi rursus omnes perjurii criminibus obnoxii facti sunt : ipsius enim Jonathæ patrem pejerare cogerunt, patri filium non dedentes. Vides quot homines tum volentes, tum invitos perjurio obnoxios unum fecit juramentum? quot mala molitum est? quot cædes patravit?

6. Equidem sermonem incipiens promisi me demonstraturum in contrariis juramentis omnino perjurium nasci, historia vero progressa multo plus quam parabam demonstravit : non enim unum et duos et tres homines, sed populum, non unum et duo et tria, sed multo plura juramenta temerantem exhibuit. Licebat et aliam narrare historiam, et ex illa demonstrare graviorem hac et majorem calamitatem unum fecisse juramentum. Etenim civitatum et mulierum et puerulorum captivitate, et incendio, et barbarorum invasione, et sanctorum pollutione, et innumeris aliis gravioribus malis Judæos affecit unum omnes jusjurandum. Sed in longum protendi sermonem video : propterea historiæ hujus narrationem hic abscidens, cum Joannis capite Jonathæ cædem, et perniciem generalem totius populi licet non admissam, de juramentorum tamen necessitate provenientem, inter vos commemorare exhortor et domi et in foro, et apud conjuges et apud amicos, et apud vicinos, et apud omnes generaliter

ἀνθρώπους ἁπλῶς ὑπὲρ τοῦ πράγματος τούτου ποιεῖσθαι σπουδήν, καὶ μὴ νομίζειν ἀρκοῦσαν ἡμῖν ἀπολογίαν εἶναι, εἰ συνήθειαν προβαλλοίμεθα. Ὅτι γὰρ σκῆψις ταῦτα καὶ πρόφασις, καὶ οὐ συνηθείας, ἀλλὰ ῥᾳθυμίας ἐστὶν ἡ παρανομία, ἀπὸ τῶν ἤδη συμβάντων ὑμῖν πεῖσαι πειράσομαι. Ἀπέκλεισε τὰ βαλανεῖα τῆς πόλεως ὁ βασιλεὺς, καὶ μηδένα λούσασθαι ἐκέλευσε, καὶ οὐδεὶς ἐτόλμησε παραβῆναι τὸν νόμον, οὐδὲ αἰτιάσασθαι τὸ γεγενημένον, οὐδὲ συνήθειαν προβαλέσθαι· ἀλλὰ καὶ ἐν ἀῤῥωστίᾳ ὄντες πολλάκις καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες καὶ γέροντες, καὶ ὠδῖνων ἄρτι παυσάμεναι πολλαὶ γυναῖκες, καὶ ἀναγκαίως ἅπαντες τὸ φάρμακον τοῦτο ἐπιζητοῦντες, φέρουσι καὶ ἐκόντες καὶ ἄκοντες τὸ ἐπίταγμα, καὶ οὔτε ἀσθένειαν σώματος προβάλλονται, οὔτε συνηθείας τυραννίδα, οὔτε τὸ ἑτέρων ἁμαρτανόντων αὐτοὶ κολάζεσθαι, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ στέργουσι τῇ τιμωρίᾳ ταύτῃ διὰ τὸ μείζονα προσδοκῆσαι κακὰ, καὶ καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν μέχρι τούτου στῆναι τὴν βασιλικὴν ὀργήν. Ὁρᾷς ὅτι ἔνθα φόβος, εὐκόλως λύεται συνήθεια, κἂν σφόδρα χρονία τις ᾖ καὶ ἀναγκαία; Καίτοι τὸ μὴ λούσασθαι χαλεπόν. Κἂν γὰρ μυριάκις φιλοσοφῶμεν, ἡ τοῦ σώματος φύσις ἐλέγχεται οὐδὲν ἀπὸ τῆς κατὰ τὴν ψυχὴν φιλοσοφίας εἰς τὴν οἰκείαν ὑγίειαν ὠφελουμένη· τὸ δὲ μὴ ὀμνύναι σφόδρα ῥᾴδιον, καὶ οὐδεμίαν οἴσει βλάβην, οὐ τοῖς σώμασιν, οὐ ταῖς ψυχαῖς, ἀλλὰ καὶ πολὺ τὸ κέρδος, μεγάλην τὴν ἀσφάλειαν, πολλὴν τὴν εὐπορίαν. Πῶς οὖν οὐκ ἄτοπον, βασιλέως μὲν ἐπιτάττοντος καὶ τὰ χαλεπώτατα φέρειν, Θεοῦ δὲ νομοθετοῦντος οὐδὲν χαλεπὸν οὐδὲ δύσκολον, ἀλλὰ ῥᾴδιον σφόδρα καὶ εὔκολον, καταφρονεῖν καὶ καταγελᾶν καὶ συνήθειαν προβάλλεσθαι; Μὴ, παρακαλῶ, μὴ μέχρι τοσούτου τῆς ἑαυτῶν καταφρονῶμεν σωτηρίας, ἀλλὰ φοβηθῶμεν τὸν Θεὸν, ὡς φοβούμεθα ἄνθρωπον. Οἶδα ὅτι ἐῤῥίξατε τοῦτο ἀκούσαντες, ἀλλὰ φρίκης ἄξιον τὸ μηδὲ τοσαύτην ἀπονέμειν τῷ Θεῷ τιμὴν, ἀλλὰ τοὺς βασιλικοὺς νόμους μετὰ ἀκριβείας φυλάττοντας, τοὺς θείους καὶ ἐκ τῶν οὐρανῶν καταβάντας καταπατεῖν, καὶ πάρεργον εἶναι νομίζειν τὴν περὶ ταῦτα σπουδήν. Ποία γὰρ ἡμῖν ἀπολογία λοιπὸν ἔσται, τίς δὲ συγγνώμη, ὅταν μετὰ τοσαύτην παραίνεσιν τοῖς αὐτοῖς ἐπιμένωμεν; Καὶ γὰρ ἀρξαμένης τῆς συμφορᾶς ταύτης τῆς τὴν πόλιν κατειχούσης, ἠρξάμην καὶ τῆς παραινέσεως ταύτης· καὶ ἡ μὲν μέλλει λύεσθαι λοιπὸν, ἡμεῖς δὲ οὐδέπω μίαν ἐντολὴν κατωρθώσαμεν. Πῶς οὖν αἰτησόμεθα ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς δεινῶν, μίαν ἐντολὴν ἀνῦσαι μὴ δυνηθέντες; πῶς δὲ προσδοκήσομεν τὴν χρηστὴν μεταβολήν; πῶς δὲ εὐξόμεθα; ποίᾳ δὲ γλώττῃ τὸν Θεὸν καλέσομεν; Ἂν μὲν γὰρ ἀνύσωμεν τὸν νόμον, πολλὴν καρπωσόμεθα τὴν ἡδονὴν, τοῦ βασιλέως τῇ πόλει καταλλαγέντος· ἂν δὲ μείνωμεν ἐπὶ τῆς παρανομίας, αἰσχύνη καὶ ὄνειδος ἡμῖν ἔσται πάντοθεν, ὅτι τοῦ Θεοῦ λύσαντος τὸν κίνδυνον, ἡμεῖς ἐπὶ τῆς

homines hujus rei curam gerere; nec putare ideneam esse nobis defensionem, si consuetudinem prætendamus. Quod enim excusatio hæc sit et prætextus, nec consuetudinis, sed torporis sit culpa, ab his quæ jam evenere, vobis persuadere conabor. Civitatis balnea Imperator clausit, et lavari jussit neminem: et legem transgredi est ausus nemo, aut factum incusare, aut consuetudinem prætendere; verum et qui sæpe sunt in ægritudine viri, mulieres, pueri et senes, et multæ partus doloribus recenter liberatæ mulieres, et omnes necessario tale remedium petentes, velint nolint mandatum hoc ferunt, et neque morbum corporis, neque consuetudinis tyrannidem, neque aliis peccantibus sese puniri, nec aliud talium quidquam prætendunt: sed hujusmodi grate excipiunt pœnam, quia majora exspectant mala, et quotidie precantur hactenus regium furorem sisti. Vides quod ubi est timor, facile solvatur consuetudo, etiamsi valde diuturna sit et necessaria? Atqui non lavari grave. Etsi enim centies philosophemur, corporis natura arguitur nihil ab animi philosophia in propriam valetudinem adjuvari: non jurare vero valde facile est, et nullum afferet nocumentum, non corporibus, non animis, sed etiam multum emolumenti, magnam utilitatem, multam opulentiam. Quomodo igitur non absurdum, Imperatore jubente vel difficillima sustinere, Deo vero statuente id quod neque grave sit neque difficile, verum perquam facile et commodum, contemnere et deridere et consuetudinem prætendere? Ne, quæso, ne in tantum salutem nostram contemnamus, sed timeamus Deum, sicut hominem timemus. Novi vos exhorruisse talibus auditis; sed horrore dignum est ne tantum quidem Deo, quantum hominibus honorem attribuere; sed imperatoria decreta diligenter observantes, divina et de cælis delapsa conculcare, et supervacaneum esse putare circa hæc studium. Quænam excusatio nobis denique erit, quæ vero venia, quando post tantam admonitionem in iisdem permanemus? Etenim nascente miseria hac, quæ civitatem detinet, hanc incepi admonitionem: et illa quidem jam debet finiri, nos vero nondum unum explevimus mandatum. Quomodo igitur malorum nos detinentium petemus solutionem, cum nec unum explere mandatum potuerimus? quomodo vero bonam exspectabimus mutationem? quomodo autem orabimus? qua lingua Deum invocabimus? Si enim legem exsequamur, multam capiemus voluptatem, Imperatore civitati conciliato; si vero in peccato manserimus, pudor et opprobrium undique nobis erit: quoniam, cum Deus periculum sol-

αὐτῆς ἐμείναμεν ῥαθυμίας. Εἴθε μοι δυνατὸν ἦν τὰς ψυχὰς ἀποδῦσαι τῶν πολυόρκων, καὶ ὄψεσιν ὑποβαλεῖν αὐτῶν τὰ τραύματα καὶ τοὺς μώλωπας, οὓς ἀπὸ τῶν ὅρκων καθ' ἑκάστην λαμβάνουσι τὴν ἡμέραν· καὶ οὐκ ἂν ἐδεήθημεν παραινέσεως ἢ συμβουλῆς, τῆς τῶν τραυμάτων ὄψεως ἁρπούσης λόγου παντὸς δυνατώτερον καὶ τοὺς σφόδρα ἐπικειμένους τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ τῆς πονηρίας ἀπαλλάξαι. Πλὴν ἀλλ' εἰ καὶ μὴ ταῖς ὄψεσι δυνατὸν, τῷ λογισμῷ δυνατὸν αὐτῶν ὑποβαλεῖν τῆς ψυχῆς τὸ αἶσχος, καὶ δεῖξαι σεσηπυῖαν αὐτὴν καὶ διεφθαρμένην. « Ὥσπερ γὰρ, φησὶν, οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς τὸ ὄνομα τοῦ Θεοῦ ἀπὸ ἁμαρτίας οὐκ ἀθωωθήσεται. » Ἀμήχανον γὰρ, ἀμήχανον, στόμα μεμελετηκὸς ὀμνύναι μὴ συνεχῶς ἐπιορκεῖν. Διὸ δὴ παρακαλῶ πάντας τὴν ὀλεθρίαν ταύτην καὶ πονηρὰν συνήθειαν ἀποθεμένους τῆς ψυχῆς, ἕτερον στέφανον ἀναδήσασθαι. Καὶ ὥσπερ πανταχοῦ περὶ τῆς πόλεως ᾄδουσι τῆς ἡμετέρας, ὅτι πρώτη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν τὸ Χριστιανῶν ὄνομα ἀνεδήσατο, οὕτω δότε πᾶσι λέγειν, ὅτι μόνη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν Ἀντιόχεια τοὺς ὅρκους τῶν οἰκείων ὅρων ἀπήλασε. Μᾶλλον δὲ, ἂν τοῦτο γένηται, οὐκ αὐτὴ στεφανωθήσεται μόνη, ἀλλὰ καὶ ἑτέρας εἰς τὸν αὐτὸν ἐνάξει ζῆλον· καὶ καθάπερ τὸ ὄνομα τῶν Χριστιανῶν ὥσπερ ἔκ τινος πηγῆς ἐντεῦθεν ἀρξάμενον πᾶσαν τὴν οἰκουμένην ἐπέκλυσεν, οὕτω δὴ καὶ τὸ κατόρθωμα τοῦτο τὴν ῥίζαν καὶ τὴν ἀφορμὴν ἐντεῦθεν λαβὸν, πάντας τοὺς τὴν γῆν οἰκοῦντας ἀνθρώπους μαθητὰς ὑμετέρους ἐργάσεται, ὥστε διπλοῦν ὑμῖν καὶ τριπλοῦν γενέσθαι τὸν μισθὸν, καὶ ὑπὲρ τῶν οἰκείων κατορθωμάτων, καὶ ὑπὲρ τῆς τῶν ἄλλων διδασκαλίας. Τοῦτο διαδήματος ὑμῖν παντὸς ἔσται λαμπρότερον, τοῦτο μητρόπολιν ὑμῖν ποιήσει τὴν πόλιν, οὐκ ἐν τῇ γῇ, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ· τοῦτο καὶ κατ' ἐκείνην ἡμῶν προστήσεται τὴν ἡμέραν, καὶ τὸν τῆς δικαιοσύνης ἡμῖν οἴσει στέφανον· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

verit, nos in eodem mansimus torpore. Utinam mihi liceret frequenter jurantium animas exuere, et ipsarum oculis subjicere vulnera et cicatrices, quas quotidie capiunt a juramentis : sic nec admonitionis aut consilii indigeremus, quoniam vulnerum aspectus omni sermone potentius hunc improbæ consuetudini etiam plurimum adhærentes a malitia abducere posset. Verumtamen si minus oculis, cogitationi quidem certe ipsorum animæ dedecus subjicere, et ipsam tabefactam et corruptam ostendere licet. *Sicut enim*, inquit (*Eccli.* 23. 11), *servus qui continue flagellatur, de cicatrice non mundabitur : sic jurans, et Deum semper nominans, a peccato non innocens fiet.* Impossibile enim, impossibile est os juramento assuefactum non frequenter pejerare. Propterea supplico omnibus, ut perniciosam hanc et improbam consuetudinem deponentes ex anima, aliam coronam reportetis. Et sicut ubique de civitate nostra cantant, quod prima omnium in orbe terrarum Christianorum nomen sibi induit : sic facite ut omnes dicant solam omnium in mundo Antiochiam propriis juramenta finibus expulisse. Imo vero si hoc fiat, non tantum ipsa coronabitur sola, verum etiam alias in eumdem zelum rediget; et sicut Christianorum nomen, velut ex quodam fonte hinc incipiens, totum mundum inundavit, sic profecto et meritum hoc radicem et principium hinc capiens, omnes terram habitantes discipulos vestros efficiet, ut duplex vobis et triplex fiat merces, et de propriis meritis, et de aliorum doctrina. Hoc diademate quolibet vobis erit splendidius : hoc metropolim vobis civitatem faciet, non in terra tantum, verum et in cælo : hoc et in die illa patrocinabitur nobis, et justitiæ coronam nobis afferet : quam ut omnes assequamur, detur, gratia etc.

ΟΜΙΛΙΑ ιε'.

Ἔτι εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχείας, καὶ ὅτι χρήσιμον πανταχοῦ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον, καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν, « Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, » καὶ ὅτι τοῦ φονεύειν τὸ ὀρκίζειν χεῖρον.

Ἔδει καὶ τήμερον καὶ τῷ προτέρῳ σαββάτῳ τὸν περὶ νηστείας κινῆσαι λόγον· καὶ μηδεὶς ἄκαιρον εἶναι νομιζέτω τὸ λεχθέν. Ἐν μὲν γὰρ ταῖς ἡμέραις τῆς νηστείας οὐδὲν δεῖ συμβουλῆς καὶ παραινέσεως εἰς τοῦτο, αὐτῆς τῶν ἡμερῶν τῆς παρουσίας καὶ τοὺς σφόδρα ἀναπεπτωκότας διεγειρούσης πρὸς τὸν τῆς νηστείας ἀγῶνα· ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων εἰσίναι τε εἰς

HOMILIA XV.

Itidem in calamitatem civitatis Antiochiæ utilem ubique timorem esse luctumque risu utiliorem, et in illud dictum, *Agnosce quod in medio laqueorum pertransis*, et quod pejus juramento adigere, quam occidere.

1. Oportebat et hodie et superiore sabbato de jejunio movere sermonem : ac nemo intempestivum hoc dictum esse existimet. Nam in diebus quidem jejunii consilio nihil opus est ad hoc et admonitione, ipsa dierum præsentia etiam negligentissimos ad jejunii certamen excitante; sed quoniam hominum multi jejunium aggressuri,

νηστείαν μέλλοντες, καθάπερ πολιορκίᾳ τινὶ μακρᾷ τῆς γαστρὸς παραδίδοσθαι μελλούσης, ἀδηφαγίαν καὶ μέθην προλαβόντες ἀποτίθενται, ἐξιόντες τε πάλιν, ὥσπερ ἔκ τινος μακροῦ λιμοῦ καὶ χαλεποῦ δεσμωτηρίου τῆς νηστείας ἀπαλλαγέντες, μετὰ πολλῆς τῆς ἀπειροκαλίας ἐπὶ τὰς τραπέζας τρέχουσι, καθάπερ σπουδάζοντες τὴν ἐκ τῆς νηστείας γενομένην αὐτοῖς ὠφέλειαν τῇ τῆς ἀδηφαγίας ἀμετρίᾳ καταλῦσαι πάλιν, ἀναγκαῖον ἦν καὶ τότε καὶ νῦν τοὺς περὶ ἐγκρατείας κινῆσαι λόγους. Ἀλλ' ὅμως οὔτε πρώην εἰρήκαμέν τι τοιοῦτον, οὔτε νῦν ἐροῦμεν· ὁ γὰρ τῆς ἐπικειμένης συμφορᾶς φόβος ἀντὶ πάσης παραινέσεως καὶ συμβουλῆς ἀρκεῖ τὰς ἁπάντων σωφρονίσαι ψυχάς. Τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ἐν τοσούτῳ χειμῶνι μεθύειν; τίς οὕτως ἀναίσθητος, ὡς τῆς πόλεως οὕτω σαλευομένης, καὶ ναυαγίας τοιαύτης ἀπειλουμένης, μὴ νήφειν καὶ ἐγρηγορέναι, καὶ πάσης συμβουλῆς καὶ παραινέσεως ἀκριβέστερον ἀπὸ τῆς ἀγωνίας διορθοῦσθαι ταύτης; Οὐ γὰρ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος· καὶ τοῦτο αὐτὸ ἀπὸ τῶν συμβεβηκότων νῦν δυνατὸν ἀποδεῖξαι. Πόσους γοῦν ἀνηλώσαμεν λόγους, πολλοῖς τῶν ῥᾳθύμων παραινοῦντες καὶ συμβουλεύοντες τὰ θέατρα ἀρεῖναι καὶ τὰς ἐκεῖθεν ἀκολασίας; καὶ οὐκ ἠνέσχοντο, ἀλλ' ἀεὶ κατὰ τὴν ἡμέραν ταύτην ἐπὶ τὰς παρανόμους τῶν ὀρχουμένων συνίτρεχον θεωρίας, καὶ σύλλογον διαβολικὸν ἀντικαθίστασαν τῷ πληρώματι τῆς ἐκκλησίας τοῦ Θεοῦ, καὶ ταῖς ἐνταῦθα ψαλμῳδίαις ἀντήχουν αἱ ἐκεῖθεν κραυγαὶ μετὰ πολλῆς φερόμεναι τῆς σφοδρότητος· ἀλλ' ἰδοὺ νῦν σιγώντων ἡμῶν καὶ οὐδὲν περὶ τούτου λεγόντων, αὐτόματοι τὴν ὀρχήστραν ἀνέῳξαν, καὶ ὁ ἱππόδρομος ἄβατος γέγονε· καὶ πρὸ τούτου μὲν πολλοὶ τῶν ἡμετέρων πρὸς ἐκείνους ἔτρεχον, νυνὶ δὲ πάντες ἐκεῖθεν εἰς τὴν ἐκκλησίαν κατέφυγον, καὶ τὸν ἡμέτερον ἅπαντες ἀνυμνοῦσι Θεόν. Ὁρᾷς πόσον ἀπὸ τοῦ φόβου τὸ κέρδος ἐγένετο; Εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν πατέρες παιδαγωγοὺς τοῖς παισὶν ἐπέστησαν, οὐκ ἂν οἱ νομοθέται ταῖς πόλεσιν ἄρχοντας. Τί γεέννης χαλεπώτερον; ἀλλ' οὐδὲν χρησιμώτερον τοῦ ταύτης φόβου· ὁ γὰρ τῆς γεέννης φόβος τὸν τῆς βασιλείας ἡμῖν κομίζει στέφανον. Ἔνθα φόβος ἐστὶν, οὐκ ἔστι φθόνος· ἔνθα φόβος ἐστὶ, χρημάτων ἔρως οὐκ ἐνοχλεῖ· ἔνθα φόβος ἐστὶν, ἔσβεσται θυμὸς, ἐπιθυμία κατέσταλται πονηρὰ, ἅπαν ἀλόγιστον ἐξώρισται πάθος· καὶ καθάπερ ἐν οἰκίᾳ στρατιώτου διηνεκῶς ὡπλισμένου οὐ λῃστὴς, οὐ τοιχωρύχος, οὐκ ἄλλος τις τῶν τὰ τοιαῦτα κακουργούντων τολμήσει φανῆναι πλησίον, οὕτω καὶ φόβου τὰς ἡμετέρας κατέχοντος ψυχὰς, οὐδὲν τῶν ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥᾳδίως ἡμῖν, ἀλλὰ πάντα διαπετεύει καὶ φυγαδεύεται τῇ τυραννίδι τοῦ φόβου πάντοθεν ἐξελαυνόμενα. Καὶ οὐ τοῦτο μόνον ἐστὶν ὃ κερδαίνομεν ἀπὸ τοῦ φόβου, ἀλλὰ καὶ ἕτερον πολλῷ τούτου μεῖζον. Οὐ γὰρ δὴ τὰ πονηρὰ ἡμῶν ἀπελαύνει πάθη μόνον, ἀλλὰ καὶ πᾶσαν εἰσάγει μετὰ πολλῆς

tanquam si longæ cuidam obsidioni tradendus sit venter, crapulam et ebrietatem præoccupantes quasi thesaurizant; rursumque egressi, tanquam ex longa quadam esurie et gravi jejunii carcere soluti, cum multo dedecore ad mensas currunt, ceu studentes sibi ortam ex jejunio utilitatem crapulæ excessu rursum perdere; operæ pretium fuit et tunc et nunc de temperantia instituere sermonem. Verumtamen neque prius quidquam hujusmodi diximus, neque nunc dicemus: instantis enim calamitatis timor pro omni admonitione et consilio cunctorum animas satis moderatur. Quis enim tam miser et ærumnosus, ut in tanta tempestate inebrietur? quis tam insensatus, ut civitate sic fluctuante, et naufragio tali imminente, non sobrius sit et vigilet, et hac anxietate non diligentius quam omni consilio et admonitione corrigatur? Non enim tantum efficere poterit sermo, quantum timor operatur: et hoc ipsum ex iis quæ nunc acciderunt, demonstrare facile est. Quot namque sermones impendimus, torpidorum multos admonentes, et consulentes ut theatra et illinc provenientes lascivias dimitterent? et non abstinebant, sed semper præsenti hac die ad illicita saltantium spectacula concurrebant, diabolicam concionem adversus Dei ecclesiæ plenitudinem constituebant, et hujus loci psalmodiis clamores illinc cum multa sublati vehementia obstrepebant. Sed ecce nunc tacentibus nobis et nihil de hoc dicentibus, sponte orchestram obstruxerunt, et circus inaccessibilis factus est. Antehac nostrorum multi ad illos currebant; nunc autem illinc omnes ad ecclesiam confugerunt, et nostrum omnes collaudant Deum. Vides quantum ex timore lucri factum est? Nisi bonum esset timor, filiis patres pædagogos non præponerent, non legislatores civitatibus magistratus. Quid gehenna gravius? sed hujus metu nihil utilius: gehennæ namque timor regni nobis affert coronam. Ubi timor est, livor non est: ubi timor est, pecuniarum amor non vexat: ubi timor est, exstinctus furor est, cupiditas improba correcta, omnis irrationabilis passio exterminata. Et sicut in domo stante milite semper armato, non latro, non fur, non alius quis talia mala patrantium apparere propius audebit: sic et metu animas nostras occupante, illiberalium nulla perturbationum facile nobis subrepit, sed omnes fugiunt et pelluntur, timoris imperio undique exactæ. Neque hoc solum est quod ex timore lucramur, verum et aliud hoc multo majus. Non enim improbas tantum nostras expellit passiones, sed et omnem cum multa facilitate virtutem inducit.

εὐκολίας τὴν ἀρετήν. Ἔνθα φόβος ἐστὶν, ἐκεῖ καὶ ἐλεημοσύνης σπουδὴ, καὶ εὐχῆς ἐπίτασις, καὶ δάκρυα θερμὰ καὶ ἐπάλληλα, καὶ στεναγμοὶ πολλὴν ἔχοντες τὴν κατάνυξιν. Οὐδὲν γὰρ οὕτω κατεσθίει μὲν ἁμαρτήματα, ἀρετὴν δὲ αὔξεσθαι ποιεῖ καὶ θάλλειν, ὡς διηνεκὴς φόβου φύσις· διὰ τοῦτο τὸν μὴ συζῶντα φόβῳ ἀμήχανον κατορθῶσαι· ὥσπερ οὖν τὸν ἐν φόβῳ ζῶντα ἀδύνατον διαμαρτεῖν.

Μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοὶ, μηδὲ καταπίπτωμεν ἐπὶ τῇ παρούσῃ θλίψει, ἀλλὰ θαυμάσωμεν τὸ εὐμήχανον τῆς τοῦ Θεοῦ σοφίας. Δι' ὧν γὰρ προσεδόκησεν ὁ διάβολος τὴν πόλιν ἡμῶν καταβαλεῖν, διὰ τούτων αὐτὴν ὁ Θεὸς ἀνέστησε καὶ ἀνώρθωσεν· ὁ μὲν γὰρ διάβολος ἐνέπνευσέ τισι παρανόμοις ἀνθρώποις καὶ εἰς αὐτοὺς τῶν βασιλέων ὑβρίσαι [τοὺς] ἀνδριάντας, ἵνα καὶ αὐτὸ τῆς πόλεως ἀφανισθῇ τὸ ἔδαφος· ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ τῷ γεγενημένῳ πρὸς σωφρονισμὸν ἡμῶν πλείονα ἀπεχρήσατο, τῷ φόβῳ τῆς προσδοκωμένης ἀπειλῆς πᾶσαν ἐκβαλὼν ῥᾳθυμίαν· καὶ γέγονε τοὐναντίον ἥπερ ὁ δαίμων ἠθέλησε δι' ὧν αὐτὸς κατεσκεύασεν. Ἡ γὰρ πόλις ἡμῖν καθ' ἑκάστην ἐκκαθαίρεται τὴν ἡμέραν, καὶ στενωποὶ καὶ ἄμφοδα καὶ ἀγυιαὶ τῶν πορνικῶν καὶ διακεκλασμένων ἀπηλλάγησαν ᾀσμάτων, καὶ ὅπουπερ ἄν τις ἴδῃ, λιταὶ καὶ εὐφημίαι καὶ δάκρυα ἀντὶ γέλωτος ἀτάκτου, καὶ ῥήματα φιλοσοφίαν ἔχοντα ἀντὶ ῥημάτων αἰσχρῶν· καὶ ἐκκλησία γέγονεν ἡμῖν ἡ πόλις ἅπασα, τῶν ἐργαστηρίων ἀποκεκλεισμένων, καὶ πάντων ἐν ταῖς πανδήμοις ταύταις διημερευόντων λιταῖς καὶ τὸν Θεὸν μιᾷ καὶ κοινῇ φωνῇ μετὰ πολλῆς καλούντων τῆς προθυμίας. Ποῖος ταῦτα λόγος ἀνῦσαί ποτε ἴσχυσε; ποία παραίνεσις; τίς συμβουλή, πόσον χρόνου μῆκος;

Διὰ τοῦτο εὐχαριστῶμεν, μὴ ἀποδυσπετῶμεν μηδὲ δυσχεραίνωμεν. Ὅτι γὰρ καλὸν ὁ φόβος, ἐδίδαξε μὲν καὶ τὰ εἰρημένα· ἄκουσον δὲ καὶ Σολομῶντος περὶ αὐτοῦ τούτου φιλοσοφοῦντος, Σολομῶντος τοῦ πάσῃ συντραφέντος τρυφῇ καὶ πολλῆς ἀπολαύσαντος ἀδείας. Τί οὖν ἐκεῖνός φησιν; « Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον γέλωτος. » Τί λέγεις, εἰπέ μοι; ὅπου θρῆνος καὶ δάκρυα καὶ οἰμωγαὶ καὶ ὀδύνη καὶ ἀθυμία τοσαύτη, βέλτιον ἀπελθεῖν μᾶλλον ἢ ὅπου χορεῖαι καὶ κύμβαλα καὶ γέλως καὶ τρυφὴ καὶ ἀδηφαγία καὶ μέθη; Ναὶ, φησί. Τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί; Ὅτι ἐκεῖθεν μὲν παροινία, ἐντεῦθεν δὲ σωφροσύνη τίκτεται· κἂν ἀπέλθῃ τις εἰς εὐπορωτέρου συμπόσιον, οὐκέτι μετὰ τῆς αὐτῆς ἡδονῆς ὄψεται τὴν οἰκίαν, ἀλλ' ἀηδῶς μὲν πρὸς τὴν γυναῖκα ἐπανήξει, ἀηδῶς δὲ τῆς ἑαυτοῦ μεθέξει τραπέζης, καὶ δυσάρεστος καὶ τοῖς οἰκέταις καὶ τοῖς παιδίοις καὶ πᾶσιν ἔσται τοῖς κατὰ τὴν οἰκίαν, ἀπὸ τῆς ἑτέρων εὐπορίας ἀκριβέστερον τὴν ἑαυτοῦ κατιδὼν πενίαν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ' ὅτι καὶ βασκαίνει πολλάκις τῷ καλέσαντι αὐτὸν πρὸς τὴν εὐωχίαν· καὶ ὅλως οὐδὲν ἀγαθὸν λαβὼν οἴκαδε ἐπανήξει. Ἐπὶ δὲ

Ubi timor est, ibi et eleemosynæ studium, et orationis intentio, et lacrymæ ferventes et continuæ, et gemitus multam habentes compunctionem. Nihil enim tantum peccata consumit, virtutemque crescere facit et germinare, quantum assidui timoris natura. Propterea qui non vivit in timore, recte illum agere non est possibile : sicut vicissim cum timore viventem est impossibile peccare.

Ne igitur doleamus, dilecti, neque animum despondeamus ob præsentem tribulationem, sed solertem Dei sapientiam admiremur. Unde namque civitatem nostram diabolus se eversurum speravit, inde Deus restituit ipsam et correxit. Diabolus nempe quibusdam impiis hominibus inspiravit ut Imperatorum statuas injuriis afficerent, quo et ipsum urbis solum destrueretur; Deus autem hoc ipso facto ad majorem nostram correctionem usus est, exspectatæ comminationis timore omnem extrudens torporem : et factum est contra quam dæmon volebat, ex iis quæ ipse struxerat. Civitas enim quotidie nobis expurgatur, et angiporti et bivia et plateæ liberatæ meretriciis et lubricis sunt cantibus; et quocumque respexerit aliquis, supplicationes et benedictiones et lacrymæ pro risu soluto, et verba philosophiam habentia pro verbis turpibus : et ecclesia facta nobis est civitas tota, officinis clausis, et hominibus omnibus in his publicis supplicationibus diem totum agentibus, et Deum una communique voce cum multa invocantibus alacritate. Quis hæc sermo unquam expedire potuisset? quæ admonitio? quod consilium? quanta temporis longitudo?

2. Propterea Deo gratias agamus, non moleste feramus, nec gravemur. Quod enim bonum sit timor, etiam prius dicta demonstraverunt : audi vero et Salomonem de eodem philosophantem, Salomonem, inquam, omnibus insuper deliciis, et multa potitum libertate. Quid igitur inquit ille? (*Eccle.* 7. 3 :) *Melius est ire in domum luctus, quam ire in domum convivii*. Quid est, quæso, quod ais? ubi luctus, et lacrymæ, et gemitus, et dolor, et tristitia tanta, melius illinc abscedere, quam ubi chorea, et cymbala, et risus, et deliciæ, et crapula, et ebrietas? Sane, ait. Verum, qua de causa, quæso, et quapropter? Quoniam illinc quidem petulantia, hinc vero modestia nascitur; et si quis ad opulentiorem abeat convivium, non amplius cum eadem lætitia videbit domum suam, sed tristis quidem ad uxorem redibit, tristis autem et de sua mensa participabit, et molestus servis et filiis et omnibus erit domesticis, ex aliorum copia suam diligentius paupertatem considerans. Neque hoc solum est grave, sed id etiam quod sæpe vocanti se ad convivium invidet; et nullo penitus bono auctus domum revertitur. Circa lugentes vero aliud

τῶν πενθούντων οὐδὲν τοιοῦτόν ἐστιν εἰπεῖν, ἀλλὰ πολλὴ μὲν ἡ φιλοσοφία, πολλὴ δὲ ἡ φιλοφροσύνη. Ἅμα γὰρ ἄν τις ἐπιβῇ τῶν προθύρων τῆς οἰκίας τῆς νεκρὸν ἐχούσης, καὶ τὸν τετελευτηκότα ἰδὼν ἄφωνον κείμενον, καὶ τὴν γυναῖκα τὰς τρίχας τίλλουσαν, τὰς παρειὰς καταξαίνουσαν, τοὺς βραχίονας κατατέμνουσαν, καταστέλλεται, σκυθρωπάζει, καὶ τῶν συγκαθημένων ἕκαστος πρὸς τὸν πλησίον οὐδὲν ἕτερον φθέγγεται, ἀλλ' ἢ ὅτι οὐδέν ἐσμεν, καὶ ἡ κακία ἡμῶν ἄφατος. Τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων γένοιτ' ἄν, ὅταν καὶ τῆς φύσεως τὴν εὐτέλειαν ἐπιγινώσκωμεν, καὶ τὴν πονηρίαν διαβάλλωμεν, καὶ μηδὲν εἶναι τὰ παρόντα νομίζωμεν ἑτέροις μὲν ῥήμασι, γνώμῃ δὲ τῇ αὐτῇ τὰ τοῦ Σολομῶντος φθεγγόμενοι ἐκεῖνα τὰ θαυμαστὰ καὶ πολλῆς φιλοσοφίας γέμοντα, ὅτι « Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης; » Ὁ εἰς οἶκον πενθούντων εἰσελθών, εὐθέως δακρύει τὸν ἀπελθόντα, κἂν ἐχθρὸς ᾖ. Εἶδες πόσῳ βελτίων αὕτη ἐκείνης ἡ οἰκία; Ἐκεῖ μὲν γὰρ, κἂν φίλος ᾖ, φθονεῖ· ἐνταῦθα δὲ, κἂν ἐχθρὸς ᾖ, δακρύει· τοῦτο μάλιστα πάντων ὁ Θεὸς ἐπιζητεῖ, τὸ μὴ ἐφήδεσθαι τοῖς λελυπηκόσιν. Οὐ ταῦτα δὲ μόνον ἐκεῖθεν ἔστι καρπώσασθαι τὰ καλὰ, ἀλλὰ καὶ ἕτερα τούτων οὐκ ἐλάττω. Καὶ γὰρ ἀναμιμνήσκεται τῶν ἁμαρτημάτων ἕκαστος τῶν ἑαυτοῦ, καὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ καὶ τῶν εὐθυνῶν ἐκείνων καὶ τῆς κρίσεως· κἂν ᾖ μυρία κακὰ πεπονθὼς παρ' ἑτέρων, καὶ λύπας κατὰ τὴν οἰκίαν ἔχων, πάντων αὐτῶν λαβὼν τὸ φάρμακον οὕτως ἐπάνεισιν. Ἐννοήσας γὰρ ὅτι μικρὸν ὕστερον καὶ αὐτὸς τοῦτο πείσεται, καὶ πάντες δὲ οἱ μεγάλα φυσῶντες, καὶ ὅτι πρόσκαιρα τὰ παρόντα ἅπαντα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρὰ, ἀθυμίαν καὶ βασκανίαν ἅπασαν ἀποθέμενος, καὶ κούφην ποιήσας τὴν ψυχὴν, καὶ πτερωθεὶς, οὕτως οἴκαδε ἀναστρέφει· κἀντεῦθεν ἡμερώτερος ἔσται πᾶσι λοιπὸν καὶ ἐπιεικέστερος καὶ προσηνέστερος καὶ φιλοσοφώτερος, τοῦ φόβου τῶν μελλόντων ἐπεισελθόντος αὐτοῦ τῇ ψυχῇ καὶ τὰς ἀκάνθας δαπανήσαντος ἁπάσας. Ταῦτα πάντα ἐκεῖνος συνιδὼν ἔλεγεν ὅτι « Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου· » ἐκεῖθεν ῥᾳθυμία, ἐντεῦθεν ἀγωνία γίνεται· ἐκεῖθεν καταφρόνησις, ἐντεῦθεν φόβος, φόβος πρὸς ἅπασαν ἡμᾶς παιδαγωγῶν ἀρετήν. Εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν τοὺς πολλοὺς καὶ μακροὺς ἀνῆλωσε λόγους ὁ Χριστὸς περὶ τῆς ἐκεῖ κολάσεως καὶ τιμωρίας διαλεγόμενος. Ὁ φόβος οὐδέν ἕτερόν ἐστιν ἢ τεῖχος καὶ ἀσφάλεια, καὶ πύργος ἀκαταγώνιστος· καὶ γὰρ πολλῆς ἡμῖν ἀσφαλείας δεῖ, διὰ τὸ πολλὰς εἶναι παντοῦ τὰς ἐνέδρας· καθάπερ αὐτὸς οὗτος πάλιν παραινῶν ὁ Σολομὼν ἔλεγεν, « Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς. » Βαβαὶ πόσων τοῦτο τὸ ῥῆμα γέμει ἀγαθῶν, (καὶ) οὐκ ἔλαττον ἢ τὸ πρότερον. Ἐγγράψωμεν τοίνυν ἕκαστος ἐπὶ τῆς διανοίας αὐτὸ τῆς ἡμετέρας, καὶ περιφέρωμεν ἐπὶ τῆς μνήμης ἀεὶ, καὶ οὐχ ἁμαρτησό-

tale dici potest, sed multa ibi philosophia, multa caritas. Simul enim ac quispiam domus mortuum habentis vestibulum attigerit, mortuum intuitus mutum jacentem, et uxorem crines vellentem, lacerantem genas, et brachia secantem, corripitur, tristatur, et considentium quisque ad proximum nil aliud loquitur, quam quod nil sumus, et malitia nostra sit ineffabilis. Quid his verbis sapientius esse possit, cum et naturæ vilitatem agnoscamus, et nostram accusemus improbitatem, et nihil esse præsentia cogitemus : aliis quidem verbis, sententia tamen eadem Salomonis illa loquentes admirabilia et multæ plena philosophiæ (*Eccle.* 1. 2), *Vanitas vanitatum, et omnia vanitas?* Lugentium domum ingressus, statim lacrymis defunctum prosequitur, etiamsi sit inimicus. Vidisti quanto melior hæc quam illa domus? Illic enim, etiamsi amicus sit, invidet; hic autem, etiamsi inimicus sit, lacrymatur : quod omnium maxime Deus exquirit, ut non insultemus iis qui nos contristavere. Non hæc autem sola possunt hinc bona reportari, verum et alia his non minora. Etenim peccatorum quisque suorum reminiscitur, tremendi tribunalis et pœnarum illarum et judicii, ac licet sit infinita ab aliis passus mala, et domi tristitias habeat, horum omnium medela capta, ita revertitur. Cogitans enim et se et eos omnes qui superbia tument, id ipsum brevi passuros esse, et transitoria cuncta præsentia esse, sive suavia sint sive tristia, tristitiam et invidiam omnem deponens, et levem reddens animam, et relevatus, sic domum revertetur : et hinc mansuetior erit in omnes et humanior, benignior et sapientior, futurorum timore ipsius animam subingresso et omnes spinas absumente. Et hæc omnia cognoscens ille dicebat, *Melius est ire ad domum luctus, quam ire ad domum convivii.* Illinc torpor, hinc anxietas nascitur : illinc contemtus, hinc timor ad omnem nos virtutem deducens. Nisi bonum esset timor, non tam multos impendisset Christus sermones et longos, de pœna et supplicio illic futuris loquens. Timor nil aliud est quam murus et munimentum, et turris inexpugnabilis : etenim multa nobis munitione opus est, quia multæ sunt undique insidiæ, sicut ipse Salomon rursum sic admonens dicebat (*Eccli.* 9. 20), *Agnosce quod in medio laqueorum transis, et super propugnaculis urbis ambulas.* Papæ, quot bonorum plenum est hoc verbum, nec minus quam superius! Ipsum igitur in mente quisque nostra scribamus, et semper in memoria circumferamus, et non facile peccabimus; inscribamus,

μαθε ταχέως· ἐγγράψωμεν, πρότερον αὐτὸ μετὰ ἀκριβείας μαθόντες ἁπάσης· οὐ γὰρ εἶπε, Βλέπε ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, ἀλλ' « Ἐπίγνωθι. » Καὶ τίνος ἕνεκεν εἶπεν « Ἐπίγνωθι; » Συνεσκίασται, φησίν, ἡ παγίς· τοῦτο γάρ ἐστιν ἡ παγίς, ὅταν μὴ φανερὸς ὁ ὄλεθρος φαίνηται, μηδὲ δῆλη ἡ βλάβη, ἀλλὰ πανταχόθεν περιεσταλμένη παρακέηται· διὰ τοῦτό φησιν « Ἐπίγνωθι· » πολλῆς σοι δεῖ τῆς κατανοήσεως καὶ ἀκριβοῦς τῆς ἐρεύνης. Ὥσπερ γὰρ τὰ παιδία τῇ γῇ τὴν παγίδα, οὕτως ὁ διάβολος τὰς ἁμαρτίας ταῖς βιωτικαῖς περιέστειλεν ἡδοναῖς· ἀλλ' ἐπίγνωθι διερευνώμενος ἀκριβῶς· κἂν ἐμπέσῃ κέρδος, μὴ τὸ κέρδος ἴδῃς μόνον, ἀλλ' ἐρεύνησον ἀκριβῶς, μή που θάνατος καὶ ἁμαρτία εἰς τὸ κέρδος ἔνδον ἐγκέκρυπται· κἂν ἴδῃς, ἀπόφυγε. Πάλιν, ὅταν τέρψις καὶ ἡδονὴ παρεμπέσῃ, μὴ τὴν ἡδονὴν ἴδῃς μόνον, ἀλλὰ μή που παρανομία τις ἐν τῷ βάθει τῆς ἡδονῆς συνεσκίασται, μετὰ ἀκριβείας ἐξέτασον· κἂν εὕρῃς, ἀποπήδησον· κἂν συμβουλεύῃ τις, κἂν κολακεύῃ, κἂν θεραπεύῃ, κἂν τιμὰς ἐπαγγέλληται, κἂν ὁτιοῦν ἕτερον, πάντα ἐξετάζωμεν μετὰ ἀκριβείας, καὶ περισκοπῶμεν πάντοθεν μή πού τις βλάβη, μή πού τις κίνδυνος ἀπὸ τῆς συμβουλῆς ἢ τῆς τιμῆς ἢ τῆς θεραπείας ἡμῖν ἐγγίνηται, καὶ μὴ ταχέως καὶ ἀπερισκέπτως ἐπιτρέχωμεν. Εἰ μὲν γὰρ μία καὶ δύο μόνον ἦσαν αἱ παγίδες, εὔκολος ἦν ἡ φυλακή· νῦν δὲ τὸ πλῆθος αὐτῶν ἐνδείξασθαι βουλόμενος ὁ Σολομών, ἄκουσον τί φησιν· « Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις »· οὐκ εἶπεν ὅτι Παρὰ παγίδας διαβαίνεις, ἀλλ' « Ἐν μέσῳ παγίδων. » Ἑκατέρωθεν ἡμῖν τὰ βάραθρα, ἑκατέρωθεν οἱ δόλοι. Ἐνέβαλέ τις εἰς ἀγορὰν, εἶδεν ἐχθρὸν, ἐφλέγμανεν ἀπὸ τῆς ὄψεως μόνης· εἶδε φίλον εὐδοκιμοῦντα, ἐβάσκηνεν· εἶδε πένητα, κατεφρόνησε καὶ ὑπερεῖδεν· εἶδε πλούσιον, καὶ ἐφθόνησεν· εἶδέ τινα ἐπηρεαζόμενον, ἀπεδυσπέτησεν· εἶδέ τινα ἐπηρεάζοντα, ἐδυσχέρανεν· εἶδε γυναῖκα εὔμορφον, ἔβλαψε. Εἶδες πόσαι αἱ παγίδες, ἀγαπητέ; Διὰ τοῦτό φησιν, « Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις. » Καὶ ἐν οἰκίᾳ παγίδες, καὶ ἐπὶ τραπέζης παγίδες, καὶ ἐπὶ συλλόγων παγίδες. Πολλάκις ἀπερισκέπτως τις μεταξὺ φίλων θαρρῶν ἐρθέγξατό τι τῶν οὐκ ὀφειλόντων ἐξενεχθῆναι ῥημάτων, καὶ κίνδυνον ἤνεγκε τοσοῦτον, ὥστε ὁλόκληρον ἀνατρέψαι τὴν οἰκίαν. Πανταχόθεν τοίνυν διερευνώμεθα τὰ πράγματα μετὰ ἀκριβείας. Πολλάκις καὶ γυνὴ γέγονε παγὶς τοῖς μὴ προσέχουσι, πολλάκις καὶ παιδία, πολλάκις φίλοι, πολλάκις γείτονες.

Καὶ τίνος ἕνεκεν τοσαῦται παγίδες, φησίν; Ἵνα μὴ κάτωθεν πετώμεθα, ἀλλὰ τὰ ἄνω ζητῶμεν. Καὶ γὰρ τὰ πετεινὰ ἕως ἂν τὸν ὑψηλὸν ἀέρα τέμνῃ, οὐ ταχέως ἁλίσκεται· οὕτω καὶ σὺ, ἕως ἂν πρὸς τὰ ἄνω βλέπῃς, οὔτε ὑπὸ παγίδος οὔτε ὑφ' ἑτέρας τινὸς ἁλώσῃ ποτὲ ῥᾳδίως ἐπιβουλῆς. Ἰξευτής ἐστιν ὁ διάβολος· γενοῦ τοίνυν τῶν ἐκείνου καλάμων ὑψηλότερος. Ὁ πρὸς τὸ ὕψος ἀναβὰς οὐκέτι οὐδὲν θαυμάσεται τῶν

ubi prius ipsum cum omni diligentia didicerimus. Non enim dixit, Aspice quod in medio laqueorum pertransis, sed *Agnosce*. Et quare dixit *Agnosce?* Obumbratus est, inquit, laqueus : hoc enim laqueus est, quando non aperte mors apparet, neque manifesta clades, sed undique obiecta adjacet : propterea dixit *Agnosce*. Multa tibi opus est consideratione et diligenti scrutatione : sicut enim pueri terra laqueos, sic diabolus vitæ voluptatibus peccata circumtexit. Sed agnosce perscrutans diligenter : et si lucrum occurrerit, ne lucrum aspicias solum, sed scrutare diligenter, ne forte mors et peccatum intra lucrum sit absconditum : et si videris, refuge. Rursus, cum delectatio et voluptas occurrerit, ne voluptatem solum respicias, sed ne forte iniquitas aliqua in voluptatis profundo obumbrata sit, diligenter considera; et si inveneris, resilito. Sive consulat quispiam, sive aduletur, sive obsequatur, sive honores polliceatur, sive quodcumque aliud, omnia cum diligentia examinemus; et undique consideremus, ne forte damnum aliquod, ne forte periculum aliquod ex consilio, vel honore, vel obsequio nobis eveniat, et ne celeriter et inconsiderate accurramus. Si enim unus tantum et duo laquei forent, facilis esset custodia; nunc autem multitudinem ipsorum ostendere volens Salomon, quomodo dicit audias : *Agnosce quod in medio laqueorum pertransis.* Non dixit, Juxta laqueos pertransis, sed *In medio laqueorum*. Utrimque nobis voragines, utrimque doli. Processit quispiam in forum, vidit inimicum, exarsit ex aspectu solo : vidit amicum laudem consequentem, invidit : vidit pauperem, contemsit et despexit : vidit divitem, et invidit : quempiam vidit affectum injuria, et ægre tulit : quempiam vidit infestantem, et indignatus est : videt speciosam mulierem, captus est. Viden' quot laquei, dilecte? Ideo dicit, *Agnosce quod in medio laqueorum transis.* Et domi laquei, et in mensa laquei, et in concionibus laquei. Sæpius inconsiderate aliquis inter amicos confidens, loquutus est aliquod verborum quæ proferri non debent, et tale abstulit periculum, ut totam domum subverteret. Undique igitur res cum diligentia perscrutemur. Et uxor sæpe non advertentibus laqueus est facta, sæpe filii, sæpe amici, vicini sæpe.

3. Et qua gratia tot laquei? Ne deorsum volemus, sed superiora quæramus. Etenim volatilia donec altum aerem secant, non facile capiuntur : ita tu, donec ad superiora respexeris, nec laqueo nec ullis facile capieris insidiis. Auceps est diabolus : sis igitur ipsius calamis sublimior. Qui ascendit in altum, non amplius ullam rerum admirabitur humanarum; sed sicut postquam in montium verti-

βιωτικῶν πραγμάτων· ἀλλ' ὥσπερ ἐπειδὰν εἰς τὴν κορυφὴν ἀναβράμωμεν τῶν ὀρέων, μικρὰ καὶ ἡ πόλις ἡμῖν εἶναι δοκεῖ καὶ τὰ τείχη, καὶ μυρμήκων δίκην ἐπὶ τῆς γῆς οἱ ἄνδρες ἡμῖν βαδίζοντες φαίνονται, οὕτως ἐπειδὰν ἐπὶ τὴν ὑψηλὴν ἔννοιαν τῆς φιλοσοφίας ἀνέλθῃς, οὐδέν σε τῶν ἐπὶ τῆς γῆς ἐκπλῆξαι δυνήσεται, ἀλλὰ μικρὰ πάντα φανεῖται, καὶ πλοῦτος, καὶ δόξα, καὶ δυναστεία, καὶ τιμὴ, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅταν τὰ ἐν τοῖς οὐρανοῖς βλέπῃς· καθάπερ οὖν καὶ Παύλῳ μικρὰ πάντα ἐφαίνετο, καὶ νεκρῶν ἀχρηστότερα τὰ λαμπρὰ τοῦ παρόντος βίου. Διὰ τοῦτο καὶ ἐβόα λέγων, « Ἐμοὶ κόσμος ἐσταύρωται· » διὰ τοῦτο καὶ ἡμῖν παρήνει λέγων, « Τὰ ἄνω φρονεῖτε· » Ποῖα λέγεις, εἰπέ μοι, Ἄνω; ὅπου ἥλιος, ὅπου σελήνη; Οὐχὶ, φησίν. Ἀλλὰ ποῦ; ὅπου ἄγγελοι, ὅπου ἀρχάγγελοι, ὅπου τὰ Χερουβὶμ, ὅπου τὰ Σεραφίμ; Οὐχὶ, φησίν. Ἀλλὰ ποῦ; « Ὅπου ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. » Πειθώμεθα τοίνυν, κἀκεῖνο διηνεκῶς λογιζώμεθα, ὅτι καθάπερ τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδὲν ὑπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται, οὕτω καὶ σοὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἂν κατὰ κράτος ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς, ἀλλ' ὅσα ἂν σκιρτήσῃς, ἑάλως. Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα ἐκφύγῃ τὰς παγίδας· διὰ τοῦτο λογισμοὶ τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσι τὰ ἁμαρτήματα. Τίνα οὖν ἕξομεν συγγνώμην, τίνα δὲ ἀπολογίαν, ὅταν τῶν ἀλόγων ὦμεν ἀνοητότεροι; Ὁ μὲν γὰρ στρουθὸς ἅπαξ ἁλοὺς ὑπὸ παγίδος, εἶτα διαφυγὼν, καὶ ἔλαφος δὲ εἰς δίκτυα ἐμπεσοῦσα καὶ διαῤῥᾶσα, δυσκόλως ἁλώσονται πάλιν τοῖς αὐτοῖς· ἑκάστῳ γὰρ ἡ πεῖρα διδάσκαλος ἀσφαλείας γίνεται· ἡμεῖς δὲ πολλάκις τοῖς αὐτοῖς ἁλόντες, τοῖς αὐτοῖς περιπίπτομεν, καὶ οὐδὲ τῶν ἀλόγων τὸ προνοητικὸν καὶ μεμεριμνημένον οἱ λόγῳ τιμηθέντες μιμούμεθα. Ποσάκις γοῦν ἰδόντες γυναῖκα μυρία ἐπάθομεν δεινὰ οἴκαδε ἀναχωρήσαντες, καὶ τὴν ἐπιθυμίαν δεξάμενοι, καὶ ἐπὶ πολλαῖς ὀδυνηθέντες ἡμέραις; ἀλλ' ὅμως οὐ σωφρονιζόμεθα, ἀλλὰ μόλις τὸ πρότερον θεραπεύσαντες ἕλκος, πάλιν τοῖς αὐτοῖς περιπίπτομεν, ὑπὸ τῶν αὐτῶν ἁλισκόμεθα, καὶ διὰ βραχεῖαν ἡδονὴν ὄψεως διηνεκῆ τινα καὶ χρόνιον ὑπομένομεν ὀδύνην. Ἀλλ' ἂν μάθωμεν συνεχῶς ταύτην ἐπιλέγειν ἑαυτοῖς τὴν ῥῆσιν, πάντων ἀποστησόμεθα τῶν δεινῶν. Παγὶς μεγίστη κάλλος γυναικός· μᾶλλον δὲ οὐχὶ κάλλος γυναικὸς, ἀλλ' ἡ ἀκόλαστος ὄψις· μὴ γὰρ δὴ τὰ πράγματα διαβάλλωμεν, ἀλλ' ἡμᾶς καὶ τὴν ἡμετέραν ῥᾳθυμίαν· μηδὲ λέγωμεν, Μὴ ἔστωσαν γυναῖκες, ἀλλὰ, Μὴ ἔστωσαν μοιχεῖαι· μὴ λέγωμεν, Μὴ ἔστω κάλλος, ἀλλὰ, Μὴ ἔστω πορνεία· μὴ λέγωμεν, Μὴ ἔστω κοιλία, ἀλλὰ, Μὴ ἔστω ἀδηφαγία· οὐ γὰρ ἡ κοιλία τὴν ἀδηφαγίαν ποιεῖ, ἀλλ' ἡ ἡμετέρα ῥᾳθυμία. Μὴ λέγωμεν, Διὰ τὸ φαγεῖν καὶ πιεῖν πάντα τὰ κακά· οὐ γὰρ διὰ τοῦτο, ἀλλὰ διὰ τὴν ῥᾳθυμίαν καὶ τὴν ἀπληστίαν τὴν ἡμετέραν. Οὐκ ἔφαγε γοῦν οὐδὲ ἔπιεν ὁ

cem ascenderimus, parva nobis et urbs et mœnia apparent, et formicarum more nobis viri super terram ire videntur : sic postquam ad celsam philosophiæ cogitationem ascenderis, nihil terrenorum te percellere poterit, sed parva videbuntur omnia, et divitiæ, et gloria, et potentia, et honor, et si quid aliud hujusmodi, cum cœlestia respicias : sicut scilicet et Paulo parva omnia videbantur, et mortuis inutiliora ea quæ in præsenti vita sunt splendida. Propterea clamabat, dicens (*Gal.* 6. 14), *Mihi mundus crucifixus est :* ideo et nos admonebat his verbis (*Coloss.* 3. 2) : *Quæ sursum sunt sapite.* Qualia dicis, dic mihi, *Quæ sursum sunt?* ubi sol, ubi luna? Non, inquit. Sed ubi? ubi angeli, ubi archangeli, ubi Cherubim, ubi Seraphim? Non, inquit. Sed ubi? (*Ibid.* v. 1) : *Ubi Christus est in dextera Dei sedens.* Pareamus igitur, et illud assidue ratiocinemur, quod sicut aviculæ laqueo captæ alarum utilitas nulla, sed frustra et incassum alas ipsas concutit : ita tibi nulla ratiocinationum utilitas, si ab improba penitus cupiditate captus sis, sed quantumcumque resilieris, captus es. Ideo alæ sunt aviculis, ut effugiant laqueos : ideo ratiocinationes hominibus, ut peccata effugiant. Quam igitur veniam habebimus, quam vero defensionem, cum brutis sumus dementiores? Avicula namque semel capta laqueo, mox elapsa, et cervus in retia decidens et effugiens, iisdem iterum difficile capiuntur; nam cuique fit experientia cautelæ magistra : at nos sæpius iisdem capti, in eadem cadimus; neque brutorum providentiam et sollicitudinem nos ratione decorati imitamur. Quoties quippe mulierem conspicati, innumera passi sumus gravia, domum reversi concepta cupiditate, et multis diebus dolore confecti? verumtamen non corrigimur, sed vix priore curato vulnere, rursus in eadem labimur, ab iisdem expugnamur, et propter brevem visus voluptatem diuturnum quemdam et continuum dolorem sustinemus. Sed si frequenter nobis hoc repetere dictum didicerimus, omnibus malis abstinebimus. Laqueus maximus mulieris forma : imo vero non mulieris forma, sed lascivus aspectus. Ne enim res calumniemur, sed nos et nostrum torporem; neque dicamus : Ne sint mulieres, sed, Ne sint adulteria : neque dicamus, Ne sit pulchritudo, sed, Ne sit fornicatio : neque dicamus, Ne sit venter, sed, Ne sit crapula : non enim venter crapulam facit, sed negligentia nostra. Non dicamus, Quia comeditur et bibitur, omnia hinc mala : non enim propter hoc, sed propter torporem et ingluviem nostram. Non comedit quippe nec bibit diabolus, et cecidit : comedit et bibit

διάβολος, καὶ κατέπτυσεν· ἴφαγε καὶ ἔπιεν ὁ Παῦλος, καὶ εἰς τὸν οὐρανὸν ἀνῆλθε. Πόσων ἀκούω λεγόντων, Μὴ ἔστω πενία; Ἐπιστομίζωμεν (τοίνυν) τοὺς τὰ τοιαῦτα δυσχεραίνοντας· βλασφημία γὰρ τὸ τὰ τοιαῦτα λέγειν ἐστί. Λέγωμεν τοίνυν πρὸς αὐτούς, Μὴ ἔστω μικροψυχία· πενία γὰρ μυρία εἰς τὸν βίον ἡμῶν εἰσήγαγεν ἀγαθὰ, καὶ χωρὶς πενίας ὁ πλοῦτος ἄχρηστος. Μὴ τοίνυν μήτε τοῦτον μήτε ἐκείνην διαβάλλωμεν· πενία γὰρ καὶ πλοῦτος ὅπλα ἐστὶ πρὸς ἀρετὴν ἑκάτερα φέροντα, ἂν ἐθέλωμεν. Ὥσπερ οὖν ὁ γενναῖος στρατιώτης, οἷον ἂν ὅπλον λάβῃ, τὴν οἰκείαν ἀρετὴν ἐπιδείκνυται, οὕτως ὁ ἄνανδρος καὶ δειλὸς ὑφ' ἑκατέρων ἐμποδίζεται. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἀναμνήσθητί μοι τοῦ Ἰώβ, ὃς ὁμοῦ καὶ πλούσιος καὶ πένης γέγονε, καὶ ἑκάτερα τὰ ὅπλα μετεχειρίσατο, καὶ ἐν ἑκατέροις ἐκράτησε. Καὶ ὅτε μὲν πλούσιος ἦν, ἔλεγεν, « Ἡ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο· » ὅτε δὲ πένης γέγονεν, ἔλεγεν, « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. » Ὅτε πλούσιος ἦν, πολλὴν τὴν φιλοξενίαν, ὅτε πένης γέγονε, πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο. Καὶ σὺ τοίνυν, πλούσιος εἶ; πολλὴν ἐπιδείκνυσο τὴν ἐλεημοσύνην· πένης γέγονας; πολλὴν τὴν καρτερίαν καὶ τὴν ὑπομονήν. Οὔτε γὰρ πλοῦτος κακὸν οὔτε πενία ἁπλῶς, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων ἑκάτερα ταῦτα γίνεται. Παιδεύσωμεν τοίνυν ἑαυτοὺς μὴ τοιαύτας περὶ τῶν πραγμάτων ἔχειν τὰς κρίσεις, μηδὲ τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ τὴν προαίρεσιν τὴν πονηρὰν τῶν ἀνθρώπων διαβάλλειν. Τὸν μικρόψυχον οὐδ' ὁ πλοῦτος ὠφελῆσαι δύναται· τὸν μεγαλόψυχον οὐδ' ἡ πενία καταβλάπτει ποτέ.

Ἐπιγνῶμεν τοίνυν τὰς παγίδας, καὶ πόρρωθεν αὐτῶν βαδίζωμεν· ἐπιγνῶμεν τοὺς κρημνούς, καὶ μηδὲ ἐγγὺς γινώμεθα. Τοῦτο ἀσφαλείας ἡμῖν ἔσται μεγίστης ὑπόθεσις, τὸ μὴ τὰ ἁμαρτήματα φεύγειν μόνον, ἀλλὰ καὶ τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, πρὸς δὲ τὰς ἁμαρτίας ἡμᾶς ὑποσκελίζοντα. Οἷόν τι λέγω· τὸ γελᾶν καὶ ἀστεῖα λέγειν οὐ δοκεῖ μὲν ὁμολογημένον ἁμάρτημα εἶναι, ἄγει δὲ εἰς ὁμολογούμενον ἁμάρτημα. Πολλάκις γοῦν ἀπὸ γέλωτος αἰσχρὰ ῥήματα τίκτεται, ἀπὸ ῥημάτων αἰσχρῶν πράξεις αἰσχρότεραι· πολλάκις ἀπὸ ῥημάτων καὶ γέλωτος λοιδορία καὶ ὕβρις, ἀπὸ λοιδορίας καὶ ὕβρεως πληγαὶ καὶ τραύματα, ἀπὸ τραυμάτων καὶ πληγῶν σφαγαὶ καὶ φόνοι. Ἂν τοίνυν μέλλῃς περὶ σαυτοῦ καλῶς βουλεύεσθαι, οὐχὶ τὰ αἰσχρὰ ῥήματα μόνον, οὐδὲ τὰ αἰσχρὰ πράγματα, οὐδὲ τὰς πληγὰς καὶ τὰ τραύματα καὶ τοὺς φόνους, ἀλλὰ καὶ αὐτὸν τὸν ἄκαιρον γέλωτα καὶ αὐτὰ τὰ ἀστεῖα ἀποφεύξῃ ῥήματα, ἐπειδὴ τῶν μετὰ ταῦτα [κακῶν] ῥίζα ταῦτα ἐγένετο. Διὰ τοῦτο ὁ Παῦλός φησι, « Μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. » Εἰ γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ μικρὸν εἶναι δοκεῖ, ἀλλὰ μεγάλων ἡμῖν αἴτιον κακῶν γίνεται. Πάλιν τὸ τρυφᾶν οὐ δοκεῖ μὲν ἔγκλημα εἶ-

Paulus, et in cælum ascendit. Quot dicentes audio, Non sit paupertas! Obmutescere faciamus eos qui talia ægre ferunt : blasphemia enim est talia dicere. Dicamus igitur ipsis, Non sit pusillanimitas : paupertas enim innumera vitæ bona intulit nostræ, et sine paupertate inutiles sunt divitiæ. Ne calumniemur itaque nec has, nec illam : paupertas enim et divitiæ sunt arma, ad virtutem utraque ferentia, si velimus. Sicut igitur generosus miles, quodcumque ferrum capiat, propriam virtutem ostendit : sic imbellis et ignavus ab omnibus impeditur. Et ut discas hoc verum esse, illius mihi Job recordare, qui simul et dives et pauper factus est, et utraque arma tractavit, et in utrisque vicit. Et quando dives quidem erat, dicebat (31. 32), *Janua mea omni venienti fuit aperta;* quando vero pauper factus est, dicebat, *Dominus dedit, Dominus abstulit; sicut Domino placuit, ita factum est.* Dum fuit dives, multam hospitalitatem, cum factus est pauper, multam patientiam exhibuit. Et tu igitur, si dives es, multam demonstra eleemosynam : si pauper factus es, patientiæ multum et tolerantiæ. Neque enim divitiæ malum, nec paupertas simpliciter, sed juxta voluntatem utentium hæc utraque fiunt. Nos igitur ipsos instituamus, ut non talia de rebus feramus judicia, neque Dei opera, sed improbam hominum voluntatem accusemus. Pusillanimem nec divitiæ possunt adjuvare; magnanimo nec pauperies unquam nocet.

4. Agnoscamus igitur laqueos, et ab ipsis procul eamus : agnoscamus præcipitia, nec appropinquemus. Hoc maximæ securitatis nobis erit occasio, non tantum peccata fugere, verum et quæ videntur indifferentia quidem esse, sed ad peccata nos supplantant. Exempli causa, ridere et jocosa dicere verba, non manifestum quidem peccatum esse videtur, sed in manifestum peccatum inducit : nempe sæpius ex risu turpia nascuntur verba, a turpibus verbis actiones turpiores; sæpius ex verbis et risu convicia et contumeliæ; de convicio et contumelia plagæ et vulnera; de vulneribus et plagis cædes et homicidia. Si tibi igitur bene consulturus es, non turpia tantum verba, neque turpia tantum facta, neque plagas et vulnera et homicidia, verum et ipsum intempestivum risum et verba fugies scurrilia, quoniam subsequentium malorum radix talia esse solent. Propterea Paulus ait (*Ephes.* 5. 3), *Stultiloquium et scurrilitas ne prodeat ex ore vestro.* Etsi namque per se parvum ipsum esse videtur, magnorum tamen malorum causa nobis efficitur.

ναι φανερὸν καὶ ὡμολογημένον, μεγάλα δὲ ἡμῖν τίκτει κακά, μέθην, παροινίαν, πλεονεξίαν, ἁρπαγάς. Ὁ γὰρ δαπανηρὸς καὶ πολυτελὴς, καὶ λειτουργίας τῇ γαστρὶ λειτουργῶν ἀφορήτους, καὶ κλέπτειν ἀναγκάζεται πολλάκις, καὶ τὰ ἑτέρων ἁρπάζειν καὶ πλεονεκτεῖν καὶ βιάζεσθαι. Ἂν τοίνυν φύγῃς τὸ τρυφᾷν, καὶ πλεονεξίας καὶ ἁρπαγῆς καὶ μέθης καὶ μυρίων κακῶν τὴν ὑπόθεσιν ἀνεῖλες, πόρρωθεν τὴν ῥίζαν ἐκτεμὼν τῆς πονηρίας. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν ὅτι « Ἡ σπαταλῶσα ζῶσα τέθνηκε. » Τὸ εἰς θέατρα ἀναβαίνειν πάλιν καὶ ἵππων ἅμιλλαν θεωρεῖν καὶ κυβεύειν, οὐ δοκεῖ πλημμέλημα τοῖς πολλοῖς ὡμολογημένον εἶναι, μυρία δὲ εἰς τὸν βίον εἰσάγει κακά. Καὶ γὰρ ἡ ἐν τοῖς θεάτροις διατριβὴ πορνείας, ἀκολασίας, ἀσελγείας ἁπάσας ἔτεκε, καὶ ἡ τῆς ἁμίλλης τῶν ἵππων θεωρία μάχας, λοιδορίας, πληγὰς, ὕβρεις, ἀπεχθείας διηνεκεῖς ἐπήγαγε· καὶ ἡ περὶ τὸ κυβεύειν σπουδὴ βλασφημίας, ζημίας, ὀργὰς, λοιδορίας, μυρία ἕτερα τούτων δεινότερα πολλάκις εἰργάσατο.

Μὴ τοίνυν τὰ ἁμαρτήματα φεύγωμεν μόνον, ἀλλὰ καὶ τὰ δοκοῦντα μὲν ἀδιάφορα εἶναι, κατὰ μικρὸν δὲ ἡμᾶς εἰς τὰς πλημμελείας ἄγοντα ταύτας. Καὶ γὰρ ὁ παρὰ χρημνὸν βαδίζων, κἂν μὴ καταπέσῃ, τρέμει, καὶ πολλάκις ὑπ' αὐτοῦ τοῦ τρόμου περιτραπεὶς κατέπεσεν· οὕτω καὶ ὁ μὴ πόρρωθεν φεύγων τὰς ἁμαρτίας, ἀλλ' ἐγγὺς αὐτῶν βαδίζων, μετὰ φόβου βιώσεται, καὶ πολλάκις εἰς αὐτὰς ἐμπεσεῖται. Καὶ γὰρ ὁ τὰ ἀλλότρια περιεργαζόμενος κάλλη, κἂν μὴ μοιχεύσῃ, τέως ἐπεθύμησε καὶ γέγονε κατὰ τὴν ἀπόφασιν τοῦ Χριστοῦ μοιχός· πολλάκις δὲ ὑπ' αὐτῆς τῆς ἐπιθυμίας καὶ εἰς τὴν διὰ τῆς πείρας ἁμαρτίαν καταφέρεται. Πόρρωθεν τοίνυν ἑαυτοὺς ἀναστέλλωμεν τῶν ἁμαρτημάτων. Βούλει σωφρονεῖν; μὴ φύγῃς μοιχείαν μόνον, ἀλλὰ καὶ ἀκόλαστον ὄψιν. Βούλει ῥημάτων αἰσχρῶν εἶναι μακράν; μὴ τὰ αἰσχρὰ ῥήματα φύγῃς μόνον, ἀλλὰ καὶ γέλωτα ἄτακτον καὶ ἐπιθυμίαν ἅπασαν. Βούλει φόνων εἶναι πόρρω; φεῦγε καὶ λοιδορίας. Βούλει μέθης ἀφίστασθαι; φεῦγε τρυφὰς καὶ τὰς πολυτελεῖς τραπέζας, καὶ πρόρριζον τὴν κακίαν ἀνάσπασον. Μεγάλη παγὶς γλώσσης ἀκολασία καὶ πολλοῦ δεομένη τοῦ χαλινοῦ. Διὰ τοῦτο καί τίς φησι, « Παγὶς ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος. » Πρὸ τῶν ἄλλων τοίνυν ἁπάντων μελῶν ταύτην σωφρονίσωμεν, ταύτην χαλινώσωμεν, καὶ λοιδορίας καὶ ὕβρεις καὶ αἰσχρολογίας καὶ κακηγορίας ἀπὸ τοῦ στόματος ἐξελάσωμεν, καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν· πάλιν γὰρ ἡμᾶς ἐπὶ τὴν αὐτὴν παραίνεσιν ὁ λόγος ἤγαγε. Καίτοι γε ἐσπέρας συνεταξάμην ὑμῶν τῇ ἀγάπῃ, ὡς οὐκέτι περὶ τῆς ἐντολῆς ταύτης ἐρῶ, διὰ τὸ πάσας τὰς ἔμπροσθεν ἡμέρας ἀρκούντως περὶ αὐτῆς διειλέχθαι· ἀλλὰ τί πάθω; ἕως ἂν ἴδω κατορθώσαντας, οὐ στέγω τῆς συμβουλῆς ἀποσχέσθαι· ἐπεὶ καὶ Παῦλος Γαλάταις λέγων, « Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω », πάλιν αὐτοῖς

Rursum deliciis vacare non videtur quidem esse crimen manifestum et expressum; attamen multa nobis parit mala, ebriositatem, furorem, avaritiam, rapinas. Sumtuosus enim et lautus, et munera ventri ministrans intolerabilia, furari sæpe cogitur et aliena rapere et opprimere et violare. Si delicias itaque fugias, et avaritiæ et rapinæ et ebrietatis et innumerabilium malorum sustulisti materiam, iniquitatis radicem a principio resecans. Propterea et Paulus dicebat (1. *Tim.* 5. 6), *Quæ in deliciis est, vivens mortua est.* In theatra rursum ascendere et equorum certamina spectare, et aleas tractare non videtur multis peccatum esse manifestum, sed infinita vitæ mala solet inferre. Etenim in theatris immoratio fornicationem, petulantiam, et omnem incontinentiam peperit; et circensium spectaculum pugnas, convicia, vulnera, contumelias, juges inimicitias adduxit: et circa aleas studium, blasphemias, jacturas, iras, convicia, infinita alia his graviora sæpe produxit.

Ne tantum itaque peccata fugiamus, verum ea quoque quæ indifferentia videntur, sed paulatim in hæc peccata nos pertrahent. Nam qui juxta præcipitium ambulat, quamvis non decidat, tremit, et sæpenumero ab ipso subversus tremore decidit: ita et qui non procul peccata fugit, sed secus ipsa vadit, cum timore vivet, et in ipsa labetur sæpius. Nam qui alienas curiose spectat formas, quamvis non mœchetur, tamen concupivit, et secundum Christi sententiam (*Matth.* 5. 28) factus est adulter; sæpius autem ab ipsa concupiscentia et in peccatum re ipsa defertur. Nos igitur ipsos procul a peccatis cohibeamus. Vis temperans esse? ne tantum fugias adulterium, sed etiam petulantem aspectum. Vis a verbis turpibus abesse longe? ne verba tantum turpia fugias, verum et risum solutum et omnem concupiscentiam. Vis cædibus esse procul? fuge convicia quoque. Vis ab ebrietate separari? fuge delicias et lautas mensas, et radicitus vitium extirpa. Magnus laqueus est linguæ petulantia, et freno admodum indigens. Propterea et quidam inquit (*Prov.* 6. 2), *Laqueus fortis viro propria labia, et capitur verbis oris proprii.* Supra cætera igitur cuncta membra hanc moderemur, hanc refrenemus, et convicia contumeliasque ac turpiloquia et maledicta ex ore pellamus, et malam juramentorum consuetudinem: rursum enim nos ad eandem admonitionem sermo deduxit. Et quidem heri cum vestra caritate constitui, me non amplius de hoc mandato dicturum, quoniam omnibus superioribus diebus de illo sufficienter dissertum est: sed quid faciam? donec vos correctos videam, non possum a consilio dando abstinere: quoniam et Paulus qui Galatis dicit (*Gal.* 6. 17), *Deinceps labores mihi nemo præbeat*, rursum

φαίνεται συγγενόμενος καὶ διαλεχθείς. Τοιαῦτα τὰ σπλάγχνα τὰ πατρικά, κἂν εἴπωσιν ἀφίστασθαι, οὐκ ἀφίστανται, ἕως ἂν ἴδωσι σωφρονισθέντας αὐτοῖς τοὺς παῖδας.

Ἠκούσατε τοῦ προφήτου σήμερον περὶ τῶν ὅρκων ἡμῖν διαλεγομένου; « Ἐπέβλεψα τοῖς ὀφθαλμοῖς μου, καὶ εἶδον, φησί· καὶ ἰδοὺ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα, καὶ εἶπε πρός με· Τί σὺ βλέπεις; καὶ εἶπον· Ὁρῶ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα· καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ ὀμνύοντος, φησὶ, τῷ ὀνόματί μου, καὶ καταλύσει ἐν τῷ μέσῳ καὶ κατασκάψει τοὺς λίθους καὶ τὰ ξύλα. » Τί ποτέ ἐστι τὸ εἰρημένον, καὶ τίνος ἕνεκεν ἐν τάξει δρεπάνης ἡ τοῖς ὀμνύουσιν ἐσομένη τιμωρία φαίνεται, καὶ δρεπάνης πετομένης; Ἵνα τὸ ἄφυκτον τῆς δίκης καὶ τὸ ἀδιεξόδευτον τῆς κολάσεως ἴδῃς. Ξίφος μὲν γὰρ πετόμενον ἴσως τις διαδρᾶναι δυνήσεται, δρεπάνην δὲ εἰς τὸν τράχηλον ἐμπεσοῦσαν καὶ ἀντὶ σχοινίου γενομένην οὐδεὶς ἂν διαφύγοι· ὅταν δὲ καὶ πτερὰ προσῇ, ποῖα λοιπὸν σωτηρίας ἐλπίς; Τίνος δὲ ἕνεκεν τοὺς λίθους καὶ τὰ ξύλα καταλύει τοῦ ὀμνύοντος; Ἵνα τοῖς ἄλλοις σωφρονισμὸς τὸ πάθος γένηται. Ἐπειδὴ γὰρ τὸν ὀμνύοντα ἀποθανόντα ἀνάγκη τῇ γῇ κρύπτεσθαι, ἡ οἰκία καταλυθεῖσα καὶ χῶμα γενομένη τοῖς παριοῦσιν ἅπασι καὶ βλέπουσι παραινεῖ διὰ τῆς ὄψεως μὴ τὰ αὐτὰ τολμᾶν, ἵνα μὴ τὰ αὐτὰ πάθωσι, καὶ κατήγορος ἔσται τῆς τοῦ τετελευτηκότος ἁμαρτίας διηνεκής. Οὐχ οὕτω κεντεῖ ξίφος, ὡς ὅρκου φύσις· οὐχ οὕτως ἀναιρεῖ μάχαιρα, ὡς ὅρκου πληγή. Ὁ ὀμόσας, κἂν δοκῇ ζῆν, ἤδη τετελεύτηκε καὶ τὴν πληγὴν ἐδέξατο· καὶ καθάπερ ὁ τὸ σπαρτίον λαβών, καὶ πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν καὶ ἐπὶ τὸ βάραθρον ἐλθεῖν καὶ δήμιον ἰδεῖν ἑστάμενον, τέθνηκεν ἅμα τῷ τὰς θύρας ἐξελθεῖν τοῦ δικαστηρίου, οὕτω καὶ ὁ ὀμόσας.

Ταῦτα λογιζώμεθα, καὶ μὴ ὀρκίζωμεν τοὺς ἀδελφούς. Τί ποιεῖς, ἄνθρωπε; ἐπὶ τραπέζης ὀρκίζεις ἱερᾶς, καὶ ἔνθα ὁ Χριστὸς κεῖται τεθυμένος, ἐκεῖ τὸν ἀδελφὸν καταθύεις τὸν σόν; Καὶ οἱ μὲν λῃσταὶ ἐπὶ τῶν ὁδῶν θύουσι, σὺ δὲ ἔμπροσθεν τῆς μητρὸς τὸν υἱὸν καταθύεις ἐναγέστερον τοῦ Κάϊν ἐργαζόμενος φόνον; Ἐκεῖνος μὲν γὰρ ἔθυσε τὸν ἀδελφὸν ἐπὶ τῆς ἐρημίας καὶ τὸν παρόντα θάνατον· σὺ δὲ θύεις τὸν ἀδελφὸν ἐν μέσῳ τῆς ἐκκλησίας καὶ τὸν μέλλοντα θάνατον τὸν ἀθάνατον. Μὴ γὰρ ἐκκλησία διὰ τοῦτο γέγονεν, ἵνα ὀμνύωμεν; Διὰ τοῦτο γέγονεν, ἵνα εὐχώμεθα. Μὴ γὰρ τράπεζα διὰ τοῦτο ἕστηκεν, ἵνα ὀρκίζωμεν; Διὰ τοῦτο ἕστηκεν, ἵνα τὰ ἁμαρτήματα λύωμεν, οὐχ ἵνα δεσμῶμεν. Σὺ δὲ εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι ὃ προτείνεις εἰς ὅρκον, καὶ τὸ εὐαγγέλιον, ὃ μετὰ χεῖρας λαμβάνων κελεύεις ὀμνύναι, ἀνάπτυξον, καὶ ἀκούσας τί περὶ ὅρκων ὁ Χριστὸς ἐκεῖ διαλέγεται, φρίξον καὶ ἀπόστηθι. Τί οὖν ἐκεῖ περὶ ὅρκων φησίν; « Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι

ipsis apparet congressus et loquutus. Hujusmodi sunt paterna viscera: etsi recessuros se patres esse dicant, non absistunt, donec correctos viderint filios suos.

5. Audivistis prophetam hodie nobis de juramento loquentem? *Respexi oculis meis, et vidi*, inquit (*Zacharias* 5. 1—4), *et ecce falx volans longitudinis cubitorum viginti, et latitudinis cubitorum decem. Et dixit ad me, Quid tu vides? et dixi, Video falcem volantem longitudinis cubitorum viginti, et latitudinis cubitorum decem. Et ingredietur domum, inquit, jurantis nomine meo, et destruet in medio, et suffodiet lapides et ligna.* Quid tandem est dictum? et qua de causa in specie falcis, et falcis volantis jurantes sequens poena cernitur? Ut ultionem inevitabilem esse, et supplicium declinari non posse videas. Ensem enim forsitan volantem aliquis effugere poterit: falcem autem in collum delapsam et pro funiculo factam, nemo fugere potest: cum autem alæ quoque adsint, quæ salutis uiterius spes? Qua vero de causa lapides et ligna jurantis dissolvit? Ut hac ruina aliis correctio fiat. Quia enim jurantem mortuum terra eradi necesse est, domus dissoluta et in ruinam versa prætereuntibus omnibus et cernentibus admonitio est ut non eadem audeant, ne eadem patiantur, illaque defuncti crimen semper arguet. Non ita pungit ensis, sicut juramenti natura: non sic occidit gladius, sicut juramenti plaga. Juratus etsi vivere videatur, jam mortuus est, et vulnus excepit: sicut et qui restem cepit, priusquam civitatem egrediatur et ad præcipitium veniat et tortorem videat imminentem, mortuus est, simul ac prætorii januas egressus est: sic et juratus.

Hæc reputemus, et ne fratres adjuremus. Quid facis, homo? super mensam adjuras sacram, et ubi Christus positus est immolatus, illic fratrem tuum immolas? Latrones quidem in viis mactant: tu vero coram matre filium immolas, sceleratius quam Cain patrans homicidium? Ille nempe fratrem suum in deserto et præsenti morte mactavit: tu vero fratrem tuum immolas in medio ecclesiæ, idque morte futura immortali. Num enim propterea facta est ecclesia, ut juremus? Propterea facta est, ut oremus. Num enim ideo mensa posita est, ut adjuremus? Ideo posita est, ut peccata solvamus, non ut alligemus. Tu vero si nihil aliud, saltem librum ipsum reverere, quem in juramentum porrigis: et evangelium, quod intra manus capiens jurare jubes, explica, et audiens quid ibi Christus de juramentis disserat, horresce et desiste. Quid igitur illic de juramentis inquit? (*Matth.* 5. 34:) *Ego autem dico vobis omnino non jurare.* Tu

ὅλως· « σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖς; Ὦ τῆς ὕβρεως, ὦ τῆς παρανοίας· ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἴ τις τὸν νομοθέτην τὸν κωλύοντα φονεύειν, αὐτὸν σύμμαχον κελεύοι γενέσθαι πρὸς τὴν σφαγήν. Οὐχ οὕτω στένω καὶ δακρύω σφαζομένους ἀκούων τινὰς ἐν ταῖς ὁδοῖς, ὡς στένω καὶ δακρύω καὶ φρίττω, ἐπειδὰν ἴδω τινὰ πλησίον τῆς τραπέζης ταύτης ἐλθόντα καὶ τὰς χεῖρας θέντα καὶ τῶν εὐαγγελίων ἁψάμενον, καὶ ὀμνύντα. Περὶ χρημάτων ἀμφιβάλλεις, εἰπέ μοι, καὶ ψυχὴν ἀναιρεῖς; τί τοσοῦτον κερδαίνεις, ὅσον ζημιοῖς καὶ σαυτὸν καὶ τὸν πλησίον; Εἰ μὲν πιστεύεις ὅτι ἀληθής ἐστιν ὁ ἀνὴρ, μὴ ἐπαγάγῃς τοῦ ὅρκου τὴν ἀνάγκην· εἰ δὲ οἶδας ὅτι ψεύσεται, μὴ ἀναγκάσῃς ἐπιορκεῖν. Ἀλλ' ἵνα πληροφορηθῶ, φησίν. Ὅταν μὲν οὖν μὴ ὀρκίσῃς, τότε ἱκανὴν δέξῃ πληροφορίαν. Νῦν μὲν γὰρ ἀναχωρήσας οἴκαδε κατεσθίῃ διηνεκῶς ὑπὸ τοῦ συνειδότος ταῦτα λογιζόμενος, Ἆρα μὴ μάτην ὤρκωσα; ἆρα μὴ ἐπιώρκησεν; ἆρα μὴ ἐγὼ τῆς ἁμαρτίας ἐγενόμην αἴτιος; Ἂν δὲ μὴ ὀρκώσῃς, ἀναχωρήσας οἴκαδε πολλὴν δέξῃ παραμυθίαν εὐχαριστῶν τῷ Θεῷ, καὶ λέγων, Εὐλογητὸς ὁ Θεὸς, ὅτι κατέσχον ἐμαυτὸν καὶ οὐχ ὤρκωσα εἰκῇ οὐδὲ μάτην. Οἰμωζέτω τὸ χρυσίον, ἀπολλύσθω τὰ χρήματα· ὥστε πληροφορίαν ἡμῖν τοῦτο ἐντίθησι μάλιστα, τὸ μὴ παραβῆναι τὸν νόμον, μηδὲ ἕτερον ἀναγκάσαι τοῦτο ποιῆσαι. Ἐννόησον διὰ τίνα οὐχ ὤρκωσας, καὶ ἀρκέσει σοι τοῦτο εἰς παραμυθίαν καὶ παράκλησιν. Πολλάκις γοῦν μάχης γινομένης ὑβριζόμενοι φέρομεν γενναίως, καὶ πρὸς τὸν ὑβρίζοντα λέγομεν, Τί σοι ποιήσω; ὁ δεινά με κωλύει, ὁ προστάτης ὁ σὸς, ἐκεῖνός μου κατέχει τὰς χεῖρας· καὶ ἀρκεῖ τοῦτο ἡμῖν εἰς παραμυθίαν. Οὕτω καὶ ἐπειδὰν μέλλῃς τινὰ ὁρκίζειν, ἐπίσχες σεαυτὸν καὶ κώλυσον, καὶ εἰπὲ πρὸς τὸν μέλλοντα ὀμνύναι· Τί σοι ποιήσω; ὁ Θεὸς ἐκέλευσε μὴ ὁρκίζειν· ἐκεῖνός με κατέχει νῦν. Ἀρκεῖ τοῦτο καὶ εἰς τιμὴν τοῦ νομοθετήσαντος, καὶ εἰς ἀσφάλειαν τὴν σὴν, καὶ εἰς φόβον τοῦ μέλλοντος ὀμνύναι. Ὅταν γὰρ ἐκεῖνος ἴδῃ ὅτι ὁρκῶσαι ἑτέρους οὕτω διῳκίκαμεν, πολλῷ μᾶλλον αὐτὸς ὀμόσαι προπετῶς φοβηθήσεται· ἂν τοῦτο φθέγξῃ τὸ ῥῆμα, μετὰ πολλῆς οἴκαδε ἀναχωρήσεις τῆς πληροφορίας. Ἄκουσον τοῦ Θεοῦ ἐν ταῖς ἐντολαῖς, ἵνα καὶ σοῦ αὐτὸς ἀκούσῃ ἐν ταῖς εὐχαῖς. Τοῦτο τὸ ῥῆμα ἐγγραφήσεται ἄνω, καὶ παραστήσεταί σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ πολλὰς ἁμαρτίας διαλύσεται.

Καὶ τοῦτο μὴ ἐπὶ τοῦ ὅρκου μόνον, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν πραγμάτων λογιζώμεθα, καὶ ὅταν μέλλωμέν τι ποιεῖν διὰ Θεὸν ἀγαθὸν, εἶτα φέρῃ ζημίαν τινὰ, μὴ τὴν ζημίαν τὴν ἐκ τοῦ πράγματος βλέπωμεν μόνον, ἀλλὰ καὶ τὸ κέρδος ὃ καρπωσόμεθα ἐκ τοῦ διὰ τὸν Θεὸν ποιῆσαι. Οἷόν τι λέγω· ὕβρισέ σέ τις; φέρε γενναίως· οἴσεις δὲ γενναίως, ἂν μὴ τὴν ὕβριν ἐννοήσῃς μόνον, ἀλλὰ καὶ τὸ ἀξίωμα τοῦ κελεύοντος φέρειν, καὶ οἴσεις πράως. Ἔδωκας ἐλεημοσύνην; μὴ

vero per legem jurare prohibentem, per ipsam præstas juramentum? O contumeliam, o insaniam! idem enim facis ac si quis legislatorem interficere prohibentem, ipsum cædis sibi socium esse jubeat. Non ita gemo et deploro quospiam in viis jugulatos audiens, sicut gemo et lacrymis prosequor et horresco, cum video quempiam prope mensam hanc venientem, et manus imponentem, et evangeliis contactis jurantem. De pecuniis dubitas, dic mihi, et animam occidis? quid tantum lucraris, quantum te ipsum et proximum lædis? Si enim credis quod verax sit homo, ne in juramenti necessitatem adducas; si vero nosti quod mentietur, ne pejerare cogas. Sed ut mihi plena fides fieret, instandum erat, inquit. Imo vero tunc tibi rata fides fiet, cum jurare eum non coegeris. Nunc enim domum regressus, a conscientia assidue roderis, hæc reputans: Numquid non frustra adjuravi? numquid non pejeravit? numquid non ego fui causa peccati? Si vero non adjuraveris, domum regressus multam capies consolationem, agens Deo gratias, et dicens, Benedictus Deus, quoniam me ipsum continui, neque adjuravi frustra nec temere. Longe abeat aurum, pereant pecuniæ, ut hoc nobis maxime plenam fidem faciat, legem non præteriisse, nec alterum coegisse ut hoc faceret. Cogita propter quem non adjurasti, et hoc tibi sufficiet in refrigerium et consolationem. Sæpius namque pugna conflata contumeliam patientes generose ferimus, et contumeliam inferenti dicimus, Quid tibi faciam? ille vel ille me retinet patronus tuus; ille meas cohibet manus. Et hoc nobis ad consolationem sufficit. Ita tu quoque cum quempiam adjuraturus es, te ipse contine, prohibe, et dic juraturo: Quid tibi faciam? Deus jussit non adjurare, ille me nunc continet. Sufficit hoc et ad honorem legislatoris, et ad securitatem tuam, et ad juraturi timorem. Cum enim ille viderit quod sic alios adjurare vereamur, multo magis ipse facile jurare formidabit. Si hoc verbum dixeris, cum multa domum securitatis plenitudine redibis. Audi Deum in mandatis, ut ipse exaudiat te in orationibus. Hoc verbum in cælo scribetur, et in judicii die tibi sistetur, et multa dissolvet peccata.

Atque hoc nos non tantum in juramento, verum etiam in omnibus negotiis cogitemus: et cum debemus aliquid facere boni propter Deum, quod mox aliquid inferat damni, non damnum solummodo hoc ex negotio nascens spectemus, sed etiam lucrum quod capiemus propter Deum agendo. Ut puta, affecit te quispiam contumelia? fer generose: feres autem generose, si non contumeliam cogitaveris tantum, sed etiam ferre jubentis dignitatem, et mansuete feres. Eleemosynam dedisti? ne

τὴν δαπάνην ἐννόει, ἀλλὰ καὶ τὴν πρόσοδον τὴν ἀπὸ τῆς δαπάνης. Ἐζημιώθης χρήματα; εὐχαρίστησον, καὶ μὴ τὴν ὀδύνην τὴν ἀπὸ τῆς ζημίας ἴσης μόνον, ἀλλὰ καὶ τὸ κέρδος τὸ ἀπὸ τῆς εὐχαριστίας. Ἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν, οὐδὲν ἡμᾶς λυπήσει τῶν ἐμπιπτόντων δεινῶν, ἀλλὰ καὶ κερδανοῦμεν ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν, καὶ ζημία πλούτου καὶ λύπη ἡδονῆς καὶ εὐφροσύνης καὶ ὕβρις τιμῆς ἡδίων ἔσται καὶ ποθεινοτέρα, καὶ τὰ ἐναντία πάντα εἰς κέρδος ἡμῖν ἀποβήσεται, καὶ ἐνταῦθα πολλῆς ἀπολαυσόμεθα τῆς γαλήνης, κἀκεῖ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

impensam cogites tantum, verum et proventum ex impensa. Muletatus es pecuniis? gratias age, nec tantum jacturæ dolorem spectes, verum et lucrum ex gratiarum actione. Si sic nos componamus, nullum accidentium nos gravium contristabit, sed ex iis quæ videntur esse tristia, lucrabimur; et damnum divitiis, tristitia voluptate et delectatione, contumelia honore jucundior erit et desiderabilior, et omnia contraria in lucrum nobis provenient, et hic multa fruemur tranquillitate, et illic regnum cælorum assequemur: quo nos omnes dignos fieri detur, gratia etc.

ΟΜΙΛΙΑ ΙϚ'.

Δημισθείσης εἰς τὸν Ἄρχοντα πραίδας, καὶ πάντων περὶ φυγῆς βουλευομένων, τοῦ κόμητος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος, ἐλέχθη ἡ παροῦσα ὁμιλία· καὶ περὶ τοῦ μὴ ὀμνύναι· καὶ εἰς τὸ ἀποστολικὸν ῥητὸν «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ.»

HOMILIA XVI.

Nuntiata ad præfectum populatione, et omnibus de fuga consultantibus, cum intrasset comes in ecclesiam et consolatus fuisset, habita est præsens homilia: et de vitando juramento, et in illud apostoli dictum: *Paulus vinctus Jesu Christi.*

Τὸν ἄρχοντα μὲν ἐπήνεσα τῆς κηδεμονίας, ὅτι ταθορυβημένην τὴν πόλιν ἰδὼν καὶ πάντας περὶ φυγῆς βουλευομένους, εἰσελθὼν παρεκάλεσά τε ὑμᾶς καὶ εἰς χρηστὰς ἤγαγεν ἐλπίδας· ὑπὲρ ὑμῶν δὲ ἠσχύνθην καὶ ἠρυθρίασα, ὅτι τῆς ἔξωθεν ἐδεήθητε παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἐκείνους. Ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι, ὅτε ἤκουον αὐτοῦ πρὸς ὑμᾶς διαλεγομένου, καὶ νῦν μὲν παραμυθουμένου, νῦν δὲ αἰτιωμένου τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν. Οὐ γὰρ ὑμᾶς παρ' ἐκείνου διδάσκεσθαι ἔδει, ἀλλ' ὑμᾶς τοῖς ἀπίστοις ἅπασι γίνεσθαι διδασκάλους. Οὐδὲ δικάζεσθαι παρὰ τοῖς ἀπίστοις ὁ Παῦλος ἐπέτρεψε· σὺ δὲ διδασκάλων τῶν ἔξωθεν ἐδεήθης μετὰ τὴν τοσαύτην τῶν πατέρων παραίνεσιν· καὶ ὁραπέται καὶ μαστιγίαι τινὲς πόλιν τοσαύτην ἀνεπτέρωσαν καὶ εἰς φυγὴν ἐνέβαλον. Ποίοις ὀφθαλμοῖς ἀντιβλέψομεν λοιπὸν τοῖς ἀπίστοις, οὕτω ψοφοδεεῖς ὄντες καὶ δειλοί; ποίᾳ γλώττῃ πρὸς αὐτοὺς διαλεξόμεθα, καὶ πείσομεν θαρρεῖν ὑπὲρ τῶν ἐπιόντων δεινῶν, λαγωοῦ παντὸς δειλότεροι διὰ τῆς ἀγωνίας γενόμενοι ταύτης; Καὶ τί πάθωμεν, φησίν; ἄνθρωποι γάρ ἐσμεν. Δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ χρὴ θορυβεῖσθαι, ἐπειδὴ ἄνθρωποί ἐσμεν καὶ οὐκ ἄλογα. Ἐκεῖνα ἀπὸ ψόφων καὶ κτύπων πάντα σοβεῖται· οὐ γὰρ ἔχει λογισμὸν τὸν δυνάμενον ἀποκρούσασθαι τὸ δέος· σὺ δὲ λόγῳ καὶ λογισμῷ τετιμημένος, πῶς εἰς τὴν ἐκείνων καταπίπτεις δυσγένειαν; Εἰσῆλθέ τις, ἀπήγγειλεν ἔφοδον στρατιωτῶν; μὴ θορυβηθῇς, ἀλλ' ἀφεὶς αὐτὸν κλῖνον τὰ γόνατα, τὸν Δεσπότην σου παρακάλεσον, στέναξον πικρὸν, καὶ ἀποκρούσεται τὸ δεινόν. Σὺ μὲν στρατιωτῶν ἔφοδον ἀκούσας οὐκ ἀληθῆ, καὶ τῆς ζωῆς ἀπορραγῆναι ἐκινδύνευσας τῆς παρούσης· ὁ δὲ μακάριος Ἰὼβ ἐκεῖνος ἐπαλλήλων ἀγγέλων ἐρχομένων καὶ τὰ

1. Præfecti quidem providentiam laudavi, quoniam tumultuantem conspicatus civitatem, et omnes de fuga deliberantes, ingressus, vos consolatus est et in bonam spem adduxit; pro vobis autem rubore pudoreque affectus sum, quod exterioris post multos prolixosque sermones illos consolationis indigueritis. Optavi terram mihi dehiscere et immergi, quando ipsum vobis loquentem audiebam, et intempestivam hanc et irrationabilem timiditatem modo consolantem, modo culpantem. Non enim vos ab illo doceri oportebat, sed infidelibus vos præceptores omnibus fieri. Nec judicari quidem apud infideles Paulus (1. *Cor.* 6. 1) permisit; tu vero post tantam patrum admonitionem externis indiguisti præceptoribus, et fugitivi et verberones quidam rursus civitatem tantam excitaverunt et in fugam conjecerunt. Quibus oculis amplius infideles respiciemus, tam pavidi cum simus et timidi? Qua lingua ipsos alloquemur, et pro ingruentibus malis confidere persuadebimus, omni lepore timidiores per hanc facti anxietatem? Et quid faceremus, inquit? homines enim sumus. At propter hoc ipsum perturbari non oportet, quia homines sumus, et non bruta. Illa fragoribus et stridoribus omnia terrentur: non habent enim rationem, quæ timorem repellere possit; tu vero ratione et consilio decoratus, quomodo in illorum segnitiem cadis? Ingressus est quidam, militum incursionem nuntiavit? ne turberis, sed ipsum dimittens, genua flecte, Dominum tuum implora, gemе amare, et adversitatem repellet. Tu quidem audita militum incursione non vera, vel vita præsenti abrumpi periclitatus es; beatus vero Job ille continuis venientibus nuntiis et gravia nuntiantibus,

δεινὰ ἀπαγγελλόντων ἀκούων, καὶ προσθέντων τὴν ἀφόρητον τῶν παίδων ἀπώλειαν, οὐκ ἀνώμωξεν, οὐκ ἐστέναξεν, ἀλλ' ἐπὶ προσευχὴν ἐτρέπετο καὶ ηὐχαρίστει τῷ Δεσπότῃ. Τοῦτον καὶ σὺ μίμησαι· καὶ ὅταν ἔλθών τις ἀπαγγείλῃ ὅτι στρατιῶται τὴν πόλιν ἐκύκλωσαν καὶ τὰς οὐσίας διαρπάζειν μέλλουσι, πρὸς τὸν Δεσπότην σου κατάφυγε, καὶ εἰπέ, « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. » Ἐκεῖνον οὐκ ἐφόβησεν ἡ πεῖρα τῶν πραγμάτων, σὲ καὶ ἡ ἀκοὴ μόνη πτοεῖ. Καὶ τίνος ἂν εἴημεν ἄξιοι λόγου, οἱ καὶ θανάτου κατατολμᾶν κελευσθέντες, ὑπὸ φήμης ψευδοῦς οὕτω πτοούμενοι; Ὁ θορυβούμενος καὶ τὸν οὐκ ὄντα φόβον συνίστησι καὶ ταραχὴν τὴν μὴ φαινομένην ἐπάγει· ὁ δὲ ἐν καταστάσει καὶ γαλήνῃ ψυχῆς ὢν καὶ τὸν ὄντα διαλύει. Οὐχ ὁρᾷς τοὺς κυβερνήτας, ὅτι τῆς θαλάττης μαινομένης, νεφῶν συντρεχόντων, βροντῶν καταῤῥηγνυμένων, πάντων τῶν ἐπὶ τοῦ πλοίου θορυβουμένων, ἐπὶ τῶν οἰάκων αὐτοὶ κάθηνται χωρὶς θορύβου καὶ ταραχῆς τῇ τέχνῃ τῇ ἑαυτῶν προσέχοντες, καὶ σκοποῦντες ὅπως τὸν ἐπιόντα διαχρούσονται χειμῶνα; Τούτους καὶ σὺ μίμησαι, καὶ τῆς ἱερᾶς ἀγκύρας ἐπιλαβόμενος, τῆς εἰς τὸν Θεὸν ἐλπίδος, ἄσειστος μένε καὶ ἀπερίτρεπτος. « Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, φησὶ, καὶ οὐ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέῤῥηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. » Ὁρᾷς ὅτι ἀνοίας ἐστὶ τὸ προκαταπίπτειν καὶ περιτρέπεσθαι; μᾶλλον δὲ ἡμεῖς οὐδὲ κατὰ τὸν μωρὸν ἐκεῖνον ἐγενόμεθα, ἀλλὰ καὶ ἐκείνου ἀθλιώτερον κατεπέσαμεν. Ἐκείνου μὲν γὰρ ἡ οἰκία μετὰ ποταμοὺς, μετὰ τὸ κατενεχθῆναι τὸν ὑετὸν, μετὰ τὸ προσπεσεῖν τοὺς ἀνέμους κατέπεσεν· ἡμεῖς δὲ οὐκ ἀνέμων ἐνεχθέντων, οὐ ποταμῶν προσρηξάντων, οὐ πνευμάτων προσβαλόντων, πρὸ τῆς πείρας τῶν δεινῶν ἀπὸ τῆς ἀκοῆς μόνης περιετράπημεν καὶ πάντα ἅπερ ἐφιλοσοφοῦμεν ἐξεχέαμεν. Ποίαν οἴεσθέ μοι τὴν διάνοιαν εἶναι νῦν; πῶς ἐγκαλύπτεσθαι; πῶς καταδύεσθαι; πῶς ἐρυθριᾷν; Εἰ μὴ πολλὴν παρὰ τῶν πατέρων ὑπέστην ἀνάγκην, οὐδ' ἂν ἀνέστην, οὐδ' ἂν διελέχθην ὑπὸ τῆς ἀθυμίας σκοτωθεὶς τῆς ἐπὶ τῇ μικροψυχίᾳ τῇ ὑμετέρᾳ· ἀλλ' οὐδὲ νῦν δεδύνημαι εἰς ἐμαυτὸν ἐπανελθεῖν· οὕτω μοι θυμὸς καὶ ἀθυμία πολιορκεῖ τὴν ψυχήν. Τίς γὰρ οὐκ ἂν ἀγανακτήσειε, τίς οὐκ ἂν δυσχεράνειεν, ὅταν μετὰ τοσαύτην διδασκαλίαν Ἑλλήνων δέησθε διδασκάλων εἰς τὸ παρακληθῆναι καὶ πεισθῆναι γενναίως ἐνεγκεῖν τὸν παρόντα φόβον; Εὔξασθε τοίνυν δοθῆναι λόγον ἡμῖν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, δυνηθῆναί τε τὴν ἀθυμίαν ἡμᾶς ἀποτινάξασθαι ταύτην καὶ μικρὸν ἀναστῆναι. Καὶ γὰρ σφόδρα κατέβαλεν ἡμῶν τὴν ψυχὴν ἡ ὑπὲρ τῆς ὑμετέρας μικροψυχίας αἰσχύνη.

et adjicientibus intolerabilem filiorum interitum, non ejulavit, non gemuit, sed ad orationem conversus est, et Domino gratias agebat. Hunc et tu imitare; cum veniens quispiam nuntiaverit milites urbem circumdedisse et bona direpturos esse, ad Dominum tuum confuge, et dic (*Job.* 1. 21), *Dominus dedit, Dominus abstulit, sicut Domino placuit, ita factum est: sit nomen Domini benedictum in sæcula.* Illum non terruit malorum experientia, te vero solus terret auditus. Quam nullius sumus æstimationis, cum contra mortem quoque audenter ire jussi, a rumore falso adeo percellimur? Qui turbatur, et timorem qui non est sibi componit, et perturbationem non apparentem inducit: qui vero est animo sedato et tranquillo, etiam eum qui est dissolvit. Non vides naucleros, ut insaniente mari, nubibus concurrentibus, fulminibus elisis, omnibus in navigio tumultuantibus, ad gubernacula sedent ipsi sine trepidatione et metu, et arti suæ vacant, invigilantes quomodo imminentem procellam repellant? Hos et tu imitare, et sacram capiens ancoram, in Deum spem, inconcussus permane et immutabilis. *Quicumque audit sermones meos hos*, inquit (*Matth.* 7. 26. 27), *et non facit ipsos, assimilabitur homini stulto, qui ædificavit domum suam super arenam, et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et irruerunt in domum illam, et cecidit, et erat ruina ipsius magna.* Vides quod stultitiæ est ante concidere et subverti? imo vero nos nec stulto illi similes facti sumus, verum et illo miserius cecidimus: illius nempe domus post flumina, post delatum imbrem, post illapsos ventos cecidit; nos vero non pluviis ingruentibus, non fluminibus irrumpentibus, non ventis irruentibus, ante malorum experientiam, ex auditu solo subversi sumus, et omnia quæ philosophabamur effudimus. Qualem mihi mentem putatis nunc esse? quomodo pudore suffundi? quomodo deprimi? quomodo erubescere? Nisi multa a patribus vi compulsus fuissem, neque surrexissem, neque loquutus fuissem, dolore obtenebratus ex pusillanimitate vestra; sed neque nunc in me ipsum redire possum: sic animum mihi indignatio et tristitia obsidet. Quis enim non ægre ferret, quis non succenseret, quando post tantam doctrinam gentilibus opus habuistis doctoribus, qui hortarentur et monerent ut præsentem generose timorem ferretis? Orate igitur dari nobis verbum in apertione oris nostri (*Ephes.* 6. 19), ut hanc tristitiam excutere possimus, et paulum mentem excitare. Etenim pudor de pusillanimitate vestra animum nostrum vehementer dejecit.

Πολλὰ πρώην διελέχθην πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ περὶ παγίδων τῶν πανταχόθεν ἡμῖν κειμένων, καὶ περὶ φόβου καὶ ἀθυμίας, καὶ περὶ πένθους καὶ ἡδονῆς, καὶ περὶ τῆς ὀρεπάνης τῆς περὶ τὰς οἰκίας τῶν ὀμνυόντων πετομένης· ἀπὸ τῶν πολλῶν δὴ τούτων μάλιστα πάντων ἐκεῖνα διαμνημονεύσατέ μοι τὰ περὶ τῆς δρεπάνης εἰρημένα τῆς πετομένης καὶ εἰς τὴν οἰκίαν τοῦ ὀμνύοντος καταλυούσης, καὶ τοὺς λίθους καὶ τὰ ξύλα κατασκαπτούσης καὶ δαπανώσης ἅπαντα. Καὶ μετὰ τούτου κἀκεῖνο φυλάττετε, ὅτι τῆς ἰσχάτης ἀνοίας ἐστὶν, εὐαγγέλιον λαμβάνοντας ὀμνύναι, καὶ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖσθαι· καὶ ὅτι βέλτιον ζημιοῦσθαι χρήματα, ἢ τοῖς πλησίον ὅρκον ἐπάγειν· ὅτι ἱκανὴ τοῦτο εἰς Θεὸν γίνεται τιμή. Ὅταν γὰρ εἴπῃς τῷ Θεῷ ὅτι Διὰ σὲ οὐχ ὥρκωσα τὸν δεῖνα τὸν κεκλοφότα καὶ κακουργήσαντα, ἀντὶ ταύτης σοι τῆς τιμῆς πολλὴν καὶ κατὰ τὸ παρὸν καὶ μετὰ ταῦτα ἀποδώσει τὴν ἀμοιβήν. Ταῦτα καὶ πρὸς ἑτέρους λέγετε, καὶ αὐτοὶ διαφυλάττετε. Οἶδα ὅτι ἐνταῦθα εὐλαβέστεροι γινόμεθα, καὶ πᾶσαν πονηρὰν συνήθειαν ἀποτιθέμεθα· ἀλλὰ τὸ ζητούμενον οὐ τοῦτό ἐστιν, ἵνα ἐνταῦθα φιλοσοφῶμεν μόνον, ἀλλ' ἵνα καὶ ἔξω τὴν εὐλάβειαν ταύτην λαβόντες ἀπέλθωμεν, ὅπου μάλιστα αὐτῆς δεόμεθα. Καὶ γὰρ οἱ ὑδρευόμενοι οὐ παρὰ τὴν κρήνην μόνον ἔχουσι πεπληρωμένα τὰ ἀγγεῖα, οἶκοι δὲ ἀπελθόντες κενοῦσιν, ἀλλ' ἐκεῖ μάλιστα αὐτὰ μετὰ ἀσφαλείας ἀποτίθενται, ὥστε μὴ περιτραπῆναι καὶ μάταιον γενέσθαι τὸν πόνον. Τούτους καὶ ἡμεῖς μιμησώμεθα, καὶ οἶκοι γενόμενοι τηρῶμεν μετὰ ἀκριβείας τὰ εἰρημένα· ὡς ἐὰν ἐνταῦθα μὲν ἦτε πεπληρωμένοι, οἶκοι δὲ ἀναχωρῆτε κενοὶ, τὰ ἀγγεῖα τῆς διανοίας ὑμῶν ἔρημα τῆς ἀκροάσεως ἔχοντες, οὐδὲν ἔσται ἐκ τῆς ἐνταῦθα πληρώσεως ὑμῖν ὄφελος. Μή μοι δείξῃς ἐν τῇ παλαίστρᾳ τὸν ἀθλητὴν, ἀλλ' ἐν τῷ σκάμματι· μή μοι τὴν εὐλάβειαν κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλὰ κατὰ τὸν καιρὸν τῆς πράξεως. Ἐπαινεῖς τὰ λεγόμενα νῦν· ὅταν ἔλθῃς ὀμόσαι, πάντων αὐτῶν ἀναμνήσθητι [τότε]. Ἂν ταχέως τοῦτον κατορθώσητε τὸν νόμον, καὶ ἐφ' ἕτερα μείζονα τὴν διδασκαλίαν προάξομαι. Ἰδοὺ δεύτερον ἔτος ἔχω τοῦτο διαλεγόμενος πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ οὐδὲ ἑκατὸν στίχους τῶν Γραφῶν ὑμῖν ἐξηγήσασθαι ἴσχυσα· τὸ δὲ αἴτιον, ὅτι παρ' ἡμῶν δέεσθε μανθάνειν ἅπερ οἴκοθεν καὶ παρ' ἑαυτῶν δύνασθε κατορθοῦν, καὶ τὸ πλέον ἡμῖν τῆς παραινέσεως εἰς τὸν ἠθικώτερον ἀναλίσκεται λόγον. Ταῦτα δὲ οὐκ ἐχρῆν οὕτω γίνεσθαι· ἀλλὰ τὴν μὲν τῶν τρόπων ἐπιμέλειαν οἴκοθεν ὑμᾶς καὶ παρ' ἑαυτῶν παιδεύεσθαι, τῶν Γραφῶν δὲ τὰ νοήματα καὶ τὰς θεωρίας ἡμῖν ἐπιτρέπειν· εἰ δὲ καὶ ἐχρῆν καὶ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι, πλέον μιᾶς ἡμέρας οὐκ ἔδει· οὐδὲ γὰρ ποικίλον τι καὶ δυσεύρετόν ἐστι τὸ λεγόμενον, οὐδὲ κατασκευῆς δεόμενόν τινος. Ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, σοφισμῶν οὐκ ἔστι καιρός. Ὁ Θεὸς εἶπε, « Μὴ ὀμόσῃς »· μὴ ἀπαίτει με λοιπὸν εὐθύνας. Νόμος ἐστὶ βασιλικός·

2. Multa nuper ad caritatem vestram loquutus sum et de laqueis nobis undique positis, et de timore et tristitia, et de luctu et voluptate, et de falce jurantium domos circumvolante; ex iis igitur omnibus sane multis illa mihi maxime reminiscimini quæ de volante falce dicta sunt, in jurantis domum divertente, lapides et ligna subruente et omnia consumente. Et cum hoc illud quoque observate, quod extremæ dementiæ sit evangelium sumentes jurare, et legem jurare prohibentem juramenti loco adhibere : et quod melius sit pecuniis mulctari, quam proximis juramentum offerre : quoniam hoc est non modicus in Deum honor. Cum enim Deo dixeris, Propter te non adjuravi illum, qui erat furatus et male fecerat : pro hoc honore magnam tibi reddet gratiam et in præsenti tempore et in futuro. Hæc et aliis dicite, et ipsi observate. Scio quod hic reverentiores sumus, et omnem improbam deponimus consuetudinem : sed quod quæritur, non hoc est, ut hic tantum philosophemur, sed ut pietatem hinc capientes extra servemus, ubi maxime ipsius indigemus. Etenim aquantes non tantum apud fontem habent vasa repleta, domum autem abeuntes evacuant; sed illic ipsa maxime cum cautela reponunt, ne subvertantur et labor fiat inanis : hos etiam nos imitemur, accurateque, domum profecti, dicta servemus. Quodsi hic quidem sitis satiati, domum vero redeatis inanes, vasa mentis vestræ admonitione vacua referentes, nulla vobis ex hac repletione erit utilitas. Ne mihi in palæstra demonstres athletam, sed in certamine : ne mihi religionem instructionis tempore, sed actionis exhibeas. Laudas nunc quæ dicuntur : cum juratum veneris, omnium ipsorum tunc recordare. Si hanc legem expedieritis, ad alia quoque majora disciplinam promovebo Ecce secundus hic annus est, ex quo vestræ dissero caritati, et neque centum Scripturarum versus vobis enarrare potui. Causa vero, quoniam a nobis discere opus habetis, quæ domi et per vos explere potestis, et orationis major pars nobis in morales impenditur sermones. Hæc vero sic fieri non oportebat, sed morum quidem cura domi vobis esse et ab ipsis agi debebat; Scripturarum vero sensus et speculationes nobis permittendæ erant; si tamen et a nobis audire erat opus, uno plus die non decebat. Nec enim varium quiddam et inventu difficile quod dicitur est, nec ullius indigens præparationis. Quando enim Deus denuntiavit, argutationibus non est opus. Deus dixit, *Ne juraveris* : noli causas amplius a me requirere. Lex est regia :

ὁ δεὶς αὐτὸν οἶδε τὸν λόγον τοῦ νόμου· εἰ μὴ συμφέρον ἦν, οὐκ ἂν ἐκώλυσεν, οὐκ ἂν ἀπηγόρευσε. Βασιλεῖς εἰσφέρουσι νόμους, καὶ οὐχ ἅπαντας συμφερόντως πολλάκις· ἄνθρωποι γάρ εἰσι καὶ οὐκ ἂν δύναιντο τὸ χρήσιμον οὕτως εὑρεῖν, ὥσπερ ὁ Θεός· ἀλλ' ὅμως οὕτω πειθόμεθα· κἂν γυναῖκας ἀγώμεθα, κἂν διαθήκας ποιῶμεν, κἂν οἰκέτας ὠνεῖσθαι μέλλωμεν, κἂν οἰκίας, κἂν ἀγρούς, κἂν ὁτιοῦν ἕτερον ποιεῖν, οὐκ οἰκείᾳ γνώμῃ ταῦτα πράττομεν, ἀλλ' ὅπως ἂν ἐκεῖνοι διατάξωσι· καὶ τὰ ἡμέτερα διαθέσθαι κατὰ γνώμην τὴν ἡμετέραν οὐκ ἐσμὲν κύριοι καθόλου, ἀλλὰ πολλαχοῦ ταῖς ἐκείνων δουλεύομεν γνώμαις· κἂν ποιήσωμέν τι παρὰ τὸ δοκοῦν ἐκείνοις, ἄκυρον καὶ ἄχρηστον γίνεται. Εἶτα τοῖς μὲν τῶν ἀνθρώπων νόμοις τοσαύτην ἀπονέμομεν τιμήν, τοὺς δὲ τοῦ Θεοῦ νόμους οὕτω καταπατήσομεν, εἰπέ μοι; καὶ ποίας ταῦτα ἀπολογίας ἄξια; ποίας συγγνώμης; Εἶπε, « Μὴ ὀμόσῃς »· μὴ ἀντινομοθετήσῃς αὐτῷ διὰ τῶν πραγμάτων, ἵνα μετὰ ἀσφαλείας ἅπαντα καὶ ποιῇς καὶ λέγῃς.

Ἀλλὰ περὶ μὲν τούτων ἅλις· φέρε δὲ μίαν ῥῆσιν ἐκ τῶν σήμερον ἀναγνωσθέντων παραθέντες ὑμῖν, καταπαύσωμεν τὸν λόγον. « Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ, φησὶ, καὶ Τιμόθεος ὁ ἀδελφός. » Μέγας ὁ τοῦ Παύλου χρηματισμὸς, οὐκ ἀρχῆς καὶ τιμῆς ὄνομα, ἀλλὰ δεσμὰ καὶ ἁλύσεις· ἀληθῶς μέγας· καίτοι πολλὰ αὐτὸν ἕτερα λαμπρὸν ἐποίει, τὸ εἰς οὐρανὸν ἁρπαγῆναι τρίτον, τὸ εἰς παράδεισον ἀπενεχθῆναι, τὸ ἀκοῦσαι ἄῤῥητα ῥήματα· ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ἀντὶ πάντων τὴν ἅλυσιν· αὕτη γὰρ αὐτὸν ἐκείνων ἐπιφανέστερον ἐποίει καὶ λαμπρότερον. Τί δήποτε; Ὅτι ἐκεῖνα μὲν τῆς τοῦ Δεσπότου φιλανθρωπίας ἐστὶ χαρίσματα, ταῦτα δὲ τῆς καρτερίας τοῦ δούλου καὶ τῆς ὑπομονῆς δείγματα· ἔθος δὲ τοῖς φιλοῦσιν ἐπ' ἐκείνοις μᾶλλον φρονεῖν, ἐφ' οἷς ἂν πάσχωσιν ὑπὲρ τῶν φιλουμένων, ἢ ἐφ' οἷς ἂν εὐεργετῶνται παρ' αὐτῶν. Οὐχ οὕτω βασιλεὺς ἐπὶ τῷ διαδήματι ἐναβρύνεται, ὡς ἐκεῖνος ἐπὶ τοῖς δεσμοῖς ἐκαλλωπίζετο· καὶ μάλα εἰκότως. Διάδημα μὲν γὰρ κόσμον μόνον φέρει τῇ στεφανουμένῃ κεφαλῇ, ἡ δὲ ἅλυσις καὶ κόσμον πολλῷ μείζονα καὶ ἀσφάλειαν. Ὁ στέφανος ὁ βασιλικὸς πολλάκις προὔδωκε τὴν περικειμένην αὐτὸν κεφαλήν, καὶ μυρίους ἐπιβούλους ἐπεσπάσατο, καὶ εἰς τυραννίδος ἐπιθυμίαν ἐκάλεσε· καὶ ἐν πολέμοις δὲ οὕτως ἐστὶν ἐπισφαλὴς ὁ κόσμος οὗτος, ὡς κρύπτεσθαι αὐτὸν καὶ ἀποτίθεσθαι. Οἱ γοῦν βασιλεῖς ἐν πολέμῳ τὸ σχῆμα ἀμείβοντες, οὕτως ἑαυτοὺς τοῖς πολεμοῦσιν ἀναμιγνύουσι· τοσαύτη ἡ προδοσία ἀπὸ τοῦ στεφάνου γίνεται. Ἡ δὲ ἅλυσις οὐδὲν τοιοῦτον προξενεῖ τοῖς ἔχουσιν, ἀλλὰ τοὐναντίον ἅπαν· ὅταν πόλεμος ᾖ καὶ παράταξις πρὸς τοὺς δαίμονας καὶ τὰς ἀντικειμένας δυνάμεις, προβαλλόμενος αὐτὴν ὁ περικείμενος ἀποκρούεται τὰς ἐκείνων ἐφόδους. Καὶ τῶν μὲν ἀρχόντων τῶν ἔξωθεν πολλοὶ οὐχ ἡνίκα ἂν ἄρχωσιν, ἀλλὰ καὶ ἡνίκα ἂν παραλυθῶσι τῆς ἀρχῆς, περιφέρουσιν αὐτῆς τὸ ὄνομα, ὃ δεῖνα ἐξ

qui tulit ipsam, et ipsius rationem novit : nisi fuisset utile, non prohibuisset, nec vetasset. Reges ferunt leges, nec omnes sæpe utiliter : homines enim sunt, nec sicut Deus utile possunt invenire; verumtamen paremus : sive uxores ducamus, sive testamenta condamus, sive servos emere velimus, sive domos, sive agros, sive quodlibet aliud facere, non ex propria facimus hæc sententia, sed ita ut jusserint illi; nec ut res nostræ pro sententia nostra disponantur, penitus domini sumus, sed illorum ubique sententiis servimus, et si quid præterquam quod illis videtur facimus, invalidum et inutile redditur. Itaque hominum quidem legibus tantum attribuimus honorem; Dei vero leges ita, quæso, conculcabimus? et qua hæc digna defensione? quali venia? Dixit, *Ne juraveris* : ne contrariam ipsius legi legem per opera feras, ut cum securitate cuncta facias et dicas.

3. Sed de his quidem satis; age de iis quæ hodie lecta sunt, una vobis apposita sententia, sermonem terminemus. *Paulus vinctus Jesu Christi*, inquit (*Philem.* i), *et Timotheus frater*. Magnifica Pauli appellatio, non principatus et honoris nomen, sed vincula et catenæ : vere magnifica; tametsi splendidum ipsum multa alia faciebant, in cælum rapi tertium, in paradisum auferri, verba audire ineffabilia; tamen horum nihil posuit, sed pro omnibus catenam : hæc enim magis quam illa illustrem ipsum reddebat et splendidum. Cur tandem? Quoniam illa quidem Domini benignitatis sunt gratuita dona, hæc vero servi tolerantiæ atque patientiæ indicia; consuetudo autem amantibus est, illis magis affici quæ pro amatis patiantur, quam iis quæ ab ipsis beneficia referunt. Non ita rex diademate gloriatur, ut ille vinculis sese efferebat : et merito. Diadema nempe coronato capiti ornatum modo affert, catena autem et ornatum multo majorem, et tutelam. Corona sæpe regia caput ea redimitum prodidit, innumeros allexit insidiatores, atque in tyrannidis concupiscentiam invitavit; et in bellis hic ornatus est adeo periculosus, ut ipsum deponant et abscondant. In præliis enim reges nonnumquam habitum commutantes, ita manus cum certantibus conserunt : tanta ex corona oritur proditio. Catena vero nihil hujusmodi gerentibus affert, sed omne contrarium : cum pugna sit et acies contra dæmones et adversarias potestates, prætendens ipsam qui ea circumdatus est, illorum repellet incursus. Et magistratuum quidem externorum multi non tantum dum imperant, verum et cum excesserint magistratu, ipsius nomen circum-

ὑπάτων λέγοντες, ὃ δεῖνα ἐξ ὑπάρχων· οὗτος δὲ ἀντὶ πάντων τούτων, « Παῦλος δέσμιος », φησί· καὶ μάλα εἰκότως. Ἐκεῖναι μὲν γὰρ αἱ ἀρχαὶ οὐ πάντως εἰσὶ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀπόδειξις· χρημάτων γάρ εἰσιν ὠνηταί, καὶ φίλων κολακείας δέονται· αὕτη δὲ ἡ ἀρχὴ ἡ ἀπὸ τῶν δεσμῶν τῆς κατὰ ψυχὴν φιλοσοφίας ἐστὶν ἔνδειγμα καὶ τοῦ περὶ τὸν Χριστὸν πόθου τεκμήριον μέγιστον· κἀκεῖναι μὲν ἀποπηδῶσι ταχέως, αὕτη δὲ οὐκ ἔχει τὸν διαδεξόμενον ἡ ἀρχή. Ἰδοὺ γοῦν ἐξ ἐκείνου μέχρι νῦν πόσος διαγέγονε χρόνος, καὶ λαμπρότερον τὸ ὄνομα τοῦ δεσμίου γέγονε τούτου· καὶ ὕπατοι μὲν ἅπαντες, ὅσοι γεγόνασιν ἐν τοῖς ἔμπροσθεν χρόνοις, σεσίγηνται καὶ οὐδὲ ἐν προσηγορίας εἰσὶ γνώριμοι τοῖς πολλοῖς· τὸ δὲ τοῦ δεσμίου τούτου ὄνομα, τοῦ μακαρίου Παύλου, πολὺ μὲν ἐνταῦθα, πολὺ δὲ ἐν τῇ βαρβάρων χώρᾳ, πολὺ παρὰ Σκύθαις καὶ Ἰνδοῖς, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης ἔλθῃς τὰ πέρατα, [ταύτης] ἀκούσῃ τῆς προσηγορίας, καὶ ὅπουπερ ἄν τις ἀφίκηται, Παῦλον πανταχοῦ ἐν τοῖς ἁπάντων στόμασι περιφερόμενον εἴσεται. Καὶ τί θαυμαστὸν εἰ ἐν γῇ καὶ θαλάττῃ, ὅπου γε καὶ ἐν τοῖς οὐρανοῖς πολὺ τὸ ὄνομα Παύλου παρὰ τοῖς ἀγγέλοις, παρὰ τοῖς ἀρχαγγέλοις καὶ ταῖς ἄνω δυνάμεσι καὶ τῷ τούτων βασιλεῖ Θεῷ;

Καὶ ποταπὰ ἦν ἐκεῖνα, φησί, τὰ δεσμά, ὅτι τοσαύτην ἤνεγκε τῷ δεδεμένῳ τὴν δόξαν; οὐκ ἀπὸ σιδήρου κατεσκεύαστο; Ἀπὸ σιδήρου μὲν κατεσκεύαστο, ἀλλὰ πολλὴν εἶχεν ἐπανθοῦσαν τοῦ Πνεύματος τὴν χάριν, ἐπειδὴ διὰ τὸν Χριστὸν αὐτὰ περιέκειτο. Ὦ τοῦ θαύματος· οἱ δοῦλοι ἐδέθησαν, ὁ Δεσπότης ἐσταυρώθη, καὶ τὸ κήρυγμα καθ' ἑκάστην αὔξεται τὴν ἡμέραν, καὶ διὰ πραγμάτων, δι' ὧν ἐνομίζετο κωλύεσθαι, διὰ τούτων ἀνήφθη· καὶ σταυρὸς, καὶ δεσμὰ, ἅπερ ἐδόκει βδελυκτὰ εἶναι, ταῦτα νῦν σωτηρίας σύμβολα γέγονε, καὶ παντὸς χρυσίου τὸ σιδήριον ἐκεῖνο τιμιώτερον ἦν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν αἰτίαν αὐτὴν καὶ τὴν ὑπόθεσιν. Ἀλλ' ὁρῶ τι καὶ ζήτημα ἐντεῦθεν τικτόμενον ἡμῖν· κἂν προσέχητε μετὰ ἀκριβείας, καὶ τὸ ζητούμενον ἐρῶ, καὶ τὴν λύσιν προσθήσω.

Τί ποτ' οὖν ἐστι τὸ ζητούμενον; Εἰσελθὼν οὗτος ὁ Παῦλός ποτε πρὸς τὸν Φῆστον, καὶ διαλεγόμενος αὐτῷ καὶ ἀπολογούμενος περὶ τῶν ἐγκλημάτων ὧν ἐπήγαγον οἱ Ἰουδαῖοι, καὶ λέγων πῶς εἶδε τὸν Ἰησοῦν, πῶς ἤκουσε τῆς μακαρίας ἐκείνης φωνῆς, πῶς διὰ πηρώσεως ἀνέβλεψε, πῶς ἔπεσε καὶ ἀνέστη, πῶς εἰσῆλθεν αἰχμάλωτος εἰς Δαμασκὸν χωρὶς δεσμῶν δεδεμένος, καὶ περὶ προφητῶν καὶ νόμου διαλεχθείς, καὶ δείξας ὅτι κἀκεῖνοι προεῖπον ταῦτα ἅπαντα, εἶλε τὸν δικάζοντα, καὶ σχεδὸν ἔπεισε πρὸς ἑαυτὸν μεταστῆναι. Τοιαῦται γὰρ τῶν ἁγίων αἱ ψυχαί· ἐπειδὰν εἰς κίνδυνον ἐμπέσωσιν, οὐχ ὅπως ἀπαλλαγῶσι τῶν κινδύνων σκοποῦσιν, ἀλλ' ὅπως τοὺς ἐμβαλόντας θηρεύσαιεν, ἅπαντα πράττουσι· καθάπερ οὖν καὶ τότε ἐγένετο· εἰσῆλθεν

ferunt : Ille exconsul, dicitur, ille exprafectus; hic vero pro iis omnibus, *Paulus vinctus*, inquit, et admodum congruenter. Illi namque magistratus non penitus sunt animi virtutis demonstratio : pecuniis enim sunt venales, et amicorum indigent assentationibus; hic autem ex vinculis magistratus est animi disciplinæ indicium, et ardentis in Christum desiderii signum maximum. Et illi quidem brevi refugiunt, hic vero magistratus nullum habet successorem. Aspice namque quantum ab illo nunc usque temporis est, et splendidius hujus vincti nomen redditum est : ac consules quidem omnes, quicumque superioribus fuere temporibus, silentio traditi sunt, et nec ipso quidem nomine vulgo sunt cogniti; hujus autem vincti beati Pauli nomen multum quidem hic, multum autem in barbarorum regione, multum apud Scythas et Indos, et si ad ipsos terrarum orbis terminos venias, hanc audies appellationem, et quocumque quispiam pervenerit, Paulum ubique in omnium ore circumferri noscet. Et quid mirum si in terra marique, quippe cum et in cælis multum Pauli nomen apud angelos, apud archangelos, et supernas virtutes, et harum regem Deum?

Et qualia, inquit, erant illa vincula, quoniam tantum vincto gloriæ tulerunt? nonne e ferro fabricata erant? E ferro quidem fabricata, sed multam habebant Spiritus gratiam efflorescentem : quoniam propter Christum ipsis circumdatus fuerat. O miraculum! servi vincti sunt, Dominus crucifixus, et prædicatio quotidie crescit; et per quæ putabatur opera prohiberi, per hæc accensa est : et crux, et vincula, quæ esse videbantur abominanda, nunc salutis signa sunt facta, et quolibet auro ferrum illud nobis pretiosius erat, non propter naturam propriam, sed propter causam ipsam et argumentum. Sed video quæstionem hinc nobis quamdam orientem : et si diligenter attendatis, et quæstionem dicam, et solutionem apponam.

Quid igitur est quod quæritur? Ingressus aliquando hic Paulus ad Festum, et ipsum alloquens, ac purgans se de criminibus, quibus urgebatur a Judæis, et dicens quomodo Jesum vidit, quomodo beatam vocem illam audivit, quomodo per excæcationem ad lucem pervenit, quomodo cecidit et surrexit, quomodo ingressus est Damascum captivus absque vinculis compeditus, ac de prophetis deque lege loquens, et ostendens illos hæc omnia prædixisse, judicantem cepit, et fere ad se ipsum transire persuasit. Tales enim sanctorum sunt animæ : cum in pericula ceciderint, non quomodo periculis liberentur, considerant, sed quo persequentes lucrentur, omnia faciunt : sicut et tunc factum

ἀπολογησόμενος, καὶ τὸν δικαστὴν λαβὼν ἀπῆλθε· καὶ ταῦτα αὐτὸς ὁ δικαστὴς ἐμαρτύρησε λέγων, « Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. » Τοῦτο καὶ σήμερον γενέσθαι ἐχρῆν, καὶ τὸν ἄρχοντα τοῦτον εἰσελθόντα πρὸς ὑμᾶς αἰδεσθῆναι τὴν μεγαλοψυχίαν, τὴν φιλοσοφίαν, τὴν ἡσυχίαν ἅπασαν, καὶ ἐκ τῆς καταστάσεως ὑμῶν διδασκαλίαν λαβόντα, ἀπελθόντα θαυμάσαι τὸν σύλλογον, ἐπαινέσαι τὸ συνέδριον, μαθεῖν καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων, ὅσον τὸ μέσον Ἑλλήνων τε καὶ Χριστιανῶν. Ἀλλ', ὅπερ ἔλεγον, ἐπειδὴ αὐτὸν εἶλεν ὁ Παῦλος, κἀκεῖνος εἶπεν, « Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι », ἀπεκρίνατο ὁ Παῦλος οὕτως· « Εὐξαίμην ἂν ἔγωγε, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου γενέσθαι Χριστιανοὺς ἄνευ τῶν δεσμῶν τούτων. » Τί λέγεις, ὦ Παῦλε; ὅταν μὲν Ἐφεσίοις γράφῃς, λέγεις, « Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, περιπατῆσαι ἀξίως τῆς κλήσεως ἧς ἐκλήθητε »· καὶ ὅταν πρὸς Τιμόθεον διαλέγῃ· « Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος »· καὶ ὅταν πρὸς Φιλήμονα πάλιν· « Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ »· καὶ ὅταν Ἰουδαίοις συνδικάζῃ, λέγεις, « Ἕνεκεν τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι »· καὶ Φιλιππησίοις γράφων λέγεις, « Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν· » πανταχοῦ τὴν ἅλυσιν περιφέρεις, πανταχοῦ τὰ δεσμὰ προβάλλῃ, καὶ καυχᾶσαι ἐπὶ τῷ πράγματι· εἰς δικαστήριον δὲ ἐλθὼν προέδωκας τὴν φιλοσοφίαν, ὅτε μάλιστα παῤῥησιάσασθαι ἔδει, καὶ τῷ δικαστῇ λέγεις, « Εὐξαίμην ἄν σε γενέσθαι Χριστιανὸν ἄνευ τῶν δεσμῶν τούτων »; Καὶ μὴν εἰ καλὰ τὰ δεσμὰ, καὶ οὕτω καλὰ, ὥστε παρέχειν καὶ ἑτέροις θαῤῥεῖν εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας λόγον (σὺ γὰρ αὐτὸ τοῦτο ἔφθης εἰπὼν, ὅτι « Οἱ πλείονες τῶν ἀδελφῶν πεποιθότες τοῖς δεσμοῖς μου τὸν λόγον ἐλάλουν ἀφόβως »), τίνος ἕνεκεν ἐπὶ τοῦ δικαστοῦ οὐκ ἐγκαλλωπίζῃ τῷ πράγματι, ἀλλὰ καὶ τοὐναντίον ποιεῖς;

Ἆρα οὐ δοκεῖ ζήτημα εἶναι τὸ λεγόμενον; Ἀλλὰ ταχίστην ἐπάγω τὴν λύσιν. Οὐ γὰρ ἐξ ἀγωνίας οὐδὲ δειλίας ὁ Παῦλος τοῦτο ἐποίησεν, ἀλλ' ἀπὸ σοφίας πολλῆς καὶ συνέσεως πνευματικῆς· καὶ πῶς, ἐγὼ λέγω. Πρὸς Ἕλληνα διελέγετο καὶ ἄπιστον καὶ οὐκ εἰδότα τὰ ἡμέτερα. Οὐκ ἐβούλετο τοίνυν αὐτὸν ἀπὸ τῶν φορτικῶν ἐναγαγεῖν, ἀλλ' ὥσπερ ἔλεγεν, « Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος », τοῦτο καὶ ἐνταῦθα ἔπραττεν. Ἂν ἀκούσῃ δεσμὰ, φησὶ, καὶ θλίψεις, εὐθέως ἀποπηδᾷ· οὐκ οἶδε τῶν δεσμῶν τὴν δύναμιν· γενέσθω πρότερον πιστὸς, γευσάσθω τοῦ κηρύγματος, καὶ τότε καὶ αὐτὸς ἐπιδραμεῖται τοῖς δεσμοῖς τούτοις. Ἤκουσα τοῦ Δεσπότου μου λέγοντος ὅτι « Οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ, ἐπεὶ αἴρει τὸ πλήρωμα αὐτοῦ, καὶ χεῖρον τὸ σχίσμα γίνεται· οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς, ἐπεὶ ῥήγνυνται οἱ ἀσκοί. » Ἡ ψυχὴ ἡ τούτου ἱμάτιόν

est : se defensurus intravit, et capto judice discessit. Atque hæc ipse judex testatus est, dicens (*Act.* 26. 28), *In modico me persuades Christianum fieri.* Hoc et hodie fieri decebat, et præfectum hunc ad vos ingressum admirari magnanimitatem vestram, philosophiam, perfectamque quietem, et ex ordine vestro disciplinam capere, et sic abire, concionem admirari, laudare consessum, et ex ipsis rebus discere quantum inter gentiles et Christianos discriminis sit. Sed ut ad id redeam quod dicebam, postquam ipsum cepit Paulus, et ille dixit, *In modico me persuades Christianum fieri*, Paulus ita respondit (*ib.* v. 29) : *Optarem utique ego et in modico et in multo, non tantum te, sed etiam omnes audientes me fieri Christianos absque vinculis his.* Quid dicis, o Paule? Ephesiis nempe scribens, dicis (4. 1), *Rogo igitur vos ego vinctus in Domino, digne ambulare vocatione qua vocati estis.* Et ad Timotheum loquens (2. *Tim.* 2. 9), *In quo male patior usque ad vincula, tamquam malefactor;* et ad Philemonem rursum, *Paulus vinctus Jesu Christi :* et cum Judæis disceptans, dicis (*Act.* 28. 20), *Propter spem Israel hac catena circumdatus sum.* Et Philippensibus scribens dicebas (1. 14), *Ita ut plures fratrum, freti vinculis meis, abundantius auderent intrepide verbum loqui.* Ubique catenam circumfers, ubique vincula proponis, et hujusmodi gloriaris negotio; in judicium autem veniens prodidisti philosophiam, cum maxime libere te gerere decebat, et judici dicis, *Optarem utique te fieri Christianum absque vinculis his?* Atqui si bona vincula, et ita bona ut aliis quoque fiduciam ad sermonem pro religione præbeant (etenim hoc ipsum prius dixisti (*Philip.* 1. 14), *Multi fratrum freti vinculis meis verbum loquebantur intrepide*); quare coram judice non hac re gloriaris, sed contrarium facis?

Annon videtur esse quæstio quod dicitur? Sed celerrimam solutionem affero. Non enim anxietate vel timiditate Paulus hoc faciebat, sed ex sapientia multa et spirituali providentia : quo vero pacto, ego dicam. Gentilem alloquebatur et infidelem, nec nostra scientem. Nolebat igitur ipsum per gravia inducere, sed quod dicebat (1. *Cor.* 9. 21), *Factus sum carentibus lege, tamquam sine lege :* hoc et hic faciebat. Si vincula audierit, inquit, et tribulationes, statim refugiet, cum vinculorum virtutem non norit. Fiat prius fidelis, gustet prædicationem, et tunc ipse quoque ad hæc vincula curret. Audivi Dominum meum dicentem (*Matth.* 9. 16. 17. *Marc.* 2. 21. 22), *Nemo immittit commissuram panni rudis super vestimentum vetus, quoniam tollit plenitudinem ipsius, et pejor fit scissura : neque* (*Luc.* 5. 36. 37) *mittunt vinum novum in utres veteres, quoniam disrumpuntur utres.* Anima

ἐστι [παλαιὸν] καὶ ἀσκὸς παλαιός· οὐκ ἀνενεώθη τῇ πίστει, οὐκ ἀνεκαινίσθη τῇ τοῦ Πνεύματος χάριτι, ἀσθενής ἐστιν ἔτι καὶ γήϊνος, βιωτικὰ φρονεῖ, καὶ πρὸς τὴν κοσμικὴν φαντασίαν ἐπτόηται, δοξῆς ἐρᾷ τῆς παρούσης. Ἂν ἐκ προοιμίων εὐθέως ἀκούσῃ, ὅτι γενόμενος Χριστιανὸς δεσμώτης εὐθέως γενήσεται καὶ ἅλυσιν περικείσεται, αἰσχυνθεὶς καὶ ἐρυθριάσας ἀποπηδήσεται τοῦ κηρύγματος· διὰ τοῦτό φημι, « Ἄνευ τῶν δεσμῶν τούτων ». Οὐκ αὐτὸς τὰ δεσμὰ παραιτούμενος, μὴ γένοιτο, ἀλλ' ἐκείνου τῇ ἀσθενείᾳ συγκαταβαίνων, ἐπεὶ αὐτὸς οὕτως αὐτὰ φιλεῖ καὶ ἀσπάζεται, ὡς γυνὴ φιλόκοσμος τὰ χρυσία τὰ ἑαυτῆς. Πόθεν τοῦτο δῆλον; « Χαίρω ἐν τοῖς παθήμασί μου, φησί, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ». Καὶ πάλιν· « Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν ». Καὶ πάλιν· « Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν ». Εἰ τοίνυν χαίρει καὶ καυχᾶται, καὶ χάρισμα τὸ πρᾶγμα καλεῖ, εὔδηλον ὅτι διὰ τὴν αἰτίαν ταύτην πρὸς τὸν Φῆστον διαλεγόμενος ταῦτα ἔλεγεν· ἐπεὶ καὶ ἀλλαχοῦ πάλιν εἰς ἀνάγκην ἐμπεσὼν τοῦ καυχήσασθαι, τοῦτο αὐτὸ ἐνδείκνυται λέγων, « Ἥδιστα οὖν καυχήσομαι, φησίν, ἐν ταῖς ἀσθενείαις μου, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ »· καὶ πάλιν· « Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι ». Καὶ ἀλλαχοῦ συγκρίνων ἑαυτὸν ἑτέροις, καὶ τὴν [κατὰ] σύγκρισιν ὑπεροχὴν ἡμῖν ἐνδεικνύμενος, οὕτωσί πως φησί· « Διάκονοι Χριστοῦ εἰσι· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. » Καὶ δείξαι βουλόμενος τὴν ὑπεροχήν, οὐχ ὅτι νεκροὺς ἀνέστησεν, οὐδ' ὅτι δαίμονας ἀπήλασεν, οὐδ' ὅτι λεπροὺς ἐκαθάρισεν, οὐδ' ὅτι ἄλλο τι τῶν τοιούτων ἐποίησεν, εἶπεν, ἀλλὰ τί; Ὅτι τὰ μυρία ἔπαθε δεινά. Εἰπὼν γοῦν ὅτι « Ὑπὲρ ἐγώ », ἐπήγαγε τῶν πειρασμῶν τὸ πλῆθος οὕτω λέγων· « Ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις, ἐν φυλακαῖς περισσοτέρως· πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην· [τρὶς ἐναυάγησα,] νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα », καὶ τὰ λοιπὰ ἅπαντα. Οὕτω παντοχοῦ καυχᾶται ἐν ταῖς θλίψεσι Παῦλος, καὶ ἐγκαλλωπίζεται τῷ πράγματι μεθ' ὑπερβολῆς· καὶ μάλα εἰκότως. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα τὴν δύναμιν ἐνδείκνυται τοῦ Χριστοῦ, ὅτι διὰ τοιούτων ἐκράτησαν οἱ ἀπόστολοι, διὰ δεσμῶν καὶ θλίψεων καὶ μαστίγων καὶ τῶν ἐσχάτων κακῶν. Δύο γὰρ ταῦτα ὁ Χριστὸς ἐπηγγείλατο, θλῖψιν καὶ ἄνεσιν, πόνους καὶ στεφάνους, ἱδρῶτας καὶ ἀμοιβάς, λυπηρὰ καὶ χρηστά· ἀλλὰ τὰ μὲν λυπηρὰ κατὰ τὸν παρόντα βίον ἔδωκε, τὰ δὲ χρηστὰ εἰς τὸν μέλλοντα αἰῶνα ἐταμιεύσατο, ὁμοῦ τε δεικνὺς ὅτι οὐκ ἀπατᾷ τοὺς ἀνθρώπους, καὶ αὐτὸ τῶν δεινῶν τὸ φορτικὸν ὑποτέμνεσθαι τῇ τάξει βουλόμενος. Ὁ μὲν γὰρ ἀπατῶν τὰ χρηστὰ προτείνεται

hujus est vestimentum vetus, et uter antiquus; non est renovatus fide, non Spiritus gratia recens redditus est, debilis adhuc est et terrenus, mundana sapit, et ad mundanam vanitatem stupet, gloriam amat præsentem. Si a primordiis statim audierit, quod factus Christianus, vinctus mox fiet et catena circumdabitur, confusus et erubescens a prædicatione resiliet : propterea dico, *Absque vinculis his.* Non ipse vincula recusans, absit! sed illius condescendens infirmitati, quoniam ipse sic illa diligit et amplectitur, ut ambitiosa mulier monilia sua. Unde hoc manifestum? *Gaudeo in passionibus meis*, inquit (*Col.* 1. 24), *et suppleo defectus tribulationum Christi in carne mea.* Et iterum (*Philipp.* 1. 29), *Quoniam vobis donatum est a Christo non tantum in ipsum credere, verum et pro ipso pati.* Et iterum (*Rom.* 5. 3), *Non tantum autem, sed et gloriamur in tribulationibus.* Si gaudet igitur et gloriatur, et id vocat donum gratuitum, certum est quod propter hanc causam ad judicem loquens hæc dicebat : quoniam et alias rursum in necessitatem delapsus gloriandi, hoc ipsum demonstrat, dicens (2. *Cor.* 12. 9. 10), *Libenter igitur gloriabor in infirmitatibus meis, in contumeliis, in necessitatibus, in persecutionibus, in angustiis, ut inhabitet in me virtus Christi.* Et iterum (*ib.* 11. 30), *Si gloriari oportet, in infirmitate mea gloriabor.* Et alibi se ipsum aliis comparans, et per comparationem nobis excellentiam demonstrans, sic ait (2. *Cor.* 11. 23) : *Ministri Christi sunt, ut minus sapiens loquor, plus ego.* Et excessum demonstrare volens, non quod mortuos resuscitaverit, dæmonesve expulerit, neque quod mundaverit leprosos, aliudve quid hujusmodi fecerit, dixit : sed quid? Quod innumeras passus sit molestias. Cum enim diviset, *Plus ego*, intulit tentationum multitudinem (v. 24. 25) : *In plagis supra modum, in mortibus frequenter, in carceribus abundantius, a Judæis quinquies quadragenas una minus accepi, ter virgis cæsus sum, semel lapidatus, ter naufragium feci, nocte ac die in profundo maris fui :* et reliqua omnia. Sic ubique gloriatur in tribulationibus Paulus, et ea re mirum in modum sese effert, ac jure merito. Nam hoc est quod maxime Christi virtutem demonstrat, quoniam per talia vicerunt apostoli, per vincula, tribulationes, flagella, et extrema mala. Nam hæc duo Christus denuntiavit, tribulationem et remissionem, labores et coronas, sudores et retributiones, tristia et suavia; sed tristia quidem vitæ dedit præsenti, suavia vero in futurum distulit, pariter demonstrans se hominem non decipere, atque ipsum rerumnarum pondus ordine quodam minuere satagens. Qui decipit enim, suavia

πρότερον, καὶ οὕτως ἐπάγει τὰ λυπηρά· οἷόν τι λέγω· ἀνδραποδισταὶ πολλάκις παιδία μικρὰ συλῶντες καὶ κλέπτοντες οὐ πληγὰς καὶ μάστιγας, οὐδ' ἄλλο τι τῶν τοιούτων ὑπισχνοῦνται, ἀλλὰ πλακοῦντας καὶ τραγήματα καὶ ἕτερα τοιαῦτα, οἷς ἡ παιδικὴ χαίρειν εἴωθεν ἡλικία, προτείνουσιν, ἵνα τούτοις ἐκεῖνα ὀλεσασθέντα καὶ τὴν ἐλευθερίαν αὐτῶν ἀποδόμενα εἰς κίνδυνον ἐμπέσῃ τὸν ἔσχατον. Καὶ ὀρνίθων δὲ καὶ ἰχθύων οἱ θηραταὶ οὕτω τὰ θηρευόμενα δελεάζουσι, τὴν συνήθη τροφὴν καὶ καθ' ἡδονὴν τοῖς ἀγρευομένοις οὖσαν πρότερον προτείνοντες, καὶ τὴν παγίδα ταύτῃ περιστέλλοντες. Ὥστε ἀπατώντων μάλιστα τοῦτο ἔργον ἐστὶ, πρότερον τὰ χρηστὰ προταίνεσθαι, εἶτα ὕστερον ἐπάγειν τὰ λυπηρά, κηδομένων δὲ καὶ φροντιζόντων τοὐναντίον ἅπαν. Οἱ γοῦν πατέρες ἀπεναντίας τοῖς ἀνδραποδισταῖς ποιοῦσιν· ὅταν εἰς διδασκαλεῖον τὰ παιδία πέμπωσι, παιδαγωγοὺς ἐφιστῶσι, πληγὰς ἀπειλοῦσι, φόβον ἐπιτειχίζουσι, καὶ ἐπειδὰν τὴν προτέραν ἡλικίαν οὕτως ἀγάγωσι, τότε ἐν ἕξει γενομένοις αὐτοῖς τιμὰς καὶ δυναστείας καὶ τρυφὴν καὶ τὸν αὐτῶν πλοῦτον ἅπαντα ἐγχειρίζουσιν. Οὕτω καὶ ὁ Θεὸς ἐποίησεν, οὐ κατὰ τοὺς ἀνδραποδιστάς, ἀλλὰ κατὰ τοὺς πατέρας τοὺς κηδομένους· πρότερον εἰς τὰ λυπηρὰ ἐνέβαλε, καθάπερ παιδαγωγοῖς καὶ διδασκάλοις τῇ παρούσῃ θλίψει παραδιδοὺς, ἵνα διὰ τούτων παιδευθέντες, σωφρονισθέντες, ὑπομονὴν ἅπασαν ἐπιδειξάμενοι, φιλοσοφίαν ἅπασαν μαθόντες, εἶτα ἐν ἕξει γενόμενοι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσωμεν· πρότερον ἐπιτηδείους κατεσκεύασε πρὸς τὴν οἰκονομίαν τοῦ δοθέντος πλούτου, καὶ τότε αὐτὸν ἐγχειρίζει τὸν πλοῦτον. Εἰ γὰρ μὴ τοῦτο ἐποίησεν, ἡ τοῦ πλούτου δόσις, οὐ δωρεὰ, ἀλλὰ κόλασις ἦν καὶ τιμωρία. Καθάπερ γὰρ παῖς ἀνόητος καὶ ἄσωτος τὸν πατρῷον κλῆρον διαδεξάμενος ὑπ' αὐτοῦ τούτου καταχρημνίζεται, φρόνησιν οὐκ ἔχων ἀρκοῦσαν πρὸς τὴν τῶν χρημάτων οἰκονομίαν· εἰ δὲ συνετὸς γένηται καὶ ἐπιεικὴς καὶ σώφρων καὶ μέτριος, εἰς δέον οἰκονομῶν τὰ πατρῷα, λαμπρότερος ταύτῃ καὶ περιφανέστερος γίνεται· οὕτω καὶ ἐφ' ἡμῶν ἀνάγκη συμβαίνειν. Ἐπειδὰν σύνεσιν πνευματικὴν δεξώμεθα, ἐπειδὰν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας καταντήσωμεν οἱ πάντες, τότε ἡμῖν ἐγχειρίζει πάντα ἅπερ ὑπέσχετο· νυνὶ δὲ καθάπερ παιδία μικρὰ παιδεύει μετὰ παρακλήσεως καὶ παραμυθίας. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κέρδος ἀπὸ τοῦ τὰς θλίψεις προλαβεῖν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Ὁ μὲν γὰρ πρότερον τρυφῶν, εἶτα μετὰ τὴν τρυφὴν κόλασιν προσδοκῶν, οὐδὲ τῆς παρούσης αἰσθάνεται τρυφῆς διὰ τὴν προσδοκίαν τῶν ἐπαγομένων δεινῶν· ὁ δὲ πρότερον ὢν ἐν λυπηροῖς, εἶτα μετὰ ταῦτα μέλλων ἀπολαύσεσθαι χρηστῶν, καὶ τῶν παρόντων ὑπερορᾷ δυσχερῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων χρηστῶν.

Οὐ τοίνυν ἀσφαλείας ἕνεκεν μόνον τῆς ἡμετέρας, ἀλλὰ καὶ ἡδονῆς καὶ παραμυθίας πρότερα ἔταξεν εἶναι

prius proponit, et deinde infert tristia. Quale est : plagiarii puerulos sæpe parvos prædantes et furantes, non plagas et verbera, neque aliud hujusmodi pollicentur, sed placentas et bellaria, et alia talia quibus puerilis gaudere consuevit ætas, prætendunt, ut his illi allecti, et libertatem suam prodentes, in extremum periculum delabantur. Avium quoque pisciumque venatores ita quæ venantur alliciunt, consuetam capiendis et jucundam prius escam præbentes, et sic laqueum contegentes. Sic decipientium maxime opus hoc est, prius suavia proponere, quo mox inferant tristia; providentium autem et diligentium omnino contrarium. Patres itaque plagiariis contrarium faciunt; cum ad ludum pueros literarium mittunt, pædagogos præponunt, flagella minantur, timorem incutiunt; et cum priorem sic ætatem transegerint, tunc ipsis in habitu virili constitutis honores, potentiasque et delicias, et omnes divitias suas tradunt. 5. Sic Deus quoque fecit, non plagiariorum, sed patrum more qui curam gerunt : prius res adversas et tristes immisit tamquam pædagogis et præceptoribus præsenti tradens tribulationi, quo per hæc correcti et moderati, postquam tolerantiam omnem, omnemque disciplinam didicerimus, mox ad perfectam ætatem ducti, cælorum regnum hereditate consequamur : prius idoneos reddit ad dandam dispensationem divitiarum, et postmodum ipsas præbet divitias. Nisi enim hoc fecisset, divitiarum erogatio non donum, sed ultio fuisset et pœna. Sicut enim puer insipiens et prodigus paternam ubi suscepit hereditatem, ab hac ipsa præcipitatur, prudentiam non habens pecuniarum dispensationi parem; si vero prudens sit, probus, temperans et modestus, in necessaria dispensans paterna bona, splendidior ita fit et illustrior : sic et in nobis est necesse evenire. Cum spiritualem prudentiam acceperimus, cum in virum perfectum omnes, in ætatis mensuram pervenerimus, tunc nobis tradit omnia quæ pollicitus est; nunc vero tamquam pueros parvos docet cum exhortatione et consolatione. Nec hoc solum est emolumentum ex præmissis tribulationibus, verum et aliud illo non inferius. Qui enim prius erat in deliciis, mox post delicias ultionem exspectans, neque præsentibus fruitur deliciis propter futurarum molestiarum exspectationem; qui vero prius erat in tristibus, deinde post hæc suavibus potiturus, etiam præsentes difficultates propter futurorum spem bonorum contemnit.

Non igitur tutelæ tantum causa nostræ, verum et voluptatis et consolationis priora statuit esse molesta, ut futu-

τὰ δεινὰ, ἵνα ταῖς ἐλπίσι τῶν μελλόντων κουφιζόμενοι μηδεμίαν τῶν παρόντων λάβωμεν αἴσθησιν. Καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δεικνὺς καὶ ἐμφαίνων, ἔλεγεν ὅτι « Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως [ἡμῶν] καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται [ἡμῖν], μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. » Ἐλαφρὰν τὴν θλῖψιν ἐκάλεσεν, οὐ παρὰ τὴν οἰκείαν φύσιν τῶν δεινῶν, ἀλλὰ παρὰ τὴν προσδοκίαν τῶν μελλόντων ἀγαθῶν. Καθάπερ γὰρ ὁ ἔμπορος οὐκ αἰσθάνεται τῆς κατὰ τὴν ναυτιλίαν ταλαιπωρίας, τῇ τῶν φορτίων ἐλπίδι κουφιζόμενος, καὶ ὁ πυκτεύων γενναίως φέρει τὰ τραύματα τῆς κεφαλῆς, πρὸς τὸν στέφανον ἀποβλέπων· οὕτω δὴ καὶ ἡμεῖς πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀτενίζοντες ἀγαθὰ, ὅσα ἂν ἐπιφέρηται δεινὰ, πάντα γενναίως οἴσομεν τῇ χρηστῇ τῶν μελλόντων ἐλπίδι νευρούμενοι.

Ταύτην τοίνυν λαβόντες τὴν ῥῆσιν ἀπέλθωμεν· εἰ γὰρ καὶ ψιλὴ καὶ βραχεῖα, ἀλλὰ πολλὴν ἔχει φιλοσοφίας διδασκαλίαν. Ὁ ἐν ὀδύνῃ καὶ θλίψει ἀρκοῦσαν ἔχει παράκλησιν· ὁ ἐν τρυφῇ καὶ πολυτελείᾳ, μέγαν σωφρονισμόν. Ὅταν γὰρ ἐπὶ τῆς τραπέζης κατακείμενος ἀναμνησθῇς τῆς ῥήσεως ταύτης, ἀποπηδήσεις ταχέως τῆς μέθης καὶ τῆς ἀδηφαγίας, μαθὼν διὰ τῆς λέξεως ταύτης, ὅτι ἐναγωνίους ἡμᾶς εἶναι χρή· καὶ πρὸς ἑαυτὸν ἐρεῖς, Παῦλος ἐν δεσμοῖς καὶ δεσμωτηρίοις, ἐγὼ δὲ ἐν μέθῃ καὶ πολυτελεῖ τραπέζῃ· καὶ ποίας τεύξομαι συγγνώμης; Τοῦτο καὶ γυναιξὶν ἐπιτήδειον τὸ ῥῆμα· αἱ γὰρ φιλόκοσμοι καὶ πολυτελεῖς, καὶ χρυσίῳ πάντοθεν ἑαυτὰς καταδεσμοῦσαι, τῆς ἁλύσεως ταύτης ἀναμνησθεῖσαι, μισήσουσιν, εὖ οἶδ' ὅτι, καὶ βδελύξονται τὸν κόσμον ἐκεῖνον, καὶ πρὸς ταῦτα δραμοῦνται τὰ δεσμά. Ἐκεῖνα μὲν γὰρ πολλῶν κακῶν αἴτια γέγονε πολλάκις, καὶ μυρίους πολέμους εἰς τὴν οἰκίαν εἰσήγαγε, καὶ φθόνους καὶ βασκανίας καὶ μῖσος ἔτεκε· ταῦτα δὲ τῆς οἰκουμένης τὰς ἁμαρτίας ἔλυσε, καὶ δαίμονας ἐφόβησε, καὶ διάβολον ἐφυγάδευσε. Μετὰ τούτων ἐν τῷ δεσμωτηρίῳ διατρίβων τὸν δεσμοφύλακα ἔπεισε, μετὰ τούτων τὸν Ἀγρίππαν ἐπεσπάσατο, μετὰ τούτων πολλοὺς μαθητὰς κατεσκεύασεν ὁ Παῦλος. Διὰ τοῦτο καὶ ἔλεγεν, « Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. » Καθάπερ γὰρ ἀκτῖνα δῆσαι οὐ δυνατὸν οὐδὲ συγκλεῖσαι ἐν οἰκίᾳ, οὕτως οὐδὲ τοῦ κηρύγματος τὸν λόγον. Καὶ πολλῷ πλέον, ὁ διδάσκαλος ἐδέδετο, καὶ ὁ λόγος ἐπέτετο· ἐκεῖνος τὸ δεσμωτήριον ᾤκει, καὶ ἡ διδασκαλία πτερωθεῖσα πανταχόσε τῆς οἰκουμένης ἔτρεχε. Ταῦτ' οὖν εἰδότες μὴ προκαταπίπτωμεν ἐπὶ τοῖς δεινοῖς· τότε γὰρ δυνατώτεροι γινόμεθα, τότε ἰσχυρότεροι· « ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται ». Μὴ ἀλγῶμεν ἐπὶ ταῖς ἐπαγομέναις συμφοραῖς, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν τῷ Θεῷ.

Δευτέραν ἑβδομάδα τῆς νηστείας παρήλθομεν, ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· οὐ γὰρ τοῦτό ἐστι παρελθεῖν νη-

rorum spe relevati nullam præsentium caplamus sensum. Et hoc ipsum Paulus significans dicebat (2. *Cor.* 4. 17. 18), *Momentanea levitas tribulationis nostræ supra modum in sublimitate æternum pondus gloriæ nobis operatur, non considerantibus nobis quæ videntur, sed quæ non videntur.* Levem appellavit tribulationem, non propter propriam gravium naturam, sed propter futurorum expectationem bonorum. Sicut enim mercator non sentit navigationis laborem, mercium spe relevatus, et pugil generose fert capitis vulnera, ad coronam respiciens : ita profecto nos quoque in cælum et cælestia intendentes bona, quæcumque inferantur gravia, generose cuncta feremus, bona futurorum spe roborati.

Hac itaque accepta sententia abeamus : quamvis namque simplex et brevis sit, multam tamen habet philosophiæ doctrinam. Qui in dolore et tribulatione est, idoneam habet consolationem ; qui in deliciis et luxuria, magnam moderationis exhortationem. Cum enim ad mensam discumbens, sententiæ hujus memineris, statim ab ebrietate crapulaque resilies, discens ex hac sententia, quod anxios nos esse conveniat, et intra te ipsum dices : Paulus in vinculis et carceribus, ego vero in ebrietate et lauta mensa : et quam assequar veniam ? Hoc et in mulieribus opportunum dictum. Ambitiosæ enim et sumtuosæ, et auro undique se circumligantes, catenæ hujus reminiscentes odio habebunt, certo scio, et abominabuntur ornatum illum, et ad hæc vincula current. Illa namque ornamenta multorum causæ malorum fuerunt, et innumera bella in domos introduxerunt, et livores pepererunt et invidias et odium ; hæc vero peccata mundi solverunt, et terruerunt dæmonas, et diabolum fugaverunt. Cum his in carcere degens custodi persuasit, cum his Agrippam [*codd.* Φῆστον] attraxit, cum his multos Paulus discipulos acquisivit. Propterea dicebat (2. *Tim.* 2. 9), *In quo malo patior usque ad vincula, tamquam malefactor, sed Dei verbum non est vinctum.* Sicut enim radium vincire possibile non est nec domi concludere, sic neque prædicationis verbum. Et quod multo amplius est, doctor vinctus erat, et verbum volabat : ille carcerem habitabat, et doctrina alata passim in orbe terrarum currebat. Hæc igitur scientes, ne succumbamus in rebus adversis ; imo tunc potentiores efficimur, tunc fortiores : (*Rom.* 5. 3) *Tribulatio enim patientiam operatur.* Ne doleamus in calamitatibus quæ inferuntur, sed in omnibus Deo gratias agamus.

6. Secundam jejunii septimanam expedivimus, sed non hoc consideremus : non enim hoc est expedivisse jejunium,

στείαν, ἐὰν τὸν χρόνον παρέλθωμεν, ἀλλ' ἐὰν μετὰ κατορθωμάτων παρέλθωμεν. Τοῦτο λογισώμεθα, εἰ σπουδαιότεροι γεγόναμεν, εἰ διωρθώσαμέν τι τῶν ἡμετέρων ἐλαττωμάτων, εἰ τὰ ἁμαρτήματα ἀπενιψάμεθα. Ἔθος ἅπασιν ἐρωτᾷν κατὰ τὴν τεσσαρακοστήν, πόσας ἕκαστος ἑβδομάδας ἐνήστευσε· καὶ ἔστιν ἀκοῦσαι λεγόντων τῶν μὲν ὅτι δύο, τῶν δὲ ὅτι τρεῖς, τῶν δὲ ὅτι Πάσας ἐνήστευσα τὰς ἑβδομάδας. Καὶ τί τὸ κέρδος, ἐὰν ἔρημοι κατορθωμάτων παρέλθωμεν τὴν νηστείαν; Ἐὰν ἕτερος λέγῃ ὅτι Πᾶσαν ἐνήστευσα τὴν τεσσαρακοστήν, σὺ εἰπὲ ὅτι Ἐχθρὸν εἶχον, καὶ κατηλλάγην· ἔθος εἶχον κακηγορεῖν, καὶ ἐπαυσάμην· ἔθος εἶχον ὀμνύναι, καὶ ἔπαυσα τὸ πονηρὸν ἔθος. Οὐδὲν ὄφελος τοῖς ἐμπόροις, ἂν πολὺ μῆκος πελάγους παραδράμωσιν, ἀλλ' ἐὰν μετὰ φορτίων πλέωσι καὶ πολλῆς τῆς ἐμπορίας· οὐδὲν ὄφελος ἡμῖν, ἐὰν παρέλθωμεν τὴν νηστείαν ἁπλῶς καὶ εἰκῇ καὶ μάτην, ἐὰν τὴν τῶν βρωμάτων νηστεύωμεν νηστείαν· παρελθουσῶν τῶν τεσσαράκοντα ἡμερῶν παρέρχεται καὶ ἡ νηστεία· ἐὰν δὲ ἁμαρτημάτων ἀπεχώμεθα, καὶ τῆς νηστείας παρελθούσης ταύτης ἐκείνη πάλιν μενεῖ, καὶ διηνεκὴς ἔσται ἐντεῦθεν ἡμῖν ἡ ὠφέλεια, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν οὐ μικρὰς ἡμῖν ἐνταῦθα ἀποδώσει τὰς ἀμοιβάς· ὥσπερ γὰρ ὁ ζῶν ἐν πονηρίᾳ καὶ πρὸ τῆς γεέννης κολάζεται τῇ συνειδότι κεντούμενος, οὕτως ὁ πλουτῶν ἐν κατορθώμασι καὶ πρὸ τῆς βασιλείας χαρᾶς μεγίστης ἀπολαύσεται, χρησταῖς ἐνιρεφόμενος ἐλπίσι. Διὰ τοῦτο καὶ ὁ Χριστός φησι, « Πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεσθε, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει. » Βραχὺ τὸ ῥῆμα, ἀλλὰ πολλὴν ἔχει παραμυθίαν. Τί ποτ' οὖν ἐστι, « Τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει »; Χρήματα ἐὰν ἔχῃς, πολλοί σου δύνανται λαβεῖν τὴν χαρὰν τὴν ἀπὸ τοῦ πλούτου, καὶ κλέπτης διορύττων τοῖχον, καὶ οἰκέτης ἁρπαιρούμενος τὰ ἐμπιστευθέντα, καὶ βασιλεὺς δημεύων, καὶ βάσκανος ἄνθρωπος ἐπηρεάζων. Δυναστείαν ἂν ἔχῃς, πολλοί σου δύνανται λαβεῖν τὴν ἀπὸ ταύτης χαράν· ὅταν γὰρ παραλυθῇ τὰ τῆς ἀρχῆς, παραλύεται καὶ τὰ τῆς ἡδονῆς· καὶ ἐν αὐτῇ δὲ τῇ ἀρχῇ πολλὰ συμπίπτοντα πράγματα δυσκολίαν ἔχοντα καὶ φροντίδας ὑποτέμνεταί σου τὴν εὐθυμίαν. Ἰσχὺν σώματος ἐὰν ἔχῃς, νόσος ἐπελθοῦσα κατέλυσε τὴν ἀπὸ ταύτης χαράν· κάλλος ἐὰν ἔχῃς καὶ ὥραν, γῆρας ἐπελθὸν ἐμάρανε καὶ ἀφείλετο τὴν χαράν· τραπέζης ἐὰν ἀπολαύσῃς πολυτελοῦς, ἑσπέρας καταλαβούσης κατελύθη καὶ ἡ τῆς εὐωχίας χαρά· ἕκαστον γὰρ τῶν βιωτικῶν πραγμάτων εὐεπηρέαστον, καὶ μόνιμον ἡμῖν οὐκ ἰσχύει παρασχεῖν τὴν ἡδονήν· ἡ δὲ εὐσέβεια καὶ ἡ κατὰ ψυχὴν ἀρετὴ τοὐναντίον ἅπαν. Ἐλεημοσύνην ἐὰν ποιήσῃς, οὐδεὶς ἀφελεῖν δύναται τὸ κατόρθωμα· κἂν στρατόπεδα, κἂν βασιλεῖς, κἂν μυρίοι συκοφάνται, κἂν ἐπίβουλοι πάντοθεν ἐπιθῶνται, τὸ εἰς τὸν οὐρανὸν ἀποτεθὲν κτῆμα ἀφελέσθαι οὐ δύνανται, ἀλλὰ μένει διηνεκὴς ἡ χαρά. « Ἐσκόρπισε γάρ, φησίν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα »·

si tempus præterierimus, sed si transegerimus cum recte factis. Hoc nobiscum reputemus, si studiosiores facti sumus, si defectum aliquem nostrum correximus, si abluimus crimina. Consuetudinem omnes habent per quadragesimam interrogandi, quot quisque septimanas quadragesimæ jejunavit : et dicentes audire licet, hos quidem quod duas, hos vero quod tres, illos autem quod omnes jejunaverint septimanas. Et quod lucrum, si recte factis carentes, jejunium transegerimus? Si alius dicat, Totam jejunavi quadragesimam, tu dic, Inimicum habebam, et conciliatus sum : habebam detrahendi consuetudinem, et destiti : jurandi tenebar usu, et morem improbum abjeci. Nulla mercatoribus utilitas, si magnam maris longitudinem percurrerint, sed si cum rerum copia et multo mercimonio navigaverint : nulla nobis utilitas, si infructuose jejunii tempus et temere prætereamus, si ciborum jejunium jejunemus : præteritis quippe quadraginta diebus præterit et jejunium; si vero peccatis abstineamus, et transacto hoc jejunio illud remanebit, et continua erit hinc nobis utilitas atque ante regnum cælorum non parvas nobis hic reddet retributiones. Sicut enim qui in nequitia vivit, et ante gehennam punitur, conscientia stimulatus : sic qui meritis abundat, et ante regnum magna fructur lætitia, bona se spe pascens. Idcirco Christus ait (*Joan.* 16. 22), *Iterum videbo vos, et gaudebitis, et gaudium vestrum nemo tollet a vobis.* Breve verbum, sed multam habet consolationem. Quidnam tandem est, *Nemo gaudium vestrum tollet?* Pecunias si habeas, multi tuum ex divitiis gaudium auferre possunt, et fur parietem perfodiens, et credita subripiens servus, et Imperator in fiscum redigens, et invidus homo calumnians. Si potentiam habeas, multi possunt tuum ex hoc gaudium tollere. Cum enim principatus finierit, voluptas quoque finit : quin et in ipso principatu multæ res accidentes, difficultates habentes et curas, lætitiam tuam diminuunt. Si corporis robur habeas, morbus irrumpens inde ortam lætitiam aufert : si pulchritudinem habeas et speciem, senectus superveniens tabefecit et gaudium abstulit : si mensa fruaris lauta, vespere occupante soluta est convivii lætitia. Rerum enim quælibet mundanarum infestari facile potest, nec stabilem nobis voluptatem afferre valet; pietas autem et animi virtus contra. Eleemosynam si feceris, meritum auferre potest nemo : sive exercitus, sive reges, sive infiniti calumniatores et insidiatores instent undique, in cælis repositam possessionem auferre non possunt, sed perenne permanet gaudium. *Dispersit* enim, inquit (*Psal.* 111. 9), *dedit pauperibus, justitia ejus manet in sæcu-*

καὶ μᾶλλα εἰκότως· ἐν γὰρ τοῖς τῶν οὐρανῶν ἀπόκειται ταμιείοις, ὅπου οὐ κλέπτης διορύττει, οὐ λῃστὴς λαμβάνει, οὐ σὴς κατεσθίει. Εὐχὰς ἐὰν εὔχῃ συνεχεῖς καὶ ἐκτενεῖς, τὸν καρπὸν τὸν ἀπὸ τούτων οὐδεὶς συλῆσαι δυνήσεται· καὶ γὰρ καὶ οὗτος ὁ καρπὸς ἐν τοῖς οὐρανοῖς ἐρρίζωται, πάσης ἐπηρείας ἀπηλλαγμένος καὶ μένων ἀχείρωτος. Ἐὰν κακῶς παθὼν εὐεργετήσῃς, ἐὰν κακῶς ἀκούσας φιλοσοφήσῃς, ἐὰν λοιδορηθεὶς εὐλογήσῃς, ταῦτα τὰ κατορθώματα μένει διηνεκῶς, καὶ τὴν ἐκ τούτων χαρὰν οὐδεὶς λαμβάνει· ἀλλ' ὁσάκις ἂν αὐτῶν ἀναμνησθῇς, χαίρεις καὶ εὐφραίνῃ, καὶ πολλὴν καρποῦσαι τὴν εὐφροσύνην. Οὕτω δὴ καὶ τὸ φεύγειν ὅρκον ἐὰν κατορθώσωμεν, καὶ πείσωμεν τὴν γλῶτταν τὴν ἡμετέραν ἀπέχεσθαι τῆς ὀλεθρίου συνηθείας ταύτης, τὸ μὲν κατόρθωμα ἔσται ἐν βραχεῖ καιρῷ, ἡ δὲ εὐφροσύνη τοῦ κατορθώματος διηνεκῶς καὶ ἀδιαλείπτως.

Λοιπὸν ὑμᾶς καὶ ἑτέρων διδασκάλους εἶναι ἐμοῦ καὶ καθηγητὰς, καὶ φίλους τοὺς πλησίον, καὶ οἰκέτας τοὺς συνδούλους, καὶ νέους τοὺς ὁμήλικας λαμβάνειν [καὶ] παιδεύειν καὶ ἀνάγειν. Ἆρα εἴ τις σοι χρύσινον ἕνα καθ' ἕκαστον διορθούμενον ἄνθρωπον ἐπηγγείλατο, οὐ πᾶσαν ἂν ἐποιήσω σπουδὴν, καὶ διημέρευες προσεδρεύων, πείθων, παρακαλῶν; Νῦν δὲ οὐχ ἕνα χρύσινον, οὐδὲ δέκα χρυσίνους, οὐδὲ εἴκοσι καὶ ἑκατὸν καὶ χιλίους, οὐδὲ γῆν ὁλόκληρον ὑπισχνεῖταί σοι τῶν πόνων τούτων ἀμοιβὴν ὁ Θεὸς, ἀλλ' ὃ τοῦ κόσμου παντὸς μειζόν ἐστι, τοῦτό σοι δίδωσι, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον πρὸς τούτῳ. Ποῖον δὴ τοῦτο; « Ὁ ἐξάγων τίμιον ἀνεξίου, ὡς στόμα μου ἔσται », φησί· τί τούτου γένοιτ' ἂν ἴσον εἰς τιμῆς λόγον καὶ ἀσφαλείας; Ποία δὲ ἡμῖν ἀπολογία καὶ συγγνώμη μετὰ τὴν τοσαύτην ὑπόσχεσιν τῆς τῶν πλησίον ἀμελοῦσι σωτηρίας; Σὺ δ' ἂν μὲν εἰς βάραθρον ἴδῃς καταπίπτοντα τυφλὸν, χεῖρα ὀρέγεις, καὶ νομίζεις ἀνάξιον εἶναι τὸ περιιδεῖν ἀπολλύμενον· ὁρῶν δὲ καθ' ἑκάστην ἡμέραν καταχρημνιζομένους πάντας τοὺς ἀδελφοὺς εἰς τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν, οὐδὲ ῥῆμα προέσθαι τολμᾷς; Ἀλλ' εἶπας ἅπαξ, καὶ οὐκ ἤκουσεν· οὐκοῦν εἰπὲ καὶ δὶς καὶ τρὶς καὶ τοσαυτάκις ἕως ἂν πείσῃς. Καθ' ἑκάστην ἡμέραν ὁ Θεὸς ἡμῖν διαλέγεται καὶ οὐκ ἀκούομεν, καὶ οὐκ ἀφίσταται διαλεγόμενος· ταύτην καὶ σὺ μίμησαι τὴν κηδεμονίαν περὶ τὸν πλησίον. Διὰ τοῦτο μετ' ἀλλήλων ἐσμὲν, καὶ πόλεις οἰκοῦμεν, καὶ ἐν ἐκκλησίαις συναγόμεθα, ἵνα τὰ ἀλλήλων βάρη βαστάζωμεν, ἵνα τὰ ἀλλήλων ἁμαρτήματα διορθώμεθα. Καὶ καθάπερ ἐργαστήριον ἓν οἰκοῦντες ἄνθρωποι διαφόρως μὲν ἐμπορεύονται, πάντα δὲ εἰς τὸ κοινὸν ἀποτίθενται· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν. Ἅπερ ἂν ἕκαστος δύνηται ἀγαθὰ εἰσφέρειν τῷ πλησίον, μὴ ὀκνείτω μηδὲ ἀναβυέσθω, ἀλλὰ γινέσθω πραγματεία τις καὶ ἀντίδοσις αὕτη πνευματικὴ, ἵνα εἰς τὸ κοινὸν ἅπαντα καταθέμενοι, καὶ πολὺν κτησάμενοι πλοῦτον, καὶ μέγαν ποιήσαντες τὸν θησαυρὸν,

lum. Nec immerito : in cælorum enim cellariis reposita sunt, ubi fur non perfodit, latro non tollit, tinea non consumit. Si preces fuderis continuas et intentas, earum fructum auferre poterit nemo : hic etenim fructus in cælo radicatus est, ab omni injuria liber, et permanens inexpugnabilis. Si male passus benefeceris, si maledictis lacessitus patienter tuleris, si conviciis affectus benedixeris, hæc merita perpetuo manent, et ortam ex his lætitiam auferet nemo, sed quotiescumque ipsorum recordatus fueris, gaudes et lætaris et multa frueris animi tranquillitate. Sic profecto et fugere juramentum si prævaleamus, et ab hac consuetudine perniciosa abstinere linguam nostræ persuadeamus, meriti quidem labor brevi absolvetur, lætitia vero meriti jugiter erit et indesinenter.

Cæterum vos et aliorum præceptores esse oportebat et duces, et amicos proximi, servos autem conservi, et juvenes coævos suscipere, instituere et inducere. Nunc, si quis tibi aureum unum pro singulis hominibus correctis promisisset, omne studium adhibuisses, et assiduus adstitisses persuadens et exhortans? Nunc vero non aureum unum, neque decem, neque viginti, vel centum, vel mille aureos, neque totam Deus terram tibi policetur in horum laborum retributionem, sed quod orbe toto majus est, hoc tibi præbet, cælorum regnum : nec hoc solum, verum et aliud præter hoc. Quale vero hoc? *Qui educit pretiosum a vili, sicut os meum erit*, inquit (*Jer.* 15. 19). Quid huic posset esse par ad honoris et securitatis rationem? Quæ vero nobis excusatio et venia post tantam promissionem proximorum salutem negligentibus esse valeat? Tu vero si cæcum quidem in voraginem decidentem videris, manum porrigis, et indignum esse putas perentem despicere; videns autem quotidie omnes præcipitari fratres in improbam juramentorum consuetudinem, nec verbum audes proferre? Sed dixisti semel, et non audivit : dic igitur bis et ter, et toties donec persuaseris. Nobis quotidie loquitur Deus, et non audimus, nec tamen alloqui desistit : hanc tu quoque curam imitare circa proximum. Propterea conjuncti inter nos sumus, et urbes habitamus et in ecclesiis congregamur, ut alter alterius onera portemus, ut alter alterius peccata corrigamus. Et sicut multi eamdem officinam habitantes homines differenter quidem negotiantur, omnia vero in commune reponunt : sic profecto et nos agamus. Quæcumque bona quisque conferre potest proximo, ne pigeat eum, neque differat; sed fiat hoc negotiatio quædam et collatio spiritualis, ut in commune omnia deponentes, et multas adepti divitias, et

κοινῇ πάντες τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι κτλ.

ΟΜΙΛΙΑ ιζ'.

Εἰς τοὺς ἄρχοντας τοὺς παρὰ τοῦ βασιλέως Θεοδοσίου ἀποσταλέντας, Ἐλλέβιχον στρατηλάτην καὶ Καισάριον μάγιστρον, εἰς τὴν τῶν παπληπμελημότων ἐξέτασιν διὰ τὴν τῶν ἀνδριάντων καταστροφήν.

Εἰς καιρὸν ὑπεφάλαμεν ἅπαντες κοινῇ τήμερον, « Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος. » Καὶ γὰρ θαυμαστὰ καὶ παράδοξα γέγονε πράγματα· πόλιν ὁλόκληρον καὶ ὄχλον τοσοῦτον καταποντίζεσθαι μέλλοντα καὶ ὑποβρύχιον γίνεσθαι καὶ ἀπόλλυσθαι τέλεον, ἀθρόον ἐν μιᾷ καιροῦ ῥοπῇ τῆς ναυαγίας ἁπάσης ἀπήλλαξεν. Εὐχαριστήσωμεν τοίνυν, μὴ μόνον ὅτι τὸν χειμῶνα ἔλυσεν, ἀλλ' ὅτι καὶ γενέσθαι αὐτὸν συνεχώρησε· μὴ μόνον ὅτι τῆς ναυαγίας ἡμᾶς ἀπήλλαξεν, ἀλλ' ὅτι καὶ πρὸς τοσαύτην ἀγωνίαν καταπεσεῖν ἀφῆκε, καὶ τὸν περὶ τῶν ἐσχάτων ἡμῖν ἐπικρεμασθῆναι κίνδυνον. Οὕτω καὶ Παῦλος ἐκέλευσεν ἐν παντὶ εὐχαριστεῖν· ὅταν δὲ εἴπῃ « Ἐν παντὶ εὐχαριστεῖτε », τοῦτο λέγει, μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῶν δεινῶν· « Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. » Εὐχαριστῶμεν αὐτῷ διὰ τὴν λύσιν τῶν πειρασμῶν, καὶ μὴ ἐπιλαθώμεθά ποτε τῶν πειρασμῶν· εὐχαῖς προσέχωμεν, ἱκετηρίαις συνεχέσιν, εὐλαβείᾳ πολλῇ. Ὅτε παρὰ τὴν ἀρχὴν ἡ χαλεπὴ τῶν κακῶν τούτων ἀνήφθη πυρά, ἔλεγον ὅτι Οὐκ ἔστι καιρὸς διδασκαλίας, ἀλλὰ καιρὸς εὐχῶν· τοῦτο δὴ καὶ νῦν, ὅτ' ἐσβέσθη, λέγω, ὅτι Νῦν μάλιστα καιρὸς εὐχῶν· ἢ πρότερον, Νῦν μάλιστα καιρὸς δακρύων καὶ κατανύξεως καὶ ψυχῆς πεπονημένης καὶ πολλῆς σπουδῆς καὶ πολλῆς ἀσφαλείας. Τότε μὲν γὰρ αὐτὴ τῶν θλίψεων ἡ φύσις καὶ ἄκοντας ἡμᾶς συνέστελλε καὶ σωφρονεῖν παρεσκεύαζε, καὶ πρὸς πλείονα ἦγαγεν εὐλάβειαν· νυνὶ δὲ ἀφαιρεθέντος τοῦ χαλινοῦ καὶ τοῦ νέφους παρελθόντος, δέος μὴ πρὸς ῥᾳθυμίαν ἐκκλίνωμεν, μὴ χαυνότεροι γενώμεθα πάλιν ὑπὸ τῆς ἀνέσεως, μὴ καὶ περὶ ἡμῶν εἴπῃ τις, « Ὅτ' ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὄρθριζον πρὸς τὸν Θεόν. » Διὰ τοῦτο καὶ Μωϋσῆς Ἰουδαίοις παρῄνει λέγων, « Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. » Νῦν ὑμῶν ἡ εὐγνωμοσύνη φανεῖται, ἂν ἐπὶ τῆς εὐλαβείας μείνητε τῆς αὐτῆς· τότε μὲν γὰρ πολλοὶ τῷ φόβῳ καὶ τῇ τῶν δεινῶν ἐπαγωγῇ τὴν σπουδὴν ὑμῶν ἐλογίζοντο· νῦν δὲ καθαρὸν ὑμῶν ἔσται τὸ κατόρθωμα, ἂν μείνητε τὴν αὐτὴν διατηροῦντες σπουδήν. Ἐπεὶ καὶ παιδίον, ἕως μὲν ὑπὸ παιδαγωγοῦ τινος ἄγηται φοβεροῦ, κἂν σωφρονῇ, κἂν μετὰ ἐπιεικείας ζῇ, θαυμαστὸν οὐδέν, ἀλλὰ τῷ τοῦ παιδαγωγοῦ φόβῳ τὴν σωφροσύνην τοῦ νέου λογίζονται πάντες· ὅταν δὲ ἀποθέμενος τὴν ἐκεῖθεν ἀνάγκην, ἐπὶ τῆς αὐτῆς μένῃ σεμνότητος, τότε καὶ τὴν

magnum consequuti thesaurum, communiter omnes regnum assequamur cælorum, gratia etc.

HOMILIA XVII.

In magistratus ab imperatore Theodosio missos, Ellebichum Magistrum militum, et Cæsarium Magistrum, ad prævaricatorum inquisitionem propter statuarum subversionem.

1. Opportune omnes hodie simul concinuimus (*Psal.* 71. 18), *Benedictus Dominus Deus Israel, qui facit mirabilia solus.* Etenim miranda et opinionem excedentia facta sunt negotia : urbem totam et populum tantum jam submergendum, et sub undas agendum et perdendum, funditus, statim et uno temporis momento ab omni naufragio liberavit. Gratias igitur agamus, non tantum quoniam tempestatem sedavit, sed etiam quoniam ipsam fieri permisit; non tantum quoniam naufragio nos liberavit, sed etiam quod in tantam nos angustiam cadere sivit, et extremum periculum nobis imminere. Sic et Paulus in omnibus jussit gratias agere. Cum vero dicit (1. *Thess.* 5. 18), *In omnibus gratias agite*, hoc significat, non tantum in gravium solutione, verum et in gravium tempore : nam (*Rom.* 8. 28) *Diligentibus Deum omnia cooperantur in bonum.* Gratias ipsi agamus propter absolutionem a tentationibus, et harum numquam obliviscamur : orationibus vacemus, supplicationibus continuis, pietati multæ. Cum a principio gravis horum malorum pyra fuerit accensa, dicebam non esse doctrinæ tempus, sed orationum : hoc profecto et nunc, postquam exstincta est, dico : Nunc maxime tempus orationum est; vel potius, Nunc maxime lacrymarum tempus et compunctionis et animæ anxiæ multique studii et cautelæ. Tunc nempe ipsa tribulationum natura vel invitos nos corripiebat et modestos faciebat, et ad majorem agebat reverentiam; nunc autem, ablato freno et nube prætorlapsa, timendum ne ad torporem declinemus, ne segniores reddamur rursum ex remissione, ne de nobis quoque quispiam dicat (*Psal.* 77. 3), *Cum occideret eos, tunc quærebant eum, et revertebantur, et diluculo veniebant ad Deum.* Ideo Moses Judæos admonebat dicens (*Deut.* 6. 12. 13), *Postquam comederis et biberis, et fueris repletus, recordare Domini Dei tui.* Nunc sincerum propositum vestrum cernetur, si in eadem manseritis pietate : tunc quippe multi timori et malorum illationi studium vestrum attribuebant; nunc vero purum erit meritum vestrum, si in eodem studio permaneatis. Quoniam et puerulus si, dum ab aliquo agitur pædagogo terribili, cum modestia vivit et mansuetudine, nihil est mirandum, sed pædagogi timori pueri modestiam attribuunt omnes; cum vero depositia necessitate ille in eadem manserit honestate, tunc et

ἐπὶ τῇς προτέρας ἡλικίας σωφροσύνην αὐτῷ πάντες λογίζονται. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν· ἐπὶ τῆς αὐτῆς μένωμεν εὐλαβείας, ἵνα καὶ τῆς προτέρας σπουδῆς πολὺν τὸν ἔπαινον παρὰ τοῦ Θεοῦ καρπωσώμεθα. Μυρία προσεδοκήσαμεν δεινὰ, τὰς οὐσίας διαρπαγήσεσθαι πάντων, τὰ οἰκήματα ἐμπρησθήσεσθαι μετὰ τῶν οἰκούντων, τὴν πόλιν ἐκ μέσης ἀναρπασθήσεσθαι τῆς οἰκουμένης καὶ τὰ λείψανα αὐτῆς ἀπολεῖσθαι ἅπαντα, ἄροτρον αὐτῆς τὸ ἔδαφος δέξεσθαι· ἀλλ' ἰδοὺ ταῦτα πάντα ἐπὶ τῆς προσδοκίας ἔστη μόνον καὶ εἰς ἔργον οὐκ ἐξῆλθε. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι τοσοῦτον κίνδυνον ἔλυσεν ὁ Θεὸς, ἀλλ' ὅτι καὶ μεγάλα ἡμᾶς εὐηργέτησε, καὶ τὴν πόλιν ἡμῶν ἐκόσμησε, καὶ διὰ τοῦ πειρασμοῦ τούτου καὶ τῆς συμφορᾶς δοκιμωτέρους εἰργάσατο· καὶ πῶς, ἐγὼ λέγω.

Ὅτε οἱ παρὰ τοῦ βασιλέως ἀποσταλέντες ἐπὶ τὴν τῶν γεγενημένων ἐξέτασιν τὸ φοβερὸν ἐκεῖνο συνεκρότησαν δικαστήριον, καὶ πάντας ἐπὶ τὰς εὐθύνας τῶν τετολμημένων ἐκάλουν, καὶ θανάτων διαφόρων προσδοκία πᾶσιν ἦν, τότε οἱ τὰς ἀκροπαλίας τῶν ὀρέων κατοικοῦντες μοναχοὶ τὴν οἰκείαν ἐπεδείξαντο φιλοσοφίαν. Ἔτεσι γὰρ τοσούτοις ἐν ταῖς ἑαυτῶν καλύβαις συγκεκλεισμένοι, οὐδενὸς παρακαλέσαντος, οὐδενὸς συμβουλεύσαντος, ἐπειδὴ τοσοῦτον νέφος εἶδον τὴν πόλιν περιστάμενον, καταλιπόντες αὐτῶν τὰ σπήλαια καὶ τὰς σκηνὰς πάντοθεν συνέρρευσαν, καθάπερ ἐξ οὐρανοῦ τινες ἄγγελοι παραγενόμενοι· καὶ ἦν ἰδεῖν τὴν πόλιν ἐοικυῖαν οὐρανῷ τότε, πανταχοῦ τῶν ἁγίων ἐκείνων φαινομένων, καὶ ἀπὸ τῆς ὄψεως μόνον παρακαλούντων τοὺς ὀδυνωμένους καὶ πρὸς πᾶσαν ὑπεροψίαν συμφορᾶς ἀγόντων. Τίς γὰρ ἰδὼν ἐκείνους οὐκ ἂν κατεγέλασε θανάτου; οὐκ ἂν ὑπερεῖδε ζωῆς; Οὐ τοῦτο δὲ μόνον ἦν τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ τοῖς ἄρχουσιν αὐτοῖς προσελθόντες μετὰ παῤῥησίας διελέχθησαν ὑπὲρ τῶν ὑπευθύνων, καὶ τὸ αἷμα παρεσκευάζοντο πάντες ἐκχεῖν καὶ τὰς κεφαλὰς ἀποθέσθαι, ὥστε τοὺς ἁλόντας τῶν προσδοκωμένων ἐξαρπάσαι δεινῶν· καὶ οὐκ ἔφησαν ἀποστήσεσθαι πρότερον, ἕως ἂν ἢ φείσωνται τοῦ ὁήμου τῆς πόλεως οἱ δικάζοντες, ἢ κοινῇ μετὰ τῶν καταδίκων πρὸς βασιλέα πέμψωσι. Θεοφιλὴς, φησὶν, ἐστὶν ὁ κρατῶν τῆς καθ' ἡμᾶς οἰκουμένης, πιστὸς, ἐν εὐσεβείᾳ ζῶν· ἡμεῖς οὖν αὐτὸν καταλλάξομεν πάντως· οὐκ ἐπιτρέψομεν ὑμῖν οὐδὲ συγχωρήσομεν αἱμάξαι ξίφος οὐδὲ ἀποτεμεῖν κεφαλήν. Εἰ δὲ μὴ ἀνάσχοισθε, καὶ ἡμεῖς μετ' αὐτῶν ἀποθανούμεθα πάντως. Δεινὰ μὲν τὰ τετολμημένα, καὶ ἡμεῖς ὁμολογοῦμεν, ἀλλ' οὐχ ὑπερβαίνει τὴν τοῦ βασιλέως φιλανθρωπίαν ἡ τῶν γεγενημένων παρανομία. Λέγεταί τις ἐξ αὐτῶν καὶ ἕτερον ῥῆμα γέμον φιλοσοφίας εἰπεῖν, ὅτι Οἱ μὲν ἀνδριάντες οἱ κατενεχθέντες ἀνέστησαν πάλιν καὶ τὸ οἰκεῖον ἀπέλαβον σχῆμα, καὶ τὸ γεγενημένον διόρθωσιν ἔσχε ταχίστην· ὑμεῖς δ' ἐὰν τοῦ Θεοῦ τὴν εἰκόνα ἀποκτείνητε, πῶς δυνήσεσθε πάλιν ἀναλέσασθαι τὸ πεπλημμελη-

quam habuit in priore ætate modestiam, ipsi omnes adscribunt. Hoc et nos utique faciamus : in eadem maneamus reverentia, ut et prioris studii laudem multam a Deo capiamus. Innumera exspectavimus mala, omnium substantias direptum, habitacula cum habitantibus combustum iri, civitatem medio ex orbe sublatum, et ipsius reliquias omnes perituras, aratrum ipsius solum susceperum; sed ecce hæc omnia intra exspectationem tantum steterunt, et in opus non processerunt. Nec hoc solum est mirandum, quod tantum periculi Deus depulit, sed etiam quoniam magnis nos affecit beneficiis, et civitatem nostram ornavit, nosque per hanc tentationem et calamitatem probatiores effecit. Quo vero pacto, ego dicam.

Quando ab Imperatore missi ad commissorum inquisitionem tremendum illud constituere judicium, omnesque ad ausorum pœnas vocabant, et varia mortis omnibus erat exspectatio, tunc vertices montium habitantes monachi propriam exhibuere philosophiam. Namque tot annis in cavernis suis conclusi, nemine advocante, suadente nemine, postquam nubem tantam civitatem circumstantem viderunt, et speluncas et tabernacula sua derelinquentes, undique confluxerunt, velut angeli quidam de cælo profecti : et erat cernere tunc civitatem similem redditam cælo, cum ubique occurrerent illi sancti vel ex aspectu solo dolore pressos consolantes, et ad omnem calamitatis contemtum inducentes. Quis enim illos conspicatus mortem non derisisset, non despexisset vitam? Nec hoc solum erat mirabile, sed quod ad principes ipsos accedentes cum fiducia loquebantur pro reis, et omnes sanguinem effundere parati erant, et capita deponere, ut captos ab exspectatis tribulationibus eriperent : et dixerunt se non prius recessuros, quam judices parcerent populo urbis, vel se simul cum reis ad Imperatorem legatos mitterent. Religiosus est, inquit, qui nostro orbi dominatur, fidelis, cum pietate vivens : nos igitur ipsum omnino reconciliabimus; non permittemus vobis neque concedemus ensem sanguine polluere, nec ullius abscindere caput. Si vero non abstinealis, et nos cum ipsis omnino moriemur. Gravia quidem patrata sunt, et nos confitemur, sed Imperatoris humanitatem non excedit gestorum iniquitas. Dicitur quidam ipsorum [*Macedonius monachus*] aliud verbum philosophiæ plenum dixisse : Statuæ quidem dejectæ rursum erectæ fuerunt, et propriam receperunt formam, et facinus correctionem habuit celerrimam; si autem vos Dei imaginem occideritis, quomodo rursum poteritis peccatum

μένον; πῶς ἀναστῆσαι τοὺς ἀπολομένους, καὶ τὰς ψυχὰς τοῖς σώμασιν ἀποδοῦναι; Πολλὰ καὶ περὶ κρίσεως αὐτοῖς διελέχθησαν.

Τί οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειε τὴν φιλοσοφίαν τῶν ἀνδρῶν; Εἰ γὰρ, [ὅτε] μία τῶν ὑπευθύνων μήτηρ γυμνώσασα τὴν κεφαλὴν καὶ τὰς πολιὰς δείξασα, τοῦ μέλλοντος δικάζειν κατασχοῦσα τὸν ἵππον ἀπὸ τοῦ χαλινοῦ, καὶ παρατρέχουσα οὕτω διὰ τῆς ἀγορᾶς εἰς τὸ δικαστήριον συνεισῆλθε, πάντες ἐξεπλάγημεν, πάντες ἐθαυμάσαμεν τὴν φιλοστοργίαν, τὴν μεγαλοψυχίαν· πῶς οὐχὶ μᾶλλον τούτους ἐκπλήττεσθαι χρή; Ἐκείνη μὲν γὰρ εἰ καὶ ἀπέθανεν ὑπὲρ τοῦ παιδὸς, οὐδὲν θαυμαστόν· μεγάλη γὰρ ἡ τῆς φύσεως τυραννὶς καὶ ἄμαχος ἡ τῶν ὠδίνων ἀνάγκη· οὗτοι δὲ οὓς οὐκ ἐγέννησαν οὐδὲ ἔθρεψαν, μᾶλλον δὲ οὓς οὐκ εἶδον, ὧν οὐκ ἤκουσαν, οἷς οὐδέποτε συνεγένοντο, οὓς ἀπὸ τῆς συμφορᾶς ἐγνώρισαν μόνης, οὕτως ἐφίλησαν, ὡς, εἰ καὶ μυρίας εἶχον ψυχὰς, ἑλέσθαι πάσας ὑπὲρ τῆς τούτων ἐπιδοῦναι σωτηρίας. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὐκ ἐσφάγησαν οὐδὲ ἐξέχεαν τὸ αἷμα, ἀλλ' ὅτι τοσαύτῃ πρὸς τοὺς δικάζοντας ἐχρήσαντο παῤῥησίᾳ, ὅση μόνους τοὺς ἀπεγνωκότας τῆς ἑαυτῶν ψυχῆς χρήσασθαι εἰκὸς ἦν, καὶ μετὰ τοιαύτης γνώμης ἀπὸ τῶν ὀρέων ἐπὶ τὸ δικαστήριον ἔδραμον. Οὐδὲ γὰρ, εἰ μὴ πρότερον ἑαυτοὺς πρὸς πᾶσαν παρεσκεύασαν σφαγὴν, οὐκ ἂν οὕτως ἴσχυσαν πρὸς τοὺς δικάζοντας ἐλευθεροστομῆσαι τότε καὶ τοσαύτην ἐπιδείξασθαι μεγαλοψυχίαν· καὶ γὰρ ἐπημέρευον πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου καθήμενοι, τοὺς ἀπάγεσθαι μέλλοντας ἐξαρπάσαι τῶν δημίων παρεσκευασμένοι. Ποῦ νῦν εἰσιν οἱ τοὺς τρίβωνας ἀναβεβλημένοι καὶ βαθὺ γένειον δεικνύντες καὶ ῥόπαλα τῇ δεξιᾷ φέροντες, οἱ τῶν ἔξωθεν φιλόσοφοι, τὰ κυνικὰ καθάρματα, οἱ τῶν ἐπιτραπεζίων κυνῶν ἀθλιώτερον διακείμενοι καὶ γαστρὸς ἕνεκεν πάντα ποιοῦντες; Πάντες κατέλιπον τότε τὴν πόλιν, πάντες ἀπεπήδησαν, εἰς τὰ σπήλαια ἀπεκρύβησαν· μόνοι δὲ οἱ διὰ τῶν ἔργων ἀληθῶς τὴν φιλοσοφίαν ἐπιδεικνύμενοι, καθάπερ οὐδενὸς δεινοῦ τὴν πόλιν κατειληφότος, οὕτως ἀδεῶς ἐπὶ τῆς ἀγορᾶς ἐφάνησαν. Καὶ οἱ μὲν τὰς πόλεις οἰκοῦντες πρὸς τὰ ὄρη καὶ τὰς ἐρημίας ἀπέπτησαν, οἱ δὲ τῆς ἐρήμου πολῖται εἰς τὴν πόλιν εἰσῆλασαν, δεικνύντες διὰ τῶν ἔργων αὐτῶν, ὅπερ ἐν ταῖς ἔμπροσθεν ἡμέραις οὐ διέλιπον λέγων, ὅτι τὸν μετὰ τῆς ἀρετῆς ζῶντα οὐδὲ κάμινός τι βλάψαι δυνήσεται. Τοσοῦτόν ἐστι φιλοσοφία ψυχῆς πάντων ὑψηλοτέρα γινομένη, καὶ τῶν χρηστῶν καὶ τῶν λυπηρῶν ἁπάντων· οὔτε γὰρ ἐν ἐκείνοις χαυνοῦται, οὔτε ὑπὸ τούτων καταστέλλεται καὶ ταπεινοῦται, ἀλλὰ μένει διὰ πάντων ἴση, τὴν οἰκείαν ἰσχὺν καὶ δύναμιν ἐπιδεικνυμένη. Τίνα γὰρ οὐκ ἤλεγξεν ἡ τοῦ παρόντος καιροῦ δυσκολία; Οἱ τὰ πρῶτα πολιτευσάμενοι παρ' ἡμῖν, οἱ ἐν ὑπερτατείαις ὄντες, οἱ πλοῦτον ἄφατον περιβεβλημένοι, οἱ πολλὴν πρὸς βασιλέα παῤῥησίαν ἔχοντες, τὰς οἰκίας ἁπάντων ἐρήμους ἕκαστος ὑπὲρ τῆς ἑαυτῶν ἐβουλεύοντο σωτηρίας. Καὶ φιλία πᾶσα καὶ συγ-

reparare? quomodo occisos resuscitare, et animas corporibus reddere? Multa et de judicio ipsis disseruere.

2. Quis non obstupesceret, quis non Virorum sapientiam admiraretur? Nam si, cum quædam reorum mater nudato capite et canis ostensis, judicaturi equum fræno apprehendens, et per forum prætercurrens, sic in judicium simul ingressa est, omnes obstupefacti sumus, omnes admirati pietatem et magnanimitatem: quomodo non magis ad hos obstupescere oportet? Illa enim etiam si mortua esset pro filio, nihil mirandum: magna enim naturæ vis et inexpugnabilis viscerum necessitas: hi vero quos non genuerunt nec educarunt, imo vero quos non noverunt, quorum nomen non audierunt, quibuscum nunquam conversati sunt, quos ex sola noverunt calamitate, in tantum amaverunt, ut etiam si infinitas habuissent animas, omnes pro illorum salute tradere vellent. Neque mihi dicas hoc quod non jugulati sint, nec sanguinem effuderint; sed quod tanta contra judices usi sint libertate, quanta solos de salute sua desperatos uti verisimile fuit: et tali cum sententia de montibus ad tribunal cucurrerunt. Nec enim nisi prius se neci cuilibet præparassent, tam libere potuissent judices alloqui, et tantam tunc exhibere magnanimitatem: etenim ante prætorii januas totos dies agebant sedentes, abducendos de carnificum manibus eripere parati. Ubi nunc sunt pallia gestantes isti et profundam ostentantes barbam et baculos dextra ferentes, externorum philosophi, cynica piacula, submensalibus canibus inferiores, ventrisque causa cuncta facientes? Omnes tunc civitatem deseruerunt, resilierunt omnes, in cavernas se absconderunt; soli vero qui per opera vere philosophiam exhibent, ac si nullum civitatem malum comprehendisset, sic intrepide in foro apparuerunt. Et urbem quidem habitantes, ad montes et deserta avolaverunt; eremi vero incolæ in urbem ingressi sunt, per ipsa demonstrantes opera sua, quod superioribus diebus non destiti dicere, nempe cum virtute viventem neque fornacem quidquam lædere posse: tanto est animæ sapientia omnibus sublimior, et suavibus et tristibus cunctis: nec enim in illis mollescit, nec his contrahitur et humiliatur, sed per omnia manet æqualis, propriam fortitudinem et vim exhibens. Quem enim non superasset præsentis temporis difficultas? Proceres nostræ reipublicæ, in potestatibus constituti, divitias immensas sortiti, qui multam apud Imperatorem fiduciam habebant, domibus quisque desertis, omnes de propria salute consultabant. Et amicitia omnis et cogna'o

γένεια τότε ἠλέγχετο, καὶ οὓς πάλαι ἤδεσαν, κατὰ τὸν καιρὸν τῆς συμφορᾶς τούτους ἀγνοεῖν ἐβουλεύοντο, καὶ ἀγνοεῖσθαι παρ' ἐκείνων ηὔχοντο· οἱ δὲ μοναχοὶ, ἄνθρωποι πένητες, ἱματίου πλέον οὐδὲν ἔχοντες εὐτελοῦς, ἐν ἀγροικίᾳ βεβιωκότες, οὐδένες εἶναι δοκοῦντες ἔμπροσθεν, ὄρασι καὶ νάπαις ὁμιλοῦντες, καθάπερ τινὲς λέοντες, μετὰ μεγάλου καὶ ὑψηλοῦ φρονήματος, πάντων ἐκδοικούντων καὶ κατεπτηχότων, εἰς τὸ μέσον στάντες τὸ δεινὸν ἔλυσαν, οὐκ ἐν πολλαῖς ἡμέραις, ἀλλ' ἐν βραχείᾳ καιροῦ ῥοπῇ. Καὶ καθάπερ οἱ γενναῖοι τῶν ἀριστέων οὐ συμπλακέντες τοῖς ἐναντίοις, ἀλλὰ καὶ φανέντες ἐπὶ τῆς παρατάξεως μόνον καὶ βοήσαντες τρέπονται τοὺς ἀντιπάλους· οὕτω δὴ καὶ οὗτοι ἐν ἡμέρᾳ μιᾷ καὶ κατέβησαν καὶ διελέχθησαν καὶ τὴν συμφορὰν ἔλυσαν καὶ πρὸς τὰ οἰκεῖα ἀνέβησαν καταγώγια. Τοσοῦτόν ἐστιν ἡ παρὰ τοῦ Χριστοῦ τοῖς ἀνθρώποις εἰσενεχθεῖσα φιλοσοφία. Καὶ τί λέγω περὶ τῶν πλουτούντων καὶ τῶν ἐν δυναστείαις ὄντων; ὅπου καὶ αὐτοὶ οἱ δικάζειν λαβόντες ἐξουσίαν, οἱ τὰς ἀνωτάτω διέποντες ἀρχὰς, παρ' αὐτῶν τούτων παρακαλούμενοι τῶν μοναχῶν μετὰ συγγνώμης ποιήσασθαι τὴν ψῆφον, οὐκ ἔφασαν εἶναι κύριοι τοῦ τέλους· σφαλερὸν γὰρ εἶναι καὶ ἐπικίνδυνον οὐχ ὑβρίζειν μόνον εἰς βασιλέα, ἀλλὰ καὶ τοὺς ὑβριστὰς λαβόντας τιμωρίας ἀφεῖναι χωρίς. Ἀλλ' οὗτοι πάντων ἐγένοντο κυριώτεροι, καὶ τῇ μεγαλοψυχίᾳ καὶ τῇ καρτερίᾳ προσεδρεύοντες ἐδυσώπησαν, ἣν οὐκ ἔλαβον παρὰ βασιλέως ἐξουσίαν, ταύτην ἐπιδείξασθαι· καὶ ἴσχυσαν, τῶν ὑπευθύνων γενομένων φανερῶν, πεῖσαι τοὺς δικάζοντας μὴ τὴν καταδικάζουσαν ἐξενεγκεῖν ψῆφον, ἀλλ' εἰς τὴν βασιλέως γνώμην ἀναβαλέσθαι τὸ τέλος, καὶ ὑπέσχοντο πείσειν ἐκεῖνον πάντως δοῦναι συγγνώμην τοῖς εἰς αὐτὸν ἡμαρτηκόσι, καὶ τῆς ἀποδημίας ἥπτοντο. Ἀλλ' οἱ δικάζοντες αἰδεσθέντες αὐτῶν τὴν φιλοσοφίαν, καὶ τὸ ὑψηλὸν καταπλαγέντες φρόνημα, οὐ συνεχώρησαν στείλασθαι τὴν μακρὰν ταύτην ὁδὸν, ἀλλ' ἢ φωνὰς αὐτῶν λαβεῖν μόνον ἐν τοῖς γράμμασιν, ἀπελεύσεσθαι καὶ βασιλέα δυσωπήσειν ἀφεῖναι τὴν ὀργὴν ἅπασαν, ἣ δὴ καὶ προσδοκῶμεν ἔσεσθαι. Καὶ γὰρ τῆς δίκης λεγομένης, εἰσελθόντες πολλῆς ἐρρήξαντο φιλοσοφίας ῥήματα, καὶ διὰ τῶν γραμμάτων παρεκάλεσαν βασιλέα, καὶ τῆς κρίσεως ἀνέμνησαν, καὶ τὰς ἑαυτῶν ἔφασαν ὑποθήσειν κεφαλὰς, εἰ μὴ τοῦτο γένοιτο. Καὶ ταύτας οἱ δικάζοντες διὰ γραμμάτων λαβόντες τὰς φωνὰς, ἀπῆλθον· ὃ παντὸς στεφάνου λαμπρότερον τὴν ἡμετέραν κοσμήσει πόλιν. Καὶ νῦν τὰ ἐνταῦθα γεγενημένα ἀκούσεται βασιλεύς· ἀκούσεται δὲ καὶ ἡ μεγάλη πόλις, ἀκούσεται δὲ πᾶσα ἡ οἰκουμένη, ὅτι τοιοῦτοι τὴν Ἀντιοχέων πόλιν οἰκοῦσι μοναχοὶ, ὡς ἀποστολικὴν ἐπιδείξασθαι παῤῥησίαν· καὶ τῶν γραμμάτων ἀναγιγνωσκομένων νῦν ἐν τῷ στρατοπέδῳ, πάντες αὐτῶν θαυμάσονται τὴν μεγαλοψυχίαν, πάντες τὴν πόλιν ἡμῶν μακαριοῦσι, καὶ τὴν πονηρὰν ἀποκρουσόμεθα δόξαν· καὶ εἴσονται πάντες, ὡς τὰ γεγενημένα οὐ τῶν ἐνοικούντων τὴν πόλιν ἦν, ἀλλ' ἀνθρώπων ξένων καὶ

tunc superabatur, et quos olim noverant, in tempore calamitatis hos ignorare et ab aliis ignorari optabant. Monachi vero, homines pauperes, veste vili plus nihil habentes, viventes in rusticitate, nulli esse apparentes, in montibus et saltibus versantes, velut quidam leones, magno et alto sensu præditi, omnibus pavefactis et trepidantibus, in medio consistentes malum dissolverunt, non multis diebus, sed brevi temporis momento. Et sicut generosi bellatores non tantum adversarios aggressi, sed etiam visi tantum in acie et vociferati adversarios fugant : sic et hi die una et descenderunt et disseruerunt et solverunt calamitatem, et ad propria reversi sunt tabernacula. Tanti est philosophia a Christo in genus humanum introducta! Et quid dico de divitibus et in potestate constitutis? cum et ii qui judicandi potestatem assequuti erant, summos gerentes magistratus, ab his ipsis rogati monachis, ut cum venia sententiam ferrent, eventus se dominos esse negaverint; haud tutum enim, sed periculosum esse, non tantum injuriam inferre Imperatori, sed etiam quos comprehenderint injuriæ auctores, impunitos dimittere. Sed hi omnibus fuere potentiores, et cum animi magnitudine et tolerantia assidentes supplicaverunt ut, quam ab Imperatore non acceperant potestatem, hanc exhiberent : et convictis noxiis, judicibus persuadere valuerunt, ne damnationis sententiam efferrent, sed ad Imperatoris nutum decernenda rejicerent, et promiserunt se illi persuasuros et effecturos ut omnino veniam daret iis qui in se peccaverant, et peregrinationem aggressi sunt. Sed judices ipsorum philosophiam reveriti, et animi altitudine perculsi, hanc eos longam obire viam non permisere : modo ipsorum voces haberent in scriptis, se cum literis discessuros, et Imperatorem exoraturos, ut omnem iram dimitteret, spoponderunt : quod et fore exspectamus. Etenim cum sententia diceretur, ingressi multæ sapientiæ verba dixere, ac per literas Imperatori supplicaverunt, et judicii fecere mentionem, et se sua deposituros esse capita dixerunt, nisi hoc fieret. Et post has sumtas in literis voces judices abierunt : quod omni corona splendidius nostram civitatem exornabit. Et quæ sunt hic nunc gesta, audiet Imperator, audiet magna civitas, audiet totus orbis, quod tales Antiochenorum urbem habitent monachi, ut apostolicam exhibeant fiduciam : et literis nunc lectis, in castris omnes ipsorum magnanimitatem admirabuntur, omnes civitatem nostram beatam vocabunt, et malam repellemus famam : scientque omnes, gesta illa non civitatem inhabitantium fuisse, sed hominum externorum et perditorum;

διαφθαρμένων, καὶ ὅτι ἱκανὴ τοῦ τῆς πόλεως ἤθους ἀπόδειξις ἡ τῶν μοναχῶν ἔσται μαρτυρία.

Μὴ τοίνυν ἀλύωμεν, ἀγαπητοὶ, ἀλλὰ χρηστὰς προσδοκῶμεν ἐλπίδας. Εἰ γὰρ ἡ πρὸς ἀνθρώπους παρρησία τοσοῦτον ἴσχυσε κωλῦσαι δεινὸν, ἡ πρὸς τὸν Θεὸν αὐτὸν παρρησία τί οὐκ ἐργάσεται; Ταῦτα καὶ πρὸς Ἕλληνας λέγωμεν, ὅταν τολμῶσιν ὑπὲρ φιλοσόφων ἡμῖν διαλέγεσθαι. Ἀπὸ τῶν νῦν εὔδηλον, ὅτι καὶ τὰ πρότερα ἦν ψευδῆ τὰ παρ' ἐκείνοις· ἀπὸ τούτων δῆλον, ὅτι καὶ τὰ πρότερα ἦν ἀληθῆ τὰ παρ' ἡμῖν, τὰ περὶ Ἰωάννου καὶ Παύλου καὶ Πέτρου καὶ τῶν ἄλλων ἁπάντων. Ἐπειδὴ γὰρ τὴν ἐκείνων εὐσέβειαν διεδέξαντο, διὰ τοῦτο καὶ τὴν αὐτῶν παρρησίαν ἐπεδείξαντο· ἐπειδὴ τοῖς αὐτοῖς νόμοις ἐτράφησαν, διὰ τοῦτο καὶ τὴν αὐτῶν ἀρετὴν ἐζήλωσαν. Ὥστε οὐ χρεία γραμμάτων ἡμῖν ὑπὲρ τοῦ δεῖξαι τὴν ἀποστολικὴν ἀρετὴν, τῶν πραγμάτων αὐτῶν βοώντων, καὶ τῶν μαθητῶν τοὺς διδασκάλους ἐνδεικνύντων· οὐ χρεία λόγων ἡμῖν, ὥστε τὸν τῶν Ἑλλήνων δεῖξαι λῆρον καὶ τὴν τῶν παρ' αὐτοῖς φιλοσόφων μικροψυχίαν, τῶν πραγμάτων αὐτῶν βοώντων τῶν νῦν καὶ τῶν προτέρων, ὡς ἅπαντα παρ' αὐτοῖς μῦθος καὶ σκηνὴ καὶ ὑπόκρισις. Οὐχ οἱ μοναχοὶ δὲ μόνον, ἀλλὰ καὶ οἱ ἱερεῖς τὴν αὐτὴν ἐπεδείξαντο μεγαλοψυχίαν, καὶ τὴν ἡμετέραν διενείμαντο σωτηρίαν. Καὶ ὁ μὲν εἰς τὸ στρατόπεδον ἀπῆρε, πάντα δεύτερα θέμενος τῆς ὑμετέρας ἀγάπης, καὶ αὐτὸς ἕτοιμος ὢν, εἰ μὴ πείσειε βασιλέα, ἀποθανεῖν· οὗτοι δὲ ἐνταῦθα μείναντες, καὶ τὰ αὐτὰ τοῖς μοναχοῖς ἐπιδειξάμενοι, ταῖς οἰκείαις χερσὶ τοὺς δικάζοντας κατεῖχον, οὐκ ἐπιτρέποντες εἰσελθεῖν πρὶν ἢ περὶ τοῦ τέλους ὑποσχέσθαι τῆς δίκης· καὶ ἡνίκα μὲν ἑώρων ἀνανεύοντας, πολλῇ τῇ παρρησίᾳ καὶ αὐτοὶ πάλιν ἐκέχρηντο· ἐπειδὴ δὲ εἶδον ἐπινεύσαντας, ποδῶν ἁψάμενοι καὶ γονάτων, καὶ χεῖρας καταφιλήσαντες, ἑκατέραν τὴν ἀρετὴν μεθ' ὑπερβολῆς ἐπεδείξαντο, τήν τε ἐλευθερίαν τήν τε ἐπιείκειαν. Ὅτι μὲν γὰρ οὐκ ἦν θρασύτης ἡ παρρησία, τὸ καταφιλῆσαι γόνατα καὶ ποδῶν ἅψασθαι μάλιστα ἔδειξε· πάλιν ὅτι ταῦτα κολακεία οὐκ ἦν οὐδὲ δουλοπρέπειά τις, οὐδὲ ἐξ ἀνελευθέρου γνώμης ἐγίνετο, τὰ φθάσαντα ἐμαρτύρησεν αὐτῶν τὴν παρρησίαν.

Οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ πειρασμοῦ τὰ καλὰ ἐκαρπωσάμεθα, ἀλλὰ καὶ πολλὴν σωφροσύνην, πολλὴν ἐπιείκειαν· καὶ μοναστήριον ἡμῖν ἡ πόλις ἐξαίφνης ἐγένετο. Οὐκ ἄν τις αὐτὴν οὕτως ἐκόσμησεν, εἰ χρυσοῦς ἀνδριάντας ἀνέστησεν ἐπὶ τῆς ἀγορᾶς, ὡς νῦν ἔστι λαμπρὰ καὶ περιφανὴς τοὺς καλοὺς τῆς ἀρετῆς ἀνδριάντας παρασχομένη καὶ τὸν οἰκεῖον ἐπιδείξασα πλοῦτον. Ἀλλὰ τὰ παρὰ τοῦ βασιλέως λυπεῖ; Ἀλλ' οὐδ' ἐκεῖνα μὲν οὖν φορτικὰ, ἀλλὰ καὶ αὐτὰ πολὺ τὸ κέρδος ἤνεγκε. Τί γὰρ ἔπαθές, εἰπέ μοι, τῶν γενομένων; ὅτι τὴν ὀρχήστραν ἀνέῳραξεν, ὅτι τὸν ἱππόδρομον ἄβατον ἐποίησεν, ὅτι τὰς τῆς πονηρίας πηγὰς ἀπέκλεισε καὶ κατέχωσε; Μηδὲ ἀνοιχθῆναι μὲν οὖν ταῦτα εἴη ποτέ. Ἐντεῦθεν αἱ ῥίζαι τῆς πονηρίας ἐβλάστησαν τῇ πόλει,

et idonea civitatis morum demonstratio monachorum erit testimonium.

Ne igitur tristemur, dilecti, sed spe bona instructi simus. Si enim apud homines libertas tantum molestiæ prohibere potuit, apud Deum ipsum fiducia quid non operabitur? Hæc etiam gentilibus dicamus, cum de philosophis nobiscum disputare audebunt. Ex præsentibus patet priora quoque fuisse falsa apud illos: ex his manifestum est, et apud nos vera fuisse priora, illa de Joanne, Petro, Paulo et omnibus aliis. Quoniam enim in illorum pietatem successerunt, propterea et eorum fiduciam exhibuerunt: quoniam iisdem legibus educati sunt, ideo et ipsorum virtutem sunt imitati. Itaque non est opus nobis literis ad apostolicam virtutem demonstrandam, rebus ipsis clamantibus, et discipulis magistros repræsentantibus: non nobis sermonibus opus est ad gentilium nugas manifestandas et philosophorum ipsorum pusillanimitatem, rebus ipsis clamantibus, tam præsentibus, quam præteritis, quod omnia apud ipsos fabulæ et scena et hypocrisis. Nec monachi tantum, verum et sacerdotes eamdem præstiterunt animi magnitudinem, nostramque salutem dispensarunt. Et alius quidem in castra se contulit, omnia dilectioni vestræ postponens, et ipse paratus, nisi Imperatori persuaderet, mori; alii vero hic remanentes, et eadem quæ monachi exhibentes, propriis manibus judices continentes, non sinebant ingredi, priusquam de judicii fine promiserint: et cum renuentes quidem videbant, multa fiducia et ipsi vicissim utebantur: ubi autem annuentes viderunt, pedes et genua complexi et manus exosculati, utramque virtutem superabundanter exhibuere, libertatem et mansuetudinem. Quod enim non superbiæ esset ea fiducia, exosculando genua et pedes amplectendo maxime demonstraverunt: rursum quod humilitas illa non esset assentatio neque servilitas quædam, nec ex illiberali sententia profecta, antè facta ipsorum fiduciæ testificata sunt.

Non hæc autem sola de tentatione bona lucrati sumus, verum et multam modestiam ac mansuetudinem, et civitas nobis repente monasterium facta est. Non sic illam quis ornasset, si aureas in foro statuas erexisset, sicut nunc clara et illustris est, quæ bonas virtutis statuas protulit, et proprias exhibuit divitias. At quæ ab imperatore profecta sunt contristant. Sed nec illa profecto gravia, verum et ipsa multum attulerunt emolumenti. Quid enim molesti, dic mihi, factum est? quod orchestram obstruxerit, quod circum inaccessibilem fecerit, quod nequitiæ fontes excluserit et obruerit? Utinam nec concederetur umquam hos aperiri! Hinc nequitiæ radices in civitate ger-

ἐντεῦθεν οἱ τὸ ἦθος αὐτῆς διαβάλλοντές εἰσιν, οἱ τὰς αὐτῶν φωνὰς τοῖς ὀρχουμένοις πωλοῦντες καὶ τριῶν ὀβολῶν τὴν ἑαυτῶν προπίνοντες ἐκείνοις σωτηρίαν, οἱ πάντα ἄνω καὶ κάτω κινοῦντες. Διὰ ταῦτα ἀσχάλλεις, ἀγαπητέ; Διὰ ταῦτα μὲν οὖν καὶ χαίρειν χρὴ καὶ εὐφραίνεσθαι, καὶ χάριτας ὁμολογεῖν τῷ βασιλεῖ, ὅτι ἡ κόλασις αὐτοῦ διόρθωσις γέγονε, καὶ ἡ τιμωρία παιδαγωγία, καὶ ἡ ὀργὴ διδασκαλία. Ἀλλ' ὅτι τὰ βαλανεῖα ἡμῖν ἀποκέκλεισται; Ἀλλ' οὐδὲ τοῦτο ἀφόρητον, καὶ ἄκοντας τοὺς τὸν ὑγρὸν καὶ χαῦνον καὶ διαλελυμένον βίον ζῶντας πρὸς τὴν φιλοσοφίαν ἐπανάγει. Ἀλλ' ὅτι τὸ τῆς πόλεως ἀφεῖλεν ἀξίωμα, καὶ οὐκέτι καλεῖσθαι μητρόπολιν αὐτὴν εἴασεν; Ἀλλὰ τί ποιῆσαι ἐχρῆν; ἐπαινέσαι τὰ γεγενημένα καὶ χάριν ὁμολογῆσαι; Καὶ τίς οὐκ ἂν αὐτὸν ἐμέμψατο, ὅτι οὐδὲ μέχρι σχήματος ἐπεδείξατό τινα ἀγανάκτησιν; Οὐχ ὁρᾷς τοὺς πατέρας, ὅτι πολλὰ τοιαῦτα ποιοῦσιν εἰς τοὺς υἱοὺς τοὺς ἑαυτῶν; ἀποστρέφονται καὶ τραπέζης εἴργουσι. Τοῦτο καὶ ὁ βασιλεὺς ἐποίησε τοιαύτας ἐπιθεὶς τιμωρίας, αἳ βλάβην μὲν οὐδεμίαν ἔχουσι, πολλὴν δὲ φέρουσι τὴν διόρθωσιν. Ἐννόησον τίνα προσεδοκήσαμεν καὶ τίνα γέγονε, καὶ τότε μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν χάριν. Ἀλγεῖς ὅτι τὸ τῆς πόλεως ἀξίωμα ἀφῄρηται; μάθε τί ποτέ ἐστι πόλεως ἀξίωμα, καὶ τότε εἴσῃ σαφῶς, ὅτι ἐὰν οἱ οἰκοῦντες αὐτὸ μὴ προδῶσιν, οὐδεὶς ἕτερος ἀφελέσθαι ἀξίωμα δυνήσεται πόλεως. Οὐ τὸ μητρόπολιν εἶναι, οὐδὲ τὸ μέγεθος ἔχειν καὶ κάλλος οἰκοδομημάτων, οὐδὲ τὸ πολλοὺς κίονας καὶ στοὰς εὐρείας καὶ περιπάτους, οὐδὲ τὸ πρὸ τῶν ἄλλων ἀναγορεύεσθαι πόλεων, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετὴ καὶ εὐσέβεια, τοῦτο καὶ ἀξίωμα καὶ κόσμος καὶ ἀσφάλεια πόλεως, ὡς ἂν μὴ τοῦτο ᾖ, πάντων ἐστὶν εὐτελέστερα, κἂν μυρίας παρὰ βασιλέων ἀπολαύῃ τιμῆς.

Βούλει μαθεῖν τῆς πόλεώς σου τὸ ἀξίωμα; βούλει τὰ πατρῷα αὐτῆς εἰδέναι; ἐγὼ ταῦτα μετὰ ἀκριβείας ἐρῶ, οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ζηλώσῃς. Τί ποτ' οὖν ἐστι τῆς παρ' ἡμῖν πόλεως τὸ ἀξίωμα; « Ἐγένετο πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χρηματίσαι Χριστιανούς. » Τοῦτο οὐδεμία τῶν κατὰ τὴν οἰκουμένην ἔχει πόλεων, οὐδ' αὐτὴ ἡ Ῥωμύλου πόλις· διὰ τοῦτο πρὸς ἅπασαν τὴν οἰκουμένην ἀντιβλέψαι δύναται, διὰ τὸ φίλτρον τὸ περὶ τὸν Χριστὸν, διὰ τὴν παῤῥησίαν, διὰ τὴν ἀνδρείαν ἐκείνην. Βούλει καὶ ἕτερον ἀκοῦσαι τῆς πόλεως ἀξίωμα καὶ ἐγκώμιον; Λιμός ποτε χαλεπώτατος ἔμελλεν ἔσεσθαι, καὶ οἱ κατοικοῦντες ἐν Ἀντιοχείᾳ ὥρισαν, καθὼς εὐπορεῖτό τις, πέμψαι πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας ἐν Ἱεροσολύμοις. Ἰδοὺ καὶ δεύτερον ἀξίωμα, ἡ ἐν λιμῷ φιλοφροσύνη. Οὐ συνέστειλεν αὐτοὺς ὁ καιρὸς, οὐδὲ ὀκνηροτέρους ἐποίησεν ἡ τῆς συμφορᾶς προσδοκία· ἀλλ' ὅτε πάντες τὰ ἑτέρων συλλέγουσι, τότε ἐκεῖνοι τὰ ἑαυτῶν προΐεντο, οὐχὶ τοῖς παροῦσι μόνον, ἀλλὰ καὶ τοῖς πόῤῥω καθημένοις. Εἶδες πίστιν περὶ τὸν Θεὸν, καὶ ἀγάπην τὴν περὶ τὸν πλησίον; Βούλει καὶ ἕτερον μαθεῖν ἀξίωμα τῆς πόλεως

minaverunt, hinc sunt qui moribus ipsius crimen afferunt, suas voces saltantibus vendentes, et tribus obolis suam illis salutem propinantes, confundentes omnia. Propterea tristaris, carissime? Imo ideo et gaudere et lætari oportet et gratias Imperatori agere: quoniam ipsius ultio correctio est, et pœna eruditio, et ira doctrina. An quia balnea nobis occlusa sunt? Sed hoc non intolerabile; hoc vel invitos, lubricam et mollem et dissolutam degentes vitam ad philosophiam reducit. An quod civitatis abstulit dignitatem, nec amplius ipsam metropolim appellari permisit? Sed quid facere oportebat? laudare commissa, et gratias agere? Et quis ipsum non accusasset, quod non vel speciem aliquam indignantis præ se tulisset? Non cernis patres multa hujusmodi in filios suos facere? aversantur, et mensa prohibent. Hoc Imperator quoque fecit, tales imponens ultiones, quæ nullum quidem habent damnum, multam vero correctionem afferunt. Cogita quæ exspectavimus et quæ facta sunt, et tunc maxime sciemus Dei benignitatem. Doles quod civitatis dignitas ablata sit? disce quid tandem sit civitatis dignitas, et tunc manifeste scies quod, si habitatores ipsam non prodiderint, auferre poterit alius nemo civitatis dignitatem. Non quod metropolis sit, neque quod prædita sit magnitudine et ornatu ædificiorum, neque quod multas habeat columnas, et latas porticus, et deambulationes, neque quod ante alias civitates prædicetur; sed inhabitantium virtus et pietas, hæc est dignitas et ornatus et tutela civitatis, ita ut si hoc desit, omnium sit vilissima, licet infinitum ab Imperatoribus consequatur honorem.

Vis civitatis tuæ dignitatem discere? vis patria ipsius ornamenta nosse? dicam sedulo, non ut discas tantum, verum ut et imiteris. Quæ tandem est civitatis nostræ dignitas? (*Act.* 11. 26:) *Contigit primum Antiochiæ discipulos appellari Christianos*: hoc civitatum quæ sunt in mundo cunctarum habet nulla, nec ipsa Romuli civitas: propterea contra omnem terrarum orbem oculos erigere potest, quoniam erga Christum amoris ignem habet, propter fiduciam, propter virtutem illam. Vis et aliam civitatis audire dignitatem et laudem? (*Act.* 11. 28. 29.) Fames olim difficillima futura erat, et Antiochiam habitantes statuerunt, prout quisque abundabat in aliqua re, ad sanctos Hierosolyma habitantes aliquid mittere. Ecce et secundam dignitatem, in fame caritatem. Non contraxit ipsos tempus, nec segniores reddidit calamitatis exspectatio; sed quando omnes aliena colligunt, tunc illi sua emittebant, nec præsentibus tantum, verum et longe sedentibus. Vidisti fidem in Deum, et caritatem in proximum? Vis et

ταύτης; Κατῆλθόν τινες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἀντιόχειαν ἐπιθαλοῦντες τὸ κήρυγμα καὶ Ἰουδαϊκὰς παρεισάγοντες παρατηρήσεις· οὐκ ἤνεγκαν σιγῇ τὴν καινοτομίαν ἐκείνοι, οὐδὲ ἡσύχασαν· ἀλλὰ συνελθόντες καὶ ἐκκλησίαν ποιήσαντες, εἰς Ἱεροσόλυμα ἔπεμψαν Παῦλον καὶ Βαρνάβαν, καὶ παρεσκεύασαν τοὺς ἀποστόλους καθαρὰ δόγματα πάσης Ἰουδαϊκῆς [ἀπηλλαγμένα] ἀσθενείας πανταχοῦ διαπέμψασθαι τῆς οἰκουμένης. Τοῦτο πόλεως ἀξίωμα, τοῦτο προσδρία, τοῦτο μητρόπολιν αὐτὴν ποιεῖ, οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν τῷ οὐρανῷ· ὡς αἵ γε ἄλλαι πᾶσαι τιμαὶ φθαρταὶ καὶ ἐπίκηροι, καὶ τῷ παρόντι συγκαταλύονται βίῳ, πολλάκις δὲ καὶ πρὸ τοῦ παρόντος βίου τέλος λαμβάνουσι, καθάπερ οὖν καὶ νῦν ἔλαβον.

Ἐμοὶ πόλις μὴ ἔχουσα πολίτας θεοφιλεῖς πάσης κώμης ἐστὶν εὐτελεστέρα καὶ σπηλαίου παντὸς ἀτιμοτέρα. Καὶ τί λέγω περὶ πόλεως; Ἵνα γὰρ μάθῃς ἀκριβῶς ὅτι ἀρετὴ μόνη κοσμεῖ τοὺς ἐνοικοῦντας, οὐδέν σοι λέγω περὶ πόλεως, ἀλλ' ὃ πάσης πόλεως ἐστὶ σεμνότερον, τὸν τοῦ Θεοῦ ναὸν τὸν ἐν Ἱεροσολύμοις εἰς μέσον ἐνεγκὼν τοῦτο ἀποδεῖξαι πειράσομαι. Οὗτος γὰρ ὁ ναὸς, ἐν ᾧ θυσίαι καὶ εὐχαὶ καὶ λατρεῖαι, ἔνθα τὰ ἅγια τῶν ἁγίων, καὶ τὰ Χερουβὶμ, καὶ ἡ διαθήκη, καὶ ἡ στάμνος ἡ χρυσῆ, τὰ μεγάλα σύμβολα τῆς τοῦ Θεοῦ προνοίας τῆς περὶ τὸ γένος ἐκεῖνο, ἔνθα χρησμοὶ συνεχεῖς ἄνωθεν ἐφέροντο, ἔνθα προφῆται ἔνθεοι ἐγένοντο, ἔνθα οὐκ ἀνθρωπίνης τέχνης, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας ἡ διατύπωσις ἔργον ἐγίνετο, ἔνθα πολλῷ πάντοθεν οἱ τοῖχοι κατελάμποντο χρυσίῳ, καὶ πρὸς πᾶσαν ὑπερβολὴν καὶ ὕλης πολυτέλεια καὶ τέχνης ἀκρίβεια συνελθοῦσαι μόνον τοιοῦτον ἐπὶ τῆς γῆς ἔδειξαν ναὸν τότε· μᾶλλον δὲ οὐ τέχνης ἀκρίβεια μόνον, ἀλλὰ καὶ Θεοῦ σοφία τῆς οἰκοδομῆς συνεφήψατο ἐκείνης. Οὐ γὰρ οἴκοθεν οὐδὲ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ Θεοῦ πάντα μαθὼν ὁ Μωϋσῆς, καὶ τὴν ὑπογραφὴν ἐκ τῶν οὐρανῶν κατενεγκών, οὕτως αὐτὸν διεχάραξε καὶ ἀνέστησεν. Ἀλλ' ὅμως ὁ καλὸς οὗτος καὶ θαυμαστὸς [ναὸς] καὶ ἅγιος, τῶν χρωμένων αὐτῷ διαφθαρέντων, οὕτως ἠτιμώθη καὶ κατεφρονήθη καὶ γέγονε βέβηλος, ὡς πρό γε τῆς ἁλώσεως σπήλαιον αὐτὸν λῃστῶν καλεῖσθαι καὶ σπήλαιον ὑαίνης, μετὰ δὲ ταῦτα βαρβαρικαῖς καὶ ἀκαθάρτοις καὶ βεβήλοις παραδοθῆναι χερσί. Βούλει καὶ περὶ πόλεων τὸ αὐτὸ τοῦτο μαθεῖν; Τί τῶν ἐν Σοδόμοις πόλεων λαμπρότερον ἦν; καὶ γὰρ οἰκίαι καὶ οἰκοδομήματα λαμπρὰ καὶ τείχη παρ' αὐτοῖς ἦν, καὶ χώρα λιπαρὰ καὶ εὔγειος καὶ τῷ παραδείσῳ τοῦ Θεοῦ προσεοικυῖα· ἡ δὲ καλύβη τοῦ Ἀβραὰμ εὐτελὴς καὶ μικρὰ καὶ οὐδεμίαν ἀσφάλειαν ἔχουσα· ἀλλὰ πολέμου ποτὲ γενομένου βαρβαρικοῦ, τὰς μὲν πόλεις τὰς τειχήρεις κατέσκαψάν τε καὶ εἷλον οἱ βάρβαροι καὶ τοὺς ἐνοικοῦντας λαβόντες αἰχμαλώτους ἀπῆλθον, τὸν δὲ τῆς ἐρήμου πολίτην Ἀβραὰμ οὐκ ἤνεγκαν ἐπελθόντα· καὶ μάλα εἰκότως· τῆς γὰρ ἀπὸ τοῦ πλήθους καὶ τῶν τειχῶν ἀσφαλείας πολλῷ μείζονα εἶχε [δύναμιν] τὴν εὐ-

aliam civitatis hujus discere dignitatem? (*Act.* 15. 1.) Descenderunt quidam ex Judæa Antiochiam, perturbantes prædicationem, et Judaicas inducentes observationes. Non tacite tulerunt illi innovationem, nec acquieverunt, sed convenientes et ecclesiam facientes, Hierosolyma Paulum miserunt et Barnabam, et effecerunt ut apostoli dogmata a Judaica infirmitate pura quovis terrarum mitterent. Hæc est civitatis dignitas, hæc præstantia, hoc ipsam facit metropolim, non in terra, sed in cælo. Nam omnes alii honores corruptibiles sunt et caduci et cum præsenti vita solvuntur; frequenter autem et ante præsentem vitam finem habent: sicut et nunc utique habuerunt.

Mihi civitas non habens pios cives omni vico vilior est, et quacumque spelunca ignobilior. Et quid dico de civitate? Ut enim diligenter discas virtutem solam cives ornare, nihil tibi de civitate dico, sed quod est omni civitate venerabilius, Hierosolymitanum Dei templum in medium afferens, hoc demonstrare conabor. Hoc enim templum, in quo sacrificia et orationes et cultus, ubi sancta sanctorum, et Cherubim, et Testamentum, et urna aurea, magna indicia divinæ circa genus illud providentiæ; ubi oracula superne continua ferebantur, ubi prophetæ divino afflabantur numine: ubi non humanæ artis, sed divinæ sapientiæ typus erat; ubi multo parietes undique fulgebant auro, et supra omnem modum tum materiæ pretiosissima species, tum artis diligentia conjunctæ solum super terram templum hujusmodi tunc fuisse demonstraverunt: imo vero non artis tantum diligentia, verum et Dei sapientia simul illud ornavit ædificium. Non enim ex proprio nutu, nec a semetipso, sed a Deo cuncta Moses [*imo* Salomon] discens, et descriptionem cælitus referens, sic ipsum designavit, et erexit. Verumtamen templum tam pulchrum et mirabile et sanctum, utentibus ipso perditis, tantæ ignominiæ habitum est, sicque contemtum et profanum redditum, ut ante captivitatem quidem spelunca vocaretur latronum (*Matth.* 21. 13) et spelæum hyænæ; post hæc vero barbaricis et immundis et profanis manibus traditum sit. Vis et de civitate hoc idem discere? Quid Sodomis et conjunctis civitatibus fuit præclarius? etenim domus et ædificia splendida, et muri pulcherrimi apud ipsos erant, et regio pinguis et fertilis, et paradiso Dei assimilata; cella vero Abrahami vilis et parva, et nullum habens munimen: sed exorto quandoque bello barbarico, urbes quidem mœnibus munitas suffoderunt et ceperunt barbari, et incolas captivos abducentes abierunt; solitudinis autem civem Abraham ingruentem non tulerunt. Nec immerito; multitudinis enim et murorum munimine multo majorem vim habebat,

σίδειαν. Εἰ Χριστιανὸς εἶ, πόλιν οὐκ ἔχεις ἐπὶ τῆς γῆς· τῆς πόλεως ἡμῶν τεχνίτης καὶ δημιουργός ἐστιν ὁ Θεός· κἂν ἅπασαν λάβωμεν τὴν οἰκουμένην, ξένοι καὶ παρεπίδημοι πάσης ἐσμέν. Εἰς τὸν οὐρανὸν ἐνεγράφημεν, ἐκεῖ πολιτευόμεθα· μὴ κατὰ τὰ παιδία τὰ μικρὰ τῶν μεγάλων ὑπεροράντες, τὰ μικρὰ θαυμάζωμεν. Οὐ μέγεθος πόλεως, ἀλλ' ἀρετὴ ψυχῆς κόσμος ἐστὶ καὶ ἀσφάλεια· εἰ δὲ ἀξίωμα εἶναι νομίζεις πόλεως, ἐννόησον πόσοι πορνοκόποι, πόσοι μαλακοὶ καὶ διεφθαρμένοι [καὶ] μυρίων γέμοντες κακῶν κοινωνοῦσί σοι τῆς ἀξίας ταύτης, καὶ καταφρόνησόν ποτε τῆς τιμῆς [ταύτης]. Ἀλλ' οὐκ ἐκείνη τοιαύτη· καὶ γὰρ ἀδύνατον αὐτῆς μετασχεῖν τὸν μὴ πᾶσαν ἐπιδεικνύμενον ἀρετήν. Μὴ τοίνυν ἀνοηταίνωμεν, ἀλλὰ τότε ἀλγῶμεν, ὅταν τὸ ἀξίωμα ἡμῶν τῆς ψυχῆς ἀφέληταί τις, ὅταν ἁμαρτίαν ἐργασώμεθα, ὅταν τῷ κοινῷ πάντων Δεσπότῃ προσκρούσωμεν· ὡς τά γε νῦν γενόμενα οὐ μόνον οὐδὲν παραβλάψει τὴν πόλιν, ἀλλ' ἐὰν νήφωμεν, καὶ ὠφελήσει τὰ μέγιστα. Καὶ γὰρ γυναικὶ νῦν ἔοικεν ἡμῶν ἡ πατρὶς εὐσχήμονι καὶ ἐλευθέρᾳ καὶ σώφρονι· ὁ φόβος ἐπιεικεστέραν αὐτὴν καὶ σεμνοτέραν ἐποίησε καὶ τῶν μιαρῶν ἐκείνων τῶν τὰ γεγενημένα τολμησάντων ἀπήλλαξε. Μὴ τοίνυν γυναικώδεις θρηνῶμεν θρήνους· καὶ γὰρ ἤκουσα πολλῶν κατὰ τὴν ἀγορὰν λεγόντων, Οὐαί σοι Ἀντιόχεια, τί σοι γέγονε; πῶς ἠτιμώθης; καὶ ἀκούσας κατεγέλασα τῆς παιδικῆς τῶν ταῦτα λεγόντων διανοίας. Οὐ γὰρ νῦν ταῦτα λέγειν χρή, ἀλλ' ὅταν ἴδῃς ὀρχουμένους, μεθύοντας, ᾄδοντας, βλασφημοῦντας, ὀμνύντας, ἐπιορκοῦντας, ψευδομένους, τότε ταύτην ἐπίλεγε τὴν ῥῆσιν, Οὐαί σοι πόλις, τί σοι γέγονεν; ἂν δὲ ἴδῃς τὴν ἀγορὰν ὀλίγους ἔχουσαν ἄνδρας, ἐπιεικεῖς καὶ σώφρονας καὶ μετρίους, μακάριζε τὴν πόλιν ἐκείνην. Οὐδὲν γὰρ αὐτὴν ἡ ὀλιγότης παραβλάψαι [ποτὲ] δυνήσεται ἀρετῆς προσούσης, ὥσπερ οὖν τὸ πλῆθος οὐδὲν ὠφελήσει ποτὲ, κακίας οὔσης. « Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, φησὶν, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. » Οὐδέν με τὸ πλῆθος ὠφελῆσαι δυνήσεται, φησίν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἐταλάνισε πόλεις οὐ δι' ὀλιγότητα, οὐ διὰ τὸ μὴ εἶναι μητροπόλεις· καὶ τὴν Ἱερουσαλὴμ πάλιν δι' αὐτὸ τοῦτο ἐταλάνισεν οὕτω λέγων· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. » Τί γάρ μοι τοῦ πλήθους ὄφελος, εἰπέ μοι, ἂν κατὰ κακίας ᾖ πολιτευόμενον; τοὐναντίον μὲν οὖν καὶ βλάβος ἀπὸ τούτου γίνεται. Νῦν γοῦν τὰ γεγενημένα κακὰ τί ἄλλο εἰργάσατο; οὐχὶ ἡ ῥᾳθυμία καὶ ἡ ὀλιγωρία καὶ μοχθηρία τῶν ἐνοικούντων; μή τι τὸ ἀξίωμα τὴν πόλιν ὠφέλησε, μή τι τὸ μέγεθος τῆς οἰκοδομῆς, μή τι τὸ μητρόπολιν εἶναι; Εἰ δὲ παρὰ βασιλεῖ τῷ ἐπὶ τῆς γῆς οὐδὲν αὐτῆς τοῦτο ἁμαρτούσης προέστη, ἀλλὰ πάντα ἐκεῖνα ἀφῄρηται, πολλῷ μᾶλλον παρὰ τῷ Δεσπότῃ τῶν ἀγγέλων οὐδὲν αὐτῆς τὸ ἀξίωμα τοῦτο προστήσεται· οὐδὲν γὰρ ἡμᾶς ὠφελῆσαι δυνήσε-

pietatem scilicet. Si Christianus es, civitatem non habes super terram. Civitatis nostræ opifex et architectus est Deus : licet omnem capiamus orbem, hospites et peregrini totius sumus. In cælum adscripti sumus, illic conversamur : non puerorum more parvorum magna contemnentes, parva admiremur. Non civitatis magnitudo, sed animi virtus ornamentum est et munimentum. Si vero civitatis dignitatem esse putaveris magnitudinem, cogita quot lenones, quot molles et perditi, et innumeris pleni malis dignitati huic communicant, et tandem hunc contemne honorem. Sed non ille honor talis est : non enim ipsius partem capere licet illi, qui non omnem exhibeat virtutem. Ne igitur stulti fiamus, sed tunc doleamus, cum quis animæ nostræ dignitatem abstulerit, cum peccatis fuerimus operati, cum communem omnium Dominum offenderimus : siquidem quæ nunc patrata sunt, non tantum nihil lædent civitatem, sed si sobrii simus, maxime etiam adjuvabunt. Etenim nunc civitas nostra mulieri formosæ et liberæ et modestæ similis esse videtur. Timor ipsam fecit mansuetiorem et honestiorem, et a sceleratis illis, qui hæc nefanda sunt ausi facinora, liberavit. Ne igitur muliebri ploremus luctu : etenim multos per forum dicentes audivi : Væ tibi, Antiochia! quid tibi factum est? quomodo es honore privata? et cum audissem, puerilem talia dicentium mentem derisi. Non enim hæc nunc oportet dicere, sed cum saltantes videris, ebrios, cantantes, blasphemantes, jurantes, pejerantes, mentientes, tunc his utere verbis : Væ tibi, civitas! quid tibi factum est? si vero forum videris paucos habens viros, mansuetos eos et modestos et decentes, civitatem illam voca beatam. Nihil enim ipsam paucitas lædere poterit unquam, quando non deest virtus : sicut contra, nihil unquam proderit multitudo, quando adest malitia. *Si fuerit numerus filiorum Israel*, inquit (*Isai.* 10. 22. *Rom.* 9. 27), *velut arena maris, reliquiæ salvabuntur.* Nihil me multitudo poterit exorare, inquit. Sic et Christus fecit, vocavit civitates miseras, non propter paucitatem, neque quoniam non essent metropoles; et Jerusalem rursum propter hoc ipsum miseram dixit, sic inquiens (*Matth.* 23. 37) : *Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos, qui ad te missi sunt.* Quam enim mihi confert utilitatem multitudo, dic mihi, si vitiose vivat? Quin e contrario et damnum ex hoc nascitur. Quid enim aliud nunc illata mala fecit? nonne torpor et contemtus, et inhabitantium improbitas? numquid dignitas civitati profuit? numquid ædificiorum magnitudo? numquid esse metropolim? Si vero apud regem terræ nihil ipsi prævaricatæ hoc profuit, sed illa cuncta sublata sunt : multo magis apud angelorum Dominum nihil ipsi proderit dignitas ista : nihil enim nos illo

ται κατὰ τὴν ἡμέραν ἐκείνην τὸ μητρόπολιν οἰκεῖν καὶ στοὰς ἔχουσαν εὐρείας καὶ τὰ ἄλλα ἀξιώματα τὰ τοιαῦτα. Καὶ τί λέγω κατὰ τὴν ἡμέραν ἐκείνην; εἰς γὰρ τὸν παρόντα βίον τί σε ὠφελῆσαι δυνήσεται τὸ μητρόπολιν εἶναί σου τὴν πόλιν; ἆρα οἰκίαν τις κακῶς διακειμένην ἀπὸ τούτου διώρθωσεν, ἢ πρόσοδόν τινα ἔσχεν ἀπὸ τῆς ἀξίας ταύτης, ἢ ἀθυμίαν ἀπεκρούσατο ἢ σώματος ἀῤῥωστίαν [ἔλυσεν], ἢ κακίαν ψυχῆς ἀπέθετο; Μὴ παίζωμεν, ἀγαπητοί, μηδὲ πρὸς τὰς τῶν πολλῶν ὑπολήψεις βλέπωμεν, ἀλλὰ μάθωμεν τί ποτ' ἐστὶ πόλεως ἀξίωμα, τί ποτ' ἐστὶ τὸ ποιοῦν πόλιν μητρόπολιν.

Ταῦτα λέγω προσδοκῶν μὲν πάλιν ἀπολήψεσθαι καὶ τοῦτο τὴν πόλιν τὸ σχῆμα καὶ ἐπὶ τῆς οἰκείας φανεῖσθαι προεδρίας· καὶ γὰρ φιλάνθρωπος ὁ βασιλεὺς καὶ θεοφιλής· βούλομαι δὲ ὑμᾶς, εἰ καὶ ἀποδοθείη, μὴ μέγα ἐπὶ τούτῳ φρονεῖν μηδὲ ἐγκαλλωπίζεσθαι, μηδὲ ἐκ τούτων τὴν πόλιν ἡμῖν σεμνύνειν. Ὅταν ἐθέλῃς τῆς πόλεως εἰπεῖν ἐγκώμιον, μή μοι τὴν Δάφνην εἴπῃς τὸ προάστειον, μηδὲ τὸ πλῆθος καὶ μῆκος τῶν κυπαρίσσων, μηδὲ τὰς πηγὰς τῶν ὑδάτων, μηδὲ τὸ πολλοὺς τὴν πόλιν οἰκεῖν ἀνθρώπους, μηδὲ τὸ μέχρι βαθυτάτης ἑσπέρας ἐπὶ τῆς ἀγορᾶς διατρίβειν μετὰ ἀδείας πολλῆς, μηδὲ τῶν ὠνίων τὴν ἀφθονίαν· αἰσθητὰ ἅπαντα ταῦτα καὶ μέχρι τοῦ παρόντος μένοντα βίου· ἀλλ' ἐὰν ἔχῃς εἰπεῖν ἀρετὴν, ἐπιείκειαν, ἐλεημοσύνην, παννυχίδας, (εὐχὰς,) σωφροσύνην, φιλοσοφίαν ψυχῆς, ἀπὸ τούτων κόσμει τὴν πόλιν. Ταῦτα καὶ τοῖς τὴν ἔρημον οἰκοῦσι προσόντα πάσης πόλεως λαμπροτέραν αὐτὴν ποιεῖ, καὶ πόλιν πάντων εὐτελεστέραν, ἂν μὴ παρῇ τοῖς ἐκείνης πολίταις. Τοῦτο μὴ ἐπὶ πόλεως μόνον, ἀλλὰ καὶ ἐπ' ἀνθρώπων ποιῶμεν. Ἂν ἴδῃς ἄνθρωπον πολυσαρκοῦντα, εἰς εὐξίαν πολλὴν ἐκβεβηκότα, ὑψηλὸν καὶ τοὺς ἄλλους ὑπερβαίνοντα τῷ μήκει τοῦ σώματος, μὴ θαυμάσῃς, ἕως ἂν αὐτοῦ τὴν ψυχὴν καταμάθῃς. Μὴ ἀπὸ τῆς ἔξωθεν εὐμορφίας, ἀλλ' ἀπὸ τοῦ κατὰ τὴν διάνοιαν κάλλους μακαρίζωμεν ἅπαντας. Μικρὸς ἦν ὁ Δαυὶδ καὶ βραχὺς τὸ σῶμα, ἀλλ' ὅμως ὁ βραχὺς ἐκεῖνος καὶ μικρὸς, καὶ τῶν ὅπλων γεγυμνωμένος ἁπάντων, στρατόπεδον τοσοῦτον καὶ τὸν σάρκινον ἐκεῖνον πύργον ἀπὸ μιᾶς κατήνεγκε πληγῆς, οὐκ ἀκοντίσας δόρυ, οὐδὲ βέλος ἀφεὶς, οὐδὲ ξίφος γυμνώσας, ἀλλὰ μικρᾷ βώλῳ τὸ πᾶν ἐργασάμενος. Διὰ τοῦτο καί τις παραινεῖ λέγων, « Μὴ ἐπαινέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ, μηδὲ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ· μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμῶν ὁ καρπὸς αὐτῆς. » Τοῦτο καὶ περὶ πόλεων καὶ ἀνδρῶν λέγωμεν, καὶ πρὸς ἀλλήλους φιλοσοφῶμεν, καὶ τῷ Θεῷ χάριν ἔχωμεν διηνεκῶς καὶ ὑπὲρ τῶν παρόντων καὶ ὑπὲρ τῶν παρελθόντων, καὶ παρακαλῶμεν αὐτὸν κοινῇ μετ' ἐκτενείας ἁπάσης, ὥστε καὶ τοὺς τὸ δεσμωτήριον οἰκοῦντας καὶ τοὺς [εἰς] τὴν ἀλλοτρίαν μετοικίζεσθαι μέλλοντας τοὺς μὲν ἀφεθῆναι, τοὺς δὲ ἐπανελθεῖν. Μέλη ἡμῶν εἰσι κἀκεῖνοι, μεθ' ἡμῶν ἐκλυδωνίσθησαν, μεθ' ἡμῶν

die poterit adjuvare, quod metropolim habitemus, portiens latas habentem et alias hujusmodi dignitates. Et quid dico illum diem? quid vel ad presentem vitam prodesse poterit, civitatem esse tibi metropolim? numquid ex hoc domum quisquam male dispositam correxit, vel ex hac ullum dignitate proventum habuit, vel tristitiam repulit, vel corporis ægritudinem, vel animi vitium deposuit? Ne ludamus, dilecti, nec ad vulgi opiniones respiciamus, sed discamus quæ tandem sit civitatis dignitas, quid quod civitatem reddat metropolim.

Hæc dico, sperans quidem civitatem hanc formam priorem resumturam, et in propria futuram præsidentia; humanus enim et pius est Imperator : volo autem vos, etiam si reddita illa fuerit, non altum ob hoc sapere, neque gloriari, nec ex his civitatem nobis magnifice efferre. Cum vis civitatis laudem efferre, ne mihi Daphnen suburbium dicas, nec altitudinem cupressorum et multitudinem, nec aquarum fontes, nec multos homines civitatem habitare, nec usque ad profundissimam vesperam cum multa libertate in foro versari, nec venalium rerum copiam habere, sensibilia hæc omnia cum sint et usque ad præsentem permaneant vitam; sed si dicere potsis virtutem, mansuetudinem, eleemosynam, nocturnas vigilias (ad orationes), modestiam, animi sapientiam, ex istis civitatem commenda. Hæc si et eremum habitantibus adsint, omni civitate splendidiorem ipsam faciunt, et contra civitatem omnium vilissimam, si hæc non adsint civibus ejus. Hoc non in civitate tantum, verum et in hominibus faciamus. Si hominem videris corpulentum, in habitudinem multam progressum, altæ staturæ et alios corporis procritate superantem, ne admireris, donec animum ejus didiceris. Ne ab exteriori pulchritudine, sed a mentis ornatu omnes beatos censeamus. Parvus erat David, et brevis staturâ, verumtamen brevis ille et parvus, et armis nudus omnibus, exercitum tantum et carneam turrim illam uno prostravit ictu, non hastam jaculatus, neque sagittam mittens, nec ensem stringens, sed totum modico lapidis jactu perficiens : ideo quidam admonet dicens (*Eccli.* 11. 2. 3), *Ne laudaveris hominem in specie ejus, nec abomineris virum in aspectu ejus : parva inter volatilia apis, et initium dulcoris ipsius fructus.* Hoc et de civitatibus et hominibus dicamus, et inter nos philosophemur, ac Deo gratias habeamus assidue et de præsentibus et de præteritis, et simul ipsum rogemus cum omni contentione, ut et carcerem habitantes, et in exsilium transportandi, illi quidem dimittantur, hi vero revertantur. Membra nostra sunt et illi, nobiscum fluctuati sunt, nobiscum procellam sustinuerunt : rogemus igitur benignitatem divinam, ut nobiscum tranquillitatem assequantur.

τὸν χειμῶνα ὑπέστησαν· παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον Θεὸν μεθ' ἡμῶν αὐτοὺς ἀπολαῦσαι τῆς γαλήνης. Μὴ λεγέτω τις, Τί δέ μοι μέλει λοιπόν; ἀπηλλάγην τοῦ κινδύνου, ἀπολλύσθω ὁ δεῖνα, διαφθείρέσθω ἕτερος. Μὴ παροξύνωμεν τὸν Θεὸν διὰ τῆς ὑπεροψίας ταύτης, ἀλλ' ὡς αὐτοὶ ὄντες ἐν τοῖς δεινοῖς, οὕτως ὀδυνώμεθα, οὕτω τὸν Θεὸν μετὰ ἐκτενείας παρακαλῶμεν, τὸν Παύλου πληροῦντες λόγον· « Τοῖς δεσμίοις ὡς συνδεδεμένοι, τοῖς κακουχουμένοις ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι », καὶ « Κλαίοντες μετὰ κλαιόντων, τοῖς ταπεινοῖς συναπαγόμενοι. » Τοῦτο καὶ ἡμᾶς αὐτοὺς ὠφελήσει τὰ μέγιστα· οὐδὲν γὰρ οὕτω τὸν Θεὸν εὐφραίνειν εἴωθεν, ὡς τὸ μετὰ πολλῆς προθυμίας ἀλγεῖν ὑπὲρ τῶν μελῶν τῶν ἡμετέρων. Παρακαλῶμεν τοίνυν αὐτὸν κοινῇ καὶ ὑπὲρ τῶν παρόντων καὶ ὑπὲρ τῶν μελλόντων, ὥστε κἀκείνης ἡμᾶς ἐξαρπάσαι τῆς κολάσεως. Τὰ μὲν γὰρ παρόντα οἷα ἂν ᾖ, φορητά τ' ἐστὶ καὶ τέλος ἔχει· τὰ δ' ἐκεῖ βασανιστήρια ἀθάνατά τε καὶ ἄφυκτα. Μετὰ δὲ τῆς παρακλήσεως καὶ αὐτοὶ σπουδάζωμεν μηκέτι τοιούτοις περιπίπτειν ἁμαρτήμασιν, εἰδότες ὅτι λοιπὸν οὐδὲ συγγνώμης ἀπολαῦσαι δυνάμεθα. Κοινῇ τοίνυν προσπίπτωμεν ἅπαντες τῷ Θεῷ καὶ ἐνταῦθα ὄντες καὶ κατ' οἴκους γινόμενοι, καὶ λέγωμεν, « Δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, » ὅτι ἐν ἀληθινῇ κρίσει ἐπήγαγες ὅσα ἐπήγαγες. Εἰ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου, καὶ μὴ συγχωρήσῃς μηκέτι τοιούτων πεῖραν δεινῶν λαβεῖν, μηδὲ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Nemo dicat : Quæ vero mihi cura amplius est? liberatus sum ipse periculo, pereat ille, moriatur alter. Ne Deum exacerbemus per hanc aspernationem ; sed tamquam ipsi simus in adversis, sic doleamus, sic Deum cum sedulitate precemur, illud Pauli dictum implentes (*Hebr.* 13. 3) : *Cum vinctis tamquam simul vincti, cum male habentibus tanquam et ipsi simus in corpore ;* et (*Rom.* 12. 15. 16), *Flentes cum flentibus, humilibus consentientes.* Hoc et nobis ipsis maxime proderit : nihil enim sic Deum delectare consuevit, sicut cum multa alacritate pro membris nostris dolemus. Oremus igitur ipsum simul et pro præsentibus et pro futuris, ut et ab illa nos pœna eripiat. Præsentia enim, qualiacumque sunt, tolerabilia sunt, et finem habent ; illa vero tormenta immortalia et inevitabilia. Præter consolationem vero studeamus et ipsi non amplius talibus labi peccatis, scientes nos ultra veniam non assequuturos. Simul igitur ante Deum procidamus omnes, et dum hic sumus, et domum profecti dicamus (*Dan.* 3. 27—35) : Justus es, Domine, in omnibus quæ fecisti nobis : quoniam in vero judicio induxisti quæcumque induxisti. Si peccata nostra obstiterint nobis, fac nobis propter nomen tuum, et ne concedas amplius talium nos molestiarum experientiam capere, (*Matth.* 6. 13) *Nec nos inducas in tentationem, sed libera nos a malo* : quoniam tuum est regnum et potentia, et gloria in sæcula. Amen.

ΟΜΙΛΙΑ ΙΗ'.

Εἰς τὴν προειρημένην ὑπόθεσιν τῆς στάσεως, καὶ περὶ νηστείας, καὶ εἰ τὸ ἀποστολικὸν ῥητὸν, « Χαίρετε ἐν Κυρίῳ πάντοτε. »

HOMILIA XVIII.

In prædictum seditionis argumentum, de jejunio, et in apostolicum dictum, *Gaudete in Domino semper*.

Πολλοὺς εἶδον χαίροντας καὶ πρὸς ἀλλήλους λέγοντας, Ἐνικήσαμεν, ἐκρατήσαμεν, ἐξεπανήθη τῆς νηστείας τὸ ἥμισυ. Τοὺς δὲ τοιούτους παρακαλῶ μὴ διὰ τοῦτο χαίρειν ὅτι ἐξεπανήθη τῆς νηστείας τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐξεπανήθη τὸ ἥμισυ, καὶ τότε ἀγάλλεσθαι· τοῦτο γὰρ ἡδονῆς ἄξιον, τοῦτό ἐστι τὸ ζητούμενον καὶ δι' ὃ πάντα γίνεται, ἵνα τὰ ἐλαττώματα ἡμῶν διορθώσωμεν, ἵνα μὴ τοιοῦτοι ἐξέλθωμεν ἀπὸ νηστείας οἷοι εἰσήλθομεν εἰς νηστείαν, ἀλλ' ἀπονιψάμενοι καὶ πάντα ἀποθέμενοι τὰ τῆς πονηρᾶς συνηθείας, οὕτω τὴν ἱερὰν ἀγάγωμεν ἑορτήν· ὡς ἂν μὴ τοῦτο ᾖ, οὐ μόνον οὐδὲν ἡμῖν ἔσται κέρδος, ἀλλὰ καὶ βλάβος μέγιστον τῆς νηστείας ἐξεπανηθείσης. Μὴ τοίνυν χαίρωμεν ὅτι διηνύσαμεν τῆς νηστείας τὸ μῆκος· τοῦτο γὰρ οὐδὲν μέγα ἐστίν· ἀλλὰ χαίρωμεν ὅταν μετὰ κατορθωμάτων αὐτὸ διανύσωμεν, ἵνα καὶ ἀπελθούσης ταύτης ὁ ταύτης διαλάμπῃ καρπός. Καὶ

I. Multos vidi gaudentes et inter se dicentes : Vicimus, superavimus, jejunii dimidium profligatum est. Tales autem hortor non propterea gaudere, quia profligatum sit jejunii dimidium, sed illud considerare, si peccatorum sit profligatum dimidium ; et tunc exsultare : hoc enim voluptate dignum, hoc est quod quæritur, et propter quod facta sunt omnia, ut defectus nostros corrigamus, ne tales exeamus de jejunio, quales ingressi sumus jejunium, sed abluti, et omni mala consuetudine deposita, sic sacram agamus solemnitatem. Si hoc desit, non tantum nulla nobis erit utilitas, verum et maximum ex consummato jejunio damnum. Ne igitur lætemur quod jejunii prolixitatem expeditimus : nihil enim magnum hoc est ; sed lætemur quando cum bonis operibus ipsum exegerimus, ut etiam ipso transacto, fructus ipsius effulgeat. Etenim hyemis,

γὰρ τοῦ χειμῶνος ἀπελθόντος μένει τὸ τοῦ χειμῶνος κέρδος, καὶ τότε μάλιστα δείκνυται, ὅταν ἐκεῖνος παρέλθῃ· καὶ γὰρ κομῶντα τὰ λήϊα καὶ φύλλοις καὶ καρποῖς τὰ δένδρα βρύοντα [διὰ τῆς ὄψεως] βοᾷ τὴν ἐκ τοῦ χειμῶνος γενομένην ὠφέλειαν αὐτοῖς. Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν γινέσθω. Καὶ γὰρ ὑετῶν συνεχῶν καὶ ἐπαλλήλων ἀπελαύσαμεν ἐν τῷ χειμῶνι, κατὰ τὸν τῆς νηστείας καιρὸν διηνεκοῦς μεταδιώκοντες διδασκαλίας, καὶ σπέρματα ὑπεδεξάμεθα πνευματικά, καὶ τὰς ἀκάνθας τῆς τρυφῆς ἀπετέμομεν. Μένωμεν τοίνυν ἅπερ ὑπεδεξάμεθα τηροῦντες μετ' ἀκριβείας, ἵνα καὶ τῆς νηστείας ἀπελθούσης ὁ τῆς νηστείας βρύῃ καρπός, καὶ διὰ τῶν ἀγαθῶν ὧν ἐκαρπωσάμεθα ἀπὸ τῆς νηστείας, καὶ αὐτῆς μνημονεύωμεν τῆς νηστείας. Ἐὰν οὖν οὕτως ἑαυτοὺς παρασκευάσωμεν, προσιοῦσαν αὐτὴν μεθ' ἡδονῆς δεξόμεθα πάλιν. Καὶ γὰρ οὕτω πολλοὺς ὁρῶ μικροψύχους ἔχοντας, ὡς ἐν τῷ παρόντι περὶ τῆς μελλούσης μεριμνᾶν τεσσαρακοστῆς, καὶ πολλῶν ἤκουσα λεγόντων ὅτι μετὰ τὴν τῆς νηστείας ἀπαλλαγὴν οὐκ αἰσθάνονται τῆς ἡδονῆς τῆς ἐκ τῆς ἀνέσεως διὰ τὴν φροντίδα τοῦ μέλλοντος ἐνιαυτοῦ. Τί γένοιτ' ἂν τούτων μικροψυχότερον, εἰπέ μοι; Τί δὲ τὸ αἴτιον τούτου ἐστίν; Ὅτι νηστείας παραγενομένης οὐχ ὅπως τὰ κατὰ ψυχὴν εὖ διατεθείη σπουδάζομεν, ἀλλ' ἐν τῇ τῶν σιτίων ἀποχῇ μόνον αὐτὴν ὁριζόμεθα· ὡς εἰ μέγα τι εἰς τὴν τῶν τρόπων διόρθωσιν ἀπ' αὐτῆς ἐκαρπωσάμεθα, κἂν ηὐξάμεθα καθ' ἑκάστην ἡμέραν παραγίνεσθαι τὴν νηστείαν, δι' αὐτῶν τῶν ἔργων αἴσθησιν λαμβάνοντες τῶν κατορθωμάτων αὐτῆς, καὶ οὐκ ἄν ποτε τὴν ἐπιθυμίαν αὐτῆς ἐξεβάλομεν, οὐκ ἂν προσδοκωμένης αὐτῆς ἐγενόμεθα κατηφεῖς καὶ ἐναγώνιοι. Τὸν γὰρ κατὰ διάνοιαν εὖ διακείμενον καὶ τῆς ψυχῆς ἐπιμελόμενον τῆς ἑαυτοῦ οὐδὲν ὅλως τῶν ὄντων ὀλίψαι δυνήσεται, ἀλλ' ἀπολαύσεται καθαρᾶς ἡδονῆς καὶ διηνεκοῦς· καὶ ὅτι τοῦτ' ἐστὶν ἀληθές, ἠκούσατε Παύλου σήμερον παραινοῦντος ἡμῖν καὶ λέγοντος, « Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. » Καὶ οἶδα μὲν ὅτι πολλοῖς ἀδύνατον εἶναι δοκεῖ τὸ λεγόμενον· πῶς γὰρ οἷόν τε, φησὶν, ἄνθρωπον ὄντα χαίρειν διηνεκῶς; Τὸ μὲν γὰρ χαίρειν οὐ δύσκολον, τὸ δὲ διηνεκῶς χαίρειν, τοῦτο καὶ ἀδύνατον εἶναί μοι δοκεῖ, ἴσως εἴποι τις ἄν· πολλαὶ γὰρ ἀθυμίας ἡμᾶς ἀνάγκαι περιστοιχίζονται. Ἢ γὰρ παῖδά τις ἀπέβαλεν, ἢ γυναῖκα, ἢ φίλον γνήσιον, παντὸς συγγενοῦς ἀναγκαιότερον, ἢ ζημίαν ὑπέστη χρημάτων, ἢ νόσῳ περιέπεσεν, ἢ περίστασιν πραγμάτων ὑπέμεινεν ἑτέραν, ἢ παρ' ἀξίαν ὑβρισθεὶς ἤλγησεν, ἢ λιμὸς, ἢ λοιμὸς, ἢ εἴσπραξις ἀφόρητος, ἢ κατὰ τὴν οἰκίαν πράγματα· μᾶλλον δὲ οὐκ ἂν φθάνοιμεν ἅπαντα καταλέγοντες ὅσα καὶ ἰδίᾳ καὶ δημοσίᾳ λυπεῖν ἡμᾶς εἴωθεν. Πῶς οὖν δυνατὸν, φησὶ, πάντοτε χαίρειν; Δυνατὸν μὲν οὖν, ὦ ἄνθρωπε· καὶ εἰ μὴ δυνατὸν ἦν, οὐκ ἂν ὁ Παῦλος παρήνεσεν, οὐδ' ἂν συνεβούλευσεν ἄνθρωπος πνευματικῆς ἀπολαύων σοφίας. Καὶ διὰ τοῦτο συνεχῶς ὑμῖν ἔλεγον, καὶ λέγων οὐ παύσομαι, ὅτι ἃ μηδὲ

etiam cum abiit, manet lucrum, et tunc maxime demonstratur, quando illa præterierit: namque vernantes segetes, et foliis ac fructibus affluentes arbores per ipsum aspectum clamant utilitatem sibi ex hyeme factam. Hoc et in nobis pariter fiat. Etenim pluviis continuis et crebris in hyeme potiti sumus, per jejunii tempus continuam haurientes doctrinam, et semina suscepimus spiritualia, et deliciarum spinas abscidimus. Perseveremus igitur, quæ suscepimus cum diligentia servantes, ut et jejunio præterito jejunii scaturiat fructus, et per bona quæ de jejunio cepimus, etiam ipsius jejunii recordemur. Si nos igitur sic comparemus, adveniens jejunium cum voluptate suscipiemus denuo. Multos etenim video se ita pusillanimiter habentes, ut in præsenti de futura solliciti sint quadragesima, multosque dicentes audivi, se post jejunii liberationem non sentire voluptatem ex remissione propter futuri anni sollicitudinem. Quid his, quæso, magis esse posset pusillanime? Quæ vero hujus rei causa? Quod adveniente jejunio non quomodo bene disponatur anima studeamus, sed in sola ciborum abstinentia ipsum definiamus. Itaque si multum in morum correctione ab ipso lucraremur, quotidie jejunium adesse optaremus, per ipsa opera ejus meritorum sensum capientes, nec umquam ipsius desiderium ejiceremus, numquam ipsum exspectantes tristes fieremus et anxii. Mente quippe bene dispositum et animæ suæ curam habentem nulla omnino res contristare poterit, sed is pura continuaque fruetur voluptate. Et quod hoc sit verum, hodie Paulum audistis nos admonentem et dicentem (*Philipp.* 4. 4), *Gaudete in Domino semper, iterum dico, gaudete.* Scimus multis videri non posse fieri quod dictum est. « Quomodo namque fieri potest, inquit, ut qui homo est, semper gaudeat? Gaudere namque non difficile, perpetuo autem gaudere, impossibile mihi esse videtur, dicet fortasse aliquis: multæ enim nos tristitiæ necessario circumcursant. Vel enim filium quis amisit, vel uxorem, vel amicum sincerum, magis quam ullus consanguineus necessarium, vel pecuniarum jacturam fecit, vel in ægritudinem incidit, vel alium in rebus sustinuit casum, vel præter dignitatem contumeliam passus indoluit; vel fames accidit, vel pestis, vel exactio quæ ferri non potest, vel familiaria negotia: quinimo numquam omnia recensere possemus, quæcumque et privatim et publice nos mœrore afficere consueverunt. Quomodo igitur, inquit, possibile semper gaudere? Possibile admodum, o homo: et si possibile non esset, non admonuisset Paulus, nec consuluisset, cum vir spirituali esset præditus sapientia. Idcirco frequenter hoc vobis dicebam, et dicere non desinam: quæ

δαμοῦ μηδὲ παρ' ἑτέρων τινῶν ἔστι μαθεῖν, ταῦτα ἐνταῦθα ὑμῖν ἔξεστι φιλοσοφεῖν.

Ἡδονῆς μὲν γὰρ καὶ τοῦ χαίρειν ἐπιθυμοῦσιν ἅπαντες, καὶ διὰ τοῦτο πάντα ποιοῦσι καὶ λέγουσι καὶ πραγματεύονται. Καὶ γὰρ ἔμπορος διὰ τοῦτο πλεῖ, ἵνα χρήματα συναγάγῃ· χρήματα δὲ συνάγει, ἵνα ἔχων ἀποκείμενα χαίρῃ· καὶ ὁ στρατευόμενος διὰ τοῦτο στρατεύεται, καὶ ὁ γεωργὸς διὰ τοῦτο γεωργεῖ, καὶ τέχνην ἕκαστος διὰ τοῦτο μέτεισι, καὶ ἀρχῆς οἱ ἐρῶντες διὰ τοῦτο ἐρῶσιν, ἵνα δόξης ἀπολαύωσι, δόξης δὲ ἀπολαύειν βούλονται, ἵνα χαίρωσι· καὶ πρᾶγμα ἕκαστον πρὸς τοῦτο ἴδοι τις ἂν ἐπειγόμενον ἡμῖν τὸ τέλος, καὶ πρὸς τοῦτο ἕκαστος βλέπων διὰ πολλῶν τῶν μέσων ἐπ' αὐτὸ σπεύδει βαδίζειν. Εὐθυμίας μὲν οὖν, ὅπερ ἔφην, ἐρῶσι πάντες, ἐπιτυχεῖν δὲ οὐχ ἅπαντες δύνανται· οὐ γὰρ ἴσασι τὴν ἐκεῖ φέρουσαν ὁδόν· ἀλλὰ πολλοὶ νομίζουσιν ὅτι τὸ πλουτεῖν αἴτιον τούτου γίνεται. Εἰ δὲ τοῦτο αἴτιον ἦν, οὐδεὶς ἂν τῶν χρήματα κεκτημένων ἠθύμησέ ποτε· νῦν δὲ πολλοὶ τῶν πλουτούντων ἀβίωτον εἶναι τὸν βίον νομίζουσι, καὶ θανάτους μυρίους εὔχονται, ἐπειδάν δυσημερίας τινὸς αἴσθωνται, καὶ οἱ σφόδρα ἀθυμοῦντες, οὗτοι μάλιστα πάντων εἰσί. Μὴ γάρ μοι τὰς τραπέζας αὐτῶν ἴδῃς, [μηδὲ τοὺς κόλακας αὐτῶν καὶ τοὺς παρασίτους,] ἀλλὰ τὰ ἐξ αὐτῶν τικτόμενα πράγματα, τὰς ἐπηρείας, τὰς συκοφαντίας, τοὺς κινδύνους, τὰς ἀγωνίας, καὶ ὃ τούτου πολλῷ χαλεπώτερον, ὅτι καὶ ἀμελέτητοι πρὸς ταύτας ἐρχόμενοι τὰς μεταβολὰς, φιλοσοφεῖν οὐκ ἐπίστανται οὐδὲ γενναίως τὰ συμπίπτοντα φέρειν. Διόπερ οὐδὲ τοιαῦτα αὐτοῖς φαίνεται τὰ δεινὰ, οἷάπερ ἐστὶ τῇ φύσει, ἀλλὰ καὶ τὰ κοῦφα ἀφόρητα λοιπὸν εἶναι δοκεῖ. Ὥσπερ οὖν ἐπὶ τῶν πενήτων τοὐναντίον γίνεται, καὶ τὰ ἀνήκεστα φορητὰ φαίνεται τῷ πολλὰ τοιαῦτα ἔμπροσθεν αὐτοὺς μεμελετηκέναι· οὐ γὰρ οὕτως ἡ τῶν πραγμάτων φύσις, ὡς ἡ τῶν πασχόντων διάθεσις, καὶ μεγάλα καὶ μικρὰ ποιεῖ φαίνεσθαι τὰ ἐπιόντα ἡμῖν κακά.

Καὶ ἵνα μὴ πόρρωθεν ἀγάγω τὸ παράδειγμα ἑκατέρων τούτων, ἀπὸ τῶν συμβάντων ἡμῖν διαλέξομαι. Ἰδοὺ γοῦν οἱ μὲν πένητες διέφυγον ἅπαντες, καὶ ὁ δῆμος ἀπήλλακται τοῦ κινδύνου, καὶ ἀδείας ἀπολαύομεν καθαρᾶς· οἱ δὲ τὰ τῆς πόλεως πράγματα πράττοντες, ἱπποτρόφοι καὶ ἀγωνοθέται καὶ τὰς ἄλλας λειτουργίας λειτουργήσαντες, οὗτοι τὸ δεσμωτήριον οἰκοῦσι νῦν καὶ περὶ τῶν ἐσχάτων δεδοίκασι, καὶ τῶν ἅπασι τετολμημένων αὐτοὶ τὰς εὐθύνας ὑπέχουσι, καὶ φόβῳ συζῶσι διηνεκεῖ, καὶ πάντων ἀθλιώτερον ἐκεῖνοι διάκεινται νῦν, οὐ διὰ τὸ μέγεθος τῶν κινδύνων, ἀλλὰ διὰ τὸ τρυφῇ τὸν ἔμπροσθεν χρόνον συνεζηκέναι. Πολλοὶ γοῦν παρ' ἡμῶν παρακαλούμενοι καὶ γενναίως φέρειν συμβουλευόμενοι τὰ δεινὰ, τοῦτο ἔλεγον, ὅτι Οὐδὲν οὐδέποτε τοιοῦτον ἐμελετήσαμεν, οὐδὲ ἐπιστάμεθα τοιαῦτα φιλοσοφεῖν· διὰ τοῦτο πολλῆς δεόμεθα τῆς παρακλήσεως. Ἕτεροι πάλιν νομίζουσιν ὅτι τὸ ὑγιαίνειν, τοῦτό ἐστιν αἴτιον ἡδονῆς· οὐκ ἔστι δέ. Πολλοὶ

nullatenus ab aliis quibuscumque disci possunt, hæc vobis licet hic philosophari.

Voluptatem quærunt 6 gaudere cupiunt omnes, et propter hoc omnia faciunt et dicunt et negotiantur. Etenim mercator ideo navigat, ut pecunias congreget; congregat autem pecunias, ut habens repositas gaudeat: et qui militat, ideo militat, et agricola ideo terram colit, et artem quisque suam propterea tractat: et dominationis cupidi ideo cupiunt, ut gloria fruantur; gloria vero frui volunt, ut gaudeant: et negotium quodque ad hunc finem nobis tendere quis viderit: et ad hunc quisque respiciens, per multa media ad ipsum ire festinat. Lætitiam quippe, quod dixi, amant omnes, assequi vero non omnes possunt: nesciunt enim viam eo ducentem; sed multi putant quod divitiis affluere hujus sit causa. Si hæc autem causa fuisset, nemo pecunias possidentium unquam fuisset dolore pressus; nunc vero divitum multi vitam non vitalem esse putant, et innumeras mortes exoptant, cum aliquam adversitatem senserint, et hi sunt qui maxime omnium dolent. Ne mihi quippe mensas ipsorum respexeris, nec assentatores et parasitos, sed res ex ipsis orientes, infestationes et calumnias, pericula, anxietates, et quod his longe gravius est, quod imprævmeditati ad has devoluti mutationes, philosophari nesciant et casus generose ferre. Ideo non ea videntur ipsis gravia, quæ talia per naturam sunt, verum ei levia ipsis intolerabilia esse videntur: sicut vicissim in pauperibus contrarium accidit; et tolerari posse videntur quæ intolerabilia sunt, eo quod illi multa talia prius meditati fuerint. Non enim tam rerum natura, quam patientium dispositio, magna vel parva videri facit incumbentia nobis mala.

Et ne horum exempla amborum longius accersam, de iis quæ nobis acciderunt, disseram. Ecce enim pauperes quidem omnes evaserunt, populus periculo liberatus est, et pura potimur securitate: qui autem rempublicam tractabant, et equos domi alebant, bravia in certaminibus proponebant, et alia munera publica administrabant, hi carcerem nunc habitant, de extremis timent, et ab omnibus patratorum soli dant pœnas, et in continuo metu vivunt, omnibusque nunc miseriores sunt, non propter periculorum magnitudinem, sed quia præteritum tempus in deliciis egerunt. 2. Multi namque, cum eos hortaremur et moneremus, ut generose res adversas ferrent, dicebant, Nil umquam tale meditati sumus, nec talia philosophari novimus: propterea magna indigemus consolatione. Alii rursum putant bonam valetudinem esse voluptatis causam; non est autem. Multi namque bene

γοῦν τῶν ὑγιαινόντων καὶ αὐτοὶ μυριάκις τ᾽ὔξαντο ἀποθανεῖν, τὰς ἐπαγομένας αὐτοῖς οὐκ ἐνεγκόντες ἐπηρείας. Ἄλλοι πάλιν τὸ δόξης ἀπολαύειν καὶ δυναστείας ἐπειλῆφθαι καὶ διίπτειν ἀρχὰς καὶ παρὰ πολλῶν κολακεύεσθαι, διηνεκοῦς χαρᾶς ποιητικὸν εἶναί φασιν· οὐκ ἔστι δὲ οὐδὲ τοῦτο. Καὶ τί λέγω τὰς ἄλλας ἀρχάς; Κἂν γὰρ ἐπ᾽ αὐτὴν ἀναβῶμεν τῷ λόγῳ τὴν βασιλείαν, καὶ τὸν ἐν ἐκείνῃ ζῶντα πολλαῖς εὑρήσομεν περιεστοιχισμένον ἀθυμίαις, καὶ τοσούτῳ πλείους ἔχοντα λύπης ἀνάγκας, ὅσῳ καὶ μείζονα περιβέβληται πραγμάτων ὄγκον. Καὶ τί χρὴ λέγειν πολέμους καὶ μάχας καὶ τὰς παρὰ τῶν βαρβάρων ἐπαναστάσεις; πολλάκις αὐτοὺς τοὺς ἔνδον στρεφομένους δέδοικε. Καὶ γὰρ πολλοὶ τῶν βασιλευσάντων τὰς πολεμικὰς διαφυγόντες χεῖρας, τὰς τῶν σωματοφυλάκων οὐ διέφυγον ἐπιβουλάς. Τοσαῦται δὲ τοῖς βασιλεῦσιν ἀθυμίας ἀνάγκαι, ὅσα τῇ θαλάττῃ τὰ κύματα. Εἰ δὲ βασιλεία οὐκ ἂν ἄλυπον ἐργάσαιτο βίον, τί ἕτερον δυνήσεται κατορθῶσαι τοῦτο; Τῶν μὲν βιωτικῶν οὐδέν, τὸ δὲ Παύλου ῥῆμα μόνον, τὸ βραχὺ τοῦτο καὶ ψιλόν, αὐτὸ ἡμῖν τοῦτον ἀνοίξει τὸν θησαυρόν. Οὐ γὰρ πολλῶν δεῖ λόγων οὐδὲ μακρᾶς τῆς περιόδου, ἀλλ᾽ ἐὰν ἐννοήσωμεν τὸ εἰρημένον μόνον, εὑρήσομεν τὴν ὁδὸν τὴν ἐπὶ τοῦτο φέρουσαν. Οὐδὲ γὰρ εἶπεν ἁπλῶς, Χαίρετε πάντοτε, ἀλλὰ προσέθηκε τὴν αἰτίαν τῆς διηνεκοῦς ἡδονῆς, « Χαίρετε ἐν Κυρίῳ πάντοτε », εἰπών· ὁ ἐν Κυρίῳ χαίρων οὐδενὶ τῶν συμπιπτόντων τῆς ἡδονῆς ταύτης ἐκπεσεῖν δύναται. Τὰ μὲν γὰρ ἄλλα πάντα, ἐφ᾽ οἷς χαίρομεν, τρεπτά ἐστι καὶ εὐμετάπτωτα, καὶ ἀλλοιοῦται ῥᾳδίως· καὶ οὐ τοῦτο μόνον ἔχει τὸ δεινόν, ἀλλ᾽ ὅτι καὶ μένοντα οὐ τοσαύτην ἡμῖν παρέχει τὴν ἡδονήν, ὡς τὴν ἐκ τῶν ἄλλων ἐπιγινομένην ἡμῖν ἀθυμίαν ἀποκρούεσθαι καὶ συσκιάζειν· ὁ δὲ τοῦ Θεοῦ φόβος ἀμφότερα ταῦτα ἔχει, βέβαιός τ᾽ ἐστὶ καὶ ἀκίνητος, καὶ τοσαύτην βρύει χαρὰν, ὡς μηδεμίαν ἡμᾶς αἴσθησιν τῶν ἄλλων λαμβάνειν δεινῶν. Ὁ γὰρ τὸν Θεὸν ὡς χρὴ φοβούμενος καὶ ἐπ᾽ αὐτῷ θαρρῶν, τὴν ῥίζαν ἐκαρπώσατο τῆς ἡδονῆς, καὶ πᾶσαν τῆς εὐθυμίας ἔχει τὴν πηγήν. Καὶ καθάπερ εἰς πέλαγος ἄπειρον σπινθὴρ μικρὸς ἐμπεσὼν ἀφανίζεται ῥᾳδίως, οὕτως ὅσαπερ ἂν προσπέσῃ τῷ φοβουμένῳ τὸν Θεὸν, καθάπερ εἰς πέλαγος ἀχανὲς εὐθυμίας ἐμπίπτοντα κατασβέννυται καὶ ἀπόλλυται. Καὶ τὸ δὴ θαυμαστὸν μάλιστα τοῦτό ἐστιν, ὅτι τῶν λυπούντων παρόντων μένει χαίρων αὐτός. Εἰ μὲν γὰρ μηδὲν ἦν τὸ λυποῦν, οὐκ ἦν αὐτῷ μέγα τὸ δύνασθαι διηνεκῶς χαίρειν· τὸ δὲ πολλῶν ἐπικειμένων τῶν εἰς ἀθυμίαν ἐμβαλλόντων ἀνώτερον ἁπάντων εἶναι καὶ ἐν μέσοις τοῖς λυπηροῖς εὐφραίνεσθαι, τοῦτό ἐστι τὸ παράδοξον. Καὶ καθάπερ τοὺς παῖδας τοὺς τρεῖς οὐδεὶς ἂν ἐθαύμασε μὴ κατακαέντας, εἰ πόρρω τῆς Βαβυλωνίας ἦσαν καμίνου· τὸ γὰρ ἐκπλῆξαν ἅπαντας τοῦτό ἐστιν, ὅτι τῷ πυρὶ τοσοῦτον διμιλήσαντες χρόνον, τῶν οὐχ ὁμιληκότων ἐξέβησαν ἀλυπότεροι· οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἔστιν εἰπεῖν ὅτι εἰ μηδεὶς αὐτοῖς ἐπήρχε

valentium, et ipsi millies mori optaverunt, illatas sibi non ferentes injurias. Alii rursum gloria potiri et imperio insignitum esse, et magistratus administrare, et a multis adulationibus demulceri, perpetuæ lætitiæ causam esse dicunt; sed nec istud est. Et quid loquor de aliis magistratibus? Etsi enim ad ipsum imperium mente ascendamus, in illo quoque viventem multis circumventum molestiis inveniemus, et tanto plures tristitiæ necessitates habentem, quanto majore rerum fastu circumdatus est. Et quid opus est bella pugnasque commemorare et barbarorum insultus? ipsos sæpe timet, qui secum domi conversantur. Etenim regum multi hostilibus elapsi manibus, corporis sui custodum insidias non effugerunt. Tot vero regibus tristitiæ necessitates sunt, quot mari undæ. Cum igitur nec regnum vitam securam reddere possit, quid aliud hoc præstare poterit? Humanorum quidem nihil, sed solum Pauli breve istud et exile verbum nobis hunc aperiet thesaurum. Non enim multis opus est sermonibus, nec longis ambagibus; sed si solum cogitemus dictum illud, viam ad hoc ferentem inveniemus: nec enim simpliciter dixit, Gaudete semper, sed addidit continuæ voluptatis causam, cum dixit (*Philipp.* 4. 4) *Gaudete in Domino semper*. In Domino gaudens nullo ex accidente voluptate hac excidere potest. Alia nempe cuncta, in quibus gaudemus, mutabilia sunt, volubilia, et facile vertuntur: nec hoc solum habent molestum, sed etiam quod manentia non tantam nobis afferunt voluptatem, ut ex aliis nascentem tristitiam repellant et obumbrent: Dei vero timor hæc habet utraque, et stabilis est immotusque, et tantam emittit lætitiam, ut nullus nos vitæ sensus malorum capiat. Qui Deum enim sicut oportet timet et in ipso confidit, voluptatis radicem lucratus est, et omnem habet lætitiæ fontem: et sicut in mare decidens immensum scintilla parva facile deletur: sic quantacumque Deum timenti incidant, velut in vastum lætitiæ pelagus incidentia exstinguuntur atque perduntur. Et revera hoc est maxime mirabile, quod cum adsint quæ contristare solent, ipse gaudens permaneat. Si nihil enim triste adesset, non esset ipsi magnum semper posse gaudere; multis autem incumbentibus, quæ in tristitiam impellant, omnibus esse superiorem et in mediis tristibus lætari, hoc est admirabile. Et sicut tres pueros non arsisse miraretur nemo, si procul a Babylonica stetissent fornace: quod enim omnes consternavit, hoc est, quod in igne tantum temporis versati, minus læsi sunt egressi, quam qui in eo versati non fuerant: sic et in sanctis dicere licet quod, si nulla ipsis institisset tenta-

γετε πειρασμὸς, οὐκ ἂν αὐτοὺς ἐθαυμάσαμεν διηνεκῶς χαίροντας· τὸ δὲ ἐκπλήξεως ἄξιον καὶ φύσιν ἀνθρωπίνην ὑπερβαίνον τοῦτό ἐστιν, ὅτι μυρίοις κυκλούμενοι κύμασι πάντοθεν, τῶν γαλήνης καθαρᾶς ἀπολαυόντων ῥᾷον διάκεινται.

Ὅτι μὲν οὖν οὐδένα βίον τῶν ἔξωθεν εὑρεῖν δυνατὸν εὐθυμίᾳ συγκεκληρωμένον διηνεκεῖ, δῆλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ τὸν πιστὸν ἀμήχανον μὴ διηνεκοῦς ἀπολαύειν ἡδονῆς, καὶ τοῦτο αὐτὸ πάλιν ἀποδείξαι πειράσομαι, οὐχ ἵνα μάθητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε τὸν ἄλυπον τοῦτον βίον. Ἔστω γάρ τις μηδὲν ἑαυτοῦ κατεγνωκὼς, ἀλλ' ἀγαθῇ συνειδότι συντρεφόμενος, καὶ πρὸς τὰ μέλλοντα κεχηνὼς, καὶ τὰς ἀγαθὰς ἐκείνας ἀναμένων ἐλπίδας, τί τοῦτον, εἰπέ μοι, εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται; Οὐ πάντων ἀφορητότατον ὁ θάνατος εἶναι δοκεῖ; ἀλλ' ἡ τούτου προσδοκία οὐ μόνον αὐτὸν οὐ λυπεῖ, ἀλλὰ καὶ εὐφραίνει μειζόνως· οἶδε γὰρ ὅτι ἡ τοῦ θανάτου παρουσία πόνων ἐστὶν ἀπαλλαγὴ καὶ δρόμος ἐπὶ τοὺς στεφάνους καὶ τὰ βραβεῖα τὰ ἀποκείμενα τοῖς ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς ἀγωνισαμένοις. Ἀλλὰ παίδων ἄωρος τελευτή; ἀλλὰ καὶ τοῦτο φέρει γενναίως, καὶ ἐρεῖ τὰ τοῦ Ἰὼβ [ῥήματα], « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. » Εἰ δὲ θάνατος καὶ παίδων ἀποβολὴ λυπεῖν οὐ δύναται, πολλῷ μᾶλλον ζημίαι χρημάτων καὶ ἀτιμίαι καὶ κατηγορίαι καὶ διαβολαὶ τῆς οὕτω μεγάλης καὶ γενναίας ψυχῆς οὐκ ἄν ποτε ἅψαιντο, οὐδὲ ὀδύνη σώματος· ἐπεὶ καὶ οἱ ἀπόστολοι ἐμαστιγοῦντο μέν, οὐκ ἠθύμουν δέ. Μέγα μὲν οὖν καὶ τοῦτο· τὸ δὲ πολλῷ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἠθύμουν, ἀλλὰ καὶ αὐτὰς τὰς μάστιγας ὑπόθεσιν ἐποιοῦντο μείζονος ἡδονῆς, καὶ ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος Χριστοῦ ἀτιμασθῆναι. Ὕβρισέ τις καὶ ἐλοιδόρησε τὸν τοιοῦτον; ἀλλ' ἐπαιδεύθη παρὰ τοῦ Χριστοῦ χαίρειν ἐπὶ ταῖς ὕβρεσι. « Χαίρετε γὰρ καὶ ἀγαλλιᾶσθε, φησὶν, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι [ἕνεκεν ἐμοῦ], ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. » Ἀλλὰ νόσῳ περιέπεσεν; ἀλλ' ἤκουσεν ἑτέρου παραινοῦντος καὶ λέγοντος, « Ἐν νόσῳ καὶ πενίᾳ ἐπ' αὐτῷ πεποιθὼς γίνου, ὅτι ὥσπερ ἐν πυρὶ δοκιμάζεται χρυσὸς, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. » Ὅταν οὖν μήτε θάνατος, μήτε ζημία χρημάτων, μήτε νόσος σώματος, μήτε ἀτιμία, μήτε λοιδορία, μήτε ἄλλο τι τῶν τοιούτων μηδὲν αὐτὸν λυπῆσαι δύνηται, ἀλλὰ καὶ εὐφραίνῃ μᾶλλον, ποίαν ἀθυμίας ὑπόθεσιν ἕξει ποτέ; Τί οὖν, οὐκ ἠθύμουν οἱ ἅγιοι, φησίν; οὐκ ἀκούεις Παύλου λέγοντος, « Λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου »; Αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστὸν, ὅτι ἡ λύπη κέρδος καὶ ἡδονὴν τὴν ἐκ τοῦ κέρδους ἔφερεν. Ὥσπερ γὰρ αἱ μάστιγες οὐκ ὀδύνας, ἀλλὰ χαρὰν, οὕτω καὶ ἡ λύπη πάλιν τοὺς μεγάλους ἐκείνους

tio, ipsos perpetuo gavisos esse non admiraremur. Stupore autem dignum et supra naturam humanam hoc est, quod infinitis undique undis circumdati, tranquillitate pura fruentibus melius affecti sint.

Quod igitur nullam exteriorem vitam gaudium continuum habentem invenire liceat, ex dictis patet; quod autem fidelis non possit non continua frui voluptate, rursum et hoc ipsum demonstrare conabor, non ut discatis tantum, sed etiam ut hanc tristitia carentem vitam sectemini. Sit enim aliquis nihil in se damnandum habens, sed bona fretus conscientia, ad futura anhelans et exspectans illam beatam spem: quid hunc, dic mihi, in tristitiam poterit inducere? Nonne omnibus rebus intolerabilior mors esse videtur? sed hujus exspectatio non tantum ipsum non contristat, verum et delectat amplius: novit enim mortis præsentiam laborum esse liberationem, et cursum ad coronas et bravia pro pietate et virtute pugnantibus reposita. Sed filiorum immatura mors? verum et hoc generose fert, et dicet Jobi verba (1. 21): *Dominus dedit, Dominus abstulit: sicut Domino visum est, ita et factum est: sit nomen Domini benedictum in sæcula.* Si vero mors et filiorum jactura contristare non potest, multo minus pecuniarum jacturæ, et contumeliæ, et accusationes et calumniæ tam magnum et generosum animum tangere possent, neque corporis dolor: quoniam et apostoli flagellabantur quidem, sed non affligebantur. Magna quidem sunt et hæc, sed multo majus est, quod non tantum non dolebant, verum et ipsa flagella majoris materiam faciebant voluptatis, et revertebantur a facie concilii gaudentes quod (*Act.* 5. 41) digni fuerant habiti pro nomine Christi contumeliam pati. Contumelia et convicio quis talem affecit? sed a Christo gaudere institutus est in contumeliis. *Gaudete* enim, inquit (*Matth.* 5. 11. 12), *et exsultate, cum dixerint omne malum verbum contra vos mentientes, propter me: quoniam merces vestra multa est in cœlis.* Sed in morbum incidit? verum audivit alium admonentem et dicentem (*Eccli* 2. 4. 5), *In morbo et paupertate in ipso confidas: quoniam sicut in igne probatur aurum, sic homines acceptabiles in fornace humiliationis.* Cum igitur neque mors, neque pecuniarum jactura, neque corporis ægritudo, neque ignominia, neque convicium, neque quidpiam aliud hujusmodi ipsum contristare possit, verum et magis delectet, quam umquam tristitiæ materiam habebit? Quid igitur, inquit, sancti non dolebant? non audis Paulum dicentem (*Rom.* 9. 2), *Tristitia mihi magna est, et indesinens dolor cordi meo?* Hoc ipsum nempe admirabile est, quod tristitia lucrum, et voluptatem ex hoc lucro ferebat. Sicut enim flagella non dolores, sed lætitiam, sic rursum et tristitia magnas illas comparabat coronas.

προξένει στεφάνους. Καὶ τὸ παράδοξον τοῦτό ἐστιν, ὅτι τοῦ κόσμου μὲν οὐχ ἡ ἀθυμία μόνον, ἀλλὰ καὶ ἡ χαρὰ ζημίαν ἔχει τὴν ἐσχάτην· ἐπὶ δὲ τῶν πνευματικῶν τοὐναντίον ἅπαν, οὐχ ἡ χαρὰ μόνον, ἀλλὰ καὶ ἡ ἀθυμία πολὺν ἔχει τῶν ἀγαθῶν τὸν θησαυρόν· καὶ πῶς, ἐγὼ λέγω. Χαίρει τις ἐν τῷ κόσμῳ πολλάκις ἐχθρὸν δυστημεροῦντα ἰδών, καὶ διὰ τῆς χαρᾶς ταύτης πολλὴν ἐπισπᾶται ἑαυτῷ τὴν κόλασιν· ἀλγεῖ τις πάλιν ἕτερος ἀδελφὸν πεσόντα ἰδών, καὶ διὰ τῆς ἀθυμίας ταύτης πολλὴν ἑαυτῷ παρὰ τῷ Θεῷ προξενεῖ τὴν εὔνοιαν. Ὁρᾷς πῶς ἡ κατὰ Θεὸν λύπη τῆς τοῦ κόσμου χαρᾶς βελτίων καὶ χρησιμωτέρα; Οὕτω καὶ Παῦλος ἐλυπεῖτο διὰ τοὺς ἁμαρτάνοντας, διὰ τοὺς ἀπιστοῦντας τῷ Θεῷ, καὶ τῆς λύπης ταύτης πολὺν εἶχεν ἀποκείμενον αὐτῷ τὸν μισθόν.

Ἵνα δὲ σαφέστερον ὃ λέγω ποιήσω καὶ μάθητε ὡς, εἰ καὶ παράδοξον τὸ εἰρημένον, ἀλλ' ὅμως ἐστὶν ἀληθές, καὶ οἶδα θρῆνος πολλάκις ἀναστᾶσθαι τὰς ὀδυνωμένας ψυχὰς καὶ κουφίζειν συνειδὸς βεβαρημένον, πολλαὶ πολλάκις γυναῖκες ἀποβαλοῦσαι παῖδας ποθεινοτάτους, ἂν μὲν κωλυθῶσι δακρῦσαι καὶ θρηνῆσαι καὶ ὀλοφύρασθαι, διαῤῥήγνυνται καὶ ἀπόλλυνται· ἂν δὲ τὰ τῶν ἀθυμούντων ποιήσωσιν ἅπαντα, κουφίζονται καὶ παραμυθίαν λαμβάνουσι. Καὶ τί θαυμαστὸν εἰ ἐπὶ γυναικῶν τοῦτο συμβαίνει, ὅπου γε καὶ αὐτὸν τὸν προφήτην ἴδοι τις ἂν πάσχοντα τοῦτο καὶ συνεχῶς; τίς ἔλεγεν, « Ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλοῦντες ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου; » Ὥστε ἔστι πολλάκις λύπη παραμυθίαν φέρουσα· εἰ δὲ ἐπὶ τοῦ κόσμου τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν πραγμάτων. Διὰ τοῦτό φησιν, « Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. » Καὶ δοκεῖ μὲν τοῦτο ἀσαφὲς εἶναι· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἂν λυπηθῇς ἐπὶ χρήμασιν, οὐδὲν ὠφέλησας· ἂν λυπηθῇς ἐπὶ νοσήματι, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἐπάτριψας σαυτὸν μᾶλλον. Καὶ πολλῶν ἔγωγε ἤκουσα μετὰ τὴν τοιαύτην πεῖραν αἰτιωμένων καὶ πρὸς ἑαυτοὺς λεγόντων, Τί τὸ ὄφελος ὅτι ἤλγησα; οὔτε τὰ χρήματα ἀνεκτησάμην, καὶ ἐμαυτὸν κατέβλαψα. Ἂν δὲ λυπηθῇς ἐφ' ἁμαρτίᾳ, ταύτην τ' ἐξήλειψας καὶ ἐκαρπώσω μεγίστην ἡδονήν· ἂν λυπηθῇς ἐπὶ τοῖς ἀδελφοῖς τοῖς πεπτωκόσιν, ἑαυτόν τε παρεκάλεσας καὶ παρεμυθήσω, κἀκείνους ἀνεκτήσω πάλιν, κἂν μηδὲν ὠφελήσῃς αὐτούς, μεγίστην ἔχεις ἀντίδοσιν. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεπτωκόσι, κἂν μηδὲν ὠφελῶμεν, μεγίστην ἡμῖν φέρει τὴν ἀμοιβήν, ἄκουσον τοῦ Ἰεζεκιὴλ λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ δι' ἐκείνου [λαλοῦντος]· ἐπειδὴ γὰρ ἔπεμψέ τινας κατασκάψαι τὴν πόλιν καὶ σιδήρῳ καὶ πυρὶ ὀπανῆσαι τὰ οἰκοδομήματα ἅπαντα μετὰ τῶν ἐνοικούντων αὐτῶν, κελεύει τινὶ λέγων οὕτως· « Δὸς τὸ σημεῖον ἐπὶ πρόσωπον τῶν ἀνδρῶν τῶν στεναζόντων καὶ κατοδυνωμένων. » Καὶ τοῖς ἑτέροις κελεύσας, καὶ εἰπὼν ὅτι « Ἀπὸ τῶν ἁγίων

Et hoc est maxime admirabile, quod mundi non tristitia tantum, verum et lætitia damnum habet extremum : in spiritualibus vero contrarium totum, non lætitia tantum, verum et tristitia multum habet bonorum thesaurum. Dicam quomodo. Verbi gratia : gaudet quis in mundo sæpe inimicum laborantem videns, et per hanc lætitiam multam sibi attrahit pœnam : dolet rursum quis alius fratrem lapsum videns, et per hanc tristitiam multam sibi apud Deum benevolentiam comparat. Cernis quomodo secundum Deum tristitia mundi lætitiâ melior sit et utilior? Sic et Paulus tristabatur propter eos qui peccarent et Deo non crederent, et ex hac tristitia multam sibi repositam habebat mercedem.

Ut autem manifestius quod dico faciam, et discatis, licet præter opinionem sit dictum, tamen verum esse, et posse luctum sæpe dolentes animas reparare et conscientiam gravatam relevare : multæ sæpius mulieres desideratissimis amissis filiis, si prohibeantur quidem flere, lugere et conqueri, disrumpuntur et pereunt; si vero unumquodque omnia fecerint, relevantur et consolationem accipiunt. Et quid mirandum, si in mulieribus hoc fit, quando etiam ipsum prophetam hoc patientem videre quis possit, adeoque continenter? Quis dicebat (*Isai.* 22. 4), *Sinite me, amare lugebo : nolite contendere, ut consolemini super contritione filiæ generis mei?* Itaque sæpe tristitia affert consolationem; si autem in mundo hoc fit, multo magis in rebus spiritualibus. Propterea dicit (2. *Cor.* 7. 10), *Secundum Deum autem tristitia pœnitentiam in salutem non pœnitendam operatur.* Et hoc quidem obscurum esse videtur; quod autem dicit est hujusmodi : Si de pecuniis tristatus fueris, nihil profeciti; si de ægritudine, nihil lucratus es, verum et magis te ipsum contristi. 3. Et ego quidem multos audivi post talem experientiam se accusantes, et ad se ipsos dicentes : Quæ utilitas quod doluí? nec pecunias recuperavi, et me ipsum læsi. Si vero de peccato tristeris, et hoc delesti et maximam lucratus es voluptatem. Si de fratribus lapsis contristeris, te ipsum hortatus es et consolatus, et illos rursum recuperasti : etiamsi nihil ipsis profueris, maximam habes mercedem. Et ut discas quod de lapsis tristari, etsi nihil prosumus, maximam nobis retributionem afferat, audi Ezechielem dicentem, imo vero Deum per ipsum loquentem. Postquam enim misit quosdam ad subvertendum urbem, et ferro et igni consumendum ædificia omnia cum habitatoribus ipsis, imperat cuidam sic dicens (*Ezech.* 9. 4) : *Da signum in facie virorum gementium et dolentium.* Et cum aliis imperasset, et dixisset (*ib.* v. 6), *A sanctis meis incipite* : intulit dicens, *Supra quos autem*

μου ἄρξασθε », ἐπήγαγε λέγων, « Ἐπὶ δὲ οὓς ἐστι τὸ σημεῖον, οὐ μὴ ἅψησθε αὐτῶν. » Τίνος ἕνεκεν; εἰπέ μοι. Ὅτι εἰ καὶ μηδὲν ὠφέλουν, ἀλλ' ὅμως ἔστενον τὰ γινόμενα καὶ ὠλοφύροντο. Καὶ ἑτέροις δ' ἐνεκάλει πάλιν λέγων ὅτι τρυφῶντες καὶ γαστριζόμενοι καὶ πολλῆς ἀπολαύοντες ἀδείας, ἰδόντες τοὺς Ἰουδαίους εἰς αἰχμαλωσίαν ἀπαγομένους, οὐκ ἤλγησαν, οὐκ ἐκοινώνησαν τῆς ἀθυμίας· καὶ ἐγκαλῶν αὐτοῖς φησιν, « Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ », Ἰωσὴφ τὸν λαὸν καλῶν ἅπαντα· καὶ πάλιν, « Οὐκ ἐξῆλθε κατοικοῦσα Αἰνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς ». Κἂν γὰρ δικαίως κολάζωνται, βούλεται συναλγεῖν ἡμᾶς, ἀλλὰ μὴ χαίρειν μηδὲ ἐφήδεσθαι. Εἰ γὰρ ἐγώ, φησὶν, ὁ κολάζων οὐ χαίρων τοῦτο ποιῶ οὐδὲ ἥδομαι αὐτῶν ἐπὶ τῇ τιμωρίᾳ (« Οὐ γὰρ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ »), δεῖ καὶ σὲ τὸν Δεσπότην μιμεῖσθαι, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖν, ὅτι δικαίας κολάσεως ὑπόθεσιν παρέσχον καὶ πρόφασιν. Ὥστε κἂν λυπῆταί τις κατὰ Θεὸν, μεγάλην ἐντεῦθεν καρπώσεται τὴν ὠφέλειαν. Ὅταν οὖν οἱ μαστιζόμενοι τῶν μαστιζόντων εἰσὶ μακαριώτεροι, καὶ οἱ θλιβόμενοι παρ' ἡμῖν τῶν ἐν ἀνέσει παρὰ τοῖς ἔξωθεν, καὶ οἱ ἀθυμοῦντες τῶν ἡδομένων, τίς ἔσται λοιπὸν θλίψεως ἡμῖν ἀφορμή; Διὰ τοῦτο οὐδένα χρὴ μακαρίζειν, ἀλλ' ἢ τὸν κατὰ Θεὸν ζῶντα μόνον. Τούτους καὶ ἡ Γραφὴ μακαρίζει μόνους· « Μακάριος γάρ, φησὶν, ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· Μακάριος ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν· Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ· Μακάριοι [πάντες] οἱ παροικοῦντες ἐπ' αὐτῷ· Μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ· Μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ· Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. » Καὶ ὁ Χριστὸς πάλιν οὕτως· « Μακάριοι οἱ πενθοῦντες, μακάριοι οἱ ταπεινοὶ, μακάριοι οἱ πραεῖς, μακάριοι οἱ εἰρηνοποιοὶ, μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. » Ὁρᾷς πῶς πανταχοῦ οὐδένα τῶν πλουτούντων, οὐ τῶν ἐν εὐγενείᾳ, οὐ τῶν δόξης ἀπολαυόντων μακαρίζουσιν οἱ θεῖοι νόμοι, ἀλλὰ τὸν ἀρετῆς ἐπειλημμένον; Τὸ γὰρ ζητούμενον, πάντων ὧν ἂν ποιῶμεν ἢ πάσχωμεν, ὑπόθεσιν εἶναι τὸν τοῦ Θεοῦ φόβον· κἂν ταύτην προκαταβάλῃς τὴν ῥίζαν, οὐκ ἀνέσεις μόνον οὐδὲ τιμαὶ καὶ δόξαι καὶ θεραπεῖαι, ἀλλὰ καὶ ἐπήρειαι καὶ συκοφαντίαι καὶ ὕβρεις καὶ ἀτιμίαι καὶ βάσανοι καὶ πάντα ἁπλῶς ἡδονῆς σοι βλαστήσει καρπούς. Καὶ καθάπερ τῶν δένδρων αἱ ῥίζαι αὐταὶ μέν εἰσι πικραὶ, ἡδίστους δὲ ἡμῖν τοὺς καρποὺς φέρουσιν, οὕτω δὴ καὶ ἡ κατὰ Θεὸν λύπη πολλὴν ἡμῖν οἶσει τὴν ἡδονήν. Ἴσασιν ὅσοι πολλάκις μετ' ὀδύνης ηὔξαντο καὶ δάκρυα ἐξέχεαν, πόσην ἐκαρπώσαντο τὴν εὐφροσύνην, πῶς ἐξεκάθηραν τὸ συνειδὸς, πῶς μετὰ χρηστῆς ἀνέστησαν ἐλπίδος. Ὅπερ γὰρ ἀεὶ λέγω, οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ διάνοια ἡ ἡμετέρα λυπεῖν ἡμᾶς εἴωθε καὶ εὐφραίνειν. Ἂν τοίνυν ταύτην κατασκευάσωμεν οἵαν εἶναι χρὴ, πάσης εὐθυμίας ἐνέχυρον ἕξομεν·

est signum, ne ipsos tangite. Qua, dic mihi, causa? Quoniam etsi nihil proderant, tamen gemebant quæ gerebantur et deplorabant. Et alios rursus accusat, dicens: Ventri et deliciis vacantes, et multa potientes libertate, videntes Judæos in captivitatem deduci, non doluerunt, non participes fuere tristitiæ: et ipsos accusans ait (*Amos.* 6. 6), *Nihil passi sunt in contritione Joseph*, Josephi appellans populum omnem. Et rursum (*Mich.* 1. 11): *Non exiit quæ habitat Ænan, plangere domum sue conjunctam.* Quamvis enim juste puniantur, vult Deus nos condolere, non autem gaudere et insultare. Si enim, ait, ego puniens non lætus hoc facio, nec in ipsorum ultione delector (*Non* enim *voluntate volo mortem peccatoris* [*Ezech.* 18. 23]); oportet et te Dominum imitari, et propterea lugere, quoniam peccator justæ ultionis materiam præbuit et occasionem. Itaque si quis etiam secundum Deum tristetur, magnam inde sumet utilitatem. Cum igitur beatiores sint flagellati flagellantibus, et qui apud nos affliguntur, exteris positis in remissione, et dolentes gaudentibus: quæ nobis amplius erit tribulationis occasio? Propterea beatum haberi convenit neminem, nisi secundum Deum viventem solum. Hos Scriptura quoque solos vocat beatos, ait enim: *Beatus vir, qui non abiit in consilio impiorum: Beatus, quem tu erudieris, Domine, et de lege tua docueris eum: Beati immaculati in via: Beati omnes qui confidunt in eo: Beatus populus cujus Dominus Deus ejus: Beatus quem non condemnavit anima ejus: Beatus vir, qui timet Dominum* (*Psal.* 1. 1. *Psal.* 93. 12. et 118. 1. et 2. 13. et 32. 12. *Eccli.* 14. 2. *Psal.* 111. 1.) Et rursum sic Christus (*Matth.* 5. 3.—10): *Beati qui lugent, beati humiles, beati mites, beati pacifici, beati qui persecutionem patiuntur propter justitiam.* Vides quomodo nullibi divitum quemquam, non generosum, non gloria politum beatificant divinæ leges, sed virtutem tantum assequutum? Quod quæritur enim, in omnibus quæ facimus vel patimur, Dei timorem esse convenit, et si hanc ante deponas radicem, non remissio tantum, nec honores, neque gloria atque ministeria, verum et infestationes et calumniæ et contumeliæ et ignominiæ et tormenta et omnia generaliter voluptatis fructus tibi germinabunt. Et sicut arborum radices, ipsæ quidem sunt amaræ, jucundissimos autem nobis fructus ferunt: sic profecto et secundum Deum tristitia multam nobis affert voluptatem. Norunt quicumque sæpe cum dolore oraverunt et lacrymas effuderunt, quantam sint lucrati lætitiam, quomodo conscientiam expurgarint, quomodo exsurrexerint cum bona spe: quod enim semper dico, non rerum natura, sed mens nostra nos contristare vel lætificare consuevit. Si igitur hanc talem reddamus qualem esse decet, omnis lætitiæ pignus habebimus:

καὶ καθάπερ τὸ σῶμα οὐχ οὕτως ἡ τῶν ἀέρων φύσις οὐδὲ αἱ ἔξωθεν προβολαί, ὡς ἡ οἰκεία κατασκευὴ καὶ βλάπτει καὶ ὠφελεῖ, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς· καὶ πολλῷ πλέον. Ἐνταῦθα μὲν γὰρ φύσεώς ἐστιν ἀνάγκη, ἐκεῖ δὲ τὸ πᾶν ἐπὶ τῇ προαιρέσει κεῖται. Διὰ τοῦτο ὁ Παῦλος μυρία ὑπομείνας δεινὰ, ναυάγια, πολέμους, ἐπαναστάσεις, ἐπιβουλὰς, λῃστῶν ἐφόδους, καὶ ὅσα οὐδὲ ἀπαριθμήσασθαι ἔνι τῷ λόγῳ, καὶ καθημερινοὺς θανάτους ἀποθνήσκων, οὐ μόνον οὐκ ἤλγει οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐκαυχᾶτο καὶ ἔχαιρε, καὶ λέγει, « Νῦν χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου » καὶ πάλιν· « Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν » ἡ δὲ καύχησις ἡδονῆς ἐστιν ἐπίτασις.

Ἂν τοίνυν εὐθυμίας ἐπιθυμῇς, μὴ χρήματα, μὴ σώματος ὑγίειαν, μὴ δόξαν, μὴ δυναστείαν, μὴ τρυφὴν, μὴ τραπέζας πολυτελεῖς, μὴ σηρικῶν ἱματίων περιβολὰς, μὴ πολυτελεῖς ἀγροὺς, μηδὲ οἰκίας λαμπρὰς καὶ περιφανεῖς, μηδὲ ἄλλο τι τῶν τοιούτων δίωκε μηδέν· ἀλλὰ φιλοσοφίαν μέτελθε τὴν κατὰ Θεὸν, καὶ ἀρετῆς ἐπιλαβοῦ· καὶ οὐδέν σε οὐ τῶν ὄντων, οὐ τῶν ἐλπιζομένων λυπῆσαι δυνήσεται· τί λέγω λυπῆσαι; προσθήκη μὲν οὖν ἡδονῆς σοι γενήσεται τὰ τοὺς ἄλλους λυποῦντα· καὶ γὰρ μάστιγες, καὶ θάνατος, καὶ ζημίαι, καὶ κακηγορίαι, καὶ τὸ κακῶς πάσχειν, καὶ πάντα τὰ τοιαῦτα, ὅταν διὰ τὸν Θεὸν ἡμῖν ἐπάγηται καὶ ταύτην ἔχῃ τὴν ῥίζαν, πολλὴν ἡμῖν εἰς τὴν ψυχὴν εἰσάγει τὴν ἡδονήν. Οὐδεὶς γὰρ ἡμᾶς ἀθλίους ποιῆσαι δυνήσεται, ἐὰν μὴ ἑαυτοὺς ποιήσωμεν· ὥσπερ οὖν οὐδὲ μακαρίους, ἐὰν μὴ ἑαυτοὺς ἐργασώμεθα μετὰ τὴν τοῦ Θεοῦ χάριν. Καὶ ἵνα μάθητε ὅτι οὗτος μόνος ἐστὶ μακάριος, ὁ φοβούμενος τὸν Κύριον, οὐκ ἀπὸ τῶν παρελθόντων, ἀλλ' ἀπὸ τῶν ἡμῖν συμβάντων τοῦτο ὑμῖν ἀποδείξω νῦν.

Ἐκινδύνευσεν ἡμῖν ἡ πόλις ἀφανισθῆναι πᾶσα, καὶ τῶν μὲν πλουτούντων καὶ περιφανῶν καὶ ἐπισήμων ἀνδρῶν οὐδεὶς ἐτόλμησεν ἐν τῷ μέσῳ φανῆναι, ἀλλὰ πάντες ἔφυγον καὶ ἀπεπήδων· οἱ δὲ τὸν Θεὸν φοβούμενοι, οἱ ἐν μοναστηρίοις διατρίβοντες, οὗτοι μετὰ πολλῆς τῆς παῤῥησίας καταδραμόντες πάντα ἔλυσαν, καὶ τοσοῦτον ἀπέσχον αὐτοὺς φοβῆσαι καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν τὰ συμβάντα δεινὰ καὶ αἱ προσδοκώμεναι ἀπειλαὶ, ὅτι πόῤῥω καθήμενοι τῆς συμφορᾶς καὶ οὐδὲν κοινὸν ἔχοντες, ἑκόντες ἑαυτοὺς ἔῤῥιψαν εἰς μέσην τὴν πυρὰν, καὶ πάντας ἐξείλαντο, καὶ ὃ πᾶσι δοκεῖ φοβερὸν εἶναι καὶ φρικῶδες, ὁ θάνατος, τοῦτο οὗτοι μετὰ πάσης ἀνεδέξαντο τῆς προθυμίας, καὶ μετὰ πλείονος ἔτρεχον πρὸς τὸ πρᾶγμα ἡδονῆς ἢ ἐπ' ἀρχὰς ἕτεροι καὶ τιμάς· ἤδεσαν γὰρ ὅτι μεγίστη τοῦτο ἀρχὴ καὶ τιμὴ, καὶ δι' αὐτῶν τῶν ἔργων ἔδειξαν ὅτι μόνος οὗτος μακάριός ἐστιν ὁ φιλοσοφίας ἐπειλημμένος τῆς ἄνω, καὶ μεταβολὴν οὐδεμίαν δέχεται, οὐδὲ δυσημερίαν ὑπομένει τινὰ, ἀλλὰ διηνεκοῦς εὐημερίας ἀπολαύει, καὶ πάν-

et sicut corpus non tantum aeris natura aut exteriores incursus, quantum propria dispositio et lædit et adjuvat : sic et in anima, et multo magis. Hic etenim naturæ est necessitas, illic vero totum in voluntate situm est. Propterea Paulus innumera passus mala, naufragia, bella, persequutiones, insidias, latronum incursus, et quæcumque nec oratione enumerare licet, et quotidie moriens, non tantum non dolebat nec indignabatur, verum et gloriabatur et gaudebat, dicebatque (*Coloss.* 1. 24), *Nunc gaudeo in passionibus meis, et suppleo defectus tribulationum Christi in carne mea.* Et iterum (*Rom.* 5. 3), *Non tantum autem, verum et gloriamur in tribulationibus :* gloriatio vero voluptatis est intentio.

4. Si lætitiam itaque cupis, non pecunias, non corporis sanitatem, non gloriam, non potentiam, non delicias, non lautas mensas, non sericarum vestium amictum quæras ; non pretiosos agros domosve splendidas et illustres, aut aliud hujusmodi quidpiam sectare ; sed philosophiam, quæ est secundum Deum, exerce, apprehende virtutem, et nil eorum quæ sunt aut exspectantur, te poterit contristare : quid dico contristare? imo accessio ibi voluptatis erunt quæ alios contristant : etenim flagella, mortes, mulctæ, maledicta, ærumnæ, et omnia talia, quando propter Deum nobis inferuntur, et hanc habent radicem, multam nobis in animam inducunt voluptatem. Nos enim miseros facere poterit nemo, nisi nos ipsos faciamus : sicut scilicet neque beatos, nisi nos efficiamus, post Dei gratiam. Utique discatis eum solum esse beatum, qui timet Dominum : non ex præteritis, verum ex iis quæ contigerunt nobis, hoc vobis nunc demonstrabo.

Periculum fuit ne urbs nobis tota deleretur, et divitum quidem, illustrium insigniumque virorum in medio apparere ausus est nemo, sed fugerunt omnes et recesserunt : qui vero Deum timebant, commorantes in monasteriis, hi multa cum fiducia accurrentes, omnia solverunt : et tantum abfuit ut accidentia mala et exspectatæ comminationes ipsos terrerent et in anxietatem injicerent, ut longe a calamitate sedentes et nihil habentes commune, sponte se ipsos in medium mitterent incendium, et omnes eriperent : et quod omnibus terribile et horrendum esse videtur, mortem ipsi cum omni alacritate exspectaverunt, et cum majori ad eam voluptate cucurrerunt, quam ad magistratus alii et honores. Norant enim magnum esse hunc magistratum et honorem, et per ipsa demonstrarunt opera, eum solum esse beatum, qui philosophiam apprehendit cælestem, hunc que mutationem nullam suscipere, nec ullam sustinere adversitatem, sed continua tranquil-

των καταγελᾷ τῶν δοκούντων εἶναι λυπηρῶν. Νῦν γοῦν οἱ μὲν ἐν δυναστείαις ἀθυμίᾳ πολλῇ κατέχονται, τὸ δεσμωτήριον οἰκοῦντες, ἁλύσεις περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶντες· οὗτοι δὲ καθαρωτάτης ἀπολαύουσιν ἡδονῆς, κἂν συμβῇ τι παθεῖν δεινόν, ἃ τοῖς ἄλλοις εἶναι δοκεῖ φοβερά, ταῦτα τούτοις ἐστὶ ποθεινά· ἴσασι γὰρ ἐπὶ τί τρέχουσι καὶ ποία λῆξις μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν διαδέξεται. Καὶ τοσαύτῃ συζῶντες ἀκριβείᾳ, καὶ θανάτου καταγελῶντες, ὅμως ὑπὲρ τῶν ἄλλων ἀλγοῦσι, καὶ ἀπὸ τούτου μεγίστην πάλιν ὠφέλειαν καρποῦνται.

Σπουδάζωμεν τοίνυν τῆς ψυχῆς ἐπιμελεῖσθαι τῆς ἡμετέρας, καὶ οὐδὲν ἡμᾶς τῶν ἀδοκήτων λυπῆσαι δύναται· καὶ ὑπὲρ τῶν ἐμβεβλημένων τὸν Θεὸν παρακαλῶμεν, ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπικειμένης συμφορᾶς. Ἠδύνατο μὲν γὰρ ὁ Θεὸς ἀθρόον λῦσαι τὸ δεινὸν καὶ μηδὲ μικρὰ ἀφεῖναι λείψανα· ἀλλ' ἵνα μὴ πάλιν ἐπὶ τὴν προτέραν ἐπανέλθωμεν ῥᾳθυμίαν, ἠρέμα καὶ κατὰ μικρὸν τὸν χειμάρρουν τῶν κακῶν τούτων χαλᾷν παρεσκεύασε, κατέχων ἡμᾶς ἐπὶ τῆς αὐτῆς εὐλαβείας. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ πολλοὶ πρὸς τὴν προτέραν ἐπανῆλθον [ἂν] ῥᾳθυμίαν, εἰ συντόμως ἐλύθη τὸ πᾶν, δῆλον ἐκεῖθεν· ἔτι τὰ λείψανα μένει τῆς συμφορᾶς, ἔτι τοῦ βασιλέως ἄδηλός ἐστιν ἡ γνώμη, καὶ οἱ τὰ τῆς πόλεως ἄγοντες πράγματα ἅπαντές εἰσιν ἐν δεσμοῖς, καὶ πολλοὶ τῶν τὴν πόλιν ἡμῖν οἰκούντων τῇ τοῦ λούεσθαι ἐπιθυμίᾳ ἐπὶ τὸν ποταμὸν τρέχουσι, μυρία κωμῳδοῦντες ἐκεῖ, ἀσελγαίνοντες, σκιρτῶντες, χορεύοντες, γυναῖκας ἐπισυρόμενοι. Ἆρα τίνος ἂν εἶεν ἐκεῖνοι συγγώμης ἄξιοι, ποίας ἀπολογίας; μᾶλλον δὲ ποίας οὐκ ἂν εἶεν ἄξιοι κολάσεως καὶ τιμωρίας; Ἡ κεφαλὴ τῆς πόλεως ἐν τῷ δεσμωτηρίῳ, τὰ μέλη ἡμῶν ἐν ἐξορίᾳ, ἄδηλος ἡ περὶ τούτων ψῆφος, καὶ σὺ χορεύεις, εἰπέ μοι, καὶ παίζεις καὶ γελᾷς; Οὐ γὰρ φέρομεν τὴν ἀλουσίαν, φησίν. Ὦ τῆς ἀναισχύντου γνώμης, ὦ τῆς βαναύσου καὶ διεφθαρμένης [ψυχῆς]· πόσοι γεγόνασιν, εἰπέ μοι, μῆνες; πόσοι ἐνιαυτοί; οὔπω εἴκοσιν ἡμέρας ἔχεις τῶν βαλανείων ἀποκλεισθείς, καὶ ὡς ἐνιαυτὸν ἔχων ὁλόκληρον ἐν ἀλουσίᾳ, οὕτως ἁλύεις καὶ δυσχεραίνεις; Τοιοῦτος ἦσθα, εἰπέ μοι, ὅτε στρατιωτῶν προσεδόκησας ἔφοδον, ὅτε καθ' ἑκάστην ἤλπιζες τὴν ἡμέραν ἀποθανεῖσθαι, ὅτε εἰς τὰς ἐρήμους ἔφευγες καὶ τὰς κορυφὰς τῶν ὀρέων ἀνέτρεχες; Εἴ τίς σοι τότε προέτεινεν ἐνιαυτὸν ὁλόκληρον ἐν ἀλουσίᾳ μεῖναι, ὥστε ἀπαλλαγῆναι τῆς ἐπικειμένης ἀγωνίας, οὐκ ἂν ἑτοίμως κατεδέξω καὶ ὑπέμεινας; Δίον οὖν εὐχαριστεῖν τῷ χωρὶς πάσης ζημίας λύσαντι ταῦτα Θεῷ, σκιρτᾷς πάλιν καὶ ἐξυβρίζεις, καὶ ἐπειδὴ παρῆλθεν ὁ φόβος, πρὸς μείζονα πάλιν ἐπανῆλθες ῥᾳθυμίαν; Οὕτως οὐ καθήψατο τὰ δεινὰ, ὡς καὶ βαλανείων ἐπιθυμῆσαι; εἰ γὰρ ἀνεῖτο τὰ βαλανεῖα, οὐκ ἦν ἱκανὴ τῶν ἔτι κατεχομένων ἡ συμφορὰ καὶ τοὺς οὐκ ὄντας ἐν τοῖς δεινοῖς τούτοις πεῖσαι πάσης ἐπιλαθέσθαι τρυφῆς; Περὶ ψυχῆς ὁ κίνδυνός ἐστι, καὶ σὺ βα-

litate frui, et omnia deridere, quæ videntur esse tristia. Nunc enim qui sunt in primis magistratibus, tristitia multa tenentur, carcerem habitantes, catenis obstricti, quotidie mori exspectantes; hi vero purissima fruuntur voluptate, etiam si quid grave pati accidat: quæ aliis terribilia esse videntur, hæc ipsis sunt desiderabilia: norunt enim ad quid currant, et quis finis, postquam hinc discesserint, suscipiet: et cum tanto viventes studio, et mortem deridentes, pro aliis tamen dolent, et ex hoc vicissim maximam capiunt utilitatem.

Studeamus igitur animæ nostræ curam habere, et inexspectatorum nihil nos poterit contristare; et pro carceratis Deum oremus, ut ab imminenti liberentur calamitate. Poterat nempe totum simul solvere malum, et ne tenues quidem manere sinere reliquas; sed ne rursus ad priorem revertamur torporem, sensim et paulatim horum torrentem malorum remittere curavit, in eadem nos retinens pietate. Et quod hoc sit verum, quodque multi ad priorem rediissent torporem, si brevi cuncta soluta fuissent, inde manifestum est: adhuc calamitatis reliquiæ remanent, adhuc Imperatoris est incerta sententia, et omnes qui civitatis negotia administrabant sunt in vinculis; multi tamen civitatem nobiscum habitantium lavandi cupiditate ad fluvium currunt, innumeris illic lusibus indulgentes, luxuriantes, lascivientes, saltantes, feminas pertrahentes. Qua igitur illi venia digni? qua excusatione? imo vero qua non fuerint pœna et ultione digni? Civitatis caput in carcere, membra nostra in exsilio, incerta de his sententia: et tu dic, quæso, saltas et ludis et rides? Dicit aliquis: Non ferimus illoti manere. O impudentem sententiam, o abjectam et perditam! quot menses, dic, rogo, fuerunt? quot anni? nondum viginti dies balneis exclusus egisti, et tamquam totum illotus transegeris annum, sic moreris et indignaris? Talisne, quæso, fuisti cum militum incursum, cum per singulos te moriturum dies exspectabas, quando in deserta fugiebas et ad montium currebas vertices? Si quis tibi tunc annum illotum manere proposuisset, ut ab instanti liberareris anxietate, nonne promte suscepisses atque tulisses? Cum igitur illi qui absque omni damno hæc solvit, Deo gratias agere conveniat, lascivis rursum et contumeliam facis, et quoniam metus transivit, ad majorem iterum torporem rediisti? Adeo non tetigerunt te mala, ut appetas et balnea? licet enim balnea permitterentur, non poterat eorum qui adhuc detinentur calamitas, etiam eis qui in his non essent miseriis, persuadere ut omnium obliviscerentur deliciarum? De anima periculum

λαντίων μέμνησαι, καὶ τρυφᾷν βούλει; Καταφρονεῖς ὅτι διέφυγες νῦν; ὅρα μὴ μείζονος κολάσεως σαυτῷ περιστήσῃς ἀνάγκην, καὶ πάλιν ἀπιλθοῦσαν καλέσῃς μετὰ πλείονος τῆς περιουσίας τὴν ἀπειλήν, καὶ πάθῃς ταὐτὸν ὃ περὶ τῶν δαιμονώντων φησὶν ὁ Χριστός· ἐπειδὰν γὰρ ἐξέλθῃ τὸ πνεῦμα τὸ ἀκάθαρτον, φησὶν, εἶτα εὑρὴ τὸν οἶκον σχολάζοντα καὶ σεσαρωμένον, ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ [πάλιν] λαβὸν εἰσέρχεται τῇ ψυχῇ, καὶ γίνεται τὰ ἔσχατα αὐτοῦ χείρονα τῶν πρώτων. Φοβηθῶμεν οὖν καὶ ἡμεῖς, μὴ τῶν προτέρων ἀπαλλαγέντες, μείζονα τῶν προτέρων ἐπισπασώμεθα διὰ τῆς μετὰ ταῦτα ῥᾳθυμίας. Οἶδα ὅτι ὑμεῖς ταύτης καθαροί ἐστε τῆς ἀτοπίας· ἀλλὰ καὶ τοὺς ἀκοσμοῦντας κατέχετε, κολάζετε, σωφρονίζετε, ἵνα πάντοτε χαίρωμεν, καθὼς ὁ Παῦλος ἐπέταξεν, ὅπως καὶ τῶν οἰκείων κατορθωμάτων καὶ τῆς ἑτέρων προνοίας πολλὴν καὶ ἐνταῦθα καὶ κατὰ τὴν μέλλουσαν ζωὴν κερδανώμεθα τὴν ἀμοιβήν, χάριτι κτλ.

est, et tu balneorum recordaris, et deliciis vis vacare? Contemnis quod nunc effugisti? vide ne majoris pœnæ tibi necessitatem circumponas, et ablatas rursum minas cum majori attrahas discrimine, et idem patiaris, quod de comprehensis a dæmonibus inquit Christus. Postquam enim egressus fuerit spiritus immundus, inquit (*Luc.* 11. 24 — 26), et postea invenerit domum vacantem et scopis mundatam, septem alios spiritus nequiores se iterum assumens, vertitur in animam, et fiunt posteriora ejus pejora prioribus. Timeamus igitur et nos, ne a prioribus liberati, inertia subrepente, prioribus pejora subeamus. Novi vos ab hac alienos stultitia; verum et incomposite ambulantes cohibete, punite, castigate; ut semper gaudeamus, sicut Paulus imperavit: ut et propriorum meritorum et aliorum curæ multam et hic et in futura vita capiamus mercedem, gratia etc.

ΟΜΙΛΙΑ ιθ'.

Τῇ κυριακῇ τῆς ἐπισωζομένης πρὸς τοὺς ἀπὸ τῆς χώρας· καὶ περὶ τοῦ μὴ ὀμνύειν.

Κατετρυφήσατε τῶν ἁγίων μαρτύρων ἐν ταῖς ἔμπροσθεν ταύταις ἡμέραις· ἐνεφορήθητε τῆς πνευματικῆς ἑορτῆς· ἐσκιρτήσατε τὰ καλὰ σκιρτήματα· εἴδετε πλευρὰς ἠνεῳγμένας καὶ λαγόνας κατατμηθείσας, αἷμα καταῤῥέον πάντοθεν, μυρία βασανιστηρίων εἴδη· εἴδετε φύσιν ἀνθρωπίνην τὰ ὑπὲρ φύσιν ἐπιδεικνυμένην, καὶ στεφάνους ἐξ αἵματος πλεκομένους· ἐχορεύσατε χορείαν καλὴν, πανταχοῦ τῆς πόλεως τοῦ καλοῦ τούτου περιάγοντος ὑμᾶς στρατηγοῦ· ἀλλ' ἡμᾶς ἡ ἀσθένεια καὶ ἄκοντας οἴκοι μένειν κατηνάγκαζε. Πλὴν εἰ καὶ μὴ μετέσχομεν τῆς ἑορτῆς, μετέσχομεν τῆς ἡδονῆς· εἰ καὶ μὴ τῆς πανηγύρεως ἀπηλαύσαμεν, ἀλλ' ἐκοινωνήσαμεν τῆς εὐφροσύνης ὑμῖν. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· τοὺς οὐκ ἀπολαύοντας τῶν ἀπολαυόντων ἐξ ἴσης ποιεῖ χαίρειν, κοινὰ τὰ τῶν πλησίον ἀγαθὰ πείθουσα νομίζειν. Διὰ τοῦτο καὶ οἴκοι καθήμενος ἔχαιρον μεθ' ὑμῶν, καὶ τῆς ἀῤῥωστίας μοι μηδέπω λυθείσης ἁπάσης, ἀνέστην καὶ ἔδραμον πρὸς ὑμᾶς, ὥστε τὰ ποθεινὰ πρόσωπα ὑμῶν ἰδεῖν καὶ τῆς παρούσης μετασχεῖν ἑορτῆς. Ἑορτὴν γὰρ μεγίστην εἶναι νομίζω τὴν παροῦσαν ἡμέραν διὰ τὴν τῶν ἀδελφῶν παρουσίαν τῶν ἡμετέρων, οἳ τὴν πόλιν ἡμῖν ἐκαλλώπισαν τήμερον καὶ τὴν ἐκκλησίαν ἐκόσμησαν· λαὸς κατὰ μὲν τὴν (ἰδίαν) γλῶτταν ἡμῖν ἐνηλλαγμένος, κατὰ δὲ τὴν πίστιν ἡμῖν συμφωνῶν, λαὸς ἀπραγμοσύνῃ συζῶν, βίον σώφρονα καὶ σεμνὸν ἔχων. Παρὰ τοῖς ἀνδράσι τούτοις οὐκ ἔστι θέατρα παρανομίας, οὐδὲ ἵππων ἅμιλλαι, οὐδὲ πόρναι γυναῖκες, οὐδὲ ἡ λοιπὴ τῆς πόλεως βλακεία· ἀλλὰ πᾶν μὲν ἀσελγείας εἶδος ἐξελήλαται, πολλὴ δὲ πανταχοῦ ἀνθεῖ ἡ σωφροσύνη. Τὸ δὲ αἴτιον,

HOMILIA XIX.

Dominica Servatæ ad homines agros colentes, et de vitando juramento.

1. Epulis sanctorum martyrum excepti estis his præteritis diebus, spirituali celebritate repleti exsultastis honestis exsultationibus: vidistis aperta latera et ilia concisa, cruorem undique defluentem, infinitas tormentorum species: humanam vidistis naturam supernaturalia præstantem, et coronas sanguine contextas: pulchram saltastis choream, in omnem partem civitatis hoc honesto duce vos circumagente. Sed nos et invitos infirmitas domi manere cogebat. Tamen etsi solemnitati non interfuimus, de voluptate participavimus: etsi de concione fructum non cepimus, vobiscum tamen lætitiam communem habuimus. Talis est enim caritatis vis: non fruentes pariter cum fruentibus gaudere facit, communia proximorum bona putare persuadens. Propterea et domi sedens gaudebam vobiscum, et morbo nondum solutus surrexi et cucurri ad vos, ut desiderabiles facies vestras intuerer, et præsentis festivitatis particeps fierem. Festivitatem enim maximam esse puto præsentem diem, propter fratrum præsentiam nostrorum, qui urbem nobis hodie ornaverunt et ecclesiam honestarunt. Populus lingua quidem nobis diversus, fide vero consonus: populus in tranquillitate vivens, vitam habens modestam et venerabilem. Apud hos enim viros non iniquitatis spectacula, non equorum certamina neque meritorias mulieres, nec reliqua urbis pravitas, sed omne luxuriæ genus eliminatum est; multa vero ubique modestia floret. Id vero est in causa, quod

ἐπίπονος αὐτοῖς ἐστιν ὁ βίος, καὶ διδασκαλεῖον ἀρετῆς ἔχουσι καὶ σωφροσύνης τὴν τῆς γῆς ἐργασίαν, καὶ τέχνην μετιόντες ἦν πρὸ τῶν ἄλλων ἁπασῶν ὁ Θεὸς εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. Καὶ γὰρ πρὸ τῆς ἁμαρτίας ὁ Ἀδὰμ, ἡνίκα πολλῆς ἀπήλαυε παῤῥησίας, γεωργίαν τινὰ ἐπετάγη μετιέναι, οὐκ ἐπίπονον μὲν οὐδὲ ταλαιπωρίαν ἔχουσαν, πολλὴν δὲ αὐτῷ τὴν φιλοσοφίαν παρέχουσαν. « Ἔθηκε γὰρ αὐτὸν, φησὶν, ἐργάζεσθαι καὶ φυλάσσειν τὸν παράδεισον. » Τούτων ἕκαστον ἴδοι τις ἂν νῦν μὲν ζευγνύντα βοῦς ἀροτῆρας καὶ ἄροτρον ἕλκοντα καὶ βαθεῖαν αὖλακα τέμνοντα, νῦν δὲ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντα βῆμα καὶ τὰς ψυχὰς ἀροτριῶντα τῶν ὑπηκόων, νῦν μὲν δρεπάνῃ τὰς ἀκάνθας ἐκτέμνοντα τῆς γῆς, νῦν δὲ λόγῳ τὰς ἁμαρτίας ἐκκαθαίροντα τῶν ψυχῶν. Οὐ γὰρ ἐπαισχύνονται τὴν ἐργασίαν, καθάπερ οἱ τὴν πόλιν ἡμῖν οἰκοῦντες, ἀλλ' ἐπαισχύνονται τὴν ἀργίαν, μαθόντες ὅτι πᾶσαν ἐκείνη τὴν βλακείαν ἐδίδαξε, καὶ διδάσκαλος πονηρίας ἐγένετο ἐξ ἀρχῆς τοῖς ἀγαπῶσιν αὐτήν. Οὗτοι μάλιστά εἰσιν οἱ τὴν ἀρίστην ἡμῖν φιλοσοφίαν φιλοσοφοῦντες, οὐκ ἀπὸ τοῦ σχήματος, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν ἀρετὴν ἐνδεικνύμενοι τὴν ἑαυτῶν. Ὡς οἵ γε τῶν ἔξωθεν φιλόσοφοι τῶν ἐν τῇ σκηνῇ καὶ ταῖς τῶν μίμων παιδιαῖς φιλοσοφούντων οὐδὲν ἄμεινον διάκεινται, τοῦ τρίβωνος καὶ τοῦ πώγωνος καὶ τῆς στολῆς οὐδὲν πλέον ἔχοντες ἐπιδείξασθαι· οὗτοι δὲ τοὐναντίον ἅπαν, βακτηρίᾳ καὶ πώγωνι καὶ τῇ ἄλλῃ σκευῇ πολλὰ χαίρειν εἰπόντες, τὴν ψυχὴν ἑαυτῶν κατεκόσμησαν τοῖς τῆς ἀληθοῦς φιλοσοφίας δόγμασιν, οὐχὶ τοῖς δόγμασι δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς. Κἂν ἔρῃ τινὰ τούτων τῶν ἐν ἀγροικίᾳ ζώντων, καὶ ἐν σκαπάνῃ καὶ ἐν ἀρότρῳ διαπονηθέντων, ὑπὲρ τῶν δογμάτων, ὑπὲρ ὧν μυρία περιελθόντες οἱ τῶν ἔξωθεν φιλόσοφοι καὶ πολλοὺς ἀναλώσαντες λόγους οὐδὲν ἠδυνήθησαν ὑγιὲς εἰπεῖν, μετὰ ἀκριβείας ἀποκρινεῖταί σοι πάντα ἐκ πολλῆς τῆς σοφίας. Καὶ οὐ τοῦτό ἐστι [τὸ] θαυμαστὸν μόνον, ἀλλ' ὅτι καὶ διὰ τῶν ἔργων βεβαιοῦνται τὴν διὰ τῶν δογμάτων πίστιν. Καὶ γὰρ ὅτι τὴν ψυχὴν ἀθάνατον ἔχομεν, καὶ μέλλομεν τῶν ἐνταῦθα πεπραγμένων εὐθύνας διδόναι καὶ βήματι παρίστασθαι φοβερῷ, καὶ τὴν διάνοιαν ἔπεισαν, καὶ τὸν βίον ἅπαντα πρὸς ταύτας κατεστήσαντο τὰς ἐλπίδας, καὶ πάσης ἀνώτεροι βιωτικῆς ἐγένοντο φαντασίας, παιδευθέντες παρὰ τῆς θείας Γραφῆς ὅτι « Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης », καὶ πρὸς οὐδὲν τῶν δοκούντων εἶναι λαμπρῶν κεχήνασιν. Οὗτοι καὶ περὶ Θεοῦ φιλοσοφεῖν ἴσασι ταῦτα, ἅπερ ἐπέταξεν ὁ Θεός· κἂν ἕνα αὐτῶν λαβὼν φιλόσοφόν τινα τῶν ἔξωθεν ἀγάγῃς εἰς μέσον νῦν· μᾶλλον δὲ νῦν μὲν οὐδένα ἐστὶν εὑρεῖν· ἂν δέ τινα τούτων λαβὼν, καὶ τὰ βιβλία τῶν πάλαι παρ' αὐτοῖς φιλοσοφησάντων ἀναπτύξας ἐπέλθῃς, καὶ τί μὲν οὗτοι νῦν ἀποκρίνονται, τί δὲ ἐκεῖνοι τότε ἐφιλοσόφησαν παράλληλα θεὶς ἐξετάσῃς, ὄψει πόση μὲν ἡ τούτων σοφία, πόση δὲ ἡ ἐκείνων ἄνοια. Ὅταν γὰρ οἱ μὲν αὐτῶν μήτε προνοίας λέγωσιν ἀπολαύειν τὰ

laboriosa sit ipsis vita, et virtutis scholam atque modestiæ habeant terræ culturam, artem tractantes, quam ante reliquas omnes in vitam Deus nostram intulit. Etenim ante peccatum Adam, quando multa fruebatur libertate, agriculturam quamdam obire jussus est, non laboriosam quidem nec ærumnas habentem, sed multam ipsi præbentem philosophiam. *Posuit* enim *ipsum*, ait (*Gen.* 2. 15), *ut operaretur et custodiret paradisum*. Horum quemque cerneres nunc quidem boves jugantem aratores et aratrum trahentem et profundum scindentem sulcum, nunc autem sacrum ascendentem suggestum et subditorum animas arantem : nunc quidem agri spinas excidentem falce, nunc vero sermone ex animis peccata extergentem. Non enim erubescunt culturas, sicut urbis nostræ incolæ, sed erubescunt segnitiem, quoniam didicerunt illam omnem docuisse malitiam, et ab initio se diligentius nequitiæ fuisse magistram. Hi sunt maxime qui nobis optimam philosophari videntur philosophiam, non ex habitu, sed ex animo virtutem suam exhibentes. Itaque externorum philosophi, scenicis et qui mimorum in ludis ridentur philosophis nihilo melius se habent, pallio et barba et stola nihil amplius exhibere valentes : hi vero contra, baculo et barba et reliquo apparatu longum valere jussis, animam suam veræ philosophiæ præceptis exornavere, nec præceptis tantum, verum et operibus ipsis. Et si horum quempiam interroges in agricultura viventium, et ligone et aratro confectorum, de dogmatis, de quibus infinita quærentes externi philosophi et sermones multos fundentes nihil sanum dicere potuerunt, sedulo cuncta tibi cum multa respondebit sapientia. Nec hoc tantum est admirabile, verum et quoniam per opera dogmatum fidem firmant. Etenim quod animam habeamus immortalem, et omnium quæ hic geruntur rationes reddere debeamus, et tremendo assistere tribunali, et in mente sibi persuaserint, et vitam omnem ad hanc spem instituerunt, et omni sæculari pompa superiores redditi, atque a divina eruditi Scriptura, quod (*Eccl.* 1. 2) *Vanitas vanitatum, et omnia vanitas* : ad nil eorum quæ videntur esse clara, anhelant. Hi et de Deo hæc philosophari norunt, quæ Deus mandavit. Ac si assumens eorum unum, philosophum aliquem externorum nunc in medium adducas, imo vero nunc quidem nullus potest inveniri; si vero horum assumas unum, evolvensque priscorum philosophorum libros percurras, et quid hi quidem nunc respondent, quid autem illi tunc philosophati sunt, in comparatione invicem ponens discutias, videbis quanta sit horum sapientia, quanta vero illorum dementia. Cum enim illorum quidam nullam in rebus esse providentiam dicant, nec a Deo creatum esse

ὄντα, μήτε ὑπὸ Θεοῦ γενέσθαι τὴν κτίσιν, μήτε τὴν ἀρετὴν αὐτὴν ἑαυτῇ αὐτάρκη εἶναι, ἀλλὰ δεῖσθαι χρημάτων καὶ εὐγενείας καὶ τῆς ἔξωθεν περιφανείας, καὶ ἕτερα πολλῷ τούτων καταγελαστότερα· οὗτοι δὲ καὶ περὶ προνοίας, καὶ περὶ δικαστηρίων τῶν μετὰ ταῦτα, καὶ περὶ τῆς τοῦ Θεοῦ δημιουργίας τῆς ἐξ οὐκ ὄντων [τὰ πάντα παραγούσης], καὶ περὶ τῶν ἄλλων ἁπάντων φιλοσοφῶσι τῆς ἔξωθεν ὅλως μὴ μετασχόντες παιδεύσεως· τίς οὐκ ἂν αὐτόθεν μάθοι τὴν τοῦ Χριστοῦ δύναμιν, ἢ τοὺς ἀγραμμάτους καὶ ἰδιώτας τῶν μέγα ἐπὶ σοφίᾳ κομπαζόντων τοσούτῳ σοφωτέρους ἀπέδειξεν, ὅσῳ τῶν μικρῶν παιδίων τοὺς ἔμφρονας ἀνδρας ὑπερέχοντάς ἐστιν ἰδεῖν; Τί γὰρ αὐτοῖς βλάβος ἀπὸ τῆς κατὰ τὸν λόγον ἰδιωτείας γένοιτ' ἄν, ὅταν τὰ νοήματα αὐτοῖς πολλῆς γέμῃ σοφίας; τί δὲ ὄφελος τοῖς ἔξωθεν ἀπὸ τῆς τῶν λόγων διδασκαλίας, ὅταν ἐρήμη νοημάτων ᾖ ἡ διάνοια; ὥσπερ ἂν εἴ τις μάχαιραν ἔχοι τὴν μὲν λαβὴν ἔχουσαν ἀργυρᾶν, τὸ δὲ σιδήριον μολύβδου παντὸς ἀσθενέστερον· καὶ γὰρ καὶ τούτοις ἡ μὲν γλῶττα διὰ ῥημάτων καὶ ὀνομάτων ἐστὶ κεκαλλωπισμένη, ἡ διάνοια δὲ πολλῆς γέμει τῆς ἀσθενείας, καὶ πρὸς ἅπαντά ἐστιν αὐτοῖς ἄχρηστος· ἀλλὰ οὐχ ἡ τῶν φιλοσόφων τούτων, ἀλλὰ τοὐναντίον ἅπαν, πολλῆς αὐτοῖς ἡ διάνοια γέμει σοφίας πνευματικῆς, καὶ ὁ βίος τὰ δόγματα μιμεῖται. Παρὰ τούτοις οὐκ εἰσὶ γυναῖκες θρυπτόμεναι, οὐδὲ ἱματίων καλλωπισμὸς, οὐδὲ ἐπιτρίμματα καὶ ὑπογραφαὶ, ἀλλὰ πᾶσα τοιαύτη διαφθορὰ τρόπων ἀπελήλαται· ὅθεν καὶ εὐκολώτερον τὸν ὑποτεταγμένον αὐτοῖς ὄχλον εἰς σωφροσύνην ἄγουσι, καὶ τὸν τοῦ Παύλου νόμον τὸν κελεύοντα σκεπάσματα ἔχειν καὶ διατροφὰς καὶ μηδὲν πλέον ἐπιζητεῖν, μετὰ πολλῆς φυλάττουσι τῆς ἀκριβείας. Παρὰ τούτοις οὐκ ἔστιν ἀλοιφὴ μύρων καταγοητεύουσα τὴν διάνοιαν, ἀλλ' ἡ γῆ βοτάνας ἐκφέρουσα παντὸς μυρεψοῦ σοφώτερον αὐτοῖς κατασκευάζει τὴν ποικίλην τῶν ἀνθῶν εὐωδίαν. Διὰ τοῦτο αὐτοῖς καὶ τὰ σώματα ὑγείας ἀπολαύει καθαρᾶς μετὰ τῆς ψυχῆς, ἐπειδὴ πᾶσαν τρυφὴν ἀπήλασαν καὶ τὰ πονηρὰ τῆς μέθης ἐξέβαλον ῥεύματα, καὶ τοσοῦτον ἐσθίουσιν ὅσον ἀποζῆν. Μὴ τοίνυν ἀπὸ τοῦ σχήματος αὐτῶν καταφρονῶμεν· [ἀλλὰ τὴν διάνοιαν αὐτῶν θαυμάζωμεν·] τί γὰρ ὄφελος τῆς ἔξωθεν περιβολῆς, ὅταν ἡ ψυχὴ προσαίτου παντὸς ἀθλιώτερον ᾖ ἐσταλμένη; Τὸν ἄνδρα οὐκ ἀπὸ τῶν ἱματίων, μᾶλλον δὲ οὐδὲ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τῆς ψυχῆς ἐπαινεῖν χρὴ καὶ θαυμάζειν. Ἀπόδυσον τούτων τὴν ψυχὴν, καὶ ὄψει τὸ κάλλος αὐτῆς καὶ τὸν πλοῦτον διὰ τῶν ῥημάτων, διὰ τῶν δογμάτων, διὰ τῆς ὅλης τῶν τρόπων καταστάσεως.

Αἰσχυνέσθωσαν τοίνυν Ἕλληνες, ἐγκαλυπτέσθωσαν καὶ καταδυέσθωσαν ἐπὶ τοῖς αὐτῶν φιλοσόφοις καὶ τῇ πάσης μωρίας ἀθλιωτέρᾳ αὐτῶν σοφίᾳ. Οἱ μὲν γὰρ παρ' αὐτοῖς φιλόσοφοι κατὰ τὸν καιρὸν ὃν ἔζων ὀλίγους μόλις καὶ σφόδρα εὐαριθμήτους ἴσχυσαν πεῖσαι τὰ αὐτῶν φυλάξαι δόγματα, καὶ κινδύνου μικροῦ κατα-

mundum, neque virtutem sibi ipsi sufficientem esse, sed opus esse pecuniis et nobilitate et exteriori claritate, et multa alia his magis ridicula : hi autem et de providentia, et de judiciis quæ post hæc erunt, et de Dei creatione qui ex nihilo omnia produxit, et de aliis omnibus philosophantur, nihil omnino de externa scientes disciplina, quis non hinc Christi potentiam discat, quæ illiteratos et idiotas multum in sapientia gloriantibus tanto sapientiores reddiderit, quanto parvis pueruli prudentes viros præstantes cernere est? Quod enim ipsis damnum ex sermonis imperitia esse possit, cum mentes multa sint ipsis plenæ sapientia? quæ vero externis ex sermonum disciplina utilitas, cum mens sensu sit vacua? ut si quis ensem gereret, capulum quidem argenteum habentem, ferrum vero quolibet plumbo imbecillius : et his enim lingua quidem verbis et nominibus est ornata, mens vero multa repleta est infirmitate, et ipsis ad omnia est inutilis : at non sic horum philosophorum, sed penitus contrarium, multæ mens ipsis sapientiæ spiritualis est plena, et dogmata vita sectatur. Apud hos non sunt mulieres luxuriantes, nec vestimentorum ornatus, nec colores et fuci, sed omnis hujusmodi morum corruptio pulsa est. Unde et facilius subditum sibi populum in modestiam deducunt, et Pauli legem (1. *Tim.* 6. 8) velamina et escas habere et nil amplius quærere jubentem, multa cum diligentia custodiunt. Apud hos non est unguentorum usus mentem allectans, sed terra herbas proferens omni unguentario sapientius ipsis variam florum parat suavitatem. Propterea et ipsis corpora cum animis pura sanitate fruuntur, quoniam omnes delicias expulerunt, et nequissima ebrietatis fluenta fugaverunt, et tantum comedunt, quantum ad vivendum sufficit. Ne igitur ipsos ex habitu contemnamus, sed ipsorum mentem admiremur. Quæ namque exterioris amictus utilitas, cum anima mendico sit omni miserius induta? Virum non a vestimentis, imo nec ab ipso corpore, sed ab anima laudare decet et admirari. Horum animam exue, et ipsius pulchritudinem videbis atque divitias per verba, per dogmata, per omnem morum constitutionem.

2. Erubescant igitur gentiles, velent se et abscondantur, de suis philosophis, de sua sapientia omni stultitia miseriore. Apud ipsos enim philosophi per vitæ suæ tempus vix paucis et facile numerabilibus persuadere potuerunt ut dogmata sua observarent, et vel exiguo apprehendente

λαβόντος καὶ τούτους ἀπώλεσαν· οἱ δὲ τοῦ Χριστοῦ μαθηταὶ, οἱ ἁλιεῖς καὶ τελῶναι καὶ σκηνοποιοὶ, ἐν ὀλίγοις ἔτεσι τὴν οἰκουμένην ἅπασαν πρὸς τὴν ἀλήθειαν ἐπανήγαγον, καὶ μυρίων ἐξ ἐκείνου γινομένων κινδύνων, οὐ μόνον οὐκ ἐσβέσθη τὸ κήρυγμα, ἀλλὰ καὶ ἀνθεῖ καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσι· καὶ φιλοσοφεῖν ἐδίδαξαν ἀνθρώπους ἰδιώτας καὶ γηπόνους καὶ θρέμμασιν ὁμιλοῦντας. Οὗτοι μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν ἀγάπην ἐρριζωμένην ἔχοντες, ἔσπευσαν πρὸς ἡμᾶς τοσαύτην δραμόντες ἐλθεῖν ὁδὸν, καὶ τὰ οἰκεῖα περιπτύξασθαι μέλη. Φέρε οὖν καὶ ἡμεῖς ἀντὶ τῶν δώρων τούτων, τῆς ἀγάπης λέγω καὶ τῆς διαθέσεως, ἐρόδια δόντες αὐτοῖς, οὕτως αὐτοὺς ἀποπέμψωμεν, καὶ τὸν περὶ τῶν ὅρκων πάλιν κινήσωμεν λόγον, ὥστε πρόῤῥιζον ἐκ τῆς διανοίας ἁπάντων ἀνασπασθῆναι τὴν πονηρὰν ταύτην συνήθειαν. Βούλομαι δὲ πρότερον μικρὰ τῶν πρώην [ἡμῖν] εἰρημένων ἀναμνῆσαι τήμερον.

Ἐπειδὴ γὰρ τῆς Περσίδος ἀπαλλαγέντες οἱ Ἰουδαῖοι καὶ τῆς τυραννίδος ἐλευθερωθέντες ἐκείνης, πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, « Εἶδον ὁρέπανον, φησὶ, πετόμενον μῆκος πηχῶν εἴκοσι καὶ πλάτος πηχῶν δέκα »· καὶ τοῦ προφήτου παιδεύοντος αὐτοὺς ἤκουον ὅτι « Αὕτη ἐστὶν ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐκ προσώπου τῆς γῆς, καὶ αὕτη εἰσερχομένη εἰς τὸν οἶκον τοῦ ὀμνύοντος ἐπὶ ψεύδει, καταλύσει εἰς τὸ μέσον, καὶ τὰ ξύλα καὶ τοὺς λίθους καθελεῖ πάντας. » Καὶ τούτων ἀναγνωσθέντων τότε, ἐζητοῦμεν τίνος ἕνεκεν οὐχὶ τὸν ὀμόσαντα μόνον, ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ καταλύει· καὶ ταύτην ἐλέγομεν αἰτίαν εἶναι, ὅτι τῶν χαλεπωτάτων ἁμαρτημάτων τὰς τιμωρίας βούλεται μένειν ὁ Θεὸς διηνεκεῖς, ὥστε τοὺς μετὰ ταῦτα σωφρονίζεσθαι πάντας. Ἐπεὶ οὖν τὸν ἐπίορκον ἀποθανόντα ἀνάγκη ταφῆναι καὶ τοῖς κόλποις παραδοθῆναι τῆς γῆς, ὥστε μὴ καὶ τῷ σώματι τὴν πονηρίαν αὐτοῦ συνταφῆναι, καὶ τὴν οἰκίαν ἐποίησε χῶμα, ὑπὲρ τοῦ τοὺς παριόντας ἅπαντας ὁρῶντας αὐτὴν καὶ τὴν αἰτίαν μανθάνοντας τῆς κατασκαφῆς φυγεῖν τὴν τῆς ἁμαρτίας μίμησιν. Τοῦτο καὶ ἐπὶ Σοδόμων ἐγένετο· ἐπειδὴ γὰρ ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἐξεκαύθη καὶ τῆς γῆς ἡ φύσις ὑπὸ τοῦ κατενεχθέντος ἄνωθεν πυρός· ἐβούλετο γὰρ καὶ ταύτης τῆς ἁμαρτίας τὴν τιμωρίαν μένειν διηνεκῆ. Καὶ σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· οὐχὶ τοὺς ἁμαρτάνοντας αὐτοὺς ἐποίησε διηνεκῶς καίεσθαι μέχρι τῆς παρούσης ἡμέρας, ἀλλ' ἐκείνους μὲν ἅπαξ ἁμαρτησθέντας ἀπέκρυψε, τὸ δὲ πρόσωπον τῆς γῆς καταλύσας, εἰς μέσον ἅπασι προύθηκε τοῖς μετὰ ταῦτα βουλομένοις ὁρᾶν, καὶ νῦν φωνῆς ἁπάσης λαμπρότερον πάσαις ταῖς μετὰ ταῦτα παραινεῖ γενεαῖς ἡ τῆς γῆς ὄψις, μονονουχὶ βοῶσα καὶ λέγουσα, Μὴ τολμήσητε τὰ Σοδόμων, ἵνα μὴ πάθητε τὰ Σοδόμων. Οὐδὲ γὰρ οὕτω λόγος καθικνεῖσθαι διανοίας εἴωθεν, ὡς ὄψις φοβερὰ καὶ τῆς συμφορᾶς τὰ ἴχνη φέρουσα διὰ παντὸς τοῦ χρόνου. Καὶ μαρτυροῦσιν οἱ ἐν τοῖς χωρίοις ἐκείνοις παραγενόμενοι.

periculo hos etiam perdiderunt; Christi vero discipuli, piscatores et publicani et tentoriorum sutores, paucis annis totum mundum ad veritatem converterunt: et innumeris tamen nascentibus periculis non tantum non est exstincta prædicatio, verum et floret et in majus augetur, et philosophari docuerunt homines rudes et agricolas et inter armenta versantes. Illi præter cætera omnia etiam omnium bonorum causam caritatem in ipsis radicatam habentes, ad nos festinaverunt tantam currentes viam, ut venirent et propria circumplecterentur membra. Eia igitur et nos pro donis istis, caritate dico et affectu, vialia dantes, sic ipsos remittamus, et rursum de juramentis sermonem moveamus, ut radicitus ex omnium mente improba hæc consuetudo revellatur. Prius autem volo pauca de dictis a nobis superius hodie commemorare.

Postquam enim a Perside dimissi Judæi et ab illa liberati tyrannide, in propriam rediere patriam: *Vidi falcem*, inquit (*Zachar.* 5. 1. 2), *volantem longitudine cubitorum viginti, et latitudine cubitorum decem*: et prophetam se docentem audierunt (*ib.* v. 3. 4.): *Hæc est maledictio egrediens de facie terræ, et ingrediens domum pejerantis, et dissolvet in medio, et ligna et lapides destruet omnes.* Et his tunc lectis, quærebamus quare non jurantem solum, sed etiam ipsius domum dissolvit: et hanc causam esse dicebamus, quoniam gravissimorum pœnas peccatorum vult Deus continuas permanere, ut omnes post hæc viventes corrigantur. Quoniam igitur perjurum necesse est mortuum sepeliri et terræ sinibus tradi, ne cum ipsius corpore et iniquitas consepeliatur, etiam domum tumulum fecit, ut prætereuntes cuncti ipsam cernentes et suffossionis causam discentes, peccati imitationem fugiant. Hoc et in Sodomis factum est. Postquam enim exarserunt in sui concupiscentiam mutuam, etiam terræ natura ab igne superne delato succensa fuit: volebat enim hujus peccati ultionem manere perpetuam. Et contemplare Dei clementiam: non ipsos peccatores perpetuo usque in præsentem diem ardere fecit, sed illos semel incensos occultavit; terræ vero faciem solutam in medium omnibus proposuit post hæc cernere volentibus, et nunc omni lingua clarius omnes posteras generationes terræ commonet aspectus, tantum non clamans et dicens, Ne patretis Sodomorum scelera, ne pœnas patiamini Sodomorum. Nec enim sic in mentes sermo pervenire solet, ut aspectus terribilis et per omne tempus calamitatis gerens vestigia. Et attestantur qui ad illa loca profecti sunt, qui sæpius Scripturam de his loquentem

νόμενοι, οἱ πολλάκις τῆς Γραφῆς ὑπὲρ τούτων διαλεγομένης ἀκούοντες οὐ σφόδρα ἔδεισαν· ἐπειδὴ δὲ ἦλθον καὶ τῆς χώρας ἐπέβησαν, καὶ τὴν ὄψιν αὐτῆς ἠφανισμένην εἶδον ἅπασαν, καὶ τὸν ἐμπρησμὸν ἐθεάσαντο, καὶ γῆν μὲν οὐδαμοῦ φαινομένην, κόνιν δὲ πάντα καὶ τέφραν, καταπλαγέντες καὶ πολλὴν ἀπὸ τῆς θεωρίας ἐκείνης δεξάμενοι διδασκαλίαν σωφροσύνης, οὕτως ἀπῆλθον. Καὶ γὰρ αὐτὸς τῆς κολάσεως ὁ τρόπος τῆς ἁμαρτίας τὸν τρόπον μεμίμηται. Καθάπερ γὰρ ἐκεῖνοι μῖξιν ἐπεισήγαγον ἄγονον, οὐκ εἰς παιδοποιίαν τελευτῶσαν, οὕτω δὴ καὶ ὁ Θεὸς τιμωρίαν ἐπήγαγεν, ἣ τὴν γαστέρα τῆς γῆς ἐποίησεν ἄγονον καθάπαξ καὶ καρπῶν ἔρημον ἁπάντων. Διὰ τοῦτο καὶ τῶν ὀμνυόντων τὰς οἰκίας καθαιρεῖν ἠπείλησεν, ἵνα ἑτέρους ταῖς ἐκείνων τιμωρίαις σωφρονιστέρους ποιήσῃ. Ἀλλ' ἐγὼ δείκνυμι σήμερον οὐχὶ μίαν καὶ δύο καὶ τρεῖς καθαιρεθείσας οἰκίας ἀπὸ τῶν ὅρκων, ἀλλὰ πόλιν ὁλόκληρον καὶ δῆμον θεοφιλῆ καὶ ἔθνος πολλῆς ἀπολαῦσαν προνοίας ἀεὶ καὶ φυλὴν πολλοὺς διαφυγοῦσαν κινδύνους. Καὶ γὰρ Ἱερουσαλήμ, ἡ πόλις τοῦ Θεοῦ, ἡ τὴν κιβωτὸν τὴν ἁγίαν ἔχουσα καὶ τὴν λατρείαν ἅπασαν ἐκείνην, ἔνθα προῆσαν καὶ πνεύματος χάρις, καὶ κιβωτὸς, καὶ πλάκες διαθήκης, καὶ στάμνος ἡ χρυσῆ, ἔνθα ἄγγελοι πολλάκις ἐπεφοίτων, αὕτη ἡ πόλις, μυρίων γενομένων πολέμων καὶ πολλῶν αὐτὴν ἐπιδραμόντων βαρβάρων, καθάπερ τεῖχος ἐξ ἀδάμαντος περιβεβλημένη, οὕτω πάντων ἀεὶ κατεγέλασεν ἐκείνων, καὶ τῆς χώρας ἀφανισθείσης ἁπάσης οὐδὲν ἔπασχε δεινόν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ χαλεπὴν πολλάκις δοῦσα πληγὴν τοῖς πολεμίοις, οὕτως αὐτοὺς ἐξέπεμψε, καὶ τοσαύτης ἀπήλαυσε παρὰ τοῦ Θεοῦ τῆς προνοίας, ὡς αὐτὸν τὸν Θεὸν λέγειν, « Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, ὡς καρπὸν ἐν συκῇ πρωΐμον εἶδον πατέρας αὐτῶν. » Καὶ περὶ τῆς πόλεως αὐτῆς πάλιν, « Ὡς ῥῶγες ἐλαίας ἐπ' ἄκρῳ τοῦ μετεώρου, καὶ ἐροῦσι, Μὴ λυμήνῃ αὐτούς. » Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ φίλη πόλις, καὶ τοσούτους διαφυγοῦσα κινδύνους, καὶ ἐν πολλαῖς ἁμαρτίαις συγγνώμης τυχοῦσα, καὶ δυνηθεῖσα πάντων ἀπαχθέντων τῶν ἄλλων μόνη τὴν αἰχμαλωσίαν διαφυγεῖν ἅπαξ καὶ δὶς καὶ πολλάκις, κατηνέχθη ἀπὸ ὅρκου μόνου· καὶ πῶς, ἐγὼ λέγω.

audientes, non multum timebant; postquam vero venerunt et regionem ingressi sunt, et ipsius omnem superficiem viderunt deletam, et incendium sunt conspicati, et terram quidem nusquam apparentem, cinerem vero cuncta atque favillam, perculsi et multam ex aspectu illo capientes temperantiæ disciplinam, sic abierunt. Nam pœnitionis modus peccati modum est imitatus: sicut enim illi congressum infecundum adinvenerunt, ad filiorum procreationem non conferentem: sic profecto et Deus intulit pœnam, quæ terræ ventrem penitus sterilem reddidit et omnibus vacuum fructibus. Idcirco et jurantium domos se deleturum minatus est, ut alios illorum pœnis modestiores faceret. 3. Ego autem hodie demonstro non unam et duas et tres domos juramentis destructas, sed civitatem totam et populum religiosum, et gentem multa semper providentia uti solitam, et tribum multis elapsam periculis. Etenim Jerusalem, civitas Dei, sanctam arcam habens, et omnem illum cultum, ubi prophetæ fuerunt, et spiritus gratia, et arca, et tabulæ testamenti, et urna aurea, quo angeli sæpe accedebant: hæc civitas, innumeris nascentibus bellis et multis ipsam incursantibus barbaris, tamquam muro ex adamante circumdata, sic omnes illos semper derisit, et regione tota deleta, nihil grave passa est. Nec hoc solum est admirabile, verum et quod gravem sæpe plagam hostibus inferens, sic eos emittebant: tantam a Deo nacta erat providentiam, ut ipse Deus diceret (*Osee.* 9. 10), *Velut uvam in deserto invent Israel, velut fructum in ficu tempestivum vidi patres ipsorum.* Et iterum de ipsa civitate (*Isai.* 65. 8): *Velut grana olivæ in summo excelsi, et dicent, Ne noceas ipsis.* Verumtamen illa civitas Deo cara, tot elapsa periculis, in multis peccatis veniam assequuta, et quam sola, abductis aliis omnibus, captivitatem effugere potuit semel, bis et sæpius, solo juramento prostrata est: et quomodo id factum sit, dicam.

Ἐγένετό τις Σεδεκίας παρ' αὐτοῖς βασιλεύς· οὗτος ὁ Σεδεκίας τῷ βασιλεῖ τῶν βαρβάρων τῷ Ναβουχοδονόσορ ὅρκον δέδωκεν ὥστε μένειν ἐπὶ τῆς ἐκείνου συμμαχίας· μετὰ ταῦτα ἀπέστη καὶ πρὸς τὸν Αἰγύπτιον ἠτομόλησε βασιλέα, τῶν ὅρκων καταπτύσας, καὶ τοσαῦτα ἔπαθεν ὅσα αὐτίκα ἀκούσεσθε. Πρότερον δὲ ἀναγκαῖον εἰπεῖν τὴν παραβολὴν τοῦ προφήτου, δι' ἧς ἅπαντα ταῦτα ἠνίξατο. « Ἐγένετο λόγος Κυρίου, [φησὶ,] πρός με λέγων, Υἱὲ ἀνθρώπου, διήγησαι διήγημα, καὶ εἰπὲ παραβολὴν, καὶ ἐρεῖς· Τάδε λέγει Ἀδωναὶ Κύριος· ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, ὁ πλήρης ὀνύχων. » Λιτὸν ἐνταῦθα τὸν βασιλέα τῶν Βαβυλωνίων ἐκάλεσε,

Fuit quidam Sedecias apud ipsos rex: hic Sedecias juramentum dedit barbarorum regi Nabuchodonosor, se in ipsius commilitio permansurum: postea defecit et ad Ægypti regem transfugit, juramenta parvi pendens, et tanta passus est, quanta statim audietis. Prius vero necessarium est prophetæ parabolam dicere, per quam hæc omnia significavit. *Factum est verbum*, inquit (*Ezech.* 17. 1.—3), *Domini ad me dicens: Fili hominis, narra narrationem, et dic parabolam, et dices: Hæc dicit Adonai Dominus: Aquila grandis, magnarum alarum, longa extensione, plena unguibus.* Aquilam hic Babyloniorum regem vocavit: magnam autem ipsam

μέγαν δὲ αὐτὸν καὶ μεγαλοπτέρυγον (ἐκάλεσε) καὶ μακρὸν τῇ ἐκτάσει καὶ πλήρη ὀνύχων ὠνόμασε διὰ τὸ τῆς στρατιᾶς πλῆθος καὶ τὸ τῆς δυνάμεως μέγεθος καὶ τὸ τάχος τῆς ἐφόδου· καθάπερ γὰρ τῷ ἀετῷ πτέρυγες καὶ ὄνυχες ὅπλα, οὕτω τοῖς βασιλεῦσι στρατιῶται καὶ ἵπποι. Οὗτος τοίνυν ὁ ἀετός, φησίν, « ἔχει τὸ ἥγημα, εἰσιλθεῖν εἰς τὸν Λίβανον. » Τί ἐστι « τὸ ἥγημα »; Βουλήν, γνώμην· Λίβανον δὲ τὴν Ἰουδαίαν ἐκάλεσε διὰ τὸ πλησίον ἐκείνου κεῖσθαι τοῦ ὄρους. Εἶτα βουλόμενος εἰπεῖν τοὺς ὅρκους καὶ τὰς συνθήκας, « Ἔλαβε, φησίν, ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν εἰς τὸ πεδίον τὸ σπόριμον λαβεῖν ῥίζωσιν ἐν ὕδατι πολλῷ· ἐπιβλεπόμενον ἔταξεν αὐτό· καὶ ἀνέτειλε, καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν καὶ μικρὰν τῷ μεγέθει, καὶ ἐξέτεινε τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτοῦ ἦσαν. » Ἄμπελον ἐνταῦθα τὴν πόλιν ἐκάλεσε τὴν Ἱερουσαλήμ· τὸ δὲ εἰπεῖν ὅτι τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸν ἔβαλε τὸν ἀετὸν, καὶ αἱ ῥίζαι αὐτῆς ὑπακάτω αὐτοῦ ἦσαν, τὰς συνθήκας ἐδήλωσε καὶ τὴν πρὸς αὐτὸν συμμαχίαν, καὶ ὅτι ἐπέρριψεν αὐτὴν ἐπ' ἐκεῖνον. Εἶτα βουλόμενος δεῖξαι τὴν παρανομίαν, φησὶ, « Καὶ ἐγένετο ἀετὸς ἕτερος (περὶ τοῦ Αἰγυπτίου βασιλέως λέγων), μέγας καὶ μεγαλοπτέρυγος καὶ πολὺς τοῖς ὄνυξι, καὶ ἡ ἄμπελος αὕτη περιπλεκομένη ἐπ' αὐτὸν, καὶ ὁ ἕλιξ αὐτῆς ἐπ' αὐτὸν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλε τοῦ ποτίσαι αὐτήν. Διὰ τοῦτο εἶπον· Τάδε λέγει Ἀδωναὶ Κύριος· εἰ κατευθυνεῖ (τουτέστι παραβᾶσα τὸν ὅρκον καὶ τὰς συνθήκας), εἰ δυνήσεται μεῖναι καὶ σωθῆναι, καὶ μὴ διαπεσεῖν. » Εἶτα δεικνὺς ὡς οὐκ ἔστι τοῦτο, ἀλλ' ἀπολεῖται πάντως διὰ τὸν ὅρκον, περὶ τῆς κολάσεως αὐτῆς διαλέγεται, καὶ τὴν αἰτίαν τίθησιν· « Αἱ ῥίζαι γὰρ αὐτῆς, φησὶ, τῆς ἀπαλότητος καὶ ὁ καρπὸς σαπήσεται, καὶ ξηρανθήσονται πάντα τὰ προσανατέλλοντα αὐτῇ. » Καὶ δεῖξαι θέλων ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει καθαιρεθήσεται, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐξεπολέμωσεν ἑαυτῇ διὰ τοὺς ὅρκους ἐκείνους, ἐπήγαγεν, « Οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς. » Καὶ ἡ μὲν παραβολὴ αὕτη, πάλιν δὲ αὐτὴν σαφηνίζει οὕτως εἰπών· « Ἰδοὺ ἔρχεται βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλήμ. » Εἶτα εἰπὼν ἕτερά τινα μεταξὺ, λέγει τοὺς ὅρκους καὶ τὰς συμμαχίας· « Διαθήσεται γὰρ, φησὶ, πρὸς αὐτὸν διαθήκην. » Εἶτα καὶ τὴν ἀποστασίαν δηλῶν φησι, « Καὶ ἀποστήσεται ἀπ' αὐτοῦ τοῦ ἐξαποστέλλειν ἀγγέλους εἰς Αἴγυπτον τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. » Καὶ μετὰ ταῦτα ἐπάγει, δεικνὺς ὅτι διὰ τὸν ὅρκον ταῦτα πάντα γίνεται τὰ τῆς ἀπωλείας· « Ἡ μὲν ἐν τῷ τόπῳ τοῦ βασιλέως τοῦ βασιλεύσαντος αὐτὸν, ὃς ἠτίμωσε τὴν ἀρὰν μου, καὶ παρέβη τὴν διαθήκην μου, ἐν μέσῳ Βαβυλῶνος τελευτήσει, καὶ οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ὄχλῳ πολλῷ, ὅτι ἠτίμωσε τὴν ὁρκωμοσίαν, τοῦ παραβῆναι τὴν διαθήκην μου· ἡ μὲν τὴν ὁρκωμοσίαν μου, ἣν

et magnarum alarum dixit, et longam extensione plenamque unguibus nominavit, propter exercitus multitudinem et magnitudinem potentiæ et incursionis velocitatem; sicut enim aquilis sunt alæ et ungues arma, sic milites regibus et equi. Hæc igitur aquila *Habet*, inquit, *ductum intrandi in Libanum*. Quid est *Ductum*? Consilium, sententiam; Libanum vero Judæam vocavit, quia prope montem illum hæc sita est. Postea juramenta volens et fœdera dicere, *Tulit*, inquit (*ibid.* v. 5), *de semine terræ, et dedit in campo sativo, ut acciperet radicationem super aquam multam : ut respiceretur posuit illud : cumque germinasset*, *crevit in vitem infirmam et parvam magnitudine, et extendit ramos suos ad illam, et radices ejus sub illa erant.* Civitatem vero Jerusalem vitem hic appellavit; dicendo autem quod ramos suos ad ipsam emisit aquilam, et radices ejus sub illa erant, fœdera significavit et societatem cum ipso initam, et quod se ipsam in illum rejecit. Mox iniquitatem ostendere volens, ait (*ib.* v. 7.—9), *Et fuit aquila altera*, de rege loquens Ægyptio, *grandis et magnis alis multisque unguibus; et ecce vitis ista implicata erat ad eam, et pampinus ejus in ea, et palmites suos extendit, ut irrigaret eam : propterea dixi, Hæc dicit Deus : Si prosperabit*, hoc est, quæ juramentum non servaverit et fœdera, *si poterit manere et salvari, et non cadere.* Mox demonstrans non ita futurum esse, sed omnino propter juramentum perituram, de pœna ipsa disserit, et causam ponit : *Radices enim ejus teneritudinis, et fructus putrescet, et arescent quæ ex ea germinant.* Et demonstrare volens quod non humana vi destruetur, sed quoniam per illa juramenta Deum sibi fecit inimicum, subjunxit, *Non in brachio grandi, neque in populo multo, ut evelleret eam radicitus.* Et parabola quidem hæc; rursum vero declarat eam, sic inquiens (*ib.* v. 12) : *Ecce venit rex Babylonis in Jerusalem.* Postea cum in medio quædam alia dixisset, juramenta dicit et fœdera (*ib.* v. 13) : *Feriqueque cum eo fœdus.* Mox et rebellionem dicens : *Et recedet*, inquit (*ib.* v. 15), *ab eo mittendo nuntios in Ægyptum, ut daret sibi equos et populum multum.* Et post hæc infert, demonstrans propter juramentum perniciem totam accidisse (*ib.* v. 16—20) : *Profecto in loco regis, qui constituit eum regem, qui sprevit maledictionem meam, et qui transgressus est testamentum meum, in medio Babylonis morietur, et non in exercitu grandi, nec in populo multo, quia sprevit juramentum prævaricando pactum meum; juramen-*

ἠτίμωσε, καὶ τὴν διαθήκην μου, ἣν παρέβη, δώσω αὐτὴν εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου. » Ὁρᾷς πῶς οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ καὶ πλεονάκις εἶπεν ὅτι διὰ τὸν ὅρκον ταῦτα πάντα ἔπασχεν ἐκεῖνος; καὶ γὰρ ἀπαραίτητός ἐστιν ὁ Θεὸς, ὑβριζομένων ὅρκων. Οὐκ ἐκ τῆς κολάσεως δὲ μόνης τῆς ἐπενεχθείσης τῇ πόλει διὰ τὸν ὅρκον τοῦτον τοῦτο ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῆς μελλήσεως καὶ τῆς ἀναβολῆς, ὅσην ποιεῖται ὁ Θεὸς τὴν σπουδὴν ὑπὲρ τοῦ μὴ καταπατεῖσθαι τοὺς ὅρκους. « Ἐγένετο γὰρ, φησὶν, ἐν τῷ ἐννάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου, ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐν τῇ δεκάτῃ τοῦ μηνὸς, ἦλθεν Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἰερουσαλὴμ· καὶ περιεκάθισεν αὐτὴν, καὶ περιῳκοδόμησεν αὐτῇ τεῖχος κυκλόθεν· καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν ἕως τοῦ ἑνδεκάτου ἔτους Σεδεκίου τοῦ βασιλέως, ἐννάτῃ τοῦ μηνὸς, καὶ ἰσχυσεν ὁ λιμὸς ἐν αὐτῇ τῇ πόλει, καὶ οὐκ ἦν ἄρτος τῷ λαῷ φαγεῖν, καὶ ἐρράγη ἡ πόλις. » Ἠδύνατο μὲν γὰρ ἐκ πρώτης εὐθέως αὐτοὺς παραδοῦναι τῆς ἡμέρας καὶ ποιῆσαι τοῖς πολεμίοις ὑποχειρίους, ἀλλὰ διὰ τοῦτο χρόνον ἐν μέσῳ τριῶν ἐτῶν τριβῆναι συνεχώρησε, καὶ πολιορκίας αὐτοὺς αἰσθέσθαι χαλεπωτάτης ἐποίησεν, ἵνα καὶ τῷ τῶν στρατιωτῶν ἔξωθεν φόβῳ καὶ τῷ συνέχοντι τὴν πόλιν ἔνδον λιμῷ σωφρονιζόμενοι, καὶ ἄκοντα τὸν βασιλέα καταναγκάσωσιν ὑποταγῆναι τῷ βαρβάρῳ, καὶ γενέσθαι τινὰ τῷ ἁμαρτήματι παραμυθίαν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς καὶ οὐκ ἐμὸς στοχασμὸς, ἄκουσον τί διὰ τοῦ προφήτου φησὶ πρὸς αὐτόν· « Ἐὰν ἐξέλθῃς πρὸς ἡγεμόνα βασιλέως Βαβυλῶνος, ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρὶ, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου· ἐὰν δὲ μὴ ἐξέλθῃς σὺ πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος, παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ κατακαύσουσιν αὐτὴν, καὶ σὺ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν. Καὶ εἶπεν ὁ βασιλεύς· Λόγον ἔχω τῶν Ἰουδαίων τῶν φευγόντων πρὸς τοὺς Χαλδαίους, μὴ δῶσί με εἰς χεῖρας αὐτῶν καὶ καταμωκήσονταί μου. Καὶ εἶπεν Ἱερεμίας· Οὐ μὴ παραδώσουσί σε· ἄκουσον τὸν λόγον Κυρίου, ὃν ἐγὼ λαλῶ πρός σε· καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου· καὶ εἰ μὴ θελήσεις ἐξελθεῖν, οὗτος ὁ λόγος, ὃν ἔδειξέ μοι ὁ Κύριος· πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἴκῳ βασιλέως Ἰούδα ἐξάγονται πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος, καὶ αὗται λέγουσιν· Ἠπάτησάν σε, καὶ ἠδυνάσθησάν σοι ἄνδρες· εἰρηνικοί σου κατισχύσουσιν, ἐν ὀλισθήμασι πόδας οὐκ ἀποστρέψουσι, καὶ πάσας τὰς γυναῖκάς σου ἐξάξουσι πρὸς τοὺς Χαλδαίους, καὶ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν, ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαήσεται ἐν πυρί. » Ἀλλ' ἐπειδὴ οὐκ ἔπεισε ταῦτα λέγων, ἀλλ' ἔμενεν ἐπὶ τῆς ἁμαρτίας καὶ τῆς παρανομίας, μετὰ τρία ἔτη τὴν πόλιν παρέδωκεν ὁ Θεὸς, καὶ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδιί-

tum meum quod sprevit, et fœdus quod prævaricatus est, dabo in caput ejus, et expandam super eum rete meum. Vides quomodo non semel, nec bis, verum et sæpius dixit, illum propter juramentum hæc omnia passum esse? implacabilis enim est Deus, contemtis juramentis. Neque vero tantum ex ultione civitati illata propter juramentum hoc intelligere licet, verum et ex cunctatione et dilatione, quantum Deus studium habeat, ne juramenta conculcentur. *Factum est* enim, inquit (4. *Reg.* 25. 1.—4), *in anno nono regni ejus, in mense secundo, in decima mensis, venit Nabuchodonosor, rex Babylonis, et omnis exercitus ejus super Jerusalem, et circumsedit eam, et exstruxit in circuitu ejus munitiones, et clausa est civitas, atque vallata usque ad undecimum annum regis Sedeciæ, nona die mensis, et prævaluit fames in ipsa civitate, nec erat panis populo ad comedendum, et scissa est civitas.* Poterat nempe statim a prima die ipsos tradere, et facere hostibus subditos; sed propterea interim trium annorum tempus conteri permisit, et ipsos obsidione premi gravissima, ut et extrinsecus militum timore, et intrinsecus fame civitatem premente castigati, vel invitum regem barbaris subdi cogerent, et aliquod peccato remedium fieri. Et quod hoc sit verum, neque mea sit conjectura, audi quid per prophetam ad ipsum dicat (*Jerem.* 38. 17.—23): *Si exieris ad ducem regis Babylonis, vivet anima tua, et civitas hæc non succendetur igni, et vives tu et domus tua. Si autem non exieris ad principes regis Babylonis, tradetur civitas hæc in manus Chaldæorum, et succendent eam igni, et non effugies de manibus eorum. Et dixit rex Sedecias ad Jeremiam: Rationem habeo Judæorum, qui fugiunt ad Chaldæos, ne forte tradant me in manus eorum, et illudant mihi. Respondit autem Jeremias, et dixit ei, Non te tradent: audi vocem Domini, quam ego loquor ad te, et melius tibi erit, et vivet anima tua. Quod si nolueris egredi, iste est sermo quem ostendit mihi Dominus: Ecce omnes mulieres quæ remanserunt in domo regis Juda, educentur ad principes regis Babylonis, et hæ dicent: Seduxerunt te, et prævaluerunt adversum te viri: pacifici adversus te prævalebunt, in lubricis minime retrahent pedes, et omnes uxores tuas educent ad Chaldæos, et non effugies manus eorum, quia in manu regis Babylonis capieris, et civitas hæc comburetur igni.* Sed postquam non persuasit hæc dicens, sed mansit in peccato et iniquitate, post tres annos civitatem tradidit Deus, et clementiam demonstrans suam et illius ingratum animum.

ξας καὶ τὴν ἀγνωμοσύνην τὴν ἐκείνου. Καὶ εἰσελθόντες μετ' εὐκολίας πολλῆς ἐνέπρησαν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ τοὺς οἴκους Ἰερουσαλὴμ, καὶ πάντα οἶκον μέγαν ἐνέπρησεν ὁ ἀρχιμάγειρος, καὶ τὸ τεῖχος Ἰερουσαλὴμ καθεῖλε, καὶ παντα χοῦ πῦρ ἦν βαρβαρικὸν, τοῦ ὅρκου τὸν ἐμπρησμὸν στρατηγοῦντος καὶ τὴν φλόγα παντα χοῦ περιάγοντος· καὶ τὸ καταλειφθὲν τοῦ λαοῦ ἐν τῇ πόλει καὶ τοὺς προσκεχωρηκότας τῷ βασιλεῖ μετῴκισεν ὁ ἀρχιμάγειρος· « Καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου κατέκοψαν οἱ Χαλδαῖοι, [καὶ τὰς βάσεις, καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου συνέκοψαν οἱ Χαλδαῖοι,] καὶ τοὺς λέβητας, καὶ τὰς χρεάγρας, καὶ τὰς φιάλας, καὶ τὰς θυίσκας, καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, ἔλαβον, καὶ τὰ πυρεῖα, καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ ἀργυρᾶς ἔλαβον, καὶ τῶν στύλων τῶν δύο, καὶ τῶν βάσεων, καὶ τῆς θαλάσσης, ἣν ἐποίησεν ὁ Σολομὼν ἐν οἴκῳ Κυρίου, ἔλαβε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος· καὶ ἔλαβον τὸν Σαρέα τὸν ἱερέα τὸν πρῶτον, καὶ τὸν Σαφὰν τὸν ἱερέα τὸν δεύτερον, καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμὸν, καὶ ἐκ τῆς πόλεως εὐνοῦχον ἕνα τὸν καθεσταμένον ἐπὶ τοὺς ἄνδρας τοὺς πολεμοῦντας, καὶ πέντε ἄνδρας τοὺς ὁρῶντας τὸ πρόσωπον τοῦ βασιλέως, καὶ τὸν Σαφὰν τὸν ἀρχιστράτηγον, καὶ τὸν γραμματέα, καὶ ἑξήκοντα ἄνδρας· καὶ ἔλαβεν αὐτοὺς, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐπάταξεν αὐτοὺς ὁ βασιλεὺς, καὶ ἐθανάτωσεν αὐτούς. » Ἀναμνήσθητί μοι νῦν τῆς δρεπάνης τῆς πετομένης καὶ καταλυούσης ἐν τῷ οἴκῳ τοῦ ὀμνύοντος, καὶ καθαιρούσης καὶ τὰ ξύλα καὶ τοὺς λίθους· ἀναμνήσθητί μοι πῶς ὁ ὅρκος οὗτος εἰσελθὼν εἰς τὴν πόλιν καὶ οἰκίας καὶ ναὸν καὶ τείχη καὶ οἰκοδομήματα λαμπρὰ καθεῖλε, καὶ χῶμα τὴν πόλιν ἐποίησε, καὶ οὔτε τὰ ἅγια τῶν ἁγίων οὔτε τὰ σκεύη τὰ ἱερὰ οὔτε ἄλλο οὐδὲν ἀπέστρεψε τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐκείνην διὰ τὸ παραβαθῆναι τὸν ὅρκον. Καὶ ἡ μὲν πόλις οὕτως ἐλεεινῶς κατελύετο· ὁ δὲ βασιλεὺς ἐλεεινότερα καὶ ὀδυνηρότερα τούτων ἔπασχε· καὶ καθάπερ τὰ οἰκοδομήματα καθεῖλεν αὕτη ἡ ὀρεπάνη ἡ πετομένη, οὕτω καὶ τοῦτον φεύγοντα καθεῖλεν· « Ἐξῆλθε γὰρ, φησὶν, ὁ βασιλεὺς νυκτὸς ὁδὸν πύλης, καὶ οἱ Χαλδαῖοι ἐκύκλουν τὴν πόλιν, καὶ κατεδίωξε δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτὸν, καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐλάλησεν ὁ βασιλεὺς Βαβυλῶνος μετὰ Σεδεκίου κρίσιν, καὶ ἔσφαξε τοὺς υἱοὺς αὐτοῦ ἐνώπιον αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε· καὶ ἔδησεν αὐτὸν ἐν πέδαις, καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα. » Τί ἐστιν « Ἐλάλησε μετ' αὐτοῦ κρίσιν »; Ἀπήτησεν αὐτὸν εὐθύνας, ἐδικάσατο μετ' αὐτοῦ, καὶ πρῶτον τοὺς υἱοὺς αὐτοῦ κατέσφαξεν, ἵνα θεωρὸς γένηται τῆς οἰκείας συμφορᾶς, καὶ τὴν τραγῳδίαν ἐκείνην ἴδῃ τὴν ἐλεεινὴν, καὶ τότε αὐ-

Et ingressi cum magna facilitate, Dei et regis domum incenderunt et domos Jerusalem, et omnem magnam domum incendit princeps coquorum, et murum Jerusalem subvertit, et ubique ignis grassabatur barbaricus, juramento ignem ducente et flammam passim circumagente: et populum in civitate relictum et qui transierant ad regem transportavit princeps coquorum : (4. *Reg.* 25. 13—21 :) *Et columnas æreas, quæ erant in domo Domini, et bases, et mare æneum, quod erat in domo Domini, confregerunt Chaldæi : ollas quoque æreas, et fuscinulas, et mortariola, et omnia vasa ærea in quibus ministrabant, tulerunt : et thuribula, et phialas aureas et argenteas tulerunt : et columnas duas et bases, et mare quod fecit Salomon in domo Domini, tulit Nabuzardan, princeps coquorum : et tulerunt quoque Saream primum sacerdotem, et Saphan sacerdotem secundum, et tres qui custodiebant limen, et de civitate eunuchum unum, qui erat præfectus super bellatores viros, et quinque viros de his qui videbant faciem regis, et Saphan principem exercitus, et scribam, et sexaginta viros; et tulit eos, et abduxit ad regem Babylonis, percussitque eos rex Babylonis, et interfecit eos.* Nunc recordare mihi falcis volantis et requiescentis in domo jurantis, destruentisque et ligna et lapides : recordare mihi quomodo juramentum hoc urbem ingressum, atque domos et templum et mœnia ædificiaque splendida destruxit, et tumulum fecit civitatem, et neque sancta sanctorum, neque sacra vasa, nec aliud quidquam pœnam et ultionem illam avertit, quia violatum fuerat juramentum. Et civitas quidem tam miserabiliter solvebatur, rex autem his miserabiliora et tristiora patiebatur : et sicut ædificia falx ista volans destruxit, sic et hunc fugientem absumsit. *Egressus enim est rex*, inquit (4. *Reg.* 25. 4—7), *nocte de civitate per viam portæ, et Chaldæi circumdederunt civitatem, et persequutus est exercitus Chaldæorum post regem, et ceperunt eum, et comprehenderunt regem, et duxerunt ipsum ad regem Babylonis. Et loquutus est rex Babylonis cum Sedecia judicium, et occidit filios ipsius in oculis ejus, et oculos Sedeciæ excæcavit, et vinxit eum compedibus, et abduxit in Babylonem.* Quid est, *Loquutus est cum ipso judicium?* Ab ipso rationes repetivit, rationem posuit cum ipso, et primum ipsius filios jugulavit, ut propriæ calamitatis spectator fieret : et postquam tragœdiam illam miserabilem vidit,

τὸν ἐξετύφλωσε. Τίνος ἕνεκα τοῦτο πάλιν γίνεται; Ἵνα διδάσκαλος τοῖς βαρβάροις ἀπέλθῃ καὶ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις, καὶ ἵνα μάθωσιν οἱ βλέποντες διὰ τοῦ πεπηρωμένου, πόσον κακὸν ὅρκος· οὐκ ἐκεῖνοι δὲ μόνον, ἀλλὰ καὶ οἱ παρὰ τὴν ὁδὸν ἅπαντες οἰκοῦντες δεδεμένον [καὶ] πεπηρωμένον ὁρῶντες μανθάνωσι διὰ τῆς συμφορᾶς τῆς ἁμαρτίας τὸ μέγεθος. Διὰ τοῦτο τῶν προφητῶν ὁ μέν φησιν, « Οὐκ ὄψεται Βαβυλῶνα », ὁ δέ φησιν ὅτι « Εἰς Βαβυλῶνα ἀπαχθήσεται. » Καὶ δοκεῖ μὲν ἐναντία εἶναι ἡ προφητεία, οὐκ ἔστι δέ, ἀλλ' ἀμφότερα ταῦτα ἀληθῆ· καὶ γὰρ Βαβυλῶνα οὐκ εἶδε, καὶ εἰς Βαβυλῶνα ἀπήχθη. Πῶς οὖν Βαβυλῶνα οὐκ εἶδεν; Ὅτι ἐν τῇ Ἰουδαίᾳ τὴν πήρωσιν ὑπέστη· ἔνθα γὰρ ὁ ὅρκος ἠθετήθη, ἐκεῖ καὶ ἐξεδικεῖτο καὶ τὴν τιμωρίαν αὐτὸς ὑπέμεινε. Πῶς δὲ ἀπήχθη εἰς Βαβυλῶνα; Αἰχμάλωτος γενόμενος. Ἐπειδὴ γὰρ δύο ἦσαν αἱ τιμωρίαι, πήρωσις καὶ αἰχμαλωσία, διενείμαντο αὐτὰς οἱ προφῆται, καὶ ὁ μὲν « Οὐκ ὄψεται φησι Βαβυλῶνα », τὴν πήρωσιν αὐτοῦ λέγων· ὁ δέ φησιν, « Εἰς Βαβυλῶνα ἀπαχθήσεται », τὴν αἰχμαλωσίαν αὐτοῦ αἰνιττόμενος.

Ταῦτ' οὖν εἰδότες, ἀδελφοί, καὶ τὰ εἰρημένα καὶ τὰ πρὸ τούτων λεχθέντα συλλέγοντες, παυσώμεθά ποτε τῆς πονηρᾶς ταύτης συνηθείας, καὶ δέομαι καὶ ἀντιβολῶ πάντων ὑμῶν. Εἰ γὰρ ἐν τῇ Παλαιᾷ, ὅτε οὐ τὴν ἀκριβῆ φιλοσοφίαν ἀπῃτοῦντο οἱ Ἰουδαῖοι, ἀλλὰ πολλὴ συγκατάβασις ἦν, τοσαύτη ὀργὴ γέγονε δι' ὅρκον ἕνα, τοσαύτη ἅλωσις καὶ αἰχμαλωσία, τί εἰκὸς ὑποστήσεσθαι νῦν τοὺς ὀμνύοντας μετὰ νόμον κωλύοντα τοῦτο ποιεῖν καὶ τοσαύτην ἐντολῶν προσθήκην; Μὴ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ὅπως εἰς σύναξιν ἔλθωμεν καὶ ἀκούσωμεν τῶν λεγομένων; Τοῦτο μὲν οὖν καὶ κρίμα μεῖζόν ἐστι καὶ κόλασις ἀπαραίτητος, ὅταν συνεχῶς ἀκούοντες μὴ ποιῶμεν τὰ λεγόμενα. Τίνα γὰρ ἕξομεν ἀπολογίαν, τίνα δὲ συγγνώμην, ὅταν ἐκ πρώτης ἡλικίας ἡμεῖς ἄχρις ἐσχάτης πολιᾶς ἐνταῦθα συναγόμενοι καὶ τοσαύτης ἀπολαύοντες διδασκαλίας, ὅμοιοι μένωμεν ἐκείνοις καὶ μηδὲ ἓν ἐλάττωμα διορθώσασθαι σπουδάζωμεν; Μή μοί τις λοιπὸν συνήθειαν προβαλλέσθω· διὰ γὰρ τοῦτο ἀγαναχτῶ καὶ ὀργίζομαι, ὅτι συνηθείας περιγενέσθαι οὐ δυνάμεθα· καὶ εἰ συνηθείας μὴ περιγενώμεθα, πῶς περιεσόμεθα ἐπιθυμίας; Ἐκείνης ἡ ῥίζα ἀπὸ τῆς φύσεως ἔχει τὴν ἀρχήν· τὸ μὲν γὰρ ἐπιθυμεῖν, φυσικόν· τὸ δὲ κακῶς ἐπιθυμεῖν, τῆς προαιρέσεως λοιπόν· τὸ μέντοι ὀμνύναι οὐδὲ τὴν ἀρχὴν ἐκ τῆς φύσεως ἔλαβεν, ἀλλ' ἐκ ῥᾳθυμίας μόνης. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκ τῆς δυσκολίας τοῦ πράγματος, ἀλλὰ παρὰ τὴν ὀλιγωρίαν τὴν ἡμετέραν μέχρι τοσούτου τὸ ἁμάρτημα προύβη τοῦτο, ἐννοήσωμεν πόσα πολλῷ τούτων δυσκολώτερα κατορθοῦσιν ἄνθρωποι, καὶ ταῦτα μηδεμίαν προσδοκῶντες ἀμοιβὴν ἐκεῖθεν· ἐννοήσωμεν τίνα ὁ διάβολος ἐπέταξε, πῶς ἐπίπονα, πῶς μοχθηρά, καὶ οὐκ ἐγένετο κώλυμα ἡ δυσκολία τοῖς ἐπιτάγμασι. Τί γὰρ ἂν γένοιτο δυσ-

tunc illum excæcavit. Qua de causa rursum hoc agitur? Ut magister barbaris abeat et illic habitantibus Judæis, ut cernentes per excæcatum discant, quantum malum sit juramentum; nec illi vero tantum, verum et secus viam omnes habitantes, vinctum et cæcatum intuentes, per calamitatis magnitudinem peccati pondus discant. Propterea prophetarum alter quidam sic inquit (*Ezech.* 12. 13), *Non videbit Babylonem*; alter vero (*Jerem.* 32. 5), *In Babylonem abducetur*. Et contraria quidem prophetia esse videtur, verum non est, ambo hæc vera: etenim Babylonem non vidit, et in Babylonem abductus est. Quomodo igitur Babylonem non vidit? Quoniam in Judæa excæcatus est. Ubi namque juramentum spretum est, ibi et vindicatum est et ultionem ipse sustinuit. Quomodo abductus est Babylonem? Captivus factus. Quoniam enim duæ erant pœnæ, excæcatio et captivitas, distribuerunt eas prophetæ: et hic quidem, *Non videbit*, inquit, *Babylonem*, ipsius excæcationem dicens; ille vero ait, *In Babylonem abducetur*, ipsius significans captivitatem.

4. Hæc igitur scientes, fratres, et nunc dicta et ante hæc commemorata colligentes, tandem ab hac stulta cessemus consuetudine: sic rogo et oro vos omnes. Si enim in Veteri Lege, cum Judæi ad perfectam disciplinam non exigebantur, sed multa erat indulgentia, tanta propter unum juramentum ira, tantum excidium, tanta captivitas fuit: quid congruum est nunc passuros esse jurantes, post legem hoc facere prohibentem et tantum mandatorum augmentum? Num enim hoc est quod quæritur, ut ad synaxim veniamus et audiamus quæ dicuntur? Hoc quidem et judicium majus est et pœna inevitabilis, quando perpetuo audientes non implemus quæ dicuntur. Quam enim habebimus defensionem? quam vero veniam, cum a prima nos ætate usque in extremam canitiem huc convenientes et tanta fruentes disciplina, similes illis remaneamus, et non ullum studeamus defectum corrigere? Ne mihi jam aliquis consuetudinem prætendat: propter hoc enim indignor et irascor, quod consuetudinem vincere non possumus. Et nisi consuetudinem vincamus, quomodo concupiscentiam vincemus? Hujus radix habet a natura principium: concupiscere enim naturale, male vero concupiscere jam est voluntatis. Jurare nempe minime cepit a natura principium, sed ex negligentia sola. Et ut discas, non ex rei difficultate, sed propter neglectum nostrum in tantum hoc peccatum processisse, cogitemus multo his difficiliora homines feliciter exsequi, idque nullam inde retributionem exspectantes: cogitemus quæ diabolus imperavit, quam laboriosa, quam gravia; nec difficultas fuit ejus mandatis impedimentum. Quid enim,

κολώτερον, εἰπέ μοι, ἀλλ' ἢ ὅταν τις νέος τοῖς βουλομένοις καταμαλάττειν αὐτὸν καὶ λυγίζειν αὐτοῦ τὰ μέλη παραδοὺς ἑαυτὸν, φιλονεικοίη πρὸς ἀκρίβειαν τροχοῦ δίκην τὸ σῶμα ἅπαν κάμπτειν καὶ στρέφεσθαι ἐπὶ τοῦ ἐδάφους, καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς τῶν χειρῶν περιαγωγῆς καὶ τῆς ἄλλης δινήσεως εἰς τὸ θῆλυ γένος ἐκβῆναι βιάζηται, καὶ μήτε τὴν δυσκολίαν τῶν γινομένων μήτε τὴν αἰσχύνην τὴν ἀπὸ τούτων λογίζηται; τοὺς δὲ ἐπὶ τῆς ὀρχήστρας πάλιν ἐκσυρομένους, καὶ καθάπερ πτεροῖς τοῖς κώλοις κεχρημένους τοῦ σώματος, τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη; οἱ δὲ μαχαίρας ἐναλλὰξ εἰς τὸν ἀέρα ἀκοντίζοντες, καὶ πάσας ἀπὸ τῆς λαβῆς δεχόμενοι πάλιν, τίνα οὐκ ἂν καταισχύνοιεν τῶν ὑπὲρ τῆς ἀρετῆς οὐδένα βουλομένων ἀναδέξασθαι πόνον; ἢ τί ἄν τις εἴποι περὶ ἐκείνων τῶν ἀνδρῶν, οἳ κοντὸν ἐπὶ τοῦ μετώπου βαστάζοντες, καθάπερ δένδρον ἐρριζωμένον ἐπὶ τῆς γῆς, οὕτως ἀκίνητον διατηροῦσι; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ παιδία μικρὰ ἐπ' ἄκρου τοῦ ξύλου παλαίειν ἀλλήλοις παρασκευάζουσι, καὶ οὔτε χεῖρες οὔτε ἄλλο τι τοῦ σώματος μέλος, ἀλλὰ τὸ μέτωπον μόνον δεσμοῦ παντὸς ἀσφαλέστερον φέρει τὸν κοντὸν ἐκεῖνον ἄσειστον. Ἕτερος πάλιν ἐπὶ σχοίνου στενωτάτης μετὰ τοσαύτης ἀδείας βαδίζει, μεθ' ὅσης οἱ τὰ ὕπτια παιδία κατατρέχοντες. Ἀλλ' ὅμως ταῦτα τὰ καὶ ταῖς ἐννοίαις ἀόρητα εἶναι δοκοῦντα, τῇ τέχνῃ γέγονε δυνατά. Τί τούτων ἔχομεν εἰπεῖν ἐπὶ τῶν ὅρκων, εἰπέ μοι; ποίαν δυσκολίαν; ποῖον ἱδρῶτα; ποίαν τέχνην; ποῖον κίνδυνον; Ὀλίγης χρεία σπουδῆς μόνον ἡμῖν, καὶ ταχέως τὸ πᾶν ἡμῖν ἀνυσθήσεται. Καὶ μή μοι λέγε ὅτι Τὸ πλέον κατώρθωσα, ἀλλ' εἰ μὴ τὸ πᾶν κατώρθωσας, μηδὲν μηδέπω πεποιηκέναι νόμιζε· τὸ γὰρ ὀλίγον τοῦτο ἀμεληθὲν καὶ τὸ λοιπὸν ἅπαν καθαιρεῖ. Πολλάκις γοῦν οἰκίας οἰκοδομήσαντες ἄνθρωποι καὶ τὸν ὄροφον ἐπιθέντες, μιᾶς κεραμῖδος ἀποτιναχθείσης, μὴ ποιησάμενοι σπουδὴν, ὁλόκληρον τὸν οἶκον ἀπώλεσαν. Καὶ ἐπὶ ἱματίων δὲ τὸ αὐτὸ τοῦτο συμβαῖνον ἴδοι τις ἄν· καὶ γὰρ [καὶ] ἐκεῖ μικρὸν ῥῆγμα γενόμενον καὶ μὴ ῥαφὲν, πολὺ τὸ σχίσμα ἐποίησε. Τοῦτο καὶ ἐπὶ τῶν χειμάρρων συμβαίνει πολλάκις· καὶ γὰρ ἐκεῖνοι μικρᾶς ἂν ἐπιλάβωνται μόνον εἰσόδου, ὁλόκληρον τὸ ῥεῦμα εἰσάγουσι. Καὶ σὺ τοίνυν εἰ καὶ πάντοθεν σαυτὸν ἐτείχισας, μικρὸν δὲ ὑπολείπεται μέρος λοιπὸν, καὶ τοῦτο ἀπόφραξον τῷ διαβόλῳ, ἵνα ἐστηριγμένος ᾖς πάντοθεν. Εἶδες τὴν ὀρεπάνην; εἶδες τὴν κεφαλὴν Ἰωάννου; ἤκουσας τῆς ἱστορίας τῆς κατὰ τὸν Σαοὺλ; ἤκουσας τῆς αἰχμαλωσίας τῆς Ἰουδαϊκῆς; μετὰ δὲ τούτων πάντων ἤκουσας τῆς ἀποφάσεως τοῦ Χριστοῦ λεγούσης ὅτι οὐ τὸ ἐπιορκεῖν, ἀλλὰ καὶ τὸ ὀμνύειν ὁπωσοῦν διαβολικόν ἐστι καὶ ὅλον τοῦ πονηροῦ κατασκεύασμα· ἔμαθες ὅτι πανταχοῦ τοῖς ὅρκοις ἕπονται ἐπιορκίαι. Ταῦτα δὴ πάντα συναγαγὼν ἔγγραψον τῇ διανοίᾳ σου. Οὐχ ὁρᾷς πῶς αἱ γυναῖκες καὶ παιδία μικρὰ

quaeso, difficilius sit quam cum quispiam juvenis volentibus se emollire et membra sua torquere se ipsum tradens, sedulo contendat rotæ more totum flectere corpus, et in pavimento circumvolvi, et per oculos et per manuum circumductionem et aliam revolutionem in femineum genus transire conetur, nec eorum quæ fiunt difficultatem nec ex iis ignominiam ratiocinetur? in orbestram rursum qui pertrahuntur, et velut alis membris utuntur corporeis, quis videns non obstupescat? gladios autem alternatim in aerem jaculantes, et omnes rursum per manubrium capientes, quem non confundant nullum pro virtute laborem suscipere volentium? vel quid de iis dicatur viris, qui perticam in fronte gestantes, velut arborem in terra radicatam, sic immotam conservant? Neque hoc solum est admirabile, verum et id quod pueruli parvos in summo ligno inter se luctari faciunt, et neque manus nec alia corporis pars, sed frons sola omni vinculo firmius illam perticam gerit inconcussam. Alter rursum supra funem angustissimum cum tanta ambulat securitate, cum quanta qui per planos campos decurrunt. Verumtamen hæc quæ et cogitatu intolerabilia esse videntur, facta sunt arte possibilia. Quid horum in juramentis, quaeso, prætendere possumus? quam difficultatem? quem sudorem? quam artem? quod periculum? Exiguo tantum studio nobis est opus, et brevi nobis totum expeditum fuerit. Nec mihi dicas, Majorem partem expediri: sed tu nisi totum expediveris, nondum te quidquam fecisse puta: hoc enim exiguum neglectum etiam omne reliquum destruit. Sæpius namque domos ædificantes homines, et tectum imponentes, unius tegulæ excussæ curam non gerentes, totam domum perdiderunt. Et in vestimentis hoc ipsum evenire quis cernere possit: etenim parva in illis facta scissura, nec resarcita, magnam fecit scissuram. Hoc et in torrentibus multoties evenit: etenim et illi, si usum vel minimum ceperint ingressum, totum introducunt fluentum. Itaque et tu, licet te undique munieris, si tamen aliqua pars immunita dimissa est, etiam hanc diabolo obstrue, ut sis ab omni parte firmatus. Vidisti falcem? vidisti caput Joannis? audisti historiam de Saule? audisti captivitatem Judaicam? cum his autem omnibus audisti Christi sententiam, dicentem (*Matth.* 5. 33. 34) quod non pejerare tantum, verum et jurare quomodocumque diabolicum est, et totum maligni machinatio; audisti ubique juramenta sequi perjuria. Hæc, inquam, omnia congregans, inscribe cordi tuo. Non cernis ut mulieres et parvi pueri pro magna custodia evangelia

ἀντὶ φυλακῆς μεγάλης εὐαγγέλια ἐξαρτῶσι τοῦ τραχήλου, καὶ παντα χοῦ περιφέρουσιν ὅπουπερ ἂν ἀπίωσιν; Σὺ τὰ γράμματα τοῦ εὐαγγελίου καὶ τοὺς νόμους ἔγγραψόν σου τῇ διανοίᾳ. Οὐ χρεία χρυσίου καὶ χρημάτων ἐνταῦθα, οὔτε βιβλίον πρίασθαι· προαιρέσεως δεῖ μόνης καὶ διαθέσεως καὶ ψυχῆς διεγηγερμένης, καὶ ἀσφαλέστερον ἕξεις τὸ εὐαγγέλιον, οὐκ ἔξωθεν περιφέρων, ἀλλ' ἔνδον αὐτὸ τοῖς τῆς ψυχῆς ἀποτιθέμενος ταμιείοις. Ἀνιστάμενος τοίνυν ἀπὸ τῆς κλίνης, καὶ τὴν οἰκίαν ἐκβαίνων τὴν σεαυτοῦ, τὸν νόμον ἐπίλεγε τοῦτον, « Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως », καὶ ἔσται σοι διδασκαλία τὸ ῥῆμα· οὐδὲ γὰρ πολλοῦ δεῖ πόνου, ἀλλὰ μικρᾶς προσοχῆς μόνον. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, εὔδηλον ἐκεῖθεν· τὸν υἱὸν τὸν σὸν καλέσας φόβησον, καὶ ἀπείλησον αὐτῷ ἐπιθήσειν πληγὰς ὀλίγας, εἰ μὴ κατορθώσειε τὸν νόμον τοῦτον, καὶ ὄψει πῶς εὐθέως ἀποστήσεται τῆς συνηθείας. Πῶς οὖν οὐκ ἄτοπον, εἰ τὰ μὲν μικρὰ παιδία τὸν παρ' ἡμῶν διδοικότα φόβον περιγένοιτο τῆς ἐντολῆς, ἡμεῖς δὲ μηδὲ οὕτω φοβούμεθα τὸν Θεὸν, ὡς ἡμᾶς οἱ υἱοὶ διδοίκασιν; Ὅπερ οὖν καὶ πρώην εἶπον, τοῦτο καὶ νῦν λέγω. Νόμον ἑαυτοῖς θῶμεν, μὴ πρότερον μὴ δημοσίων, μὴ ἰδιωτικῶν ἅψασθαι πραγμάτων, εἰ μὴ τοῦτον ἐκπληρώσωμεν τὸν νόμον, καὶ πάντως ὑπὸ τῆς ἀνάγκης συνεθούμενοι περιεσόμεθα ῥᾳδίως, καὶ κοσμήσομεν μὲν ἑαυτοὺς, κοσμήσομεν δὲ καὶ τὴν πόλιν ἅπασαν. Ἐννόησον γὰρ ἡλίκον ἐστὶ πανταχοῦ τῆς οἰκουμένης ταῦτα ἀκούειν, ὡς ἐν Ἀντιοχείᾳ κεκράτηκεν ἔθος Χριστιανοῖς πρέπον, καὶ οὐδενὸς ἀκούσῃ, κἂν μεγίστη ἀνάγκη ἐπικέηται, ὅρκον προϊεμένου. Πάντως ἀκούσονται ταῦτα αἱ γείτονες πόλεις· μᾶλλον δὲ οὐχὶ αἱ γείτονες μόνον, ἀλλὰ καὶ πρὸς αὐτὰ τὰ πέρατα τῆς γῆς ὁ λόγος ἀφίξεται· καὶ γὰρ εἰκὸς καὶ ὑμῖν ἐπιμιγνυμένους ἐμπόρους καὶ ἐντεῦθεν ἑτέρωσε ἀφικνουμένους ταῦτα ἀπαγγέλλειν ἅπαντα. Ὅταν οὖν ἄλλας πόλεις ἐγκωμιάζοντες πολλοὶ λιμένας λέγωσι, καὶ ἀγορὰν, καὶ ἀφθονίαν ὠνίων, δότε τοῖς ἐντεῦθεν ἀφικνουμένοις λέγειν ὅτι ὅπερ ἐστὶν ἐν Ἀντιοχείᾳ, τοῦτο οὐδαμοῦ τῶν ἄλλων πόλεων ἐστὶν ἰδεῖν· ἕλοιντο γὰρ ἂν οἱ ἄνθρωποι οἱ τὴν πόλιν οἰκοῦντες ἐκείνην τὴν γλῶτταν ἐκκοπῆναι πρότερον, ἢ ὅρκον ἀπὸ τοῦ στόματος προέσθαι. Τοῦτο ὑμῖν οὐ κόσμος ἔσται καὶ ἀσφάλεια μόνον, ἀλλὰ καὶ μισθὸν οἴσει πολύν. Καὶ γὰρ πάντως ζηλώσουσιν ὑμᾶς ἕτεροι καὶ μιμήσονται· εἰ γὰρ ἕνα τις καὶ δύο κερδάνας τοσοῦτον λήψεται μισθὸν παρὰ τοῦ Θεοῦ, τὴν οἰκουμένην ἅπασαν παιδεύοντες πόσας οὐ λήψεσθε τὰς ἀμοιβάς; Χρὴ τοίνυν σπουδάζειν καὶ ἐγρηγορέναι καὶ νήφειν, εἰδότας ὡς οὐχὶ τῶν οἰκείων κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῶν ἑτέρους κατορθουμένων ἀντίδοσιν ληψόμεθα μεγίστην, καὶ πολλῆς παρὰ τοῦ Θεοῦ τῆς εὐνοίας ἀπολαύσομεν· ἧς γένοιτο διηνεκῶς ἀπολαύσαντας ἡμᾶς τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα κτλ.

collo suspendunt, et ubique circumferunt quocumque abierint? Tu evangelii mandata et leges in mente tua describes : non auro nec argento hic est opus et pecuniis, nec librum emere : voluntate sola vobis est opus et affectu interno et anima expergefacta, et securius habebis evangelium, non circumferens extrinsecus, sed in animæ penetralibus ipsum reponens. Exsurgens igitur e lecto, et domum tuam egrediens, hanc legem repete, videlicet (*Matth.* 5. 34) : *Ego autem dico vobis, non jurare omnino* : et erit idonea tibi disciplina verbum illud : nec enim multo labore opus est, sed modica tantum attentione. Et quod hoc sit verum, inde manifestissimum. Filium tuum vocans terre, et minare le ipsi plagas infliciturum, nisi legem hanc exsequatur, et videbis quomodo a consuetudine statim desistet. Quomodo igitur non absurdum, si pueruli parvi timore nostri parentes, mandatum perficiant, nos vero ne sic quidem Deum timeamus, ut nos filii metuunt? Quod autem nuper dixi, hoc et nunc dico. Legem nobis ipsis ponamus, non prius publica, non prius privata tractare negotia, nisi hanc legem impleverimus, et omnino necessitate compulsi, facile superabimus, et ornabimus nos ipsos, ornabimus autem et omnem civitatem. Cogita namque quale est, ubique terrarum hæc audire, Antiochiæ prævaluisse morem Christianis congruentem : et ibi neminem audies, licet maxima necessitas instet, juramentum emittere. Prorsus hæc audient vicinæ civitates : quinimo non vicinæ tantum, verum et ad ipsos terræ fines hoc verbum perveniet : etenim verisimile est vobis admixtos mercatores, et hinc alio proficiscentes, aliis quoque hæc omnia nuntiaturos esse. Cum igitur alias civitates laudantes multi portus memorant, et forum, et venalium copiam, hinc proficiscentibus dicendum date, quod est Antiochiæ, id in aliis urbibus nusquam cernere licere : mallent enim urbis illius habitatores prius linguam abscindi sibi quam ex ore juramentum emittere. Hoc quidem vobis erit non ornamentum et munimen solum, verum etiam mercedem afferet magnam : etenim omnes vos alii æmulaturi sunt atque imitaturi. Si quis enim unum vel duos lucratus, a Deo mercedis tantum capiet : omnem mundum erudientes, quantas capietis retributiones? Oportet igitur stadare et vigilare et sobrios esse, scientes non propriorum tantum profectuum, verum et alienorum maximam meritorum retributionem accepturos nos esse, et multam apud Deum benevolentiam assequuturos. Quam nobis omnibus in perpetuum adeptis detur frui regno cælorum, in Christo Jesu Domino nostro, cui gloria etc.

ΟΜΙΛΙΑ κ'.

Ὅτι οὐκ ἀρκεῖ ἡ νηστεία τῆς τεσσαρακοστῆς πρὸς τὸ δύνασθαι κοινωνεῖν, ἀλλὰ καὶ δεῖ τῆς κατὰ ψυχὴν ἀρετῆς πρώτης· καὶ πῶς δυνατὸν μὴ μνησικακεῖν, καὶ ὅτι ποιεῖς τῷ Θεῷ τοῦ νόμου τούτου λόγος, καὶ ὅτι πρὸ τῆς γεέννης τὸ μνησικακεῖν κολάζει τοὺς ἁλόντας· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς, καὶ περὶ τῶν μὴ κατωρθωκότων τὸ μὴ ὀμνύειν.

Πρὸς τὸ τέλος ἡμῖν τῆς νηστείας λοιπὸν ὁ καιρὸς ἐπείγεται· οὐκοῦν καὶ ἡμεῖς πρὸς πλείονα ἑαυτοὺς ἐπιδῶμεν ἀρετήν. Ὥσπερ γὰρ οὐδὲν ὄφελος τῶν πολλῶν διαύλων τοῖς τρέχουσιν, ἂν τῶν βραβείων ἐκπέσωσιν· οὕτως οὐδὲ ἡμῖν ἔσται τι κέρδος ἀπὸ τῶν πολλῶν πόνων καὶ ἱδρώτων τῶν περὶ τὴν νηστείαν, ἐὰν μὴ μετὰ καθαροῦ συνειδότος ᾖ συνηθῶμεν τῆς ἱερᾶς ἀπολαῦσαι τραπέζης. Διὰ τοῦτο νηστεία καὶ τεσσαρακοστή, καὶ τοσούτων ἡμερῶν σύναξις καὶ ἀκρόασις, καὶ εὐχαὶ καὶ διδασκαλίαι, ἵνα παντὶ τρόπῳ τὰ παρὰ πάντα τὸν ἐνιαυτὸν ἡμῖν ἁμαρτήματα προστριβέντα διὰ τῆς σπουδῆς ταύτης ἀποσμηξάμενοι, μετὰ παῤῥησίας τῆς πνευματικῆς ἐκείνης μετάσχωμεν θυσίας· ὡς ἂν μὴ τοῦτο ᾖ, μάτην καὶ εἰκῇ καὶ ἐπ' οὐδενὶ χρησίμῳ τὸν τοσοῦτον ὑπέστημεν πόνον. Ἕκαστος τοίνυν ἀναλογιζέσθω παρ' ἑαυτῷ, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπεβάλετο, ποίαν κηλῖδα ἀπενίψατο, κατὰ τί βελτίων ἐγένετο· κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας αὐτῷ πρὸς τὴν καλὴν ταύτην ἐμπορίαν, καὶ συνειδῇ πολλὴν ἑαυτῷ πεποιημένῳ τῶν τραυμάτων τὴν ἐπιμέλειαν, προσερχέσθω· εἰ δὲ ἠμεληκὼς ἔμεινε, νηστείαν μόνον ἔχων ἐπιδείξασθαι, τῶν δὲ ἄλλων οὐδὲν κατωρθωκώς, ἔξω μενέτω, καὶ τότε εἰσίτω, ὅταν ἅπαντα ἐκκαθάρῃ τὰ ἁμαρτήματα. Τὸν μὲν γὰρ μὴ νηστεύοντα εἰκὸς καὶ συγγνώμης τυγχεῖν, σώματος ἀσθένειαν προβαλλόμενον, τὸν δὲ μὴ διορθώσαντα ἑαυτοῦ τὰ πλημμελήματα, ἀμήχανον ἀπολογίας τυχεῖν. Οὐκ ἐνήστευσας διὰ τὴν τῆς σαρκὸς ἀσθένειαν· τοῖς ἐχθροῖς σου τίνος ἕνεκεν οὐ κατηλλάγης, εἰπέ μοι; μὴ καὶ ἐνταῦθα ἀσθένειαν σώματος προβαλέσθαι ἔχεις; Πάλιν ἂν βασκανίαν καὶ φθόνον μένῃς ἔχων, ποίαν ἕξεις ἀπολογίαν εἰπεῖν; οὐδαμοῦ γὰρ ἐν τούτοις τοῖς ἐλαττώμασιν ἐπὶ σώματος ἀσθένειαν ἔστι καταφυγεῖν. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τὸ τὰς κυριωτάτας τῶν ἐντολῶν καὶ συνεχούσας ἡμῶν τὴν ζωὴν μηδὲν ἀπὸ τῆς τοῦ σώματος ἀσθενείας παραβλάπτεσθαι. Ἐπεὶ οὖν πάντων μὲν ὁμοίως δεόμεθα τῶν ἱερῶν νόμων, μάλιστα δὲ πάντων τοῦ κελεύοντος μηδένα ἔχειν ἐχθρὸν, μηδὲ μένειν ὀργιζόμενον διηνεκῶς, ἀλλὰ καταλλάττεσθαι εὐθέως, φέρε περὶ ταύτης ὑμῖν διαλεχθῶμεν σήμερον τῆς ἐντολῆς. Ὥσπερ γὰρ τὸν πορνεύοντα καὶ τὸν βλασφημοῦντα ἀμήχανον μετασχεῖν τῆς ἱερᾶς τραπέζης, οὕτω τὸν ἐχθρὸν ἔχοντα καὶ μνησικακοῦντα ἀμήχανον ἀπολαῦσαι κοινωνίας ἁγίας· καὶ μάλα εἰκότως.

HOMILIA XX.

Quod solo quadragesimali jejunio non satis præparemur ad Communionem, sed opus sit animi virtute; et qui fieri possit, ut injuriarum memoriam deponamus, quodque Deus hujus legis magnam habeat rationem: et quod injuriarum memoria homines etiam ante gehennam cruciet: postremo de vitandis juramentis, et de iis, qui nondum se ita correxerint, ut non amplius jurent.

1. Ad finem jejunii jam tempus deproperat: quare et nos majori studio virtuti operam demus; ut enim currentibus multa stadia emensis nihil lucri, si a præmio excidunt: ita nec nobis quicquam erit lucri ex multis laboribus et sudoribus jejunio insumtis, nisi cum pura conscientia sacra mensa frui possumus. Ob hoc enim jejunium et quadragesima et tot dierum synaxes, auditiones, preces et doctrinæ susceptæ sunt, ut abstersis sceleribus, quæ nobis per totum hunc annum quocumque modo allita inhæserunt, cum fiducia spiritualis hujus sacrificii participes efficeremur. Quia nisi id assequamur, temere frustraque et cum nulla utilitate tantos labores exantlavimus. Quisque igitur secum reputet, quem defectum correxerit, quam virtutem acquisiverit, quod peccatum deposuerit, quem nævum eluerit, qua in re melior factus sit: quodsi inveneril pulchras istas merces sibi ex jejunio adductas esse, certusque sit plurimam se vulneribus adhibuisse curam, accedat. Quodsi negligens destiterit, solum jejunium habens quod ostentaret, nec in ullis aliis rebus se castigatiorem factum probare poterit, foris maneat, ac tum introeat, cum se ab omnibus peccatis expurgarit. Fas enim est eum qui non jejunaverit, veniam consequi, quando corporis imbecillitatem excuset; is vero qui non castigaverit delicta sua, impossibile est ut aliam veniam nanciscatur. Non jejunasti ob corporis infirmitatem; sed dic mihi, cur inimicis tuis reconciliatus non es? an hic habes unde prætendas corporis infirmitatem? Rursum si odium invidiamque retineas, quid possis excusationis allegare? nusquam enim in istiusmodi delictis ad corporis imbecillitatem confugere licet. Atque id divini in hominem amoris opus est, quod præcipua et vitam nostram continentia præcepta nihil a corporis infirmitate lædantur. Ceterum quoniam omnibus quidem æque sacris legibus indigemus, sed inprimis illa, quæ interdicit inimicitias iramque perpetuitatem, reconciliationem statim fieri jubens, age, de hoc præcepto nunc in præsentia disputemus. Ut enim fornicantem blasphemantemque impossibile est sacræ mensæ participem fieri, ita is quoque qui inimicitias fovet, aut in ira pertinax est, omnino non potest frui sancta communione; neque id immerito. Qui enim meretricium

Ὁ μὲν γὰρ πορνεύσας καὶ μοιχεύσας ὁμοῦ τε ἐπλήρωσε τὴν ἐπιθυμίαν, καὶ τέλος ἔδωκε τῇ ἁμαρτίᾳ, κἂν θελήσῃ νήψας ἀνενεγκεῖν ἀπὸ τοῦ πτώματος, πολλὴν μετὰ ταῦτα ἐπιδειξάμενος τὴν μετάνοιαν, ἕξει πάντως παραμυθίαν οὐ τὴν τυχοῦσαν· ὁ δὲ μνησικακῶν καθ' ἑκάστην ἡμέραν ἐργάζεται τὴν ἁμαρτίαν, καὶ οὐδέποτε αὐτὴν ἀπαρτίζει. Ἐκεῖ γέγονε τὸ πλημμέλημα, καὶ ἐπληρώθη ἡ ἁμαρτία· ἐνταῦθα δὲ καθ' ἑκάστην ἡμέραν τολμᾶται ἡ ἁμαρτία· τίνα οὖν ἂν ἔχοιμεν, εἰπέ μοι, συγγνώμην τοιούτῳ πονηρῷ θηρίῳ παραδιδόντες ἑαυτοὺς ἑκόντες; Πῶς δὲ βούλει τὸν δεσπότην, ὦ ἄνθρωπε, ἡμερόν σοι γενέσθαι καὶ πρᾶον, τῷ συνδούλῳ γενόμενος αὐτὸς χαλεπὸς καὶ ἀσύγγνωστος; Ἀλλ' ὑβρισέ σε ὁ σύνδουλος; καὶ σὺ τὸν Θεὸν ὑβρίζεις πολλάκις. Ποῦ δὲ ἴσον σύνδουλος καὶ δεσπότης; Καὶ οὗτος μὲν ἐνίοτε καὶ ἠδικημένος ἴσως ὕβρισε, καὶ παρωξύνθης· σὺ δὲ τὸν δεσπότην ὑβρίζεις οὐχ ἠδικημένος οὐδὲ ἐπηρεαζόμενος, ἀλλ' εὐεργετούμενος καθ' ἑκάστην ὑπ' αὐτοῦ τὴν ἡμέραν. Ἐννόησον τοίνυν ὅτι, εἰ βουληθείη μετὰ ἀκριβείας τὰ εἰς αὐτὸν γινόμενα ὁ Θεὸς ἐξετάζειν, οὐδὲ μίαν βιωσόμεθα τὴν ἡμέραν. « Ἁμαρτίας γὰρ, φησὶν [ὁ προφήτης], ἐὰν παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται »; Καὶ ἵνα παρῶ τὰ ἄλλα πάντα ἃ τὸ συνειδὸς ἑκάστου τῶν ἁμαρτανόντων ἐπίσταται, καὶ ὧν οὐκ ἔχει μάρτυρας ἀνθρώπους, ἀλλὰ τὸν Θεὸν μόνον, τῶν φανερῶν τούτων καὶ ὡμολογημένων ἂν ἀπαιτηθῶμεν λόγον, ποίαν ἐν τούτοις ἕξομεν συγγνώμην; ἂν ἐξετάσῃ τὴν ῥᾳθυμίαν ἡμῶν τὴν ἐν ταῖς εὐχαῖς; καὶ τὴν ἀλιγωρίαν, καὶ ὅτι ἔμπροσθεν τοῦ Θεοῦ ἑστῶτες καὶ παρακαλοῦντες αὐτὸν οὐδὲ τοσαύτην αὐτῷ παρέχομεν αἰδῶ καὶ τιμὴν, ὅσην τοῖς δεσπόταις οἱ δοῦλοι, ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, ὅσην τοῖς φίλοις οἱ φίλοι· φίλῳ μὲν γὰρ διαλεγόμενος μετὰ τοῦ προσέχειν τοῦτο ποιεῖς, Θεῷ δὲ ἐντυγχάνων ὑπὲρ ἁμαρτημάτων τοσούτων συγχώρησιν αἰτῶν καὶ συγγνώμην ἀξιῶν σοι γενέσθαι, ῥᾳθυμεῖς πολλάκις, καὶ τῶν γονάτων σου χαμαὶ κειμένων, πολλαχοῦ τῆς ἀγορᾶς καὶ τῆς οἰκίας πλανᾶσθαί σου τὴν διάνοιαν ἐᾷς, τοῦ στόματός σου ληροῦντος εἰκῇ καὶ μάτην· καὶ τοῦτο οὐχ ἅπαξ οὐδὶς δίς, ἀλλὰ καὶ πολλάκις πάσχομεν· ἂν τοίνυν τοῦτο μόνον ἐξετάσαι θελήσῃ ὁ Θεὸς, ἆρα ἕξομεν συγγνώμην; ἆρα δυνησόμεθα ἀπολογίας τυχεῖν; Οὐκ ἔγωγε οἶμαι. Τί δὲ, ἂν τὰς κακηγορίας, ἃς καθ' ἑκάστην ἡμέραν ἀλλήλους λέγομεν κακῶς, εἰς μέσον παραγάγῃ, καὶ τὰς κρίσεις τὰς ἀκαίρους, ἃς κατακρίνομεν τὸν πλησίον οὐδὲν ἔχοντες πρᾶγμα, ἀλλὰ φιλαίτιοί τινες ὄντες καὶ μεμψίμοιροι, τί δυνησόμεθα ἀπολογήσασθαι καὶ εἰπεῖν; Ἂν δὲ τὰς περιέργους ἡμῶν ὄψεις ἐξετάσῃ καὶ τὰς πονηρὰς ἐπιθυμίας, ἃς ἔχομεν ἐν τῇ διανοίᾳ, πολλάκις αἰσχροὺς καὶ ἀκαθάρτους ἀναδεχόμενοι λογισμοὺς ἀπὸ τῆς ἀνεξετάστου τῶν ὀφθαλμῶν πλάνης, πόσην ὑποστησόμεθα δίκην; Τῆς δὲ λοιδορίας ἡμᾶς ἂν ἀπαιτήσῃ λόγον (« Ὃς γὰρ ἂν εἴπῃ, φησὶ, τῷ

est, aut adulterium commisit, simul ut animum explevit, finem peccato imposuit: quodsi resipiscens se a lapsu excitare voluerit magnamque inde ostenderit pœnitentiam, assequetur omnino consolationem non levem; qui autem simultatis tenax est, singulis diebus peccatum facit, nec unquam illud absolvit. Illic simul cum flagitio expletum est peccatum, hic quotidie idem scelus tentatur: quam igitur veniam habebimus, qui nos tam malitiose bellua ultro tradimus? Quomodo postulabis, o homo, Dominum tibi mansuetum et mitem fieri, cum tu conservo tuo tam gravis sis et inexorabilis? Esto, contumelia te affecit conservus: nonne tu sæpe Deo contumelias facis? Quid æquale inter dominum et conservum? Atqui hic interdum contumeliose habitus, contumeliam forte reposuit, et hinc exasperatus es; tu vero adversus Dominum contumeliose agis, nihil quidem ab illo læsus aut offensus, sed perpetuis quotidie beneficiis affectus. Cogita ergo quod, si vellet Deus adversus se commissa diligenter exquirere, ne ad unum quidem diem viveremus. *Peccata* enim, inquit (*Psal.* 129. 3), *si observaveris, Domine, Domine, quis sustinebit?* Et ut omittam alia omnia peccata, quæ sola cujusque peccatoris conscientia cognita habet, et quorum præter Deum nullus testis exstat, si de confessis istis et apertis rationem reposceremur, quam veniam, quæso, sperare possemus? velut si nostram in precibus inertiam et negligentiam expenderet, quod coram Deo stantes ipsumque invocantes, ne tantum quidem pudoris et reverentiæ exhibemus, quantum servi dominis suis, quantum milites ducibus, quantam amici amicis? cum amico enim colloquens, cum attentione illud facis; cum Deo autem de tot peccatis agens, et condonationem postulans et veniam orans, subinde torpescis, genibusque humi positis, sæpe per forum, sæpe per ædes mentem tuam divagari sinis, ore tuo interim temere inaniterque garriente: idque non semel aut bis, sed frequenter nobis accidit: quodsi vel illud solum ponderare velit Deus, num veniam obtinebimus? num excusationem nancisci poterimus? Mihi certe id fieri non posse videtur. 2. Quid vero si convicia quibus quotidie alii alios incessimus, in medium produxerit, judiciaque inopportuna, quibus proximum condemnamus, idque nulla alia de causa, quam quod maledici sumus et queruli, quid poterimus, quæso, pro defensione nostra afferre? Rursum si examinet curiosos nostros intuitus et animi pravas cupiditates, subinde turpibus et immundis cogitationibus imbutas, dum oculos quolibet sine ulla observatione oberrare sinimus, quam pœnam luemus? Quodsi ineatur ratio nostrorum conviciorum (nam [*Matth.* 5. 22] *Qui fratri suo dixerit, Fatue, reus erit gehennæ ignis*),

ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός »), ἆρα δυνησόμεθα διῆραι τὸ στόμα, ἢ χάναι μὲν ὅλως, ἢ μικρὸν ἢ μέγα τι πρὸς τοῦτο εἰπεῖν; Τὰς δὲ κενοδοξίας, ἃς ὑπομένομεν καὶ εὐχόμενοι καὶ νηστεύοντες καὶ ἐλεημοσύνην ποιοῦντες, ἂν ἐξετάσωμεν, οὐ λέγω ὁ Θεὸς, ἀλλ' ἡμεῖς αὐτοὶ οἱ ἡμαρτηκότες, ἆρα δυνησόμεθα εἰς τὸν οὐρανὸν ἀναβλέψαι; Τοὺς δὲ δόλους, οὓς κατ' ἀλλήλων ῥάπτομεν, νῦν μὲν παρόντα ἐπαινοῦντες τὸν ἀδελφὸν καὶ ὡς φίλῳ διαλεγόμενοι, ἀπόντα δὲ κακηγοροῦντες, ἆρα ὑποστησόμεθα τὰς ὑπὲρ τούτων κολάσεις; Τί δὲ τοὺς ὅρκους; τί δὲ τὸ ψεῦδος; τί δὲ τὰς ἐπορκίας, τοὺς ἀδίκους θυμοὺς, τὴν βασκανίαν, ἣν βασκαίνομεν πολλάκις εὐδοκιμοῦσιν οὐκ ἐχθροῖς μόνον, ἀλλὰ καὶ φίλοις; καὶ [ὅτι] ἡδόμεθα πασχόντων ἑτέρων κακῶς, καὶ νομίζομεν παραμυθίαν εἶναι τῆς οἰκείας συμφορᾶς τὰς ἀλλοτρίας δυσημερίας; Τῆς δὲ ἐν ταῖς συνάξεσι ῥᾳθυμίας ἂν ἀπαιτήσῃ τὰς εὐθύνας, τί ἂν πάθοιμεν; ἴστε γὰρ δήπου τοῦτο, ὅτι πολλάκις αὐτοῦ τοῦ Θεοῦ διαλεγομένου πρὸς πάντας ἡμᾶς διὰ τοῦ προφήτου, πολλοὺς καὶ μακροὺς πρὸς τὸν πλησίον ποιούμεθα λόγους περὶ τῶν οὐδὲν ἡμῖν προσηκόντων πραγμάτων.

Ἂν τοίνυν πάντα παρεὶς τὰ ἄλλα ταύτης τῆς ἁμαρτίας θελήσῃ δίκην ἀπαιτῆσαι ἡμᾶς, ποία σωτηρίας ἔσται ἡμῖν ἐλπίς; Μὴ γὰρ ὀλὴ μικρὸν εἶναι νομίσῃς τὸ πλημμέλημα· ἀλλ' εἰ βούλει τὸ μέγεθος αὐτοῦ κατιδεῖν, ἐπ' ἀνθρώπων αὐτὸ τοῦτο ἐξέτασον, καὶ τότε ὄψει τῆς ἀτοπίας τὸ μέγεθος. Τόλμησον ἄρχοντος πρὸς σὲ φθεγγομένου, μᾶλλον δὲ φίλου τινὸς τῶν ὀλίγῳ σεμνοτέρων, ἆρεις αὐτὸν πρὸς τὸν οἰκέτην διαλέγεσθαι τὸν σαυτοῦ, καὶ τότε ὄψει ἡλίκον τολμᾷς ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶν. Ἐὰν γὰρ ᾖ τις τῶν περιφανεστέρων ἐκεῖνος, καὶ δίκην σε ἀπαιτήσει τῆς ὕβρεως· ἀλλ' ὁ Θεὸς τοσαῦτα καὶ πλείονα τούτων καθ' ἑκάστην ὑβριζόμενος τὴν ἡμέραν, οὐ παρ' ἑνὸς καὶ δύο καὶ τριῶν ἀνθρώπων, ἀλλὰ παρὰ πάντων σχεδὸν ἡμῶν, ἀνέχεται καὶ μακροθυμεῖ, καὶ οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ ἐφ' ἑτέροις πολλῷ χαλεπωτέροις. Ταῦτα μὲν γάρ ἐστι τὰ ὡμολογημένα καὶ πᾶσι δῆλα, καὶ ὑπὸ πάντων σχεδὸν τολμώμενα· ἔστι δὲ καὶ ἕτερα, ἅπερ τὸ τῶν ἁμαρτανόντων συνειδὸς οἶδεν. Ἐὰν τοίνυν ἅπαντα ταῦτα ἐννοηθῶμεν καὶ πρὸς ἑαυτοὺς ἀναλογισώμεθα, κἂν ἁπάντων ὦμεν ὠμότεροι καὶ ἀπηνέστεραι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν σκοπήσαντες, ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας αὐτῆς μνησθῆναι τῆς παρ' ἑτέρων εἰς ἡμᾶς γεγενημένης ὕβρεως δυνησόμεθα. Ἀναμνήσθητι τοῦ ποταμοῦ τοῦ πυρὸς, τοῦ σκώληκος τοῦ ἰοβόλου, τῆς φοβερᾶς κρίσεως, καθ' ἣν ἅπαντα γυμνὰ καὶ τετραχηλισμένα· ἐννόησον ὅτι τὰ κρυπτόμενα νῦν ἐκκαλύπτεται τότε. Ἂν τοίνυν ἀφῇς τῷ πλησίον τὰ παραπτώματα, ἅπερ ἐκκαλύπτεσθαι μέλλει τότε, ταῦτα ἐνταῦθα ἀφανίζεται πάντα, καὶ ἀπελεύσῃ μηδὲν ἐπισυρόμενος ὧν ἐπλημμέλησας, ὥστε μείζονα λαμβάνεις ἢ δίδως. Καὶ γὰρ πολλὰ πολλάκις

num vel os didocere vel hiscere licebit, aut parvum aut magnum aliquid ad hæc respondere? Jam inanes gloriationes quas admittimus de precibus vel jejuniis vel eleemosynis nostris, si in disquisitionem revocentur, non dico a Deo, sed a nobis ipsis qui peccavimus: an audebimus vel cælum respicere? Porro si de dolis judicium fiat, quos alii in alios consuimus, nunc præsentem laudantes fratrem, ac cum eo quasi cum amico colloquia miscentes, nunc absentem criminantes: an pares erimus istiusmodi pœnas subeundæ? Quid dicam de juramentis, mendaciis, perjuriis, injusto furore, livore, quo sæpe invidemus viris conspicuis non inimicis modo, sed amicis? quid quod oblectamur alienis malis, arbitramurque alienam infelicitatem nostri infortunii solatium esse? Quid patiendum sit si de torpore nostro in sacra collecta pœnæ exigantur? illud quippe non ignoratis, quod ipso Deo sæpe per prophetam cum omnibus nobis colloquente, multas longasque confabulationes cum proximis habemus de rebus ad nos minime pertinentibus.

Jam si, omissis cæteris omnibus, par isti delicto supplicium quis postulet a nobis, quid reliquum erit quod de salute speremus? Ne existimes enim id parvum crimen esse: ejus quippe magnitudinem si perspicere cupias, in rebus humanis idem examina, et tum videbis quam intolerabilis sit absurditas. Aude sis prætore tecum verba habente, imo vel amico aliquanto honestiore, eo omisso sermonem tuum ad servum transferre, ac tum videbis quantum scelus audeas, cum id ipsum in Deum facis. Quod si spectabiliorum ille de numero est, etiam pœnas hujusmodi contumeliæ a te sumet: Deus tamen iisdem majoribusque injuriis pulsatus quotidie, nec ab uno aut altero vel a tribus solum, sed a nobis ferme omnibus, in mansuetudine sua et tolerantia perseverat, quam non solum in his, sed in aliis quoque multo gravioribus conservat. Hæc enim confessa et manifesta sunt delicta, quæ propemodum ab omnibus designantur; sunt autem et alia, quorum cujusque peccatoris animus est conscius. Quodsi hæc omnia mente revolverimus, etiamsi omnium crudelissimi ac immanissimi simus, modo multitudinem peccatorum nostrorum consideremus, præ metu et anxietate ne meminisse quidem vacabit acceptarum injuriarum. Recordare ignei fluvii, vermis venenati, horrendi judicii, in quo omnia nuda et aperta erunt: cogita quod quæ nunc in abdito latent, tunc in lucem proferentur. Quodsi proximo remiseris peccata, ea quæ tum retegenda erunt, nunc in sæculo abolebuntur, exibisque nihil tecum trahens ex tuis peccatis, adeo ut multo plus recipias, quam dedisti. Multa sæpe istiusmodi

ἡμαρτήκαμεν τοιαῦτα, ἃ μηδεὶς ἕτερος οἶδεν· εἶτα ἐννοοῦντες ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην πρὸ τῶν ὀφθαλμῶν ἁπάντων κείσεται ἡμῶν τὰ ἁμαρτήματα ἐν τῷ κοινῷ τῆς οἰκουμένης θεάτρῳ, τῆς κολάσεως χαλεπώτερον ἀλγοῦμεν πνιγόμενοι καὶ ἀγχόμενοι τῷ συνειδότι. Ἀλλὰ τὴν τοσαύτην αἰσχύνην, τὰ τοσαῦτα ἁμαρτήματα, τὴν τοσαύτην κόλασιν ἔστιν ἀπονίψασθαι διὰ τῆς εἰς τὸν πλησίον συγχωρήσεως· καὶ γὰρ οὐδὲν ταύτης ἴσον ἐστὶ τῆς ἀρετῆς. Βούλει μαθεῖν ταύτης τῆς ἀρετῆς τὴν δύναμιν; « Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουὴλ, φησὶ, πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. » Ἀλλ' ὅμως οὓς οὐκ ἠδύνατο Μωϋσῆς καὶ Σαμουὴλ ἐξαρπάσαι τῆς ὀργῆς τοῦ Θεοῦ, αὕτη ἠδύνατο ἐξαρπάσαι ἡ ἐντολή· διὰ τοῦτο ἐκείνοις, οἷς ταῦτα εἶπε, συνεχῶς παρεκελεύετο λέγων, « Κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν » · καὶ « Τὴν κακίαν τοῦ πλησίον αὐτοῦ ἕκαστος μὴ λογίζεσθε. » Οὐκ εἶπεν, Ἄφες, μόνον, ἀλλὰ Μηδὲ ἔχε ἐν διανοίᾳ, μηδὲ λογίζου· ἄφες τὴν ὀργὴν ἅπασαν, ἀφάνισον τὸ ἕλκος. Δοκεῖς μὲν γὰρ ἐκεῖνον ἀμύνεσθαι, πρότερον δὲ σεαυτὸν βασανίζεις, καθάπερ ὀήμιον ἔνδοθεν περιστήσας σου παντα χόθεν τὸν θυμὸν, καὶ καταξαίνων σαυτοῦ τὰ σπλάγχνα. Τί γὰρ γένοιτ' ἂν ἀθλιώτερον ἀνθρώπου διηνεκῶς ὀργιζομένου; καθάπερ οἱ μεμηνότες οὐδέποτε ἀπολαύουσι γαλήνης, οὕτως ὁ μνησικακῶν καὶ ἐχθρὸν ἔχων οὐδέποτε ἀπολαύσεταί τινος εἰρήνης, διηνεκῶς φλεγμαίνων, καὶ τὸν χειμῶνα τῶν λογισμῶν καθ' ἑκάστην αὔξων τὴν ἡμέραν, τὰ ῥήματα ἀναμιμνησκόμενος καὶ τὰ πράγματα, καὶ πρὸς αὐτὴν προσηγορίαν τοῦ λελυπηκότος ἀπεχθῶς ἔχων· κἂν τὸ ὄνομα μόνον εἴπῃς τοῦ ἐχθροῦ, ἐχθηριοῦται καὶ πολλὴν ἐνδον ὑπομένει τὴν ὀδύνην· κἂν ψιλὴν ἴδῃ τὴν ὄψιν μόνον, δέδοικε καὶ τρέμει καθάπερ τὰ ἔσχατα πάσχων κακά· κἂν τινα τῶν ἐκείνῳ προσηκόντων, κἂν ἱμάτιον, κἂν οἰκίαν, κἂν στενωπὸν ὁράσηται, ὑπὸ πάντων βασανίζεται τῶν ὁρωμένων. Καθάπερ γὰρ τῶν φιλουμένων καὶ τὰ ἱμάτια καὶ τὰ πρόσωπα καὶ τὰ ὑποδήματα καὶ αἱ οἰκίαι καὶ οἱ στενωποὶ πτεροῦσιν ἡμᾶς εὐθέως ὀρθέντες, οὕτω τῶν ἐχθρῶν καὶ μισουμένων κἂν οἰκέτην, κἂν φίλον, κἂν οἰκίαν, κἂν στενωπὸν ἴδωμεν, κἂν ὅτιοῦν ἕτερον, ὑπὸ πάντων δακνόμεθα, καὶ πυκναὶ καὶ συνεχεῖς ἡμῖν ἀφ' ἑκάστου τῶν ὁρωμένων αἱ πληγαὶ γίνονται.

Τίς οὖν χρεία τῆς τοιαύτης πολιορκίας, τῆς τοσαύτης βασάνου καὶ κολάσεως; Εἰ γὰρ καὶ μὴ γέεννα προηπείλητο τοῖς μνησικάκοις, διὰ τὴν ἐκ τοῦ πράγματος ἡμῖν γινομένην βάσανον ἀφεῖναι τὰ ἁμαρτήματα τοῖς λελυπηκόσιν ἐχρῆν· ὅταν δὲ καὶ ἀθάνατοι μένωσιν αἱ τιμωρίαι, τί γένοιτ' ἂν ἀνοητότερον τοῦ καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζοντος ἑαυτὸν, νομίζοντος δὲ τὸν ἐχθρὸν τιμωρεῖσθαι; Ἂν τε γὰρ εὐδοκιμοῦντα ἴδωμεν, ἀπολλύμεθα ὑπὸ τῆς ἀθυμίας· κἂν δυσπραγοῦντα, δεδοίκαμεν μή τις γένηται δεξιὰ πάλιν μεταβολή· ἀμφοτέρωθεν οὖν ἡμῖν ἡ ὀδύνη.

deliquimus, quorum neminem conscium habemus : deinde cum cogitamus quod eo die ante oculos omnium peccata nostra exponentur in publico orbis terrarum theatro, tristius id quam ipsum supplicium, angente nos et elidente conscientia, arbitramur. Atqui tantum pudoris, tot peccata, tanta supplicia eluere licet per condonationem offensæ : nihil enim est huic virtuti æquale. Vis cognoscere hujus vires? *Si steterit Moyses et Samuel ante faciem meam*, inquit (*Jerem.* 15. 1), *non est anima mea ad eos.* Attamen quos non potuerunt Moyses et Samuel eripere ab ira Dei, hujus præcepti observatio eripere potuit : ac proinde illis quibus ista dixit, assidue præcepit inquiens (*Zach.* 7. 10), *Nequitiæ fratris vestri singuli ne recordemini in cordibus vestris*; et (*ib.* 8. 17); *De malefactis proximi singuli ne cogitaveritis.* Non dixit solum, Remitte, sed, Ne vel in mente habeas, ne cogites; omitte universam iram, ulcus tolle. Videris enim in illum vindictam adornare, at revera te ipsum primum tormento afficis, veluti si carnificem tibi apposuisses iram, dilanians tua ipsius viscera. Quid enim miserius fuerit homine assidue irato? Quemadmodum furiosi numquam fruuntur tranquillitate, ita qui simultatem gerit et inimicum habet, numquam fruitur ulla pace, perpetuo æstuans, tempestatemque cogitationum in dies aggravat, verba factaque secum reputat, ipsius quoque nomini infestus, qui injuriam dedit. Si audiat illum tantum nominari, efferatur continuo, magno cum animi cruciatu, et ad solum illius conspectum trepidat et horret, tamquam si ultima patiatur mala. Quodsi quid illius, vel vestem, vel domum, vel angiportum videat, omnium istorum intuitu torquetur : ac quemadmodum dilectorum ac carorum hominum vestes quoque, vultus, calceamenta, domus, item et angiportus, mox ut visa fuerint, excitare nos solent : ita inimicorum et odiosorum hominum vel servus, vel amicus, vel domus, vel angiportus in conspectum datus, aut quodcumque aliud, animos arrodit, atque alias super alias, ut quodque visum fuerit, plagas nobis incutit.

3. Quorsum opus igitur est istiusmodi animi obsidione, tantis tormentis ac tali supplicio? Quodsi nec gehenna immineret odio laborantibus, saltem ob ipsius odii cruciatum peccata proximorum condonanda essent; cum autem æterna supplicia nos maneant, quid stultius quam et hic et illic semetipsum mulctare, dum de altero se credit ultionem sumere? Si enim florentem illum videamus, mœrore perimus; sin afflictum, veremur ne fortuna se in melius commutet : utriusque culpæ nobis pœna in-

ρον δὲ τούτων ἡμῖν κεῖται κόλασις ἀπαραίτητος. « Ἐπὶ γὰρ τῷ ὑποσκελίσματι τοῦ ἐχθροῦ σου μὴ ἐπαίρου », φησί. Καὶ μή μοι λέγε τῶν ἀδικημάτων τὸ μέγεθος· οὐ γὰρ τοῦτό ἐστι τὸ ποιοῦν μένειν παρὰ σοὶ τὴν ὀργήν, ἀλλὰ τὸ μὴ μεμνῆσθαί σε τῶν οἰκείων πλημμελημάτων, μηδὲ τὴν γέενναν ἔχειν πρὸ ὀφθαλμῶν καὶ τὸν τοῦ Θεοῦ φόβον. Καὶ ἵνα μάθῃς ὅτι τοῦτ' ἔστιν ἀληθές, ἀπὸ τῶν συμβάντων τῇ πόλει τοῦτο ἀποδείξαι πειράσομαι. Ὅτε γὰρ οἱ τῶν παρανόμων τολμημάτων ἐκείνων ὄντες ὑπεύθυνοι πρὸς τὸ δικαστήριον ἤχθησαν, ὅτε πῦρ ἔνδον ἐκαίετο, καὶ δήμιοι παρειστήκεισαν καὶ τὰς πλευρὰς κατέξαινον, εἴ τις αὐτοῖς παραστὰς ἐκ πλαγίων εἶπεν ὅτι Εἴ τινας ἐχθροὺς ἔχετε, λύσατε τὴν ὀργήν, καὶ δυνησόμεθα ταύτης ὑμᾶς ἀπαλλάξαι τῆς κολάσεως· ἆρα οὐκ ἂν καὶ τοὺς πόδας αὐτῶν κατεφίλησαν; καὶ τί λέγω τοὺς πόδας; εἰ καὶ δεσπότας τις αὐτοὺς ἑλέσθαι ἐκέλευσεν, οὐκ ἂν παρῃτήσαντο τότε. Εἰ δὲ ἀνθρωπίνη κόλασις καὶ τέλος ἔχουσα πάσης ἂν ἐκράτησεν ὀργῆς, πολλῷ μᾶλλον ἡ μέλλουσα τιμωρία, εἰ συνεχῶς ἡμῶν τὴν διάνοιαν κατεῖχεν, οὐχὶ μνησικακίαν μόνον, ἀλλὰ καὶ πάντα ἂν ἀπὸ τῆς ψυχῆς ἐξήλασε πονηρὸν λογισμόν. Τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τοῦ τὴν ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; Μὴ γὰρ μακρὰν ἀποδημίαν ἐστὶ στείλασθαι; μὴ γὰρ χρήματα δαπανῆσαι; μὴ γὰρ ἑτέρους παρακαλέσαι; ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ κατόρθωμα τέλος ἔλαβε. Τίνος οὖν οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, εἰ βιωτικῶν μὲν ἕνεκεν πραγμάτων δουλοπρεπεῖς ὑπομένομεν διακονίας καὶ ἀναξίους ἡμῶν ἐπιδεικνύμεθα θεραπείας, καὶ χρήματα ἀναλίσκομεν καὶ πυλωροῖς διαλεγόμεθα, ἵνα μιαροὺς ἀνθρώπους κολακεύσωμεν, καὶ πάντα ποιοῦμεν [καὶ λέγομεν] ὥστε κατορθωθῆναι ἡμῖν τὸ προκείμενον, ὑπὲρ δὲ τῶν τοῦ Θεοῦ νόμων τὸν λελυπηκότα ἀδελφὸν οὐχ ὑπομένομεν παρακαλέσαι, ἀλλὰ καὶ αἰσχύνην εἶναι νομίζομεν τὸ πρότεροι προσδραμεῖν; Αἰσχύνη, εἰπέ μοι, μέλλων πρότερος κερδαίνειν; Τοὐναντίον μὲν οὖν αἰσχύνεσθαι χρὴ τὸ μένειν ἐπὶ τοῦ πάθους, καὶ τὸν λελυπηκότα ἐκδέχεσθαι πρὸς τὰς καταλλαγὰς ἐλθεῖν· τοῦτο γὰρ καὶ αἰσχύνη καὶ ὄνειδος καὶ ζημία μεγίστη. Ὁ γὰρ πρότερος ἐλθών, ἐκεῖνος καρποῦται τὸ πᾶν. Ἂν μὲν γὰρ παρ' ἑτέρου παρακληθεὶς ἀφῇς τὴν ὀργήν, ἐκείνῳ λογίζεται τὸ κατόρθωμα· οὐ γὰρ δὴ τῷ Θεῷ πειθόμενος, ἀλλ' ἐκείνῳ χαριζόμενος τὸν νόμον ἐπλήρωσας· ἂν δὲ μηδενὸς παρακαλοῦντος, μήτε αὐτοῦ τοῦ λελυπηκότος πρὸς σὲ παραγενομένου καὶ δεηθέντος, αὐτὸς πᾶσαν αἰσχύνην καὶ πάντα ὄκνον ῥίψας ἀπὸ τῆς διανοίας, προσδράμῃς τῷ ἠδικηκότι καὶ καταλύσῃς τὴν ὀργήν, ὁλόκληρόν σου γίνεται τὸ κατόρθωμα, καὶ τὸν πάντα λήψῃ μισθόν. Ἂν εἴπω, Νήστευσον, ἀσθένειάν μοι προβάλλῃ σώματος πολλάκις· ἂν εἴπω, Δὸς πένησι, παιδοτροφίαν καὶ πενίαν· ἂν εἴπω, Σχόλασον εἰς συνάξεις, φροντίδας βιωτικὰς· ἂν εἴπω, Πρόσεχε τοῖς λεγομένοις καὶ νόει τῆς διδασκαλίας τὴν

deprecabilis constituta est. *In supplantatione inimici ne te efferas*, inquit Scriptura (*Prov.* 24. 17). Ne mihi alleges injuriarum acceptarum molem : non enim illud in te facit pertinaciam irarum, sed quod parum memor est tuorum ipse delictorum, neque gehennam ante oculos habes aut Dei timorem. Ut autem condiscas id verum esse, ex casibus hujus urbis documenta promam. Cum enim rei istorum facinorum ad judicium trahebantur, ac flamma intus incendebatur, circumstantibus carnificibus ac latera discerpentibus, si quis ibi assistens, ita eos ex transverso alloquutus fuisset, Si habetis inimicos, mittite simultatem, et ex hoc supplicio vos liberare poterimus : an non cum oculis ad illius pedes se devolvissent? Imo quid de pedibus loquor? si quis servitutem illis proposuisset, non aspernati eam conditionem fuissent. Quodsi humana pœna, quæ terminum habet, quaslibet iras superat, multo magis futurum supplicium, si memoria ejus perpetuo nostras mentes teneret, non solum simultatem, sed et omnes pravas cogitationes ab animo excluderet. Quid enim facilius, dic, quæso, quam homini qui te lacserit, iram remittere? Non enim longis ad id peregrinationibus opus est, non pecuniarum insumtu, non aliorum exorationibus; sufficit si tantum velis, ac jam virtus illa suum opus explevit. Qua igitur pœna digni non fuerimus, si sæcularium rerum causa et servilia sustinemus ministeria, et rebus præter dignitatem inservimus, pecunias expendimus, cum janitoribus confabulamur, ut scelestis hominibus adulemur, omnia denique et dicimus et facimus, ut proposita efficiamus; pro divina autem lege fratrem, qui lœsit, non solum non sustinemus exorare, sed et inter probra ducimus eum priores adire? An vero tibi probro esse putas, quum tu prior lucrum reportes? Imo vero verecundiæ esse debet, si in eo affectu persistas, exspectesque donec injuriæ auctor pro reconciliatione te adeat : id probrum, id vitium, id ingens damnum. Qui enim prior venit, is totum lucrum capit. Si enim ab alio exoratus, iram relinquis, illi bonum opus imputatur : non enim Deo obtemperans, sed illi gratificans, legem adimplevisti : quod si nemine intercedente, neque illo qui lœsit te adeunte et preces adhibente, ipse rejecto omni pudore, nihil cunctatus, ad injuriæ auctorem accurreris, eique iras tuas resolveris, tuum ex toto fit illud officium, universamque mercedem ipse recipies. Si dixero, Jejuna, corporis imbecillitatem mihi subinde obtendis : si dixero, Da pauperi, allegas contra tuam tenuitatem et onus educandorum liberorum : si dixero, Des operam sacræ synaxi, sæculares curas : si dixero, Attende concionibus ac doctrinæ vim

δύναμιν, ἰδιωτείαν· ἂν εἴπω, Κατόρθωσον ἕτερον, λέγεις ὅτι Οὐχ ὑπακούσεται συμβουλευόμενος, πολλάκις γὰρ εἰπὼν κατεφρονήθην. Ψυχραὶ μὲν οὖν αἱ προφάσεις, ἀλλ' ὅμως κἂν προφάσεις ἔχεις εἰπεῖν· ἂν εἴπω, Τὴν ὀργὴν ἄφες, τί τούτων εἰπεῖν δυνήσῃ; οὔτε γὰρ ἀσθένειαν σώματος, οὔτε πενίαν, οὐκ ἰδιωτείαν, οὐκ ἀσχολίαν, οὐκ ἄλλο οὐδὲν ἔχεις εἰπεῖν, ἀλλ' ἀσύγγνωστος αὕτη μάλιστα πάντων ἐστὶν ἡ ἁμαρτία. Πῶς δυνήσῃ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; πῶς τὴν γλῶτταν κινῆσαι; πῶς αἰτῆσαι συγγνώμην; Κἂν βούληται ὁ Θεὸς ἀφεῖναι τὰς ἁμαρτίας σου, οὐκ ἀφίης, αὐτὸς τὰ τοῦ συνδούλου κατέχων. Ἀλλ' ὠμός ἐστι καὶ ἄγριος καὶ θηριώδης, καὶ χολάσεως ἐπιθυμεῖ καὶ ἀντιδόσεως. Καὶ διὰ τοῦτο μάλιστα ἄφες. Ἠδίκησαί πολλά, καὶ ἀπεστέρησαι, καὶ κακῶς ἤκουσας, καὶ ἐν τοῖς μεγίστοις ἐβλάβης πράγμασι, καὶ βούλει κολαζόμενον ἰδεῖν τὸν ἐχθρόν; Καὶ εἰς τοῦτό σοι πάλιν χρήσιμον τὸ ἀφιέναι. Ἂν μὲν γὰρ αὐτὸς ἐκδικήσῃς καὶ ἐπεξέλθῃς, εἴτε διὰ ῥημάτων, εἴτε διὰ πραγμάτων, εἴτε διὰ τῆς εὐχῆς τῆς κατ' αὐτοῦ, ὁ Θεὸς οὐκ ἐπεξελεύσεται λοιπὸν, ἅτε σοῦ τὴν τιμωρίαν λαβόντος, καὶ οὐ μόνον οὐκ ἐπεξελεύσεται, ἀλλὰ καὶ σὲ ἀπαιτήσει δίκην ὡς ὑβρισμένος. Εἰ γὰρ ἐπ' ἀνθρώπων τοῦτο γίνεται, κἂν τυπτήσωμεν ἀλλότριον οἰκέτην, ὁ δεσπότης ἀγαναχτεῖ, καὶ ὕβριν εἶναί φησι τὸ πρᾶγμα· κἂν γὰρ ἠδικημένοι τύχωμεν εἴτε ὑπὸ δούλων, εἴτε ὑπὸ ἐλευθέρων, τὰς παρὰ τῶν ἀρχόντων καὶ τὰς παρὰ τῶν δεσποτῶν ἀναμένειν χρὴ ψήφους· εἰ τοίνυν ἐπ' ἀνθρώπων οὐκ ἀσφαλὲς ἑαυτοὺς ἐκδικεῖν, πολλῷ μᾶλλον, ὅταν ὁ Θεὸς δικάζῃ. Ἀλλ' ἠδίκησέ σε καὶ λελύπηκε, καὶ μυρία διέθηκεν [ὁ πλησίον] κακά. Μηδὲ οὕτως αὐτὸς [αὐτῷ] ἐπεξέλθῃς, ἵνα μὴ ὑβρίσῃς σαυτοῦ τὸν δεσπότην· παραχώρησον τῷ Θεῷ, καὶ αὐτὸς διαθήσει τὸ πρᾶγμα πολὺ βέλτιον οὗ σὺ βούλει. Σοὶ μόνον εὔχεσθαι ὑπὲρ τοῦ λελυπηκότος ἐκέλευσε· τὸ δὲ πῶς ἐκείνῳ δεῖ χρήσασθαι, αὐτῷ καταλιπεῖν προσέταξεν. Οὐχ οὕτω σὺ σαυτὸν ἐκδικεῖς, ὡς ἐκεῖνός σε ἐκδικῆσαι παρεσκεύασται, ἂν αὐτῷ παραχωρήσῃς μόνον, καὶ μὴ κατεύξῃ τοῦ λελυπηκότος, ἀλλ' αὐτὸν ἀφῇς κύριον γενέσθαι τῆς ψήφου· κἂν γὰρ ἡμεῖς ἀφῶμεν τοῖς ἠδικηκόσι, κἂν καταλλαγῶμεν, κἂν ὑπὲρ αὐτῶν δεηθῶμεν, ὁ Θεὸς οὐκ ἀφήσειν, ἐὰν μὴ μεταβάλλωνται καὶ αὐτοὶ καὶ βελτίους γένωνται· οὐκ ἀφήσει δὲ πρὸς τὸ χρήσιμον ἐκείνων βλέπων. Σὲ μὲν γὰρ ἐπαινεῖ καὶ ἀποδέχεται τῆς φιλοσοφίας, ἐκείνῳ δὲ ἐπεξέρχεται, ἵνα μὴ τῇ σῇ φιλοσοφίᾳ χείρων γένηται. Ὥστε περιττὸς ὁ τῶν πολλῶν λόγος· πολλοὶ γὰρ πολλάκις ἐγκαλούμενοι παρ' ἡμῶν, ἐπειδὴ παρακαλούμενοι καταλλαγῆναι τοῖς ἐχθροῖς οὐκ ἐπείθοντο, ταύτην εὐόκουν τὴν ἀπολογίαν προβαλέσθαι, παραπέτασμα τῆς ἑαυτῶν οὖσαν πονηρίας· Οὐ βούλομαι καταλλαγῆναι, φησὶν, ἵνα μὴ χείρονα αὐτὸν ἐργάσωμαι, ἵνα μὴ τραχύτερον, ἵνα μὴ μειζόνως μου καταφρονήσῃ μετὰ ταῦτα. Καὶ πρὸς τούτοις κἀκεῖνο

intellige, imperitiam : si dixero, Fac ut alium emendes, respondes illum tuis monitis non obtemperaturum; sæpe eum te inter dicendum aspernatum fuisse. Frigidæ quidem istæ sunt causificationes, sed causificationes tamen. Quodsi dixero, Iram dimitte, quid istorum allegare poteris? Non corporis imbecillitatem, non paupertatem, non imperitiam, non occupationes, nil certe istorum aliud obtendi potest : quapropter minime omnium hoc peccatum veniam meretur. Quomodo poteris manus in cælum extendere, aut linguam movere aut veniam postulare? Etiamsi voluerit tibi Deus peccata condonare, tu id non permittis, cum ipse adversus conservum offensum animum retineas. Sed crudelis est, inquis, et efferus, pœnæ vindictæque avidus. Quin ob id ipsum maxime remitte. Multas injurias tulisti, multis spoliatus es, sæpe convicia audisti, in maximis rebus damnum passus es, ac proinde desideras pœnam inimici? Atqui in hoc ipsum utilis tibi condonatio offensarum. Si enim ipse vindictæ incumbas ultionemque sumas, sive per verba, sive per facta, sive per imprecationem, Deus ipse a sumenda ultione supersedebit, utpote te satagente circa tui ipsius vindictam : imo non solum non persequetur pœnas injuriarum tibi illatarum, sed a te ipso mulctam exiget, ut injuriose a te habitus. 4. Quodsi in hominibus id fit, ut verberato a nobis alieno servo, dominus illius indignetur, ac pro contumelia hoc accipiat; ipsi quoque si injuriis afficiamur vel a servis, vel a liberis, sententia judicum et dominorum exspectanda est : si igitur in rebus humanis nemo sibi tuto ultionem sumit, quanto magis id observandum in rebus illis, ubi Deus ipse vindex constitutus est? At injurias tibi fecit, te læsit, et infinita mala inflixit. Etiam tum cave pœnam tuam persequare, ne dominum tuum contumeliose tractes : cede Deo; ipse negotium multo melius administrabit, quam tu cupis. Tibi solummodo jussum est, ut pro eo qui te læsit, preces fundas; quid autem de eo statuendum sit, sibi reservari jussit. Numquam tu tibi tales ultiones assequêre, quales pro te ille instruxit, modo illi jus tuum concedas, nec imprecationes facias adversus injuriarum auctorem, sed illi relinquas arbitrium judicandi : sive enim nos injurias condonemus, sive reconciliemur, sive pro inimicis precemur, nisi ipsi conversi fuerint atque in melius se mutaverint, Deus ipse non dimittet; non dimittet autem eorum utilitati studens. Te quippe laudat, tuamque philosophiam amplectitur, illum vero punit, ne tua is philosophia deterior reddatur. Quamobrem inanis est illa vulgi sententia : multi enim sæpe a nobis admoniti super reconciliatione, ubi obtemperare non placebat, hanc excusationem prætenderunt, quæ nihil aliud fuit quam prætextus ipsorum malitiæ : nolle scilicet se reconciliationem, ne deteriorem inimicum faciant, ne acerbiorem, ne majorem postea ejus contemtum experiantur. Ad hæc illud quo-

λέγουσιν, ὅτι Πολλοὶ τῶν ἀνθρώπων ἐξ ἀσθενείας με νομίζουσι πρότερον ἐπὶ τὰς καταλλαγὰς ἔρχεσθαι καὶ τὸν ἐχθρὸν παρακαλεῖν. Ταῦτα πάντα μάταια· ὁ γὰρ ἀκοίμητος ὀφθαλμὸς οἶδε τὴν γνώμην τὴν σήν· διόπερ οὐδένα χρὴ ποιεῖσθαι τῶν συνδούλων λόγον, ὅταν τὸν κριτὴν πείσῃς καὶ τὸν μέλλοντά σοι δικάζειν. Εἰ δὲ τοῦ μὴ γενέσθαι σοι χείρονα διὰ τῆς σῆς ἐπιεικείας τὸν ἐχθρὸν φροντίζεις, ἐκεῖνο μάνθανε, ὅτι οὐχ οὕτω γίνεται χείρων, ἀλλ' ἂν μὴ καταλλαγῇς μᾶλλον· κἂν γὰρ ἁπάντων μιαρώτερος ᾖ, κἂν μὴ λέγῃ, κἂν μὴ κηρύττῃ, καὶ σιγῶν πάντας ἀποδέξεταί σου τὴν φιλοσοφίαν, αἰδεσθήσεταί σου τὴν πραότητα κατὰ τὸ συνειδὸς τὸ ἑαυτοῦ· ἐὰν δὲ ἐπὶ τῆς αὐτῆς μένῃ πονηρίας κολαζευόμενος καὶ θεραπευόμενος, ἕξει τιμωρὸν μέγιστον τὸν Θεόν.

Καὶ ἵνα μάθητε ὅτι κἂν ἡμεῖς παρακαλέσωμεν ὑπὲρ τῶν ἐχθρῶν καὶ ὑπὲρ τῶν ἠδικηκότων, ὁ Θεὸς οὐκ ἀφήσειν ἂν μᾶλλόσι γίνεσθαι χείρους διὰ τῆς ἡμετέρας ἀνεξικακίας, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. Κατελάλησέ ποτε τοῦ Μωϋσέως ἡ Μαρία· τί οὖν ὁ Θεός; λέπραν ἐπαφῆκεν αὐτῇ, καὶ ἀκάθαρτον αὐτὴν ἐποίησε, καίτοι γε τὰ ἄλλα οὖσαν ἐπιεικῆ καὶ σώφρονα· εἶτα τοῦ Μωϋσέως αὐτοῦ τοῦ ὑβρισμένου παρακαλοῦντος ἀφεῖναι τὴν ὀργήν, οὐκ ἠνέσχετο ὁ Θεός· ἀλλὰ τί φησιν; « Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ αὐτῆς εἰς τὸ πρόσωπον, οὐκ ἂν ἐνετράπη; Μεινάτω, φησίν, ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας. » Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ πατέρα, φησίν, εἶχε, καὶ ἐξ ὄψεως αὐτὴν ἐποίησεν, οὐκ ἂν ἤνεγκε τὴν ἐπιτίμησιν; Σὲ μὲν ἀποδέχομαι τῆς φιλαδελφίας καὶ τῆς πραότητος καὶ τῆς ἐπιεικείας· ἐγὼ δὲ οἶδα πότε αὐτὴν ἀφεῖναι δεῖ τῆς κολάσεως. Σὺ μὲν πᾶσαν φιλοφροσύνην ἐπίδειξαι περὶ τὸν ἀδελφὸν, καὶ μὴ κολάσεως ἐπιθυμίᾳ μείζονος ἀφῇς τὰ πλημμελήματα, ἀλλὰ φιλοστοργίᾳ καὶ γνώμῃ χρηστῇ· ἐκεῖνο μέντοι σαφῶς ἴσθι, ὅτι ὅσῳ ἂν θεραπεύοντα ὑπερίδῃ, τοσούτῳ μείζονα ἐπισπάσεται καθ' ἑαυτοῦ τὴν κόλασιν ἐκεῖνος. Τί λέγεις, εἰπέ μοι; φαυλότερος γίνεται θεραπευόμενος; Τοῦτο ἐκείνου μὲν κατηγορία, σὸν δὲ ἐγκώμιον· σὸν μὲν ἐγκώμιον, ὅτι καὶ ὁρῶν τοιοῦτον γινόμενον διὰ τὸ τῷ Θεῷ δοκοῦν οὐκ ἀπέστης θεραπεύων αὐτόν· ἐκείνῳ δὲ ἔγκλημα, ὅτι οὐδὲ ἀπὸ τῆς σῆς ἐπιεικείας βελτίων γέγονε. Πολὺ αἱρετώτερον ἑτέρους ἐγκαλεῖσθαι δι' ἡμᾶς, ἢ ἡμᾶς δι' ἑτέρους. Μηδὲ λέγε τὰ ψυχρὰ ταῦτα ῥήματα· Μὴ νομίσῃ, φησίν, ὅτι φοβηθεὶς αὐτὸν προσέδραμον, ἵνα μᾶλλόν μου καταφρονήσῃ· παιδικῆς ταῦτα ψυχῆς καὶ ἀνοήτου καὶ πρὸς δόξαν ἐπτοημένης ἀνθρωπίνην. Νομιζέτω ὅτι φοβηθεὶς προσῆλθες, καὶ οὕτω μείζων ὁ μισθὸς ἔσται σοι, ὅταν καὶ ταῦτα προειδὼς διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπομένῃς πάντα. Ὁ μὲν γὰρ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν θηρώμενος, καὶ διὰ τοῦτο καταλλαττόμενος, ἀποτέμνεται τῆς ἀντιδόσεως τὸ κέρδος· ὁ δὲ ἀκριβῶς ἐπιστάμενος ὅτι πολλοὶ καταγνώσονται καὶ καταγελάσονται, καὶ οὐδὲ οὕτως ἀφιστάμενος τῆς καταλλαγῆς,

que adjiciunt, vulgo existimatum iri, ipsos propter imbecillitatem priores ad reconciliationem placationemque inimici venisse. Hæc omnia vana sunt : oculus enim ille numquam dormitans novit mentem tuam, ac proinde conservorum rumusculos curare non debemus, modo judici persuadeas, qui de causa tua judicaturus est. Si autem illud tibi curæ est, ne deteriorem tua bonitate facias inimicum; scias velim, eum hoc pacto deteriorem non futurum, sed potius futurum, si eum non places : nam etsi mortalium omnium scelestissimus sit, etsi non dicat neque palam præ se ferat, attamen tacitus approbabit tuos philosophicos mores, in conscientiaque sua tuam reverebitur mansuetudinem. Sin tamen in eadem malignitate perstiterit nec blanditiis emolliatur, maximam pœnam a Deo sustinebit.

Ut autem discatis, tametsi nos oremus pro inimicis et injuriosis, Deum non dimittere illis peccata, si ex nostra tolerantia deteriores fiant, veterem historiam vobis recensebo. Obtrectavit Moysi Maria : quid hic Deus? Leprosam eam et immundam fecit, probam alioqui et castam; deinde Moyse, qui eam injuriam passus erat, deprecante ut crimen remitteret, noluit Deus, sed quid inquit? (Num. 12. 14 :) *Si inspuens inspuisset pater in ipsius faciem non confusa fuisset? Maneat*, inquit, *extra castra septem dies*. Quod autem dicit tale est : Si patrem habuisset, isque eam a conspectu suo removisset, numquid non toleraret eam increpationem? Te quidem laudo de fraterna pietate, mansuetudine et bonitate; mihi autem notum, quando illam oporteat ab hac pœna liberari. Quamobrem tu quoque omnem humanitatem ostende erga fratrem, neque majoris vindictæ cupiditate delicta dimittas, sed caritate et benigno animo. Illud autem tibi certum habe, quod quanto magis aspernatus fuerit tuæ placationis industriam, tanto majorem sibi pœnam coacervat. Quid ais? deterior fit colendo? Ipsius crimen id, tuum autem encomium : tuum quidem encomium, quod cum eum talem videres futurum, non tamen ab eo colendo absteteris, ut divinæ voluntati satisfaceres : ipsius vero crimen, quod tua bonitate nihilo quam antea melior redditur. Multo autem est optabilius alios incusari propter nos, quam nos propter alios. Ne mihi dixeris frigida ista verba, Verendum ne ob metum me putet ad se accurrisse, ac proinde majores fastus sumat : puerilis ista animi sunt et stulti, et ad hominum existimationem obstupescentis. Putet sane quo! ob metum accessisti : nam et ita merces tua major futura est, cum et istud præcognoscas, et tamen ob timorem Dei omnia sustineas. Qui enim famam hominum aucupans, ob hoc reconciliationem instituit, abscinditur a remunerandi lucro : qui autem hoc ipsum plane cognitum habet, quod multi et irridebunt et vituperabunt, neque tamen vel ita absistit a reconciliatione, duplicatam et triplicatam

διπλασίονα καὶ τριπλασίονα ἕξει τὸν στέφανον· καὶ οὗτος μάλιστά ἐστιν ὁ διὰ τὸν Θεὸν τοῦτο ποιῶν. Μή μοι λέγε ὅτι τὰ καὶ τὰ ἠδίκησε· καὶ γὰρ εἰ πᾶσαν πονηρίαν τὴν ἐν ἀνθρώποις ἐπεδείξατο περὶ σέ, καὶ οὕτω σοι πάντα ἀφεῖναι ἐκέλευσεν ὁ Θεός

Ἰδοὺ προλέγω καὶ διαμαρτύρομαι, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, μηδεὶς τῶν ἐχόντων ἐχθρὸν προσίτω [τῇ ἱερᾷ τραπέζῃ καὶ δεχέσθω τὸ σῶμα τοῦ Κυρίου]· μηδεὶς προσιὼν ἐχθρὸν ἐχέτω. Ἐχθρὸν ἔχεις; μὴ προσέλθῃς· βούλει προσελθεῖν; καταλλάγηθι, καὶ τότε προσελθὼν ἅψαι τοῦ ἱεροῦ. Μᾶλλον δὲ οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλ' ὁ δι' ἡμᾶς σταυρωθεὶς Δεσπότης αὐτός· ἵνα σε καταλλάξῃ τῷ Πατρὶ, οὐδὲ σφαγῆναι παρητήσατο, οὐδὲ τὸ αἷμα ἐχχεῖν· καὶ σὺ ἵνα καταλλαγῇς συνδούλῳ, οὐδὲ ῥῆμα προέσθαι βούλει, οὐδὲ πρότερος προσδραμεῖν; Ἄκουσον τί φησι περὶ τῶν οὕτω διακειμένων· « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ· » οὐκ εἶπεν, ἀνάμεινον ἐκεῖνον ἐλθεῖν πρὸς σὲ, οὐδὲ, ἑτέρῳ τινὶ μεσίτῃ διαλέχθητι, οὐδὲ, ἄλλον τινὰ παρακάλεσον, ἀλλ', αὐτὸς σὺ πρὸς ἐκεῖνον δράμε· « Ὕπαγε γάρ, φησὶ, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου. » Ὦ τῆς ὑπερβολῆς· αὐτὸς οὐχ ἡγεῖται ἀτιμίαν εἶναι τοῦ δώρου καταλιμπανομένου, καὶ σὺ νομίζεις ὕβριν εἶναι τὸ (πρότερος) ἀπελθεῖν καὶ καταλλαγῆναι; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης, εἰπέ μοι; Ἐὰν ἴδῃς σου μέλος ἐκτετμημένον, οὐ πάντα ποιεῖς ὥστε αὐτὸ ἑνῶσαι τῷ σώματι; Τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποίησον· ὅταν ἴδῃς αὐτοὺς ἐκτμηθέντας σου τῆς φιλίας, περίστειλον, ἵνασον, μὴ προτέρους ἀναμείνῃς ἐκείνους ἐλθεῖν πρὸς σὲ, ἀλλ' αὐτὸς πρότερος ἐπείχθητι λαβεῖν τὰ βραβεῖα. Ἕνα μόνον ἐχθρὸν ἐκελεύσθημεν ἔχειν, τὸν διάβολον· πρὸς αὐτὸν μηδέποτε καταλλάττου, πρὸς δὲ τὸν ἀδελφὸν μηδέποτε ἀπεχθῶς ἔχε, ἀλλὰ κἂν γένηταί τις μικροψυχία, ἐφήμερος αὕτη μόνον ἔστω, καὶ μὴ ὑπερβαινέτω τὸ διάστημα τῆς ἡμέρας· « Ὁ ἥλιος γάρ, φησὶ, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. » Ἂν μὲν γὰρ πρὸ τῆς ἑσπέρας καταλλαγῇς, ἔχεις ἀπὸ τοῦ Θεοῦ τινα συγγνώμην· ἂν δὲ περαιτέρω μένῃς ἐχθρὸς ὤν, οὐκέτι θυμοῦ καὶ ὀργῆς συναρπαζούσης, ἀλλὰ πονηρίας ἐστὶν ἡ ἀπέχθεια καὶ ψυχῆς μιαρᾶς καὶ κακίαν μελετώσης. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ δεινὸν, ὅτι συγγνώμης ἑαυτὸν ἀποστερεῖς, ἀλλ' ὅτι καὶ τὸ κατόρθωμα δυσκολώτερον γίνεται· μιᾶς γὰρ παρελθούσης ἡμέρας πλείων ἡ αἰσχύνη, καὶ δευτέρας προσγινομένης αὔξεται πάλιν· κἂν ἐπιλάβῃ τρίτην καὶ τετάρτην, προσθήσει καὶ πέμπτην· οὕτως αἱ πέντε γίνονται δέκα, αἱ δέκα εἴκοσιν, αἱ εἴκοσιν ἑκατὸν, καὶ λοιπὸν ἀνίατον ἔσται τὸ ἕλκος· δοκῶ γὰρ πρόσισιν ὁ χρόνος, τοσούτῳ μᾶλλον διιστάμεθα. Ἀλλὰ μηδὲν τούτων πάθῃς, ὦ ἄνθρωπε, τῶν παραλόγων παθῶν, μηδὲ αἰσχυνθῇς καὶ ἐρυθριάσῃς, μηδὲ εἴπῃς πρὸς σεαυτὸν, Πρὸ μικροῦ τοσαῦτα ἀλλήλους ἐλοιδορήσαμεν, μυρία ῥητὰ καὶ ἄῤῥητα εἴπομεν, καὶ νῦν δραμοῦμαι ἐπὶ τὰς καταλλαγάς; καὶ τίς οὐ κατα-

habebit coronam : et hic potissimum is est, qui propter Deum id fecit. Ne mihi dicas, Has et illas injurias intulit : nam si quidquid malorum est in hominibus, id adversus te depromsisset, etiam ita jussit Deus offensas remittere.

5. Ecce prædico, et contestor, et clara voce exclamo, nemo qui inimicum habet, ad sacram mensam adeat et corpus Christi accipiat; nemo qui adit, inimicum habeat. Inimicum habes? ne accedas. Vis accedere? reconciliare, et tum sacrum attinge. Imo non ego, sed potius Dominus propter nos crucifixus ista dicit; ut reconciliaret te Patri, ne mactari quidem recusavit aut sanguinem effundere; tu autem ut reconcilieris conservo, nec verbum vis emittere, aut prior accedere? Audi quid de talibus loquatur Dominus : (*Matth.* 5. 23) *Si offers munus tuum ad altare, et illic recordatus fueris quod frater tuus aliquid habet adversum te*; non dixit, expecta, donec ille veniat ad te, aut ut aliquo alio intercessore utaris, aut deprecatorem alleges, sed, Tu ipse, inquit, ad illum accurre. *Abi*, inquit (*ib.* v. 24), *prius reconciliare fratri tuo.* O factum incredibile! ipse non accipit pro ignominia, quod donum sibi destinatum relinquatur, et tu contumeliam putas, si prior abeas ad reconciliationem? Dic, quæso, quæ venia debetur istis rebus? Si videris membrum abscissum, annon omnia facis, ut conglutines corpori? Idem fac in fratribus tuis : quando videris eos abscissos a tua amicitia, propera celeriter ad amplexus, ne exspectes donec ipsi priores ad te veniant, sed ipse prior bravium accipere festina. Unum inimicum jussi sumus habere, diabolum; cum illo numquam in gratiam redeas; adversus fratrem vero numquam sis inimico animo, sed si nata fuerit aliqua offensiuncula, longior uno die ne esto, neque spatium diurnum excedito. *Sol*, inquit (*Ephes.* 4. 26), *non occidat super iracundiam vestram.* Si ante vesperam stomachum ponis, habes a Deo aliquam veniam : quodsi ulterius tua bilis durarit, non ex ira et indignatione raptim invadente ista simultas, sed ex malitia ac mente scelerata et scelerum meditatrice exoritur. Non illud solum grave est, quod te venia spolias, sed quod difficiliorem tibi reddis usum istiusmodi virtutis exercendæ : nam una die elapsa grandescit rubor; accedente secunda die rursus augetur : quodsi tertia et quarta accesserit lux, addetur quinta. In hunc modum quinque fiunt decem, decem autem viginti, viginti centum, ac in posterum vulnus omnino immedicabile est : et quanto plus temporis adjungitur, tanto magis disjungimur intervallis. Cave tibi, homo, ab istis irrationalibus affectibus, neque pudefias, neque erubescas, neque ita loquare : Modo inter nos rixati sumus, fanda atque infanda diximus innumera : ac statim ad reconciliationem accurram? quis non vituperabit meam

γνώσεταί μου τὴν πολλὴν εὐκολίαν; Οὐδεὶς νοῦν ἔχων εὐκολίαν σου καταγνώσεται, ἀλλ' ὅταν μένῃς ἀκατάλλακτος, τότε σε πάντες γελάσονται, τότε πολὺ δώσεις τῷ διαβόλῳ τὸ διάστημα. Οὐ γὰρ ἀπὸ τοῦ χρόνου λοιπὸν δυσδιάλυτος ἡ ἔχθρα γίνεται, ἀλλὰ καὶ ἀπὸ τῶν μεταξὺ γενομένων πραγμάτων. Ὥσπερ γὰρ « ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν », οὕτως ἔχθρα καὶ τὰ οὐκ ὄντα ἁμαρτήματα συνίστησι, καὶ πάντες ἀξιόπιστοι οἱ κατηγοροῦντες λοιπόν, οἱ τοῖς ἀλλοτρίοις χαίροντες κακοῖς καὶ τὰς ἑτέρων ἐκπομπεύοντες ἀσχημοσύνας.

Ταῦτα οὖν ἅπαντα εἰδὼς, πρόλαβε καὶ κάτασχε τὸν ἀδελφὸν, πρὶν τέλεον ἀποπηδήσῃ, κἂν δέῃ πᾶσαν τὴν πόλιν περιδραμεῖν κατὰ τὴν ἡμέραν ἐκείνην, κἂν ἔξω τῶν τειχῶν ἀπελθεῖν, κἂν ὁδὸν βαδίσαι μακράν, πάντα τὰ ἐν χερσὶν ἀφεὶς, ἑνὸς τούτου μόνου γενοῦ τοῦ καταλλάξαι τὸν ἀδελφόν. Εἰ δὲ ἐργώδες τὸ πρᾶγμα, ἐννόησον ὅτι διὰ τὸν Θεὸν ταῦτα πάσχεις ἅπαντα, καὶ ἱκανὴν λήψῃ παράκλησιν· καὶ τὴν ψυχὴν ἀναδυομένην καὶ ὀκνοῦσαν καὶ ἐρυθριῶσαν καὶ αἰσχυνομένην διέγειρον, ταύτας αὐτῇ συνεχῶς ἐπᾴδων τὰς ἐπῳδάς· Τί μέλλεις, τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; οὐχ ὑπὲρ χρημάτων, οὐδ' ὑπὲρ ἄλλου τινὸς τῶν ἐπικήρων, ἀλλ' ὑπὲρ σωτηρίας ἡμῖν ὁ λόγος. Ὁ Θεὸς ταῦτα ποιεῖν ἐκέλευσε, καὶ πάντα δεύτερα ἔστω τῶν ἐκείνου προσταγμάτων. Ἐμπορία τίς ἐστι πνευματικὴ τὸ πρᾶγμα· μὴ ἀμελῶμεν, μήτε ῥᾳθυμῶμεν· μανθανέτω ὁ ἐχθρὸς ὅτι πολλὴν ἐποιησάμεθα σπουδὴν διὰ τὸ τῷ Θεῷ δοκοῦν· κἂν ὑβρίζῃ πάλιν, κἂν τύπτῃ, κἂν ὅτιοῦν ἕτερον χαλεπώτερον ποιῇ, φέρωμεν ἅπαντα γενναίως, ὡς οὐδὲν ἐκείνῳ τοσοῦτον, ὅσον ἡμῖν αὐτοῖς χαριζόμεθα· πάντων τῶν κατορθωμάτων τοῦτο μειζόνως ἡμῶν κατ' ἐκείνην προστήσεται τὴν ἡμέραν. Ἡμάρτομεν πολλὰ [καὶ μεγάλα] καὶ προσεκρούσαμεν, καὶ τὸν Δεσπότην ἡμῶν παρωξύναμεν· ἔδωκε διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ταύτην ὁδὸν καταλλαγῆς· μὴ τοίνυν προδῶμεν τὸν καλὸν τοῦτον θησαυρόν. Μὴ γὰρ οὐκ ἦν κύριος κελεῦσαι μόνον καταλλάττεσθαι, καὶ μηδένα ἡμῖν θεῖναι μισθόν; μὴ γὰρ ἔχει τινὰ τὸν ἀντιλέγοντα καὶ διορθούμενον αὐτοῦ τὰ προστάγματα; ἀλλ' ὅμως διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν καὶ μισθὸν ἡμῖν ὑπέσχετο μέγαν καὶ ἄφατον, καὶ οὗ μάλιστα ἐπιθυμοῦμεν τυχεῖν, τὴν τῶν ἁμαρτιῶν ἡμῶν συγχώρησιν, καὶ ταύτῃ τὴν ὑπακοὴν ἡμῖν εὐκολωτέραν ποιῶν. Τίνα οὖν ἕξομεν συγγνώμην, ὅταν καὶ μισθὸν τοσοῦτον μέλλοντες λαμβάνειν, μηδὲ οὕτως ὑπακούωμεν τῷ νομοθέτῃ, ἀλλὰ μένωμεν καταφρονοῦντες; Ὅτι γὰρ καταφρόνησις τοῦτό ἐστι, δῆλον ἐκεῖθεν. Εἰ νόμον ἔθηκεν ὁ βασιλεὺς, τοὺς ἐχθροὺς ἅπαντας ἀλλήλοις καταλλάττεσθαι, ἢ τὰς κεφαλὰς ἀποτίμνεσθαι, ἆρα οὐκ ἂν πάντες ἐσπεύσαμεν ἐπὶ τὰς τῶν πλησίον καταλλαγάς; Ἔγωγε οἶμαι. Τίνα οὖν ἕξομεν συγγνώμην, μηδὲ τοσαύτην ἀπονέμοντες τῷ δεσπότῃ τιμὴν, ὅσην τοῖς ὁμοδούλοις τοῖς ἡμετέροις; Διὰ τοῦτο ἐκελεύσθημεν

facilitatem? Nemo cordatus damnabit tuam facilitatem, sed si manseris implacabilis, tum te omnes irridebunt, tum magnum dabis diabolo spatium : non enim ex tempore jam difficilior fiet reconciliatio, sed ex rebus etiam interea oborientibus. Ut (1. *Pet.* 4. 8) *Caritas operit multitudinem peccatorum*, ita inimicitia ea quæ delicti naturam non habent, delicta facit : adeo ut omnes deinde criminatores, qui de alienis malis gaudent et aliorum vitia traducunt, fidem apud istiusmodi inveniant.

His igitur cognitis, præoccupa fratrem, eumque detine, priusquam penitus resiliat, etiam si opus sit ut eo die universam civitatem percurras, etiam si extra mœnia pergendum, etiam si longum iter carpendum; relictis omnibus quæ in manibus sunt, id unum cura, ut cum fratre reconcilieris. Quodsi arduum sit negotium, cogita quod ob Deum talia pateris, et plenam percipies consolationem; animamque subterfugientem, reformidantem, erubescentem excita, eique continuo ista accine : Quid cessas? quid subterfugis? quid detrectas? non de pecunia, non de aliis fluxis rebus, sed de nostra ipsorum salute agitur. Deus ista facienda præcepit, omnia igitur illius mandatis postponantur. Est hic quidam spiritualis mercatus : ne cunctatores, ne lenti simus; intelligat inimicus magnam a nobis curam adhibitam, ut divinis placitis nos attemperemus : sive denuo contumelias inferat, sive verberet, sive quidvis aliud acerbius faciat, omnia feramus generose, utpote qui non tantum illi, quantum nobismetipsis gratificemur; præ omnibus virtutibus id ad majorem mercedem nobis imputabitur in illo die. Multa deliquimus, in magnis offendimus, et Dominum nostrum irritavimus; dedit ex sua humanitate hanc viam reconciliationis : ne igitur deseramus hunc pulchrum thesaurum. Numquid non in illius potestate fuit, præcipere reconciliationem sine ulla proposita mercede? Non enim est qui ipsi contradicat, aut qui ejus præcepta corrigat; attamen ex multa sua benignitate mercedem nobis spopondit et magnam et ineffabilem, et quam maxime desideramus, nimirum veniam nostrorum peccatorum, et sic obsequentiam nobis faciliorem fecit. 6. Quam igitur veniam habebimus, cum et tantum præmii accepturi, ne sic quidem obsequimur legislatori, sed perduramus in eo contemtu? Quod autem contemtus sit, hinc patet. Si legem imperator statuisset, ut omnes inimici in gratiam redirent, aut capite plecterentur : an non omnes festinaremus ad mutuas reconciliationes? Ego quidem sic arbitror. Quam veniam igitur habebimus, cum ne tantumdem quidem reverentiæ tribuamus Domino, quantum conservis nostris tribuimus? Ob hoc ipsum jussi sumus dicere (*Matth.* 6. 12), *Dimitte nobis debita nostra*.

λέγειν, « Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Τί τούτου πραότερον, τί δὲ ἡμερώτερον τοῦ προστάγματος; Σὲ κριτὴν ἐποίησε τῆς συγχωρήσεως τῶν σῶν ἁμαρτημάτων· ἂν ὀλίγα ἀφῇς, ὀλίγα ἀφίεται· ἂν πολλὰ ἀφῇς, πολλὰ ἀφίεται· ἂν ἀπὸ καρδίας ἀφῇς καὶ καθαρῶς, οὕτω σοι καὶ ὁ Θεὸς ἀφήσειν· ἂν μετὰ τοῦ συγχωρῆσαι καὶ φίλον αὐτὸν ἔχῃς, οὕτω καὶ ὁ Θεὸς πρὸς σὲ διακείσεται. Ὥστε ὅσῳ μείζονα ἥμαρτε, τοσούτῳ μᾶλλον ἡμᾶς σπεύδειν ἐπὶ τὰς καταλλαγὰς χρὴ, ἐπειδὴ καὶ μειζόνων ἁμαρτημάτων συγχωρήσεως ἡμῖν αἴτιος γίνεται.

Βούλει μαθεῖν ὡς οὐδεμία συγγνώμη μνησικακοῦσιν ἡμῖν, οὐδ' ἐστί τις ἡμᾶς ὁ ἐξαιρούμενος; Ἐπὶ παραδείγματος ὃ λέγω ποιήσω φανερόν. Τί σε ἠδίκησεν ὁ πλησίον; τὰ χρήματα ἥρπασεν, ἐδήμευσεν, ἐπλεονέκτησεν; οὐ λέγω τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα προστίθημι πλείονα τούτων, καὶ ὅσαπερ ἂν ἐθέλῃς· ἀνελεῖν σε ἐπεθύμησε; μυρίους σοι παρέστησε κινδύνους; πᾶσαν ἐπεδείξατο μιαρίαν, καὶ οὐδὲν ἀπέλιπεν ὅλως τῆς ἀνθρωπίνης πονηρίας; ἵνα γὰρ μὴ πάντα καθ' ἕκαστον ἐπεξίωμεν, θὲς τοσαύτην αὐτὸν ἠδικηκέναι σε ἀδικίαν, ὅσην οὐδεὶς οὐδέποτέ τινα ἠδίκησεν· οὐδὲ γὰρ οὕτω μνησικακῶν ἄξιος ἔσῃ συγγνώμης· καὶ πῶς, ἐγὼ λέγω. Εἴ τις οἰκέτης σὸς ὤφειλέ σοι χρυσίνους ἑκατὸν, εἶτα ἐκείνῳ ἕτερός τις ὤφειλεν ἀργύρια ὀλίγα, καὶ προσελθὼν ὁ τοῦ δούλου χρεώστης παρεκάλεσέ σε καὶ ἱκέτευσεν ἀξιῶν συγγνώμης τυχεῖν, καὶ σὺ τὸν οἰκέτην καλέσας τὸν σαυτοῦ προσέταξας ἀφεῖναι τὸ ὀφείλημα, εἰπὼν ὅτι Ἄφες τὸ ὄφλημα τούτῳ, καὶ ἀπὸ τοῦ λόγου οὗ ὀφείλεις μοι, λογίζομαί σοι τὸ ὀφείλημα· εἶτα ἐκεῖνος ἀναισχυντῶν καὶ πονηρευόμενος πάλιν ἤγχε τὸν ὀφείλοντα· ἆρα ἂν ἐξείλατό τις αὐτὸν τῶν σῶν χειρῶν; ἆρα οὐκ ἂν αὐτῷ μυρίας ἐπέθηκας πληγὰς, ὡς ὑβρισθεὶς τὴν ἐσχάτην ὕβριν; καὶ μάλα εἰκότως. Τοῦτο καὶ ὁ Θεὸς ποιήσει· ἐρεῖ γάρ σοι κατ' ἐκείνην τὴν ἡμέραν, Ὦ πονηρὲ δοῦλε καὶ παμμίαρε, μὴ γὰρ ἐκ τῶν σῶν αὐτῷ συνεχώρησας; ἐξ ὧν ἐμοὶ ὤφειλες, ἐκελεύσθης αὐτῷ λογίσασθαι· ἄφες γὰρ, φησὶ, καὶ ἀφίημί σοι· εἰ καὶ τὰ μάλιστα, καὶ εἰ μὴ τοῦτο προσέθηκα, καὶ οὕτως ἀφιέναι ἐχρῆν δεσπότῃ πειθόμενον· νυνὶ δὲ οὐχ ὡς δεσπότης ἐπέταξα, ἀλλ' ὡς φίλῳ χάριν ᾔτησα, καὶ ταύτην ἐκ τῶν ἐμῶν, καὶ μείζονα δώσειν ὑπεσχόμην πάλιν· καὶ οὐδὲ οὕτω βελτίων ἐγένου. Καὶ ἄνθρωποι μὲν ὅταν τοῦτο ποιῶσι, τοσοῦτον λογίζονται τοῖς αὐτῶν οἰκέταις, ὅσον ἐστὶ τὸ μέτρον τοῦ ὀφειλήματος· οἷον ὀφείλει τῷ δεσπότῃ χρυσίνους ἑκατὸν ὁ οἰκέτης, ὁ δὲ τοῦ οἰκέτου χρεώστης χρυσίνους δέκα· ἂν αὐτῷ συγχωρήσῃ τὸ ὀφείλημα, οὐχὶ τοὺς ἑκατὸν αὐτῷ ἀφήσειν ὁ δεσπότης, ἀλλὰ τοὺς δέκα μόνους, τοὺς δὲ ἑτέρους ἅπαντας ἀπαιτεῖ· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' ἂν ἀφῇς τὰ ὀλίγα τῷ συνδούλῳ, τὰ πάντα σοι ἀφήσειν αὐτός. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῆς τῆς εὐχῆς· « Ἐὰν γὰρ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ ὀφειλή-

sicut et nos dimittimus debitoribus nostris. Quid eo mitius, quid mansuetius præcepto? Te judicem fecit in condonatione tuorum criminum; si pauca dimittis, pauca dimittuntur: si multa dimittis, multa dimittuntur: si ex corde dimittis et sincere, eodem pacto tibi Deus remittit: si præter veniam datam eum etiam pro amico habeas, eodem modo erga te Deus afficietur: adeo ut quanto magis quis adversus te peccaverit, tanto magis tibi ad reconciliationem properandum sit, quandoquidem ipse hoc pacto in causa est ut nobis majora crimina condonentur.

Vis cognoscere nullam esse veniam nobis, si memores simus injuriarum, neque esse qui nos, si tales simus, eripiat? Quod dico exemplo manifestum faciam. Læsit te proximus, bona rapuit, publicavit, fraudavit; non illud solum dico, sed et alia his majora adjungo, et quantacumque tandem vis: occidere te voluit, sexcenta pericula tibi obtulit, omni te injuria læsit, quodvis scelus improbitatis humanæ adversus te tentavit: ne enim omnia sigillatim percurramus, pone tanta ipsum te affecisse injuria, quanta nullus unquam quemquam affecit: ne ita quidem, si iram retineas, venia dignus eris. Quo pacto id fiat, ego dicam. Si servus tuus tibi ad centum aureos obæratus esset, cui alius paucos argenteos deberet, isque debiti condonationem abs te flagitasset et veniam supplex petiisset: si tu deinde servum tuum jussisses debitorem suum obligatione liberare, et dixisses te illi vicissim debiti sui, quod est centum aureorum, gratiam facere, isque deinde, ut impudens et improbus, debitorem suum strangularet, an quispiam illum e tuis manibus eximeret? annon plurimas plagas illi inculeres, quasi extrema injuria ab eo affectus? ac merito quidem. Hoc ipsum Deus etiam faciet: dicet enim tibi in illa die, Improbe serve et perquam scelerate, num de tuo illi remisisses? sed de eo quod tu mihi debebas, jussus es illi æs alienum relaxare: Dimitte enim, inquit, et dimitto tibi. Quamquam si neque illud addidissem, dimittere tamen oportebat, ut obsequereris domino; nunc autem non ut dominus imperavi, sed ut ab amico gratiam postulavi, idque ex meo, et majora me redonaturum spopondi: ceterum ne ita quidem melior factus est. Homines autem cum talia faciunt, tantum servis suis acceptum ferunt, quantum ipsum debitum fuit: exempli causa, debuit hero servus centum aureos, huic vicissim debitor decem aureorum fuit: si ipsi debitum remittat, non centum aureos remittit herus, sed decem tantum, ceteroseque omnes repetit. Deus vero non item; sed si pauca condones tuo conservo, omnia tibi in totum condonat. Unde id liquet? Ex ipsa precatione. *Si enim*, ait (*Matth.* 6. 14), *remiseritis hominibus sua debita, etiam Pater vester cœlestis remittet vobis debita vestra.* Quantum autem intervallum inter

ματα ὑμῶν· « ὅσον δὲ ἑκατὸν δηναρίων καὶ μυρίων τα-
λάντων τὸ μέσον, τοσοῦτον ἐκείνων καὶ τούτων τῶν
ὀφειλημάτων. Ποίας οὖν οὐκ ἂν εἴης κολάσεως ἄξιος
ὁ τὰ μύρια τάλαντα ἀντὶ ἑκατὸν δηναρίων λαμβάνειν
μέλλων, καὶ οὐδὲ οὕτω τὰ μικρὰ ταῦτα ἀφιείς, ἀλλὰ
καθ' ἑαυτοῦ τὴν εὐχὴν ταύτην ποιούμενος; Ὅταν γὰρ
εἴπῃς, « Ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν » εἶτα σὺ
μὴ ἀφῇς, οὐδὲν ἕτερον τὸν Θεὸν παρακαλεῖς, ἀλλ' ἢ
πάσης ἀπολογίας ἀποστερεῖν σε καὶ συγγνώμης. Ἀλλ'
οὐ τολμῶ, φησὶν, εἰπεῖν, Ἄφες μοι καθὼς ἀφίημι, ἀλλ'
Ἄφες μοι, μόνον. Καὶ τί τοῦτο; κἂν γὰρ αὐτὸς μὴ
εἴπῃς, ὁ Θεὸς οὕτω ποιεῖ, καὶ καθὼς ἀφίης, οὕτως
ἀφίησι. Καὶ τοῦτο ἐκ τῆς ἐπαγωγῆς εὐσύλλον ἐποίησεν·
« Ἐὰν γὰρ μὴ ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις, οὐδὲ ὁ
Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν. » Μὴ τοίνυν
εὐλάβειαν εἶναι νομίσῃς τὸ μὴ λέγειν ὁλόκληρον τὴν
ῥῆσιν, μηδὲ ἐξ ἡμισείας ποιοῦ τὴν εὐχὴν, ἀλλ' ὡς
ἐπέταξεν, οὕτως εὔχου, ἵνα κἂν ἡ ἀνάγκη τῆς λέξεως
φοβοῦσα καθ' ἡμέραν συνεθήσῃ σε πρὸς τὴν τῷ πλη-
σίον συγχώρησιν. Μή μοι λέγε, Παρεκάλεσα πολλὰ,
ἱκέτευσα, ἐδεήθην, καὶ οὐ κατηλλάγη. Μὴ πρότερον
ἀποστῇς, ἕως ἂν καταλλάξῃς. Οὐ γὰρ εἶπεν, Ἄφες
τὸ ὂν σοὶ, καὶ ὕπαγε, ἱκέτευσον τὸν ἀδελφόν σου,
ἀλλ' « Ὕπαγε, διαλλάγηθι » ὥστε κἂν πολλὰ ἱκε-
τεύσῃς, μὴ πρότερον ἀποστῇς, ἕως ἂν πείσῃς. Ὁ
Θεὸς καθ' ἑκάστην ἡμέραν ἡμᾶς παρακαλεῖ, καὶ οὐκ
ἀκούομεν, καὶ ὅμως οὐ παύεται παρακαλῶν· σὺ δὲ τὸν
σύνδουλόν σου ἀπαξιοῖς παρακαλέσαι; καὶ πότε δυνήσῃ
σωθῆναι; Ἀλλὰ πολλάκις παρεκάλεσας, καὶ πολλάκις
ἀπεκρούσθης. Ἀλλὰ πλείονα διὰ τοῦτο λήψῃ μισθόν·
ὅσῳ γὰρ ἂν ἐκεῖνος φιλονεικῇ, καὶ σὺ μένῃς παρακα-
λῶν, τοσούτῳ σοι τὰ τῆς ἀμοιβῆς αὔξεται· ὅσῳ μετὰ
πλείονος δυσκολίας τὸ κατόρθωμα γίνεται, καὶ πολλοῦ
τοῦ πόνου ἡ καταλλαγὴ, τοσούτῳ κἀκείνῳ μεῖζον ἔσται
τὸ κρίμα, καὶ σοὶ λαμπρότεροι τῆς καρτερίας οἱ στέ-
φανοι. Ταῦτα μὴ μόνον ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ
τῶν ἔργων ἐπιδειξώμεθα, καὶ μὴ πρότερον ἀναχω-
ρήσωμεν, ἕως ἂν εἰς τὴν προτέραν ἐπανέλθωμεν φι-
λίαν. Οὐ γὰρ ἀρκεῖ τὸ μὴ λυπεῖν μηδὲ ἀδικεῖν τὸν
ἐχθρὸν, μηδὲ ἁπλῶς ἔχειν πρὸς αὐτὸν κατὰ διά-
νοιαν, ἀλλὰ χρὴ κἀκεῖνον παρασκευάζειν ἡδέως πρὸς
ἡμᾶς ἔχειν. Καὶ γὰρ ἀκούω πολλῶν λεγόντων, Ἐγὼ
οὐκ ἐχθραίνω, οὐδὲ λυποῦμαι, οὐδὲ ἔγωγε τι κοινὸν πρὸς
αὐτόν. Ἀλλ' οὐ τοῦτο ἐκέλευσεν ὁ Θεὸς, ἵνα μηδὲν
κοινὸν ἔχῃς πρὸς αὐτὸν, ἀλλ' ἵνα πρὸς αὐτὸν κοινὰ
ἔχῃς πολλά. Διὰ τοῦτο γάρ σού ἐστιν ἀδελφὸς, διὰ
τοῦτο οὐκ εἶπεν, Ἄφες τῷ ἀδελφῷ σου ἃ ἔχεις κατ'
αὐτοῦ· ἀλλὰ τί; « Ὕπαγε, διαλλάγηθι αὐτῷ », κἂν
ἐκεῖνος ἔχῃ τι κατὰ σοῦ, καὶ μὴ πρότερον ἀποστῇς,
ἕως ἂν ἑνώσῃς τὸ μέλος. Σὺ δὲ, ἵνα οἰκέτην κτήσῃ
χρήσιμον, καὶ χρυσίον καταβάλλεις, καὶ ἐμπόροις
διαλέγῃ πολλοῖς, καὶ ἀποδημίαν πολλάκις ἀποδημεῖς
μακράν· ἵνα δὲ τὸν ἐχθρὸν ποιήσῃς φίλον, οὐ πάντα
κινεῖς καὶ πράττεις, εἰπέ μοι; Καὶ πῶς δυνήσῃ τὸν

centum denarios et decies mille talenta, tantum inter illa quoque et ista debita. Qua igitur pœna dignus non fueris, qui decies mille talenta pro centum accepturus, ne sic quidem ista minutula remittis, sed tuam precationem in temetipsum convertis? Cum enim dixeris, *Dimitte nobis, sicut et nos dimittimus*, si tu non dimittas, nihil aliud a Deo postulas, quam ut te omni excusatione, omni venia excludat. Ceterum, inquis, non ausim dicere, Dimitte mihi, sicut dimitto: sed tantum, Dimitte mihi. Quid tum hoc? etiam si tu ipse illud non dicas, Deus tamen ita facit, et quemadmodum dimittis, ita dimittit. Nam illud ex sequentibus quæ postea inducit, clarum facit: *Si enim*, inquit, *non remiseritis hominibus, neque Pater vester cœlestis remittet vobis*. Ne igitur cautelam putes, si non totam orationem proferas, neu dimidiatam precationem facias, sed prout jussit, ita precare, ut necessitas dictionis quotidie exterrens compellat te ad proximo veniam condonandam. Ne mihi dicas, Compellavi sæpe, rogavi, supplicavi, sed reconciliationem ille non admisit. Ne prius abeistas, quam reconciliaveris. Non enim dixit, Dimitte hoc donum, et abi supplicatum fratri tuo, sed *Vade, reconciliare*: quamobrem etsi multam supplicationem adhibueris, ne prius desinas, quam persuaseris. Deus per singulos dies a nobis flagitat, et non audimus, nec tamen a flagitatione desistit: et tu a conservo dedignaris flagitare? Qui, quæso, poteris salvus esse? Atqui sæpe rogasti, et sæpe repulsus es. Sed tanto majorem mercedem accipies. Nam quanto ille pervicacior, et tu in sollicitando perseverantior, tanto in majus tua retributio accrescit; rursum quanto cum majore difficultate hoc opus virtutis exples, gravisque reconciliatio instauratur, tanto et illius judicium majus erit, et splendidiores tuæ tolerantiæ coronæ. Non laudanda ista solum, sed factis exhibenda, nec prius abscedamus, quam ad veterem amicitiam reversi fuerimus. Non enim sufficit, quod non lædis, quod nulla injuria afficis inimicum, et quod non malignum animum adversus eum geris, sed enitendum est ut ipse quoque erga nos benevolum animum induat. 7. Multos enim audio dicentes: Ego nihil infensus sum, nihil doleo, neque quidquam commune cum illo habeo. Verum non id a Deo præceptum est ut nihil cum eo habeas commune, sed ut multa habeas communia. Hac enim de causa frater est tuus: hac de causa non dixit, Remitte fratri tuo, quæ adversum eum habes; sed *Abi, et cum eo reconciliaris*: et si ille aliquid habet adversum te, ne prius inceptum omittas, quam membrum illud corpori adjunxeris. Tu autem ut frugi servum compares, et aurum enumeras, et cum mercatoribus multis verba facis, et longam interdum peregrinationem suscipis; at ut inimicum amicum facias, non omnia moves et agis, responde mihi? At quomodo poteris Deum

Θεὸν παρακαλέσαι, τῶν νόμων αὐτοῦ οὕτοι καταμελῶν; Καίτοι οἰκέτου μὲν κτῆσις οὐδὲν μέγα ἡμᾶς ὀνῆσαι δυνήσεται, ὁ δὲ ἐχθρὸς γινόμενος φίλος καὶ τὸν Θεὸν ἡμῖν ἵλεω ποιήσει καὶ εὐμενῆ, καὶ τὰ ἁμαρτήματα ἡμῶν διαλύσει ῥᾳδίως, καὶ παρὰ ἀνθρώποις ἔπαινον καὶ πολλὴν ἡμῖν κατὰ τὸν βίον προξενήσει τὴν ἀσφάλειαν· οὐδὲν γὰρ ἐπισφαλέστερον τοῦ καὶ ἕνα μόνον ἐχθρὸν κεκτημένου. Καὶ γὰρ ἡ δόξα τῆς ζωῆς ἡμῶν καταβλάπτεται, μυρία κακῶς ἐκείνου λέγοντος πρὸς πάντας ἡμᾶς, καὶ ἡ διάνοια ἡμῶν θολοῦται, καὶ τὸ συνειδὸς θορυβεῖται, καὶ χειμῶνα διηνεκῆ λογισμῶν ὑφιστάμεθα.

Ἅπαρ ἅπαντα συνειδότες ἀπαλλάξωμεν ἑαυτοὺς κολάσεως καὶ τιμωρίας, καὶ τὴν παροῦσαν ἑορτὴν μετὰ τῶν εἰρημένων αἰδεσθῶμεν πάντων, καὶ ὧν παρὰ τοῦ βασιλέως δι' ἐκείνην ἀξιοῦμεν τυχεῖν, τούτων καὶ ἡμεῖς ἀπολαῦσαι δῶμεν ἑτέροις. Καὶ γὰρ πολλῶν ἀκούω λεγόντων, ὅτι πάντως ὁ βασιλεὺς τὸ πάσχα τὸ ἱερὸν αἰδεσθεὶς τῇ πόλει καταλλαγήσεται καὶ τὰ ἁμαρτήματα ὀφήσει πάντα. Πῶς οὖν οὐκ ἄτοπον, ἵνικα μὲν ἂν παρ' ἑτέρων σώζεσθαι δέῃ, τὴν ἑορτὴν καὶ τὴν ταύτης ἀξίαν προβάλλεσθαι· ἵνικα δ' ἂν ἑτέροις καταλλάττεσθαι κελευώμεθα, ἀτιμάζειν ταύτην καὶ μηδὲν εἶναι νομίζειν; Οὐδεὶς γὰρ οὕτως, οὐδεὶς τὴν ἱερὰν ταύτην καταισχύνει πανήγυριν, ὡς ὁ μετὰ τοῦ μνησικακεῖν αὐτὴν ἐπιτελῶν· μᾶλλον δὲ οὐδὲ ἐπιτελεῖν αὐτὴν δύναται ὁ τοιοῦτος, κἂν δέκα ἡμέρας ἐρεξῇς ἄσιτος μένῃ· ὅπου γὰρ ἔχθρα καὶ ἀπέχθεια, οὐδὲ νηστεία οὐδὲ ἑορτὴ γένοιτ' ἄν. Μὴ τολμᾷς ἀνίπτοις χερσὶ τῆς ἱερᾶς ἅψασθαι θυσίας, κἂν πολλὴ ἀνάγκη ἐπικέηται; μὴ τοίνυν ἀνίπτῳ προσέρχου ψυχῇ· πολλῷ γὰρ ἐκείνου τοῦτο χαλεπώτερον, καὶ μείζονα φέρει τὴν κόλασιν. Οὐδὲν γὰρ οὕτως, οὐδὲν ἀκαθαρσίας πληροῖ τὴν διάνοιαν ὡς ὀργὴ διηνεκῶς ἔνδον μένουσα. Ἔνθα γὰρ ἂν ᾖ θυμὸς ἢ ὀργή, πνεῦμα πραότητος οὐκ ἐφίπταται· Πνεύματος δὲ ἁγίου ἄνθρωπος ἔρημος ὢν ποίαν ἕξει σωτηρίας ἐλπίδα; πότε δὲ ὀρθὰ βαδιεῖται; Μὴ τοίνυν, ἀγαπητέ, τὸν ἐχθρὸν ἀμύνασθαι βουλόμενος, σαυτὸν κατακρήμνιζε μηδὲ ἔρημον ποίει τῆς τοῦ Θεοῦ προστασίας. Μάλιστα μὲν γὰρ, εἰ καὶ δύσκολον ἦν τὸ ἐπίταγμα, ἱκανὸν τῆς τιμωρίας τὸ μέγεθος, ὅπερ ἐκ τοῦ μὴ πείθεσθαι γίνεται, καὶ τὸν σφόδρα ὕπτιον καὶ νωθέστατόν ἐστιν ἀναστῆσαι καὶ πάντα παῖσαι πόνον ὑπενεγκεῖν· νυνὶ δὲ καὶ πολλὴν ἔδειξεν ὁ λόγος τὴν εὐκολίαν οὖσαν, ἂν ἐθέλωμεν. Μὴ τοίνυν καταμελήσωμεν τῆς ἑαυτῶν ζωῆς, ἀλλὰ σπουδάσωμεν καὶ πάντα ποιῶμεν, ὥστε χωρὶς ἐχθρῶν παραστῆναι τῇ ἱερᾷ τραπέζῃ. Οὐδὲν γὰρ, οὐδὲν τῶν τοῦ Θεοῦ προσταγμάτων ἔσται δύσκολον, ἐὰν προσέχωμεν· καὶ τοῦτο ἐκ τῶν ἤδη κατωρθωκότων δῆλον. Πόσοι ὑπὸ τῆς τῶν ὅρκων ἐκλέπτοντο συνηθείας, καὶ τὸ πρᾶγμα δυσκατόρθωτον εἶναι ἐνόμιζον; ἀλλ' ὅμως διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ μικρὰν ἐπεδείξασθε σπουδὴν, τὸ πλέον ἐπενίψασθε. Διὰ τοῦτο δὴ παρακαλῶ καὶ τὸ λεῖπον

In precibus invocare, cum ejus legem tantopere negligas? Servuli possessio non magna nobis emolumenta afferre potest; inimicus contra amicus factus et Deum nobis propitium et benevolentem faciet, et facile nostra peccata resolvet, et inter homines laudem, et vitæ nostræ magnam securitatem conciliabit: nihil enim periculosius quam vel unum habere inimicum. Nam et fama vitæ nostræ læditur, cum ille millies nos apud omnes criminatur, et mens nostra turbatur et conscientia, et tempestatem continuam in animis sustinemus.

Quæ omnia cum cognita habeamus, liberemus nos ipsos a pœna et supplicio, et præsens festum cum omnibus jam dictis revereamur, et quod illius gratia ab Imperatore optamus adipisci, id etiam aliis concedamus. Nam ex multis audio, Imperatorem paschale festum reveritum, civitatem in gratiam recepturum, omnesque offensas remissurum. Qui igitur, quæso, non absurdum, ut ab aliis salutem consequare, reverentiam velle esse festo paschali; ubi autem nos aliis jubemur reconciliari, easdem ferias nihil curare et nullo in honore habere? Nullus enim, nullus tantopere contaminat sacrum istum paschalem conventum, quam ille qui eum cum simultate celebrat, imo ne celebrare quidem potest, quamvis decem continuos dies ab omni cibo abstineat. Nam ubi inimicitiæ et odium, ibi neque jejunium neque festum esse potest. Num audes illotis manibus sacram victimam attrectare, etiam si mille necessitatibus premaris? ne igitur illota accedas anima: hoc enim multo quam illud est gravius, et acerbius supplicium importat. Nihil enim, nihil ita implet mentem sordibus, ut ira intus perpetuo consistens. Ubi enim furor est et ira, eo spiritus mansuetudinis non advolat. Homo autem desertus a Spiritu sancto, quam spem salutis habet reliquam? quando recte incedet? Ne igitur, dilecte, dum ulcisci inimicum vis, te ipsum præcipites, aut Dei præsidio spolies. Maxime quidem, etiamsi difficile mandatum esset, supplicii quod ex inobsequentia nascitur magnitudo satis est, ut vel admodum supinum et ignavum erigat excitetque ad quemvis suscipiendum laborem; at nunc ipsa oratio magnam hujus negotii ostendit facilitatem, si modo velimus. Ne igitur negligamus nostram ipsorum salutem, sed operam demus ac omnia faciamus, ut sine inimicis sacræ mensæ assistamus. Nullum enim, nullum præceptorum Dei difficile erit, si recte consideremus; idque patet ex iis qui feliciter se jam in illis gesserunt. Quot enim jurandi consuetudine abripiebantur, et se id vitium emendare vix posse censebant? attamen per Dei gratiam, ubi parva a vobis adhibita est cura, majorem partem ejus pravitatis abluistis. Quamobrem vos adhortor, ut reliquias

ἀποθέσθαι, καὶ ἑτέροις γενέσθαι διδασκάλους. Τοὺς δὲ μήπω κατορθώσαντας, ἀλλὰ τὸν μακρὸν χρόνον ἡμῖν προβαλλομένους, καθ' ὃν ὤμνυον ἔμπροσθεν, καὶ λέγοντας ὡς ἀδύνατον ἐν βραχεῖ καιρῷ τὸ πολλοῖς ἔτεσι ῥιζωθὲν ἀνασπάσαι, ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἔνθα ἂν δέοι κατορθῶσαί τι τῶν ὑπὸ Θεοῦ κελευομένων, οὐ χρόνου χρεία οὐδὲ πλήθους ἡμερῶν οὐδὲ διαστήματος ἐνιαυτῶν, ἀλλὰ φόβου μόνον καὶ ψυχῆς εὐλάβειαν ἐχούσης, καὶ πάντως περιεσόμεθα καὶ ἐν βραχεῖ καιρῷ.

Καὶ ἵνα μὴ νομίσητε ὅτι ἁπλῶς ταῦτα λέγω, ὃν νομίζετε εἶναι πολύορκον ἄνθρωπον καὶ πλείονα ὀμνύοντα μᾶλλον ἢ ῥηγγόμενον, τοῦτον ἐμοὶ παράδοτε δέκα μόνον ἡμέρας, κἂν μὴ πᾶσαν ἐξέλω τὴν συνήθειαν ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις, καταγνῶτέ μου τὴν ἐσχάτην κατάγνωσιν· καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα ταῦτα, ἀπὸ τῶν ἤδη γεγενημένων τοῦτο ἔσται δῆλον ὑμῖν. Τί γὰρ τῶν Νινευιτῶν ἀλογώτερον, τί δὲ ἀνοητότερον; ἀλλ' ὅμως οὗτοι οἱ βάρβαροι καὶ ἀνόητοι, οἱ μηδενὸς μηδέποτε ἀκούσαντες φιλοσοφοῦντος, οἱ μηδέποτε παραγγέλματα τοιαῦτα λαβόντες, ἀκούσαντες τοῦ προφήτου λέγοντος, « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται », ἐν τρισὶν ἡμέραις πᾶσαν ἀπέθεντο πονηρὰν συνήθειαν· ὁ πόρνος σώφρων ἐγένετο, ὁ θρασὺς ἐπιεικής, ὁ πλεονέκτης καὶ ἅρπαξ μέτριος καὶ φιλόφρων, ὁ ῥᾴθυμος σπουδαῖος. Οὐ γὰρ δὴ ἕν, οὐδὲ δύο καὶ τρία καὶ τέσσαρα, ἀλλὰ πᾶσαν αὐτῶν διώρθωσαν τὴν πονηρίαν. Καὶ πόθεν τοῦτο δῆλον, φησίν; Ἀπὸ τῶν τοῦ προφήτου ῥημάτων· αὐτὸς γὰρ ὁ κατηγορήσας αὐτῶν, καὶ εἰπὼν ὅτι « Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν ἕως τῶν οὐρανῶν », αὐτὸς αὐτοῖς τὸ ἐναντίον ἐμαρτύρησε πάλιν εἰπὼν ὅτι « Εἶδεν ὁ Θεὸς ὅτι ἀπέστησαν ἕκαστος », οὐκ εἶπεν ὅτι ἀπὸ πορνείας ἢ μοιχείας ἢ κλοπῆς, ἀλλ' ὅτι « ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν ». Καὶ πῶς ἀπέστησαν; Ὡς ὁ Θεὸς οἶδεν, οὐχ ὡς ἄνθρωπος ἐδοκίμασεν. Εἶτα οὐκ αἰσχυνόμεθα οὐδὲ ἐρυθριῶμεν, εἰ βαρβάρων ἀνθρώπων ἐν τρισὶν ἡμέραις μόνον πᾶσαν ἀποθεμένων κακίαν, ἡμεῖς ἐν τοσαύταις ἡμέραις ἐντυγχάνοντες, διδασκόμενοι, μιᾶς μὴ περιγενοίμεθα πονηρᾶς συνηθείας; Καίτοι γε εἰς ἔσχατον ἦσαν κἀκεῖνοι πρότερον κακίας ἐληλακότες· ὅταν γὰρ ἀκούσῃς ὅτι « Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρός με », μηδὲν ἄλλο νόμιζε ἢ τὴν ὑπερβολὴν τῆς πονηρίας αὐτῶν· ἀλλ' ὅμως ἴσχυσαν ἐν τρισὶν ἡμέραις πρὸς ὁλόκληρον ἀρετὴν μετατάξασθαι. Ὅπου γὰρ φόβος Θεοῦ, οὐ χρεία ἡμερῶν οὐδὲ διαστήματος χρόνου, ὥσπερ ὅπου ἀφοβία, οὐδὲν ὄφελος ἡμερῶν. Καθάπερ γὰρ τὰ ἰωθέντα τῶν σκευῶν ὁ μὲν ὕδατι μόνον ἀποτρίβων, κἂν πολὺν ἀναλώσῃ χρόνον, πάσης οὐκ ἀπαλλάξει τῆς κακίας ἐκείνης, ὁ δὲ εἰς χωνευτήριον ἐμβαλὼν ἐν βραχείᾳ καιροῦ ῥοπῇ φαιδρότερα τῶν νεοτεύκτων ἐργάσεται· οὕτω δὴ καὶ ψυχὴ, τῷ τῆς ἁμαρτίας ἰῷ βαφεῖσα, ἂν μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἑαυτὴν ἀποσμήξῃ, καὶ καθ' ἑκάστην

quoque deponatis, aliisque magistros vos exhibeatis. His vero qui nondum id assequuti sunt, sed longum nobis tempus prætexunt, quo antea soliti erant juramenta usurpare, dicuntque impossibile esse intra breve tempus illa avellere, quod per multos annos radices egit, responderim ego, ubi quid recte efficiendum est, quod a Deo præcipitur, ibi non opus esse vel tempore vel dierum numero, aut spatiis annorum, sed timore solo et religione, et omnium compotes efficiemur, idque intra exiguum tempus.

8. Verum ne existimetis me id temere dicere, hominem ad jusjurandum promtissimum et quem vos arbitramini multo plura juramenta proferre quam verba, eum mihi date ad decem modo dies, et nisi illi intra paucos istos dies consuetudinem jurandi abstulero, extremo supplicio me condemnate : et quod ista verba non vanam jactationem habeant, ex rebus ante actis clarum faciam. Quid Ninivitis irrationabilius, quid stultius? attamen barbari isti et stulti, qui neminem unquam philosophum audierant, quibus numquam talia præcepta tradita erant, auditis hia prophetæ verbis (*Jon.* 3. 4), *Adhuc tres dies, et Ninive subvertetur* : intra tres dies deposuerunt malam consuetudinem : scortator castus, ferox mansuetus, defraudator et raptor modestus et benignus, ignavus industrius factus est. Neque enim unum aut alterum, aut tertium, aut quartum, sed omnia simul vitia correxerunt. Id unde patet? Ex verbis prophetæ : ipse enim accusator eorum, qui dixerat (*Jon.* 1. 2) ascendisse ad cælos clamorem malitiæ eorum, ipse, inquam, in contrarium de illis testatus est, dicens (*Jon.* 3. 10), *Vidit Deus quemlibet abstitisse* — non singulatim dixit a scortatione, adulterio aut furto, sed : *A viis suis pravis.* At quomodo abstiterunt? Ut Deus novit, non ut homo censuit. Porro annon pudendum barbaros intra triduum modo omnia sua vitia exuere, nos qui per tot dies instituimur atque docemur, ne unam quidem consuetudinem malam superare posse? Atqui illi ad extrema vitia evecti erant : cum enim audis, *Clamor malitiæ eorum ascendit ad me*, ne mihi aliud intelligas quam immensam malitiam; attamen potuerunt intra triduum ad integram virtutem sese transferre. Ubi enim timor Dei, non opus est diebus aut spatio temporis; ut contra ubi metus non est, nihil commodi ex diebus enascitur. Ut enim vasa æruginosa, si aqua solum ablueris, etsi multum temporis insumas, nequaquam omni vitio expurgabis; qui autem ea in conflatorium immittit, brevi temporis momento splendidiora illa facit quam quæ nova sunt : ita etiam anima peccati veneno infecta, si leviter et utcumque se ipsam exterserit, et per singulos dies pœ-

ἡμέραν μετανοῇ, οὐδὲν πλέον κερδανεῖ· ἂν δὲ ὥσπερ εἰς χωνευτήριον τοῦ Θεοῦ τὸν φόβον ἑαυτὴν ἐμβάλῃ, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν ἀπονίψεται. Μὴ τοίνυν εἰς τὴν αὔριον ἀναβαλλώμεθα· « Οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα· » μηδὲ λέγωμεν, Περισσόμεθα τῆς συνηθείας κατὰ μικρόν· τοῦτο γὰρ τὸ κατὰ μικρὸν οὐδέποτε ἐπιλείψει. Διόπερ τοῦτο ἀφέντες, ἐκεῖνο λέγωμεν, ὅτι Ἐὰν μὴ σήμερον κατορθώσωμεν τὸν ὅρκον, οὐκ ἀποστησόμεθα πρότερον· κἂν μυρία ἄγχῃ πράγματα, κἂν ἀποθανεῖν δέῃ, κἂν κολασθῆναι, κἂν πάντα ἀπολέσαι, οὐ δώσομεν τῷ διαβόλῳ ῥᾳθυμίας ἐξουσίαν οὐδὲ ἀναβολῆς πρόφασιν. Ἂν ὁ Θεὸς ἴδῃ σου τὴν πεπυρωμένην ψυχήν, τὴν διεγηγερμένην προθυμίαν, καὶ αὐτὸς συνεφάψεταί σου τῆς διορθώσεως. Ναί, δέομαι καὶ ἀντιβολῶ, σπουδάσωμεν, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν ὅτι « Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ καταχρινοῦσι τὴν γενεὰν ταύτην », ὅτι ἐκεῖνοι μὲν ἅπαξ ἀκούσαντες κατώρθωσαν, ἡμεῖς δὲ [οὐδὲ] πολλάκις [ἀκούσαντες ἐπεστράφημεν]· ἐκεῖνοι ὁλόκληρον ἀρετήν, ἡμεῖς δὲ οὐδὲ μέρος ἀρετῆς· ἐκεῖνοι κατασκαφὴν ἀκούσαντες ἐφοβήθησαν, ἡμεῖς δὲ οὐδὲ γέενναν ἀκούοντες φοβούμεθα· ἐκεῖνοι προφητειῶν οὐ μετασχόντες, ἡμεῖς δὲ συνεχῶς ἀπολαύοντες διδασκαλίας καὶ πολλῆς τῆς χάριτος. Ταῦτα λέγω νῦν οὐχ ὑπὲρ τῶν οἰκείων, ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ὑμῖν ἐγκαλῶν ἁμαρτημάτων. Ὑμῖν μὲν γάρ, εὖ οἶδ' ὅτι, καθάπερ ἔφθην εἰπών, ὁ νόμος οὗτος κατώρθωται· ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ἡμῖν, εἰ μὴ καὶ ἑτέρους διδάξαντες διορθώσωμεν, ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο προσενεγκὼν, τὴν παραταθήκην ὁλόκληρον ἀποδοὺς, ἐπειδὴ τὸ δοθὲν οὐκ ἐπλεόνασεν, ἐκολάζετο. Μὴ τοίνυν μηδὲ ἡμεῖς τοῦτο σκοπήσωμεν, εἰ αὐτοὶ τῆς ἁμαρτίας ἀπηλλάγημεν, ἀλλ' ἕως ἂν ἑτέρους ἀπαλλάξωμεν, μὴ ἀποστῶμεν· καὶ ἕκαστος δέκα φίλους ῥυθμίσας τῷ Θεῷ προσαγαγέτω, κἂν οἰκέτας ἔχῃς, κἂν μαθητάς· ἀλλ' οὐδὲ μαθητὰς, οὐδὲ οἰκέτας ἔχεις; ἀλλὰ φίλους ἔχεις· τούτους κατόρθωσον. Καὶ μή μοι λέγε ὅτι Τοὺς πλείονας τῶν ὅρκων ἀπηλάσαμεν, ὀλιγάκις δὲ ἁλισκόμεθα· ἀλλὰ καὶ τὸ ὀλιγάκις τοῦτο ἄναλε. Εἰ χρύσινον ἕνα ἀπολέσῃς, οὐκ ἂν ἅπαντας περιῆλθες ἐρευνῶν καὶ ζητῶν, ὥστε αὐτὸν εὑρεῖν; τοῦτο καὶ ἐπὶ τῶν ὅρκων ποίησον· ἐὰν ἴδῃς ὅτι ἕνα ὅρκον ἐκλάπης, θρήνησον, στέναξον, ὡς τῆς οὐσίας σου πάσης ἀπολωλυίας. Πάλιν λέγω ὃ καὶ πρότερον· σύγκλεισον σαυτὸν ἐπὶ τῆς οἰκίας, μελέτην ποίησον καὶ γυμνάσιον μετὰ τῆς γυναικὸς, μετὰ τῶν παιδίων καὶ συνοικούντων· εἰπὲ πρὸς ἑαυτὸν σὺ πρότερον, Οὐκ ἰδιωτικῶν, οὐ δημοσίων ἅψομαι πραγμάτων, ἕως ἂν τὴν ψυχήν διορθώσωμαι τὴν ἐμαυτοῦ. Ἂν ὑμεῖς τοὺς υἱοὺς τοὺς ἑαυτῶν παιδεύσητε, κἀκεῖνοι τοὺς ἑαυτῶν διδάξουσι, καὶ οὕτω μέχρι τῆς συντελείας καὶ παρουσίας τοῦ Χριστοῦ τὸ πρᾶγμα προβαῖνον, τοῖς τὴν ῥίζαν παρασχοῦσιν ἅπαντα οἴσει τοῦτον τὸν μισθόν. Ἂν μάθῃ λέγειν ὁ υἱός σου, Πίστευσον, οὐ δυνήσεται εἰς θέατρον ἀναβῆναι, οὐδὲ

nitentiam assumserit, nihil amplius nanciscetur : quodsi veluti in fornacem Dei timorem se injecerit, brevi temporis momento quidquid vitii est abluet. Ne igitur in proximum diem procrastinemur : (*Prov.* 27. 1) *Nescimus enim quid sequens dies pariet ;* neque dicamus, Pedetentim malam consuetudinem evincemus ; illud enim pedetentim nunquam desinet. Quamobrem istis omissis illud dicamus : Nisi hodie correxerimus jurandi morem, numquam futurum ut ab eo absistamus ; etiamsi mille premant negotia, etiamsi moriendum sit, supplicia subeunda sint, omnia perdenda sint, non dabimus diabolo ignaviæ potestatem neque comperendinationis occasionem. Si Deus viderit tuam animam ignitam et excitatum studium, ipse quoque profectui tuo operam navabit. Obsecro et obtestor, diligentes simus, ne et nos audiamus (*Luc.* 11. 32), *Homines Ninivitæ surgent, et condemnabunt generationem istam*, eo quod illi semel admoniti sese correxerint, nos sæpe admoniti non convertamur : illi in omni virtute profecerunt, nos ne partem quidem virtutis nobis paremus : illi minis eversionis expaverunt, nos denuntiatione gehennæ non exterreamur : illi etsi prophetiarum participes non fuerint, cum nos perpetua doctrina et multa gratia perfruamur. Hæc nunc loquor, non de vestris vos, sed de alienis criminibus incusans. Ego enim scio, quod et ante dixi, legem de jurejurando pulchre et efficaciter a vobis præstari. Verum id non satis est ad nostram salutem, nisi et alios docendo correxerimus : quandoquidem ne ille quidem supplicium evasit, qui talentum protulit et totum depositum reddidit : eo quod acceptam pecuniam nullo auctario multiplicarat. Quamobrem non illud a nobis spectandum, an ipsi ab hoc peccato liberi simus ; verum antequam et alios liberos reddamus, ne absistamus. Quisque decem amicos a se correctos Deo adducat, sive sint famuli, sive discipuli ; quodsi nec discipulos nec famulos habes, at amicos habes ; hos emenda. Neque mihi dicas, Crebram illam jurandi assiduitatem abjecimus, raroque labimur ; verum hanc quoque raritatem depellas. Si unum aureum perdidisses, dic mihi, nonne omnes obires quærendo et vestigando, ut invenires? Id in juramentis quoque facito. Si videris te inopinato ad unum jusjurandum lapsum, ingemisce, luge, quasi qui omnia tua bona perdideris. Iterum dico, quod et antea dixi : Include te intra tuas ædes, meditationem hanc et exercitium instituas cum uxore, cum liberis, cum familiaribus : sic tecum prius loquere, Non privata, non publica attingam negotia, priusquam animam meam castigavero. Si vos ad eum modum filios vestros erudieritis, ipsique rursus suos erudient, atque ita usque ad consummationem et adventum Christi disciplina ista propagetur, illis qui primas radices fixerunt, solidum præmium afferet. Si proferre didicerit filius tuus, *Crede*, non poterit in theatrum ascendere,

εἰς καπηλεῖον εἰσελθεῖν, οὐδὲ ἐν κύβοις διατρῖψαι· τὸ γὰρ ῥῆμα τοῦτο ἀντὶ χαλινοῦ τὸ στόμα περιχείμενον καὶ ἄκοντα ἐρυθριᾷν παρασκευάσει καὶ αἰσχύνεσθαι· εἴ ποτε ἐν ἐκείνοις φανείη, καὶ ἀποπηδᾷν ἀναγκάσει ταχέως. Ἀλλὰ καταγελῶσιν ἐκεῖνοι· ἀλλὰ σὺ δάκρυσον αὐτῶν τὴν παρανομίαν. Πολλοὶ καὶ τοῦ Νῶε κατεγέλασάν ποτε, ὅτε τὴν κιβωτὸν κατεσκεύαζεν, ἀλλ' ὅτε ἦλθεν ὁ κατακλυσμὸς, ἐκεῖνος αὐτῶν κατεγέλασε· μᾶλλον δὲ οὐδὲ τότε αὐτῶν κατεγέλασεν ὁ δίκαιος, ἀλλ' ἐθρήνησεν αὐτοὺς καὶ ἐστέναξεν. Ὅταν οὖν ἴδῃς γελῶντας, ἐννόησον ὅτι οἱ γελῶντες νῦν ὀδόντες τότε κλαυθμὸν καὶ βρυγμὸν ὑποστήσονται χαλεπώτατον, καὶ τοῦ γέλωτος τούτου μνησθήσονται τρίζοντες κατ' ἐκείνην τὴν ἡμέραν καὶ βρυχόμενοι· τότε ἀναμνησθήσῃ τοῦ γέλωτος τούτου. Πόσα κατεγέλασε τοῦ Λαζάρου ὁ πλούσιος; ἀλλ' ὕστερον ἰδὼν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, ἑαυτὸν ἐθρήνει λοιπόν.

Ταῦτα οὖν ἅπαντα ἐννοῶν συνώθει πάντας ταχέως εἰς τὴν τῆς ἐντολῆς ἐκπλήρωσιν. Καὶ μή μοι λέγε τὸ Κατὰ μικρὸν, μηδὲ εἰς τὴν αὔριον ἀναβάλλου· ἡ γὰρ αὔριον οὐδέποτε λαμβάνει τέλος. Τεσσαράκοντα λοιπὸν ἡμέραι παρῆλθον· ἂν τοίνυν τὸ πάσχα παρέλθῃ τὸ ἱερὸν, οὐδενὶ συγγνώσομαι λοιπὸν, οὐδὲ παραίνεσιν προσάξω, ἀλλ' ἐπιταγὴν καὶ ἀποτομίαν ἀκαταῤῥόνητον· οὐδὲ γὰρ ἰσχυρὰ αὕτη ἡ ἀπολογία ἡ διὰ τῆς συνηθείας. Διὰ τί ὁ κλέπτων οὐ προβάλλεται συνήθειαν, καὶ ἀπαλλάττεται κολάσεως; διὰ τί ὁ φονεύων καὶ μοιχεύων; Πᾶσι τοίνυν προλέγω καὶ διαμαρτύρομαι, ὅτι ἂν συγγενόμενος ὑμῖν κατ' ἰδίαν καὶ λαβὼν ἀπόπειραν (λήψομαι δὲ πάντως) εὕρω τινὰς μὴ διορθώσαντας τὸ ἐλάττωμα, ἀπαιτήσω δίκην, κελεύσας ἔξω μένειν τῶν μυστηρίων τῶν ἱερῶν, οὐχ ἵνα μένωσιν ἔξω, ἀλλὰ ἵνα διορθώσαντες ἑαυτοὺς οὕτως εἰσέλθωσι, καὶ μετὰ καθαροῦ συνειδότος ἀπολαύσωσι τῆς ἱερᾶς τραπέζης· τοῦτο γάρ ἐστι μετασχεῖν κοινωνίας. Γένοιτο δὲ εὐχαῖς τῶν προέδρων καὶ τῶν ἁγίων πάντων καὶ ταῦτα καὶ τὰ ἄλλα πάντα διορθώσαντας ἐλαττώματα, τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι κτλ.

aut cauponam subire, aut aleæ immorari. Verbum enim illud ejus ori pro freno incumbens, invitum quoque ad pudorem et verecundiam perpellet : quodsi aliquando ibi conspiciatur, resilire eum inde quamprimum coget. Sed alii te irrident : tu vicissim illorum peccata deplora. Multi etiam Noe ludibrio habuerunt, cum arcam conderet; verum ubi venit diluvium, ipse eos vicissim irrisit : vel quidem ne tum irrisit vir justus, sed lacrymis potius eos et gemitibus prosequutus est. Cum igitur eos ridentes videris, cogita quod qui nunc cachinnantur dentes, tunc ploratum et stridorem gravissimum sustinebunt, et hujus risus in illo die stridentes collisione recordabuntur; tunc et tu risus istius recordaberis. Quantopere irrisit Lazarum ille dives! sed postmodum eo in sinu Abrahæ conspecto, ipse se miserabiliter deflevit.

9 Horum igitur omnium memor, compelle quamprimum omnes ad hujus præcepti adimpletionem. Neque mihi dicas, Paulatim id faciam, aut In crastinam lucem differas : cras enim illud numquam finem accipiet. Quadraginta dies jam præterierunt : si Pascha quoque sacrum præterierit, nulli jam deinde veniam dabo, non admonitionem, sed vim imperii et severitatem non contemnendam adhibebo. Non enim valida est hæc consuetudinis excusatio. Cur non prætendit fur consuetudinem, et a supplicio liberatur? cur non idem facit homicida et adulter? Jam igitur denuntio et protestor cunctis : si conveniam singulos, et experimentum sumam (nam haud dubie sumam); si deprehendam aliquos hæc vitia non correxisse, poenam irrogabo, edicam ut foris extra sacra mysteria consistant, idque non eo animo ut foris maneant, sed ut postquam se emendaverint, intus recepti cum pura conscientia sacra mensa fruantur : id enim est communionis participem fieri. Precor autem, ut per preces tum præsidum, tum sanctorum omnium et hæc et alia vitia omnia emendantes, regnum cælorum adipiscamur, gratia etc.

ΟΜΙΛΙΑ κα'.

Εἰς τὴν ἐπάνοδον τοῦ ἐπισκόπου Φλαβιανοῦ, καὶ εἰς τὴν τοῦ βασιλέως διαλλαγὴν πρὸς τὴν πόλιν· καὶ πρὸς τοὺς πλημμελήσαντας εἰς τὴν τῶν ἀνδριάντων καταστροφήν.

Ἀπὸ τῆς ῥήσεως, ἀφ' ἧς ἀεὶ παρὰ τὸν καιρὸν τῶν κινδύνων πρὸς τὴν ὑμετέραν εἰωθα ἀγάπην προοιμιάζεσθαι, ἀπὸ τῆς αὐτῆς ταύτης καὶ τήμερον ἄρξομαι τοῦ πρὸς ὑμᾶς λόγου, καὶ ἐρῶ μεθ' ὑμῶν· Εὐλογητὸς ὁ Θεὸς, ὁ τὴν ἱερὰν ταύτην ἑορτὴν μετὰ χαρᾶς καὶ εὐφροσύνης πολλῆς καταξιώσας ἡμᾶς ἐπιτελέσαι τήμερον, καὶ τὴν κεφαλὴν ἀποδοὺς τῷ σώματι, καὶ τὸν ποιμένα τοῖς προβάτοις, καὶ τὸν διδάσκαλον τοῖς μα-

HOMILIA XXI.

In episcopi Flaviani reditum et in imperatoris cum civitate reconciliationem, et ad prævaricatos in statuarum subversionem.

1. A verbo a quo semper periculorum tempore apud caritatem vestram exordiri consueveram, ab eodem, inquam, et hodie apud vos sermonem incipiam, et dicam vobiscum : Benedictus Deus, qui hanc nos vobiscum sacram solemnitatem cum gaudio et lætitia multa hodie celebrare dignatus est, et qui caput corpori reddidit, et pastorem ovibus, præceptorem discipulis, militibus ducem, sacer-

θηταῖς, τὸν στρατηγὸν τοῖς στρατιώταις, τὸν ἀρχιερέα τοῖς ἱερεῦσιν· εὐλογητὸς ὁ Θεὸς ὁ ποιῶν ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν. Ἡμῖν μὲν γὰρ ἀρκοῦν εἶναι ἐδόκει τὸ τῶν ἐπικειμένων κινδύνων ἐκφυγεῖν, ὑπὲρ ὧν πᾶσαν ἐποιούμεθα τὴν ἱκετηρίαν· ὁ δὲ φιλάνθρωπος Θεὸς, καὶ τῇ δόσει τὰς αἰτήσεις ἡμῶν ἀεὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ τὸν πατέρα ἡμῖν θᾶττον ἐλπίδος ἁπάσης ἀπέδωκε. Τίς γὰρ ἂν προσεδόκησεν ὅτι ἐν οὕτως ὀλίγαις ἡμέραις καὶ ἀπελεύσεται, καὶ διαλέξεται βασιλεῖ, καὶ λύσει τὰ δεινὰ, καὶ πάλιν ἐπανήξει πρὸς ἡμᾶς οὕτω ταχέως, ὡς καὶ τὸ πάσχα τὸ ἱερὸν δυνηθῆναι φθάσαι καὶ μεθ' ἡμῶν ἐπιτελέσαι; Ἀλλ' ἰδοὺ, γέγονε τὸ ἀπροσδόκητον τοῦτο, καὶ τὸν πατέρα ἀπειλήφαμεν, καὶ μείζονα χαρπούμεθα τὴν ἡδονὴν, τῷ παρ' ἐλπίδα αὐτὸν ἀπολαβεῖν νῦν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ θαυμάζωμεν αὐτοῦ τὴν δύναμιν [καὶ τὴν φιλανθρωπίαν] καὶ τὴν σοφίαν καὶ τὴν κηδεμονίαν τὴν ὑπὲρ τῆς πόλεως γεγενημένην. Ὁ μὲν γὰρ διάβολος καταδῦσαι πᾶσαν αὐτὴν ἐπεχείρησε διὰ τῶν τολμηθέντων, ὁ δὲ Θεὸς καὶ τὴν πόλιν καὶ τὸν ἱερέα καὶ τὸν βασιλέα δι' αὐτῆς ἐκόσμησε τῆς συμφορᾶς καὶ λαμπροτέρους πάντας ἀπέφηνεν. Ἡ πόλις μὲν γὰρ τῷ δοκίμησεν, ὅτι κινδύνου τοιούτου καταλαβόντος, παραδραμοῦσα πάντας τοὺς ἐν δυναστείαις, τοὺς πλοῦτον πολὺν περιβεβλημένους, τοὺς μεγάλην παρὰ βασιλεῖ ἔχοντας δύναμιν, ἐπὶ τὴν Ἐκκλησίαν καὶ τὸν ἱερέα τοῦ Θεοῦ κατέφυγε καὶ μετὰ πολλῆς τῆς πίστεως τῆς ἄνωθεν ἑαυτὴν ἐξεκρέμασεν ἐλπίδος. Πολλῶν γοῦν μετὰ τὴν ἀποδημίαν τοῦ κοινοῦ πατρὸς τοὺς τὸ δεσμωτήριον οἰκοῦντας θορυβούντων καὶ λεγόντων ὡς Οὐ καθυφήσει τῆς ὀργῆς ὁ βασιλεὺς, ἀλλὰ παροξύνεται μειζόνως, καὶ περὶ κατασκαφῆς ὁλοκλήρου τῆς πόλεως βουλεύεται, καὶ ἕτερα πολλῷ πλείονα τούτων θρυλούντων, οἱ δεδεμένοι τότε οὐδὲν ἐγίνοντο ἐκ τῆς φήμης ταύτης δειλότεροι, ἀλλ' ἡμῶν λεγόντων ὡς ψευδῆ ταῦτα καὶ διαβόλου μαγγανείας ἐστὶν ἔργα βουλομένου καταβαλεῖν ὑμῶν τὰ φρονήματα, Οὐδὲν δεόμεθα τῆς διὰ λόγων παρακλήσεως, πρὸς ἡμᾶς ἔλεγον· ἴσμεν γὰρ οἳ τὴν ἀρχὴν κατεφύγομεν, καὶ ποίας ἑαυτοὺς ἐξεκρεμάσαμεν ἐλπίδος· τῆς ἱερᾶς ἀγκύρας τὴν σωτηρίαν ἡμῶν ἐξηρτήσαμεν, οὐκ ἀνθρώπῳ ταύτην ἐναπιστεύσαμεν, ἀλλὰ τῷ πάντα δυναμένῳ Θεῷ· διὸ δὴ καὶ θαῤῥοῦμεν χρηστὸν ἔσεσθαι τὸ τέλος πάντως· οὐ γάρ ἐστιν, οὐκ ἔστι τὴν ἐλπίδα ταύτην καταισχυνθῆναι ποτέ. Τοῦτο ἀντὶ πόσων στεφάνων, ἀντὶ ποσων ἐγκωμίων ἀρκέσει τῇ πόλει; πόσην ἐπισπάσεται τοῦ Θεοῦ τὴν εὔνοιαν καὶ ἐν τοῖς λοιποῖς πράγμασιν; Οὐ γάρ ἐστιν, οὐκ ἔστι τῆς τυχούσης ψυχῆς ἐν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ νήφειν καὶ πρὸς τὸν Θεὸν βλέπειν, καὶ πάντων καταγελάσασαν τῶν ἀνθρωπίνων, πρὸς ἐκείνην κεχηνέναι τὴν συμμαχίαν.

Ἡ μὲν οὖν πόλις οὕτως ηὐδοκίμησεν· ὁ δὲ ἱερεὺς πάλιν οὐχ ἧττον ἡ[περ] ἡ πόλις· τὴν γὰρ ἑαυτοῦ

dotibus pontificem. Benedictus Deus qui (*Ephes.* 3. 20) *ex superabundanti plus facit quam petimus aut cogitamus.* Nobis enim sufficere videbatur instantia pericula interim effugisse, pro quibus omnem emittebamus supplicationem; clementissimus autem Deus et donis petitiones nostras semper multo excessu superans, etiam patrem nobis omni spe celerius reddidit. Quis enim exspectasset tam paucis diebus et profecturum, et Imperatorem alloquuturum et soluturum adversa, et rursum ad nos tam brevi reversurum esse, ut sacrum Pascha posset prævenire et nobiscum celebrare? Sed en, inexspectatum hoc factum est, et patrem recepimus, et majore fruimur voluptate, eo quod ipsum nunc præter spem suscipimus. Pro his, inquam, omnibus clementissimo Deo gratias agamus, et ipsius potentiam admiremur, et benignitatem, et sapientiam, et curam quam pro civitate gessit. Diabolus nempe omnem ipsam per facinora patrata obruere tentavit, Deus vero civitatem et sacerdotem et Imperatorem per hanc ornavit calamitatem, et omnes reddidit clariores. Civitas enim splendorem assequuta est, quia periculo tali circumventa, prætermissis omnibus viris potentibus, omnibus divitiis abundantibus, omnibus magnam apud Imperatorem potentiam habentibus, ad Ecclesiam et Dei sacerdotem confugit, et cum multa fide cælesti se spei commisit. Multis namque post communis patris peregrinationem in carcere habitantes terrentibus et dicentibus, Non lenitur Imperator, sed magis irritatur, et de totius civitatis subversione cogitat, et alia multo his plura divulgantibus, vincti nihilo tunc ex hac fama timidiores redditi sunt; sed nobis dicentibus, Hæc falsa et diaboli fraudis opera sunt, animos vestros consternare volentis, Nihil egemus, aiebant nobis, verborum consolatione : scimus enim ad quem ab initio confugimus, et quali spei adhæsimus : sacræ ancoræ salutem nostram affiximus, nec homini credidimus hanc, sed omnipotenti Deo. Propterea bonum quoque finem futurum omnino confidimus : non est enim, non est ut hæc spes unquam confundatur. Hoc quot coronas, quot laudes civitati nostræ comparabit? quantam Dei lucrabitur benevolentiam, etiam in reliquis negotiis? Non est enim, non est cujuslibet animæ in tentationum incursu vigilare, et ad Deum respicere, et omnia deridendo humana, ad illud auxilium anhelasse.

Igitur civitas quidem ita splendorem assequuta est; sacerdos rursum non minus quam civitas : animam enim

ψυχὴν ὑπὲρ ἁπάντων ἔδωκε, καὶ πολλῶν ὄντων τῶν κωλυόντων, τοῦ χειμῶνος, τῆς ἡλικίας, τῆς ἑορτῆς, καὶ οὐκ ἔλαττον τῆς ἀδελφῆς πρὸς ἰσχάτας οὔσης ἀναπνοάς, ἁπάντων ὑψηλότερος ἐγένετο τῶν κωλυμάτων, καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, Τί τοῦτο; ἡ μόνη περιλειφθεῖσα ἡμῖν ἀδελφὴ καὶ μετ' ἐμοῦ τὸν ζυγὸν ἕλκουσα τοῦ Χριστοῦ, καὶ τοσοῦτόν μοι συνοικήσασα χρόνον, πρὸς ἰσχάτας ἐστὶ νῦν ἀναπνοάς· ἡμεῖς δὲ αὐτὴν καταλείψαντες ἀπελευσόμεθα, καὶ οὐκ ὀψόμεθα ἐκπνέουσαν καὶ τὰς τελευταίας ἀφιεῖσαν φωνάς; Ἀλλ' αὐτὴ μὲν καθ' ἑκάστην ηὔχετο τὴν ἡμέραν ἡμᾶς καὶ ὀφθαλμοὺς καθελεῖν καὶ στόμα συνελεῖν καὶ περιστεῖλαι, καὶ τὰ ἄλλα πάντα τὰ πρὸς τὸν τάφον ἐπιμελήσασθαι· νυνὶ δὲ καθάπερ ἔρημός τις καὶ ἀπροστάτευτος οὐδενὸς ἐπιτεύξεται τούτων παρὰ τοῦ ἀδελφοῦ, παρ' οὗ μάλιστα ἐπεθύμει τυχεῖν, ἀλλ' ἀφιεῖσα τὴν ψυχὴν οὐχ ὄψεται τὸν πάντων αὐτῇ ποθεινότερον; καὶ πόσων οὐκ ἔσται θανάτων αὐτῇ τοῦτο βαρύτερον; Εἰ γὰρ καὶ πόρρωθεν ἀφεστήκει, οὐκ ἔδει δραμεῖν καὶ πάντα ποιῆσαι καὶ παθεῖν ὥστε ταύτην αὐτῇ παρασχεῖν τὴν χάριν; νῦν δὲ πλησίον ὢν ἐγκαταλείψω, καὶ ἀφεὶς ἀπελεύσομαι; καὶ πῶς οἴσει τὰς μετὰ ταῦτα ἡμέρας; Ἀλλ' οὐδὲν τούτων οὐ μόνον οὐκ εἶπεν, ἀλλ' οὐδὲ ἐνενόησεν, ἀλλὰ πάσης συγγενείας τὸν τοῦ Θεοῦ προτιμήσας φόβον, ἔγνω τοῦτο καλῶς, ὅτι καθάπερ τὸν κυβερνήτην οἱ χειμῶνες καὶ τὸν στρατηγὸν οἱ κίνδυνοι, οὕτω καὶ τὸν ἱερέα ὁ πειρασμὸς ποιεῖ φαίνεσθαι. Πάντες, φησὶ, πρὸς ἡμᾶς κεχήνασι καὶ Ἰουδαῖοι καὶ Ἕλληνες· μὴ δὴ καταισχύνωμεν αὐτῶν τὰς περὶ ἡμῶν ἐλπίδας, μηδὲ τοσοῦτον περιίδωμεν ναυάγιον, ἀλλὰ τὰ καθ' ἡμᾶς ἐπιτρέψαντες τῷ Θεῷ πάντα, καὶ τὴν ψυχὴν αὐτὴν ἐκδῶμεν. Καὶ σκόπει καὶ ἱερέως μεγαλοψυχίαν καὶ Θεοῦ φιλανθρωπίαν· ὧν ὑπερεῖδεν ἁπάντων, τούτων ἀπήλαυσεν ἁπάντων, ἵνα καὶ τῆς προθυμίας τὸν μισθὸν λάβῃ, καὶ διὰ τῆς ἀπολαύσεως τῆς παρὰ προσδοκίαν μείζονος ἐπιτύχῃ τῆς ἡδονῆς. Εἵλετο τὴν ἑορτὴν ἐπὶ τῆς ἀλλοτρίας καὶ πόρρω τῶν οἰκείων ἐπιτελέσαι διὰ τὴν τῆς πόλεως σωτηρίαν· ὁ δὲ Θεὸς πρὸ τοῦ πάσχα ἡμῖν αὐτὸν ἀπέδωκεν, ὥστε κοινῇ μεθ' ἡμῶν τὴν ἑορτὴν ἀγαγεῖν, ἵνα καὶ τῆς προθέσεως ἔχῃ τὸν μισθὸν, καὶ τῆς εὐφροσύνης ἀπολαύσῃ μείζονος. Οὐκ ἔδεισε τὴν ὥραν τοῦ ἔτους, καὶ θέρος παρὰ πάντα γέγονε τῆς ἀποδημίας τὸν καιρόν· οὐχ ὑπελογίσατο τὴν ἡλικίαν, καὶ καθάπερ νέος καὶ σφριγῶν, οὕτω μετ' εὐκολίας διέδραμε τὴν μακρὰν ταύτην ὁδόν· οὐκ ἐνενόησε τὴν τελευτὴν τῆς ἀδελφῆς οὐδὲ κατεμαλάχθη, καὶ ἐπανελθὼν ζῶσαν αὐτὴν κατέλαβε, καὶ πάντων ὧν ὑπερεῖδε, πάντων ἐπέτυχε.

Καὶ ὁ μὲν ἱερεὺς οὕτως εὐδόκιμος γέγονε παρὰ Θεῷ καὶ ἀνθρώποις· τὸν βασιλέα δὲ τοῦ διαδήματος λαμπρότερον τοῦτο τὸ πρᾶγμα ἐκόσμησε. Πρῶτον μὲν ὅτι δῆλον ἐγένετο τότε, ὅτι ἅπερ οὐδενὶ ἑτέρῳ, ταῦτα χαριεῖται τοῖς ἱερεῦσιν· ἔπειτα, ὅτι καὶ μετὰ πολλοῦ τοῦ τάχους τὴν χάριν ἔδωκε καὶ τὴν ὀργὴν ἔλυσεν.

suam pro omnibus exposuit, et multis impedientibus, hyeme, ætate, festivitate, nec minus sorore ad extremos deducta spiritus, omnibus superior emicuit impedimentis, nec intra se ipsum dixit: Quid hoc est? sola nobis derelicta soror, et mecum Christi jugum trahens et tempore tanto mecum commorata, nunc ad extremum spiritum est; nos vero ipsam deserentes abibimus, nec exspirantem videbimus et ultimas voces emittentem? Et ipsa quidem quotidie orabat, ut sibi oculos clauderemus, et os conjungeremus et componeremus, ac reliqua ad sepulturam consueta curaremus; nunc vero tamquam deserta, et tutore carens, nihil horum assequetur a germano, a quo assequi maxime peroptabat, sed animam emittens, non videbit omnium sibi desideratissimum? et hoc quomodo non erit sæpius repetita morte gravius? Quinimo si longe abfuisset, nonne oportebat currere, et omnia facere et pati, ut hanc ipsi gratiam præberem? nunc vero prope cum sim, deseramne, et dimittens abibo? et quomodo sequentes perferet dies? Ille vero non tantum nihil horum dixit, sed neque cogitavit; verum omni consanguinitati Dei timorem præferens, bene se nosse monstravit, quod sicut gubernatorem tempestates, et ducem pericula, sic et sacerdotem tentatio comprobet. Omnes, inquit, ad nos respiciunt et Judæi et Græci: ne igitur ipsorum de nobis exspectationes frustremus, nec tantum parvi pendamus naufragium, sed nostra Deo mandantes omnia, ipsam animam tradamus. Et considera pontificis magnanimitatem, et Dei benignitatem: omnibus his quæ despexit potitus est, ut et alacritatis præmium caperet, et potiendo præter exspectationem majorem assequeretur voluptatem. Elegit solemnitatem in aliena terra et procul a suis celebrare propter civitatis salutem; Deus autem ante Pascha ipsum nobis reddidit, ut communem nobiscum solemnitatem ageret, ut et propositi mercedem haberet, et majori lætitia frueretur. Non timuit anni tempus, et per totum peregrinationis tempus æstas fuit: non curavit ætatem, et tamquam juvenis et vigens, sic tam longam hanc viam facile percurrit: sororis mortem non cogitavit, nec carnis affectione victus est: et regressus viventem ipsam deprehendit, et omnia quæ despexit, assecutus est.

2. Et pontifex ita splendorem et celebritatem cum apud Deum, tum apud homines consecutus est; Imperatorem vero negotium hoc omni diademate splendidius ornavit. Primum quidem, quod tum palam factum est, cum quæ nulli alteri concederet, hæc sacerdotibus condonaturum esse: deinde, cum multa celeritate gratiam dedisse, et

Ἀλλ' ἵνα σαφέστερον καὶ τοῦ βασιλέως τὴν μεγαλοψυχίαν καὶ τοῦ ἱερέως τὴν σοφίαν, καὶ πρὸ τούτων ἀμφοτέρων τοῦ Θεοῦ μάθητε τὴν φιλανθρωπίαν, δότε μοι μικρὰ τῆς ἐκεῖ γεγενημένης δημηγορίας διηγήσασθαι πρὸς ὑμᾶς. Ἐρῶ δὲ ἃ παρά τινος τῶν ἔνδον ἑστώτων ἔμαθον· ὁ μὲν γὰρ πατὴρ οὐδὲν οὔτε μικρὸν οὔτε μέγα εἶπε πρὸς ἡμᾶς, ἀλλὰ τὴν Παύλου μεγαλοψυχίαν μιμούμενος, ἀεὶ τὰ οἰκεῖα κρύπτει κατορθώματα, καὶ πρὸς τοὺς ἐρωτῶντας παντα χοῦ, τί πρὸς τὸν βασιλέα εἶπε, καὶ πῶς ἔπεισε, καὶ πῶς αὐτοῦ τὴν ὀργὴν ἐξέβαλεν ἅπασαν, ταῦτα ἔλεγε τὰ ῥήματα· Οὐδὲν ἡμεῖς εἰς τὸ πρᾶγμα εἰσηνέγκαμεν, ἀλλ' αὐτὸς ὁ βασιλεὺς, τοῦ Θεοῦ μαλάξαντος αὐτοῦ τὴν καρδίαν, καὶ πρὸ τῶν ἡμετέρων ῥημάτων πᾶσαν ἀφῆκε τὴν ὀργὴν καὶ τὸν θυμὸν ἔλυσε, καὶ περὶ τῶν γεγενημένων διαλεγόμενος ὡς ἑτέρου τινὸς ὑβρισθέντος, οὕτω τὰ συμβάντα ἅπαντα χωρὶς ὀργῆς διηγεῖτο. Ἀλλ' ἅπερ οὗτος ἀπέκρυψεν ἀπὸ ταπεινοφροσύνης, ταῦτα ὁ Θεὸς εἰς μέσον ἐξήνεγκε. Τίνα δέ ἐστι ταῦτα; Μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγὼν ὑμῖν διηγήσομαι. Ἐπειδὴ γὰρ ἐξῆλθε τῆς πόλεως πάντας ἐν τοσαύτῃ καταλιπὼν ἀθυμίᾳ, πολλῷ δεινότερα ἡμῶν ἔπασχε τῶν ἐν αὐτοῖς ὄντων τοῖς δεινοῖς. Πρῶτον μὲν γὰρ συγγενόμενος κατὰ μέσην τὴν ὁδὸν τοῖς ἐπὶ τὴν ἐξέτασιν τῶν γεγενημένων παρὰ τοῦ βασιλέως πεμφθεῖσι, καὶ μαθὼν παρ' ἐκείνων ἐφ' οἷς ἦσαν ἀπεσταλμένοι, καὶ τὰ καταλαμβόμενα τὴν πόλιν ἀναλογιζόμενος δεινὰ, τοὺς θορύβους, τὰς ταραχὰς, τὴν φυγὴν, τὸν φόβον, τὴν ἀγωνίαν, τοὺς κινδύνους, πηγὰς ἠφίει δακρύων, τῶν σπλάγχνων αὐτοῦ διασπωμένων· τοῖς γὰρ πατράσιν ἔθος πολλῷ μεῖζον ἀλγεῖν ὅταν μηδὲ παρεῖναι δύνωνται κακουμένοις τοῖς ἑαυτῶν παισίν. Ὁ δὴ καὶ ὁ φιλοστοργότατος οὗτος ἔπασχεν, οὐ τὰ καταλαμβόμενα ἡμᾶς δεινὰ θρηνῶν μόνον, ἀλλὰ καὶ τὸ πόρρω ταῦτα πασχόντων ἡμῶν εἶναι· πλὴν ἀλλὰ καὶ τοῦτο ὑπὲρ τῆς ἡμετέρας ἐγίνετο σωτηρίας. Ἐπειδὴ γὰρ ἔμαθε ταῦτα παρ' ἐκείνων, θερμοτέρας ἠφίει πηγὰς δακρύων, καὶ μετὰ πλείονος δεήσεως πρὸς Θεὸν κατέφυγε, καὶ τὰς νύκτας ἄϋπνος διῆγε παρακαλῶν καὶ τῇ πόλει παραγενέσθαι ταῦτα πασχούσῃ καὶ τοῦ βασιλέως πραοτέραν ποιῆσαι τὴν διάνοιαν.

Ὡς δὲ ἐπέβη τῆς μεγάλης πόλεως ἐκείνης καὶ εἰς τὰς βασιλικὰς εἰσῆλθεν αὐλὰς, εἱστήκει τοῦ βασιλέως πόρρωθεν, ἄφωνος, δακρύων, κάτω κύπτων, ἐγκαλυπτόμενος, ὥσπερ αὐτὸς ὢν ὁ πάντα εἰργασάμενος ἐκεῖνα. Ἐποίει δὲ τοῦτο τῷ σχήματι, τῷ βλέμματι, τοῖς θρήνοις πρότερον ἐπισπάσασθαι βουλόμενος αὐτὸν εἰς ἔλεον, καὶ τότε ἄρξασθαι τῆς ὑπὲρ ἡμῶν ἀπολογίας· μία γὰρ τοῖς ἁμαρτάνουσιν ὑπολείπεται συγγνώμη, τὸ σιγᾷν καὶ μηδὲν ὑπὲρ τῶν γεγενημένων φθέγγεσθαι. Ἐξούλετο δὴ πάθος τὸ μὲν ἐξενεγκεῖν τὸ δὲ εἰσαγαγεῖν, ἐκβαλεῖν μὲν τὸν θυμὸν, εἰσαγαγεῖν δὲ ἀθυμίαν, ἵνα οὕτω προοδοποιήσῃ τοῖς τῆς ἀπολογίας ῥήμασιν· ὅπερ οὖν καὶ ἐγένετο. Καὶ καθάπερ Μωϋσῆς εἰς τὸ ὄρος

irasci desisse. Sed ut manifestius et Imperatoris magnanimitatem, et sacerdotis sapientiam, et ante hæc utraque Dei discatis benignitatem, date mihi ut pauca ex concione illic habita vobis exponam. Dicam autem quæ a quodam eorum, qui intus adstiterunt, didici: pater nempe nihil, neque parvum neque magnum, nobis dixit, sed Pauli semper magnanimitatem imitans, propria celat merita, et undique interrogantibus quid Imperatori dixerit, et quomodo persuaserit, et quomodo ipsius omnem excluserit iram, hæc verba referebat: Nihil nos ad rem contulimus, sed ipse Imperator, leniente Deo cor ipsius, et ante verba nostra omnem remisit iram solvitque furorem: et de gestis disserens, tamquam alio contumelia affecto, ita cuncta quæ acciderunt sine ira commemorabat. Sed quæ celavit hic ex humilitate, hæc Deus in medium protulit. Quæ vero sunt hæc? Paulo superius sermonem repetens vobis referam. Postquam enim ex urbe egressus est, omnes in tanta relinquens tristitia, multo graviora patiebatur, quam qui in ipsis erant molestiis. Primum nempe in via media conveniens eos qui ad gestorum examen ab Imperatore missi erant, et ab illis doctus, quorsum essent missi, et mala civitatem invasura, tumultus, turbationes, fugam, timorem, anxietatem, pericula cogitans, lacrymarum fontes emittebat, cum viscera ipsi dissecarentur: patribus enim mos est multo magis dolere, cum filiis suis male habentibus nec adesse possunt: quod et piissimus hic passus est, non mala tantum nos invasura deplorans, sed et quod nobis hæc patientibus procul abesset; verum et hoc pro nostra salute factum est. Ut hæc enim ab illis didicit, calidiores lacrymarum fontes emittebat, et cum majori supplicatione ad Deum confugiebat, et noctes insomnes ducebat supplicans, ut hæc patienti succurreret civitati, et ut Imperatoris mentem redderet mitiorem.

Ut vero magnam civitatem illam ascendit et regias ingressus est aulas, procul Imperatore constitit mutus, lacrymans, deorsum inclinatus, involutus, tamquam ipse esset qui omnia illa patrasset. Hoc autem faciebat, habitu, aspectu, luctibus prius movere volens ipsum ad misericordiam, et tum defensionem pro nobis incipere. Sola namque peccantibus relinquitur venia, tacere et nihil pro gestis loqui. Volebat enim affectum hunc quidem ejicere, illum vero introducere, ejicere quippe iram, tristitiam autem introducere, ut ita viam præpararet defensionis verbis: quod quidem et factum est. Et sicut Moses in montem

ἀναβὰς τοῦ λαοῦ προσκεκρουκότος ἄφωνος εἱστήκει αὐτὸς, ἕως ὁ Θεὸς αὐτὸν ἐξεκαλέσατο εἰπών, « Ἄφες με, καὶ ἐξαλείψω τὸν λαὸν τοῦτον » · οὕτω καὶ οὗτος ἐποίησεν. Ἰδὼν τοίνυν αὐτὸν ὁ βασιλεὺς δακρύοντα καὶ κάτω κύπτοντα, προσῆλθεν αὐτὸς, καὶ ὅπερ ἔπαθε διὰ τῶν δακρύων τοῦ ἱερέως, τοῦτο ἐδείκνυ διὰ τῶν ῥημάτων τῶν πρὸς αὐτόν· οὐ γὰρ θυμουμένου ἢ ἀγανακτοῦντος ἦσαν οἱ λόγοι, ἀλλ' ἀλγοῦντος· οὐκ ὀργιζομένου, ἀλλ' ἀθυμοῦντος καὶ περιωδυνίᾳ κατεχομένου μᾶλλον· καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτὰ τὰ ῥήματα ἀκούσαντες εἴσεσθε. Οὐ γὰρ εἶπε, Τί ποτε τοῦτό ἐστιν; ὑπὲρ ἀνθρώπων μιαρῶν καὶ παμμιάρων, καὶ οὓς οὐδέ ζῆν ἔδει, πρεσβείαν ἥκεις κομίζων, τῶν τυράννων, τῶν νεωτεροποιῶν τῶν πάσης ἀξίων κολάσεως; ἀλλὰ πάντα ταῦτα ἀφεὶς τὰ ῥήματα, ἀπολογίαν συνέθηκεν ἐντροπῆς γέμουσαν καὶ βαρύτητος, καὶ τὰς ἑαυτοῦ κατέλεγεν εὐεργεσίας, ὅσας παρὰ πάντα τὸν καιρὸν τῆς βασιλείας τὴν πόλιν ἡμῶν εὐηργέτησε, καὶ ἐφ' ἑκάστῳ ταῦτα ἐπέλεγεν· Ταῦτά με ἀντ' ἐκείνων παθεῖν ἔδει; ποίων ἀδικημάτων με ταύτην ἐπράξαντο δίκην; τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχοντες, οὐκ εἰς ἐμὲ μόνον, ἀλλὰ καὶ εἰς τοὺς ἀπελθόντας ἐνύβρισαν; οὐκ ἦρκει τὸν θυμὸν στῆναι μέχρι τῶν ζώντων, ἀλλ' εἰ μὴ καὶ τοὺς ταφέντας καθυβρίσαιεν, οὐδὲν ἐνόμισαν νεανικὸν ποιεῖν. Ἠδικήκαμεν ἡμεῖς, ὡς αὐτοὶ νομίζουσι· οὐκοῦν τῶν νεκρῶν φείσασθαι ἔδει τῶν οὐδὲν ἠδικηκότων· οὐ γὰρ δὴ κἀκείνοις ταῦτα ἐγκαλεῖν εἶχον. Οὐχὶ ταύτην ἁπάντων προὔθηκα τὴν πόλιν ἀεὶ καὶ τῆς ἐνεγκούσης ποθεινοτέραν εἶναι ἐνόμιζον, καὶ εὐχῆς μοι διηνεκοῦς ἔργον ἦν, τὴν πόλιν ἐκείνην ἰδεῖν, καὶ τοῦτον ἐποιούμην ὅρκον πρὸς πάντας;

Ἐνταῦθα πικρὸν ἀνοιμώξας ὁ ἱερεὺς, καὶ θερμότερα ἀφεὶς δάκρυα, οὐκέτι λοιπὸν ἐσίγα (ἑώρα γὰρ τὴν [τοῦ] βασιλέως ἀπολογίαν μείζονα ποιοῦσαν ἡμῶν τὴν κατηγορίαν), ἀλλὰ στενάξας κάτωθεν βαρὺ καὶ πικρὸν, Ὁμολογοῦμεν, φησὶν, ὦ βασιλεῦ, καὶ οὐκ ἂν ἀρνηθείημεν τὸν ἔρωτα τοῦτον, ὃν περὶ τὴν πατρίδα ἐπιδείκνυσθε τὴν ἡμετέραν, καὶ διὰ τοῦτο μάλιστα θρηνοῦμεν, ὅτι τὴν οὕτω φιλουμένην ἐβάσκηναν δαίμονες, καὶ περὶ τὸν εὐεργέτην ἀγνώμονες ἐφάνημεν, καὶ τὸν σφοδρὸν ἡμῶν παροξύναμεν ἐραστήν. Κἂν κατασκάψῃς, κἂν ἐμπρήσῃς, κἂν ἀποκτείνῃς, κἂν ὁτιοῦν [ἕτερον] πράξῃς, οὐδέπω τὴν ἀξίαν ἡμᾶς ἀπήτησας δίκην· φθάσαντες γὰρ ἡμεῖς ἑαυτοὺς μυρίων θανάτων χαλεπώτερα διεθήκαμεν· τί γὰρ ἂν γένοιτο πικρότερον ἀλλ' ἢ ὅταν τὸν εὐεργέτην καὶ οὕτω φιλοῦντα φανῶμεν ἀδίκως παροξύναντες, καὶ τοῦτο πᾶσα ἡ οἰκουμένη μανθάνῃ καὶ τὴν ἐσχάτην ἡμῶν ἀγνωμοσύνην καταγινώσκῃ; Εἰ βάρβαροι τὴν πόλιν ἡμῶν καταδραμόντες κατέσκαψαν τὰ τείχη καὶ τὰς οἰκίας ἐνέπρησαν, καὶ λαβόντες αἰχμαλώτους ἀπῆλθον, ἔλαττον ἦν τὸ δεινόν. Τί δήποτε; Ὅτι σοῦ ζῶντος καὶ τοσαύτην ἐπιδεικνυμένου περὶ ἡμᾶς εὔνοιαν, ἐλπὶς ἦν ἐκεῖνα πάντα λυθήσεσθαι τὰ δεινὰ, καὶ πάλιν ἡμᾶς ἐπὶ τὸ πρότερον

ascendens, populo lapso, mutus ipse constitit, donec ipsum Deus provocavit dicens (*Exod.* 32. 10), *Dimitte me, et delebo populum hunc* : ita et hic fecit. Ipsum itaque Imperator conspicatus lugentem et deorsum inclinatum, accessit ipse, et quod patiebatur propter sacerdotis lacrymas, hoc verbis ad ipsum directis ostendit. Non enim indignantis aut irascentis erant illa verba, sed mœrentis et dolore magis detenti : et hoc esse verum, ipsa audientes scietis. Non enim dixit : Quid tandem hoc est? pro hominibus scelestis et sceleratissimis, et quos nec oportuit vivere, venis legationem obiens, tyrannis, novatoribus omni supplicio dignis? Sed hæc omnia dimittens verba, defensionem composuit reverentia plenam et gravitate, et a se collata commemorabat beneficia, quibus per omne regni tempus civitatem nostram prosequutus est, et ad singula hæc repetebat : Hæccine me pro illis pati oportuit? quarum a me injuriarum has pœnas exegerunt? quid parvum quidve magnum accusandum habentes, non me solum, verum et defunctos contumeliis affecerunt? non sufficiebat ipsis furorem contluere in vivis; sed nisi sepultos quoque contumeliose tractarent, nil magnum facere putarunt. Iniqui fuerimus nos, ut ipsi putant : igitur mortuis parcere, qui nullam intulerunt injuriam, oportebat : non enim et illis hæc imputare poterant. Nonne semper hanc omnibus præposui civitatem, et patria desiderabiliorem esse putabam; et votum mihi continuum erat urbem illam spectare, et hoc apud omnes faciebam juramentum?

3. Hic amare ingemens pontifex, et ferventiores emittens lacrymas, non jam amplius tacuit : videbat enim Imperatoris defensionem culpam majorem nostram facere; sed graviter et amare de profundo gemens, Confitemur, inquit, Imperator, nec negare possumus amorem istum quem erga patriam nostram demonstrasti, et ideo maxime lugemus, quoniam sic amatæ dæmones inviderunt, et erga benefactorem ingrati apparuimus, ac summopere nos amantem exacerbavimus. Sive dirnas, sive incendas, sive occidas, sive quodcumque aliud facias, nondum dignam de nobis pœnam exegeris : nam nos ipsos prævenientes innumeris mortibus miserius affecimus. Quid enim amarius esse possit, quam cum benefactorem et sic diligentem injuste exacerbantes appareamus, et omnis hoc mundus discat, et nos ut admodum ingratos condemnet? Si barbari civitatem nostram incursantes, mœnia diruissent, et incendissent domos, et abductis captivis abiissent, minus erat malum. Quare tandem ita? Quoniam te vivente et tantam in nos benevolentiam exhibente, spes erat illa cuncta gravia solutum iri, et nos iterum ad priorem for-

ἐπανήξειν σχῆμα καὶ λαμπροτέραν ἀπολήψεσθαι τὴν ἐλευθερίαν· νῦν δὲ, τῆς σῆς εὐνοίας ἀῤῥηγμένης καὶ τοῦ φίλτρου σβεσθέντος, ὃ παντὸς τείχους ἦν ἡμῖν ἀσφαλέστερον, πρὸς τίνα λοιπὸν καταφευξόμεθα; ποῦ δυνησόμεθα ἰδεῖν ἑτέρωσε, τὸν γλυκὺν οὕτω δεσπότην καὶ πατέρα προσηνῆ παροργίσαντες; Ὥστε δοκοῦσι μὲν ἀφόρητα πεποιηκέναι· ἔπαθον δὲ πάντων δεινότερα, πρὸς οὐδένα ἀνθρώπων ἀντιβλέψαι τολμῶντες οὐδὲ αὐτὸν ἰδεῖν δυνάμενοι τὸν ἥλιον ἐλευθέροις ὀφθαλμοῖς, τῆς αἰσχύνης πανταχοῦ καταστελλούσης τὰ βλέφαρα καὶ ἐγκαλύπτεσθαι καταναγκαζούσης· τῆς παῤῥησίας οὖν αὐτοῖς ἀνῃρημένης, πάντων αἰχμαλώτων ἀθλιώτερον διάκεινται νῦν, καὶ τὴν ἐσχάτην ὑπομένουσιν ἀτιμίαν, καὶ τὸ μέγεθος τῶν κακῶν ἐννοοῦντες, καὶ εἰς ὅσον ἀπεσκίρτησαν ὕβρεως, οὐδὲ ἀναπνεῖν δύνανται τοῦ δοκοῦντος ὑβρίσθαι σφοδροτέρους τοὺς τὴν οἰκουμένην οἰκοῦντας ἅπαντας ἀνθρώπους ἐπισπασάμενοι κατηγόρους. Ἀλλ' ἐὰν θέλῃς, ὦ βασιλεῦ, ἔστιν ἴασις τῷ τραύματι, καὶ φάρμακον τοῖς τοσούτοις κακοῖς. Πολλάκις καὶ ἐπὶ ἰδιωτῶν τοῦτο γέγονε· τὰ μεγάλα καὶ ἀφόρητα προσκρούσματα μεγάλης διαθέσεως γέγονεν ὑπόθεσις· οὕτω καὶ ἐπὶ τῆς φύσεως συνέβη τῆς ἡμετέρας. Ὅτε γὰρ τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεὸς καὶ εἰς τὸν παράδεισον εἰσήγαγε καὶ πολλῆς ἠξίωσε τιμῆς, οὐ φέρων τὴν τοσαύτην εὐημερίαν ὁ διάβολος ἐβάσκηνέν τε αὐτῷ καὶ τῆς δοθείσης ἐξέβαλε προεδρίας. Ἀλλ' ὁ Θεὸς οὐ μόνον αὐτὸν οὐ κατέλιπεν, ἀλλὰ καὶ ἀντὶ παραδείσου τὸν οὐρανὸν ἡμῖν ἀνέῳξε, τούτῳ τε αὐτῷ τήν τε οἰκείαν φιλανθρωπίαν ἐπιδεικνύμενος, καὶ τὸν διάβολον μειζόνως κολάζων. Τοῦτο καὶ σὺ ποίησον· πάντα ἐκίνησαν οἱ δαίμονες νῦν ὥστε τὴν πασῶν σοι φιλτάτην πόλιν ἀποῤῥῆξαί σου τῆς εὐνοίας· τοῦτο τοίνυν εἰδὼς, δίκην μὲν ἣν θέλεις ἀπαίτησον, τῆς δὲ φιλίας μὴ ἐκβάλῃς ἡμᾶς τῆς προτέρας. Ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μείζονα ἡμῖν ἐπίδειξαι τὴν εὔνοιαν νῦν, καὶ πάλιν εἰς τὰς πρώτας τῶν φιλουμένων αὐτὴν ἔγγραψον, εἴ γε βούλει τοὺς ταῦτα κατασκευάσαντας ἀμύνασθαι δαίμονας. Ἂν μὲν γὰρ καθέλῃς καὶ κατασκάψῃς καὶ ἀφανίσῃς, ἅπερ ἐκεῖνοι πάλαι ἐβούλοντο, ταῦτα ἐργάσῃ· ἂν δὲ ἀφῇς τὴν ὀργὴν καὶ πάλιν ὁμολογήσῃς φιλεῖν αὐτὴν ὥσπερ πρότερον ἐφίλεις, χαιρίαν αὐτοῖς ἔδωκας τὴν πληγήν, καὶ τὴν ἰσχάτην αὐτοὺς ἀπήτησας δίκην, δείξας ὡς οὐ μόνον οὐδὲν αὐτοῖς πλέον γέγονεν ἀπὸ τῆς ἐπιβουλῆς, ἀλλὰ καὶ τὰ ἐναντία αὐτοῖς ἅπαντα ἀπέβη ἅπερ ἐβούλοντο. Δίκαιος δ' ἂν εἴης ταῦτα ποιῆσαι καὶ ἐλεῆσαι πόλιν, ἣ διὰ τὴν σὴν ἐφθόνησαν φιλίαν οἱ δαίμονες· εἰ γὰρ μὴ σφόδρα αὐτὴν οὕτως ἠγάπησας, οὐκ ἂν αὐτῇ οὐδὲ ἐκεῖνοι τοσοῦτον ἐβάσκηναν. Ὥστε εἰ καὶ θαυμαστὸν τὸ λεγόμενον, ἀλλ' ὅμως ἐστὶν ἀληθὲς, ὅτι διὰ σὲ καὶ τὴν σὴν φιλίαν ταῦτα ἔπαθε. Πόσων ἐμπρησμῶν, πόσης καταστροφῆς τὰ ῥήματα ταῦτα πικρότερα, ἅπερ ἀπολογούμενος ἔλεγες; Νῦν ὑβρίσθαι φῂς, καὶ πεπονθέναι ὅσα οὐδεὶς πώποτε τῶν προτέρων ἀρχόντων ἔπαθε, καὶ τὰ μὲν ἐκείνων ἀφορητότερα, τὰ δὲ σὰ δεινότερα; Ἀλλ' ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἰδίοις ἐκάκωσαν, σὺ δὲ ἐπὶ τοῖς τῶν ἄλλων· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἑαυτῶν, σὺ δὲ ἐπὶ τοῖς τῶν ἀλλοτρίων· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ γῇ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῷ οὐρανῷ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῷ παρόντι βίῳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῷ μέλλοντι· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῷ σώματι, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ψυχῇ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῷ βίῳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῷ θανάτῳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀδοξίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ δόξῃ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀσθενείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ δυνάμει· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀφανείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ λαμπρότητι· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀτιμίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ τιμῇ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀφροσύνῃ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σοφίᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀπιστίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ πίστει· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκαθαρσίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἁγιασμῷ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀδικίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ δικαιοσύνῃ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκρασίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σωφροσύνῃ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκολασίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἐγκρατείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀνομίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ νομίμῳ πολιτείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀσεβείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ εὐσεβείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ πλάνῃ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἀληθείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀπωλείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σωτηρίᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ κολάσει, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἀπολαύσει· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀτιμίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ τιμῇ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀφροσύνῃ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σοφίᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀπιστίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ πίστει· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκαθαρσίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἁγιασμῷ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀδικίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ δικαιοσύνῃ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκρασίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σωφροσύνῃ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀκολασίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἐγκρατείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀνομίᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ νομίμῳ πολιτείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀσεβείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ εὐσεβείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ πλάνῃ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἀληθείᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ ἀπωλείᾳ, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ σωτηρίᾳ· ἐκεῖνοι μὲν ἐπὶ τοῖς ἐν τῇ κολάσει, σὺ δὲ ἐπὶ τοῖς ἐν τῇ ἀπολαύσει·

mam redituros, et clariorem recepturos libertatem; nunc autem, ablata benevolentia tua, et amoris vinculo violato quod omni muro nobis erat tutius, ad quem jam confugiemus? quo poterimus alio respicere, tam dulci domino et facili exacerbato patre? Itaque videntur quidem intolerabilia fecisse, sed passi sunt omnium gravissima, ad nullum hominem audentes respicere, nec ipsum spectare solem liberis valentes oculis, pudore undique palpebras contrahente et occultari cogente: libertate ipsis ablata, captivis omnibus nunc miserius affecti sunt, et extremam sustinent ignominiam: et malorum magnitudinem cogitantes, et in quantum contumeliæ resilierunt, nec respirare possunt, cum omnes terram habitantes in sui vehementiorem accusationem ob eum qui injuria affectus est attraxerint. Sed si velis, Imperator, est vulneri medicina et tantis malis remedium. Sæpius et apud privatos homines hoc factum est; magnæ et intolerabiles offensiones magnæ caritatis materia factæ sunt: sic et in natura nostra evenit. Cum enim hominem Deus fecit et in paradisum induxit, et multo dignum fecit honore, tantam diabolus prosperitatem non ferens invidit, et illum a data expulit dignitate. Sed Deus non tantum ipsum non reliquit, verum et pro paradiso cælum nobis aperuit, hoc ipso simul propriam demonstrans benignitatem, et diabolum magis puniens. Hoc et tu facias: nunc omnia moverunt dæmones, ut omnium tibi gratissimam civitatem a benevolentia tua separarent; hoc vero tu nunc sciens, pœnam quamvis exigas, priori tamen amicitia ne nos extrudas. Sed si præter opinionem aliquid nunc dicere fas est, etiam nunc majorem nobis ostende benevolentiam, et rursus inter dilectarum primas ipsam scribe, si modo dæmonas hæc operatos vis ulcisci. Si nempe destruas et subruas et deleas, quæ prius illi voluerunt, hæc efficies; si vero iram dimittes et te rursus ipsam amare, sicut prius amabas, confitearis, letalem ipsis plagam intuleris, et ultimam ab ipsis ultionem exegeris, demonstrans non tantum nihil amplius ipsos per insidias perfecisse, verum et cuncta ipsis contraria, quam volebant, accidisse. Æquum autem fuerit ut hæc facias et civitatis miserearis, cui propter amicitiam tuam dæmones inviderunt; nisi enim ipsam tam vehementer amasses, nec ipsam illi tanta insectati fuissent invidia. Itaque etsi mirandum est quod dico, est tamen verum, quod propter te et amicitiam tuam hæc passa sit. Quot incendiis, quanta subversione sunt hæc verba acerbiora, quæ respondens dicebas? Nunc te contumelia affectum dicis, et pertulisse quæ nullus unquam superiorum Impera-

ρων βασιλέων· ἀλλ' ἐὰν θέλῃς, ὦ φιλανθρωπότατε καὶ σοφώτατε καὶ πολλῆς εὐσεβείας γέμων, τοῦ διαδήματος τούτου μείζονά σοι καὶ λαμπρότερον ἡ ὕβρις αὕτη περιθήσει στέφανον. Τοῦτο μὲν γὰρ τὸ διάδημα ἔστι μὲν καὶ τῆς σῆς ἀρετῆς ἀπόδειξις, ἔστι δὲ καὶ τῆς τοῦ δεδωκότος φιλοτιμίας τεκμήριον· ὁ δὲ ἀπὸ τῆς φιλανθρωπίας σοι ταύτης πλεκόμενος στέφανος σὸν μόνον ἔσται κατόρθωμα καὶ τῆς φιλοτοφίας τῆς σῆς· καὶ οὐχ οὕτω σε θαυμάσονται πάντες διὰ τοὺς λίθους τοὺς τιμίους τούτους, ὡς ἐπαινέσονται διὰ τὴν ὑπεροψίαν τὴν κατὰ τῆς ὀργῆς. Καθεῖλάν σου τοὺς ἀνδριάντας; ἀλλ' ἔξεστί σοι λαμπροτέρους ἀναστῆσαι ἐκείνων. Ἂν γὰρ ἀφῇς τοῖς ἠδικηκόσι τὰ ἐγκλήματα, ὡς μηδεμίαν δοῦναι δίκην αὐτούς, οὐ χαλκοῦν σε ἐπὶ τῆς ἀγορᾶς ἀναστήσουσιν οὐδὲ χρυσοῦν οὐδὲ λιθοκόλλητον, ἀλλὰ τὴν πάσης ὕλης τιμιωτέραν στολήν, φιλανθρωπίαν καὶ ἐλεημοσύνην, ἀναβεβλημένον, οὕτως ἐπὶ τῆς διανοίας ἕκαστος ἀναστήσουσί σε τῆς ἑαυτῶν, καὶ τοσούτους ἕξεις ἀνδριάντας, ὅσοι τὴν οἰκουμένην οἰκοῦσιν ἄνθρωποι καὶ οἰκήσουσιν· οὐ γὰρ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ μεθ' ἡμᾶς καὶ οἱ μετ' ἐκείνους ἅπαντες ταῦτα ἀκούσονται, καὶ καθάπερ εὖ παθόντες αὐτοί, οὕτω [σε] θαυμάσονται καὶ φιλήσουσι. Καὶ ὅτι ταῦτα οὐ κολακεύων λέγω, ἀλλ' οὕτως ἔσται πάντως, ἐρῶ σοι παλαιόν τινα λόγον, ἵνα μάθῃς ὅτι οὐχ οὕτω στρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ ὑπηκόων πλῆθος καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα λαμπροὺς ποιεῖν τοὺς βασιλεῖς εἴωθεν, ὡς φιλοσοφία ψυχῆς καὶ ἡμερότης. Ὁ μακάριος λέγεται Κωνσταντῖνος, τῆς εἰκόνος αὐτοῦ καταλευσθείσης ποτέ, παροξυνάντων αὐτὸν πολλῶν ἐπεξελθεῖν τοῖς ὑβρικόσι καὶ δίκην ἀπαιτῆσαι, καὶ λεγόντων ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἔτρωσαν τοὺς λίθους ἐξακοντίζοντες, ψηλαφήσας τῇ χειρὶ τὸ πρόσωπον καὶ ἡρέμα μειδιάσας εἰπεῖν ὅτι Οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου γεγενημένην ὁρῶ, ἀλλ' ὑγιὴς μὲν ἡ κεφαλή, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα· κἀκείνους ἐρυθριάσαντας καὶ αἰσχυνθέντας ἀποστῆναι τῆς ἀδίκου ταύτης συμβουλῆς. Καὶ τὸ ῥῆμα τοῦτο μέχρι νῦν ᾄδουσιν ἅπαντες, καὶ τοσοῦτος χρόνος οὐκ ἐμάρανεν, οὐκ ἔσβεσε τῆς φιλοσοφίας ταύτης τὴν μνήμην. Πόσων οὐκ ἂν εἴη τοῦτο τροπαίων λαμπρότερον; Πολλὰς καὶ [μεγάλας] πόλεις ἐκεῖνος ἀνέστησε, καὶ πολλοὺς βαρβάρους ἐνίκησεν, ἀλλ' οὐδενὸς ἐκείνων μεμνήμεθα· τὸ δὲ ῥῆμα τοῦτο μέχρι τῆς σήμερον ᾄδεται, καὶ οἱ μεθ' ἡμᾶς αὐτὸ καὶ οἱ μετ' ἐκείνους ἀκούσονται πάντες. Καὶ οὐτοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀκούσονται, ἀλλ' ὅτι καὶ μετ' ἐπαίνων καὶ εὐφημίας οἵ τε λέγοντας λέγουσιν, οἵ τε ἀκούοντες δέχονται· καὶ οὐκ ἔστιν οὐδείς, ὃς ἀνέξεται τοῦτο ἀκούσας σιγῆσαι, ἀλλ' ὁμοῦ τε ἀνέκραξαν καὶ τὸν εἰρηκότα ἐπήνεσαν καὶ μυρία αὐτῷ καὶ ἀπελθόντι γίνεσθαι ηὔξαντο ἀγαθά. Εἰ δὲ παρὰ ἀνθρώποις τοσαύτης ἀπήλαυσε δόξης δι' ἐκεῖνο τὸ ῥῆμα, πόσων ἀπολαύσεται παρὰ τῷ φιλανθρώπῳ Θεῷ στεφάνων; Καὶ τί χρὴ λέγειν Κωνσταντῖνον καὶ τὰ ἀλλότρια πα-

torum : sed si velis, o humanissime et sapientissime et multa pietate plene, diademate isto clariorem et majorem tibi coronam hæc afferet contumelia. Hoc nempe diadema est quidem tuæ virtutis insigne, est etiam ejus qui dedit liberalitatis indicium; sed corona ex hac humanitate contexta tuum solius erit et philosophiæ tuæ meritum : nec te tantum omnes admirabuntur propter istos lapides pretiosos, quantum propter victoriam de indignatione superata reportatam laudabunt. Dejecerunt statuas tuas? sed illis clariores restituere tibi licet. Si enim injuriæ auctoribus crimina remittas, ut nullas luant pœnas, non æream in foro tibi statuam erigent, nec auream, nec lapillis coagmentatam, sed omni materia pretiosiore te veste indutum, humanitate scilicet et misericordia, talem in mente quisque sua te erigent, et tot habebis statuas, quot orbem habitant homines et habitabunt. Non enim nos tantum, verum et post nos futuri, et post illos omnes hæc audient, et tamquam ipsi bene fuerint habiti, sic te admirabuntur et amabunt. Et quod hæc non assentans dicam, sed sic futurum sit omnino, antiquum tibi referam sermonem quendam, ut discas non tantum exercitus, arma, pecunias, subditorum multitudinem et alia hujusmodi splendidos facere reges consuevisse, quantum animi philosophiam et mansuetudinem. Fertur beatus Constantinus, effigie sua aliquando lapidata, multis ipsum instigantibus ad supplicium de auctoribus contumeliæ sumendum, et dicentibus eos omnem ipsius faciem saxis vulnerasse, manu faciem palpans et leniter ridens dixisse : Ego vero nusquam vulnus in fronte factum video, sed sanum quidem caput, sana vero et facies tota. Illi vero reveriti et confusi ab hoc iniquo destitere consilio. Et hoc verbum hactenus canunt omnes; nec tantum temporis labefecit, aut hujus philosophiæ memoriam exstinxit. Quot non sit hoc tropæis splendidius? Multas magnasque urbes ille condidit et multos barbaros superavit, sed meminimus illorum nihil; hoc autem verbum usque in præsentem diem canitur, et posteri nostri et posteri illorum omnes id ipsum audient. Nec hoc solum est admirandum, quod audient, verum hoc etiam quod laudibus et faustis verbis prosequuntur qui dicunt, et qui audiunt excipiunt : nec ullus est qui hæc audiens silere possit, quin statim exclament et talia dicentem laudent, et innumera ipsi vel defuncto bona precentur. Quodsi propter illud verbum apud homines tanta politus est gloria, quot apud benignum Deum coronas assequetur? Quid autem opus est Constantinum et aliena

ραδείγματα, δέον οἰκοθέν σε καὶ ἐκ τῶν σῶν παρακαλεῖν κατορθωμάτων; Μέμνησαι πρώην ὅτε τῆς ἑορτῆς ταύτης καταλαβούσης ἐπιστολὴν ἔπεμψας πανταχοῦ τῆς οἰκουμένης κελεύουσαν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφεῖναι, καὶ συγχωρεῖν αὐτοῖς τὰ ἐγκλήματα, καὶ ὡς οὐκ ἀρκούντων ἐκείνων δεῖξαί σου τὴν φιλανθρωπίαν, ἔλεγες διὰ τῶν γραμμάτων ὅτι Εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι καὶ πρὸς τὴν προτέραν ἀναγαγεῖν ζωήν; Τούτων ἀναμνήσθητι τῶν ῥημάτων νῦν· ἰδοὺ καιρὸς τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι καὶ πρὸς τὴν προτέραν ἐπαναγαγεῖν ζωήν. Καὶ οὗτοι γὰρ ἤδη τεθνήκασι, καὶ πρὶν ἢ τὴν ψῆφον ἐξενεχθῆναι, [καὶ] παρ' αὐτὰς ἡ πολις ἐσκήνωται τὰς τοῦ ᾅδου πύλας νῦν. Ἀνάστησον οὖν αὐτὴν ἐκεῖθεν χωρὶς χρημάτων, χωρὶς δαπάνης, χωρὶς χρόνου καὶ πόνου τινός. Ἀρκεῖ γάρ σοι φθέγξασθαι μόνον καὶ ἀναστῆσαι τὴν πόλιν τὴν ἐπ' ὄψεσι κειμένην. Νῦν δὸς αὐτὴν καλεῖσθαι λοιπὸν ἀπὸ τῆς σῆς φιλανθρωπίας· οὐδὲ γὰρ τοσαύτην εἴσεται χάριν τῷ παρὰ τὴν ἀρχὴν αὐτὴν οἰκίσαντι, ὅσην τῇ ψήφῳ τῇ σῇ· καὶ μάλα εἰκότως. Ἐκεῖνος μὲν γὰρ ἀρχὴν αὐτῇ δοὺς ἀπῆλθε, σὺ δὲ αὐξηθεῖσαν καὶ γενομένην μεγάλην, καὶ μετὰ τὴν πολλὴν ταύτην εὐημερίαν κατενεχθεῖσαν ἀναστήσεις. Οὐκ ἦν οὕτω θαυμαστὸν, εἰ πολεμίων αὐτὴν ἑλόντων καὶ βαρβάρων καταδραμόντων ἀπήλλαξας τοῦ κινδύνου, ὡς ἔστι θαυμαστὸν τὸ φείσασθαι νῦν· ἐκεῖνο μὲν γὰρ πολλοὶ πολλάκις βασιλέων ἐποίησαν, τοῦτο δὲ σὺ μόνος ἐργάσῃ καὶ πρῶτος παρὰ προσδοκίαν ἅπασαν. Κἀκεῖνο μὲν οὖν οὐδὲν θαυμαστὸν οὐδὲ παράδοξον, ἀλλὰ τῶν ἀεὶ συμβαινόντων ἐστὶ, τὸ τῶν ὑπηκόων προίστασθαι, τὸ δὲ τοσαῦτα παθόντα καὶ τοιαῦτα ἀφεῖναι τὴν ὀργὴν, τοῦτο πᾶσαν ἀνθρωπίνην ὑπερβαίνει φύσιν. Ἔννόησον ὅτι νῦν οὐ περὶ τῆς πόλεώς σοι βουλευτέον μόνον ἐστὶν ἐκείνης, ἀλλὰ καὶ περὶ τῆς δόξης τῆς σῆς· μᾶλλον δὲ περὶ τοῦ χριστιανισμοῦ παντός. Νῦν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καὶ πᾶσα ἡ οἰκουμένη καὶ βάρβαροι (καὶ γὰρ κἀκεῖνοι ταῦτα ἤκουσαν) πρὸς σὲ κεχήνασιν ἀναμένοντες ἰδεῖν οἵαν οἴσεις κατὰ τῶν γεγενημένων τὴν ψῆφον· κἂν μὲν φιλάνθρωπον ἐξενέγκῃς καὶ ἥμερον, ἐπαινέσονται τὸ δόγμα ἅπαντες καὶ δοξάσουσι τὸν Θεὸν, καὶ πρὸς ἀλλήλους ἐροῦσι, Βαβαὶ πόση τοῦ χριστιανισμοῦ ἡ δύναμις; ἄνθρωπον οὐδένα ἔχοντα ὁμότιμον ἐπὶ τῆς γῆς, κύριον ὄντα ἀπολέσαι πάντα καὶ διαφθεῖραι, κατέσχε καὶ ἐχαλίνωσε, καὶ φιλοσοφεῖν ἐπαίδευσε φιλοσοφίαν ἣν οὐδ' ἂν ἰδιώτης ἄνθρωπος ἐπεδείξατο· ὄντως μέγας ὁ τῶν Χριστιανῶν Θεὸς, ὃς ἐξ ἀνθρώπων ἀγγέλους ποιεῖ καὶ πάσης ἀνάγκης φυσικῆς ἀνωτέρους καθίστησιν. Μὴ γὰρ δὴ τὸν περιττὸν ἐκεῖνον δείσῃς φόβον, μηδὲ ἀνάσχῃ λεγόντων τινῶν ὡς αἱ λοιπαὶ χείρους ἔσονται πόλεις καὶ καταφρονήσουσι μᾶλλον, ταύτης μὴ κολασθείσης. Εἰ μὲν γὰρ ἀδυνάτως εἶχες ἐπεξελθεῖν, καὶ βίᾳ σου περιεγένοντο ταῦτα ποιήσαντες, καὶ ἰσοστάσιος ἦν ἡ δύναμις, εἰκότως ταῦτα ὑποπτεύειν ἐχρῆν·

exempla commemorare, cum te de propriis meritis tuis opus sit exhortari? Meministine nuper, quando solemnitate hac superveniente per totum orbem terrarum epistolam misisti jubentem carcere detentos dimitti, ipsis ignosci crimina, atque illis humanitatem tuam demonstrare non sufficientibus, per literas dicebas: Utinam mihi liceret et defunctos revocare et resuscitare, et ad priorem vitam reducere! Horum nunc reminiscere verborum: ecce tempus defunctorum revocandorum et resuscitandorum et ad vitam reducendorum pristinam. Et hi namque jam mortui sunt, et priusquam judicium proferatur, ad ipsas tartari fores nunc civitas collocata est. Ipsam igitur inde resuscita sine pecuniis, sine impendio, sine tempore et ullo labore. Tibi namque satis est tantum loqui, et excitare civitatem quæ in vultum cecidit. Nunc ipsam jube ab humanitate tua posthac appellari: nec enim tantam habebit gratiam illi, qui ab initio se condidit, quantam sententiæ tuæ: nec immerito. Ille enim principio ipsi dato recessit; tu vero auctam et magnam effectam, et post multam hanc prosperitatem destructam resuscitabis. Non fuisset adeo mirandum si hostibus ipsam capientibus, et barbaris populantibus, a periculo liberasses, quam est admirabile nunc pepercisse; illud enim sæpe multi fecere reges, hoc autem tu solus operaberis et primus præter omnem exspectationem. Et illud quidem minime mirandum, nec præter opinionem, sed est quotidianum opus, subditis præesse; quod autem tot et talia passus iram deponas, hoc omnem naturam excedit humanam. Cogita nunc non de civitate tantum illa tibi consultandum esse, verum et de gloria tua, imo vero de Christianismo toto. Nunc et Judæi et Græci, et totus terrarum orbis et barbari (etenim et illi hæc audierunt) ad te respiciunt, exspectantes ut videant, qualem de gestis sententiam feras: nempe si humanam protuleris et mitem, omnes decretum laudabunt, et Deum glorificabunt, et inter se dicent: Papæ, quanta Christianismi potentia! hominem super terram habentem æqualem neminem, omnia delendi et perdendi dominum, cohibuit et refrenavit, et docuit exercere philosophiam, quam nec homo privatus exhiberet. Vere magnus Christianorum Deus, qui ex hominibus angelos facit, et omni necessitate naturali superiores constituit. Ne namque superfluum timorem illum timeas, neu toleres quosdam dicentes, reliquas civitates pejores futuras esse, hac non punita, et imperium tuum magis contemturas. Si enim ad ultionem infirmus fuisses, et hæc operati te vi superassent, et par esset potentia, congruenter hæc su-

εἰ δὲ κατεπτηχασι καὶ προαπέθανον τῷ δέει, καὶ πρὸς τοὺς πόδας ἔδραμον τοὺς σοὺς δι' ἐμοῦ, καὶ οὐδὲν ἕτερον καθ' ἑκάστην προσδοκῶσι τὴν ἡμέραν ἢ τὸ βάραθρον, καὶ λιτὰς ποιοῦνται κοινὰς, εἰς τὸν οὐρανὸν βλέποντες καὶ τὸν Θεὸν παρακαλοῦντες ἐλθεῖν καὶ συνεφάψασθαι τῆς αὐτῆς ἡμῖν πρεσβείας, καὶ καθάπερ οἱ πρὸς τὰς ἐσχάτας ὄντες ἀναπνοὰς, περὶ τῶν οἰκείων ἕκαστος ἐπέσκηψε τῶν ἑαυτοῦ, πῶς οὐ περιττὸν τοῦτο τὸ δέος; Οὐκ ἂν, εἰ σφαγῆναι ἐκελεύσθησαν, τοσαῦτα ἂν ἔπαθον, ὅσα πάσχουσι νῦν ἡμέρας τοσαύτας φόβῳ καὶ τρόμῳ συζῶντες, καὶ ἑσπέρας καταλαβούσης οὐ προσδοκῶντες ὄψεσθαι τὴν ἕω, καὶ ἡμέρας γενομένης οὐκ ἐλπίζουσιν εἰς ἑσπέραν ἀφίξεσθαι. Πολλοὶ καὶ θηρίοις ἐνέπεσον τὰς ἐρήμους διώκοντες, πρὸς τόπους ἀβάτους μετοικισθέντες, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ παιδία μικρὰ καὶ γυναῖκες ἐλεύθεραι καὶ εὐσχήμονες πολλὰς νύκτας καὶ ἡμέρας ἐν σπηλαίοις καὶ φάραγξι καὶ ταῖς ὀπαῖς καταικρυπτόμεναι τῆς ἐρήμου. Καὶ καινὸς αἰχμαλωσίας κατέχει τὴν πόλιν τρόπος· τῶν γὰρ οἰκοδομημάτων καὶ τῶν τειχῶν ἑστηκότων χαλεπώτερα τῶν ἐμπρησθεισῶν πάσχουσι πόλεων· οὐδενὸς βαρβάρου παρόντος οὐδὲ πολεμίου φαινομένου ἀθλιώτερον τῶν ἁλόντων διάκεινται, καὶ φύλλον κινούμενον μόνον πάντας αὐτοὺς ἀποσοβεῖ καθ' ἑκάστην ἡμέραν. Καὶ ταῦτα ἴσασιν ἅπαντες· καὶ εἰ κατασκαφεῖσαν αὐτὴν εἶδον, οὐκ ἂν οὕτως ἐσωφρονίσθησαν, ὡς νῦν ταύτας αὐτῆς ἀκούοντες τὰς συμφοράς. Μὴ τοίνυν τοῦτο νομίσῃς, ὡς χείρους ἔσονται αἱ λοιπαὶ πόλεις. Οὐκ ἂν, εἰ κατέσκαψας τὰς πόλεις, οὕτως αὐτὰς ἐσωφρόνισας, ὡς νῦν διὰ τῆς ἀδήλου τῶν ἐσομένων προσδοκίας σφοδρότερον πάσης κολάσεως ἐπαίδευσας αὐτούς. Μὴ δὴ περαιτέρω προσενέγκῃς αὐτοῖς τὰς συμφοράς, ἀλλ' ἄφες ἀναπνεῦσαι λοιπόν. Τὸ μὲν γὰρ κολάσαι τοὺς ὑπευθύνους καὶ δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων, ῥᾴδιον παντὶ καὶ εὔκολον· τὸ δὲ φεῖσασθαι τῶν ὑβρικότων, καὶ συγγνώμην δοῦναι τοῖς ἀσυγγνωστα ἡμαρτηκόσιν, ἑνός που καὶ δευτέρου μόλις ἐστὶ, καὶ μάλιστα ὅταν βασιλεὺς ὁ ὑβρισμένος ᾖ· καὶ τὸ φόβῳ δὲ ὑποτάξαι πόλιν εὔκολον, τὸ δὲ πάντας ἐραστὰς καταστῆσαι καὶ μετ' εὐνοίας πεῖσαι διακεῖσθαι περὶ τὴν βασιλείαν τὴν σὴν, καὶ μὴ μόνον κοινὰς, ἀλλὰ καὶ ἰδίας ὑπὲρ τῆς σῆς ἀρχῆς ποιεῖσθαι εὐχὰς, δυσκατόρθωτον· κἂν μυρία τις ἀναλώσῃ χρήματα, κἂν μυρία κινήσῃ στρατεύματα, κἂν ὁτιοῦν ἐργάσηται, οὐκ εὐκόλως τοσούτων ἀνθρώπων διάθεσιν πρὸς ἑαυτὸν ἐπισπάσασθαι δυνήσεται· ὃ νῦν ῥᾴδιον ἔσται καὶ εὔκολον· οἵ τε γὰρ εὐεργετηθέντες οἵ τε ἀκούσαντες ὁμοίως τοῖς εὐεργετηθεῖσι περὶ σὲ διακείσονται. Πόσων ἂν ἐπρίω πόνων, πόσων ἂν ἐπρίω χρημάτων ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν ἀνακτήσασθαι, καὶ πεῖσαι τούς τε νῦν ὄντας ἀνθρώπους τούς τε ἐσομένους ἅπαντας ὅσα τοῖς αὐτῶν εὔχονται παισὶ, τοσαῦτα καὶ τῇ σῇ κεφαλῇ; Εἰ δὲ παρὰ ἀνθρώπων ταῦτα, ἐννόησον ὅσον παρὰ τοῦ Θεοῦ λήψῃ μισθὸν

spicari oportebat : si vero pavefacti præque timore præmortui sunt, et ad tuos per me cucurrere pedes, nec aliud quotidie exspectant quam barathrum, et supplicationes faciunt communes in cælum respicientes, et Deum venire supplicant et simul nobiscum legationem obire, et sicut in extremis constituti, de rebus suis singuli consulunt : quomodo non superfluus hic timor? Si jugulari fuissent jussi, tanta passi non fuissent, quanta patiuntur nunc, per tot dies in timore et tremore viventes, et superveniente vespere, auroram videre non exspectantes; et die orto ad vesperam pervenire non sperant. Multi et in feras inciderunt, dum sectantur deserta, in invia translati, nec viri tantum, verum et pueruli parvi, et mulieres liberæ et decoræ per multas noctes et dies in speluncis et convallibus et deserti foraminibus latentes. Et novus captivitatis modus civitatem detinet : aditiciis et muris stantibus, incensis civitatibus graviora patiuntur; nulla incumbente barbaro, nec hoste apparente, captis miserius affecti sunt, et vel folium si moveatur, omnes ipsos per singulos terret dies. Hæc omnes sciunt : et si subversam ipsam vidissent, non sic essent castigati, ut nunc cum has ipsius audiere miserias. Ne igitur hoc cogites, pejores futuras esse civitates reliquas. Non enim si everlisses civitates, sic eas castigasses, ut nunc per incertam futurorum exspectationem omni supplicio vehementius ipsos punis. Ne igitur ipsis ulterius calamitates producas, sed jam respirare concedas. Subditos nempe castigare et gestorum exigere pœnas, facile omni et promptum; iis vero qui contumelias intulerunt, parcere, et iis qui veniâ indigna patraverunt, veniam dare, unius et vix alterius est, et maxime cum Imperator sit contumeliam passus. Et civitatem quidem metu subdere facile; omnes autem sui amantes constituere, iisque persuadere ut in regnum tuum se benevole habeant, et non tantum communes, verum et privatas pro tuo preces imperio fundant, difficile : licet infinitas quis expendat pecunias, et innumeros exercitus moveat, et quidquid operetur, non facile tot hominum affectum ad se ipsum attrahere poterit; quod nunc tibi facile erit et nullius negotii. Nam et beneficiis affecti, et qui audierint pariter cum iis qui beneficia acceperint, erga te benevole afficientur. Quot laboribus emisses, quot emisses pecuniis, brevi temporis momento totum orbem acquirere, et omnibus qui nunc sunt futurisque persuadere, ut quanta filiis suis optant, tanta et capiti tuo optarent? Si autem ab hominibus hæc, cogita quantam a Deo capies

οὐχὶ τῶν νῦν γινομένων μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα παρ' ἑτέρων κατορθουμένων. Εἰ γάρ ποτε συμβαίη γενέσθαι τοιοῦτον δὴ οἷον γέγονε νῦν, ὃ μὴ γένοιτο, καί τινες τῶν ὑβρισμένων βουλεύσονται ἐπεξελθεῖν τοῖς ὑβρικόσιν, ἡ πραότης ἡ σὴ καὶ ἡ φιλοσοφία ἀντὶ πάσης ἔσται διδασκαλίας αὐτοῖς καὶ παραινέσεως, καὶ ἐρυθριάσουσι καὶ αἰσχυνθήσονται, τοιοῦτον ἔχοντες φιλοσοφίας παράδειγμα, ἐλάττους φανῆναι. Ὥστε τῶν μετὰ ταῦτα πάντων ἔσῃ διδάσκαλος, καὶ τὰ νικητήρια κατ' αὐτῶν ἕξεις, κἂν εἰς αὐτὴν τὴν κορυφὴν τῆς φιλοσοφίας φθάσωσιν. Οὐ γάρ ἐστιν ἴσον αὐτὸν καταρξαι τοσαύτης πραότητος πρῶτον, καὶ πρὸς ἑτέρους βλέποντα μιμήσασθαι τὰ παρ' ἐκείνων κατορθωθέντα. Διὰ τοῦτο ὅσην ἂν οἱ μετὰ σὲ φιλανθρωπίαν καὶ ἡμερότητα ἐπιδείξωνται, σὺ λήψῃ τὸν μισθὸν μετ' ἐκείνων· ὁ γὰρ τὴν ῥίζαν παρασχών, οὗτος ἂν εἴη καὶ τῶν καρπῶν αἴτιος. Διὰ τοῦτο μετὰ σοῦ μὲν οὐδεὶς δύναται μερίζεσθαι νῦν τὸν ἐπὶ τῇ φιλανθρωπίᾳ μισθόν· σὸν γὰρ τὸ κατόρθωμα γέγονε μόνον· σὺ δὲ μετὰ πάντων τῶν μετὰ ταῦτα, εἴ τινές ποτε τοιοῦτοι φανεῖεν, ἐξ ἴσης δυνήσῃ μετ' αὐτῶν διανείμασθαι τὸ κατόρθωμα, καὶ τοσαύτην ἀπενέγκασθαι μοῖραν, ὅσην ἐπὶ μαθηταῖς οἱ διδάσκαλοι· κἂν μηδεὶς γένηται τοιοῦτος, πάλιν σοι τὰ τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων καθ' ἑκάστην ἐπιδίδωσι τὴν γενεάν. Ἔννόησον γὰρ ἡλίκον ἐστὶ τοὺς μετὰ ταῦτα πάντας ἀκούειν ὅτι πόλεως οὕτω μεγάλης ὑπευθύνου κολάσει καὶ τιμωρίᾳ γενομένης, πεφρικότων ἁπάντων, καὶ δεδοικότων στρατηγῶν καὶ ὑπάρχων καὶ δικαστῶν καὶ οὐδὲ φωνὴν ῥῆξαι τολμώντων ὑπὲρ τῶν ἀθλίων ἐκείνων, εἷς παρελθὼν πρεσβύτης τοῦ Θεοῦ τὴν ἱερωσύνην ἐγχειρισμένος ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς καὶ ψιλῆς τῆς συντυχίας ἐνέτρεψε τὸν κρατοῦντα· καὶ ὃ μηδενὶ τῶν ὑπ' αὐτὸν ἐχαρίσατο, ἑνὶ γέροντι τοῦτο ἔδωκε τοὺς τοῦ Θεοῦ νόμους αἰδεσθείς. Καὶ γὰρ καὶ τούτῳ αὐτῷ οὐ μικρῶς σε, ὦ βασιλεῦ, τετίμηκεν ἡ πόλις, ἐμὲ πρὸς τὴν πρεσβείαν ταύτην ἀποστείλασα· ψῆφον γὰρ ἀρίστην ἐξήνεγκαν περὶ σοῦ καὶ καλλίστην, ὅτι τῆς ἀρχῆς ἁπάσης τῆς ὑπὸ σὲ κειμένης τοῦ Θεοῦ τοὺς ἱερέας προτιμᾷς, κἂν εὐτελεῖς ὄντες τύχωσιν. Οὐ παρ' ἐκείνων δὲ ἥκω νῦν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων παρὰ τοῦ κοινοῦ τῶν ἀγγέλων ἀπέσταλμαι Δεσπότου, ταῦτα εἰπεῖν πρὸς τὴν σὴν ἡμερωτάτην καὶ πραοτάτην ψυχήν, ὅτι Ἂν ἀφῆτε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ Πατὴρ ὁ οὐράνιος ἀφήσει ὑμῖν [τὰ παραπτώματα ὑμῶν]. Ἀναμνήσθητι τοίνυν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἅπαντες δίκην δώσομεν περὶ τῶν πεπραγμένων· ἔννόησον ὅτι, εἰ καί τί σοι ἡμάρτηται, πάντα ἀπαλείψασθαι δυνήσῃ τὰ πλημμελήματα διὰ τῆς ψήφου καὶ τῆς γνώμης ταύτης, χωρὶς πόνων, χωρὶς ἱδρώτων. Ἄλλοι μὲν οὖν πρεσβευόμενοι χρυσίον καὶ ἀργύριον καὶ ἕτερα τοιαῦτα δῶρα κομίζουσιν· ἐγὼ δὲ μετὰ τῶν ἱερῶν πρὸς τὴν σὴν βασιλείαν ἀφῖγμαι νόμων, καὶ ἀντὶ δώρων ἁπάντων τούτους προτείνω· καὶ παρακαλῶ σε μιμήσασθαι

mercedem, non tantum eorum quæ nunc fiunt, verum et quæ post hæc ab aliis peragentur. Si umquam enim contingat fieri tale quid, quale nunc factum est, quod Deus avertat, et injuriam passorum aliqui in contumeliam operatos insurgere velint, benignitas et philosophia tua pro omni ipsis erit disciplina et admonitione : rubore pudoreque afficientur, tale disciplinæ exemplum habentes, inferiores apparere. Itaque omnium posterorum eris præceptor, et palmam ipsis præripies, licet ad ipsum philosophiæ verticem perveniant. Non enim par est, quempiam tantam incipere benignitatem primum, et ad alios respicientem eorum acta imitari. Quocirca quicumque post te humanitatem et mansuetudinem quantamcumque exhibuerint, tu cum illis mercedem accipies; qui enim radicem præbuit, hic utique et fructuum auctor est. Propterea nunc quidem nemo tecum humanitatis mercedem partiri potest : tuum enim solius meritum est : tu vero cum omnibus posteris, si qui tales unquam appareant, ex æquo meritum dividere poteris, et tantam reportare partem, quantam in discipulis præceptores : et si nemo talis fuerit, rursum tibi commendationes et laudes per singulas proveniunt generationes. Considera namque quale sit posteros omnes audire, quod tam magna civitate pœnæ et ultioni obnoxia, pavefactis omnibus, et territis ducibus, præfectis et judicibus, ac ne vocem quidem pro miseris filiis emittere audentibus, unus accedens senex Dei sacerdotium gerens, ex ipso aspectu solo et colloquio ad reverentiam imperatorem movit : et quod nemini suorum subditorum concessit, uni hoc seni concessit, Dei leges reveritus. Etenim hoc quoque ipso non parum te, imperator, civitas honoravit, quod me ad te legatum miserit; sententiam enim de te optimam et pulcherrimam protulerunt, quod omni principatui tibi subjecto Dei sacerdotes anteponas, etsi viles esse contingat. Non ab illis vero tantum nunc venio, verum et ante illos a communi angelorum Domino missus sum, ut hæc dicam mitissimæ ac benignissimæ animæ tuæ : Quodsi hominibus ipsorum debita dimittatis, et Pater cælestis vobis dimittet. Recordare igitur illius diei, quo omnes de actis rationem reddemus : cogita quod, etiam si quid in te peccatum est, omnes abluere prævaricationes per judicium et sententiam istam poteris absque laboribus, absque sudoribus. Alii nempe legati aurum et argentum et alia hujusmodi dona ferunt; ego vero cum sacris ad imperium tuum legibus veni, et pro donis omnibus has prætendo, et te Dominum tuum imitari supplico, qui quotidie a nobis contumeliam

σου τὸν Δεσπότην, ὃς καθ' ἡμέραν παρ' ἡμῶν ὑβριζόμενος, οὐ διαλιμπάνει τὰ παρ' ἑαυτοῦ χορηγῶν ἅπασι· καὶ μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας, μηδὲ ἐλέγξῃς τὰς ὑποσχέσεις. Καὶ γὰρ καὶ τοῦτό σε μετὰ τῶν ἄλλων εἰδέναι βούλομαι, ὅτι εἰ μὲν βουληθείης καταλλαγῆναι καὶ τῆς προτέρας εὐνοίας μεταδοῦναι τῇ πόλει καὶ τὴν ὀργὴν ἀφεῖναι τὴν δικαίαν ταύτην, μετὰ πολλῆς ἀπελεύσομαι τῆς παῤῥησίας· εἰ δὲ ἐκβάλοις τὴν πόλιν τῆς διανοίας τῆς σῆς, οὐ μόνον οὐκ ἐπιβήσομαι οὐδὲ ὄψομαι αὐτῆς τὸ ἔδαφος, ἀλλὰ καὶ ἀρνήσομαι αὐτὴν καθάπαξ λοιπὸν, καὶ εἰς ἑτέραν ἐμαυτὸν ἐγγράψω πόλιν. Μὴ γάρ μοι γένοιτο πατρίδα ἐπιγράψασθαί ποτε ἐκείνην, πρὸς ἣν ὁ φιλανθρωπότατος σὺ καὶ πάντων ἀνθρώπων ἡμερώτατος οὐκ ἂν ἕλοιο σπείσασθαι καὶ καταλλαγῆναι.

Ταῦτα καὶ πλείονα τούτων εἰπὼν οὕτω τὸν βασιλέα συνέχεεν, ὡς ταὐτὸν γενέσθαι ὅπερ ἐπὶ τοῦ Ἰωσὴφ συνέβη γενέσθαι ποτέ. Καθάπερ γὰρ ἐκεῖνος τότε τοὺς ἀδελφοὺς ἰδὼν ἐβούλετο μὲν δακρύειν, ἔστεγε δὲ τὸ πάθος, ὥστε μὴ διαφθεῖραι τὴν ὑπόκρισιν· οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐδάκρυε μὲν κατὰ διάνοιαν, οὐκ ἐδείκνυτο δὲ διὰ τοὺς παρόντας ἅπαντας· οὐ μὴν ἴσχυσεν εἰς τέλος κρύψαι τὸ πάθος, ἀλλὰ καὶ ἄκων ἠλέγχετο. Μετὰ γὰρ τὴν δημηγορίαν ταύτην οὐκ ἐδεήθη ῥημάτων δευτέρων, ἀλλ' ἓν μόνον ἐφθέγξατο ῥῆμα, ὃ τοῦ διαῤῥήματος αὐτὸν πολλῷ μειζόνως ἐκόσμησε. Τί δὲ τοῦτό ἐστι; Καὶ τί θαυμαστὸν καὶ μέγα, φησὶν, εἰ τοῖς ὑβρικόσιν ἀφήσομεν τὴν ὀργὴν ἀνθρώποις οὖσιν ἄνθρωποι καὶ αὐτοὶ τυγχάνοντες, ὅπου γε ὁ τῆς οἰκουμένης Δεσπότης ἐπὶ γῆς ἐλθὼν καὶ δι' ἡμᾶς γενόμενος δοῦλος καὶ παρὰ τῶν εὐεργετηθέντων σταυρωθεὶς ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλει τὸν Πατέρα λέγων, « Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι »· τί τοίνυν θαυμαστὸν, εἰ τοῖς ὁμοδούλοις καὶ ἡμεῖς ἀφήσομεν; Καὶ ὅτι ταῦτα τὰ ῥήματα οὐχ ὑπόκρισις ἦν, ἔδειξε μὲν καὶ τὰ γεγενημένα ἅπαντα, οὐκ ἔλαττον δὲ τούτων καὶ τοῦτο ὃ μέλλω νῦν ἐρεῖν· αὐτὸν γὰρ τὸν ἱερέα τοῦτον βουλόμενον ἐκεῖ κοινῇ μετ' αὐτοῦ τὴν ἑορτὴν ἐπιτελέσαι ταύτην, ἄκοντα κατηνάγκασε κατεπείγεσθαι καὶ σπεῦσαι καὶ τοῖς πολίταις φανῆναι. Οἶδα, φησὶν, ὅτι νῦν αὐτῶν εἰσιν αἱ ψυχαὶ δεδονημέναι, καὶ πολλὰ τῆς συμφορᾶς τὰ λείψανα· ἄπελθε, παράκλεσον· ἂν ἴδωσι τὸν κυβερνήτην, οὐδὲ τοῦ παρελθόντος μεμνήσονται χειμῶνος, ἀλλὰ καὶ τὴν μνήμην αὐτὴν ἐξαλείψουσι τῶν λυπηρῶν ἅπασαν. Ὡς δὲ ἐπέκειτο ὁ ἱερεὺς, ἀξιῶν τὸν υἱὸν πέμψαι τὸν ἑαυτοῦ, βουλόμενος ἐκεῖνος δεῖξαι σαφῶς ὡς πᾶσαν καθόλου τῆς διανοίας ἐξήλειψε τὴν ὀργὴν, Εὔξασθε, φησὶ, ταῦτα ἀναιρεθῆναι τὰ κωλύματα, σβεσθῆναι τοὺς πολέμους τούτους, καὶ αὐτὸς ἀφίξομαι πάντως. Τί τῆς ψυχῆς ἐκείνης ἡμερώτερον γένοιτ' ἄν; Αἰσχυνέσθωσαν Ἕλληνες λοιπόν· μᾶλλον δὲ μὴ αἰσχυνέσθωσαν, ἀλλὰ παιδευέσθωσαν, καὶ τὴν οἰκείαν ἀφέντες πλάνην ἐπανίτωσαν πρὸς τὴν τοῦ χριστιανισμοῦ δύναμιν, ἀπὸ τοῦ βασιλέως,

patiens non cessat bona sua omnibus ministrare. Et ne confundas spem nostram, neu promissiones irritas facias: etenim et hoc cum aliis te scire volo, quod si reconciliari velis et pristinam civitati benevolentiam communicare, et hanc remittere justam indignationem, cum multa revertar fiducia; si vero mente tua civitatem asperneris, non tantum ipsam non repetam, nec ipsius solum videbo, verum et in reliquum prorsus negabo, et in aliam me civitatem conscribam. Ne mihi namque accidat in illam umquam adscribi patriam, erga quam humanissimus tu et hominum cunctorum mitissimus pacari reconciliarique non velis.

4. Hæc et his plura loquutus, sic Imperatorem confudit, ut idem fieret, quod et in Joseph olim contigit. Sicut enim ille tunc fratres conspicatus, lacrymare quidem volebat, sed dolorem tegebat, ne simulationem proderet: sic et Imperator lacrymabat quidem mente, non demonstrabat autem, omnium qui tunc aderant causa. Nec tamen usque in finem æstum celare potuit, verum et invitus superabatur. Post hanc enim concionem secundis non opus habuit verbis, sed unum solum loquutus est verbum, quod ipsum diademate multo magis ornavit. Quid autem hoc est? Et quid admirabile et magnum est, inquit, si iis qui nos contumeliis affecerunt, iram remittamus hominibus exsistentibus, cum et ipsi homines simus; cum mundi Dominus in terram descendens, et propter nos servus factus, et a beneficio affectis crucifixus, pro crucifixoribus suis Patrem oraverit, dicens (*Luc.* 23. 34), *Ignosce illis, non enim sciunt quid faciunt?* quid igitur admirabile, si nos conservis ignoscamus? Et quod hæc verba non sint simulatio, demonstrarunt quidem et reliqua opera, nec iis minus illud quod nunc sum relaturus. Ipsum enim hunc sacerdotem secum hanc solemnitatem celebrare volentem, invitum properare et festinare coegit et se civibus exhibere. Novi, inquit, nunc ipsorum animos conturbatos, et multas superesse calamitatis reliquias; abi, consolare. Si gubernatorem viderint, nec præteritæ reminiscentur tempestatis, verum et ipsam tristium memoriam omnem delebunt. Ut autem institit pontifex petens, ut filium suum mitteret, volens ille manifeste demonstrare, se penitus iram mente delevisse: Orate, inquit, hæc auferri obstacula, hæc bella exstingui, et ego veniam omnino. Quid anima mitius illa esse possit? Confundantur gentiles de reliquo, quinimo ne confundantur, sed erudiantur, et proprium omittentes errorem ad Christianismi virtutem redeant, nostram ab Imperatore et pon-

ἀπὸ τοῦ ἱερέως μαθόντες τὴν παρ' ἡμῖν φιλοσοφίαν. Οὐδὲ γὰρ μέχρι τούτων ἔστη τότε ὁ θεοσεβέστατος βασιλεύς, ἀλλ' ἐπειδὴ καὶ τῆς πόλεως ἐξῆλθεν ὁ ἱερεὺς καὶ διέβη τὴν θάλασσαν, ἔπεμψε καὶ ἐκεῖ τινας περιεργαζόμενος καὶ πολυπραγμονῶν μή ποτε τρίβῃ τὸν χρόνον καὶ τῇ πόλει τὴν ἡδονὴν ἐξ ἡμισείας ποιῇ, ἔξω τὴν ἑορτὴν ἐπιτελῶν. Ποῖος πατὴρ ἥμερος τοσαύτην ἂν ὑπὲρ τῶν ὑβριχότων ἐποιήσατο σπουδήν;

Εἶπω τι καὶ ἕτερον τοῦ δικαίου ἐγκώμιον; Ταῦτα γὰρ ἀνύσας οὐκ ἔσπευσεν, ὡσανεί τις ἕτερος δόξης ἐρῶν, αὐτὸς τὰ γράμματα τὰ λύοντα τὴν κατήφειαν ἡμῖν ἐκείνην κομίσαι· ἀλλ' ἐπειδὴ σχολαιότερον ἐβάδιζεν, ἕτερόν τινα τῶν ἵππους ἐλαύνειν εἰδότων ἠξίωσε προλαβεῖν καὶ κομίσαι τῇ πόλει τὰ εὐαγγέλια, ὥστε μὴ τῇ μελλήσαι τῆς ἐπανόδου τῆς ἑαυτοῦ τὴν ἀθυμίαν ἐπιταθῆναι. Τὸ γὰρ σπουδαζόμενον αὐτῷ μόνον ἦν, οὐχ ὅπως αὐτὸς ἔλθοι φέρων τὰ χρηστὰ ταῦτα καὶ πολλῆς ἡδονῆς γέμοντα, ἀλλ' ὅπως ἡμῖν ταχέως ἡ πατρὶς ἀναπνεύσειεν. Ὥσπερ οὖν τότε ἐποιήσατε στεφανώσαντες τὴν ἀγορὰν καὶ λύχνους ἅψαντες καὶ στιβάδας πρὸ τῶν ἐργαστηρίων συνθέντες, καὶ ὥσπερ ἄρτι τῆς πόλεως τεχθείσης, οὕτω πανηγυρίσαντες, τοῦτο ἑτέρως διὰ παντὸς ποιεῖτε τοῦ χρόνου, μὴ τοῖς ἄνθεσιν, ἀλλ' ἀρετῇ στεφανούμενοι, τὸ φῶς τὸ ἀπὸ τῶν ἔργων ἅπτοντες κατὰ τὴν ψυχὴν τὴν ὑμετέραν, εὐφροσύνην εὐφραινόμενοι πνευματικήν, καὶ τῷ Θεῷ διηνεκῶς ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες μὴ διαλείπωμεν, μηδ' ὅτι μόνον ἔλυσε τὰ δεινά, ἀλλ' ὅτι καὶ συνεχώρησεν αὐτὰ γενέσθαι (καὶ) πολλὴν αὐτῷ χάριν ὁμολογῶμεν· ὁ' ἀμφοτέρων γὰρ ἡμῖν τὴν πόλιν ἐκόσμησε. Ταῦτα δὲ πάντα κατὰ τὸ προφητικὸν λόγιον ἀναγγείλατε τοῖς τέκνοις ὑμῶν, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, κἀκεῖνοι πάλιν εἰς γενεὰν ἑτέραν, ἵνα ἅπαντες οἱ μέχρι τῆς συντελείας γινόμενοι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ἐπὶ τῇ πόλει γεγενημένην μαθόντες, μακαρίζωσι μὲν ἡμᾶς τοὺς τοσαύτης ἀπολαύσαντας εὐνοίας, θαυμάσωσι δὲ ἡμῶν τὸν δεσπότην τὸν οὕτω καταπίπτουσαν τὴν πόλιν ἀναστήσαντα, κερδάνωσι δὲ καὶ αὐτοὶ διὰ πάντων τῶν γεγενημένων πρὸς εὐλάβειαν συνωθούμενοι. Οὐ γὰρ δὴ μόνον ἡμᾶς, εἰ μνημονεύοιμεν αὐτῶν διηνεκῶς, ἀλλὰ καὶ τοὺς μεθ' ἡμᾶς γινομένους τὰ μέγιστα τῶν συμβάντων ἡμῖν ἡ ἱστορία ὠφελῆσαι δυνήσεται. Ἅπερ οὖν ἅπαντα λογιζόμενοι μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῇ συγχωρήσει τῶν δεινῶν εὐχαριστῶμεν ἀεὶ τῷ φιλανθρώπῳ Θεῷ, ἀπό τε τῶν θείων Γραφῶν, ἀπό τε τῶν ἡμῖν συμβάντων αὐτὸ δὴ τοῦτο μαθόντες, ὡς ἅπαντα ἀεὶ πρὸς τὸ δέον ἡμῖν οἰκονομεῖ μετὰ τῆς αὐτῷ πρεπούσης φιλανθρωπίας· ἧς γένοιτο διηνεκῶς ἡμᾶς ἀπολαύοντας καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, κτλ.

fice docti philosophiam. Non enim hactenus tunc substitit piissimus Imperator, sed et postquam ex urbe sacerdos exivit, et pertransiit mare, misit ad eum quosdam, sciscitans et satagens, ne forte tempus tereret et civitati voluptatem diminueret, extra urbem solemnitatem peragens. Quis pater mitis tantam de contumeliam inferentibus curam egit?

Dicam et aliam justi laudem? His enim expeditis non festinavit, ut alius gloriæ cupidus, ipse literas illam tristitiam solventes deferre; sed quoniam lentius ibat, alium quemdam velociter equitare doctum se prævertere rogavit, et bona civitati nuntia afferre, ne ex reditus sui tardatione tristitia prolongaretur. Quod enim ipse quærebat, solum erat, non ut ipse veniret bona hæc deferens voluptatis multæ plena, sed ut «cyus nobis patria respiraret. Quod igitur tunc fecistis, forum coronantes, et lucernas accendentes, et lectos ante officinas componentes, et tamquam nuper civitate nata, festum agentes, hoc aliter per omne facite tempus, non floribus, sed virtute vos coronantes, lumen per opera in anima vestra accendentes, spirituali gaudentes lætitia, et Deo assidue pro his omnibus gratias agere non desinamus: non tantum quoniam gravia solvit, verum quoniam et fieri ipsa permisit, ei multum ipsi nos debere confiteamur; per utraque enim nobis civitatem ornavit. Hæc autem omnia, secundum propheticum eloquium (*Joel* 1. 3), filiis vestris annuntiate, et filii vestri filiis suis, et filii rursum generationi posteræ, ut omnes qui usque ad consummationem futuri sunt, Dei humanitatem civitati exhibitam discentes, nos quidem beatificent tantam nactos benevolentiam; admirentur autem et dominum nostrum, qui sic lapsam civitatem relevavit; lucrentur et ipsi, perque talium gestorum exempla ad pietatem impellantur: non enim nos tantum, si ipsorum semper recordemur, verum et posteros, eorum quæ nobis evenerunt narratio maxime juvare poterit. Quæ omnia ratiocinantes, non tantum in gravium solutione, verum et in horum permissione semper clementissimo Deo gratias agamus, tum ex divinis Scripturis, tum ex iis quæ nobis acciderunt, edocti eum omnia semper ad utilitatem nostram dispensare cum benignitate ipsi convenienti: qua nos semper fruentes, cælorum quoque regnum assequi contingat, etc.

ΚΑΤΗΧΗΣΙΣ ΠΡΩΤΗ.

Πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, καὶ διὰ τί λουτρὸν παλιγγενεσίας καὶ οὐκ ἀφέσεως ἁμαρτημάτων λέγεται, καὶ ὅτι ἐπικίνδυνον οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν, κἂν εὐορκῶμεν.

1 Ὡς ποθεινὸς καὶ ἐπέραστος τῶν νέων ἡμῖν ἀδελφῶν ὁ χόρος· ἀδελφοὺς γὰρ ὑμᾶς ἐγὼ καὶ πρὸ τῶν ὠδίνων ἤδη καλῶ, καὶ πρὸ τοῦ τόκου τὴν συγγένειαν τὴν πρὸς ὑμᾶς ἀσπάζομαι. Οἶδα γάρ, οἶδα σαφῶς εἰς ὅσην μὲν ἄγεσθαι μέλλετε τιμὴν, εἰς ὅσην δὲ ἀρχήν· τοὺς δὲ ἀρχὴν μέλλοντας λαμβάνειν καὶ πρὸ τῆς ἀρχῆς εἰώθασι τιμᾷν ἅπαντες, διὰ τῆς θεραπείας εὔνοιαν ἑαυτοῖς προαποτιθέμενοι πρὸς τὸ μέλλον. Τοῦτο δὲ καὶ αὐτὸς ποιῶ νῦν· οὐ γὰρ εἰς ἀρχὴν ἄγεσθαι μέλλετε ψιλὴν, ἀλλ' εἰς βασιλείαν αὐτήν· μᾶλλον δὲ οὐκ εἰς βασιλείαν ἁπλῶς, ἀλλ' εἰς αὐτὴν τῶν οὐρανῶν τὴν βασιλείαν. Διὰ τοῦτο ὑμῶν δέομαι καὶ ἀντιβολῶ, ἵνα μνησθῆτέ μου ὅταν ἔλθητε εἰς τὴν βασιλείαν ἐκείνην, καὶ ὅπερ ὁ Ἰωσὴφ ἔλεγε πρὸς τὸν ἀρχιοινοχόον, « Μνήσθητί μου ὅταν εὖ σοι γένηται », τοῦτο κἀγὼ λέγω πρὸς ὑμᾶς ἄρτι· ἀναμνήσθητέ μου ὅταν εὖ ὑμῖν γένηται. Οὐκ ἐνυπνίων ταύτην ἀπαιτῶ τὴν ἀμοιβὴν, καθάπερ ἐκεῖνος· οὐ γὰρ ὀνείρατα ἦλθον διαλῦσαι ὑμῖν, ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς διηγησόμενος πράγματα, καὶ εὐαγγέλια κομίζων ἀγαθῶν τοιούτων, « οἷα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη »· τοιαῦτά ἐστιν « ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ὁ μὲν οὖν Ἰωσὴφ ἔλεγε πρὸς τὸν οἰνοχόον ἐκεῖνον, « Ἔτι τρεῖς ἡμέραι, καὶ ἀποκαταστήσει σε Φαραὼ εἰς τὴν ἀρχιοινοχοΐαν σου »· ἐγὼ δὲ οὐ λέγω, Ἔτι τρεῖς ἡμέραι, καὶ εἰς οἰνοχοΐαν ἐνεχθήσεσθε τυράννου· ἀλλ' Ἔτι τριάκοντα ἡμέραι, καὶ ἀποκαταστήσει ὑμᾶς οὐχὶ Φαραὼ, ἀλλ' ὁ τῶν οὐρανῶν βασιλεὺς εἰς τὴν ἄνω πατρίδα, εἰς τὴν ἐλευθέραν Ἱερουσαλὴμ, εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς. Κἀκεῖνος μὲν ἔλεγεν ὅτι « Δώσεις τὸ ποτήριον εἰς χεῖρας τοῦ Φαραώ »· ἐγὼ δὲ οὐ λέγω ὅτι Δώσετε τὸ ποτήριον εἰς τὰς χεῖρας τοῦ βασιλέως, ἀλλ' ὅτι Αὐτὸς ὁ βασιλεὺς εἰς χεῖρα τὴν ὑμετέραν δώσει τὸ ποτήριον τὸ φρικτὸν καὶ πολλῆς γέμον δυνάμεως καὶ τῆς κτίσεως τιμιώτερον ἑκατέρας. Ἴσασιν οἱ μεμυημένοι τοῦ ποτηρίου τούτου τὴν ἰσχύν, εἴσεσθε δὲ καὶ ὑμεῖς μικρὸν ὕστερον. Μνήσθητε οὖν, ὅταν ἔλθητε εἰς τὴν βασιλείαν ἐκείνην, ὅταν τὸ ἱμάτιον τὸ βασιλικὸν ἀπολάβητε, ὅταν τὴν πορφύραν περιβάλησθε τὴν αἵματι βαφεῖσαν δεσποτικῷ, ὅταν διάδημα ἀναδήσησθε τῶν ἡλιακῶν ἀκτίνων φαιδροτέρας ἔχον πανταχόθεν ἐκπηδώσας λαμπηδόνας. Τοιαῦτα γὰρ τοῦ νυμφίου τὰ δῶρα, μείζονα μὲν τῆς ἡμετέρας ἀξίας, ἄξια δὲ τῆς αὐτοῦ φιλανθρωπίας· διὰ ταῦτα ὑμᾶς ἐντεῦθεν ἤδη καὶ πρὸ τῶν ἱερῶν ἐκείνων μακαρίζω παστάδων· οὐ μακαρίζω δὲ μόνον, ἀλλὰ καὶ ἐπαινῶ τὴν εὐγνωμοσύνην, ὅτι μὴ καθάπερ οἱ ῥᾳθυμότεροι τῶν ἀνθρώπων,

CATECHESIS PRIMA.

Ad illuminandos et cur lavacrum regenerationis, non autem remissionis peccatorum dicatur : quodque periculosum sit, non modo pejerare, sed etiam jurare, etiamsi recte juremus.

1. Quam desiderabilis amabilisque nobis est juvenum fratrum chorus! vos enim fratres vel ante partum voco, eorumque qui nondum nati sunt cognationem amplector. Novi quippe, novi clare, quantum honorem adituri sitis, quantum principatum. Eos autem qui principatum accepturi sunt, vel antequam accipiant, solent omnes honorare, ut hujusmodi obsequio eorum sibi benevolentiam ad futurum commodum capient. Hoc et ego facio; non solum enim ad principatum, sed ad ipsum regnum promovebimini; imo non ad regnum simpliciter, sed ad regnum cælorum. Quamobrem oro vos atque supplico, ut cum ad regnum illud perveneritis, mei reminiscamini, quodque Joseph pincernarum principi dicebat (*Gen.* 40. 14), *Memento mei cum bene tibi fuerit*, id et nunc dico vobis : Mementote mei cum bene vobis fuerit. Non somniorum hanc ut ille interpretationis mercedem postulo : non enim vobis somniorum interpres accessi, sed cælestia narraturus, annunciaturusque bona illa (1. *Cor.* 2. 9), *Quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt* : talia sunt ea, *Quæ præparavit Deus diligentibus se*. Joseph quidem pincernæ illi dicebat (*Gen.* 40. 12. 13), *Adhuc triduum, et restituet te Pharao in principatum pincernarum* : ego vero non dico, Adhuc triduum, et pincernæ tyranni constituemini; sed, Adhuc triginta dies, et restituet vos, non Pharao, sed cælorum Rex in supernam patriam, in Jerusalem illam liberam, in civitatem cælestem. Ille dicebat, *Dabis calicem in manus Pharaonis*; ego vero non dico : Dabitis calicem in manus regis; sed, Ipse Rex in manum vobis tradet calicem illum horrendum, multa plenum virtute atque utraque creatura pretiosiorem. Sciunt initiati calicis hujus virtutem, vosque paulo post scietis. Mementote igitur mei, cum veneritis in regnum illud, cum regale vestimentum acceperitis, cum purpura Dominico sanguine tincta induemini, cum diademate illo redimiti eritis, cujus fulgor undique emicans solaribus radiis splendidior est. Talia quippe sunt sponsi munera, majora quidem dignitate nostra, sed ipsius benignitate digna. Ideo jam nunc vos, antequam in sacrum illum thalamum ingrediamini, beatos prædico : nec beatos solum prædico, sed etiam laudo gratum vestrum animum, quod

ἐν ἐσχάταις ἀναπνοαῖς τῷ φωτίσματι προσήλθετε, ἀλλ' ἐντεῦθεν ἤδη, καθάπερ οἰκέται εὐγνώμονες, μετὰ πολλῆς εὐνοίας ὑπακοῦσαι Δεσπότῃ παρεσκευασμένοι, τὸν αὐχένα τῆς ψυχῆς μετὰ πολλῆς ἐπιεικείας τε καὶ προθυμίας ὑπὸ τὴν ζεύγλην ἠγάγετε τοῦ Χριστοῦ, καὶ τὸν ζυγὸν ἐδέξασθε τὸν χρηστὸν, καὶ τὸ φορτίον ἐλάβετε τὸ ἐλαφρόν.

Εἰ γὰρ καὶ τὰ τῆς χάριτος ἴσα ὑμῖν καὶ τοῖς ἐν τῇ τελευτῇ μυσταγωγουμένοις, ἀλλὰ τὰ τῆς προαιρέσεως οὐκ ἴσα, οὐδὲ τὰ τῆς παρασκευῆς τῶν πραγμάτων. Ἐκεῖνοι μὲν γὰρ ἐν τῇ κλίνῃ λαμβάνουσιν, ὑμεῖς δὲ ἐν τοῖς κόλποις τῆς Ἐκκλησίας τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός· κἀκεῖνοι μὲν ὀδυρόμενοι καὶ δακρύοντες, ὑμεῖς δὲ χαίροντες καὶ εὐφραινόμενοι· ἐκεῖνοι στένοντες, ὑμεῖς δὲ εὐχαριστοῦντες· κἀκεῖνοι μὲν πολλῷ κεκαρωμένοι τῷ πυρετῷ, ὑμεῖς δὲ πολλῆς ἐμπεπλησμένοι τῆς πνευματικῆς ἡδονῆς. Ὅθεν ἐνταῦθα μὲν ἅπαντα σύμφωνα τῇ ὥρᾳ, ἐκεῖ δὲ πάντα ἐναντία τῇ ὥρᾳ· καὶ γὰρ θρῆνος καὶ ὀδυρμὸς πολὺς μυσταγωγουμένων αὐτῶν, καὶ παιδία περίστηται κλαίοντα, καὶ γυνὴ τὰς παρειὰς καταξαίνουσα, καὶ φίλοι κατηφεῖς, καὶ οἰκέται δακρύων γέμοντες· ὅλον τὸ τῆς οἰκίας σχῆμα χειμερινήν τινα καὶ ζοφώδη μιμεῖται ἡμέραν· ἐὰν δὲ αὐτὴν τοῦ κατακειμένου τὴν καρδίαν ἀναπτύξῃς, σκυθρωποτέραν τούτων εὑρήσεις. Καθάπερ γὰρ ἄνεμοι μετὰ πολλῆς τῆς ῥύμης ἐξ ἐναντίας ἀλλήλοις ἐμβάλλοντες εἰς πολλὰ τὸ πέλαγος διατέμνουσι μέρη, οὕτω καὶ οἱ λογισμοὶ τῶν τότε κατεχόντων δεινῶν εἰς τὴν τοῦ κάμνοντος ἐμπίπτοντες ψυχὴν, εἰς πολλὰς τὴν ἐκείνου διάνοιαν σχίζουσι φροντίδας. Ὅταν εἰς τὰ παιδία ἀπίδῃ, τὴν ὀρφανίαν αὐτῶν ἐννοεῖ· ὅταν πρὸς τὴν γυναῖκα ἀποβλέψῃ, τὴν χηρείαν λογίζεται· ὅταν ἴδῃ τοὺς οἰκέτας, τὴν ἐρημίαν ἁπάσης σκοπεῖ τῆς οἰκίας· ὅταν πρὸς ἑαυτὸν ἐπανέλθῃ, τῆς παρούσης ἑαυτὸν ἀναμιμνήσκει ζωῆς, καὶ ἀποῤῥήγνυσθαι μέλλων, πολὺ δέχεται τῆς ἀθυμίας τὸ νέφος. Τοιαύτη ἡ τοῦ μέλλοντος μυσταγωγεῖσθαι ψυχή. Εἶτα μεταξὺ τῶν θορύβων καὶ τῆς ταραχῆς αὐτῆς ἐπεισέρχεται ὁ ἰατρὸς αὐτοῦ τοῦ πυρετοῦ φοβερώτερος ὢν καὶ τοῦ θανάτου τοῖς τοῦ κάμνοντος προσήκουσιν ἀπηνέστερος· τῆς γὰρ τοῦ ἰατροῦ φωνῆς τῆς ἀπογινωσκούσης τὴν ζωὴν τὴν ἐκείνου μείζων ἀπόγνωσις εἶναι νομίζεται ἡ τοῦ πρεσβυτέρου εἴσοδος, καὶ θανάτου σύμβολον εἶναι δοκεῖ τῆς αἰωνίου ζωῆς ἡ ὑπόθεσις. Ἀλλ' οὔπω τὸν κολοφῶνα ἐπέθηκα τῶν κακῶν· μεταξὺ γὰρ θορυβούντων τῶν ἐπιτηδείων καὶ παρασκευαζομένων, πολλάκις ἔρημον ἀφεῖσα τὸ σῶμα ἀπεπήδησεν ἡ ψυχὴ, πολλοὺς δὲ καὶ παροῦσα οὐδὲν ὤνησεν. Ὅταν γὰρ μήτε τοὺς παρόντας ἐπιγινώσκῃ, μήτε φωνῆς ἀκούῃ, μήτε ἀποκρίνασθαι δύνηται τὰ ῥήματα ἐκεῖνα, δι' ὧν τὴν μακαρίαν συνθήκην πρὸς τὸν κοινὸν ἡμῶν ἁπάντων καταθήσεται Δεσπότην, ἀλλ' ὥσπερ ξύλον ἀργὸν ἢ λίθος ὁ φωτίζεσθαι μέλλων πρόκειται, νεκροῦ μηδὲν διαφέρων, τί τῆς μυσταγωγίας ὄφελος ἐν ἀναισθησίᾳ

non sicut negligentiores, ad baptismum in extremo halitu accedatis; sed jam hinc, quasi probi domestici, ad obsequendum magna benevolentia Domino parati, animæ collum multa cum probitate et alacritate sub jugum Christi deduxeritis, jugumque illud suave et onus leve susceperitis.

Nam licet tam vos, quam ii qui in vitæ exitu initiantur, parem gratiam accipiatis, at voluntatis propositum et rerum apparatus non pari modo se habent. Illi etenim in lecto accipiunt, vos autem in Ecclesiæ communis omnium nostrûm matris sinu; illi flentes et lacrymantes, vos gaudentes atque lætantes; illi gementes, vos gratias agentes; illi febri multa obtenebrati, vos multa pleni spirituali voluptate. Quapropter hic omnia huic muneri conveniunt, illic omnia sunt huic muneri contraria: fletus nempe ac gemitus ipsorum qui initiantur; adstant pueri lugentes, uxor genas lacerans, amici tristes, domestici lacrymantes, tota domûs species hibernum quendam et caliginosum diem imitatur. Quodsi jacentis cor scruteris, his omnibus tristius reperies. Quemadmodum enim venti magno impetu alii aliis ex adverso flantes multas in partes pelagus dividunt: sic cogitationes tunc ingruentium malorum, ægri animum invadentes, in multas sollicitudines illius mentem distrahunt. Si filios respiciat, illorum orbitatem cogitat; si uxorem, ejus viduitatem considerat; si domesticos, domûs solitudinem secum reputat; si ad se ipsum convertatur, præsentem vitam in memoriam revocat, atque instante separatione, magnam mœstitiæ nebulam excipit. Talis mox initiandi animus est. Hinc inter tumultum perturbationemque hujusmodi, ingreditur sacerdos ipsa febri formidabilior, atque ægroti propinquis ipsa morte immanior. Nam vel ipsa medici deploratam ejus valetudinem declarantis voce major desperandi causa esse putatur presbyteri ingressus, atque id quod æternæ vitæ argumentum est, mortis symbolum esse putatur. At nondum colophonem malis addidi: interim quippe tumultuantibus et sese apparantibus propinquis, sæpe anima corpus deserens abscessit: imo pluribus vel præsens nihil profuit. Cum enim neque præsentes agnoscit, neque vocem audit, neque illa respondere verba potest, quibus beatam cum omnium nostrûm Domino pactionem deponat, sed est quasi lignum inutile vel lapis, a mortuoque nihil differt is qui mox illuminandus est: quæ initiationis utilitas in tanta sensus omnis inopia?

τοσαύτη; Τὸν γὰρ τοῖς ἱεροῖς τούτοις καὶ φρικτοῖς μέλλοντα προσιέναι μυστηρίοις ἐγρήγορέναι χρὴ καὶ διεγηγέρθαι, πάσης βιωτικῆς φροντίδος εἶναι καθαρὸν, πολλῆς γέμειν σωφροσύνης, πολλῆς προθυμίας, πάντα τὸν μυστηρίων ἀλλότριον λογισμὸν ἐξορίζειν τῆς διανοίας, καὶ πάντοθεν καθαρὸν παρασκευάζειν τὸν οἶκον, ὥσπερ αὐτὸν ὑποδέχεσθαι μέλλοντα τὸν βασιλέα. Τοιαύτη τῆς ὑμετέρας διανοίας ἡ παρασκευὴ, τοιοῦτοι παρ' ὑμῖν οἱ λογισμοὶ, τοιαύτη τῆς ψυχῆς ἡ προαίρεσις. Τὴν μὲν οὖν ἀξίαν ἀμοιβὴν τῆς ἀρίστης ταύτης γνώμης ἀναμένετε παρὰ τοῦ Θεοῦ, τοῦ ταῖς ἀντιδόσεσι νικῶντος τοὺς τὴν ὑπακοὴν ἐπιδεικνυμένους τὴν πρὸς αὐτόν. Ἐπειδὴ δὲ χρὴ καὶ τοῖς συνδούλοις τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, καὶ τὰ παρ' ἡμῶν εἰσοίσομεν, μᾶλλον δὲ οὐδὲ ταῦτα ἡμέτερα, ἀλλὰ καὶ ταῦτα δεσποτικά· « Τί γὰρ ἔχεις, φησὶν, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών »;

Ἠβουλόμην μὲν πρῶτον ἁπάντων εἰπεῖν, τί δήποτε παραδραμόντες ἡμῶν οἱ πατέρες ἅπαντα τὸν ἐνιαυτὸν, ἐν τούτῳ τῷ καιρῷ μυσταγωγεῖσθαι τὰ τέκνα τῆς Ἐκκλησίας ἐνομοθέτησαν, καὶ τίνος ἕνεκεν μετὰ τὴν παρ' ἡμῶν διδασκαλίαν ὑπολύσαντες ὑμᾶς καὶ ἀποδύσαντες, γυμνοὺς καὶ ἀνυποδέτους μετὰ τοῦ χιτωνίσκου μόνου πρὸς τὰς τῶν ἐξορκιζόντων παραπέμπουσι φωνάς. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ καὶ τὸ σχῆμα καὶ τὸν καιρὸν ἐκεῖνοι τοῦτον ἡμῖν διετύπωσαν· ἀλλ' ἔχει ταῦτα ἀμφότερα μυστικόν τινα λόγον καὶ ἀπόρρητον. Καὶ τοῦτον ὑμῖν ἐβουλόμην εἰπεῖν· ὁρῶ δὲ ὅτι πρὸς ἕτερον ἀναγκαιότερον ἡμᾶς κατεπείγει νῦν ὁ λόγος· ἀνάγκη γὰρ εἰπεῖν τί ποτέ ἐστι τὸ βάπτισμα, καὶ τίνος ἕνεκεν εἰς τὸν βίον εἰσῆλθε τὸν ἡμέτερον, καὶ πόσα κομίζει ἡμῖν τὰ ἀγαθά. Ἀλλ' εἰ βούλεσθε, πρότερον περὶ τῆς προσηγορίας τοῦ μυστικοῦ τούτου καθαρμοῦ διαλεχθῶμεν· οὐ γάρ ἐστιν ἓν αὐτῷ ὄνομα, ἀλλὰ πολλὰ καὶ παντοδαπά. Τὸ γὰρ καθάρσιον τοῦτο καλεῖται λουτρὸν παλιγγενεσίας· « Ἔσωσε γὰρ ἡμᾶς, φησὶ, διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου. » Καλεῖται καὶ φώτισμα, καὶ τοῦτο αὐτὸ Παῦλος πάλιν ἐκάλεσεν· « Ἀναμιμνήσκεσθε γὰρ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων »· καὶ πάλιν, « Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας καὶ γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν. » Καλεῖται καὶ βάπτισμα· « Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. » Καλεῖται ταφή· « Συνετάφητε γὰρ αὐτῷ, φησὶ, διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. » Καλεῖται περιτομή· « Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός. » Καλεῖται σταυρός· « Ὁ παλαιὸς γὰρ ἄνθρωπος ἡμῶν συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας. » Ἔστι καὶ ἕτερα πλείονα τούτων εἰπεῖν ὀνόματα, ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τὰς προσηγορίας τοῦ χαρίσματος ἀναλώσωμεν,

2. Eum enim, qui ad sacra illa et horrenda mysteria accessurus est, vigilare convenit, omni sæculari cura purum esse, temperantia et alacritate multa plenum esse, omnem a mysteriis alienam cogitationem mente depellere, et undequaque mundam domum apparare, quasi ipsum Regem excepturus sit. Talis mentis vestræ præparatio, tales apud vos sunt cogitationes, tale animi propositum. Dignam itaque optimi hujus consilii retributionem a Deo exspectate, qui præmiis obsequentiam sibi præstitam superat. Quoniam vero oportet quæ sua sunt conservis conferre, nostra etiam conferamus; imo potius hæc non nostra, sed Dominica sunt: *Quid* enim, inquit (1. *Cor.* iv. 7), *habes, quod non accepisti? si autem accepisti, quid gloriaris, quasi non acceperis?*

Volebam hoc primum omnium dicere: cur patres nostri, missis aliis anni partibus, hoc tempore initiandos esse Ecclesiæ filios lege statuerint, et cur post doctrinam, discalceatos vos et exutos, nudis pedibus, una tunica opertos ad exorcizantium voces vos transmittunt. Non enim frustra vel temere hunc habitum et hoc tempus nobis constituerunt; sed habent hæc ambo mysticam quamdam et arcanam rationem. Atque hoc vobis aperire volebam; sed video ad aliam rem magis necessariam nos a sermone evocari. Necesse quippe est dicere quid sit baptisma, cur in vitam nostram inductum sit, et quanta nobis conferat bona. Sed si vultis, de hujus mysticæ purgationis vocabulo prius disseramus; non enim ejus nomen unum est, sed plurima variaque. Nam hæc purgatio vocatur, lavacrum regenerationis: *Salvavit enim nos*, inquit (*Tit.* 3. 5), *per lavacrum regenerationis et renovationis Spiritus sancti.* Vocatur et illuminatio: ita illud rursus Paulus nuncupavit (*Hebr.* 10. 32): *Rememorámini pristinos dies, in quibus illuminati magnum certamen sustinuistis passionum*; et rursum (*Hebr.* 6. 4), *Impossibile est enim eos, qui semel sunt illuminati, et gustaverunt etiam donum cæleste, et prolapsi sunt, rursus renovare ad pœnitentiam.* Vocatur et baptisma (*Gal.* 3. 27): *Quicumque enim in Christo baptizati estis, Christum induistis.* Appellatur et sepultura (*Rom.* 6. 4): *Consepulti enim*, inquit, *estis in ipso per baptismum in mortem*; itemque circumcisio (*Col.* 2. 11): *In quo et circumcisi estis in circumcisione non manu facta, in exspoliationem peccatorum carnis.* Vocatur crux (*Rom.* 6. 6): *Vetus enim homo noster crucifixus est, ut destruatur corpus peccati.* Possent et alia plura dici nomina; sed ne tempus omne in chari-

μέρε ἐπὶ τὴν πρότερον προσηγορίαν ἐλθόντες, καὶ ταύτης τὴν σημασίαν εἰπόντες, καταπαύσωμεν τὸν λόγον· τέως δὲ ἀνωτέρω μικρὸν τὴν διδασκαλίαν ἑλκύσωμεν.

Ἔστι τὸ κοινὸν ἁπάντων ἀνθρώπων λουτρὸν τὸ διὰ τῶν βαλανείων, ὃ τὸν τοῦ σώματος ἀποσμήχειν εἴωθε ῥύπον· ἔστι δὲ καὶ λουτρὸν Ἰουδαϊκὸν, ἐκείνου μὲν σεμνότερον, τοῦ δὲ τῆς χάριτος πολὺ κατώτερον· καὶ αὐτὸ μὲν γὰρ σωματικὸν ἀποσμήχει ῥύπον, ἀλλ' οὐχ ἁπλῶς σωματικὸν, ἀλλὰ καὶ συνειδότος ἁπτόμενον ἀσθενοῦς. Ἔστι γὰρ πολλὰ τῶν πραγμάτων, ἃ φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτα, ἀπὸ δὲ τῆς ἀσθενείας τοῦ συνειδότος ἀκάθαρτα γίνεται· καὶ καθάπερ ἐπὶ τῶν παιδίων τὰ προσωπεῖα καὶ τὰ λοιπὰ μορμολύκεια φύσει μὲν οὐκ ἔστι φοβερὰ, φοβερὰ δὲ εἶναι τοῖς παιδίοις δοκεῖ διὰ τὴν τῆς φύσεως ἀσθένειαν, οὕτω καὶ ἐπὶ τούτων ὧν εἶπον, οἷον τὸ νεκρῶν ἅψασθαι σωμάτων, φύσει μὲν οὐκ ἔστιν ἀκάθαρτον, ὅταν δὲ ἀσθενοῦς ἐπιλάβηται συνειδότος, ἀκάθαρτον ποιεῖ τὸν ἁψάμενον. Ὅτι γὰρ οὐκ ἔστιν ἀκάθαρτον φύσει τὸ πρᾶγμα, αὐτὸς ὁ ταῦτα διαταξάμενος Μωϋσῆς ἐδήλωσεν, ὁλόκληρον ἐπιφερόμενος μεθ' ἑαυτοῦ νεκρὸν τὸν Ἰωσὴφ, καὶ μένων καθαρός. Διὰ τοῦτο καὶ Παῦλος ἡμῖν περὶ τῆς ἀκαθαρσίας ταύτης διαλεγόμενος τῆς οὐ φύσει γινομένης, ἀλλὰ δι' ἀσθένειαν τοῦ συνειδότος, οὑτωσί πώς φησιν· « Οὐδὲν κοινὸν δι' ἑαυτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι. » Ὁρᾷς τὴν ἀκαθαρσίαν οὐκ ἀπὸ τῆς τοῦ πράγματος φύσεως, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τοῦ λογισμοῦ γινομένην; Καὶ πάλιν, « Πάντα μὲν καθαρὰ, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. » [Ὁρᾷς ὅτι οὐ τὸ ἐσθίειν, ἀλλὰ τὸ διὰ προσκόμματος ἐσθίειν,] τοῦτο αἴτιον ἀκαθαρσίας. Τὴν τοιαύτην τοίνυν κηλῖδα τὸ Ἰουδαϊκὸν ἐξεκάθαρε λουτρόν· τὸ δὲ τῆς χάριτος οὐ τοιαύτην, ἀλλὰ τὴν ὄντως ἀκαθαρσίαν, τὴν μετὰ τοῦ σώματος καὶ τῇ ψυχῇ πολλὴν ἐντιθεῖσαν τὴν κηλῖδα· οὐ γὰρ τοὺς νεκρῶν ἁψαμένους σωμάτων, ἀλλὰ τοὺς νεκρῶν πράξεων ἁψαμένους, τούτους ποιεῖ καθαρούς· κἂν μαλακὸς, κἂν πόρνος ᾖ τις, κἂν εἰδωλολάτρης, κἂν ὁτιοῦν εἰργασμένος δεινὸν, κἂν ἅπασαν τὴν ἐν ἀνθρώποις πονηρίαν ἔχων ᾖ, ἐμπεσὼν εἰς τὴν τῶν ὑδάτων κολυμβήθραν, τῶν ἡλιακῶν καθαρώτερος ἀκτίνων ἄνεισιν ἀπὸ τῶν θείων ναμάτων. Καὶ ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ λεγόμενα, ἄκουσον Παύλου λέγοντος περὶ τῆς τοῦ λουτροῦ δυνάμεως· « Μὴ πλανᾶσθε· οὔτε εἰδωλολάτραι, οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. » Καὶ τί τοῦτο πρὸς τὰ εἰρημένα, φησί; τὸ γὰρ ζητούμενον δεῖξαι, εἰ πάντα ἐκκαθαίρει ταῦτα ἡ τοῦ λουτροῦ δύναμις. Οὐκοῦν ἄκουσον τῶν ἑξῆς· « Καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. » Ἡμεῖς μὲν ὑπισχνούμεθα

smatis appellationibus insumamus, age ad primum nomen reversi, ejusque explicata significatione, sermonem finiamus : interim vero paulo superius doctrinam repetamus.

Est commune omnium hominum lavacrum illud balneorum, quod corporis sordes solet abluere : est et lavacrum Judæorum, illo quidem honestius, sed gratiæ lavacro longe inferius : et hoc enim corporeas sordes abluit, sed non simpliciter corporeas, verum etiam ad conscientiæ infirmitatem attingit. Nam multæ res sunt, natura quidem non immundæ, sed quæ infirmitate conscientiæ efficiuntur immundæ. Ac sicut in pueris larvæ ceteraque terricula natura quidem formidabilia non sunt, sed talia pueris ob naturæ imbecillitatem esse videntur : sic et in iis quæ dixi ; exempli causa mortua corpora contingere, natura quidem non est immundum, verum si id infirmæ conscientiæ contingat, immundum facit eum qui tetigit. Quod enim illud natura non sit immundum, ipse qui legem tulit Moyses declaravit, qui mortuum Josephum secum detulit, et tamen mundus remansit. Ideo etiam Paulus de immunditia hujusmodi loquens, quæ non natura, sed infirmitate conscientiæ accidit, ita loquitur (*Rom.* 14. 14) : *Nihil commune per se ipsum nisi ei, qui existimat quid commune esse.* Viden' immunditiam non ex rei natura, sed ex cogitationis imbecillitate contrahi? Ac rursum (*ibid.*), *Omnia quidem sunt munda : sed malum est homini, qui per offendiculum manducat.* [Viden' quod non edere, sed per offendiculum edere] causa sit immunditiæ? 3. Talem igitur maculam Judæorum lavacrum emundabat; at gratiæ lavacrum non talem, sed eam quæ vera immunditia et animam et corpus magnopere inficit ; non enim eos qui mortua corpora, sed qui mortua opera contingunt, mundos facit. Etsi mollis, etsi fornicator quis fuerit, etsi idololatra, etsi quidvis mali fecerit, etsi humana omni nequitia plenus sit, si in piscinam aquarum intraverit, solaribus radiis purior ex divinis fluentis ascendit. Ne vero putes fastu quopiam hæc proferri, audi Paulum de lavacri virtute hæc loquentem (1. *Cor.* 6. 9. 10) : *Nolite errare : neque idololatræ, neque fornicatores, neque adulteri, neque molles, neque masculorum concubitores, neque avari, neque ebriosi, neque maledici, neque rapaces, regnum Dei possidebunt.* Quid hæc ad propositum, inquies? quod quæritur ostende, an scilicet lavacri virtus hæc omnia emundet. Audi itaque ea quæ sequuntur (*ib.* v. 11) : *Et hæc quidam fuistis : sed abluti estis, sed sanctificati estis, sed justificati estis in nomine Domini nostri Jesu Christi et in Spiritu Dei nostri.* Nos

μεθα δεῖξαι ὑμῖν καθαροὺς πονηρίας γινομένους ἁπάσης τοὺς τῷ λουτρῷ προσιόντας· ὁ δὲ λόγος πλέον ἀπέδειξεν, οὐ καθαροὺς μόνον, ἀλλὰ καὶ δικαίους καὶ ἁγίους γενομένους· οὐ γὰρ εἶπεν « Ἀπελούσασθε » μόνον, ἀλλὰ καὶ « Ἡγιάσθητε καὶ ἐδικαιώθητε. » Τί τούτου γένοιτ' ἂν παραδοξότερον, ὅταν πόνων καὶ ἱδρώτων χωρὶς καὶ κατορθωμάτων δικαιοσύνη τικτομένη ᾖ; τοιαύτη γὰρ τῆς θείας δωρεᾶς ἡ φιλανθρωπία· χωρὶς ἱδρώτων ποιεῖ δικαίους. Εἰ γὰρ βασιλέως ἐπιστολὴ, γράμματα προτεθέντα ὀλίγα, μυρίων ὑπευθύνους ἐγκλημάτων ἀφίησιν ἐλευθέρους, ἑτέρους δὲ καὶ πρὸς τιμὴν ἄγει μεγίστην, πολλῷ μᾶλλον τὸ ἅγιον τοῦ Θεοῦ Πνεῦμα καὶ πάντα δυνάμενον πάσης μὲν ἡμᾶς ἀπαλλάξει κακίας, πολλὴν δὲ ἡμῖν χαρίσεται δικαιοσύνην, καὶ πολλῆς ἐμπλήσει τῆς παῤῥησίας. Καὶ καθάπερ σπινθὴρ μέσος εἰς πέλαγος ἀχανὲς ἐμπεσὼν αὐθέως [ἂν] ἀποσβεσθείη καὶ ἀφανὴς γένοιτο, τῷ πλήθει τῶν ὑδάτων καταποντισθείς· οὕτω καὶ πᾶσα πονηρία ἀνθρωπίνη, ὅταν εἰς τὴν κολυμβήθραν ἐμπέσῃ τῶν θείων ῥευμάτων, ἐκείνου ταχύτερον καὶ εὐκολώτερον τοῦ σπινθῆρος καταποντίζεταί τε καὶ ἀφανίζεται.

Καὶ τίνος ἕνεκεν, φησὶν, εἰ τὰ ἁμαρτήματα ἡμῖν ἅπαντα ἀφίησι τὸ λουτρὸν, οὐχὶ λουτρὸν ἀφέσεως ἁμαρτημάτων καλεῖται, οὔτε λουτρὸν καθάρσεως, ἀλλὰ λουτρὸν παλιγγενεσίας; Ὅτι οὐχ ἁπλῶς ἡμῖν ἀφίησι τὰ ἁμαρτήματα, οὐδὲ ἁπλῶς ἡμᾶς καθαίρει τῶν πλημμελημάτων, ἀλλ' οὕτως ὡς ἂν εἰ ἄνωθεν ἐγεννήθημεν. Καὶ γὰρ ἄνωθεν ἡμᾶς δημιουργεῖ καὶ κατασκευάζει, οὐκ ἀπὸ γῆς διαπλάττων πάλιν, ἀλλ' ἐξ ἑτέρου στοιχείου τῆς τῶν ὑδάτων φύσεως δημιουργῶν. Οὐ γὰρ ἁπλῶς ἀποσμήχει τὸ σκεῦος, ἀλλ' ὁλόκληρον αὐτὸ ἀναχωνεύει πάλιν. Τὰ μὲν γὰρ ἀποσμηχόμενα, κἂν μετὰ ἀκριβείας ἐκκαθαίρηται, ἔχει τῆς ποιότητος ἴχνη καὶ τῆς κηλίδος φέρει τὰ λείψανα· τὰ δὲ εἰς χωνευτήριον ἐμπεσόντα καὶ διὰ τῆς φλογὸς ἀνανεωθέντα, πᾶσαν ἀποθέμενα ῥυπαρίαν, τὴν αὐτὴν τοῖς νεοπαγέσιν ἀπὸ τῆς καμίνου προελθόντα τὴν λαμπηδόνα ἀφίησιν. Ὥσπερ οὖν ἀνδριάντα χρυσοῦν πολλῷ τῷ χρόνῳ καὶ τῷ καπνῷ καὶ τῇ κόνει καὶ [τῷ] ἰῷ ῥυπωθέντα λαβών τις καὶ χωνεύσας, καθαρώτατον ἡμῖν καὶ ἀστράπτοντα ἀποδίδωσιν, οὕτω καὶ τὴν φύσιν τὴν ἡμετέραν ὁ Θεὸς ἰωθεῖσαν τῷ τῆς ἁμαρτίας ἰῷ καὶ πολὺν δεξαμένην τὸν καπνὸν τὸν ἀπὸ τῶν πλημμελημάτων, καὶ τὸ κάλλος ἀπολέσασαν ὅπερ παρ' αὐτοῦ παρὰ τὴν ἀρχὴν ἐγκατέθηκε, λαβὼν ἄνωθεν ἐχώνευσε, καὶ καθάπερ εἰς χωνευτήριον ἐμβαλὼν τὰ ὕδατα, καὶ τὴν τοῦ Πνεύματος ἐπαφεὶς χάριν ἀντὶ φλογὸς, εἶτα νεοπαγεῖς ἐκεῖθεν καὶ καινοὺς γενομένους ἀντιβλέψαι λοιπὸν ταῖς ἡλιακαῖς ἀκτῖσι μετὰ πολλῆς ἀνάγει τῆς λαμπρότητος, τὸν μὲν παλαιὸν συντρίψας ἄνθρωπον, νέον δὲ κατασκευάσας τοῦ προτέρου λαμπρότερον· καὶ ταύτην ἡμῖν τὴν συντριβὴν καὶ τὸν μυστικὸν τοῦτον καθαρμὸν αἰνιττόμενος ὁ προφήτης ἄνωθεν ἔλεγεν, « Ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. » Ὅτι

quidem pollicemur vobis ostendere, ab omni pravitate puros fieri eos qui ad lavacrum accedunt; verum oratio nostra plus demonstravit, scilicet non modo puros, sed etiam sanctos justosque factos esse. Non tantum enim dixit, *Abluti estis*, sed etiam, *Sanctificati estis, justificati estis.* Quid hac re mirabilius, quod sine labore, sudore bonisque operibus justitia pariatur? Talis est enim divini doni benignitas, ut sine sudoribus justos efficiat. Nam si Imperatoris epistola paucis conscripta literis, innumeris reos criminibus liberos dimittit, alios autem ad honorem etiam evehit maximum; multo magis sanctus Dei Spiritus, qui omnia potest, omni nos nequitia liberabit, multam justitiam largietur, multa implebit fiducia. Ac quemadmodum scintilla in pelagi voraginem media incidens, statim extinguitur et evanescit, aquarum vi demersa: sic et omnis humana nequitia, cum in piscinam divinorum fluentorum inciderit, citius faciliusque quam scintilla demergitur et deletur.

At cur, inquies, si peccata nobis omnia lavacrum remittit, non lavacrum remissionis peccatorum, non lavacrum purgationis, sed lavacrum regenerationis vocatur? Quia non solum nobis peccata remittit, neque solum delicta purgat, sed ita id præstat ac si denuo generati essemus. Etenim nos denuo creat et format, non ex terra rursum effingens, sed ex alio elemento, aquarum scilicet natura, creans; non enim simpliciter abstergit vas, sed totum conflat denuo. Nam quæ absterguntur, etiamsi accurate mundentur, qualitatis vestigia et sordium reliquias retinent; quæ vero in conflatorium immittuntur, et a flamma renovantur, omnem deponentia maculam, ex camino educta, eumdem, quem prorsus nova, splendorem emittunt. Quemadmodum si quis auream statuam, tempore multo, fumo, pulvere, rubigine fœdatam, denuo conflaverit, eam nobis purissimam atque fulgentem restituit: sic et naturam nostram Deus, peccati rubigine fœdatam multoque affectam delictorum fumo, illa pulchritudine destitutam, quam ipsi ab initio indiderat, denuo conflavit, et in aquas ceu in conflatorium injiciens, et pro igne Spiritus gratiam immittens, hinc renovatos, cum solaribus radiis splendore decertantes educit, contrito veteri homine, novo autem splendidiore, quam vetus erat, condito. 4. Hanc porro nobis contritionem mysticamque purgationem subindicans propheta, dicebat olim (*Psal.* 2. 9), *Tamquam vas figuli conteres eos.* Nam quod

γὰρ περὶ τῶν πιστῶν ὁ λόγος, ἡμῖν τὰ ἀνωτέρω δείκνυσι σαφῶς· « Υἱός γάρ μου εἶ σύ, φησίν· ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι τὰ ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. » Εἶδες πῶς τῆς ἐκ τῶν ἐθνῶν ἐκκλησίας ἐμνημόνευσε, καὶ τὴν πανταχοῦ τοῦ Χριστοῦ τεταμένην βασιλείαν εἶπεν; Εἶτά φησι πάλιν, « Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ (οὐ φορτικῇ, ἀλλ' ἰσχυρᾷ)· ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς. » Ἰδοὺ καὶ τὸ λουτρὸν μυστικώτερον παρελήφθη· οὐ γὰρ εἶπεν ἁπλῶς σκεύη ὀστράκινα, ἀλλὰ σκεύη « κεραμέως. » Ἀλλὰ προσέχετε. Τὰ μὲν γὰρ ὀστράκινα σκεύη συντριβέντα οὐκ ἂν λάβοι διόρθωσιν, διὰ τὴν ἐκ τοῦ πυρὸς ἐγγενομένην αὐτοῖς ἅπαξ ἀντιτυπίαν· τὰ δὲ σκεύη τοῦ κεραμέως, ὅτι οὐκ ἔστιν ὀστράκινα, ἀλλὰ πήλινα· ὅθεν καὶ διαστραφέντα ῥᾳδίως ἂν πρὸς τὸ πρότερον ἐπανέλθῃ σχῆμα τῇ τοῦ τεχνίτου σοφίᾳ. Ὅταν μὲν οὖν συμφορὰν ἀνίατον λέγῃ, οὐ σκεύη κεραμέως φησὶν, ἀλλὰ σκεῦος ὀστράκινον. Ὅτε γοῦν ἐβούλετο διδάξαι τὸν προφήτην καὶ τοὺς Ἰουδαίους, ὅτι συμφορᾷ ἀνιάτῳ παρέδωκε τὴν πολιν, ἐκέλευσε λαβεῖν βίκον ὀστράκινον καὶ συντρίψαι ἔμπροσθεν παντὸς τοῦ δήμου, καὶ εἰπεῖν, « Οὕτως ἀπολεῖται καὶ ἡ πόλις καὶ συντριβήσεται »· ἐπειδὰν δὲ βούληται χρηστὰς αὐτοῖς ὑποτείνειν ἐλπίδας, εἰς κεραμεῖον κατάγει τὸν προφήτην, καὶ οὐ δείκνυσιν αὐτῷ σκεῦος ὀστράκινον, ἀλλὰ δείκνυσιν αὐτῷ σκεῦος πήλινον ἐν ταῖς χερσὶ τοῦ κεραμέως γινόμενον διαπῖπτον, καὶ ἐπάγει λέγων, « Εἰ ὁ κεραμεὺς οὗτος τὸ σκεῦος τὸ διαπεσὸν ἀναλαβὼν ἐρρύθμισε πάλιν, οὐ πολλῷ μᾶλλον ἐγὼ δυνήσομαι διαπεσόντας ὑμᾶς ἐπανορθῶσαι »; Δυνατὸν μὲν οὖν τῷ Θεῷ οὐχὶ πηλίνους ὄντας μόνον διορθῶσαι διὰ λουτροῦ παλιγγενεσίας, ἀλλὰ καὶ τὴν τοῦ Πνεύματος δεξαμένους ἐνέργειαν καὶ διολισθήσαντας διὰ μετανοίας ἠριθμημένης πρὸς τὸ ἀρχαῖον ἐπαναγαγεῖν. Ἀλλ' οὐ καιρὸς ὑμῖν τοὺς περὶ μετανοίας ἀκοῦσαι λόγους· μᾶλλον δὲ μηδέποτε γένοιτο καιρὸς εἰς χρείαν ὑμᾶς ἐκείνων ἐμπεσεῖν τῶν φαρμάκων, ἀλλ' ἀεὶ μένοιτε τὸ κάλλος καὶ τὴν λαμπρότητα, ἣν μέλλετε λαμβάνειν νῦν, ἀκέραιον διατηροῦντες.

Ἵν' οὖν ἀεὶ μένοιτε, φέρε καὶ περὶ πολιτείας ὑμῖν διαλεχθῶμεν ὀλίγα· ἐν γὰρ τῇ παλαίστρᾳ ταύτῃ ἀκίνδυνα τοῖς ἀθληταῖς τὰ πτώματα· πρὸς γὰρ τοὺς οἰκείους ἡ πάλη, καὶ τοῖς σώμασι τῶν διδασκάλων ἐμμελετῶσιν ἅπαντα· ὅταν δὲ ὁ τῶν ἀγώνων παραγένηται καιρὸς, ὅταν ἀνοιγῇ τὸ στάδιον, ὅταν τὸ θέατρον ἅπαν καθήμενον ᾖ, ὅταν ὁ ἀγωνοθέτης παρῇ, ἀνάγκη λοιπὸν ἢ ῥᾳθυμήσαντας πεσεῖν καὶ μετὰ αἰσχύνης ἀναχωρῆσαι πολλῆς, ἢ σπουδάσαντας τῶν στεφάνων καὶ τῶν βραβείων ἐπιτυχεῖν. Οὕτω δὴ καὶ ἐφ' ὑμῶν αἱ τριάκοντα ἡμέραι αὗται παλαίστρᾳ τινὶ προσοίκασι καὶ γυμνασίοις καὶ μελέτῃ. Μάθωμεν ἐντεῦθεν ἤδη περιγενέσθαι τοῦ πονηροῦ δαίμονος ἐκείνου· πρὸς γὰρ ἐκεῖνον ἀποδύεσθαι μέλλομεν μετὰ τὸ βάπτισμα,

de fidelibus loquatur, nobis clare indicant ea quæ præcedunt : etenim ait (*ibid.* v. 7. 8), *Filius meus es tu : ego hodie genui te. Postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ.* Vidistin' quomodo Ecclesiam gentium commemoravit, et ubique constitutum Christi regnum dixit? Deinde rursum ait (*ib.* v. 9.), *Pasces eos in virga ferrea* (non gravi, sed forti) : *tamquam vas figuli conteres eos.* Ecce etiam lavacrum magis mystico more sumitur : non enim simpliciter dixit vasa testacea, sed vasa *figuli*. Verum attendite. Testacea quippe vasa contrita refici non possunt, ob duritiem nempe ab igne acceptam : at possunt vasa figuli, quia non sunt testacea, sed ex luto composita; quare si labefactata fuerint, artificis solertia facile ad pristinam formam reduci possunt. Quando itaque calamitatem insanabilem memorat, non vasa figuli dicit, sed vas testaceum. Nam cum prophetam (*Jerem.* 19) et Judæos docere vellet, se calamitati insanabili urbem tradidisse, jussit eum accipere vas testaceum, et coram universo populo confringere, dicereque (v. 11), *Sic peribit urbs ac conteretur* : cum autem bonam ipsis spem offerre vult, in officinam figuli prophetam deducit, nec ipsi vas testaceum ostendit, sed luteum vas ostendit emanu figuli decidens, ac subinfert his verbis (*Jerem.* 18. 6) : *Si figulus hic vas quod decidit, acceptum denuo reformavit, annon multo magis ego potero vos delapsos emendare?* Potest igitur Deus non modo luteos nos per lavacrum regenerationis emendare, sed Spiritus accepta virtute, iterumque lapsos per sinceram pœnitentiam in pristinum statum revocare. Sed non est tempus vos de pœnitentia audire sermones, imo potius utinam nullo unquam tempore his remediis opus habeatis, sed semper ea servata pulchritudine eoque splendore maneatis, quem nunc acceptari estis.

Ut itaque in eo maneatis, age, de vitæ instituto pauca vobis disseramus : nam in hac palæstra athletarum lapsus periculo vacant : cum domesticis enim decertant, et in præceptorum corporibus omnia meditantur. Cum vero certaminum tempus advenerit, cum stadium apertum fuerit, cum omnes ad spectaculum congregati sedes sursum occuparint, præsente agonotheta : tunc necesse est aut ignave agentes dejici ac cum ignominia discedere, aut strenue agentes, coronas et bravia consequi. Sic et vobis hi triginta dies palæstræ, gymnasiorum et exercitationis loco sunt. Jam hinc discamus malignum illum dæmonem vincere : nam contra illum post baptisma in arenam descendere debemus, contra illum pugnare et decertare.

πρὸς ἐκεῖνον πυκτεύειν καὶ μάχεσθαι. Μάθωμεν τοίνυν ἐντεῦθεν ἤδη τὰς λαβὰς ἐκείνου, πόθεν ἐστὶ πονηρὸς, πόθεν ἡμῖν εὐκόλως ἐπηρεάσαι δύναται, ἵνα τῶν ἀγώνων παραγενομένων μὴ ξενοπαθῶμεν μηδὲ θορυβώμεθα, καινὰ τὰ παλαίσματα ὁρῶντες, ἀλλ' ἤδη μεταξὺ ἡμῶν αὐτῶν μελετήσαντες, καὶ τὰς μεθοδείας αὐτοῦ μαθόντες ἁπάσας, μετὰ τοῦ θαρρεῖν ἀψώμεθα τῶν παλαισμάτων πρὸς ἐκεῖνον. Πάντοθεν μὲν οὖν ἐπηρεάζειν ἡμῖν εἴωθεν, μάλιστα δὲ διὰ τῆς γλώττης καὶ διὰ τοῦ στόματος. Οὐδὲν γὰρ οὕτως ἐπιτήδειον ὄργανον ἐκείνῳ πρὸς ἀπάτην καὶ ἀπώλειαν ἡμετέραν, ὡς γλῶττα ἀκόλαστος καὶ στόμα ἀθύρωτον. Ἐντεῦθεν ἡμῖν τὰ πολλὰ πτώματα, ἐντεῦθεν ἡμῖν τὰ χαλεπὰ ἐγκλήματα. Καὶ τὴν μὲν εὐκολίαν τῶν ὀλισθημάτων [τῶν] διὰ τῆς γλώττης τις ὅηλῶν ἔλεγε, « Πολλοὶ ἔπεσον διὰ μαχαίρας, ἀλλ' οὐ τοσοῦτοι ὅσοι διὰ γλώττης. » Τὸ δὲ χαλεπὸν τοῦ πτώματος ἐμφαίνων πάλιν ὁ αὐτὸς εἶπεν, « Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον, ἢ ὀλίσθημα ἀπὸ γλώσσης. » Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· βέλτιόν ἐστι, φησὶ, πεσεῖν καὶ συντριβῆναι τὸ σῶμα, ἢ ῥῆμα προέσθαι τοιοῦτον, ὃ τὴν ψυχὴν ἡμῶν ἀπόλλυσιν. Οὐ λέγει δὲ τὰ πτώματα μόνον, ἀλλὰ καὶ παραινεῖ πολλὴν ποιεῖσθαι πρόνοιαν, ὥστε μὴ ὑποσκελισθῆναι, οὕτως εἰπών· « Ποίησον τῷ στόματί σου θύρας καὶ μοχλόν » · οὐχ ἵνα θύρας καὶ μοχλοὺς κατασκευάσωμεν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς ἀσφαλείας πρὸς τὰ ἄτοπα τῶν ῥημάτων τὴν γλῶτταν ἀποκλείσωμεν. Καὶ πάλιν ἀλλαχοῦ δείκνυς ὅτι μετὰ τῆς ἡμετέρας σπουδῆς, καὶ πρὸ τῆς ἡμετέρας [σπουδῆς], τῆς ἄνωθεν δεόμεθα ῥοπῆς, ὥστε τὸ θηρίον τοῦτο κατασχεῖν ἔνδον, πρὸς τὸν Θεὸν τὰς χεῖρας ἀνατείνας ὁ προφήτης ἔλεγεν, « Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς ἐπὶ τὰ χείλη μου. » Ὁ δὲ τὰ πρότερον παραινέσας, πάλιν καὶ αὐτός φησι, « Τίς δώσει ἐπὶ τῷ στόματί μου φυλακὴν, καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον »; Ὁρᾷς ἕκαστον δεδοικότα τὰ πτώματα ταῦτα, καὶ θρηνοῦντα καὶ συμβουλεύοντα καὶ εὐχόμενον πολλῆς ἀπολαῦσαι τὴν γλῶτταν φυλακῆς;

Καὶ τίνος ἕνεκεν, φησὶν, εἰ τοσοῦτον ἡμῖν φέρει τὸν ὄλεθρον τοῦτο τὸ ὄργανον, ἐνέθηκεν ἡμῖν αὐτὸ παρὰ τὴν ἀρχὴν ὁ Θεός; Ὅτι καὶ πολλὴν ἔχει τὴν ὠφέλειαν· κἂν σπουδάζωμεν, ὠφέλειαν ἔχει μόνον, ὄλεθρον δὲ οὐδένα. Ἄκουσον γοῦν τί φησιν ὁ τὰ πρότερα ἐκεῖνα εἰπών· « Ἐν χειρὶ γλώττης ζωὴ καὶ θάνατος. » Καὶ ὁ Χριστὸς δὲ τὰ αὐτὰ δηλοῖ λέγων, « Ἀπὸ τῶν λόγων σου κατακριθήσῃ, καὶ ἀπὸ τῶν λόγων σου δικαιωθήσῃ. » Μέση γὰρ ἕστηκεν ἡ γλῶσσα τῆς πρὸς ἑκάτερα χρήσεως· σὺ κύριος εἶ. Οὕτω καὶ τὸ ξίφος κεῖται μέσον· κἂν μὲν κατὰ τῶν πολεμίων χρήσῃ, σωτήριόν σοι τὸ ὄργανον γέγονεν· ἂν δὲ κατὰ σαυτοῦ τὴν πληγὴν ὠθήσῃς, οὐχ ἡ σιδήρου φύσις, ἀλλ' ἡ σὴ παρανομία γίνεται τῆς σφαγῆς αἰτία. Οὕτω καὶ

Jam hinc ergo insidias ejus ediscamus, undenam malignus sit, undenam facile nos laedere possit, ut certaminis tempore non inexperti novis conspectis certaminibus terreamur, sed jam inter nos satis meditati et parati, ejusque insidias omnes edocti, fidenter certamina cum illo adeamus. Undique vero nobis nocere solet, sed in primis lingua et ore. Nullum enim illi ita opportunum organum ad fraudem perniciemque nostram, ut intemperans lingua et os non obturatum. Hinc nobis lapsus plurimi, hinc nobis gravia crimina. Et quam facile sit ore labi, sic quidam declaravit (*Eccli.* 28. 22) : *Multi cecidere gladio, sed non tot quot lingua* : ipseque rursum quam gravis sit hujusmodi lapsus indicavit his verbis (20. 20) : *Lapsus de pavimento potius quam lapsus de lingua* : id est, melius est labi conteriqqe corpus, quam hujusmodi verbum proferre, quod possit animam nostram perdere. Neque lapsus tantum memorat, sed hortatur ut magnam sollicitudinem geramus, ne supplantemur, his verbis (28. 28) : *Fac ori tuo januam et vectem;* non ut vere januas et vectes paremus, sed ut cum magna cautela absurdis verbis linguam claudamus. Rursumque alibi ostendens nos et cum studio nostro et ante studium nostrum superno egere auxilio, ut hanc feram intus contineamus, ad Deum manus tendens propheta dicebat (*Psal.* 140. 2. 3), *Elevatio manuum mearum sacrificium vespertinum. Pone, Domine, custodiam ori meo, et ostium circumstantiæ labiis meis.* Et qui superioca illa monuit, rursum ait (*Eccli.* 22. 33), *Quis dabit ori meo custodiam et labiis meis sigillum astutum?* Viden' singulos hujusmodi lapsus timentes, lugentes, consilia dantes, precantes, ut circa linguam magna cautela adhibeatur?

At cur, inquies, si tantam nobis perniciem hoc instrumentum afferat, ipsum nobis a principio indidit Deus? Quia magnam etiam affert utilitatem, et si caveamus, utilitatem tantum, perniciem vero nullam affert. Audi enim quid dicat is, qui priora illa dixerat (*Prov.* 18. 21) : *In manu linguæ vita et mors.* Eademque ipse Christus declarat his verbis (*Matth.* 12. 37) : *De sermonibus tuis condemnaberis, atque de sermonibus tuis justificaberis.* Media quippe stat lingua inter utrumque usum; tu dominus es. Ita et gladius jacet medius; si illo contra inimicos utaris, salutare tibi instrumentum efficitur; sin tibi ipsi vulnus infligas, non ferri natura, sed iniquitas

περὶ τῆς γλώττης λογισώμεθα· ξίφος ἐστὶν ἐν μέσῳ κείμενον· ἀκόνησον οὖν αὐτὴν κατὰ τῆς τῶν ἁμαρτημάτων τῶν σῶν κατηγορίας· μὴ κατὰ ἀδελφοῦ τὴν πληγὴν ὠθήσῃς. Διὰ τοῦτο διπλῷ τειχίῳ περιέβαλεν αὐτὴν ὁ Θεὸς, τῷ τῶν ὀδόντων διαφράγματι καὶ τῇ τῶν χειλέων περιβολῇ, ἵνα μὴ ῥᾳδίως καὶ ἀπερισκέπτως ἐκφέρῃ τὰ ῥήματα τὰ μὴ προσήκοντα. Χαλίνωσον αὐτὴν ἔνδον. Ἀλλ' οὐκ ἀνέχεται; (καὶ) σωφρόνισον αὐτὴν διὰ τῶν ὀδόντων, ὥσπερ ὀημίοις τοσούτοις ἐκδοὺς αὐτῆς τὸ σῶμα (καὶ ποιήσας) δακεῖν· καὶ γὰρ βέλτιον αὐτὴν δηχθῆναι τοῖς ὀδοῦσι νῦν ἁμαρτάνουσαν, ἢ τότε ζητοῦσαν σταγόνα ὕδατος καὶ τηγανιζομένην μὴ τυχεῖν τῆς παραμυθίας.

Πολλὰ μὲν οὖν καὶ ἄλλα ἁμαρτάνειν εἴωθε λοιδοροῦσα, βλασφημοῦσα, αἰσχρὰ προϊεμένη ῥήματα, συκοφαντοῦσα, ὀμνύουσα, ἐπιορκοῦσα· ἀλλ' ἵνα μὴ πάντα ἀθρόον τήμερον ὑμῖν λέγοντες καταχύσωμεν ὑμῶν τὴν διάνοιαν, ἕνα τέως τίθεμεν ὑμῖν νόμον τὸν περὶ τῆς τῶν ὅρκων φυλακῆς, ἐκεῖνο προλέγοντες καὶ διαγορεύοντες, ὅτι εἰ μὴ φύγητε τοὺς ὅρκους, οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τοὺς ὅρκους τοὺς ἐπὶ τῷ δικαίῳ γενομένους εἰ μὴ φύγητε, οὐκέτι περὶ ἑτέρας ὑποθέσεως ὑμῖν διαλεξόμεθα. Καὶ γὰρ ἄτοπον τοὺς μὲν τῶν γραμμάτων διδασκάλους μὴ δεύτερον τοῖς παιδίοις διδόναι μάθημα, ἕως ἂν τὸ πρότερον ἕδωσι καλῶς ἐμπαγὲν αὐτῶν τῇ μνήμῃ· ἡμᾶς δὲ τὰ πρότερον μαθήματα μὴ δυναμένους ἀπαγγεῖλαι μετὰ ἀκριβείας, ἕτερα προσεμβαλεῖν πάλιν· οὐδὲν γὰρ ἕτερον τοῦτο ἀλλ' ἢ εἰς πίθον τετρημένον ἀντλεῖν. Ἵνα οὖν ἡμᾶς μὴ ἐπιστομίσητε, πολλὴν τοῦ πράγματος ποιήσασθε τὴν σπουδήν. Καὶ γὰρ χαλεπὸν τοῦτό ἐστι τὸ ἁμάρτημα καὶ σφόδρα χαλεπόν· σφόδρα δέ ἐστι χαλεπὸν, ὅτι οὐ δοκεῖ χαλεπὸν εἶναι, καὶ διὰ τοῦτο αὐτὸ ἐξέδοικα, ἐπειδὴ οὐδεὶς αὐτὸ δέδοικε· διὰ τοῦτο ἀνίατόν ἐστι τὸ νόσημα, ἐπειδὴ οὐδὲ νόσημα εἶναι δοκεῖ· ἀλλ' ὥσπερ τὸ διαλέγεσθαι ἁπλῶς οὐκ ἔστιν ἔγκλημα, οὕτως οὐδὲ τοῦτο ἔγκλημα εἶναι δοκεῖ, ἀλλὰ μετὰ πολλῆς παῤῥησίας ἡ παρανομία αὕτη τολμᾶται· κἂν ἐγκαλέσῃ τις, εὐθέως γέλως ἕπεται καὶ χλευασία πολλή, οὐχὶ τοῖς ἐγκαλουμένοις ὑπὲρ τῶν ὅρκων, ἀλλὰ τοῖς διορθῶσαι τὸ νόσημα βουλομένοις. Διὰ τοῦτο μακρὸν ὑπὲρ τούτων ἀποτείνω τὸν λόγον· βαθεῖαν γὰρ ῥίζαν ἀνασπάσαι βούλομαι καὶ χρόνιον ἀπαλεῖψαι κακὸν, οὐ λέγω τὰς ἐπιορκίας μόνον, ἀλλὰ καὶ τὰς εὐορκίας αὐτάς. Ἀλλ' [ὄμνυσιν] ὁ δεῖνα, φησίν, ἄνθρωπος ἐπιεικὴς, εἰς ἱερωσύνην τελῶν, πολλῇ σωφροσύνῃ καὶ εὐλαβείᾳ συζῶν. Μή μοι τὸν ἐπιεικῆ τοῦτον εἴπῃς, τὸν σώφρονα, τὸν εὐλαβῆ, τὸν εἰς ἱερωσύνην τελοῦντα· ἀλλ', εἰ βούλει, θὲς Πέτρον εἶναι τοῦτον ἢ Παῦλον, ἢ καὶ ἄγγελον ἐξ οὐρανοῦ καταβάντα· οὐδὲ γὰρ οὕτως ἐπιστρέφομαι πρὸς τὴν ἀξίαν τῶν προσώπων. Νόμον γὰρ οὐχὶ δουλικὸν, ἀλλὰ βασιλικὸν ἀναγινώσκω ἐγὼ τὸν περὶ τῶν ὅρκων· ὅταν δὲ βασιλέως ἀναγινώσκηται γράμματα, ἅπαν τὸ τῶν δούλων ἀξίωμα ἡσυ-

tua cædis causa est. Ita et de lingua cogitemus : gladius est in medio jacens; acue illam ad te de peccatis tuis accusandum, ne fratri vulnus infligas. Ideo illam duplici muro Deus circumvallavit, dentium nempe septo et labiorum ambitu, ne facile et inconsulte verba non congruentia efferat. Refrena illam intus. Verum illa non id patitur? dentibus illam castiga, tanquam toi carnificibus illam tradens ad morsum : melius quippe est illam nunc peccantem dentibus morderi, quam tunc aridam et aquæ stillam quærentem illa consolatione privari.

5. In multis sane aliis peccare illa solet, conviciis, blasphemiis, verbis obscœnis, sycophantiis, juramentis, perjuriis : sed ne confertim omnia dicentes mentem confundamus vestram, unam vobis legem ponimus de vitandis juramentis, hoc vobis prænuntiantes et edicentes, si non fugiatis juramenta, non dico perjuria solum, sed etiam juramenta ob justam causam prolata, hæc si non fugiatis, me non aliud argumentum coram vobis tractaturum. Nam absurdum esset, si, dum ludimagistri non alteram pueris tradunt disciplinam, donec videant priorem in ipsorum memoria pulchre hærere, nos vobis, cum priores disciplinas nondum referre possitis, alteras denuo ingeramus : id enim nihil aliud esset quam in pertusum dolium haurire. Ne igitur os nobis claudatis, magnam rei curam habete. Nam grave peccatum est, admodumque grave : ideoque admodum grave, quod non videtur grave esse : atque ideo ipsum formido, quia nemo formidat : ideo incurabilis est morbus, quia morbus non esse videtur; sed quemadmodum sermo simplex crimen non est, ita et hoc crimen esse non videtur, sed confidenter hoc facinus admittitur; si quis vero redarguat, statim risus et cachinni profusi, non adversus eos qui de juramentis redarguuntur, sed eos qui morbum curare volunt. Ideo longum hac de re sermonem habeo : altam enim radicem evellere cupio, et diuturnum delere malum; non perjuria solum dico, sed et juramenta juste prolata. At, inquies, ille homo modestus, sacerdotium gerens, pie temperanterque vivens, jurat tamen. Ne mihi modestum illum alleges, temperantem, pium, in sacerdotio degentem : sed si vis pone Petrum esse vel Paulum, vel angelum etiam, qui de cælo descenderit : ne sic quidem personarum dignitatem respiciam. Nam legem ego non servilem, sed dominicam de juramento lego : cum autem imperatoria scripta leguntur, omnis servorum dignitas quiescat. Nam si dicere

χαζέτω. Ἂν μὲν γὰρ ἔχῃς εἰπεῖν ὅτι ὁ Χριστὸς ὀμνύναι ἐκέλευσεν, ἢ ὅτι ὁ Χριστὸς οὐ κολάζει τοῦτο γινόμενον, δεῖξον καὶ πείθομαι· εἰ δὲ μετὰ τοσαύτης ἀπείργει σπουδῆς, καὶ τοσαύτην ὑπὲρ τοῦ πράγματος ποιεῖται πρόνοιαν, ὡς μετὰ τοῦ πονηροῦ στῆσαι τὸν ὀμνύοντα (« Τὸ γὰρ περισσὸν τούτων, τοῦ ναὶ καὶ τοῦ οὒ, φησίν, ἐκ τοῦ διαβόλου ἐστί »)· τί μοι τὸν δεῖνα καὶ τὸν δεῖνα προσάγεις εἰς μέσον; οὐ γὰρ ἀπὸ τῆς ῥᾳθυμίας τῶν συνδούλων οἴσει σοι τὴν ψῆφον ὁ Θεὸς ταύτην, ἀλλ' ἀπὸ τῆς ἐπιταγῆς τῶν αὐτοῦ νόμων. Ἐπέταξα, φησίν, ἔδει πεισθῆναι, καὶ μὴ τὸν δεῖνα προβάλλεσθαι, μηδὲ ἀλλότρια περιεργάζεσθαι κακά. Ἐπεὶ ὁ μέγας Δαυὶδ ἥμαρτεν ἁμαρτίαν χαλεπήν· ἆρα οὖν ἀκίνδυνον ἡμῖν διὰ τοῦτο τὸ ἁμαρτάνειν, εἰπέ μοι; Διὰ τοῦτο μὲν οὖν ἀσφαλίζεσθαι χρὴ, καὶ τὰ κατορθώματα τῶν ἁγίων μόνον ζηλοῦν· εἰ δέ που ῥᾳθυμία καὶ νόμου παράβασις, μετὰ πολλῆς ἀποφεύγειν χρὴ τῆς σπουδῆς. Οὐ γὰρ πρὸς τοὺς συνδούλους ἡμῖν, ἀλλὰ πρὸς τὸν Δεσπότην ὁ λόγος ἐστὶ, καὶ τούτῳ τὰς εὐθύνας δώσομεν τῶν βεβιωμένων ἁπάντων. Πρὸς ἐκεῖνο τοίνυν παρασκευαζώμεθα τὸ δικαστήριον· κἂν γὰρ μυριάκις θαυμαστὸς ᾖ καὶ μέγας ὁ τὸν νόμον παραβαίνων τοῦτον, δώσει πάντως τὴν ἐπὶ τῇ παραβάσει κειμένην τιμωρίαν· οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός. Πῶς οὖν ἔστι καὶ τίνι τρόπῳ φυγεῖν τὸ ἁμάρτημα; οὐ γὰρ δὴ μόνον τὸ ἔγκλημα χαλεπὸν χρὴ δεῖξαι, ἀλλὰ καὶ ὅπως ἂν ἀπαλλαγείημεν συμβουλεῦσαι. Ἔχεις γυναῖκα, ἔχεις οἰκέτην; ἔχεις παιδία καὶ φίλον καὶ συγγενῆ καὶ γείτονα; πᾶσι τούτοις τὴν περὶ τούτων ἐπίτρεψον φυλακήν. Χαλεπὸν ἡ συνήθεια, καὶ δεινὸν ὑποσχελίσαι, καὶ δυσφύλακτον, καὶ ἄχοντας ἡμᾶς πολλάκις καὶ οὐκ εἰδότας ἐμβάλλει; Οὐκοῦν ὅσῳ τῆς συνηθείας οἶδας τὴν δύναμιν, τοσούτῳ τῆς μὲν πονηρᾶς συνηθείας ἀπαλλαγῆναι σπούδασον, πρὸς δὲ τὴν ἑτέραν τὴν χρησιμωτάτην σεαυτὸν μετάστησον. Ὥσπερ γὰρ νῦν σπουδάζοντά σε καὶ φυλαττόμενον καὶ μεριμνῶντα καὶ φροντίζοντα ἴσχυσε πολλάκις ὑποσχελίσαι ἐκείνη, οὕτως ἂν εἰς τὴν ἀγαθὴν σαυτὸν συνήθειαν μεταστήσῃς τὴν τοῦ μὴ ὀμνύναι, οὐδὲ ἄκων οὐδὲ ῥᾳθυμῶν ἐμπεσεῖν δυνήσῃ ποτὲ πρὸς τὰ τῶν ὅρκων πτώματα· μέγα γὰρ ὄντως συνήθεια, καὶ φύσεως ἔχει δύναμιν.

Ἵν' οὖν μὴ πονῶμεν συνεχῶς, ἑαυτοὺς εἰς συνήθειαν μεταστήσωμεν ἑτέραν, καὶ ἕκαστον τῶν σοι συγγινομένων καὶ συνόντων ταύτην αἴτησαι τὴν χάριν, ἵνα συμβουλεύῃ καὶ παραινῇ φεύγειν τοὺς ὅρκους, καὶ ἁλισκόμενον ἐλέγχῃ. Ἡ γὰρ παρ' αὐτῶν εἰς σὲ γινομένη φυλακὴ καὶ αὐτοῖς ἐστι συμβουλὴ καὶ παραίνεσις τοῦ κατορθώματος. Ὁ γὰρ ἐγκαλῶν ἑτέρῳ περὶ ὅρκων οὐ ῥᾳδίως αὐτὸς εἰς τὸ βάραθρον ἐμπεσεῖται τοῦτο· βάραθρον γὰρ οὐ τὸ τυχὸν ἡ πολυορκία, οὐχ ὅταν περὶ ἐλαχίστων μόνον, ἀλλὰ καὶ ὅταν περὶ μεγίστων γίνηται πραγμάτων. Ἡμεῖς δὲ καὶ λάχανα ὠνούμενοι καὶ ὑπὲρ ὀβολῶν δύο φιλονεικοῦντες, καὶ πρὸς οἰκέτας ὀργιζό-

potes Christum juramenta præcepisse, aut Christum ipsa admissa non ulcisci, ostende mihi, et morem geram. Quodsi tanta cura ipsum velat, et tantam hujus rei providentiam gerit, ut cum maligno jurantem constituat (*Quod autem abundantius est*, ait (*Matth.* 5. 37), *his, Est et Non, a diabolo est*), quid mihi hunc et illum in medium producis? Non enim ex conservorum negligentia, sed ex legum suarum præcepto, tibi Deus feret in ea re calculum. Jussi, inquit : obtemperare oportebat, non hunc et illum prætendere, neque aliena mala curiosius investigare. Quandoquidem magnus ille David in grave peccatum lapsus est : ideone, quæso, sine periculo peccare poterimus? Quapropter hoc cavere oportet, atque recta tantum sanctorum gesta imitari : sicubi vero negligentia vel transgressio legis occurrat, id summa sollicitudine fugiendum est. Non enim cum conservis, sed cum Domino ratio nobis est, rerumque in vita gestarum omnium rationem ipsi reddemus. Ad illud itaque tribunal nos præparemus : nam quantumvis admirandus et magnus sit is qui hanc legem violat, reposito huic prævaricationi supplicio haud dubie plectetur : non enim personas accipit Deus. Quemodo autem quave ratione potest hoc peccatum vitari? non enim par est quam grave sit peccatum dumtaxat ostendere, sed consilium etiam, quo ab eo liberari possimus, aperire. Est tibi conjux, sunt tibi filii; est amicus, cognatus, vicinus : his omnibus hanc super his custodiam demanda. Gravis res est consuetudo, difficile est eam de medio tollere, arduum est ab illa cavere, invitos sæpe et imprudentes invadit? Igitur quanto majorem nosti vim consuetudinis, tanto magis a prava consuetudine liberari satage et ad contrariam utilissimam te transfer. Quemadmodum enim te illa curantem sæpe, ab illa cavente teque solicite custodiente, potuit supplantare, ita si te in bonam non jurandi consuetudinem transferas, nec invitus unquam nec socors poteris in juramenti lapsum deferri. Magna utique res consuetudo, quæ naturæ vim habet.

Ne igitur semper laboremus, in alteram nos consuetudinem transferamus : a singulis tecum viventibus et versantibus hanc gratiam postula, ut te hortentur atque inducant ad vitandum juramentum, deprehensum arguant. Nam eorum circa te custodia vel ipsis consilium et adhortatio est ad recte agendum. Nam qui alterum de juramento accusat, non facile ipse in hoc barathrum incidet. Barathrum enim non parvum est jurandi frequentia, non modo cum de minimis rebus, sed cum de maximis agitur. Nos autem vel olera ementes, vel de duobus obolis dis-

μενοι καὶ ἀπειλοῦντες, τὸν Θεὸν παντοχοῦ καλοῦμεν μάρτυρα· καὶ ἄνθρωπον μὲν ἐλεύθερον ἀξίας τινὸς μετασχόντα φιλῆς οὐκ ἂν ἐτόλμησας ὑπὲρ τοιούτων καλέσαι μάρτυρα ἐπ' ἀγορᾶς, ἀλλὰ κἂν ἐπιχειρήσῃς, δίκην δώσεις τῆς ὕβρεως· τὸν δὲ τῶν οὐρανῶν βασιλέα, τὸν τῶν ἀγγέλων Δεσπότην, καὶ περὶ ὠνίων καὶ περὶ χρημάτων καὶ περὶ τῶν τυχόντων διαλεγόμενος ἕλκεις εἰς μαρτυρίαν· καὶ πῶς ταῦτα ἀνεκτά; Πόθεν οὖν ἀπαλλαγείημεν ἐκ τῆς πονηρᾶς ταύτης συνηθείας; Τοὺς φύλακας οὓς εἶπον περιστήσαντες, χρόνον ῥητὸν ὁρίσαντες ἑαυτοῖς πρὸς διόρθωσιν, καὶ καταδίκην ἐπιθέντες, εἰ τοῦ χρόνου παρελθόντος μὴ κατορθώσαιμεν τοῦτο. Πόσος οὖν ἡμῖν χρόνος ἀρκέσει πρὸς τοῦτο; Οὐκ οἶμαι τοὺς σφόδρα νήφοντας καὶ διεγηγερμένους καὶ ὑπὲρ τῆς ἑαυτῶν ἀγρυπνοῦντας σωτηρίας πλέον ἡμερῶν δέκα δεηθήσεσθαι, ὥστε παντελῶς ἀπαλλαγῆναι τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. Εἰ δὲ μετὰ τὰς δέκα ἡμέρας ὀφθείημεν ὀμνύντες, δίκην ἑαυτοῖς ἐπιθῶμεν καὶ τιμωρίαν μεγίστην, καὶ καταδίκην ὁρίσωμεν τῆς παραβάσεως. Τίς οὖν ἐστιν ἡ καταδίκη; Οὐκέτι τοῦτο ὁρίζω ἐγὼ, ἀλλ' ὑμᾶς αὐτοὺς ἀφίημι κυρίους τῆς ψήφου εἶναι. [Ἂν] οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, μὴ μόνον ἐπὶ τῶν ὅρκων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἐλαττωμάτων, καὶ χρόνον ὁρίζοντες ἑαυτοῖς [καὶ] τιμωρίας χαλεπωτάτας, εἴ ποτε περιπέσωμεν τούτοις· καθαροὶ πρὸς τὸν ἡμέτερον ἀπελευσόμεθα Δεσπότην, καὶ τῆς τοῦ πυρὸς γεέννης ἀπαλλαγησόμεθα, καὶ μετὰ παῤῥησίας στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

ceplantes, in famulos ira commoti et comminantes, Deum semper advocamus testem. Hominem quidem ingenuum, levi aliqua dignitate præditum, ad hujusmodi res in foro testem advocare non audes, vel si audeas, contumeliæ pœnas dabis: cælorum autem Regem et angelorum Dominum, sive de venalibus, sive de pecuniis, sive de minimis rebus sermonem habeas, in testimonium trahis; hæccine ferenda? Quomodo poterimus ergo ab hac mala consuetudine liberari? Si custodes, quos dixi, circa nos ponamus, tempusque nobis ipsis ad correctionem constituamus, pœnamque nobis indicamus, si elapso hoc tempore non fuerimus emendati. Quantum igitur tempus ad hoc satis erit? Non puto eos qui admodum vigilant suæque curandæ saluti intenti sunt, plus decem diebus opus habere, ut a mala juramentorum consuetudine prorsus liberentur. Quodsi post illos decem dies jurantes deprehendamur, pœnam nobis constituamus, damnationem et supplicium pro prævaricatione maximum. Quam vero damnationem? Id nondum ego definiam, sed vos sententiæ dominos constituo. Si sic ea quæ nos spectant, dispensemus, non modo circa juramenta, sed circa alia quælibet delicta, tempus nobis constituentes, et gravissimis deputatis pœnis, si aliquando in ea incidamus: puri ad Dominum nostrum accedemus, et a gehenna ignis liberabimur, fidenterque stabimus ante tribunal Christi: quod nos omnes assequi contingat, gratia etc.

ΚΑΤΗΧΗΣΙΣ ΔΕΥΤΕΡΑ.

Πρὸς τοὺς μέλλοντας φωτίζεσθαι· καὶ περὶ γυναικῶν τῶν ἐν πλέγμασι καὶ χρυσῷ κατακοσμουσῶν ἑαυτάς· καὶ περὶ τῶν κληδονισμοῖς ἢ περιάπτοις ἢ ἐπῳδαῖς κεχρημένων, ἅτινα ἀλλότρια ἅπαντα χριστιανισμοῦ ἀποδείκνυται.

Τῶν πρώην εἰρημένων πρὸς τὴν ὑμετέραν ἀγάπην πρότερον τοὺς καρποὺς παρεγενόμην ἀπαιτήσων ὑμᾶς· οὐδὲ γὰρ διὰ τοῦτο λέγομεν, ἵνα ἀκούητε μόνον, ἀλλ' ἵνα καὶ μνημονεύητε τῶν εἰρημένων καὶ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ἡμῖν παράσχητε· μᾶλλον δὲ οὐχ ἡμῖν, ἀλλὰ τῷ Θεῷ τῷ τὰ ἀπόῤῥητα τῆς διανοίας εἰδότι. Διὰ τοῦτο καὶ κατήχησις λέγεται, ἵνα καὶ ἀπόντων ἡμῶν ὁ λόγος ὑμῶν ἐνηχῇ ταῖς διανοίαις. Καὶ μὴ θαυμάσητε εἰ δέκα ἡμερῶν διαγενομένων μόνον τοὺς καρποὺς ἤλθομεν ἀπαιτήσοντες τῶν σπερμάτων· καὶ γὰρ ἐν ἡμέρᾳ μιᾷ δυνατὸν ὁμοῦ καὶ σπέρματα καταβαλεῖν καὶ ἀμητὸν ποιήσασθαι· οὐ γὰρ οἰκείᾳ δυνάμει μόνον, ἀλλὰ καὶ τῇ παρὰ τοῦ Θεοῦ ῥοπῇ δυναμούμενοι, οὕτω πρὸς τοὺς ἀγῶνας καλούμεθα. Ὅσοι μὲν οὖν κατεδέξαντο τὰ εἰρημένα καὶ διὰ τῶν ἔργων ἐπλήρωσαν, μενέτωσαν ἐπεκτεινόμενοι πρὸς τὰ

CATECHESIS ALTERA.

Ad illuminandos, et de mulieribus se tortis crinibus et auro ornantibus, et de sectantibus vaticinia, vel ligaturas, vel incantationes: quæ cuncta a Christianismo sunt aliena.

1. Nuper dictorum apud caritatem vestram fructus a vobis repetiturus adveni: non enim propterea loquimur, ut tantum audiatis, verum ut et dictorum memoriam servetis, et per opera nobis ea exhibeatis; imo vero non nobis, sed Deo mentis arcana scienti. Propterea et *catechesis*, id est institutio, dicitur, ut et absentibus nobis sermo noster per mentes vestras insonet. Et ne miremini si decem diebus tantum transactis seminum fructus repetituri venimus: etenim die una licet pariter et semina spargere et messem facere: non enim propria tantum virtute, verum et divino auxilio roborati, sic ad certamina vocamur. Quicumque igitur dicta susceperunt et per opera impleverunt, maneant alacriter tendentes in anteriora: quicumque

ἔμπροσθεν· ὅσοι δὲ οὐδέπω τῆς ἀγαθῆς ταύτης ἐργασίας ἥψαντο, ἐντεῦθεν ἁψάσθωσαν, ἵνα καὶ τὴν ἐκ τῆς ῥᾳθυμίας καταδίκην τῇ μετὰ ταῦτα προθυμίᾳ ἀποκρούσωνται. Ἕνι γὰρ, ἕνι καὶ τὸν ἐῤῥᾳθυμηκότα σφόδρα μετὰ ταῦτα χρησάμενον τῇ προθυμίᾳ τοῦ παρελθόντος χρόνου πᾶσαν ἀνασῶσαι τὴν ζημίαν. Διὸ, φησὶ, « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. » Τοῦτο δὲ λέγει παραινῶν καὶ συμβουλεύων μηδέποτε ἀπογινώσκειν, ἀλλ' ἕως ἂν ἐνταῦθα ὦμεν, χρηστὰς ἔχειν τὰς ἐλπίδας, καὶ τῶν ἔμπροσθεν ἐπιλαμβάνεσθαι, καὶ πρὸς τὸ βραβεῖον διώκειν τῆς ἄνω κλήσεως τοῦ Θεοῦ. Τοῦτο τοίνυν ποιήσωμεν, καὶ τὰ ὀνόματα τῆς μεγάλης ταύτης ἐξετάσωμεν δωρεᾶς. Ὥσπερ γὰρ ἀγνοούμενον ἀξιώματος [τὸ] μέγεθος ῥᾳθυμοτέρους ποιεῖ τοὺς τιμωμένους, οὕτω γνωριζόμενον εὐχαρίστους καθίστησι καὶ σπουδαιοτέρους ἐργάζεται. Καὶ ἄλλως δὲ αἰσχρὸν ἂν εἴη καὶ καταγέλαστον τοσαύτης ἀπολαύοντας παρὰ τοῦ Θεοῦ τιμῆς, μηδὲ τὰ ὀνόματα αὐτῆς εἰδέναι τί ποτε ἐνδείξασθαι βούλεται. Καὶ τί λέγω περὶ τῆς δωρεᾶς ταύτης; ἂν γὰρ τὸ κοινὸν τοῦ γένους ἡμῶν ἐννοήσῃς ὄνομα, μεγίστην πρὸς ἀρετὴν λήψῃ διδασκαλίαν καὶ παράκλησιν. Τὸ γὰρ ἄνθρωπος τοῦτο ὄνομα οὐ κατὰ τοὺς ἔξωθεν ἡμεῖς ὁριζόμεθα, ἀλλ' ὡς ἡ θεία Γραφὴ ἐκέλευσεν. Ἄνθρωπος γάρ ἐστιν, οὐχ ὅστις ἁπλῶς χεῖρας ἔχει καὶ πόδας ἀνθρώπου, οὐδ' ὅστις ἐστὶ λογικὸς, ἀλλ' ὅστις εὐσέβειαν καὶ ἀρετὴν μετὰ παῤῥησίας ἀσκεῖ. Ἄκουσον γοῦν περὶ τοῦ Ἰὼβ τί φησιν· εἰπὼν γὰρ ὅτι « Ἐν χώρᾳ τῇ Αὐσίτιδι ἄνθρωπος ἦν », οὐκ ἀπὸ τούτων αὐτὸν ὑπογράφει τῶν ὅρων, ἀφ' ὧν οἱ ἔξωθεν, οὐδὲ τοῦτο λέγει, ὅτι πόδας δύο εἶχε καὶ ὄνυχας πλατεῖς, ἀλλὰ τὰ γνωριστικὰ τῆς εὐσεβείας ἐκείνης ἐντιθεὶς ἔλεγε, « Δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος », δεικνὺς ὅτι τοῦτό ἐστιν ἄνθρωπος· καθάπερ οὖν καὶ ἕτερός φησι, « Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος. » Εἰ δὲ τὸ ἄνθρωπος ὄνομα τοσαύτην εἰς ἀρετὴν παράκλησιν παρίσχει, πολλῷ μᾶλλον τὸ πιστός. Πιστὸς γὰρ διὰ τοῦτο καλῇ, ὅτι καὶ πιστεύεις τῷ Θεῷ, καὶ πιστεύῃ παρ' αὐτοῦ. Αὐτὸς δικαιοσύνην, ἁγιωσύνην, καθαρότητα ψυχῆς, υἱοθεσίαν, βασιλείαν οὐρανῶν ἐνεπίστευσε καὶ ταῦτά σοι παρακατέθετο· σὺ πάλιν ἕτερα αὐτῷ ἐνεπίστευσας καὶ παρακατέθου, ἐλεημοσύνην, εὐχὰς, σωφροσύνην, τὴν ἄλλην ἅπασαν ἀρετήν. Καὶ τί λέγω ἐλεημοσύνην; κἂν ψυχροῦ αὐτῷ ποτήριον δῷς, οὐδὲ τοῦτο ἀπολέσεις, ἀλλὰ καὶ τοῦτο μετ' ἀκριβείας φυλάσσει εἰς ἐκείνην τὴν ἡμέραν, καὶ μετὰ πολλῆς ἀποδώσει τῆς περιουσίας· τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ φυλάττει τὰς παραταθήκας μόνον, ἀλλὰ καὶ πλεονάζει ταύτας ταῖς ἀντιδόσεσι. Τοῦτο καὶ σὲ ποιεῖν ἐκέλευσε κατὰ δύναμιν τὴν σὴν ἐν οἷς ἐνεπιστεύθης, τὴν ἁγιωσύνην ἣν ἔλαβες ἐπιτείνειν, καὶ τὴν δικαιοσύνην τὴν ἀπὸ τοῦ λουτροῦ λαμπροτέραν

vero bonam hanc operationem nondum attigerunt, jam attingant, ut ex torpore natam damnationem futuro studio repelliant. Licet enim, licet, inquam, eum qui multum torpuit, post hæc diligentia utendo, præteriti temporis omnem sarcire jacturam Idcirco propheta dicit (*Psal.* 94. 8), *Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra sicut in exacerbatione.* Hoc autem dicit admonens et consulens numquam desperare, sed donec hic sumus, bonam habere spem et anteriora apprehendere et bravium supernæ Dei vocationis persequi (*Philipp.* 3. 14). Hoc igitur faciamus, et magni hujus muneris nomina exquiramus. Sicut enim dum ignoratur dignitatis magnitudo, segniores sunt qui honorantur : ita si noscatur, gratos reddit et magis studiosos efficit. Alioquin et turpe esset et ridiculum tanto potientes apud Deum honore, nec scire quid ipsius tandem nomina significare velint. Et quid de hoc munere dico? si enim commune generis nostri nomen cogitaveris, maximam ad virtutem capies disciplinam et exhortationem. Hoc enim nomen, *homo*, nos non secundum externos definimus, sed ut divina jussit Scriptura. Nam homo non est quicumque simpliciter manus habet et pedes humanos, nec quicumque tantum rationalis est; sed quicumque pietatem et virtutem cum fiducia exercet. Audi namque quid de Job dicit. Cum enim dixisset quod *In terra Ausitide homo erat*, non ex iis eum describit terminis, quibus ethnici, nec hoc dicit, quod duos pedes haberet et ungues latos; sed indicia pietatis illius inferens dicebat, *Justus, verax, colens Deum, abstinens ab omni mala re*, demonstrans quod hoc est homo, sicut scilicet et alius (*Eccles.* 12. 13) inquit, *Deum time, et ipsius mandata custodi, quoniam hoc est omnis homo.* Si autem hoc nomen *homo* tantam ad virtutem præbet exhortationem, multo magis illud, *fidelis*. Fidelis enim ideo vocaris, quoniam et credis Deo, et ab ipso credita habes. Ipse justitiam, sanctitatem, munditiam animæ, in filium adoptionem, regnum cælorum tibi commisit et commendavit : tu vicissim ipsi alia credidisti et commisisti, eleemosynam, preces, modestiam et omnem aliam virtutem. Et quid dico eleemosynam? si vel frigidæ ipsi dederis poculum (*Matth.* 10. 42), nec hoc amittes, verum et hoc in illum reservat sedulo diem, et cum multa reddet superabundantia : hoc quippe admirabile est, quod non tantum deposita servet, verum et multiplicet retributionibus. Hoc et te secundum potentiam tuam facere jussit in iis quæ tibi credita sunt : nempe sanctitatem, quam accepisti, intendere, et ex lavacro justitiam reddere clariorem, et gratiam illustriorem facere :

ἐργάζεσθαι, καὶ τὸ χάρισμα φαιδρότερον ποιεῖν· καθάπερ οὖν καὶ Παῦλος ἐποίησε, τοῖς μετὰ ταῦτα πόνοις καὶ τῇ σπουδῇ καὶ τῇ προθυμίᾳ αὐξήσας ἅπαντα ἅπερ ἔλαβεν ἀγαθά. Καὶ σκόπει Θεοῦ κηδεμονίαν· οὔτε σοι τὸ πᾶν ἔδωκεν ἐνταῦθα, οὔτε τοῦ παντὸς ἀπεστέρησεν, ἀλλὰ τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο. Καὶ τίνος ἕνεκεν οὐ τὸ πᾶν ἐνταῦθα ἔδωκεν; Ἵνα σὺ τὴν πίστιν ἐπιδείξῃ τὴν περὶ αὐτὸν, τοῖς μηδέπω δοθεῖσιν ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ μόνης πιστεύων. Τίνος δὲ ἕνεκεν πάλιν οὐ τὸ πᾶν ἐκεῖ ἐταμιεύσατο, ἀλλ' ἔδωκε καὶ Πνεύματος χάριν καὶ δικαιοσύνην καὶ ἁγιασμόν; Ἵνα σοι κουφίσῃ τοὺς πόνους, καὶ ἐκ τῶν ἤδη δοθέντων καὶ ἐκ τῶν μελλόντων εὐέλπιδα καταστήσῃ. Διὰ τοῦτο καὶ νεοφώτιστος μέλλεις καλεῖσθαι, ὅτι νέον σοι τὸ φῶς ἀεί, ἂν ἐθέλῃς, καὶ οὐδέποτε σβέννυται. Τοῦτο μὲν γὰρ καὶ βουλομένων καὶ μὴ βουλομένων ἡμῶν διαδέχεται νὺξ, ἐκείνην δὲ τὴν ἀκτῖνα σκότος οὐκ οἶδε· « Τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. » Οὐχ οὕτω γοῦν ὁ κόσμος ἐστὶ λαμπρὸς ἀνισχούσης τῆς ἀκτῖνος, ὡς ψυχὴ καταυγάζεται καὶ λαμπροτέρα γίνεται τὴν παρὰ τοῦ Πνεύματος δεξαμένη χάριν. Καὶ μάνθανε τῶν πραγμάτων ἀκριβέστερον τὴν φύσιν· νυκτὸς μὲν γὰρ κατεχούσης καὶ σκότους ὄντος πολλάκις καὶ σχοινίον ἰδών τις ἐνόμισεν ὄφιν εἶναι, καὶ φίλον προσιόντα ὡς ἐχθρὸν ἔφυγε, καὶ ψόφου τινὸς αἰσθόμενος περιδεὴς γέγονεν· ἡμέρας δὲ γενομένης οὐδὲν τοιοῦτον γένοιτ' ἂν, ἀλλὰ πάντα οἷαπερ ἐστὶ φαίνεται· ὃ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει τῆς ἡμετέρας. Ἐπειδὰν γὰρ ἡ χάρις ἐλθοῦσα τὸ σκότος ἀπελάσῃ τῆς διανοίας, μανθάνομεν τὴν τῶν πραγμάτων ἀκρίβειαν, καὶ γίνεται ἡμῖν εὐκαταφρόνητα τὰ πρότερον φοβερά. Οὔτε γὰρ θάνατον ἔτι δεδοίκαμεν, μαθόντες ἀκριβῶς παρὰ τῆς ἱερᾶς ταύτης μυσταγωγίας, ὅτι οὐκ ἔστι θάνατος ὁ θάνατος, ἀλλ' ὕπνος καὶ κοίμησις πρόσκαιρος· οὐ πενίαν, οὐ νόσον, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, εἰδότες ὅτι πρὸς βελτίονα ζωὴν ὁδεύομεν, ἀκήρατόν τε καὶ ἄφθαρτον, καὶ πάσης τοιαύτης ἀπηλλαγμένην ἀνωμαλίας.

Μὴ τοίνυν ἔτι πρὸς τὰ βιωτικὰ μένωμεν κεχηνότες, μὴ περὶ τρυφὴν τραπέζης, μηδὲ περὶ πολυτέλειαν ἱματίων· καὶ γὰρ ἔχεις ἱμάτιον μέγιστον, ἔχεις τράπεζαν πνευματικὴν, ἔχεις τὴν δόξαν τὴν ἄνω, καὶ πάντα σοι ὁ Χριστὸς γίνεται, καὶ τράπεζα, καὶ ἱμάτιον, καὶ οἶκος, καὶ κεφαλὴ, καὶ ῥίζα. « Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· » ἰδοὺ πῶς ἱμάτιόν σοι γέγονε. Βούλει μαθεῖν πῶς καὶ τράπεζα γίνεται; « Ὁ τρώγων με, [φησὶν], ὥσπερ ἐγὼ ζῶ διὰ τὸν Πατέρα, κἀκεῖνος ζήσεται δι' ἐμέ. » Ὅτι δὲ καὶ οἶκός σοι γίνεται, « Ὁ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ· » καὶ ῥίζα, πάλιν « Ἐγὼ » φησὶν « ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· » καὶ ἀδελφὸς, καὶ νυμφίος, καὶ φίλος· « Οὐκέτι ὑμᾶς λέγω δούλους· ὑμεῖς [γὰρ] φίλοι μού ἐστε. » Καὶ ὁ Παῦλος [πάλιν]· « Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· »

sicut utique et Paulus fecit, sequentibus laboribus et studio diligentiaque augens omnia quæ accepit bona. Et nota Dei providentiam : nec tibi totum hoc dedit, neque tota privavit; sed hæc dedit, illa promisit. Et quare non totum hic dedit? Ut tu fidem in ipsum demonstres, nondum datis ex ipsius promissione sola credens. Quare vero rursum non omnia illic reservavit, sed dedit et Spiritus gratiam et justitiam et sanctificationem? Ut tibi labores leves faciat, et ex jam datis etiam de futuris te bonæ spei constituat. Propterea que recenter illuminatus vocaberis : quoniam nova lux semper tibi, si velis, et numquam exstinguitur. Hanc nempe lucem et volentibus nobis et nolentibus nox subsequitur; illum vero radium tenebræ non norunt. (*Joan.* 1. 5) *Lux* enim *in tenebris lucet, et tenebræ eam non comprehenderunt.* Non sic enim mundus est clarus oriente radio, ut anima illustratur et splendidior fit a Spiritu gratiam suscipiens. Et considera diligentius rerum naturam. Nocte enim terras tenente et tenebris caligantibus, sæpe funiculum quis cernens, serpentem esse putavit, et amicum accedentem tamquam inimicum fugit, et strepitum quempiam sentiens trepidus factus est; lucente vero die nihil tale accíderit, sed omnia qualia sunt apparent : quod et in anima nostra contingit. Postquam enim gratia veniens mente tenebras expulerit, rerum veritatem discimus, et nobis fiunt despicabiles res prius tremendæ : nec enim amplius mortem timemus, diligenter ex hac sacra initatione discentes, mortem non esse mortem, sed somnum et dormitionem temporariam : non pauperiem, non morbum, non aliud quid hujusmodi reformidamus, scientes nos ad meliorem tendere vitam immortalem et incorruptam, et ab omni tali liberam inæqualitate.

2. Ne igitur amplius ad mortalia maneamus hiantes, nec circa mensæ delicias, nec circa vestimentorum ornatum : habes enim maximum indumentum, habes mensam spiritualem, habes gloriam superne, et omnia tibi Christus factus est, et mensa, et vestimentum, et domus, et caput, et radix. (*Gal.* 3. 27) *Quotquot in Christo* enim *baptizati estis, Christum induistis.* Ecce quomodo vestimentum tibi est. Vis discere quomodo et mensa tibi sit? *Qui me comedit*, inquit (*Joan.* 6 58), *sicut ego vivo propter Patrem, vivet et ille propter me.* Quod autem domus sit tibi (*ib.* v. 57) : *Qui* [*comedit carnem meam*] *in me manet et ego in eo.* Et quod radix, rursum inquit (*Joan.* 15. 5. et 15) : *Ego vitis, vos palmites.* Et quod frater, et amicus, et sponsus : *Non amplius vos dicam servos. Vos enim amici mei estis*; et Paulus (2. *Cor.* 11. 2) : *Despondi vos uni viro virginem castam*

καὶ πάλιν· « Εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. » Οὐκ ἀδελφοὶ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ παιδία γινόμεθα· « Ἰδοὺ γάρ, φησίν, ἐγὼ, καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός· » οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ μέλη αὐτοῦ, καὶ σῶμα αὐτοῦ. Ὥσπερ γὰρ οὐκ ἀρκούντων τῶν εἰρημένων ἐπιδεῖξαι τὴν ἀγάπην καὶ τὴν εὔνοιαν ἣν πρὸς ἡμᾶς ἐπιδείκνυται, καὶ ἕτερον τούτων μεῖζον καὶ ἐγγύτερον ἔθηκεν, κεφαλὴν ἑαυτὸν ἡμῶν προσειπών.

Ταῦτα δὴ πάντα εἰδὼς, ἀγαπητὲ, ἄμεψαί σου τὸν εὐεργέτην ἀρίστῃ πολιτείᾳ, καὶ ἐννοήσας τῆς θυσίας τὸ μέγεθος, καλλώπισόν σου τὰ μέλη τοῦ σώματος. Ἔννόησον τί δέχῃ τῇ χειρὶ, καὶ μηδέποτε ἀνάσχῃ τυπτῆσαί τινα, μηδὲ τὴν τοσούτῳ τιμηθεῖσαν δώρῳ καταισχύνῃς τῇ τῆς πληγῆς ἁμαρτίᾳ· ἐννόησον τί δέχῃ τῇ χειρὶ, καὶ καθαρὰν αὐτὴν πλεονεξίας καὶ ἁρπαγῆς πάσης διατήρησον. Λόγισαι ὅτι οὐ τῇ χειρὶ δέχῃ μόνον, ἀλλὰ καὶ τῷ στόματι προσάγεις, καὶ καθαρὰν φύλαττε τὴν γλῶτταν αἰσχρῶν καὶ ὑβριστικῶν ῥημάτων, βλασφημίας, ἐπιορκίας, καὶ τῶν ἄλλων τῶν τοιούτων ἁπάντων. Καὶ γὰρ ὀλέθριον τὴν διακονουμένην μυστηρίοις οὕτω φρικωδεστάτοις, καὶ αἵματι φοινιχθεῖσαν τοιούτῳ, καὶ χρυσῆν γενομένην μάχαιραν, ἐπὶ λοιδορίας καὶ ὕβρεις καὶ εὐτραπελίας μετάγειν. Αἰδέσθητι τὴν τιμὴν ἣν ἐτίμησεν αὐτὴν ὁ Θεὸς, καὶ μὴ καταγάγῃς εἰς τὴν τῆς ἁμαρτίας εὐτέλειαν· ἀλλ' ἐνθυμηθεὶς πάλιν, ὅτι μετὰ τὴν χεῖρα καὶ τὴν γλῶσσαν ἡ καρδία δέχεται τὸ φρικτὸν ἐκεῖνο μυστήριον, μὴ ῥάθυμός ποτε κατὰ τοῦ πλησίον δόλον, ἀλλὰ κακουργίας πάσης καθαρὰν διατήρει σου τὴν διάνοιαν· οὕτω καὶ ὀφθαλμοὺς καὶ ἀκοὴν ἀσφαλίσασθαι δυνήσῃ. Πῶς γὰρ οὐκ ἄτοπον, μετὰ τὴν μυστικὴν ἐκείνην φωνὴν καὶ ἐκ τῶν οὐρανῶν φερομένην, τὴν ἐκ τῶν Χερουβὶμ λέγω, πορνικοῖς ᾄσμασι καὶ κατακεκλασμένοις μέλεσι τὴν ἀκοὴν μολύνειν; πῶς δὲ οὐκ ἐσχάτης κολάσεως ἄξιον, τοῖς ὀφθαλμοῖς, οἷς ὁρᾷς τὰ ἀπόρρητα καὶ φρικτὰ μυστήρια, τούτοις πόρνας ὁρᾶν, καὶ μοιχείαν ἐργάζεσθαι τὴν κατὰ διάνοιαν; Εἰς γάμον ἐκλήθης, ἀγαπητέ· μὴ εἰσέλθῃς ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, ἀλλὰ τῷ γάμῳ κατάλληλον λαβὲ στολήν. Εἰ γὰρ εἰς γάμους αἰσθητοὺς ἄνθρωποι καλούμενοι, κἂν ἁπάντων ὦσι πενέστεροι, χρησάμενοι πολλάκις ἢ πριάμενοι ἱμάτιον καθαρὸν, οὕτω πρὸς τοὺς καλέσαντας αὐτοὺς ἁπαντῶσι· ὁ πρὸς γάμον κληθεὶς πνευματικὸν καὶ δεῖπνα βασιλικὰ ἐννόησον, ἧλίκον ἂν εἴη δίκαιόν σε ἱμάτιον πρίασθαι· μᾶλλον δὲ οὐδὲ ἀγοράσαι χρεία, ἀλλ' αὐτός σοι δίδωσιν ὁ καλῶν δωρεὰν, ἵνα μηδὲ πενίαν προβάλλεσθαι ἔχῃς. Τήρει τοίνυν ὅπερ ἔλαβες ἱμάτιον· ἂν γὰρ ἀπολέσῃς, χρήσασθαι οὐ δύνασαι λοιπὸν οὐδὲ πρίασθαι· οὐδαμοῦ γὰρ πωλεῖται τοιοῦτον ἱμάτιον. Ἤκουσας πῶς ἐστέναξαν οἱ πάλαι μυσταγωγηθέντες καὶ τὸ στῆθος ἐπάταξαν, τοῦ συνειδότος ἐνταῦθα διαναστήσαντος; Σκόπει τοίνυν, ἀγαπητὲ, μὴ καὶ σύ ποτε τοῦτο πάθῃς· πῶς δὲ οὐ πείσῃ τὴν πονηρὰν συνήθειαν μὴ ἐκβαλὼν τῶν κακῶν;

exhibere Christo; et rursum (*Rom.* 8. 29) : *Ut sit ipse primogenitus in multis fratribus.* Nec fratres tantum ipsius, verum et pueruli sumus : *Ecce enim*, inquit (*Isai.* 8. 18), *ego et pueruli, quos tradidit mihi Deus.* Non hoc autem solum, verum et membra ipsius et corpus ejus (1. *Cor.* 12. 27). Tamquam enim non sufficerent ea quæ dixerat, ad demonstrandam benevolentiam, et caritatem quam erga nos exhibet, et aliud his majus et propius posuit, se caput nostrum (*Ephes.* 1. 22) appellans.

Hæc omnia certo sciens, dilecte, sis gratus erga benefactorem tuum optima conversatione, et sacrificii magnitudinem cogitans, orna corporis tui membra. Cogita quid manu capias, nec unquam ullum verberare audeas, nec tanto decoratam munere, plagæ crimine dedecores : cogita quid manu capias, et ipsam ab omni avaritia et rapina liberam conserva. Puta quod non tantum manu capias, verum et ori admoveas, et linguam custodi a contumeliosis mundam et turpibus verbis, blasphemia, perjurio, et aliis omnibus hujusmodi. Etenim perniciosum est, tam tremendis ministrantem mysteriis linguam et sanguine tali purpuratam, et factam aureum gladium, ad convicia et contumelias et scurrilitates transferre. Reverere honorem quo Deus ipsam honoravit, nec ad peccati usum ipsam deducas; sed rursum animadvertens, quod post manum et linguam cor suscipiat tremendum illud mysterium, ne unquam in proximum consuas dolum, sed mentem tuam ab omni malitia mundam conserva; sic et oculos et aures munire poteris. Quomodo enim non est absurdum, post mysticam illam vocem e cælis delatam, a Cherubim dico, meretriciis cantibus et fractis melodiis aures inquinare? quomodo non extrema pœna dignum est, oculis quibus arcana vides et tremenda mysteria, his meretrices spectare, et mente adulterium exercere? Ad nuptias vocatus es, dilecte : ne intres sordidis indutus vestimentis, sed nuptiis congruam cape vestem. Si enim ad nuptias sensibiles homines invitati, etsi omnium pauperrimi sint, mutuo sumentes sæpe vel emuntes vestimentum mundum, sic se vocantibus occurrunt : tu ad nuptias spirituales et prandia vocatus regalia, consideres quale dignum sit te nuptiale vestimentum comparare. Verum enim vero nec opus est comparare, sed ipse qui vocat tibi dat gratis, ne vel paupertatem prætendere possis. Serves itaque quod accepisti vestimentum; si namque perdideris, amplius commodato accipere non potes, aut emere : nusquam enim venditur tale vestimentum. Audisti quomodo gemuerunt olim sacris introducti et pectus percusserunt, eos stimulante conscientia? Considera igitur et tu, dilecte, ne unquam hoc patiaris. Quomodo autem non patieris, non expulsa prava malorum consuetudine?

Διὰ τοῦτο καὶ πρώην εἶπον καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι, εἴ τις τὰ ἐλαττώματα τῶν τρόπων μὴ διώρθωσε μηδὲ παρεσκεύασεν ἑαυτῷ τὴν ἀρετὴν εὔκολον, μὴ βαπτιζέσθω. Τὰ μὲν γὰρ πρότερα ἁμαρτήματα ἀφεῖναι δύναται τὸ λουτρόν· δέος δὲ οὐ μικρὸν καὶ κίνδυνος οὐχ ὁ τυχών, μήποτε πάλιν ἐπ' αὐτὰ ἐπανέλθωμεν, καὶ γένηται ἡμῖν ἕλκος τὸ φάρμακον. Ὅσῳ γὰρ μείζων γέγονεν ἡ χάρις, τοσούτῳ πλείων ἡ κόλασις τοῖς μετὰ ταῦτα ἁμαρτάνουσιν. Ἵν' οὖν μὴ πρὸς τὸν πρότερον ἐπανίωμεν ἔμετον, παιδεύσωμεν ἑαυτοὺς ἐντεῦθεν ἤδη. Ὅτι γὰρ πρότερον μετανοήσαντας καὶ τῶν προτέρων ἀποστάντας κακῶν, οὕτω τῇ χάριτι προσιέναι δεῖ, ἄκουσον τί μὲν Ἰωάννης φησὶ, τί δὲ ὁ τῶν ἀποστόλων κορυφαῖος τοῖς βαπτίζεσθαι μέλλουσιν· ἐκεῖνος μὲν γάρ φησι, « Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν [ἐν ἑαυτοῖς] ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ » · οὗτος δὲ τοῖς ἐρωτῶσι πάλιν ἔλεγε, « Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. » Ὁ δὲ μετανοῶν οὐκέτι τῶν αὐτῶν ἅπτεται πραγμάτων, ἐφ' οἷς μετενόησε· διὰ τοῦτο καὶ κελευόμεθα λέγειν, « Ἀποτάσσομαί σοι, σατανᾶ » ἵνα μηκέτι πρὸς αὐτὸν ἐπανέλθωμεν. Καθάπερ οὖν ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω· καὶ γὰρ ἐκεῖνοι τὰς σανίδας προθέντες καὶ λευκὰς περιάγοντες γραμμὰς καὶ τὰς βασιλικὰς ὑπογράφοντες εἰκόνας, πρὶν ἢ τῶν χρωμάτων ἐπαγαγεῖν τὴν ἀλήθειαν, μετ' ἐξουσίας ἁπάσης τὰ μὲν ἐξαλείφουσι, τὰ δὲ ἀντεγγράφουσι, καὶ διορθοῦντες τὰ ἡμαρτημένα καὶ μετατιθέντες τὰ κακῶς ἔχοντα· ἐπειδὰν δὲ τὴν βαφὴν λοιπὸν ἐπαγάγωσιν, οὐκέτι εἰσὶ κύριοι πάλιν ἐξαλεῖψαι καὶ ἀντεγγράψαι, ἐπεὶ τῷ κάλλει τῆς εἰκόνος λυμαίνονται, καὶ ἔγκλημα τὸ πρᾶγμα γίνεται. Τοῦτο δὴ καὶ σὺ ποίησον· νόμισον εἰκόνα σοι τὴν ψυχὴν εἶναι· πρὶν ἢ τοίνυν ἐπελθεῖν τὴν ἀληθῆ τοῦ Πνεύματος βαφὴν, ἐξάλειψον τὰς κακῶς ἐντεθείσας σοι συνηθείας· εἴτε ὀμνύναι, εἴτε ψεύδεσθαι, εἴτε ὑβρίζειν, εἴτε αἰσχρολογεῖν, εἴτε γελωτοποιεῖν, εἴτε ἄλλο τι τῶν τοιούτων τῶν μὴ νενομισμένων συνήθειαν ἔχεις ποιεῖν, ἔξελε τὴν συνήθειαν, ἵνα μὴ πάλιν πρὸς αὐτὴν ἐπανέλθῃς μετὰ τὸ βάπτισμα. Τὰ ἁμαρτήματα ἀφανίζει τὸ λουτρὸν, τὴν συνήθειαν διόρθωσον σὺ, ἵνα τῶν χρωμάτων ἐπενεχθέντων καὶ λαμψάσης τῆς βασιλικῆς εἰκόνος, μηκέτι λοιπὸν ἐξαλείφῃς καὶ τραύματα καὶ οὐλὰς ἐμποιῇς τῷ παρὰ τοῦ Θεοῦ δοθέντι σοι κάλλει. Κατάπτειλον τοίνυν ὀργὴν, σβέσον θυμόν· κἂν ἀδικήσῃ τις, κἂν ὑβρίσῃ, δάκρυσον ἐκεῖνον· μὴ ἀγανακτήσῃς σὺ, συνάλγησον, μὴ παροξυνθῇς, μηδὲ εἴπῃς ὅτι Εἰς ψυχὴν ἠδίκημαι· οὐκ ἔστιν οὐδεὶς εἰς ψυχὴν ἀδικούμενος, ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς εἰς ψυχὴν ἀδικήσωμεν· καὶ πῶς, ἐγὼ λέγω. Ἀφείλετό σού [τις] τὴν οὐσίαν; οὐκ ἠδίκησεν εἰς ψυχὴν, ἀλλ' εἰς χρήματα· ἂν δὲ σὺ μνησικακήσῃς, εἰς ψυχὴν ἑαυτὸν ἠδίκησας. Τὰ μὲν γὰρ χρήματα ἀφαιρεθέντα οὐδὲν ἐζημίωσεν, ἀλλὰ καὶ ὠφέλησε, σὺ δὲ τὴν ὀργὴν οὐκ ἀφεὶς, εὐθύνας ἐκεῖ δώσεις

Propterea et prius dixi et nunc dico, et dicere non desistam, si quis morum vitia non correxit nec sibi facilem reddidit virtutem, ne baptizetur. Priora nempe crimina lavacrum abluere potest; timor autem non parvus et periculum non mediocre, ne rursum ad eadem redeamus, et in vulnus nobis medicina vertatur. Quanto namque major facta est gratia, tanto amplior postea peccantibus pœna. 3. Ne igitur ad pristinum redeamus vomitum, jam hinc nos ipsos erudiamus. Quod enim oporteat prius pœnituisse et a prioribus destitisse malis, et sic ad gratiam accedere, audi quid Joannes dicat, et quid princeps apostolorum baptismum accepturis. Ille nempe dicit (*Luc.* 3. 8), *Facite fructum dignum pœnitentiæ : et ne incipiatis dicere intra vos, Patrem habemus Abraham.* Hic autem interrogantibus rursus aiebat (*Act.* 2. 38), *Pœnitentiam agite, et baptizetur quisque vestrum in nomine Domini nostri Jesu Christi.* Qui autem agit pœnitentiam, non amplius eadem attingit negotia, quorum pœnituit : ideoque jubemur dicere, Abrenuntio tibi, satana, ne amplius ad ipsum revertamur. Sicut igitur in pictoribus accidit, sic et nunc fiat; etenim illi tabulas proponentes, et albas circumducentes lineas, et regias delineantes imagines, priusquam colorum veritatem superinducant, cum omni libertate hæc quidem delent, illa vero repingunt, et errata corrigentes et male se habentia transponentes : postquam vero jam colorem induxerint, non amplius libertatem habent rursum delendi et depingendi, quoniam imaginis pulchritudini nocerent, et sine culpa res fieri non posset : hoc tu quoque fac. Puta animam esse tibi imaginem : priusquam igitur superveniat vera Spiritus tinctura, male insitas tibi consuetudines dele : sive jurare, sive mentiri, sive contumelias inferre, sive turpia loqui, sive ridicula facere solitus es, sive quid aliud hujusmodi non licitum faciendi consuetudinem habes, erue consuetudinem, ne post baptisma rursum ad ipsam regrediaris. Peccata delet lavacrum : tu consuetudinem corrige, ne jam inductis coloribus et illustrata imagine regia, amplius deleas, et vulnera et cicatrices inferas a Deo tibi dato decori. Corripe igitur iram, exstingue furorem, sive quis afficiat injuria sive contumelia, lacrymis illum prosequere : ne indigneris tu, condole, ne exacerberis : ne dicas, In anima patior injuriam. Nemo est in anima injuriam patiens, nisi nos ipsos in anima injuria afficiamus; et quomodo id ita sit, jam dicam. Ablata est res tua? non passus es in anima, sed in pecuniis : si tu vero mali memoriam serves, in anima tu te ipsum læsisti : pecuniæ enim ablatæ nihil animam læserunt, verum et adjuverunt; tu vero iram non dimittens, pœnas illic hujus servatæ malorum memoriæ dabis.

τῆς μνησικακίας ταύτης. Ἐλοιδορήσατό τις καὶ ὕβρισεν; οὐδὲν εἰς ψυχὴν ἠδίκησεν, ἀλλ' οὐδὲ εἰς σῶμα. Ἀντελοιδόρησας σὺ καὶ ὕβρισας; σὺ σαυτὸν εἰς ψυχὴν ἠδίκησας, τῶν ῥημάτων ὧν εἶπας ἐκεῖ μέλλων εὐθύνας ὑφέξειν. Καὶ τοῦτο δὴ μάλιστα πάντων ὑμᾶς εἰδέναι βούλομαι, ὅτι τὸν Χριστιανὸν καὶ πιστὸν οὐδεὶς εἰς ψυχὴν ἀδικῆσαι δύναται, οὐδὲ αὐτὸς ὁ διάβολος. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι ἀχειρώτους ἡμᾶς ὁ Θεὸς πάσαις ἐποίησεν ἐπιβουλαῖς, ἀλλ' ὅτι καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἐπιτηδείους ἡμᾶς κατεσκεύασε, καὶ κώλυμα οὐδέν ἐστιν, ἐὰν θέλωμεν, κἂν πένητες ὦμεν, κἂν ἀσθενεῖς τὸ σῶμα, κἂν ἀπεῤῥιμμένοι, κἂν ἀνώνυμοι, κἂν οἰκέται. Οὔτε [γὰρ] πενία, οὔτε ἀῤῥωστία, οὔτε σώματος πήρωσις, οὐ δουλεία, οὐκ ἄλλο τι τῶν τοιούτων ἐμπόδιον πρὸς ἀρετὴν γένοιτ' ἄν ποτε. Καὶ τί λέγω πένητα καὶ οἰκέτην καὶ ἀνώνυμον; κἂν δεσμώτης ᾖς, οὐδὲ τοῦτό σοι γίνεται ἐμπόδιον πρὸς ἀρετήν· καὶ πῶς, ἐγὼ λέγω. Ἐλύπησέ σέ τις τῶν ἔνδον καὶ παρώξυνεν; ἄφες αὐτῷ τὴν ὀργήν· μήτι σοι πρὸς τοῦτο τὰ δεσμὰ καὶ ἡ πενία καὶ τὸ ἔτιμον εἶναι ἐμπόδιον γέγονε; Καὶ τί λέγω ἐμπόδιον; καὶ ἐβοήθησε μὲν οὖν καὶ συνέπραξε πρὸς τὸ καταστεῖλαι τὸν τῦφον. Εἶδες ἕτερον εὐπραγοῦντα; μὴ βάσκαινε· οὐδὲ γὰρ ἐνταῦθα ἡ πενία κώλυμα γίνεται. Πάλιν, ὅταν εὔξασθαι δέῃ, νηφούσῃ καὶ ἀγρυπνούσῃ διανοίᾳ τοῦτο ποίησον, καὶ οὐδὲν ἔσται τὸ κωλύον οὐδὲ ἐνταῦθα. Πραότητα, ἐπιείκειαν ἐπιδείκνυσο πᾶσαν, σωφροσύνην, σεμνότητα· οὐδὲ γὰρ ταῦτα τῶν ἔξωθεν δεῖται βοηθημάτων. Καὶ τοῦτο μάλιστα τὸ μέγιστόν ἐστι τῆς ἀρετῆς, ὅτι οὐ πλούτου, οὐ δυναστείας, οὐ δόξης, οὐκ ἄλλου τινὸς τῶν τοιούτων ἔχει χρείαν, ἀλλὰ ψυχῆς μόνης ἡγιασμένης, καὶ πλέον οὐδὲν ἐπιζητεῖ. Ὅρα δὲ καὶ ἐπὶ τῆς χάριτος αὐτὸ τοῦτο γινόμενον· κἂν γὰρ χωλεύῃ τις, κἂν τοὺς ὀφθαλμοὺς ἐκκεκομμένος ᾖ, κἂν τὸ σῶμα πεπηρωμένος, κἂν εἰς ἐσχάτην καταπεπτωκὼς ἀῤῥωστίαν, οὐδενὶ τούτων ἐπαλθεῖν ἡ χάρις κωλύεται· ψυχὴν γὰρ ἐπιζητεῖ μόνην μετὰ προθυμίας αὐτὴν δεχομένην, καὶ ταῦτα ἅπαντα παρατρέχει τὰ ἔξωθεν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν στρατιωτῶν καὶ σώματος μέτρον καὶ σαρκὸς εὐεξίαν ἐπιζητοῦσιν οἱ μέλλοντας αὐτοὺς καταλέγειν εἰς τὸ στρατόπεδον· οὐ ταῦτα δὲ μόνον ἔχειν χρὴ τὸν μέλλοντα στρατεύεσθαι, ἀλλὰ καὶ ἐλεύθερον εἶναι· ἂν γὰρ δοῦλός τις ᾖ, ἐκβάλλεται· ὁ δὲ τῶν ἁπάντων βασιλεὺς οὐδὲν τοιοῦτον ἐπιζητεῖ, ἀλλὰ καὶ δούλους δέχεται εἰς τὸ αὑτοῦ στρατόπεδον, καὶ γεγηρακότας καὶ παρειμένους τὰ μέλη, καὶ οὐκ ἐπαισχύνεται. Τί τούτου φιλανθρωποτέρον, τί χρηστότερον γένοιτ' ἄν; Οὗτος μὲν γὰρ τὰ ἐφ' ἡμῖν ζητεῖ μόνον, ἐκεῖνοι δὲ τὰ οὐκ ἐφ' ἡμῖν. Τὸ γὰρ δοῦλον εἶναι ἢ ἐλεύθερον, οὐχ ἡμέτερον· τὸ ὑψηλὸν πάλιν εἶναι καὶ βραχὺν, οὐκ ἐφ' ἡμῖν, τὸ γεγηρακότα καὶ ἄρτιον, καὶ ὅσα τοιαῦτα· τὸ δὲ ἐπιεικῆ ἢ χρηστὸν εἶναι καὶ τὰ παραπλήσια τούτοις, τῆς ἡμετέρας γνώμης. Καὶ ταῦτα ἡμᾶς ὁ Θεὸς ἀπαιτεῖ μόνα, ὧν

Convicius te quispiam et contumeliis affecit? te nil in anima læsit, sed nec in corpore. Tu vicissim contumelias et convicia intulisti? te ipsum in anima læsisti, eorum quæ dixisti illic pœnas subiturus. Et hoc omnium maxime vos certum scire volo, Christianum et fidelem in anima posse ladi ab nemine, nec ab ipso diabolo. Nec hoc tantum est admirabile, quod nos Deus omnibus insidiis inexpugnabiles fecerit, verum et quod ad omnem virtutis operationem nos aptos paraverit: et impedimentum nullum est, si velimus, licet pauperes simus, sive corpore imbecilles, sive abjecti, sive ignobiles, sive servi. Nec enim paupertas, nec imbecillitas, nec corporis mutilatio, non servitus, non aliud talium quidpiam ad virtutem impedimentum umquam esse queat. Et quid dico pauperem et servum et ignobilem? etiam si captivus sis, nec hoc tibi ad virtutem impedimentum est; et quo id modo sit, dicam. Quidam domesticorum te contristavit et irritavit? ipsi iram remitte. Numquid tibi ad hoc vincula et paupertas et ignobilitas impedimento sunt? Et quid dico impedimentum? potius adjuvant: nanique et cooperantur ad superbiam comprimendam. Vidisti alium feliciter agentem? ne invideas; nam nec hic paupertas impedimentum est. Rursum cum orare convenit, sobria et vigili mente hoc præsta; et nec hic ullum erit obstaculum. Benignitatem, mansuetudinem omnem exhibe, modestiam, honestatem: nec enim ista exteriorum indigent auxiliorum. Et hoc est virtutis maximum, quod non divitiis, non potentia, non gloria, non alia quapiam talium rerum opus habeat, sed anima tantum sanctificata, et nil amplius inquirat. Respice vero et in gratia hoc ipsum fieri: sive quis enim claudicet, et evulsis sit oculis, et corpore mutilus, sive in extremam delapsus infirmitatem, ab horum nullo gratia venire prohibetur. Animam enim exquirit solam se cum alacritate suscipientem, et hæc omnia exteriora prætercurrit. Externorum quidem militum et corporis staturam et bonam carnis habitudinem exquirunt qui ipsos militiæ adscribunt; non hæc autem sola militaturum oportet habere, verum etiam libertatem; si quis enim sit servus, rejicitur: at omnium Rex nihil tale requirit, sed et servos in exercitum suum suscipit, et senes, et invalidos membris, neque eum talium pudet: quo quid humanius aut benignius cogitari potest? Hic enim ea solummodo, quæ in nostra potestate sita sunt, quærit; illi vero quæ sita non sunt. Servitus enim vel libertas in potestate nostra sita non sunt, quemadmodum neque proceritas staturæ aut brevitas, neque senium, et quæcumque talia; mansuetum autem et miteu esse, et his similia, voluntatis nostræ sunt. Et hæc sola a nobis Deus exigit, quorum nos do-

ἡμεῖς ἐσμεν κύριοι· καὶ μάλα εἰκότως· οὐ γὰρ δι' οἰκείαν χρείαν, ἀλλὰ δι' εὐεργεσίαν ἡμᾶς ἐπὶ τὴν αὐτοῦ χάριν καλεῖ, οἱ δὲ βασιλεῖς διὰ τὴν ἑαυτῶν διακονίαν· κἀκεῖνοι μὲν ἐπὶ πόλεμον ἕλκουσιν αἰσθητὸν, οὗτος δὲ ἐπὶ μάχην πνευματικήν. Οὐκ ἐπὶ τῶν πολέμων δὲ μόνον τῶν ἔξωθεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγώνων τὴν αὐτὴν ἀναλογίαν ἴδοι τις ἄν· οἱ γὰρ μέλλοντες εἰς τὸ θέατρον ἕλκεσθαι ἐκεῖνο, οὐ πρότερον καθίζουσιν εἰς τοὺς ἀγῶνας, ἕως ἂν αὐτοὺς ὁ κῆρυξ λαβὼν ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς περιαγάγῃ βοῶν καὶ λέγων, Μή τις τούτου κατηγορεῖ; Καίτοι γε οὐκ ἔστιν ἐκεῖ ψυχῆς, ἀλλὰ σωμάτων τὰ παλαίσματα· τίνος οὖν ἕνεκεν εὐθύνας ἀπαιτεῖς εὐγενείας; Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἅπαν τοὐναντίον· οὐκ ἐν χειρῶν συμπλοκαῖς ὄντων ἡμῖν τῶν ἀγώνων, ἀλλ' ἐν φιλοσοφίᾳ ψυχῆς καὶ ἀρετῇ διανοίας, τοὐναντίον ὁ ἀγωνοθέτης ποιεῖ· οὐ γὰρ λαβὼν αὐτὸν περιάγει καὶ λέγει, Μή τις τούτου κατηγορεῖ; ἀλλὰ βοᾷ, Κἂν ἄνθρωποι πάντες, κἂν δαίμονες μετὰ τοῦ διαβόλου συστάντες αὐτοῦ κατηγορῶσι τὰ αἴσχιστα καὶ ἀπόῤῥητα δεινὰ, οὐκ ἐκβάλλω οὐδὲ βδελύσσομαι, ἀλλὰ τῶν κατηγόρων αὐτὸν ἀπαλλάξας καὶ τῆς πονηρίας ἐλευθερώσας, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἄγω· καὶ μάλα εἰκότως. Ἐκεῖ μὲν γὰρ ὁ ἀγωνοθέτης οὐδὲν συντελεῖ τοῖς ἀγωνιζομένοις πρὸς τὴν νίκην, ἀλλ' ἕστηκε μέσος· ἐνταῦθα δὲ ὁ ἀγωνοθέτης τῶν ἄθλων τῆς εὐσεβείας σύμμαχος γίνεται καὶ βοηθὸς, συνεφαπτόμενος αὐτοῖς τῆς πρὸς τὸν διάβολον μάχης.

Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι ἀφίησιν ἡμῖν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι αὐτὰ οὐδὲ ἐκκαλύπτει, οὐδὲ ποιεῖ φανερὰ καὶ δῆλα, οὐδὲ ἀναγκάζει παριλθόντας εἰς μέσον ἐξειπεῖν τὰ πεπλημμεληκότα, ἀλλ' αὐτῷ μόνῳ ἀπολογήσασθαι κελεύει καὶ πρὸς αὐτὸν ἐξομολογήσασθαι. Καίτοι γε ἐκ τῶν ἔξωθεν δικαστῶν εἴ τις εἶπέ τινι τῶν ἁλόντων λῃστῶν ἢ τυμβωρύχων εἰπεῖν τὰ πεπλημμεληκότα, καὶ ἀφεθῆναι τῆς κολάσεως, πάσῃ προθυμίᾳ ἂν κατεδέξαντο τοῦτο, τῇ τῆς σωτηρίας ἐπιθυμίᾳ τῆς αἰσχύνης καταφρονοῦντες. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ ἀφίησι τὰ ἁμαρτήματα, καὶ οὐκ ἀναγκάζει παρόντων τινῶν αὐτὰ ἐκπομπεύειν, ἀλλ' ἓν μόνον ζητεῖ, ὅπως αὐτὸς ὁ τῆς ἀφέσεως ἀπολαύων μάθῃ τῆς δωρεᾶς τὸ μέγεθος. Πῶς οὖν οὐκ ἄτοπον, εἰ αὐτὸς ἡμᾶς εὐεργετῶν ἀρκοῖτο τῇ παρ' ἡμῶν μαρτυρίᾳ μόνῃ, ἡμεῖς δὲ, ἐν οἷς ἂν αὐτὸν θεραπεύωμεν, ἑτέρους ἐπιζητοῖμεν μάρτυρας καὶ πρὸς ἐπίδειξίν τι ποιοῖμεν; Θαυμάσαντες οὖν αὐτοῦ τοίνυν τὴν φιλοφροσύνην ἐπιδειξώμεθα τὰ παρ' ἡμῶν, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν τῆς γλώττης χαλινώσωμεν ῥύμην, καὶ μὴ ἀεὶ φθεγγώμεθα. « Ἐκ γὰρ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν. » Ἂν μὲν οὖν ἔχῃς τι χρήσιμον εἰπεῖν, ἄνοιξον τὰ χείλη· ἂν δὲ μηδὲν ἀναγκαῖον ᾖ, σιγᾶν βέλτιον. Χειροτέχνης εἶ; καθεζόμενος ψάλλε. Ἀλλ' οὐ βούλει τῷ στόματι ψάλλειν; τῇ διανοίᾳ τοῦτο ποίει· μέγας συνόμιλος ὁ ψαλμός. Οὐδὲν ἐντεῦθεν ὑποστήσῃ δεινὸν, ἀλλ' ὡς ἐν μοναστηρίῳ τῷ

mini sumus; et valde congruenter: non enim ob propriam utilitatem, sed propter beneficentiam nos ad suam gratiam vocat, reges vero ad suum ipsorum ministerium: et illi quidem ad bellum trahunt sensibile, hic autem ad pugnam spiritualem. Nec in bellis tantum externis, verum et in certaminibus eamdem quis rationem videre possit. In illud enim theatrum qui trahuntur, non prius descendunt in certamina, donec ipsos assumens praeco sub omnium oculis circumducat clamans atque dicens, Num quis hunc accusat? etsi illic non animae, sed corporis pugnae sint: quare igitur nobilitatis rationes requiris? Hic vero nihil tale, sed totum contrarium: cum non in manuum collationibus sint nobis certamina, sed in animi philosophia et mentis virtute, contrarium agonotheta noster facit: non enim assumens ipsum circumducit, et dicit, Num quis hunc accusat? sed clamat: Licet omnes homines, licet daemones cum diabolo constituti ipsum accusent de turpissimis et occultis criminibus, non rejicio nec abominor, sed ab accusatoribus ipsum liberans et ab iniquitate absolvens, sic ad certamina duco: nec immerito. Illic enim agonotheta nil certantibus confert ad victoriam, sed medius constitutus est; hic autem agonotheta pietatis propugnatoribus commilito fit et auxiliator, cum ipsis contra diabolum pugnam committens.

4. Nec hoc tantum est admirabile, quod nobis peccata dimittat, verum et quod ipsa non revelet nec manifesta faciat, nec accedentes cogat in medio patrata edicere, sed sibi soli rationem reddere jubeat et sibi confiteri. Etenim ex saecularibus judicibus si quis alicui captorum latronum vel eorum qui sepulcra effodiunt diceret, ut peccata confiteretur, quo sibi poena dimitteretur, cum omni certe alacritate hoc susciperent, salutis cupiditate pudorem contemnentes. Hic vero nihil tale est, verum et peccata dimittit, nec cogit praesentibus quibusdam ipsa enuntiari: sed unum solum exigit, ut ipse remissione fruens, doni magnitudinem discat. Quomodo igitur non absurdum, ut in quibus nos ipse beneficio afficit, solo testimonio nostro contentus sit; nos autem in quibus ipsum colimus, alios testes quaeramus et ad ostentationem quidquam faciamus? Ipsius igitur benignitatem admirati, nostra ipsi exhibeamus, et prae omnibus linguae impetum refrenemus, et ne semper loquamur. (*Prov.* 10. 19) *Ex multiloquio namque non effugies peccatum.* Si nempe dicendum utile quid habes, aperi labia: si nihil sit necessarium, tacere melius est. Artifex manualis es? sedens psalle. Sed non vis ore psallere? mente hoc facias: magnus contubernalis psalmus. Nihil hinc grave sustinebis, sed tamquam in monasterio in officina sedere poteris: non enim locorum

ἐργαστηρίῳ δυνήσῃ καθίζεσθαι· οὐ γὰρ τόπων ἐπιτηδειότης, ἀλλὰ τρόπων ἀκρίβεια τὴν ἡσυχίαν ἡμῖν παρέξεται. Παῦλος γοῦν ἐν ἐργαστηρίῳ τῇ τέχνῃ χεχρημένος, οὐδὲν εἰς τὴν οἰκείαν ἀρετὴν παρεβλάβη. Μὴ τοίνυν λέγε σὺ, Πῶς δυνήσομαι χειροτέχνης ὢν καὶ πένης φιλοσοφεῖν; Διὰ τοῦτο μὲν οὖν μάλιστα δυνήσῃ φιλοσοφεῖν. Καὶ γὰρ πενία πλούτου καὶ ἐργασία ἀργίας πρὸς εὐλάβειαν ἡμῖν ἐπιτηδειότερον, ὡς ὅ γε πλοῦτος τοῖς μὴ προσέχουσι καὶ ἐμπόδιον γίνεται. Ὅταν γὰρ ὀργὴν δέῃ ἀφεῖναι, ὅταν σβέσαι φθόνον, ὅταν χαλινῶσαι θυμὸν, ὅταν εὐχὴν ἐπιδείξασθαι, ὅταν ἐπιείκειαν καὶ πραότητα, ὅταν φιλοφροσύνην καὶ ἀγάπην, ποῦ γένοιτ' ἂν ἡ πενία κώλυμα; Οὐ γὰρ ἀργύριον καταβαλόντας ταῦτα ἀνῦσαι ἐστὶν, ἀλλὰ προαίρεσιν ὀρθὴν ἐπιδειξαμένους. Ἐλεημοσύνη μάλιστά ἐστιν ἡ χρημάτων δεομένη, ἀλλὰ καὶ αὐτὴ διὰ τῆς πενίας μειζόνως ἐξέλαμψε· καὶ γὰρ ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα ἁπάντων ἀνθρώπων ἦν πενεστέρα, καὶ πάντας ὑπερηκόντισε.

Μὴ τοίνυν μέγα τι νομίζωμεν εἶναι πλοῦτον, μηδὲ πολλοῦ βελτίονα εἶναι τὸν χρυσὸν λογιζώμεθα· ἡ γὰρ τιμὴ τῆς ὕλης οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς ἡμετέρας ἐστὶ διανοίας. Εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πολὺ τοῦ χρυσοῦ σίδηρος ἀναγκαιότερον· ὁ μὲν γὰρ οὐδεμίαν εἰς τὸν βίον εἰσάγει χρείαν, οὗτος δὲ τὸ πλέον ἡμῖν κατεσκεύασε τῆς χρείας, μυρίαις τέχναις ὑπηρετούμενος. Καὶ τί λέγω χρυσοῦ καὶ σιδήρου σύγκρισιν; τῶν γὰρ πολυτελῶν λίθων ἀναγκαιότεροι οἱ λίθοι οὗτοι· ἐξ ἐκείνων μὲν γὰρ οὐδὲν ἂν γένοιτο χρηστὸν, ἀπὸ δὲ τούτων οἰκίαι τε καὶ τείχη καὶ πόλεις ἕστησαν. Σὺ δέ μοι δεῖξον, τί τὸ κέρδος ἀπὸ τῶν μαργαριτῶν γένοιτ' ἂν τούτων, μᾶλλον δὲ ποῖον οὐκ ἂν γένοιτο βλάβος; Καὶ γὰρ ἵνα σὺ κόκκον ἕνα φορέσῃς, μυρίοι τῷ λιμῷ πέννητες ἄγχονται· ποίας οὖν ἀπολογίας τεύξῃ, τίνος συγγνώμης; Βούλει κοσμῆσαι τὸ πρόσωπον; μὴ μαργαρίταις, ἀλλὰ σωφροσύνῃ καὶ σεμνότητι· οὕτω χαριεστέραν ὄψεται τὴν ὄψιν ὁ ἀνήρ. Ἐκεῖνος μὲν γὰρ ὁ κόσμος καὶ εἰς ζηλοτυπίας ὑποψίαν ἐμβάλλειν εἴωθε, καὶ εἰς ἔχθρας καὶ φιλονεικίας καὶ μάχας ἐνάγει· (οὐδὲν δὲ ὄψεως ὑποπτευομένης ἀηδέστερον·) ὁ δὲ τῆς ἐλεημοσύνης καὶ σωφροσύνης κόσμος πᾶσαν μὲν ἐκβάλλει πονηρὰν ὑπόνοιαν, παντὸς δὲ δεσμοῦ σφοδρότερον ἐπισπάσεται τὸν σύνοικον. Οὐδὲ γὰρ οὕτω κάλλους φύσις εὔμορφον ποιεῖ γενέσθαι τὴν ὄψιν, ὡς ἡ τοῦ θεωροῦντος αὐτὴν διάθεσις· διάθεσιν δὲ οὐδὲν οὕτως ὡς σωφροσύνη καὶ σεμνότης ποιεῖν εἴωθεν. Ὥστε κἂν εὔμορφος ᾖ τις, ἀπεχθῶς δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πάντων αἰσχροτέρα αὐτῷ φανεῖται· κἂν μὴ τύχῃ τις εὐπρεπὴς οὖσα, ἡδέως δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ ἔχῃ, πάντων εὐμορφοτέρα αὐτῷ φανεῖται· οὐ γὰρ ἐν τῇ φύσει τῶν ὁρωμένων, ἀλλ' ἐν τῇ διαθέσει τῶν ὁρώντων αἱ ψῆφοι γίνονται. Καλλώπισον τοίνυν τὴν ὄψιν σωφροσύνῃ, σεμνότητι, ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, ἀγάπῃ, τῇ περὶ τὸν ἄνδρα φιλοφροσύνῃ, ἐπιεικείᾳ, πραότητι,

commoditas, sed morum probitas quietem nobis præbebit. Paulus enim in officina artem suam tractans (*Act.* 18. 3) nihil ad propriam virtutem læsus est. Ne dicas igitur : Quomodo potero, cum artifex et pauper sim, philosophari? Propterea nempe magis poteris philosophari. Nam paupertas divitiis, et negotium otio ad pietatem nobis est opportunius : quippe cum divitiæ non advertentibus impedimentum fiant. Cum enim iram dimittere oportet, cum invidiam exstinguere, cum remittere furorem, cum orationem offerre, cum benignitatem et mansuetudinem, cum modestiam et caritatem exhibere, ubi paupertas impedimentum esse valeat? Non enim argentum erogantes hæc oportet obire, sed rectam exhibentes voluntatem. Eleemosyna maxime pecuniis eget, verum et ipsa per paupertatem magis effulget : etenim quæ duos obolos erogavit (*Luc.* 21. 2. — 4), omnium hominum erat pauperrima, et omnes superavit.

Ne magnum igitur quid divitias esse putemus, nec luto melius aurum esse cogitemus; materiæ namque pretium non ex natura est, sed ex opinione nostra. Si quis enim diligenter inquireret, multo magis auro ferrum necessarium : illud namque nullum vitæ confert usum, hoc autem pleraque necessaria nobis expedivit, innumeris artibus serviens. Et quid dico auri et ferri comparationem? bi enim vulgares lapides magis necessarii sunt quam pretiosi : nam ex his nihil utile fieri posset, ex illis vero domus et muri et urbes constructæ sunt. Tu vero mihi demonstra, quæ de margaritis utilitas istis, quinimo quod non inde damnum eveniat? Etenim ut tu feras unionem unum, innumeri pauperes fame premuntur : quam igitur defensionem, quam veniam assequeris? Vis ornare faciem? non margaritis orna, sed modestia et honestate, sicque vir gratiorem faciem cernet. Ille nempe ornatus et in zelotypiæ suspicionem injicere sæpe solet et inimicitias et contentiones et pugnas : nil autem vultu suspecto turpius : eleemosynæ vero et modestiæ ornatus omnem quidem improbam suspicionem expellit, omni autem vinculo firmius conjugem conciliat : non enim tam decoram vis pulchritudinis reddit faciem, quam spectantis affectus : affectum vero nihil sic ut modestia et honestas conciliare solet. Itaque licet pulchra sit mulier, vir autem erga ipsam male affectus sit, omnium ipsi turpissima videbitur; si vero non esse pulchram aliquam contingat, illa tamen, si viro suo placeat, omnium ipsi pulcherrima esse videbitur; non enim in eorum quæ cernuntur natura, sed in cernentium affectu judicia fiunt. Speciem igitur oris exorna modestia, honestate, eleemosyna, humanitate, caritate, erga virum dilectione, mansuetudine, benignitate,

ἀνεξικακίᾳ· ταῦτα τῆς ἀρετῆς τὰ χρώματα· διὰ τούτων ἀγγέλους, οὐκ ἀνθρώπους ἐραστὰς ἐπισπάσῃ, διὰ τούτων αὐτὸν ἕξεις τὸν Θεὸν ἐπαινέτην· ὅταν δὲ ὁ Θεὸς ἀποδέξηται, καὶ τὸν ἄνδρα σοι ὑποτάξῃ πάντως. Εἰ γὰρ σοφία ἀνθρώπου φωτίζει τὸ πρόσωπον, πολλῷ μᾶλλον ἀρετὴ γυναικὸς φωτίζει τὴν ὄψιν. Εἰ δὲ μέγα νομίζεις εἶναι τοῦτον τὸν κόσμον, εἰπέ μοι, τί σοι τὸ ὄφελος ἀπὸ τῶν μαργαριτῶν τούτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γενήσεται; καὶ τί χρὴ λέγειν τὴν ἡμέραν ἐκείνην, ἐξὸν καὶ ἀπὸ τῶν παρόντων ταῦτα ἀποδεῖξαι πάντα; Ὅτε γοῦν οἱ δόξαντες εἰς τὸν βασιλέα ὑβρικέναι πρὸς τὸ δικαστήριον εἵλκοντο καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε αἱ μητέρες καὶ αἱ γυναῖκες τὰ περιδέρραια καὶ τὰ χρυσία καὶ τοὺς μαργαρίτας ἀποθέμεναι καὶ τὸν κόσμον ἅπαντα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ, λιτὴν καὶ εὐτελῆ λαβοῦσαι ἐσθῆτα, καὶ σποδὸν καταπασάμεναι, καὶ πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου καλινδούμεναι, οὕτω τοὺς δικάζοντας ἐπέκαμπτον. Εἰ δὲ ἐπὶ τῶν ἐντεῦθα δικαστηρίων τὰ μὲν χρυσία καὶ οἱ μαργαρῖται καὶ ἡ ποικίλη ἐσθὴς ἐπιβουλὴ καὶ προδοσία γένοιτ' ἄν, ἡ δὲ ἐπιείκεια καὶ ἡ πραότης καὶ ἡ τέφρα καὶ τὰ δάκρυα καὶ τὰ εὐτελῆ ἱμάτια μᾶλλον ἐπισπᾶται τὸν δικαστήν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀδεκάστου ψήφου καὶ φοβερᾶς ἐκείνης γένοιτ' ἂν τοῦτο. Τίνα γὰρ ἕξεις, εἰπέ μοι, λόγον εἰπεῖν, ποίαν δ' ἀπολογίαν, ὅταν ὁ Δεσπότης ἐγκαλῇ σοι περὶ τῶν μαργαριτῶν τούτων, καὶ τοὺς πένητας εἰς μέσον ἀγάγῃ τῷ λιμῷ διαφθαρέντας; Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε, « Μὴ ἐν πλέγμασιν, ἢ χρυσίῳ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. » Ἐντεῦθεν γὰρ καὶ ἐπιβουλὴ γένοιτ' ἄν· εἰ δὲ καὶ διηνεκῶς αὐτῶν ἀπολαύσαιμεν, ἀλλὰ τῷ θανάτῳ πάντως ἀποστησόμεθα. Ἀπὸ δὲ ἀρετῆς ἀσφάλεια πᾶσα, καὶ μεταβολὴ καὶ μετάπτωσις οὐδεμία, ἀλλὰ καὶ ἐνταῦθα ἡμᾶς ἀσφαλεστέρους ποιεῖ καὶ ἐκεῖ συμμεθίσταται. Βούλει κτήσασθαι μαργαρίτας καὶ τὸν πλοῦτον τοῦτον μηδέποτε ἀποθέσθαι; περιελομένη τὸν κόσμον ἅπαντα εἰς τὰς τοῦ Χριστοῦ χεῖρας ἀπόθου διὰ τῶν πενήτων· ἐκεῖνός σοι φυλάξει τὸν πλοῦτον ἅπαντα· ἐπειδὰν ἀναστήσῃ σοι τὸ σῶμα μετὰ πολλῆς τῆς λαμπρότητος, τότε σοι βελτίονα περιθήσει πλοῦτον καὶ κόσμον μείζονα, ὡς ὅ γε παρὼν οὗτος εὐτελὴς καὶ καταγέλαστος. Ἐννόησον γοῦν τίσιν ἀρέσκειν βούλει, καὶ διὰ τίνας περίκεισαι τὸν κόσμον τοῦτον· ἵνα ὁ σχοινοστρόφος καὶ ὁ χαλκοτύπος καὶ ὁ ἀγοραῖος ἰδόντες θαυμάσωσιν; εἶτα οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς ἐκείνοις ἐπιδεικνυμένη, καὶ οὓς οὐδὲ ἀξίους εἶναι νομίζεις τῆς σῆς προσρήσεως, διὰ τούτους ἅπαντα ποιοῦσα; Πῶς οὖν καταγελάσῃ τῆς φαντασίας ταύτης; Ἂν ἀναμνησθῇς τῆς φωνῆς ἐκείνης, ἣν ἀφῆκας μυσταγωγουμένη, « Ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου καὶ τῇ λατρείᾳ σου »· ἡ γὰρ περὶ τὸν κόσμον τῶν μαργαριτῶν μανία πομπὴ σατανική [ἐστι]. Χρυσίον γὰρ ἔλαβες, οὐχ ἵνα τὸ σῶμα καταδήσῃς, ἀλλ' ἵνα τοὺς πένητας λύσῃς καὶ διαθρέψῃς. Λέγε τοίνυν συνεχῶς, Ἀποτάσσομαί σοι, σατανᾶ· οὐδὲν ταύτης

malorum tolerantia : hi sunt virtutis colores; per hos alicies angelos, non homines; per hos ipsum habebis Deum laudatorem : cum vero Deus acceptaverit, et virum omnino tibi conciliabis. Si enim viri sapientia faciem illuminat (*Eccle.* 8. 1), multo magis virtus mulieris vultum illuminat. Si vero putas esse magnum quid hunc ornatum, dic mihi, quam utilitas tibi in die illa de margaritis istis veniet? Et quid opus diem illam commemorare, cum liceat et ex præsentibus hæc omnia demonstrare? Cum enim ii qui Imperatori contumeliam intulerant, ad tribunal trahebantur et de extremis periclitabantur, tunc matres et uxores monilia aurea et margaritas deponentes ornamentumque omne et vestimenta aurea, vilem et abjectam vestem sumentes, et cinerem inspergentes sibi, et ante tribunalis januas se volutantes, sic judices exorabant. Si autem in his judiciis aurea quidem monilia et uniones et varia vestis insidiæ et proditio sunt, mansuetudo autem, benignitas, cinis, lacrymæ et vilia vestimenta magis judicem conciliant : multo magis in judicio illo incorruptibili et tremendo hoc fiet. Quam enim rationem dicendam habebis, quam, dic mihi, excusationem, quando te Dominus accusabit de margaritis istis, et pauperes fame perditos in medium aget? Propterea Paulus dicebat (1. *Tim.* 2. 9), *Non in tortis crinibus, vel auro, vel margaritis, vel vestimento pretioso.* Hinc nempe struentur insidiæ : etiamsi jugiter ipsis fruamur, tamen omnino per mortem ab ipsis separabimur. Ex virtute vero securitas omnis, et mutatio ruinave nulla, verum et hic nos ea reddit tutiores, et illuc comitatur. Vis margaritas possidere, nec umquam has divitias deponere? ornatum auferens in Christi manus per pauperes repone : ille tibi cunctas custodiet divitias; postquam corpus tuum multa cum claritate resuscitaverit, tunc tibi meliores circumponet divitias et ornatum majorem, quippe cum sit hic præsens vilis et ridiculus. Cogita namque quibus vis placere, et propter quos hunc induis ornatum : scilicet ut funarius et ærarius et institor admirentur te conspicati? annon confunderis et erubescis te illis ostentans, et quos nec appellatione tua dignos censes, propter hos omnia faciens? Quomodo igitur hanc omnem vanitatem deridebis? Si vocis illius recorderis, quam dum sacris initiareris, emisisti : Abrenuntio tibi, satana, et pompæ tuæ et cultui tuo : circa margaritarum enim cultum insania est pompa satanica. Aurum enim accepisti, non ut corpus vincias, sed ut pauperes solvas et enutrias. Dic igitur frequenter, Abrenuntio tibi, satana : nihil hac tutius voce, si ipsam per opera exhibeamus.

ἀσφαλέστερον τῆς φωνῆς, εἰ διὰ τῶν ἔργων αὐτὴν ἐπιδείξώμεθα. Ταύτην καὶ ὑμᾶς τοὺς μυσταγωγεῖσθαι μέλλοντας μαθεῖν ἀξιῶ· αὕτη γὰρ ἡ φωνὴ συνθήκη πρὸς τὸν Δεσπότην ἐστί. Καὶ καθάπερ ἡμεῖς οἰκέτας ἀγοράζοντες, αὐτοὺς τοὺς πωλουμένους πρότερον ἐρώμεθα, εἰ βούλονται ἡμῖν δουλεῦσαι, οὕτω καὶ ὁ Χριστὸς ποιεῖ· ἐπειδὴ μέλλει σε εἰς δουλείαν λαμβάνειν, πρότερον ἐρωτᾷ, εἰ βούλει τὸν τύραννον ἐκεῖνον ἀφεῖναι τὸν ὠμὸν καὶ ἀπηνῆ, καὶ συνθήκας δέχεται παρὰ σοῦ· οὐ γὰρ κατηναγκασμένη ἡ δεσποτεία αὐτοῦ ἐστι. Καὶ σκόπει Θεοῦ φιλανθρωπίαν. Ἡμεῖς μὲν πρὶν ἢ τὴν τιμὴν καταβαλεῖν ἐρωτῶμεν τοὺς πωλουμένους, καὶ ἐπειδὰν μάθωμεν ὅτι βούλονται, τότε τὴν τιμὴν καταβάλλομεν· ὁ Χριστὸς δὲ οὐχ οὕτως, ἀλλὰ καὶ τὴν τιμὴν κατέβαλεν ὑπὲρ ἁπάντων ἡμῶν, τὸ τίμιον αὐτοῦ αἷμα· « Τιμῆς γάρ, φησίν, ἠγοράσθητε »· καὶ ὅμως οὐδὲ οὕτως ἀναγκάζει μὴ βουλομένους αὐτῷ δουλεῦσαι, ἀλλ' εἰ μὴ χάριν ἔχεις, φησὶ, καὶ παρὰ σαυτοῦ καὶ ἑκὼν θέλεις ἐπιγράψασθαι τὴν δεσποτείαν, οὐκ ἀναγκάζω οὐδὲ βιάζομαι. Καὶ ἡμεῖς μάλιστα μὲν οὐκ ἂν ἐλοίμεθα πονηροὺς οἰκέτας πρίασθαι· εἰ δὲ καὶ ἐλοίμεθά ποτε, αἱρέσει κακῇ τούτους ἀγοράζομεν, καὶ τοιαύτην καταβάλλομεν τιμήν· ὁ δὲ Χριστὸς ἀγνώμονας οἰκέτας ἀγοράζων καὶ παρανόμους, πρωτείου δούλου τιμὴν κατέβαλε, μᾶλλον δὲ πολλῷ μείζονα, καὶ τοσούτῳ μείζονα, ὡς μηδὲ λόγον μηδὲ ἔννοιαν αὐτῆς παραστῆσαι τὸ μέγεθος· οὐ γὰρ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν δοὺς, ἀλλὰ τὸ πάντων τούτων τιμιώτερον, τὸ ἑαυτοῦ αἷμα καταθείς, οὕτως ἡμᾶς ἐξηγόρασε· καὶ μετὰ ταῦτα πάντα οὐ μάρτυρας ἡμᾶς, οὐκ ἔγγραφα ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ φωνῇ, κἂν εἴπῃς ἀπὸ διανοίας, « Ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου », τὸ πᾶν ἀπείληφε.

Τοῦτο τοίνυν λέγωμεν, Ἀποτάσσομαί σοι, σατανᾶ, ὡς ἐκεῖ μέλλοντες κατὰ τὴν ἡμέραν ἐκείνην ταύτην ἀπαιτεῖσθαι τὴν φωνὴν, καὶ φυλάξωμεν αὐτὴν, ἵνα σώαν τὴν παραχαθήκην ταύτην ἀποδῶμεν τότε· πομπὴ δὲ σατανική ἐστι θέατρα καὶ ἱπποδρομίαι, καὶ πᾶσα ἁμαρτία καὶ παρατήρησις ἡμερῶν, καὶ κληδόνες καὶ σύμβολα. Καὶ τί ποτέ ἐστι σύμβολα, φησί; Πολλάκις ἐξελθών τις τὴν οἰκίαν τὴν ἑαυτοῦ εἶδεν ἄνθρωπον ἑτερόφθαλμον ἢ χωλεύοντα, καὶ οἰωνίσατο. Τοῦτο πομπὴ σατανική· οὐ γὰρ ἡ ἀπάντησις τοῦ ἀνθρώπου πονηρὰν ποιεῖ τὴν ἡμέραν γενέσθαι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ζῆν. Ὅταν τοίνυν ἐξέλθῃς, ἓν μόνον φύλαξαι, μὴ ἁμαρτία σοι ἀπαντήσῃ· αὕτη γάρ ἐστιν ἡ ἡμᾶς ὑποσκελίζουσα, χωρὶς δὲ ταύτης οὐδὲν ἡμᾶς ὁ διάβολος βλάψαι δυνήσεται. Τί λέγεις; ἄνθρωπον ὁρᾷς καὶ οἰωνίζῃ, καὶ οὐχ ὁρᾷς τὴν πάγην τὴν διαβολικὴν, πῶς ἐκπολεμοῖ σε τῷ μηδὲν ἠδικηκότι; πῶς ἐχθρὸν σε καθίστησι τῷ ἀδελφῷ ἐξ οὐδεμιᾶς δικαίας προφάσεως; Καὶ ὁ μὲν Θεὸς καὶ τοὺς ἐχθροὺς φιλεῖν ἐκέλευσε, σὺ δὲ καὶ τὸν οὐδὲν ἠδικηκότα ἀποστρέφῃ μηδὲν ἔχων ἐγκαλεῖν; οὐκ ἐννοεῖς πόσος ὁ γέλως, πόση ἡ αἰσχύνη, μᾶλλον δὲ πόσος ὁ κίνδυνος;

5. Hanc et vos, initiandi, ut discatis obsecro : hæc enim vox confœderatio cum Domino est. Et sicut nos servos ementes, ipsos qui venduntur, prius interrogamus an nobis servire velint : ita facit et Christus; quando te in servitutem capturus est, prius interrogat an velis filium crudelem tyrannum dimittere et immitem, et fœdera abs te suscipit : non enim coactum est ipsius imperium. Et vide Dei benignitatem. Nos nempe priusquam pretium erogemus, interrogamus eos qui venduntur, et cum didicerimus eos velle, tunc pretium erogamus : Christus autem non ita; verum et pretium erogavit pro omnibus nobis pretiosum sanguinem suum : *Pretio* enim, inquit (1. *Cor.* 7. 23), *emti estis* : et tamen ne sic quidem cogit sibi servire nolentes, sed nisi gratiam habeas et a te ipso et sponte ejus velis dominatui adscribi, Non cogo, inquit, neque compello. Et nos quidem improbos servos ne emere quidem velimus : quodsi quando emamus, pravo consilio eminus et tale pretium erogamus : Christus autem ingratos emens servos et iniquos, optimi servi pretium erogavit : imo vero multo majus, ac tanto majus ut neque ratio neque mens ipsius magnitudinem capiat : non enim cœlum et terram et mare dans, sed omnibus his pretiosiorem sanguinem suum effundens, ita nos redemit : et post hæc omnia non testes a nobis, non chirographa exigit, sed sola contentus est voce : et si dicas ex corde, Abrenuntio tibi, satana, et pompæ tuæ, totum recepit.

Hoc igitur dicamus, Abrenuntio tibi, satana : tamquam in illa die hujus vocis rationem reddituri, et ipsam custodiamus, ut salvum tunc reddamus depositum. Pompa vero satanica sunt theatra, circenses, et omne peccatum, dierum observatio, præstigiæ, et omina. Et quid tandem sunt omina? Sæpe domo quis sua egressus hominem vidit unoculum, vel claudicantem, et ominatus est. Hæc est pompa satanica : non enim hominis occursus malum facit diem, sed in peccatis vivere. Cum igitur exieris, unum modo cave, ne occurrat tibi peccatum; hoc enim est quod supplantat, præter hoc vero nec ipse diabolus nos quidpiam lædere poterit. Quid dicis? hominem cernis, et ominaris, nec cernis laqueum diabolicum, quomodo te illi, qui te nulla affecit injuria, reddit inimicum? quomodo te fratri constituit adversarium ex nulla justa occasione? Et Deus quidem vel inimicos amare nos jussit; tu vero nihil lædentem aversaris, nil accusandum habens, nec cogitas, quantus risus, quantum dedecus, imo vero quantum periculum?

Εἶπω καὶ ἕτερον καταγελαστότερον; Αἰσχύνομαι μὲν καὶ ἐρυθριῶ, ἀναγκάζομαι δὲ ὅμως διὰ τὴν ὑμετέραν σωτηρίαν εἰπεῖν· ἐὰν ἀπαντήσῃ παρθένος, φησίν, ἄπρακτος ἡ ἡμέρα γίνεται· ἐὰν δὲ ἀπαντήσῃ πόρνη, δεξιὰ καὶ χρηστὴ καὶ πολλῆς ἐμπορίας γέμουσα. Ἐγκαλύπτεσθε, καὶ τὸ μέτωπον ἐκρούσατε, καὶ πρὸς τὴν γῆν κατεκύψατε; ἀλλὰ μὴ νῦν τῶν ῥημάτων λεγομένων, ἀλλὰ τῶν πραγμάτων γινομένων. Ὅρα γοῦν καὶ ἐνταῦθα, πῶς τὸν δόλον ἔκρυψεν ὁ διάβολος, ὅπως τὴν μὲν σώφρονα ἀποστρεφώμεθα, τὴν δὲ ἀκόλαστον ἀσπαζώμεθα καὶ φιλῶμεν. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος ὅτι « ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν », καὶ εἶδε πολλοὺς περιγενομένους ἀκολασίας, βουλόμενος δι' ἑτέρας ὁδοῦ πάλιν ἐμβαλεῖν αὐτοὺς εἰς τὴν ἁμαρτίαν, διὰ ταύτης τῆς παρατηρήσεως ἑταιρίσι γυναιξὶν ἡδέως προσέχειν ἀνέπεισε.

Τί ἄν τις εἴποι περὶ τῶν ἐπῳδαῖς καὶ περιάπτοις κεχρημένων, καὶ νομίσματα χαλκᾶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ταῖς κεφαλαῖς καὶ τοῖς ποσὶ περιδεσμούντων; Αὗται αἱ ἐλπίδες ἡμῶν, εἰπέ μοι, ἵνα μετὰ σταυρὸν καὶ θάνατον δεσποτικὸν εἰς Ἕλληνος βασιλέως εἰκόνα τὰς ἐλπίδας τῆς σωτηρίας ἔχῃς; Οὐκ οἶδας πόσα κατώρθωσεν ὁ σταυρός; τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, τὸν ᾅδην ἄχρηστον ἐποίησε, τοῦ διαβόλου τὴν δύναμιν ἐξέλυσε, καὶ εἰς σώματος ὑγίειαν οὐκ ἔστιν ἀξιόπιστος; τὴν οἰκουμένην ἀνέστησεν ἅπασαν, καὶ σὺ αὐτῷ οὐ θαρρεῖς; καὶ τίνος ἄξιος ἂν εἴης, εἰπέ μοι; Οὐ περίαπτα δὲ μόνον, ἀλλὰ καὶ ἐπῳδὰς σαυτῷ περιάγεις, γραϊδια μεθύοντα καὶ παραπαίοντα εἰς τὴν οἰκίαν εἰσάγων· καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς μετὰ τοσαύτην φιλοσοφίαν πρὸς ταῦτα ἐπτοημένος; Καὶ τὸ χαλεπώτερον τῆς ἀπάτης· ὅταν γὰρ παραινῶμεν ταῦτα καὶ ἀπάγωμεν, δοκοῦντες ἀπολογεῖσθαί φασιν ὅτι Χριστιανή ἐστιν ἡ γυνὴ ἡ ταῦτα ἐπᾴδουσα καὶ οὐδὲν ἕτερον φθέγγεται ἢ τὸ τοῦ Θεοῦ ὄνομα. Διὰ τοῦτο μὲν οὖν αὐτὴν μάλιστα μισῶ καὶ ἀποστρέφομαι, ὅτι τῷ ὀνόματι τοῦ Θεοῦ πρὸς ὕβριν τοῦ Θεοῦ κατακέχρηται, ὅτι λέγουσα Χριστιανὴ εἶναι, τὰ τῶν Ἑλλήνων ἐπιδείκνυται. Καὶ γὰρ καὶ οἱ δαίμονες τὸ τοῦ Θεοῦ ὄνομα ἐφθέγγοντο, ἀλλ' ἦσαν δαίμονες, καὶ οὕτως ἔλεγον πρὸς τὸν Χριστὸν, « Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ »· καὶ ὅμως ἐπετίμησεν αὐτοῖς καὶ ἀπήλασε. Διὰ δὴ ταῦτα παρακαλῶ τῆς ἀπάτης καθαρεύειν ταύτης, καὶ καθάπερ βακτηρίαν ἔχειν τὸ ῥῆμα τοῦτο. Καὶ ὥσπερ χωρὶς ὑποδημάτων ἢ ἱματίων οὐκ ἂν ἕλοιτό τις ὑμῶν εἰς τὴν ἀγορὰν καθεῖναι, οὕτω χωρὶς τοῦ ῥήματος τούτου μηδέποτε εἰς τὴν ἀγορὰν ἐμβάλῃς, ἀλλ' ὅταν μέλλῃς ὑπερβαίνειν τὰ πρόθυρα τοῦ πυλῶνος, τοῦτο φθέγξαι τὸ ῥῆμα πρότερον, « Ἀποτάσσομαί σοι, σατανᾶ, καὶ τῇ πομπῇ σου καὶ τῇ λατρείᾳ σου, καὶ συντάσσομαί σοι, Χριστέ », καὶ μηδέποτε χωρὶς τῆς φωνῆς ταύτης ἐξέλθῃς· τοῦτό σοι βακτηρία ἔσται, τοῦτο ὅπλον, τοῦτο πύργος ἄμαχος.

Dicamne et aliud ridiculosius? Confundor nempe et erubesco, sed cogor propter salutem vestram dicere. Si virgo, inquit, occurrerit, sterilis dies erit; si vero meretrix, dextera et bona, et multa mercatione plena. Occultamini, et frontem percutitis, et ad terram inclinastis: sed non nunc dum dicuntur verba, sed cum fiunt opera, erubescendum erat. Vide nempe quomodo et hic diabolus dolum abscondit, ut modestam quidem aversemur, impudicam vero gratam habeamus et amemus. Quoniam enim audivit Christum dicentem (*Matth.* 5. 28), *Qui aspicit mulierem ad concupiscendum, jam mœchatus est eam*, et vidit multos lasciviam vincere, volens rursum per aliam viam ipsos in peccatum impellere, per hanc observationem meritoriis mulieribus libenter oculos intendere persuasit.

Quid vero diceret aliquis de iis qui carminibus et ligaturis utuntur, et de circumligantibus ærea Alexandri Macedonis numismata capiti vel pedibus? Dic mihi, an hæ sunt exspectationes nostræ, ut post crucem et mortem Dominicam in gentilis regis imagine spem salutis habeas? Ignoras quanta crux perfecit? mortem dissolvit, peccatum exstinxit, orcum inanem reddidit, diaboli solvit potentiam, et ad corporis sanitatem præstandam non est fide digna? totum orbem exsuscitavit, et tu ipsa non confidis? et quid pati dignus non fueris? Non ligaturas vero tantum, sed etiam excantamenta tibi circumducis, vetulas ebrias et titubantes domum adducens: nec confunderis, nec erubescis, post tantam disciplinam talibus abreptus? Et quod gravius est ipso errore, quando hæc admonemus et dissuademus, putantes se excusari, dicunt, Christiana est mulier hæc excantans, et nihil aliud loquitur quam Dei nomen. Propterea namque potissimum ipsam odi et aversor, quod Dei nomine ad contumeliam utatur, quod se dicens esse Christianam, gentilium opera faciat: etenim dæmones quoque Dei nomen proferebant, sed tamen erant dæmones, et ita Christo dicebant (*Marc.* 1. 24): *Scimus te, qui sis, sanctus Dei*: et tamen ipsos increpavit et ejecit. Propterea quippe vobis supplico, ut ab hac sitis fallacia puri, et tamquam baculum hoc verbum habeatis. Et sicut sine calceamentis vel vestimentis vestrûm nemo in forum descendere vellet: ita sine verbo hoc numquam in forum prodeas, sed cum es januæ vestibula transgressurus, hoc prius loquere verbum, Abrenuntio tibi, satana, et pompæ tuæ et cultui tuo, et conjungor tibi, Christe. Ne umquam absque hac voce exeas: hæc erit tibi baculus, hæc armatura, hæc turris inexpugnabilis. Cum hoc

Digitized by Google

Καὶ μετὰ τοῦ ῥήματος τούτου καὶ τὸν σταυρὸν ἐπὶ τοῦ μετώπου διατύπωσον· οὕτω γὰρ οὐ μόνον ἄνθρωπος ἁπάντων, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος βλάψαι τι δυνήσεται μετὰ τούτων σε ὁρῶν τῶν ὅπλων παντα-χοῦ φαινόμενον. Καὶ ταῦτα σαυτὸν ἤδη ἐντεῦθεν παίδευσον, ἵν' ὅταν τὴν σφραγῖδα λάβῃς, ἐμπαράσκευος ἧς στρατιώτης, καὶ τὸ κατὰ τοῦ διαβόλου τρόπαιον στήσας, δέξῃ τὸν τῆς δικαιοσύνης στέφανον· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι κτλ.

verbo et crucem in fronte imprime: sic enim non tantum homo occurrens, verum nec ipse diabolus te quidquam lædere poterit, cum his te cernens armis ubique apparentem. Et hæc te ipsum jam hinc doce, et cum signum ceperis, sis miles paratus, et contra diabolum tropæum erigens, justitiæ coronam capias, quam nos omnes assequi contingat, gratia etc.

UNIVERSIDAD CENTRAL
Biblioteca
DECANATO DE FILOSOFIA Y LETRAS

Digitized by Google

Digitized by Google